Digitized by Google

BIBLIOTECA NAZ.
Vittorio Emanuele III
XL
H
18
NAPOLI

XL
H
22

Digitized by Google

ΑΡΙΣΤΟΦΑΝΟΥΣ
ΚΩΜΩΔΙΑΙ ΕΝΔΕΚΑ,

ΩΝ ΑΙ ΜΕΝ ΕΝΝΕΑ ΜΕΤΑ ΣΧΟΛΙΩΝ
ΠΑΛΑΙΩΝ, ΚΑΙ ΝΕΩΤΕΡΩΝ,
πάνυ ὠφελίμων.

ΑΙ ΔΕ ΔΥΟ, ΜΕΤΑ ΣΧΟΛΙΩΝ ΝΕΩΤΕΡΩΝ, ΑΠΕΡ ΕΚ
παλαιοτάτων ὑπομνημάτων, καὶ δοκιμωτάτων λεξικῶν, οὐκ ἄνευ μεγίστης ἀκριβείας καὶ πόνου, εἰς τὴν φιλελλήνων χάριν νῦν πρῶτον συλλεχθέντα, σὺν πίνακι ἀφθονωτάτῳ πάντων τῶν ἀξιολόγων, εἰς φῶς ἐξενήνεχθη.

ARISTOPHANIS
COMOEDIAE VNDECIM,
CVM SCHOLIIS ANTIQVIS,

Quæ studio & opera Nobilis viri ODOARDI BISETI *Carlæi sunt quamplurimis locis accuratè emendata, & perpetuis nouis Scholiis illustrata. Ad quæ etiam accesserunt eiusdem in duas posteriores noui Commentarij: operâ tamen & studio Doctissimi viri D. Æmylij Francisci Porti Cretensis filij ex* BISETI *autographo exscripti & in ordinem digesti. Quæ ad hanc editionem accesserunt præterea, pagina 36. demonstrat.*

B. R. NEAPOLIS

AVRELIÆ ALLOBROGVM,
SVMPTIBVS CALDORIANÆ SOCIETATIS.
M. DC. VII.

ΑΙΜΙΛΙΟΣ ΠΟΡΤΟΣ

Ο ΦΡΑΓΚΙΣΚΟΥ ΠΟΡΤΟΥ ΤΟΥ ΚΡΗΤΟΣ

τοῖς ἐντευξομένοις εὖ πράττειν.

Οἱ τῶν φιλοτίμων, καὶ σκαιῶν ἀνθρώπων, ὦ φιλέλληνες, ποτὲ μὲν τοὺς ἀλλοτρίους πόνους ἀναιδῶς ὑφαρπάζειν, καὶ παρανόμως σφετερίζεσθαι φιλοῦσιν, ἵνα μνήμης, καὶ δόξης, εἰ δυνατὸν, αἰωνίου τύχωσι. ποτὲ δὲ τὰς ἑαυτῶν λήρεις, καὶ περὶ καπνοῦ λεπτολογίας σεμνοῖς ἰδίων ἐπαίνων στεφάνοις στεφανοῦν φιλοτιμοῦνται. ταύτην δὲ φιλοτιμίαν, καὶ σκαιότητος μανίαν ἡμεῖς μισοῦντες, τούτους οὐκ ἔγνωμεν μιμεῖσθαι. τοῖς δὲ τῶν σοφῶν, καὶ δικαίων ἀνδρῶν καλοῖς παραδείγμασιν ἀκολουθεῖν, καὶ τὸ οἰκεῖον δίκαιον ἑκάστῳ νέμειν προαιρούμεθα. καὶ τοῖς ἡμῶν εὐεργέταις τὰς ὀφειλομένας τιμὰς ἀποδοῦναι, καὶ τὰς αὐτῶν εὐεργεσίας πᾶσι φανερὰς ποιεῖν προθύμως ἠξιώσαμεν. Ἐν δὲ τοῖς ἡμῶν λόγοις πολλὴν μὲν ἀληθείας παρρησίαν, οὐδεμίαν δὲ ψευδείας ὑποψίαν εὑρήσεις. ποῖον γὰρ, καὶ πόσον ἦν τὸ τῶν σφαλμάτων πλῆθος, δι' ὃ τὸν Ἀριστοφάνην, καὶ τὰ παλαιὰ εἰς αὐτὸν σχόλια πρότερον ἐλυμαίνετο, καὶ τῆς ἀττικῆς ῥήσεως τὴν εὐτραπελίαν, τὴν κομψότητα, τὴν ἡδονὴν, καὶ χάριν ἠφάνιζεν, οὐδεὶς τῶν μετρίως πεπαιδευμένων ἀγνοεῖ. ταῦτα δὲ τοσαύτης διαφθορᾶς κωλύματα τοὺς τοῖς Ἀριστοφάνους δράμασιν ἐντυγχάνειν ἐπιθυμοῦντας ἐτάρασσε, καὶ τῶν ὑπ' αὐτοῦ λεγομένων τὸ σκοτεινὸν, καὶ δύσγνωστον τοὺς φιλέλληνας ἀπὸ τῶν Ἀριστοφανείων ποιημάτων ἀπέτρεπεν. ἡμῖν δὲ πλεῖστον ἤδη χρόνον ἀμηχανοῦσι, καὶ ποῖ τραπείημεν ἀποροῦσι, τέλος παρὰ πᾶσαν προσδοκίαν λαμπρὸν ἔλαμψε φέγγος, ὅπερ ἐξηύρατο, καὶ ταῖς Μούσαις φίλτατος ἀνὴρ, ΟΔΟΑΡΔΟΣ ΒΙΖΕΤΟΣ ἐκδιώκων τὴν τοῦ σκότου πυκνότητα διεσκέδασε. τίς οὖν ταύτης τῆς ποθεινῆς ὠφελείας ἀνδρὶ τηλικούτῳ χαριστήρια φθονήσει; τίς οὕτω κακοήθης, τίς οὕτω φθονερὸς, ὥστε τοιαῦτα, καὶ τοσαῦτα τοῦ πάντας τοὺς τῆς ἑλληνικῆς γλώσσης ἐραστὰς εὖ ποιήσαντος εὐεργετήματα σιωπᾶν ἐθέλειν; Οὗτος τῇ συνέσεως εὐστοχίᾳ, καὶ παιδείας ἐπιμελείᾳ τὸν Ἀριστοφάνην εἰς τὴν ἀρχαίαν πλοῦτου, καὶ κόσμου κτῆσιν ἀνήγαγε. πρὸς δὲ τούτοις καὶ μεγίστῳ παντοίων, καινῶν τε διερμηνευμάτων πλήθει πλουτίσας ἐκόσμησεν, ἅπερ αὐτοῦ τὴν εὐγένειαν, τὰ ἐπιτηδεύματα, καὶ πολύξενον ἐπιστήμην ἀρκούντως ὑμνοῦσιν. ἡ γὰρ αὐτοῦ σωφροσύνη, καὶ περιβόητος ἐπιείκεια τὴν ἀγαθὴν ἡμετέρας προαιρέσεως ἀκοὴν περὶ τῶν ἀληθινῶν κατορθωμάτων μακροτέρας ἀνακηρύξεις ἐπέχει. Βέλτιον δὲ τοῖς ἔργοις, ἢ ταῖς κεναῖς ἀκαίρων ἐγκωμίων μακρολογίαις τῶν ἤδη εἰρημένων πεῖραν αὐτίκα λαμβάνειν. Εἰ δέ τις καὶ τὴν ἐμὴν μικρὰν συνεισφορὰν ἀποδεκτέαν οἴεται, τοῦτο χαρὰν μοι, καὶ τέρψιν μεγάλην οἴσει, καὶ πρὸς μειζόνων ἐπιχείρησιν τάχα προτρέψει. περὶ δὲ κωμῳδίας, καὶ τῶν αὐτῆς μερῶν ἔτι πολλοὶ πολλὰ παρέδωκαν, ἃ καὶ νῦν ἔχομεν ἐκτυπωθέντα, διὸ πλειόνων ἐν τῷ παρόντι μηδὲν λεκτέον. Ἐκεῖνο μέντοι τῶν κριτικῶν τις ἴσως ἂν εἴποι τοὺς τὰς ἑλληνικὰς κωμῳδίας κατὰ τὴν τῶν Λατίνων παράδοσιν διαιρεῖν ἐπιχειρήσαντας, καινῆς, καὶ παραδόξου διδαχῆς εἰσηγητὰς φαίνεσθαι. καὶ γὰρ οὐ μόνον ἐν δράματος ἑκάστου διαιρέσει, καὶ μέρεσιν, ἀλλὰ καὶ ἐν αὐτῇ τῶν ὀνομάτων δηλώσει παρὰ πάντων τῶν παλαιῶν Ἑλλήνων γνώμην ἀναμφισβητήτως καινοτομῆσαι δοκοῦσιν. ἀλλὰ τούτων κρίσιν τοῖς ἐμπειροτέροις ἐάσω. περὶ δὲ λέξεων, καὶ φωνῶν τινων, αἳ ἐν τοῖς Ἀριστοφάνους παλαιοῖς σχολίοις πολλάκις ἡμῖν ἀπαντώσας, καὶ τὸν τῆς ἀναγνώσεως δρόμον διὰ τὴν ἄγαν αὐτῶν ἀσάφειαν σφόδρα κωλυούσας εὑρίσκομεν, ὡς σαφέστατα, καὶ βραχύτατα δυνήσομαι, λέγειν πειράσομαι. τοῦ δὲ τολμήματος τὸ βάρος, καὶ τοῦ κινδύνου τὸ μέγεθος αἰσθάνομαι. καὶ γὰρ εἰς τοῦτον ἀλαζονείας, μᾶλλον δὲ φρενοβλαβείας οὐ προῆλθον, ὡς ὑπ' ἐμοῦ τῶν οὔπω δεδηλωμένων (ὑπ' οὐδενὸς γὰρ οὔτε τῶν πάλαι, οὔτε τῶν νῦν ἀνθρώπων οὐδεμίαν περὶ τούτων μνήμην οἶδα πεποιημένην) ἀκριβεστάτην ἑρμηνείαν εὑρεθήσεσθαι νομίζειν. ἀλλὰ τῇ συνεχεῖ τῶν φίλων δεήσει, καὶ τῶν κρειττόνων παρακλήσει συγχωρεῖν ἠναγκάσθην. εἰ τοίνυν τολμηρόν τι, καὶ παρακεκινδυνευμένον, ἢ τῆς δόξης ὑποδεέστερον εἰπεῖν δόξω, τούτου ξυγγνώμην αἰτοῦμαι. τὰς δὲ τῶν ἄλλων ἐξηγήσεις, εἴπερ βεβαιοτέρας, καὶ πιθανωτέρας εἶναι κα-

ταμάθω, μετὰ φιλομαθοῦς προθυμίας ἄσμενος ἀκούσω, καὶ σὲ ἄριστα φρονοῦντας ἐπαινεῖν οὐκ ὀκνήσω. Καιρὸς οὖν ἀκριβῶς ζητεῖν τὰς τῆς εἰσθέσεως, τῆς ἐπεισθέσεως, τῆς ἐκθέσεως, τῆς ἐπεκθέσεως, τῆς παρεκθέσεως, καὶ τῆς ὑποθέσεως σημασίας, ἵνα τούτων ἀλήθειαν, καὶ χρῆσιν ἐκ τῶν ὑπαρχόντων εὑρεῖν, καὶ νοεῖν δυνηθῶμεν. ταῦτα γὰρ ἡμᾶς οὐκ ὀλίγων, οὐδὲ μικρῶν ἀπορημάτων, καὶ δυσχερειῶν ἀπαλλαχθέντας εὐφρανοῦσι. περὶ δὲ τῶν προβλημάτων, ὧν ἐξήγησιν σαφεστέραν ζητοῦμεν, ἐκ τῆς ἐπιτηρήσεως τῶν παλαιῶν Ἀριστοφανείοις σχολίων ὑπ' ἐμοῦ σπουδαίως ἀναγνωσθέντων, τὰ πιθανῶς ἔχειν φαινόμενα δηλώσω· τὸ τῆς εἰσθέσεως ὄνομα τοῖς δράμασιν ἐφαρμοσθὲν, καὶ πρὸς τὴν εἴσοδον, εἴτε ἀρχὴν σημαῖνον εὑρίσκω. ὥσπερ δὲ ἐν τοῖς πεζοῖς τῶν λόγων ἐστὶν ὅτε πλείω προοίμια ἐν διαφόροις τοῦ αὐτοῦ λόγου χωρίοις διὰ τὰς καινὰς καινῶν πραγμάτων ἐξηγήσεις τίθεται, οὕτω καὶ ἐν τῷ αὐτῷ δράματι πλείους εἰσθέσεις ἐν διαφόροις αὐτοῦ μέρεσι κατ' ἀρχὰς ὡς καινὰ καινῶν μελῶν προοίμια ἐν τοῖς σχολίοις τεθείσας εὑρήσεις. ἀλλαχοῦ δὲ τῷ τῆς εἰσθέσεως ὀνόματι δηλοῦται καινόν τι καινῶν ἐπῶν, καὶ στίχων σύστημα, καὶ συνάθροισμα μετὰ τὸ πρῶτον ἐν τῷ αὐτῷ δράματι κείμενον, ὃ τῶν προηγουμένων ἢ συγκατάθεσιν, καὶ βεβαίωσιν, ἢ εἱρμὸν, καὶ συνέχειαν, ἢ ἐπεξήγησιν, ἢ καινοῦ τινος πράγματος καινὴν ἀπόφανσιν ἐπιδείκνυσι. μετὰ δὲ τὴν εἴσθεσιν πολλάκις ἡ ἐπείσθεσις ἐπιφέρεται, ἢ δεύτερόν τι λόγου μέρος τῇ τάξει μόνον (ὡς ἐκ τῆς ἐπὶ προθέσεως, ἐξ ἧς ἡ λέξις σύγκειται) τῆς εἰσθέσεως διαφέρον σημαίνειν δοκεῖ. μετὰ δὲ τὴν ἐπείσθεσιν ἡ ἔκθεσις, μετὰ τὴν ἔκθεσιν ἡ ἐπέκθεσις, μετὰ τὴν ἐπέκθεσιν ἡ παρέκθεσις, μετὰ δὲ τὴν παρέκθεσιν ἡ ὑπόθεσις τὸ πάντων τέλος δηλοῦσα. τούτων δὲ πάντων οὐδεμίαν ἐξήγησιν, οὐδεμίαν χρήσεως μέθοδον, ἀλλὰ πλείστην σύγχυσιν, καὶ κατάχρησιν ἐν πλείστοις τῶν παλαιῶν σχολίων χωρίοις τὰ γραφόμενα σκοπῶν ἴδοις. καὶ γὰρ ἄλλοτε μὲν ἡ ἔκθεσις τῇ εἰσθέσει ταυτὸ δυναμένη φαίνεται. ἄλλοτε δὲ ἡ ἔκθεσις τῇ εἰσθέσει ὡς τὸ τέλος τῇ ἀρχῇ ἀντίκειται. καὶ, εἰ τὰ τῶν ἀντιγράφων καλῶς ἔχει, ἡ ἔκθεσις ἀντὶ τῆς εἰσθέσεως λαμβάνεται, οἷον ἡ τῆς διπλῆς ἔκθεσις. ὃ γὰρ τῆς διπλῆς ἔκθεσις καλεῖται, τοῦτο καὶ τῆς διπλῆς εἴσθεσις πολλάκις συνωνύμως ἔοικε κληθῆναι. εἰ μή τις ἴσως ἔκθεσιν ἐνταῦθα ταυτὸ τῇ πραγμάτων τινῶν ἐξηγήσει δηλοῦν εἴποι, πρὸς ὃν φιλονείκως οὐ διαμαχέσομαι. αὐτὴ δὲ τοῦ τέλους ἀναμφιλέκτως καὶ διαρρήδην λαμβάνεται, ὅπου τὸ τοῦ δράματος τέλος, δράματος ἔκθεσις καλεῖται, ἡ ἔκθεσις τοῦ δράματος, τοῦ δράματος ἐπίλογος καλεῖται, ταυτέστι τὸ τελευταῖον μέρος, ᾧ τὸ δρᾶμα τελειοῦται. ἐπίλογος μὲν ἔστι, καὶ ἔκθεσις, καὶ ὑπόθεσις οὐ μόνον ἐν τῷ τελευταίῳ τοῦ δράματος μέρει, ἀλλὰ καὶ ἐν τοῖς προηγουμένοις ὡς αὐτῶν συμπέρασμα, καὶ τέλος πολλάκις εὑρίσκεται. ὅταν δὲ ἡ ἔκθεσις ἀντὶ τῆς εἰσθέσεως, καὶ ἀρχῆς τινος λαμβάνεται, τότε αὐτῇ ὡς ἀρχῇ, καὶ στρατιώτῃ πρώτην ἔχοντι τάξιν ἡ ἐπέκθεσις οἱονεὶ δευτέρας τάξεως στρατιώτης συλλήπτωρ ἐπιφέρεται ταυτὸ τῷ προηγουμένῳ ποιήσων. καὶ γὰρ ἀμφότερα διάφορον μὲν ὄνομα, καὶ τάξεως ἀξίωμα, δύναμιν δὲ τὴν αὐτὴν ἔχει, ὡς ἐκ τῆς εἰσθέσεως, καὶ τῆς ἐπεισθέσεως τεκμαίρεσθαι δυνάμεθα. ἐὰν δὲ ἡ τῶν πραγμάτων πραγματεία ἑρμηνείας σαφεστέρας χάριν ἔπη, καὶ στίχους πλείους ἀπαιτῇ, ὥστε μακροτέρας ῥήσεως τῷ ποιητῇ δεῖν, ἐπάγεται ἡ παρέκθεσις, οἱονεὶ τῶν λεγομένων παρέκτασις, ἢ τοὺς λόγους παρεκτείνει, καὶ μηκύνει. ὅταν δὲ ἡ γνώμη, καὶ τὸ πᾶν τὴν ἑαυτοῦ τελείωσιν ἔχει, τότε δὴ ἡ ὑπόθεσις, ὡς κατάληξις, καὶ πάντων συμπέρασμα τίθεται. σημείωσαι δὲ τὴν ἔκθεσιν, καὶ τὴν διασκευὴν ἐκ παραλλήλου ἐνίοτε λαμβάνεσθαι, ὅπου τὰ λεγόμενα οὕτως ἔχει, διασκευὴ δὲ, καὶ ἔκθεσις τοῦ δράματος τοιάδε. ὥσπερ δὲ λέγεται ἔκθεσις, ἐπέκθεσις, παρέκθεσις, οὕτω καὶ λεκτέον δοκεῖ εἴσθεσις, ἐπείσθεσις, παρείσθεσις. ἀλλὰ τὸ τῆς παρεισθέσεως ὄνομα (οὗ γ' ἂν μέμνημαι) οὐκ ἐν χρήσει. πολλάκις δὲ ταῦτα τὰ ὀνόματα ἐν παλαιοῖς σχολίοις συντετάρακται, καὶ ἄλλα ἀντ' ἄλλων κακῶς γέγραπται. εἰ δὲ ἡ τούτων σύγχυσις, καὶ τὸ ἄδηλον τοὺς ἐμπειροτάτους ταράσσει, τοὺς ἀπειροτέρους πολὺ μᾶλλον ταράξει, καὶ πρὸς πλείστην ἀμηχανίαν ἀπάξει. τούτων οὕτως ἐχόντων ἰστέον τέσσαρα εἶναι δράματος ἑκάστου κύρια μέρη, εἴτε οὐσιώδη, εἴτε καὶ οὐκ οὐσιώδη. καὶ γὰρ πρὸς τὴν παροῦσαν πραγματείαν ἡ ταύτης τῆς ἀμφισβητήσεως ἀναζήτησις οὐδὲν ποιεῖ. τὸ δὲ πρῶτον, πρόλογος καλεῖται, τὸ μέχρι τῆς εἰσόδου τοῦ χοροῦ. τὸ δεύτερον, χορικὸν, τὸ τοῦ χοροῦ διδόμενον μέλος. τὸ τρίτον, ἐπεισόδιον, τὸ μεταξὺ δύο χορικῶν μελῶν. τὸ τέταρτον, ἔξοδος, τὸ τοῦ χοροῦ ἐπὶ τῷ τέλει λεγόμενον. ἀλλ' ὅμως οὔτε ἡ εἴσθεσις, οὔτε ἡ ἐπείσθεσις, οὔτε τὰ λοιπὰ ἐν τοῖς τοῦ δράματος μέρεσιν ἐξετασία, μᾶλλον δὲ τάξιν τινὰ, καὶ ποιότητα μέρους ἑκάστου σημαίνει. οὐκ ἀεὶ δὲ ταῦτα πάντα ἐν τῷ αὐτῷ δράματι τίθεται. ὥσπερ γὰρ ἔν τισι τῶν Πινδάρου εἰδῶν στροφὰς ἄνευ ἀντιστροφῶν, καὶ στροφὰς, καὶ ἀντιστροφὰς ἄνευ ἐπῳδῶν εὑρίσκομεν, οὕτω καὶ πολλάκις ἐν ἑτέροις μόνον ἐν δράμασιν εἴσθεσιν, ἔκθεσιν, παρέκθεσιν, καὶ ὑπόθεσιν. καὶ τότε κατὰ τὴν τῶν νεωτέρων διαίρεσιν ἡ εἴσθεσις τῷ προλόγῳ, ἡ ἔκθεσις τῇ προτάσει, ἡ παρέκθεσις τῇ ἐπιτάσει. ἡ ὑπόθεσις τῇ καταστροφῇ κατ' ἀναλογίαν τινὰ ἰσοδυναμεῖν δοκεῖ. ὅπερ οὐ παντελῶς ἀπίθανον. ἰστέον δὲ καὶ ταύτας τὰς λέξεις οὐ μόνον γενικῶς ἑκάστας ἑκάστοις τοῦ δράματος προειρημένοις μέρεσι χωρὶς προσαφθείσας ἁρμόζειν, ἀλλὰ καὶ ἐν ἑκάστῳ τῶν τεσσάρων μερῶν, καθάπερ ἐν τοῖς παλαιοῖς σχολίοις πολλάκις ὁρῶμεν, ἑξῆς τεθείσας εὑρίσκεσθαι. καὶ τοῦτο εὔλογον. ἕκαστα γὰρ τοῦ δράματος μέρη χωρισθέντα τὴν ἰδίαν εἴσθεσιν, καὶ πρὸς τὴν εἴσοδον, ὡς τοῦ λόγου ἀρχὴν ἔχει, τὴν ἔκθεσιν, ὡς προχώρησιν, καὶ τῶν γραφομένων

ἐναργ-

ἐναργεστέραν ἐξήγησιν, τὴν παρένθεσιν, ὡς τοῦ λόγου παρέκτασιν, καὶ μείζονος σαφηνείας ἕνεκα μακροτέραν ῥῆσιν, τὴν ὑπόθεσιν δὲ, ὡς τῶν λεγομένων τέλος, εἴτε τῆς ὁλοκλήρου γνώμης ἀποτέλεσμα, καὶ πλήρωμα. Ὅταν δὲ ἡ ἐπίθεσις τῇ εἰσθέσει, καὶ ἡ ἐπέκθεσις τῇ ἐκθέσει προστίθεται, καὶ ταῦτα τοῦ λόγου παρέκτασιν σημαίνειν φασί. ἐν τούτοις δὲ ὅτι πάντων τῶν ἐπῶν, καὶ μέτρων γένος, ὅτι τῶν στίχων ὁ αὐτὸς, καὶ ὡρισμένος τις ἀριθμὸς ἀεὶ τηρεῖται, ἀλλὰ καὶ τὴν τοῦ ποιητοῦ προαίρεσιν τὰ ἔπη, τὰ μέτρα, τὸν ἀριθμὸν, τὴν ποιότητα, καὶ τὰ σχήματα ἐν διαφόροις τοῦ αὐτοῦ δράματος χωρίοις διαφόρως κείμενα καταλάβοις. ἴσως δὲ καὶ ταῦτα πάσαν τῶν δὲ τῶν λέξεων ὀνόματα μηδὲν ἄλλο, ἢ τάξιν, καὶ συνέχειάν τινα τῶν ἐν ἑκάστοις δράμασι γραφομένων βούλεται σημαίνειν, εἴτε τὸ σύμπαν αὐτῶν σῶμα, εἴτε ἕκαστα αὐτῶν μέρη σκοποίης. καὶ ταῦτα μὲν τῶν προειρημένων πολὺ βραχύτερα, ἁπλούστερα, καὶ σαφέστερα φαίνεται, πᾶσαν δὲ δισταγμοῦ καὶ ἀντιφάσεως ἀφορμὴν ἔοικε καθελεῖν. ἀλλ' ἐν τοσαύτῃ πλάνῃ τῶν λεξικογράφων σιωπήσῃ τις καὶ ἡμᾶς σιωπᾶν θαυμάσειεν; ἃ μέντοι ἐκ τῆς ἀκριβοῦς τῶν παλαιῶν σχολίων ἀναγνώσεως, καὶ ἐπιτηρήσεως ἔχω, ταῦτα πᾶσι προστίθημι, καὶ τούτων ἐξετασμὸν, καὶ κρίσιν τοῖς ἐπιεικέσι, καὶ φιλανθρώποις κριταῖς ἑκουσίως ἐπιτρέπω. τοῦ δὲ τῶν ἐμοὶ λεχθέντων βελτίω διδάσκοντος μαθητὴς δὲ γενόμενον ὑπάρχειν οὐκ αἰσχυνοῦμαι. τῶν γὰρ καλῶν εἰμι φιλομαθέστατος.

Ταῦτα μὲν οὖν, ὦ φιλέλληνες, ἅπερ ἐν τοῖς παλαιοῖς Ἀριστοφάνους σχολίοις ἐπιτηρήσας, καὶ συλλογισμοῖς οὐκ ἀπιθάνοις ἀκολουθήσας ἔμαθον, εἰς μέσον προφέρειν, καὶ τοῖς τὰς ἀλλοτρίας φροντίδας οὐκ ἀπαξιοῦσι κοινωνεῖν ἀφθόνως ἠβουλόμην. καὶ γὰρ ἐν πράγμασι χαλεποῖς τὰς ἀπαιτῶ δὲ χάριν ἀμέμπτως ἀρέσκειν ἀδύνατον ἡγοῦμαι. Ἔρρωσθε.

INSIGNI PIETATE, NOBILITATE, ET DOCTRINA ORNATISS. V. D. ODOARDO BISETO, D. de Charlay, D. suo plurimùm obseruando

AEmilius Portus Francisci Porti Cretensis F. S. P.

CVM propter facinus ab illis ausum (nobilissime Vir) qui turris Babylonicę fastigium ad ipsos vsque cœlorum vertices moliri statuerant, vt sui conatus, & audaciæ vix credendæ monumentum posteritati relinquerent, tanta linguarum varietas olim sit orta, quarum cognitio generis humani societatem fouet, ac tuetur, nullus sana mente præditus homines harum discendarum studiosos iure damnarit. Sed vt cæteras quarum maximus est vsus, silentio prætercam, de Gręca tantùm verba faciam. Quis rerum adeò est imperitus, quin hanc omnium scientiarum quasi matrem quandam esse fateatur? Quamuis autem linguæ Græcę plurimos, optimósque scriptores esse constet, quos magna cum laude possumus imitari, si quis tamen Aristophanem, vt eximium Attici lepôris exemplar, cæteris anteponat, à veritatis scopo fortasse non aberrarit. Facundiam enim, & in dicendo suauitatem incredibilem habet. Hęc in multorum animis ingens huius authoris studium excitarunt. Hęc Aristophani multos amatores conciliarunt. Hęc Iohannem illum Antiochenum, summorum Theologorum lumen, qui propter aureum eloquentię flumen, Chrysostomi cognomen obtinuit, ad huius poetæ quotidianam lectionem impulerunt, ex qua maximam tum facundiæ, tum vehementię suę partem in corripiendis vitiis hausisse fertur. Vt Alexander Homeri poema, sic etiam pręstātissimus iste Theologus Aristophanem puluillo subdere solebat, quēadmodum à viris fide dignis memorię proditum. Quare nihil prętet pietatem ab illis factum videtur, qui nunc, vt iuuentutem Gręcarum literarum studiosam iuuarent, eíque ad Atticę eloquentiæ intelligentiam, ac notitiam aditum faciliorem patefacerent, amplissimam grauissimorū errorum in hoc authore per vetustatis inuidiam, & hominum incuriam natorum segetem pro viribus purgare, & obscurissimos quosque locos dilucidius explicare sunt conati. Huius tamen poëtæ scripta, vt suauissimas rosas spinis acutissimis circumseptas, prudenter legere debemus.

Quicquid noſtra literarum ſtudia promouere poteſt, hoc arripiendũ, hoc magna cura ſeruandum. Quicquid ad virtutis amorem nos impellit, hoc ſtrenuè ſectandum. Quicquid verò bonos mores labefactare, & corrumpere videtur, hoc pro virili fugiendum. Quòd ſi quis Ariſtophanem ob multa cùm dicta, tum facta verè flagitioſa, quę priſcum illud dicendi genus comicum redolent, de medio tollendum cenſeat, idem & cęteros omnes tam Gręcos, quàm Latinos ſcriptores eadem de cauſa perdendos eſſe cenſet. Nam, vt Ouidius Triſt. 2. canit,

Ilias ipſa quid eſt niſi turpis adultera, de qua
Inter amatorem pugna, virúmque fuit?
Quid prius eſt illic flamma Chryſeidos? aut quæ
Fecerit iratos rapta puella duces?
Aut quid Odyſſea eſt niſi fœmina propter amorem,
Dum vir abeſt, multis vna petita procis?
Quid niſi Mæonides Venerem, Martemq́; ligatos
Narrat in obſcœno corpora prenſa toro?
Vnde niſi indicio magni ſciremus Homeri,
Hoſpitis igne duas incaluiſſe Deas?
Omne genus ſcripti grauitate Tragœdia vincit,
Hæc quoque materiam ſemper amoris habet.

Et paulò poſt,

Eſt & in obſcœnos deflexa Tragœdia riſus,
Multáque præteriti verba pudoris habet.

Hoc vnum exemplum nobis omnium inſtar erit. hinc facilè coniici poteſt quidnam de cęteris ſit ſentiendum; quid iudicandum. An igitur Homerum, qui ſuorum Heroum, quin etiam Deorum furta, mendacia, periuria, rixas, iracundiam, pugnas, vulnera, venereos amores, adulteria, inceſta, & ſcelera, quę ne honeſtè quidem nominari poſſunt, prolixè deſcripſit, abſolues, vtque poetarum principem laurea coronandum cenſebis, Ariſtophanem verò, qui grauius non peccauit, omnib. ſuffragiis damnabis, eiúſque nomini ſempiternam infamię notam inures? Quodnam fuerit hoc iudicium? quod ius? quę lex? O formidabilem Cenſorum ſeueritatem! Quod ſi ne Homero quidem parcas, quis de reliquis poetis, aut oratoribus, aut hiſtoricis manus iſtorum, & ſuffragia vitabit? Actum de omnibus. nullum enim eorum inuenias, quin multa multorum nefaria ſcelera narret: Omnes igitur cum ſuis ſcriptis perdendi, ne ſcelerum ab impiis perpetratorum narratione piorum mores corrumpant. Hûc enim ſpectat tantę ſeueritatis iudicium. Sed quis quęſo medicam artem dãnandã ac abolendã cenſebit, quia non ſolũ de bonis: ſed de malis etiam pharmacis agit, quibus multi mortaliũ perimuntur? Quis rerum nauticarum ſcientiã de medio tollendã dicet, quòd multi ſæpe cũ ipſis nauibus pereant? Quis artes imperatorias vituperabit, quòd ab Imperatoribus, eorũque militibus multa præter ius, & fas ſæpè fiant? Bona, laudationẽ, mala, vituperationẽ merentur. Vſus, non abuſus habenda ratio. Bona à malis, & mala à bonis ſecernenda, & ſua cuique laus, aut vituperatio tribuenda. Homines, quos nulla religionis, quos nulla pietatis, quos nulla Dei cura tangit, vel optimis quibuſque ſcriptis abutuntur. hi referunt τοὺς κακοχύμους, quibus optimi quiq; cibi nocent: ſed mali culpa non in ciborũ bonitatẽ, verũ in ipſam hominũ καχεξίαν eſt conferenda. Haud tamen vllo modo

probandi qui neglecto numinis diuini cultu totũ vitę tẽpus in profanorũ authorũ scriptis assiduè voluendis,& attentè legẽdis terunt, summáq; voluptatẽ ex horũ lectione capiunt, vt in his quasi pręcipuã beatitudinis humanę partẽ ponere videãtur. Hoc enim pietati vehementer repugnat. Ea tantũ in his obseruanda,& decerpenda, quæ salua pietate nos iuuare possunt. Cętera verò, quę non sine summo flagitio dici, fieríve possunt, detestãda, prorsúsq; damnãda. Verũ ne dubij feramur; ac incerti fluctuemus, sacrosanctam legis ab ipso Deo latæ regulã habemus, ad quã omnes animi cogitationes, omnes corporis actiones, omnia verba dirigamus. Quantũ aũt religio, quantũ pietas, quantũ honestas patitur, quantũ generis humani societas, vtilitásque flagitat, profanis authorib. vtamur, sed omnẽ abusum semper fugiamus. Multa in Aristophane valde dãnãda fateor, multa tamẽ in eodẽ magnã laudẽ merentur. omnẽ dictorũ, omnem factorũ impuritatẽ, ac impietatẽ dãno: sed Atticæ linguæ puritas, elegantia, copia, suauitas, in variarũ vocũ aptissima cõpositione felicitas, multorũ vocabulorũ, rerúmq. ad forũ, ad iudicia, variásque sciẽtias spectantiũ interpretatio cur à me dãnetur? Hic vitiorũ acerrimus est obseruator, ac reprehensor. Hic virorũ, hic mulierũ mores,& ingeniũ suis colorib. insignitũ vt penicillo nobis depingit. Quibus in rebus,& quomodo quisque peccet, quã animaduersionẽ, quas pœnas pro vitiorũ grauitate promereatur, apertè demõstrat,& cũ multis aliis in locis passim, tũ verò pręcipuè in illis, quas Comici παραβάσεις appellãt, modò summos Atheniẽsis Reip Magistratus,& vniuersum populũ, modò singulos ciues carpit, obiurgat, officij sui monet, à vitiis deterret,& ad virtutis studiũ plurib. hortatur. Hæc igitur ipsi laudẽ nõ vulgarẽ cõciliãt Hęc eius comœdias lectione dignas reddũt. Huius ingeniũ, acumẽ, eloquẽtiã, atticismos, flores, suauitatẽ,& in vitiis acriter castigãdis dexteritatẽ sequamur At quicquid pias aures offendit, moresque deteriores facit, id omittamus,& vt rẽ nobis perniciosissimã vitemus, ac detestemur. Quoniã aũt (nobiliss. V.) tuas in hũc authorẽ doctissimas emẽdationes,& cõmentationes ex tuæ bibliothecæ thesauris deprõptas mecũ humaniter cõmunicare nõ es grauatus, ego labores alienos impudẽtiùs mihi vẽdicare,& ex alienis sudorib. vigiliisq. gloriã captare nolui. In hac postrema Aristophanis editione, quæ cęteris omnib. lõgè pręstãtior in lucẽ prodit, tu pulcherrimas quasque tuæ singularis doctrinæ castigationes, meditationes,& ornamenta mihi benignè suppeditasti, pro quibus Aristophanes ipse, si viuã vocẽ nũc assumeret, eas gratias tibi corã ageret, quas viri beneficiorũ acceptorũ nõ immemores illis agere solẽt, qui magnis beneficiis eos ornarunt. Quòd si quid & ego in hac nouissima expeditione cõtra tot grauissimorũ errorũ millia, quæ miserũ Aristophanẽ antè dẽsissimis tenebrarũ copiis obsessũ premebãt,& variis insultibus vexabãt, tuis auspiciis, ductúque feliciter suscepta præstitisse videor, hoc quoque tuũ est. Quare quę tua sunt,& quę tibi debẽtur, ad perpetuã meę erga te obseruãtię memoriã tibi reddenda,& dedicãda cẽsui Hîc nõ meos: sed tuos dulcissimos fœtus agnosces, quos vt eruditionis tuæ germanam sobolem alacriter excipies, amplecteris,& amore paterno prosequeris.

Vale Nobiliss. Vir, méque tuæ Dignitatis obseruantissimum constanter ama.

Datum Lausannæ Cal. Iunij 1589.

AEMILIVS PORTVS

FR. PORTI CRETENSIS F.

CANDIDO LECTORI S.

EN tibi, candide Lector, *αὐτὸς*, imò verò (vt Aristophanico vocabulo ordiar) αὐτότατος ὁ Ἀριστοφάνης, qui dudum sub Aristophanis nomine delituit: hoc est, Aristophanis, quæ nunc extant Comœdiæ, multifariam hactenus & mutilatæ, & deformatæ, summa diligentia instauratæ, & pristino nitori (quantum fieri potuit) restitutæ. Quorum autem opera magnus hic, & propemodum Herculeus labor ad exitum satis felicem fuerit perductus, rem, vt habet, sincerè narrabo. Ante aliquot annos accidit, vt nobilis quidam Gallus qui se (ea fuit viuentis modestia) non fuisset passus nominari, Lausanna iter faciens, vt longiùs progrederetur, ibi dies nonnullos sibi obiter terendos putarit, vt quorundam veterum amicorum precibus, ac votis indulgeret. Eius enim conspectus, & præsentia cùm ob morum suauitatem, ac insignem vitæ probitatem, tum quia nec ἄμουσος, nec ἀπαίδευτος inter doctos habebatur, omnibus longè gratissima erat. Quoniam autem ipsum in primis linguæ Græcæ & amantissimum, & studiosissimum ab omnibus amicis prædicari intellexeram, ego, qui sum φιλέλλην, φιλόμουσος, καὶ φιλομαθὴς, summo desiderio amicitiæ, atque familiaritatis cum tanto viro contrahendæ flagrare cœpi. Quod non admodum difficile fuit, siquidē ambo συμπαθείᾳ quadam affecti bonas literas amore pari prosequebamur. Non multò pòst, cùm in amici cōmunis ædibus vnâ pranderemus, inter familiaria varijs de rebus colloquia, vt est moris, sermo factus est de Poetis Græcis. Tunc ille summis laudibus Aristophanem euehere, tum ob ingenij acumen, & festiuitatem, tùm quòd in eo præcipuè linguæ proprietas, & Atticus lepos vbique eluceret. Addebat illius lectione (qua vel maximum illud Theologorum lumen Iohannem Chrysostomum olim delectatum ferunt) se quoque mirificè delectari, & illius frequenti repetitione multa, quæ in vulgatis exemplaribus deprauata leguntur, emendasse. Multa in antiquis scholijs aut omissa, aut negligentiùs tractata explicasse, ac illustrasse. Quin etiam in duas postremas Comœdias, quæ ad hoc vsque tempus nudæ in lucem prodierant, iustos, & accuratos commentarios ad reliquarum normam iam pridem construxisse. Horum vt fidem faceret Aristophanem à famulo in medium afferri iussit, in cuius margine multa manu annotata, multa diuersis folijs seorsum, & passim, vt tumultuariè inter legendum sese obtulerant, descripta extabant. cùm autem hæc oculis raptim pro temporis exiguitate percurrissem, statim animaduerti iuuentutem linguæ Græcæ studiosam, non paruam vtilitatem, doctiores verò non leuem voluptatem inde percepturos. Illum igitur oraui vt hæc mihi per otium accuratiùs legenda, ac perpendenda permitteret. At is recusare, & negare dignam esse rem, quæ in hominum conspectum veniret; quòd hæc, dum esset iunior, animi gratia, vtque Aristophanem sibi familiariorem, ac notiorem redderet, sibi soli ceu quoddam Atticæ linguæ penum parasset. Scopas esse dissolutas, aliquando fortassè meliùs colligandas, ac proinde intra bibliothecæ claustra continendas. Multa alia huiusmodi afferebat. Tandem tamen meæ, & amicorum, qui tum aderant, sententiæ, precibúsque cedens, Imò, inquit, mi Porte, fac vt lubet;

Quicquid id est, hoc tuo arbitrio, & censuræ committo. Si ex his leuioribus magis aliquid in commune literatorum commodum putas accessurum, tibique tantum superest otij, ut tua lima expolire, & exornare, atque adeò inchoatum opus absoluere & velis, & possis, esto, per me licet, in lucem etiam hæc, qualiacunque tandem futura sunt, emittas, ea tamen lege, ut nomini parcas. Nunc enim ita comparatum videmus hominum ingenium, ut horum plerique habita personæ, non rei ipsius ratione, non quid dicatur, aut fiat: sed à quo dictum, aut factum sit, spectantes, beneuoli, aut maleuoli potius, quàm synceri, & veri scriptorum sint iudices, ac censores. Quid multis opus? Accepta ego conditione domum reuersus operi manum admouere cœpi, diligentiùs singula perpendens, & in ordinem redigens. Hoc certè ingenuè fatebor me in his Aristophanicis obseruationibus sexcentos locos, qui antè aut deprauati, aut minùs perspicui erant, summo cum Iudicio, & incredibili dexteritate, ac felicitate correctos inuenisse. Si quid tamen hìc deesse videbatur (ut certè non pauca deerant) id ego pro virili addere, & opus Marte meo perfectius reddere sum conatus, ut res ipsa fidem apertè faciet. Quamobrem illud ausim non arroganter asseuerare nullos, aut perpaucos remansisse intactos, nisi si qui fortè Oedipo coniectore indigeant.

Porrò quid in hac editione tibi nunc exhibeatur, accipe. Primum poetæ textus innumeris in locis fideliter, & religiosè emendatus, quod & in ipsis antiquis scholiis accuratè factum comperies. Quicquid transpositum erat, id in suas sedes denuò reductum. Quicquid omissum, aut obscurius declaratum, hoc additum, & dilucidiùs explicatum, & asterisco notatum, ut a scholiis iam vulgatis discerneretur. Interpunctiones suo loco non collocatæ, quæ sensum plerumque peruertebant, vbique restitutæ; omnis vocum κακοχεφία *sublata. Personarum interloquentium multis in locis nomina transposita, & perturbata, in suas sedes reducta. Postremæ duæ Comœdiæ ab initio ad finem vsque nouis, ac amplis commentariis illustratæ. Qua in re cùm alios multos, tum verò præcipuè Suidam, Hesychium, Eustathium, Iulium Pollucem, Stephanum* περὶ πόλεων, τὸ μέγα Ετυμολογικὸν, *Sophoclis, Aeschyli, Euripidis græcos commentatores, Strabonem, Athenæum, & Pausaniam, prout vnusquisque aliquid ad rem præsentem dicere videbatur, maxima fide, & diligentia sumus sequuti. Quicquid ex horum scriptis depromi non potuit, hoc ipsum nos firmißimis iudicij coniecturis nixi, sensus, & mentis poetæ ratione habita, pro virili suppeditauimus. Quoniam verò Comœdiarum partitiones à Latinis receptæ sub his nominibus, Actus primus, scena prima, & deinceps, in nullo græco exemplari reperiuntur: sed integræ Comœdiæ sine illa huiusmodi distinctionis nota manifesta descriptæ leguntur, quod maximam obscuritatem, ac anxietatem lectori parit, operæpretium nos facturos duximus, si relictis vocabulis, ne quid peregrini in Græciam inuehere videremur, rem ipsam simpliciter aperiremus. Id autem hoc modo commodè fieri posse visum est. Ante omnia statim post cuiusque Comœdiæ argumentum collocata est accuratior, quàm priùs, personarum descriptio, idque eo ordine, quo in scenam prodeunt. In toto Comœdiæ contextu, quoties occurrit personarum aut mutatio, aut accesßio, aut quoties noua materia tractari incipit, prima primi versus vox maiusculo charactere notatur, & in ipsa fronte ipsorum interlocutorum nomina præfiguntur, ut & à Latinis factitatum videmus. In scholiis verò ante vocum interpretationem ponitur breue aliquod argumentum, quod rerum, quæ ibi continentur, summa capita declarat, quod maximam poetæ lucem affert, & lectorem ad eius lectionem magis allicit. Sic enim facetiæ, & Attici illi lepores, & sales, qui priùs in Aristophane delitescebant, meliùs agnoscuntur. Illud etiam silentio minimè prætereundum, versus omnes diligenter examinatos, & quos potuimus sine sensus, & constructionis iactura, leuißima vulgatæ lectionis mutatione facta, ad legis metricæ regulas sincerè reuocatos: horum enim plurimi*

antè

antè claudicabant, syllaba, aut etiam pede integro breuiores, vel longiores: Quod vt plurimum accidisse videbatur vel propter articuli necessarij, aut particularum indeclinabilium (quales sunt ἂν, αὖ, γε, & aliæ huiusmodi) prætermissionem, aut propter earundem superfluam additionem. Item propter adiectionem, aut detractionem literæ ν. quæ nominum, & participiorum datiuis pluralibus addi solet, vt ἀνδράσιν, pro ἀνδράσι, & contrà, &, τύπτουσιν, pro τύπτουσι, & contrà, & verborum tertijs personis pluralis numeri, vt λέγουσιν, pro λέγουσι, & contrà. Hinc fiebat vt metri structura corrũperetur, dum pes ex huiusmodi syllaba & sequente confectus suis temporibus careret, ac in locum Iambi succederet, trochæus aut spondæus, aut alius pes metro contrarius, præter ipsius poetæ mentem, qui alioqui metricæ rationis & peritissimus, & obseruantissimus ab omnibus censetur. Erat & alius frequens error, quem typographorum incuria in ipsum poetæ textum irrepere passa fuerat, quum videlicet duarum syllabarum κῶλα, vt αἰβοῖ, vt οἴμοι, vt ἰὼ, aut μορμορύξα, vt ἰὼ, ἰὼ, & similia, quæ separata linea scribenda erant, perperam cum sequenti versu confundebantur, aut præcedenti annectebantur. In strophis etiam, & antistrophis, quæ breuioribus versibus constare solent, sæpe duo versus in vnum coaluerant, & contrà vnus in duos perperam resolutus erat. Nonnulla etiam in ipso poetæ textu scholiorum lectionem sequuti, correximus. Multa etiam, præcipuè verò in extremis Comœdijs sunt emendata, quæ à variarum dialectorum imperitis hominibus non correcta: sed deprauata videri potuissent. Videndum enim erat, & attentè perpendendum quinam essent qui loquebantur. Nam plerunque Thessalus, aut Lacon, aut Acharnensis, aut Atheniensis, aut Bœotus, vrbanus, aut rusticus, doctus, aut indoctus, vir, aut mulier, dominus, aut seruus aliquis in scenam introducitur, qui pro varia personæ, sexus, fortunæ, regionis, vrbis, locique conditione, vario etiam vtitur sermone, quod Aristophanes consultò voluit obseruare, vt vni cuique, quod suum est, attribueret, atque τὸ πρέπον seruaret, & si quid præter decorum, & eruditum loquendi genus afferretur, risum inde captaret, quod Comici sibi potissimum proponunt. In nonnullis etiam Comœdiis argumenta, quæ versibus conscripta fuerant, & tamen perpetua linearum serie non aliter ac oratio soluta legebantur, rursus distincta sunt, & ad pristinos legis metricæ numeros reuocata. Idem etiam factum in variis variorum poetarum versibus, qui sparsim in vetustis scholiis ita erant scripti, & confusi, vt non versus, at oratio soluta viderentur. Item nonnullæ historiæ ex diuersis authoribus allatæ, & tamen corruptæ, ex ipsis archetypis sunt restitutæ. Hæc sunt, candide lector, quæ in hac nouissima huius poetæ editione præstitimus. Quòd si quis verbis nostris fidem habere nolit, hanc saltem cum cæteris omnibus conferre ne grauetur. Tunc enim longè plura, quàm quæ à nobis sunt dicta, reapse reperiet. Interea verò hæc, qualiacunque sunt, æqui, boníque consule, & iis, qui tantum laborem vtilitatis publicæ causa non sine graui molestia tolerarunt, gratus gratiam habe. Vale.

ΕΚ ΤΟΥ ΕΓΧΕΙΡΙΔΙΟΥ ΗΦΑΙΣΤΙΩΝΟΣ, ΕΠΙΤΟΜΗ ΤΩΝ ΕΝΝΕΑ ΜΕΤΡΩΝ.

Τὸ ἰαμβικὸν μέτρον δέχεται κατὰ μὲν τὰς περιττὰς χώρας, τουτέστι πρώτην, τρίτην, πέμπτην, ἴαμβον, τρίβραχυν, σπονδεῖον, δάκτυλον, ἀνάπαιστον. κατὰ δὲ τὰς ἀρτίους, τουτέστι δευτέραν, τετάρτην, ἕκτην ἴαμβον, καὶ τρίβραχυν καὶ ἀνάπαιστον. τοῦτο δὲ παρὰ τοῖς κωμικοῖς συνεχῶς. παρὰ δὲ τοῖς ἰαμβοποιοῖς καὶ τραγικοῖς σπανιώτερον. ὅτι μὲν οὖν ἀκατάληκτόν ἐστιν, ἐπὶ τῆς τελευταίας τὸν ἴαμβον δέχεται μόνον. ἢ πυῤῥίχιον διὰ τὴν ἀδιάφορον. ὅτι δὲ καταληκτικόν, τὸν ἴαμβον παραλήγοντα. ἢ σπανίως τρίβραχυν. ὥστε γίνεσθαι τὴν κατακλεῖδα ἤτοι ἀμφίβραχυν, ἢ βακχεῖον. Τὸ τροχαϊκὸν, κατὰ μὲν τὰς περιττὰς χώρας δέχεται τροχαῖον, τρίβραχυν, ἴαμβον, καὶ δάκτυλον, κατὰ δὲ τὰς ἀρτίους, τούτους τε καὶ σπονδεῖον, καὶ ἀνάπαιστον. καταληκτικὸν δὲ ὅτε ἐστὶ, τὸν παραλήγοντα μὲν τροχαῖον δέχεται. ἔστι δ᾽ ὅτε καὶ τρίβραχυν. ἐὰν δὲ ᾖ βραχυκατάληκτον, οὐ βούλεται τὸν παραλήγοντα τετράχρονον ἔχειν. Τὸ δακτυλικὸν δέχεται δακτύλους καὶ σπονδείους κατὰ πᾶσαν χώραν, πλὴν τῆς τελευταίας. ἐπὶ ταύτης δὲ εἰ μὲν καταληκτικὸν εἴη, δάκτυλον ἕξει, ἢ διὰ τὴν ἀδιάφορον κρητικόν. εἰ δὲ καταληκτικὸν, τὰ ἀπ᾽ αὐτοῦ μεμειωμένα, ἤτοι συλλαβῇ, ἢ δύο συλλαβαῖς. καὶ τὸ μὲν, καλεῖται καταληκτικὸν εἰς συλλαβὴν, τὸ δὲ, καταληκτικὸν εἰς δισύλλαβον. τὰ δὲ Αἰολικὰ καλούμενα, τὸν μὲν πρῶτον ἔχει πάντως ἕνα τῶν δισυλλάβων ἀδιάφορον. ἤτοι σπονδεῖον ἢ ἴαμβον. ἢ τροχαῖον ἢ πυῤῥίχιον. τοὺς δὲ ἐν μέσῳ δακτύλους πάντας. ἔστι δέ τινα καὶ λογαοιδικὰ καλούμενα δακτυλικὰ, ἅπερ ἐν μὲν ταῖς ἄλλαις χώραις, δακτύλους ἔχει. τελευταίαν δὲ τροχαϊκὴν συζυγίαν. ἰστέον ὅτι τὰ μὲν ἄνω εἰρημένα, κατὰ συζυγίαν μετρεῖται, τοῦτο δὲ μόνον, κατὰ μονοποδίαν. Τὸ ἀναπαιστικὸν κατὰ πᾶσαν χώραν δέχεται σπονδεῖον, καὶ ἀνάπαιστον. σπανίως δὲ καὶ προκελευσματικόν. παρὰ δὲ τοῖς δραματοποιοῖς, ἴαμβον καὶ δάκτυλον. εἰσὶ δὲ αὐτοῦ αἱ ἀποθέσεις ἕξ, κατὰ συζυγίαν διαιρούμεναι. ὑπερκατάληκτον εἰς δισύλλαβον. ὑπερκαταληκτικὸν εἰς συλλαβὴν, ἀκατάληκτον. καταληκτικὸν εἰς δισύλλαβον. κατάληκτον εἰς συλλαβὴν, βραχυκατάληκτον. ὥσπερ δὲ ἐν τῷ δακτυλικῷ ἦν τι λογαοιδικὸν, οὕτω καὶ τοῖς ἀναπαιστικοῖς τὸ εἰς βακχεῖον περαιούμενον. οὗ ἐστιν ἐπισημότατον, τὸ μετὰ τέσσαρας πόδας, ἀντ᾽ ἔχον τὸν βακχεῖον. ὧν ὁ πρῶτος γίνεται καὶ σπονδεῖος καὶ ἴαμβος.

Τὸ χοριαμβικὸν, συντίθεται μὲν καὶ καθαρόν, συντίθεται δὲ καὶ ἐπίμικτον πρὸς τὰς ἰαμβικάς. ὡς ἐπίπαν δὲ, ὅτε καταληκτικόν ἐστιν, εἰς τὴν ἰαμβικὴν κατακλεῖδα περαιοῦται. τουτέστιν εἰς ἀμφίβραχυν, ἢ βακχεῖον διὰ τὴν ἀδιάφορον. περαιοῦται μὲν γὰρ καὶ εἰς τὴν ἰδίαν τὸν δάκτυλον ἢ κρητικόν. ἀλλὰ τῷ ταῦτα συνεχέστερα εἶναι, ἀπρεπέστερά εἰσιν.

Τὸ ἀντισπαστικὸν, τὴν μὲν πρώτην συζυγίαν ἔχει τρεπομένην κατὰ τὸν πρότερον πόδα, εἰς τὰ τέσσαρα τοῦ δισυλλάβου σχήματα. τὰς δ᾽ ἐν μέσῳ καθαρὰς ἀντισπαστικάς. τὴν δὲ τελευταίαν ὁπότε ἐστὶν ἀκατάληκτον, ἰαμβικήν. ἐὰν δὲ ἀναμίσγηται ταῖς ἰαμβικαῖς, οὐ μόνον τὴν πρώτην συζυγίαν ἔχει, τρεπομένην κατὰ τὸν πρότερον πόδα, ἀλλὰ καὶ τὴν τῆς ἰαμβικῆς ἑπομένην. ἔστι δὲ ὅτε καὶ λύεται ὁ πρότερος ποὺς εἰς τρίβραχυν.

Τὸ ἀπὸ μείζονος ἰωνικὸν, συντίθεται μὲν καὶ καθαρόν. συντίθεται δὲ καὶ πρὸς τὰς τροχαϊκὰς ἐπίμικτον. ὅτε μέντοι ἀκατάληκτόν ἐστι καθόλου, σπανίως εἰς τὴν ἰωνικὴν περαιοῦται, διὰ τὸ ἀπρεπῆ εἶναι τὴν ἰωνικὴν ἐπὶ τέλους οὖσαν.

Τὸ ἀπ᾽ ἐλάσσονος ἰωνικὸν, συντίθεται μὲν καὶ καθαρόν. συντίθεται δὲ καὶ ἐπίμικτον, πρὸς τὰς τροχαϊκὰς διποδίας, οὕτως, ὥστε τὴν πρὸ τῆς τροχαϊκῆς ἀεὶ γίνεσθαι πεντάσημον. τουτέστι τρίτην παιωνικήν. καὶ τὴν τροχαϊκὴν, ὁπόταν προτάττοιτο τῆς ἰωνικῆς, γίνεσθαι ἑπτάσημον τροχαϊκήν. τὸν καλούμενον δεύτερον ἐπίτριτον. ἰστέον ὅτι δὲ, ἡ μὲν τρίτη παιωνικὴ συναιρεῖται εἰς παλιμβάκχειον. τῆς δὲ ἐπιφερομένης τροχαϊκῆς ὁ πρότερος λύεται εἰς τρίβραχυν. ἐμπίπτουσι δὲ καὶ οἱ μολοττοὶ ἐπὶ τῶν περιττῶν χωρῶν, ἐν τοῖς ἀπ᾽ ἐλάττονος ἰωνικοῖς. ὥσπερ ἐν τοῖς ἀπὸ μείζονος ἐπὶ τῶν ἀρτίων. Τὸ δὲ παιωνικὸν, εἴδη μὲν ἔχει τρία. τό τε κρητικὸν, τὸ βακχειακὸν, καὶ τὸ παλιμβακχειακόν.

ὃ καὶ

σ' καὶ ἀνεπιτήδειόν ἐστι πρὸς μελοποιίας. τὸ δὲ κρητικόν, ἐπιτήδειον. δέχεται δὲ καὶ λύσεις, τὰς εἰς τοὺς κεκλημένους παίωνας, καλεῖται δὲ καὶ ὑπὸ αὐτῶν τῶν ποιητῶν, κρητικόν. Τοσαῦτα περὶ τῶν ἐννέα μέτρων τῶν μονοειδῶν καὶ ὁμοιοειδῶν. παντὸς δὲ μέτρου ἀδιάφορός ἐστιν ἡ τελευταία συλλαβή. ὥστε δύνασθαι εἶναι αὐτὴν καὶ βραχεῖαν καὶ μακράν. καὶ πᾶν δὲ μέτρον εἰς τελείαν περατοῦται λέξιν. ὅθεν ἐπίληπτά ἐστι τὰ μὴ οὕτως ἔχοντα.

Δημητρίου τοῦ Τρικλινίου.

Ἰστέον ὅτι πάντα τὰ μέτρα πλὴν τοῦ δακτυλικοῦ, κατὰ διποδίαν μετρεῖται καὶ ἄρχεται μέχρι τοῦ πενταμέτρου. ἔστι δὴ μονόμετρον τὸ ἔχον πόδας β. δίμετρον τὸ ἔχον πόδας δ. τρίμετρον τὸ ἔχον ϛ. τετράμετρον τὸ ἔχον η. πεντάμετρον τὸ ἔχον ι. καὶ περαιτέρω οὐ πρόεισι. παντὸς δὲ μέτρου, πλὴν τοῦ δακτυλικοῦ ἀποθέσεις ἤτοι καταλήξεις εἰσὶ τέσσαρες. βραχυκατάληκτον. καταληκτικόν. ἀκατάληκτον. καὶ ὑπερκατάληκτον. καὶ βραχυκατάληκτον μέν ἐστιν ὡς ἐν παραδείγματι ἐπὶ τοῦ μονομέτρου εἰπεῖν, ὅπερ ποδὸς ὅλου δεῖται πρὸς ἀπαρτισμόν. οἷον, τὸ φεῦ φεῦ. ἢ τὸ ἰὼ ἢ τὸ ἔα. ταῦτα γὰρ μονόμετρά ἐστι βραχυκατάληκτα διὰ τὸ ἔχειν μὲν τὸν ἕνα πόδα. τοῦ ἑτέρου δὲ λείπεσθαι. καταληκτικὸν δέ, τὸ δεόμενον μιᾶς συλλαβῆς πρὸς ἀπαρτισμόν. οἷον. τὸ ἰώ μοι ἢ τὸ ὤμοι μοι. ταῦτα γὰρ μονόμετρά ἐστι καταληκτικὰ διὰ τὸ ἔχειν ὅλον πόδα καὶ μίαν συλλαβήν. ἤτοι ἥμισυ ποδός. λείπεσθαι δὲ μιᾶς συλλαβῆς πρὸς ἀπαρτισμόν. ἀκατάληκτον δὲ ὅπερ ἀπηρτισμένους ἔχει τοὺς πόδας. οἷον, τὸ ἰὼ ἰώ. ἢ τὸ ἰὼ ἰὼ ἢ τὸ φεῦ φεῦ ἰώ. ταῦτα γὰρ μονόμετρά ἐστιν ἀκατάληκτα. διὰ τὸ ἀπηρτισμένους ἔχειν τοὺς πόδας, καὶ μὴ ἐλλιπεῖς ὡς τὰ εἰρημένα. ὑπερκατάληκτον δέ, τὸ ἔχον ἀπηρτισμένους τοὺς πόδας. ἔχον δὲ καὶ συλλαβὴν μίαν πλείονα. εἴρηται δὲ πλὴν τοῦ δακτυλικοῦ, ὅτι τοῦτο μόνον κατὰ μονοποδίαν μετρεῖται. διὰ τὸ εἶναι τοὺς πόδας τρισυλλάβους. ὅτε μὲν οὖν ἀπηρτισμένους ἔχει τοὺς πόδας, λέγεται ἀκατάληκτον. ὅτε δὲ πλείονα συλλαβὴν ἔχει, λέγεται καταληκτικὸν εἰς συλλαβήν. ὅτε δὲ δύο, καταληκτικὸν εἰς δισύλλαβον. οὐκ ἔχει γὰρ ἐν τούτῳ χώραν τὸ βραχυκατάληκτον. ἢ τὸ ὑπερκατάληκτον. ὡς οἱ μετρικοί φασι. ταῦτα καὶ ἐπὶ διμέτρου καὶ τριμέτρου, καὶ τῶν λοιπῶν συμβαίνει τὰ πάθη.

Τοῦ αὐτοῦ περὶ σημείων τῆς κοινῆς συλλαβῆς τῶν ἐντὸς κειμένων τοῦ βιβλίου.

Ἐπειδήπερ οἱ πάλαι τὰ περὶ γραμματικῆς συνταξάμενοι, σημεῖά τινα σοφῶς ἐπινοήσαντες παραδεδώκασιν. ἐξ ὧν τήν τε δύναμιν καὶ τὴν ὡς ἂν εἴποι τις ποιότητα τῶν συλλαβῶν καὶ τὴν προφορὰν διαγινώσκειν ἔχοιμεν. συλλαβῶν δέ μοι καὶ οὐ στοιχείων εἴρηται, ἐπειδὴ τὰ μὲν στοιχεῖα καθ' αὑτὰ κείμενα. οὐδεμιᾶς τινὸς μετέχει δυνάμεως. συλληφθέντα δὲ καὶ οἷον ἑνωθέντα πρὸς ἄλληλα καὶ τὰς συλλαβὰς ἀποτελέσαντα, δυνάμεις τέ τινας καὶ ποιότητας ἔχει. ἐπενόησαν δὲ ἄλλα τε σημεῖα. τόνους φημὶ καὶ πνεύματα καὶ τὰ λοιπά. ἃ δὴ καὶ προσῳδίας ὠνόμασαν. ὡς πρὸς τὴν ᾠδὴν καὶ τὴν ἐκφώνησιν τῶν συλλαβῶν συντείνουσας. πρὸς τούτοις δὲ καὶ μακρᾶς μὲν σημεῖον τοδί. -- τῆς δὲ βραχείας τουτί. ˘ τῆς δὲ κοινῆς οὐδαμῶς. ἐκείνων γὰρ καὶ ἔργοις ἔθεντο. ταύτης δὲ οὐ καὶ τὰς αἰτίας αὐτοὶ λέγουσιν, ἐπενοήθη ἐμοί γε τῆς κοινῆς σημεῖον διὰ τὴν τῶν πολλῶν πλάνην, καὶ οἶμαι καλὸν ἂν δόξαι τοῖς εὖ φρονοῦσιν. ἐπενοήθη δὲ διπλοῦν τὸ σημεῖον. διὰ τὸ διπλῆν τινα καὶ ταύτην ἔχειν τὴν δύναμιν. ὅτε μὲν οὖν ἀντὶ βραχείας ὀφείλει λαμβάνεσθαι, σημεῖον ἐπενοήθη τοδί. L. μακρὰ δηλονότι κατ' ἀρχὰς ἄνω βλέποντα τοῦ ἰῶτα στοιχείου σημεῖον ἔχουσα. ὅτε δ' ἀντὶ μακρᾶς, τοῦτο ἀντεστραμμένον οὑτωσί. ˥. μακρὰ δηλονότι ἐν τῷ τέλει κάτω νεῦον τὸ τοῦ ἰῶτα σημεῖον ἔχουσα. βέλτιον γὰρ ταῦτα τιθέναι, καὶ διαγινώσκειν ποία ἐστὶν ἡ κοινή, ἢ πλανωμένους τινὰς τὸ ποιεῖν, γράφειν ποιεῖν ἀμαθῶς. καὶ φύσει βραχὺ φωνῆεν. ἔχον δὲ ἐπαγόμενα δύο σύμφωνα, ὧν τὸ δεύτερον ἀμετάβολον, ἀεὶ ἀντὶ μακροῦ λαμβάνειν. ἢ καὶ τὸ φύσει βραχὺ φωνῆεν ὅταν εἰς μέρος λόγου καταλήξῃ, τὴν μακρὰν ἐπιτιθέντας, ἀντὶ μακροῦ λαμβάνειν. ἄτοπον γὰρ οἶμαι τοῦτό γε. ταῦτα μοι πρὸς τοὺς συνετοὺς εἴρηται, καὶ τῶν μέτρων ἔχοντας πεῖραν. εἰ δέ τινες ὑπ' ἀμαθίας μεμφόμενοι. βραχὺς τούτων λόγος. οὐδὲ γὰρ οὐδ' οἱ πάλαι τὰ κάλλιστ' ἐπινενοηκότες, ταῦτα τοῖς τοιούτοις ἐκδεδώκασιν. ἀλλὰ τοῖς συνετοῖς, βραχὺν λόγον τῶν μὴ συνετῶν ἔχοντες. ὡς καὶ πού τις ἔφη ἀείσω ξυνετοῖσι, θύρας δ' ἐπίθεσθε βέβηλοι. ἐγὼ δὲ καὶ ἀδικεῖν ἂν ᾤμην τοὺς συνετούς, ὅς ἂν ἐπινοήσας σοφόν τι, τοῦτο λήθης βυθοῖς κατακρύψειε, δεδιὼς ἴσως τὴν ἐκ τῶν ἀσυνέτων μέμψιν. οὐ μὴν καὶ αὐτὸς ἀδικεῖν δόξω τοὺς συνετούς, τὸ ἐπιτήδειόν μοι κατὰ νοῦν τούτοις προσέθηκα. οἱ δ' ἂν εἰδεῖεν, εἰ καλῶς ἔχει ἢ μή. ἐπεὶ καὶ ἅμα περὶ τῶν χορικῶν μελῶν καὶ τῶν ἄλλων τῶν ἐν τοῖς δράμασι φερομένων εἰδῶν ἐπινενόηταί τινι καὶ ἀπορρήτῳ ἐμοὶ σπουδῇ, πλεῖστα πονησαμένῳ περί τε τούτων καὶ τῶν ἐν αὐτοῖς μέτρων, καὶ ταῦτ' ἐν τοῖς δράμασιν ἐξετέθη. ὡς ἂν οἱ ἐντυγχάνοντες ἔχοιεν διαγινώσκειν, τάς τε στροφὰς καὶ ἀντιστροφὰς τῶν μελῶν καὶ τὰς ἐπῳδούς, καὶ τίνος ἐστὶν εἴδους καὶ μέτρου τῶν κώλων ἕκαστον. καὶ μὴ μάτην τὰ τῶν χορῶν ὁρᾶν μέλη τοῖς ὀφθαλμοῖς

μηδὲν δὲ τούτων εἰδέναι, ὥσπερ τινὲς μὴ γραμμάτων ἔχοντες πεῖραν, καὶ βιβλίον ἀνὰ χεῖρας ἀνειλημμένοι, βλέπουσι μὲν τύπους γραμμάτων, οὐδὲν δὲ τῶν ἐγκειμένων ἴσασιν.

Ἐκ τῶν Πλατωνίου, περὶ διαφορᾶς κωμῳδιῶν.

Καλὸν ἐπισημήνασθαι τὰς αἰτίας, δι' ἃς ἡ μὲν ἀρχαία κωμῳδία ἴδιόν τινα τύπον ἔχει, ἡ δὲ μέση, διαφορά ἐστι πρὸς ταύτην. ἐπὶ τῶν Ἀριστοφάνους καὶ Κρατίνου καὶ Εὐπόλιδος χρόνων, τὸ τῆς δημοκρατίας ἐκράτει παρὰ Ἀθηναίοις. καὶ τὴν ἐξουσίαν σύμπασαν ὁ δῆμος εἶχεν. αὐτὸς αὐτοκράτωρ καὶ κύριος τῶν πολιτικῶν πραγμάτων ὑπάρχων. τῆς ἰσηγορίας οὖν πάσης ὑπαρχούσης, ἄδειαν οἱ τὰς κωμῳδίας συγγράφοντες εἶχον τοῦ σκώπτειν καὶ στρατηγοὺς καὶ δικαστὰς τοὺς κακῶς δικάζοντας. καὶ τῶν πολιτῶν τινάς, ἢ φιλαργύρους, ἢ συζῶντας ἀσελγείᾳ. ὁ γὰρ δῆμος ὡς εἶπον, ἐξῄρει τὸν φόβον τῶν κωμῳδούντων, φιλοτίμως τῶν τοὺς τοιούτους βλασφημούντων ἀκούων. ἴσμεν γὰρ ὡς αὐτίκα φύσει τοῖς πλουσίοις ἐξ ἀρχῆς ὁ δῆμος καὶ τῆς δυσπραγίας αὐτῶν ἥδεται. ἐπὶ τοίνυν τῆς Ἀριστοφάνους καὶ Κρατίνου καὶ Εὐπόλιδος κωμῳδίας, ἀφόρητοί τινες κατὰ τῶν ἁμαρτανόντων ἦσαν οἱ ποιηταί. λοιπὸν δὲ τῆς δημοκρατίας ὑποχωρούσης ὑπὸ τῆς κατὰ τὰς Ἀθήνας τυραννούντων, καὶ καθισταμένης ὀλιγαρχίας καὶ μεταπιπτούσης τῆς ἐξουσίας τοῦ δήμου εἰς ὀλίγους, καὶ κρατυνομένης τῆς ὀλιγαρχίας, ἐνέπιπτε τοῖς ποιηταῖς φόβος. οὐ γὰρ ἦν τινα προφανῶς σκώπτειν, δίκας ἀπαιτούντων τῶν ὑβριζομένων παρὰ τῶν ποιητῶν. ἴσμεν γοῦν τὸν Εὔπολιν, ἐπὶ τῷ διδάξαι τοὺς Βάπτας, ἀποπνιγέντα εἰς τὴν θάλασσαν ὑπ' ἐκείνων, εἰς οὓς καθῆκε τοὺς Βάπτας. καὶ διὰ τοῦτο ὀκνηρότεροι πρὸς τὰ σκώμματα ἐγένοντο, καὶ ἐπέλιπον οἱ χορηγοί. οὐ γὰρ ἔτι προθυμίαν εἶχον οἱ Ἀθηναῖοι τοῦ χορηγοὺς τοὺς τὰς δαπάνας τοῖς χορευταῖς παρέχοντας χειροτονεῖν. τὸν γοῦν Αἰολοσίκωνα Ἀριστοφάνης ἐδίδαξεν, ὃς οὐκ ἔχει τὰ χορικὰ μέλη. τῶν γὰρ χορευτῶν μὴ χειροτονουμένων, καὶ τῶν χορηγῶν οὐκ ἐχόντων τὰς τροφάς, ὑπεξῃρέθη τῆς κωμῳδίας τὰ χορικὰ μέλη. καὶ τῶν ὑποθέσεων ὁ τρόπος μετεβλήθη. σκοποῦ γὰρ ὄντος τῇ ἀρχαίᾳ κωμῳδίᾳ τοῦ σκώπτειν δήμους καὶ δικαστὰς καὶ στρατηγούς, παρεὶς ὁ Ἀριστοφάνης τοῦ συνήθως ἀποσκῶψαι διὰ τὸν πολὺν φόβον, Αἴολον τὸ δρᾶμα τὸ γραφὲν τοῖς τραγῳδοῖς ὡς κακῶς ἔχον διασύρει. τοιοῦτος οὖν ἐστιν ὁ τῆς μέσης κωμῳδίας τύπος, οἷός ἐστιν ὁ Αἰολοσίκων Ἀριστοφάνους, καὶ οἱ Ὀδυσσεῖς Κρατίνου, καὶ πλεῖστα τῶν παλαιῶν δραμάτων, οὔτε χορικὰ οὔτε παραβάσεις ἔχοντα. παράβασις δέ ἐστι τὸ τοιοῦτο. μετὰ τὸ τοὺς ὑποκριτὰς τοῦ πρώτου μέρους πληρωθέντος ἀπὸ τῆς σκηνῆς ἀναχωρῆσαι, ὡς ἂν μὴ τὸ θέατρον ἦ καὶ ὁ δῆμος ἀργῶς καθέζηται, ὁ χορὸς οὐκ ἔχων πρὸς τοὺς ὑποκριτὰς διαλέγεσθαι ἀπόστροφον ἐποιεῖτο πρὸς τὸν δῆμον. κατὰ δὲ τὴν ἀπόστροφον ἐκείνην οἱ ποιηταὶ διὰ τοῦ χοροῦ ἢ ὑπὲρ ἑαυτῶν ἀπελογοῦντο, ἢ περὶ δημοσίων πραγμάτων εἰσηγοῦντο. ἡ δὲ παράβασις ἐπληροῦτο ὑπὸ μὲν ᾠδῆς καὶ κομματίου καὶ στροφῆς, καὶ ἀντιστρόφου, καὶ ἐπιρρήματος καὶ ἀντεπιρρήματος καὶ ἀναπαίστων. τὰ μὲν γὰρ ἔχοντα τὰς παραβάσεις, κατ' ἐκεῖνον τὸν χρόνον ἐδιδάχθη, καθ' ὃν ὁ δῆμος ἐκράτει. τὰ δὲ οὐκ ἔχοντα, τῆς ἐξουσίας λοιπὸν ἀπὸ τοῦ δήμου μεθισταμένης, καὶ τῆς ὀλιγαρχίας κρατούσης. οἱ δὲ τῆς μέσης κωμῳδίας ποιηταὶ καὶ τὰς ὑποθέσεις ἤμειψαν, καὶ τὰ χορικὰ μέλη παρέλιπον, οὐκ ἔχοντες τοὺς χορηγούς, τοὺς τὰς δαπάνας τοῖς χορευταῖς παρέχοντας. ὑποθέσεις μὲν γὰρ τῆς παλαιᾶς κωμῳδίας ἦσαν αὗται· τὸ στρατηγοῖς ἐπιτιμᾶν, καὶ δικασταῖς οὐκ ὀρθῶς δικάζουσι, καὶ χρήματα συλλέγουσιν ἐξ ἀδικίας τισί, καὶ μοχθηρὸν ἐπανῃρημένοις βίον. ἡ δὲ μέση κωμῳδία ἀφῆκε τὰς τοιαύτας ὑποθέσεις. ἐπὶ δὲ τὸ σκώπτειν ἱστορίας ῥηθείσας ποιηταῖς ἦλθον. ἀνεύθυνον γὰρ τὸ τοιοῦτον. οἷον διασύρειν Ὅμηρον εἰπόντα τι, ἢ τὸν δεῖνα τῆς τραγῳδίας ποιητήν. τοιαῦτα δὲ δράματα καὶ ἐν τῇ παλαιᾷ κωμῳδίᾳ ἐστὶν εὑρεῖν, ἅπερ ἐπὶ τὸ τελευταῖον ἐδιδάχθη, λοιπὸν τῆς ὀλιγαρχίας κρατυνθείσης. οἱ γοῦν Ὀδυσσεῖς Κρατίνου, οὐδενὸς ἐπιτίμησιν ἔχουσι, διασυρμὸν δὲ τῆς Ὀδυσσείας τοῦ Ὁμήρου. τοιαῦται γὰρ αἱ κατὰ τὴν μέσην κωμῳδίαν ὑποθέσεις εἰσί. μύθους γάρ τινας τιθέντες ἐν τῇ κωμῳδίᾳ τοῖς παλαιοτέροις εἰρημένους, διέσυρον ὡς κακῶς ῥηθέντας. καὶ τὰς παραβάσεις παρῃτήσαντο, διὰ τὸ τοὺς χορηγοὺς ἐπιλεῖψαι, χορῶν οὐκ ὄντων. οὐ μὴν δὲ τὰ προσωπεῖα ὁμοιότερα τοῖς ἐν τῇ παλαιᾷ κωμῳδίᾳ κατεσκευασμένοις εἰσῆγον. ἐν μὲν γὰρ τῇ παλαιᾷ εἴκαζον τὰ προσωπεῖα τοῖς κωμῳδουμένοις, ἵνα πρὶν ἢ τοὺς ὑποκριτὰς εἰπεῖν, ὁ κωμῳδούμενος ἐκ τῆς ὁμοιότητος τῆς ὄψεως κατάδηλος ᾖ. ἐν δὲ τῇ μέσῃ καὶ νέᾳ κωμῳδίᾳ, ἐπίτηδες τὰ προσωπεῖα πρὸς τὸ γελοιότερον ἐδημιούργησαν, δεδοικότες τοὺς Μακεδόνας καὶ τοὺς ἐπηρτημένους ἐξ ἐκείνων φόβους. ἵνα δὲ μὴ ἐκ τύχης πρὸς ὁμοιότης προσώπου συμπέσῃ τινὶ Μακεδόνων ἄρχοντι, καὶ δόξας ὁ ποιητὴς ἐκ προαιρέσεως κωμῳδεῖν, δίκας ὑπόσχῃ. ὁρῶμεν γοῦν τὰς ὀφρῦς ἐν τοῖς προσώποις τῆς Μενάνδρου κωμῳδίας ὁποίας ἔχει, καὶ ὅπως ἐξεστραμμένον τὸ σῶμα καὶ οὐδὲ κατὰ ἀνθρώπων φύσιν.

Τοῦ αὐτοῦ περὶ διαφορᾶς χαρακτήρων.

Κρατῖνος ὁ τῆς παλαιᾶς κωμῳδίας ποιητὴς, ἅτε δὴ κατὰ τὰς Ἀρχιλόχου ζηλώσας αὐστηρὸς μὲν τῇ λοιδορίᾳ ἐστίν. οὐ γὰρ ὥσπερ ὁ Ἀριστοφάνης ἐπιτρέχειν τὴν χάριν τοῖς σκώμμασι ποιεῖ τὸ φορτικὸν τῆς ἐπιτιμήσεως διὰ ταύτης ἀναιρῶν, ἀλλ' ἁπλῶς κατὰ τὴν παροιμίαν γυμνῇ τῇ κεφαλῇ τίθησι τὰς βλασφημίας κατὰ τῶν ἁμαρτανόντων. πολὺς δὲ καὶ τῆς ῥοπῆς τυγχάνει. εὔστοχος δὲ ὢν ἐν ταῖς ἐπιβολαῖς τῶν δραμάτων καὶ διασκευαῖς, εἶτα προϊὼν καὶ διασπῶν τὰς ὑποθέσεις, οὐκ ἀκολούθως πληροῖ τὰ δράματα. Εὔπολις δὲ εὐφάνταστος μὲν εἰς ὑπερβολήν ἐστι κατὰ τὰς ὑποθέσεις. τὰς γὰρ εἰσηγήσεις μεγάλας τῶν δραμάτων ποιεῖται, καὶ ἥνπερ ἐν τῇ παραβάσει φαντασίαν κινοῦσιν οἱ λοιποὶ, ταύτην ἐκεῖνος ἐν τοῖς δράμασιν ἀναγαγεῖν ἱκανὸς ὢν ἐξ ᾅδου νομοθετῶν πρόσωπα, καὶ δι' αὐτῶν εἰσηγούμενος τῆς περὶ θέσεως νόμων ἢ καταλύσεως. ὥσπερ δὲ ἐστιν ὑψηλὸς, οὕτω καὶ ἐπίχαρις, καὶ περὶ τὰ σκώμματα λίαν εὔστοχος. ὁ δὲ Ἀριστοφάνης τὸν μέσον εἴληχε τῶν ἀνδρῶν χαρακτῆρα. οὔτε γὰρ πικρὸς λίαν ἐστὶν, ὥσπερ ὁ Κρατῖνος, οὔτε χαρίεις ὥσπερ ὁ Εὔπολις. ἀλλ' ἔχει καὶ πρὸς τοὺς ἁμαρτάνοντας τὸ σφοδρὸν ἐκ τοῦ Κρατίνου, καὶ τὸ τῆς ἐπιτρεχούσης χάριτος Εὐπόλιδος.

Περὶ κωμῳδίας.

Τῆς κωμῳδίας, τὸ μέν ἐστιν ἀρχαῖον, τὸ δὲ νέον, τὸ δὲ μέσον. τῆς δὲ νέας διαφέρει ἡ παλαιὰ κωμῳδία, χρόνῳ, διαλέκτῳ, ὕλῃ, μέτρῳ, διασκευῇ. χρόνῳ μὲν, καθὸ ἡ μὲν νέα ἐπὶ Ἀλεξάνδρου. ἡ δὲ παλαιὰ ἐπὶ τῶν Πελοποννησιακῶν εἶχε τὴν ἀκμήν. διαλέκτῳ δὲ, καθὸ ἡ μὲν νέα τὸ σαφέστερον ἔχει, τῇ νέᾳ κεχρημένη ἀτθίδι, ἡ δὲ παλαιὰ, τὸ δεινὸν καὶ ὑψηλὸν τῆς λέξεως. ἐνίοτε δὲ ἐπιτηδεύει καὶ λέξεις τινάς. ὕλῃ δὲ, καθὸ ἡ μὲν νέα κατὰ τὸ πλεῖστον ς (ἔστι) περὶ τὸ ἰαμβικόν. σπανίως δὲ μέτρον ἕτερον. ἐν δὲ τῇ παλαιᾷ, πολυμετρία τὸ σπουδαζόμενον. διασκευῇ δὲ, ὅτι ἐν μὲν τῇ νέᾳ χοροῦ οὐκ ἔδει, ἐν ἐκείνῃ δὲ ἔδει. καὶ αὐτὴ δὲ ἡ παλαιὰ, ἑαυτῆς διαφέρει. καὶ γὰρ οἱ ἐν Ἀττικῇ πρῶτον συστησάμενοι τὸ ἐπιτήδευμα τῆς κωμῳδίας, ἦσαν δὲ οἱ περὶ Σουσαρίωνα, καὶ τὰ πρόσωπα εἰσῆγον ἀτάκτως, καὶ μόνος ἦν γέλως τὸ κατασκευαζόμενον. ἐπιγενόμενος δὲ ὁ Κρατῖνος, κατέστησε μὲν πρῶτον τὰ ἐν τῇ κωμῳδίᾳ πρόσωπα μέχρι τριῶν, στήσας τὴν ἀταξίαν. καὶ τῷ χαρίεντι τῆς κωμῳδίας τὸ ὠφέλιμον προσέθηκε, τοὺς κακῶς πράττοντας διαβάλλων, καὶ ὥσπερ δημοσίᾳ μάστιγι τῇ κωμῳδίᾳ κολάζων. ἀλλ' ἔτι μὲν καὶ οὗτος τῆς ἀρχαιότητος μετεῖχε, καὶ ἠρέμα πως τῆς ἀταξίας. ὁ μέντοι γε Ἀριστοφάνης μεθοδεύσας τεχνικώτερον τῶν μεθ' ἑαυτοῦ τὴν κωμῳδίαν ἐνέλαμψεν ἐν ἅπασιν, ἐπίσημος ὀφθεὶς οὕτω. καὶ οὔπω πᾶσαν κωμῳδίαν ἐξήτησε. καὶ γὰρ τὸ τούτου δρᾶμα ὁ Πλοῦτος, νεωτερίζει κατὰ τὸ πλάσμα. τήν τε γὰρ ὑπόθεσιν ὡς ἀληθῆ ἔχει, καὶ χοροῦ ἐστέρηται, ὅπερ τῆς νέας ὑπῆρχε κωμῳδίας.

Ἄλλως περὶ κωμῳδίας.

Ὅτι ὁ γέλως τῆς κωμῳδίας ἔκ τε λέξεων καὶ πραγμάτων ἔχει τὴν σύστασιν. ἐκ μὲν τῆς λέξεως, κατὰ τρόπους ἑπτά. πρῶτον καθ' ὁμωνυμίαν, ὡς τὸ διαφορούμενος. οἷον τὸ μέτρον. δεύτερον δὲ κατὰ συνωνυμίαν, ὡς τὸ ἥκω καὶ κατέρχομαι, ταὐτὸ γάρ ἐστι. τρίτον κατὰ ἀδολεσχίαν, ὡς ὅταν τις τῷ αὐτῷ ὀνόματι χρῆται. τέταρτον κατὰ παρωνυμίαν, ὅταν τῷ κυρίῳ ἔξωθέν τις ἅπτηται. ὡς τὸ μάμαξ καλοῦμαι Μίδας. πέμπτον κατὰ ὑποκορισμὸν, ὡς τὸ Σωκρατίδιον εὐριπίδιον. ς. κατ' ἐξαλλαγήν. ὡς τὸ ὦ Βδεῦ δέσποτα. ἀντὶ τοῦ ὦ Ζεῦ. ἕβδομον κατὰ σχῆμα λέξεως. τοῦτο γίνεται ἢ φωνῇ ἢ τοῖς ὁμογενέσιν. ἐκ δὲ τῶν πραγμάτων, κατὰ τρόπους δύο. πρῶτον κατὰ ἀπάτην, ὡς Στρεψιάδης πεισθεὶς ἀληθεῖς εἶναι τοὺς περὶ ψυχῆς λόγους. δεύτερον κατὰ ὁμοίωσιν. ἡ δὲ ὁμοίωσις εἰς δύο τέμνεται. ἢ εἰς τὸ βέλτιον, ὡς ὁ Ξανθίας εἰς Ἡρακλέα, ἢ εἰς τὸ χεῖρον, ὡς ὁ Διόνυσος εἰς Ξανθίαν.

Ὁ χορὸς ὁ κωμικὸς εἰσήγετο ἐν τῇ ὀρχήστρᾳ περὶ τινῶν λεγομένων λόγων. καὶ ὅτε μὲν πρὸς τοὺς ὑποκριτὰς διηγεῖτο, πρὸς τὴν σκηνὴν ἀφεώρα. ὅτε δὲ ἀπελθόντων τῶν ὑποκριτῶν τοὺς ἀναπαίστους διεξῄει, πρὸς τὸν δῆμον ἀπεστρέφετο. καὶ τοῦτο ἐκαλεῖτο στροφή. ἦν δὲ τὰ ἰαμβεῖα τετράμετρα. εἶτα τὴν ἀντίστροφον προσᾴδοντες, πάλιν τετράμετρα ἔλεγον, εἰς ὧν στίχος ἦν δὲ ἐπὶ τὸ πλεῖστον ις. ἐκαλεῖτο δὲ ταῦτα ἐπιρρήματα. ἡ δὲ ὅλη πάροδος τοῦ χοροῦ ἐκαλεῖτο παράβασις. Ἀριστοφάνης ἐν Ἱππεῦσιν. εἰ μέν τις ἀνὴρ τῶν ἀρχαίων κωμῳδοδιδάσκαλος ἡμᾶς ἠνάγκασεν ἐπὶ τὸ μέτρον παραβῆναι.

Τῶν τῆς ἀρχαίας κωμῳδίας ποιητῶν ὀνόματα καὶ δράματα.

Θεοπόμπου δράματα	ιζ	Πλάτωνος δράματα	κη'
Στράττιδος δράματα	ις	Τηλεκλείδου δράματα	ς
Φερεκράτους δράματα	ιη'	Φρυνίχου δράματα	ι'
Κρατῖνος δράματα	η'		

Ὅτι κατὰ τρόπους δέκα διαφέρει τὸ ἑλληνίζειν τοῦ ἀττικίζειν. κατὰ ἀναλογίαν. παρὰ τὴν ἐτυμολογίαν. παρὰ τὰ σχήματα. παρὰ τὸν σχηματισμὸν τῶν ὀνομάτων. παρὰ τὴν ἀλληγορίαν. παρὰ τοὺς ἀριθμούς. παρὰ τὰ γένη. παρὰ τὰ πνεύματα. παρὰ τοὺς χρόνους. παρὰ τοὺς τόνους. παρὰ μὲν τὴν ἀναλογίαν καὶ ἐτυμολογίαν, ὅτι οἱ μὲν ἑλληνίζοντες, τούτοις μάλιστα χρῶνται. οἱ δὲ ἀττικίζοντες οὐδ᾽ ὅλως. παρὰ τὰ σχήματα, ἐπεὶ πάλιν ἔθος τοῖς Ἀττικοῖς χρῆσθαι σχήμασι. τοῖς δὲ ἑλληνίζουσιν οὐκ ἔτι. παρὰ δὲ τὸν σχηματισμὸν ἐπειδὴ κατὰ πολλοὺς τρόπους ἐκ τῆς ἑλληνικῆς συνηθείας μετασχηματίζονται τὰ ὀνόματα.

Παρὰ δὲ τοὺς χρόνους, ὅτι συστελλόντων τινὰ τῶν ἑλληνιζόντων, αὐτοὶ ἐκτείνουσι μᾶλλον ἢ συστέλλουσι. παρὰ δὲ τὰ πνεύματα, ἐπεὶ δασύνουσιν ἔνια ψιλούντων, ἢ ψιλοῦσι δασυνόντων. παρὰ δὲ τὰ γένη ἐπειδὴ θηλυκῶς τινα λεγόντων, ἢ οὐδετέρως αὐτοὶ προφέρονται ἢ ἀνάπαλιν ἀρσενικῶς ἢ οὐδετέρως ἐκφέρουσι. παρὰ τοὺς ἀριθμοὺς ἐπειδὴ ἑνικῶς τινα λεγόντων, πληθυντικῶς λέγουσιν ἢ καὶ ἀνάπαλιν.

Ἀριστοφάνους βίος.

Τίς χαλκεύειν, ἢ ναυπηγεῖν, ἢ ῥάπτειν, ἢ τροχοποιεῖν,

Diuitiis per fas atque nefas, corrasis, statim abundat:
Multi autem iusti & probi inopia atque fame pressi, male vitam (re degunt.
Peraguntque tecum, Paupertas, nullo non tempore.
Itaque vnam hanc esse viam puto: quam si oculis, (luminis,
eas ille receptis:
Genus humanũ maioribus accumulauerit emolumentis.
PA. O homines persacile, præ aliis, huc illecti, vt nihil vsquam (nantes:
Sani inceptetis: duo vetuli, deliri atque hallucinantes:
Socij nugarum & fraudum: si, quod vos summa cupitis vi,
Contingat: non video, qui nam in rem hoc vestram cedere possit.
Quoniã si Pluto visus reddatur: seque omnib⁹ ille
Ex æquo distribuat: & communis velit omnibus esse: (libens vlli
Tum neque doctæ artes, neque disciplina ex mortalibus vlli
Fuerint curæ. Deletis autẽ per vos artibus atque
E vita hominum sublatis: quis quaso ferrum fabricabit? (stra parabit?
Quis naues cõpinget? quis sutor erit? quis plaustra parabit?

Σχόλια. Οὐκοῦν εἶναί φημι.] ὁ νοῦς· οὐκοῦν ἐπιλύσει ταῦτα ὁ Πλοῦτος ἢν ποτε βλέψῃ, φημὶ εἶναι ὁδὸν ἥν τιν' ἰὼν τοῖς ἀνθρώποις ἀγαθὰ ἂν μείζω πορίσειε. κακόμετρος δὲ ὁ στίχος. ἐνίοις δὲ καὶ ἄμετρος. ὁ δὲ νοῦς δῆλος. οὐκοῦν εἶναί φημι ὁδὸν ἑτέραν, ἣν βαδίζων τις ἀγαθόν τι τοῖς ἀνθρώποις ἐργάσεται. λέγει δὲ ὅτι δεῖ τὸν Πλοῦτον ἀναβλέψαι ποιῆσαι. ἐὰν δέ τις προσθείη τὸ καὶ, ἴσταται ἡ φράσις. οὐκοῦν ἢν βλέψῃ ποτὲ ὁ Πλοῦτος, φημὶ εἶναι ὁδὸν ἥν τινα ἰὼν, παύσει ταῦτα καὶ τοῖς ἀνθρώποις ἀγαθὰ μείζω πορίσειεν. ἄλλως. τὸ οὐκοῦν, ἀποφαντικόν ἐστιν ὅτι ἐὰν βλέψῃ ὁ Πλοῦτος, καὶ παύσῃ τὴν Πενίαν, οὐκέτι κακοδαιμονία ἐστι. τὸ δὲ ἑξῆς. οὐκοῦν εἶναί φημι ὁδὸν ἥν τινα ἰὼν ὁ Πλοῦτος βλέψει ταύτην, καὶ τὰ ἀγαθὰ μείζω πορίσειε τοῖς ἀνθρώποις. ἄλλως. οἱ γράφοντες φημὶ δίχα τοῦ ἄρθρου τοῦ ἡ, στοχάζεσθαι τῶν μέτρων δοκοῦσιν οὐ μάλα ἀκριβῶς. τὸ γὰρ ἑξῆς οὕτως ἔχει. οὐκοῦν εἶναί φημι ὁδὸν ἥτις παύσει ταῦτα ἣν βαδίζων τὶς ἀγαθὸν τοῖς ἀνθρώποις πορίσειεν. ἡ δέ ἐστιν, ἢν βλέψῃ ποθ' ὁ Πλοῦτος. οἱ πολλοὶ δὲ λαμβάνουσιν ἔξωθεν γὰρ πρὸς τὸ φημί. οὐκοῦν παύσει ταῦτα ποτὲ ὁ Πλοῦτος ἢν βλέψῃ. φημὶ γὰρ εἶναι ὁδὸν, ἥν τινα ἰὼν πορίσειε τοῖς ἀνθρώποις μείζω ἀγαθά.

GERARDVS. φημὶ,] ita οὐκοῦν φημὶ ὁδὸν εἶναι ἣ παύσει ταῦτα. Quæsita igitur nobis est via, quæ iniquam hanc rerum distributionem corrigat & emendet, ἥν τινα ἰὼν, quam ingressus Plutus aliquando, si videre illi dabitur, multo maiora tum hominibus erunt bona, quàm ea quæ nunc sunt. Ex ea re etenim fiet, vt qui sunt mali, tum sint boni, & qui pauperes, tum euadant diuites. Quare omnes erunt & boni & diuites. ἰὼν, participium ab εἶμι, vado. Subauditur præpositio διὰ. Per quam viam cùm incesserit, id est, postquam oculos receperit. πορίσειεν. Optatiuum Atticum à πορίζω. Ῥᾷστα,] aduerbium superlatiuum poscit genitiuum ἀνθρώπων, omnium facillimè persuasi, & præcipitatis consiliis eò adducti, vt rem damni & incõmodi plenam moliremini. οὐχ ὑγιαίνειν, non sanos esse, οὐδὲν ὑγιὲς ποιεῖν, nihil vtile, neque frugis bonæ facere. ξυνθιασώτα.] θίασος congregatio est hominum rei diuinæ, maximè vero Bacchi gratia coëuntium. Vergil.

Instituit Daphnis thiasos inducere Baccho.

Hinc ξυνθιασώτης rei diuinę socius & particeps. Pro socio simpliciter accipitur. τοῦ ληρεῖν, pro substantiuo τῶν λήρων, nugarum & vesaniæ: falsidicos notat esse, & deliros senes. Est enim παραπαίω, aberro, aliud pro alio capio. hallucinor, sumptũ ab iis qui perperam fides pulsant. Qui nihil cõmeritos lędit, meritis malũ parcit, verè παραπαίει.

Σχόλια. Εἰ τοῦτο γένοιθ'.] εἰ γὰρ ὁ Πλοῦτος βλέψειε πάλιν, διανέμοιτό τ' ἴσον ἑαυτὸν πᾶσι δηλονότι, ἵνα οἶδεν ἡ Πενία τὴν Χρεμύλου γνώμην καὶ τὴν τοῦ Πλούτου, ὅτι πρὸς μόνους τοὺς δικαίους ἥξει.

GERARDVS. Διανείμειε, Atticum optatiuũ à διανέμω. Ἴσον.] s. κατὰ, æqualiter, nullo discrimine. οὔτε τέχνην. Quæ Chremylus Pluto tribuerat, cũ illi diceret, τέχναι πᾶσαι διὰ σὲ καὶ σοφίσματα ἐν τοῖσιν ἀνθρώποισιν ἐσθ' εὑρημένα, pugnát prorsus cum iis quæ Penia sibi vendicat.

Σχόλια. Σοφίαν μελετῴη.] σοφίαν ἐνταῦθα καλεῖ τὴν περὶ τὰς τέχνας πανουργίαν καὶ μηχανὴν, τέχνην δὲ τὴν μεταχείρησιν αὐτὴν καὶ ἐνέργειαν.

GERARDVS. Μελετῴη. à μελετάω fit optatiuum cõmune μελετάοιμι, cõtractè μελετῷμι. Atticè ῴην, in ῃν verso μελετῴην, ης, η. ἀμφοῖν, & ὑμῖν datiui sunt, alter dualis, alter pluralis,

deest autem præpositio ὑπὸ, sub ambobus vobis, id est, authoritate & arbitratu vestro. δ', δὴ, quod est δὴ, sane. ſ. τούτων ἀφανισθέντων, genitiui duales quos per ablatiuum absolutum reddas, his artibus & disciplinis abolitis. Ναυπηγεῖν,] naues compingere & conficere, hinc ναυπηγὸς construendarum nauium peritus. sub hoc verbo comprehende quidquid est in re nautica:

A vt per ῥάπτειν quæ cōstāt sutura. Τροχοποιεῖν] τροχοὺς, id est rotas facere: à parte totum significat, currus, & vehicula quæcunque rotis aguntur. Πλινθουργεῖν] lateres & tegulas facere. Sub hoc continetur figlinum quodcunque opus. ἢ γῆς, aut aratris duros terræ campos vbi fregerit, est hæc γεωργίας i. agriculturæ periphrasis, per quam arandi notatur difficultas.

Ἢ σκυτοτομεῖν, ἢ πλινθουργεῖν, ἢ πλύνειν, ἢ σκυτοδεψεῖν,
B Ἢ γῆς ἀρότροις ῥήξας δάπεδον, καρπὸν Δηοῦς θερίσασθαι;
Ἢν ἐξῇ ζῆν ἀργοῖς ὑμῖν τούτων πάντων ἀμελοῦσιν;
Χρ. Λῆρον ληρεῖς. ταῦτα γὰρ ἡμῖν πάνθ' ὅσα νῦν δὴ κατέλεξας,
Οἱ θεράποντες μοχθήσουσι. Πε. Πόθεν οὖν ἕξεις θεράποντας;
Χρ. Ὠνησόμεθ' ἀργυρίου δήπου. Πε. Τίς δ' ἔσται πρῶτον ὁ πωλῶν,
C Ὅταν ἀργύριον κἀκεῖνος ἔχῃ; Χρ. κερδαίνειν βουλόμενός τις
Ἔμπορος ἥκων ἐκ Θετταλίας παρὰ πλείστων ἀνδραποδιστῶν.
Πε. Ἀλλ' οὐδ' ἔσται πρῶτον ἁπάντων οὐδεὶς, οὐδ' ἀνδραποδιστὴς,
Κατὰ τὸν λόγον, ὃν σὺ λέγεις, δήπου. τίς γὰρ πλουτῶν ἐθελήσει

Quis corium incidet? quis pelles tinget? quis cōteget ædes?
B *Quis arabit terram? quis fructus demetet & in horrea condet?*
Siquidem vobis ita securis & inertibus esse licebit.
CH. *Nugaris, nam hæc quæ modò nobis enumerasti, omnia serui*
Perficient. PA. *Vnde autem tibi serui?* CH. *Illos mercabimur.* PA. *At quis*
C *Vendet primùm, cui nō minor argēti vis, quàm tibi prompta?*
CH. *Aliquis lucri cupidus mercator, peregrè è Thessalia ad nos*
Proficiscens, à plagiarijs atque propolis mancipiorum.
PA. *At neque plagiarij erunt: siquidē tua, quam dicis, ratio sit:*
D

Σχόλια. Δηοῦς θερίσασθαι.] ἀντὶ τοῦ γεωργοὺς ἐπιμελεῖσθαι. ἤδη τὸ ἔπος τοῦτο τῆς μέσης κωμῳδίας ὄζει. Ἐξῇ ζῆν ἀργοῖς.] πρὸς τὸ ἀνώτερον. τίς ἐθελήσει τέχνην μετελθεῖν, ἐὰν ἐξῇ ὑμῖν ἀργοῖς ζῆν τούτων ἀμελοῦσιν. ἄλλως τὸ ἐξῇ ζῆν. πρὸς τὸ ἐθελήσει τίς, ἔχει τὴν δύναμιν. διότι δὲ μεταξὺ ταῦτα μέν τίθεται τὴν δὲ τῶν τεχνῶν ἀπαρίθμησιν προέταξε, διὰ τοῦτο ἔστι τὸ τούτων. οἱ δὲ ἀπ' ἄλλης ἀρχῆς τὸ ἢν ἐξῇ λέγοντες, καὶ σκοπεῖτε ἔξωθεν λαμβάνοντες οὐκ ὀρθῶς οἴονται.

GERARDVS. Θερίσασθαι καρπὸν Δηοῦς] pro solo θερίσασθαι. vocat segetes, fructum Cereris: nam homines quondam glande victitantes, Ceres docuit arare, & fruges estare. Ouid.

Prima Ceres vnco glebam dimouit aratro:
Prima dedit fruges, alimentáque mitia terris.

Et à Græcis Δηὼ appellari videtur παρὰ τὸ δήω, quod est εὑρίσκω, inuenio, quoniam αὕτη εὗρε τὸν σῖτον. Variatur Δηὼ vt Λητώ. Ἐξῇ] impersonale verbum ἔξεστι, licet, habet subiunctiuum hoc, ἐξῇ, licuerit.

Σχόλια. Λῆρον ληρεῖς.] ἀντὶ τοῦ περὶ λῆρον. ἀττικὴ ἡ φράσις καὶ τὸ σχῆμα. ὡς τὸ μανίαν μαίνῃ. καὶ φυγὴν φεύγεις. καὶ ὅλως ἐφ' ὧν τῷ πράγματι συνάγεται τὸ ἀπὸ τοῦ πράγματος ῥῆμα, ὡς τὸ ὕβριν ὑβρίζεις. καὶ φυγὴν φεύγεις.

GERARDVS. Λῆρον ληρεῖς.] Atticum pro ληρεῖς solùm: tale fuit τόλμημα τολμᾶτε. πωλῶν vendens, pro πωλητὴς, τίς πρῶτον πωλήσει; quis lubēs careat seruis, quorum opera rē facit? Quod enim quandoque vendantur, compellit inopia, cui tum nullus erit locus.

Σχόλια. Ἔμπορος ἥκων.] ἔμπορος ὁ πραγματευτὴς ἄνθρωπος. κυρίως δὲ ὁ πλέων θάλασσαν παρὰ τὸ πόρος. πόρος δὲ κυρίως ἐπὶ ὑγρῶν λέγεται. καὶ ἔμπορος ὁ ἄγων ἀεὶ τὸν ἐμπόριον πλοῦτον ἐκ μεταφορᾶς τοῦ ὑ-

δατικοῦ πόρου. διαβάλλονται δὲ οἱ Θετταλοὶ, ὡς ἀνδραποδισταὶ καὶ ἄπιστοι. ἀεὶ γὰρ τὰ Θετταλῶν ἄπιστα, ἡ παροιμία φησίν. Εὐεπίδης. πολλοὶ παρῆσαν, ἀλλ' ἄπιστοι Θετταλοί. δῆλον δὲ καὶ ἀπὸ Ἰάσονος ὃς ἠνδραπόδισε τὴν Μήδειαν. ἀνδράποδον δὲ εἴρηται ὁ ποὺς ὁ ἐν ἀνδράσιν. ἀπὸ τοῦ ὑποκειμένου μέρους τοῦ ὅλου. ὑπόκειται γὰρ ὁ οἰκέτης τῷ δεσπότῃ, καθάπερ ὁ ποὺς τῷ ὅλῳ σώματι.

GERARDVS. Θετταλίας,] Thessala gens nō solùm malè audiuit olim, quod perfida, quòd E mollis & venefica, sed & quòd plagiaria esset. Seruos enim alienos dolis circunductos, & à suis dominis subductos, pro suis vendebat. Sunt qui dicant eos non modò seruos, sed & liberos homines pro seruis in peregrinis & remotioribus locis vendere consueuisse. Propterea poëta obiter eos mordet. παρὰ.ſ.λαβὼν, vel ὠνημένος quos ipse acceperit ab andrapodistis, qui illic sunt fre F quentes & permulti.

Σχόλια. Παρὰ πλείστων ἀνδραποδιστῶν.] ἢ αὐτὸς παρὰ ἀνδραποδιστῶν λαβών. εἴρηται δὲ ἀνδραποδιστὴς παρὰ τὸ ἀνδρας ἀποδίδοσθαι, τουτέστι πωλεῖν. ἄλλως, ἀνδραποδιστὴς οὐ μόνον τοὺς ἐλευθέρους δι' ἀπάτης ἀνάγων εἰς δουλείαν, ἀλλὰ καὶ ὁ τοὺς δούλους ἀπὸ τῶν δεσποτῶν ἀποσπῶν εἰς ἑαυτὸν ἐπὶ τῷ ἀπεμπολεῖν ἀλλαχοῦ καὶ διαπωλῆσαι. διαβάλλονται οὖν οἱ Θετταλοὶ ὡς οὐ μόνον τούτοις χαίροντες ἀλλὰ καὶ λῃστείαις.

BISETVS. Ἀνδραποδιστῶν] Εὐστάθιος. ἀνδράποδα οἱ δοῦλοι παρὰ τὸ ἐν τοῖς δεσπόταις, ὅπερ οἱ πόδες τῷ ὅλῳ σώματι. καὶ αὕτη ἡ κλῆσις τοῖς ὑποζυγίοις G μᾶλλον ἂν ἥρμοττεν. ἀνδραποδισταὶ οἱ τὰ ἀνδράποδα πορίζόμενοι τοῖς ἐμπόροις. οἱ δὲ λέγουσιν ἀνδραποδιστὰς ὀνομασθῆναι παρὰ τὸ τοὺς ἄνδρας βίᾳ ληφθέντας ποδίζειν. καὶ ποδισθέντας, εἶτα δεθέντας κατὰ τοὺς πόδας ἀπάγειν εἰς δουλείαν. ὅπερ οἱ πολέμιοι μετὰ τὴν νίκην ποιεῖν εἰώθασι.

GERARDVS. Ἀνδραποδιστής.] Nomen est ductum παρὰ τὸ ἄνδρας ἀποδίδοσθαι, à vendendis hominibus: vel vt alij παρὰ τὸ ἀνδράποδον & δίδωμι, à tradendis seruis. ἀνδράποδον verò dicitur ὁ ποὺς ὁ ἐν ἀνδράσιν pes hominum, quòd quemadmodum pes corpori subiicitur, ita & seruus domino. οὐ δήσεται πρῶτον. Tres ponit negationes pro duabus, nullus erit primus, ne andrapodista

A quidem Thessalus. Si enim verũ est quod antea dixit Chremylus, τὸν Πλοῦτον ποιήσειν πάντας χρηστοὺς καὶ πλουτοῦντας. Vbi sentiãt omnes se diuites, cessabit quantumlibet auarus homo ἀνδραποδιστὴς esse, neque huc veniet κερδαίνειν βουλόμενος, quoniã non solùm diues non est, qui amplius lucrari cupit, sed multò etiã minus talis est, qui κινδυνεύων περὶ τῆς ψυχῆς τῆς αὐτοῦ, hoc facere audet.

Κινδυνεύων περὶ τῆς ψυχῆς τῆς αὐτοῦ, τοῦτο ποιῆσαι;
Ὥστ᾽ αὐτὸς ἀροῦν ἐπαναγκασθεὶς, καὶ σκάπτειν τἄλλά τε μοχθεῖν,
Ὀδυνηρότερον τρίψεις βίοτον πολὺ τοῦ νυνί. Χρ. Ἐς κεφαλήν σοι.
Πε. Ἔτι δ᾽ οὐχ ἕξεις οὔτ᾽ ἐν κλίνῃ καταδαρθεῖν· οὐ γὰρ ἔσονται.
Οὔτ᾽ ἐν τάπησιν. τίς γὰρ ὑφαίνειν ἐθελήσει, χρυσίου γ᾽ ὄντος;
Οὔτε μύροισι μυρίσαι στακτοῖς, ὁπόταν νύμφην ἀγάγησθον.
Οὔθ᾽ ἱματίων βαπτῶν δαπάναις κοσμῆσαι ποικιλομόρφων.
Καίτοι τί πλέον πλουτεῖν ἐστι, πάντων τούτων ἀποροῦντας;
Παρ᾽ ἐμοῦ δ᾽ ἐστιν ταῦτ᾽ εὔπορα πάνθ᾽ ὑμῖν, ὧν δεῖσθον. ἐγὼ γὰρ
Τὸν χειροτέχνην, ὥσπερ δέσποιν᾽, ἐπαναγκάζουσα κάθημαι,
Διὰ τὴν χρείαν, καὶ τὴν πενίαν, ζητεῖν ὁπόθεν βίον ἕξει.

Nam quis locuples hoc faciat proposito discrimine vitæ?
B
Itaque tute fodere, arare, & cætera vitæ munia (obire
Cogeris, multóque miserior, quàm nũc eris. CH. *In caput isthæc*
Mala tuum recidant. PA. *Sed neque tum in lecto (quia non erit vllus)*
Neque tapetibus es dormiturus: quis enim stragula texat,
C
Cui nummorum satis est? neque item vnguentis olim pretiosis (amicti
Delibuti, neque sumptuosè tinctis gradiemini
Vestibus, vbi domum duxeritis sponsam. Quæ si omnia vobis
Desint: quomodo pro diuitibus censebimini atque opulentis?
A me autem ista omnia, quorumcunque modò vestrum indiget vsus,
D
In promptu vobis adsum. nam ego opificem, veluti imperiosa
Domina astans, compello: vt rerum vsu & paupertate premente,

Σχόλια. Κινδυνεύων περὶ τῆς ψυχῆς.] ψυχὴ ἡ λογικὴ καὶ ἡ ἐν τοῖς ἀλόγοις ζώοις ψυχὴ, καὶ ἡ φύσις ὡς παρ᾽ Εὐριπίδῃ, ὅς τις τῆς ἐμῆς ψυχῆς γεγώς, ἤγουν τῆς ἐμῆς φύσεως. ψυχὴ καὶ ἡ ἐν τοῖς φυτοῖς καὶ ἁπλῶς ἡ ζωή.

E GERARDVS. τἄλλα] reliquósque vitę humanæ labores exhaurire coactus. Τρίψεις βίοτον,] terit vitam potius quàm vita fruatur, qui calamitosè & acerbè viuit. Τοῦ νυνί,] quàm nunc, quàm hoc tempore & in eo statu rerum qui nũc est, vt non sit cur rerum nouarum ita studiosus esse debeas. Articulus τοῦ cum νυνὶ pro adiectiuo pręsenti, ponuntur: vitam deges multò miseriorem, pręsenti. i. quàm ea est quam nunc degis. Ἐς κεφαλήν.] Chremylus bene memor laborũ quos hacten⁹ perpessus erat, eos abominatur, & in Peniæ caput retorquet. Verba hæc, ἐς κεφαλήν σοι olim apud rusticos prouerbiũ fuisse, quo imprecabantur vt malum in authorem mali recideret, ex Platone intelligi potest. εἰ μὴ, inquit, ἀγροικότερον ἦν εἰπεῖν, εἶπον ἄν, σοὶ εἰς κεφαλήν, id est, si rusticius dictu non esset dicere, dicerem, Tibi in caput. s. recidat: σοὶ autem pro εἰς τὴν σὴν accipe. Parũ est hoc alienum, ab eo quod antea Cario de turre Timothei dixit Chremylo ἐμπέσοι γέ σοι. οὐχ ἕξεις, οὐ δυνήσῃ, non licebit tibi.

Σχόλια. Καταδαρθεῖν.] κατακοιμηθῆναι. κυρίως δὲ καταδαρθεῖν, τὸ ἐν δέρμασι κοιμηθῆναι. Μύροισι μυρίσαι στακτοῖς.] τοῖς ὑγροῖς καὶ χρισίμοις, πρὸς ἀντιδιαστολὴν τῶν ξηρῶν.

GERARDVS. Καταδαρθεῖν,] à κατὰ & δαρθάνω verbo anormi. ἔσονται. s. κλῖναι. ἐν τάπησιν. Lecti tapetibus sternuntur, vel ad ornatũ lecti & domus, vel ad frigus arcendum. frigori depellendo aptiores erant qui ἀμφιτάπητες & ἀμφίμαλλοι dicebãtur, id est, vtrinque hirsuti: calorẽ enim mi-
E nus fouent ἑτερόμαλλοι. i. altera tantùm facie villosi. ὑφαίνειν, non solùm est texere, sed carminare, & quæcunque quomodocunque artem iuuãt textrinam. στακτοῖς liquidis, & stillatim collectis. Sunt enim & ξηρὰ vnguenta, id est, fixa & sicca. Moris fuit vetusti vt cũ bellariis & corollis vnguenta in secundas mensas venirent, quibus pectus vngeretur & caput: nam præter quàm quod fragrantia & odore grato oblectabant, corpori
F etiam vtilia erãt. Alia autem aliis rebus, alio tẽpore commodiora. Quæ ex rosa & viola cõficiebantur, quoniam meatus restringũt, vapores repercutiunt ascendentes, propterea, καρηβαρίαν, & capitis grauamina largius potis sedabant. Quæ ex ligustro & baccare, suauem inducebant soporem. Sic aliorum erat alius vsus. Legimus Solonẽ & vnguenta & vnguentarios esse execratum. Et Spartam neque hos, neque infectores admittere voluisse: mollitiẽ enim in his esse, quę viros, pręsertim bellicosos (quales semper habiti Sparta-
G ni) minimè deceat. Ἀγάγησθον.] ἄγω indefinitũ β habet ἤγον, Atticum ἤγαγον, vnde est medium ἠγαγόμην, quod facit subiunctiuum ἀγάγωμαι, à quo hæc dualis persona.

Σχόλια. Οὔθ᾽ ἱματίων βαπτῶν.] βαπτὰ γὰρ ἱμάτια

φορῶσιν οἱ νυμφίοι, πρὸς τὸ φαίνεσθαι τιμιώτερον οἶμαι τῆς βαφῆς. οὐκ ἔστι σοι οὐδέ, φησι, ποικίλα ἱμάτια ἐπὶ τῷ κοσμῆσαι τὴν νύμφην.

Gerardvs. Δαπάναις.] neque poteritis vos ornare sumptibus vestium, pro sumptuosis vestibus, τοῖς ἱματίοις δαπανηροῖς καὶ πολυτελέσι.

Σχόλια. Καί τοι τί πλέον πλουτεῖν.] τίς χρεία ἐστὶ τοῦ πλουτεῖν, ὅτε ἀπορεῖται, ὧν χρῄζουσι.

Gerardvs. Καί τοι.] Iam quod si ita res habet: τί ἐστι. ἤγουν ἀνθρώποις πλουτεῖν πλέον, quid est quod dicamus homines amplius ditescere solito, vbi omnia hæc illis defuerint. Quasi diceret pauperiores multo futuros, quare non modò vanum esse consilium horum senum, sed & hominibus longè deterrimum futurum. δεῖσθον cōtractum à δέεσθον, thema δέομαι.

Bisetvs. Τὴν χειροτέχνην] Θεόκριτος ἐν Ἁλιεῦσιν εἰδυλλίῳ,

Ἁ πενία Διόφαντε μόνα τὰς τέχνας ἐγείρει
Αὕτα τῶ μόχθοιο διδάσκαλος. οὐδὲ γὰρ εὕδειν
Ἀνδράσιν ἐργατίναισι κακαὶ παρέχοντι μέριμναι.
Κἂν ὀλίγον νυκτός τις ἐπιψαύῃσι τὸν ὕπνον,
Αἰφνίδιον θορυβεῦσιν ἐφιστάμεναι μελεδῶναι.

Gerardvs. Κάθημαι] sedeo, authoritatem hinc sibi parat: ipsa nihil ago, sedendo tantùm impero, nec est inefficax meum imperium, vt quod vel nolentes cogat. δυναίο, optatiuum est à δύναμαι.

Χρ. Σὺ γὰρ ἂν πορίσαι τί δύναι' ἀγαθὸν, πλὴν φῴδων ἐκ βαλανείου,
Καὶ παιδαρίων ὑποπεινώντων, καὶ γραϊδίων κολοσυρτόν,
Φθειρῶν τ' ἀριθμὸν, καὶ κωνώπων καὶ ψυλλῶν οὐδὲ λέγω σοι
Ὑπὸ τοῦ πλήθους, αἳ βομβοῦσαι περὶ τὴν κεφαλὴν ἀνιῶσιν,
Ἐπεγείρουσαι καὶ φράζουσαι, πεινήσεις ἀλλ' ἐπανίστω.
Πρὸς δέ γε τούτοις, ἀνθ' ἱματίου μὲν ἔχειν ῥάκος, ἀντὶ δὲ κλίνης
Στιβάδα σχοίνων, κόρεων μεστὴν ἣ τοὺς εὕδοντας ἐγείρει.
Καὶ φορμὸν ἔχειν ἀντὶ τάπητος σαπρὸν, ἀντὶ δὲ προσκεφαλαίου
Λίθον εὐμεγέθη πρὸς τῇ κεφαλῇ· σιτεῖσθαι δ' ἀντὶ μὲν ἄρτων
Μαλάχης πτόρθους, ἀντὶ δὲ μάζης, φύλλ' ἰσχνῶν ῥαφανίδων,

Rationem ineat, qua vitam toleret. CH. *Quidnam tu obsecro possis*
Præstare boni cuiquam, præter tubercula balneolorum:
Et puerorum esurientum & vetularū voces gemibundas:
Numerum pediculorū, culicū & pulicum, (quos iam numerare
Non est) qui odioso bombo strident hominis tēpora circùm,
Et somnum abigunt, dicentes: surge: fames ceruicibus instat.
Quid des prætereà, nisi tritam, pro integra veste, lacernam:
Pro pulchro lecto, cimicibus oppletum, fœdumque grabatum:
Qui homini somnum excutiat: pro picturato tegmine putrem
Stoream: pro puluino lapidem: pro pane absumere maluæ
Gramina: pro maza, raphanorū foliis exilib' uti:

Σχόλια. Πλὴν φῴδων ἐκ βαλανείου.] φλυκταινῶν. ἐκ βαλανείου δέ, διὰ τὸ τοὺς πένητας ἀποροῦντας ἐνδυμάτων, διὰ τὸ ψῦχος ἐν βαλανείοις καθεύδειν. καὶ ἐκ θέρμης ἢ ἀέρος αὐτοὺς ἐξιόντας παραχρῆμα προσβαλόντος φλυκταίνας ποιεῖν. Ἀπολλόδωρος τὰ ἐκ τοῦ πυρὸς ἐρυθήματα, ἢ ἐκ ψύχους ἢ τοὺς τύλους καὶ τὰ ἐπικαύματα τὰ ἐκ τοῦ πυρὸς, ὡς τῶν πενήτων διὰ τὸ αὐτουργεῖν τοῦτο πασχόντων. τὸ δὲ πλὴν οὐκ ἐνταῦθα ἀντὶ τοῦ χωρὶς ἀλλ' ἀντὶ τοῦ εἰμὴ πρὸς τὸ κολοσυρτόν. ὅς ἐστιν ἦχος φρυγάνων συρομένων.

Gerardvs. Φῴδων.] Sunt φῴδες rubentes maculæ cruribus inductæ ex nimia ignis propinquitate, quæ pauperibus maximè insūt: dū enim ferè nudi horrent frigore, ad ignē accedūt, quàm possunt proximè, vnde eas sibi contrahunt. ἐκ βαλανείου. s. participium γιγνομένων, vel aliud simile, quæ accedunt, à balneo. Hybernis enim temporibus quibus balneum intrare per pecuniam nō licebat, saltem hoc precibus impetrabant, vt ad ignem balneo subiectū quandoque accederent, vel prunas inde in suas ædes referrēt: nam qui in balneo sunt, huiusmodi ἐρυθήματα non ita sibi contrahunt. Κολοσυρτόν.] Propriè volunt hoc nomen significare sonum qui fit ex aridis lignis detractis: ὁ κτύπος ἀπὸ κάλων συρομένων. vocant enim κᾶλα τὰ φρύγανα, ligna exiccata. Per metaphoram notat sonum quemcūque molestum, & auribus ingratum, qualis est vel puerorū fame tabescentium, vel mulierculaum senio confectarum, eæ enim nunquam non gemere, & plangere audiūtur. φθειρῶν enumerat aliquot animalcula inopibus familiaria: illic enim nascuntur, vbi sordes, situs, & squallor, λέγω. s. ἀριθμὸν, numerū tibi nō dico quantum. Innumera ergo esse ait.

Σχόλια. Αἳ βομβοῦσαι.] ἰδίως τὰς ψύλλας ἀφώνους οὔσας, βομβεῖν φησι. κωνώπων γὰρ μᾶλλον τοῦτο ἴδιον. ἐντεῦθεν παραπλανηθέντες τινὲς θηλυκῶς εἰρῆσθαι ὑπέθεντο τὰς κώνωπας, λυροῦσι δὲ, ἀρσενικῶς γὰρ λέγονται, οἱ δὲ Δωριεῖς, ἀρσενικῶς λέγουσι τὸν ψύλλον. θηλυκῶς δέ τινες τὴν κώνωπα. κατὰ τοὺς Ἀττικούς. ἠχοῦσαι φησιν αἱ κώνωπες. καὶ γὰρ ἠχοῦσα περιίπτατο. ἢ περιίπταται. οὐκ ἔστι δὲ ἀλλὰ πρὸς τὰς ψύλλας ἀποδιδόναι. ἰδίως δὲ ἔστι τὸ ψύλλαν βομβεῖν. οὐ γὰρ προΐεται φωνήν. κώνωπας δὲ λέγει τὰς ἐμπίδας.

Gerardvs. Βομβοῦσαι] sonum edentes, βομ. βομ, est enim βομβεῖν factitium verbū, quod neque ad φθειρὸς, neque ad ψύλλας est referendū, vt pote ἀφώνους, sed ad κώνωπας. quo nomine non modo culices notat, sed muscas, & fucos, aliáque eius generis, quæ quoniā lacte & fructibus gaudēt, idcirco in casis & domunculis agrestiū agminatim volitant βομβοῦντα. Quo autem pertinent hæc, αἱ βομβοῦσαι, cum de pulicibus βόμβος nō dicatur, neque de pediculis? Habuit rationē vocis proximæ,

proximæ, φυλλῶν, quod ad syntaxin pertinebat verborum non ad sensum orationis. φράζουσα. Prosopopœia. Ἀλλά,] dictio hæc παρακελευσματικὴ est, quare age. Ἐπαρίστω,] Imperatiuum ab ἐπαρίσαμαι. Communis persona est ἐπαρίσασθω, Ionica ἐπαρίσαο, Attica contracta, ἐπαρίστω. ἱματίου. Contra id quod Penia dixit, ἀντὶ ἱματίων βαπτῶν &c. Tantum abest vt vestimentis induamur preciosè infectis, vt vix etiam centonibus tegamur. Στιβάδα.] Thorus humi iacens, ex lignis & ramis confectus vel paleis & foliis, Græcis vocatur στιβὰς vel στιβάδιον, nonnulli ἀνακλιντήριον appellãt. Stibadis tenuitatem voluit expressam, cũ σχοίνων addidit, i. iuncorum, ex iuncis confectã, siue iunceam culcitram, quæ dormientem magis frangat, quàm reficiat. Κόρεων.] Cimex odore fœtidus est, in lectis ferè nascitur, ex corrupto ligno, vel paleis. Opponit hoc μύροις ς ακλεῖς quorum meminerat Penia. Addidit autem μισῶν ὑπερβολικῶς. εὕδοντας, non modò dormitur entes, sed & iam dormientes, & alto sopore dessertentes.

BISETVS. Στιβάδα] Εὐσταθιος. στιβὰς, ἡ εὐτελὴς, καὶ καταπεπιλημένη στρωμνή. παρὰ τὸ στείβω, τὸ καταπατῶ. εἰ δὲ τὴν στιβάδα φύλλων χαμαὶ κατακεκλιμένων, ἢ τινα ἡμιόνων διὸν καλοῦσι.

Σχόλια. Φορμόν.] φορμὸς πᾶν πλεκτὸν, ἐνταῦθα δὲ τὸ ψιάθιον. Ἀντὶ μὲν ἄρτων.] διπλοῦν ἦν ἄρτος καὶ μάζα, ὅτι ὁ μὲν ἄρτος πάλαι μεμάλακται. ἡ δὲ μάζα νῦν.

BISETVS. Ἄρτος δὲ παρὰ τὸ αἴρειν, τὸ προσφέρειν, ὅθεν καὶ προσαρμόζει αἱ τροφαὶ διὰ τὸ τοῦ σχήματος ἄρτιον, ὃ ἐστι τέλειος οἱ γὰρ ἄρτοι κυκλοτερεῖς εἰσὶν εἰς ὁμοίωσιν τοῦ τοῦ παντὸς σφαιροειδοῦς, ἢ καὶ ἄρτοι λέγονται, οἱονεὶ ἀρτίοι, διὰ τὸ τοῦ σχήματος ἄρτιον, ἤγουν τέλειον. Μάζα δὲ παρὰ τὸ μάττειν, τὸ φυρᾶν. Σουΐδας. μάζα, ἄρτος, φύραμα. κυρίως δὲ μάζα ἡ τροφὴ ἀπὸ γάλακτος, καὶ σίτου.

GERARDVS. Φορμὸν,] nos tegetẽ aut stoream vocamus, stramineum tegmen. εὐμεγέθη. Durities, non vastitas lapidis, obstat dormienti, sed rustico more duritiem à magnitudine metitur. μαλάχης, malua est hortensis & satiua quæ quàm agrestis, sapidior multo est & esui aptior, quanquam vtraque parum admodum sapida. Inter multas commoditates, præcipuum hoc habet incommodum, quod stomacho aduersetur. Eius autem rationem habet magis ex sapore, quàm ex occultiore vtilitate.

Σχόλια. Ἰσχνῶν ῥαφανίδων.] ἀτλικῶς ῥαφανίδα λέγουσιν ἡμεῖς ῥάφανον. πάλιν δὲ ῥάφανον λέγουσιν ἡμεῖς κράμβην. εἴρηται δὲ ῥαφανὶς παρὰ τὸ ῥᾳδίως φαίνεσθαι. λόγος γὰρ ὡς σπειρομένη θᾶττον ἀνιέναι. Ἀντὶ δὲ θράνους.] θράνος, ὑποπόδιον. ὁ καὶ θρανῖον ἴσως παρὰ τῷ ποιητῇ. καὶ ναὸς θράνος. ἀλλὰ καὶ θρανίτης. ἐτυμολογεῖται δὲ παρὰ τὸ θρόνον, παρὰ τὸ θρανεῖν ὅ ἐστι καθῆσθαι. τὸ δὲ στάμνου, δοκεῖ ἀρσενικῶς εἰρῆσθαι ὡς δηλοῖ τὸ, κατεαγότος. ἢ τὸ θῆμα ἄγω τὸ κλῶ. προσκείμενος ἦχε ὁ μῦθος ἤγαγε καὶ ἐν ...

A λύειν ἕαγε. ὅθεν μιλοχὴ ὁ ἕαγος. καὶ ἐξ ... ὅρα δὲ ὅτι στάμνου κεφαλὴν λέγει μεταφορικῶς τὸ ἄνω πρὸς τῷ στόματι. οὕτω δὲ καὶ πιθάκνης πλευρὰ τὸ ταύτης πλάγιον. εἰ δὲ στάμνου κεφαλὴν λέγει, εἴη ἂν αὐτὸ σύμφωνον τῷ, πίθου κρήδεμνον παρὰ τῷ ποιητῇ. κεφαλῆς γὰρ φόρημα τὸ κρήδεμνον. ὅτι δὲ ἀπὸ τοῦ στάμνου ἢ τοῦ στάμνος καὶ Ζεὺς λέγεται στάμνιος, δηλώσει που καὶ ὁ κωμικός. τινὰ δὲ τῶν ἀντιγράφων, ἀντὶ στάμνου κεραμίου γράφεται. Ἀντὶ δὲ μάκτρας.] μάκτρας τοὺς παλαιοὺς θυεια ἐπιμήκης ἐν ᾗ μάττουσι τὰ ἄλευρα, ὅθεν καὶ γίνεται. παρὰ τὸ μάσσω γὰρ ἡ μάκτρα. ὅθεν καὶ μεμαγμένον πρόσωπον) καὶ ἡ μάζα γίνεται,

B πενίας δὲ πάντως δῶρον καὶ ἡ τοιαύτη μάκτρα ἡ ἐκ πιθάκνης καὶ ταύτης διόλου συνεχοῦς, ἀλλὰ διερρωγυίας τὴν πλευρὰν ἐν ᾗ τὸ μάγμα γίνεται. ... λέγεται ἡ πιθάκνη, καὶ ... πολίχνιον. ὅρα δὲ ἐν τοῖς προειρημένοις καὶ σχῆμα κάλλους ἐπαναφορικὸν διὰ τῆς ἀντὶ προθέσεως. τοιοῦτον γὰρ τὸ ἀνθ' ἱματίου ἀντὶ τάπητος ἀντὶ προσκεφαλαίου. ἀντὶ ἄρτου. ἀντὶ μάζης. ἀντὶ θράνους. ἀντὶ μάκτρας. ἔχει δὲ ἔτι καὶ ἐπιμονῆς τὸ τοιοῦτον σχῆμα. ... ὁ Χρεμύλος καὶ πρὸς τὴν κλίνην

C λέγει ἡ Πενία εἶναι καὶ τοὺς τάπητας καὶ τὰ μύρα καὶ τὰ πορφυρᾶ ἱμάτια, τὴν ῥιβδὴν στιβάδα καὶ τὸν φορμὸν ἀντιθεῖσα καὶ τοὺς κακῶς ὀδωδότας κόρεις καὶ τὸ ῥάκος. προσθεὶς τὰ λοιπὰ ἐπίκεινται αἷς ἐπαυξήσει τῶν τῆς πενίας κακῶν.

GERARDVS. Ἰσχνῶν,] tenuium, gracilium: Atqui hoc nomine videntur folia commẽdabiliora, quo enim magis sunt tenuia, eo sunt teneriora: sed innuit propter egestatem ipsi non licere

D expectare dum folia in iustam excreuerint magnitudinem. Ῥαφανίδων. Interpres Græcus ait per quintam declinationẽ ῥαφανίδων. Atticè dici pro ῥαφάνων. Olim autẽ ῥάφανον fuisse, quod nũc κράμβην. i. brassicam appellamus. στάμνου. στάμνος. vel στάμνιον dicitur ἀμφορεὺς ἐν ᾧ ὁ οἶνος βάλλεται. i. amphora in qua vinum fertur, duo habet latera, vinũ hinc inde continentia, vt sedeat super stamnum, oportet alterum latus deprimi, alterum leuari, quod sursum spectat κεφαλὴν appellat, quòd

E autẽ addit caput illud fractũ esse, notat hinc molestiã quã sentit sedendo, apertũ enim vas podex ingreditur, quare non quiescit: nates verò à circunferentia cui insidet, grauiter læditur, ea enim nõnihil acuta est, aut certe non satis obtusa, quò fit, vt qui ita sedeat, illic diu nõ consistat, nisi ægerrimè. Κατεαγότος.] Participiũ est mediũ à κατάγνυμαι. Vide ἄγω in catalogo τῶν ἀνωμάλων. Μάκτρα] παρὰ τὸ μάσσω, i. pinso dicitur, arca est in

F qua panis pinsitur. Ridiculè ait se pro mactra vel latere dolioli, quod rimosum sit, & diductum. Si enim rimas agit, vix est vt farinã & aquã subigẽdo pani contineat. ἐρρωγυῖαν. ῥήσσω, findo, scindo, mediũ facit ῥήσσομαι. cuius perfectũ ἔρρηγα, mutat η in ω, vnde ἔρρωγα quod creat participium ἐρρωγὼς ἐρρωγυῖα. πτωχῶν. i. βίον.

Ἀντὶ δὲ θράνους, στάμνου κεφαλὴν κατεαγότος·
ἀντὶ δὲ μάκτρας,

G Πιθάκνης πλευρὰν, ἐρρωγυῖαν καὶ ταύτην; ἆρά γε πολλῶν
Ἀγαθῶν πᾶσι τοῖς ἀνθρώποις ἀποφαίνω σ' αἰτίαν οὖσαν; (ὑπεκρούσω.
Πε. Σὺ μὲν οὐ τὸν ἐμὸν βίον εἴρηκας, τὸν τῶν πτωχῶν δ'

Prosede, cadum capite effracto: pro mactra, doliolorum
Latera, ipsa etiam diffissa? An non quæ bona des plurima, monstro:
Teq́ ostendo omnibus hominibus causam quãdam esse bonorum? (proposuisti.
PA. *Atqui tu non mea, sed mendicorum mala*

Σχόλια. Ὑπεκρούσω] ἐφθέγξω, ἀνεκρούσω. ἀπὸ μεταφορᾶς τῶν κιθαρῳδῶν ἤ τινος ἄλλου τοιούτου ὀργάνου, ...

τοχα δὲ πλωχεία πενίας. ὅτι ἡ μὲν πενία, μεμετρημένη ἐστὶν ἔνδεια, πόνῳ τὰ χρειώδη θηρῶσα. πενέσθαι δὲ τὸ πένεσθαι ὃ ἐστιν ἐνεργεῖν, εἴρηται, καὶ ἐκ τούτου πορίζειν τὰ χρειώδη. ὁ δὲ πλωχὸς, παρὰ τὸ πλώσσειν πάντας.

Gerardvs. Ὑποκρίνω.] secunda persona indefiniti prioris medij, ab ὑποκρίνομαι, quod

A proprie est, fides pulso. ἀδελφὴν, sororem, coniunctissimam, & simillimam. οἵπερ scilicet φατέ. Exemplaria quædam ita habent, Διονύσιον φάθ' ὁμοῖον. Vbi εἶναι subaudiendum, & ὁμοῖον Attice, pro ὅμοιον, effertur.

Χρ. Οὐκοῦν δήπου τῆς πλωχείας πενίαν φαμὲν εἶναι ἀδελφήν.

CH. *Atqui paupertatem mendicitatis dicimus esse sororem.*

Πε. Ὑμεῖς γ', οἵπερ καὶ Θρασυβούλῳ Διονύσιον εἶναι ὅμοιον.

B

PA. *Vos sane: qui Dionysium adæquare soletis Thrasybulo.*

Ἀλλ' οὐχ ὁ ὑμὸς τοῦτο πέπονθε βίος, οὐ μὰ Δί', οὐδέ γε μέλλει.

Sed mea vita nihil tale experta est: neque tale experietur

Πτωχοῦ μὲν γὰρ βίος, ὃν σὺ λέγεις, ζῆν ἐστι μηδὲν ἔχοντα·

Vnquam: mendici hæc vita est, quam dicis, nihil prorsus habendo

Τοῦ δὲ πένητος, ζῆν φειδόμενον· καὶ τοῖς ἔργοις προσέχοντα·

Viuere: sed pauperis est: viuere parce, rebúsque gerendis

Περιγίγνεσθαι δ' αὐτῷ μηδὲν, μὴ μέντοι μηδ' ἐπιλείπειν.

C

Operam dare: vti nihil habenti, nihil in vita quoque desit.

Χρ. Ὡς μακαρίτην, ὦ Δάματερ, τὸν βίον αὐτοῦ κατέλεξας·

CH. *O quàm fœlicem vitam narras pauperis atque beatam:*

Εἰ φεισάμενος καὶ μοχθήσας, καταλείψει μηδὲ ταφῆναι.

Si parcendo atque laborando vix tantum à morte relinquat,

Πε. Σκώπτειν πειρᾷ, καὶ κωμῳδεῖν, τοῦ σπουδάζειν ἀμελήσας·

Vnde ipsius sepeliri possit. PA. *Risu, ludo atque cauillis,*

Σχόλια. Οἵπερ καὶ Θρασυβούλῳ.] τὰ μὴ ὅμοια φασίν. ὡς εἴ τις λέγοι Διονύσιον τὸν ἐξώλη τύραννον, ἐοικέναι D Θρασυβούλῳ τῷ Λύκου ἀνδρὶ φιλοπόλιδι καὶ παντὸς κρείττονι λόγου διά τε τὰς ἐπιφανεῖς αὐτοῦ κατὰ τῶν πολεμίων νίκας, καὶ διότι κατέλυσε τὴν τῶν λ τυραννίδα. οὗτος γὰρ ὢν ἐξ αὐτῶν ἐκπεσὼν, μετὰ ταῦτα φυλὴν καταλαβὼν, καθεῖλεν αὐτούς. ἄλλως μήποτε ἀξιωματικὸς καὶ αὐθάδης. ὡς Στράττις ἐν τῷ Κινησίᾳ. Διονύσιος δὲ ὁ μέν τις φαίνεται μαγειρόμενος ὁ δὲ ὡς ἔοικεν ἰχθυοπώλης. μή ποτε δὲ ἐστὶν ἐπὶ τὴν ὄψιν ἀποσκώπτει ὡς ὁμοιουμένων σφόδρα ἀνομοίως, μᾶλλον δὲ ἄν τις ὑπονοήσειεν ἑτέρον Διονύσιον Θρασυβούλου τοῦ Κολυττέως ἀδελφὸν ἐγγίστα συγγένειαν εἶναι. καὶ ἐν τῇ Ἰλιάδι σαφὲς ἔρον οὐδὲν ἢ κατὰ Δίδυμον. ὡς εἴ τις λέγοι Διονύσιον τὸν ἐξώλη τύραννον ἐοικέναι Θρασυβούλῳ τῷ Λύκου, ἀνδρὶ φιλοπόλιδι καὶ παντὸς κρείττονι λόγου, διότι κατέλυσε τὴν τῶν λ τυραννίδα. ἄλλως. οἱ Λακεδαιμόνιοι κρατήσαντες τῶν Ἀθηναίων ἔταξαν λ τυράννους ἀπὸ τῆς πόλεως ἐν Ἀθήναις διατρίβειν. ὁ οὖν Θρασύβουλος ἐραστὴς ὢν τῆς δημοκρατίας κατέλαβε φυλὴν τῆς Ἀττικῆς μετά τινων ἄλλων, μεθ' ὧν κατέλυσε τοὺς λ. Διονύσιος δὲ τύραννος ὠμὸς ἐν Σικελίᾳ. ἄλλως. ὁ μὲν Διονύσιος, ἐμμανής. ὁ δὲ Θρασύβουλος ἄσους. ἢ Διονύσιος, τύραννος. ὁ δὲ Θρασύβουλος ἀτελὴς καὶ πένης πλὴν θρασύς. ἄλλως. ἡ Πενία φησὶν [illegible] πρὸς τὸν Χρεμύλον ὅτι τὰ μὴ ὅμοια ὅμοια λέγεις εἶναι, ὥσπερ ἂν εἰ τὸν Σικελίας τύραννον Διονύσιον ὅμοιον εἶναι τῷ Θρασυβούλῳ ἀνδρὶ χρηστῷ καὶ κοσμίῳ.

Gerardvs. Θρασυβούλῳ.] Thrasybulus Atheniensis vir fuit supra modum φιλόπολις, & democratiæ Atheniēsis studiosus, qui quinqua- G ginta tyrannos, quos Lacedæmonij victores Atheniensibus victis constituerant, de Tyrannide fortiter expulit. Dionysius contra, in Sicilia vixit Tyrannus pestilentissimus. Sicque vixit, vt tandem exutus imperio, coactus sit Corinthi ludum aperire, & pueros literas docere. Quoniam itaque hi fuerunt inter se studiis multo diuersissimis, factum est, vt qui res longo interuallo inter se dissidentes componerent, Dionysium Thrasybulo similem existimare dicerētur. Οὑμὸς] pro ὁ ἐμός. nam ο & ε in ου contrahuntur. Τοῦτο, hoc: eas incommoditates quas pauperibus esse dixisti, mea vita non passa est. i. ego dum vixi nunquam ea mala sustinui. Πέπονθε,] perfectum medium ab anormi πάσχω, patior. Latinè nō infeliciter per contingit, redditur. οὐ μὰ Δί'. Tribus negationibus, & iureiurando interposito, rē asseuerātius negat. μέλλει. s. πείσεσθαι, passura est. πλωχοῦ. Statuit discrimen inter πένητα καὶ πλωχόν. Mēdicus viuit cùm nihil ipse habeat, sed ex aliis E mendicatim accipiat. Propterea dictum volunt πλωχὸν ὡς ἐκπεπτωκότα καὶ καταβάντα ἀπὸ τοῦ πλούτου εἰς ἔνδειαν, id est, qui à diuitiis excidit, & lapsus est in rerum carentiam, & penuriā. At πένης παρὰ τὸ πένεσθαι, quod est ἐνεργεῖν, laboribus & sudore bona sibi parare. Mendicus in necessitate, perā F habet cōfugium vnicum: Pauper, laborem & industriam. ἔχοντα. s. πλωχόν. Vita mendici est, eum nihil habentem viuere. i. vt viuat de alieno tantùm. τοῦ δὲ πένητος. s. βίος ἐστὶ, contrà pauperis vita sic est, vt viuat parcendo, habet itaque aliquid pauper: præterea προσέχοντα. s. τὸν νοῦν, animum adiungentem vt velit rebus gerendis animum applicare, Laborem non detrectare.

Σχόλια. Περιγίγνεσθαι δ' αὐτῷ.] περιγίνεσθαι σημαίνει μὲν καὶ τὸ νικᾶν. σημαίνει δὲ καὶ τὸ περιττεύειν ὡς ἐνταῦθα. Ὡς μακαρίτην ὦ Δάματερ.] ὅτι ἁπλῶς ἐστὶν ἀσυνήθως κατεχρήσατο ἀντὶ τοῦ μακάριον. εἰ μὴ ἄρα παίζει, ὅτι νεκρόβιον. ἄλλως. ὥσπερ εἰώθασιν Ἕλληνες ἐπειδὰν τι παράδοξον ἀκούσωσι χειλιάζειν καὶ βοᾶν, Ἡράκλεις. ὦ Ἄπολλον. ἢ ὦ Ζεῦ, οὕτω καὶ οὗτος ἀκούσας τῆς Πενίας τοιαῦτα λεγούσης, ὥσπερ χειλιάζων βοᾷ, ὦ Δάματερ. εἰκότως δὲ πρὸς τὴν γῆν ποιεῖται τὸν λόγον ὡς γεωργός.

Gerardvs. Μηδέν.] Medius est pauper

inter

inter diuitem & mendicum: diuiti res familiaris abundat, mendico deficit, pauperi neque abundat, neque deest, tantum habet quod ad vitam satis est. Μακαρίτης] propriè dici volunt, de eo qui iam sit mortuus, & ideo beatus, quòd à miseriis quæ in vita sunt, liber sit. Tectè igitur significat vitam mendici, quandam esse mortis speciem, & nõ aliud esse, quàm βίον νεκρώδη, mortuam vitam. Alioqui dixisset, μακάριον βίον. Δάματερ. Doricè & rusticè, pro Δήμητερ. Vrbanius dictum esset, ὦ Ζεῦ.

BISETVS. Καταλείψει μηδὲ ταφῆναι] ὁ πολλοῖς τῶν καλῶν, καὶ ἀγαθῶν, καὶ λαμπρῶν ἀνδρῶν διὰ τὸ ἀδικεῖν συνέβη, καὶ πάλαι, καὶ νῦν παθεῖν συμβαίνει.

GERARDVS. Μηδὲ ταφῆναι,] ne sepeliri quidem. i. μηδὲ τὰ εἰς τὴν ταφὴν ἀναγκαῖα, id est, quæ A exequiis & sepulturæ sufficiant. πειρᾷ, conaris, secunda persona à πειράομαι. κωμῳδεῖν.] Vt Tragici est luctum spectatoribus excitare, ita comici, risum. Hinc frons comica pro exporrecta & hilari accipitur, & comici sales & risus, pro suauibus, festiuis & iucundis. Præter facetias autem recipit comœdia etiam scommata, & mordacia dicteria. Hoc posterius per verbum σκώπτειν notatur, significat enim ὑβρίζειν. Alterum verò, nempe iocari per κωμῳδεῖν. i. παίζειν. tametsi κωμῳδεῖν B vtramque habere significationem non me fugit. τοῦ σπουδάζειν, τῶν σπουδαίων. Πλούτου. dicimus βελτίονας τοῦ Πλούτου, non meliores Pluto, sed meliores quàm, Plutus præbeat. τὴν γνώμην, scilicet, κατὰ. per ἰδέαν, formam accipe, & corporis habitum. τῷ pro τούτῳ.

Οὐ γιγνώσκων, ὅτι τοῦ Πλούτου παρέχω βελτίονας ἄνδρας
Καὶ τὴν γνώμην, καὶ τὴν ἰδέαν. παρ' αὐτῷ μὲν γὰρ ποδαγρῶντες,
Καὶ γαστρώδεις, καὶ παχύκνημοι, καὶ πίονές εἰσιν ἀσελγῶς.
Παρ' ἐμοὶ δ' ἰσχνοὶ, καὶ σφηκώδεις, καὶ τοῖς ἐχθροῖς ἀνιαροί.
Χρ. Ὑπὸ τοῦ λιμοῦ γὰρ ἴσως αὐτοῖς τὸ σφηκῶδες σὺ πορίζεις.
Πε. Περὶ σωφροσύνης ἤδη τοίνυν περανῶ σφῷν. καὶ ἀναδιδάξω

Non seriò agis rem: neque perpendis, quòd ego reddo viros, quàm
C *Plutus, meliores ingenio & specie. Nam apud hunc podagrosi,*
Ventriosi, crassis suris, pingues, & supra modum obesi.
At apud me graciles atque agiles, & formidandi inimicis.
CH. *Gracilitatem hanc tu inducis per ieiunia nempè, faméque.*
D PA. *De vitæ integritate atque modestia eorum paucula dicam,*

Σχόλια. Ποδαλγοῦντες.] Τοιοῦτοι γὰρ οἱ πλούσιοι γίνονται ὑπὸ τῆς τρυφῆς, ὅπερ ἀσελγείας καὶ φαυλότητος δηλωτικόν ἐστι. γράφεται δὲ καὶ ποδαλγοῦντες. τὸ ποδαγρῶντες ὅτι καὶ αὐτὸ τὸ πάθος καὶ ποδάγρα λέγεται τὸ ποδαλγία. Σφηκώδεις] λεπτοὶ κατὰ τὸ μέσον ὡς σφῆκες. ἢ πικροὶ ἐπεὶ καὶ τὸ ζῷον πικρόν ἐστι σφόδρα. ἅμα μὲν ὅτι καὶ δριμύτεροι. ἅμα δὲ ὅτι καὶ ἰσχνότεροι γίνονται οἱ λιμώττοντες, ὡς σφῆκες. ἄλλως σκληροὶ ἢ λεπτοί. μάλιστα τὰ κάτω τῆς γαστρὸς διὰ τὸ γοργὸν καὶ εὐκίνητον. τοιοῦτοι γὰρ οἱ σφῆκες ἐς τὸ μέσον. Τοῖς ἐχθροῖς ἀνιαροί.] ὁ γὰρ ταῖς σαρξὶ μὴ βαρυνόμενος, ἀλλὰ κούφως ἔχων τοῦ σώματος, ῥᾷστ' ἂν καὶ πρὸς τοὺς ἐχθροὺς ἀντιταχθείη. τοιοῦτοι δὲ οἱ πένητες διὰ τὸ μὴ εὐπορεῖν ἀφθόνου τροφῆς.

GERARDVS. Ποδαγρῶντες] Podagra morbus ferè est φιληδόνων, & gulonum. Lectum est, viros articulari morbo & podagra laborantes, cùm ad mensam reducti fuissent frugaliorem, suo morbo esse liberatos. γαστρώδεις. & ventrosi, & sura saginata homines tardi, & πίονες, id est, corpulenti. & crassi, suam adipem nulli, quàm crapulæ debent, vbi autem si non apud diuites, ἀδηφαγίαν expleas? Ἀσελγῶς,] σελγοὶ, vt scribũt, ἔθνος σωφρονέστατόν ἐστι, ἔνθεν ἀσελγεῖς μὴ σώφρονες, id est, Selgi, gens est temperatissima, hinc aselges dicti, intemperati. Ergo ἀσελγῶς immoderatè, supra modum. Nam ἀσελγὲς vocant prægrande, & ἄνεμον ἀσελγῆ, magnum ventum. Σφηκώδεις,] ὡς σφῆκες λεπτοὶ, quibus, vt vespis, corpus est gracile. Ne quis autem putet eos ideo viribus destitutos, & imbelles, quòd macie sint confecti, Penia statim subiicit, καὶ τοῖς ἐχθροῖς ἀνιαροὶ, & hostibus infesti. Primùm consilio, cùm præpingues illi nihil aut parum prospiciant: venter enim eorum oppletus, & exæstuans animum obruit. Deinde corpore, nam bello gerendo, & hosti debellando sunt aptiores, victum hostem persequuntur alacriùs, à victore fugiunt expeditius. Proinde Epaminondas Thebanorum dux, cùm vnum a- E liquem ex suis ventrem gestare videret prominentiorem, ab exercitu iussit submouendum, propterea quòd (hæc enim fuit honesta submouendi illius causa) vix tres, quatuórve clypei ventrem eum tegerent, qui impedimento fuisset, quo minus ille sua pudẽda videret vnquam. τὸ σφηκῶδες, τὴν κουφότητα, exilitatem. Est in his verbis, σκῶμμα, sed ad quod Penia non videtur aduertere, nam neglecto eo, persequitur institu- F tum. Itaque postquàm compendiosè de iis dixit, quæ ad corpus pertinent, transit ad ea quæ animi sunt.

Σχόλια. Περὶ σωφροσύνης ἤδη] καταλέξασα τὰ ἀγαθὰ ἃ δι' αὐτὴν ἀνθρώποις γίνονται. νῦν βούλεται ἀποδεῖξαι, ὅτι καὶ σωφροσύνης αἰτία ἐστὶν, ὥσπερ ὁ πλοῦτος τοὐναντίον. εἰκότως δὲ εἶπε τὸ ἀναδιδάξω. τὸ γὰρ ὅτι γαστρώδεις εἶχε τοὺς ἀνθρώπους τὴν τοῦ πλούτου γινώσκει, καὶ ἀσελγεῖς ἔλεγεν. οἱ γὰρ πλεῖστα ἐσθίοντες καὶ G πρὸς τὸ ἀκολασίαν φοροὶ εἰσιν. Συμπεραίνει τὸ συλλογιζόμενον ἀφ' οὗ καὶ συμπέρασμα παρὰ φιλοσόφοις, τὸ ἐκ τῶν προτάσεων συναγόμενον. τὸ γὰρ κύριον μέρος τοῦ συλλογισμοῦ οὐδέν ἐστιν ἕτερον ἀλλ' ἢ τὸ συμπέρασμα. σύγκειται γὰρ ὁ συλλογισμὸς ἐκ δύο προτάσεων καὶ συμπεράσματος. καὶ ἔστι τὸ συμπέρασμα ἀπόδειξις τοῦ ζητουμένου ἀναντιῤῥήτως. ἡ Πενία γοῦν καταλέξασα τὰ ἀγαθὰ ἃ δι' αὐτὴν ἀνθρώποις γίνεται νῦν βούλεται ἀποδεῖξαι ὅτι καὶ σωφροσύνης αἰτία ἐστὶν, ὥσπερ ὁ Πλοῦ-

λος τοὐναντίον. εἰκότως δὲ εἶπε τὸ ἀναδιδάξω. καὶ γὰρ ὁ τε γαστρώδεις ἔλεγε τοὺς ἀνθρώπους ἤγουν ἀσελγεῖς ὑπὸ τοῦ πλούτου ἔλεγε γίνεσθαι. οἱ γὰρ πλεῖστα ἐσθίοντες καὶ εἰς τοῦτο κατάφοροι.

GERARDVS. Πειρασῶ] futurum à πειραίνω,

A absoluam paucis, ne verbosior videar, & ne loquacitatem nimiam prætendentes, meam causam audire nolitis. Αναδιδάξω.] Propriè hoc: est enim ἀναδιδάσκω contrà quàm quis credat, aliquid doceo & demonstro. ὑβρίζειν, ἢ ὕβρεις.

Ὅτι κοσμιότης οἰκεῖ μετ' ἐμοῦ. τοῦ πλούτου δ' ἐστὶν ὑβρίζειν.
Χρ. Πάνυ γοῦν κλέπτειν κόσμιόν ἐστι, καὶ τοὺς τοίχους διορύττειν;
Βλ. Νὴ τὸν Δί' εἴ γε δεῖ λαθεῖν αὐτὸν, πῶς οὐχὶ κόσμιόν ἐστι;
Πε. Σκέψαι τοίνυν γ' ἐν ταῖς πόλεσι τοὺς ῥήτορας. ὡς ὁπόταν μὲν
Ὦσι πένητες, περὶ τὸν δῆμον καὶ τὴν πόλιν εἰσὶ δίκαιοι.
Πλουτήσαντες δ' ἀπὸ τῶν κοινῶν, παραχρῆμ' ἄδικοι γεγένηνται.
Ἐπιβουλεύουσί τε τῷ πλήθει, καὶ τῷ δήμῳ πολεμοῦσιν.
Χρ. Ἀλλ' οὐ ψεύδει τούτων γ' οὐδὲν καίπερ σφόδρα βάσκανος οὖσα.
Ἀτὰρ οὐχ ἧττόν γ' οὐδὲν κλαύσει. μηδὲν ταύτῃ γε κομήσῃς
Ὅτι ζητεῖς τοῦτ' ἀναπείθειν ἡμᾶς, ὡς ἐστιν ἀμείνων
Πενία πλούτου. Πε. καὶ σύ γ' ἐλέγξαι μ' οὔπω δύνασαι περὶ τούτου
Ἀλλὰ φλυαρεῖς καὶ πτερυγίζεις. Χρ. καὶ πῶς φεύγουσί σ' ἅπαντες;

Vósque docebo, quod apud me sit laudata modestia vitæ:
Sed apud Plutum iniuria. CH. *quasi modesti hoc* B *fiet, aut mediocris,*
Furari, perfodere parietes? BL. *certè: nã latitare*
Si eum oportet, qui admisit: quomodo non tibi honesta hæc videantur?
PA. *Quæso aspice tantùm vrbis causidicos: qui quantisper egent*
Sunt, erga populum atque vrbem, se prabent æquos facilésque:
C *Ditati è Republica, omnes confestim efficiuntur iniqui:*
Plebique parant insidias: & populo bellum facere audent.
CH. *Nihil horum mentiris: licet vsque adeò mihi sis odiosa:*
Pœnam tamen hic nihilo secius dabis: vt ne idcirco tumescas,
Quòd nobis psuadere aggrederis, diuitijs meliorẽ
D *Paupertatem esse.* PA. *At tu istorum nescis conuellere quicquam,*
Sed nugas agis & frustra alas audes expandere. CH. *qui fit*

Σχόλια. Πάνυ γοῦν.] ἐν εἰρωνείᾳ. ἐπεὶ οἱ πένητες κλέπτουσι διὰ ἀπορίαν. Πῶς οὐχὶ κόσμιον.] τὸ πειρᾶσθαι λαθεῖν. τοῦτο δὲ ὁ ἕτερος πρεσβύτης λέγει πειράζων καὶ χλευάζων ἢ ὅτι τὸ παλαιὸν οὐ διεβέβλητο ἡ κλοπὴ εἰ μὴ φωραθεὶς κλέπτης ὑπῆρχεν. ἄλλως. εἴγε ὁ κλέπτης λανθάνει. ψυχρὸν δὲ τὸ ἐνθύμημα.

E

. GERARDVS. Πάνυ γοῦν.] Ironia est, quam Blepsidemus alia excipit ironia dum subdit, Νὴ τὸν Δία αὐτὸν scil. κλέπτειν ἢ τοιχωρύχειν. τοὺς ῥήτορας, Ecce vt suum in rhetores odium nescit dissimulare! Iam anteà insectatus eos erat illic apertissime. ἕτεροι δ' ἐπλούτουν, ἱερόσυλοι ῥήτορες, καὶ συκοφάνται. Et illic, τὸ στόμ' ἐπιβύσας κέρμασι τῶν ῥητόρων. περὶ τὸν δῆμον, in causis priuatis περὶ τὴν πόλιν, in communi & publica causa. τῶν κοινῶν. scil. χρημάτων.

F

Σχόλια. Ἐπιβουλεύουσί τι.] διαβάλλει τοὺς ῥήτορας ὡς δῶρα λαμβάνοντας παρὰ τῶν πολεμίων ἀσύμφορα τῇ πόλει συμβουλεύουσιν. καὶ ἰδόντες αὐτοὺς τούτους ἀμύνασθαι. Καίπερ σφόδρα.] συναινεῖ δυσχεραίνουσα τὸ κατὰ τῶν ῥητόρων πρᾶγμα διαφορεῖν. τὸ δὲ βάσκανος ἁπλῶς ἐπὶ λοιδορίᾳ τίθεται.

BISETVS. Βάσκανος] ὁ φθονερὸς ὁ κακοήθης, ὁ συκοφάντης οὕτω καλεῖται. ὅθεν τὸ βασκαίνειν, τὸ φθονεῖν, τὸ ἀχαριστεῖν τὸ συκοφαντεῖν. καὶ βασκανία, ὁ φθόνος, ἡ ἀχαριστία ἡ κακοήθεια, ἡ συκοφαντία βασκαίνειν δὲ λέγεται παρὰ τὸ τοῖς φάεσι καίνειν, ὅ ἐστι τοῖς ὀφθαλμοῖς κτείνειν. διὰ τοῦ βλέμματος φθείρειν.

G

GERARDVS. Ἐπιβουλεύουσι,] popellum circumueniunt, & bona eius insidiosa oratione ad se trahunt. πολεμοῦσιν, non armis, & aperto Marte dimicant, sed orationibus, quibus reipublicæ statum perturbant, & vrbem factionibus proscindunt: tunc enim ad dicendum maximè prodeunt, ex communibúsque incommodis vberrima sibi & amplissima comparant cõmoda. ψεύδει Atticum pro ψεύδῃ, & τούτων pro ἐν τούτοις ἓν & οὐδὲν pro solo οὐδ' ἕν, κατ' οὐδέν. nulla in parte in negotio rhetorum.

Σχόλια. Ἀτὰρ οὐχ ἧττον.] ὅμως φησὶν εἰ καὶ ἀληθεύεις μὴ μέγα φρονήσῃς. οὐδὲν γὰρ ἧττον ταῦτα πείσῃ. κομήσῃς δὲ ἀντὶ τοῦ ὑπερηφανήσῃς. παρὰ τοὺς κομῶντας. ἢ ἀπὸ μεταφορᾶς τῶν δένδρων, ἃ τὴν κόμην ὕψου ἔχουσι. τοιοῦτοι δὲ καὶ οἱ ὑπέρφρονες ὕψου τὴν γνώμην αἴροντες. τοῦτο δὲ διὰ μέσου εἴρηται, καὶ ἔστι τὸ ὅτι ζητεῖς πρὸς τὸ κλαύσει. Καὶ πτερυγίζεις.] κοῦφα καὶ μάταια διαλέγῃ. ἀπὸ τῶν νεοττῶν. ἃ πειράζουσι μὲν τὰς πτέρυγας ἐκτείνεσθαι δὲ οὐ δύνανται. οὕτω καὶ σὺ θέλεις μὲν εἰπεῖν καὶ πειράζεις. οὐδὲν δὲ ἀνύεις. ἄλλως. ἀλλὰ φλυαρεῖς διαλογῶν. τὸ γὰρ πτεροῦν ἠχῶδες καὶ θορυβητικόν. ἢ κοῦφα λαλεῖς ἢ ματαιοπονεῖς. ἀπὸ μεταφορᾶς τῶν ὀρνίθων τῶν μὴ δυναμένων πέτεσθαι διὰ τὸ βραχὺ τῆς ἡλικίας: ἄλλως. ἀντὶ τοῦ πειράζεις πολλὰς ἀνηνύτους ὁρμάς. καθάπερ καὶ οἱ νεοττοὶ πειράζοντες τὴν πτέρυγα καὶ γυμνάζοντες ἄπρακτον ἔχουσι τὴν τῆς πτήσεως φοράν.

GERARDVS. Κλαύσει] itidem pro κλαύσῃ à κλαίομαι, quanquam κλαίω vsitatius. Scilicet Attici voces passiuas pro actiuis amant capere

pere. ταύτῃ scilicet αἰτίᾳ vel ὁδῷ, hac via, modo, ratione & causa, quoniam scilicet aliquid dixeris de rhetoribus, quod volentes credidimus, neque vllo modo tibi in ea re contradiximus. ὅτι respicit verbum κλαύσει. τοῦτο, hoc quod sequitur ὡς ἐστὶν ἀμείνων &c. περὶ τούτου, in

A hac disputatione, vtrum præstet, diuitiæ ne an paupertas. Πτερυγίζεις.] verbum hoc ad auiculas pertinet, volitare gestientes, per ætatem verò adhuc inuolucres: per metaphoram significat frustra conari, ματαιοπονεῖν καὶ οὐδὲν ἀνύειν. Multa quidem dicis, verum nihil efficis.

Πε. Ὅτι βελτίους αὐτοὺς ποιῶ. σκέψασθαι δ' ἐστὶ μάλιστα

Ergo, quòd te omnes fugiunt? PA. *Quia per me fiunt meliores.*

Ἀπὸ τῶν παίδων· τοὺς γὰρ πατέρας φεύγουσι, φρονοῦντας ἄριστα

B *Id quod vel de pueris nosse imprimis promtum est: etenim illi*

Αὐτοῖς. οὕτω διαγιγνώσκειν χαλεπὸν πρᾶγμ' ἐστὶ δίκαιον.

Patrum auersantur vultus, suadentum ipsis optima queq;

Adeò, quid turpe, quid honestum discernere, res operosa est.

Χρ. Τὸν Δία φήσεις ἄρ' οὐκ ὀρθῶς διαγιγνώσκειν τὸ κράτιστον;

CH. *Ergóne Iouem etiam dices optima non dignoscere posse.*

Κἀκεῖνος γὰρ τὸν πλοῦτον ἔχει. ταύτην δ' ἡμῖν ἀποπέμπει.

C *Nam diuitias habet & ille, & eas nobis cœlitus (offert.*

Πε. Ἀλλ' ὦ Κρονικαῖς γνώμαις ὄντως λημῶντες τὰς φρένας ἄμφω.

PA. *O verè animis Saturninis, & lippis mentibus ambo:*

Ὁ Ζεὺς δήπου πένεται. καὶ τοῦτό γε δὴ φανερῶς σε διδάξω.

Etiam Iuppiter ille ipsius inops est: quod tibi iam manifestò

Εἰ γὰρ ἐπλούτει, πῶς ποιῶν αὐτὸς τὸν Ὀλυμπικὸν ἀγῶνα,

Demonstrabo: nam si diues erat, cur iuxta Elida quondam

Ἵνα τοὺς Ἕλληνας ἅπαντας ἀεὶ δι' ἔτους πέμπτου ξυναγείρει,

Certamen Olympiacum instituens, vt quinto quolibet anno,

D *Omnes illuc Græcos acciret, victores oleastro*

Ἀνεκήρυττεν τῶν ἀθλητῶν τοὺς νικῶντας, στεφανώσας

Præconis voce coronari voluit? si opulentus erat, tum

Κοτίνου στεφάνῳ, καίτοι χρυσῷ μᾶλλον ἐχρῆν, εἴπερ ἐπλούτει.

Auro potius, quàm olea redimire athletam conueniebat.

Σχόλια. Ἀπὸ τῶν παίδων.] δυσχερὲς ἐστὶ μαθεῖν τὸ δίκαιον. ἔγνω καὶ οἱ παῖδες διὰ τοῦτο μισοῦσι τοὺς πατέρας. Τὸν Δία φήσεις.] τὸ μὲν φήσεις λέγεται πρὸς τὴν Πενίαν. τὸ δὲ ταύτην δ' ἡμῖν ἀποπέμπει πρὸς τὸν Βλεψίδημον. ἢ καὶ ζήσεις πρὸς τὸν Βλεψίδημον, ἤγουν ἐρεῖς κατὰ τὸν αὐτῆς λόγον. Ἀλλ' ὦ κρονικαῖς γνώμαις,] ἤγουν ἀρχαίαις μωρίαις ἐσκοτισμένοι τὸ φρονεῖν. παροιμία δὲ ἐστὶν ἐπὶ τῶν ἀμβλυωπούντων. ἥτις εἴρηται καὶ ἐν Νεφέλαις. ἀντὶ δὲ τοῦ γνώμαις, γράφεται λήμαις. λήμη δὲ ἐστι τὸ πεπηγὸς δάκρυον. ὅπερ ἐπιχαθεζόμενον βλάπτει τοὺς ὀφθαλμούς. τὸ γὰρ τῶν γερόντων δάκρυον παχὺ ὄν, λήμας μεγάλας ποιεῖ. σημαίνει οὖν τὸ τετυφλωμένοι τὰς φρένας, ὥσπερ οἱ τὰς λήμας ἔχοντες τῶν ὀφθαλμῶν ἐμποδίζονται τὰς ὄψεις.

GERARDVS. Φρονοῦντας] animo & secum illis quærentes optima, & saluberrima, optimè illis volentes. Quomodo, inquit, filij patres suos fugiunt, non ob id quòd sint patres (hoc nomine enim eos potius amplectuntur) sed quod patres de filijs exigant, quod ipsis bonum est. Sic & homines me fugiunt, non odio mei, sed virtutis & honesti quod in me est. οὕτω. Exclamat Penia dum perpendit quàm sit hominibus difficile virtutem sequi, & amare, cùm filij, propter virtutem, etiam suos oderint patres. φήσεις. Verbum hoc non solùm ad Peniam referri potest, sed & ad Blepsidemum, vt non sit in-

E terrogatio, sed ironia: Si mulierculæ, inquit, huic credis insanæ, dices Iouem etiam, quid verum & æquum sit ignorare. Nam eidem Blepsidemo dicuntur, ταύτην δ' ἡμῖν ἀποπέμπει. Vbi ταύτην magno contemptu profertur, istam pauperiei & omnium calamitatum authorem, ad nos miseros homines transmittit. τὸν πλοῦτον. Hoc ipsum prædixerat, ἄρχει διὰ τίν' ὁ Ζεὺς τῶν θεῶν; Cui respondit Carion, διὰ τ' ἀργύριον, πλεῖστον γὰρ ἔστ' αὐτῷ.

F Κρονικαῖς. O viris saturniis mentibus. Κρόνος temporum Deus poëtis fingitur. Vnde κρόνιον Saturnium, id est, multorum annorum aliquid dicimus. Iam notius fuerit, antiqua pro stultis capi. Plato, ἀρχαιότερος εἶ τοῦ δέοντος, id est, antiquior es, id est, stultior quàm oporteat. Cicero, Negligimus ista, & nimis antiqua, & stulta dicimus. Quin hominem vecordem vocant κρόνον, Saturnum, quemadmodum nugas & deliramenta κρόνους. Nec hinc abest

G quod. Plutarchus homines ætate desipientes vocat κρονολήρους, quasi Saturni more hebescentes. λημῶντες. O viri animo cæcutientes, iudicio corrupto, inscitia, & ignorantia falsi. Græcis, λήμη humor est in oculis crassus, qualis est hominibus ætate affectis. Vnde spissiores lachrymæ genitæ, sic oculorum aciem

occupant, vt senes λημᾷν, id est, cæcutire, & de rebus visis male iudicare cogant. Ad animum non ineleganter transfertur. ὀλυμπιακόν. Certamen Olympicum ab Hercule institutum ferunt: nomen habet ab vrbe Olympia in quam nobilissimi quique Græcorum confluebant, alij tantùm vt variorum certaminum genera viderent, alij vt suæ virtutis specimen ederent. Ludi illi & spectacula numero multitudinis Olympia dicta sunt, que ab Hercule Ioui patri cōsecrata. πέμπτον. Olympia & quinquēnalia fuerunt, & per quinque dies celebrari consueuerūt, quòd quinque fratres essent, Hercules, Peoneus, Epimedes, Iassus, & Ida.

Σχόλια. Κοτίνου στεφάνῳ.] κοτίνου στεφάνῳ στεφανοῦντας ἀνεκήρυττε τοὺς νικῶντας. οὐ κοτίνῳ δὲ ἐστέφοντο, ἀλλὰ τῷ τῆς καλλιστεφάνου ἐλαίας κλάδῳ ἐστεφανοῦντο. οὐκ ἀκριβῶς οὖν. καλλιστέφανος γὰρ ἡ ἐλαία λέγεται. ταύτης δὲ τὰ φύλλα ἔμπαλιν ταῖς λοιπαῖς ἐλαίαις. ἔξω γὰρ ἀλλ' οὐκ ἐντὸς ἔχει τὰ λευκά. τούτῳ δὲ ἥρμοττεν ἐκφαυλίζοντι, λέγειν κοτίνου. (BISETI emendatio. Ἀριστοτέλης δὲ ἐν τῷ θαυμασίων ἀκουσμάτων οὕτω φησὶ κατὰ λέξιν περὶ αὐτῆς. ἐν τῷ Πανθείῳ ἐστὶν ἐλαία.) καλεῖται δὲ καλλιστέφανος. ταύτης δὲ ἔμπαλιν τὰ φύλλα, ταῖς λοιπαῖς ἐλαίαις πέφυκεν. ἀφίησί τε τοὺς πτόρθους ὥσπερ ἡ μύρτος, εἰς τοὺς στεφάνους συμμέτρους. ἀπὸ ταύτης λαβὼν Ἡρακλῆς ἐφύτευσεν Ὀλυμπιάσιν. ἀφ' ἧς οἱ στέφανοι τοῖς ἀθληταῖς δίδονται. ἔστι δὲ αὕτη περὶ τὸν Ἰλισσὸν ποταμὸν, σταδίους ξ τοῦ ποταμοῦ ἀπέχουσα. περιῳκοδόμηται δὲ, καὶ ζημία μεγάλη τῷ θιγόντι αὐτῆς ἐστιν. ἀπὸ ταύτης ἔφερον λαβόντες Ἠλεῖοι τῶν ἀθλητῶν ἐν Ὀλυμπίᾳ τοὺς στεφάνους. (BISETI emendatio. Τὸ δὲ Πανθεῖον παρ' Ἀριστοτέλει εἰσὶν θεῶν πάντων βωμοὶ, ὥς φησι Παυσανίας Ἠλιακῶν α. οὕτω λέγων, πρὸς αὐτὸ δὲ ἐστὶν ἀγνώστων θεῶν βωμὸς, καὶ μετὰ τοῦτον καθαρσίου Διὸς, καὶ Νίκης. καὶ αὖθις Διὸς ἐπωνυμίαν χθονίου. εἰσὶ δὲ καὶ θεῶν πάντων βωμοί. καὶ μετ' ὀλίγον, καλεῖται δὲ ἐλαία καλλιστέφανος, καὶ τοῖς νικῶσι τὰ ὀλύμπια καθέστηκεν ἀπ' αὐτῆς δίδοσθαι τοὺς στεφάνους.) τῷ δὲ κωμικῷ φασιν ἥρμοττεν ἐκφαυλίζοντι τὸ πρᾶγμα, λέγειν ὡς ἐκ κοτίνου ἐστεφανοῦντο. ὃ δηλοῖ τὴν ἀγριέλαιον. καὶ ἅμα διότι καὶ χρήσιμος αὐτῷ ἡ λέξις ἐν τοῖς ἑξῆς. καταρρητορευθεὶς γὰρ ὁ Χρεμύλος καὶ ἐπιληθεὶς ἐρεῖ. ἀλλὰ σ' ὁ Ζεὺς ἐξολέσειε κοτίνου στεφάνῳ στεφανώσας. τουτέστι κότον τιθέμενος περὶ τὴν κεφαλήν. παρήχηται γὰρ ὁ κότινος τῷ κότῳ, δι' οὗ δηλοῦται μεγάλη ὀργή. ἀπὸ δὲ τοῦ τοιούτου κοτίνου τοῦ φυτοῦ δῆλον ὅτι, καὶ νῆσος Κοτινοῦσσα

A τὰ Γάδειρα, διὰ τὸ τοιούτοις ἐπιτεθηλέναι φυτοῖς. ὡς ὁ περιηγητὴς δηλοῖ. ὡς δὲ καὶ ἕτεροι τόποι ἀπὸ φυτῶν τὴν κλῆσιν ἔχειν, τεθρύλληται καὶ αὐτό. Μυρρινοῦς γοῦν δῆμος ἐν Ἀττικῇ Μυρρίνας ἔχων. ὅθεν αὐτὸς Μυρρινόεις καὶ κατὰ συναίρεσιν Μυρρινοῦς. ὥσπερ ἕτερος Ῥαμνοῦς, ἀπὸ τῶν ἐκεῖ φυομένων ῥάμνων. ὧν οἱ δημόται, Μυρρινούσιος καὶ Ῥαμνούσιος. καὶ ἡ Ἐρεικοῦσσα λέγεται διὰ τὰς ἐν αὐτῇ ἐρείκας. καὶ ἡ ποντικὴ δὲ Κερασοῦς ἀπὸ τῶν φυτῶν τῶν κεράσων κέκληται. καὶ Πιτυοῦσσα ἡ Μιλητός ποτε διὰ τὸ πολλὰς ἔχειν πίτυας ἐκλήθη. οὕτω καί τις Πιτυού-

B σιος ἀπὸ τόπου ἑτέρου πολλὰς ἔχοντος πίτυας, ἐξ ὧν ἐκεῖνος καὶ παρωνόμασται. τὸ δὲ αὐτὸ καὶ ἄλλοι τόποι πεπόνθασιν. ἰστέον δὲ ὡς καὶ κρατεῖ παρὰ τοῖς ἀπειροτέροις κότινον στέφανον εἶναι, ἀλλ' αὐτὸς μὲν φυτοῦ ὡς ἐρρέθη κλῆσίς ἐστιν. ὁ δὲ κωμικὸς ἐδήλωσεν ἐντελὲς καὶ σαφὲς εἶναι τὸ μὴ κότινον τὸν τοιοῦτον λέγεσθαι στέφανον, ἀλλ' ἐκ κοτίνου στέφανον. οὕτω δὲ καὶ ταινία οὐχ ἁπλῶς οὗτος στέφανος ἀλλ' ἡ ἐκ ταινίας περιείλησις ἐν τῇ κεφαλῇ. ταινία δὲ, στενόν τι καὶ ἐπίμηκες ὕφασμα. κοινότερον δὲ εἰ-

C πεῖν φασκία.

BISETVS. Κοτίνου στεφάνῳ] τὸ τοιοῦτον καλῶς κατὰ τὸ ἐπίγραμμα,

Τέσσαρές εἰσιν ἀγῶνες ἀν' Ἑλλάδα, τέσσαρες ἱροί,
Οἱ δύο μὲν θνητῶν οἱ δύο δ' ἀθανάτων.
Ζηνὸς, Λητοΐδαο, Παλαίμονος, Ἀρχεμόροιο.
Ἆθλα δὲ τῶν κότινος, μῆλα, σέλινα, πίτυς.

GERARDVS. Κοτίνῳ.] Brabeū & præmiū τῶν ὀλυμπιονικῶν corona erat oleagina. Propterea

D olea illa dicebatur ἐλαία καλλιστέφανος. Aristoteles de olea verba faciēs, scripsit, ἀπὸ ταύτης λαβὼν Ἡρακλῆς ἐφύτευσεν Ὀλυμπιάσιν, ἀφ' ἧς οἱ στέφανοι τοῖς ἀθληταῖς δίδονται, id est, Hercules acceptam hāc ad Olympiam plantauit, de qua coronę Athletis contexuntur. Pindarus κόσμον ἐλαίας, id est, ornamētum & coronā oleæ, vocat μνῆμα τῶν ὀλυμπίᾳ κάλλιστον ἀέθλων, id est, pulcherrimum monumētum olympicorum certaminum. Penia autē vt coronā huiusmodi eleuaret, inuidiosè vocat στέ-

E φανον κοτίνου, quo nomine significāt nō ἐλαίαν, sed ἀγριέλαιον. i. oleastrum, & syluestrem oleam. τούτῳ s. τρόπῳ hoc modo, hac ratione. δηλοῖ τιμῶν, ad verbum, ipse significat honorās, pro ipse manifestū facit se charas habere opes, vt subaudias αὐτὸν, & τιμῶν pro τιμᾶν accipias, participium scilicet pro infinitiuo, quā cōstructionem aliquoties antea vidimus. Quanquā nihil prohibet δηλοῖ pro δηλοῦται poni, cùm scitum sit, apud Atticos actiua

F loco passiuorum, & contrà vsurpari.

Χρ. Οὐκοῦν τούτῳ δήπου δηλοῖ τιμῶν τὸν πλοῦτον ἐκεῖνος.
poris status indecorus esset, ne pedes inscitè pro- ferretur, ne à reliqua corporis parte, caput, oculique dissiderent. Orcheitę saltatores erant. Antiquæ saltationis tres fuerūt species, πυρρίχη, κόρδαξ, & σίκιννις. Pyrrhichā Pyrrhus docuit: saltatio erat armatorū, idcirco ὄρχησις ἐνοπλία vocata est. Cordax obscœna erat saltatio, & quæ cum rusticitate quadam iunctam habebat lasciuiā. Sicinnis inusitatior fuit, & satyrica saltatio existimata. Ad hæc obeunda musicis opus erat instrumētis, ea de re ἀγῶνες μουσικοὶ vocabātur. Appellantur & Dionysiaci ludi, propterea quòd Dionysio. i. Baccho dicati essent. Alterum genus ἀγώνων dictum est γυμνικὸν, quòd qui se in illis exercerent, γυμνοὶ, id est, nudi essent. Hoc quintuplex fuit, certantium nomina hęc sunt; πύκται, δισκόβολοι, ἁλτικοὶ, δρομεῖς καὶ παλαισταί. Vno & generali nomine ἀθληταὶ vocabantur. Pyctæ τῇ πυγμῇ, id est, cæstu se exercebant. Cęstus dictus est à cędēdo, erat autem lorum è corio crudo confectum, cui massa plumbea insita erat: hoc cæstu manus Pyctarum armabantur, vt ictum aduersarij minus sentirent, & eū grauius ferirent. fuit πυγμαχία hæc discriminis plena, nec nisi à fortissimis viris tentata. Latini Pyctas, à pugnis Pugiles vocarunt. Discoboli à δίσκος & βάλλω dicti. Discus erat lapis rotundus, & pertusus, quem tota vi in sublime iactabant. Haltici dicuntur ab ἅλλομαι salio: hi saltu contendebant. In saltu halteribus vtebantur. Erant ἁλτῆρες massulę, & pilę plūbeæ, quibus vtraque manu se librabant vt certius assilirent. Dromei cursu certabant, nomēnque pro modo cursus sortiebantur. Qui stadium percurrebant σταδιοδρόμοι vocabantur. Qui postquā ad metam peruenerant eò recurrebant, vnde primùm inierant cursum διαυλοδρόμοι. nam δίαυλος duplum est curriculum. Sic δολιχοδρόμοι, appellabantur, qui longissimo cursu certabāt. Cursus enim qui lōgissimè profertur δόλιχος δρόμος dicitur. Denique palęstræ erant qui & palęstritæ, & palęstrici nuncupantur, Luctatores vocantur à Latinis. Hi ceromate. i. oleo cerato vncti, puluerē aspergebantur, vt corpora illorum ceromate, & sudore lubrica, mutuas prehensiones admitterent. Sed περὶ τῶν μουσικῶν τε καὶ γυμνικῶν ἀγώνων pro loco satis. πολυωνυμίας. Varios titulos, varias artes & functiones, vt si quid erit, quod per vnam asse- qui nequeas, per aliam liceat. Quomodo cōtigit Mercurio, qui quāuis στροφαῖος esset, ἐμπολαῖος, δόλιος & ἡγεμόνιος, tamē omnibus hisce nominibus nihil proficere se cùm videret, ἐναγώνιον fore se cùm dixit, tandem hac via quodāmodo extorsit à Carione vt admitteretur. Θεὸς iste alioqui vilissimus. Dicuntur hęc spectatoribus, interim Mercurius vt contemptibilis, & fastidiendus digito obliquè monstratur. ἐξεύρηκεν, perfectū hoc tempus manauit ab ἐξ & anormi verbo εὑρίσκω. βιότιον, diminutiuū est: paruā vitā, paruulū victū, vt qui tantūmodo cū ministris sacrorū certaminū posthac victitabit. σπουδάζουσι, festināt, irrequietè ambiunt, summa ope nitūtur. γράμμασιν. Antea dictū est Athenis morē fuisse, vt iudices sortibus eligerentur, sortē autē per literas fieri. Tāgit hîc auarū & ambitiosum quorundā Atheniensiū ingeniū, qui ne iudiciorū prorsus expertes viuant, vbicunque sortitio fit, illic sortiantur, vt si fortè ex aliquo loco excludantur, saltē in alio quopiā obtineant. γεγράφθαι pro ὀνομάζεσθαι nominari & iudicē declarari accipe, & γράμμασιν pro κληρώσει sortitione. εἴσειμι cōpositū est ab εἰς & εἶμι vado, pro ἴω ἴω quandoque, vt hîc ponitur, τῷ ο, εἰς ω mutato, receptius est εἴσειμι, vtrūque tēpore præsenti ponitur, loco futuri non satis vsitati. δοκῶ. Hîc domū Chremyli Carion ingreditur, quem subuerecundè sequitur Mercurius. Illis ingressis, chorus nonnihil tripudiat, interea sacerdos Iouis extat, qui de Pluto conqueritur eadem de causa, de qua paulò antè questus erat Mercurius. Postmodum fit, vt simul sacerdos percontari de Chremylo incipiat, & Carion domo Chremyli exeat, vt miseri sacerdotis, quæ iam sequitur, excipiat querimoniam.

ΚΟΜΜΑΤΙΟΝ ΧΟΡΟΥ.

ΔΡΑΜΑΤΟΣ ΠΕΜΠΤΟΥ

Σκηνὴ δευτέρα.

ΙΕΡΕΥΣ ΤΟΥ ΔΙΟΣ, ΚΑΡΙΩΝ.

Bisetus. Τελευταῖος ὁ τοῦ Διὸς ἱερεὺς προσέρχεται, ὃς καὶ αὐτὸς περὶ τῆς ἑαυτοῦ δυστυχίας, καὶ λιμοῦ πολλὰ μεμφόμενος λέγει. ἀλλὰ Καρίων τὸν οἰκτείρων οἴκοι μὲν τῶν ἄλλων τῶν ἐξαπίνης πλουτησάντων, καὶ εὐτυχούντων μένειν ἐᾷ.

Τίς ἂν φράσειε ποῦ 'στι Χρεμύλος μοι σαφῶς;

Καρ. Τί δ' ἐστὶν ὦ βέλτιστε; Ιερ. Τί γὰρ ἄλλ' ἢ κακῶς;

Ἀφ' οὗ γὰρ ὁ Πλοῦτος οὗτος ἤρξατο βλέπειν,

Ἀπόλωλ' ὑπὸ λιμοῦ. καταφαγεῖν γὰρ οὐκ ἔχω.

Καὶ ταῦτα τοῦ σωτῆρος ἱερεὺς ὢν Διός.

Καρ. Ἡ δ' αἰτία τίς ἐστιν ὦ πρὸς τῶν θεῶν;

Ιερ. Θύειν ἔτ' οὐδεὶς ἀξιοῖ. Καρ. Τίνος οὕνεκα;

Ιερ. Ὅτι πάντες εἰσὶ πλούσιοι. καίτοι τότε

Commatium Chori.

ACTVS V. SCENA II.

SACERDOS IOVIS, CARIO.

Quis mihi certò indicet, vbinam Chremylus habet? Adsit, nisi malè?

CA. *Quid est, bone vir?* SA. *Quid enim aliud*

Nam ex quo Plutus videre cœpit: ego fame

Perÿ: neque, quod edam, quicquā reliquū habeo:

Quanquam sacerdos sospitatoris Iouis.

CA. *At qua nā huius rei causa est, dic obsecro?*

SA. *Nemo hominum vult quicquam sacrificare amplius.*

CA. *Quamobrem?* SA. *Quia nunc adeò omnes sunt diuites:*

Οτ

Ὅτ᾽ εἶχον οὐδὲν. ὁ μὲν ἂν ἥκων ἔμπορος,
Ἔθυσεν ἱερεῖόν τι σωθείς. ὁ δέ τις ἂν
Δίκην ἀποφυγών. ὁ δ᾽ ἂν ἐκαλλιερεῖτό τις,
Κἀμὲ μετεκάλει τὸν ἱερέα, νῦν δ᾽ οὐδὲ εἷς
Θύει τὸ παράπαν, οὐδὲν οὐδ᾽ εἰσέρχεται.
Πλὴν ἀποπατησόμενοι γε πλεῖν ἢ μύριοι.
Καρ. Οὔκουν τὰ νομιζόμενα σὺ τούτων λαμβάνεις;
Ιερ. Τὸν οὖν Δία τὸν σωτῆρα καὐτός μοι δοκῶ
Χαίρειν ἐάσας, ἐνθάδ᾽ αὐτοῦ καταμενεῖν.
Καρ. Θάρρει. καλῶς ἔσται γὰρ, ἢν θεὸς θέλῃ.
Ὁ Ζεὺς ὁ σωτὴρ γὰρ πάρεστιν ἐνθάδε,
Αὐτόματος ἥκων. Ιερ. Πάντ᾽ ἀγαθὰ τοίνυν λέγεις.
Καρ. Ἱδρυσόμεσθ᾽ οὖν αὐτίκα. ἀλλὰ περίμενε.
Τὸν Πλοῦτον, οὗπερ πρότερον ἦν ἱδρυμένος,

At olim nihil cùm haberent: ibi alius quidem
Quòd saluus atque incolumis redisset domum
Peregre adueniens mercator, pinguem victimã
Ioui immolabat: alius, quòd causam in foro
Tenuisset, absolutus iudicum sententiis:
Alius, magnificè sacra facturus, etiam
Sacerdotem conuiuam accersebat sibi.
Nunc autem ne vnus est quidem, qui sacrificet,
Vel tantillum: nullus qui templum adest Iouis,
Nisi turba hominũ quædã innumerabilis quæ eò
Secedit, aluũ cacandi gratia.
CA. *Cur non ab his legitimã partem tibi capis?*
SA. *Nunc igitur & ipse, meo valedicturus Ioui,*
Statui hic apud vos ætatem agere in posterum.
CA. *Bono animo es. Nã, Deo volẽte, benè omnia*
Habebunt: quandoquidem ipsus ille Iuppiter
Seruator hic est, qui sponte aduenit sua.
SA. *Benè hercle nuncias.* CA. *parumper sustine.*
Nam Plutum eòdem collocabimus, vbi erat
Prius repositus Iuppiter: vt ærarium.

Σχόλια. Τίς ἂν φράσειε] κορωνὶς ἑτέρα ὁμοία ἐν ἐκθέσει τοῦ δράματος. οἱ δὲ στίχοι, ἰαμβικοὶ τρίμετροι ἀκατάληκτοι λζ. ὧν τελευταῖος τῆς ἐκ τοῦ χοροῦ ὑποβολῆς ἕνεκεν αἱ χῦσαι, ἑξῆς δὲ τούτων καὶ τελευταῖοι παντὸς τοῦ δράματος στίχοι ἀναπαιστικοὶ τετράμετροι καταληκτικοὶ β. ἑξῆς δ᾽ αὖ τούτων, ἡ κορωνὶς, ἡ καὶ τὸ δρᾶμα περατοῦσα. Τοῦ σωτῆρος.] ἐν ἄστει σωτῆρα Δία τιμῶσιν, ἔνθα καὶ σωτῆρος Διὸς ἐστὶν ἱερόν. τὸν αὐτὸν δὲ ἔνιοι καὶ ἐλευθέριόν φασι. Ἔθυσεν ἱερεῖόν τι σωθείς.] ἀντὶ τοῦ τὰ τῆς θυσίας ἐπετέλει. ἢ ἐξιλεοῦτο τὸ θεῖον ἐπὶ τοῖς μέλλουσι. μετεκάλει δ᾽ εἶπε τὸν ἱερέα, ἐπειδὴ νόμος ἐστὶ, τὰ ὑπολειπόμενα τῆς θυσίας, τὸν ἱερέα λαμβάνειν. Οὔκουν τὰ νομιζόμενα.] τῶν ἀφοδευμάτων παίζων δὲ τοῦτο, δέον εἰπεῖν, τὸ δέρμα καὶ τὰς κωλᾶς. ἐπειδὴ νόμος ἦν τὰ ὑπολειπόμενα τῆς θυσίας τὸν ἱερέα λαμβάνειν. ἄλλως. τὰ ἔθιμα τῶν παρεχομένων τοῖς ἱερεῦσι δέρματα καὶ κῶλα. φησὶν οὖν, ὅτι ἐκ τῆς κόπρου τὰ νομιζόμενα λαμβάνεις, τὰ ἔθη σκώπτων.

CERARDVS. Βέλτιστε,] superlatiuum irregulare, ô vir optime, ironia subest: nam scit malum esse, postea quàm illi res malè cedunt. ἄλλο scilicet ἐστὶ, fuerit. ἢ κακῶς, quàm malè. Aduerbium est pro nomine κακόν. Per aduerbia dictum esset, πῶς γὰρ ἢ κακῶς; Rogatus autem per nomen, debuit respondere studeto per nomina τί ἄλλο ἢ κακόν; οὐκ ἔχω, non possum: ideo autem non potest, quòd non habeat. καὶ ταῦτα, idque, præsertim verò & quod maximè mirandum, cùm sim sacerdos Iouis Soteris, quem conueniebat inter omneis Deorum sacrificos quæstum facere vberrimum. ὦ πρὸς τῶν θεῶν. Si ὦ tollis, lectio integra est: Si addantis, subaudi, vel σὺ, vel οὗτος, heus tu. πάντες, hyperbole, pro maxima parte. Soli enim boni diuites erant, qui sua bona Pluto ferebant accepta. Improbi suis diuitiis spoliati, consueta peragere sacrificia non poterant. ἥκων, veniens ad me ex instituta negotiatione, ἔθυσεν ἄν, immolasset, ἱερεῖον, victimam non vulgarem, sed τι, magnam & excellentem aliquam. τι enim quandoque præstantiam notare antea vidimus. σωθεὶς, indefinitum α, à σώζομαι, à piratis, prædonibus & naufragio, à grassatoribus & viarum obsessoribus liberatus. ὁ δέ τις, vnus item alius, scilicet ἔθυσεν ἂν ἱερεῖόν τι, δίκην ἀποφυγών, qui reus factus crimen intentatum declinauit, & euasit. Est ἀποφυγὼν participium indefiniti β, ab anomo ἀποφεύγω. ἐκαλλιερεῖτο, etiam nulla causa externa eum impellente, præclarum sacrificium in honorem Iouis parasset. Plus est καλλιερεῖσθαι quàm θύειν. est enim καλλιερεῖν, καλῶς τὰ ἱερὰ ποιεῖν, splendidè & magnificè sacra facere. μετεκάλει, vocabat in suas ædes, vbi dum de sacrificio ritè peragendo tractaremus, lauto interim conuiuio excipiebar. τὸ παράπαν, satis dictum esset, νῦν δ᾽ οὐδὲ εἷς θύει, nisi ex amisso lucro commotior animus hoc adiiciundum putasset τὸ παράπαν οὐδέν. εἰσέρχεται, scilicet εἰς τὸν τοῦ Διὸς ναόν. ἀποπατησόμενοι cacaturi, & ventrem exoneraturi. Non potuit sacerdos contemptius loqui de Iouis sui templo, quàm dum conferendum cum Latrina & publico secessu existimauit. γε, saltem: hoc addit religiosè, ne mentitus videatur. πλεῖν. Attici pro πλέον dicunt πλεῖν plus. ἀττικώτερον autem dictum hic volunt πλεῖν pro πλείους plures. Sed Atticis consuetum nonnihil est, aduerbia pro nominibus vsurpare. ἢ μύριοι, quàm decies mille: numerus est certus, pro incerto, & maximo. νομιζόμενα. Moris erat, vt quæ in sacrificium adhiberi non possent, quod nullius vsus essent, vt pellis victimæ, & alia huiuscemodi reiicula, sacerdotes suo quodam iure acciperent, proinde sacerdotem ludens ait, par fuisse, vt de excrementis quæ in Iouis templo ponerentur, ipse de more partem aliquam sibi auferret. τὰ νομιζόμενα, scilicet μέρη. Genitiuus autem τούτων habet subauditum geni-

tiuum ἀποπατημάτων, vel præpositionem ἐκ, vt sit, ἐκ τούτων ἀποπατουμένων τὸ ἴθιμα λαμβάνεις. Sacerdos ad ea quæ Carion dixit, parùm attentus (magis enim propter spectatorem, quàm propter sacerdotem hoc interiectum est) pergit dicere quod inceperat. κἀυτὸς, καὶ αὐτὸς, & ego censeo. Aut καὶ hic abundat, aut ego quoque, quemadmodum aiunt Mercurium fecisse, volo, vbi Ioui vale dixero, & eius negotium curare desiero. Χαίρειν. Quando significamus nos de aliqua re non laborare, ad nos quæ nihil attineat, dicere solemus, χαιρέτω, valeat. ἐνθάδ' αὐτοῦ, ἐκ παραλλήλου ponuntur. Θάρρει. Antea cùm Carion ingressus est domum Chremyli cum Mercurio, audiuit Chremylum in animo habere, deducere Plutum in arcem Palladis, quam prius occupabat Iupiter Soter, vt ab augustiore eo loco gloria maior Pluto esset, tam angustas enim Chremyli ædes tanto numini non conuenire. Iam ergo Carion nactus sacerdotem Iouis, qui Ioue relicto optet Pluto adiungi, cupidè eum retinet: magnum enim cunctis erit ex hac re indicium, Plutum ipso Ioue esse potentiorem. ὧν Ζεύς. De quo Deo intelligit? De nullo speciatim: ratio tantùm

A loquendi est, quam boni ominis causa, de re futura verba facientes, vulgò vsurpare solent. Propterea quandoque pluraliter etiam effertur. ἂν οἱ θεοὶ γ' ἐθέλωσιν. Siquidem Diis ita visum fuerit. αὐτόματος nomen est, vltroneus, spontaneus pro aduerbio αὐτομάτως vltrò, spontaneè. Composita dictio plerisque videtur ab αὐτὸς & ab ἀρχαίῳ verbo μάομαι, excitor, promptus sum. Sonat ergo αὐτόματος ἀφ' ἑαυτοῦ προθυμούμενος, à seipso inductus vt veniret, nemine eum vocante, ἄκλητος non vocatus, quomodo irrumpunt in præpotentum ædes, qui tenuioris sunt fortunæ. πάντα. Omnium bonorum cumulus mihi in eo est, quod ais. Quid est enim quod posthac Iupiter mihi succenseat, ad vos quod diuerterim, si ille tantus idem prior fecit? ἱδρυσόμεσθα, Attica forma, pro ἱδρυσόμεθα. Θεῖμεν. Carion multa secum in animo voluit, quibus efficiat, vt aliquando cesset verbis fouere, & retinere hunc sacerdotem: propterea rogat vt dum rem occœptam tractabit, ipse interea quod fiet, æquanimiter ferat. οὔπερ, pro solo οὗ, quod ipsum pro ὅπου, vbi, quo in loco, accipitur. ὧν. s. Ζεύς.

B

C

Τὸν ὀπισθόδομον ἀεὶ φυλάττων τῆς θεοῦ.
Ἀλλ' ἐκδότω τις δεῦρο δᾷδας ἡμμένας
Ἵν' ἔχων προηγῇ τῷ θεῷ σύ. Ἱερ. Πάνυ μὲν οὖν
Δρᾶν ταῦτα χρή. Καρ. Τὸν Πλοῦτον ἔξω τις καλεῖ.

Palladis in munito loco custodiat.
Age faces accensas aliquis huc proferat.
D *Tu eas gestabis & Pluto praibis. SA. &*
Lubens: nam hæc omnia faciunda censeo.
CA. Plutum aliquis huc forâs ex adibus euocet.

Σχόλια. Τὸν ὀπισθόδομον ἀεὶ φυλάττων.] ὄπισθεν τοῦ ναοῦ διπλοῦς τοῖχος τῆς καλουμένης πολιάδος Ἀθηνᾶς, ἔχων θύραν, ὅπου ἦν θησαυροφυλάκιον, ἐπειδὴ τὰ χρήματα ἐν τῷ ὀπισθοδόμῳ ἀπέκειτο. μέμνηται δὲ ὅτι τῆς ἀκροπόλεως ἔνθα ἦν τὸ ταμιεῖον, ὄπισθεν τοῦ τῆς Ἀθηνᾶς ναοῦ. τοῦτο δὲ εἶπεν, ὡς μέλλοντος προΐεσθαι τοῦ Πλούτου. Ἀλλ' ἐκδότω τις δεῦρο.] ὅτι ὁ Λυκόφρων ὡς ὁ Ευφρόνιος φησὶν, ὡς ἔθη πρῶτον τοῦτον δᾷδας ἡπτικέναι. ποιοίη δέ τι, καὶ ἐν Ἐκκλησιαζούσαις αὐτό. ἀλλὰ γὰρ Στράτις πρὸ ἀμφοτέρων τούτων, ὅσοι ἐπὶ τοὺς μύστας ἄγειν εἰς φυλλίον ἀναφέρει τὸ πρᾶγμα. ὑμεῖς τε πάντες ἔξιτ' ἐπὶ τὸ πύθιον οὔθ' ὅπερ ἐστὶ μὴ λαβόντες λαμπάδας. μὴ δὴ ἄλλο μηδὲν ἐχόμενον φυλλίον. Ἵν' ἔχων προηγῇ τῷ θεῷ.] τῆς Ἀθηνᾶς εἰς τὴν ἀκρόπολιν ὀπισθόδομον τῶν χρημάτων. κἀνταῦθα φυλάττεσθαι καθὰ καὶ Θουκυδίδης φησὶν ἐν τῇ δευτέρᾳ οὕτως. ὑπαρχόντων δὲ ἐν τῇ ἀκροπόλει ἀπὸ τοῦ ἀργυρίου ἐπισήμου ἑξακισχιλίων ταλάντων. τὰ γὰρ πλεῖστα τριακοσίων ἀποδέοντα μύρια ἐγένετο. ἀφ' ὧν ἐς τὰ προπύλαια τῆς ἀκροπόλεως καὶ ἐς τὰ ἄλλα οἰκοδομήματα, καὶ ἐς Ποτίδαιαν ἐπανηλώθη.

GERARDVS. Ὀπισθόδομον.] Athenis post templum Palladis, locus erat munitissimus, quem vocant ὀπισθόδομον, quod esset δόμος ὄπισθεν τοῦ τῆς Ἀθηνᾶς ναοῦ. Arcem fuisse ferunt, in cuius medio Atheniense ærarium recondebatur, proinde θησαυροφυλάκιον dicebatur. Illius loci custos perpetuus erat Iupiter Soter, illicque religiosissimè colebatur. Hi statuunt, Ioue illinc deposito, Plutum in eius locum substituere. Τῆς θεοῦ. Atticum E est, voces masculinas in fœmininas transferre: τῆς θεοῦ scilicet Παλλάδος, vel Ἀθηνᾶς. Simpliciter autem & absolutè θεὰ apud Athenienses Pallas vocatur: fuit enim illa ciuitatis Atheniẽsiũ præses, adeò propitia, vt eorũ δυσβουλίας, i. incogitãtiam, stulta & incõsulta cõsilia, benè vertere crederetur. ἀλλ' ἐκδότω. Carió iã occupatiorẽ se mõstrat in instruenda põpa, cũ qua deducendus est Plutus. πάνυ μὲν οὖν scilicet δᾷδας ἔχων προηγήσομαι. Τίς καλεῖ. Possis cum interrogatione le- F gere. Quis vocat, id est, vocare vult Plutum? Sed per imperatiuum ait, καλεῖ, voca. visus est Cariõ vni alicui ex iis qui aderant, iniungere, vt Plutum euocaret, verùm aliò spectans, nec satis otij habens, subdit tertiam, & eam indefinitam personam τὶς vnus aliquis vestrum scilicet καλείτω. Non abludit hinc Plautinum illud, Aperite aliquis ostium. Neque quod dixit antea Sycophanta, Καὶ μὴν προσελθέτω πρὸς ἡμᾶς ὑμῶν ἐνθαδί, ὁ βουλόμενος. G

A

ΔΡΑΜΑΤΟΣ ΤΟΥ ΠΕΜΠΤΟΥ,

Σκηνὴ γʹ.

Τρίμετροι καὶ Αναπαιστικοὶ Αριστοφάνειοι.

ΓΡΑΥΣ, ΚΑΡΙΩΝ, ΧΟΡΟΣ.

Bisetus. Καθέλκει τὴν γραῦν ἐκεῖ τὸ τῆς νεανίσκου, ὑπὸ ἐρωμένην πρὸς αὐτὴν ἐπαναχωρήσεως ἄγα-

Γρ. Ἐγὼ δὲ τί ποιῶ; Καρ. τὰς χύτρας αἷς τὸν θεὸν
Ἱδρυσόμεθα, λαβοῦσ' ἐπὶ τῆς κεφαλῆς φέρε
Σεμνῶς. ἔχουσα δ' ἦλθες αὐτὴ ποικίλα.
Γρ. Ὧν δ' οὕνεχ' ἦλθον. Καρ. πάντα σοι περανεῖται.
Ἥξει γὰρ ὁ νεανίσκος ὥς σ' εἰς ἑσπέραν.
Γρ. Ἀλλ' εἴγε μέντοι νὴ Δί' ἐγγυᾷ σύ μοι
Ἥξειν ἐκεῖνον ὡς ἔμ', οἴσω τὰς χύτρας.
Καρ. Καὶ μὴν πολὺ τῶν ἄλλων χυτρῶν τἀναντία
Αὗται ποιοῦσι. ταῖς μὲν ἄλλαις γὰρ χύτραις,
Ἡ γραῦς ἔπεστ' ἀνωτάτω. ταύτης δὲ νῦν
Τῆς γραὸς ἐπιπολῆς ἔπεισιν αἱ χύτραι.

ACTVS V. SCENA III.

Senarij & Anapaestici Aristophanij.

B

ANVS, CARIO, CHORVS.

θεὸν ἐλπίδα ἔχειν κελεύει, ἐκ μετ' αὐτῆς εἰς τὸν τοῦ Διὸς ναὸν εἰσέρχεται.

Ego verò quid agam? CA. ollas istas, quibus Deum
In arce collocari conuenit, accipe:
C *Et eas capiti impositas defer honesto gradu.*
Nam alioqui versicoloribus ades vestibus.
AN. Sed quid de iis, quorum causâ huc aduenturam?
CA. Omnia nunc fient illicò, ex sententia.
Nam adolescens ad te rursum ibit sub vesperam.
AN. Atqui si tu mihi fidem dederis, vesperi
D *Eum ad me rediturum: ollas deferam edepol:*
CA. Enimuerò longè diuersum hæ ollæ ab aliis
Faciunt ollis. in aliis spuma candida
In summo esse solet: in his autem anicula
Ollis, cana subest spuma: ollæ summum tenent.

Σχόλια. Τὰς χύτρας αἷς τὸν θεόν.] ἔθος γὰρ ἦν, ἐν ταῖς ἱδρύσεσι τῶν ἀγαλμάτων, ὀσπρίων ἑψημένων χύτρας ἐπιφέρεσθαι ὑπὸ γυναικῶν ποικίλας ἠμφιεσμένων, καὶ τούτων ἀπήρχοντο χαριστήρια τοῖς θεοῖς ἀπονέμοντες. Ἐπὶ τῆς κεφαλῆς.] ἐπειδὴ, ὁπότε μέλλοιεν βωμοὺς ἀφιδρύειν ἢ ἄγαλμα θεῶν, ἕψοντες ὄσπρια ἀπήρχοντο τούτων τοῖς ἀφιδρυμένοις ὡς χαριστήρια ἀπονέμοντες τῆς πρώτης διαίτης. ὅθεν καὶ ἐν ταῖς Δαναΐσι. Μαρτύρομαι δὲ Ζηνὸς Ἑρκείου χύτρας. Παρ' αἷς ὁ βωμὸς οὗτος ἱδρύθη ποτέ. Αὐτὴ ποικίλα.] λείπει τὸ ἱμάτια. ἵν' ἡ ποικίλα ἱμάτια ἔχουσα σεμνῶς ἦλθες. πορφυροῖς γὰρ καὶ ποικίλοις ἱματίοις ἐπόμπευον. δεῖ δὲ ὑπονοεῖν ὅτι ἡ γραῦς ἐβιάζετο καὶ συνεισῆλθε τῷ νεανίσκῳ. καὶ ὅτι ἡ γραῦς ποικίλα ἦλθεν ἔχουσα ἱμάτια. Ἡ γραῦς ἔπεστ' ἀνωτάτω.] ἐν τῷ ὑπερζεῖν τὰ μαγειρευόμενα ὄσπρια. γραῦς γὰρ καλεῖται ὁ ἀφρὸς ὁ ἀνωτάτω, ἢ τὸ γιγνόμενον ἐλαιῶδες τῷ ζωμῷ. ἢ ἐπιφάνεια τοῦ ἀθάρης. τὸ δὲ ἰὼ ἔτι τοίνυν ἢ τὰ ἐφεξῆς ἐκ τοῦ ποιοῦ δὲ τοῦ χοροῦ.

Gerardus. Ἐγὼ δὲ.] Anus hæc expostulatura de iuuene quem deamabat, Chremyli domum anteà ingressa, cùm te infectâ videt Plutum exire, & omnes iam ad pompam accingi, de recuperando amico spem nullam ipsi relinqui, lamentabili voce exclamat, ἐγὼ δὲ τί ποιῶ? Ego autem quæ tam atroci iniuria sum affecta, quid

E faciam? quò me vertam? Carion ridiculè eius verba excipit, & quasi illa roget, quidnam in ea pompa factura sit, cùm præsertim omnes rei alicui gerendæ intenti sint, ait, τὰς χύτρας, &c. τὰς χύτρας. Moris erat tum in dicandis aris, & cuiuspiam Dei statua sacranda, vt mulier adesset, vestibus compta varij coloris (eò fortasse res spectabat, vt colorum varietas variam significaret hominum alacritatem, & multiplicem nu-
F minis potestatem.) Præterea vt muliercula ad eum modum vestita, ollas secum ferret leguminibus coctis plenas, quæ primitiæ essent, & noui Dei libamina prima. αἷς, scilicet σύν. λαβοῦσα, vbi acceperis, acceptas. σεμνῶς, grauiter & reuerenter, neque hoc scommate caret: quo enim magis se componet anus ad grauitatem, eo, vel Diis ipsis risum ciebit maiorem. αὐτή. Vltro, nemine te admonente vt ποικίλα gestares, e-
G tiam si peropus erat, vt in exornanda sic muliere, laborandum nobis fuisset. Ea autem induerat, non vt Deo ita placeret, sed vt amatum adolescentem in amorem sui ita pelliceret. ποικίλα, post ἔχουσα. s. ἱμάτια. ὧν δ'. Imperfecta est oratio, subaudiendum quid tandem futurum? aut aliud huiusmodi. Carion satis intelligens mentem aniculæ, verba illi obtruncauit in ore,

omniaque illi promittit secunda, veritus ne ea de gestandis ollis sententiam mutet. περιέξεται, paulò post futurum rem notat, breuiter futuram. Et hinc animum recipiet anus. ὥς σε, πρὸς σέ. adeò captus erit amore tui. Antea enim anus dicebat se ituram ad adolescentem, nunc contrà fit. εἰς ἑσπέραν. Eo animo profert hoc Carion, vt velit intellectum ad anum iuuenem iturum nunquam. νὴ Δία. Virile magis quàm muliebre iusiurandum, sonat quasi diceret, Per Deum, quod ex animo & assueratione summa profertur. Vide autem, quæso, in re indecenti, quo affirmatius vetula iurat, hoc stolidiorem se, & magis ridiculam præstat. οἴσω, futurum est ab ἄορ. ἤνεγκα οἴσω. καὶ μήν. Ollis vetulæ capiti impositis, Carion ad spectatorem conuersus, & digito ollas ostentans, hoc ait, αὗται. s. χύτραι. ἡ γραῦς ἐπέστι. De nomine ὁμωνύμῳ & varias res significanti, sumitur hic iocandi occasio. γραῦς enim quandoque spumam notat, quæ feruente olla supernatat, quomodo hoc accipien dum vult, dum ait, ἡ γραῦς ἐπέστ' ἄνω. Quandoque autem & ferè semper, anum significat, quo sensu per metaphoram anum hanc vocat spumam, sordes, id est, sordidam, immundam, & ab omnibus reiiciendam, conculcandámque. ἐπιπολῆς quod & ἐξ ἐπιπολῆς dicitur, significat ἐπάνω, supra, in summo, genitiuum amat. Ergo, Carionis præsertim diligentia, compositis omnibus, sacerdos cum faculis, anus cum ollis, Chremylus cum aliquot aliis, honorificè, solennique adhibita pompa, Plutum in ὀπισθόδομον τοῦ θεοῦ deducere parant, quos, dum continua serie chorus progredi videt, populo finem actionum expectanti, quod sequitur ait.

Bisetus. Γραῦς.] Εὐστάθιος. γραῦς ἡ γραῖα, γραῦς δ' ἐστὶν ἰδίως καὶ φθείρ, λέγεται. ἡ γραῖα μὲν κοινῶς. γραῦς δ' ἡ ἀττικῶς λέγεται. καὶ τὸ ἐν χύτραις ἐπαφρίζον, καὶ τὸ ἐπάνω τοῦ γάλακτος, ἢ τοῦ μέλιτος, γραῦς λέγεται ὁμωνύμως.

ΧΟΡΟΣ.

Chorus.

Bisetus. Ὁ χορὸς τοὺς πρὸς τὸν ναὸν μετὰ πομπῆς πορευομένους ὁρῶν, ὡς ὅτι μελλήσας εἰς τοὔπισθεν ἀναχωρεῖ, καὶ αὐτοῖς ᾄδων ἕπεται, καὶ οὕτω τοῦ δράματος τέλος ἐπιτίθησι.

Χρ. Οὐκ ἔτι τοίνυν γ' εἰκὸς μέλλειν οὐδ' ἡμᾶς, ἀλλ' ἀναχωρεῖν
Εἰς τοὔπισθεν. δεῖ γὰρ κατόπιν τούτων ᾄδοντας ἕπεσθαι.

CH. *Nihil est igitur, quòd nos hic cunctemur: sed ponè sequentes*
Abeamus: oportet enim horum nota sequi vestigia cantu.

Gerardus. Τοίνυν,] itaque, quoniam videlicet omnes hinc abeunt. ὡς εἰκὸς. s. ἐστί. οὐδ' ἡμᾶς, neque nos qui hucusque interuiuimus Comœdiæ, dum post alios alij prodirent actores. εἰς τοὔπισθεν. εἰς τὸ ὄπισθεν, retrò. Dum Chorus hæc dicit, oculos in spectatores intendit, à tergo Plutum & reliquam pompam incedentem habet, quos non priùs subsequetur, quàm εἰς τοὔπισθεν conuertatur. τούτων. Dixisset ἕπεσθαι τούτοις, sed κατόπιν cum genitiuo adiecit, vt doceret Chorum simul, continuóque tractu, cum aliis abire debere. ᾄδοντας. Ad chorum enim χορεύειν, pertinet, & ᾄδειν, & comica lege exitus Comœdiæ lætus esse debet.

ΤΕΛΟΣ

ΑΡΙΣΤΟΦΑΝΟΥΣ ΝΕΦΕΛΩΝ

ΠΡΟΘΕΩΡΙΑ.

Τὸ δρᾶμα τὸ τῶν Νεφελῶν κατὰ Σωκράτους γέγραπται τοῦ φιλοσόφου ἐπίτηδες, ὡς κακοδιδασκαλοῦντος τοὺς νέους Ἀθήνησι, τῶν κωμικῶν πρὸς τοὺς φιλοσόφους ἐχόντων τινὰ ἀντιλογίαν. οὐχ ὥς τινες, δι' Ἀρχέλαον τὸν Μακεδόνων βασιλέα ὅτι προὔκρινεν αὐτὸν Ἀριστοφάνους. Ὁ χορὸς δὲ ὁ κωμικὸς εἰσήρχετο ἐν τῇ ὀρχήστρᾳ, τῷ νῦν λεγομένῳ λογείῳ. καὶ ὅτε μὲν πρὸς τοὺς ὑποκριτὰς διελέγετο, εἰς τὴν σκηνὴν ἑώρα. ὅτε δὲ ἀπελθόντων τῶν ὑποκριτῶν καὶ τοὺς ἀναπαίστους διεξῄει, καὶ πρὸς τὸν δῆμον ἀπεστρέφετο. καὶ τοῦτο ἐκαλεῖτο στροφή. ἦν δὲ τὰ ἰαμβεῖα τετράμετρα. εἶτα τὴν αὐτὴν στροφὴν ἀποδόντες, πάλιν τετράμετροι ἀπέλεγον ἴσον στίχων. ἦν δὲ περὶ τὸ πλεῖστον ις. ἐκαλεῖτο δὲ ταῦτα ἐπιρρήματα. ἡ δὲ ὅλη πάροδος τοῦ χοροῦ, ἐκαλεῖτο παράβασις. Ἀριστοφάνης ἐν Ἱππεῦσιν. ἦν μέν τις ἀνὴρ τῶν ἀρχαίων κωμῳδοδιδάσκαλος. ὃς ἡμᾶς ἠνάγκαζε λέξοντας ἔπη πρὸς τὸ θέατρον παραβῆναι. ἄλλως. φασὶ τὸν Ἀριστοφάνην γράψαι τὰς Νεφέλας, ἀναγκασθέντα ὑπὸ Ἀνύτου καὶ Μελίτου, ἵνα προδιασκέψωνται, ποῖοί τινες εἶεν Ἀθηναῖοι, ἀκούοντες κατὰ Σωκράτους. ηὐλαβοῦντο γὰρ ὅτι πολλοὺς εἶχεν ἐραστάς, καὶ μάλιστα τοὺς περὶ Ἀλκιβιάδην. οἳ ὅτι τοῦ δράματος τούτου μηδὲ νικῆσαι ἐποίησαν τὸν ποιητήν. ὁ δὲ πρόλογος ἐστὶ τῶν Νεφελῶν, ἁρμοδιώτατα καὶ δεξιώτατα συγκείμενος. πρεσβύτης γάρ ἐστιν ἄγροικος, ἀχθόμενος παιδὶ ἀσυνκοῦ φρονήματος γέμοντι, καὶ τὸν δαψιλείας εἰς πολυτέλειαν ἀπολελαυκότι. τὸ γὰρ τῶν Ἀλκμαιωνιδῶν οἰκία, ὅθεν ἦν τὸ πρὸς μητρὸς γένος, ἐξ ἀρχῆς ὥς φησιν Ἡρόδοτος, τεθριπποτρόφος ἦν, καὶ πολλὰς ἀνῃρημένη νίκας, τὰς μὲν Ὀλυμπιάσι, τὰς δὲ Πυθοῖ ἐνίκα, δὲ Ἰσθμοῖ, καὶ Νεμέᾳ, καὶ ἐν ἄλλοις ἀγῶσιν. εὐδοκιμοῦσαν οὖν ὁ νεανίσκος, ἀπέκλινε πρὸς τὸ ἦθος, τῶν πρὸς μητρὸς προγόνων ἄλλως. Πρεσβύτης Στρεψιάδης ὑπὸ δανείων καταπιεζόμενος, διὰ τὴν ἱπποτροφίαν τοῦ παιδός, δεῖται τούτου φοιτήσαντος ὡς τὸν Σωκράτη, μαθεῖν τὸν ἥττονα λόγον. μὴ πειθομένου δὲ τοῦ μειρακίου, αὐτὸς ἐλθὼν μανθάνει, μαθητὴν Σωκράτους ἐκκαλέσας τινὰ διαλέγεται. ἐκκλυσθείσης δὲ τῆς διατριβῆς, οἵ τε μαθηταὶ κύκλῳ καθήμενοι, πιναροὶ συνορῶνται καὶ αὐτὸς ὁ Σωκράτης ἐπὶ κρεμάθρας αἰωρούμενος καὶ ἀποσκοπῶν τὰ μετέωρα θεωρεῖται. μετὰ ταῦτα τελεῖ παραλαβὼν τὸν πρεσβύτην, καὶ τοὺς νομιζομένους παρ' αὐτῷ θεοὺς ἀέρα, προσέτι δὲ Αἰθέρα καὶ Νεφέλας, κατακαλεῖται. πρὸς δὲ τὴν εὐχὴν, εἰσέρχονται Νεφέλαι, ἐν σχήματι χοροῦ. καὶ φυσιολογήσαντος οὐκ ἀπιθάνως τοῦ Σωκράτους, καταστᾶσαι πρὸς τοὺς θεατὰς περὶ πλειόνων διαλέγονται. μετὰ δὲ ταῦτα, ὁ μὲν πρεσβύτης διδασκόμενος ἐν τῷ φανερῷ τινὰ τῶν μαθημάτων γέλωτα ποιεῖ. καὶ ἐπειδὴ διὰ τὴν ἀμαθίαν ἐκ τοῦ φροντιστηρίου ἐκβάλλεται, διάγων πρὸς βίαν τὸν υἱὸν, συνίστησι τῷ Σωκράτει. τούτου δὲ ἐξάγοντος αὐτῷ ἐν τῷ θεάτρῳ τὸν ἄδικον καὶ τὸν δίκαιον λόγον, διαγωνισθεὶς ὁ ἄδικος πρὸς τὸν δίκαιον λόγον, καὶ παραλαβὼν αὐτὸν ὁ ἄδικος λόγος, ἐκδιδάσκει. κομισάμενος δὲ αὐτὸν ὁ πατὴρ ἐκπεπονημένον, ἐπηρεάζει τοῖς χρήσταις, καὶ ὡς κατωρθωκότα εὐωχεῖ παραλαβών. γινομένης δὲ περὶ τὴν εὐωχίαν ἀντιλογίας, πληγὰς λαβὼν ὑπὸ τοῦ παιδὸς, βοὴν ἵστησι, καὶ προσκαταλαλούμενος ὑπὸ τοῦ παιδὸς, ὅτι δίκαιον τοὺς πατέρας ὑπὸ τῶν υἱῶν ἀντιτύπτεσθαι, ὑπεραλγῶν διὰ τὸν πρὸς τὸν υἱὸν συγκρουσιν ὁ γέρων, κατασκάπτει καὶ ἐμπιμπρησι τὸ φροντιστήριον τῶν Σωκρατικῶν. Τὸ δὲ δρᾶμα τῶν πάνυ δυνατῶς πεποιημένων. ἄλλως διὰ στίχων.

Πατὴρ τὸν υἱὸν σωκρατίζειν προὔτρεπε.
Καὶ τῆς περὶ αὐτὸν ψιχρολογίας διατριβὴ
Ἱκανή, λόγων ἀπόνοια πρὸς τοὐναντίον.
Χορὸν δὲ νεφελῶν ὡς ἐπωφελῆ λέγων.
Καὶ τὴν ἀσέβειαν Σωκράτους δεξιῶν.
Ἀλλὰ θ' ὑπ' ἀνδρὸς κατηγορεῖται παρά.
Καὶ τῶν μαθητῶν εἰς παραλοίας ἐκτόπως.
Εἶτ' ἐμπυρισμὸς τῆς σχολῆς τοῦ Σωκράτους.

Τὸ δὲ δρᾶμα τοῦτο τῆς ὅλης ποιήσεως κάλλιστον εἶναί φασι, καὶ τεχνικώτατον. Αἱ πρῶται Νεφέλαι ἐδιδάχθησαν ἐν ἄστει, ἐπὶ ἄρχοντος Ἰσάρχου, ὅτε Κρατῖνος μὲν ἐνίκα, Πυτίνῃ. Ἀμειψίας δὲ Κόννῳ. διόπερ Ἀριστοφάνης ἀπορριφθεὶς παραλόγως, ᾠήθη δεῖν ἀναδιδάξας τὰς δευτέρας καταμέμφεσθαι τὸ θέατρον. ἀτυχῶν δὲ πολὺ μᾶλλον καὶ ἐν τοῖς ἔπειτα, οὐκέτι τὴν διασκευὴν εἰσήγαγεν. αἱ δὲ δεύτεραι Νεφέλαι, ἐπὶ Ἀμεινίου ἄρχοντος. τοῦτο δὲ ταὐτόν ἐστι τῷ προτέρῳ. διεσκεύασται δὲ ἐπὶ μέρους, ὡς ἂν δὴ ἀναδιδάξαι μὲν αὐτὸ τοῦ ποιητοῦ προθυμηθέντος. οὐκέτι δὲ τοῦτο δι' ἣν ποτε αἰτίαν ποιήσαντος. καθόλου μὲν οὖν σχεδὸν παρὰ πᾶν μέρος γεγενημένη διόρθωσις. τὰ μὲν γὰρ περιῄρηται. τὰ δὲ πέπλεκται, καὶ ἐν τῇ τάξει καὶ ἐν τῇ τῶν προσώπων διαλλαγῇ μετεσχημάτισται. ἃ δὲ ὁλοσχερῆ τῆς διασκευῆς, τοιαῦτα ὄντα τετύχηκεν, αὐτίκα ἡ παράβασις τοῦ χοροῦ ἤμειπται. καὶ ὅπου ὁ δίκαιος λόγος πρὸς τὸν

ἄδικον λαλεῖ. καὶ τελευταῖον ὅπου καίεται ἡ διατριβὴ Σωκράτους.

Τὴν μὲν κωμῳδίαν καθῆκε κατὰ Σωκράτους, ὡς τοιαῦτα νομίζοντος, καὶ Νεφέλας καὶ Ἀέρα, καὶ τί γὰρ ἄλλ' ἢ ξένους εἰσάγοντος δαίμονας. χορῷ δὲ ἐχρήσατο Νεφελῶν πρὸς τὴν τοῦ ἀνδρὸς κατηγορίαν, διὰ τοῦτο οὕτως ἐπιγράφη. διτταὶ δὲ φέρονται Νεφέλαι. οἱ δὲ κατηγορήσαντες Σωκράτους, Μέλιτος καὶ Ἄνυτος.

Ἄλλως. Θωμᾶ τοῦ Μαγίστρου.

Ἄνυτος καὶ Μέλιτος Σωκράτει τῷ Σωφρονίσκου βασκήναντες, καὶ αὐτοὶ μὴ δυνάμενοι βλάψαι, ἀργύριον ἱκανὸν Ἀριστοφάνει δεδώκασιν, ἵνα δρᾶμα κατ' αὐτοῦ συνθήσηται. καὶ ὃς πεισθεὶς, γεωργόν τινα Στρεψιάδην καλούμενον ἐπλάσατο ὑπὸ χρεῶν πιεζόμενον, ἃ δὴ ἀνηλώκει περὶ τὴν τοῦ παιδὸς Φειδιππίδου ἱπποτροφίαν. οὕτω δὲ τούτων ἐχόντων, μὴ ἔχων ὁ Στρεψιάδης τί ποιήσει περὶ τὰ χρέα, βουλεύεται παραγαγεῖν τῷ Σωκράτει τὸν τούτου παῖδα ἵνα παρ' αὐτοῦ τὸν ἄδικον μάθῃ λόγον· καὶ οὕτω τοὺς δανειστὰς ἀποστερήσηται. Φειδιππίδης μὲν οὖν πολλὰ δεηθέντος τοῦ πατρὸς, προσελθεῖν οὐκ ἐπείσθη. ἀποτυχὼν δὲ ὁ πρεσβύτης τῆς ἐπ' ἐκεῖνον ἐλπίδος, καὶ οὐκ ἔχων ὅ τι καὶ γένηται, εἰς δεύτερον εἶδε πλοῦν. οὐδὲν γὰρ τῆς ἡλικίας φροντίσας, οὐδ' ἐνθυμηθεὶς εἴ πως ἄτοπος δόξειεν ἀνὴρ γέρων οὐδ' ὅμως μανθάνειν, καθάπερ κομιδῇ νέος, ἀρχόμενος, ἀλλ' εἰς ἓν ἀφορῶν μόνον ἐκεῖνο, ἐὰν ἄρα οἷός τε γένηται τοὺς δανειστὰς διὰ πειθοῦς ἀποστερῆσαι τὰ χρήματα, αὐτὸς πρόσεισι τῷ Σωκράτει. οὐκ ἔχων δὲ ὑπηρετοῦντα τῇ νόσῳ τὸν νοῦν, ἀλλὰ τοιοῦτος ὢν οἷς ἐμάνθανεν οἷος καὶ πρὶν τῆς παιδείας ἐφῆφθαι, αὐτὸς μὲν ἀπέγνω παιδεύεσθαι. προσελθὼν δὲ τῷ παιδὶ καὶ αὖθις πολλαῖς πεποίηκε ταῖς δεήσεσιν ἵνα τῷ Σωκράτους ὁμιλητῇ γενήσεται. ὁ δὲ, καὶ γέγονε καὶ μεμάθηκε. συνίσταται δὲ τὸ δρᾶμα ἐκ χοροῦ Νεφελῶν. ἔχει δὲ κατηγορίαν τοῦ Σωκράτους ὅτι τοὺς συνήθεις θεοὺς ἀφεὶς καινὰ ἐνόμιζε δαιμόνια. Ἀέρα. Νεφέλας καὶ τὰ τοιαῦτα.

OCCASIO FABVLÆ QVÆ INSCRIBITVR NVBES.

EX FRISCHLINO.

QVoniam Aristophanes hac Comœdia Socratem insectatur: nos Occasionem Fabulæ ex Æliano referemus, apud quem lib. 2. Var. historiæ Cap. 13 copiose & eleganter omnia, quæ huc pertinent, describuntur. Anytus, inquit, causas & vias quærebat contra Socratem: propter ea quæ suprà diximus. Metuebat verò Athenienses, & illorum voluntatem suspectam habebat, quemadmodum accepturi essent hominis accusationem. Nam celebre nomen Socratis erat, tum propter alia, tum potißimum, quod in Sophistas vehementer inueheretur: in quibus nihil sanum inerat: & qui neque sciebant, neque docebant quicquam operæpretium. Ab his igitur initium petere & periculum facere cœpit, quam in partem accepturi essent accusationem Socratis Athenienses. Nam statim eum in crimen vocare, non arbitrabatur esse consultum: partim ob ea, quæ exposui: partim, ne Socratis amici & asseclæ exasperatos, contra accusatorem, iudicum animos in suas partes abstraherent, & sic in se aliquod malum redundaret: vt qui falsò detulisset hominem, non solùm nullius calamitatis in Repub. autorem: verùm etiam ex diuerso, ciuitatis Atheniensium ornamentum. Quid ergò excogitat? Aristophanem Poetam Comicum, nugatorem: qui & ridiculus erat, & talis haberi studebat: subornat & persuadet, vt in Comœdia Socratem ab iis, quæ plerique de eo conficta norant, malis taxaret atque incesseret. Esse loquacem, & dicendo efficere, vt malæ causæ bonæ videantur: introducere nouos & insuitatos Dæmones: cùm neque nosset interim, neque reuerenter haberet Deos, atque hæc ipsa quoque in eos, qui eius opera vterentur, transfundere, & eos in falsam opinionem inducere. Aristophanes, arrepto argumento, admodum strenuè risum interposuit, & metrorum festiuitatem: optimum Græcorum, aduersus quem diceret, materiam sibi faciens. Non enim illi Cleon erat in Dramate propositus: non suggillabat Lacedæmonios, aut Thebanos aut ipsum Periclem: sed virum Diis omnibus, præsertim Apollini, charum. Proinde rei insolentia, & insuitato in Scena spectaculo Socratis: primùm omnes Athenienses, cum nihil minus expectassent, obstupuerunt. Deinde, quoniam naturâ inuidiosi erant Athenienses, & ad optimis quibusque detrectandum procliues: non solum illis, qui in administratione Reipub. & magistratibus excellerent: verùm etiam qui vel doctrina literarum, vel vita grauitate præfulgerent: iucundum eis ludicrum

dicrum visæ sunt illæ Nebulæ, & actorem plausu tanto prosequebantur: quanto nunquam antea, & clamore victoriam ei decreuerunt: mandaruntque iudicibus, vt Aristophanis nomen, non alterius, scriberent. Atque Drama fuit einsmodi. Socrates vero raro veniebat in theatra: nisi quando Euripides Tragicus Poeta cum nouis Tragœdiis certaret: tum enim accedere solebat. Et tunc quoque cum Euripides in Piræo contenderet, eo descendebat. Nam amabat hominem tum propter sapientiam, tum propter carminum virtutem & bonitatem. Aliquando tamen ipsum Alcibiades filius Cliniæ, & Critias filius Callæschri, vt Comœdias etiam in Theatro audiret, inuitarunt: & tantum non coëgerunt: Verum ille non magni Comicos pendebat: sed egregie contemnebat (vt vir modestus, iustus, probus & sapiens) homines mendaces, iniuriosos & sani nihil dicentes: quod ipsos male habuit. Atque etiam hæc erant Aristophanis Comœdiæ seminaria: non solum ea, quæ Anytus & Melitus suggesserant. Haud etiam vero dissimile est, Aristophanem magna pecunia ex hac re locupletatum fuisse. Nam, cum illi cuperent & omnino festinarent, Socratem calumniis & conuitiis proscindere: ipse vero pauper & scelerosus esset: quid absurdum sequatur, si statuamus eum argentum ob rem inhonestam, & maleficiosam cepisse? Sed de his ipse sibi conscius est. Consecutum est igitur Drama magnam gloriam. Etenim illud Cratini tum maxime verum erat: Theatrum male sana corda habebat: & quoniam Bacchanaliorum festum celebrabatur, magna multitudo Græcorum eo spectandi cupiditate, confluxerat. Cum ergo circumferretur in scena Socrates & crebro nominaretur (non mirum, si etiã visus in histrionum personis, nam figulos etiam pulchre eum persæpe expressisse constat) Peregrini, quis ille, qui in Comœdia traduceretur, esset, nescientes: susurrum & murmur excitabant: atque quisnam esset ille Socrates, interrogabant. Quod cum animaduertisset ille (etenim non forte fortuna aderat: sed sciens se in Comœdia taxandum: sedebatque in opportuno loco Theatri) ad tollendam dubitationem ex animis peregrinorum surrexit, & per totum Drama, congredientibus histrionibus, stans cernebatur. Adeo Socrates & istam Comœdiam & Athenienses nihili fecit.

Hactenus Ælianus, cuius integram narrationem huic libro inserere voluimus, propterea quod ea huic Comœdiæ non parum lucis afferat. Sed nos ista iam neque confirmare neque confutare instituimus: hanc rem in alium locum reiicientes. Qui plura volunt in promptu habere pro defensione Socratis: hi legant Apologiam Socratis apud Platonem & Xenophontem, item Plutarchi lib. De Genio Socratis: & Appuleium de Deo Socratis. Nos ad argumentum fabulæ accedimus, quod tale est.

ARGVMENTVM FABVLAE.

INTRODVCIT Poeta quendam Strepsiadem, noctu diuque semetipsum torquentem, propter debita & æs alienum, a fœneratoribus acceptum: in quod pater se causa filij, cui equos emerat, temere coniecerit. Nam instante iam nouilunio, quo debita exigebantur, noctem iste insomnem habet. Quare accensa lucerna, sumtus & debita secum supputat: filium, qui equos & currus somniabat, e lecto excitat: orat, vt Philosophos, Socratem & Chærephontem adeat, & ab illis Sophisticam persuadendi artem addiscat. Sic enim fore, vt creditoribus imponat: & quod pater nihil cuiquam debeat, illis persuadeat. At Phidippides (hoc enim nomen filio) rei equestris amore adductus, Philosophicum pallorem detestatur, patrique morem gerere recusat, & conditionem respuit. Quare, senex, omni spe, quam de filio conceperat, abiecta, ipsemet Socratem adire, & mentiendi artem, nulla ætatis ratione habita, perdiscere constituit. Non longe progressus, ad ostium Academiæ seu Lycei peruenit, atque hoc pulsat & Socratem quærit. Discipulus domo egrediens, cognita aduentus causa, exponit seni quædam arcana Socratis: sed ridicula: vt sunt, de dimensione saltus pulicum, de culicibus, ore ne an podice sonum edant, & similibus. Quas subtilitates homo rusticus primum admiratur: deinde in Scholam introducitur: vbi conspicatus forte globum cœlestem & terrestrem affabre factum: nonnulla de situ Vrbium & Insularum, deque erudito puluere ridicule docetur. Ibidem in calatho consistentem Socratem, quasi a terra submotum: & in sublimiori loco cœlum contemplantem, salutat: causam aduentus exponit: doceri cupit: mercedem sancte per Iouem promittit. Ille Iouis audito nomine, negat esse Iouem: & præter Nubes, nulla restare vsquam numina. Mox homi-

ne rustico, sacris Philosophicis initiato, Nebulas inuocat: vt hæ sibi in Strepsiade informando, opem ferant. Introgressis, muliebri specie, in Theatrum Nubibus, docet Socrates: illas esse Sophistarum Deas: easdem tonare & fulgurare. Hac de causa etiam à Strepsiade adorantur: eique omnem operam pollicentur Nubes. Quare iterum rogat Socratem Strepsiades, vt Sophisticam se doceat: promittit omnem diligentiam cum laborum & plagarum tolerantia coniunctam: dummodò rabula fiat: & a debitis liberetur. Annuit Socrates, & homini suam operam promittit: exploratis tamen prius ingenij viribus, facultate Memoriæ & dono facundiæ. Postea introductum in scamno collocat, & quæ facere eum velit, paucis admonet. Illis è proscenio digressis, Nubium Chorus de Aristophanicis Comœdiis & de hac cumprimis, ad spectatores verba facit: Poetam laudat, alios Comicos reprehendit. Hinc orationem ad Deos conuertit: & Iouem, Neptunum, Solémque inuocat. Mox iterum ad spectatores conuersus, Athenienses accusat, quòd Nubibus sacra non faciant, & ingrati sint pro Cleone, à se tempestatibus interemto. Hinc Apollinem, Dianam, Mineruam & Bacchum Chorus adorat. Postremò rursus quædam in ciuibus vituperat. Redit interim in Scenam cum Strepsiade Socrates, & de Hominis hebeti ingenio conqueritur: simul varia ex ipso interrogat. At ille rogatus de cepis, semper respondet de alliis: ac nihil penè in ore habet, quàm λόγον ἥττονα καὶ κρείττονα: hoc est, quemadmodum causa inferior, dicendo fieri possit superior: sicut hæc nomina interpretatur Cicero in Bruto. Socrates hominem agresti ingenio præditum, monet, artem Grammaticam primò illi discendam, vt possit masculinum discernere à fœminino. Ibi iocosa & lepida, de Nominum quorundam generibus oboritur disputatio, sed inutilis & ociosa. Tandem scamno insidere & secum meditari iubetur rusticus. Sed vexatus à cimicibus, Socratem rogat, vt celeriter rem expediat, cuius ipse gratia aduenerat. Ille mollitiem hominis incusat, & animum nunc huc, nunc illuc diuidere, adeóque in omnes partes rapere iubet, vt inde viam inueniat, qua suos debitores defraudet. Quare operto capite, rusticus senex, mirabiles technas excogitat, quibus fœneratores possit in fraudem inducere. Sed cùm ætatis vitio nimium esset obliuiosus, nec firmiter præcepta Socratis retinere posset: suadente Nubium choro, filium accersitum abit, vt ipse Sophisticam in schola Socratis addiscat. Ægrè hunc illò pertractum, & precibus minísque adactum, vix tandem adducit: fortè iurantem per Iouem, castigat: narrat Socratis subtilitates, & vitam sordidam: ad extremum Socrati eundem commendat, & bona spe vtrinque accepta, recedit. Tum duo viri accedunt, vna cum Nubium choro: alter Dicæus, id est, iustus: alter Adicus, id est, iniustus, qui mutuis conuitiis & calumniis dignè & indignè se persequuntur. Choro litem & altercationem sedante, & ferente leges disputationis, ambo iuuenem aggrediuntur, non aliter atque Herculem illum Prodicium, Virtus & Voluptas. Prior sententiam dicit Iustus, & mores antiquitatis bonos ac frugales commendat: simul Phidippidem exhortatur, vt relicto Adico & Nubibus, se consequatur. Huic magnis clamoribus se opponit Adicus, & vitæ voluptariæ commodis monstratis, Temperantiæ verò & aliarum virtutum incommodis, iuueni persuadet, vt suæ insistat viæ: simúlque pluribus conuitiis Dicæum è schola profligat. Strepsiade oranti & instanti, denuò Socrates fidem & diligentiam, optatúmque studiorum euentum pollicetur. Chorus verò spectatorum æquanimitatem expetit, pro qua fœcūdas illi pluuias pollicetur. Vexatus interim summa creditorum, in quos inciderat, importunitate & minis, Strepsiades: redit ad Socratem, sperans filium suum aliquid in arte Sophistica iam profecisse. Idque vbi cognouit, vehementer lætatur, & filium iam doctiorem salutat, ipsúmque præstigiarum suarum specimen aliquod exhibentem, summoperè admiratur. Adueniunt ibi duo creditores, fœnus ab illo postulaturi, Pasias & Amynias, vterque cum teste. Sed vtrunque eludit Strepsiades: alterum, quòd artem Grammaticam nō didicisset, nec Masculinum à Fœminino posset discernere: eàque de causa nihil ei deberi affirmat. Alterum verò, quod, cùm meteororum sit ignarus, nihil ipse debeat pro mutuo exigere. Sic vtrunque à sua domo remouet. Ipse cum filio instituit conuiuium. Interim Chorus malum, quod statim euenit, Strepsiadæ prædicit: quòd cùm veterator sit, etiam dignum suis fraudibus accepturus sit stipendium. Subitus ergo tumultus oritur, in quo verberatus à filio Phidippide pater, iniuriam queritur spectatoribus. Sed filius, Sophisticam edoctus, iustè à se verberatum esse patrem ostendit, propterea quòd ipse in conuiuio Simonidem & Æschylum laudasset: Euripidem verò reprehendisset. Patre

paterna

paterna obiiciente beneficia filio,& ingratitudinem istam exprobrante, Phidippides copiosis verborum præstigiis probare conatur,contra legis edictum parentes iustè à filiis verberari,& insuper matri quoque verbera minatur. Quibus rebus commotus atque irritatus Strepsiades,damnatis Nubibus,& Socratis Sophismatis, seruum suum adhortatur, vt arrepto ligone scholam Socratis diruat: simul ipse etiam accensis facibus eandem incendit,ac diripit.

ARGVMENTVM

ἀκροστιχές.

N *actus magistrum Socratem cum Nubibus*
V *anam Sophisticam aggreditur vir senex,*
B *attologiis sua soluturus debita.*
E *xin,vbi nil proficit,adducit filium.*
I *s iam Sophista factus,edit specimina:*
S *ed,verberatus ab hoc pater euertit scholam.*

ΤΑ ΤΟΥ ΔΡΑΜΑΤΟΣ ΠΡΟΣΩΠΑ.

Στρεψιάδης.
Φειδιππίδης.
Θεράπων Στρεψιάδου.
Μαθητὴς Σωκράτους.
Σωκράτης.
Χορὸς Νεφελῶν.
Δίκαιος λόγος.
Αδικος λόγος.
Δανειστὴς Πασίας.
Δανειστὴς Αμυνίας.
Μάρτυς.
Χαιρεφῶν.

PERSONAE DRAmatis.

Strepsiades, Senex rusticus.
Phidippides, Adolescens.
Famulus Strepsiadis.
Discipulus Socratis.
Socrates.
Chorus Nubium.
IustusSermo.
Iniustus Sermo.
Pasias,Danista.
Amynias,Danista.
Testis.
Chærepho.

Η εἴσθεσις τοῦ δράματος ἄρχεται ἐκ συστηματικῆς περιόδου. καὶ ἑξῆς ἐκ προσώπων ἀμοιβαίων. οἱ δὲ στίχοι εἰσὶν ἰαμβικοὶ τρίμετροι ἀκατάληκτοι ἑπτά. ὧν προστίθεται ἐν ἀρχῇ τοῦ δράματος, κῶλον ἰαμβικὸν μονόμετρον ἀκατάληκτον. ἐν εἰσθέσει κῶλον ἰαμβικὸν μονόμετρον ἀκατάληκτον. καὶ μετὰ τὸν διακοσιοστὸν εἰκοστὸν, ἕτερον κῶλον ἰαμβικὸν μονόμετρον καταληκτικόν. τελευταῖος δὲ πάντων τούτων, εὖδε. κατακαπτόμενος γὰρ παμπάλη γίγνομαι. ἐπὶ ταῖς ἀποθέσεσι τῶν συστημάτων παράγραφος. ἐπὶ δὲ τῷ τέλει πάντων τῶν στίχων κορωνίς.

ΑΡΙΣΤΟΦΑΝΟΥΣ ΝΕΦΕΛΑΙ.

ΔΡΑΜΑΤΟΣ ΤΟΥ ΠΡΩΤΟΥ,

Σκηνὴ πρώτη.

Τρίμετροι ἰαμβικοί.

ΣΤΡΕΨΙΑΔΗΣ, ΦΕΙΔΙΠΠΙΔΗΣ, ΘΕΡΑΠΩΝ.

Ἰοὺ ἰού.
Ὦ Ζεῦ βασιλεῦ τὸ χρῆμα τῶν νυκτῶν, ὅσον
Ἀπέραντον; οὐδέποθ' ἡμέρα γενήσεται;
Καὶ μὴν πάλαι γ' ἀλεκτρυόνος ἤκουσ' ἐγώ·
Οἱ δ' οἰκέται ῥέγκουσιν, ἀλλ' οὐκ ἂν πρὸ τοῦ.
Ἀπόλοιο δῆτ' ὦ πόλεμε πολλῶν οὕνεκα,
Ὅτ' οὐδὲ κολάσ' ἔξεστί μοι τοὺς οἰκέτας.
Ἀλλ' οὐδ' ὁ χρηστὸς οὑτοσὶ νεανίας
Ἐγείρεται τῆς νυκτός, ἀλλὰ πέρδεται
Ἐν πέντε σισύραις ἐγκεκορδυλημένος.
Ἀλλ' εἰ δοκεῖ ῥέγκωμεν ἐγκεκαλυμμένοι.

ARISTOPHANIS NVBES.

ACTVS I. SCENA prima.

Trimetri Iambici.

STREPSIADES, PHIDIPPIDES, PVER.

Heu, eheu:
Proh Iuppiter Rex, quàm infinitum hoc noctis est?
Nunquám ne lucescet hodie? atqui dudum ego
Galli audiui cantum: & adhuc stertunt serui.
Sed non licebat antehac ita stertere.
Malè pereas ô Bellum, tum propter alia
Multa mala: tum quòd mihi pulsare seruulos
Per te non licet. At enim neque bonus hic meus
Adolescens hac nocte è somno expergiscitur:
Sed pedit, inuolutus quinque stragulis.
Age, si placet, in lecto pergamus stertere.

Σχόλια. Ἰοὺ ἰού.] σχετλιαστικὸν ἐπίρρημα. διὰ τὸ ἐγκατηγορεῖται καὶ ἀγρυπνεῖν, δυσφορῶν ἀναβοᾷ. συμβαίνει γὰρ τοῖς ἀγρυπνοῦσι, μάλιστα μεγάλας τὰς νύκτας νομίζειν. ἠγρύπνει δὲ ὁ Στρεψιάδης μὴ δυνάμενος ὑπνώττειν ὑπὸ τῆς τῶν χρεῶν φροντίδος. τὸ δὲ προοίμιον σχετλιαστικὸν ἐκ τοῦ πράγματος. Βασιλεῦ.] ἐκ ἀργῶς χρὴ τοῦτο νομίζειν τὸν ποιητὴν εἰρηκέναι. ἔχεται γὰρ ἱστορίας τοιαύτης. τοῖς Ἀθηναίοις πυθόχρηστος ἐγένετο καταλύσαι μὲν τὰς βασιλείας. προσκυνεῖν δὲ Δία βασιλέα. ὥστε τὸ λεχθὲν τῆς ἱστορίας ταύτης ἔχεσθαι χρὴ νομίζειν. Τὸ χρῆμα τῶν νυκτῶν.] τὸ μέγεθος. τὸ ἔκταμα. ἔθος δὲ τοῖς Ἀττικοῖς ἐπάγειν τὸ χρῆμα. ὅτι ἵππος σπάνιόν τι χρῆμα. καὶ γυνή, σπάνιόν τι χρῆμα. καὶ ἐπὶ τῶν ἄλλων ὁμοίως. Ἀπέρατον.] μέγα. οὐ πέρας ἐκ ἔστιν. οἱ δὲ ἀπέραντον μετὰ τοῦ ν γράφοντες, ἁμαρτάνουσι. ζητεῖται δὲ πῶς τὰς νύκτας μεγάλας λέγει. Διονυσιακοῦ γὰρ ὄντος τοῦ δράματος, σμικρὰς εἶναι τὰς νύκτας ἀνάγκη, διὰ τὸ ἐν ἐαρινῷ καιρῷ ἐπιτελεῖσθαι τὰ Διονύσια. πλὴν εἰ μὴ τούτῳ μεγάλας καταφαίνεται, διὰ τὸ φροντίζειν ὅπερ πάσχειν συμβαίνει τοὺς ἀγρυπνοῦντας. παρεπιγραφὴ δὲ, συγκεκαλυμμένος καὶ καθεύδων ὑποτίθεται, ἐξανακαλυψάμενος καὶ ἔξω τὴν κεφαλὴν ποιήσας τοῦ περιβλήματος. Οἱ δ' οἰκέται ῥέγκουσιν.] οὕτως Ἀττικοὶ διὰ τοῦ κ. οἰκέτας δὲ νῦν οὐ τοὺς θεράποντας μόνον λέγει, ἀλλὰ πάντας τοὺς κατὰ τὴν οἰκίαν. καθεύδουσιν οὖν πάντες, ὡς τῶν ἄλλων μὲν ἀμεριμνούντων, αὐτοῦ δὲ φροντίζοντος. διὰ τοῦτο, καὶ τὸ ῥέγκουσιν ἐπήγαγεν. ἵνα μᾶλλον αὐτοὺς δείξῃ πάσης ὄντας ἔξω φροντίδος. τῶν γὰρ βαθέως καθευδόντων, ἴδιον τὸ ῥέγκειν. Ἀλλ' οὐκ ἂν πρὸ τοῦ.] ἀλλ' οὐκ ἂν πρότερον. ἐν γὰρ τῇ εἰρήνῃ φασὶν ἐξῆν ἐμπαίειν αὐτοὺς ἐργαζομένους, ὡς ὑπὸ τῆς περὶ χρημάτων ἀμελείας μὴ ἀνέτως μηδὲ οὕτω βαθέως ὁ μᾶλλον καθεύδειν. Ἀπόλοιο δῆτ' ὦ πόλεμε.] φασὶν ὡς Ἀθηναῖοι Λακεδαιμονίοις ἐν Ἀργινούσαις ναυμαχήσειν μέλλοντες, προεῖπον τοῖς δούλοις, ὡς εἴτις αὐτῶν συμπαρατάξεται τῇ ναυμαχίᾳ, τιμῆς εἰς τὸ λοιπὸν ἀπολαύσειεν. βοηθησάντων οὖν τῶν δούλων, Λακεδαιμονίους ἐνίκησαν. καὶ ταῦτα μέν τινες φάσκουσι. τὸ δ' ἀληθὲς οὕτως ἔχει. Ἀθηναίοις καὶ Λακεδαιμονίοις πόλεμος ἦν. οὐκ ἤθελον οὖν Ἀθηναῖοι τοὺς δούλους κολάζειν ἔτι πλείω, δεδιότες μὴ πρὸς Λακεδαιμονίους αὐτομολήσωσι. τὸ δὲ ὅτι, ποτὲ μὲν μόνον χρόνον δηλοῖ. ποτὲ δὲ, καὶ χρόνον καὶ αἰτίαν, ὡς ἔστι καὶ τοῦτο. Ἀλλ' οὐδ' ὁ χρηστὸς οὑτοσί.] νῦν οὐκ ἐπαινῶν αὐτὸν χρηστὸν φησιν, ἀλλ' ἐν εἰρωνείᾳ. πῶς γὰρ δύναται θαυμάζειν, ὃν ἐπὶ ῥαθυμίᾳ μέμφεται. Ἐν πέντε σισύραις.] στρώματα περιβλήματα παχέα τῶν καλουμένων ἐμφερῆ σύραις. ἔστι δὲ φαῦλα χλαμυδώδη περιβλήματα. Ἐγκεκορδυλημένος.] ἐγκεκρυμμένος. κορδύλην γὰρ οἱ Κύπριοι λέγουσι τὸ περιείλημα τῆς κεφαλῆς. παρεπιγραφή. ποιήσας γὰρ ἀσχήμονα τὴν ὄψιν καὶ τὸ σχῆμα τοῦ νεανίσκου μιμησάμενος ὥσπερ ἐκεῖνος ἐκάθευδεν. ἀποστραφεὶς καὶ αὐτός, πειρᾶται δ' ἤδη καθεύδειν, ἐγκρύψας τὴν κεφαλὴν τοῖς περιβλήμασιν.

BISETVS. Ἐγκεκορδυλημένος] Σουΐδας. κορδύλη, τὸ ἐξέχον, καὶ συνεστραμμένον, καὶ ὁ περὶ τῶν ὤμων δεσμός. καὶ παροιμία, κορδύλης οὐκ ἄξιος.

Σχόλια. Ἀλλ' εἰ δοκεῖ ῥέγκωμεν.] ἰστέον ὅτι λήγοντος τοῦ χειμῶνος, ἀρχομένου δὲ τοῦ ἔαρος, γίνεται τὰ Διονύσια. ὥστε διὰ τὸ κρύος αὐτοὺς εἰκὸς καθεύδειν, τοιούτῳ σχήματι τὴν κεφαλὴν περιβεβλημένους. ὥστε καὶ πείνῃ τὸ περιβόλαιον περιβεβλῆσθαι τὸν υἱόν.

Ἀλλ' οὐ δύναμαι δείλαιος εὕδειν, δακνόμενος
Ὑπὸ τῆς δαπάνης, καὶ τῆς φάτνης, καὶ τῶν χρεῶν,
Διὰ τουτονὶ τὸν υἱόν. ὁ δὲ, κόμην ἔχων,
Ἱππάζεταί τε καὶ ξυνωρικεύεται.
Ὀνειροπολεῖ θ' ἵππους. ἐγὼ δ' ἀπόλλυμαι,
Ὁρῶν ἄγουσαν τὴν σελήνην εἰκάδας.
Οἱ γὰρ τόκοι χωροῦσιν. ἅπτε παῖ λύχνον,
Κἄκφερε τὸ γραμματεῖον, ἵν' ἀναγνῶ λαβὼν,
Ὁπόσοις ὀφείλω, καὶ λογίσωμαι τοὺς τόκους.
Φέρ' ἴδω τί ὀφείλω. δώδεκα μνᾶς Πασίᾳ.
Τοῦ, δώδεκα μνᾶς Πασίᾳ; τί ἐχρησάμην;
Ὅτ' ἐπριάμην τὸν κοππατίαν. οἴμοι τάλας.

A At non queo miser ego somnum capere oculis:
Ita me impensæ, & præsepe & debita lancinant,
Hunc propter filium. Sed ille comam interim
Alit, equitat, aurigatur, atque insuper equos
B In somno somniat: dum ego pereo miser.
Nam video Lunam iam adducere vigesimas,
Et usuras procedere. Puer, heus, cape
Lucernam, & profer huc tabulas, ut mox sciam,
Quibus, & quot debeam, & usuras ut supputem.
Sine videam, quid debeam. Duodecim
C Minas Pasiæ: hui, duodecim Minas Pasiæ!
At in quem usum? cùm Cappatiam emerem: hei mihi!

Σχόλια. Ἀλλ' οὐ δύναμαι.] ἀλλ' οὐκ ἔπεστί μοι ὕπνος. εὐθὺς δὲ καὶ τὴν αἰτίαν ἐπάγει τοῦ μὴ δύνασθαι καθεύδειν. Δείλαιος.] ἄθλιος, κακοδαίμων. Δακνόμενος. ἐνοχλούμενος ὑπὸ τῶν τῆς ἱπποτροφίας ἀναλωμάτων. δοκεῖ γὰρ δαπανηρὸν εἶναι ἵππους τρέφειν. ὅπερ καὶ τῇ λακωνικῇ προσέζευκται κατάρᾳ. καὶ γὰρ δὴ καὶ τοῦτο οἱ Λακεδαιμόνιοι ἐν κατάρας ἔθεντο μέρει. D τὸ δὲ δακνόμενος εἶπεν, ἀπὸ τοῦ κατακνίζεσθαι ὑπὸ τῶν στρωμάτων καὶ τῶν περιειλημάτων. τὸ δὲ χρεῶν νῦν δανειστικῶν. δηλοῖ γὰρ τῶν ὀφλημάτων. εἴρηκε δὲ ἀπὸ τῶν κορέων. δαπάνην δὲ τουτέστι τὸ δεσμὸν τοῦ χόρτου, ἵνα ἑξῆς καὶ ἀκολούθως τῇ φάτνῃ λέγειν δοκῇ. Ὁ δὲ κόμην ἔχων.] ἐκόμων γὰρ οἱ περὶ ἱππικὴν ἔχοντες. κἂν τοῖς Ἱππεῦσι. Μὴ φθονεῖθ' ἡμῖν κομῶσι μηδ' ἀπεστλεγγισμένοις. E Ἱππάζεταί τε καὶ ξυνωρικεύεται.] νῦν μὲν ἐπὶ κέλητος, νῦν δὲ ἐπὶ ξυνωρίδος ἅρματος ὀχούμενος ἄνω καὶ κάτω βακχεύει. ξυνωρὶς δὲ, τὸ μὴ τέθριππον ἅρμα, ἀλλ' ἐκ δυοῖν ἵππων συνεστὼς ὃ νῦν δίφρον καλοῦμεν. τὸ δὲ ἱππάζεσθαι, οὐχ ἁπλῶς χρείαν περὶ ἱππικὴν ἔχειν, ἀλλὰ τὸ ἐπὶ ἑνὸς ἵππου ὀχεῖσθαι καὶ οὕτως ἱππεύεσθαι, ὃ νῦν κέλητα καλοῦσιν. Ὀνειροπολεῖ θ' ἵππους. κἂν τοῖς ὀνείροις ἵππους φαντάζεται. τουτέστιν οὕτω προσέτακε τῷ πράγματι, καὶ οὕτω περὶ ἵππους ἐσπούδακεν, ὥστε καὶ καθεύδων τὰ ἐνύπνια περὶ ἵππων ὁρᾷ. F τὸ ὀνειροπολεῖν δὲ καὶ ὀνειρώττειν ταύτῃ διενήνοχεν. ὅτι τὸ μὲν ὀνειροπολεῖν, ἐπὶ τῶν ἐνύπνιον ὁρώντων. τὸ δὲ ὀνειρώττειν, ἐπὶ τῶν νυκτὸς αὐτομάτως ἀφιέντων γόνον. ὅπερ τοῖς ἐρῶσιν ἐκ τούτων συμβαίνειν δόξασι τοῖς παιδικοῖς συνεῖναι. Ὁρῶν ἄγουσαν τὴν σελήνην εἰκάδας.] ἤτοι μετ' εἰκάδα ἡμέραν καὶ προσεγγίζει τῇ τριακάδι καὶ τῶν δανείων οἱ τόκοι αὐξάνονται, ἢ ὅτι αἱ μυστικαὶ δαπάναι ὑπῆρχον. οἱ [illegible] δὲ τὰς εἰκάδας πληθυντικῶς λέγουσιν. ἄλλως. ἐπεὶ ἡ σελήνη G ἐν ἡμέραις εἰκοσιεννέα τελεῖται. τὸ δὲ κ τῶν εἰκοσιεννέα ἐγγύς. ἐδίδοντο δὲ ἐν τῷ τέλει τοῦ σεληνίου οἱ τόκοι. διὰ τοῦτο εἰκάδας εἶπεν. ἢ τὸ εἰκάδας [illegible] διὰ μόνας τὰς εἴκοσιν, ἀλλὰ καὶ διὰ τὰς ἑξῆς [illegible], πληθυντικῶς εἴρηται. Ἅπτε παῖ λύχνον.] ταῦτα πάντα παρεγκυκλήματα ἐστί. δεῖ γὰρ τὸν οἰκέτην τὰ προσταχθέντα ποιῆσαι. ἅψασθαι τὸν λύχνον, καὶ δοῦναι τὸ βιβλίον. ἐπειδὴ καθορᾶν ἐν τῷ αὐτῷ. καὶ οὕτω λέγειν τοὺς δανειστάς. Δώδεκα μνᾶς Πασίᾳ.] τοῦτον ὡς ἱπποτρόφον καὶ διὰ τοῦτο περιθέντα τὴν οὐσίαν παρεισάγει. χαριέντως δὲ τούτου νῦν μνημονεύει. ἐπεὶ καὶ αὐτὸς δι' ἱπποτροφίαν δοκεῖ δυστυχεῖν. Τοῦ δώδεκα μνᾶς.] τοῦτο παρεγκύκλημα ἐσφίγγωσεν, ὡς διαπορῶν τοῦ δανείου D τὴν αἰτίαν. εἶτα ἀναμιμνήσκεται, τὰ ἑξῆς ἐπάγει. τὸ, δώδεκα, μὴ λάβῃς εἰς τὸ τί, ἔξωθεν τὸ ἕνεκα ὡς οἴονταί τινες. ἀλλ' ἔστιν ἡ τοιαύτη γενικὴ πρὸς τὸ μνᾶς. Τὸν κοππατίαν.] κοππατίας ἵππους ἐκάλουν, οἷς ἐγκεχάρακτο τὸ κ στοιχεῖον. ὡς σαμφόρας, τοὺς ἐγκεχαραγμένους τὸ σίγμα. τὸ γὰρ σ καὶ τὸ ν χαρασσόμενον, σὰν ἔλεγον. αἱ δὲ χαράξεις αὗται καὶ μέχρι τοῦ νῦν σώζονται ἐπὶ τοῖς ἵπποις. συνεζευγμένου γὰρ τοῦ κ καὶ τοῦ σ, τὸ σχῆμα τοῦ ς ἀριθμοῦ δύναται νοεῖσθαι, οὗ προηγεῖται τὸ κ. καὶ παρὰ γραμματικοῖς, οὕτω διὰ [illegible]. E καλεῖται κόππα, ἐνενήκοντα. τινὲς δὲ κοππαλίαν ἐξηγήσαντο, τὸν κόπτοντα καὶ κοιλαίνοντα ταῖς ὁπλαῖς τὸ ἔδαφος, οὐδὲν οὕτως ὑποτιθέμενοι. οὐ γὰρ βουκεφάλους ἵππους καλοῦμεν, διὰ τὸ μορφὴν τοιαύτην αὐτοὺς ἔχειν, ἀλλὰ διὰ τὸ οὕτως ἐγκεχαράχθαι. ὡς καὶ Ἀλεξάνδρου τοῦ Μακεδόνος ὁ ἵππος ἦν. ὃς τελευτήσαντος τοῦ Βουκεφάλου, Ἀλεξάνδρειαν ἔκτισεν, ἐπιτάφιον αὐτῷ τῆς ἀρετῆς χαριζόμενος πόλιν.

BISETVS. A μέχρι τοῦδε ὑπὸ τοῦ παλαιοῦ σχολιαστοῦ εἴρηται, μεγάλην ἔχει ἀσάφειαν. ἵνα δὲ ταῦτα φανερώτερα εἴη, αὐτὰ τὰ τῶν παλαιῶν σημείων χαράγματα παρεστήσομεν [illegible]. ἐν δὲ τούτοις τρία παρατηρητέα. ἓν μὲν, τὸ τοῦ χάραγμα τοῦ σ, οὐ καλῶς ἔχειν. ἐκ πολλῶν ὄντων γὰρ πλειόνων τούτου τοῦ γράμματος χαραγμάτων, ἐκεῖνο δέον ἐκλέγειν, ὅπερ μάλιστα προσήκει, ἤγουν ς. Δεύτερον δὲ, τοῦ ἀριθμοῦ τοῦ ἐνενήκοντα δηλωτικὸν σημεῖον, ὅπερ ἄνω κεῖται μετὰ τὸ γράμμα κατὰ τὴν τῶν παλαιτέρων κοινὴν χρῆσιν οὕτω δηλούμενον ϟ, προσγεῖσθαι δεῖν οὕτω, ϟ. ὥστε σχηματίζεσθαι τοῦτο τὸ σημεῖον, ὅπερ ὁ σχολιαστής φησιν ἐκ τοῦ κ καὶ τοῦ ς συγκεῖσθαι. εἰ γὰρ τοῦτον τὸν διπλοῦν χαρακτῆρα εἰς προσοχὴν [illegible], εὑρήσεις καὶ τοῦ κ καὶ τοῦ ἀριθμοῦ τοῦ ἐνενήκοντα σχηματισμόν. τοῦ μὲν κ, εἰ συνεζευγμένως γράψεις Κ. τοῦ δὲ ἀριθμοῦ, εἰ διαιρετικῶς, οὕτω, ις. ἀλλὰ τοῦτο τὸ σημεῖον, ὅπερ [illegible] τὸ Γ, οὐ προηγεῖσθαι, ἀλλὰ μετατίθεσθαι ἄνωθεν κατὰ τὴν τῆς κοινῆς ἀριθμήσεως

χρῆσιν, οὕτω, ὡς τρίτον δὲ, ταῦτα τὰ ῥήματα, Καὶ καλεῖται Κόππα, ἐννενήκοντα, οὐκ ἔστιν αὐτοῦ τοῦ σχολιαστοῦ ῥήματα, ἀλλ' ἐκ τῶν γραμματικῶν, οὓς οὕτω διδάσκειν φησί. καὶ ταύτην τὴν λέξιν (Καὶ) κακῶς γεγράφθαι, ἀντὶ τοῦ σημείου, Κ, ὅπερ ἐνεχαράσσετο τοῖς ἵπποις, ἐκ τοῦ Κ καὶ ς συνεζευγμένων, ὡς προείρηται. τοῦτο γὰρ τὸ σημεῖον αἱ γλῶσσαι ἐδίδασκον καλεῖσθαι διχῶς, κόππα δηλονότι, καὶ ἐννενήκοντα. οὕτως οὖν γραπτέον ἐν τοῖς προτέροις σχολίοις. συνεζευγμένου γὰρ τοῦ κ καὶ τοῦ ς, τὸ σχῆμα τοῦ ϙ ἐννενήκοντα ἀριθμοῦ δηλοῦται νοῦσθαι, οὗ προηγεῖται τὸ Κ. καὶ παρὰ τοῖς γραμματικοῖς οὕτω διδάσκεται, ϙ, καλεῖται κόππα, καὶ ἐννενήκοντα. καὶ ταῦτα μὲν κατὰ στοχασμὸν καὶ ἀπίθανον τοῖς φιλομούσοις ἀφελείας χάριν εἰρήσθω. ἀλλὰ πολλῷ σαφέστερον, καὶ ἁπλούστερον οἱ παρεὶς ταύτας τὰς ἐκ ἀναγκαίας λεπτολογίας, τὸν ἵππον τὸν Κοππατίαν καλεῖσθαι λέξας, ὃς ἦν τοῦ κόππα, τουτέστι Κ. χαρακτῆρα εἶχεν. καὶ ὁ σαμφόρας, ὃς φέρει τὸ στοιχεῖον σ. ὃ δωρικῶς σὰν λέγεται, καὶ τούτου ὁ μείζων χαρακτὴρ διπλοῦν ἔχει σχῆμα. τὸ μὲν, Σ. τὸ δὲ, σ.

Εἴθ' ἐξεκόπην πρότερον τὸν ὀφθαλμὸν λίθῳ.

Φει. Φίλων ἀδικεῖς. ἔλαυνε τὸν σαυτοῦ δρόμον.

Στ. Τοῦτ' ἐστὶ τοῦτο τὸ κακὸν, ὅ μ' ἀπολώλεκεν.

Ονειροπολεῖ γὰρ καὶ καθεύδων ἱππικήν.

Φει. Πόσους δρόμους ἐλᾷ τὰ πολεμιστήρια.

Στρ. Εμὲ μὲν σὺ πολλοὺς τὸν πατέρ' ἐλαύνεις δρόμους.

Ατὰρ τί χρέος ἔβα με μετὰ τὸν Πασίαν;

Τρεῖς μναῖ διφρίσκου, καὶ τροχοῖν Αμυνίᾳ.

Φει. Απαγε τὸν ἵππον ἐξαλίσας οἴκαδε.

Στρ. Αλλ' ὦ μέλ' ἐξήλικας ἐμέ γ' ἐκ τῶν ἐμῶν.

Vtinam prius esset à me huic exculptus oculus.

PHI. *Philon, inique agis: mane in tua Orbita.*

ST. *Hoc illud est malum, quod me male perdidit.*

Nam dormiens etiam rem equestrem animo agitat.

PH. *Quot cursibus peragitur decursorium?*

ST. *Me tu quidem multis exagitas cursibus patrem.*

Sed, quodnam debitum restat post Pasiam?

Minæ tres pro sella curuli, & pro rotis,

Amyniæ. PH. *Equum provoluito, ac domum reduc.*

ST. *At tu provoluisti me, bone vir, è meis*

Σχόλια. Εἴθ' ἐξεκόπην.] ἔπαιξε τὸ ἐξεκόπην περὶ τὴν κοππατίαν. φησὶ δὲ ὄφελον πρὶν πρίασθαι τὸν ἵππον, τὸν ὀφθαλμὸν ἐκκεκόφθαι, πατάξας αὐτὸν λίθῳ. Φίλων ἀδικεῖς.] ὁ νεανίσκος Φειδιππίδης ὑπὸ τοῦ καθεύδειν ἀποφθέγγεται, ὥς τινα συνηνιοχοῦντα μεμφόμενος. ὅτι δέον αὐτὸν ἐλαύνειν μὴ ὑποσκελίζοντα, μηδ' ὑποθέοντα τὰς τῶν ἵππων ὁδοὺς, ὡς ἀνεπικωλύτως θέοιεν, ὁ δ' ὑποθέει καὶ ἐμποδίζει προλαμβανόμενος τῶν ἵππων τῶν ἐκείνου τὸν δρόμον. δεῖγμα δὲ τῆς περὶ τὴν ἱππικὴν αὐτοῦ σπουδῆς, τὸ φροντίζειν καὶ καθεύδοντα περὶ τούτων. τὸ δὲ Φίλων οἱ μὲν φασὶν ἀναρμόστως καθ' ὕπνον εἰρῆσθαι τὸν νεανίσκον, ἀντὶ τοῦ ὦ φίλε. οἱ δὲ κύριον ἡνιόχου.

Bisetvs. Ονειροπολεῖ] Εὐστάθιος. ὀνειροπόλος, ὁ περὶ τοὺς ὀνείρους πολούμενος, καὶ ἢ ἐξ ὧν αὐτὸς βλέπει, ἢ ἐξ ὧν ἄλλοι, κρίνων. ὄνειρος δὲ παρὰ τὸ ὂν εἴρειν, τουτέστι λέγειν τὸ ἀληθές. ὄνειρος ἀρσενικῶς, καὶ ὄνειρον οὐδετέρως. τὸ ἀληθὲς ἐνύπνιον.

Σχόλια. Πόσους δρόμους.] ὀνειρώττων εἶπε πόσους δρόμους. εἰς δ' ἐστὶν ἀπὸ τῆς ἀφέσεως μέχρι τῆς καμπτῆρος. οἱ δ' ἡνίοχοι, καθωπλισμένοι ἤλαυνον. τοῦτο δὲ εὗρεν ὁ Θησεύς. Πολεμιστήρια.] κατά τινας, ἀγὼν Αθήνησιν ἱππικοῦ δρόμου. ἵνα δὲ δρόμον ἐκεῖ τρέχουσιν. ὡς τὰ ἁμιλλητήρια, πληθυντικῶς εἶπεν ὅτι ὅλος σφαλλόμενος ἐκ τοῦ ὀνειροπολεῖν. πολεμιστήρια καλοῦνται καὶ τὰ πολεμικὰ ἅρματα, ἐφ' ὧν ὁπλίτης ἐπιβέβηκεν ἅμα τῷ παραβάτῃ. ταῦτα δὲ ἐξεῦρεν ὁ Θησεύς. ἁμιλλητήρια δὲ τὰ ἀγωνίσματα. ἄλλως. δέον εἰπεῖν πόσους δρόμους ἐλαύνει τὰ ἁμιλλητήρια. ἀντὶ τοῦ πόσοι δρόμοι εἰσὶ τῆς ἁμίλλης, ὁ δὲ ἐπεὶ καθ' ὕπνους τοῦτ' ἔλεγε, πολεμιστήρια εἶπεν. ὁ γὰρ νοῦς, τῶν ὀργάνων ἀργούντων τῷ ὕπνῳ σύνεστι φέρεται. Ατὰρ τί.] τί δὴ μετὰ ταῦτα ὀφλημά με κατέλαβεν. Ευεντικῆς, τί χρέος ἔβα δῶμα. Τρεῖς μναῖ διφρίσκου.] δίφρος καλεῖται τὸ σκεῦος, ἐν ᾧ οἱ ἡνίοχοι ἐφεστῶτες ἐλαύνουσιν. ὑποκοριστικῶς δὲ εἶπε τοὺς διφρίσκους. διὰ τὸ μικροὺς εἶναι καὶ κούφους τοῖς ἀγωνιζομένοις πρὸς τοὺς ἀγωνιστικούς.

Bisetvs. Διφρίσκου] Εὐστάθιος. δίφρος, ὁ τοῦ ἅρματος κορυφαῖος τόπος, ἐφ' οὗ ἵσταντο, ὅ, τε παραβάτης καὶ ὁ ἡνίοχος. ἀπὸ δὲ μέρους, καὶ τὸ ὅλον ἅρμα. ἔστι καὶ δίφρος, εἶδος θρόνου εὐτελοῦς ὁμωνύμως τῷ τοῦ ἅρματος δίφρῳ καὶ εὐτελέστερόν τι θρόνου, καὶ κλισμοῦ δοκεῖ σημαίνειν ὁ δίφρος. λέγεται δὲ καὶ δίφρος, καὶ δίφρα κατὰ γένους μετοπλασμόν. δίφρος δὲ παρὰ τὸ δύο φέρειν λέγεται, τροπῇ τοῦ υ εἰς ι. Σχ. Καὶ τροχοῖν Αμυνίᾳ.] καὶ τοῦτο τῶν ὑπὲρ ἵππους πλημμελησάντων. μέμνηται δὲ αὐτοῦ καὶ ἐν ταῖς σφηξί. νῦν δὲ οὐκ ἐκεῖνον καθαπτόμενος μνημονεύει αὐτοῦ, ἀλλὰ τὸν ἄρχοντα διασύρειν βουλόμενος τῇ ἐκείνου προσηγορίᾳ ἐχρήσατο. τότε γὰρ ἦρχεν Αμεινίας Προνάπου υἱός. ἐκεῖνον οὖν ἐπισκῶψαι θελήσας, παρέτρεψε τὸ ι εἰς τὸ υ, καὶ παρεγραμμάτισε γελοίως. ἐπεὶ παρὰ τοῖς Αθηναίοις ὁ νόμος, φανερῶς ἐκώλυε τὸν ἄρχοντα κωμῳδεῖν. Αμυνίαν δὲ αὐτὸν εἶπεν, ἀντὶ τοῦ Αμεινίαν. Απαγε τὸν ἵππον ἐξαλίσας.] καὶ τοῦτο ὀνειροπολούμενος ὁ νεανίσκος λέγει. ἐξαλίσας δὲ, ἐκκυλισθῆναι ποιήσας. καὶ τὸν τόπον ἐν ᾧ τιθέντες ἑαυτοὺς οἱ ἵπποι τοῦτο ποιοῦσιν, ἀλινδήθραν ἐκάλουν, ὡς καὶ ἐν τοῖς βατράχοις ὁ αὐτὸς ποιητής. ἀλινδήθρας τε καὶ ἐγκυλίσματα.

Bisetvs. Εξαλίσας.] Εὐστάθιος. ἐξαλίσαι, ἤγουν κυλισθῆναι ποιῆσαι. ἀπὸ τοῦ ἀλίζω θέματος. ἀλίζω δὲ, τὸ ἐν κόνει κυλίεσθαι, ἢ κόνει φύρεσθαι, ὅθεν ἵππον ἐξαλίσαι, τὸ κυλισθῆναι ποιῆσαι. ἄλλως δὲ παρὰ τὸ κυλίω, ἀποβολῇ τοῦ κ, καὶ τροπῇ τοῦ υ εἰς α γίνεται ἀλίω, ὅθεν τὸ ἐξαλίσαι παρ' Αριστοφάνει. ὁ αὐτὸς, ἀλινδήθρα, ἡ κονίστρα, παρὰ τὸ ἀλίνδω. ὃ παρὰ τὸ κυλίνδω, ὃ ἐκ τοῦ κυλίω.

Σχ. Αλλ' ὦ μέλ' ἐξήλικας.] κατὰ ἀποκοπὴν τοῦ ι. Αττικῶς. οὕτω ἐν τοῖς παλαιοῖς τῶν ἀντιγράφων εὕρηται γεγραμμένον.

Bisetvs. Εξήλικας.] μεταφορικῶς δὲ τοῦτο εἴρηται, ἀντὶ τοῦ ἐξήλακας, τουτέστι διὰ τὴν σὴν ἱπποτροφίαν, καὶ δαπάνας τῶν ἐμῶν κτημάτων ἐμὲ ἀπεστέρησας. τὸ δὲ μέλ', ὡς φησιν Εὐστάθιος, ἀντὶ τοῦ μέλεε, κατ' ἀποβολὴν τῶν δύο τοῦ μέτρου χάριν. μέλεος δὲ, μάταιος, ἄθλιος, ταλαίπωρος, δυστυχής ὁ μὲν ποιητὴς ἐπὶ τοῦ ματαίου ἐνδέχεται τὸ μέλεος, ὅθεν μέλεον ἀκοντίζειν, τὸ τῇ

τὸ τοῦ σκοποῦ ἁμαρτάνειν. Ἰλιάδος ψ.
—ἔγχεσι μὲν γὰρ

A Ἤμβροτον ἀλλήλων, μέλεον δ' ἠκόντισαν ἄμφω:
οἱ δὲ τραγικοὶ ἐπὶ τοῦ οἰκτροῦ.

Ὅτι καὶ δίκας ὦφληκα. χ' ἅτεροι τόκου
Ἐνεχυράσεσθαί φασιν. ΦΕ. ἐτεὸν ὦ πάτερ
Τί δυσκολαίνεις, καὶ στρέφῃ τὴν νύχθ' ὅλην;
ΣΤ. Δάκνει μέ δήμαρχός τις ἐκ τῶν στρωμάτων.
B ΦΕ. Ἔασον ὦ δαιμόνιε καταδαρθεῖν τί με.
ΣΤ. Σὺ δ' οὖν κάθευδε. τὰ δὲ χρέα ταῦτ' ἴσθ' ὅτι
Εἰς τὴν κεφαλὴν ἅπαντα τὴν σὴν τρέψεται.
Φεῦ. εἴθ' ὤφελ' ἡ προμνήστρι' ἀπολέσθαι κακῶς.
Ἥτις με γῆμ' ἐπῆρε τὴν σὴν μητέρα.
Ἐμοὶ γὰρ ἦν ἄγροικος ἥδιστος βίος.
C Εὐρωτιῶν. ἀκόρητος. εἰκῇ κείμενος.
Βρύων μελίτταις, καὶ προβάτοις καὶ στεμφύλοις.
Ἔπειτ' ἔγημα Μεγακλέους τοῦ Μεγακλέους

Bonis: quando etiam multas pendere debui:
Et alij pro vsura minitantur pignora
Sese capturos. PH. *Quid tu adeo morosus es*
Pater, & tota nocte teipsum torques miser?
ST. *Mordet me prætor quidam, & è lecto fugat.*
PH. *Sinas me, miser homo, dormire aliquantulum.*
ST. *Age dormias: at scito, quòd isthæc debita*
Omnis redundabunt dein in caput tuum.
Vtinam malè pereat isthæc Pronuba pessima,
Quæ me impulit, vt matrem olim duxerim tuam.
Nam ruri agebam vitam priùs suauissimam,
Squalentem, incomtam, humi proiectam temere, apum
Refertam copia, & fracibus, & pecudibus.
Post vxorem duxi hanc Megaclis, ex anu

Ὅτι καὶ δίκας ὦφληκα.] ἤγουν καὶ δίκας προσώφληκα. ἢ ὅτι καὶ δίκας προσώφληκα, ἐπιζητεῖ δὲ χρήσθαι ταύτῃ, ὅτι πρὸς τῷ ζημιωθῆναι εἰς τὴν ἱπποτροφίαν, καὶ εἰς δίκας ἐνέπεσεν. ἐπιτείνει γοῦν τὸ κακόν, ὅτι πρὸς τῷ ζημιοῦσθαι με, ἔτι καὶ δίκας ὀφείλω. καὶ γὰρ οὐ τῶν δανείων D χάριν ἀλλὰ τῶν τόκων ἐνεχυράσεσθαι ἀπειλοῦσιν. Χ' ἅτεροι τόκου.] ἀντὶ τοῦ καὶ ἄλλοι, Ἀττικῶς εἶπε. λείπει ἡ ὑπέρ. καὶ ἕτεροι ὑπὲρ τόκου ἐνέχυρα παρ' ἐμοῦ λήψεσθαί φασιν. μᾶλλον δὲ τὴν ὑπέρ [illegible] κατ' αὐτό. οὕς φησι τόκου χάριν ἐνεχυράσειν αὐτὸν ἀπειλεῖν. Ἐτεὸν ὦ πάτερ.] ταῦτα οὐκέτι ὀνειρώττων οὗτος, ἀλλ' ἐγερθεὶς λέγει, ἰατρικῶς τὸν πατέρα ὀδυρόμενον. Τί δυσκολαίνεις καὶ στρέφῃ.] Ἡ περιστροφὴ συνεχῶς συμβαίνει δὲ τοῖς ἀγρυπνοῦσι τὸ τοῦ πάσχειν, τῇδε κἀκεῖσε ῥίπτειν ἑαυτοὺς καὶ E μεταβάλλειν. Δάκνει με δήμαρχός τις.] παίζων τὸν κόρεν ἢ τὴν ψύλλαν καλεῖ. οἱ δὲ δήμαρχοι οὗτοι τὰς ἀπογραφὰς ἐποιοῦντο τῶν ἐν ἑκάστῳ δήμῳ χωρίων. καὶ τὰ ληξιαρχικὰ γραμματεῖα παρ' αὐτοῖς ἦν. συνῆγον τε τοὺς δήμους ὅτε δέοι. καὶ ψῆφον αὐτοῖς ἐπεδίδοσαν καὶ ἐνεχυρίαζον. Ἀριστοτέλης δὲ περὶ Κλεισθένους φησί. κατέστησε καὶ δημάρχους τὴν αὐτὴν ἔχοντας ἐπιμέλειαν τοῖς πρότερον ναυκλάροις. καὶ γὰρ τοὺς δήμους αὐτῶν ναυκλαρίων ἐποίησεν. οἱ πρότερον, ναυκλαροι εἴτε ὑπὸ Σόλωνος καταστάθεντες εἴτε καὶ πρότερον. οὗτοι δὲ τὴν πομπὴν τῶν Παναθηναίων ἐκόσμουν, Κλεισθένους καταστήσαντος ἀντὶ ναυκλάρων. ἔστι δὲ δήμαρχος ὁ τὴν ἐπώνυμον ἀρχὴν ἄρχων. καὶ Ἀσκληπιάδης ὁ Ἀλεξανδρεὺς τοὺς κατὰ δῆμον ἄρχοντάς φησι. Δημήτριος δὲ ὁ Φαληρεὺς οὕτω φησί. καὶ δημάρχους οἱ περὶ Σόλωνα κατέστησαν ἐν πολλῇ σπουδῇ, ἵνα οἱ κατὰ δῆμον ἄρχοντες διδῶσι καὶ λαμβάνωσι τὰ δίκαια παρ' ἀλλήλων. ἔδει οὖν τὸν δήμαρχον ἀγαγεῖν εἰς τοὺς οἴκους τοὺς ἐνεχυριαζομένους. παίζει δὲ ὡς εἰ ἔλεγε κόρεις ἢ ψύλλαι. ὄνομα δὲ ποιητείας οἱ δήμαρχοι. οἷς ἔξεστιν ἐνεχυράζειν G τοὺς ἀγνώμονας τῶν χρεωστῶν. τοῦτο δέ, οὐκέτι καθεύδων, ἀλλ' ἐγερθεὶς λέγει. Καταδαρθεῖν, οἱ Ἀττικοὶ παροξύνουσι καταδάρθειν. κυρίως δὲ τὸ ἐπὶ δέρματος κοιμᾶσθαι. ταῦτα δ' εἰπὼν ὁ νεανίσκος, συγκαλυψάμενος καὶ στραφείς, πάλιν κοιμᾶται.

Bisetvs. Φεῦ] τὸ φεῦ θαυμαστικόν ἐστι, καὶ χωρὶς τῶν ἐπιρρημάτων τοῦτο. εἶτα τό, εἴθ' ὤφελε, δεῖ ἐπιφέρειν. τὸ δὲ εἴθε, καὶ ὤφελε, συνωνύμως τίθεται.

Σχόλια. Εἴθ' ὤφελ' ἡ.] Τὸ ὤφελε τινὲς ἐπιρρηματικῶς δέχονται ὡς τὸ ὤφελε μὴ γένοντο θοαὶ νέες. καὶ τὸ Εὐριπίδου ἐν Μηδείᾳ κατ' ἀρχὰς τοῦ δράματος. εἴθ' ὤφελε. ἐν ἢ [illegible] παράλληλον τὸ σχῆμα τοῦ πρεσβύτου, συνεχέστερον ἀποτυχομένου τῇ προμνηστρίᾳ. ὁ δὲ ποιητὴς ῥῆμα αὐτὸ οἶδε. ὡς ὄφελεν Τρώεσσι κοτεσσάμενος. καὶ μὴ ὄφελες λίσσεσθαι ἀμύμονος Αἰακίδαο. τὸ δὲ φεῦ, ἰδίως. Ἡ προμνήστρι' ἀπολέσθαι.] ἡ προνοήσασα τῶν γάμων. προμνήστρια καλεῖται ἡ νῦν προξενήτρια. Γῆμ' ἐπῆρε.] κυρίως τὸ ἀνηγαύρωσεν. ἀνεκούφισεν. ἐπαγγελλομένη προῖκα μεγάλην εἰσοίσειν τὴν γυναῖκα. καταχρηστικῶς E δὲ ἀνέπεισεν.

Bisetvs. Γῆμαι] γῆμαι ὡς Εὐστάθιός φησι λέγεται ὁ ἀνήρ. γήμασθαι δὲ ἡ γυνή. Εὐριπίδης δὲ καὶ τὸ γήμασθαι περὶ ἀνδρὸς λέγει. γαμῆσαι δὲ, τὸ γυναῖκα λαβεῖν. γαμίσαι δὲ, τὸ γυναῖκα δοῦναι. Ἄγροικος.] ἄγροικος προπαροξυτόνως, ὁ κατ' ἀγρὸν διαιτώμενος. ἀγροῖκος δὲ προπερισπωμένως, ὁ ἀπαίδευτος.

Σχόλια. Εὐρωτιῶν.] ἀντὶ τοῦ ἱδρῶν. ἑρμηνεύει δὲ τοῦτο διὰ τοῦ, εἰκῇ κείμενος. εὐρωτιῶσι γὰρ F τὰ εἰκῇ κείμενα, ὥσπερ νοτίδος αὐτοῖς ἐγγινομένης καὶ σηπούσης. καὶ εὐρὼς ὁ σκώληξ, ἐπεὶ τοῖς ἀμελῶς κειμένοις ἱδρὼς προσίζει. τουτέστι, νοτίς. τοιοῦτος δὲ ὁ τῶν ἀγροίκων βίος. ὁ γὰρ αὐτῶν οἶκος πυρῶν καὶ δερμάτων μεστὸς ὤν, οὐδὲ μίαν ἔχει τῶν τοιούτων πραγμάτων εὐθεσίαν. ἀλλ' ἄλλο ἀλλαχῇ κεῖται ὡς ἔτυχε. Τὸ δὲ ἀκόρητος ἀκαλλώπιστος. κορεῖν γὰρ καλλωπίζειν ὅθεν καὶ νεωκόρος. Καὶ προβάτοις καὶ στεμφύλοις.] στέμφυλα κυρίως λέγεται, τὰ ἀποπιέσματα τῶν ἐλαιῶν. τὰ πιέσματα δὲ τὰ ἐκ τῶν σταφυλῶν ἀποτιθέμενα. εὑρίσκεται δὲ καὶ G ἀνάπαλιν τὰ στέμφυλα ἐπὶ τῶν σταφυλῶν. καὶ τὰ πιεσίσματα ἐπὶ τῶν ἐλαιῶν. Τοῦ Μεγακλέους.] ἀνέπλασε τὸ ὄνομα εἰρωνευόμενος. τῶν Ἀλκμαιωνιδῶν δὲ οὗτοι εἰσὶ γένους. αὐτὸς δὲ διεβάλλετο ὡς δοῦλος ὁ πρῶτος σὺν Μεγακλεῖ. Κοισύρας ἦν υἱὸς, ἣ τις ἦν ὑπερβαίνουσα γένει καὶ πλούτῳ. ἦν δὲ ἐξ Ἐρετρίας. διὸ καὶ κοισυροῦσθαι τὸ μέγα φρονεῖν, παρ' Ἐρετριεῦσιν.

Ἀδελφιδῆν ἄγροικος ὢν ἐξ ἄστεως.
Σεμνήν. τρυφῶσαν. ἐγκεκοισυρωμένην.
Ταύτην ὅτ' ἐγάμουν, συγκατεκλινόμην ἐγὼ
Ὄζων τρυγός. τρασιᾶς. ἐρίων περιουσίας.
Ἡ δ' αὖ, μύρου. κρόκου. καταγλωττισμάτων.
Δαπάνης. λαφυγμοῦ. κωλιάδος. γενετυλλίδος.
Οὐ μὴν ἐρῶ γ' ὡς ἀργὸς ἦν, ἀλλ' ἐσπάθα.
Ἐγὼ δ' αὖ, αὐτῇ θοἰμάτιον δεικνὺς τοδὶ
Πρόφασιν, ἔφασκον. ὦ γύναι λίαν σπαθᾷς.
Θε. Ἔλαιον ἡμῖν οὐκ ἔνεστ' ἐν τῷ λύχνῳ.
Στρ. Οἴμοι τί γάρ μοι τὸν πότην ἧπτες λύχνον.
Δεῦρ' ἔλθ' ἵνα κλάῃς. Θε. διατί δὴ κλαύσομαι.
Στρ. Ὅτι τῶν παχειῶν ἐνετίθεις θρυαλλίδων.
Μετὰ ταῦθ' ὅπως νῷν ἐγένεθ' υἱὸς οὑτοσὶ,

A Sorore neptem rusticus ego ex urbe scilicet:
Magnificam, sumtuosam, delicatulam.
Ubi hanc duxissem, una accumbebam lectulo,
Ego quidem olens fecem, ficum, lanas, opes:
Illa autem unguentum, crocum, obscœna basia,
Et sumtum, & crapulam, & Venerem, & genium suum.
B Non iam dicam, quod ociosa ipsa fuerit:
Quippe in texendo erat opera sua prodiga.
At ego illi palliolum hoc, prætextus nomine,
Commonstrans, dicebam, tu nimium texis hic.
FA. Here, oleum nobis in lucerna deficit.
ST. Ehem, cur tu igitur tam bibulum indideras lychnum?
Age, accede huc, ut eiules. FA. cur eiulem?
ST. Quia crassius oleo immisisti ellychnium.
C Post ubi mihique, & uxori meæ bona

Σχ. Ἄγροικος ὢν ἐξ ἄστεως.] οὐκ ἀργῶς τῇ παραθέσει νῦν ἐχρήσατο. οὐ γὰρ ὀνειδίζει βουλόμενος ἑαυτὸν ἄγροικον καλεῖ, ἀνόητον γὰρ καὶ ἄγροικον παίζοντα διαβάλλειν ἑαυτόν, ἀλλὰ πρῶτον μὲν λεληθότως, διὰ τούτου τὴν εὐπορίαν δείκνυσι τὴν ἑαυτοῦ· οὐ γὰρ ἂν εἰ μὴ πάνυ ἦν πλούσιος, ἐπεδικάζετο ἂν αὐτοῦ ἡ γυνή, καὶ τῇ δόξῃ αὐχοῦσα τοῦ γένους καὶ τῇ ἐν ἄστει διατριβῇ. δόξαν γὰρ εἰώθασιν οἱ ἄνδρες ἔχειν οὐχ ἥττω τῶν γυναικῶν. ὁ δὲ τῇ ἀντιπαραθέσει καὶ τοῦτο ἐπιστώσατο φήσας αὐτὸν ἄγροικον εἶναι. τὴν δὲ γυναῖκα πολιτικήν. θαυμαστὸν γὰρ οὐδέν, εἰ ἄνθρωπον ἰδιοπράγμονα καὶ μέτριον τοὺς τρόπους τῇ ἐπὶ τῆς ἀγροικίας διαίτῃ, γύναιον ὑπερήφανον πολιτικὸν καὶ κατεδουλώσατο. Σεμνήν.] οὐ τὴν σώφρονα. οὐ γὰρ ἐπαινεῖ αὐτὴν ἀλαζόνα καὶ ὑπέρογκον καὶ σοβαρὰν τῷ εἴδει. τρυφῶσαν δὲ ἱματίοις καὶ τῇ ἄλλῃ διαίτῃ. Ἐγκεκοισυρωμένην.] [illegible] ἐγκεκοισυρωμένην ἡ ἔθος ἡ Κοισυρόπολις ὀνομάζεται πάνυ αἰσχρὸς καὶ μιαρόν. ἢ τὰ τῆς Κοισύρας φρονοῦσαν. ἔστι δὲ Ἐρετριακὸν τοὔνομα. οὗτοι δὲ εἰς τρυφὴν διεβάλλοντο. αὕτη δὲ ἐγαμήθη Πεισιστράτῳ ἐπιχειρήσαντι τυραννεῖν. Ὄζων τρυγός.] τοῦ οἴνου, ἢ τῆς ἀποστάθμης. τρασιὰ δὲ λέγεται ὁ τόπος ὅπου ψύχεται τὰ σῦκα καὶ ταριχεύεται. ἢ ταρσιά. τρία δὲ εἶπε τὰ αὐτοῦ. τρυγός. τρασιᾶς. ἀντὶ τοῦ σύκων. καὶ ἐρίων περιουσίας. καὶ τὰ ἐκείνης δέ. ἐλεγκτικὸν δὲ τὸ τοιοῦτον σχῆμα. Ἐρίων περιουσίας.] ἀντὶ τοῦ πλουσίου τοιοῦτος δὲ ὁ γεωργικὸς βίος. ἀπὸ δὲ τοῦ καθόλου, ἐπὶ τὰ κατὰ μέρος ἦλθε. καθόλου γὰρ ἐν τοῖς ἐπάνω εἰπὼν τὴν εὐδαιμονίαν τὴν ἑαυτοῦ, βρύων μελίτταις, καὶ προβάτοις. καὶ στεμφύλοις, πάλιν καταμερίζει αὐτά. ἀπὸ μὲν γὰρ τῶν προβάτων, τὰ ἔρια. ἀπὸ δὲ τῶν στεμφύλων, τρὺξ καὶ οἶνος. ἀπὸ δὲ τρασιᾶς, τὰ σῦκα. Καταγλωττισμάτων.] αἰσχρῶν φιλημάτων περιεργότερον. ἢ εἶδος αἰσχροῦ φιλήματος τὸ καταγλώττισμα. κυρίως δὲ καταγλώττισμα, ὅταν ἐν τῷ καιρῷ τῆς συνουσίας ὁ ἀνὴρ τὴν γλῶτταν αὐτοῦ, τῷ τῆς γυναικὸς ἐμβάλλῃ στόματι. Λαφυγμοῦ.] τοῦ περὶ τὰ ἐδέσματα πολυτελείας. τουτέστιν ἀσωτίας. λαφυγμὸν γὰρ λέγει, τὸ ἀπλήστως ἐσθίειν. Εὔπολις ἐν Κόλαξι. Λαφύσσεται λαφυγμὸν ἀνδρεῖον πάνυ. Ὅμηρος ἔγκατα πάντα λαφύσσει. ἔστι γὰρ λάπτω καὶ λαφύσσω, τὸ ῥοφῶ, κυρίως ἐπὶ κυνῶν καὶ χοίρων. ὅθεν παράγεται καὶ ὁ λαφυγμός. εἰκότως δὲ ταῦτα καταλέγει, δεικνὺς ὅτι αἱ εὐγενεῖς γυναῖκες τοιαῦτα πράττουσιν ὑπὸ τῆς ἄγαν τρυφῆς. Κωλιάδος.] οἱ μὲν Κωλιάδα τὴν θεὸν καλοῦσι νεανίσκου Ἀττικοῦ ἀποδράντος ἀπὸ λῃστῶν, συμμαχίᾳ τῆς θεοῦ, καὶ οὕτως αὐτὴν ὀνομάσαντος, καθάπερ αὐτὸς δεθεὶς τὰ κῶλα ἀπολυθῆναι ὑπὸ γυναικός. οἱ δὲ θυγατρὸς τοῦ ἀρχιλῃστοῦ δι' ἔρωτα. οἱ δέ, τόπον ἐοικότα κώλοις ἀνδρὸς ἔνθα ἡ θεὸς τιμᾶται. ἐκεῖ δὲ Ἴωνος θύοντος, κόρακα ἁρπάσαι κωλῆν καὶ ἐν ἐκείνῳ τῷ τόπῳ ἀποθέσθαι· ὅθεν οὕτως ὠνομάσθη. ἄλλως. Κωλιὰς ναός ἐστιν Ἀφροδίτης οὕτω καλούμενος ἀπό τινος νεανίσκου Ἀττικοῦ ἁλόντος ὑπὸ τυράννων καὶ δεθέντος τὰ κῶλα. εἶτα ἐρασθείσης αὐτοῦ τῆς θυγατρὸς τοῦ τυράννου καὶ λυσάσης, ἐπανελθὼν εἰς Ἀθήνας, χαριστήριον τῇ Ἀφροδίτῃ ναὸν ἱδρύσατο Κωλιάδος, διὰ τὸ τὰ κῶλα λελύσθαι.

BISETVS. Τυρρηνοὶ δὲ ὡς κακοῦργοι, καὶ λῃσταὶ διεβάλλοντο οὕτοι νῦν Τοῦσκοι καλοῦνται. σημειῶσαι δὲ ἐν τοῖς παλαιοῖς σχολίοις κακῶς γεγράφθαι τυράννων, καὶ τυράννῃ, ἀντὶ τοῦ Τυρρηνῶν, καὶ Τυρρηνοῦ, ὅπερ ἐκ τοῦ Σουΐδα φανερὸν ἐν τῇ κωλιάδος φωνῇ.

Σχ. Γενετυλλίδος.] γενετυλλὶς ἡ τῆς γενέσεως ἔφορος Ἀφροδίτη. Οὐ μὴν ἐρῶ ὡς ἀργὸς ἦν. ἀλλ' ἐσπάθα.] πρὸς τὸ ἀργός, ἐσπάθα. καὶ τοῦτο εἰρωνευόμενος. περὶ γυναικὸς δὲ λέγει, ἀντὶ τοῦ κατηνάλισκε. κατήνεγκε καὶ διὰ τοῦτο οὐκ ἀργὸς ἦν. Ἀττικοὶ δὲ ἐπὶ τῶν θηλυκῶν, ἀρσενικῶν ὀνομάτων κέχρηνται λέξεσιν ὡς ἐν τούτῳ καὶ παρ' Ὁμήρῳ κλυτὸς Ἱπποδάμεια. καὶ Εὐριπίδῃ ἐν Ἑκάβῃ. τὸ δ' αὖ λίαν περισσὸν ἀπήλλαξαν μοι γενναῖος. σπαθᾶν δέ, τὸ ἀφειδῶς καταναλίσκειν. καὶ παρὰ τοῖς ῥήτορσιν εἴρηται πολλάκις. οἰκείως δὲ νῦν τῇ λέξει χρῆται ἐπὶ γυναικός. καὶ γὰρ ἐπὶ τῶν ὑφαινομένων ἱματίων σπαθᾶν, τὸ πυκνοῦν κρούειν τὴν κρόκην. δύναται μὲν οὖν τὸ σπαθᾶν, ἐπ' ἀμφοτέρων νοεῖσθαι. ὅτι δὲ νῦν ἐπὶ τοῦ πολλοῦ παρείληπται, δῆλον ἐκ τοῦ ἐπιφερομένου. ἐγὼ δ' ἂν αὐτῇ θοἰμάτιον δεικνὺς τοδί, κατὰ πρόφασιν ἔλεγον, ὦ γύναι λίαν σπαθᾷς. τοῦτο δὲ εἶπε λοιπὸν διττὸν ὄν, τό τε ἀναλοῦν καὶ τὸ ὑφαίνειν. Λίαν σπαθᾷς.] ἐργάζῃ. εἰρωνικῶς καὶ τοῦτο. δεικνὺς γὰρ αὐτῇ τὸ ἱμάτιον παρὰ τὴν ῥαγὴν ἔλεγε τοῦτο αὐτῇ. Πότην ἧπτες.] πότης Ἀττικῶς ὁ ταχέως ἀναλίσκων λύχνος.

BISET. Κλάῃς.] Σ. κλαίῃς, θρηνῇς. οἱ δὲ Ἀττικοὶ κλάειν. Εὐστάθιος. κλαίω, παρὰ τὸ κλῶ, ὡς ἐκ τοῦ ῥῶ, ῥαίω, ὁ μέλλων κλαύσω, τροπῇ τοῦ ι εἰς υ.

Σχ. Θρυαλλίδων.] ἀπὸ τοῦ θρύου τὸ παλαιὸν τὰ ἐλλύχνια. τὰ γὰρ παχέα ἐλλύχνια τὸ ἔλαιον δαπανῶσι. Μετὰ ταῦθ' ὅπως.] μετὰ τὸ ἐπιτιμῆσαι τῷ οἰκέτῃ ἐπὶ τὸ διήγημα πάλιν ἀνατρέχει τοῦ γάμου. οὐ μὴν στικτέον, πάντα τὸν στίχον. ἀλλ' ἀναπαυστέον μέχρι τοῦ υἱός. εἶτα διαστείλαντα, χρὴ μεθ' ὑποκρίσεως ἐπάγειν οὑτοσί, ὡς ἀχθόμενον αὐτὸν τῇ γενέσει.

Ἐμοί τε δὴ καὶ τῇ γυναικὶ τἀγαθῇ,
Περὶ τοὐνόματος δὴ ταὐτ᾽ ἐλοιδορούμεθα.
Ἡ μὲν γὰρ ἵππον προσετίθει πρὸς τοὔνομα.
Ξάνθιππον, ἢ Χάριππον, ἢ Καλλιππίδην.
Ἐγὼ δὲ τοῦ πάππου ᾽τιθέμην Φειδωνίδην.
Τέως μὲν οὖν ἐκρινόμεθ᾽, εἶτα τῷ χρόνῳ
Κοινῇ ξυνέβημεν, κἀθέμεθα Φειδιππίδην.
Τοῦτον τὸν υἱὸν λαμβάνουσ᾽ ἐκορίζετο.
Ὅταν σύ, μέγας ὢν ἅρμ᾽ ἐλαύνῃς πρὸς πόλιν,
Ὥσπερ Μεγακλέης ξύστιδ᾽ ἔχων. ἐγὼ δ᾽ ἔφην,
Ὅταν μὲν οὖν τὰς αἶγας ἐκ τοῦ Φελλέως,
Ὥσπερ ὁ πατήρ σου διφθέραν ἐνημμένος.
Ἀλλ᾽ οὐκ ἐπείθετο τοῖς ἐμοῖς οὐδὲν λόγοις.
Ἀλλ᾽ ἵππερόν μου κατέχεε τῶν χρημάτων.
Νῦν οὖν ὅλην τὴν νύκτα φροντίζων ὁδοῦ
Μίαν εὗρον ἀτραπὸν δαιμονίως ὑπερφυᾶ.
Ἣν, ἢν ἀναπείσω τουτονί, σωθήσομαι.
Ἀλλ᾽ ἐξεγεῖραι πρῶτον αὐτὸν βούλομαι.
Πῶς δῆτ᾽ ἂν ἥδιστ᾽ αὐτὸν ἐπεγείραιμι; πῶς;
Φειδιππίδη, Φειδιππίδιον. ΦΕΙ. Τί, ὦ πάτερ;

A *Hic natus est filius: altercati sumus*
Primo omnium de imponendo illi nomine:
Mater quidem ab equo nomen indebat, vocans
Xanthippum, vel Charippum, vel Callippidem:
Ego vero ab auo dicebam ipsum Phidonidem.
Diu cùm dissensissemus: tandem temporis
Progressu inter nos conuenimus, & filio
Nomen dantes, vocauimus Phidippidem.
Atque hunc, manu prehendens mater filium,
B *Occœpit abblandiri ei, quando, inquiens,*
Tu grandiusculus fueris, age currum agas
Ad vrbem, veste succinctus curuli, vti
Megacles. at ego contrà illi dicebam, vbi
Grandior eris, capellas agito è Phelleo,
Pelliceam amictus penulam, vt & pater tuus.
Sed ipse monitis nihil obtemperat meis:
Et morbum equestrem offundit meis pecuniis.
C *Itaque nunc totam hanc noctem cogito de via:*
Vnámque reperi commodissimam omnium,
Supra modum: quam si huic persuasero, illico
Saluus sum: sed prius excitare ipsum volo.
At quomodo illum quàm lenissimè excitem?
Phidippide, Phidippidule. PH. *Quid est pater.*

Σχολ. Τἀγαθῇ.] καὶ τοῦτο εἰρωνευόμενος λέγει. οὐ γὰρ ἀγαθὴν αὐτὴν παρίστησι στασιαζόμενος, ὥστε ὑπὸ τῆς
D φιλονεικίας καὶ εἰς λοιδορίαν ἐκτραπῆναι. Ξάνθιππον.] ὁ Ξάνθιππος, Περικλέους ἦν πατήρ, ὃς ἦν τοῦ τῶν Ἀλκμαιωνιδῶν γένους. ἐσεμνύνετο δὲ τὸ γενναῖον θείῳ Μεγακλεῖ, τρίτον νικήσαντι Ὀλύμπια. καὶ δι᾽ ἱπποτροφίαν κατελθόντι ἐκ τῆς φυγῆς. ἐδίωξε γὰρ αὐτὸν ὁ Πεισίστρατος. ὃν καὶ μετεπέμψατο παραχωρήσαντα αὐτῷ τὸ τῆς νίκης κήρυγμα. Καλλίας δὲ ὁ δᾳδοῦχος, προσελθὼν ἐν τῇ ἱερᾷ στολῇ κατὰ Περσῶν ἐν Μαραθῶνι καὶ ἀριστεύσας κατὰ βαρβάρων, καὶ τρίτον ὀλύμπια νικήσας ἅρματι, τὸν υἱὸν Ἱππόνικον ὠνόμασε. λέγεται δὲ τοῦτον πλουτῆσαι μάλιστα, αἰχμαλώτου τινὸς ἐν τῇ μάχῃ τῶν βαρβάρων,
E προσελθόντος αὐτῷ καὶ μηνύσαντος θησαυρόν. καὶ αὐτὸν ὕστερον ἀπέκτεινεν ὁ Καλλίας. Ξάνθιππος μὲν οὖν ἐγένετο Περικλέους πατήρ. οὐδὲν δὲ νῦν πρὸς αὐτὸν ἐπικοινωνεῖ τὸ λεγόμενον. πλὴν εἰ μὴ ἄρα διὰ Κοισύραν ἦν ἔφαμεν. δῆλον οὖν ὅτι μητέρα γενέσθαι τοῦ Μεγακλέους, τὸ ὄνομα τὸ Ξανθίππου εἰρῆσθαι. παρῳδεῖται δὲ τὸ Περικλέους Μεγακλέους. ὡς ἀδικούμενον ἀμφότερα δηλοῦν. δρᾶμα γὰρ καὶ ἀστεῖα τὰ τῆς κωμῳδίας σκώμματα.

BISETVS. Φειδωνίδην] ὁ Στρεψιάδης τοῦτο λέγει, ἵνα τὸν υἱὸν καὶ αὐτῷ τῷ ὀνόματι, καὶ τῷ πράγματι φειδωλὸν ἔχῃ. ἐνοσεῖτο γὰρ τὸ τοῦ ἵππου ὄνομα, διὰ τὰς τῆς ἱπποτροφίας δαπάνας.

Σχ. Κοινῇ ξυνέβημεν.] ἀντὶ τοῦ ὡμονοήσαμεν. ὅτε καὶ ἀμφοτέροις ἡμῖν ἔδοξε τοῦτο. ἢ διότι ἀφ᾽ ἑκατέρων τῶν γονέων τῷ ὀνόματι ἐπετέθη μέρος. Ἐκορίζετο.] ἐκολάκευεν οἷα τοῖς παιδίοις συμβαίνει τοῖς μικροῖς.

BISETVS. Ἐκορίζετο] ὑποκοριστικῶς ἐκάλει. ὑποκορίζεσθαι δὲ, τὸ τοῖς παισὶ πρὸς ψυχαγωγίαν λέγειν τινὰ κολακείας ὀνόματα, ὡς μετ᾽ ὀλίγον. Φειδιππίδιον. καὶ τὰ τοιαῦτα.

Σχ. Ξύστιδ᾽ ἔχων.] ξύστιδα προσπαροξύνουσιν. ἤγουν πορφυρίδα. καὶ γὰρ μέχρι νῦν οἱ εἰσελαύνοντες ἀθληταί, τοιούτῳ κοσμηθέντες χρώματι καὶ ἅρματος ἐπιβάντες, διὰ μέσης πομπεύουσι τῆς πόλεως. ᾧ καὶ οἱ βασι-
D λεῖς χρῶνται. ἄλλως. ξύστις λέγεται τὸ κροκωτὸν ἱμάτιον. ὃ οἱ ἡνίοχοι φοροῦσι μέχρι νῦν πομπεύοντες. χρῶνται δὲ αὐτῷ καὶ οἱ τραγικοὶ βασιλεῖς. Ἐκ τοῦ Φελλέως.] τόπος οὕτω καλούμενος ἐν Ἀττικῇ. οὐ μὴν ἀλλὰ καὶ περὶ τὸν Διόνυσον ἐστί τις ἑορτὴ τοῖς Ἀθηναίοις Φαλλὸς καλουμένη. ἤ τις τῶν Διονυσίων ἄρχεται. Λουκιανὸς δὲ ἐν τῷ περὶ τῆς Συρίας θεοῦ φαλλούς φησιν Ἕλληνες τῷ Διονύσῳ ἐγείρουσιν ἐπὶ τῶν καὶ τοιόνδε τι φέρουσιν. ἄνδρας μικροὺς ἐκ ξύλου πεποιημένους, μεγάλα αἰδοῖα ἔχοντας, καλεῖται δὲ τάδε νευρόσπαστα. καὶ παρὰ κατὰ τὴν δὲ, ἐν τοῖς
E προπυλαίοις τοῦ Συρίας θεοῦ ναοῦ, φαλλοὶ ἑστᾶσιν οὓς Διόνυσος ἐστήσατο. ἄλλως. τόπος τῆς Ἀττικῆς οὕτω καλούμενος. ἐκ τούτου δὲ Φελλεάτας λέγουσι Δωριεῖς, τοὺς κιστηρώδεις λίθους. αἱ δὲ αἶγες, πρὸς τὰ τραχύτερα διάκουσι. Διφθέραν ἐνημμένος.] ἐνδεδυμένος. ποιμενικὸν δὲ περιβόλαιον ἡ διφθέρα. Ἀττικοὶ δὲ λέγουσιν ἣν νῦν σισύραν καλοῦμεν. ἔστι δὲ ἐκ δέρματος.

BISETVS. Ἐνημμένος] παρὰ τὸ ἐνάπτεσθαι, τὸ ἐνδύεσθαι, καὶ περιβάλλεσθαι. Σ. ἐνημμένος, περιβεβλη-
F μένος. Τὴν τοῦ πανόπτου διφθέραν ἐνημμένος ὁ Ἡρακλῆς.

Σχ. Ἀλλ᾽ ἵππερόν μου κατέχει.] ἔπαιξε παρὰ τὸν ἴκτερον. νόσημα δὲ ὁ ἴκτερος. ὃς περιχεῖται ταῖς ὄψεσι τῶν νοσούντων. διὸ καὶ τὸ κατέχει κατὰ λόγου εἶπε, φησίν. οὕτω δὲ καὶ τοῖς χρήμασιν αὐτοῦ ἐπιβεβλῆσθαί φησιν ἵππερον ἀντὶ ἱππικὸν ἔρωτα. νόσον ἱππικήν, διὰ τὸ πολλὰ δεδαπανηκέναι. Τῶν χρημάτων.] εὕρηται τοῦτο καὶ ῥημάτων. ὅπερ οὕτως ἐπιστεῖς. ἀλλὰ κατέχει τῶν ῥημάτων
G ἐμοῦ ἱππικὸν ἔρωτα. τουτέστιν ἐμοῦ, ὡς οὐδὲν δεῖ δαπανᾶν ἀφειδῶς λέγοντος, λῆρον ἡγησάμενος τοὺς λόγους, ἀντιτίθει αὐτοῖς ὡς ἐραστὴς εἴδειν ἵππων, καὶ οὐδέποτε τούτου ἂν ἀποσταίη. Φειδιππίδιον.] τὸ ὑποκορίζεσθαι, φιλούντων ἔθος. κολακεύει δὲ νῦν τὸν υἱὸν καὶ προσποιεῖται φιλεῖν, ἵνα ἑτοιμότερον αὐτὸν πρὸς τὴν ἀξίωσιν ἑαυτοῦ πείθεσθαι παρασκευάσῃ.

Στρ. Κῦσόν με καὶ τὴν χεῖρα δὸς τὴν δεξιάν.
Φει. Ἰδού, τί ἐστιν. Στρ. εἰπέ μοι φιλεῖς ἐμέ;
Φει. Νὴ τὸν Ποσειδῶ τουτονὶ τὸν ἵππιον.
Στρ. Μή μοί γε τοῦτον μηδαμῶς τὸν ἵππιον.
Οὗτος γὰρ ὁ θεὸς αἴτιός μοι τῶν κακῶν.
Ἀλλ' εἴπερ ἐκ τῆς καρδίας μ' ὄντως φιλεῖς
Ὦ παῖ, πιθοῦ. Φει. Τί οὖν πίθωμαι δῆτά σοι.
Στρ. Ἔκστρεψον ὡς τάχιστα τοὺς σαυτοῦ τρόπους.
Καὶ μάνθαν' ἐλθὼν ἃν ἐγὼ παραινέσω.
Φει. Λέγε δή τί κελεύεις. Στρ. Καὶ τί, πείσει; Φει. Πείσομαι
Νὴ τὸν Διόνυσον. Στρ. Δεῦρό νυν ἀπόβλεπε.
Ὁρᾷς τὸ θύριον τοῦτο καὶ τῳκίδιον;
Φει. Ὁρῶ. τί οὖν τοῦτ' ἐστὶν ἐτεὸν ὦ πάτερ.
Στρ. Ψυχῶν σοφῶν τοῦτ' ἐστὶ φροντιστήριον.
Ἐνταῦθ' ἐνοικοῦσ' ἄνδρες, οἳ τὸν οὐρανὸν
Λέγοντες ἀναπείθουσιν, ὡς ἔστι πνιγεύς.
Κἄστι περὶ ἡμᾶς οὗτος. ἡμεῖς δ' ἄνθρακες.
Οὗτοι διδάσκουσ' ἀργύριον ἤν τις διδῷ,
Λέγοντα νικᾶν καὶ δίκαια κἄδικα.

A ST. *Exosculare me, & tuam cedo dexteram.*
PH. *Ehò, quid est?* ST. *Dic mihi, mi fili, vtrum me ames?*
PH. *Ita per Neptunum equestrem.* ST. *Ne hunc, ne nomines,*
Deum equestrem. Nam hic malorum fons est omnium:
Sed, si me amas, mi fili: age mihi
Obtempera. PH. *Quid ergò obtemperem tibi?*
B ST. *Mores tuos immuta quàm celerrimè:*
Et ego, quæ te iussero, in his morem geras mihi.
PH. *Quid ergò iubes? cedo.* ST. *An morem geres?* PH. *Geram,*
Per Bacchum. ST. *Age nunc, accede huc fili, & prospice.*
Viden' ostiolum illud, & hanc ædiculam proximam?
PH. *Video: sed quidnam est, mi pater, istuc ædium?*
C ST. *Est animarum sapientum conciliabulum:*
In quo viri habitant, qui de Cœlo disputant,
Et hominibus persuadent, quòd furnus siet,
Nósque ambiat: & quòd nos carbones simus. Hi
Docent, si modò quis argentum illis det, hominem
Orantem causas, æquum & iniquum vincere.

Σχ. Κῦσόν με καὶ τὴν χεῖρα δός.] πρὸς τὸ Ὁμηρικόν. χεῖρας τ' ἀλλήλων λαβέτην καὶ πιστώσαντο. φίλησον καὶ πρόσπτυξαι καὶ τὴν χεῖρα δὸς τὴν δεξιάν. ἔθος δὲ ἐπὶ πίστει καὶ συνθήκαις βεβαίαις, τὰς δεξιὰς διδόναι ἀλλήλοις. Ἰδοὺ τί ἐστιν.] τὸ αἰτηθὲν παρὰ τοῦ πρεσβύτου ποιῶν ὁ νεανίσκος, τὴν δεξιὰν ὤρεξεν αὐτῷ. καὶ δῆλον ὅτι παρεπιγραφὴ τὸ εἶδος. Νὴ τὸν Ποσειδῶ τουτονί.] ἅρμα δείξας, ὄμνυσιν ἢ ἄλλο τι ἡνιοχικόν. ἢ πολεμικὸν σκεῦος. κυρίως δὲ νῦν ὁ νεανίσκος ὄμνυσι τὸν Ποσειδῶνα, θεὸν ἱππικὸν ὄντα ἅτε καὶ αὐτὸς περὶ ἵππευς ἐσπουδακώς. τουτονὶ δὲ, τῷ κοινῷ τῶν ἀνθρώπων ἔθει χρώμενον αὐτὸν δεῖ νομίζειν εἰρηκέναι. εἰώθασι γὰρ ὀμνύντες λέγειν μὰ τοῦτον τὸν θεόν, μὰ τοῦτον τὸν Ἀσκληπιόν. ἄλλως δὲ ἀφίδρυμα ἔχοντα Ποσειδῶνος. διὰ τοῦτο καὶ ὁ πρεσβύτης τῷ ὅρκῳ ἀκολούθως ἄχθεται. Μή μοί γε.] μὴ εἴπῃς μοι φησὶ τὸν ἵππιον. οὐ γὰρ ἀνέχομαι τὸ τῶν ἵππων ἀκούειν ὄνομα, δι' οὓς ἀπολώλεκα τὰ χρήματα. Ἔκστρεψον.] ἀντὶ τοῦ μετάβαλε. ἀπὸ μεταφορᾶς τῶν ῥυπουμένων ἱματίων καὶ ἐκστρεφομένων. ἐκστρέψαι δὲ ἱμάτιον, τὸ ἀλλάξαι τὸ πρὸς τὸ ἔσω μέρος, ἔξω. ἄλλαξον οὖν φησι τοὺς τρόπους σου καὶ μετάβαλε μεταφορικῶς. τὸ γὰρ ὡς τάχιστα, κυρίως ἐπὶ ἁρματηλάτου. ταχινὰ γὰρ τὰ ἅρματα.

BISETVS. ἃν ἐγώ.] ἀντὶ τοῦ ἃ ἐγὼ παραινέσω ἄν.

Σχ. Νὴ τὸν Διόνυσον.] ἐπειδὴ ἐπετρέπετο τὸν Ποσειδῶνα ὀμνύναι, μεταβαλὼν, τὸν Διόνυσον ὄμνυσιν. Καὶ τῳκίδιον.] τὸ οἰκίδιον ὑποκοριστικῶς, σμικρύνει δὲ, καὶ τοῖς ὀνόμασιν αὐτοῖς τὸ εὐτελὲς τῆς φιλοσοφίας εἰς πάντα δεικνύς. τὸ δὲ δεῦρο, νῦν οὐ τοπικόν, ἀλλ' ἀντὶ τοῦ ἐλθέ. ἦγαγε δὲ δῆθεν αὐτόν, ἐπὶ τὴν Σωκράτους οἰκίαν.

BISETVS. Τὸ θύριον, καὶ τῳκίδιον] ἓν διὰ δυοῖν. ἀντὶ τοῦ, τὸ θύριον τοῦτο τοῦ οἰκιδίου.

Σχ. Ψυχῶν σοφῶν.) ἤγουν, ἀνδρῶν φιλοσόφων. τὸ δὲ ἐπ' ἀμφοτέρων δύναται νοεῖσθαι. ἔστι γὰρ ἀμφίβολον καὶ ἄδηλον, πότερον τὰς ψυχὰς αὐτὰς λέγει σοφὰς ἢ τοὺς ἄνδρας σοφούς. ταῖς δὲ ψυχαῖς ἐκείνων, ἐστὶ τὸ φροντιστήριον ἐὰν μὲν γὰρ ψυχῶν σοφῶν τοῦτ' ἐστὶ φροντιστήριον ἐκδέχηται τὸ αὐτὰς εἶναι τὰς ψυχὰς σοφάς. ἐὰν δὲ ψυχῶν, σοφῶν, ἀνδρῶν λέγει. δύναται δὲ καὶ σκώπτειν διὰ τούτο τὸν περὶ ψυχῆς Σωκράτους λόγον. καὶ ἀσαφῶς ἐπιτηδες εἰρηκέναι, ἐπεὶ καὶ Σωκράτης ὁριζόμενος περὶ ψυχῆς, ἀσαφῶς ἐν ὀξεῖ λέγει. καὶ ὥς τινες νομίζουσιν ἀπεναντίας αὐτῷ τὴν ἰδίαν ἀθανασίαν κατηγορίαν Σωκράτους ποιούμενος. ὁ δὲ περὶ ψυχῆς ὅρος, ταῦτα. ψυχὴ πᾶσα ἀθάνατος. τὸ γὰρ ἀεικίνητον ἀθάνατον. τὸ δ' ἄλλο κινοῦν, ὑπὸ ἄλλου κινούμενον, παῦλαν ἔχει κινήσεως καὶ ζωῆς. Φροντιστήριον.] οἱονεί, βουλευτήριον. ἢ συνοδός τις καὶ θᾶκος παῦλαν ἔχων σοφῶν. θᾶκος δὲ καλεῖται, ὁ τόπος, ἀληθῶς ἔνθα πολλοὶ συνέρχονται σκεψόμενοι. φροντισταὶ δὲ ἐκαλοῦντο, οἱ περὶ τὸν Σωκράτη, διὰ τὸ φροντίζειν ἀλλήλων. καὶ διὰ τοῦτο μηδέποτε παύεσθαι τῆς φροντίδος. Ὡς ἔστι πνιγεύς.] πνιγεύς, ἡ τῶν ἀνθράκων κάμινος. διὸ ἐπιλέγει, ἡμεῖς δ' ἄνθρακες διὰ τὸ ὑπὸ ἡλίου θερμαίνεσθαι. κυρίως δὲ πνιγεύς, ἔνθα οἱ ἄνθρακες ἐγχέονται καὶ πνίγονται. ταῦτα δὲ πρότερος Κράτης ἐν Πανόπταις ὁ γραμματικὸς περὶ Ἵππωνος τοῦ φιλοσόφου κωμῳδῶν αὐτὸν λέγει. ἀφ' οὗ στοχαζόμενοί τινές φασιν, ὅτι μηδεμιᾶς ἔχθρας χάριν Ἀριστοφάνης ἦλθεν ἐπὶ τὴν τῶν νεφελῶν ποίησιν. ὅς γε μήτε ἴδιόν τι μήτε ἁρμόττον, ἀλλὰ μὴν δὲ πρὸς ἓν ἔγκλημα ἦλθε Σωκράτους. δύο γὰρ κατ' αὐτοῦ ταῦτα προάγει ἐγκλήματα, τὸ περὶ οὐρανοῦ ὅτι ἐστὶ πνιγεύς. καὶ ἴσως ἱκανὸς ἐπὶ τοῦ ἥττω λόγον διδάσκειν καὶ τὸν κρείττονα, τὸ μὲν, κοινὸν τῶν φιλοσόφων ἁπάντων ἐστὶν ἔγκλημα. φαίνεται δὲ καὶ ἐπὶ τούτῳ καὶ Ἵππωνα κωμῳδηθέντα [illegible]. τὸ δὲ τῶν ἐγκλημάτων οὐδὲ τὸ σύνολον ἐπὶ κοινῇ φιλοσοφία. οὐ γὰρ τοῦτο ἐπαγγέλλονται οἱ φιλόσοφοι, δεινοὺς ποιήσειν λέγειν. ἴδιον δὲ τὸ τοιοῦτο μᾶλλον τῆς ῥητορικῆς ὡς ἐν ἀμφοτέροις τὸν φιλόσοφον καθαρεύειν. οἱ δ' ὅτι ὅλον λῆρον εἰς αὐτὸν συνέταξε δρᾶμα, δι' ἔχθραν νομίζουσιν αὐτὸν πεποιηκέναι, οὐκ ὀρθῶς οἴονται. πρῶτον μὲν γὰρ Ἀμειψίας εἰς Βοιδὰν τὸν φιλόσοφον ὁλόκληρον συνέταξε ποίημα διὸ καὶ εἰς δικαστὴν ἐρυκαινέσῳ φιλόσοφος, ἢ διὰ τοῦτο δὲ ἐχθρὸς ἦν. ἔπειτα Εὔπολις εἰ καὶ δι' ὀλίγων ἐμνήσθη Σωκράτους,

μᾶλλον

μᾶλλον ἢ Ἀριστοφάνης ἐν ὅλαις ταῖς νεφέλαις αὐτὸ καθάψαι. οὐδὲν δὲ χεῖρον ὑπομνησθῆναι τῆς Εὐπόλιδος. δεξάμενος δὲ Σωκράτης τὴν ἐπίδειξιν Στησιχόρου οἰνοχόην ἔκλεψεν. δεῖ δ' ἦν ὁρᾶν τὸν φιλόσοφον, τὸ ἐν φανερῷ μάλιστα σκεῦος κατακείμενον κλέπτοντα καὶ ὑφαιρούμενον. Οὗτοι διδάσκουσιν ἀργύριον ἦν τις διδῷ.] καὶ

A τοῦτο ψεῦδος, διαβολῆς χάριν, οὐδεὶς γὰρ μισθὸν ἐτέλει Σωκράτει. ἐπεὶ ἐκεῖνος ἔφασκε, μηδὲν εἰδέναι, διόπερ καὶ ὑπὸ Πυθίου σοφὸς ἐκρίθη. τοῦτο γὰρ αὐτὸ πρῶτον ἐκέλευεν εἶναι σοφόν, τὸ γνῶναι ὅτι μηδὲν οἶδε. πῶς οὖν ἂν μισθὸν ἐπράττετο παρὰ τῶν συνόντων, ὁ λέγων περὶ αὐτοῦ ὅτι οὐδὲν οἶδα.

Φει. Εἰσὶ δὲ τίνες. Στ. Οὐκ οἶδ' ἀκριβῶς τοὔνομα.
Μεριμνοφροντισταὶ, καλοί τε κἀγαθοί.
Φει. Αἰβοῖ. πονηροί γ' οἶδα. τοὺς ἀλαζόνας.
Τοὺς ὠχριῶντας, τοὺς ἀνυποδήτους λέγεις.
Ὧν ὁ κακοδαίμων Σωκράτης καὶ Χαιρεφῶν.
Στ. Ἢ ἤ, σιώπα. μηδὲν εἴπῃς νήπιον.
Ἀλλ' εἴ τι κήδει τῶν πατρῴων ἀλφίτων,
Τούτων γενοῦ μοι, σχασάμενος τὴν ἱππικήν.
Φει. Οὐκ ἂν μὰ τὸν Διόνυσον εἰ δοίης γέ μοι
Τοὺς φασιανοὺς, οὓς τρέφει Λεωγόρας.
Στ. Ἴθ' ἀντιβολῶ σ' ὦ φίλτατ' ἀνθρώπων ἐμοί,
Ἐλθὼν διδάσκου. Φει. Καὶ τί σοι μαθήσομαι;
Στ. Εἶναι παρ' αὐτοῖς φασὶν ἄμφω τὼ λόγω.
Τὸν κρείττον' ὅστις ἐστὶ, καὶ τὸν ἥττονα.
Τούτοιν τὸν ἕτερον τοῖν λόγοιν, τὸν ἥττονα,
Νικᾶν λέγοντά φασι τἀδικώτατα.
Ἢν οὖν μάθῃς μοι τὸν ἄδικον τοῦτον λόγον,
Ἃ νῦν ὀφείλω διὰ σὲ, τούτων τῶν χρεῶν,
Οὐκ ἂν ἀποδοίην οὐδ' ἂν ὀβολὸν οὐδενί.
Φει. Οὐκ ἂν πιθοίμην. οὐ γὰρ ἂν τλαίην ἰδεῖν
Τοὺς ἱππέας τὸ χρῶμα διακεκναισμένος.

PH. *Quinam illi?* ST. *Nomen haud noui exacte: boni,*
Et qui aerumnis confligantur quàm plurimis.
B PH. *Au, au: miseri isti, scio, quos dicas, pallidi,*
Discalceati, iactabundi Philosophi:
Quorum genius est Socrates & Charepho.
ST. *St, st. tace: ne stolidum quiddam effutias.*
Sed si patris tu rebus consultum cupis:
Age fito mihi vnus ex istorum hominum grege,
Et equestrē omitte rem. PH. *Nō sane, mi pater,*
Per Liberum: etiamsi Phasianos mihi dares,
C *Quos educat in vinariis Leogoras.*
ST. *Obsecro te, mi fili, hominū mihi charissime:*
Veni, & doceri te sine. PH. *Quid docear, pater?*
ST. *Aiunt penes illos esse sermonum duo*
Genera: vnum superius, & inferius alterum.
Et ex his alterum sermonem, qui siet
Inferior, vincere perorando iniquissima.
Quodsi ego iniustum hunc sermonem addiscas mihi,
D *Quaecunque tua causa conflaui debita,*
Horum ne obolum quidem cuiquam ego persoluero.
PH. *Nō sanè obtemperauero: neque enim equites*
Possim aspicere, ipse colore pallidus, & macer.

Σχόλια. Ἀλαζόνας.] ἰδίως τοὺς ψεύστας ἐκάλουν. εἰκότως δὲ καὶ τοὺς φιλοσόφους, ἀλαζόνας καλεῖ· ἐπεὶ λέγειν ἐπαγγέλλονται, περὶ ὧν οὐκ ἴσασιν. ἢ ὅτι σεμνὰ ἔχοντες ἤθη, ἀλαζόνες δοκοῦσιν. ὠχριῶντες δὲ καὶ ἀνυπόδητοι, ἐπεὶ μόνης ἀρετῆς φροντίζοντες καὶ οὐ τρυφῆς, διάκεινται ἀπεριττότερον. πονηροὶ δὲ ἀντὶ τοῦ ἐπίπονοι. ἄθλιοι. Καὶ Χαιρεφῶν.] ἑταῖρος Σωκράτους ὁ Χαιρεφῶν. ὃς ἐκαλεῖτο καὶ νυκτερίς, διὰ τὸ μέλας εἶναι καὶ ἰσχνόφωνος. Μηδὲν εἴπῃς νήπιον.] μηδὲν εὔηθες μηδὲ μειρακιῶδες, μήδ' ἀνόητον εἴπῃς. ἀπὸ τοῦ μηδὲ τὰ νήπια παιδία εἰδέναι τι. Ἀλλ' εἴ τι κήδει] εἰ γοῦν φροντίζεις. πατρῴων δ' ἀλφίτων, ἀντὶ τοῦ τῶν χρημάτων. ἢ τῆς πατρῴας οὐσίας. τὸ δὲ σχασάμενος, ἀντὶ τοῦ καταπαύσας. ἀπὸ μεταφορᾶς τῶν ἀποσχιζομένων καὶ διαχεομένων ὑδάτων. ἄλλως. καταλύσας. καταπαύσας. ἀποστὰς τούτου. ὡς διαστεῖλαι καὶ σχίσαι τὸ ὕδωρ τῇ κώπῃ ἐρετεύοντα. καὶ Πίνδαρος κώπαν ἤδη μοι σχάσαι. καὶ Εὐριπίδης. σχάσον δὲ δεινὸν ὄμμα. ἄλλως. στήσας καταπαύσας. σχάσαι γὰρ τὸν κωπηλατοῦντα στῆσαι τὴν κώπην. Οὐκ ἂν μὰ τὸν Διόνυσον.] εὐλόγως τὸν Διόνυσον ὄμνυσι. τούτῳ γὰρ ἐπετελεῖτο τὰ Διονύσια. εἰς ἠγωνίζοντο οἵ τε τῆς τραγῳδίας καὶ τῆς ἀρχαίας κωμῳδίας ποιηταί. Τοὺς φασιανούς.] οἱ μὲν ἵππους, οἱ δὲ ὄρνεα, ἔνιοι δ' ἵππους χάραγμα ἔχοντας φασιανοῦ ὡς ἀλεκτρυόνος. καί περ ἐστὶ τοῦτο μὴ κατεψευσμένον οἰκεῖον ἂν εἴη τῇ τοῦ νεανίσκου σπουδῇ. οἱ δὲ περὶ Ἀρχίλοχον, ὀρνίθων γένος. οἱ δὲ ὅτι Φᾶσις ποταμός ἐστι Σκυθίας. ὅπου καλοὶ ἵπποι γίνονται. Λεωγόρας δὲ

E τρυφερός τις, ὁ Ἀνδοκίδου πατήρ. Πλάτων περιαλγεῖ. ὦ θεῖε Μόρυχέ τε, νῦν γὰρ εὐδαίμων ἔφυς καὶ Γλαυκίτης. ὦ ψῆττα καὶ Λεωγόρας, οἳ ζῆτε τερπνὸν οὐδὲν ἐνθυμούμενοι. Εὔπολις ἐν Αὐτολύκῳ β. ὡς καὶ διὰ Μυρρίνην ἐπάφραντα χρήματα ἀποβέβληκέ φασιν. οἱ δὲ ἔχοντας τοῦ μηροῦ ἐγκεχαραγμένον φασιανόν. Λεωγόρας δὲ, ὄνομα κύριον ἑνὸς τῶν Ἀθήνησι πολιτευσαμένων τότε. πατὴρ δὲ ἐστὶ ἦν Ἀνδοκίδου τοῦ ῥήτορος. ἄδηλον δὲ εἰ καὶ ὀρνιθοτρόφος ὁ Λεωγόρας. μέμνηται δὲ αὐτοῦ ὡς ἱπποτρόφου. Ἀθηναῖος. καὶ τὸ ἐν νεφέλαις δὲ ἐπὶ τῶν ὀρνίθων ἔγωγε ἀκούω καὶ οὐκ ἐπὶ ἵππων ὡς οἱ πολλοί. τοὺς φασιανοὺς οὓς
F τρέφει Λεωγόρας. δύναται γὰρ ὁ Λεωγόρας καὶ ἵππους τρέφειν, καὶ ὄρνεις φασιανούς. κωμῳδεῖται γὰρ ὁ Λεωγόρας ὡς γαστρίμαργος δὲ ὑπὸ Πλάτωνος ἐν Περιαλγεῖ. Ἴθ' ἀντιβολῶ.] ἀντὶ τοῦ νῦν δὲ πείσθητί μοι. τὸ δὲ ἀντιβολῶ, παρακαλῶ Ἀττικῶς. Καὶ τί σοι μαθήσομαι.] οὐ γὰρ ἑαυτῷ ἔμελλε μαθεῖν, ἤγουν δι' οἰκεῖον θέλημα, ἢ ὠφέλειαν, ἀλλὰ διὰ τὸ τοῦ πατρός. διὸ τὸ σοὶ λέγει. ἤγουν τί μαθήσομαι ὑπὲρ σοῦ. Ἄμφω τὼ λόγω.] δυϊκῶς ἐκάλεσε. φησὶ δὲ ἀμφοτέρους τοὺς λόγους τοὺς περὶ Σωκράτην ἐκπαιδεύεσθαι ἱκανῶς. Τὸν ἕτερον τοῖν λόγοιν.] τὸν δίκαιον
G νικᾶν. ὡς ἀγνοῶν δὲ τὸν δίκαιον εἶπε τὸν ἕτερον. ἐβούλετο γὰρ ἀδικίαν μανθάνειν. Τοὺς ἱππέας τὸ χρῶμα.] οὐχ ὑπομείναιμι ὁραθῆναι ὑπὸ τῶν ἱππέων ὠχρὸς καὶ διεφθαρμένος. ἐκόμων γὰρ οἱ ἱππεῖς. οἱ δὲ φιλόσοφοι κάτω κείρονται. διακεκναισμένος δὲ, ἠμαυρωμένος, ὠχρός. καὶ διεφθαρμένος γενόμενος. οἱ γὰρ ἱππεῖς ἐν γυμνασίοις καὶ

παλαίστρας διέτριβον. οὐ γὰρ φροντίζει ὡς χρὴ ὡς οἱ περὶ τὸν Σωκράτην καὶ αὐτὸς δὲ καὶ ῥυπῶν. οἱ γὰρ ἱππεῖς εὔχροι καὶ ὑπὸ τοῦ ἡλίου καὶ ἐν γυμνασίοις ἐξεταζόμενοι. καὶ ἐν τοῖς ἱππεῦσί φησι. μὴ φθονεῖτε ἡμῖν μὴ δ' ἀπεστλεγγισμένοις. τουτέστι λιπῶσι. τοῦτο οὖν ὁ

A νεανίσκος δέδοικεν, φησὶ τὸ ἀπέχεσθαι τοῖς περὶ τὴν ἱππικὴν ἔχουσιν, οἱ καταλείπειν τὸ κοσμεῖν τὸ σῶμα καὶ μετιέναι τὰ τῶν ἱππέων ἐπιτηδεύματα, τὰ τῶν φιλοσόφων μετέλθοι. ὡς ἱππαζόμενος δὲ καὶ τοῦτον, μὴ τῶν ἱππέων φησὶ ταῦτα.

Στ. Οὐκ ἆρα μὰ τὴν Δήμητρα τῶν γ' ἐμῶν ἔδει.
Οὔτ' αὐτὸς, οὔθ' ὁ ζύγιος, οὔθ' ὁ σαμφόρας.
Ἀλλ' ἐξελῶ σ' ἐς κόρακας ἐκ τῆς οἰκίας.
Φει. Ἀλλ' οὐ περιόψεταί μ' ὁ θεῖος Μεγακλῆς
Ἄνιππον. ἀλλ' εἴσειμι, σοῦ δ' οὐ φροντιῶ.

ST. *Ergo neque de meo post comedes, ecceré,*
Neque tu, neque iugalis, neque Sāphoras tuus.
Sed è domo ad coruos te nunc statim exigam.
B PH. *At sine equo non patietur me Megacles, meus*
Auunculus: eo intrò: posthac te negligam.

Σχόλια. Οὐκ ἆρα μὰ τὴν Δήμητρα.] εἰκότως τὴν Δήμητρα ὄμνυσιν, ἐπεὶ περὶ τροφῶν ὁ λόγος ἐστί. τούτων γὰρ ἡ θεὸς εὑρέτις. Οὔθ' ὁ ζύγιος, οὔθ' ὁ σαμφόρας.] ζύγιοι ἵπποι καλοῦνται, οἱ ὑποβαλλόμενοι τῷ τοῦ ἅρματος ζυγῷ, τουτέστιν ὁ μέσος δεξιὸς, καὶ ὁ μέσος ἀριστερός. σαμφόραι δὲ, οἱ σῖγμα ἔχοντες περὶ τὸν μηρόν. καὶ διὰ τοῦ μ καὶ π γράφεται. Ἀλλ' ἐξελῶ σ' ἐς κόρακας.]

ἀλλ' ἐκβαλῶ σε καὶ διώξω σε τῆς οἰκίας τῆς ἐμῆς. ταχύτερον δὲ αὐτοῦ διαλέγεται καὶ ἀπειλητικώτερον, τὴν ἐλπίδα τοῦ πείθειν αὐτὸν ἀπολωλεκώς. Ἀλλ' οὐ περι-
C όψεταί με.] εἰκὸς γὰρ ἦν καὶ τοῦτον σεμνυνόμενον ἐπὶ ταῖς τρισὶ νίκαις τοῦ πατρὸς, ἡδέως τὸν νεανίσκον ὁρᾶν τὰ μετερχόμενον τὰ προγονικὰ ἐπιτηδεύματα.

ΔΡΑΜΑΤΟΣ ΤΟΥ ΠΡΩΤΟΥ

Σκηνὴ δευτέρα.

Τρίμετροι Ἰαμβικοί.

ΣΤΡΕΨΙΑΔΗΣ, ΜΑΘΗΤΗΣ Η ΠΑΙΣ ΣΩΚΡΑΤΟΥΣ.

ACTVS I. SCENA II.

Senarij Iambici.

D STREPSIADES, DISCIPVLVS SEV PVER SOCRATIS.

BISETVS. Στρεψιάδης πᾶσαν ἐλπίδα περὶ τοῦ παιδὸς πρότερον συλληφθεῖσαν ἀπολέσας, αὐτὸς πρὸς τὸν Σωκράτην φοιτᾶν, τήν τε τοῦ ψεύδεσθαι, καὶ φενακίζειν τέχνην, οὐδ' ἵνα λόγον τῆς ἡλικίας παρακμαζούσης ποιούμενος, μανθάνειν ἔγνω.

Στ. Ἀλλ' οὐδ' ἐγὼ μέντοι πεσών γε κείσομαι.
Ἀλλ' εὐξάμενος τοῖσι θεοῖς, διδάξομαι,
Αὐτὸς βαδίζων εἰς τὸ φροντιστήριον.
Πῶς οὖν γέρων ὢν, κἀπιλήσμων καὶ βραδὺς,
Λόγων ἀκριβῶν σχινδαλάμους μαθήσομαι;
Ἰτητέον. τί ταῦτ' ἔχων στραγγεύομαι;
Ἀλλ' οὐχὶ κόπτω τὴν θύραν; παῖ, παιδίον.
Μα. Βάλλ' ἐς κόρακας, τίς ἐσθ' ὁ κόψας τὴν θύραν;

Ego verò, etsi cecidi, non iacebo tamen.
Sed inuocatis Dijs, in ludum ipsemet
Me conferam, & hanc artem doceri me sinam.
E *At cùm sim obliuiosus, & tardus senex:*
Quomodo subtiliores discam literas?
Eundum est. nam quid hac re sollicitor miser?
Cur cesso pulsare ostium? Puer heus, puer.
DI. *Abi in malam rem: quisnam pepulit has fores?*

Σχόλια. Ἀλλ' οὐδ' ἐγὼ μέντοι.] ἀλλ' οὐδ' ἐγὼ μέντοι ἀθυμήσω διότι μὴ πέπεικα τὸν υἱόν. οὐδὲ τέλεον ἀποπίπτομαι τῆς γνώμης τῆς προκειμένης. ἀλλ', οὐ παραδώσω ἐμαυτὸν ταῖς λύπαις.

BISETVS. Τοῦτο δὲ τὸ στίχο παροιμιακῶς ἂν χρῆσις εἴη, εἴ τις δυστυχήματί τινι πιεσθεὶς τοῦτο ἀπαλλαχθήσεσθαι ἐλπίζει. ἢ ὅταν τις εἰς ἁμαρτίαν τινὰ καταλισθήσας, μεταμεληθεὶς ἔπειτα, ἑαυτῷ διαμαρτύρειν τὰ ἐθέλει.

Σχόλια. Διδάξομαι] νῦν μὲν, παθητικὸν ἀποδεκτέον. διδάξομαι δὲ τὸν υἱὸν φιλοσοφεῖν κυριώτερον, ἢ διδάξω. διδάξω μὲν γὰρ, ὁ φιλόσοφος διδάσκαλος ἐρεῖ. διδάξομαι δὲ ὁ πατήρ. καὶ τοὺς ὁ παῖδας διδάσκει ἕτερον μανθάνειν. δύναται οὖν καὶ νῦν εἶναι τὸ αὐτὸ, ἵν' ᾖ νοούμενον, ἐπεὶ οὐ τὸν υἱὸν, ἐμαυτὸν διδάξομαι φησὶ, ἅτε βαδίζων εἰς τὸ φροντιστήριον. τὸ δὲ ἐμαυτὸν λείπει τοῦ μέτρου ἕνεκα ἐπιτρέποντος. ἄλλως. ἀντὶ τοῦ διδασκάλῳ παραδώσω. ἐπεὶ μέσον ὂν τὸ διδάξομαι, πρὸς ἀμφοτέρας ἐνεργείας χωρεῖ.

BISETVS. Ἄλλως. Διδάξομαι, ἀντὶ τοῦ μαθήσομαι. πῶς τοῖς θεοῖς εὐξάμενος, καὶ αὐτὸς βαδίζων εἰς τὸ φροντιστήριον. διδάσκεσθαι, μανθάνειν. ἡ διδαχὴ δὲ πρὸ τοῦ μαθήσεως εἶναι φιλεῖ. τὸ δὲ διδάξομαι ἡ ἐπεξήγησις
F ἔπειτα, μαθήσομαι.

Σχόλια. Πῶς οὖν γέρων ὤν.] ταῦτα καθ' ἑαυτὸν λογίζεται ἐν τῷ ἀπιέναι. τὸ δὲ βραδὺς, οὐκ ἐπὶ τοῦ σώματος κινήσεως παρείληφεν, ἀλλὰ τὸ μὴ ἀγχίνουν εἶναι. ἔνθεν δὲ τὰ τῆς διανοίας ὄκνον δηλοῦν θέλει. Λόγων ἀκριβῶν σχινδαλάμους.] λόγων ἰσχνῶν λεπτολογίας. λεπτὰ γὰρ καὶ ἰσχνὰ τὰ τῶν λόγων ζητοῦσι. τα. σχινδαλμὸς δὲ, λεπτολογίας ἀπὸ τῆς σχίσεως τῶν καλαμῶν ἐξήνεγκε. ἢ δὲ ἐπεξεργασία τῶν ἀκριβῶν· οἱ σχινδαλμοί. ἰδίως γὰρ σχινδαλ-
G μὸς καλοῦμεν, τὰ λεπτότατα τῶν ξύλων. καὶ τὰ τῶν καλάμων ξύσματα. τοῦτο δὲ ἐπὶ τῆς εὐθείας, ὀξύνεται. ἐπὶ δὲ τῶν πλαγίων παροξύνεται.

BISETVS. Σχινδαλμός.] παρὰ τῷ Σουΐδᾳ γέγραπται σχινδάλαμοι. καὶ ἴσως ἐνταῦθα σχινδαλάμους γραπτέον. ἀλλὰ πῶς τοῦτο τὸ ὄνομα ἐν τῇ εὐθείᾳ μὲν ὀξύνεται, ἐπὶ δὲ τῶν πλαγίων προπαροξύνεται, ἄδηλον. καὶ τὰ παλαιὰ σχόλια ἐπανόρθωσιν ἀπαιτεῖν δοκεῖ. Ἰτητέον] ἰτέον, πορευτέον. Σ.

Σχόλια.

Σχόλια. Τί ταῦτ' ἔχων στραγγεύομαι.] διὰ τί ταῦτ' ἔχων κατὰ νοῦν, πιέζομαι καὶ συνθλίβομαι. στράγξ δέ ἐστιν, ὁ διὰ λεπτοτάτης ὀπῆς χολῆ κατιὼν σταλαγμός.

BISETVS. Ἄλλως.] στραγγεύομαι κατὰ τὸν Σουίδαν, μεταφορικῶς, ἀντὶ τοῦ ἀναβάλλομαι, διατρίβω, παρέλκω, μέλλω, ἀναδύομαι.

Σχόλια. Ἀλλ' οὐχὶ κόπτω τὴν θύραν.] ἀλλ' οὐκ ἔχομαι τῆς ἐγχειρήσεως. τοῦτο δὲ παρέγκλημα· δεῖ γὰρ αὐτὸν ἐλθεῖν καὶ κόψαι τὴν θύραν Σωκράτους. παρατηρητέον δὲ ὅτι ἐπὶ μὲν τῶν ἔξωθεν κρουόντων, κόπτειν λέγουσιν. ἐπὶ δὲ τῶν ἔσωθεν ψοφεῖν. ἱκανῶς δὲ διέστειλε Μένανδρος. ἐπὶ μὲν τοῦ ἔξω, κόψω τὴν θύραν εἰπών. ἐπὶ δὲ τοῦ ἔσω, ἐψόφηκε τὴν θύραν ἐξιών. Βάλλ' ἐς κόρακας.] ἄπιθι ἐς κόρακας ἔστι δὲ παροιμία ἐπὶ κατάρας λεγομένη. ἀντὶ τοῦ εἰς ἀπώλειαν καὶ εἰς φθοράν. Βοιωτοῖς γὰρ ἀναστάτοις ὑπὸ Θρακῶν γενομένοις, εἶπεν ὁ θεὸς ἐκεῖ κατοικεῖν, ἔνθα ἂν ἴδωσι λευκοὺς κόρακας. οἱ δ' ἐν Θετταλίᾳ περὶ τὸν Παγασιτικὸν κόλπον εἶδον περιπεπλασμένους τοὺς τοῦ ἡλίου ἱεροὺς κόρακας, οὓς παῖδες ἀφῆκαν γυψώσαντες ὑπὸ μέθης. καὶ τελεῖσθαι τὸν χρησμὸν φήσαντες, ἐνταῦθα κατῴκησαν. οἱ δὲ ἐκ τοῦ ζώου λέγεσθαι τὴν παροιμίαν. ἐν γὰρ τοῖς ἐρημοτέροις τόποις, ἐπιτηρεῖ τὰ πτώματα. Ζηνόδοτος δὲ ὁ τὰς Ταρραίου καὶ Διδύμου παροιμίας ἐπιτεμών, Βοιωτοῖς φησὶν Ἄρνην ποτὲ οἰκοῦσι προείρητο ὑπὸ τοῦ θεοῦ ἐκπεσεῖσθαι λευκῶν κοράκων φανέντων. νεανίσκοι δέ ποτε μεθυσθέντες, καὶ συλλαβόντες κόρακας, γυψώσαντες ἀφῆκαν πέτεσθαι. ἰδόντες δὲ οἱ Βοιωτοὶ, ἐταράχθησαν. ὡς δὲ μαντείας λαβούσης τὸ τέλος, καὶ φοβηθέντες οἱ νεανίσκοι, τὸν θόρυβον φυγόντες, ᾤκησάν τινα τόπον, ὃν ἐκάλεσαν κόρακας. μετὰ δὲ ταῦτα, ἐκβαλόντες τοὺς Βοιωτοὺς οἱ Αἰολεῖς, ἔσχον τὴν Ἄρνην οἰκείαν οὖσαν. καὶ τοὺς ἁμαρτάνοντας μεθιστᾶσιν εἰς τοὺς κόρακας καλουμένους.

BISETVS. Τὸ δὲ βάλλ' εἰς κόρακας, ἐλλειπτικῶς εἴρηται, ἀντὶ τοῦ σαυτὸν ἐς κόρακας βάλλε.

Στρ. Φείδωνος υἱὸς Στρεψιάδης Κικυννόθεν.
Μα. Ἀμαθής γε νὴ Δί' ὅς τις οὑτωσὶ σφόδρα
Ἀπεριμερίμνως τὴν θύραν λελάκτικας.
Καὶ φροντίδ' ἐξήμβλωκας ἐξηυρημένην.
Στρ. Σύγγνωθί μοι. τηλοῦ γὰρ οἰκῶ τῶν ἀγρῶν.
Ἀλλ' εἰπέ μοι τὸ πρᾶγμα τοὐξημβλωμένον.
Μα. Ἀλλ' οὐ θέμις πλὴν τοῖς μαθηταῖσι λέγειν.
Στρ. Λέγε νῦν ἐμοὶ θαρρῶν. ἐγὼ γὰρ οὑτοσὶ,
Ἥκω μαθητὴς εἰς τὸ φροντιστήριον.
Μα. Λέξω. νομίσαι δὲ σε ταῦτα χρὴ μυστήρια.
Ἀνήρετ' ἄρτι Χαιρεφῶντα Σωκράτης,
Ψύλλαν ὁπόσους ἅλλοιτο τοὺς αὑτῆς πόδας.

SI. *Phidonis gnatus Strepsiades Cicynnius.*
DI. *Ineptus per Iouem: qui tàm grauiter fores*
Calcibus impetiisti, nihil considerans.
Nam cogitationem quandam animo meo
Conceptam, abortire assultu facis tuo.
SI. *Ignosce mihi: nam procul huc aduenio ex agro.*
Sed age, tu dic mihi, quid illud sit rei,
Quod feci abortire nimio assultu meo?
DI. *Non licet hoc, nisi solis discipulis proloqui.*
ST. *Loquere audacter: nam & ego in hunc literarium*
Aduenio ludum, discipulus vt iam fiem.
DI. *Dicam: sed oportet habere hæc pro mysteriis.*
Modò Chærophontem interrogabat Socrates,
Quot aliquis pulex saltaret pedes suos.

Σχόλια. Κικυννόθεν.] ἀπὸ δήμου τῆς Ἀκαμαντίδος φυλῆς, Κικυννέα. ἔνθα ἄγεται καὶ τὰ Ἀπολλώνεια. Ἀμαθής γε νὴ Δία.] ἰδιώτης καὶ ἀπαίδευτος. Ἀπεριμερίμνως.] ἀμαθῶς καὶ ἀπείρως καὶ ἀνεπιστημόνως. τὸ δὲ λελάκτικας, σφοδρότητος καὶ βίας σημαντικόν. διόπερ καὶ τὴν μέμψιν ἐπήγαγεν, οὐ τὸ κροῦσαι καὶ τὸ προσελθεῖν αἰτιώμενος. οὐ δὲ γὰρ πρὸς φιλοσόφους τὸ τοῖς δεομένοις μὴ παρέχειν τοῦ συνιέναι ἐξουσίαν. τὸν δὲ τρόπον μεμφόμενος, ὅτι βιαιοτέρως ἔπαισε τὴν θύραν, ὡς διαταραχθῆναι τοὺς ἐμφιλοσοφοῦντας. Ἐξήμβλωκας.] ἐξέωσας. ἐξέβαλες. ἐξαμβλῶσαι δὲ ἰδίως, ἐπὶ τῶν γυναικῶν λέγεται ἀπὸ τῶν τικτουσῶν θᾶττον ἢ κατὰ τὸν τῶν ὠδίνων καὶ τῆς κυοφορίας νόμον, καὶ φάρμακον ἀμβλίσκειν τὰς γυναῖκας ποιοῦν. ἰδίως δὲ νῦν ἐπὶ φιλοσόφων τὴν φροντίδα. ἐπεὶ καὶ μεριμνοφροντιστὰς ἐκάλουν αὐτοὺς, ὡς προείπομεν. τοῦ δὲ Σωκράτους λέγοντος ὅτι τέχνην ἔχω τὴν μαιευτικήν. καὶ διὰ ταύτης ποιῶ τοὺς νέους ἀποτίκτειν τὰ νοήματα ἐν τῇ ἑαυτῶν ψυχῇ, τοῦτον νῦν κωμῳδεῖ Ἀριστοφάνης διὰ τοῦ ἐξήμβλωκας. Τηλοῦ γὰρ οἰκῶ τῶν ἀγρῶν) ἀντὶ τοῦ, ἐν τοῖς ἀγροῖς. πρὸς τὸ σχῆμα, ὅτι ἀντὶ τοῦ χρῶνται πόρρω τῆς πόλεως. ἀδηλότερον δὲ πρότερον λέγει. πόρρω τῶν ἀγροίκων αὐτὸς κατοικεῖν, ἢ τοῖς μακρὰν καὶ πολὺ τῆς πόλεως ἀπέχουσι λέγεται γὰρ αὐτὸ παρὰ τὸ Εὐριπίδειον. τηλοῦ γὰρ οἴκων βιοτὴν ἐξιδρυσάμην. Ἀλλ' οὐ θέμις πλὴν τοῖς μαθηταῖσι λέγειν.) ἀλλ' οὐ δυνατόν. δηλονότι ἐπὶ διασυρμῷ καὶ διαβολῇ ταῦτα παράγει λέγοντα τὸν θυρωρόν. ἀλλότριον γὰρ τῶν φιλοσόφων τὸ βασκαίνειν καὶ φθονεῖν. Ἀνήρετ' ἄρτι.) ἐπύθετο. ἀνηρώτησεν. ἄρτι δὲ ἀντὶ τοῦ ἐξυπογύου, ἵνα αὐτοσχεδιάζειν δοκῶσι. διαβάλλει δὲ τοὺς φιλοσόφους ὡς εὐτελῆ ζητοῦντας. διὸ καὶ ταῦτα γελοίου χάριν λέγεται. καὶ διὰ γελοίων τὴν Σωκράτους παρίστησιν ἀκρίβειαν. Χαιρεφῶντα.] τὸν πάνυ γνώριμον Σωκράτους ὁ Χαιρεφῶν. οὐδὲν δὲ αὐτοῦ διασώζεται τῶν συγγραμμάτων. δοκεῖ δὲ γενέσθαι περίθερμος καὶ σφόδρα ἐχθρεύσας τῷ ἀδελφῷ. καὶ φησὶ Ξενοφῶν Σωκράτην συνάγοντα αὐτοὺς, λέγειν ὡς οὐδὲν ὀφθαλμῶν ὄφελος ἂν εἴη, εἰ μὴ συμφωνοῖεν. οὐδὲ χειρῶν οὐδὲ ποδῶν. δήμου δὲ ἦν ὁ Χαιρεφῶν Σφήττιος. τούτῳ καὶ ἡ Πυθία δοκεῖ τὸν περὶ τοῦ Σωκράτους χρησμὸν εἰπεῖν,

Σοφὸς Σοφοκλῆς, σοφώτερος δ' Εὐριπίδης.
Ἀνδρῶν δὲ πάντων, Σωκράτης σοφώτατος.

Τοῦτον τὸν χρησμὸν ὡμολόγησαν ἐν τοῖς κατὰ φιλοσόφων. ψεύδεσθαί φησι τὴν Πυθίαν. τοὺς γὰρ φυσικοὺς χρησμοὺς, ἑξαμέτρους εἶναι. καὶ ἔστι δὲ παρὰ κωμικῶν τισί. πῶς συγκεχωρῆσθαι τῷ χρησμῷ δύναται. ὅτι δὲ καὶ ἄλλοι διὰ τριμέτρων πλείους χρησμοὶ, οὐ μὴν ἀλλὰ καὶ πεζῷ λόγῳ λεχθέντες τῇ Πυθίᾳ, τὰ μὲν καὶ ἐπ' ἐμοὶ μέχρι καὶ νῦν κεχρηκέναι τὸ Πύθιον οὕτω, παρήσω λέγειν, ἀλλὰ τῶν ἀρχαίων παραδειγμάτων ἕνεκα χεῖρον οὐδὲν μνημονεῦσαι. τοῦτο μὲν γὰρ ἐπὶ τῷ φέρεται

ἐστὶν ὁ χρησμὸς ἐξενεχθεὶς ὑπὸ τῆς Πυθίας. ἐμοὶ μελήσει ταῦτα καὶ λευκαῖς κόραις. ἐν Λέσβῳ δὲ Γονναπαίου Ἀπόλλωνος ὁ δοθεὶς Πέλοπι αἰτοῦντος αὐτὸν ἀνάθημα τοῦ θεοῦ τὸν ἄρνα τὸν χρυσοῦν ἕτερα παρέχοντα χαμήλια. ἔστι δ' οὕτως. Ὃ βούλομαι δός· μὴ δίδου δ' ὃ μὴ θέλω. φέρει δὲ τὸν χρησμὸν τοῦτον Ἀντικλείδης ἐν τοῖς νόστοις. καὶ ἑτέρους πλείστους ἄν τις ἔχοι λέγειν τοιούτῳ ἐξενεχθέντας μέτρῳ.

Ψύλλαν ὁπόσους ἅλλοιτο.] ψύλλαν μὲν ἀττικῶς. ὃν ἡμεῖς ψύλλον καλοῦμεν. τὸ δὲ λεγόμενον τοιοῦτο τὸ πήδημα τῆς ψύλλης διαμετρῆσαι τοῖς αὐτῆς τῆς ψύλλης ποσίν, ὁπόσους τούτους πηδήσειε. δῆλον δὲ, ὅτι ταῦτα φησὶ διασύραι βουλόμενος τὰ τῶν φιλοσόφων ζητήματα, ὡς ἰσχνὰ, καὶ λόγου μηδενὸς ἐχόμενα. διὸ καὶ τὰ ἑξῆς, γελοίως χάριεν αὐτῷ λέλεκται.

Δακοῦσα γὰρ τοῦ Χαιρεφῶντος τὴν ὀφρῦν,
Ἐπὶ τὴν κεφαλὴν τοῦ Σωκράτους ἀφήλατο,
Στ. Πῶς δῆτα τοῦτ' ἐμέτρησε; Μα. Δεξιώτατα.
Κηρὸν διατήξας, εἶτα τὴν ψύλλαν λαβὼν,
Ἐνέβαψεν εἰς τὸν κηρὸν αὐτῆς τὼ πόδε.
Κᾆτα ψυγείσῃ περιέφυσαν Περσικαί.
Ταύτας ὑπολύσας, ἀνεμέτρει τὸ χωρίον.
Στ. Ὦ Ζεῦ βασιλεῦ τῆς λεπτότητος τῶν φρενῶν.
Μα. Τί δῆτ' ἂν, ἕτερον εἰ πύθοιο Σωκράτους
Φρόντισμα; Στ. Ποῖον; ἀντιβολῶ κάτειπέ μοι.
Μα. Ἀνήρετ' αὐτὸν Χαιρεφῶν ὁ Σφήττιος,
Ὁπότερα τὴν γνώμην ἔχοι τὰς ἐμπίδας
Κατὰ τὸ στόμ' ᾄδειν, ἢ κατὰ τοὐρροπύγιον.
Στ. Τί δῆτ' ἐκεῖνος εἶπε περὶ τῆς ἐμπίδος;
Μα. Ἔφασκεν εἶναι τοὔντερον τῆς ἐμπίδος
Στενόν· διὰ λεπτοῦ δ' ὄντος αὐτοῦ τὴν πνοὴν
Βίᾳ βαδίζειν εὐθὺ τοὐρροπυγίου.
Ἔπειτα κοῖλον πρὸς στενῷ προσκείμενον,
Τὸν πρωκτὸν ἠχεῖν ὑπὸ βίας τοῦ πνεύματος.
Στ. Σάλπιγξ ὁ πρωκτός ἐστιν ἄρα τῶν ἐμπίδων.
Ὦ τρισμακάριος τοῦ διεντερεύματος.
Ἦ ῥαδίως φεύγων ἂν ἀποφύγοι δίκην,
Ὅστις δίοιδε τοὔντερον τῆς ἐμπίδος.
Μα. Πρώην δέ γε γνώμην μεγάλην ἀφῃρέθη
Ὑπ' ἀσκαλαβώτου. Στ. Τίνα τρόπον; κάτειπέ μοι.

Nam fortè Charephontis admomorderat
B *Supercilium, atque inde insiluerat in caput*
Socratis. ST. *Et quomodo isthuc mensus est senex?*
DI. *Dexterrimè: nam ceram liquefecit, & ei*
Duos immersit capti pulicis pedes:
Refrigerato calceamenta annata sunt:
Quibus detractis spacium rei dimensus est.
ST. *Proh Iuppiter, quæ hæc animorum est subtilitas?*
C DI. *Quid verò si alterum Socratis hîc audias*
Commentum? ST. *Quodnam illud? dic obsecrò mihi.*
DI. *Interrogabat ipsum Charepho iste Sphettius,*
Vtrum statueret culices ore sonum edere,
An podice. ST. *Et quid ille respondit homini,*
De culice? DI. *Aiebat intestinum esse culicis*
D *Angustum, quod cùm sit pratenue, spiritum*
Quodam impetu rectà perrumpere podicem.
Inde adiacere intestino quiddam cauum,
Et vi flatus actum sonare podicem. *(ba est?*
ST. *Ergò, quantum intelligo, culicum podex, tu-*
Beatum, qui illud intestinum repperit.
Næ facile iudicium effugiat aliquis reus:
Quisquis culicis intestinum dignouerit.
E DI. *Pridem etiam alio commento spoliatus fuit*
A fele. ST. *quo pacto? dic mihi.* DI. *cū inquireret*

Σχόλια. Τοῦ Χαιρεφῶντος τὴν ὀφρῦν.] ἰστέον ὅτι αὐτοπροσώπως εἰσῆγον τοὺς κωμῳδουμένους. καὶ ὅτι γελοίως χάριν παρείληφε τοῦτο. αὐτίκα γοῦν οὐδὲ ἄλλου τινὸς ἐμνημόνευσε μέρους τοῦ σώματος, ἢ τοῦ ἐν ἑκατέρῳ γελοίου. ὁ μὲν γὰρ μεγάλας εἶχε τὰς ὀφρῦς ὁ Χαιρεφῶν. ὁ δὲ φαλακρὸς ἦν ὁ Σωκράτης. Τὼ πόδε.] δυϊκὸν τὼ πόδε, ἐπὶ τῆς ψύλλης κακῶς. λέγεται γὰρ ἓξ ἔχειν πόδας. ψυγείσῃ δὲ ἀντὶ τοῦ θανούσῃ. Περσικαί.] εἶδος ὑποδήματος αἱ Περσικαὶ, ὡς καὶ Ἡρόδοτος. ἐπεὶ καὶ δένδρου ὄνομά ἐστι Περσικῇ, διὸ καὶ περιέφυσαν εἶπεν ὡς ἐπὶ δένδρου. ἔστι μὲν γὰρ καὶ δένδρον. ἔστι δὲ καὶ ὑποδημάτων εἶδος γυναικείων. διὸ ἐπιφέρει, ὑπολύσας. διὰ δὲ τὸ δένδρον, παίζων περιέφυσαν εἶπεν. Ταύτας ὑπολύσας] ἀδύνατον. οὔτε γὰρ ὑποδήματα δύναται φορεῖν ψύλλα, οὔτε ὑπολύεσθαι, οὔτε μετρῆσαι τῷ προσπλασθέντι κηρῷ τοῖς ποσὶ τὸ διάστημα τοῦ ὑποδήματος. ἀλλ' ἀδύνατον ἀδυνάτῳ ἐπήγαγεν. οὔτε γὰρ τὰ ὑποδήματα ἐκ κηροῦ φῦναι φύσιν ἔχει, οὔτε τὸν τῆς ψύλλης πόδα ὧν ταῦτα δυνατὸν ἐξελεῖν καὶ διαμετρῆσαι τῷ τοῖς ποσὶν αὐτῆς προσπλασθέντι κηρῷ τὸ διάστημα τοῦ ὑποδήματος. Σφήττιος ἀπὸ δήμου τῆς Ἀκαμαντίδος φυλῆς. Ὁπότερα τὴν γνώμην.] ἀντὶ τοῦ πῶς διανοεῖται καὶ διαλογίζεται περὶ τῶν ἐμπίδων. τὸ δὲ ὁπότερα ἀντὶ τοῦ ὁποτέρως. ἐμπίδας δὲ, οὓς ἡμεῖς κώνωπας καλοῦμεν. οἱ δὲ, εἶδος κώνωπος περιστόμιον ζώνην (vel, ζωὴν) ἔχοντος. Κατὰ τὸ στόμ' ᾄδειν.] ἀντὶ τοῦ διὰ τοῦ στόματος φθέγγεσθαι καὶ βοᾶν, ἢ διὰ τοῦ ὀρροπυγίου. τὰ γὰρ τοιαῦτα τῶν ζώων, τροφὴν μὲν λαμβάνει στόματι, φθέγγεται δι' αὐτοῦ οὐκέτι. καὶ γάρ ἐστιν ἐκ τῶν τεττίγων τοῦτο καὶ τῶν ἰσκελάδων ἰδεῖν. ἃ καὶ οὕτω προσηγορεύθησαν, ἐπειδὴ αὐτοῖς τὸν κέλαδον ἔχουσιν. οὕτω γὰρ καὶ τὰ τοιαῦτα ζῶα πάντα διὰ τοῦ στήθους τὴν φωνὴν προΐεται. εἰ γὰρ τοῦτο λάβοιο, καὶ οὔτε φθέγξαιτο τὸ ἰσκέλαδον, οὔτε ὁ μουσικὸς καὶ καλὸς τέττιξ ἔτι προΐοι φωνήν. τῆς αὐτῆς γὰρ καὶ ὁ τέττιξ ἐστὶ φύσεως. καὶ τὰ τοιαῦτα ζῶα, καλεῖται μὲν παρά τισι βομβύκια. καλεῖται δὲ καὶ ἐντόμια, ὅτι κατὰ τὴν ῥάχιν ἐντέτμηται. ὡς ἔστιν ἰδεῖν ἐπὶ τῶν σφηκῶν καὶ κανθάρων καὶ ἰσκελάδων, καὶ τῶν τεττίγων μάλιστα. διὸ καὶ φθέγγεσθαι ἀξιοῦσιν αὐτά. Σάλπιγξ ὁ πρωκτός.] τοιαύτη γάρ. κατὰ μὲν ἀνώτατον καὶ πρὸς τὸ ἄκρον κοίλη ἡ σάλπιγξ. τὰ κάτω δὲ, στενή. διὸ καὶ ὀξὺ ᾄδει. Τοῦ διεντερεύματος.] τοῦ ἐρωτήματος τοῦ διὰ τοῦ ἐντέρου. τοῦ ἐπινοήματος ἢ τῆς λύσεως τοῦ μαθήματος τοῦ περὶ τοῦ ἐντέρου καὶ ἐμπίδος. ἐπειδὴ δὲ περὶ τῶν τῆς ἐμπίδος ἐντέρων λέγει, ἔπαιξε παρὰ τὸν ὑπὸ τοῦ Σωκράτους λόγον τὸν περὶ τῆς ἐμπίδος ἐντέρου. Γνώμην μεγάλην ἀφῃρέθη] ὅτι ἐστερήθη, ἐμποδισθεὶς ὑπὸ ἀσκαλαβώτου ὁ Σωκράτης. λέγεται δὲ καὶ ἀσκαλαβώτης καὶ γαλεώτης.

BISETUS. Ἀσκαλαβώτου] περὶ τούτων οὕτως ὁ Σουίδας.

Σουίδας. ἀσκαλαβώτης, ὁ καὶ γαλεώτης, ζῶον ζωύφιον ὅμοιος σαύρᾳ, ἐν τοῖς τοίχοις τῶν οἰκημάτων ἀνέρπον. ἀλλ' A ἑκάτερον ἐνταῦθα οὐδὲν ἄλλο σημαίνειν δοκεῖ ἢ γαλῆν, τουτέστιν αἴλουρον.

Μα. Ζητοῦντος αὐτοῦ τῆς σελήνης τὰς ὁδοὺς,
Καὶ τὰς περιφορὰς, εἶτ' ἄνω κεχηνότος,
Ἀπὸ τῆς ὀροφῆς νύκτωρ γαλεώτης κατέχεσεν.
Στ. Ἥσθην γαλεώτῃ καταχέσαντι Σωκράτους.
Μα. Ἐχθὲς δὲ γ' ἡμῖν δεῖπνον οὐκ ἦν ἑσπέρας.
Στ. Εἶεν. τί οὖν πρὸς τἄλφιτ' ἐπαλαμήσατο; B
Μα. Κατὰ τῆς τραπέζης καταπάσας λεπτὴν τέφραν,
Κάμψας ὀβελίσκον, εἶτα διαβήτην λαβὼν,
Ἐκ τῆς παλαίστρας θοιμάτιον ὑφείλετο.
Στ. Τί δῆτ' ἐκεῖνον τὸν Θαλῆν θαυμάζομεν;
Ἄνοιγ' ἄνοιγ' ἀνύσας τὸ φροντιστήριον, C
Καὶ δεῖξον ὡς τάχιστά μοι τὸν Σωκράτην.
Μαθητιῶ γὰρ, ἀλλ' ἄνοιγε τὴν θύραν.
Ὦ Ἡράκλεις. ταυτὶ ποδαπὰ τὰ θηρία;
Μα. Τί ἐθαύμασας; τῷ σοι δοκοῦσιν εἰκέναι;

Luna vias & ambitus: & intuens
Cælum ore hiaret: fortè è tecto desuper
Felis cacauit nocturnus. ST. *Gaudeo equidem;*
Quòd felis percacauit istum Socratem.
DI. *Heri nobis nihil cæna fuit sub vesperam.*
ST. *Esto, sed quidnam iste ad farinas reppe-rit?*
DI. *In mensa sparsit exilem cinerem: & veru*
Incuruato, mox apprehendit circinum,
Et pallium è palæstra furtim sustulit.
ST. *Quid ergo Thaletem illum miremur amplius?*
Aperi, aperi ludum hunc mihi literarium:
Et Socratem mihi monstra quàm citissimè:
Nam discere gestio. Quin aperis ostium?
Proh Hercules, cuiusmodi hæ sunt bestiæ?
DI. *Quid mirare? cui similes esse videntur hi?*

Σχόλια. Ἀπὸ τῆς ὀροφῆς.] καὶ ἀρσενικῶς ὁ ὄροφος D καὶ θηλυκῶς ἡ ὀροφή. ὡς τὸ πρὸς τὸν ὄροφον ἀνατείνω τὰ Περσικά. καὶ ἐν Λυσιστράτῃ καὶ ἐν Σφηξὶν ὀροφὴν θατέραι. Ἐχθὲς δέ γ' ἡμῖν.] λεληθότως σκώπτει τὸν τῶν φιλοσόφων βίον, ὡς ἐπίπονον καὶ ταλαίπωρον, διὰ τὸ εἰς αὔξησιν καὶ τῷ καιρῷ συνεχῆ εἶναι. εἶτε μέχρι τῆς ἑσπέρας ἀναμένοντες φαγεῖν, οὐκ ἦν τὸ παρεσκευασμένον οὐδ' ἐν εἶχον.

BISETVS. Ἐπαλαμήσατο] ἐτεχνήσατο. ἐμηχανήσατο. παλαμᾶσθαι κυρίως τὸ διὰ τῶν παλαμῶν, εἴτε χειρῶν τι ποιεῖσθαι. μεταφορικῶς δὲ τὸ τεχνᾶσθαι, καὶ μηχανᾶσθαι δηλοῖ. E

Σχόλια. Λεπτὴν τέφραν.] ἰσχνὴν σποδόν. οὐχ ἁπλῶς δὲ τὸ λεπτὴν προσέθηκε πρὸς τὴν ὁμοίωσιν τῶν ἀλφίτων καὶ τὰ παραπλήσια. ἰσχνὴν δὲ τέφραν, τὴν ἐκ τῶν κεκαυμένων ξύλων κόνιν. οὐ ματαίως δὲ τὸ λεπτὴν προσέθηκε πρὸς τὸ ταύτην δεῖξαι παραπλήσιον τοῖς ἀλφίτοις. Κάμψας.] καμπύλον ποιήσας. ὥσπερ ὀγκίνων εἶδος. ὀρθοὶ γὰρ οἱ ὀβελίσκοι. καὶ Ὅμηρος. αὐτὰρ ἐπεὶ ῥώπτησε καὶ ἀμφ' ὀβελοῖσιν ἔπειρεν. ἀλλ' ἐπειδὴ ἐδέσμα ἦν οὐδὲν, F πρὸς τὸ ὀβελίσκου δεῖσθαι. πρὸς δὲ τὸ λαβεῖν, καὶ ἁρπάσαι τι καὶ κατασχεῖν τὸ καμφθῆναι τοῦτον ἦν χρήσιμον. ἔτι δὲ μᾶλλον εἰπεῖν ὅτι ὑφείλετο ὀρθὸν ὄντα φησὶ τὸν ὀβελίσκον ἔκαμψεν ἵνα δι' αὐτοῦ δυνηθῇ κλέψαι τὸ ἱμάτιον. τοιαῦτα γὰρ οἱ κλέπται μηχανῶνται, ἵνα ῥᾳδίως πόρρωθεν ἁρπάσωσιν ὃ βούλονται. Εἶτα διαβήτην λαβών.] ἐργαλεῖον ὁ διαβήτης, πολλαῖς εὔχρηστον τέχναις, τῷ λ στοιχείῳ παρεικός. τούτου τὸ ἓν ἐντεθέντες μέρος καὶ τὸ ἕτερον περιάγοντες καὶ χαράσσοντες τὸ ὑποκείμενον, τὸ ἴσον τηροῦσι διάστημα τοῦ κύκλου ἐκ τοῦ κέντρου. Ἐκ τῆς πα- G λαίστρας.] ὅμοιον τῷ ὑπὸ Εὐπόλιδος ῥηθέντι περὶ Σωκράτους. Στησιχόρου πρὸς τὴν λύραν οἰνοχόην ἔκλεψεν. ἐμφαίνει δὲ διὰ τούτου ὅτι παίδων ἤρα ὁ Σωκράτης. ἐν ταῖς παλαίστραις γὰρ τὰ πολλὰ ἐξητάζοντο ἵνα αὐτοὺς ὁρῴη. Ὑφείλετο.] τὸ τι παρ' ὑπόνοιαν ἐπήγαγεν. ἔδει γὰρ αὐτὸν εἰπεῖν μετέβαλεν αὐτὸν εἰς τὰ ἄλφιτα. ἄλ-
λως. δέον γὰρ αὐτὸν εἰπεῖν καὶ ἔγραψεν ᾧ τίνες προσέχοντες ὡς ἐπεστήσαμεν καὶ σχήματά τινα ἐπενοήσατο, εἰς ἃ πάντων ἡμῶν ὁ νοῦς καθάπερ κεχηνὼς τροφῆς ἐπελάθετο, ἐπήνεγκεν ὅτι ἀπὸ τῆς παλαίστρας ἔλαβε τὸ ἱμάτιον. διαβάλλει δὲ αὐτὸν ὡς περὶ τὰς παλαίστρας τῶν παίδων ἕνεκα διατρίβοντα. ἐκεῖ γὰρ ἐφοίτα ὡς γυμνοὺς τοὺς παῖδας ὁρῴη. ἄλλως. ἐπειδὴ οἱ τὰ γεωμετρικὰ θεωρήματα διδάσκοντες διαβήταις γράφουσι ταῦτα, φησὶν ὅτι ὀβελίσκον κάμψας. καὶ διαβήτου σχῆμα διαλαβὼν πάντας πρὸς αὐτὸν ἐπαγόμενος, ὑφεῖλε τὸ ἱμάτιον. Τί δῆτ' ἐκεῖνον τὸν Θαλῆν.] οὗτος ἐγένετο τῶν ἑπτὰ σοφῶν εἷς Μιλήσιος. ὃς πρῶτος τὰ περὶ οὐρανὸν ἐξεῦρε. παρατηρητέον δὲ, ὅτι ἀπ' εὐθείας τῆς ὁ Θαλῆς ὡς Ἑρμῆς, Ἑρμῆν Θαλῆν. καὶ Ἑρμέας, ὡς Θαλέας. διχῶς δὲ τοὔνομα ἐκφωνητέον. βαρύτονον μὲν, Θάλης ὡς Χρέμης, οὗ ἡ γενικὴ, Θάλητος ὡς Χρέμητος, Θάλητι Θάλητα. ὡς τὸ Θάλητα χρημάτων ἐλεύθερον. εἰ δὲ καὶ περισπωμένως Θαλῆς, ὡς Ἑρμῆς. καὶ Θαλοῦ, ὡς Ἑρμοῦ. ἄλλως. ὁ Θαλῆς οὗτος Μιλήσιος ἦν, εἷς τῶν ἑπτὰ σοφῶν, οὗτος ἄκρος μηχανικὸς ἦν. στρατεύσαντος γὰρ Κροίσου πρὸς Κῦρον, καὶ μὴ δυναμένης τῆς στρατιᾶς αὐτοῦ διαβῆναι τὸν Ἅλυν ποταμὸν μέγιστον ὄντα, τοιόνδε τι μηχανᾶται. ἄνω τῆς στρατιᾶς ἰὼν τέμνει τὸν ποταμὸν ἑτέρωσε ῥεῖν. οὐ πάντα, ἀλλὰ τὸ ῥεῖθρον αὐτοῦ σχισθὲν, τὸ μὲν ἓν εἰς τὴν ἀρχαίαν πορείαν ἐχώρει. θάτερον δὲ ὑπ' ἀγκάλης εἶχε τὴν στρατιάν. καὶ οὕτως ἐπεραιώθησαν. ἐποίησε δὲ τὴν εἰς δύο τομὴν, ἵνα καὶ ἐπανιόντες περαιωθήσωνται. Μαθητιῶ] ἀντὶ τοῦ μαθεῖν ἐπιθυμῶ. Ὦ Ἡράκλεις.] πεποίηκε γὰρ τὸ προσαχθὲν ὁ φιλόσοφος, καὶ ἀνέῳξε τὰς θύρας. ὁ δὲ εἰσελθὼν καὶ θεασάμενος αὐτοὺς ὠχροὺς καθημένους, ὡς ἀνθρώπων μορφὰς μὴ ἔχοντας, τεθαύμακε μὴ δὲ ὄψεις διὰ τὴν ὠχρότητα ἔχοντας. ὁρᾷ δὲ ὡς φιλοσόφους καμμύοντας στραφέντος τοῦ ἐγκυκλήματος.

Στρ. Τοῖς ἐκ Πύλου ληφθεῖσι τοῖς Λακωνικοῖς.
Ἀτὰρ τί ποτ' ἐς τὴν γῆν βλέπουσιν οὑτοιί;
Μα. Ζητοῦσιν οὗτοι τὰ κατὰ γῆς. Στρ. Βολβοὺς ἄρα
Ζητοῦσι, μὴ νῦν τοῦτό γε φροντίζετε.
Ἐγὼ γὰρ οἶδ' ἵν' εἰσὶ μεγάλοι καὶ καλοί.
Τί γὰρ οἵδε δρῶσιν, οἱ σφόδρ' ἐγκεκυφότες;
Μα. Οὗτοι δ' ἐρεβοδιφῶσιν ὑπὸ τὸν τάρταρον.
Στρ. Τί δῆθ' ὁ πρωκτὸς ἐς τὸν οὐρανὸν βλέπει;
Μα. Αὐτὸς καθ' αὑτὸν ἀστρονομεῖν διδάσκεται.
Ἀλλ' εἴσιθ', ἵνα μὴ 'κεῖνος ἡμῖν ἐπιτύχῃ.
Στρ. Μήπω γε, μήπω γ'. ἀλλ' ἐπιμεινάντων, ἵνα
Αὐτοῖσι κοινώσω τι πραγμάτιον ἐμόν.
Μα. Ἀλλ' οὐχ οἷόν τ' αὐτοῖσι πρὸς τὸν ἀέρα
Ἔξω διατρίβειν πολὺν ἄγαν γ' ἐστὶ χρόνον.
Στρ. Πρὸς τῶν θεῶν τί γὰρ τάδ' ἐστὶν εἰπέ μοι.
Μα. Ἀστρονομία μὲν αὑτηί. Στρ. Τουτὶ δὲ τί;
Μα. Γεωμετρία. Στρ. Τοῦτ' οὖν τί ἐστι χρήσιμον;
Μα. Γῆν ἀναμετρεῖσθαι. Στρ. Πότερα τὴν κληρουχικήν;
Μα. Οὔκ. ἀλλὰ τὴν σύμπασαν. Στρ. Ἀστεῖον λέγεις.

ST. Lacedamonius similes, captiuis è Pylo.
Sed terram cur ita intuentur cernui?
DI. Hi quaritant ea, quæ sunt terra. ST. Quaritant
Igitur bulbos. At pueri, huius rei ne satagite.
Ego enim noui melius, ubi sint magni & boni:
Sed hi quid agunt obstipo proni vertice?
DI. Erebum isti inquirũt, & quæ subsunt Tartaro.
ST. At podex illorum cur ita sursum aspicit?
DI. Addiscit ultrò contemplari sydera.
Sed ingredimini, ne is fortè in nos incidat.
ST. Minimè, minimè inquam: sed maneant hic, ut meum
Cum ipsis communicem quoddam negocium.
DI. At ipsis intolerabile prorsus est, diu
Morari in aere. ST. Per Deum te quæso, dic
Mihi, quid hæc sint? DI. Astronomia hæc est. ST. sed quid hoc?
DI. Geometria. ST. sed quam ad rem fiet hoc utile?
DI. Ad metiendum terram. ST. Eam nè, quæ datur
Sortitò? DI. Non, sed ad uniuersam. ST. Lepidè ais.

Σχόλια. Τοῖς ἐκ Πύλου ληφθεῖσι.] Πύλος, χωρίον τῆς Λακωνικῆς. ἔνθα Κλέων στρατηγήσας, ἔλαβεν αἰχμαλώτους προκατεργασαμένου τὸν πόλεμον Δημοσθένους καὶ Νικίου. εἰκὸς οὖν τούτους καὶ διὰ τὸν αἰχμαλωτισμοῦ φόβον καὶ διὰ τὸ πολλαῖς μὲν ἡμέραις πεπολιορκῆσθαι ἐν ἐρήμῃ νήσῳ καὶ ἀφ' ἧς οὐδὲν τῶν ἐπιτηδείων ἦν λαβεῖν, πολλῷ δὲ καὶ μετὰ τὴν ἅλωσιν συγκλεῖσθαι χρόνῳ δεδεμένους ἐν ξύλῳ, ὠχρούς τε καὶ ἰσχνούς, καὶ δυσειδεῖς γεγονέναι. ἰστέον δὲ ὅτι πρὸς ἐπωνυμίας εἶχε τότε. Πύλος. Κορυφάσιον. Σφακτηρία. ἄλλως. Πύλος. νῆσος πλησίον Πελοποννήσου. ταύτην ἐν τῷ Πελοποννησιακῷ πολέμῳ λάχης προκαταλαβὼν ὁ τῶν Ἀθηναίων στρατηγὸς, φρούριον ᾠκοδόμησεν. ὅθεν ἐξορμώμενος, τὴν παραλίαν ἐδῄου τῆς Λακωνικῆς, Λακεδαιμόνιοι δὲ οὖν καταλῦσαι τὸ φρούριον θέλοντες, ἐπέπλευσαν τῇ νήσῳ. καὶ παραστησάμενοι, ἄνδρας ἑπτακοσίους ἐντὸς τοῦ φρουρίου κατέλιπον. Ἀθηναῖοι οὖν ἔπεμψαν πολλήν τινα στρατιὰν κατὰ τῶν ἀνδρῶν τούτων μετὰ Κλέωνος στρατηγοῦ. ἐλθὼν οὖν ὁ Κλέων, μετὰ τῆς στρατιᾶς, καὶ πλεῖστον χρόνον τούτους πολιορκήσας, ὕστερον παρεστήσατο καὶ αἰχμαλώτους λαβὼν, Ἀθήναζε ἤγαγεν. οἳ, διά τε τὸν πολὺν λιμὸν ὃν ὑπέστησαν διὰ τῆς πολιορκίας, καὶ διὰ τὸ κατακλεισθῆναι Ἀθήνησιν εἰς εἱρκτὴν, πάνυ ὠχροὶ ἦσαν. Ἀτὰρ τί ποτε.] διὰ τί ἄρα. εἰσελθὼν δὲ ἐπὶ συνουσίᾳ κατέλαβε τοὺς περὶ Σωκράτην καθημένους. ἅτε φροντίζοντας περὶ τῆς ἐμπίδος. καὶ συγκεκυφότας εἰς γῆν. Βολβούς.] τὰ λεγόμενα ὕδνα. ἅ τινα τὴν γῆν σκάπτοντες εὑρίσκουσιν οἱ ἄνθρωποι. Ἐγὼ γὰρ οἶδ'.] ὡς ἀγροικός φησιν εἰδέναι τῶν περὶ Σωκράτην ἀκριβέστερον, ἔνθα οἱ βολβοὶ φύονται. Οἱ σφόδρ' ἐγκεκυφότες.] τοιαῦτα γὰρ τὰ τῶν ἄγαν φροντιζόντων. καὶ περὶ τὴν διάνοιαν ἐχόντων σχήματα. Ὅμηρος. στάσκεν, ὑπαὶ δὲ ἴδεσκε κατὰ χθονὸς ὄμματα πήξας. Ἐρεβοδιφῶσιν.] τὰ ὑπὸ ἔρεβος διφῶσι. τουτέστι τὰ ὑπὸ γῆν ζητοῦσι. ἐρευνῶσιν ἐξετάζουσι. τάρταρος δέ ἐστιν ὁ ὑπὸ γῆν κατώτατος τόπος. Τί δῆθ' ὁ πρωκτός.] ἴσως ἐντεῦθεν τοῦτο εἴληφεν ἐκ τῆς ἐμπίδος. ἐπεὶ κἀκείνην διὰ τοῦ πρωκτοῦ ᾄδειν ἔλεγεν, ἀστρονομεῖν διδάσκεσθαι λέγει. ἀνάγκη γὰρ συγκεκυφότων αὐτῶν καὶ εἰς γῆν ὁρώντων, ἄνω τὸν πρωκτὸν βλέπειν. Ἀλλ' εἴσιθ' ἵνα μὴ 'κεῖνος.] κατὰ τὸ σιωπώμενον ἄλλων ἐξεληλυθότων ἐκ τοῦ φροντιστηρίου, τοῖς φιλοσόφοις φησίν, ὅτι εἴσιτε ἀντὶ τοῦ εἰσέλθετε ἵνα μὴ ὁ Σωκράτης εὕρῃ ἡμᾶς ἐνταῦθα διατρίβοντας. τὸ δ' ἐκεῖνος, κατ' ἐξοχήν. ἄλλως. τὸ ἐκεῖνος τὸ αὐτὸς, ἀντὶ ὀνομάτων παραλαμβάνεσι. καὶ Ὅμηρος παρεισάγει τὴν Θέτιν λέγουσαν, τίπτε με κεῖνος ἄνωγε μέγας θεός. καὶ παρὰ Πυθαγορείοις τὸ αὐτὸς ἔφα, τουτέστιν ὁ Πυθαγόρας. καὶ ἐν τοῖς ἑξῆς αὐτός. ἤγουν ὁ Σωκράτης.

Bisetus. Ἐπιμεινάντων] ἀντὶ τοῦ ἐπιμεινάτωσαν. τοῦτο δὲ Ἀττικόν.

Σχόλια. Πρὸς τῶν θεῶν τί ταῦτα.] εἰσελθὼν ὁ πρεσβύτης ὁρᾷ τὰ τῶν φιλοσόφων σκεύη. ἄβακα ἢ σφαῖραν, ἢ ζωγραφίαν καὶ ἐρωτᾷ τί ἐστι. τουτὶ δὲ τί. διαγράμματά τινα καὶ πίνακας δείκνυσιν ἀστρονομικῶν καὶ γεωμετρικῶν. Πότερα τὴν κληρουχικήν.] ὡς ἄγροικος ταῦτά φησι. τὴν ἰδιωτικὴν τὴν ὑπὸ κλήρου διδομένην τοῖς πολίταις. ἐπειδὴ οἱ Ἀθηναῖοι λαμβάνοντες πόλιν πολεμίαν, καὶ τοὺς ἐνοικοῦντας ἐκβάλλοντες, κλήρῳ τὴν γῆν αὐτοῖς διένεμον. ἢ κληρουχικὴν ἐνταῦθα λέγει τὴν γεωργικήν. κληροῦχοι γὰρ οἱ γεωργοί, διὰ τὸ τοὺς Αἰγυπτίους κλήρῳ μερίζειν τὴν αὐτῶν γεωργίαν.

Τὸ γὰρ σόφισμα δημοτικὸν καὶ χρήσιμον.
Μα. Αὕτη δέ σοι γῆς περίοδος πάσης. ὁρᾷς;
Αἵδε μὲν Ἀθῆναι. Στρ. τί σὺ λέγεις; οὐ πείθομαι.
Ἐπεὶ δικαστὰς οὐχ ὁρῶ καθημένους.
Μα. Ὡς τοῦτ' ἀληθῶς Ἀττικὸν τὸ χωρίον.
Στρ. Καὶ ποῦ Κικυννῆς εἰσὶν οὑμοὶ δημόται;
Μα. Ἐνταῦθ' ἔνεισιν. ἡ δέ γ' Εὔβοι' ὡς ὁρᾷς
Ἡδὶ παρατέταται μακρὰ πόρρω πάνυ.
Στρ. Οἶδ'. ὑπὸ γὰρ ἡμῶν παρετάθη καὶ Περικλέους.
Ἀλλ' ἡ Λακεδαίμων ποῦ 'στιν. Μα. Ὅπου 'στιν, αὑτηί.
Στρ. Ὡς ἐγγὺς ἡμῶν. τοῦτο πάνυ φροντίζετε,
Ταύτην ἀφ' ἡμῶν ἀπαγαγεῖν πόρρω πάνυ.
Μα. Ἀλλ' οὐχ οἷόν τε νὴ Δί'. Στρ. Οἰμώξεσθ' ἄρα.
Φέρε. τίς γὰρ οὗτος οὑπὶ τῆς κρεμάθρας ἀνήρ;
Μα. Αὐτός. Στρ. τίς αὐτός; Μα. Σωκράτης. Στρ. Σώκρατες.
Ἴθ' οὗτος ἀναβόησον αὐτόν μοι μέγα.
Μα. Αὐτὸς μὲν οὖν σὺ κάλεσον. οὐ γάρ μοι σχολή.

A *Nam hoc commentum populare est, & perquàm utile.*
DI. Hic vniuersæ terræ est ambitus: viden?
Hæ sunt Athenæ. ST. Quid au? non credo: quia
Hic nusquam video considentes iudices.
DI. Atqui verißimum hoc est Atticum solum.
B *ST. Et vbi sunt populares mei Cicynnij?*
DI. Hic insunt. Hæc Eubœa est, vt tumet vides:
Ea admodum est distracta in longitudinem.
ST. Scio, nam à Pericle & nobis distracta est male.
Sed vbinam Lacedæmon sita 'st? DI. Isthic sita 'st.
ST. Vt prope nos adiacet: at vos huc incumbite,
C *Vt illam à nobis ducatis longißimè.*
DI. Sed, per Iouem, fieri nequit. ST. Ergò flebitis.
Age verò, quisnam hic est, qui Calatho insistit huic?
DI. Ipse 'st. ST. Quis ipse? DI. Socrates. ST. Hem Socrates?
D *Abi tu, & alto clamore illum huc mihi voca.*
DI. Tute ipse voca: nam mihi nunc non est ocium.

Σχόλια. Τὸ γὰρ σόφισμα δημοτικόν] οἴεται πρὸς γεωργίαν εἶναι τοῦτο χρήσιμον, ἢ τοιοῦτόν τι δημοφιλὲς μάθημα τῷ δήμῳ συμφέρον. Αἵδε μὲν Ἀθῆναι] χωρογραφίαν δείκνυσιν αὐτῷ τινὲς ἔνθεν ἕως τοῦ οἴμοι δημόται, τοῦ γέροντός φασιν. ἔνιοι δὲ διαιροῦσι. καὶ καθ' ἐρώτησιν δεῖ εἶναι τὸ τοῦ φιλοσόφου. καὶ ἐν ἀποφάσει διώκεται τὸ δὲ ἑξῆς, ὡς τοῦτ' ἀληθὲς ἐν ἐρωτήσει. ὡς τοῦτό σοι δοκεῖ Ἀττικὸν χωρίον, ἐν ᾧ καθήμενοι δικάζουσιν. Ἐπεὶ δικαστὰς οὐχ ὁρῶ.] κατηγορεῖ Ἀθηναίων ἐνταῦθα, ὡς ἀεὶ τὰ δικαστήρια μόνα ἠσχολημένων, καὶ τοῦ στρατεύειν ἀμελούντων. τοῦτο δὲ καὶ Δημοσθένους ἐστὶν ὅτι [illegible]. Ἡδί] αὕτη, ἡ Εὔβοια. Τὸ δὲ παρατέταται μακρὰ διὰ τὸ σχῆμα. λέγω δὲ τὸ ἐπίμηκες τοῦ σχήματος. διὸ καὶ Μάκρις ἐκαλεῖτο. ἐπιμήκης γὰρ ἐστι. κλίνεται δὲ ἡ Μάκρις αὕτη διὰ καθαροῦ τοῦ ο. διὸ καὶ ὁ πολίτης αὐτῆς Μακρεύς. ἦν δὲ καὶ Λιβύη [illegible], ἐλέγετο δὲ Μάκρις, ἡ τῶν Κυκλάδων μία ἡ Ἴκαρος. ἀφ' ἧς [illegible] καὶ τὸ Ἰκάριον πέλαγος. Ὑπὸ γὰρ ἡμῶν παρετάθη.] εἰς φόρον ἐξετάθη, πλεῖστα φόρον παρέχουσα. [illegible] Ἀθηναῖοι κρατήσαντες αὐτῆς. πρὸς τὸν χρόνον δὲ ἀπήντησεν [illegible] τοῦ πολέμου τὸ σχῆμα τῆς λέξεως [illegible] τοῦ φιλοσόφου. ἐπολιόρκησαν δὲ αὐτὴν Ἀθηναῖοι μετὰ Περικλέους, καὶ μάλιστα Χαλκιδέας καὶ Ἐρετριέας [illegible] Περικλέους δὲ στρατηγοῦντος, καταστρέψασθαι αὐτήν φησι Φιλόχορος. καὶ τὴν μὲν ἄλλην ἐπὶ ὁμολογίας κατέστησαν Ἀθηναῖοι. Περικλῆς γὰρ αὐτὴν ὑπὸ τοὺς Ἀθηναίους ἐποίησεν ἐν πολέμῳ νικήσας τοὺς Ἄβαντας. διὸ παρετάθη τοῖς φόροις καὶ ὑπεφορτίσθη. ὡς τῶν Ἀθηναίων ἐπιτεινάντων τοὺς φόρους αὐτῇ. ἄλλως. τοῦτό φησιν ὁ Στρεψιάδης οὐ νοήσας τὸ παρατέταται τοῦ μαθητοῦ λέγοντος τὸ παρατέταται μακρὰ πόρρω πάνυ, ὅτι νοεῖ. ὁ μὲν γὰρ τοῦτο εἴρηκεν, ὅτι μακρὰ καὶ ἐπιμήκης ἡ Εὔβοια. ὁ δὲ ἐπὶ αὐξήσεως τῶν φόρων ἐξέλαβε. στρατηγήσας γὰρ Περικλῆς τὴν Εὔβοιαν ἐξέτεινε τοὺς αὐτῆς φόρους ἐπὶ πολύ. τοῦτο ἔδοξε τῷ Στρεψιάδῃ νοεῖν τὸ παρατέταται μακρὰ πόρρω πάνυ. καὶ διὰ τοῦτό φησιν, οἶδα· ὑπὸ γὰρ ἡμῶν καὶ Περικλέους παρετάθη. Τοῦτο πάνυ φροντίζετε.] τοῦτο λέγει, ὅτι προσέκειτο Ἀθηναίοις. χρῆται μέγα, ἀντὶ τοῦ μεγάλως. τὸ δὲ φροντίζετε, ἀντὶ τοῦ μεταβουλεύεσθε. ἐγγὺς ἡμῶν, διὰ τοῦτό φησι διὰ τὸ ἐν χωρογραφίᾳ συνεγγὺς παρεῖναι. ἐπεὶ οὐκ εἰσὶν οὕτως ἀσυγγείτονες. Φέρε τίς γὰρ οὗτος οὑπὶ τῆς κρεμάθρας.] ἀντὶ τοῦ ὑπό. Ἀττικὴ δὲ ἡ σύνταξις. κατὰ δὲ διάνοιαν εἰ προστάσσεται, σημαίνει πλεῖστα τὸ φέρε. νῦν μὲν οὖν τὸ ἄγε δηλοῖ. ἐν ἄλλοις δὲ σημαίνει ἄλλο τι, ὥσπερ Δημοσθένης. φέρε ἂν ἡμᾶς ἀπαιτήσωσιν οἱ Ἕλληνες ὧν νῦν παρήκαμεν καιρῶν. ἐνταῦθα γὰρ βούλεται λέγειν, ὅτι ὑποθέμεθα. κρεμάθρα δὲ λέγεται, διὰ τὸ μετέωρον εἶναι αὐτὴν κρεμαμένην. ἔστι δὲ σκεῦος εἰς ὃ τὰ περιττεύοντα ὄψα εἰώθαμεν ἀποτίθεσθαι. ἄλλως. παρεγκύκλημα. δεῖ γὰρ κρεμᾶσθαι τὸν Σωκράτην ἐπὶ κρεμαστῇ καθήμενον. καὶ τοῦτον εἰσελθόντα καὶ θεασάμενον αὐτόν, οὕτω πυθέσθαι. κρεμαστὴ δὲ λέγεται, διὰ τὸ οὕτως αὐτὴν ἀεὶ μετέωρον εἶναι κρεμαμένην. γελοῖον δὲ ἔχειν, ἐν τῷ τοιούτῳ περιηγεῖσθαι αὐτὸν σχήματι. Αὐτός.] τιμῶν τὸν διδάσκαλον οὐκ εἶπε πρῶτον τὸ ὄνομα. Ἀναβόησον.] τῷ μαθητῇ λέγει ὁ Στρεψιάδης καὶ τοῦτο. ὁ δὲ ὡς ἤκουσέ μου, αὐτὸς σὺ βόησον.

ΔΡΑΜΑΤΟΣ ΤΟΥ ΠΡΩΤΟΥ Σκηνὴ γʹ.

ACTVS I. SCENA III.

ΣΤΡΕΨΙΑΔΗΣ, ΣΩΚΡΑΤΗΣ.

STREPSIADES, SOCRATES.

BISETVS. Ὁ Στρεψιάδης τὸν Σωκράτην καλεῖ, τῆς ἑαυτοῦ παρουσίας αἰτίαν αὐτῷ δηλοῖ, τὴν τῆς μαθήσεως ἐπιθυμίαν, καὶ μισθὸν ὑπισχνεῖται.

Στρ. Ὦ Σώκρατες.
Ὦ Σωκρατίδιον. Σω. τί με καλεῖς ὦ 'φήμερε.
Στρ. Πρῶτον μὲν ὅ, τι δρᾷς ἀντιβολῶ κάτειπέ μοι.
Σω. Ἀεροβατῶ καὶ περιφρονῶ τὸν ἥλιον.
Στρ. Ἔπειτ' ἀπὸ ταῤῥοῦ τοὺς θεοὺς ὑπερφρονεῖς.
Ἀλλ' οὐκ ἀπὸ τῆς γῆς εἴπερ. Σω. Οὐ γὰρ ἄν ποτε
Ἐξεῦρον ὀρθῶς τὰ μετέωρα πράγματα.
Εἰ μὴ κρεμάσας τὸ νόημα, καὶ τὴν φροντίδα
Λεπτὴν καταμίξας ἐς τὸν ὅμοιον ἀέρα.
Εἰ δ' ὢν χαμαὶ, τἄνω κάτωθεν ἐσκόπουν,
Οὐκ ἄν ποθ' εὗρον. οὐ γὰρ ἀλλ' ἡ γῆ βίᾳ
Ἕλκει πρὸς αὑτὴν τὴν ἰκμάδα τῆς φροντίδος
Πάσχει δὲ ταὐτὸ τοῦτο καὶ τὰ κάρδαμα.
Στρ. Τί φῄς; ἡ φροντὶς ἕλκει τὴν ἰκμάδ' εἰς τὰ κάρδαμα;
Ἴθι νῦν. κατάβηθ' ὦ Σωκρατίδιον ὡς ἐμὲ,
Ἵνα μ' ἐκδιδάξῃς ὧν περ οὕνεκ' ἐλήλυθα.

Hem Socrates.
Hem Socratisce. SO. *Quem vocas tu, qui in diem es?*
ST. *Quaeso te, dic hoc primum mihi, quid rei geras.*
SO. *In aere incedo, & Solem sic intuor.*
ST. *Deinde ex alto calatho despectas Deos:*
Nequaquam verò è terra. SO. *At enim nunquā ego prius*
Sublimiora inuestigaui, vt decet,
Nisi suspensa foret animi intelligentia,
Et cogitatio tenuis in aerem
Consimilem permista: At si humi consisterem,
Et, quae supra, deorsum contemplarer, nihil
Vnquam subtile reperirem. Etenim vi sua
Tellus humorem noticiae ad se detrahit:
Quod idem solet accidere, vt aiunt, nasturtio.
ST. *Quid ais? noticia humorem ad nasturtia trahit?*
Age nunc, descende ad me ocyus, mi Socrates:
Vt ea me doceas, quorum adueni gratia.

Σχόλια. Τί με καλεῖς ὦ 'φήμερε.] ἀντὶ τοῦ ὦ θνητέ. ὦ ἐφήμερα φρονῶν καὶ ὑπερφρονῶν τὰ τῶν ἀνθρώπων. ἄλλως. ὦ ἄνθρωπε. ἐπλάττετο δὲ ὁ Σωκράτης τὴν ὄψιν. Σειληνῷ παρεμφαίνειν. σιμός τε γὰρ καὶ φαλακρὸς ἦν. περιέθηκεν οὖν αὐτῷ διὰ τῶν παρὰ Πινδάρῳ Σειληνοῦ φωνήν. ὁ γάρ τοι Πίνδαρος διαλεγόμενον παράγων τὸν Σειληνὸν τῷ Ὀλυμπίῳ, τοιούτους αὐτῷ περιέθηκε λόγους. ὦ τάλας ἐφήμερε. νήπιε βάζεις χρήματά μοι διαπομπεύων. ἅμα δὲ ὡς ὑπερηφανοῦντος τοῦ Σωκράτους τὰ ἀνθρώπινα, καὶ ἐν θεοῖς ὄντος αὐτοῦ διότι μετεωρολέσχης ἦν, οὕτως ἐφήμερον ἐποίησεν αὐτὸν καλοῦντα τὸν γέροντα. Ἀεροβατῶ καὶ περιφρονῶ τὸν ἥλιον.] ἀντὶ τοῦ περιεργάζομαι τὸν ἥλιον. τὸν τούτου δρόμον ἐπιβαίνω τῷ αἰθέρι διὰ τοῦτο γὰρ καὶ μετέωρον αὐτὸν ἐποίησε αἰωρούμενον. ἔχει δὲ ἅμα καὶ τὸ τοῖς πολλοῖς ἀσεβὲς διὰ τῆς λέξεως. ἴσον γὰρ τῷ καταφρονῶ. ἄλλως. ὅτι περιφρονῶ εἶπε καὶ οὐ περισκοπῶ. ἐν ἐπειδὴ τὸ περιφρονῶ, διπλοσημαντόν ἐστι. καὶ ἀντὶ τοῦ περισκοπῶ. καὶ ἀντὶ τοῦ περιφρονῶ, ἀμφότερα εἰς τὸν Σωκράτην νοεῖται. ὅτι τε ἀέρα καὶ ἥλιον καὶ νεφέλας καὶ τὰ τοιαῦτα ἐφρόντιζε καὶ ἐφιλοσόφει. καὶ ὅτι ὡς θεῖον ἑαυτὸν ἡγεῖτο, καὶ ὑπὲρ αὐτὸν μόνον τὸν ἥλιον. ὁ Στρεψιάδης δὲ, ἀντὶ τοῦ καταφρονῶ μόνον ἐνόησεν. Ἔπειτ' ἀπὸ ταῤῥοῦ.] Ἀττικῶς τὰ ἐξ οἰσύων πλέγματα ταῤῥοὶ καλεῖται. τοὺς γὰρ καλάθους τοὺς γεωργικοὺς, ταλάρους καλοῦσι. νῦν δὲ τὴν κρεμάθραν οὕτως ἐκάλεσεν, ἐφ' ἧς ὁ Σωκράτης ἐκρέματο. ἄλλως. ταῤῥός. μετέωρόν τι ἰκρίον. ἐφ' ἧς ἀλεκτοειδὲς κοιμᾶται. ἐφη δὲ ὑπερφρονεῖς ἀντὶ τοῦ εἰπεῖν περινοεῖς καὶ περισκοπεῖς. ἵνα διαβάλῃ τὸν Σωκράτην ὑπερφρονοῦντα τῶν θεῶν. Ἀλλ' οὐκ ἀπὸ τῆς γῆς εἴπερ.] ἀλλ' οὐκ ἀπὸ τῆς γῆς ἦν δυνατὸν ἄνθρωπον ὄντα διαγνῶναι τὰ θεῖα. Ἐξεῦρον ὀρθῶς.] ἀκριβῶς. Τὰ μετέωρα.] τὰ ὑψηλὰ καὶ οὐράνια. περὶ τούτων γὰρ τοῖς φιλοσόφοις τὰ ζητήματα. ἐπὶ τῆς γῆς δηλαδὴ ἐπιβεβηκώς. ψυχρὰ δὲ ἡ αἰτία, ἣν ὁ Σωκράτης λέγει. Λεπτὴν καταμίξας εἰς τὸν ὅμοιον ἀέρα.] ἀπολογεῖται πρὸς τὴν ἐρώτησιν τοῦ γέροντος ὁ Σωκράτης, λέγων τὴν αἰτίαν δι' ἣν κρεμάμενος, ἀλλ' οὐκ ἀπὸ τῆς γῆς φησὶ περιθεῖν [illegible] μετέωρα πράγματα. ὅμοιον δὲ εἶπε τὸν ἀέρα ἀντὶ τοῦ ὁμοιολεπτομερῆ. ψυχρὰν δὲ καὶ ματαίαν αὐτῇ ἐπενήνεχε παρέχοντα λύσιν. Οὐ γὰρ ἀλλ' ἡ γῆ βίᾳ.] ἀντὶ τοῦ καὶ γάρ. ἀρχαϊκῶς. Καλλίμαχος. ἀκούσατε Ἱππώνακτος. οὐ γὰρ ἀλλ' ἥκω. ἀντὶ τοῦ καὶ γὰρ ἥκω. Τὴν ἰκμάδα.] τουτέστι τὸ νοητικὸν καὶ γονιμώτατον (aut, γνωστικόν) τῆς ψυχῆς. φασὶ γὰρ οἱ φιλόσοφοι καὶ περὶ τὴν κρᾶσιν τῶν ἀέρων τὸ ὀξύτερον, ἢ τὸ ἀραιότερον ἐπιβάλλειν τοῖς θείοις. διαπαίζει δὲ τοὺς φιλοσόφους ἡ κωμῳδία. λόγος γὰρ παρ' ἐκείνοις, ὡς ὄντως ἐπισπᾶται εἰς ἑαυτὴν τὰς ὑποκειμένας ὑγρότητας ἡ γῆ. τὸ δὲ πάσχειν οὐ μόνον ἐπὶ τῶν πασχόντων τι λέγεται. ἀλλὰ καὶ ἐπὶ τῶν ποιούντων. καὶ γὰρ οἱ ποιοῦντες, τρόπον τινὰ καὶ αὐτοὶ πάσχουσι πάθος αὐτὸ τὸ ποιεῖν. τὰ οὖν κάρδαμα τὴν τῶν παρακειμένων αὐτοῖς βοτανῶν ὑγρότητα εἰς ἑαυτὰ ἕλκοντα, ξηρὰς αὐτὰς καταλείπει. καὶ ἔστι τοῦτο αὐτῶν πάθος. Καὶ τὰ κάρδαμα.] εἶδος βοτάνης ἀγρίας παρὰ Πέρσαις. νῦν δὲ, τὴν Σκάφην λέγει. ταῦτα δὲ τῶν περὶ αὐτὰ φυομένων λαχάνων τὴν δριμύτητα ἐπισπᾶται. καὶ πᾶν τὸ ἐν ἐκείνοις ὑγρὸν ἐπισπώμενον, αἴτιον τοῦ ξηραίνεσθαι καθίσταται. Ἡ φροντὶς ἕλκει.] δέον εἰπεῖν. ἡ γῆ ἕλκει τὰ κάρδαμα. ὁ δὲ ὡς ἰδιώτης συνέχεε τὴν φράσιν. καὶ ἀσαφὲς ἐποίησε τὸ δηλούμενον. τοῦτο δὲ πρὸς τὴν τοῦ Στρεψιάδου ἀμαθίαν ἐπιτηδείως ὁ ποιητὴς ἐποίησεν ἀδιανόητον.

Σω. Ἦλθες

A Σω. Ηλθες δὲ κατὰ τί; Στρ. Βουλόμενος μαθεῖν λέγειν,
Υπὸ γὰρ τόκων, χρήστων τε δυσκολωτάτων,
Αγομαι, φέρομαι, τὰ χρήματ' ἐνεχυράζομαι.
Σω. Πόθεν δ' ὑπόχρεως σαυτὸν ἔλαθες γενόμενος;
B Στρ. Νόσος μ' ἐπέτριψεν ἱππική, δεινὴ φαγεῖν.
Αλλά με δίδαξον τὸν ἕτερον τοῖν σοῖν λόγοιν,
Τὸν μηδὲν ἀποδιδόντα. μισθὸν δ' ὅντιν' ἂν
Πράττῃ μ', ὀμοῦμαί σοι καταθήσειν τοὺς θεούς.
Σω. Ποίους θεοὺς ὀμεῖ σύ; πρῶτον γὰρ θεοὶ
C Ημῖν νόμισμ' οὐκ ἔστι. Στρ. Τῷ γὰρ ὄμνυτ'; ἢ
Σιδαρέοισιν ὥσπερ ἐν Βυζαντίῳ;
Σω. Βούλει τὰ θεῖα πράγματ' εἰδέναι σαφῶς,
Ατ' ἐστὶν ὀρθῶς; Στρ. Νὴ Δί' εἴπερ ἐστί γε.
Σω. Καὶ ξυγγενέσθαι ταῖς Νεφέλαισιν εἰς λόγους,

A *SO. Cuius tu igitur aduenisti gratia? ST. Volo*
Dicendi artem discere: nam ab vsuris malis
Et vsurariis quàm difficillimis
Agor, feror, & bona mea miserè oppignero.
SO. At obaratus cùm esses: teipsum quomodo
B *Ignorâsti? ST. Morbus equestris me perdidit,*
In deuorando vehemens. Sed tu me alterum
Condocefacito è magnis sermonibus tuis,
Qui debita non reddit: mercedem me dare,
Quamcunque pactus fueris, obtestor Deos.
SO. Quosnam Deos testaris? nam primùm Dei
C *Nobis non sunt recepto more. ST. Quomodo*
Iuratis igitur? an per nummos ferreos,
Sicut Bizantii? SO. Vin' tu res cœlicas
Clarè perdiscere: & quales sint cognoscere?
ST. Volo equidem, per Iouem: si tales sunt modò.
SO. Etiam cum Nubibus in colloquio congredi,

Σχόλια. Ηλθες δὲ κατὰ τί.] ἐντεῦθεν κατέρχεται κατὰ τὸ συνεσπασμένον. φθάσαντι δὲ αὐτῷ, λέλεκται ἐν εἰρωνείᾳ. καὶ ἐκ τοῦ ὄκνου τοῦ αὐτοῦ μνημονεύειν Αριστοφάνης. Υπὸ γὰρ τόκων.] ὅτι χρήστας Αριστοφάνης τοὺς δανειστὰς λέγει. ἡ μὲν γὰρ συνήθεια, τοὺς χρεωφειλέτας, χρήστας καλεῖ. Αθηναῖοι δὲ τοὺς μὲν δανειστὰς χρήστας λέγουσι, τοὺς δὲ ὀφειλέτας, χρεωφειλέτας καὶ χρεώστας. Φωκυλίδης ἐν μὲν τοῖς αὐτοῦ ποιήμασι κατὰ τὴν συνήθειαν, τοὺς χρεωφειλέτας χρήστας καλεῖ, λέγων οὕτως. χρήστης κακοῦ ἔμμεναι ἀνδρὸς φεύγε. μή σ' ἀνιήσει διδοὺς παρὰ καιρὸν ἀπαιτέων. ἐν ἐκείνῳ μέντοι ἀντὶ τοῦ δανειστὴς λαμβάνεται. μηδέποτε χρήστης πικρὸς γένῃ ἀνδρὶ πένητι. Τὰ χρήματ' ἐνεχυράζομαι.] τουτέστιν εἰς ἐνέχυρον ἀφαιροῦμαι τὴν ἐνυπάρχουσαν οὐσίαν. οἷον ἱμάτια καὶ σκεύη καὶ ἄλλα. Πόθεν δ' ὑπόχρεως σαυτὸν ἔλαθες.] ὡς ὑπὸ νοσήματος τινὸς οὕτως εἰσήγαγε τὸν λόγον. εἰώθαμεν γὰρ ἐν τῇ συνηθείᾳ πυνθανόμενοι τῶν καμνόντων λέγειν, πόθεν δὲ συνέβη γενέσθαι τὴν νόσον. διὸ κἀκεῖνος ἑξῆς λέγει, νόσος μ' ἐπέτριψεν ἱππική. ἐκ ποίας δέ τινός φησιν αἰτίας, ἔλαθες σεαυτὸν, πολλοῖς ὑποπεσὼν δανείοις. Νόσος μ' ἐπέτριψεν.] ἔστι γὰρ ὡς ἀληθῶς νόσος, καὶ τὸ ἵππους τρέφειν. δαπανηρὸν γὰρ καὶ μὴ ἔχον τοὺς καρποὺς ἀξίους τοῦ ἀναλώματος. Επέτριψε δ' οἷον ἐξέτριψε καὶ κατεδαπάνησε. Δεινὴ φαγεῖν.] καταναλῶσαι. δεινή. δαπανηρά. ἅμα δ' ὅτι τὰ δυσαπάλλακτα τῶν σιτίων νόσων πρόξενα γίνεται. Ομοῦμαί σοι.] ἀντὶ τοῦ, ὃν συνθῶμαι μισθόν σοι τελεῖν, ὄμνυμι τοὺς θεοὺς τοῦτόν σοι δώσειν. τοῦτο δὲ εἶπεν, ἵνα διαβάλλῃ αὐτόν.

G BISETVS. Αμφιβολία δὲ, ὡς καὶ διπλῆ τούτων σύνταξίς ἐστι. καὶ γὰρ ταῦτα δύναται λαμβάνεσθαι ὡς ἐν τοῖς παλαιοῖς σχολίοις ἔχομεν. ἢ οὕτως, ὀμοῦμαι τοὺς θεοὺς, ἐμὲ καταθήσειν σοι μισθὸν, ὅντινα πράττῃ με, εἴ τι ἐκπράττῃ ἂν ἐμέ.

Σχόλια. Ποίους θεούς.] ταῦτα ἴσως αἰνίττεσθαι δύναται πρὸς τὴν διαβολὴν τοῦ Σωκράτους, ἣν τινες διέ-

D βαλλον αὐτὸν ὡς ἀσεβεῖ. λέγοντες παρὰ τὸ θεῖον ὀμνύναι, νὴ τὸν ἀλεκτρυόνα καὶ τὴν πλάτανον. καὶ ἄλλα τοιαῦτα. ὡς ἐν τοῖς ἀπομνημονεύμασι Ξενοφῶν ἱστορεῖ λέγων οὕτως. πολλάκις ἐθαύμασα τίσι ποτὲ λόγοις ἔπεισαν Αθηναίους οἱ γραψάντες Σωκράτη ὡς ἄξιος εἴη θανάτου τῇ πόλει. εἶθ' ὑποβὰς ὀλίγον, ἀδικεῖ γάρ φησι Σωκράτης τοὺς νέους διαφθείρων, καὶ ξένα δαιμόνια εἰσάγων. ἤτοι οὖν εἰς τέλεον ἀναιροῦντος αὐτοῦ θεοὺς, τὸν λόγον ἐκδεκτέον. ἢ ὡς πολυπραγμονοῦντος ποῖον ὁμόσει γένος θεῶν γεγονέναι. πρῶτον μὲν, τοὺς κατὰ Οφίωνα καὶ
E Εὐρυνόμην, δεύτερον δὲ τοὺς κατὰ Κρόνον καὶ Ρέαν. οὕς τινας Ομηρος οὐρανίωνας. τρίτον δὲ Διὶ τὴν ἀρχὴν καταλύσαντας τὴν ἐκείνων, οὓς ὀλυμπίους καλοῦμεν. ἄλλως. τοῦτό φησιν, ἐπεὶ ἐκεῖνος ὁ γέρων ἀσυναρτήτως εἶπεν, ὡς νομίσματα αὐτῷ καταθήσειν τοὺς θεοὺς, ἅμα ἐπιφέρει, τὸ ποίους ὀμεῖ σὺ θεούς. οὐχ ὡς ἄλλοις αὐτὸς χρώμενος θεοῖς, ἀλλ' ὅτι ὤμοσεν ὡς νόμισμα καταθήσειν τοὺς θεούς.

BISETVS. Πρῶτον γὰρ θεοί.] καὶ τοῦτο ἀμ-
F φίβολον. καὶ γὰρ ταῦτα τούτοις ἰσοδυναμεῖ. πρῶτον γὰρ οὔ τινας θεοὺς ἔχομεν νόμισμα. τουτέστιν οὐδένα θεὸν σέβομεν ὄντα νόμισμα. ἢ, οὐδένα θεὸν ἔχομεν, ὃς νόμισμα εἴη, καὶ νόμισμα καλοῖτο. ἢ καὶ οὕτως. ἡμεῖς γὰρ κατὰ τὸ ἡμέτερον νόμισμα, καὶ ἔθος, οὐδένα θεὸν ἔχομεν, οὐδένα θεὸν νομίζομεν ἐκείνων, οὓς ἡ πόλις νομίζει, καὶ σέβει. τὸ δὲ ἡμῖν συνεκδοχικῶς ἐτέθη, ἀντὶ τοῦ, ἐμοὶ τῷ Σωκράτει, ἢ καὶ τὸ ἡμῖν ἁπλῶς νοητέον, ἀντὶ τοῦ, ἐμοὶ τῷ Σωκράτει, καὶ τοῖς ἐμοῦ μαθηταῖς.

Σχόλια. Σιδαρέοισιν.] τοῦ νομίσματος σημαίνοντος
G δύο, τό τε νόμιμον ἔθος καὶ τὸ τύμμα τοῦ τετυπωμένου χαλκοῦ ἢ χρυσοῦ. ἐπὶ τοῦ χαλκοῦ ὁ Στρεψιάδης ἐδέξατο. καὶ οὐ πρὸς τὸ ὑπὸ Σωκράτους ῥηθὲν ἀπήντησεν. ἀλλ' ἔμιξεν ἀμφότερα. ἔδει γὰρ εἰπεῖν τίσιν ὄμνυτε θεοῖς. ἢ τίσι χρῆσθε νομίσμασι. λεπτοῖς δὲ νομίσμασι φαίνονται κεχρῆσθαι Βυζάντιοι. διὸ καὶ δυσεικῶς εἶπεν. ἔνιοι δὲ κατὰ πολυμάθειαν δεικνύουσιν. Πλάτων Πεισάνδρῳ. χαλεπῶς ἂν οἰκήσαιμεν ἐν Βυζαντίοις. ὅπου σιδαρέοισι νομίσμασι

χρῶνται. ἄλλως. δοκεῖ τὸ τῶν Βυζαντίων νόμισμα, A ἐλάχιστον εἶναι πάντων καὶ φαυλότατον, ἀλλὰ σιδηροῦν ὑπάρχον. ἢ ὅτι ἐκεῖ μέταλλον ἦν, ἐν ᾧ ὤμνυον. Βουλόμενα θεῖα

πράγματ'.] οὐχ ὡς θεοὺς ἡγούμενος τοὺς παρὰ τοῖς ἄλλοις νομιζομένους τὰ θεῖα λέγει οὕτως, ἀλλ' εἰσὶ, τὰ ἀξιοθέατα καὶ ὄντως μεγάλα καὶ τίμια.

Ταῖς ἡμετέραισι δαίμοσιν; Στρ. Μάλιστά γε.
Σω. Κάθιζε τοίνυν ἐπὶ τὸν ἱερὸν σκίμποδα.
Στρ. Ἰδοὺ κάθημαι. Σω. Τουτονὶ τοίνυν λαβὲ
B Τὸν στέφανον. Στρ. Ἐπὶ τί στέφανον; οἴμοι Σώκρατες.
Ὥσπερ με τὸν Ἀθάμανθ' ὅπως μὴ θύσετε.
Σω. Οὔκ, ἀλλὰ πάντα ταῦτα τοὺς τελουμένους
Ἡμεῖς ποιοῦμεν. Στρ. Εἶτα δὴ τί κερδανῶ;
Σω. Λέγειν γενήσει τρῖμμα, κρόταλον, παιπάλη.
C Ἀλλ' ἔχ' ἀτρέμας. Στρ. Μὰ τὸν Δί' οὐ ψεύσει γέ με,
Καταπαττόμενος γὰρ παιπάλη γενήσομαι.

Nostris Deabus? ST. *Imò maximè volo.*
SO. *Age, conside hoc in lecto discubitorio.*
ST. *En consideo.* SO. *Hanc coronam à me primum accipe.*
ST. *Quorsum coronam? væ mihi Socrates: modò*
Ne sacrificetis me, tanquam Athamanta alterum.
SO. *Non, sed quos initiamus, illis omnia*
Isthæc facimus. ST. *Sed lucri quid nam hinc aufero?*
SO. *Fies in dicendo tritus, crepitaculum,*
Pollen: quiesce modo. ST. *Non fallis per Iouem:*
Nam si ita conspergar, mox redigar in pollinem.

Σχόλια. Δαίμοσιν.] ὡς εἰ ἔλεγε τοῖς καπνοῖς. ταῖς σκιαῖς ταῖς ἡμετέραις θεαῖς. τὰ γὰρ μηδενὸς ἄξια καπνοὺς καὶ σκιὰς καὶ νεφέλας ὀνομάζομεν. Εὔπολις ἐν Αὐτολύκῳ, καπνοὺς ἀποφαίνει καὶ σκιάς. ἁρμοζόντως δὲ τῶν φιλοσόφων ἐπιγράφει ταύτας εἶναι θεάς, ἐπειδὴ ὡς εἰ- D ρημένον, περὶ τὰ οὐράνια μᾶλλον ἐπτόηνται. Σκίμποδα.] τὸν κράβατον σκίμποδα λέγουσιν Ἀττικοί. οἱ δὲ φασὶ σκιμπόδιον. ἰδίως δὲ λέγουσι τὸ χωλὸν κραβάτιον. σκιμπάζειν γὰρ τὸ χωλαίνειν παρὰ τοῖς παλαιοῖς εἴρηται, παρὰ τὸ σκαμβὰς ἔχειν τοὺς πόδας.

BISETVS. Ἐνταῦθα δέ φησι Σουίδας ἱερὸν σκίμποδα λέγεσθαι, ἢ τὴν τῶν φιλοσόφων καθέδραν, ἢ κράββατον. καλεῖσθαι τὸν αὐτὸν τὸ σκιμπόδιον ἰδίως λέγεται τὸ χωλοκράββατον μιᾷ λέξει καλούμενον.

E Σχόλια. Τουτονὶ τοίνυν λαβέ.] καὶ τοῦτο παρεπιγραφή. καὶ γὰρ τὸν Σωκράτη περικεῖσθαι δεῖ τὸν στέφανον αὐτοῦ, κἀκεῖθεν λαβεῖν. Ὥσπερ με τὸν Ἀθάμανθ'.] Ἀθάμας ἐκ Νεφέλης δύο παῖδας ἔσχεν, Φρίξον καὶ Ἕλλην. ἀφεὶς οὖν τὴν Νεφέλην θεὰν οὖσαν, θνητῇ γυναικὶ ἐμίγη. ζηλοτυπήσασα οὖν ἡ Νεφέλη, ἀπίπτη εἰς οὐρανὸν, καὶ τὴν τοῦ ἀνδρὸς χώραν αὐχμῷ ἐκόλαζε. πέμπει οὖν θεωροὺς εἰς Ἀπόλλωνα Ἀθάμας, ἐρέσθαι περὶ τοῦ αὐχμοῦ. ἡ οὖν τούτου γυνὴ θέλουσα Φρίξον καὶ Ἕλλην ἀπολωλέναι, πείθει διὰ δώρων τοὺς θεωροὺς εἰπεῖν F Ἀθάμαντι, ὡς οὐκ ἂν ἄλλως παύσασθαι τὸν αὐχμὸν ἔχρησεν ἡ Πυθία, εἰ μὴ τοὺς τῆς Νεφέλης θύσειεν παῖδας. ἀκούσας οὖν Ἀθάμας, μεταπέμπεται τοὺς παῖδας ἐκ τῶν ποιμνίων. εἷς οὖν κριὸς ἀνθρωπίνη χρησάμενος φωνῇ, λέγει Φρίξῳ καὶ Ἕλλῃ τὰ περὶ τῆς σφαγῆς. φυγόντων οὖν τούτων μετὰ τοῦ κριοῦ, ἡ μὲν Ἕλλη ἐν τῷ περαιοῦσθαι τὸν ἐν Ἀβύδῳ πορθμὸν, ἀποπνίγη πεσοῦσα ἀπὸ τοῦ κριοῦ. ὅθεν καὶ ἀπ' ἐκείνης Ἑλλήσποντος κέκληται. Φρίξος δὲ ὀχούμενος τῷ κριῷ εἰς G τὴν τῶν Κόλχων γῆν περισώζεται. ἔνθα καὶ τὸν κριὸν, ὃς ὑπὸ τῶν θεῶν χρυσόμαλλος γέγονε, θύει τῷ Ἄρει ἢ τῷ Ἑρμῇ. καὶ κατοικήσας αὐτόθι, τοὔνομα καταλείπει τῷ τόπῳ. ἐκ τούτου γὰρ ἡ Φρυγία οὕτως ἐκλήθη. Ἀθάμαντα δὲ ἡ Νεφέλη δίκην αὐτῇ δώσειν διὰ τοὺς παῖδας πεποίηκε. προσαχθεὶς οὖν στεφανοφορῶν ἐν τῷ βω-

μῷ τοῦ Διὸς σφαγιασθησόμενος, ὑπὸ Ἡρακλέους σέσωσται. οὕτω γὰρ Σοφοκλῆς ἐν δράματι πεποίηκε. ἄλλως. ἐν Ἀθάμαντι Σοφοκλέους, ὑπόκειται Ἀθάμας στεφανοφορῶν ὥσπερ ἱερεῖον δίκας εἰσπραττόμενος παρὰ Φρίξου. ἄλλως. τοῦτο πρὸς τὸν ἕτερον Ἀθάμαντα Σοφοκλέους ἀποτεινόμενος λέγει. ὁ γάρ τοι Σοφοκλῆς πεποίηκε τὸν Ἀθάμαντα ἐστεφανωμένον καὶ παρεστῶτα τῷ βωμῷ τοῦ Διὸς σφαγιασθησόμενον. μέλλοντα δὲ ἀποσφάττεσθαι αὐτὸν, παραγενόμενον Ἡρακλέα καὶ τοῦ θανάτου ῥυόμενον λέγοντα ὡς σῴζοιτο ὁ Φρίξος, δι' ὃν ἔμελλεν ἐκεῖνος τεθνήξεσθαι. ἐπεὶ οὖν καὶ ὁ πρεσβύτης ἔστεπται ὥσπερ παράδειγματι τῷ κατ' ἐκεῖνον χρώμενος, δεδοικέναι φησὶν ἐκείνου παραπλήσια. Τοὺς τελουμένους.] τοὺς μυουμένους. ἐνδόξοις δὲ μυστηρίοις παραβάλλει τὰ τῶν φιλοσόφων μαθήματα, ἵνα ἔτι μᾶλλον πείθῃ προσέχειν τὸν γέροντα, ὡς θειοτέρῳ τῷ πράγματι. Λέγειν γενήσει τρῖμμα.] ἱκανὸς καὶ δεινὸς ἔσῃ λέγειν. καὶ Δημοσθένης ἐν τῷ περὶ τοῦ στεφάνου, ὡς ἐπαμφοτερίζοντα καὶ ἀναισχύντου ῥήτορος καθαπτόμενος Αἰσχίνου, περίτριμμα ἀγορᾶς αὐτὸν καλεῖ. τρῖμμα δὲ τετριμμένος ἐν λόγοις. κρόταλος δὲ, εὔγλωττος. εὔστομος. ἡ μεταφορὰ ἐκ τοῦ κροτάλου. ταῦτα δὲ λέγων λίθους συγκρούει ἄνωθεν αὐτοῦ τρίμματα οὖν ἔστω, διὰ τὸ τρίβεσθαι τοὺς λίθους. κρόταλον F δὲ, διὰ τὸ κρούεσθαι αὐτόν. παιπάλη δὲ, διὰ τὴν τραχύτητα. ἐπεὶ παιπάλα καλοῦμεν τὰ δύσβατα. ἄλλως. ταῦτα λέγων ἅμα ὁ Σωκράτης εἰς τὰ θύματα παρατρίβων ὀργανικοὺς λίθους καὶ κρούων πρὸς ἀλλήλους, συναγαγὼν τὰ ἀπὸ τούτων θραύσματα, βάλλει τὸν πρεσβύτην, καθάπερ τὰ ἱερεῖα ταῖς οὐλαῖς θύοντες. καὶ διὰ τοῦτο παίζει τοῖς ὀνόμασι. τρῖμμα μὲν τὴν ἀπὸ τούτων ἐκπίπτουσαν λεπτότητα. καλοῦμεν δὲ καὶ τῶν ἀνθρώπων τοὺς κακεντρεχεῖς καὶ μὴ ἁπλοῦς, τρίμματα καὶ πολυτρίμματα καὶ πολυκρότους, καὶ κρόταλα. G ὅθεν καὶ τὸν πρῶτον στίχον Ὀδυσσείας. οὕτως ἀξιοῦσι γράφειν τινὲς, ἄνδρα μοι ἔννεπε μοῦσα πολύκροτον.

BISETVS. Οὕτω καὶ ὁ ἐν τοῖς πράγμασι τετριμμένος, καὶ τούτων ἔμπειρος, τρῖμμα καλεῖται.

Σχόλια.

Σχόλια. Κρόταλον.] κυρίως ὁ σχιζόμενος κάλαμος ὁ κατασκευαζόμενος ἐπιτηδείως ὥστε ἠχεῖν εἴ τις αὐτὸν διανοίη ταῖς χερσί, καθάπερ κρότον ἀποτελῶν. τρανὸς οὖν ἐστι φησί. καὶ τὴν φωνὴν διηρθρωμένος, καθάπερ κρόταλον. Ἔχ' ἀτρέμας.] μένε ἐφ' ἡσυχίας. βαλλόμενος γὰρ ὁ πρεσβύτης τῇ παιπάλῃ ἀποσείεται, διὸ παρακελεύει αὐτὸν μένειν. παιπάλη δὲ κυρίως τὸ λεπτομερὲς τοῦ ἀλεύρου. Οὐ ψεύσει γέ με.] τουτέστιν ἀπατήσεις. ὅτι μαθεῖν ὧν ἐπαγγέλλεται Σωκράτης ψεύδεται. πληρωθεὶς A γάρ φησι τούτων, λέγω δὲ τῶν τριμμάτων τῶν λίθων καὶ τῆς λατύπης, τὴν ὕφαμμον παιπάλην καλεῖσθαι, γενήσομαι παιπάλη. ἄλλως. τῇ χιόνι παττόμενος, ἐὰν ἔλθωσιν αἱ Νεφέλαι. λέγεται δὲ παιπάλη, τὸ λεπτότατον τοῦ ἀλεύρου, ἀφ' οὗ παλύνειν τὸ λευκαίνειν. ὡς τὸ πολλὰς δὲ χιὼν ἐπάλυνεν ἀρούρας. ἐπεὶ οὖν ἕκαστος εἶναι γνωρίσῃ τρίμμα κρόταλον παιπάλη, αὐτὸς ἔπαιξε παρὰ τὴν παιπάλην, τουτέστι τὸ ἄλευρον εἰπὼν καταπαττόμενος.

B

ΣΥΣΤΗΜΑ ΚΑΤΑ ΠΕΡΙΚΟΠΗΝ ΣΤΙΧΩΝ ιϛ.

Ἀναπαιστικοὶ Ἀριστοφάνειοι.

CONGERIES DVODECIM VERSVVM PER INCISIONEM.

Anapaestici Aristophanij.

Bisetus. Σωκράτης τὰς Νεφέλας ἐπικαλεῖ, ὅπως τὴν ἑαυτοῦ θείαν ἀρωγὴν ἑαυτῷ φέρουσι, C καὶ παροῦσιν ἐμφανεῖς τὸν Στρεψιάδην διδάξοντι.

Εὐφημεῖν χρὴ τὸν πρεσβύτην, καὶ τῆς εὐχῆς ὑπακούειν.
Ὦ δέσποτ' ἄναξ, ἀμέτρητ' ἀήρ, ὃς ἔχεις τὴν γῆν μετέωρον,
Λαμπρός τ' αἰθὴρ, σεμναί τε θεαὶ Νεφέλαι βροντησικέραυνοι,
Ἄρθητε, φάνητ', ὦ δέσποιναι, τῷ φροντιστῇ μετέωροι.
Στ. Μήπω, μήπω γε, πρὶν ἂν τουτὶ πτύξωμαι: μὴ καταβρεχθῶ.
Τὸ δὲ μὴ κυνῆν οἴκοθεν ἐλθεῖν ἐμὲ τὸν κακοδαίμον' ἔχοντα.
Σω. Ἔλθετε δῆτ' ὦ πολυτίμητοι Νεφέλαι, τῷδ' εἰς ἐπίδειξιν.

SO. Fauisse decet lingua vetulum, precibusque attendere mentem.
O rex, immense aer, qui terram pendentem vndique cingis:
D O rutile aether: ô veneranda Nubes, quae fulmina vento
Mittitis: attollimini & contemplanti mihi adeste coruscae.
ST. Nondum, nondum: prius quàm ego vestes complicuero, ne madefiam.
Sed me miserum: qui non modo domo huc aduenio benè tectus.
E SO. Age, adeste citò Nubes, & vos praebete huic conspiciendas:

Σχόλια. Εὐφημεῖν χρή.] ἡ συστηματικὴ αὕτη ἁρμοσία τοῦ ὕμνου εἴσθεσίς ἐστιν, ἐκ στίχων ἀναπαιστικῶν τετραμέτρων καταληκτικῶν ιβ. ὧν τελευταῖος, ἐπακούσατε, δεξάμεναι θυσίαν, καὶ τοῖς ἱεροῖσι χαρεῖσαι. καλεῖται δὲ τὸ μέτρον τοῦτο Ἀριστοφάνειον ὡς εἴπομεν. τὰ τοιαῦτα δὲ εἴδη καλεῖται ἑτερόστροφα. ἐπὶ τῆς ἀποθέσεως παράγραφος. ἄλλως. εὐφημεῖν χρή. ταῦτα πρὸς τὸν Στρεψιάδην. παρακελεύεται γὰρ αὐτὸν σιωπᾶν καὶ εὐφημεῖν, ἵνα εὔξηται, καὶ μηδὲν βλάσφημον εἰπεῖν. Ἀμέτρητ' ἀήρ.] ἀκατάληπτε καὶ ἀναρίθμητε. τὸν δὲ ἀέρα προσεύχεται. ἐπεὶ αἱ νεφέλαι τούτου. μεταφορικοῖς φιλοσόφων λόγοις, ἀέρα βούλεται εἶναι τὸ πᾶν εἰ καὶ τὴν ἐν ἡμῖν ψυχὴν ἀέρα καὶ πνεῦμα ἐδογμάτιζαν τό. Ὃς ἔχεις.] ὃς παρείληφας τὴν γῆν καὶ βαστάζεις. δόξα γάρ τις ἐθρυλλεῖτο τῶν φυσικῶν, ὅτι πλατεῖα οὖσα ἡ γῆ, ὀχεῖται ἐν τῷ ἀέρι. Λαμπρός τ' αἰθήρ.] ἰδίως τὸ τοῦ ἡλίου φῶς αἰθὴρ καλεῖται. ἀπὸ τοῦ αἴθειν ὅ ἐστι πυροῦν. θερμὸς γὰρ G ὁ ἥλιος καὶ διάπυρος. διόπερ εὐκαίρως ὁ ποιητὴς τῷ ἐπιθέτῳ ἐχρήσατο. αἰθέρα λαμπρὸν εἰπών. Σεμναί τε θεαί.] οὐχ οὕτω λέγει τὰς νεφέλας σεμνὰς ὡς τὰς Ἐριννύας. ἃς ἐντρεπόμενοι πάντως ἀπ' ὀνόματος λέγειν Εὐμενίδας αὐτὰς καὶ σεμνὰς θεὰς προσηγόρευσαν. τὸ γὰρ σεμνὸν, σεμνὸν νενόμισται. Βροντησικέραυνοι.] ἀλλήλων γὰρ προσερχομένων τῶν νεφελῶν πῦρ ἐξάπτεται ἐκ τῆς πυκνῆς ἐκτρίψεως. ἰδίως δὲ κάρτα, τῷ συνθέτῳ τούτῳ κέχρηται. δοκοῦσι γάρ πως αἱ Νεφέλαι προσδεχνύναι καὶ προσημαίνειν ἡμῖν, τούς τε ὄμβρους καὶ τὰς χαλάζας τοῦ οὐρανοῦ, ὅτι βροντᾷ ἢ ἀστράπτει ἢ ὅτι σκηπτοὺς ἐπιπέμπει. ἐκ τῶν Νεφελῶν φησι τὴν ἀστραπὴν F καὶ βροντὴν συγκρουομένας ἀποπέμπειν. Ἄρθητε.] φυσικώτερον ἐχρήσατο τούτῳ τῷ λόγῳ. ἄρθητε εἰπών. οἱονεὶ, ἐπάρθητε. φασὶ γὰρ τὰς Νεφέλας εἰς ὕψος αἴρεσθαι κατ' ὀλίγον ἀπὸ τῆς γῆς, ἢ τῆς θαλάσσης. Τῷ φροντιστῇ.] δύναται καὶ ἐπὶ τοῦ Σωκράτους καὶ ἐπὶ τοῦ πρεσβύτου νοεῖσθαι. ἐπὶ μὲν τοῦ Σωκράτους ἵνα ἢ παρακαλῶν αὐτῷ φανῶσι τὰς Νεφέλας. ἐπὶ δὲ τοῦ γέροντος, ὡς ἤδη συγκαταριθμοῦντος αὐτὸν τοῦ Σωκράτους τῷ τῶν φιλοσόφων συλλόγῳ. Μήπω μήπω γε.] ἐπαναδίπλωσις καλεῖται τὸ τοιοῦτον σχῆμα, τὸ δὶς τοῖς αὐτοῖς ὀνόμασι χρῆσθαι ἐμφανῶς. ἔστι δὲ παρεπιχαρή. διπλασιάζεται γὰρ τὸ ἱμάτιον περιβαλέσθαι φησὶν αὐτὸ θέλειν ὑπὲρ τοῦ σκέπεσθαι καὶ ἧττον αὐτὸ καθικέσθαι τὸν ὑετὸν τοῦ σώματος. ἡ γὰρ ἀρχὴ τῶν Διονυσίων χειμῶνος ἄγεται. Τὸ δὲ μὴ κυνῆν.] περικεφαλαίαν. ἀγροίκων φόρημα. οὕτω δὲ ἐκλήθη, ἐπεὶ πρῶτον ἀπὸ κυνείων δερμάτων ἦν. Ἔχοντα.] οὐ μωρὸν δηλονότι, ἀλλ' ἀνόητον, ἀλλ' ὅπως γὰρ εἴρηται:

Εἴτ' ἐπ' ὀλύμπου κορυφαῖς ἱεραῖς χιονοβλήτοισι κάθησθε.
Εἴτ' Ὠκεανοῦ πατρὸς ἐν κήποις ἱερὸν χορὸν ἵστατε νύμφαις.
Εἴτ' ἄρα Νείλου προχοαῖς, ὑδάτων χρυσέοις ἀρύεσθε προχόοισιν.
Η Μαιῶτιν λίμνην ἔχετ' ἢ σκόπελον νιφόεντα Μίμαντος.
Επακούσατε δεξάμεναι θυσίαν, καὶ τοῖς ἱεροῖσι χαρεῖσαι.

A *Seu vos in Olympi vertice niuali sacróque sedetis:*
Siue Oceani patris in hortis instituitis arte choream:
Siue ad Nili ostia lympham nunc hauritis aqualibus aureis:
Siue Paludem Maotin, siue Mimanta niuosum habitatis:
B *Audite preces, & placatæ sacris, hæc sacra probate.*

Σχ. Χιονοβλήτοισι κάθησθε.] ἀντιπαρατίθεται Ὁμήρῳ λέγοντι, οὔλυμπον δ' ἔθι φασὶ θεῶν ἕδος ἔμμεναι. χιονόβλητα γὰρ τὰ ὑψηλὰ τῶν ὀρῶν. πληροῦσθαι τε καὶ διατηρεῖν τὴν χιόνα πέφυκεν. εἰώθασι δὲ καὶ τὰ νέφη τούτοις ἐπικαθῆσθαι. Εἴτ' Ὠκεανοῦ πατρός.] καὶ τοῦτο φυσικόν φησιν ἀπὸ τοῦ ὠκεανοῦ πάντα τὸν ἀέρα τὴν νοτίαν τὴν ἰκμάδα καὶ τὸν ὑετὸν τούτοις ἐπιχορηγεῖν. Νύμφαις] λείπει ἡ σύν. ἤγουν, σὺν ταῖς νύμφαις. Προχοαῖς] λείπει ἡ ἐπί. C ἤγουν ἐπὶ ταῖς προχοαῖς τοῦ Νείλου. πρόχουσιν δὲ ἀγγείοις. Η Μαιῶτιν λίμνην.] περὶ ταύτης Ηρόδοτος μαρτυρεῖ, λίμνην εἶναι Σκυθίας. ἀπὸ τῶν ποταμῶν δὲ ἀρύονται ὕδωρ εἰς χρῆσιν. διὰ δὲ τὸ ἄδηλον, ἐκ διαφόρων τόπων καλεῖ αὐτὰς ἵνα πιστευθῇ. Νιφόεντα Μίμαντος.] τὸν ἀεὶ νιφόμενον. ὄρος Θράκης ὁ Μίμας. καὶ Ὅμηρος. Παρ' ἠνεμόεντα Μίμαντα. Χαρεῖσαι.] ἡσθεῖσαι. χαρεῖσαι δὲ φανεῖσαι.

ΔΡΑΜΑΤΟΣ ΤΟΥ ΠΡΩΤΟΥ,

Σκηνὴ τετάρτη.

ACTVS I. SCENA quarta.

D ΧΟΡΟΣ Η ΝΕΦΕΛΑΙ, ΣΩΚΡΑΤΗΣ, ΣΤΡΕΨΙΑΔΗΣ.

CHORVS SEV NVBES, SOCRATES, STREPSIADES.

Χο. Ἀένναοι Νεφέλαι,
Ἀρθῶμεν φανεραί.
Δροσερὰν φύσιν εὐάγητον.
Πατρὸς ἀπ' Ὠκεανοῦ βαρυαχέος
Ὑψηλῶν ὀρέων κορυφὰς ἐπὶ
Δενδροκόμους, ἵνα

CH. *Perpetuæ Nebulæ*
Tollamur liquidæ,
Madida simul & corusca
Vi, patre ab Oceano, horrisono patre,
E *Celsorum super ardua montium:*
Et iuga frondea:

Σχόλια. Ἀένναοι Νεφέλαι.] ἡ ὑπεισόδιος αὕτη στροφὴ καὶ ᾠδὴ τοῦ χοροῦ κώλων ἐστὶ ις, ὧν τὰ πρῶτα δύο, δακτυλικὰ πενθημιμερῆ. ἃ καλεῖται ἀρχιλόχεια ὡς Ηφαιστίων φησὶ, διὰ τὸ τὸν Ἀρχίλοχον τούτοις χρήσασθαι ἐν ἐπῳδαῖς. ὡς τὸ ἐν δὲ βατουσιάδης. ἔχει δὲ τὸ πενθημιμερὲς ὡς εἴρηται πόδας δύο καὶ συλλαβήν. τὸ γ ἀναπαιστικὸν ἐφθημιμερὲς ὃ καλεῖται ὡς εἴρηται, παροιμιακόν. ἔχει δὲ πόδας γ καὶ συλλαβὴν ὡς εἴρηται. τὸ δ δακτυλικὸν τετράμετρον ἀκατάληκτον. ὃ καλεῖται καὶ αὐτὸ Ἀρχιλόχειον. καὶ τούτῳ γὰρ οὕτως ἐν ὑπῳδαῖς ἐχρήσατο ὡς Ηφαιστίων φησί. τετράμετρον δὲ εἴρηται, διότι κατὰ μονοποδίαν μετρεῖται τὰ δακτυλικά. τὸ ε, ὅμοιον. τὸ ἕκτον δίμετρον ἀκατάληκτον. τὸ ζ ὅμοιον τῷ τετάρτῳ. τὸ η. τὸ θ. καὶ τὸ ι. ὅμοια. τὸ ια, ὅμοιον τῷ πρώτῳ. τὸ ιβ, ἀναπαιστικὸν πενθημιμερές. τὸ ιγ, δακτυλικὸν τρίμετρον κατὰ μονοποδίαν. τὸ ιδ, ὅμοιον τῷ δ. τὸ ιε, ὅμοιον τῷ ις, τηλεσκόπῳ ὄμματι γαῖαν. ἀναπαιστικὸν ἐφθημιμερές. ὃ καλεῖται ὡς εἴρηται παροιμιακόν. ἔστι γὰρ κοινὴ συλλαβὴ τὸ ου, διὰ τὸ ἔχειν ἔμπροσθεν φωνῆεν. ἐπὶ τῷ τέλει παράγραφος καὶ διπλῆ ἔσω νενευκυῖα δηλοῦσα ἔχειν ἀνταπόδοσιν. ἄλλως. ἀέναοι Νεφέλαι. μετὰ τὴν τοῦ Σωκράτους εὐχὴν αἱ Νεφέλαι παρακελεύονται δῆθεν ἑαυτοῖς πεισθῆναι τῇ ἐπικλήσει καὶ συναθροισθῆναι καὶ οὕτως ἐπιφανῆναι τῷ Σωκράτει. ἐκ τούτων δὲ ὁ χορὸς συνέστηκεν αὐτῷ. διόπερ καὶ τὴν ἐπιγραφὴν ταύτην ἔχει τὸ δρᾶμα Νεφέλαι. ἅτε ἐξ ἀέρος καὶ πνεύματος οὐσία παχυνομένη σωματοειδής. ἀέναοι δὲ, αἱ διαπαντὸς νάουσαι. ὡς ἀέναος ποταμὸς, ὁ ἀδιαλείπτως ῥέων. τοῦ δὲ χοροῦ τὰς ἑκατέρωθεν λέγουσι περιόδους, οὔσας ις κώλων. τῶν δὲ ὑποκειμένων μέσων ὄντων ἐκ στίχων ζ ἀναπαίστων τετραμέτρων καταληκτικῶν. καλῶς δὲ εἶπεν ἀέναοι. εἰσὶ γὰρ ὑδάτων μητέρες. ἀρθῶμεν δὲ, ἀναπηδήσωμεν. Φύσιν εὐάγητον.] πανταχοῦ φερομένην. ἢ λαμπράν. Ὠκεανοῦ βαρυαχέος.] ἀκολούθως τοῖς ὑπὸ τοῦ Σωκράτους εἰρημένοις. εἴτ' Ὠκεανοῦ πατρὸς ἐν κήποις. ἀλλ' ὁ μὲν διὰ τὸ ἄδηλον, ἐκ διαφόρων αὐτὰς τόπων καὶ πηγῶν καλεῖ. ἵν' οὕτως τῆς ἀληθείας τυχεῖν δυνηθῇ. αἱ δὲ, ἅτε τῆς ἑαυτῶν γενέσεως γινώσκουσαι τὸ ἀκριβὲς, εὐθὺς διέγνωσαν καὶ πόθεν αὐτὰς ἀρθῆναι δεήσει. ἄλλως. βαρυαχέος, τοῦ μέγα ἠχοῦντος. οἱ γὰρ βαρεῖς ποταμοὶ ῥέοντες, μέγαν ἦχον ἀπεργάζονται.

F G

Τηλε-

Τηλεφανεῖς σκοπιὰς ἀφορώμεθα,
Καρπούς τ' ἀρδομέναν θ' ἱερὰν χθόνα.
Καὶ ποταμῶν ζαθέων κελαδήματα.
Καὶ πόντον κελάδοντα βαρύβρομον.
Ὄμμα γὰρ αἰθέρος ἀ-
κάματον σελαγεῖται,
Μαρμαρέαισιν ἐν αὐγαῖς.
Ἀλλ' ἀποσεισάμεναι νέφος ὄμβριον
Ἀθανάταις ἰδέαις ἐπιδώμεθα
Τηλεσκόπῳ ὄμματι γαῖαν.

A *Vt speculas videamus ibi eminus,*
Fructúsque, atque sacram & madidam hanc humum,
Et volucrum vaga murmura fluminum,
Pontúmque horrisoni strepitu sono.
Nam atheris iste oculus
Sine fine coruscat,
Cum iubare irradianti.
B *Sed pulsa imbrifera nebula procul,*
Aetherea speculemur imagine,
Et claro lumine terram.

Σχόλια. Ἵνα τηλεφανεῖς.] ὅθεν ἀφ' ὧν ἐστιν ἰδεῖν τὰ πόῤῥω. τοῖς γὰρ εἰς ὕψος οὖσι, καὶ τὰ μακρὰ καταφανῆ. τὸ δὲ ἵνα, ἀντὶ τοῦ ὅπου. ἢ τὸ ἵνα ἀφορώμεθα ἐστὶν, ἀντὶ τοῦ ὅθεν. κέχρηται δὲ ἐπιῤῥήματι τῷ ἐν τόπῳ ἀντὶ τοῦ ἐκ τόπου. Σελαγεῖται.] ἀντὶ τοῦ καταλάμπεται. ἔοικε δὲ λέγειν τὸν ἥλιον. ἐπεὶ γὰρ οἱ τραγικοὶ εἰώθασι ὀφθαλμὸν ὀνομάζειν αὐτὸν, τοιαύτη δόξα ἐστὶ παρὰ τοῖς φιλοσόφοις C ὄμμα αἰθέρος καλεῖν τὸν ἥλιον. Ἀθανάταις ἰδέαις.] ἐπεὶ καὶ γυναικοειδεῖς εἰσιέναι μέλλουσι, τοῦτο λέγουσιν. ἱματισμῷ σκευαζόμεναι τὴν εἴσοδον. ὡς ὅμοιαι μὲν τοῖς ἄλλοις θεοῖς εἶναι. περικειμέναι δὲ νέφους ἵνα ὦσιν. ἄλλως ἀθανάτης ἰδέας κεῖται. καὶ ἔστιν ἑνικὸν ἐν γενικῇ πτώσει. μέλλει δὲ τὰς Νεφέλας γυναικομόρφους εἰσάγειν ἐσθῆτι ποικίλῃ χρωμένας ἵνα [illegible] τῶν οὐρανίων φυλάττωσι σχήματα. τὸ δὲ ἐπιδώμεθα, ἀντὶ τοῦ ἐπιφανῶμεν. ἐπισκεψώμεθα ἵνα γυναῖκας εἰσαγάγῃ τὰς τοῦ χοροῦ. ἐπιδῶμεν καὶ σκεψώμεθα.

ΣΥΣΤΗΜΑ ΚΑΤΑ ΠΕΡΙΚΟΠΗΝ ΣΤΙΧΩΝ ζ.

CONGERIES SEPTEM VERSVVM PER INCISIONEM.

D

Σω. Ὦ Μέγα σεμναὶ Νεφέλαι, φανερῶς ἠκούσατέ μου καλέσαντος.
Ἤσθου φωνῆς ἅμα καὶ βροντῆς μυκησαμένης θεοσέπτου;
Στ. Καὶ σέβομαί γ' ὦ πολυτίμητοι, καὶ βούλομαι ἀνταποπαρδεῖν
Πρὸς τὰς βροντάς. οὕτως αὐτὰς τετρεμαίνω καὶ πεφόβημαι.
Κεἰ θέμις ἐστὶ νυνί γ' ἤδη, κεἰ μὴ θέμις ἐστὶ, χεσείω.
Σω. Οὐ μὴ σκώψῃς, μηδὲ ποιήσῃς, ἅπερ οἱ τρυγοδαίμονες οὗτοι.
Ἀλλ' εὐφήμει. μέγα γάρ τι θεῶν κινεῖται σμῆνος ἀοιδαῖς.

SO. *O Venerandæ Nubes, manifestò audistis voto precantis.*
Sensistin' tu vocem diuinam, cum tonitru reboante?
ST. *Et veneror vos, Nubes sanctæ, volóque oppedere vestris*
E *Tonitrubus. Adeò ipsa horreo trepidus, attonitúsque pauesco.*
Et iam nunc, seu fas siue nefas siet, vsque cacaturio æger.
SO. *Ne quæso, illudas: neu facias, quod facibus ora peruncti:*
Sed voce faue: nam grande Dearum examen carmine gaudet.
F

Σχόλια. Ὦ μέγα σεμναί.] τὸ μεσῳδικὸν τοῦτο ἀμοιβαῖον σύστημα διὰ στίχων ἐστὶν ἀναπαιστικῶν τετραμέτρων καταληκτικῶν ζ. ὡς ἐῤῥέθη. λέγεται δὲ τοῦτο σύστημα κατὰ περικοπὴν ἀνομοιομερές, ὥς Ἡφαιστίων φησίν. ἐπὶ τῷ τέλει παράγραφος. Ἤσθου φωνῆς.] ἐν ταῖς κωμῳδίαις τινὲς τὰ καλούμενα ἠχεῖα, ὧν ὁ κτύπος σχηματίζεται εἰς βροντῆς ἀπήχησιν. ἔστι δὲ καὶ ἐν τῇ σκηνῇ μηχάνημά τι ὃ καλεῖται βροντεῖον, ἀμφορεὺς μεστὸς ψηφίδων ἀντιβαλλομένων εἰς χαλκοῦν λέβητα. Καὶ σέβομαί γ' ὦ πολυτίμητοι.] ἀντὶ τοῦ προσκυνῶ. ἢ καταπέπληγμαι. δεῖ δὲ καὶ τοῖς τούτου σχήμασιν ἐνδείκνυσθαι τὸ δεδιττόμενον, καὶ ἐπὶ τῇ παρουσίᾳ τῶν Νεφελῶν καταπεπληγμένον. σέβεται δὲ ὡς σεβασμίας ὑπὸ θεῶν καὶ τετιμημένας. καὶ προσκυνῶν δὲ ὅθεν ταῦτα λέγει. Ἀνταποπαρδεῖν.] ἀντὶ τοῦ κτυπῆσαι καὶ ἀντηχῆσαι. περὶ δὲ τὴν βροντὴν ἵσταξιν, ὁμοιῶν αὐτῇ τὸν πορδῆς τὸν ἦχον. Πρὸς τὰς βροντάς.] μηχανή ἐστιν, ὃ καλεῖται βροντεῖον ὑπὸ τὴν σκηνήν. ὃ ἦν ἀμφορεὺς, ἔχων ψηφίδας θαλασσίας. ἦν δὲ λέβης χαλκοῦς, εἰς ὃν αἱ ψῆφοι κατήρχοντο, καὶ κυλιόμενοι ἦχον ἀπετέλουν. Τετρεμαίνω.] τρέμω παρὰ γόγγος. ἐπίτηδες δὲ ἐξέτεινε τὴν λέξιν τεραλευόμενος. Κεἰ θέμις ἐστί.] καὶ εἰ εὐσεβές ἐστι καὶ ὅσιον καὶ εἰ μὴ εὐσεβές, ὡς ὑπὸ τοῦ φόβου προειλημμένος καὶ μὴ δυνάμενος ἑαυτὸν συνέχειν ἔτι. ὁ γὰρ ἐπιστάμενος ὅτι μὴ δέοντα ποιεῖ, εἶτα τοῦτο οὐδὲν ἧττον ποιῶν, ὑπὸ μείζονος ἀνάγκης ἐξαγόμενος εἰς τὸ παρανομεῖν δείκνυσιν ἑαυτόν. Οὐ μὴ σκώψῃς.] τοῦτο ὁμοῦ μὲν ὁ Σωκράτης καὶ ὡς περιφρονῶν τὰ ἀνθρώπινα πιστῶς λέγει, καὶ τοὺς τῆς κωμῳδίας ποιητὰς ὀνειδίζων ἀθλίως. ὁμοῦ δὲ καὶ Ἀριστοφάνης αὐτὸς μὲν ὢν, τοὺς δὲ ἄλλους κωμῳδοσκά-

G

φυν ἀτεχνῶς. ὡς ἐξαλειψάντων μὲν τὴν ποίησιν, τῆς ... ἡ στάσις ... τρυγοδαίμονες.] οἱ ποιηταί. ἐπεὶ τὴν τρύγα χριόμενοι ἵνα μὴ γνωσθῶσιν ὑπεκρίνοντο. οὕτω γὰρ αὐτὴν πρώτην ποιῆσαι ... ἐπὶ τὰς ὁδοὺς ἁμάξης ἐπικαθήμενοι. διὸ καὶ παροιμία, ὡς ἐξ ἁμάξης λαλεῖ. ἢ οὕτω ἀναισχυντοῦντας ὑβρίζει. ὅτι δὲ ἐπίσης οἱ κωμικοὶ ποιηταί. ἄλλως. οἱ κωμικοὶ διὰ τὸ κακοδαίμονες. ἐπεὶ πολλοὶ A τῇ αἰσχροποιίᾳ ἐχρῶντο. κακοδαίμονας δὲ, παρὸν εὐδαίμονας τὴν θείαν, διὰ τὸ σκώπτειν τρίτον. σμήνος ἀοιδαῖς.] κυρίως μὲν τὸ σύστημα τῶν μελισσῶν. ὅμηρος δὲ κέχρηται τῇ τροπῇ ἐπὶ εὐγλωττίας ἐπαινῶν τὸν Νέστορα, τοῦ καὶ ἀπὸ γλώσσης μέλιτος γλυκίων ῥέεν αὐδή. ὥσπερ ἐστὶν ἑσμὸς τουτέστι σμῆνος τῶν Ἀριστοφάνους ᾠδῶν.

B

ΑΝΤΩΔΗ ΑΝΤΙΣΤΡΟΦΗΣ ΚΩΛΩΝ ιϛ.

ΧΟ. Παρθένοι ὀμβροφόροι
Ἔλθωμεν λιπαρὰν
Χθόνα Παλλάδος, εὔανδρον γᾶν
Κέκροπος ὀψόμεναι πολυέρατον
Οὗ σέβας ἀρρήτων ἱερῶν, ἵνα
Μυστοδόκος δόμος
Ἐν τελεταῖς ἁγίαις ἀναδείκνυται.
Οὐρανίοις τε θεοῖς δωρήματα.
Ναοί θ' ὑψερεφεῖς, καὶ ἀγάλματα.
Καὶ πρόσοδοι μακάρων ἱερώταται,
Εὐστέφανοί τε θεῶν
Θυσίαι, θαλίαι τε,

CHORVS SEV NVBES.

Imbrifera domina,
Visamus grauida
Loca Palladis, illustrem oram
Cecropis, & decus orbis amabile:
C *Hic, vbi sacrorum vitor inclytus*
Tectáque mystica,
Luce sacra, populo celebri patent.
Hic, vbi cælicolis sua munera
Templáque marmorea, & statuæ sacra,
Diuorúmque aditus venerabiles:
Hic vbi sacra Deûm
Benè comta, diésque
D

Σχόλια. Παρθένοι ὀμβροφόροι.] ἡ ἀντωδὴ αὕτη τοῦ χοροῦ κώλων ἐστὶν ὁμοίων τῇ ᾠδῇ ἑκκαίδεκα. ὧν ὁ τελευταῖος ἡ μοῦσα βαρύβρομος αὐλῶν. ἐπὶ τῷ τέλει δύο διπλαῖ. ἡ μὲν κατ' ἀρχὰς τοῦ κώλου. ἡ δὲ κατὰ τὸ τέλος. καὶ ἀμφότεραι ἔξω νενευκυῖαι, δηλοῦσαι ὅτι τέλος ἔχει τὰ ἀποδιδόμενα. τινὲς δὲ εἰς τὸ παρθένοι στίζουσι, τὸ παλίμβολον τῶν Νεφελῶν ταυτὸ στάντες. ὁμοίως δὲ εἰς τὸ ὀμβροφόροι στίζειν. ἄλλως. οὔτε οὐχ ὑφ' ἓν ἀναγνωστέον. οὐδ' ὡς ἐπίθετον τῶν Νεφελῶν τὸ ὀμβροφόροι νῦν ἐκληπτέον. ἀλλ' ὡς αὐτὸ καθ' αὐτὸ πρᾶγμα δηλοῦν. ἡ καὶ ἄμεινον μὲν ἂν εἴη ὑποστίζειν εἰς τὸ παρθένοι. συζευγνῦναι δὲ τὸ ὀμβροφόροι τῷ ἐπιφερομένῳ ἵν' ἢ νοούμενον, ἔλθωμεν ἐπὶ τὴν Ἀθηναίων γῆν ὄμβρου γέμουσαι. καὶ γὰρ ἐν ἀμφοτέροις ἡ ἔννοια σώζεται δηλωθεῖσα, ἀλλ' εὐφημότερόν ἐστιν ὥσπερ προειρήκαμεν, αἱ Νεφέλαι παρακελευόμεναί φασιν. ὅλαι ὀμβρίας πληρωθεῖσαι τῇ τῶν Ἀθηναίων ἐπιστεύσωμεν πόλει. ἡ δὲ τοιαύτη διαστολὴ ὑπεναντία τοῖς ἄνω γενήσεται προειρημένοις ὑπὸ τοῦ ποιητοῦ, ὡς χρὴ τὰς Νεφέλας τελεστικῶς εὐδίους εἶναι. δι' ὧν ἔφη. ἀλλ' ἀποσεισάμεναι νέφος ὄμβριον. ἐκεῖνο δὲ πρὸς τὸ ἀντιθετικὸν ἐστὶ τὸ συμβαῖνον περὶ τὰς Νεφέλας αἰνιττόμενος ὁ ποιητής. παλίμβολόν τινα καὶ τὸ ἐνστροφον ἐποίησε τὴν γνώμην αὐτῶν ἐπεὶ καὶ ἐκ τοῦ χειμῶνος εἰς εὐδίαν ... καὶ πάλιν ἐξ εὐδίας χειμάζουσι ... Λιπαρὰν χθόνα.] λιπαρὰς Ἀθήνας εἰκότως καλοῦσι. μάλιστα μὲν καὶ διὰ τὸ δόξῃ πλουτεῖν τὴν πόλιν, ἔπειτα δὲ ὅτι καὶ διὰ τὴν τῆς ἐλαίας τροφὴν εὑρεθῆναι παρ' οἷς ἐστι καὶ νῦν, τὸ λιπαρὸν τῆς ἐλαίας ... δεῖξαι ... ἄλλως. λιπαρὰν εὐθαλῆ. G τὴν πασικοσμίαν. Πινδάρος. ὦ ταὶ λιπαραὶ, ἀοίδιμοι Ἑλλάδος ἔρεισμα κλειναὶ Ἀθῆναι ... εὔανδρον δὲ τὴν ὑπὸ ἀγαθῶν ἀνδρῶν κατοικουμένην, πολυήρατον δὲ τὴν ἐράσμιον. Οὗ σέβας.] ὅπου σέβασμά ἐστι καὶ ἄρρητα μυστήρια. ὅτι δὲ λίαν ἐσπούδαζον περὶ τὰ μυστήρια, δῆλον ἐκ τοῦ ψηφίσματος Μεγαρέων.

ἄλλως. εἰκότως πρὸ πάντων σεμνολογοῦσι τὰ Ἐλευσίνια. κοινωνίαν γὰρ ἔχουσι πρὸς τὰς θεὰς ἐκ τοῦ τοῦ ὑετοῦ φορᾶς καὶ τῆς τῶν καρπῶν αὐξήσεως. αὗται δὲ τὸν Ἴακχον ἐχόρευσαν ταῖς θεαῖς Νεφέλαις μυστικαῖς ὡς Ἡρόδοτος. φησὶ γὰρ ἐν τῇ περὶ Σαλαμῖνα ναυμαχίᾳ, πολὺ λειπομένου τοῦ Ἐλευσινίου ... τῶν νεῶν τῶν Περσῶν, συμμαχῆσαι Ἀθηναίοις τὰς θεάς, μέγιστον τῆς E συμμαχίας ἀπὸ Ἐλευσῖνος καὶ ... τεκμήριον. μελλόντων γὰρ τῶν Ἑλλήνων καὶ τῶν βαρβάρων εἰς χεῖρας ἥξειν, πρῶτον μὲν πλεῖστον ἰδεῖν κονιορτὸν, αἰρόμενον ἀπὸ Ἐλευσῖνος ἐπὶ τὴν συμβολὴν, παντὶ τῷ στρατῷ δῆλον γενέσθαι. εἶτα τοῦτον εἰς οὐρανὸν ἀνελθεῖν καὶ νέφος γενόμενον, διὰ μέσου τοῦ στρατοπέδου χειρουμένη, τὸν Ἴακχον βοᾶν. μυστικὸς δὲ ὁ λόγος ὁ περὶ τὰ ἀπόρρητα μυστήρια. λίαν γὰρ αὐτοῖς τὸ μὴ ἐξαγγέλλεσθαι ταῦτα ἐσπούδαστο. Μυστοδόκος δόμος.] τὴν Ἐλευσῖνα λέγει. μυστικὸς καὶ ἱερός. τοὺς μύστας ὑποδεχόμενος. ἔνθα τὰ Δήμητρος F καὶ Κόρης ἐπιτελεῖται μυστήρια. Ἐν τελεταῖς ἁγίαις.] ἐν τελεσιουργίαις ὅπου ἐστὶ ταῖς τουτέστι μυστηρίοις. εἰκότως δὲ τὰς Νεφέλας πεποίηκε πρῶτον σεμνολογούσας περὶ τῶν μυστηρίων. ἐπεὶ ἔχουσί τινα πρός τε τὰς θεὰς αὐτὰς καὶ τοὺς διὰ ταύτας καρποὺς τελειουμένους οἰκειότητα. ἐκ γὰρ Νεφελῶν τὸ ὕειν καὶ ... τοὺς καρποὺς ἄνευ ὄμβρων γεωργεῖν, πῶς οὐκ οἰκεῖος ὁ περὶ τῶν θεῶν ταῖς Νεφέλαις λόγος. Οὐρανίοις τε θεοῖς.] πρὸς ἀντιδιαστολὴν τῶν καταχθονίων, ὧν ἡ Δημήτηρ καὶ Κόρα. τὸ οὐρανίοις τε θεοῖς ἐπήγαγεν ὑπερβαλλόντως εὐσεβεῖς βουλομένας ἀποδεῖξαι τὴν πόλιν. αἱ μὲν γὰρ ἄλλαι πόλεις ἐπὶ ... ἐκείνων ... G αἱ δὲ Ἀθῆναι πάντας ἀδιαφόρως τοὺς θεοὺς τιμῶσι. Καὶ πρόσοδοι.] συνθυσίαι περὶ τοὺς βωμοὺς πρόσοδοι τοῖς θεοῖς καὶ προσελεύσεις. Εὐστέφανοί τε.] παρὰ τὸ Ὁμηρικόν. εἴ ποτέ τοι χαρίεντ' ἐπὶ νηὸν ἔρεψα. (γράφεται ναὸν ἔρεψα. Ιλ. α.) αὗται γάρ εἰσιν αἱ εὐστέφανοι θυσίαι. σεμνεῖν μὲν καὶ στεφανοῦν τοὺς ναούς. πληροῦν δὲ τοὺς βωμοὺς

μοὺς ἱερῶν καὶ θυμιαμάτων. ἢ ὅτι στεφανηφοροῦντες τὰς θυσίας ἐτέλουν. Θαλίαι.] εὐδαιμονίαι. εὐθηνίαι. ἀκμαί. εὐφροσύναι. πανηγύρεις.

BISETVS. Θαλίαι.] Εὐστάθιος. θάλεια προπαροξυτόνως δαιτὸς ἐπίθετον, καὶ ὄνομα Μούσης τινός, καὶ Νηρεΐδος. θαλία παροξυτόνως διὰ τοῦ ι, ἡ εὐωχία, παρὰ τὸ θάλλειν. Ἀθήναιος δὲ ἐν τῷ β. τῶν δειπνοσοφ. περὶ τούτου ταῦτα λέγει. Σέλευκος δέ φησι τὸ παλαιὸν ἐκ

A τὸ ἦθος οὔτ' οἶνον ἐπὶ πλεῖον, οὔτ' ἄλλην ἡδυπάθειαν προσφέρεσθαι μὴ θεῶν ἕνεκα τοῦτο δρῶντας. διὸ καὶ θοίνας, καὶ θαλίας, καὶ μέθας ὠνόμαζον. τὰς μὲν, ὅτι διὰ τοὺς θεοὺς οἰνοῦσθαι δεῖν ὑπελάμβανον. τὰς δὲ, ὅτι θεῶν χάριν ἤλιζοντο, καὶ συνήεσαν. τοῦτο γάρ ἐστι τὸ δαῖτα θάλειαν. τὸ δὲ μεθύειν φησὶν Ἀριστοτέλης, τὸ μετὰ τὸ θύειν αὐτῷ χρῆσθαι.

Παντοδαπαῖσιν ἐν ὥραις.
Ἦρι τ' ἐπερχομένῳ, βρομία χάρις,
Εὐκελάδων τε χορῶν ἐρεθίσματα,
Καὶ μοῦσα βαρύβρομος αὐλῶν.
Στ. Πρὸς τοῦ Διὸς ἀντιβολῶ σε φράσον τίνες εἴσ' ὦ Σώκρατες αὗται
Αἱ φθεγξάμεναι τοῦτο τὸ σεμνόν; μῶν ἡρῷναί τινές εἰσιν;
Σω. Ἥκιστ', ἀλλ' οὐράνιαι Νεφέλαι μεγάλαι θεαὶ ἀνδράσιν ἀργοῖς,
Αἵπερ γνώμην καὶ διάλεξιν, καὶ νοῦν ἡμῖν παρέχουσιν,
Καὶ τερατείαν καὶ περίλεξιν, καὶ κροῦσιν καὶ κατάληψιν.
Στ. Τοῦτ' ἄρ' ἀκούσασ' αὐτῶν τὸ φθέγμ' ἡ ψυχή μου πεπότηται.
Καὶ λεπτολογεῖν ἤδη ζητεῖ, καὶ περὶ καπνοῦ στενολεσχεῖν.
Καὶ γνωμιδίῳ γνώμην νύξασ' ἑτέρῳ λόγῳ ἀντιλογῆσαι.
Ὥστ' εἴ πως ἐστὶν ἰδεῖν αὐτὰς ἤδη φανερῶς ἐπιθυμῶ.

B *Tempore festus in omni:*
Vere nouo Bromij Charites Dei,
Frondicomique chori certamina,
Et suaui tibia cantu.
ST. *Per summum ego te oro Iouem: dicas mihi, qua sunt, Socrates, ista?*
Qua adeò grauiter dixerunt? Vtrum sunt Heroides alta?
C SO. *Minimè, sed Nubes cælestes, magna virùs numina pigris:*
Qua sensum & mentem nobis suppeditant, virésque loquendi,
Nugandi, circumscribendi, apprehendendi, animósque mouendi.
ST. *Certè meus hic animus, quàm primùm audiuit verba loquentum,*
D *In pectus continuò emicuit: & iam subtilia rerum*
Euoluere gestit, iam nugari de fumo incipit: & iam
Sententiolam vnam alia conuellit: iam verbis aliorum
Contradicit. Itaque nunc earum, vbi vbi sint, aueo ora tueri.

Σχόλια. Παντοδαπαῖς ἐν ὥραις.] διηνεκῶς. παντὶ καιρῷ, διὰ τὸ θρησκεύειν πάντας θεοὺς καὶ πανηγυρίζειν ἀεί, θύουσι διαπαντὸς καὶ διηνεκῶς. Ἦρι τ' ἐπερχομένῳ.] τὴν παροῦσαν ἑορτὴν λέγει. τουτέστι τὰ Διονύσια. ἀρχομένου γὰρ τοῦ ἦρος, ἄρχεται καὶ ἡ πανήγυρις. βρομία δὲ χάρις οἱ Διονυσιακοὶ ἀγῶνες, ἐν οἷς αἱ ἅμιλλαι τῶν χορῶν. Εὐκελάδων τε χορῶν.] προσηύλουν γὰρ τοῖς τραγικοῖς καὶ τοῖς κωμικοῖς. ἐπαύλων δὲ προσηγουμένως τοῖς κυκλίοις χοροῖς. εὐκελάδων δὲ τῶν εὐμούσων καὶ ἡδέων χορῶν. ἐρεθίσματα δὲ ἤγουν ἅμιλλαι ἢ ὄργανα μουσικά. τοῖς γὰρ Διονυσίοις τοὺς κυκλικοὺς χοροὺς ἵστασαν. καὶ ἠγωνίζοντο οἱ κωμικοὶ καὶ οἱ τραγικοὶ ποιηταί, ἀναγορεύοντες τὰ ὑπό γε αὐτοῖς πεποιημένα δράματα. Πρὸς τοῦ Διός.] ἔκθεσις διπλῆς ἀμοιβαίας καθόλου. ἐκ στίχων ἀναπαιστικῶν τετραμέτρων καταληκτικῶν, ρκέ. ὧν τελευταῖος διὰ τοὺς ἵππους τοὺς κοππατίας καὶ τὸν γάμον, ὅς μ' ἐπέτριψεν. καλεῖται δὲ τὸ μέτρον Ἀριστοφάνειον ὡς εἴρηται. ἐπὶ τῷ τέλει διπλῆ ἔξω νενευκυῖα. Τοῦτο τὸ σεμνόν.] λεληθότως φασὶν ἑαυτὸν ἐπαινεῖν, σεμνὸν εἶναι λέγων τὸ μέλος. ἔστι γὰρ τοῦτο ἀληθές. ὁ δὲ G τὸν ἔπαινον ἐπὶ τὰς Νεφέλας τρέπων οὐκ οἴεται φορτικὸς εἶναι. Μῶν ἡρῷναι.] ἀττικὴ ἡ σύνταξις τὸ ἡρῷναι. ὡς ἡμίθεοι ἥρωες. κατὰ δὲ τὸ ἀρχαῖον καὶ σύνηθες αὐτοῖς, ἐνθάδε τετρασυλλάβως προενήνοχε τὸ ἡρῷναι. Ἀνδράσιν ἀργοῖς.] τοῖς φιλοσόφοις διασύρει δὲ αὐτοὺς πάλιν. ὠφέλιμοί φησι τοῖς ἀνθρώπων ἀπράκτοις. οἱ γὰρ ἀργοὶ πεχήνασιν εἰς

E τὰς Νεφέλας. Αἵπερ γνώμην.] αἵπερ σύνεσιν καὶ φρόνησιν εἰς τὰ δέοντα νοεῖν. καὶ διάλεξιν λόγων. ἐμπειρίαν. ὥστε τὰ νοηθέντα φράζειν δύνασθαι. Νοῦν.] σύνεσιν. Τερατείαν.] ψευδολογίαν. Περίλεξιν.] περιττολογίαν, περίφρασιν. Κροῦσιν.] ἀπάτην, δοκιμασίαν. παραλογισμόν. κατάληψιν. εὕρεσιν. τὰ αὐτὰ δὲ καὶ διεξοδικώτερον ἑρμηνευτέον ἂν εἴη πάλιν ἐπαναλαβόντας. διάλεξιν τοίνυν λόγων ἐμπειρίαν ὡς ἔφαμεν. ὥστε τὰ νοηθέντα δύνασθαι ἑρμηνεύειν. διαφέρει δὲ διάλεκτος καὶ διάλεξις. F διάλεκτος μὲν γάρ ἐστι φωνῆς χαρακτὴρ ἐθνικός. διάλεξις δὲ τῆς συνήθους φωνῆς ἐπὶ τὸ σεμνότερον ἐκτροπὴ καὶ ἐπὶ τὸ ἀγροικότερον. τερατείαν δὲ, τερατολογεῖν καὶ ἀπίθανα διηγεῖσθαι. καὶ λέγειν πράγματα ἐπέκεινα τῶν ἀνθρωπίνων. περίλεξιν δὲ περιττῶς καὶ περιέργως περιτείνεσθαι διὰ λόγων καὶ δύνασθαι ἑρμηνεύειν τὸ νοηθέν. ὅπερ ἐστὶ λοιπὸν ἔργον τῆς ἐξηγήσεως τοῦ λόγου. δείκνυσι δὲ ἐξ ὅσων συνέστηκε ῥητορική. δεῖ γὰρ νοεῖν, εἶθ' ἑρμηνεύειν ὅπερ ἐστὶ λοιπὸν ἔργον τῆς ἐξηγήσεως τοῦ λόγου. ἢ τὸν παραλογισμὸν καὶ τὴν ἀπάτην. τὸ συναρπάζειν τὸν ἀκούοντα. ἢ δοκιμασίαν. ἐπεὶ τὰ κεραμεᾶ κροτούμενα δοκιμάζεται. κατάληψιν. τὴν γνῶσιν αἴσθησιν καὶ τὴν τέχνην. οὕτω γὰρ ὁριζόμεθα τὴν τέχνην. ἔστι σύστημα ἐκ καταλήψεων ἐγγεγυμνασμένων. καὶ τὰ ἑξῆς. κατάληψιν δὲ εἰώθασιν οἱ μουσικοὶ λέγειν, ἐπειδὰν πλήξαντες τοῖς δακτύλοις ἢ τῷ πλήκτρῳ τὰς χορδὰς καταλάβωσι καὶ ἀποτείνωσι τὸν φθόγγον. Πεπότηται.] ἀνέπτη

καὶ ἀνακουφίζεσθαι. καὶ μετέωρα φρονεῖ ἤδη. Καὶ περὶ καπνοῦ.] ἀντὶ τοῦ περὶ μηδενὸς καὶ κενῶν πραγμάτων. στενὸς γὰρ καὶ ἀμενηνὸς καὶ ἀσθενὴς ὁ καπνός. παρὰ τὸ μετεωρολεσχεῖν δὲ τὸ στενολεσχεῖν εἴληπται καὶ τὸ μηδὲν. A καὶ τοῦτο δὲ τὸ λεπτολογεῖν διασυρμοῦ λέγει χάριν. ὡς ἰσχνὰ τῶν φιλοσόφων ζητούντων ζητήματα. ἢ ποικίλα καὶ λεπτὰ διεξέρχεσθαι ὡς εἰς στενὸν κομιδῇ τοὺς διαλεγομένους καθιστᾶν μὴ ἔχοντας ὅ,τι ἀπολογήσονται.

Σω. Βλέπε νυν δευρὶ πρὸς τὴν Πάρνηθ'. ἤδη γὰρ ὁρῶ κατιούσας
Ἡσυχ' αὐτάς. Στ. φέρε ποῦ; δεῖξον. Σω. χωροῦσ' αὗται πάνυ πολλαί,
B Διὰ τῶν κοίλων καὶ τῶν δασέων αὗται πλάγιαι. Στ. τί τὸ χρῆμα,
Ὡς οὐ καθορῶ; Σω. παρὰ τὴν εἴσοδον. Στ. ἤδη νυνὶ μόλις οὕτως ὁρῶ.
Σω. Νῦν γέ τοι ἤδη καθορᾷς αὐτὰς εἰ μὴ λημᾷς κολοκύνταις.
Στρ. Νὴ Δί' ἔγωγ' ὦ πολυτίμητοι. πάντα γὰρ ἤδη κατέχουσι.
C Σω. Ταύτας μέντοι σὺ θεὰς οὔσας, οὐκ ᾔδεις; οὐδ' ἐνόμιζες;
Στρ. Μὰ Δί' ἀλλ' ὁμίχλην καὶ δρόσον αὐτὰς ἡγούμην καὶ σκιὰν εἶναι.
Σω. Οὐ γὰρ μὰ Δί' οἶσθ' ὁτιὴ πλείστους αὗται βόσκουσι σοφιστάς,
Θουριομάντεις, ἰατροτέχνας, σφραγιδονυχαργοκομήτας,

SO. Huc respice versus Parnetem: hic ipsas descendere cerno
Sat placide. ST. *Age vbi? commonstra.* SO. *magno sanè huc agmine tendunt,*
Per loca caua densáq́. sed ipsæ obliqua. ST. *quidnam rei hoc sit,*
Quòd nusquam video? SO. *iuxta ingressum.* ST. *vix eas cerno etiamnum.*
SO. *At nunc iam cernis, nisi cucurbitam in ipsis oculis male lippis.*
ST. *Video per Iouem ego, ô veneranda: námque opplent omnia Nubes.*
SO. *An verò Deas tu hasce ignorabas, nec statuebas?*
ST. *Non equidem: sed credebam nebulam & rorem, vmbrámque nigrantem.*
SO. *Ergo ignorasti, hæ quòd multos pascúntque fouéntque sophistas:*
Vates augurij, acres medicos, digiti gnauamulo-comitos,

D

Σχόλια. Βλέπε νυν.] καθ' ὑπερβατόν. βλέπε νῦν δευρὶ πρὸς τὴν Πάρνηθα ἡσύχως. ὁρῶ γὰρ ἤδη κατιούσας αὐτάς. Πάρνης δὲ ὄρος τῆς Ἀττικῆς. τοῦτο καὶ ἀρσενικῶς λέγεται ὡς τὸ ἐς κόρακας ἔξω φέρων τι δεῦρο τὸν Πάρνηθα ὅλον. καὶ θηλυκῶς ὡς ἐνταῦθα. εἰκότως δὲ εἶπε πρὸς τὴν Πάρνηθα κατέρχεσθαι αὐτάς. πᾶσαι γὰρ αἱ τῶν ὀρέων κορυφαὶ διὰ τὸ ὕψος ἀεὶ συννεφεῖς φαίνονται. Χωροῦσ' αὗται.] τὸ χωροῦσι καθ' αὑτὸ ἀναγνωστέον. εἶτα ὡς τοῦ πρεσβύτου οὐχ ὁρᾶν λέγοντος προστίθησι πλεῖον ἐκτείνων τὴν προφορὰν τοῦ λόγου, τὸ αὗται πάνυ πολλαί. εἶτα ὡς οὐδὲ οὕτως ὁρῶντος, πρὸς πλείονα γνῶσιν προστίθησι καὶ τόπον, τὴν δὲ τῶν λεγομένων ἐνάργειαν τῷ τῶν ὑποκειμένων σχήματι δείκνυσι. δείκνυσι δὲ αὐτῷ ὄρος ἐν τῷ θεάτρῳ τὴν Πάρνηθα, ἐξ οὗ κατέρχονται. Εἰ μὴ λημᾷς.] τῶν Νεφελῶν πλησίον οὐσῶν. ἐκεῖνος μὴ δ' οὕτως ὁρῶν, τοῦτο νυνὶ προσέθηκεν, ἵν' ᾖ τὸ τοιοῦμενον οὕτως. νυνὶ αὐτὰς ὁρᾷς εἰ μὴ λήμας ἔχεις ἐν τοῖς ὀφθαλμοῖς μεγάλας ὡς κολοκύντας. λήμη δὲ ἐστὶ τὸ πεπηγὸς δάκρυον. δέον δὲ εἰπεῖν ἐν λήμαις, ὁ δὲ κολοκύνταις εἶπε δηλοῦν τὴν ὑπερβολὴν τῆς λημότητος. λείπει δὲ ἡ ἐν, ἵν' ᾖ ἐν κολοκύνταις, ὡς τὸ νοσεῖν ἐν φρενίτιδι, ἀπὸ σχήματος εἰσὶ δὲ οἱ τοιοῦτοι ἔξωθεν ὁμοίας. οὐκ ὀρθῶς γὰρ ἐοίκασι λέγειν. ὁ δὲ Λουκιανὸς ἐν τῷ πρὸς ἀπαίδευτον καὶ πολλὰ βιβλία ὠνούμενον οὐκ ὤκνησεν εἰπεῖν, χύτρας λημῶντες. Νὴ Δί' ἔγωγε] ἔξωθεν ὑπακούεται τὸ ὁρῶ ὡς ἀληθῶς. ἑώρα γὰρ πλησίον οὐσῶν. Σοφιστάς] ἐν ἄλλοις τοὺς παιδευομένους. νυνὶ δὲ τοὺς μετεωρολέσχας λέγει. καὶ πάντας τοὺς ἀπὸ τῶν μαθηματικῶν ὁρμωμένους. καὶ θαυμαστὸν οὐδὲν ὅπου μηδὲ τοὺς αὐλητὰς οὕτως ἀγορεύειν ὤκνησαν. Πλάτων γὰρ οὖν ὁ κωμικὸς ἐν δράμασι σοφιστὰς, καὶ τὸν Ὀπούντιον αὐλητὴν Βακχυλίδην, ὡς ἰουῶμα κατέταξε τῶν σοφιστῶν. καταχωρῶν δὲ νυνὶ πάσης ἐπιστήμης, παρέλαβε τὸ ὄνομα τῶν σοφιστῶν. Σοφισταὶ οἱ ῥήτορες καὶ οἱ ἀπατεῶνες, καὶ οἱ διδάσκαλοι, καὶ ὅσοι τῶν φιλοσόφων ῥητορικῶς ἔγραψαν. ἐνταῦθα δὲ σοφιστὰς τοὺς διδασκάλους νόει. ὡς τοὺς ἄλλους σοφίζοντας. Θουριομάντεις.] ἀπὸ τοῦ γενικοῦ ἐχώρησεν ἐπὶ τὸ κατ' εἶδος. εἰπὼν γὰρ ὅτι πάντας αἱ Νεφέλαι τρέφουσι τοὺς σοφιστὰς, ἐπήγαγε τίνας καὶ τίνας. Θουριομάντεις δὲ, οὐ τοὺς ἀπὸ Θουρίου μάντεις, ἀλλὰ τοὺς εἰς Θούριον πεμφθέντας, ἐπὶ τὸ κτίσαι αὐτήν. ἐπέμφθησαν δὲ δέκα ἄνδρες. ὧν καὶ Λάμπων ἦν ὁ μάντις, ὃν E ἐξηγητὴν ἐκάλουν. ὃν δὲ καὶ τῶν πολιτευομένων πολλάκις. λόγους δὲ συνεχῶς εἰσάγειν ἐφαίνετο περὶ τῆς εἰς Θούριον ἀποικίας. ἁλούσης γὰρ Συβάριος Θούριοι ἐκλήθησαν ἀπὸ Κρήνης Θουρίας. ὕστερον δὲ Ἀπίαι λέγεται καὶ Θούριον. ὡς ἐν τῷ Ἡροδότου ἐπιγράμματι.

Ἡρόδοτον Λύξεω κρύπτει κόνις ἥδε θανόντα,
Ἰάδος ἀρχαίης ἱστορίης πρύτανιν.
F Δωριέων πάτρης βλαστόντ' ἄπο. τῶν γὰρ ἄτλητον
Μῶμον ὑπεκπροφυγὼν, Θούριον ἔσχε πάτρην.

τὸ ἐθνικὸν ὁμωνύμως Θούριοι καὶ Θουριακοί. καὶ Θούριος οἶνος ὡς Στράβων. Παυσανίας δὲ ἄνθειαν αὐτὴν καλεῖ. ἄλλως. πολλῶν γινομένων μαντειῶν ἐπὶ τῆς εἰς Θουρίαν ἀποικίας, τούτους δὲ ἔφη τρέφεσθαι ἐκ τῶν Νεφελῶν, ὡς διὰ τῶν οἰωνῶν τῶν ἐν τῷ ἀέρι μαντευομένους, καὶ εἰς τὸν οὐρανὸν καὶ τὰ νέφη ἀποβλέποντας. Ἰατροτέχνας.] καὶ ἰατροὶ περὶ ἀέρων καὶ ὑδάτων συνέγραψαν. ὕδατα δὲ εἰσὶ καὶ αἱ Νεφέλαι. σύνταγμα δέ ἐστιν Ἱπποκράτους περὶ ἀέρων τόπων καὶ ὑδάτων. Σφραγιδονυχαργοκομήτας.] τοὺς κόμῃ καὶ σφραγῖσι δακτυλίοις τὰς χεῖρας κοσμουμένους μέχρι τῶν ὀνύχων, ὡς ὑπὸ τῶν δακτυλίων σκέπεσθαι. τῶν ὀνύχων ἐπιμελουμένους καὶ ὁσημέραι ξύοντας αὐτοὺς, ὑπὲρ τοῦ ἐκλάμπειν ἄγαν, ὁ πάσχουσιν οἱ τῷ καλλωπίζεσθαι σχολάζοντες μόνον.

G

Κυκλίων

Κυκλίων τε χορῶν ᾀσματοκάμπτας, ἄνδρας μετεωροφένακας,
Οὐδὲν δρῶντας, βόσκουσ' ἀργοὺς ὅτι ταύτας μουσοποιοῦσιν.
Στ. Ταῦτ' ἄρ' ἐποίουν ὑγρᾶν Νεφελᾶν στρεπταιγλᾶν δάϊον ὁρμάν.
Πλοκάμους θ' ἑκατογκεφάλα Τυφῶ, πρημαινούσας τε θυέλλας.
Εἶτ' ἀερίας διεράς γαμψούς οἰωνούς ἀερονηχεῖς.
Ὄμβρους θ' ὑδάτων δροσερᾶν Νεφελᾶν. εἶτ' ἀντ' αὐτῶν κατέπινον
Κεστρᾶν τεμάχη μεγάλων ἀγαθᾶν, κρέα τ' ὀρνίθεια κιχηλᾶν.

A *Cyclicarum chorearum & cantus flexores, & sublimia si qui*
Perscrutantur, quibus auditorum animis imponere possint.
Pascunt & inertes & nihil agentes: quia ab his celebrantur.
ST. *Ergò hæc finxerunt, madidarum nebularum versicolorum*
B *Immanéque impulsum, cirrósque, stridentésque procellas,*
In centicipites typhones: tum volucres aëre nantes,
Vdas, aërias, uncas: liquidásque ortos Nubibus imbres.
Pro his illi frusta biberunt, mugilum turdorumque saliuam.

Σχόλια. Κυκλίων τε.] αἰνίττεται εἰς τοὺς περὶ Κινησίαν καὶ Φιλόξενον καὶ Κλεομένην. καὶ τούτους εἶναι τῶν σοφιστῶν βούλεται διθυραμβοποιοὺς χρηματίζοντας. τῶν γὰρ κυκλίων χορῶν εἰσὶν οὗτοι διδάσκαλοι. ᾀσματοκάμπτας δὲ, ὅτι διὰ τὸ ἐν ἁρμονίᾳ ὑποπίπτειν αὐτῶν τὰ συγγράμματα, καμπὰς ἔχουσι πλείονας, ἃς μουσικοὶ καλοῦσι στροφὰς, καὶ ἀντιστρόφους, καὶ ἐπῳδούς. διὸ καὶ ἐν τραγῳδίαις τὰ χορικά. ἄλλως. οἱ παλαιοὶ διαφθορὰν μουσικῆς ἡγοῦντο εἶναι τοὺς διθυράμβους. καὶ προελθὼν αὐτῶν μᾶλλον καθάψεται λέγων. εἰ δέ τις αὐτῶν βωμολοχεύσαιτ' ἢ κάμψειέ τινα καμπὴν, οἵας οἱ νῦν τὰς κατὰ Φρῦνιν ταύτας τὰς δυσκολοκάμπτους, ἐπετρίβετο τυπτόμενος πολλὰς ὡς τὰς μούσας ἀφανίζων. Καλλίμαχος δὲ πρὸς αὐτοὺς ἀποτεινόμενος οὕτω περὶ αὐτῶν καθάπτεται. Μοῦσαι δ' ἐκλώθησαν ἀοιδαί. Ασματοκάμπτας.] οἱ λυρικοὶ ποιηταὶ χοροῖς καὶ αὐλοῖς καὶ λύραις τὰ ποιήματα ᾖδον. καὶ νῦν μὲν οἱ τούτων χορευταὶ ἐνταυθοῖ τὰς μεταβλήσεις καὶ τὰς καμπὰς ἐποιοῦντο. νῦν δὲ ἐνταυθοῖ, ἀκολουθοῦντες τῷ ᾄσματι. λέγει οὖν τοὺς τοιούτους ποιητὰς ᾀσματοκάμπτας. Μετεωροφένακας.] τοὺς διὰ τῶν μετεώρων ἀπατῶντας. φενακίζειν γάρ ἐστι τὸ ἀπατᾶν. περὶ δὲ τῶν φιλοσόφων λέγει. Μουσοποιοῦσι] ποιητικῇ ὑμνοῦσι. Ταῦτ' ἄρ' ἐποίουν.] λείπει ἡ διά. μιμεῖται δὲ τοὺς διθυράμβους. τὸ δὲ στρεπταιγλᾶν, εἰς τὸ διεστραμμένον αὐτῶν. τὴν ἔμπροσθεν οὖσαν τῆς αἴγλης τοῦ ἡλίου καὶ σκολιοῦσαν. Νεφέλης γὰρ ἐπιτεθείσης τῷ ἡλίῳ, ἐκεῖ τὰς ἀκτῖνας εἰς τὴν γῆν ἀφίησι. ταῦτα δὲ εἰς Φιλόξενον τὸν διθυραμβοποιόν. τὸ γὰρ στρεπταίγλαν αὐτὸς εἶπεν. ἐπεὶ οὖν συνθέτοις καὶ πολυπλόκοις οἱ διθυραμβοποιοὶ χρῶνται λέξεσιν, κατὰ τὸν τῶν ἐκείνων ζῆλον καὶ αὐτὸς τοιαύταις χρῆται. χρῆται δ' οὖν ἄντικρυς τῷ ἐξεστραμμένῳ. ἔστι δὲ ἡ γενικὴ τὸ ὑγρᾶν Νεφελᾶν καὶ στρεπταίγλαν. ὅπερ οὕτω γράφεται οὐ πρός τι συντασσόμενον, ἀλλ' οὕτως ἦν ἐν τοῖς ποιήμασιν ἐκείνοις. διὸ καὶ αὐτὸς οὕτως ἔθηκεν. οἱ δὲ, πρὸς τὸ δάϊον ὁρμὰν, τουτέστι ταχυτάτην, ἰνδὸς τὸ πῦρ εἶναι φάσκοντες. τὸ αὐτὸ δὲ καὶ περὶ τῶν δροσερᾶν Νεφελᾶν. δεῖ δὲ στρεπταίγλαν πρὸς τὸ ὑγρᾶν Νεφελᾶν.

ΒΙΣΕΤ. Σουίδας ὁ λέγει στρεπταίγλαν παροξυτόνως, καὶ μετὰ τὸ ὁρμὰν συνάπτει, καὶ τούτου τοῦ στίχου μνήμην ποιεῖται οὕτως αὐτὸ ἑρμηνεύων. τοῦτο (φησὶ) Φιλόξενος ὁ διθυραμβοποιὸς εἴρηκεν. ἐπεὶ οὖν συνθέτοις, καὶ πολυπλόκοις οἱ διθυραμβοποιοὶ χρῶνται λέξεσι, κατὰ τὸν ἐκείνων ζῆλον καὶ αὐτὸς τοιαύταις χρῆται. δηλοῖ οὖν ἄντικρυς τὸ ἐξεστραμμένον διὰ τὴν ἀηδίαν τούτων τῶν ἐν τοῖς συνθέτοις. στρεπταίγλαν δὲ, τὴν στρέφουσαν τὴν αἴγλην, καὶ ἀφανίζουσαν. δάϊον δὲ ὁρμὰν ἀντὶ τοῦ, διὰ τὴν δάϊον ὁρμὴν, τουτέστι βιαίαν, σφοδράν. δάϊος, καὶ δήϊος κατὰ τροπὴν τοῦ α εἰς η. πολέμιος,

τὸ δαίω, τὸ καίω, κόπτω, κακῶ. δήϊος, ὁ καυστικὸς, ὁ πολέ-
C μικός, ὁ ὁρμητικός. Εκατογκεφάλα Τυφῶ] ἐστὶ ἀθῷος. Τυφὼν, δαίμων τις γηγενὴς ἑκατογκέφαλος πελώριος, ὃς ἀντίπαλος τῷ Διὶ Ἥρας βουλῇ ὑπὸ τῆς γῆς ἀναδοθεὶς, καὶ κατακεραυνωθεὶς ὑπὸ τοῦ Διὸς τῇ Σικελικῇ Αἴτνῃ ὑποκαταβεβλῆσθαι μυθεύεται, ὅθεν ἀναδίδοται τὰ ἐκεῖ πυρὰ, καὶ εἰς θερμὸν ὑπόγειον πνεῦμα ἀλληγορεῖται ὁ Τυφὼν, ὅθεν καὶ παρὰ τὸ τύφειν, τὸ καίειν λέγεται. τὸ δὲ περὶ τῶν κεφαλῶν μυθολόγημα ὑπαγορεύει τὸν Τυφῶνα, ἀρχικόν τινα, καὶ πολυΐστορα ἄνθρωπον γεγονέναι. Ηρόδοτος ὡς βασιλέως μέμνηται τοῦ Τυφῶνος, λέγεται δὲ καὶ Τυφῶν,
D καὶ Τυφὼς, μετὰ τοῦ σ περισπωμένως, καὶ Τυφάων, καὶ Τυφωεὺς, καὶ ἐκ τοῦ Τυφάων, τὸ Τυφῶν κέκραται, καὶ τοῦτο μόνον (σημειωτέον καὶ πρὸς τοῦτο λέγεται, Ποσειδῶν Ποσειδῶνος) τῶν εἰς ων περισπωμένως ληγόντων, διὰ τοῦ ντ, οὐ κλίνεται. καὶ Τυφῶς διὰ τοῦ σ ἀεὶ διὰ τοῦ ω μεγάλου γράφεται. Ησίοδος Θεογονίᾳ.

Ὁπλότατον τέκε παῖδα Τυφωέα γαῖα πελώρη
Ταρτάρου ἐν φιλότητι, διὰ χρυσῆν Ἀφροδίτην.
Οὗ χεῖρες μὲν ἔασιν ἐπ' ἰσχύϊ, ἔργματ' ἔχουσαι,
Καὶ πόδες ἀκάματοι κρατεροῦ θεοῦ. ἐκ δέ οἱ ὤμων
E Ην ἑκατὸν κεφαλαὶ ὄφιος, δεινοῖο δράκοντος. καὶ τὰ ἑξῆς. Τινὲς δὲ ἐν τῇ κατακεκαυμένῃ τῆς Μυσίας χώρᾳ πλάττουσι γεγονέναι τὰ κατὰ τὸν Τυφωέα. οἱ δὲ, ἐν τῇ Κιλικίᾳ, καὶ ἄλλοι ἀλλαχοῦ, ὧν τινες καὶ δράκοντα γεγονέναι τὸν Τυφωέα μυθεύουσιν, εἶτα εἰς ποταμὸν μεταβληθῆναι. Ιστέον δὲ ὅτι ἐν τῷ Τυφῶν, ὁ Τυφῶς, ἡ πρώτη συλλαβὴ ἐκτείνεται. ἐν δὲ τῷ Τυφωεὺς, βραχύνεται. ἑκατογκεφάλα δὲ δωρικὴ γενικὴ ἐστιν ἀπὸ τοῦ ἑκατογκεφάλας, ὃς καὶ ἑκατογκέφαλος, οὐ λέγεται. διεφθαρμένως δὲ ἔν τισι τῶν
F ἀντιγράφων γέγραπται ἑκατοντακέφαλα.

Σχόλια. Πρημαινούσας τε θυέλλας.] τουτέστι συστροφὰς ἀνέμου. πρημαινούσας δὲ ἀντὶ τοῦ μαινομένας καὶ λάβρως φυσώσας. πρῆσαι γὰρ τὸ φυσῆσαι. Γαμψοὺς οἰωνούς.] ἤτοι τὰς καμπύλας καὶ πλαγίους Νεφέλας. ἢ τὰς ὀρνίθων ὄψεσιν εἰκασμένας. γαμψοὺς γὰρ ἐκάλουν τοὺς ὄρνιθας. αὐτίκα γοῦν καὶ αὐτὸς τῷ γαμψοὺς οἰωνοὺς ἐπήγαγεν, Ομηρικῶς. οἰωνοῖσί τε πᾶσι. Αερονηχεῖς] τὰς ἐν τῷ ἀέρι νηχομένας. παρόσον ἐν αὐτῷ νήχεται τὰ ὄρνεα. ἢ δίκην ὀρνέων ἵπτανται αἱ Νεφέλαι. ταῦτα δὲ πάντα ἐκ τινων
G ποιητῶν εἰσιν ἄλλο ἄλλου γράψαντος. καὶ τὸ μὲν τοῦτο τοῦ δὲ ἐκεῖνο. Εἶτ' ἀντ' αὐτῶν] τουτέστιν ἀντὶ τούτων ὧν ἐποίουν εἰς τὰς Νεφέλας, διὰ τοῦτο ἐσθίουσι τὰς κεστρίας καὶ τὰ ὀρνίθεια κρέα. Κεστρᾶν τεμάχη.] ἰστέον ὅτι οὐχ οἱ αὐτοὶ τοῖς κεστρεῦσιν ἰχθύσιν αἱ κεστρίαι. ἄλλοι μὲν γὰρ τὰς μυραίνας ἀξιοῦσι καλεῖν. οἱ δὲ, ἄλλο τι διάφορον ἰχθύων γένος. νῦν μέντοι κεστρεῖς καλοῦμεν τοὺς κεφάλους.

Τεμάχη μεγάλων ἀγαθῶν.] τουτέστι τιμίων καὶ λαμπρῶν. ἐπὶ ἰχθύων τὸ τέμαχος. καὶ ἐπὶ πλακοῦντος. ἐπὶ δὲ κρεῶν καὶ τῶν ὁμοίων, μιμούμενος τοὺς διθυράμβους. τὸ δὲ ὅλον τείνει πρὸς τοὺς ... τοῖς χορηγοῖς εἰς ἑστιώμενος καὶ πρὸς τοὺς ἐν πρυτανείῳ ἀεὶ σιτουμένους. Κρέα τ' ὀρνίθεια.] καταχρηστικῶς ἐπὶ ὀρνίθων κρέα εἶπεν, τοῦτο δὲ

A μιμεῖται τῶν ... Νεφέλαις ὑδάτων καὶ ἐρίων. ταῦτα δέ φασιν ἐκεῖ ἐν Πρυτανείῳ τινὲς αὐτῶν ἐσθίειν ... τῶν γινομένων καὶ τῶν μαντεων. βέλτιον μὲν τὸ ὑφ' ἓν ἀναγινώσκειν κρέα τ' ὀρνίθεια. ἵνα ὁ ποιητὴς μνημονεύῃ τῶν τῆς Νεφέλαις προσεικασμένων τῶν τρεφόντων καὶ τῶν πολλῶν.

Σω. Διὰ μὲν ταῦτα ταῖσδ' οὐχὶ δικαίως; Στρ. λέξον δή μοι τί παθοῦσαι,

B

Εἴπερ Νεφέλαι γ' εἰσὶν ἀληθῶς, θνηταῖς εἴξασι γυναιξίν.

Οὐ γὰρ ἐκεῖναί γ' εἰσὶ τοιαῦται. Σω. φέρε ποῖαι γάρ τινές εἰσιν;

Στρ. Οὐκ οἶδα σαφῶς. εἴξασιν οὖν ἐρίοισι πεπταμένοισιν.

Κοὐχὶ γυναιξὶ μὰ Δί' οὐδ' ὁτιοῦν. αὗται δὲ ῥῖνας ἔχουσιν.

C

Σω. Ἀπόκριναί νυν ἅττ' ἂν σ' ἔρωμαι. Στρ. λέγε ταχέως ὅ τι βούλει.

Σω. Ἤδη ποτ' ἀναβλέψας εἶδες Νεφέλην Κενταύρῳ ὁμοίαν;

Ἢ παρδάλει, ἢ λύκῳ, ἢ ταύρῳ; Στρ. νὴ Δί' ἔγωγ'. εἶτα τί τοῦτο;

Σω. Γίγνονται πάνθ' ὅ,τι ἂν βούλωνται. κᾆτ' ἢν μὲν ἴδωσι κομήτην

D

Ἄγριόν τινα τῶν λασίων τούτων οἷόν περ τὸν Ξενοφάντου,

Σκώπτουσαι τὴν μανίαν αὐτοῦ, Κενταύροις ᾔκασαν αὑτάς.

Στρ. Τί γὰρ ἢν ἅρπαγα τῶν δημοσίων κατίδωσι Σίμωνα, τί δρῶσιν;

Σω. Ἀποφαίνουσαι τὴν φύσιν αὐτοῦ, λύκοι ἐξαίφνης ἐγένοντο.

SO. Has certè propter, nunquid merito? ST. cedò quid Nubibus istis

B *Acciderit (si modo veræ sunt Nubes) quòd consimiles sunt*

Mulierum: nam nubes non sunt tales. SO. quales igitur sunt?

ST. Nescio certum: at similes floccis volitantibus esse videntur

Nubes: haud mulieribus, ne tantillum: hæ nasaque etiam sunt.

C *SO. Responde nunc mihi, quod te rogo. ST. quidnam est? dic ocyus, chem.*

SO. Nunquam tu suspiciens, vidisti Centauro similem, aut cui

Pardo, aut tauro, aut lupo etiam æqualem nubem? ST. imò per Olympum.

Sed quid tum postea? SO. Nubes fiunt omnia, quæ lubet esse.

D *Quòd si videant comtum aliquem ex hirsutis istis, Xenophanta*

Similē gnato: rident illius insaniā, & ora ferocis

Centauri assumunt. ST. sed ubi peculatorem fortè Simonem

Conspicere datur, quid agunt tùm Nubes? SO. ut morem ingeniúmque (luporum.

Hominis demōstrent, illicet assimulāt rapida ora

E

Σχόλια. Διὰ μέντοι ταῦτ' οὐχὶ δικαίως.] οὐ δικαίως φησὶν ἠξίωσε τοῦ ... τῶν ..., διὰ ταῦτα τὰ εἰς τὰς Νεφέλας ὑπ' αὐτῶν γραφόμενα. οὐδὲν γὰρ ἀξιόλογον ἐποίησαν.

BISETVS. Εἴξασι] ἐοίκασι, ἐοίκασι. παρὰ τὸ εἴκω, τὸ ὅμοιος τυγχάνω.

Σχόλια. Φέρε ποῖαι γάρ τινες.] ... ἐνταῦθα ὁ Σωκράτης ὡς ἐν ... τὰς Νεφέλας τοῦτο τὸ ... ἐχούσας, μεταγραφεὶς ἀλλοίας ὁρᾷ. Αὗται δὲ ῥῖνας ἔχουσιν.] εἰσεληλύθασιν οἱ χορευταὶ προσωπεῖα περικείμενοι μεγάλας ἔχοντα ῥῖνας, ... καὶ ἀσχήμονα. διόπερ φησὶν εἰκὸς αὐτὰς μὴ ἑωρακέναι διὰ τὸ μὴ Νεφελῶν ἀλλὰ γυναικῶν ὄψεις ἔχειν. ὃ τὴν ἀγνωσίαν αὐτοῦ παρέχει. δῆλον οὖν ὅτι ὁ τόπος ἐν τοῖς ... χορικά, ... ἐπὶ τῆς σκηνῆς οὕτως λέλεκται. τοῦ χοροῦ δὲ ἔξω ἑστῶτος καὶ κρυπτομένου, ἡ φωνὴ μόνη τοῖς ἔνδον ἐξηκούετο. οὐ γὰρ ... ἦν ἡ τῆς σκηνῆς ... καταστάσει ... προειρήκασι γὰρ διὰ τῶν Νεφελῶν ... Κενταύρῳ ὁμοίαν.] τὸ συμβαῖνον γίνεσθαι περὶ τὰς Νεφέλας διηγεῖται. πολλάκις γάρ εἰσι νέφη παρόμοια ζῴοις ἢ φυτοῖς ἢ ἀνθρωποειδῆ γινόμενα, ἢ ἄλλην τινὰ τοιαύτην ... εἰκότα. φησὶν οὖν ... εἰ αἱ Νεφέλαι γυναικῶν ἔχουσι μορφάς, καὶ γὰρ ἐν τῷ οὐρανῷ πολλὰς ἔχουσιν εἰ-

F

G

κόνας. τούτων δὲ ἐμνημόνευσεν, ἐκείνων εἰπεῖν μόνον, δι' ὧν λοιδορῆσαί τινας τῶν πολιτευομένων βούλεται. Κομήτην.] Κλεῖτον λέγει ὃς ἦν ἐπὶ κόμῃ ... ἀγρίους, δὲ καὶ καὶ ... ἐκάλουν τοὺς τὰς ... πράξεις ποιοῦντας. ... Ἱερώνυμον δὲ λέγει τὸν διθυραμβοποιόν. ὃς Ξενοφάντου μὲν ἦν παῖς, περὶ παιδίας δὲ ἄγαν ἐπτόητο. λάσιον δὲ εἶχε τὸ σῶμα. ἐπεὶ οὖν καὶ οἱ Ἱπποκένταυροι λάσιοι εἶχον τὸ σῶμα ... τὸ τῶν ἵππων μέρος, ὥστε καὶ ὁ πρὸς τοὺς Λαπίθας πόλεμος δι' ἀκρασίαν ἔρωτος αὐτοῖς συνέστη, εὐλόγως τῶν ... τινα θεωμένας, ἐξομοιοῦν αὐτὰς τῇ τῶν Κενταύρων ἰδέᾳ τὰς Νεφέλας παρήγαγεν. Τί γὰρ ἢν ἅρπαγα.] ... χρεωφιλέτης. τίνι ... αἱ Νεφέλαι ἑαυτὰς ἂν εἰκάσειεν, ἐὰν ... Σίμωνι, διαρπάζοντι καὶ νοσφιζομένῳ τὰ κοινά. ... Σίμων ἦν καὶ τῶν ἐν πολιτείᾳ ... τότε. καὶ πάντως τῶν δημοσίων τι ἐνοσφίσατο χρημάτων. μνημονεύει δὲ αὐτοῦ καὶ Εὔπολις ἐπὶ εἰς αὐτοῖς διαβάλλων αὐτὸν ἐγκλήματι οὕτως. ... Ἡρακλῆς ... ὑφείλετο. κωμῳδεῖται δὲ ... οἱ Ἀθηναῖοι, εἰς εὐθύνας ... κατεδήσαν. (BISETVS. ... τί δ' ἢν ἅρπαγα.)

Στ. Ταῦτ' ἄρα, ταῦτα Κλεώνυμον αὗται τὸν ῥίψασπιν χθὲς ἰδοῦσαι A
Ὅτι δειλότατον τοῦτον ἑώρων, ἔλαφοι διὰ τοῦτ' ἐγένοντο.
Σω. Καὶ νῦν ὅτι Κλεισθένη εἶδον, ὁρᾷς, διὰ τοῦτ' ἐγένοντο γυναῖκες.
Στ. Χαίρετε τοίνυν γ' ὦ δέσποιναι. καὶ νῦν εἴπερ τινὶ κἄλλῳ,
Οὐρανομήκη ῥήξατε κἀμοὶ φωνήν, ὦ παμβασίλειαι. B

ST. Hoc illud erat, quòd viso heri Cleonymo inermi & fugitiuo,
Cùm timidißimum eum aspicerent: ceruorum speciem aßimulârunt.
SO. Et nunc, quia viderant Clisthenem, ideò factæ sunt mulieres.
ST. Saluete ergo ô Dominæ, ô reginæ saluete omni potentes:
Et si cui vnquam alij, mihi cælos ferientem rumpite vocem.

Σχόλια. Κλεώνυμον.] τοῦτον ὡς δειλὸν καὶ ἐπὶ τῷ ῥῖψαι τὴν ἀσπίδα, εἴτε ἄλλοι κωμῳδοὶ διαβάλλουσι πάντες. καὶ ἐν τοῖς Σφηξὶν ὁ αὐτός. ὡς δειλὸς δὲ ἐν πολλοῖς κωμῳδεῖται. τὸ δὲ ἐχθὲς προσέθηκεν. ὡς ἐναργὸν τὸν Κλεωνύμου ῥιψάσπιδος γεγενημένου, καὶ χαιρομένως εἰς αἰσχύνην τοῦ δεδορκότος. πλεῖστα γὰρ τὴν συμφορὰν τὰ πλάσματα ἔχει τὰ ὑπόγυα. Καὶ νῦν ὅτι Κλεισθένη.] καὶ νῦν φησι διὰ τὸν Κλεισθένην ἐγένοντο γυναῖκες. ἐπὶ δὲ ἐπὶ κιναιδίᾳ διαβάλλεται. τοῦτον δὲ ὡς γυναικιζόμενον ὁ Ἀριστοφάνης διαβάλλει μόνον ἀλλὰ καὶ Κρατῖνος ἐν Πυλαίᾳ, λέγων οὕτως. λιπαρὸς ἔχων. γράφει αὐτὸς ἐν ἐπιεικείᾳ. γελοῖος ἔσται Κλεισθένη κυβεύων ἐν τῇ τοῦ κάλλους ἀκμῇ. τοῦτον ἰδοῦσαι φησὶν αἱ Νεφέλαι, εἰς γυναῖκας μετεμόρφωσαν ἑαυτάς. C

ΣΥΣΤΗΜΑ ΚΑΤΑ ΠΕΡΙΚΟΠΗΝ ΣΤΙΧΩΝ ϛ'.

CONGERIES SEX VERSVUM PER INCISIONEM.

Χο. Χαῖρ' ὦ πρεσβῦτα παλαιογενές, θηρατὰ λόγων φιλομούσων. D
Σύ τε λεπτοτάτων λήρων ἱερεῦ, φράζε πρὸς ἡμᾶς ὅ, τι χρῄζεις.
Οὐ γὰρ ἂν ἄλλῳ γ' ὑπακούσαιμεν τῶν νῦν μετεωροσοφιστῶν,
Πλὴν ἢ Προδίκῳ, τῷ μὲν, σοφίας καὶ γνώμης οὕνεκα. σοὶ δὲ,
Ὅτι βρενθύει τ' ἐν ταῖσιν ὁδοῖς, καὶ τὠφθαλμὼ παραβάλλεις, E
Κἀνυπόδητος κακὰ πόλλ' ἀνέχει. κἀφ' ἡμῖν σεμνοπροσωπεῖς.

CH. Salue nunc olim nate senex, ô sermonum sapientum
Venator: tuque sacerdos nugarum subtilium, ehodum
Dic, quid nos deinde velis: neque enim cuiquam alteri in vrbe hac (ramus,
Rerum cœlestium indagatori, morem ita ritè geNisi fortè Prodico: huic, propter consilium & doctum ingenium eius:
Tibi verò, quòd elatè hic incedis, circumfersque oculos: &
Discalceatus mala multa pateris, & in nos ore seuero es.

Σχ. Χαῖρ' ὦ πρεσβῦτα.] νῦν οὐχ ὡς σεμνόν τινα προσαγόρευσαι διὰ τὸν χρόνον, ἀλλ' ἀνόητον, τοὺς γὰρ εὐήθεις ἀρχαίους, καὶ παλαιοὺς, πρεσβύτας ἔλεγον. Θηρατά.] ἀντὶ τοῦ ἰχνευτὰ λόγων ἢ ζηλωτὰ ἢ μετιὼν λόγους. Ὅτι χρῄζεις.] ὅτι βούλοιο. Σωκράτην δὲ λέγουσι, τὸ δὲ λεπτοτάτων λήρων, ἀντὶ τοῦ συνετωτάτων, καὶ δυσπαρακολουθήτων λόγων. Πλὴν ἢ Προδίκῳ.] οὕτως ἡ ἀκολουθία ἔχει τοῦ λόγου. πλὴν ἢ Προδίκῳ καὶ σοί. ὁ δὲ ἄλλως τὸν λόγον ἐσχημάτισε τὸ μὲν σοὶ κατ' ἀρχὰς εἰπὼν, ἐπὶ τέλει δὲ ἐπιβαλών. μέμνηται δὲ νῦν τοῦ Προδίκου διὰ τὸ εὑρεῖν ὅτι μεγίστην δόξαν εἶχε περὶ αὐτῶν, ὡς ὑπὲρ πάντας ὢν τῇ σοφίᾳ. σοφιστὴς δὲ ἦν ὁ Πρόδικος Κεῖος τὸ γένος ἤκμασε δὲ κατὰ τοὺς χρόνους Σωκράτους. πρῶτος δὲ ἐπὶ τοῦ συνοικεσίου ἐπιτάγματι ... ἐποιήσατο. μνημονεύει δ' αὐτοῦ Πλάτων ἐν τῷ Πρωταγόρᾳ. καὶ Ξενοφῶν ἐν τοῖς ἀπομνημονεύμασιν, οὐ μὴν ἀλλὰ καὶ Ἀριστοφάνης ἐν Ταγηνισταῖς. τὸν ἄνδρα τοῦτον ἢ βιβλίον διέφθειρεν ἢ Πρόδικος, ἢ τῶν ἀδολεσχῶν εἷς γέ τις. διαβάλλει δὲ αὐτὸν καὶ ἐν Ὄρνισιν οὕτω. παρ' ἐμοῦ Προδίκῳ κλαίειν εἴπητε τολοιπὸν διδάσκαλος δὲ ἦν ὁ τοῦ Θηραμένους Κεθόρνου, ὃς τῶν τριάκοντα τυραννίδος συμμετέσχε. Κόθορνος δὲ ἐκαλεῖτο, ἐπεὶ ἐν τοῖς τριάκοντα συνιστάμενος, καὶ πλάσει τὸν Ἡρακλέα τῇ ἀρετῇ καὶ τῇ κακίᾳ συντυγχάνοντα, καὶ καλούσαιν ἑκατέρων ἐπὶ τὰ ἤθη αὐτῶν, προκλῖναι τὴν ἀρετὴν τὸν Ἡρακλέα. καὶ τοὺς ἐκείνης ἱδρῶτας προκρῖναι τῶν προσκαίρων τῆς κακίας ἡδονῶν. ἄλλως. ἐπικαθαιρέσει Σωκράτους τὸν Πρόδικον νῦν μέγαν ἀποφαίνει διαφέροντως. ἐπειδὴ σοφιστὴς ἦν μετεωρολόγος. ἐπὶ κιναιδίᾳ δὲ διεβάλλετο. Βρενθύει.] ἀποσεμνυνθεὶς σαυτὸν ἐν τῷ σχήματι καὶ γαυριῶν ὁρᾷς. F G

BISETVS. Βρενθύει.] Εὐστάθιος. βρενθύεσθαι, καλλωπίζεσθαι ἀλαζονικῶς. παρὰ τὸ βρένθος, ὃ τὴν ἀλαζονείαν δηλοῖ.

Σχόλια. Καὶ τὠφθαλμώ.] ἀπὸ τῶν ὀφθαλμῶν σεμνὴν τὴν ὄψιν ἔχεις. εἰσὶ γὰρ ἀνθρώπων τινὲς τοιοῦτοι σεμνοὶ μὲν φαίνεσθαι, οὐ κατὰ τὴν ὄψιν δὲ ἔχοντες καὶ τὰ ὑποδήματα. οὕτω δὲ ἐβάδιζε Σωκράτης καὶ Πλάτων. ἄλλως. σεμνύνῃ καὶ μέγα φρονεῖς. οἱ γὰρ ὑποδεδεκότες αὐτοῖς, σοβαρῶς πεφύκασι βαδίζειν. ὡς τὸν μὲν Πρόδικον ὄντα σοφοῦ. τὸν δὲ Σωκράτους κενὴν μόνον ἐπὶ σοφίᾳ δόξαν καρπούμενον.

Στρ. Ὦ γῆ τοῦ φθέγματος, ὡς ἱερὸν καὶ σεμνὸν καὶ τερατῶδες.
Σω. Αὗται γάρ τοι μόναι εἰσὶ θεαί· τἄλλα δὲ πάντ᾽ ἐστὶ φλύαρος.
Στρ. Ὁ Ζεὺς δ᾽ ἡμῖν φέρε πρὸς τῆς γῆς ὁ ὑλύμπιος οὐ θεός ἐστιν;
Σω. Ποῖος Ζεύς; οὐ μὴ ληρήσεις, οὐδ᾽ ἐστὶ Ζεύς. Στρ. τί λέγεις σύ;
Ἀλλὰ τίς ὕει; τουτὶ γὰρ ἔμοιγ᾽ ἀπόφηναι πρῶτον ἁπάντων.
Σω. Αὗται δήπου, μεγάλοις δὲ σημείοις ἐγώ σ᾽ αὐτὸ διδάξω.
Φέρε. ποῦ γὰρ πώποτ᾽ ἄνευ Νεφελῶν ὕοντ᾽ ἤδη τεθέασαι;
Καίτοι χρῆν, αἰθρίας ὕειν αὐτόν. ταύτας δ᾽ ἀποδημεῖν.
Στρ. Νὴ τὸν Ἀπόλλω, τούτῳ γέ τοι τῷ νυνὶ λόγῳ εὖ προσέφυσας.
Καί τοι πρότερον τὸν Δί᾽ ἀληθῶς ᾤμην διὰ κοσκίνου οὐρεῖν.
Ἀλλ᾽ ὅστις ὁ βροντῶν ἐστι, φράσον. τοῦτό με ποιεῖ τετρεμαίνειν.
Σω. Αὗται βροντῶσι κυλινδόμεναι. Στρ. τῷ τρόπῳ ὦ πάντα σὺ τολμῶν.
Σω. Ὅταν ἐμπλησθῶσ᾽ ὕδατος πολλοῦ, κἀναγκασθῶσι φέρεσθαι
Κατακρημνάμεναι πλήρεις ὄμβρου δι᾽ ἀνάγκην, εἶτα βαρεῖαι
Εἰς ἀλλήλας ἐμπίπτουσαι ῥήγνυνται καὶ παταγοῦσιν.
Στρ. Ὁ δ᾽ ἀναγκάζων ἐστὶ τίς αὐτάς; οὐχ ὁ Ζεὺς ὥστε φέρεσθαι;
Σω. Ἥκιστ᾽, ἀλλ᾽ αἰθέριος Δῖνος. Στρ. Δῖνος, τουτί μ᾽ ἐλελήθει.
Ὁ Ζεὺς οὐκ ὤν, ἀλλ᾽ ἀντ᾽ αὐτοῦ Δῖνος νυνὶ βασιλεύων;
Ἀτὰρ οὐδέπω περὶ τοῦ πατάγου καὶ τῆς βροντῆς μ᾽ ἐδίδαξας.
Σω. Οὐκ ἤκουσάς μου. τὰς Νεφέλας ὕδατος μεστὰς ὅτι φημὶ
Ἐμπιπτούσας εἰς ἀλλήλας παταγεῖν διὰ τὴν πυκνότητα;

A ST. *O tellus, quæ vox hæc? quàm sacra? quàm grauis & prodigiosa?*
SO. *Sanè hæ solæ sunt Deæ amicæ nobis: alia omnia, nugæ.*
ST. *At Iuppiter Olympius, age dic per terram, an non Deus ipse est?*
SO. *Quinam Iuppiter? oh, ne nugeris, non est Iuppiter vllus.*
B ST. *Quid ais? quis pluit ergo? hoc expedias ante omnia nobis.*
SO. *Hæ scilicet: id quod multis ego te signis ritè docebo.*
Age dic, vbi tu Iouem vnquam vidisti sine Nube pluentem?
At oportebat eum, his amotis, cæli pluere axe sereno.
C ST. *Ita per Phœbum: huic tu rationi bene te nunc applicuisti.*
Nam ego Iouem antehac censebam per magnum aliquod meiere cribrum.
Verùm age, dic mihi, quis tonat? etenim hoc mihi terrorem incutit ægro.
SO. *Hæ quippe tonant, cùm prouoluuntur.* ST. *homo audacissime: qui dum?*
SO. *Vbi repletæ fuerint multa aqua, & impulsæ, vt vi cieantur,*
D *Et postea suspensæ, plenæ imbri, vti necesse, inde graues, &*
Collapsæ in se inuicem: ibi rumpuntur demum, edunt que fragorem.
ST. *Sed quisnam est, qui impellit eas, annon Iuppiter, vt cieantur?*
SO. *Minimè, sed turbo æthereus.* ST. *turbo? hoc verò me antè latebat.*
E *An non est Iuppiter? an nunc habet imperium pro Ioue turbo?*
Sed tu me nondum de tonitru atque fragore illo docuisti.
SO. *Non percepisti me? dico, si aquis Nubes fortè redundent,*
Collapsas in se inuicem, & addensatas, dare ab axe fragorem.

F

Σχόλια. Καί τοι χρῆν] ἀντὶ τοῦ, καί τοι ἐχρῆν. αἰθρίας οὔσης ὕειν αὐτόν. εἰ τὸ βρέχειν ἦν φησιν ἐν τῇ τοῦ Διὸς ἐξουσίᾳ, καὶ μὴ τῶν Νεφελῶν ἦν τοῦτο τὸ ἔργον, ἐχρῆν αὐτὸν καθ᾽ ἑαυτὸν ὕειν ἄνευ Νεφελῶν. ἄλλως. δοκεῖ τοῦτο κατὰ Μύσκελλον ἱστορίας εἰρῆσθαι τὸ λεχθέν. Μυσκέλλῳ γάρ φασι χρησμὸν δοθῆναι κτίζειν πόλιν, ὅπου ἂν αὐτὸς ἐξ αἰθρίας ὑετὸς λάβῃ. ὁ δὲ, ᾤετο οὐκ ἄν ποτε ὑπ᾽ αὐτοῦ κτισθήσεσθαι πόλιν διὰ τὸ ἀδύνατον τοῦ χρησμοῦ. παραγενομένου δ᾽ αὐτοῦ περὶ τὴν G Ἰταλίαν καὶ ἀμηχανοῦντος περὶ τὴν κτίσιν, παρακαθίσασαν τὴν παλλακίδα δακρύειν ἐπ᾽ αὐτῷ ὀδυρομένῳ. καὶ τέλος εἰληφέναι τὸ χρηστήριον διὸ καὶ εὐθὺς ἔκτισε τὴν πόλιν. Τετρεμαίνειν.] κατὰ ἀναδιπλασιασμὸν ἀντὶ τοῦ φρίττειν καὶ δεδιέναι. τὸ γὰρ τρέμειν καὶ πάλλεσθαι τὸ σῶμα τῶν ἄγαν εὐλαβουμένων. Κρημνάμεναι.] κρεμάμεναι ἐκ τοῦ ἀέρος. ἢ ἐπικρεμάμεναι ἀλλήλαις καὶ ἐπιβαρούμεναι. περιττὸν δὲ τὸ εἶτα. Παταγοῦσιν.] ἠχοῦσιν. Ὅμηρος. Πάταγος δὲ διὰ στόμα γίνετ᾽ ὀδόντων. Αἰθέριος δῖνος.] καὶ τοῦτο ἐθρυλλεῖτο παρὰ τοῖς φυσικοῖς. τουτέστι δίνησις ἡ αἰθερία. ταῦτα δὲ ἐκ τῶν Ἀναξαγορείων λαμβάνει. Δῖνος νυνὶ βασιλεύων.] ἔγγυθεν ἔλαβε ἐκ τοῦ Διός. ὥσπερ εἰ ἔλεγε μὴ βασιλεύειν τὸν Δία, ἀλλὰ Δῖνον. οὐχ ὅτι τὴν δίνησιν ὑποβάλλει, ἐκ τούτου Δῖνος εἶπεν, ἀλλὰ κεραμεικῶν ἐστι βαθὺ ποτήριον ὃ καλεῖται Δῖνος. ὅπερ ἄνω εὐρύτερον ὄν, κάτω εἰς ὀξὺ λήγει. τὸ γὰρ γελοῖον ἐκ τούτου εἰς τὴν τοῦ Δίνου παρείληφε διάνοιαν.

Στρ. Φι-

Στ. Φέρε τουτὶ πῶς χρὴ πιστεύειν; Σω. ἀπὸ σαυτοῦ ᾽γώ σε διδάξω.
Ἤδη ζωμοῦ Παναθηναίοις ἐμπλησθεὶς, εἶτ᾽ ἐταράχθης
Τὴν γαστέρα, καὶ κλόνος ἐξαίφνης αὐτὴν διεκορκορύγησε;
Στ. Νὴ τὸν Ἀπόλλω. καὶ δεινὰ ποιεῖ γ᾽ εὐθύς μοι καὶ τετάρακται.
Χ᾽ ὥσπερ βροντὴ τὸ ζωμίδιον παταγεῖ. καὶ δεινὰ κέκραγεν.
Ἀτρέμας πρῶτον παππάξ. κἄπειτ᾽ ἐπάγει παπαπαππάξ.
Χ᾽ ὅταν χέζω κομιδῇ βροντᾷ παπαπαππὰξ ὥσπερ ἐκεῖναι.
Σω. Σκέψαι τοίνυν γ᾽ ἀπὸ γαστεριδίου τυννουτουὶ οἷα πέπορδας.
Τὸν δ᾽ ἀέρα τόνδ᾽ ὄντ᾽ ἀπέραντον, πῶς οὐκ εἰκὸς μέγα βροντᾶν.
Ταῦτ᾽ ἄρα καὶ τὠνόματ᾽ ἀλλήλοιν, βροντὴ καὶ πορδὴ ὁμοίω.
Στρ. Ἀλλ᾽ ὁ κεραυνὸς πόθεν αὖ φέρεται λάμπων πυρί. τοῦτο δίδαξον.
Καὶ καταφρύγει βάλλων ἡμᾶς, τοὺς δὲ ζῶντας περιφλύει.
Τοῦτον γὰρ δὴ φανερῶς ὁ Ζεὺς ἵησ᾽ ἐπὶ τοὺς ἐπιόρκους.
Σω. Καὶ πῶς ὦ μῶρε σὺ, καὶ Κρονίων ὄζων, καὶ βεκκεσέληνε,
Εἴπερ βάλλει τοὺς ἐπιόρκους πῶς δῆτ᾽ οὐχὶ Σίμων᾽ ἐνέπρησεν,

A ST. *Cedò, quomodo possim hoc credere?* SO. *ego hoc in teipso exinde docebo.*
Nonne in Panathenaicis ubi iam iure oppletus tibi venter
Fuerit, túque illum commôrû subitum murmur sonat intus?
ST. *Ita, per Phœbum: illicet horrendum intonat, exoritúrque tumultus:*
B *Et iusculum, uti tonitru, strepit intus: tum fragor editur ingens:*
Primò sensim, Pappax, mox inde infert sonitum, Papappax:
Et quando caco, tùm demum papapappax intonat, ut & illæ.
SO. *Iam tu igitur conice si è tantillo tam grande pepederis alvo,*
C *Qui non fiet aquum, hunc immensum aera, & ipsum grande tonare?*
Atque hinc crepitus & tonitrus nomina sono æquantur eodem.
ST. *Sed quæso, unde ignitum istud fulmen decidit? hoc doceas me.*
Nam ferens nos & frigore percellit, & amburit: & æquus
D *Iuppiter hoc ipsum in periuros, celsa iaculatur ab arce.*
SO. *Et quomodo tu fatue, & Lunatice, qui Saturnia oles si*
Periuros fulmine plectit) quomodo non etiam ille Simonem

Σχόλια. Ἀπὸ σαυτοῦ ᾽γώ σε διδάξω.] εἰς τὸ σεαυτοῦ τελείαν ςικτέον. ἐπεὶ σύνθετόν ἐστι καὶ ἀμετάβατον γίνεται, ὑφ᾽ ἓν λέγουσι. Ζωμοῦ Παναθηναίοις.] ἐν τοῖς Παναθηναίοις αἱ Ἀττικαὶ τοῖς Ἀθηναίοις πόλεις ἔπεμπον βοῦς. ὅθεν ἡ δαψίλεια τῶν κρεῶν. ἄλλως. ἤδη ποτὲ ἐν τοῖς Παναθηναίοις ἐπόρισάς σου ζωμοῦ τὴν γαστέρα. τὰ δὲ Παναθήναια ἑορτὴ παρ᾽ Ἀθηναίοις ἐστὶ μεγίστη παρὰ πάντων ᾀδεται. ἐπεὶ οὖν ἐν τοῖς Παναθηναίοις πᾶσαι πόλεις αἱ ἀπὸ τῶν Ἀθηνῶν ἀποικισθεῖσαι βοῦν θυσόμενον ἔπεμπον, συνέβαινεν ἄφθονα εἶναι τῶν κρεῶν ὥστε πληροῦσθαι πάντας καὶ παρὰ τὸ δέον ἐσθίοντας, διὰ τὴν ἀφθονίαν τῶν κρεῶν.

BISETVS. Παναθηναίοις] Σ. Παναθήναια Ἀθήνησιν ἑορτὴ ἐπὶ τῷ ὑπὸ Θησέως γινομένῳ συνοικισμῷ. πρῶτον μὲν ὑπὸ τοῦ Ἐρεχθέως τοῦ Ἡφαίστου, καὶ τῆς Ἀθηνᾶς. ὕστερον δὲ ὑπὸ Θησέως συναγαγόντος τοὺς δήμους εἰς ἄστυ. ἄγεται δὲ ὁ ἀγὼν διὰ πέντε ἐτῶν. καὶ ἀγωνίζεται παῖς Ἴσθμια, οὐ πρεσβύτερος. καὶ ἀγένειος, καὶ ἀνήρ. τῷ δὲ νικῶντι δίδοται ἆθλον, ἔλαιον ἀμφιφορεῦσι. καὶ ὁ νικῶν στεφανοῦται ἐλαίᾳ πλεκτῇ. διττὰ δὲ τὰ Παναθήναια ἤγετο Ἀθήνησι. τὰ μὲν καθ᾽ ἕκαστον ἐνιαυτὸν, τὰ δὲ, διὰ πενταετηρίδος, ἃ καὶ μεγάλα ἐκάλουν.

Σχόλια. Εἶτ᾽ ἐταράχθης.] εἶτα συνέβη κινηθῆναι καὶ διαταραχθῆναι τὴν γαστέρα. Καὶ κλόνος ἐξαίφνης.] καὶ στρόφος τις καὶ εἰλιξ αὐτῇ συνέπεσε. διεκορκορύγησε δὲ ἀντὶ τοῦ ἦχησε. κορκορυγεῖν γάρ ἐστι τὸ τὴν γαστέρα λαλεῖν μόνον. ἢ ἐμιμήσατο τῇ φωνῇ τῶν ἐντέρων τὸν ἦχον. Ἀπὸ γαστριδίου τυννουτουὶ.] οἷα ἐστὶ τὸ τυννουτουὶ πόσον δηλοῖ συνάγων δὲ τοὺς δακτύλους ἐρεῖ τυννὸν γὰρ τὸ μικρόν. ὅτε δὲ

ἔλαβεν ὁμολογοῦντα τὸν πρεσβύτην, τότε προσάγειν αὐτὸν ἐπιχειρεῖ τῇ συγκρίσει. καί φησι, θαυμάζεις εἰ βροντῶσιν αἱ Νεφέλαι πάντα κατέχουσαι τὸν οὐρανὸν, ὅτε ἀπὸ μικρᾶς οὕτω τῆς σῆς οὔσης κοιλίας τοσοῦτος ἦχος ἀπὸ τῶν πορδῶν γίνεται. Τὠνόματ᾽ ἀλλήλοιν] διὰ τοῦτο καὶ τὰ τοιαῦτα ὀνόματα ἀλλήλοις εἶναι δοκεῖ προσφερῆ καὶ ὅμοια τῆς βροντῆς καὶ τῆς πορδῆς. ἔπαιξε δὲ παρὰ τὸ ὁμοιοκατάληκτον. Καὶ καταφρύγει.] λέγεται γὰρ ὅτι πολλάκις ὁ κεραυνὸς ἀψάμενος, οὐκ ἀναιρεῖ, ἀλλὰ περιφλέγει μόνον. ἄλλως, καταφρύγει, καταίθει. περιφλύει δὲ περιεργάζει ἐπιπολῆς. τὸ δὲ ζῶντας, τινὲς ἀντὶ τοῦ πλουσίους ἤκουσαν. Κρονίων ὄζων.] ἀπὸ ἀρχαϊκῆς συνηθείας ὀδμώδους. ἔστι δὲ Κρόνια παρὰ τοῖς Ἕλλησιν ἑορτή. τὰ παρὰ Ῥωμαίοις καλούμενα Σατουρνάλια, ἢ Ἀπατούρια. Βεκκεσέληνε.] Σεσόγχωσις ὁ βασιλεὺς τῶν Αἰγυπτίων κοσμοκράτωρ γεγονὼς, ἠθέλησε γνῶναι τοὺς ἀρχαιοτέρους τῶν ἀνθρώπων. καὶ τροφόν τινα γλωττοτομήσας ἀπέκλεισε μετὰ βρέφους. αὐξηθέντος οὖν καὶ βοῶντος βὲκ, ἤκουσε καὶ ἔγνω ὁ βασιλεὺς, ὅτι ἀρχαιότεροι ἦσαν οἱ Παφλαγόνες. παρ᾽ αὐτοῖς δὲ ὁ ἄρτος βὲκ λέγεται. συνθέτως δὲ εἶπε τὴν λέξιν βεκκεσέληνε. ἐπεὶ καὶ G οἱ Ἀρκάδες προσέληνοι ἐλέγοντο. Ἀπολλώνιος Ἀρκάδες οἱ καὶ πρόσθε σεληναίης ὑδέονται. τοῦτο δὲ τούτοις οἱ περὶ τὸν Λούκιλλον τὸν Ταρραῖον καὶ Σοφόκλειον καὶ Θέωνα ἑρμηνεύοντες τάδε φασίν. οἱ Ἀρκάδες δοκοῦσι πρὸ τῆς σελήνης γεγονέναι ὡς καὶ Εὔδοξος ἐν τῇ περιόδῳ. Θεόδωρος δὲ ἐν τῇ εἰκοστῇ δευτέρᾳ, ὀλίγῳ πρότερόν φησι τοῦ πρὸς γίγαντας πολέμου Ἡρακλέους τὴν σελήνην φανῆναι. καὶ Ἀρεσίας ὁ Χῖος ἐν

τὰς θύσιας. καὶ Διονύσιος ὁ Χαλκιδεὺς ἐν πρώτῳ κτίσεως. καὶ ἔθνος φησὶν Ἀρκαδίας, σεληνίτας εἶναι. Μνασέας δέ φησι Προσέληνον Ἀρκάδων βασιλεῦσαι. Ἀριστοτέλης δὲ ἐν τῇ Τεγεατῶν πολιτείᾳ φησὶν ὅτι βάρβαροι τὴν Ἀρκαδίαν ᾤκησαν. οἵτινες ἐξεβλήθησαν ὑπὸ τῶν νῦν Ἀρκάδων πρὸ τοῦ ἐπιτεῖλαι τὴν σελήνην. διὸ καὶ προσωνομάσθησαν Προσέληνοι. Δοῦρις δὲ ἐν τῷ πεντεκαιδεκάτῳ τῶν Μακεδονικῶν Ἀρκάδα φησὶν ἀφ' οὗ ἡ Ἀρκαδία καλεῖται, Ὀρχομενοῦ υἱόν. διὸ καὶ ποταμὸν τῆς Ἀρκαδίας Ὀρχομενόν. τινὲς δέ φασιν Ἐνδυμίωνα εὑρηκέναι τὰς περιόδους τῆς σελήνης. ὅθεν καὶ Προσελήνους τοὺς Ἀρκάδας κληθῆναι. ἔνιοι δὲ ὑπὸ Τυφῶνος. ὑπὸ δὲ Ἄτλαντος καὶ Ξεναγόρας εἴρηκεν. ἄλλως. ἀντὶ τοῦ ἀρχαῖε καὶ μωρέ. τοὺς γὰρ μωροὺς ἀρχαίους ἐκάλουν ἀπὸ τῆς ἱστορίας. τοὺς Ἀρκάδας κατὰ τοὺς πρὸ σελήνης χρόνους, ἐν ταῖς ἐρήμοις διάγειν ἢ ὑπὸ ταῖς ὕλαις καὶ ἐκ τῶν ἀποπιπτόντων καρπῶν διαζῆν. φιλονεικησάντων δέ ποτε Ἀρκάδων καὶ τῶν Φρυγῶν καὶ Περσῶν περὶ τοῦ ἀρχαιότατος καὶ εἰς κρίσιν ἐλθόντων, Ψαμμήτιχος ὁ βασιλεὺς Αἰγύπτου λαβὼν δύο ἀρτίτοκα παιδία, ἔν τινι ἀπέκλεισε τόπῳ καὶ αἶγας ἐποίησε ταῦτα θηλάζειν. ἄλλοι δέ φασιν οὐκ αἶγας, ἀλλὰ τὰς αὐτῶν μητέρας, ἐκτετμημένας τὰς αὐτῶν γλώττας ἵνα μὴ δύνωνται διδάσκεσθαι ὁμιλουσῶν ἀλλήλαις τὰ παιδία. ἔπειτα μετὰ τριετῆ χρόνον ἐκέλευσε σιωπῶντα ἄνδρα εἰσελθεῖν πρὸς αὐτά. εἰσελθόντος δὲ αὐτοῦ προσεπήδησαν τὰ παιδία λέγοντα βεκ. ἔστι δὲ τοῦτο Φρυγιστί, ἄρτος. ἐκ τούτου Φρύγες ἐφάνησαν ἀρχαιότεροι. ἀπὸ ἱστορίας οὖν εἴρηται ἡ λέξις. ἔστι δὲ παρ' Ἡροδότῳ ἔνθα περὶ Ψαμμητίχου φησί. δέον δὲ εἰπεῖν προσέληνε, τὸ βεκ παρέπλεξεν, ὅπερ ἐστὶ κατὰ Φρύγας ἄρτος. οἷον σεληνόβλητε καὶ ἀπόπληκτε.

Οὐδὲ Κλεώνυμον, οὐδὲ Θέωρον. καίτοι σφόδρα γ' εἴσ' ἐπίορκοι.
C Ἀλλὰ τὸν αὑτοῦ γε νεὼν βάλλει, καὶ Σούνιον ἄκρον Ἀθηνῶν.
Καὶ τὰς δρῦς τὰς μεγάλας. τί παθών; οὐ γὰρ δὴ δρῦς ἐπιορκεῖ.
Στ. Οὐκ οἶδ'· ἀτὰρ εὖ λέγειν φαίνει. τί γάρ ἐστι δῆθ' ὁ κεραυνός;
Σω. Ὅταν εἰς ταύτας ἄνεμος ξηρὸς μετεωρισθεὶς κατακλεισθῇ,
D Ἔνδοθεν αὐτὰς ὥσπερ κύστιν φυσᾷ. κᾆπειθ' ὑπ' ἀνάγκης
Ῥήξας αὐτὰς, ἔξω φέρεται σοβαρὸς, διὰ τὴν πυκνότητα,
Ὑπὸ τοῦ ῥοίβδου καὶ τῆς ῥύμης, αὐτὸς ἑαυτὸν κατακαίων.
Στ. Νὴ Δί'· ἔγωγ' οὖν ἀτεχνῶς ἔπαθον τουτί ποτε Διασίοισιν.
E Ὀπτῶν γαστέρα τοῖς συγγενέσιν, κᾆτ' οὐκ ἔχων ἀμελήσας.
Ἡ δ' ἄρ' ἐφυσᾶτ'· εἶτ' ἐξαίφνης διαλακήσασα πρὸς αὐτώ
Τὠφθαλμώ μου προσετίλησε, καὶ κατέκαυσεν τὸ πρόσωπον.

Atque Theorum, atque Cleonymum eodem sacro percutit igni:
Quandoquidem supra modum & illi periuri: sed in aedem
Ipse suam furit, & concutit, aut excelsa cacumina Suni,
Aut rigidas quercus, quid ab his patitur? nunquam peierat ilex?
ST. *Ego nescio, nam mihi videre tu non male dicere: sed quid* (*nectus, ibique*
Ipsum est fulmē? SO. *quādo ventus in ipsas sub-*
Inclusus fuerit: tūc ipsas, ceu vesicā, inflat: & ac
Vi, nubē perrūpit: & extra violento cum impete fertur, (*adurit.*
Propter crassitiem, atque à stridore & vi sesemet
ST. *Per Iouem. Equidem ego isthuc inscitè in Diali festo, aliquando*
Expertus sum: cùm ventriculum assarem agnatis: negligensq;
Cultro non aperirem, ut spiritus exiret: ibi ille repente
Fuit inflatus, mediúsque crepans, oculos mihi polluit ambos (*adussit.*
Et stercore cōmaculauit: faciémque mihi feruor

Σχόλια. Σφόδρα γ' εἴσ' ἐπίορκοι.] οὗτοι οὓς εἶπεν, ὡς ἐπίορκοι καὶ εἰς ἀλλήλους κακοὶ κωμῳδοῦνται. Καὶ Σούνιον ἄκρον Ἀθηνέων.] χλεύης ἐστὶν ἐκ στίχου τοῦ ἀλλοτρίου ὡς ἔφη Διονύσιος ὁ Ἁλικαρνασσεὺς ἐν τῷ περὶ ἑρμηνείας. ἐπεί τι γὰρ ὁ Ζεὺς κωμῳδεῖσθαι δοκεῖ, ἀλλ' Ὅμηρος, καὶ ὁ στίχος Ὁμήρειος. Τὰς δρῦς γε τὰς μεγάλας.] ἐπεὶ τοῖς ὑψηλοῖς καὶ τοῖς δένδρεσιν ἐμπίπτει ὁ κεραυνός. σημειωτέον δὲ ὅτι Πελοποννήσιοι ἀρσενικῶς λέγουσι τοὺς δρῦς. Οὐκ οἶδ' ἀτάρ.] ἐστενοχωρήθη ὑπὸ τῶν Σωκράτους λόγων. Ξηρός.] ἥσυχος καὶ θερμὸς καὶ μηδεμίαν ὑγρασίαν ἔχων. φησὶ δὲ ὅτι ἄνεμος ἐμπεσὼν ταῖς Νεφέλαις, καὶ ὑπό τινος ἀνάγκης ἐλαυνόμενος, σφοδρότερον πνεύσας καὶ διαρρήξας ἀπορρήγνυσιν ἐξ αὐτῶν τὸν κεραυνόν.

BISETVS. Ξηρὸς] τὸ ἐπίθετον ξηρὸς ἐν αὐτῷ τούτῳ τοῦ Ἀριστοφάνους στίχῳ εἶναι ὀφείλει, ὡς ἐκ τῶν τοῦ σχολιαστοῦ ῥημάτων δηλοῦται, ὅπερ ἐν ἄλλοις τῶν παλαιῶν ἀντιγράφων ἐλλειπῶς ἔχει.

Σχόλια. Κατακλεισθῇ.] ἀντὶ τοῦ στενοχωρηθῇ, συσχεθῇ καὶ μεῖζον καὶ σφοδρότερον πνεύσῃ. ἐντεῦθεν δὲ δῆλον ὡς πυκνότατόν ἐστι τὸ τῶν νεφῶν σῶμα. εἰ γὰρ ἦν ἀραιόν, διεφορεῖτ' ἂν ὁ ἄνεμος κατ' ὀλίγον. Ὥσπερ κύστιν.] τὴν κοιλίαν. τὴν φῦσαν. εἴρηται δὲ φῦσα ἀφ' οὗ φυσᾶν πέφυκε, κύστις δὲ κοιλίας διενήνοχε. τὸ μὲν γὰρ τῆς ὑγρᾶς περιττώσεως δεκτικὸν μόριον, ὀνομάζεται κύστις. τὸ δὲ τῆς ξηρᾶς, κοιλία, ὡς Ἀριστοτέλης περὶ ζώων ἱστορίας. ῥήξας δὲ διασκεδάσας. διασκορπίσας. Διασίοισιν.] Ἀθήνησιν ἑορτὴ Μειλιχίου Διός, μηνὸς Ἀνθεστηριῶνος φθίνοντος. Ἀπολλώνιος δὲ ὁ Ἀχαρνεὺς διακρίνει τὰ Διάσια ἀπὸ τῆς τοῦ Μειλιχίου Διὸς ἑορτῆς ὀνομάσθαι λέγων. ὡς δέ τινες ἀπὸ τοῦ φυγεῖν αὐτοὺς ταῖς εὐχαῖς τὰς ἄτας. ἄλλως. ἑορτὴ Διὸς τὰ Διάσια Ἀθήνησιν. ἐν ᾗ πανδημεὶ ἔξω τείχους συνιόντες, ἑορτάζουσιν.

Κᾆτ'

Κατ' ἐνέχων.] ἐνέχαζον. Ἀττικῶς ἔκλινεν. ἐνεδίνουν. ἐνέχισα. ποιοῦσι δὲ τοῦτο, ἵνα μὴ διαρραγῇ. ἄλλως. ἐνέχαζον. εἰώθασι δὲ κεντεῖν καὶ χέζειν, δίοδον χαριζόμενοι τῷ πνεύματι. ἔστι δὲ ἀπὸ τοῦ χάω χῶ. ἐξ οὗ τὸ χάζω, ὡς ἀπὸ τοῦ χλοῶ χλοάζω καὶ χνοῶ χνοάζω. Ἠδ' ἄρ

A ἐβροντᾶτο.] ἀγκοῦτο ἐπαιρομένων τῶν ἀρτύσεων. διαλακήσασα δὲ διαρραγεῖσα, λακὶς γὰρ τὸ σχίσμα. Προσετίλησε.] προσερράντισεν. οἰκείως δὲ νῦν προσετίλησε χρῆται ὡς ἐπὶ κοιλίας.

ΣΥΣΤΗΜΑ ΚΑΤΑ ΠΕΡΙΚΟΠΗΝ ΣΤΙΧΩΝ η.

B

Σω. Ὦ τῆς μεγάλης σοφίας ἐπιθυμήσας ἄνθρωπε παρ' ἡμῶν.
Ὡς εὐδαίμων ἐν Ἀθηναίοις καὶ τοῖς Ἕλλησι γενήσει,
Εἰ μνήμων εἶ καὶ φροντιστὴς καὶ τὸ ταλαίπωρον ἔνεστιν
Ἐν τῇ ψυχῇ, καὶ μὴ κάμνεις, μήθ' ἑστὼς, μήτε βαδίζων. C
Μήτε ῥιγῶν ἄχθει λίαν. μήτε γ' ἀριστᾶν ἐπιθυμεῖς.
Οἴνου τ' ἀπέχει καὶ γυμνασίων, καὶ τῶν ἄλλων ἀνοήτων.
Καὶ βέλτιστον τοῦτο νομίζεις, ὅπερ εἰκὸς δεξιὸν ἄνδρα.
Νικᾶν, πράττων καὶ βουλεύων, καὶ τῇ γλώττῃ πολεμίζων.
Στρ. Ἀλλ' ἕνεκέν γε ψυχῆς στερρᾶς, δυσκολοκοίτου τε μερίμνης, D
Καὶ φειδωλοῦ καὶ τρυσιβίου γαστρὸς καὶ θυμβρεπιδείπνου,
Ἀμέλει θαρρῶν, ἕνεκα τούτων ἐπιχαλκεύειν παρέχοιμ' ἄν.
Σω. Ἄλλο τι δῆτ' οὐ νομιεῖς εἶναι θεὸν οὐδένα πλὴν ἅπερ ἡμεῖς.
Τὸ Χάος τουτὶ καὶ τὰς νεφέλας καὶ τὴν γλῶτταν, τρία ταυτί. E
Στρ. Οὐδ' ἂν διαλεχθείην ἀτεχνῶς τοῖς ἄλλοις οὐδ' ἂν ἀπαντῶν.
Οὐδ' ἂν θύσαιμ' οὐδ' ἂν σπείσαιμ' οὐδ' ἐπιθείην λιβανωτόν.
Χο. Λέγε νῦν ἡμῖν, ὅ,τι σοι δρῶμεν θαρρῶν. ὡς οὐκ ἀτυχήσεις
Ἡμᾶς τιμῶν καὶ θαυμάζων καὶ ζητῶν δεξιὸς εἶναι.
Στρ. Ὦ δέσποιναι. δέομαι τοίνυν γ' ὑμῶν, τουτὶ πάνυ μικρόν, F
Τῶν Ἑλλήνων εἶναί με λέγειν ἑκατὸν σταδίοισιν ἄριστον.
Χο. Ἀλλ' ἔσται σοι τοῦτο παρ' ἡμῶν. ὥστε τὸ λοιπόν γ' ἀπὸ τουδὶ

SYSTEMA PER INCISIONEM VERSVVM OCTO.

SO. O praclare sapientia amator: eam qui quaris apud nos:
Quàm tu inter Athenienses felix posthac eris atque beatus,
Si memor es & indagator: & arumna patientia cordi
Tuo inest: neque fatigaris vel stando multùm, vel eundo:
Neque doles algens: neque prandere appetis: atque insuper omni
Vino abstines, atque exercitijs, & nugis alijs: &
Optimum id esse omnino ducis, quod conueniens viro honesto
Vincere agendo, consultando, bellando fulmine lingua.
ST. *At ego pro duro animo, pro somnifuga cura inuenienda,*
Pro parco, & vitam discrucianti ventre, & non nisi thymbram
Comedente, (bono sis tantum animo) me incudem tibi dare possim.
SO. *Ergo iam nihil aliud esse Deum credes: numina prater*
Hac nostra, Chaos, Nubes & Linguam: tria primordia rerum.
ST. *Imò alijs Dijs ne loquar ego quidem: licet offerar ipsis*
Obuiam: neque sacrificem: neque libem: neque thus ingeram in aras.
CH. *Agè nunc, dic nobis audacter, quid vis tibi nos faciamus?*
Nam si colere nos, atque admirari, tum industrius esse
Ita pergas: nũquã fortuna posthac vteris iniqua.
ST. *O domina, oro vos igitur, rem non magnam: nempe, vti Gracos*
Alios omnes dicẽdo cẽtũ stadijs vincere possim.
CH. *Sanè hoc erit à nobis: vt ab hoc iam deinceps tempore nemo*

Σχόλια. Μήτε ῥιγῶν.] ἐν γὰρ μόνῳ τῷ τρίβωνι ἐχείμαζον οἱ φιλόσοφοι μηδὲν ἐσθίοντες. Οἴνου τ' ἀπέχει.] G τὸ αὐτὸ ἐνεστὶ Σωκράτης. ἀλλὰ πίνειν μὲν αὐτὸν φησὶ πλεῖστον. νήφειν δὲ καὶ τὰ συνήθη πράττειν. Ἀνοήτων.] τῶν ἀφροδισίων. τῆς τοιαύτης λαγνείας. τὸ γὰρ ἀνοηταίνειν, μωραίνειν διὰ τὸ ἀφροδισιάζειν ἔλεγον.

BISETVS. Ἀνοήτων] Εὐριπίδης ἐν Τρῳάσι.
Τὰ μῶρα γὰρ πάντ' ἐστὶν Ἀφροδίτη βροτοῖς,
Καὶ τοὔνομ' ὀρθῶς ἀφροσύνης ἄρχει θεᾶς.

Σχόλια. Τῇ γλώττῃ πολεμίζων.] τῇ γλώττῃ πολεμοῦσι τοὺς ἐναντίους οἱ ῥήτορες. ἐκ τούτων δὲ δείκνυσι τῶν τριῶν, ὡς ἐστὶν ἄριστος ἐν ἀνθρώποις, ὃς ἔν τε πράξει καὶ βουλῇ καὶ λόγῳ τοὺς ἄλλους νικᾷ. τὸ δὲ δυσκολοκοίτου δυσκόλως κοιμηθείσης. τρυσιβίου δὲ, κεκολασμένης καὶ κατατρυχούσης τὸν βίον. Θυμβρεπιδείπνου.] θύμβρα εἶδος λαχάνου. ἀφ' οὗ δῆλον ὅτι λάχανα μόνον ἤσθιον εὐτελῆ. ἐκ δὲ

τὸ λαχάνω τότε καλούμενον τὸ εὐτελῶς καὶ φειδωλῶς ζῶντα θυμβρεπίδειπνον. Ἐπιχαλκεύσειν.] παρὰ σύνθεσις οἱονεὶ ἄκμων. Τὸ Χάος τουτί.] Χάος λέγει τὸν ἀέρα. παρὰ τὸ κεχύσθαι. ἐτίμων δὲ καὶ τὴν γλῶτταν καὶ ἔτεκον τὴν πολυλογίαν. Οὐδ' ἂν διαλεχθείην.] ἀντὶ τοῦ οὐδὲ φροντίσαιμι. Οὐκ ἀτυχήσεις.] οὐκ ἀποτεύξῃ. ἀντὶ τοῦ τεύξῃ ὧν ἐθέλεις. δεξιὸς δὲ ἀντὶ τοῦ πεπαιδευμένος.

Ἐν τῷ δήμῳ γνώμας μεγάλας οὐδεὶς νικήσει πλείονας ἢ σύ.

Στρ. Μή μοι λέγετε γνώμας μεγάλας. οὐ γὰρ τούτων ἐπιθυμῶ,

Ἀλλ' ὅσ' ἐμαυτῷ στρεψοδικῆσαι, καὶ τοὺς χρήστας διολισθεῖν.

Χο. Τεύξει τοίνυν γ' ὧν ἱμείρεις. οὐ γὰρ μεγάλων ἐπιθυμεῖς.

Ἀλλὰ σεαυτὸν παράδος θαρρῶν τοῖς ἡμετέροις προπόλοισιν.

Στρ. Δράσω τοῦθ' ὑμῖν πιστεύσας. ἡ γὰρ ἀνάγκη (με πιέζει.

Διὰ τοὺς ἵππους τοὺς Κοππατίας, καὶ τὸν γάμον ὅς μ' ἐπέτριψεν.

Magnas sententias in populo plures queat vincere, quàm tu.

SI. Nihil dicatis de magnis sententijs: neque enim expeto nosse:

Sed quantum ad me, facite, vt ius innertam, perdámque Danistas.

CH. Sanè perfacile voti compos eris: neque enim ardua poscu.

Sed bono es animo, & nostris teipsum informãdum trade ministris. (torquet,

ST. Isthuc faciam, vobis fretus: quia me penuria

Propter equos Coppatias, & coniugium, quod me male perdit.

Σχόλια. Γνώμας μεγάλας.] δημηγορίας. Στρεψοδικῆσαι.] στρέψαι τὰς δίκας. πρὸς ταύτην δὲ τὴν λέξιν καὶ τὸ ὄνομα πεποίηται τῷ γέροντι Στρεψιάδης. τὸ δὲ τοὺς χρήστας διολισθεῖν. τοὺς δανειστὰς ἐκφυγεῖν. Προπόλοισι] προσφυξί καὶ θεράπουσι. λέγει δὲ τοῖς φιλοσόφοις. πιέζει δέ, στενοχωρεῖ, ἀναγκάζει. Τοὺς Κοππατίας] μετὰ τοῦ χαράγματος καὶ τοὺς ἐκκεκοφότας αὐτοῦ τὴν οὐσίαν δηλοῖ. Ὅς μ' ἐπέτριψεν.] ὃς αἴτιός μοι πάντων τῶν συμβάντων κακῶν. ἢ δι' ὃν ἐδυστύχησα.

ΔΡΑΜΑΤΟΣ ΤΟΥ ΠΡΩΤΟΥ Σκηνὴ πέμπτη.

ΣΤΡΕΨΙΑΔΗΣ ΜΟΝΟΣ.

Bisetus. Στρεψιάδης ἑαυτὸν ταῖς Νεφέλαις, καὶ τῷ Σωκράτει παντάπασιν διδασκαλίας, καὶ μαθήσεως χάριν ἐπιτρέπει.

Νῦν οὖν χρήσθων ἀτεχνῶς ὅ τι βούλονται.

Τουτὶ τό γ' ἐμὸν σῶμ' αὐτοῖσι

Παρέχω τύπτειν. πεινῆν. διψῆν.

Αὐχμεῖν. ῥιγοῦν. ἀσκὸν δέρειν.

Εἴπερ τὰ χρέα διαφευξοῦμαι,

Τοῖς ἀνθρώποις τ' εἶναι δόξω.

Θρασὺς. εὔγλωττος. τολμηρὸς. ἴτης.

Βδελυρὸς. ψευδῶν συγκολλητής.

Εὑρησιεπής. περίτριμμα δικῶν.

Κύρβις. κρόταλον. κίναδος. τρύμη.

ACTVS I. SCENA V.

STREPSIADES SOLVS.

Nunc ergò vtantur me, vti libitum est:

Ego meum hoc corpus prabebo,

Ad percutiendum, esuriendum,

Sitiendum, squalescendum, etiam

Algendum & pellem excoriandum:

Dummodo debita sic effugiam.

Neque me commoueat, si me homines

Dicant audacem, linguacem,

Petulantem, pracipitem, impurum,

Nugarum confabricatorem,

Fictorem verborum, rabulam,

Crepitaculum & astutam vulpem,

Σχόλια. Νῦν οὖν χρήσθων.] ἡ ἔκθεσις τῆς διπλῆς κώλων ἐστὶν ὁμοίων ἀναπαιστικῶν ιη. ὧν τὸ πρῶτον τρίμετρον βραχυκατάληκτον. τὰ δὲ ἑξῆς δίμετρα ἀκατάληκτα, πλὴν τοῦ δωδεκάτου καὶ ἑπτακαιδεκάτου, ἀναπαιστικῶν βάσεων παρατελεύτων καλουμένων, καὶ τοῦ τελευταίου ἑφθημιμεροῦς ὄντος, καὶ παροιμιακοῦ ὡς εἴρηται καλουμένου. ἐπὶ τῷ τέλει δύο διπλαῖ ἔξω νενευκυῖαι. Χρήσθων.] κατὰ δυϊκὴν προφορὰν ὡς δυϊκὸν ἔχον τὸν σχηματισμόν. πληθυντικῶς δὲ νῦν λέλεκται χρήσθωσαν. ἀττικὴ δὲ ἡ τοιαύτη σύνταξις. ἐστὶ ποιούντων ὁκεῖνοι, ἀντὶ τοῦ ποιείτωσαν. φρονούντων, ἀντὶ τοῦ φρονείτωσαν, ὡς καὶ ἐνταῦθα. νῦν φησι, τὴν ἐξουσίαν αὐτοῖς παραδίδωμι τοῦ ἐμαυτοῦ σώματος. Τύπτειν.] ὑπὲρ τοῦ πιστεύεσθαι ἐμμένειν αὐτὸν τοῖς ὑποκειμένοις, προσέθηκε πλέον ἢ ἐκεῖνοι προσέταξαν. ὁ γὰρ τὸ μεῖζον ἐπαγγελλόμενος ὑπομένειν, πῶς οὐκ ἂν τὸ ἧττον ἐνέγκοι ῥᾳδίως. Ἀσκὸν δέρειν.] ἀντὶ τοῦ τὸ σῶμα ἐκδέρειν, εἰ δέοι καταφρονήσειν ἐκδερομένου τοῦ σώματος. Ἴτης.] ἰταμός. ἀναιδής. καὶ διὰ αὐτῶν χωρῶν τῶν πραγμάτων. Βδελυρός.] καὶ τὸν πόρνον οὕτως ἐκάλεσεν ὡς ἐν τῷ κατὰ Τιμάρχου Αἰσχίνης. καὶ τὸν μίσους ἄξιον. καὶ τὸ μισεῖσθαι βδελύττεσθαι. ἢ τὸν ἀνελεύθερον. τὸ δὲ ψευδῶν συγκολλητής, ἀντὶ τοῦ ψευδοπλάστης. Κύρβις.) ἡ σανὶς ἔνθα ἦσαν οἱ νόμοι γεγραμμένοι. λέγει οὖν, εἰ ταῦτα ἄλλα δόξαιμι τοῖς πολλοῖς καὶ ἔμπειρος εἶναι τῶν νόμων καὶ τῶν λόγων, ἡδέως ἂν ὑπομείναιμι πᾶν ὁτιοῦν παθεῖν. ἄλλως. κύρβις ὁ περίεργος. ὃν οὐκ ἔστι λαβεῖν. ἢ μνήμαιον. καὶ γὰρ αἱ κύρβεις πρὸς μνήμην εἰργάζοντο. Ἀπολλόδωρος δέ φησι πᾶσαν δημοσίαν γραφὴν καὶ νόμους κύρβεις καλεῖσθαι. ὅτι οἱ ἀρχαῖοι λίθους ἱστάντες, τὰ δόξαντα ἀνεγράφοντες, ὡς μὲν ἀπὸ τῆς στάσεως στήλας, κύρβεις δὲ ἀπὸ τῆς εἰς ὕψος

ψος ἀναβάσεως, ὕστερον δὲ τὰ ξύλα λελευκωμένα γράφοντες, ὁμοίως ἐκάλεσαν. κύρβεις οὖν ἡ περιέχουσα τὰς ἱερὰς γραφὰς στήλη. ἢ ὥς Ἐρατοσθένης φησὶν ἄξων Ἀθήνησιν οὕτω καλούμενος, ἐν ᾧ οἱ νόμοι περιέχονται. Πλούταρχος δὲ ἐν τῷ Σόλωνος βίῳ περὶ αὐτοῦ λέγων, ἰσχὺν δέ φησι τοῖς νόμοις πᾶσιν εἰς ἑκατὸν ἔδωκεν ἐνιαυτούς. καὶ ἐγκατεγράφησαν εἰς ξυλίνους ἄξονας ἐν πλαισίοις περιέχουσι στρεφομένους, ὧν ἔτι καθ' ἡμᾶς ἐν Πρυτανείῳ λείψανά τινα διεσώζετο. καὶ προσηγορεύθησαν ὡς Ἀριστοτέλης φησὶ κύρβεις. καὶ Κρατῖνος ὁ κωμικὸς, εἴρηκέ που πρὸς τοῦ Σόλωνος καὶ Δράκοντος. οἷσι νῦν φρύγουσιν ἤδη B τὰς κάγχρυς ταῖς κύρβεσιν. ἔνιοι δέ φασιν ἰδίως ἐν οἷς ἱερὰ καὶ θυσίαι περιέχονται κύρβεις. ἄξονας δὲ, τοὺς ἄλλους

A ὠνομάσθαι. Κρόταλον] εὔστομος καὶ εὔγλωττος ὡς τὰ κρόταλα. λάλος. Κίναδος.] εἶδός τι θηρίου. καὶ Δημοσθένης ἐν τῷ περὶ στεφάνου. τοῦτο δὲ καὶ φύσει κίναδος τἀνθρώπιόν ἐστιν. οἱ δὲ, πᾶν μὲν θηρίον κίναδος ἀξιοῦσι καλεῖσθαι, ἰδίως δὲ τὴν ἀλώπεκα. καὶ Σοφοκλῆς (ἐν Αἴαντι μαστιγοφόρῳ) ὃ τοὐπίτριπτον κίναδος ἐξήρυμ᾽ ὅπου. πανοῦργος οὖν φησιν ὡς ἀλώπηξ. τινὲς δὲ, κίναδος ζῷον μικρὸν τὸ αἰδοῖον εἴσωθεν καὶ ἔξωθεν. Τρύμη.] ὁ περιτετριμμένος ἐν τοῖς πράγμασιν, ὃν ἡμεῖς τρύπανον καλοῦμεν. τρύμα καὶ τρῆμα τὴν ὀπὴν φασι. θέλει οὖν εἰπεῖν λεπτολόγος καὶ εὔστομος ὡς τρύπανον. τρύμη οὖν, τρύπανον ὡς πάντων περιγινόμενον, ἢ τριὸς καὶ ταλαίπωρος. ἢ τριμαλιά.

Μάσθλης. εἴρων. γλοιός. ἀλαζών.
Κέντρων. μιαρός.
Στρόφις. ἀργαλέος. ματιολοιχός.
Ταῦτ᾽ εἴ με λέγουσιν ἀπαντῶντες,
Δρώντων ἀτεχνῶς ὅ, τι χρῄζουσι.
Κεἰ βούλονται νὴ τὴν Δήμητρ᾽
Ἔκ μου χορδὴν
Τοῖς φροντισταῖς παραθέντων.

Veteratorem, malitiosum,
Simulatorem, iactabundum,
Lubricum item, centonem, atque hominem
Spurcum & fœdum,
Versutum, difficilem, frivolum.
C *His si me criminibus lacerent*
Occursantes faciant ut lubet.
Et si voluerint, per Cererem,
Ex me chordam
Isti apponunto magistris.

Σχόλια. Μάσθλης.] ἰδίως καλεῖται ὁ ἱμάς ὁ κατειργασμένος καὶ ἔκλυτος. μάσθλης οὖν ὁ πολυτρόπων καὶ μηδὲν βέβαιον μηδὲ σταθερὸν γινώσκων. ἀλλ' ἄλλο μὲν νοῶν, ἄλλο δὲ ποιῶν, οἱονεὶ τοὺς τρόπους ἔκλυτος. μάσθλης οὖν ὁ μεμαλαγμένος λῶρος. λέγει οὖν τὸν ὀλισθηρὸν καὶ διαβατικόν. Εἴρων.] πάντα παίζων ὑπὸ εἰρωνείας εἰρωνευόμενος. Γλοιός.] τὸ αὐτὸ δηλοῖ τῷ μάσθλης. εἴληπται δὲ ἡ μεταφορὰ ἀπὸ τοῦ ἐν τοῖς βαλανείοις ἐλαίου πεπηγότος. ὅπερ τοὺς ἐπιλαμβανομένους διολισθαίνειν πέφυκε. τοιοῦτος οὖν ὁ πρεσβύτης εὔχεται γενέσθαι τοὺς τρόπους, ἵνα διολισθαίνειν καὶ φεύγειν δύνηται τοὺς δανειστάς. καὶ μέχρι δὲ τοῦ δεῦρο τοὺς τῇ γνώμῃ σκάζοντας, καὶ μηδὲν σταθερὸν φρονοῦντας, ἀλλὰ ἄλλα μὲν ἐπαγγελλομένους, ἄλλα δὲ πράσσοντας, διὰ τὸ τῆς γνώμης ὀλισθηρὸν καὶ ἄπιστον, γλοιοὺς καλοῦμεν. ἢ γλοιὸς λέγεται ὁ ῥύπος τοῦ ἐλαίου. λέγει οὖν τὸν ῥυπαρὸν τοὺς τρόπους. ἄλλως. γλοιὸς, ἐπὶ τοῦ ῥυπαροῦ καὶ μικροῦ καὶ μικρολόγου παραλαμβάνεται. καὶ γὰρ ὁ ῥυπαρὸς διὰ τὴν ἄσκησιν συνήγγισε τῷ γλοιῷ. ἐπὶ δὲ τὸ ἦθος μετενεχθὲν τὸ μοχθηρὸν δηλοῖ καὶ D ὀλισθηρὸν καὶ εὐμετάβολον. Κέντρων.] φανερὸς κλέπτης. ὅτι βασανιζομένοις αὐτοῖς κέντρα προσφέρουσιν. ἢ κέντρων, τουτέστι χαλεπὸς καὶ φεκτός. καθὸ καὶ τοὺς ἡνιόχους κεντροτύπους καλοῦμεν τοὺς τοῖς κέντροις τύπτοντας. κέντρων δέ ἐστι τὸ ἐπιβαλλόμενον τοῖς ὄνοις ἐκ πολλῶν καὶ διαφόρων συρραφὲν ῥακίων καὶ ἐπίβλημα τῶν ὄνων. ἄλλως. οἱ ἐκ τῶν ἄλλων συνηθροισμένοι ἐπὶ τοιαῦτά τινα τοῖς ὑποζυγίοις ῥιπτούμενα καλοῦνται κέντρωνες. οἱ δὲ τὸ λοίδορον ἀκούουσιν. οἱονεὶ κεντροτύπος ὁ κεκεντρωμένος καὶ φεκτός. Στρόφις.] ἀπὸ τοῦ στρόφιγγος ἡ μεταφορά. ὅτι εὔστροφος καὶ εὐκίνητος ἐν τοῖς πράγμασι. λέγεται δὲ στρόφιγξ καὶ τοῖς σωλῆσιν ἐμβαλλόμενον, ὥς τε τοῦ ὕδατος ἐπέχειν ὅτε τις θελήσει καὶ αὖ πάλιν ἀνιέναι E φοράν. Ματιολοιχός.] ἤτοι ὁ χρυσομέτρης. μάτιον γὰρ εἶδος μέτρου. ἢ ὁ φειδωλὸς καὶ σμικρολόγος. ἢ ὁ μυκτηριστής. ὀξυνει δὲ Ἡρωδιανός. ἢ μάταιον τὸ ἐλάχιστον, ἤτοι τὸν μάταια βουλευόμενον καὶ λοχῶντα.

BISETVS. Δρώντων] δρώντων, καὶ παραθέντων ἀττικῶς ἀντὶ τοῦ, δράτωσαν, παραθέτωσαν.

ΔΡΑΜΑΤΟΣ ΤΟΥ ΠΡΩΤΟΥ
Σκηνὴ ἕκτη.

ΣΩΚΡΑΤΗΣ, ΣΤΡΕΨΙΑΔΗΣ,
ΧΟΡΟΣ.

ACTVS I. SCENA VI.

F SOCRATES, STREPSIADES,
CHORVS.

Σω. Λῆμα μὲν πάρεστι τῷδε
Οὐκ ἄτολμον, ἀλλ' ἕτοιμον. ἴσθι δ' ὡς
Ταῦτα μαθὼν παρ' ἐμοῦ,

Huic adest virile pectus
Non iners, sed impigrum. at tu iam dehinc
Scito, quòd hæc capiens,

Σχόλια. Λῆμα μὲν πάρεστι.] ἐπέκθεσις τῆς διπλῆς ἀμοιβαία, ἐκ κώλων κ. ὧν τὸ πρῶτον τροχαϊκὸν δίμετρον ἀκατάληκτον. τὸ δεύτερον τροχαϊκὸν τρίμετρον καταληκτικόν. τὸ τρίτον δακτυλικὸν πενθημιμερές. τὸ τέταρτον ἀναπαιστικὸν πενθημιμερές. τὸ πέμπτον τροχαϊκὸν δίμετρον βραχυκατάληκτον ὃ καλεῖται Φερεκράτειον ἀτελές. τὸ ἕκτον ἰαμβικὴ βάσις. τὸ ἕβδομον, ἀναπαιστικὸν δίμετρον βραχυκατάληκτον. τὸ ὄγδοον, ὅμοιον. τὸ ἔνατον ἰαμβικὸν πενθημιμερὲς, ὃ προῦχον καλεῖται. τὸ G δέκατον ὅμοιον τῷ τρίτῳ. τὸ ἑνδέκατον ὅμοιον τῷ ἕκτῳ. τὸ δωδέκατον τροχαϊκὸν πενθημιμερές. τὸ τρισκαιδέκατον ἀναπαιστικὴ βάσις. τὸ τεσσαρεσκαιδέκατον ὅμοιον τῷ ἐνάτῳ. τὸ πεντεκαιδέκατον δακτυλικὸν ἑφθημιμερὲς, ὃ Ἀλκμάνειον καλεῖται. τὸ ἑκκαιδέκατον ὅμοιον τῷ τετάρτῳ. τὸ ἑπτακαιδέκατον ὅμοιον τῷ τρίτῳ. τὸ ὀκτωκαιδέκατον, ὅμοιον τῷ ἐνάτῳ. τὸ ἐννεακαιδέκατον ὃ

ἀπαρτέλωτον ὀνομάζεται, δακτυλικὴ βάσις. τὸ εἰκοστὸν, A ὅμοιον τῷ ... ἑκάτερ.

Κλέος οὐρανόμηκες
Ἐν βροτοῖσιν ἕξεις.
Στ. Τί πείσομαι;
Σω. Τὸν πάντα χρόνον μετ' ἐμοῦ,
Ζηλωτότατον βίον ἀ-
νθρώπων διάξεις.
Στ. Ἆρά γε τοῦτ' ἄρ' ἐγὼ
Ποτ' ὄψομαι;
Σω. Ὥς τέ σου πολλοὺς
Ἐπὶ ταῖσι θύραις
Ἀεὶ καθῆσθαι,
Βουλομένους ἀνακοινοῦσθαί
Τε καὶ ἐς λόγον ἐλθεῖν
Πράγματα κἀντιγραφὰς
Πολλῶν ταλάντων
Ἄξια σῇ φρενὶ
Συμβουλευσομένους μετὰ σοῦ.
Χο. Ἀλλ' ἐγχείρει τὸν πρεσβύτην, ὅ,τι περ μέλλεις προδιδάσκειν
Καὶ διακίνει τὸν νοῦν αὐτοῦ, καὶ τῆς γνώμης ἀποπειρῶ.
Σω. Ἄγε δὴ κάτειπέ μοι σὺ τὸν σαυτοῦ τρόπον,
Ἵν' αὐτὸν εἰδὼς ὅστις ἐστὶ μηχανὰς
Ἤδη 'πὶ τούτοις πρὸς σὲ καινὰς προσφέρω.
Στρ. Τί δαί; τειχομαχεῖν μοι διανοεῖ πρὸς τῶν θεῶν;
Σω. Οὔκ, ἀλλὰ βραχέα σου πυθέσθαι βούλομαι,
Εἰ μνημονικὸς εἶ. Στ. Δύο τρόπω νὴ τὸν Δία.
Ἢν μέν γ' ὀφείληταί μοι, μνήμων πάνυ.
Ἐὰν δ' ὀφείλω, σχέτλιος ἐπιλήσμων πάνυ.
Σω. Ἔνεστι δῆτά σοι λέγειν ἐν τῇ φύσει;
Στ. Λέγειν μὲν οὐκ ἔνεστ', ἀποστερεῖν δ' ἔνι.
Σω. Πῶς οὖν δυνήσει μανθάνειν; Στ. Ἀμέλει καλῶς.
Σω. Ἄγε νῦν ὅπως ὅταν τι προβάλωμαι σοφὸν
Περὶ τῶν μετεώρων, εὐθέως ὑφαρπάσει.
Στ. Τί δαί; κυνηδὸν τὴν σοφίαν σιτήσομαι;
Σω. Ἄνθρωπος ἀμαθὴς οὑτοσὶ καὶ βάρβαρος.
Δέδοικά σ' ὦ πρεσβῦτα, μὴ πληγῶν δέῃ.
Φέρ' ἴδω τί δρᾷς, ἤν τίς σε τύπτῃ. Στ. Τύπτομαι.
Κἄπειτ' ἐπισχὼν ὀλίγον, ἐπιμαρτύρομαι.
Εἶτ' αὖθις ἀκαρῆ διαλιπὼν, δικάζομαι.

Decus vsque ad Olympum
Proferes in orbe.
ST. *Quid hinc feram?*
SO. *Quid? tempore iam reliquo*
Vitam speciosissimam ages
Mecum beatus.
ST. *Quando erit hoc igitur*
B *Vt aspiciam?*
SO. *Tum tuas multos*
Faciam ante fores
Semper sedere:
Qui tua consilia exquirant,
Cupiántque loqui ad te:
Dignáque mox pretto
Rescripta tecum,
C *Atque negocia*
Tractent, ex animo vsque tuo.
CH. *Eia, aggredere hunc vetulum, quae constituisti iam antè, docere:*
Animum ipsius praetenta, & vires explora ingenij eius.
SO. *Age tu, dic primùm hoc mihi, qui sint mores tui?*
D *Vt illis cognitis, cuiusmodi sient,*
Nouas in te admoueam nunc machinas meas.
ST. *Quid ergò? vtrum tu expugnare hîc me cogitas?*
SO. *Nō, sed pauca ex te interrogare volo. valen' Memoria?* ST. *Ita per Iouem: & gemino sanè modo.*
Nam si mihi quis debet: memor sum scilicet:
Sin ego cui debeo: obliuiosus sum nimis.
E SO. *Sed nullàne vis dicendi tibi naturâ inest?*
ST. *Vis dicendi haud inest, sed vis spoliandi inest.*
SO. *Quomodo igitur poteris discere?* ST. *Quietus es.*
SO. *Vide sis, vt si quid de rebus sublimibus*
Proposuero doctum, tu isthuc surripias statim.
ST. *Quid? vtrúmne ego doctrinam arripiam, quasi canis?*
F SO. *Homo hic ineptus, & rudis est, & barbarus.*
Metuo tibi, senex, ne flagris egeas. age
Si quis te verberat, quid pateris? ST. *Verbera.*
Sed vbi me paulum continui, testes cito:
Rursum acquiescens paulum, mox in ius voco.

Σχόλια. Οὐρανόμηκες.] μέγιστον καὶ τὸ ἐπουράνιον κλέος εἶπε. πάλιν δὲ ὡς φιλόσοφος ἀπὸ τοῦ οὐρανοῦ τὴν λέξιν παρήγαγε, διὰ τὸ διδάσκειν τὰ οὐράνια. Πράγματα G κἀντιγραφάς.] οὕτω γὰρ ἐκάλουν τὰς δίκας πάσας, πράγματα κἀντιγραφὰς διὰ τὰς ἀντιθέσεις καὶ λύσεις τῶν ἐπιφερομένων. τὸ δὲ ἑξῆς ἀνακοινοῦσθαι τὰ πράγματα καὶ τὰς ἀντιγραφάς. Ἄξια σῇ φρενί.] τὰ ἄξια πράγματα σοῦ τῇ σῇ φρενὶ βουλευσομένους. Ἀλλ' ἐγχείρει.] ἐν ἐκθέσει δίστιχον ἀναπαιστικὸν τετράμετρον καταληκτικόν. εἰώθασι γὰρ μετὰ τὰς τοιαύτας περιόδους ἐπάγειν δίστιχον. ἐπὶ τοῦ τέλους τῆς μὲν ἐπεκθέσεως, δύο συνήθως διπλαῖ ἔξω νενευκυῖαι. τοῦ δὲ διστιχίου παράγραφος. καλεῖται δὲ ταῦτα πολυσχημάτιστα, διὰ τὸ διάφορα δέχεσθαι μέτρα. τὰ δ' ἐφεξῆς λϛ ἰαμβικά εἰσιν ἀκατάληκτα τρίμετρα. ὧν τελευταῖον, χωρεῖ τί κυπτάζεις ἔχων περὶ τὴν θύραν. ἐπὶ τῷ τέλει κορωνίς. Τειχομαχεῖν μοι διανοεῖ] ἐντεῦθεν παρίστησι τὴν ἑαυτοῦ διάνοιαν. τὸ γὰρ μηχανὰς οὐχ ὡς ὁ Σωκράτης εἶπεν οὕτω καὶ αὐτὸς ἐνόησεν. ἀλλ' εἰς τειχομαχικὰ ὄργανα. ἐξε-

πίτηδες

πίτηδες δὲ ὁ ποιητὴς ταύτην τὴν λέξιν τέθεικεν. Ἀποστερεῖν δ' ἐπι.] πρὸς ἰσοσκέλειαν ἀπήκτον. καὶ ὅδε τὸ αὐτὸ ὁ γέρων βούλευμα. τὸ γὰρ αὐτῷ σπουδάζεται τὸ ἀποστερεῖν τοὺς δανειστάς. Ἀμέλει] παρέλκει, ἀδίκη δὲ ἡ φράσις. ἀντὶ τοῦ μὴ ἀθύμει. Ὑφαρπάσει.] ἀπὸ κοινοῦ δευτέρου προσώπου, ἀντὶ τοῦ ὑφαρπάσῃ. ἔπαιξε δὲ διὰ τοῦ ὑφαρπάσαι αἰνιττόμενος τὴν κυνικὴν φιλοσοφίαν. ἴσως δὲ κἀκεῖνος ἐκ τῶν κυνικῶν φιλοσόφων ἔλαβε τὸ κυνικόν.

Σω. Ἴθι νυν κατάθου θοἰμάτιον. Στ. Ἠδίκηκά τι;	SO. Agè nunc, vestem depone. ST. Quid feci mali?
Σω. Οὔκ. ἀλλὰ γυμνοὺς εἰσιέναι νομίζεται.	SO. Nihil: sed nudos ingredi leges iubent.
Στ. Ἀλλ' οὐχὶ φωράσων ἔγωγ' εἰσέρχομαι. B	ST. Atqui ego non ingredior, vt hinc auferam aliquid.
Σω. Κατάθου. τί ληρεῖς; Στ. Εἰπὲ δή νυν μοι τοδί.	SO. Depone, quid nugaris? ST. Dic hoc iam mihi,
Ἢν ἐπιμελὴς ὦ καὶ προθύμως μανθάνω,	Si diligens fuero, atque cupidè didicero:
Τῷ τῶν μαθητῶν ἐμφερὴς γενήσομαι;	Cuinam similis ex discipulis tuis ero?
Σω. Οὐδὲν διοίσεις Χαιρεφῶντος τὴν φύσιν.	SO. Nihil ab ingenio Charephontis differes.
Στ. Οἴμοι κακοδαίμων, ἡμιθνὴς γενήσομαι;	ST. Væ mihi misero: nam fiam semimortuus.
Σω. Οὐ μὴ λαλήσεις. ἀλλ' ἀκολουθήσεις ἐμοί, C	SO. Non fies, ne dixis: sed sequere me ocyus,
Ἀνύσας τι, δευρὶ θᾶττον. Στ. Ἐς τὼ χεῖρέ νυν	Vt perficias aliquid, propera. ST. In manum prius
Δός μοι μελιτοῦτταν πρότερον. ὡς δέδοικ' ἐγώ,	Des mellitam placentam. Vah, vt mihi metuo,
Εἴσω καταβαίνων ὥσπερ ἐς Τροφωνίου.	Intrans, non secus ac si antrum adeam Trophonij.
Σω. Χώρει. τί κυπτάζεις ἔχων περὶ τὴν θύραν.	SO. Perge, quid hîc ita circumspectas iuxta ostium?

D

Σχόλια. Ἴθι νυν κατάθου] ὅπερ ἐποίουν ἐπὶ τῶν μυουμένων τὰ μυστήρια. ἀποδύσαι δὲ αὐτὸν βούλεται τὴν ἐσθῆτα. ὡς μέλλων δὲ ἐκεῖνος τύπτεσθαι, φησίν· ἠδίκηκά τι; ὁ δὲ τερατευόμενος ὡς ἐπὶ τῶν μυουμένων γυμνὸν εἰσάγει αὐτόν. Ἀλλ' οὐχὶ φωράσων] ἔθος ἦν τοὺς εἰσιόντας εἰς οἰκίαν τινὸς ἐπὶ τῷ ἐρευνῆσαι, γυμνοὺς εἰσιέναι, ἵνα μή τι ὑπὸ τὰ ἱμάτια κρύψαντες λάθωσιν, ἢ ἵνα μὴ ὑπὸ ἔχθρας λάθωσιν ὑποβαλόντες τὸ ζητούμενον, καὶ ζημίας αἴτιοι τούτῳ γένωνται. οἱ γοῦν μέλλοντες εἰσιέναι ἵνα ἐπιθεάσωνται χρήματα τὰ δημόσια, ἢ κατερευνᾶν, γυμνοὶ εἰσῄεσαν ἵνα μή τι ἀποκρύψωνται. E Ἡμιθνὴς γενήσομαι.] ἐπεὶ ἰσχνὸς καὶ ὠχρὸς τὴν ἰδέαν ὁ Χαιρεφῶν. ἅτε φιλοσοφίᾳ συνεστηκώς, παρὸ ἐκαλεῖτο νυκτερὶς καὶ πύξινος. Μελιτοῦτταν.] μάζαν τῷ μέλιτι δεδευμένην. ἔφερον δὲ αἰς ἐδόκουν τοῖς ὄφεσιν. Ὥσπερ ἐς Τροφωνίου.] ὁ Τροφώνιος ἐγένετο λιθοξόος ἄριστος. ὃς κατεσκεύασεν ἱερὸν ἐν τῇ Λεβαδείᾳ τῆς Βοιωτίας ὑπόγειον, ὃ καλεῖται Τροφωνίου. ὅπου οἱ μυούμενοι καθίενται ἐπὶ τοῦ στόματος γυμνοί, καὶ ἁρπάζονται ὑπό τινων πνευμάτων καὶ φέρονται ὑπὸ τὴν γῆν. F ἐπειδὴ δὲ ἀπαντῶσι δαίμονες καὶ ὄφεις καὶ ἄλλα τινὰ ἑρπετά, βαστάζουσι πλακοῦντά τινα καὶ ῥίπτουσιν ἐπὶ τὸ ἐκφυγεῖν. καὶ μετὰ τὴν μύησιν, δι' ἄλλου στόματος ἀναρριπτοῦνται. ἄλλως. οὕτως ὁ Χάραξ. Ἀγαμήδης ἄρχων Στυμφήλου τῆς Ἀρκαδίας, ἔγημεν Ἐπικάστην. ἧς παῖς ἦν Τροφώνιος Σκότιος. οὗτοι τοὺς τότε ὑπερβάλλοντες πάντας εὐτεχνίᾳ, τὸν τε ἐν Δελφοῖς Ἀπόλλωνος ναὸν ἠργολάβησαν. ἐν Ἤλιδι δὲ ταμιεῖον χρυσοῦν κατεσκεύασαν Αὐγέᾳ. οὗ καταλείψαντες ἁρμὸν λίθου, νύκτας εἰσιόντες ἔκλεπτον τῶν χρημάτων ἅμα Κερκυόνι. ὃς ἦν γνήσιος Ἀγαμήδους καὶ Ἐπικάστης υἱός. G ὡς δὲ ἠπόρει λίαν Αὐγέας, ἐπιδημήσαντα Δαίδαλον ἔπεισε κατὰ φυγὴν Μίνωος, ἐντείνουσαν ἐξιχνιῦσαι τὴν παγίδα. ὁ δὲ παγίδας ἔστησεν. αἷς περιπεσὼν Ἀγαμήδης ἀναιρεῖται. Τροφώνιος δὲ τὴν κεφαλὴν αὐτοῦ τεμὼν πρὸς τὸ μὴ γνωσθῆναι, ἅμα Κερκυόνι φεύγει εἰς τὸν Ὀρχομενόν. Αὐγέας δὲ κατὰ κέλευσιν Δαιδάλου ὑπὲρ τὴν τῶν αἱμάτων ἔκλυσιν ἐπιδιώκοντος, καταφεύγουσιν ὁ μὲν Κερκύων εἰς Ἀθήνας ὡς Καλλίμαχος. Ὀρέφυγεν μὲν Ἀρκαδίαν, ἡμῖν δὲ κακὸς παρενάσατο γείτων. ὁ δὲ ἕτερος εἰς Λεβάδειαν τῆς Βοιωτίας, ἣν κατώρυχον ποιησάμενος οἰκήσειν, διετέλει. τελευτήσαντι δὲ αὐτῷ μαντεῖον ἀτρεκὲς ἐφάνη αὐτόσε. καὶ θύουσιν αὐτῷ ὡς θεῷ. προσεκλήθη δὲ υἱὸν Ἀλεξάνδρου. ἄλλως. Ἐν μὲν τοῖς παλαιοῖς ἀντιγράφοις οὕτως εὑρον. πρῶτον μὲν ὅτι οἱ περὶ Ἀγαμήδην υἱοὶ Ἀπόλλωνος καὶ Ἐπικάστης. οἱ δὲ Διὸς καὶ Ἰοκάστης. οἱ δὲ Ἐργίνου. εἶτα ὡς Δαίδαλος μὲν τὸ τεχνίον ἐποίησεν, αὐτοὶ κυκλοθέντες ἐκλεψαν. καὶ τῷ ἑτέρῳ φυγόντι διωχθῆναι ἔξαρα περὶ Λεβάδειαν. ὕστερον δὲ Βοιωτοῖς λιμωττουσιν ἔχρησεν ὁ θεὸς Τροφώνιον τιμᾶν. οἱ δὲ ἀγνοοῦντες ὅπου εἴη τὸ μνῆμα, σμήνει μελιττῶν προσέτυχον ἐξ ὑπορρῶγός τινος ἀνιουσῶν. καὶ στοχασάμενοι τὸν τόπον ἐκεῖναι ἐκεῖσε δεῖν τινα κατελθεῖν θεασόμενον. ὃς εὑρεν δύο δράκοντας, προσήγαγε μελιττούτας καὶ οὐκ ἠδικήθη. ἐξ οὗ τὸ ἔθος ἐγένετο οἱ δὲ κατιόμενοι χρηστηριασθῆναι, ἀγνεύοντες ὀλιγοσύμως καὶ στολῇ κεκοσμημένοι θεοπρεπεῖ, κατίασι λόγχας ἔχοντες πρὸς τὸ βάλλειν τοὺς ὄφεις καὶ μὴ ἀδικηθῆναι ὑπ' αὐτῶν. καὶ πολλοὶ μὲν αὐθημερὸν ἐπεμφθήσαν, οἱ δὲ διὰ πλειόνων. ἐν δὲ τοῖς νεωτέροις, οὕτως. Ὁ Τροφώνιος ἀνὴρ ἦν πάνυ φιλόδοξος. ποιήσας οὖν ἐν Λεβαδείᾳ τῆς Βοιωτίας ὑπόγειον οἴκημα εἰσελθὼν ἐμαντεύετο. καὶ λιμαγχονηθεὶς ἀπέθανεν. ἐγκατοικήσας δέ τι δαιμόνιόν τι τὰς μαντείας ἐτέλει. εἰσήρχοντο οὖν ἐντὸς οἱ χρώμενοι ἔχοντες ἐν ταῖν χεροῖν πόπανα, ἵνα τοῖς ἐκεῖ ἐμφιλοχωροῦσιν ὄφεσι διδόντες μηδὲν ὑπ' αὐτῶν δυσχερὲς πάσχωσιν. ὁ δὲ εἰσιὼν ἐκεῖσε λοιπὸν ὡς ἔτι ἐγέλα διὰ τὴν τῶν ὄφεων ἔκπληξιν. ὅθεν καὶ παροιμία ἐπὶ τῶν ἀγελάστων καὶ συνωφρυωμένων, ἐς Τροφωνίου μεμάντευται. Τί κυπτάζεις ἔχων.] ἀττικῶς περιττεύει τὸ ἔχων. τὸ δὲ κυπτάζεις, στραγγεύῃ, διατρίβεις. Περὶ τὴν θύραν.] βραδέως διακείμενος εἰς τὸ εἰσιέναι δι' αὐτῆς.

A

ΚΟΜΜΑΤΙΟΝ ΚΩΛΩΝ η.

Χο. Ἀλλ' ἴθι χαίρων τῆς ἀνδρείας
Εἵνεκα ταύτης.
Εὐτυχία γένοιτ' ἀν-
θρώπῳ ὅτι προήκων
Ἐς βαθὺ τῆς ἡλικίας,
Νεωτέροις τὴν φύσιν αὑτοῦ
Πράγμασι χρωτίζεται
Καὶ σοφίαν ἐπασκεῖ.

CHORVS.

I Pede fausto, propter robur
Magnanimum istud
Prosperitas viro adsit,
Quod spacium senecta
Emeritæ cùm tetigit:
B *Tamen negocijs animum suum,*
Vt iuuenis, applicat,
Et sapientiam auget.

Σχόλια. Ἀλλ' ἴθι χαίρων.] τοῦτο διὰ τὸ εἰσάγεσθαι τὸν χορὸν ἐξιόντων τῶν ὑποκειτῶν, ὀνομάζεται κορωνίς. διὰ δὲ τὸ προτίθεσθαι τῆς παραβάσεως κατὰ τὸ ἔθος, ὀνομάζεται κομμάτιον, κώλων ὀκτώ. ὧν τὸ μὲν πρῶτον ἀναπαιστικὸν δίμετρον ἀκατάληκτον. ἢ χοριαμβικὸν δίμετρον ὑπερκατάληκτον μεμιγμένον διασπονδείῳ. τὸ δεύτερον ἀναπαιστικὸν μονόμετρον. τὸ τρίτον καὶ τὸ ἑξῆς καὶ ἕβδομον καὶ τὸ μετ' αὐτὸ, χοριαμβικὰ δίμετρα καταληκτικὰ εἰς ἀμφίβραχυν περαιούμενα ἢ βακχεῖον διὰ τὸ ἀδιάφορον, Ἀριστοφάνεια καὶ αὐτὰ καλούμενα. τὸ πέμπτον, χοριαμβικὸν δίμετρον ἀκατάληκτον. τὸ ἕκτον ἀπὸ ἰαμβικῆς βάσεως εἰς C χοριαμβικὴν ὑπερκατάληκτον.

BISETVS. Αὐτοῦ] ἢ αὐτοῦ γραπτέον, ἵνα τοῦτο πρὸς τὸν Στρεψιάδην ἀναφέροιτο. ἢ αὐτοῦ ἐπιρρηματικῶς ληπτέον, ἀντὶ τοῦ αὐτόθι, ἐν τῷ φροντιστηρίῳ.

Σχόλια. Χρωτίζεται] ἀντὶ τοῦ χρωματίζεται· αὐτὸς δὲ ὁ χρωματισμὸς εἰς πρόσωπον γίνεται· αὐτὸς γὰρ κατὰ νοῦν ἐχρωματίζετο. διὰ τοῦτο ἐπήγαγε τὴν αὐτοῦ φύσιν. ἵν' ᾖ ὅλον καὶ μέρος. διὰ μὲν τοῦ χρωματίζεται νοουμένου τοῦ ὅλου. διὰ δὲ τοῦ τὴν αὐτοῦ φύσιν, τοῦ μέρους.

BISETVS. Χρωτίζεται] Σ. πλησιάζει. λέγεται δὲ ἐπὶ τῶν μουσικῶν.

D

ΠΑΡΑΒΑΣΙΣ ΚΩΛΩΝ μα.

Τροχαϊκοὶ Καταληκτικοί.

Ὦ θεώμενοι κατερῶ πρὸς ὑμᾶς ἐλευθέρως
Τἀληθῆ, νὴ τὸν Διόνυσον τὸν ἐκθρέψαντά με.
Οὕτω νικήσαιμ' ἔγωγε καὶ νομιζοίμην σοφὸς,
Ὡς ὑμᾶς ἡγούμενος εἶναι θεατὰς δεξιοὺς,
Καὶ ταύτην σοφώτατ' ἔχειν τῶν ἐμῶν κωμῳδιῶν,

TRANSITVS CHORI.

Trochaici Catalectici.

O Spectatores, ego ad vos loquar, quæ vera sunt,
Liberè per Dionysum, qui me eduxit paruulum.
Sic ego vincam & æstimer sapiens; vt vos æstimo
E *Spectatores candidos esse, & hanc Comœdiam*
Præ alijs, quas scripsi, omnibus, ducere sapientissimam.

Σχόλια. Ὦ θεώμενοι.] ἡ παράβασις δοκεῖ μὲν ἐκ τοῦ χοροῦ λέγεσθαι. εἰσάγει δὲ τὸ ἑαυτοῦ πρόσωπον ὁ ποιητής. παράβασις δέ ἐστιν ὅταν ἐκ τῆς προτέρας στάσεως ὁ χορὸς μεταβὰς, ἀπαγγέλλῃ πρὸς τὸν δῆμον ἀφορῶν. εἴδη δὲ παραβάσεων ἑπτά. ἁπλᾶ μὲν τρία. κατὰ δὲ σχέσιν τέσσαρα. τὰ μὲν οὖν ἁπλᾶ ἐστὶ ταῦτα, κομμάτιον. παράβασις ὁμωνύμως ἢ καὶ ἀνάπαιστος καλεῖται, ἐπεὶ πολλάκις ἐν ταύτῃ τῷ ἀναπαίστῳ χρῆται. πνῖγος ὁ καὶ μακρόν. τὰ δὲ κατὰ σχέσιν, στροφή. ἀντίστροφος. ἐπίρρημα ἀντεπίρρημα. συμπληροῦσι γὰρ ἀλλήλοις τὸ κατὰ μέτρον καὶ τὰ κῶλα. ἡ γὰρ στροφὴ, ἔχει ὁμοίαν ἑαυτῇ τὴν ἀντίστροφον. καὶ τὸ ἐπίρρημα ὡσαύτως τὸ ἀντεπίρρημα. τινὲς δὲ προστιθέασι καὶ ᾠδὴν καὶ ἀντῳδήν. ἔχουσι γὰρ καὶ ταῦτα σχέσιν πρὸς ἄλληλα. ἡ μὲν οὖν παράβασις ἡ ἐκ τούτων συγκειμένη τελεία ἐστί. εἰσὶ δὲ καὶ ἀτελεῖς παραβάσεις. ἑπτὰ δὴ ὄντων τῶν τῆς παραβάσεως μερῶν, ἐφ' ἑκάστον τῶν ἀπολελυμένων στιχῶν, τίθεται ἡ παράγραφος. οὐχ ἧττον δὲ καὶ ἐπὶ τοῦ μέλους καὶ τοῦ ἐπιρρήματος, ἂν μηδὲν ἀποδιδῶνται. ἐὰν δὲ ᾖ τὰ ἀνακυκλούμενα τότε ἀντίστροφον τοῦ μέλους καὶ τὸ ἀντεπίρρημα, ἐπὶ τοῦ ἐπιρρήματος τίθεται ἡ ἔσω νενευκυῖα διπλῆ, ὑπὲρ τοῦ δηλῶσαι ὅτι ἐστὶ τὰ ἀνταποδιδόμενα. ἐπὶ δὲ τοῦ ἀντεπιρρήματος ἡ ἔξω νενευκυῖα. ἐν δὲ τοῖς ἀποδιδομένοις πάλιν ἐφ' ἑκάστης στροφῆς παράγραφος. ἐπὶ δὲ τοῦ τελευταίου κώλου δύο διπλαῖ. ἡ μὲν κατ' ἀρχάς. ἡ δὲ κατὰ τὸ τέλος. ἀμφότεραι μέντοι ἔξω νενευκυῖαι, δηλοῦσαι ἡμῖν ὅτι ἀνταποδίδοται. τὸ δὲ μέτρον ἀσύστατον Εὐπολίδειον καλούμενον στίχων τροχαϊκῶν τετραμέτρων καταληκτικῶν μα. ὧν τελευταῖος εἰς τὰς ὥρας τὰς ἑτέρας εὖ φρονεῖν δοκήσετε. τὸ δὲ τροχαϊκὸν μέτρον, κατὰ πᾶσαν μὲν χώραν δέχεται τροχαῖον καὶ σπονδεῖον, πλὴν τῆς παρατελεύτης μὲν ὄντος τοῦ μέτρου χωλοῦ. καὶ κατὰ μὲν τὰς περιττὰς τρίβραχυν καὶ δάκτυλον ἐπιτύχοι. τῶν δ' ἀρτίων τὰς μὲν ἑτέρας ἀνάπαιστοι καὶ ὡς ἰδίαν ἐγχωρεῖν πάσῃ χώρᾳ. ἰδίως δὲ τὴν τετάρτην ἐν τούτοις ἴαμβον. ἐπὶ τῷ τέλει παράγραφος. ἐχρῆν δὲ τὴν λέξιν ὑπὸ τοῦ χορευτοῦ λέγεσθαι. ἐχρήσατο γὰρ μετοχῇ ἀντὶ ὀνόματος. Νὴ τὸν Διόνυσον.] ἐπεὶ ἐν Διονυσίοις παρῆλθε τὸ δρᾶμα. καὶ ἐν τοῖς Διονυσιακοῖς ἀγῶσι τὰ δράματα ἤγετο καὶ ἐδιδάσκετο. Οὕτω νικήσαιμ' ἐγώγε.] διπλῆ εἴσθεσις εἰς τὴν παράβασιν. οὐχ ἡ αὐτὴ δέ ἐστιν οὐδὲ τοῦ αὐτοῦ μέτρου τῆς ἐν ταῖς Νεφέλαις πρώταις, ἀλλ' ὡς ὀλίγῳ πρότερον εἴρηται τοῦ καλουμένου Εὐπολιδείου.

Πρώτους ἠξίωσ' ἀναγεῦσ' ὑμᾶς, ἣ παρέσχε μοι
Ἔργον πλεῖστον. εἶτ' ἀνεχώρουν ὑπ' ἀνδρῶν φορτικῶν
Ἡττηθεὶς οὐκ ἄξιος ὤν. ταῦτ' οὖν ὑμῖν μέμφομαι
Τοῖς σοφοῖς, ὧν οὕνεκ' ἐγὼ ταῦτ' ἐπραγματευόμην.
Ἀλλ' οὐδ' ὣς ὑμῶν ποθ' ἑκὼν προδώσω τοὺς δεξιούς.
Ἐξ ὅτου γὰρ ἐνθάδ' ὑπ' ἀνδρῶν, οἷς ἡδὺ καὶ λέγειν,
Χ' ὁ σώφρων τε χ' ὁ καταπύγων, ἀρίστ' ἠκουσάτην,
Κἀγώ, παρθένος γὰρ ἔτ' ἦν, κοὐκ ἐξῆν πώ μοι τεκεῖν,
Ἐξέθηκα, παῖς δ' ἑτέρα τις λαβοῦσ' ἀνείλετο,
Ὑμεῖς δ' ἐξεθρέψατε γενναίως, κἀπαιδεύσατε,
Ἐκ τούτου μοι πιστὰ παρ' ὑμῶν γνώμης ἔσθ' ὅρκια.
Νῦν οὖν Ἠλέκτραν κατ' ἐκείνην ἥδ' ἡ κωμῳδία
Ζητοῦσ' ἦλθεν ἤν που 'πιτύχῃ θεαταῖς οὕτω σοφοῖς.
Γνώσεται γὰρ ἤνπερ ἴδῃ, τἀδελφοῦ τὸν βόστρυχον.
Ὡς δὲ σώφρων ἐστὶ φύσει, σκέψασθ'. ἥτις πρῶτα μὲν
Οὐδὲν ἦλθε ῥαψαμένη σκύτινον καθειμένον.
Ἐρυθρὸν ἐξ ἄκρου, παχύ, τοῖς παιδίοις ἵν' ᾖ γέλως.

A *Vtque vos primùm rogaui, uti gustetis hanc, mihi*
Quæ multum fecit negoti. Post secessi à viris
Victus sordidis indignè: quod nunc vobis queror,
Qui hîc adestis sapientes, & quorum hæc ego gratia
B *Commentatus sum: non vt vos volens prodam bonos.*
Ex quo enim hic apud viros, quibus est suaue dicere,
Et apud quos Cinædus & Castus optimè audiunt:
Et ego (nanque adhuc eram virgo, nec licebat mihi
C *Parere) exposui fœtum: quem quæpiam alia sustulit.*
Vos autem educastis ingenuè, atque instituistis probè:
Ex hoc fida apud vos sunt sententiæ testimonia.
Nunc ergo secundùm Electram illam istæc Comœdia
D *Quæritans venit, si fortè in spectatores bonos*
Incidat: (nam cincinnum si videat fratris, statim
Agnoscet) sed quàm sit hæc casta, vos cognoscite.
Primùm non venit aliquid consuens coriacium,
Rubrum, humile, à summo densum: vt sit pueris risui: neque
E

Σχόλια. Ἀναγεῦσ' ὑμᾶς.] διατάξαι τὸ δρᾶμα. ὡς ἐπὶ βρώματος δὲ εἶπεν. Τῶν ἀνδρῶν.] τῶν κριτῶν τοῦτο ἐπὶ τῶν προτέρων νεφελῶν. Ταῦτ' οὖν ὑμῖν μέμφομαι.] ἐπεὶ οὐ Κρατίνου ἀλλ' Ἀμειψίου δεύτερος ὤφθη. Οἷς ἡδὺ καὶ λέγειν.] εἰς τὸ ἐμὲ ἐπιδείκνυσθαι ἡδύ ἐστιν ἢ ἐλλογίμοις. Χ' ὁ σώφρων] τὸ πρῶτον δρᾶμα γράψας ὁ ποιητὴς ἐξέθηκε τοὺς δαιταλεῖς, ἐν ᾧ σώφρον μειράκιον εἰσάγει καὶ ἕτερον ἄχρηστον. εὐδοκίμησε δὲ σφόδρα ἐν τούτῳ τῷ δράματι. Ἀρίστ' ἠκουσάτην.] ἀντὶ τοῦ ηὐδοκιμησάτην. οὐ γὰρ τότε ἐνίκησεν. ἐπεὶ δεύτερος ἐκρίθη ἐν τῷ δράματι. διόπερ, ἔστι μὲν αὐτὸ πρῶτον τῶν δραμάτων. ὑπὸ δὲ αἰδοῦς οὐ δι' ἑαυτοῦ ὑπεδέξατο αὐτό. Κοὐκ ἐξῆν πώ μοι.] οὔπω ἐπέτρεπον ἐμαυτῷ τὸ λέγειν δημοσίᾳ διὰ τὸ νέον τῆς ἡλικίας, οὐ γὰρ πρῶτον δι' ἑαυτοῦ καθίει τὰ δράματα ὁ ποιητὴς εὐλαβούμενος. ἀπὸ δὲ τῶν ἱππέων ἤρξατο εἰσιέναι. νόμος δὲ ἦν μὴ ἐξελθεῖν τινα εἰπεῖν μήπω τεσσαράκοντα ἔτη γεγονότα. ὡς δέ τινες τριάκοντα. Ἐξέθηκα.] ἀπὸ μεταφορᾶς τῶν λάθρα τικτουσῶν καὶ φοβουμένων γνωσθῆναι γυναικῶν. καὶ διὰ τοῦτο ἐξωριπτουσῶν τὰ βρέφη, ἵν' ἰδών τις ἀνέλοιτο. Εὐριπίδης. δίδωσι βουκόλοισιν ἐκθεῖναι βρέφος. λέγει οὖν Ἀριστοφάνης ὡς ἐπειδὴ παρθένος ὢν ταύτην τὴν κωμῳδίαν ἔτεκον, ὥσπερ τι βρέφος ἔξω ἔρριψα. Παῖς δ' ἑτέρα.] Κλεωνίδης καὶ Καλλίστρατος. οὐ γὰρ δι' ἑαυτοῦ ἐδίδαξε τοὺς δαιταλεῖς πρῶτον αὐτοῦ δρᾶμα. τὸ ἀνείλετο λαβοῦσα ἢ ἐκ παραλλήλου ὡς τὸ ἀγνοοῦσα ἐκάθηρεν, ἢ τὸ μὲν λαβοῦσα, διὰ τὴν ἐκ τῆς γῆς ὑπὸ τῶν χειρῶν ἄρσιν. τὸ δὲ ἀνείλετο διὰ τὴν ἀναδοχὴν καὶ εἰσποίησιν. Πιστὰ παρ' ὑμῖν.] ἤγουν μεγάλη πίστις ἐστί μοι πρὸς ὑμᾶς καὶ πληροφορία. εἴρηται δὲ ἐκ μεταφορᾶς τῶν τὰς φιλίας δι' ὅρκου ποιούντων. Νῦν οὖν Ἠλέκτραν.] Αἰσχύλος ἐποίησε δρᾶμα Χοηφόρους. ἐν ᾧ Ἠλέκτρα παραγινομένη εἰς τὸν τάφον τοῦ πατρός, ἐκ τοῦ πλοκάμου τὸν ἀδελφὸν ἐγνώρισεν. αὕτη φησὶν ἡ κωμῳδία ἀδελφὴ οὖσα τῆς πρώτης, ὡς ἐν τοῖς Χοηφόροις Αἰσχύλου Ἠλέκτρα ἐκ τοῦ πλοκάμου τὸν ἀδελφὸν ἐπιγνοῦσα καὶ παραγενόμενον πρὸς τὸν τάφον ὅπως αὐτὸν γνωρίσῃ ἦλθεν, εἰς ζήτησιν ἦλθε τῶν τότε θεατῶν. ἐπιγνώσεται γὰρ ἐάν τι ξύμβολον ἴδῃ ἐκείνων. Ἡ Χρυσόθεμις ἀπελθοῦσα θῦσαι τῷ πατρί, καὶ τὸν Ὀρέστου πλόκαμον ἐνταῦθα εὑροῦσα, εἶπε τοῦτο τῇ Ἠλέκτρᾳ. ἡ δὲ ἀπελθοῦσα ἐγνώρισεν αὐτὸν ὄντα Ὀρέστου. εἰ καὶ Σοφοκλῆς τοῦτο οὐ λέγει. λέγει οὖν ὁ ποιητὴς ὅτι εἰ ἐπανέλθοι παρ' ὑμῖν ἡ νέα κωμῳδία, γνώσεται ὅτι ὑμεῖς ἐστὲ οἱ καὶ τὴν πάλαι αὐτῆς ἀδελφὴν ἐπαινέσαντες. Τἀδελφοῦ τὸν βόστρυχον.] ὅ ἐστι σύμβολον καὶ ἔπαινον ἐκείνων ἐπιγνώσεται ἐὰν ἴδῃ. Οὐδὲν ἦλθε.] παρέλκει τὸ δὲ ὡς καὶ παρ' Ὁμήρῳ. οὐδ' ὣς ἔτισε. θέλει δὲ εἰπεῖν οὐκ ἦλθε συνήθως. Σκύτινον.] διεζωσμένοι γὰρ δερμάτινα αἰδοῖα οἱ κωμικοὶ εἰσήεσαν τοῦ γέλωτος χάριν. θέλει δὲ εἰπεῖν αὐτοὺς φορτικῶς χαριεντιζομένους. Ἐρυθρόν.] ἢ ἐρυθρὸν ἐξ ἄκρου ἢ ἐξ ἄκρου παχύ. ταῦτα γὰρ οἱ κωμικοὶ εἰσῆγον διὰ γέλωτα.

Οὐδ' ἔσκωψε τοὺς φαλακροὺς, οὐδὲ κόρδαχ' εἵλκυσεν. A
Οὐδὲ πρεσβύτης ὁ λέγων τἄπη τῇ βακτηρίᾳ
Τύπτει τὸν παρόντ' ἀφανίζων πονηρὰ σκώμματα.
Οὐδ' εἰσῇξε δᾷδας ἔχουσ' οὐδ' ἰοὺ ἰοὺ βοᾷ.
Ἀλλ' αὑτῇ καὶ τοῖς ἔπεσι πιστεύουσ' ἐλήλυθεν.
Κἀγὼ μὲν τοιοῦτος ἀνὴρ ὢν ποιητὴς, οὐ κομῶ. B
Οὐδ' ὑμᾶς ζητῶ 'ξαπατᾶν δὶς καὶ τρὶς ταὔτ' εἰσάγων.
Ἀλλ' ἀεὶ καινὰς ἰδέας εἰσφέρων, σοφίζομαι,
Οὐδὲν ἀλλήλαισιν ὁμοίας καὶ πάσας δεξιάς.
Ὃς μέγιστον ὄντα Κλέων' ἔπαισ' ἐς τὴν γαστέρα.
Κοὐκ ἔτ' εἰσαῦθις γ' ἐπεπήδησά γ' αὐτῷ κειμένῳ. C
Οὗτοι δ' ὡς ἅπαξ παρέδωκεν λαβὴν Ὑπέρβολος,
Τοῦτον δείλαιον κολετρῶσ' ἀεὶ, καὶ τὴν μητέρα.
Εὔπολις μὲν τὸν Μαρικᾶν πρώτιστον παρείλκυσεν,
Ἐκστρέψας τοὺς ἡμετέρους ἱππέας κακὸς κακῶς. D
Προσθεὶς αὐτῷ γραῦν μεθύσην, τοῦ κόρδακος οὕνεκα.

Insectata caluos est, nec saltauit cordacem.
Neque senex, qui metra canit, praesentem baculo ferit,
Amotu è conspectu maledictis mordacibus:
Neque tadiferam introduxit, sed neque heu heu clamitat:
Sed sibiipsa & versibus fidens, in scenam venit.
Atqui ego vir tantus, Poëta tantus nihil superbio:
Neque vos quaeritо fallere, bis terque introducendo eadem:
Sed nouas subin' formas infero, argutè & catè
A me inuentas, nihil inter se similes: omnes probas:
Qui etiam magnum illum Cleonem, in ventrem olim perculi,
Neque demum insultaui ipsi tacenti. Verùm hi comici
Nouitij, vt semel dedit ansam ad scribendum Hyperbolus,
Miserum istum semper proculcant, & matrem eius simul.
Eupolis quidem Maricam primùm in scenam protulit,
Nostrósque EQVITES *in alium habitum malè commutauit malus,*
Addidítque anum ebriam ad desaltandum Cordacem:

Σχόλια. Τοὺς φαλακρούς.] Εὔπολις ἔσκωψε τοὺς φαλακρούς, τοῦτο δὲ ἰδιωρισάμην. Οὐ κόρδαχ' εἵλκυσεν] τρία εἴδη ὀρχήσεως. ἐμμέλεια μὲν, τραγική. σίκιννις, σατυρική. κόρδαξ, κωμική, ἥτις αἰσχρῶς κινεῖ τὴν ὀσφύν. Οὐδὲ πρεσβύτης ὁ λέγων.] ὡς Εὔπολις ἐν τοῖς Προσπαλτίοις. ἢ ὡς εἰς τοῦτο τὸ μέρος εὐεπίφορον ὄντα τὸν Ἕρμιππον. οἱ δὲ Σισύρμιον τὸν ὑποκριτήν. Τύπτει τὸν παρόντ' ἀφανίζων.] καὶ γὰρ ἐκεῖνος τοῦ γελᾶν χάριν τοὺς ἐγγὺς ἑστῶτας ἔτυπτε τῇ βακτηρίᾳ. τὸ δὲ ἀφανίζων. ὅ ἐστιν ἐκποιῶν καὶ ἀποφυγὼν τὰ σκώμματα, δι' ὧν ἴδει σωφρονίζειν τοὺς κακῶς πράττοντας, ἐκτὸς ἑαυτοῦ ποιῶν τὰ πονηρὰ σκώμματα. ἢ τὸ ἀφανίζων, ἀντὶ τοῦ ἀφανεῖς ποιῶν. τουτέστι περικαλύπτων τῷ γέλωτι τὰς εἰκῆ διεσκεμμένας αὐτοῦ κωμῳδίας καὶ εὐτελῶς πεπλασμένας. ἰστέον δὲ ὅτι πάντα ὅσα ἂν λέγῃ, εἰς ἑαυτὸν τρέπει. τοὺς μὲν γὰρ φάλητας εἰσήγαγεν ἐν τῇ Λυσιστράτῃ. F τὸν δὲ κόρδακα ἐν τοῖς Σφηξί. τοὺς δὲ φαλακροὺς, ἐν Εἰρήνῃ. τὸν δὲ πρεσβύτην ἐν Ὄρνισι. τὰς δὲ δᾷδας καὶ τὸ ἰοὺ ἰοὺ ἐν Νεφέλαις τοσαῦτον. Οὐδ' εἰσῇξε δᾷδας.] ἐν ἴσῳ δῆλος τινὶ παροινοῦντι. ἀλλ' ἴσως ἑαυτῷ. ἐπεὶ πεποίηκεν ἐν τῷ τέλει τοῦ δράματος καιομένην τὴν διατριβὴν Σωκράτους, καί τινας τῶν φιλοσόφων λέγοντας ἰοὺ ἰού. ἐν δὲ ταῖς πρώταις Νεφέλαις, τοῦτο οὐ πεποίηκε. ποιήσει δὲ αὐτὸ μετὰ λόγου. οὗτοι δὲ ἀκαίρως. Ἀλλ' αὐτῇ.] τῇ ἐπινοίᾳ τῆς ὑποθέσεως καὶ οἰκονομίᾳ καὶ τῇ χάριτι τῶν ἐπῶν θαρροῦσα. Οὐ G κομῶ] οὐ σεμνύνομαι. χαριέντως δὲ λέγει ἐπεὶ φαλακρὸς ἦν. Δὶς καὶ τρίς.] καί τοι καὶ αὐτὸ δεύτερον εἰσήχθη. ἀλλ' ἴσως διασκευάσας. δοκοῦσι δὲ καὶ οἱ ἄλλοι κωμικοὶ ἀπὸ τῶν αὐτῶν λημμάτων, τὰ αὐτὰ εἰσάγειν δράματα.

BISETVS. Ταὔτ' εἰσάγων] οὕτω γραπτέον, ταὔτ' εἰσάγων, ἀντὶ τοῦ, τὰ αὐτά, ἢ, ταῦτ', ἀντὶ τοῦ ταυτά.

Σχολ. Ὃς μέγιστον ὄντα.] ὥσπερ ζῶντος αὐτοῦ διαλέγεται ἐν οἷς φησι Κλέωνα τὸν λάρον. καὶ Ἀνδρομένην δέ φησιν E αὐτὸν, ἐπὶ Ἀλκαίου τεθνάναι δυσὶν ἔτεσιν ὕστερον. Ἴσαρχος δέ φησιν ἀφ' οὗ αἱ πρῶται Νεφέλαι ἐδιδάχθησαν. πῶς οὖν δύναται καὶ τοῦ Μαρικᾶ μεμνῆσθαι. ὃς ἐδιδάχθη μὲν πρὸ τῶν Νεφελῶν ὡς καὶ νῦν αὐτός φησιν. ἐπεὶ δὲ ὁ Εὔπολις ὡς τεθνηκότος Κλέωνος μέμνηται. ἢ ἐπειδὴ φέρονται αἱ διδασκαλίαι τῶν δύο Νεφελῶν, οὐδὲν δυνάμεθα διαρθρῶσαι ὁ Εὔπολις ἐπλάσατο τοῦ Κλέωνος τελευτὴν ἐν Μαρικᾷ. Ἔπαισ' ἐς τὴν γαστέρα.] ἔτυψα. ἔγραψε γὰρ κατ' αὐτοῦ τοὺς ἱππέας. ἔτυψα ἐν τοῖς ἱππεῦσιν. ἀντὶ τοῦ ἠρξάμην τῇ πρώτῃ κωμῳδίᾳ. Κολετρῶσ' ἀεί.] κατὰ τοῦ κόλου τύπτουσιν. ἢ καταπατοῦσιν. ἀπὸ τῶν τὰς ἐλαίας παιόντων. ἢ τὸ ἐνάλλεσθαι τῇ F κοιλίᾳ καὶ τύπτειν εἰς τὴν γαστέρα. κόλον γὰρ τὸ παχὺ ἔντερον. δῆλον δὲ ὅτι πρῶτος ὁ Μαρικᾶς ἐδιδάχθη τῶν δευτέρων Νεφελῶν. Ἐρατοσθένης δέ φησι Καλλίμαχον ἐγκαλεῖν ταῖς διδασκαλίαις, ὅτι φέρουσιν ὕστερον τρίτῳ ἔτει τὸν Μαρικᾶν τῶν Νεφελῶν, σαφῶς ἐνταῦθα εἰρημένον, ὅτι πρότερος καθεῖται. λανθάνει δ' αὐτόν φησιν, ὅτι ἐν μὲν ταῖς διδαχθείσαις οὐδὲν τοιοῦτον εἴρηκεν. ἐν δὲ ταῖς ὕστερον διασκευασθείσαις εἰ λέγεται, οὐδὲν ἄτοπον. αἱ διδασκαλίαι δὲ, δῆλον ὅτι τὰς διδαχθείσας φέρουσι. πῶς δ' οὐ συνεῖδεν ὅτι καὶ ἐν G τῷ Μαρικᾷ προτετελεύτηκε Κλέων. ἐν δὲ ταῖς Νεφέλαις λέγεται εἰς τὸν θεοῖσιν ἐχθρὸν τὸν βυρσοδέψην. Εὔπολις δὲ ἐν τοῖς Βάπταις τοὐναντίον φησίν, ὅτι συνεποίησεν Ἀριστοφάνης τοὺς Ἱππέας. λέγει δὲ τὴν τελευταίαν παράβασιν. φησὶ δὲ κἀκεῖνος τοὺς Ἱππέας συνεποίησα τῷ φαλακρῷ ἰδιωρισάμην. Κλέων ἀπεθνήσκει ἐπὶ Ἀμεινίου. πρὸ τούτου δὲ

του δὲ Ἵππαρχος ἐφ' οὗ αἱ Νεφέλαι εἰσήχθησαν. ὁ μέντοι Ανδροτίων ἐπὶ Αλκαίου φησὶ τοῦ μετὰ Αμινίαν, τὸν Κλέωνα δηλοῖ ὕστερον ἔτεσι τεθνάναι τῆς τῶν Νεφελῶν διδασκαλίας. εἰκότως οὖν ὡς ἔτι περιόντι τῷ Κλέωνι λοιδορεῖται ὁ Αριστοφάνης. οὐ μόνον ἐν τοῖς προκειμένοις, ἀλλὰ καὶ ἐν τοῖς ἑξῆς τὸν Κλέωνα τὸν λάρον δώρων.

Bisetus. Κολετρῶσι] Σ. κολετρῶσι, κατὰ κώλου τύπτουσι, διὰ τοῦ ω. εἰσὶ δὲ οἱ τὸ κῶλον, καὶ τὸ κόλον ταυτὸν εἶναι νομίζουσι. ὅθεν τὴν νόσον καὶ κωλικὴν, καὶ κολικὴν καλοῦσιν. ἀλλ' οὐ καλῶς. τὸ γὰρ κῶλον τοῦ κόλου διαφέρει. κόλον γὰρ κατὰ τὸν Αθήναιον λέγεται ἡ τροφὴ, ὅθεν ὁ βουκόλος, καὶ ὁ δύσκολος, τουτέστι δυσάρεστος, καὶ στικχός. ὅθεν καὶ κοιλία, ἡ τὴν τροφὴν δεχομένη. καὶ κόλον τὸ κενὸν, τὸ μάταιον, τὸ κολοβόν. Ὅμηρος,, Πὴλ' αὕτως ἐν χερσὶ κόλον δόρυ. τουτέστι κολοβὸν, κεκολοβωμένον. Εὐστάθιος. κόλον ἡ τροφὴ, κόλον, τὸ μέγα, ἢ τὸ κολοβὸν, τὸ μὴ ἔχον ὁλότητα. κόλος βοῦς, ὁ κεκολουμένος τὰ κέρατα. κόλον δόρυ, τὸ κεκολουμένον τὴν αἰχμὴν, καὶ ἐκ τοῦ κόλον, καὶ βοῦς, γίνεται τὸ κολοβός, ὅθεν καὶ τὸ κολοβοῦν, ὃ καὶ κολούειν λέγεται. τὸ δὲ κῶλον, τὸ μέρος σημαίνει. καὶ κῶλον, τὸ μονέντερον, καὶ παχὺ τοῦ σώματος ἔντερον, ὅθεν ἡ διάθεσις κωλική. καὶ τὸ τοῦ λόγου πεζοῦ μέρος τι. καὶ παρὰ τοῖς Λυρικοῖς, τοῖς Κωμικοῖς, καὶ τοῖς Τραγικοῖς, τὰ κῶλα μέρος τοῦ ποιήματος αὐτῶν. περὶ τούτων δὲ ὁ Ἡφαιστίων ἀκριβέστερον πολλὰ παραδέδωκεν. ἀλλαχοῦ δὲ ἄλλαι τοῦ κώλου σημασίαι.

Σχόλια. Καὶ τὴν μητέρα.] τὴν Ὑπερβόλου. τὴν δοκοῦσαν ἐν ταῖς ἀρτοπώλισι. πολλὰ κατ' αὐτῆς εἶπεν Ἕρμιππος. Ἐκστρέψας.] πάντα τὰ ἐμά φησιν ἔλαβον.

Ἣν Φρύνιχος πάλαι πεποίηχ' ἣν τὸ κῆτος ἤσθιεν.
Εἶθ' Ἕρμιππος αὖθις πεποίηκεν εἰς Ὑπέρβολον.
Ἄλλοι τ' ἤδη πάντες ἐρείδουσιν εἰς Ὑπέρβολον.
Τὰς εἰκοὺς τῶν ἐγχέλεων τὰς ἐμὰς μιμούμενοι.
Ὅστις οὖν τούτοισι γελᾷ, τοῖς ἐμοῖς μὴ χαιρέτω.
Ἢν δ' ἐμοὶ καὶ τοῖσιν ἐμοῖς εὐφραίνησθ' εὑρήμασιν,
Ἐς τὰς ὥρας τὰς ἑτέρας εὖ φρονεῖν δοκήσετε.

Qualem olim introduxit Phrynichus, deuoratam à belua,
Maris. Exinde nouam rursus fecit Hermippus in Hyperbolum:
Et nunc cæteri simul omnes ingruunt in Hyperbolum:
Imitantes meam de anguillis sat notam imaginem.
His quicunque applaudit, is ne delectetur meis.
Sin voluptatem aliquam ex me meisque inuentis percipitis:
Reliquum in tempus rectè vos sapere indicauero.

Σχόλια. Ἣν Φρύνιχος.] φέρεται ὑπόθεσις Φρυνίχου. μήποτε οὖν ἐκείνην φράζων ὡς γραῦν δακνομένην τῷ κήτει. καὶ ἴσως ἐν Ὑπερβόλῳ ἂν λέγοι αὐτὸς, ὅτι τὸ κῆτος ἤσθιεν. ἄλλως. εἰσῆγε γραῦν Φρύνιχος ὑπὸ κήτους ἐσθιομένην κατὰ μίμησιν Ανδρομέδας διὰ γέλωτα τῶν θεατῶν. ἦν δὲ καὶ αὐτὸς κωμῳδίας ποιητής. Εἶθ' Ἕρμιππος] Ἕρμιππος μετὰ, δράματα ἐποίησεν εἰς Ὑπέρβολον. ἔοικε δὲ τὸ τὰς ἀρτοπώλιδας λεχθὲν, κατ' αὐτοῦ σημαίνεσθαι.

Bisetus. Τὰς εἰκοὺς] ἐν τοῖς πρότερον ἀντιγράφοις τὸ εἰκοὺς κακῶς μετὰ περισπωμένης ἐγράφετο. ἀλλὰ γραπτέον εἰκοῦς, ὡς Λητοῦς ἐν τῇ αἰτιατικῇ πληθυντικῇ κατὰ τοὺς γραμματικοὺς κανόνας. εἰκὼ δὲ, εἰκόας, εἰκοῦς, καὶ εἰκὼν, εἰκόνες ταυτόν. Εὐελπίδης Μυδαίας. Ἄψυχον εἰκὼ προσβλέπουσα σώματος.

Σχόλια. Τῶν ἐγχέλεων.] ἀντὶ τοῦ λέξεων εἰπεῖν, ἐγχέλεων ἔφη. παρόσον ἐν τοῖς Ἱππεῦσιν ἐμνήσθη τῶν ἐγχέλεων. ὅπερ γὰρ οἱ τὰς ἐγχέλεις θηρώμενοι πεπόνθασι. τὸ δὲ διὰ παραβολῆς εἰκάζειν τῆς πόλεως τὰ πράγματα ἐξ αὐτοῦ φησὶν εἰληφέναι τοὺς ἄλλους ὁ Αριστοφάνης. Τούτοισι γελᾷ. ὅτι εἴτις ἐκείνοις τέρπεται καὶ ἡδέως ἀκούει, τοῖς ἐμοῖς μὴ προσέχειν. Εὖ φρονεῖν.] παρ' ὑπόνοιαν. δέον γὰρ εἰπεῖν ἐλεύσεσθε, ἐπήνεγκεν ὅτι φρόνιμοι δόξετε εἶναι καὶ εὔνομοι καὶ εὐφρονοῦντές μοι. διὸ ὑποσημειοῦται τὴν λέξιν ἔδει τὸ χ.

ΩΔΗ ΚΑΙ ΣΤΡΟΦΗ ΚΩΛΩΝ ιβ.

Χο. Ὑψιμέδοντα μὲν θεῶν
Ζῆνα τύραννον, ἐς χορὸν
Πρῶτα μέγαν κικλήσκω.

STROPHE, CONVERSIO CHORI.

Principio Iouem Optimum
Maximum, ad hunc chorum inuoco,
Cælicolum potentem,

Σχόλια. Ὑψιμέδοντα μέν.] τοῦτο ᾠδὴ καὶ στροφὴ ὀνομάζεται, διὰ τὸ στροφήν τινα ποιεῖσθαι τὸν χορὸν ἀπὸ τοῦ πρὸς τοὺς θεατὰς ὁρᾶν καὶ ᾄδειν εἰς ἕτερον ἀφορῶντα μέρος. ἔστι δὲ ὡς ἐπιτελεστον εἰς θεοὺς ἡ ᾠδή. ἔστι δὲ ἡ παροῦσα στροφὴ κώλων ιβ. ὧν τὸ πρῶτον χοριαμβικὸν δίμετρον ἀκατάληκτον ἐπιμεμιγμένον διιάμβῳ. τὸ β ὅμοιον. τὸ τρίτον δίμετρον καταληκτικὸν, ἐπιμεμιγμένον βακχείῳ. ὃ καλεῖται ἰθυ-

μιμερές. τὸ τέταρτον καὶ τὸ πέμπτον τῷ πρώτῳ ὅμοια. τὸ ἕκτον τρίμετρον ἐκ διιάμβου χοριαμβικοῦ καὶ βακχείου, τὸ ἕβδομον δακτυλικὸν τετράμετρον. τὸ ὄγδοον δακτυλικὸν πεντάμετρον. τὸ ἔνατον δίμετρον. ἐξ ἐπιτρίτου τρίτου καὶ χοριάμβου. τὸ δέκατον ὅμοιον ἐκ διισπονδείου καὶ χοριάμβου. ἢ δακτυλικὸν ἑφθημιμερὲς τῆς σι ἀντὶ μακρᾶς λογιζομένης. τὸ ἑνδέκατον ἀντισπαστικὸν δίμετρον ἀκατάληκτον τὸ καλούμενον Γλυκώνειον ἐκ διτροχαίου καὶ διιάμβου ὡς ἔχει τὰ Γλύκωνος. κάπρος ἡνίχ' ὁ μαινόλης Κύπριδος θάλλος ὤλεσε. τὸ δωδέκατον ἀντισπαστικὸν δίμετρον καταληκτικὸν τὸ καλούμενον Φερεκράτειον ἑφθημιμερές. ἐξ ἐπιτρίτου τετάρτου καὶ βακχείου ὡς ἔχει τὰ Φερεκράτους. Ἄνδρες πρόσχετε τὸν νοῦν ἐξευρήματι καινῷ. συμπτύκτοις ἀναπαίστοις. καλοῦνται δὲ ταῦτα πολυσχημάτιστα διὰ τὸ διάφορα δέχεσθαι μέτρα. ἐπὶ τῷ τέλει παράγραφος, καὶ διπλῆ ἔσω νενευκυῖα δηλοῦσα ἔχειν ἀνταπόδοσιν. ἄλλως. τὸν Δία ἐπικαλοῦνται ὃν οἱ φιλόσοφοι εἶναι οὐκ ἔφασκον ἀλλὰ ταύτας εἶναι τὸ πᾶν διεβεβαιοῦντο. εἰκότως οὖν καὶ διὰ τούτων σκώπτει τοὺς φιλοσόφους. ὃν γὰρ εἶναι οὐκ ἐδόξαζον, αἱ νομιζόμεναι ὑπ' αὐτῶν νεφέλαι τοῦτον ἐπικαλοῦνται.

Τόν τε μεγασθενῆ τριαί-
νης ταμίαν, γῆς τε καὶ ἀλ-
μυρᾶς θαλάσσης ἄγριον μοχλευτήν.
Καὶ μεγαλώνυμον ἡμέτερον πατέ-
ρ' Αἰθέρα σεμνότατον βιοθρέμμονα πάντων.
Τόν θ' ἱππονώμαν, ὃς ὑπερ-
λάμπροις ἀκτῖσιν κατέχει
Γῆς πέδον, μέγας ἐν θεοῖς
Ἐν θνητοῖσί τε δαίμων.

Et validum tridente Deum,
Qui pelagus salsipotens,
Grauísque terræ vada cæca quassat,
Eximiúmque patrem celeberrimi
Nominis æthera, vitæ hominum omniparentē:
Illúmque equorum domito-
Rem, qui humum illustrat radiis:
Ipse magnus apud Deos,
Numen terricolísque.

Σχόλια. Τόν τε μεγασθενῆ.] ὅτι ἔθος τοῖς ποιηταῖς ἀπὸ Διὸς ἄρχεσθαι. μετὰ δὲ τὸν Ποσειδῶνα ὑμνεῖν. καὶ αὐτὸς δὲ τὴν Ὁμηρικὴν τάξιν τῆς ἡλικίας δηλοῖ.

BISETUS. Τριαίνης ταμίαν] περίφρασις τοῦ Ποσειδῶνος. Αἰσχύλος ἐν Προμηθεῖ δεσμώτῃ,
Θαλασσίαν δὲ γῆς τινάκτειραν νόσον
Τρίαιναν, αἰχμὴν τὴν Ποσειδῶνος σκεδᾷ.
μοχλευτὴν δὲ λέγει, ὅτι καὶ σεισίχθων, καὶ ἐνοσίχθων, καὶ ἐννοσίγαιος ὁ αὐτὸς καλεῖται, παρὰ τὸ ἔνοθεν, τὸ σείειν, καὶ κινεῖν τὴν γῆν.

Σχόλια. Γῆς τε καὶ ἁλμυρᾶς.] δοκεῖ γὰρ Ποσειδῶν, οὐ τὴν θάλασσαν κινεῖν μόνον, ἀλλὰ καὶ τὴν γῆν. ἔχει δὲ καὶ κοινωνίαν πρὸς αὐτὰς ὡς δεσπόζων ὑγρᾶς οὐσίας. εἰκότως οὖν τῶν θεῶν τούτων ἐμνημόνευσε. τοῦ μὲν Διός, ὅτι γενάρχης. τοῦ δὲ Ποσειδῶνος ὅτι τῶν ὑγρῶν δεσπότης. Αἔρος δέ, ὅτι πατήρ, Ἡλίου δέ, ἐπεὶ διάπυρος ὤν, τὴν ἰκμάδα ἀποσπώμενον ἐργάζεται νεφέλην. Αἰθέρα.] ἀντὶ τοῦ ἀέρα. ὁ γὰρ αἰθὴρ διακαὴς ὤν, ἀνέφελός ἐστι. καὶ ἐκ τοῦ βιοθρέμμονος δῆλον ὅτι ἀὴρ οὐχὶ αἰθήρ. ἢ ἐπειδὴ τὰ ζῶα ἐν τῷ αἰθέρι ἔχει τὴν ζωὴν βιοθρέμμονα δέ, ἐπειδὴ ἀρδεύει τὴν γῆν. Τόν θ' ἱππονώμαν,] τὸν ἥλιον τὸν ἐλαύνοντα καὶ νωμῶντα τὸ ἅρμα καὶ τοὺς ἵππους ἡνιοχοῦντα. ἐξ αὐτοῦ δὲ δοκοῦσι συνεστάναι. διάπυρος γὰρ ὤν, ἕλκει εἰς ἑαυτὸν τὴν τῆς θαλάσσης ὑγρότητα. ἐξ ἧς αἱ νεφέλαι.

ΕΠΙΡΡΗΜΑ ΣΤΙΧΩΝ κ.

Τροχαϊκοὶ τετράμετροι καταληκτικοί.

Χο. Ὦ σοφώτατοι θεαταί, δεῦρο τὸν νοῦν προσέχετε.
Ἠδικημέναι γὰρ ὑμῖν μεμφόμεσθ' ἐναντίον.
Πλεῖστα γὰρ θεῶν ἁπάντων ὠφελούσαις τὴν πόλιν,
Δαιμόνων ἡμῖν μόναις οὐ θύετ' οὐδὲ σπένδετε,
Αἵτινες τηροῦμεν ὑμᾶς. ἢν γὰρ ᾖ τις ἔξοδος
Μηδενὶ ξὺν νῷ, τότ' ἢ βροντῶμεν ἢ ψακάζομεν.
Εἶτα τὸν θεοῖσιν ἐχθρὸν βυρσοδέψην Παφλαγόνα
Ἡνίχ' ᾑρεῖσθε στρατηγόν, τὰς ὀφρῦς συνήγομεν

ADDITAMENTUM.

Trochaici Octonarij Catalectici.

O Sapientissimi Spectatores, huc aduertite,
Quoniam affectæ iniuriâ, contra vos heic querimoniam
Instituimus: nam cùm nos præ cæteris Diis omnibus,
Vrbem hanc plurimùm locupletemus: vos nobis ex Deis
Solis, neque sacrificatis, neque libatis: quæ plurimùm (exitus
Conseruamus vos. Nam si quando comitiorum
Non sit commodus, tum aut tonamus, aut pluuiam damus. (riarium,
Equidem Dijs infestum Paphlagona illum co-
Quando exercitus ducem creastis, nos supercilia

Σχόλια. Ὦ σοφώτατοι θεαταί.] τοῦτο ἐπίρρημα ὀνομάζεται, διὰ τὸ ἐπιρρήσειν αὖθις τὸν χορὸν πρὸς τοὺς θεατάς. καὶ χρηστά τινα συμβουλεύειν αὐτοῖς. ἢ σκώπτειν τοὺς πονηρούς. ἔστι δὲ ἐκ στίχων τροχαϊκῶν τετραμέτρων καταληκτικῶν ὧν τελευταῖος. ἐπὶ τὸ βέλτιον τὸ πρᾶγμα τῇ πόλει συνοίσεται. ἐπὶ τῷ τέλει διπλῆ ἔσω νενευκυῖα, δηλοῦσα ἔχειν ἀνταπόδοσιν.

Μηδενὶ ξὺν νῷ.] σὺν μηδεμιᾷ κρίσει. μετ' οὐδενὸς νοῦ. ἀλλ' ἀσυμφόρως καὶ ἀχρείως μετὰ μηδενὸς λογισμοῦ. αἱ στρατεῖαι. ἐκ τῶν πρώτων δὲ Νεφελῶν εἰσὶ ταῦτα. τεθνεὼς γὰρ ἦν νῦν ὁ Κλέων. Τὰς ὀφρῦς συνήγομεν.] σύννεφον ἐποιήσαμεν. καὶ ἐχαλεπήναμεν ἢ ἐστυγνάσαμεν. ἄλλως. ἐπεὶ ὁ Κλέων τοιοῦτος. ὥσπερ δὲ ἀνωτέρω ὅτι πάντας μιμοῦνται.

Κάποι-

Κἀποιοῦμεν δεινά. βροντὴ δ' ἐρράγη δι' ἀστραπῆς.
Ἡ Σελήνη δ' ἐξέλιπε τὰς ὁδούς. ὁ δ' Ἥλιος
Τὴν θρυαλλίδ' εἰς ἑαυτὸν εὐθέως συνελκύσας,
Οὐ φανεῖν ἔφασκεν ὑμῖν, εἰ στρατηγήσοι Κλέων,
Ἀλλ' ὅμως εἵλεσθε τοῦτον. φασὶ γὰρ δυσβουλίαν
Τῇδε τῇ πόλει προσεῖναι. ταῦτα μέντοι τοὺς θεοὺς
Ἅττ' ἂν ὑμεῖς ἐξαμάρτητ', ἐπὶ τὸ βέλτιον τρέπειν.
Ὡς δὲ καὶ τοῦτο ξυνοίσει, ῥᾳδίως διδάξομεν.
Ἢν Κλέωνα τὸν λάρον δώρων ἑλόντες καὶ κλοπῆς
Εἶτα φιμώσητε τούτου τῷ ξύλῳ τὸν αὐχένα,
Αὖθις ἐς τ' ἀρχαῖον, ὑμῖν εἴ τι κἀξημάρτετε,
Ἐπὶ τὸ βέλτιον τὸ πρᾶγμα τῇ πόλει ξυνοίσεται.

A *Contraximus, & horrendum fecimus, erupitque igneum*
Tonitru cum corusco fulgure: Lunáque deseruit vias:
Et Sol contracto statim in sese lucernæ ellychnio,
Nolais lucere vobis: si Cleonem exercitus
B *Lege etis ducem: & vos legistis tamen. Hoc est, quod ferunt*
Stulta consilia huic inesse ciuitati: sed tamen
Ea, quæ vos peccatis, in melius Deam conuertere.
Quomodo autem hoc profuturum sit, facile docebimus:
C *Si Cleonem Larum illum furti damnatum, atque ambitus:*
Capiatis, gulámque ligno interstringatis, tunc ad statum
Pristinum redibunt omnia, & si quid fuit antehac
Peccatum à vobis, id in melius cedet Reipublicæ.

Σχόλια. Βροντὴ δ' ἐρράγη.] παρὰ τὰ ἐκ Τεύκρου D Σοφοκλέους. οὐρανοῦ δ' ἄπο ἤστραψε, βροντὴ δ' ἐρράγη δι' ἀστραπῆς. Ἡ Σελήνη δ' ἐξέλιπεν] ἐπειδὴ ἡ ἔκλειψις ἐγένετο Σελήνης τῷ προτέρῳ ἔτει ἐπὶ Στρατοκλέους βοηδρομιῶνος. Τὴν θρυαλλίδα] τὴν ἀκτῖνα εἰς ἑαυτὸν συνείλκυσε. ἀπὸ τοῦ λύχνου δὲ ἡ μεταφορά. οὐχ ὡς τοῦ ἡλίου ἐκλείψαντος ἀλλ' ὡς ἀπειλοῦντος ἐκλείψειν εἰ στρατηγήσει Κλέων. ἔστι παρ' Ὁμήρῳ. Δύομαι εἰς Ἀΐδαο καὶ ἐν νεκύεσσι φαείνω, ἡλίου δὲ ἐγένετο κατά τινα τύχην ἔκλειψις Κλέωνος χειροτονουμένου. Δυσβουλίαν.] τὴν μὴ ὀρθῶς βουλήν ἀποτυχόντα φασὶ Ποσειδῶνα τῆς E χώρας, τὸ κακῶς βουλεύεσθαι ἐνσκῆψαι αὐτοῖς. τὴν δὲ Ἀθηνᾶν παρασχεῖν τὸ κακῶς βουλευσαμένοις μὲν, ἀποβῆναι δὲ καλῶς. καὶ ἦν τοῦτο λεγόμενον ἐπιχώριον. Εὔπολις. Ὦ πόλις πόλις. ὡς εὐτυχὴς μᾶλλον ἢ καλῶς φρονεῖς. ἄλλως. φασὶν ὅτι Ποσειδῶν ἡττηθεὶς τῇ Ἀθηνᾷ δυσβουλίαν ἐπέβαλεν Ἀθηναίοις. Ἀθηνᾶ δὲ τὰ βουλευόμενα καλῶς μεταβάλλειν. Ἅττ' ἂν ὑμεῖς] ὅσα Ἀθηναῖοι κακῶς ἐβουλεύσαντο, δι' ὑπερβάλλουσαν εὐτυχίαν εἰς τὸ χρήσιμον ἀπέβαινε καὶ εἰς τὸ καλόν. αἰνίττεται δὲ εἰς Ἀθηνᾶν. Τὸν λάρον.] ὅτι ὁ λάρος τοιοῦτος. καὶ ἐν Ἱππεῦσι. λάρος κεχηνὼς ἐπὶ πέτρας δημηγορῶν. ταῦτα δὲ F

D ἀπὸ τῶν προτέρων Νεφελῶν. τότε γὰρ ἔζη ὁ Κλέων. ἐπὶ δὲ τούτων τέθνηκε. καὶ γὰρ Εὔπολις μετὰ θάνατον Κλέωνος, τὸν Μαρικᾶν ἐποίησεν. καὶ μὴν ὡς μετὰ θάνατον Κλέωνος φαίνεται γεγραφὼς τὸ δρᾶμα, ὅπου γε τοῦ Μαρικᾶ Εὐπόλιδος μέμνηται. ὃ ἐδιδάχθη καθ' Ὑπερβόλου μετὰ τὸν Κλέωνος θάνατον. ταῦτα δὲ ὡς ἔτι ζῶντος Κλέωνος λέγεται. δῆλον οὖν ὅτι κατὰ πολλοὺς τοὺς χρόνους διεσκεύασε τὸ δρᾶμα καὶ ταῦτα μὲν οὐ πολλῷ ὕστερον. ἐν οἷς δὲ Εὐπόλιδος μέμνηται καὶ τῶν εἰς Ὑπέρβολον κωμῳδιῶν πολλῶν.

E Βιβλίου. Τὸν λάρον] Λάρος κεχηνὼς κατὰ Σουίδαν λέγεται ἐπὶ τῶν ἁρπακτικῶν, καὶ κλεπτῶν. ἐπεὶ καὶ ὁ λάρος ὄρνεον ἐστὶν ἁρπακτικὸν, καὶ ἀδηφάγον. Εὐστάθιος. οἱ παλαιοὶ τοῖς λάροις εἴκαζον διὰ τὴν κατὰ λιχνείαν ὁμοιότητα πρὸς τὸ ὄρνεον. καὶ πᾶς εὐήθης λάρος λέγεται. σκωπτικῶς λαρὸς δὲ ὀξυτόνως, ὁ ἡδὺς πρὸς διαστολὴν τοῦ λάρος προσηγορικοῦ. καὶ μακρὰν ἔχει τὴν λα συλλαβήν. Ὅμηρος,
Νήσῳ ἐν ἀμφιρύτῃ λαρὸν τετυκοίμεθα δόρπον.
λαρὸν δὲ τὸ ἄγαν ἀρηρὸν τῇ ψυχῇ (ἢ τὸ ἄγαν ἀρηρὸς, ὃ
F πιθανώτερον) παρὰ τὸ λα ἐπιτατικὸν, καὶ τὸ ἀρῶ, ὃ ἐστιν ἁρμόζω. κράσει τῶν δύο αα εἰς α μακρόν.

ΑΝΤΩΔΗ ΚΑΙ ΑΝΤΙΣΤΡΟΦΗ ΚΩΛΩΝ ιϛ.

Χο. Ἀμφί μοι αὖτε Φοῖβ' ἄναξ

ANTISTROPHE. OPPOSITA CONVERSIO CHORI.

Huc ades, ô Apollo Rex

G

Σχόλια. Ἀμφί μοι ἄναξ.] ἡ ἀντῳδὴ αὕτη καὶ ἀντιστροφή, ὁμοία ἐστὶ τῇ ᾠδῇ καὶ τῇ στροφῇ κατά τε τὰ κῶλα καὶ τὰ μέτρα. μιμεῖται δὲ τῶν διθυραμβικῶν τὰ προοίμια. συνεχῶς γὰρ χρῶνται ταύτῃ τῇ λέξει. διὸ καὶ ἀμφιάνακτας αὐτοὺς ἐκάλουν. Ἔστι δὲ Τερπάνδρου. ἀμφί μοι ἄνακτα ἑκατηβόλον. λείπει δὲ τὸ ᾄσω. ἢ τὸ χόρευσον, ἤ τι τοιοῦτον. καὶ τὸ προοιμιάζεσθαι δὲ ἀμφιανακτίζειν ἔλεγον. εἰκότως δὲ μετὰ τὸν ἥλιον ἀνυμνοῦσι τὸν Ἀπόλλωνα. ὅτι δὲ ὁ αὐτός ἐστιν ἥλιος καὶ Ἀπόλλων, δῆλον. τὸ δὲ αὖτε, ἀντὶ τοῦ πάλιν. ὥσπερ γὰρ ἀναλαμβάνων πρὸς τὸ ἄνω λέγει ἀντίστροφον. ἔφαμεν γὰρ ἐν τοῖς χορικοῖς γίνεσθαι τὰς στροφὰς καὶ τὰς ἀντιστρόφους

καὶ ἐπῳδὰς, ἅ τινες καλοῦσιν ἐπιρρήματα. καὶ ἐνταῦθα A οὖν τὴν ἀντίστροφον ἐπάγει ὁ ποιητὴς, ὥσπερ ἀναστρέφων ἐπὶ τὸ ἐξ ἀρχῆς μέλος, ὅθεν περ ἐξετράπη εἰς τὸ ἐπίρρημα. ἀρξάμενος γὰρ ὑμνεῖν τοὺς θεοὺς καὶ παραγενόμενος μέχρι τῆς ἅλω, ἐπήγαγε τὴν ἐντροπήν. τουτέστι τὸ ἐπίρρημα. ἀπὸ τοῦ ὦ σοφώτατοι θεαταί. οὔτε γὰρ ἡ διάνοια τοῖς προειρημένοις ἀκόλουθος, οὔτε τὸ μέτρον τοῦ λόγου. πάλιν οὖν ἐπαναστρέφων ἐπὶ τὸν ὕμνον τὸν τῶν θεῶν χρῆται ἐπαναστροφῇ. εἰ γοῦν τις τὰ ἐν μέσῳ ἅπαντα ἀφελὼν ἐπὶ ταῦτα ἔλθῃ, οὔτε ὁ λόγος οὔτε ὁ νοῦς ἐπιζητήσειεν. ἀλλὰ μᾶλλον ἡ ἀκολουθία οὕτω φυλάττοιτο. Τόν θ' B ἱπποτώμαν ὃς ὑπερλάμπροις ἀκτῖσι, καὶ ἑξῆς. Αμφί μοι αὖτε Φοῖβ' ἄναξ.] φησὶν οὖν ἀλλὰ τὸν πάλιν ὦ Ἄπολλον ἔξομαι καὶ τὴν σὴν ἐπαίνων. οὐ μὴν ἁπλῶς ἐπὶ τὴν ἀντίστροφον ἐλθὼν θεοῦ τινὸς ἐμνημόνευσεν. ἀλλὰ μετὰ τὸν ἥλιον εὐθὺς τὸν Ἀπόλλωνα. ἐπεί τινες τὸν ἥλιον τὸν αὐτὸν εἶναί φασι τῷ Ἀπόλλωνι. ὅτι δὲ τῷ λόγῳ τούτῳ καὶ ὁ ποιητὴς κατακολουθῶν, μετὰ τὸν ἥλιον ἐπὶ τὸν Ἀπόλλωνος ἔρχεται ὕμνον, φανερὸν ποιεῖ αὐτὸς λέγων. ἀμφί μοι αὖτε Φοῖβ' ἄναξ. τουτέστι πάλιν. οὐδαμοῦ γὰρ νῦν τοῦ Ἀπόλλωνος μέμνηται. τί οὖν ἔδει μνημονεῦσαι τοῦ αὖτε, εἰ μὴ τῆς προειρημένης διανοίας εἴχετο. τὸ δὲ μέτρον ἀντῳδὴ καὶ ἀντιστροφή. ἔστι δὲ τὸ μέτρον καὶ ἡ ποσότης ὅμοια τῇ στροφῇ. ὡμοίωται δὲ καὶ τὸ ἐπίρρημα καὶ τὸ ἀντεπίρρημα.

Δήλιε, Κυνθίαν ἔχων,
Ὑψικέρατα πέτραν,
Ἥ τ' Ἐφέσου μάκαιρα πάγ-
χρυσον ἔχεις οἶκον, ἐν ᾧ
Κόραι σε Λυδῶν μεγάλως σέβουσιν.
Ἥ τ' ἐπιχώριος ἡμετέρα θεὸς
Αἰγίδος ἡνίοχος, πολιοῦχος Ἀθάνα.
Παρνασίαν θ' ὃς κατέχων
Πέτραν, σὺν πεύκαις σελαγεῖ,
Βάκχαις Δελφίσιν ἐμπρέπων,
Κωμαστὴς Διόνυσος.

Delie, Cynthiam tenens,
Altijugum cacumen:
Quaq́; Ephesi beata habes
Ex solido tecta domus
Obryzo: ubi Lydæ nurus te honorant.
C *Túque soli indigena ô Dea Cecropis:*
Ægida, quæ quatis, urbipotens Minerua: &
Parnasii tu scopuli
Rector, qui ignitis facibus
Inter Thyadas emines
Comessator Iacche.

Σχόλια. Κυνθίαν ἔχων.] περιφραστικῶς τὴν Κύνθον. ἔστι δὲ ὄρος Δήλου ἡ Κύνθος. τὸ δὲ ὑψικέρατα πέτραν, ἐπῳδός ἐστι. τὸ αὐτὸ δὲ μέτρον τῷ μέλει τῷ πρώτῳ. D καὶ ἑξῆς οὕτως. ἔστι δὲ παραγωγῶς ἀντὶ τοῦ ὑψηλήν. μετaπλασμὸς δέ ἐστιν ἀντὶ τοῦ ὑψικέρατον. Ἥ τ' Ἐφέσου.] μετὰ τὸν ἥλιον εὐθὺς ἡ Ἄρτεμις ἧς ἡ Ἔφεσος. πάγχρυσον δὲ οἶκον λέγει, τὸν πολυτελέστατον ναόν. ὃς ἦν εἷς τῶν ἑπτὰ θεαμάτων. Ἐν ᾧ κόραι.] ἔνθα σε αἱ παρθένοι Λυδῶν τιμῶσιν ὦ Ἄρτεμι, ὅτι τῆς Λυδίας τὸ παλαιὸν ἡ Ἔφεσος. Σὺν πεύκαις.] μετὰ δᾳδῶν. παρὰ τὸ Εὐελπίδειον. Διόνυσος ὃς πεύκαισι καὶ νεβρῶν δοραῖς καθαπτὸς ἐν πεύκαισι Παρνασὸν κατὰ πηδᾷ χορεύων σὺν παρθένοις. Σελαγεῖ.] μετὰ λαμπάδων καὶ πυρὸς χορεύει. διὰ E πυρὸς γὰρ ὁ θεός. καὶ ὁ Ζεὺς διὰ πυρὸς τῇ Σεμέλῃ συνῆλθεν. οὐ γὰρ ἀργῶς παρέλαβεν ὁ ποιητής. Βάκχαις Δελφίσι.] ταῖς τὴν Δελφικὴν χώραν κατοικούσαις. κἀκεῖ γὰρ ἐτιμᾶτο ὁ Διόνυσος. Κωμαστής.] ὅτι οἱ μεθύοντες βακχεύονται καὶ ὥσπερ ἐκμαίνονται.

Bisetvs. Κωμαστής.] Εὐστάθιος. κῶμος, ὁ ἐν συμποσίῳ κάρος, δι' οὗ καταφέρεταί τις εἰς κῶμα, ὅ ἐστιν ὕπνον. ὅθεν κωμάζειν, καὶ εἰσκωμάζειν, τὸ κατὰ τοὺς μεθύοντας ἐπέρχεσθαι αὐθαδέστερον. ἀλλαχοῦ δὲ κῶμος, καὶ κωμάζειν παρὰ τὸ κῶ, τὸ κεῖμαι, λέγονται. Σουΐδας. κωμαστής, ὁ τρυφῶν μετ' ᾠδῆς ἀσελγῶς. καὶ κῶμοι, ᾠδαί, ὀρχήσεις μετὰ μέθης.

ΑΝΤΕΠΙΡΡΗΜΑ ΣΤΙΧΩΝ Κ.

Τετράμετροι Τετράμετροι Καταληκτικοί.

Χο. Ἡνίχ' ἡμεῖς δεῦρ' ἀφορμᾶσθαι παρεσκευασμεθα,
Ἡ Σελήνη συντυχοῦσ' ἡμῖν, ἐπέστειλε φράσαι.
F Πρῶτα μὲν χαίρειν Ἀθηναίοισι, καὶ τοῖς ξυμμάχοις.
Εἶτα θυμαίνειν ἔφασκε. δεινὰ γὰρ πεπονθέναι,
Ὠφελοῦσ' ὑμᾶς ἅπαντας, οὐ λόγοις, ἀλλ' ἐμφανῶς.
Πρῶτα μὲν τοῦ μηνὸς εἰς δᾷδ' οὐκ ἔλαττον, ἢ δραχμήν·
Ὥστε καὶ λέγειν ἅπαντας, ἐξιόντας ἑσπέρας·
G Μὴ πρίω παῖ δᾷδ', ἐπειδὴ φῶς Σεληναίης καλόν.

Oppositvm Additamentvm.

Octonarij Catalectici.

Quando nos huc instructi fuimus via contendere:
Luna in occursu nobis obuia mandauit, dicere
Primum Atheniensibus salutem, & sociis omnibus.
Postea se irasci dixit: propter graues iniurias
Pro beneficiis, quæ non ore ineat: sed re ipsa comprobet.
Primùm singulis mensibus, ad tædas non minus drachma
Præstat: ut nunc omnes dicant exeũtes vespere,
Ne facem emas puer: nam Luna lumen est præfulgidum.

Σχόλια. Ἡνίχ' ἡμεῖς.] τὸ ἀντεπίρρημα τοῦτο, ὅμοιόν ἐστι τῷ ἐπιρρήματι. καὶ τοῦτο γὰρ ἐκ στίχων ἐστὶ τροχαϊκῶν τετραμέτρων καταληκτικῶν εἴκοσι. ἐνταῦθα μέντοι ἐπὶ τῆς τετάρτης χώρας ἴαμβος ἐξέλιπεν. ἐπὶ τῷ πέλει διπλῆ ἔξω νενευκυῖα. Πρῶτα μὲν χαίρειν.] τὸν Κλέωνά φασιν ἀπὸ τῆς Πύλου καὶ Σφακτηρίας τοῖς Ἀθηναίοις ἐπιστέλ-

ἐπιστέλλοντα, χαίρειν προσθεῖναι, ὅπερ γέγονεν ἐν χρήσει. Πλάτων μὲν τοίνυν ἀρχῇ τῶν ἐπιστολῶν τὸ εὖ πράττειν προὔθηκεν, οἱ δὲ Πυθαγόρειοι τὸ ὑγιαίνειν. καὶ τό γε τριπλοῦν τρίγωνον, τὸ δι' ἀλλήλων τὸ πεντάγραμμον ᾧ

A συμβόλῳ πρὸς τοὺς ὁμοδόξους ἐχρῶντο, ὑγεία πρὸς αὐτῶν ὀνομάζετο. ἄλλως. ἀρχαῖον ἦν ἔθος προτάττειν ἐν ταῖς ἐπιστολαῖς χαίρειν. οὐ γὰρ ὥς τινες Κλέων ἐστὶ πρῶτος ἀπέστειλεν Ἀθηναίοις ἐκ Σφακτηρίας.

Ἀλλά τ' εὖ δρᾶν φησιν ὑμᾶς, κοὐκ ἄγειν τὰς ἡμέρας
Οὐδὲν ὀρθῶς, ἀλλ' ἄνω τε καὶ κάτω κυδοιδοπᾶν.
Ὥστ' ἀπειλεῖν φησιν αὐτῇ τοὺς θεοὺς ἑκάστοτε,
Ἡνίκ' ἂν ψευσθῶσι δείπνου, κἀπίωσιν οἴκαδε,
Τῆς ἑορτῆς μὴ τυχόντες, κατὰ λόγον τῶν ἡμερῶν.
Κᾆθ', ὅταν θύειν δέῃ, στρεβλοῦτε καὶ δικάζετε.
Πολλάκις δ' ἡμῶν ἀγόντων τῶν θεῶν ἀπαστίαν,
Ἡνίκ' ἂν πενθῶμεν, ἢ τὸν Μέμνον', ἢ τὸν Σαρπηδόνα,
Σπένδεθ' ὑμεῖς, καὶ γελᾶτ', ἀνθ' ὧν λαχὼν Ὑπέρβολος
Τῆτες ἱερομνημονεῖν, κἄπειθ' ὑφ' ἡμῶν τῶν θεῶν
Τὸν στέφανον ἀφῃρέθη. μᾶλλον γὰρ οὕτως εἴσεται
Κατὰ Σελήνην ὡς ἄγειν χρὴ τοῦ βίου τὰς ἡμέρας.

Alia vos benè facere dicit: at nullos rectè dies
Transigere: sed hic sursum atque deorsum confundere omnia.
B *Ac proinde sibi minari ait Deos subinde: cùm*
Frustrantur conuiuio, & domum redeunt, festi sui
Compotes non redditi, iuxta dierum idoneam
Rationem: Sed & cùm sacrificare oportet, vos reos
Quæstioni accipitis, & iudicia exercetis fori.
C *Sæpè autem cùm nos Deæ ieiunamus ieiunium:*
Quando nimirum lugemus Memnona, aut Sarpedonem,
Ibi vos libatis vel etiam ridetis, quòd Hyperbolus,
Hoc anno designatus scriba sacrorum, à nobis fuit
D *Iterum priuatus corona: nam sic citiùs sciuerit,*
Quòd dies vitæ ipsum oporteat ad Lunam traducere.

Σχόλια. Ἀλλά τ' εὖ δρᾶν.] καὶ εἰς ἄλλα φησὶν ἡμᾶς εὐεργετεῖν. οὐ παρατηρεῖν δὲ ὑμᾶς ἀκριβῶς τὰς κατὰ σελήνην ἡμέρας. Κυδοιδοπᾶν.] συνταράττειν. γίνεται δὲ ἐξ ἑκατέρου. ἐὰν μὲν διὰ τοῦ κ παρὰ τὸ κυκᾶν. ἐὰν δὲ διὰ τοῦ δ, παρὰ τὸν κυδοιμόν.

E Bisetvs. Κυδοιδοπᾶν] Σ. κυδοιμός, ὁ τάραχος, ὁ θόρυβος. κυδοιμεῖν, θορυβεῖν. τῇ αὐτῇ λέξει καὶ ἐν τῇ Εἰρήνῃ ὁ ποιητὴς ἐχρήσατο.

Σχόλια. Ψευσθῶσιν.] ἀποτύχωσιν ἢ μὴ δέξωνται τὰς θυσίας εὐτάκτως. Κατὰ λόγον τῶν ἡμερῶν.] διὰ γὰρ τὸ πλανᾶσθαι τὴν τάξιν τῶν ἡμερῶν, ὑπερβαίνειν τὰς θυσίας καὶ τὰς ἑορτὰς ἀνάγκη. Ἀπαστίαν.] ἀγευστίαν παρὰ τὸ πάσασθαι. Μέμνονα] Μέμνων δὲ καὶ Σαρπηδὼν υἱοὶ ὄντες Διός, ἀποθανόντες ἐν Τροίᾳ οὕτω παρὰ θεοῖς ἐτιμήθησαν τοῦ πατρὸς νομοθετήσαντος, ὡς

F τὴν ἡμέραν καθ' ἣν ἀπέθανον ἐν πένθει καὶ νηστείᾳ τοὺς θεοὺς διάγειν κατ' ἔτος. Λαχὼν Ὑπέρβολος] εἰς τὴν σύνοδον τῶν Ἀμφικτυόνων πεμφθῆναι εἰς τὴν Πυλαίαν. κατὰ πόλιν δὲ ἔπεμπον τοὺς θύσοντας. καὶ συνεδρεύσοντας. καὶ ἦσαν οἱ πεμπόμενοι Πυλαγόραι καὶ Ἱερομνήμονες. λέγουσι δὲ ὅτι Πυλάδης πρῶτος ἐκλήθη

ἐπὶ τῷ Κλυταιμνήστρας φόνῳ καὶ ἐξ αὐτοῦ τοὔνομα σχεῖν τὸν τόπον. ἀπῄεσαν δὲ εἰς Δελφοὺς ἐπίσκοποι τῶν ἀναλισκομένων ἐν ταῖς θυσίαις. Ἱερομνήμονας ἔπεμπον εἰς Πυλαίαν καὶ Πυλαγόρας. Ἀριστοφάνης Θεσμοφοριαζούσαις. ἀγαθὰ μεγάλα τῇ πόλει ἥκειν φέροντάς φασι τοὺς Πυλαγόρας καὶ τὸν Ἱερομνήμονα. καὶ εἰσὶν οὗτοι ἱερεῖς γραμματεῖς. μνήμονας γὰρ τούτους ἐκάλουν. φόρτου τε μνήμων καὶ ἐπίσκοπος ἦσιν ὁδαίων.

Bisetvs. Ἦσιν ὁδαίων] γραπτέον ἦσιν ὁδαίων. ἢ, ἦεν ὁδαίων, ἤγουν τῶν ἐφοδίων μνήμων, ἐπίσκοπος, καὶ ἔφορος ἐτύγχανεν.

Σχόλια. Τῆτες.] ἐν τῷδε τῷ ἔτει. οἱ δὲ Δωριεῖς τατὲς φασίν. ὅθεν ταταρίους πυροὺς τοὺς μὴ τελεσφοροῦντας. ἀλλὰ πρὸ ὥρας θεριζομένους. Τῆτες ἱερομνημονεῖν.] ἐξέπεμπον γὰρ οἱ Ἀθηναῖοι εἰς Δελφοὺς Ἱερομνήμονας, οἳ πρὸ Πυλαγόρου προεστήκεσαν τῶν ἡμερῶν τοῦ θεοῦ. οὐδεὶς δὲ ἱστόρησε κατ' ἐκεῖνον τὸν ἐνιαυτὸν Ἱερομνήμονα εἶναι τὸν Ὑπέρβολον. οὐδέπω γὰρ διέπρεψε Κλέωνος ἔτι ζῶντος. Μᾶλλον γὰρ οὕτως εἴσεται.] τέως γὰρ μαθήσεται ὅτι καλόν ἐστι ζῆν αὐτὸν ὡς πρότερον καὶ ὡς ἀνάξιος ἦν.

ΔΡΑΜΑΤΟΣ ΤΟΥ ΔΕΥΤΕΡΟΥ,
Σκηνὴ πρώτη.
Τρίμετροι ἰαμβικοί.

ΣΩΚΡΑΤΗΣ, ΣΤΡΕΨΙΑΔΗΣ.

G
ACTVS II. SCENA I.
Senarij Iambici.

SOCRATES, STREPSIADES.

Bisetvs. Εἴθισαι διπλῆς ἐπὶ στίχων ἰαμβικῶν τριμέτρων ἀκαταλήκτων ογ.

Μὰ τὴν Ἀναπνοὴν, μὰ τὸ Χάος, μὰ τὸν Ἀέρα, A
Οὐκ εἶδον οὕτως ἄνδρ' ἄγροικον οὐδένα,
Οὐδ' ἄπορον, οὐδὲ σκαιὸν, οὐδ' ἐπιλήσμονα.
Ὅς τις σκαλαθυρμάτι' ἄττα μικρὰ μανθάνων,
Ταῦτ' ἐπιλέλησται πρὶν μαθεῖν. ὅμως γε μὴν
Αὐτὸν καλῶ θύραζε δευρὶ πρὸς τὸ φῶς. B
Ποῦ Στρεψιάδης; ἔξει τὸν ἀσκάντην λαβών.
Στρ. Ἀλλ' οὐκ ἐῶσί μ' ἐξενεγκεῖν οἱ κόρεις.
Σω. Ἀνύσας τι, κατάθου, καὶ πρόσεχε τὸν νοῦν. Στρ. ἰδού.
Σω. Ἄγε δὴ τί βούλει πρῶτα νυνὶ μανθάνειν,
Ὧν οὐκ ἐδιδάχθης πώποτ' οὐδέν; εἰπέ μοι.
Πότερα περὶ μέτρων, ἢ περὶ ἐπῶν, ἢ ῥυθμῶν; C
Στρ. Περὶ τῶν μέτρων ἔγωγ'. ἔναγχος γάρ ποτε
Ὑπ' ἀλφιταμοιβοῦ παρεκόπην διχοινίκῳ.
Σω. Οὐ τοῦτ' ἐρωτῶ σ'. ἀλλ' ὅ,τι κάλλιστον μέτρον
Ἡγεῖ. πότερον, τὸ τρίμετρον. ἢ τὸ τετράμετρον;
Στρ. Ἐγὼ μὲν, οὐδὲν πρότερον ἡμιεκτέου.
Σω. Οὐδὲν λέγεις ὦ 'νθρωπε. Στρ. περίδου νυν ἐμοί. D

Per halitum, per Chaos atrum, per aëra:
Nunquam vidi ego quenquam ita ingenio agresti & hebeti:
Ita perplexum atque obliuiosum: velut hic est
Strepsiades: qui etiam nugamenta lenicula,
Et ludicra, quæ discit, prius obliniscitur,
Quàm didicerit. Sed euocabo ipsum forâs,
Huc in claram lucem. Vbinam Strepsiades? age
Exi: & grabatum vnà effer huc tecum illicet.
ST. At cimices non sinunt efferre me. SO. ocyus.
Propera, & depone, & aduorte animum sedulò.
ST. Eccum me. SO. age tu, quid vis nunc primùm discere,
Quod antea nunquam didiceris? cedo mihi:
Vtrum de mensuris, aut versibus, aut Rythmis?
ST. De mensuris equidem. Nam nuper admodū
Pollintor emunxit me duobus Congijs.
SO. Non hoc te rogo, sed quodnam metrum indices
Pulcerrimum: vtrum Trimetrum, an verò Tetrametrum?
ST. Ego nullum melius esse iudico metrum,
Quàm est semisextarius. SO. nihil dicis, mi homo.

Σχόλια. Μὰ τὴν ἀναπνοὴν,] ὑποχωρήσαντος τοῦ χοροῦ, εἰσίασιν αὖθις οἱ ὑποκριταί. Ἔστιν οὖν ἡ παροῦσα εἴσθεσις τῆς διπλῆς, ἐκ στίχων ἰαμβικῶν τριμέτρων ἀκαταλήκτων, ογ. ὧν τελευταῖος δίχα δίκην τοῖς κόρισι δώσω τήμερον. ἐπὶ τῷ τέλει διπλῆ ἔξω νενευκυῖα. δυσφορεῖ δὲ Σωκράτης ἐπὶ τῇ τοῦ Στρεψιάδου ἀμαθίᾳ. ἐντεῦθεν δέ φασι τὸν Ἀριστοφάνην χαριεντιζόμενον τοῖς περὶ Ἄνυτον καὶ Μέλιτον γεγραφέναι τὸ δρᾶμα διαβάλλοντα εἰς ἀήθειαν τὸν Σωκράτην διὰ τῆς πολυμαθίας. καὶ τοὺς φιλοσόφους ἀπλοϊκοὺς διαβάλλειν. ἐπεὶ καὶ οὕτω προῦπτο μὴ ἡγεῖσθαι θεοὺς, πλὴν τὸ χάος καὶ τὴν ἀναπνοὴν καὶ τὸν ἀέρα. Σκαιόν.] σκαιοὺς τοὺς ἀμαθεῖς καὶ δυσπαρακολουθήτους ἔλεγεν, ἢ τοὺς μωροὺς ἀπὸ τῆς σκαιᾶς. Σκαλαθυρμάτι' ἄττα.] σκαλεύματα σμικρὰ καὶ λεπτὰ παντάπασι νοήματα καὶ μαθήματα σκαριφήματα. ἔγκειται δὲ καὶ τὸ ἄθυρμα. οἱονεὶ παίγνια καὶ οὐδὲν ἀξιόπιστα. ἐκ τούτου δὲ διαβάλλει Σωκράτη, ὡς εὐτελῆ εἴη ἃ διδάσκει, καὶ οὐδενὸς ἄξια λόγου. Ἔξει.] ἀντὶ τοῦ ἔξελθε. ἔστιν εἴω τὸ πορεύομαι. οὗ παράγωγον εἶμι. ὁ παρατατικὸς ειν. εις. ει. καὶ ὥσπερ ἐν τοῖς εἰς ω τὸ τρίτον πρόσωπον τοῦ ὁριστικοῦ παρατατικοῦ, δεύτερόν ἐστι προστακτικὸν, οὕτω καὶ ἐν τοῖς εἰς μι σχηματίζουσιν οἱ Αἰολεῖς καὶ οἱ Ἀθηναῖοι. οἷον ἵστη μετὰ κῦμα. ἀντὶ τοῦ ἵσταθι. Ἀριστοφάνης. καὶ τοὺς κοφίνους ἅπαντας ἐμπίμπλη πυρῶν. ἀντὶ τοῦ ἐμπίμπλαθι. οὕτως οὖν καὶ ἐκ τοῦ ει τρίτου προσώπου τοῦ ὁριστικοῦ παρατατικοῦ ἐν συνθέσει ἔξει προστακτικόν. ἢ ἀπὸ τοῦ εἴω. οὗ ὁ δεύτερος ἀόριστος ἰον. ιες. ιε. καὶ μετὰ τοῦ ἐξ ἔξιε καὶ κατὰ μετάθεσιν καὶ συναίρεσιν ἔξει. ὡσαύτως καὶ μετὰ τῶν λοιπῶν προθέσεων μέτει καὶ δίει. παλαὶ τοῦ πάρει καὶ σύνει. ἐνταῦθα γὰρ αἱ προθέσεις τῷ ει ἀντὶ τοῦ ὑπάρχεις σύνδοια-ζον]. Τὸν ἀσκάντην.] σκίμποδα, δίφρου τι εἶδος ἢ τὸν κράβατον. Πότερα περὶ μέτρων.] καλῶς διέστησεν. οὐ γὰρ εἴ τι μέτρον ἐστὶν, ἤδη καὶ ἔπος. εἴ τι δὲ ἔπος, ἤδη πάντως καὶ ῥυθμὸς καὶ μέτρον. σημειωτέον δὲ ὅτι καὶ ταῦτα τῶν κυκλικῶν μαθημάτων. διαφέρει δὲ μέτρον καὶ ῥυθμός. καὶ ὅτι πατὴρ μέτρου ῥυθμός. καὶ ὅτι ἀρχαία ἡ τῶν μέτρων καὶ ῥυθμῶν διδασκαλία. Περὶ τῶν μέτρων.] λείπει τὸ θέλω μαθεῖν. διαβολὴ δὲ τὸ πᾶν. ὅτι τὰ μὴ οἰκεῖα τῇ τέχνῃ ἐπαγγέλλεται διδάσκειν. οὔτε γὰρ ποιητής ἐστιν οὔτε κωμικός. ὡς ἄγροικος δὲ πρεσβύτης ἀπεκρίνατο περὶ τῶν γεωργικῶν δεξάμενος. Ἀλφιταμοιβοῦ.] τοῦ ἀντικαταλλάσσοντος καὶ πιπράσκοντος ἄλφιτα. ἢ τοῦ ἀμείβοντος ἀντὶ ἀργυρίου ἄλφιτα. οὕτω καὶ ἀργυραμοιβοὶ, οἱ ἀντὶ ἀργυρίου κέρματα ἀμείβοντες. Παρεκόπην.] ἐζημιώθην. ἀντὶ τοῦ ἐπλάνησέ με τῇ μέτρων ποσότητι δύο χοίνικας. Κάλλιστον μέτρον.] διαβάλλει Σωκράτη. οὐ γὰρ ποιητικὴν ἢ μουσικὴν ἐπηγγέλλετο διδάσκειν. ὁ δὲ τὰ προσόντα μὴ λέγων, χαριζόμενος ἐπὶ τὰ μὴ προσόντα ἀμφοτέρων ἐκεῖνος ἀποστερεῖται, ὁ τοὺς λόγους ἀμφοτέρων ἀποφαίνων ἀλλοτρίους καὶ ἀπείρους. Ἡμιεκτέου.] τοῦ τετραχοινίκου. ὁ γὰρ μέδιμνος χοίνικας ἔχει μη. τούτων τὸ ἕκτον ἐστὶν η. τὸ ἥμισυ τοῦ ἕκτου τουτέστι τῶν ὀκτὼ τὰ τέσσαρα ὃ καλεῖται τετράμετρον. ὁ οὖν ἡμίεκτος τέσσαρας ἔχει χοίνικας. ἔπαιξε δὲ πάλιν εἰπὼν, οὐδὲν κάλλιον ἡγοῦμαι ἡμιέκτου μέτρου τουτέστι τεσσάρων χοινίκων. τούτων οὖν τὸ ἕκτον ἐστὶν ὀκτὼ χοίνικες. τὸ δὲ ἡμίεκτον τουτέστι τὸ δωδέκατον τῶν ὀκτὼ πρὸς τοῖς τεσσαράκοντα χοίνικες τέσσαρες. παρατηρητέον δὲ ὅτι διὰ τοῦ ε δεῖ γράφειν ἡμιεκτέου. οὐ κατὰ τὴν κοινὴν χρῆσιν διὰ διφθόγγου, ἡμιεκταίου. Περίδου νυν ἐμοί.] ἀντὶ τοῦ συνθήκας ποίησον. περὶ τὸ

Ομν-

Ὁμηρικόν. δεῦρό τι νῦν τρίποδος περιδώμεθα. γίνεται δὲ οὕτω. δίδωμι τὸ διομνύω. ὁ μέλλων δώσω. ὁ δεύτερος ἀόριστος ἔδων. μέσος ἐδόμην ἔδετο καὶ ἀποβολῇ τοῦ σ ἔδοτο καὶ ἔδου. καὶ τὸ προστακτικὸν δοῦ καὶ περίδου. καὶ Ὅμηρος δίδου μόχθοισι λυγροῖσιν. ὡς ἄγροικος δὲ πάλιν ὁ πρεσβύτης ἀντιχεῖ. ατο. ὁ μὲν γὰρ τῶν ποιημάτων ἔλεγε μέτρον. ὁ δὲ ὡς ἐπὶ τῶν γεωργικῶν ἐδέξατο.

BISETVS. Περίδου δὲ δύναται καὶ παρὰ τὸ περιδίδοσθαι παράγεσθαι. δίδωμι ὁ β. ἀόριστος μέσος ἐδόμην, ἔδοσο ἔδοτο, καὶ ἰωνικῶς ἔδοο, κατ' ἀποβολὴν τοῦ σ, καὶ κατ' ἄλλην κρᾶσιν, ἔδου. τὸ προστακτικὸν, δοῦ, δόσθω. καὶ μετὰ τῆς προθέσεως, περίδου. ὃ καὶ βέλτιον. Εὐστάθιος. περιδόσθαι, τὸ στοίχημα θέσθαι, ἢ συμφωνῆσαι περί τινος. ἐπιδόσθαι δὲ, τὸ μάρτυρας καταστῆσαι. ἀλλαχοῦ δὲ τὸ περιδόσθαι, τὸ συνθέσθαι, καὶ στοίχημα θέσθαι, παρὰ τὸ δίδοσθαι, ὅ ἐστι διομνύσθαι τὰς συνθήκας τὰς ὑπὸ τῶν συμφωνούντων. οἷον ἐν τῷ,

Δεῦρό νυν ἢ τρίποδος περιδώμεθον, ἠὲ λέβητος.

καὶ ἐν τῷ

—ἐμέθεν περιδώσομαι αὐτῆς.

ἀντὶ τοῦ ὑπὲρ ἐμαυτοῦ δώσω. σημειωτέον δὲ τὸ περιδώμεθον, καὶ παρὰ τὸ περιδοίμεθον κατὰ κρᾶσιν δύνασθαι παράγεσθαι καὶ παρὰ τὸ περιδόσθαι, τὸ δὲ περιδώσομαι, παρὰ τὸ περιδίδομαι.

Εἰ μὴ τετράμετρόν ἐστιν ἡμιεκτέον.
Σω. Ἐς κόρακας, ὡς ἄγροικος εἶ καὶ δυσμαθής.
Ταχύ γ' ἂν δύναιο μανθάνειν περὶ ῥυθμῶν.
Στρ. Τί δέ μ' ὠφελήσουσ' οἱ ῥυθμοὶ πρὸς τἄλφιτα;
Σω. Πρῶτον μὲν εἶναι κομψὸν ἐν συνουσίᾳ.
Εἶτ' ἐπαΐειν ὁποῖός ἐστι τῶν ῥυθμῶν,
Κατ' ἐνόπλιον, χ' ὁποῖος αὖ κατὰ δάκτυλον.
Στρ. Κατὰ δάκτυλον; νὴ τὸν Δί' ἀλλ' οἶδ'. Σω. Εἰπὲ δή.
Στρ. Τίς ἄλλος ἀντὶ τουτουῒ τοῦ δακτύλου;
Πρὸ τοῦ μὲν, ἔτ' ἐμοῦ παιδὸς ὄντος, οὑτοσί.
Σω. Ἀγρεῖος εἶ καὶ σκαιός. Στρ. Οὐ γὰρ, ὦ 'ζυρέ,
Τούτων ἐπιθυμῶ μανθάνειν οὐδέν. Σω. Τί δαί;
Στρ. Ἐκεῖν' ἐκεῖνο, τὸν ἀδικώτατον λόγον.
Σωκρ. Ἀλλ' ἕτερα δεῖ σε πρότερα τούτου μανθάνειν,
Τῶν τετραπόδων ἅττ' ἐστὶν ὀρθῶς ἄρρενα.
Στρ. Ἀλλ' οἶδ' ἔγωγε τἄρρεν', εἰ μὴ μαίνομαι.

ST. *Depone pignus, an tetrametron non fiet*
Dimidium semisextarij. SO. *abi hinc in malam crucem:*
Quàm tu ingenio agresti es? quàm porrò indocilis es?
Sed fortè citiùs addiscere posis Rythmos?
ST. *Quid ad farinam proderunt mihi Rythmi?*
SO. *Primò quidem in conuictu vt sis bellatulus:*
Deinde, vt possis intelligere, qui modus
Saltationis armatæ competat optimè,
Qui rursum ad Dactylum quadret quàm maximè.
ST. *Ad Dactylum? sanè hoc noui.* SO. *dic, quomodo?*
ST. *Quis enim alius sit digitus, quàm isthic, quem vides?*
Nam Dactylus hic erat, cùm ego adhuc essem puer.
SO. *Nullius pretij homo, & perquàm sinister es.*
ST. *At ego nihil borū quicquam cupio discere.*
SO. *Quid igitur?* ST. *illud, illud verbum iniuriam.*
SO. *Sed oportet te alia priùs, quàm isthuc, prædiscere:*
Quæ masculini generis sint animalia.
ST. *At noui ego, quod sit masculum, ni insanio.*

Σχόλια. Εἰ μὴ τετράμετρον.] πρὸς τὸ τετράμετρον ἀπήντησε. τὸ ἡμιεκτέον μέτρον ἐστὶ ταὐταρα, ὡς πλειονάκις ἴσως τοῦ δέοντος εἴρηται. Ταχὺ δ' ἄν.] ἐν εἰρωνείᾳ. λέγει δὲ εἰς τὸ κιθαρίζειν. ταχὺ δυνηθείης φησὶν αἰσθάνεσθαι καὶ μεταλαμβάνειν τὸ κιθαρίζειν. Κομψόν.] ἀντὶ τοῦ πιθανὸν καὶ εὔχαριν ἐν συνόδῳ καὶ τῇ πρὸς ἑτέρους κοινωνίᾳ πιθανὸν καὶ ἀστεῖον φαίνεσθαι τοῖς συνοῦσιν. Κατ' ἐνόπλιον.] εἶδος ῥυθμοῦ πρὸς ὃν ὠρχοῦντο σείοντες τὰ ὅπλα. ἔστι δὲ ὁ ἐν ἡμιολίῳ. ἡ γὰρ μακρὰ πρὸς τὰς δύο βραχείας ἴσον τι ἔχει ῥυθμὸν ἐκ τετραποδίας ἀναπαιστικὸν, ὃς δέχεται πάντας τοὺς δισυλλάβους πόδας. οἱ δὲ ἐνόπλιον τὸν ἀμφίμακρον. ὃς καὶ κρητικὸς καλεῖται ἀπὸ τοῦ εἰς τοὺς Κούρητας ἀναγομένου μέλους. τούτῳ γὰρ τῷ μέτρῳ προσωρχοῦντο σείοντες τὰ ὅπλα. καλεῖται δὲ ἐνόπλιον κατὰ δάκτυλον ᾧ χρῶνται ζήτει τίνες. ἴσως δὲ λείπει τὸ, οἱ αὐληταί. Κατ' ἐνόπλιος ὁ μετὰ δύο δακτύλους ἔχων σπονδεῖον κατὰ τὸ πάλιν καὶ πάλιν. οἷον, Ὣς φάτο δακρυχέων τοῦ δ' ἔκλυε πότνια μήτηρ λέγοιτο δ' ἂν ἴσως κατ' ἐνόπλιον, διὰ τὸ πρέπειν μὲν ῥυθμὸν τοιοῦτον, καὶ τοῖς ἄλλοις κινουμένοις μετὰ συντονίας. ἐπὶ πλέον δὲ τοῖς μεθ' ὅπλων σημαίνουσι δᾶσι καὶ πυρριχίζουσι. Κατὰ δάκτυλον.] ἀριθμητικόν ἐστι μέτρον. ἔστι δὲ ῥυθμὸς, κρούματος εἶδος κατὰ δάκτυλον. ᾧ χρῶνται οἱ αὐληταί. ὁ κατὰ δάκτυλον ῥυθμός ἐστιν ὁ ἐν ἴσῳ λόγος. ὁ δὲ ἐνόπλιος καὶ προσοδιακὸς καλούμενος ὑπό τινων, σύγκειται ἐκ σπονδείου καὶ πυρριχίου καὶ τροχαίου καὶ ἰάμβου. συνεμπίπτει δὲ ποτὲ ἤτοι τετραποδίᾳ ἀναπαιστικῇ, ἢ βάσεσι δυσὶν ἀναπαιστικῇ καὶ ἰωνικῇ. Τίς ἄλλος] τὴν παρατροπὴν ἑτέαν μεταξὺ τοῖν δυοῖν, ὡς ἐν τοῖς πλείστοις σχεδὸν φέρεται. ὁ πρότερος Σωκράτους. τίς ἄλλος ἀντὶ τουτουῒ τοῦ δακτύλου. καὶ τάχα εἶεν λέγων τῷ γέροντι ἕτερόν τινα ἢ δάκτυλον νομίζεις ἢ τοῦτον, δεικνὺς αὐτῷ ἕνα τῶν δακτύλων τῶν αὐτοῦ. ὅταν γὰρ περὶ ῥυθμῶν οὐ περὶ τούτου τοῦ δακτύλου φησὶν, ἀλλὰ περὶ ἑτέρου. ὡς γὰρ ἄγροικος καὶ ἔτι ἐρῶ οὐκ ἂν ἄλλον δείξειν τὸν μέσον δάκτυλον ἀσελγαινόμενος. ἐὰν δὲ παραιρῆται

ἀμφότεροι ἴσταται τοῦ γέροντος ἀσυνδέτως εἰρημένοι. ἄλλως. δεικνύει τὸ μέσον δάκτυλον αἰσχρῶς, ὡς δὴ ὡς φύσει A ὡς ἐστιν ἄλλως ἀντὶ τούτου τοῦ δακτύλου. καὶ γὰρ παιδίῳ μοι ὄντι πάλαι ὁ αὐτὸς ἦν. καὶ νῦν δὲ γεγηρακότι.

Κριός. τράγος. ταῦρος. κύων. ἀλεκτρυών.
Σωκρ. Ὁρᾷς ἃ πάσχεις; τήν τε θήλειαν καλεῖς
Ἀλεκτρυόνα κατὰ ταυτὸ καὶ τὸν ἄρρενα.
Στρ. Πῶς δὴ φέρε; Σω. πῶς; ἀλεκτρυὼν κἀλεκτρυών.
Στρ. Νὴ τὸν Ποσειδῶ. νῦν δὲ πῶς με χρὴ καλεῖν;
Σω. Ἀλεκτρύαιναν. τὸν δ᾽ ἕτερον ἀλέκτορα.
Στρ. Ἀλεκτρύαιναν; εὖγε νὴ τὸν ἀέρα.
Ὥστ᾽ ἀντὶ τούτου τοῦ διδάγματος μόνου,
Διαλφιτώσω σου κύκλῳ τὴν κάρδοπον.
Σω. Ἰδοὺ μάλ᾽ αὖθις τοῦθ᾽ ἕτερον. τὴν κάρδοπον
Ἄρρενα καλεῖς θήλειαν οὖσαν. Στρ. τῷ τρόπῳ
Ἄρρενα καλῶ ᾽γὼ κάρδοπον; Σω. μάλιστά γε.
Ὥσπερ γε καὶ Κλεώνυμον. Στρ. πῶς δή; φράσον.
Σω. Ταὐτὸν δύναταί σοι κάρδοπος Κλεωνύμῳ.
Στρ. Ἀλλ᾽ ὦ ᾽γάθ᾽ οὐδ᾽ ἦν κάρδοπος Κλεωνύμῳ
Ἀλλ᾽ ἐν θυείᾳ στρογγύλῃ γ᾽ ἀνεμάττετο.
Ἀτὰρ τὸ λοιπὸν πῶς με χρὴ καλεῖν; Σω. ὅπως;
Τὴν καρδόπην, ὥσπερ καλεῖς τὴν Σωστράτην.
Στρ. Τὴν καρδόπην θήλειαν, ὀρθότερον λέγεις;
Ἐκεῖνο δ᾽ ἦν ἄν, καρδόπη, Κλεωνύμη.
Σω. Ἔτι δή γε περὶ τῶν ὀνομάτων μαθεῖν σε δεῖ.
Ἅττ᾽ ἄρρεν᾽ ἐστίν, ἅττα δ᾽ αὐτῶν θήλεα.
Στρ. Ἀλλ᾽ οἶδ᾽ ἔγωγ᾽ ἃ θήλε᾽ ἐστίν. Σω. εἰπὲ δή.
Στρ. Λύσιλλα. Φίλιννα. Κλειταγόρα. Δημητρία.
Σω. Ἄρρενα δὲ ποῖα τῶν ὀνομάτων; Στρ. μυρία.
Φιλόξενος. Μελησίας. Ἀμυνίας.
Σω. Ἀλλ᾽ ὦ πόνηρε ταῦτά γ᾽ ἔστ᾽ οὐκ ἄρρενα.

Aries, taurus, hircus, canis & gallus. SO. *viden'*
Obsecro, quid ægri acciderit tibi? nam fæminam
Maremq́ue uno galli nomine tu appellitas.
ST. *Dic, quomodo?* SO. *Quomodo? gallus & gallus itidem.*
B ST. *Ita per Neptunum: sed quomodo me oportuit*
Hæc nominare? SO. *Gallinam, & gallum alterum.*
ST. *Gallinam? ita est per aëra. Et pro hoc unico*
Documento ego farina conspergam omnem tibi
Nunc Cardopum, seu mactram tuam pistoriam.
SO. *Ecce autem iterum peccas: cùm dicis Cardopum:*
C *Marémque facis, quæ sit fæmina.* ST. *quomodo marem*
Voco Cardopum? SO. *videlicet, ut Cleonymum*
Marem vocas. ST. *dic, quomodo?* SO. *quia Cardopus*
Idem tibi valet prorsum, quod Cleonymus.
ST. *Atqui, bone vir, Cleonymo haud est Cardopus:*
D *Ut qui farinam subigit in mortario.*
Sed quomodo posthac nominari oportet hac?
SO. *Quomodo? dic Cardopam: ceu dicis, Sostratam.*
ST. *An verò rectiùs vocas hanc Cardopam?*
At illud erat dicere Cardapa, Cleonyma.
SO. *Præterea oportet te etiam discere nomina,*
Quæ masculina, quæque fæminina sint.
E ST. *At novi ego, quæ sint fæminina.* SO. *dic, age.*
ST. *Lysilla, Philinna, Cletagora, Demetria.*
SO. *Sed quænam masculina sunt?* ST. *innumera: ceu:*
Philoxenus, Milesias, Amynias.
SO. *Miserum te: non sunt masculina hæc nomina.*

F

Σχόλια. Κύων. ἀλεκτρυών.] ἔπαιξε τὸν ἀλεκτρυόνα ὡς τετράποσι καταριθμήσας. καὶ ταῦτα δὲ γελοίου χάριν παρείληπται. ἢ καὶ πρὸς τὴν ἀθεότητα Σωκράτους ὅτι κατ᾽ αὐτῶν ὄμνυσιν. Ἀλεκτρυόνα κατὰ ταυτό.] οὐκ ἂν ἄλλως λέγοιτο τοῦτο, εἰ μὴ ἐν ἔθει ἦν τότε καὶ τὴν θήλειαν ἀλεκτρυόνα λέγειν. σαφὲς δὲ γίνεται ἐν Ἀμφιαράῳ. γυναῖκα τίς σε ψοφήσας ἐστιν. ἡ ἀλεκτρυὼν τὴν κύλικα καταβέβληκεν. οἰμώξουσά γε. καὶ ἐν τῷ Πλάτωνος Δαιδάλῳ. ἐνίοτε πολλαὶ τῶν ἀλεκτρυόνων καὶ ὑπηνέμια G τίκτουσιν ᾠὰ πολλάκις. ὁ δὲ παῖς ἔνδον τὰς ἀλεκτρυόνας τηρεῖ. οἱ Ἀττικοὶ δὲ οὕτω καὶ τὰς θηλείας ἐκάλουν, καὶ Θεόπομπος, λέγουσι δ᾽ αὐτὴν καὶ ἀλεκτρύαιναν. Νὴ τὸν Ἀέρα.] μιμεῖται καὶ αὐτὸς τοὺς φιλοσόφους, καὶ κατὰ τοῦ ἀέρος ὄμνυσιν. Ὥσπερ καὶ Κλεώνυμον.] σὺ φησὶ τὴν κάρδοπον καλεῖς ἀρσενικῶς δέον θηλυκῶς. ὥσπερ Κλεώνυμον ἄρρενα καλοῦσί τινες, οὐδὲν διαφέροντα τῇ αἰσχύνῃ τῶν γυναικῶν. Ταυτὸ δύναταί σοι.] ἀντὶ τὸ αὐτὸ γένος. σημαίνει δὲ τὴν κατάληξιν. ὃ ἔστι δοκεῖ σοι ὁμοιοκατάληκτον εἶναι. ἅμα δὲ καὶ ὡς γυναικώδη σκώπτει τὸν Κλεώνυμον, καὶ ὡς ἀδηφάγον διασύρει τῶν ἀλφίτων δεικτικῶν λέγων ὅμοιον. τῶν πολιτευομένων δὲ εἷς ἦν. καὶ ὡς γυναικιζόμενον αὐτὸν οἱ ποιηταὶ διαβάλλουσιν. Ἀλλ᾽ ἐν θυείᾳ.] ἀδηφαγίας ὑπερβολή. ὡς πένητα διὸ καὶ παράσιτον διαβάλλει αὐτόν. καὶ ἀπορεῖν τὰ μάκτρας. μάκτρα δὲ ἡ θυεία. ἡ δὲ καρδόπη, μεγάλη. ἀδηφαγίας δὲ ἔχει διαβολὴν κατὰ τοῦ Κλεωνύμου. τρόπον γὰρ μάκτρας εἶχεν ὁ Κλεώνυμος. Τὴν Σωστράτην] πάλιν ἐνταῦθα ὁ ποιητὴς σκώπτει τὸν Σώστρατον Σωστράτην εἰπών, διότι λίαν ἀσελγὴς ἦν καὶ θηλυδρίας. Καρδόπη Κλεωνύμη.] τοῦτον ἤδη ὡς κίναιδον διασύρει, ἐπεὶ μὲν ψάλτης καὶ δειλός. ὁ ἐρωτήσει δὲ ὁ λόγος καὶ λείπει τὸ ὡς. ἵν᾽ ᾖ ἐκεῖνο δ᾽ ἦν ὀρθῶς, ὡς Καρδόπη καὶ Κλεωνύμη λέγειν. ὅμοιον δὲ ἦν τὸ λέγειν καρδόπην ὡς Κλεωνύμην.

Στρ. Οὐκ

Στρ. Οὐκ ἄῤῥεν ὑμῖν ἐστιν. Σω. οὐδαμῶς γ' ἐπεὶ

Πῶς ἂν καλέσειας ἐντυχὼν Ἀμυνίᾳ;

Στρ. Ὅπως ἄν; ὡδί, δεῦρο δεῦρ' Ἀμυνία.

Σω. Ὁρᾷς; γυναῖκα δὴ τὴν Ἀμυνίαν καλεῖς.

Στρ. Οὔκουν δικαίως, ἥτις οὐ στρατεύεται.

Ἀτὰρ τί ταῦθ' ἃ πάντες ἴσμεν μανθάνω;

Σω. Οὐδὲν μὰ Δί'. ἀλλὰ κατακλινεὶς δευρί. Στρ. τί δρῶ;

Σω. Ἐκφρόντισόν τι τῶν σεαυτοῦ πραγμάτων.

Στρ. Μὴ δῆθ' ἱκετεύω σ' ἐνθάδ'. ἀλλ' εἴπερ γε χρή,

Χαμαί μ' ἔασον αὐτὰ ταῦτ' ἐκφροντίσαι.

Σω. Οὐκ ἔστι παρὰ ταῦτ' ἄλλα. Στρ. κακοδαίμων ἐγὼ

Οἵαν δίκην τοῖς κόρεσι δώσω τήμερον.

Σω. Φρόντιζε δὴ καὶ διάθρει,

Πάντα τρόπον τε σαυτὸν

Στρόβει πυκνώσας.

Ταχὺ δ' ὅταν γ' εἰς ἄπορον πέσῃς,

Ἐς ἄλλο πήδα νόημα φρενί.

Ὕπνος δ' ἀπέστω γλυκύθυμος ὀμμάτων.

Στρ. Ἀτταταῖ. ἀτταταῖ.

Σω. Τί πάσχεις; τί κάμνεις;

Στρ. Ἀπόλλυμαι δείλαιος, ἐκ τοῦ σκίμποδος.

Δάκνουσί μ' ἐξέρποντες οἱ Κορίνθιοι.

Καὶ τὰς πλευρὰς δαρδάπτουσι.

Καὶ τὴν ψυχὴν ἐκπίνουσι.

Καὶ τοὺς ὄρχεις ἐξέλκουσι.

Καὶ τὸν πρωκτὸν διορύττουσι.

A *ST. Non sunt hæc vobis masculina?* SO. *nequaquam:*

Nam si tu in Amyniam incidas, quomodo vocas?

ST. Hoc scilicet modo: age huc, huc ades Amynia.

SO. Vidésne? Amyniam vocas tu fœminam.

ST. Meritò: ut qui proiectis armis non militat.

B *Sed quorsum hæc disco: nota quæ sunt omnibus?*

SO. Nequaquam, per Iouem: sed age, accumbe.

ST. quid agam?

SO. In curam aliquam tuarum rerum incumbito.

ST. At obsecro, ne in hoc lecto: sed si ita opus est,

Sinito me humi iacentem aliquid meditarier.

SO. At præter hæc non sunt alia loca. *ST. miserum*

C *Me, quas hodie pœnas exoluam cimicibus.*

SO. Excogita & dispice quid:

Teq́met ipsum in omnes

Converte partes:

Et sicubi in rem dubiam incides,

Ibi tuam mentem abarce aliò:

Sed somnus hic absit ab oculis tuis.

ST. Ehen, hei: proh dolor, hei mihi.

D *SO. Quid est? quid mali fers?*

ST. Pereo miser. nam prorepentes è thoro

Me Cimicenses ciues infestant admodum,

Et costas morsu discerpunt:

Et vitam è membris exugunt:

Et testes ipsos euellunt:

Et totum perfodiunt anum:

Σχόλια. Γυναῖκα τὴν Ἀμυνίαν.] πρὸς τὴν κατάληξιν τοῦ ὀνόματος ἔπαιξε. καὶ εἰς διαβολὴν τοῦ ἀνδρός. ἐνταῦθα μὲν εἰς δειλίαν μόνον καὶ μαλακίαν. Κράτης δὲ ἐν Δραπέταις (?) εἰς ἀλαζόνα καὶ κόλακα καὶ συκοφάντην. Εὔπολις δὲ εἰς παρα-πρεσβεύτην. ὅπερ καὶ ἐν τοῖς Σφηξὶ φαίνεται. Κατακλινείς.] τοῦτο κοινόν. τὸ γὰρ κατακλιθείς, Ἀττικόν. Ἰωνικῶς δὲ κατακλινθείς. Ἐκφρόντισόν τι.] ἀντὶ τοῦ σκέψαι καὶ διανοήθητι περὶ τῶν ἰδίων σοι συμφερόντων πραγμάτων. Μὴ δῆθ' ἱκετεύω.] παρεπιγραφή. ποιήσει γὰρ τὸ προσταχθέν. εἶτα καταβρωθείς, ἀρνηθήσεται. Οὐκ ἔστι παρὰ ταῦτ' ἄλλα.] εἰ μὴ ἐπὶ τοῦ ἀσκάντου σκέψῃ. τοῦτό φησι πάντως δεδόκται. ἢ ἀνίημί σε ἐλόντα ποιῆσαί τι. Τήμερον.] ὡς ἐν Ὁλκάσιν. ἰὼ Λακεδαῖμον. τί ἄρα πείσῃ τήμερα ὁ σημερινός. καὶ ἔστι τετραγμένως ἐπὶ σώματος. τὸ δὲ τήμερον ἐπὶ χρόνου λέγεται. Φρόντιζε δὴ καὶ διάθρει.] ἐκάθισεν αὐτὸν ἐπὶ τοῦ ἀσκάντου. τὸ δὲ ἑξῆς δύναμις τοῦ νοῦ. ἔκθεσις τῆς διπλῆς ἀμοιβαία ἐκ στίχων καὶ κώλων δύο πρὸς τοῖς εἴκοσιν. ὧν τὸ πρῶτον δίμετρον ἐκ διϊάμβου καὶ χοριάμβου. τὸ δεύτερον δίμετρον ἐκ χοριάμβου καὶ βακχείου, τὸ τρίτον ἰαμβικὸν πενθημιμερές. τὸ τέταρτον ἐκ διϊάμβου καὶ χοριάμβου τρίμετρον βραχυκατάληκτον. τὸ πέμπτον ἐκ διϊάμβου καὶ τροχαίου ταυτοπαθές. τὸ ἕκτον τρίμετρον ἐκ διϊάμβων καὶ κατὰ τὸ μέσον διτροχαίου. τὸ ἕβδομον, ἰαμβικὸν δίμετρον ἀκατάληκτον. τὸ δὲ ὄγδοον δίμετρον ἀντισπαστικὸν βραχυκατάληκτον ἢ ἐκ δυεῖν βακχείοιν ἀκατάληκτον, τὰ ἑξῆς δύο ἰαμβικὰ

E τρίμετρα. τὰ δὲ μετὰ ταῦτα ἀναπαιστικὰ δίμετρα καταληκτικὰ εἰς δισύλλαβον πλὴν τοῦ πεντεκαιδεκάτου μονομέτρου ὄντος. ὁμοίως καὶ τοῦ ἑπτακαιδεκάτου καὶ εἰκοστοῦ πρώτου. ἀναπαιστικαὶ γὰρ βάσεις. καὶ τοῦ τελευταίου ἀναπαιστικοῦ μὲν ὄντος ἑφθημιμεροῦς. παροιμιακοῦ δὲ ὡς πολλάκις εἴρηται καλουμένου. ἔστι δὲ καὶ ταῦτα πολυσχημάτιστα. ἐπὶ τῷ τέλει δ' δύο διπλαῖ ὡς ἐν τοῖς προσθᾶσιν. ἴστεον δὲ ὅτι τὰς ἐκθέσεις τῶν διπλῶν οὐκ ἀεὶ διὰ τοῦ αὐτοῦ μέτρου ἐκφέρουσιν, ἀλλὰ καὶ δι' ἑτέρου. ἔστι δ' ὅτε καὶ διὰ

F διαφόρων ὡς κἀνταῦθα. Πάντα τρόπον.] τουτέστιν ἐπὶ πολλὰ τὴν διάνοιάν σου στρέφε. Στρόβει,] ἀνακίνει καὶ δοκίμαζε περίφερε τῇδε κἀκεῖσε ἐπὶ πολλά. συνεχῶς τι καὶ συνετῶς ποιῶν καὶ φρόνιμος σκεψόμενος. Εἰς ἄπορον πέσῃς.] ἐπειδὰν δέ φησιν εἰς τι ἄπορον πέσῃς, ταχὺ ἐπ' ἄλλο νόημα φρενὸς πήδα. ἄπορον δὲ, οὗ πέρας καὶ λύσιν οὐκ ἔστιν εὑρεῖν. καθάπτεται δὲ τοῦ Σωκράτους ὡς καὶ αὐτοῦ ἐπὶ τῆς ζητήσεσιν οὕτω ποιοῦντος. ὅταν γὰρ στενοχωρῆται καὶ ἀπορῇ, μεθίσταται εἰς ἕτερον. ὁ γὰρ ὑποτιθέμενος ἄλλοις, δηλονότι αὐτὸς ἐν πείρᾳ γενόμενος τῶν ὅσα λέγει, ὑπο-

G τίθεται. Ἀτταταῖ.] καταπονούμενος ὑπὸ τῶν κόρεων στενάζει ὁ Στρεψιάδης. ἔστι δὲ παρεπιγραφή. κατακλιθεὶς γὰρ καὶ μὴ δυνάμενος ὑπενεγκεῖν, παρεκάλει. Οἱ Κορίνθιοι,] ἴσως αὐτοῖς ἐπέκειντο κατ' ἐκεῖνο καιροῦ οἱ Κορίνθιοι. παρονομάζει δὲ παίζων ἅμα μὲν πρὸς τὸ κόριον, ἅμα δὲ καὶ διὰ τὸν πόλεμον, ὅτι ἐχθροὶ ἦσαν Ἀθηναίων οἱ Κορίνθιοι. Ψυχὴν ἐκπίνουσιν.] ἰστέον ὅτι

τρεῖς ψυχάς φασι, τὴν αὐξητικὴν, ἥτις ἐστὶ κοινὴ τῶν ἀνθρώπων, τῶν ἀλόγων ζώων καὶ τῶν φυτῶν, τὸ αἷμα ὅπερ ἐστι μόνων τῶν ζώων, καὶ τὴν λογικὴν, ἥτις ἐστι μόνων τῶν ἀνθρώπων.

Καί μ' ἀπολοῦσιν. Σω. μὴ νυν βαρέως ἄλγει λίαν.
Στρ. Καὶ πῶς ὅτε μου
Φροῦδα τὰ χρήματα, φρούδη χροιά.
Φρούδη δ' ἡ ψυχή. φρούδη δ' ἐμβάς.
Καὶ πρὸς τούτοις ἔτι τοῖσι κακοῖς,
Φρουρᾶς ᾄδων
Ὀλίγου φροῦδος γεγένημαι.
Σωκρ. Οὗτος τί ποιεῖς; οὐχὶ φροντίζεις; Στρ. ἐγώ.
Νὴ τὸν Ποσειδῶ. Σωκρ. καὶ τί δῆτ' ἐφρόντισας;
Στρ. Ὑπὸ τῶν κόρεων εἴ μου τι περιλειφθήσεται.
Σω. Ἀπολεῖ κάκιστ'. Στρ. ἀλλ' ὦ 'γάθ' ἀπόλωλ' ἀρτίως.
Σω. Οὐ μαλθακιστέ'. ἀλλὰ περικαλυπτέα.
Εὑρητέος γὰρ νοῦς ἀποστερητικός.
Κἀπαιόλημ'. Στρ. οἴμοι. τίς ἂν δῆτ' ἐπιβάλοι
Ἐξ ἀρναχίδων γνώμην ἀποστερητρίδα;
Σωκρ. Φέρε νυν. ἀθρήσω πρῶτον ὅ,τι δρᾷ τουτονί.
Οὗτος καθεύδεις; Στρ. μὰ τὸν Ἀπόλλω 'γὼ μὲν οὔ.
Σω. Ἔχεις τί; Στρ. μὰ Δί' οὐδὲν ἔγωγ'. Σω. οὐδὲν πάνυ;
Στρ. Οὐδέν γε πλὴν ἢ τὸ πέος ἐν τῇ δεξιᾷ.

Et me perdunt. SO. *ne nimis acerbè isthuc feras.*
ST. *At quomodo? cùm*
Nulla pecunia, color nullus,
Nec vita in me sit quicquam: nullum
B *Calceamentum: insuper excubiarum sim fatur,*
Propè nullus fio, miserq́;.
SO. *Heus tu, quid agis? nil commentaris?* ST. *Egon'? ita*
Per Neptunum. SO. *quid ergo commentatus es?*
ST. *An aliquid in me reliquum fiet à cimicibus.*
C SO. *Malè pereas.* ST. *at, ô bone vir, iam antè perij.*
SO. *Non decet ita mollem esse, sed obnubenda facies:*
Et inquirenda apta ad fraudem sententia,
Et impostura. ST. *vah quis inijcit mihi*
Nunc ex agninis pellibus sententiam,
Ad fraudandos cimices aptam. SO. *sine videam*
D *Primùm, quid hic agat: heus dormis?* ST. *non, per Iouem.*
SO. *Habes aliquid?* ST. *nihil equidem.* SO. *an prorsus nihil?*
ST. *Nihil prorsus habeo, nisi penem in dextera.*

Σχόλια. Φρούδη δ' ἐμβάς.] μέχρι τῆς εὐτελοῦς ἐπιβλήματος. τοῦτο δὲ εἶπε διὰ τὸ ὑπολελύσθαι τὰς ἐμβάδας ὅτε ἀπεδύετο μέλλων εἰσιέναι εἰς τὸ φροντιστήριον. ἄλλως. ἐκ τούτου ὅπισθεν, ὅτι τὰς ἐμβάδας ὑπελύσατο ὁ Στρεψιάδης, ὅτε εἰσῄει τὸ ὑπὲρ γῆν ἐκεῖνο φροντιστήριον, ἀλλὰ μόνον ὅτι ἐξεδύσατο τὸ ἱμάτιον. καὶ οὐδὲν θαυμαστὸν ἢ γεγονὸς μὲν τότε παρῆκε. νῦν δὲ λέγει τουτέστι τὸ ὑπολύσασθαι τὰς ἐμβάδας. ὁ δὲ ἐκεῖ εἶπεν ἤγουν τὸ ἀποδύσασθαι τὸ ἱμάτιον, νῦν οὐ λέγει. Φρουρᾶς ᾄδων.] οἱ φρουροῦντες ἐν τῷ πολέμῳ διὰ τὸ παραμυθεῖσθαι αὐτῶν τὴν ἀγρυπνίαν ᾖδον. καὶ οὕτως ἦν λεγόμενον ἐπὶ τῶν ἀγρυπνούντων φρουρᾶς ᾄδειν. ἄλλως. τὸ φρουρᾶς ᾄδειν παροιμία ἐστὶν ἐπὶ τῶν ἀγρυπνούντων καὶ φροντιζόντων πάνυ λεγομένη. οἱ γὰρ ἐπιτραπέντες ἐν νυκτὶ τινὰ φυλακὴν ᾄδουσιν, ἵνα μὴ ὑπὸ τοῦ ὕπνου καταμαλθακισθέντες ἐκλίπωσι ὃ φυλάσσουσιν. εἰκότως δ' ἐνταῦθα ἡ παροιμία ἐλήφθη. καὶ γὰρ αὐτὸς ἐν τῇ κλίνῃ κείμενος οὐκ ἐκοιμᾶτο ἀλλ' ἐφρόντιζεν. ἀστείως δὲ πάνυ καὶ τὸ φροῦδος εὕρηκεν ὁ ποιητὴς ἐκ τῶν δύο λέξεων συνθήκης τῶν φρουρᾶς καὶ τοῦ ᾄδων σχηματίσας αὐτό. ἄλλως. ἐκ τῆς παρεπομένης τοῖς φρουροῖς. εἰώθασι γὰρ ἑαυτοῖς ᾄδειν ἀποσοβοῦντες τὸν ὕπνον. φρουρᾶς ᾄδων ἀντὶ διαγρυπνῶν τὴν φρουράν. πρὸς δὲ τὴν λέξιν τὴν φρούδη τοῦτο συνῴκει. διὰ δὲ ἡ γραφή. φρουρὸς ᾄδων ἀντὶ τοῦ συνεχῶς ᾄδων φρουρός. τὸ δὲ φρουρᾶς ᾄδων. ἀντὶ τοῦ φυλάττων. ἐπεὶ φύλακας εἶχε τῶν φροντιστηρίων θυρῶν.

Bisetvs. Φρουρᾶς ᾄδων] εἰ καλῶς ἔχει τὸ τῆς

E γραφῆς, ἔλλειψις ἂν εἴη τοῦ ἕνεκα. ᾄδων φρουρᾶς ἕνεκα, δηλονότι πρὸς τὸ τὸν ὕπνον ἀποσοβεῖν, καὶ λέξεως τῆς ἐνικῆς γενικήν. εἰ δὲ γράψεις φρουράς, εἴη αἰτιατικὴ πληθυντική. ᾄδειν δὲ φρουρὰς ταυτὸ τῷ φρουρᾶς ἕνεκα ᾄδειν, ἵνα τὸν ὕπνον ἀποθώμεθα. Ὀλίγου φροῦδος] ἔλλειψις τοῦ δέω. γεγένημαι φροῦδος ὀλίγου δέω, ἀντὶ τοῦ σχεδὸν γεγένημαι φροῦδος. ἀλλὰ τοῦτο ἐχρηστότερον, καὶ γὰρ ὡς ἐπιπολεῖστον οὕτω λαλοῦμεν, μικροῦ ἐδέησα γενέσθαι φροῦδος. ὀλίγου ἐδέησα ἀποθανεῖν, ἀντὶ τοῦ παρὰ μικρόν, εἴτε σχεδὸν ἀπέθανον.

F Σχόλια. Ἀπόλωλ' ἀρτίως.] ὑπὸ τῶν κόρεων δηλονότι. ἐπεὶ Σωκράτης εἶπεν ἀπολεῖ, ὃ ἐστι μέλλεις ἀπολέσθαι, αὐτὸς λέγει, ὅτι ἀπόλωλ' ἤδη. Περικαλυπτέα.] δεῖ σέ φησι καλύψασθαι καὶ σκέψασθαι. ἐπεὶ οἱ συννοοῦντες τοὺς ὀφθαλμοὺς ἀποσκεπάζουσι τὴν γνώμην. Κἀπαιόλημ'] ἀπαιόλημα γίνεται ἀπὸ τοῦ αἰόλλω, ὃ δηλοῖ τὸ ταχέως καὶ δίκην ἀέλλης κινῶ, ἀφ' οὗ Ὅμηρος αἰολοπώλους τοὺς Φρύγας καλεῖ, ἤγουν ταχυίππους ἢ ποικίλως ἱππαζομένους. Ἀρναχίδων.] ἀρνακὶς λέγεται, τὸ τοῦ ἀρνὸς κώδιον. ἔπαιξε δὲ πρὸς τὸ ἀρνεῖσθαι. δέον εἰπεῖν τίς ἄν μοι περιβάλοι ἐξ
G ἀρνακίδων σισύραν. ἔπαιξεν ὀνομάσας ἀπὸ τῶν ἀρνῶν τὸ ἀρνεῖσθαι τοὺς δανειστάς, τοὺς ἐξ ἀρνακίδων. τὸ δὲ ἀποστερητρίδα, ἅμα μὲν καὶ πρὸς τὸ ἀπὸ τοῦ ἀποστερεῖν. ἅμα δὲ καὶ ἀντὶ τοῦ περιβόλαιον. Ἔχεις τί.] ἐπεὶ προεῖπεν αὐτῷ ἀναρτήσας τὴν φροντίδα, ὡς ἐπὶ ὀρνιθοθήρου, εἶτα τὸ ἔχεις ὡς ἐπὶ τῶν ἀγρευόντων ἤτοι ὄρνιν ἢ ἰχθῦν, εἶπε τὸ ἔχεις τι. ἀναρτῆσαι γὰρ αὐτῷ ἐκέλευσε τὴν διάνοιαν καὶ τὴν φροντίδα.

τίθεται. ἄλλως. χαριέντως τὸ ἔχεις τι. τῇ τῶν ἀγροίκων λέξει χρώμενος. τοῖς γὰρ ἁλιεῦσιν ἡ ἐρώτησις αὕτη, οὕτω φα-

A σίν. ἔχεις τι. Ἢ τὸ πέος] παρὰ προσδοκίαν. δεῖ γὰρ αὐτὸν καθίζεσθαι ἔχοντα τὸ αἰδοῖον. καὶ μιμεῖσθαι τὸν διαμέλλοντα ἑαυτόν.

ΣΩ. Οὐκ ἐγκαλυψάμενος ταχέως τι φροντιεῖς;
ΣΤΡ. Περὶ τοῦ; σὺ γάρ μοι τοῦτο φράσον ὦ Σώκρατες.
ΣΩ. Αὐτὸς ὅ,τι βούλει πρῶτος ἐξευρεῖν, λέγε.
ΣΤΡ. Ἀκήκοας μυριάκις ἁγὼ βούλομαι.
Περὶ τῶν τόκων ὅπως ἂν ἀποδῶ μηδενί.
ΣΩ. Ἴθι νυν καλύπτου, καὶ σχάσας τὴν φροντίδα
Λεπτὴν κατὰ μικρὸν περιφρόνει τὰ πράγματα,
Ὀρθῶς διαιρῶν καὶ σκοπῶν. ΣΤ. οἴμοι τάλας.
ΣΩ. Ἔχ' ἀτρέμα· κἂν ἀπορῇς τι τῶν νοημάτων,
Ἀφεὶς ἄπελθε. κᾆτα τὴν γνώμην πάλιν
Κίνησον αὖθις αὐτὸ καὶ ζυγώθρισον.
ΣΤ. Ὦ Σωκρατίδιον φίλτατον. ΣΩ. τί ὦ γέρον;
ΣΤ. Ἔχω τόκου γνώμην ἀποστερητικήν.
ΣΩ. Ἐπίδειξον αὐτήν. ΣΤ. εἰπὲ δή νυν μοι. ΣΩ. τὸ τί;
ΣΤ. Γυναῖκα φαρμακίδ' εἰ πριάμενος Θετταλήν,
Καθέλοιμι νύκτωρ τὴν σελήνην. εἶτα δὴ
Αὐτὴν καθείρξαιμ' ἐς λοφεῖον στρογγύλον,
Ὥσπερ κάτοπτρον, κᾆτα τηροίην ἔχων.
ΣΩ. Τί δῆτα τοῦτ' ἂν ὠφελήσειέ σ'; ΣΤ. ὅτι,
Εἰ μηκέτ' ἀνατέλλοι σελήνη μηδαμοῦ,

SO. Nihilne coopertus iam commentaberis?
Qua de re? dic, obsecro, mihi, mi Socrates.
SO. Dic tu ipse, quid primùm perscrutari velis?
ST. Decies millies iam audisti, quid velim:
B *De usuris: ne quid reddam cuiquam. SO. Agedùm tege*
Faciem, & subtilem cogitationem apud
Te cohibe, & res minutatim circumspice:
Apposite diuidendo & contemplando eas.
ST. Hei mihi misero. SO. quietus esto, & sicubi
In cogitatione aliqua hæsitaueris,
Omitte, & ab ea discede: ac mentem deinde
Rursum commoue, & idem repete pòst sedulò.
C *ST. Hem Socratisce carissime. SO. senex, quid est?*
ST. Habeo commentum, quo usuras fraudauero.
SO. Commonstra. ST. age, dic hoc primum. SO. quid dicam tibi?
ST. Si Thessalicam mihi quandam emam veneficam,
Et nocte Lunam ipsam deripiam cælitus,
Atque in rotundum loculum concludam, velut
D *Speculum: ac postea sic asseruans custodiam.*
SO. Quid verò hoc commodauerit tibi? ST. quia
Si Luna nusquam terræ oriatur amplius:

Σχόλια. Τί φροντιεῖς.] φροντίζω τὸ φροντίδα ἔχω κοινῶς μὲν γενικῇ συντάσσεται, ἀττικῶς δὲ μετὰ αἰτιατικῆς, ὡς ἐνταῦθα ἢ ἐν ταῖς Ὄλβιας ζητεῖτε τί μὴ τὸ φροντίζετε. Αὐτὸς ὅτι βούλει.] διαβάλλει αὐτὸν ὡς μὴ παρέχοντα εὕρημα τοῖς μαθηταῖς. Σχάσας.] καταπαύσας. στήσας. ἀτρεμήσας. καὶ Πίνδαρος, κώπαν σχάσον, ἀντὶ τοῦ ἀτρεμήσας. ἔνιοι δὲ σχάσας, ἀντὶ τοῦ ἁπλώσας. Λεπτήν] ἀκριβῆ. ἔνθα καὶ λεπτολόγος ἔρευνα. διαιρῶν ἀκριβῶς καὶ ἐπιμελῶς καταμερίζων περὶ οὗ τὴν σκέψιν ποιῇ. ἀναπτύσσων δοκιμάζων, καὶ διακρίνων τὰ πράγματα. οἷον διαίρεσιν αὐτῶν ποιοῦ. ἄλλως. ὡς ἐπὶ τῶν μίμων ἐσχημάτισται. ὥσπερ ὅλως κατὰ κεφάλαιον ἐπιζητῶν. Διαιρῶν καὶ σκοπῶν.] ὁ γὰρ σκοπεύμενος, οὕτω διαιρεῖ τὴν βουλήν. οἷον εἰ τόδε ποιήσω, τόδε ἀπαντήσει. καὶ εἰ τόδε, τόδε. Ἔχ' ἀτρέμα.] ἐφ' ἡσυχίας μένε. ὡς αὐτοῦ κινουμένου διὰ τοὺς κόρεις. ἄλλως. Ἰστέον ὅτι οἱ Ἀττικοὶ πάντα τὰ ἑνικά τε καὶ πληθυντικά, τρίτα πρόσωπα τῶν ῥημάτων καὶ τὰς τῶν ὀνομάτων δοτικὰς τῶν πληθυντικῶν συμφώνου καὶ φωνήεντος ἐπιφερομένου μετὰ τοῦ ν γράφουσιν. ὡς ἔστι σαφῶς συμβαλεῖν τοῖς πάλαι βιβλίοις πεπονημένοις ἐντυγχάνοντα βίβλοις. οἱ δὲ Ἴωνες δίχα τοῦ ν. τούτοις οὖν καὶ ἀμφοτέροις οἱ ποιηταὶ παρακολουθοῦντες καὶ δὴ καὶ τῇ ἀνάγκῃ τοῦ μέτρου ἑπόμενοι, πολλάκις συμφώνου μὲν ἐπιφερομένου μετὰ τοῦ ν γράφουσι. πολλάκις δὲ καὶ φωνήεντος ἐπιφερομένου δίχα τοῦ ν. τοιοῦτον δή τι τῇ τοῦ μέτρου ἀνάγκῃ ἐν τοῖς εἰς ν καὶ εἰς σ λήγουσιν ἐπιρρήμασι ποιεῖν εἰώθασιν, οἷον τὸ πρόσθεν, νέρθεν, ὄπισθεν, τὸ οὕτως αὖθις. πολλάκις εὐθὺς ταχὺς ἀτρέμας καὶ τοῖς ὁμοίοις. τοῦτο δ' εἰ οὕτως ἔχον εὑρήσεις, ἀκριβῶς σκεψάμενος. Ἀφεὶς] ἄπελθε ἐάσας τὸ ἀπορούμενον. ἔπειτα πάλιν ἀνασκοπεῖν καὶ οἷον ἀνοίγειν ἀποπειρῶ. τὸ γὰρ ἀναζυγοῦν ἐστὶ τὸ ἔξωθεν ἀνοίγειν τὴν θύραν. ἔνιοι δὲ ζυγώθρισον. συνάρμοσον. σύμπλεξον. κίνησον δὲ αὖθις. ἀντὶ τοῦ καὶ β καὶ γ ἐπίστησον. περὶ τῶν αὐτῶν ζυγοστάτησον. ἴσωσον. Κίνησον αὖθις.] ὑποτίθεται πῶς δεῖ φροντίζειν καὶ τίνα τρόπον. φησὶ γὰρ ἐὰν ὑπερσταλῇς, ὅτι μὴ ἀμελήσῃς. ἀλλὰ πολλάκις αὐτὸ μετέλθε. καὶ οὕτως εἰς ἓν συμφορήσας τὴν ἀρίστην γνώμην ἑλοῦ. Ζυγώθρισον.] ἀπὸ τοῦ ζυγὸς γίνεται καὶ τοῦ ἀθρίζω τὸ ἀποδοκιμάζω, ζυγοαθρίζω καὶ κατὰ συγκοπὴν τοῦ ι, καὶ κρᾶσιν τοῦ ο καὶ α εἰς ω μέγα ζυγώθρισον. Ὦ Σωκρατίδιον,] ἐνθυμηθεὶς ἐξαίφνης βοᾷ. Γυναῖκα φαρμακίδ'.] ὡς νῦν τὰς φαρμακίδας Θετταλὰς καλοῦσι. διαβάλλονται γὰρ οἱ Θετταλοὶ ὡς γόητες. καὶ μέχρι δὲ νῦν φαρμακίδες παρ' ἡμῖν αἱ Θετταλαὶ καλοῦνται. φασὶ δὲ ὅτι Μήδεια φυγοῦσα, κίστην ἐξέβαλε φαρμάκων ἐκεῖ καὶ ἀνέφυσαν. τὸ δὲ Θετταλὴν Ἀττικοὶ βαρύνουσιν οἱ κατὰ Μένανδρον, ὡς δαμάλην. Λοφεῖον στρογγύλον.] τὴν τοῦ κατόπτρου θήκην. ἢ τὴν θήκην τοῦ λόφου τῆς περικεφαλαίας. περιφερὴς δὲ αὕτη. Ὥσπερ κάτοπτρον.] ὁ γὰρ τῆς σελήνης κύκλος στρογγυλοειδής, καθάπερ καὶ τὰ ἔνοπτα. καὶ φασί τινες περὶ τὰ τοιαῦτα δεινούς, οὕτω κατάγειν τὴν θεόν. ἔστι δὲ καὶ Πυθαγόρου παίγνιον διὰ τοῦ τοιούτου κατόπτρου προσσελήνου τῆς σελήνης οὔσης, εἴ τις ἔσοπτρον ἐπιγράψειεν αἵματι ἃ βούλεται, καὶ προστησάμενος ἑτέρῳ σταίη κατόπιν αὐτοῦ δεικνὺς πρὸς τὴν σελήνην τὰ γράμματα κἀκεῖνος ἀτενίσας ὁ πλησίον εἰς τὸν τῆς σελήνης κύκλον, ἀναγνοίη πάντα τὰ ἐν τῷ κατόπτρῳ γεγραμμένα ὡς ἐπὶ τῆς σελήνης γεγραμμένα. Μηκέτ' ἀνατέλλοι.] πρὸς τὸ προειρημένον ὑπ' αὐτοῦ. ὁρῶν ἄγουσαν τὴν σελήνην εἰκάδας. τελουμένης γὰρ σελήνης οἱ τόκοι ἐδίδοντο. εἰ γοῦν μὴ ἀνατέλλοι πῶς ἂν οἱ δανεισταὶ γνόντες τὸν μῆνα τελούμενον ἀπαιτήσωσι τοὺς τόκους.

Οὐκ ἂν γ' ἀποδοίην οὐδὲ τόκους. Σω. τί ἢ τί δή.
Στρ. Ὁτιὴ κατὰ μῆνα τ' ἀργύριον δανείζεται.
Σω. Εὖγ'. ἀλλ' ἕτερον αὖ σοι προβαλῶ τι δεξιόν.
Εἴ σοι γράφοιτο πεντετάλαντός τις δίκη,
Ὅπως ἂν αὐτὴν ἀφανίσειας, εἰπέ μοι.
Στ. Ὅπως; ὅπως οὐκ οἶδ'. ἀτὰρ ζητητέον.
Σω. Μή νυν περὶ σαυτὸν εἶλλε τὴν γνώμην ἀεί.
Ἀλλ' ἀποχάλα τὴν φροντίδ' ἐς τὸν ἀέρα,
Λινόδετον ὥσπερ μηλολόνθην τοῦ ποδός.
Στ. Εὕρηκ' ἀφάνισιν τῆς δίκης σοφωτάτην.
Ὥς' αὐτὸν ὁμολογεῖν σ' ἐμοί. Σω. ποίαν τινά;
Στ. Ἤδη παρὰ τοῖσι φαρμακοπώλαις τὴν λίθον.
Ταύτην ἑώρας, τὴν καλὴν, τὴν διαφανῆ,
Ἀφ' ἧς τὸ πῦρ ἅπτουσι; Σω. τὴν ὕαλον λέγεις;
Στ. Ἔγωγε. Σω. φέρε, τί δῆτ' ἄν; Στ. εἰ ταύτην λαβὼν,
Ὁπότε γράφοιτο τὴν δίκην ὁ γραμματεὺς,
Ἀπωτέρω στὰς ὧδε πρὸς τὸν ἥλιον,
Τὰ γράμματ' ἐκτήξαιμι τῆς ἐμῆς δίκης.
Σω. Σοφῶς γε νὴ τὰς Χάριτας. Στ. οἴμ' ὡς ἥδομαι.
Ὅτι πεντετάλαντος διαγέγραπταί μοι δίκη.
Σω. Ἄγε δὴ ταχέως τουτὶ ξυνάρπασον. Στρ. τὸ τί.
Σω. Ὅπως ἀποστρέψαις ἂν ἀντιδικῶν δίκην.

A *Nulli persoluam usuras.* SO. *quid ita? mi senex.*
ST. *Quia argentum secundùm mensem fœneratur.*
SO. *Euge: sed ego tibi proponam aliud quippiam,*
Et æque callidum. Si scribatur tibi
Dica quinque talentorum, quomodo tu obliteres
Eam, cedò mihi? ST. *quomodo? modum nescio,*
Sed inuestigandus tamen. SO. *sed ne tu ita*
B *Animum intra teipsum semper versato senex:*
Sed cogitationem, uti vinctum compede
Quodam Scarabæum, sursum laxa in aërem.
ST *Ehem, obliterationem repperi*
Dicæ pulcerrimam, ut tumet fateberis.
SO. *Qualem obsecro?* ST. *vidistin' apud unguentarios,*
Et aliptas, lapidem illum pulcrum, & pellucidū,
Vnde ignem accendunt? SO. *num vitrum dicis?*
C ST. *utique.*
SO. *Quid cum illo ages?* ST. *si scriba mihi scribat dicam:*
Ego procul stans, ad hunc modum, ad Solem, vitro
Deleuero literas intentæ mihi dicæ.
SO. *Sapienter, ita me Gratiæ ament.* ST. *oh gestio,*
D *Dicam quinque talentorum esse expunctā mihi.*
SO. *Age verò & hoc celeriter arripe.* ST. *quid id est?*
SO. *Quo pacto litem effugias aduersarij.*

Σχόλια. Τί ἢ τί δή.] παράλληλα. καὶ παρ' Ὁμήρῳ. τίη τί δ' ἢ λείπεται ἀριστοί. Ἀργύριον.] οὕτως ἡ γραφὴ ἀργύρια τ' παρὰ Φρυνίχῳ κεῖται. ὅτι οἱ κωμικοὶ πληθυντικῶς φασίν. οἱ δὲ ῥήτορες ἑνικῶς καὶ σώφρων πληθυντικῶς ἀργύρια δείκνυσι. Προβαλῶ.] προθήσω, εἰς ὃ δεῖ σε μηχανὴν εὑρεῖν. Εἴ σοι γράφοιτο] εἰ κατηγοροίη πέντε σε δυνάμενον ζημιῶσαι τάλαντα Ἀττικῶς δὲ τὸν ἀριθμοῦ τὸ ἐφύλαξε. ἄλλως. ἰστέον ὅτι ἐν τοῖς δικαστηρίοις οἱ δανειστὰς αἱ ἐρχόμενοι ἔλεγον ὡς ὁ δεῖνα αὐτοῖς ὀφείλει, εἶτα ὁ τῶν δικαστῶν γραμματεὺς ἔγραφεν τοῦτο, καὶ μετὰ ταῦτα ὁ ὀφείλων καλούμενος ἀπῃτεῖτο τὸ δάνειον. Εἶλλε τὴν γνώμην.] εἰλῶ τὸ στρέφω παρὰ κοινοῖς δασυνομένως. εἶλλε δὲ βαρυτόνως παρὰ τοῖς ποιηταῖς. Μηλολόνθην.] οὕτω γράφουσιν οἱ ἀκριβέστεροι. ἴσασι δὲ λέγουσιν ὅτι ζωΰφιον ἐστὶ χρυσίζον κανθάρῳ ὅμοιον. ὃ λαμβάνοντες οἱ παῖδες ἀποδεσμοῦσι λίνῳ καὶ ἐκπετάννυουσιν. ἄλλως. τὸ χρυσοκάνθαρον. οὕτως οὖν φησὶ δῆσόν σου τὴν γνώμην, ἵν' ὅταν ἀρπάσῃς ἐκ τοῦ ἀέρος τὴν γνώμην, πάλιν ἐπισπάσῃ αὐτήν. Τοῖσι φαρμακοπώλαις.] φαρμακοπῶλαι κυρίως οἱ τὰ φάρμακα πιπράσκοντες τά τε λυσιτελοῦντα καὶ τὰ θανάσιμα. παρὰ τοῖς παλαιοῖς δὲ καὶ οἱ τοὺς τιμαλφεῖς τουτέστι πολυτίμους λίθους πιπράσκοντες φαρμακοπῶλαι ἐλέγοντο. οὐδεὶς γὰρ τῶν τοιούτων λίθων ἐστὶν ὃς οὐκ ἔχει τινὰ θείαν δύναμιν. Τὴν ὕαλον λέγεις.] κατασκεύασμά ἐστιν ὕαλον τροχοειδὲς παχὺ, εἰς τοῦτο τεχνασθέν. ὅπερ ἐλαίῳ χρίοντες καὶ θερμαίνοντες, προσάγουσι θρυαλλίδα. καὶ οὕτως ἅπτουσι. τοῦτο οὖν φησὶν εἰ ὑφάψαιμι διὰ τῆς ὑάλου καὶ προσάγοιμι τῇ δέλτῳ τὸ πῦρ τῇ τοῦ γραμματέως, ἀφανίσαιμι τὰ γράμματα τῆς δίκης. ὅτι δὲ ὕαλος θηλυκῶς καὶ διὰ τοῦ α. διὸ τὸ χ. Ὅμηρος δὲ οὐκ οἶδε τὸ ὄνομα ἀλλὰ παρ' αὐτῷ καὶ τοῖς ἀρχαίοις ἤλεκτρος μέν ἐστιν. ὕαλος δὲ οὔ. ἄλλως. ὕαλον ἡμεῖς μὲν ἀρτίως τὸ ἐκ βοτάνης τινὸς κεκαυμένης καὶ διὰ πυρὸς τηκόμενον εἰς κατασκευὴν ἀγγείων τινῶν λεγόμενον. οἱ παλαιοὶ δὲ τὸν διαφανῆ λίθον αὐτὸν ἰδιωτικῶς λεγόμενον κρύσταλλον, ἐοικότα δὲ ὑάλῳ. Νὴ τὰς Χάριτας.] οὐχ ἁπλῶς ὄμνυσι κατὰ τῶν Χαρίτων. ὄπισθεν γὰρ τῆς Ἀθηνᾶς ἦσαν γλυφεῖσαι αἱ Χάριτες ἐν τῷ τοίχῳ, ἃς ἐλέγετο ὁ Σωκράτης γλύψαι. τὸ γὰρ πρῶτον λιθογλύφος ἦν τὴν τέχνην. αἰνίττεται οὖν αὐτῷ τοῦ Σωκράτους εἰς τὴν προτέραν τέχνην. ἄλλως. τῷ μὲν φαινομένῳ ἀρεσκόμενος Σωκράτης δείκνυται τῷ τοῦ Στρεψιάδου νοήματι, καὶ ὄμνυσι τὰς Χάριτας ὅτι σοφῶς τοῦτο τὸ νόημα ἐποίησε τὸ τῆς τοῦ χάρτου ἐκφρώσεως. Χαρίτων γὰρ ἔργα καὶ δῶρα, σοφία. ἐσχηματισμένως δὲ τοῦ Σωκράτους καθάπτεται ὁ ποιητὴς ὁ κωμῳδῶν τοῦτον ὡς λιθοξόον. Σωφρονίσκου γὰρ λιθοξόου ἦν υἱὸς Σωκράτης καὶ τῆς λαξευτικῆς μετεῖχε τέχνης καὶ ἀνδριάντας λιθίνους ἐλάξευε. καὶ ἀγάλματα δὲ τῶν τριῶν Χαρίτων τετεργάσατο Πειθοῦς Ἀγλαΐας καὶ Θαλείας. καὶ ἦσαν ὄπισθεν τῆς Ἀθηνᾶς ἐγγεγλυμμένα τῷ τοίχῳ. Οἴμ' ὡς ἥδομαι.] τὸ οἴμοι καὶ ὤμοι, ποτὲ μὲν ἐπ' εὐφροσύνης κείμενον εὕρηται. ποτὲ δὲ ἐπὶ λύπης. καὶ ἐπ' εὐφροσύνης μὲν ὡς ἐνταῦθα οἴμ' ὡς ἥδομαι. καὶ ὤμοι σοφίας ἧς μετέσχες. ἐπὶ δὲ λύπης ὡς τὸ οἴμοι τάλας. καὶ οἴμοι κακοδαίμων ὡς ἀπόλωλα δείλαιος. καὶ ὤμοι μανίας τῆς σῆς πόλεώς τι. Διαγέγραπται.] κατέξυσται, ἀνῄρηται, ἀπὸ τῆς τοῦ γραμματέως δέλτου ὅπου αἱ δίκαι ἀνεγράφοντο, καὶ αἱ εἰσαγωγαὶ τῶν δικῶν. Ἀντιδικῶν.] κατηγορῶν καὶ ἐναντιούμενος. τοῖς γὰρ γραψαμένοις καὶ μὴ ἀποδείξασιν ἐπεβάλλετο χρηματικὴ ζημία. καὶ εἰ μὴ κατὰ τὸ ὡρισμένον ἐξέτισεν ὑπερήμερος γινόμενος ἐξέτισε τετραπλῆ. οἱ δὲ μὴ ἔχοντες τίσαι, κατείργνυντο εἰς τὸ δικαστήριον. πολλοὶ δὲ τοῦτο πεπόνθασιν ὡς ὁ ῥήτωρ ἐν τῷ κατὰ Ἀριστογείτονος.

E F G

Μέλλων

Μέλλων ὀφλήσειν, μὴ παρόντων μαρτύρων.
Στ. Φαυλότατα καὶ ῥᾷστ'. Σω. εἰπὲ δή. Στ. καὶ δὴ λέγω.
Εἰ πρόσθεν ἔτι μιᾶς ἐνεστώσης δίκης,
Πρὶν τὴν ἐμὴν καλεῖσθ' ἀπαγξαίμην τρέχων.
Σω. Οὐδὲν λέγεις. Στ. νὴ τοὺς θεοὺς ἔγωγ'· ἐπεὶ
Οὐδεὶς κατ' ἐμοῦ τεθνεῶτος εἰσάξει δίκην.
Σω. Ὑθλεῖς. ἄπερρ' οὐκ ἂν διδαξαίμην σ' ἔτι.
Στ. Ὁτιὴ τί; ναὶ πρὸς τῶν θεῶν ὦ Σώκρατες.
Σω. Ἀλλ' εὐθὺς ἐπιλήθει σύ γ' ἅττ' ἂν καὶ μάθῃς.
Ἐπεὶ τί νυνὶ πρῶτον ἐδιδάσκου; λέγε.
Στ. Φέρ' ἴδω τί μέντοι πρῶτον ἦν; τί πρῶτον ἦν;
Τίς ἦν ἐν ᾗ ματτόμεθα μέντοι τἄλφιτα;
Οἴμοι τίς ἦν; Σω. οὐκ ἐς κόρακας ἀποφθερεῖ
Ἐπιλησμότατον καὶ σκαιότατον γερόντιον;
Στ. Οἴμοι. τί οὖν δῆθ' ὁ κακοδαίμων πείσομαι;
Ἀπὸ γὰρ ὀλοῦμαι, μὴ μαθὼν γλωττοστροφεῖν.
Ἀλλ' ὦ Νεφέλαι, χρηστόν τι συμβουλεύσατε.
Χο. Ἡμεῖς μὲν ὦ πρεσβῦτα συμβουλεύομεν,
Εἴ σοί τις υἱός ἐστιν ἐκτεθραμμένος,
Πέμπειν ἐκεῖνον ἀντὶ σαυτοῦ μανθάνειν.
Στ. Ἀλλ' ἔστ' ἔμοιγ' υἱὸς καλός τε κἀγαθός.
Ἀλλ' οὐκ ἐθέλει γὰρ μανθάνειν. τί ἐγὼ πάθω;
Χο. Σὺ δ' ἐπιτρέπεις; Στ. εὐσωματεῖ γὰρ καὶ σφριγᾷ.
Κἄστ' ἐκ γυναικῶν εὐπτέρων τῶν Κοισύρας.
Ἀτὰρ μέτειμί γ' αὐτόν. ἢν δὲ μὴ θέλῃ,
Οὐκ ἔσθ' ὅπως οὐκ ἐξελῶ 'κ τῆς οἰκίας.
Ἀλλ' ἐπαναμεινόν μ' ὀλίγον εἰσελθὼν χρόνον.

A *Iam damnandus, nullis in promtu testibus.*
ST. Leuissimè & facilimè. SO. dic, quomodo?
ST. Dicam equidem, si instante actione vna adhuc,
Priusquàm mea citetur, ego me strangulem.
SO. Nihil dicis. ST. imò per Deos: nam mortuo
Mihi quis obsecrò litem velit intendere?
SO. Nugas agis: apage hinc, non ego te docuero
B *Amplius. ST. at quamobrem, per Deos: mi Socrates.*
So. Quia tu obliuisceris tam citò, quæ didiceras:
Age enim, dic mihi, quid primò discebas senex?
ST. Quid primum? sine videam: quid erat? quid primum erat?
At quæ illa, in qua farinas hic subegimus?
Væ mihi, quænam illa erat? SO. non tu hinc is in malam
C *Crucem, homo stultißime, atque obliuiosißime?*
ST. Hei mihi, quid agam inser? nam nisi perdidicerim
Versare volubilem linguam: ego perij, occidi.
Nubes date consilium mihi aliquod vtile.
CH. Si filius tibi est benè educatus, hunc
Vt mittas pro te in ludum literarium,
Hoc nos tibi subministramus nunc consili.
D *ST. At est mihi filius frugi & perquàm bonus.*
Sed discere tamen non vult. ah, quid fero mali?
CH. An verò tu hoc ei permittis? ST. corpore
Benè est habito, & viget: & est ex mulieribus
Alatis natus, de familia Cæsyra.
Sed accedo illum, vt tentem, si renuat mihi:
Non est, vt eum non abdicem & extrudam domo.
Tu me interim paulisper hic operire: eo.

E

Bisetus. Ὑθλεῖς] ὕθλος, ὁ λῆρος, ἡ φλυαρία, ὑθλοῦσι, ληροῦσι, φλυαροῦσι.

Σχολ. Τίς ἦν ἐν ᾗ.] ὡς ἐπιλανθανόμενος. θέλει δὲ εἰπεῖν τὴν κάρδοπον. Ἐπιλησμότατον.] ἔδει εἰπεῖν ἐπιλησμονέστατον. ἡ λέξις δὲ ἐπιλήσμων. φησὶ δὲ Κρατῖνος ἐπιλήσμονι. Γλωττοστροφεῖν] τὴν γλῶτταν στρέφειν δι' ἧς ἂν τοὺς δανειστὰς ἀποκρίσωμαι. Εὐσωματεῖ.] ἐκ τοῦ ἐναντίου συγκατατίθεται. δέον γὰρ ἂν μανθάνειν τοιοῦτον ὑγιαίνοντα. εἰ μὴ ἄρα τοῦτο λέγει ὅτι φοβοῦμαι αὐτόν. Εὐπτέρων.] ἀντὶ τοῦ εὐγενῶν. ἀπὸ τῶν ὀρνέων. ἢ κούφων ὧν ὁ λογισμὸς ἐπῆρται. φρονούσων τῆς Κοισύρας. ἀντὶ τοῦ μεγάλα φρονουσῶν. εὐπτέρων δὲ τῶν εὐγενῶν. ἡ μεταφορὰ ἐκ τῶν ὀρνέων. ἢ τῶν μετεώρων καὶ ὑπερηφάνων. ἢ ἐπτερωμένων. ὡς δραπέτας δὲ αὐτὰς διαβάλλει. ἀσύμβουλοι δέ φησιν. ὅτι καὶ ταχέως μεταβαλλόμεναι ἐπιθυμίας ἄλλας ἁλίσκονται. Ἀτὰρ μέτειμι.] ἐγὼ δὴ μετέλθω. μεταχειρίσομαι ὅπως δυνηθῶ πεῖσαι αὐτόν.

F

ΣΤΡΟΦΗ ΚΩΛΩΝ ί.

Χο. Ἆρ' ἄγ' αἰσθάνει πλεῖστα
Δι' ἡμᾶς ἀγάθ' αὐτίχ'
Ἕξων μόνας θεῶν;
Ὡς ἕτοιμος ὅδ' ἐστὶν

Chorus.

Equidem auferes multa
Deinceps commoda per nos;
Solas Deas? Vt hic
Promptus est & alacris

G

Σχόλια. Ἆρ' ἄγ' αἰσθάνει.] κορωνὶς καὶ εἴσθεσις χοροῦ μονῳδικὴ κώλων διαφόρων ί. τούτων τὸ μὲν πρῶτον δίμετρον ἀντισπαστικὸν ἐκ διτροχαίου καὶ παλιμβακχείου. τὸ β. ἐξ ἀντισπάστου καὶ ἀμφιβράχεος. τὸ γ. ἐξ ἐπιτρίτου τρίτου δίμετρον βραχυκατάληκτον. τὸ δὲ δίμετρον ἐκ διτροχαίου καὶ ἀμφιβράχεος. τὸ πέμπτον τροχαϊκὸν δίμετρον ἀκατάληκτον ἀδιαφόρου τῆς τελευταίας οὔσης. τὸ ἕκτον ἰαμβικὸν δίμετρον ἀκατάληκτον. τὸ ἕβδομον ἐκ χοριάμβου καὶ διϊάμβου δίμετρον. τὸ ὄγδοον χοριαμβικὸν τρίμετρον ἀκατάληκτον. τὸ ἔνατον ὅμοιον τῷ ἕκτῳ ἀρχούσης ἀνάπαιστον τῆς ἀρχούσης. τὸ δέκατον χοριαμβικὸν δίμετρον καταληκτικόν. ἐστὶ οὖν ἐκ χοριάμβου καὶ βακχείου.

Πάντα δρᾶν ὅσ' ἂν κελεύῃς.
Σὺ δ' ἀνδρὸς ἐκπεπληγμένου,
Καὶ φανερῶς ἐπηρμένου,
Γνοὺς, ἀπολάψεις ὅ,τι πλεῖστον δύνασαι,
Ταχέως. φιλεῖ γάρ πως τὰ τοι-
αῦθ' ἑτέρᾳ τρέπεσθαι.

A *Omnia expedire iussa.*
At tu virum attonitum qui habes,
Et manifeste concitum,
Excoriabis cito, quantum poteris.
Quia res solent huiusmodi
Saepe alio euenire.

Σχόλια. Ἐκπεπληγμένου.] ἀντὶ τοῦ ἐπαινοῦντος. λέγουσι δὲ τὸ σέ. οἱονεὶ ἐκπλήκτου καὶ μέγα φρονοῦντος. Ἐπηρμένου] γνοὺς ἀπολάψεις. οἱ λέγοντες γνοὺς ἀντὶ τοῦ αἴσθησιν λαβὼν, ἵνα συντάξωσι τὴν γενικὴν, οὐ καλῶς λέγουσιν. ἔστι γὰρ αὕτη ἡ γενικὴ πρὸς τὸ ἀπολάψεις, οὕτω, σὺ δὲ ἀπολάψεις, ἀντὶ τοῦ ἀποκερδανεῖς ταχέως ὅ,τι πλεῖστον δύνασαι ἀνδρὸς ἐκπεπληγμένου καὶ φανερῶς ἐπηρμένου. εἶτα ὕστερον ἐπάξεις τὸ γνοὺς, ἀντὶ τοῦ οὕτως ἔχοντα αὐτὸν νοήσας. ἔστι δὲ ἀπολάψεις ἐνταῦθα ἀντὶ τοῦ προστακτικοῦ, δείκνυται γὰρ ἐκ τῆς κατασκευῆς ὅτι τοῦτο αἱ Νεφέλαι αὐτῷ ἐπιτάττουσι. B Ἀπολάψεις.] ἀπολαύσεις. ἐκ δὲ ὡς τοῖς πολλοῖς ἀπολάψῃς, ἐκπίῃ. ἀπὸ τῶν κυνῶν ἡ μεταφορά· ἢ γὰρ λάπτοντες πίνουσι. καταστρέψεις δὲ εἰς τὸ ἀποκερδανεῖς ἢ ἀφαρπάσεις. ἀπολάψεις. Ὅμηρος, λάψαντες γλώσσῃσιν ἀραιῇσιν μέλαν ὕδωρ. Φιλεῖ γάρ πως] ἔθος ἔχει συμβαίνειν γὰρ ἄλλως ἀποβαίνειν ἢ προσδοκᾷ τις. ἀντὶ τοῦ εὐμετάβλητοί εἰσιν οἱ ἐξ ἐπιθυμίας ἀλόγου τινὶ συμβαλόντες. εὐμετάβλητοι γὰρ αἱ τῶν τοιούτων ἀνδρῶν γνῶμαι.

C

ΔΡΑΜΑΤΟΣ ΤΟΥ ΤΡΙΤΟΥ, Σκηνὴ πρώτη.

ACTVS III. SCENA I.

ΣΤΡΕΨΙΑΔΗΣ, ΦΕΙΔΙΠΠΙΔΗΣ, ΣΩΚΡΑΤΗΣ,

Τρίμετροι.

STREPSIADES, PHIDIPPIDES, SOCRATES.

Senarij.

ΒΙΣΕΤΥΣ. Στρεψιάδης τὸν μὲν, δεήσει, τὸν δὲ, ἀπειλαῖς ἤδη πεισθέντα πρὸς τὸν Σωκράτην ἄγει, D καὶ αὐτὸν αὐτῷ συστήσας καὶ ἐπιτρίψας παραδίδωσι.

Στρ. Οὔτοι μὰ τὴν Ὁμίχλην ἔτ' ἐνταυθοῖ μενεῖς.
Ἀλλ' ἔσθι' ἐλθὼν τοὺς Μεγακλέους κίονας.
Φει. Ὦ δαιμόνιε. τί χρῆμα πάσχεις ὦ πάτερ;
Οὐκ εὖ φρονεῖς μὰ τὸν Δία τὸν Ὀλύμπιον.
Στρ. Ἰδού γ' ἰδοὺ, Δί' Οὐλύμπιον. τῆς μωρίας.
Τὸν Δία νομίζειν ὄντα τηλικουτονί.
Φει. Τί δὲ τοῦτ' ἐγέλασας ἐτεόν. Στρ. ἐνθυμούμενος,
Ὅτι παιδάριον εἶ, καὶ φρονεῖς ἀρχαϊκά.
Ὅμως γε μὴν πρόσελθ', ἵν' εἰδῇς πλείονα.
Καί σοι φράσω πρᾶγμ', ὃ σὺ μαθὼν, ἀνὴρ ἔσει.
Ὅπως δὲ τοῦτο μὴ διδάξῃς μηδένα.
Φει. Ἰδοὺ τί ἐστιν; Στρ. ὤμοσας νῦν τὸν Δία;

Heic non manebis iam: non: ita me nebulae ament.
Age hinc, Megaclis columnas deuoratum abi.
PH. *Miserum te: quidnam tibi mali accidit, pater?*
E *Non tu recte sapis, per Olympium Iouem.*
ST. *Ecce autem, ecce Iouem Olympium, quae insania*
Te isthac aetate credere, esse aliquem Iouem?
PH. *Quid tu isthoc rides, quod verum est?* ST. *quia video*
Te esse puerum, & sapere senum deliria.
Sed age, accede tamen, ut plura ex me scias:
Nam ea tibi dicam, quae si discas, vir eris.
F *Tu vero hoc ipsum ut quenquam doceas caue.*
PH. *Eho, quid est?* ST. *Iurastin' modo nunc Iouem?*

Σχόλια. Οὔτοι μὰ τὴν Ὁμίχλην.] κορωνὶς ἑτέρα ὁμοία. οἱ δὲ στίχοι ἰαμβικοὶ τρίμετροι ἀκατάληκτοι ϛ. ὧν τελευταῖος πρὸς τοῦτο τὸ δίκαι' ἀντιλέγειν δυνήσεται. ἐπὶ τῷ τέλει κορωνίς. καὶ ἑξῆς τὸ χοροῦ. ὤφειλε γὰρ κεῖσθαι χορὸν, ἄχρις ἂν οἱ λόγοι ἐξέλθωσι. Κίονας.] ὡς ἅπαντα κατεφαγόντος τοῦ Μεγακλέους ὡς εἰ ἔλεγε τὸν πλοῦτον. ἐμφαίνει δὲ διὰ τούτων ὡς οὐδὲν αὐτῷ κατελείφθη G εἰ μὴ ἡ αὐλὴ Μεγακλέους. λέγει δὲ ὅτι πάντα κατηναλωκὼς. καὶ τὰ λοιπὰ ἐλθὼν τοὺς λίθους τῆς οἰκίας, αἰνίττεται οὖν εἰς τὴν ἀσωτίαν τοῦ υἱοῦ, ὅτι πάντα κατηνάλωσεν αὐτῷ, καὶ οὐδὲν ἔτι ὑπολείπεται. ἄλλως. ἐντεῦθεν δηλοῖ ὅτι ἐν κίοσιν ἵστατο ὁ οἶκος αὐτοῦ. δείκνυται δὲ ὅτι μόνοι οὗτοι ὑπελείφθησαν αὐτῷ τῶν ἄλλων καταναλωθέντων παρ' αὐτοῦ. Οὐκ εὖ φρονεῖς] ἄγε καὶ αὐτὸς ἐπετιμήθη ἐπὶ τούτοις παρὰ Σωκράτους. τοῦτο δὲ πειρᾶται τὸν υἱὸν διδάσκειν. καταγελᾷ δὲ αὐτοῦ ὡς μὴ δέοντος μήτε Δία ὀμνύντος μήτε νομίζοντος. τοῦ δὲ διὰ τὸ ἀκατείργαστον φησὶ Σύμμαχος ἀττικῶς. ἐνδεῖ δὲ τὸ χ. Τηλικουτονί.] τὴν τελείαν ἔχοντα τὴν ἡλικίαν καὶ ὀφείλοντα πάντα εἰδέναι. Ἀρχαϊκά.] μωρά. εὐήθη. λῆρα. ἀρχαῖοι οἱ μωροὶ ἐκαλοῦντο ἀπὸ τῶν ἐπὶ τοῦ Κρόνου ἐκείνων ἀρχαίων καὶ ἀπείρων μόνων ἀνδρῶν. Ὅπως δὲ τοῦτο.] ὡς ἐπὶ τῶν ἀρρήτων δῆθεν ἀκκάλων. ὡς καὶ αὐτὸς παρεγγυηθεὶς δῆθεν. νομίζει δὲ ταῦτα εἶναι μυστήρια. ἄλλως. ἴσως γὰρ ἐπιτακτικῶς ἃς παρῄνεσεν αὐτῷ πρότερον μαθητὴς Σωκράτους. Ἰδοὺ τί ἐστι.] πλησιάσας αὐτῷ φησὶ τὸ ἰδού.

A Φει. Ἔγωγ'. Στρ. ὁρᾷς οὖν ὡς ἀγαθὸν τὸ μανθάνειν;
Οὐκ ἔστιν ὦ Φειδιππίδη Ζεύς. Φει. ἀλλὰ τίς;
Στρ. Δῖνος βασιλεύει τὸν Δί' ἐξεληλακώς.
Φει. Αἰβοῖ. τί ληρεῖς; Στρ. ἴσθι τοῦθ' οὕτως ἔχον.
Φει. Τίς φησι ταῦτα; Στρ. Σωκράτης ὁ Μήλιος,
Καὶ Χαιρεφῶν, ὃς οἶδε τὰ ψυλλῶν ἴχνη.
Φει. Σὺ δ' εἰς τοσοῦτο τῶν μανιῶν ἐλήλυθας,
Ὥστ' ἀνδράσι πείθει χολῶσι; Στρ. εὐστόμει,
B Καὶ μηδὲν εἴπῃς φλαῦρον ἄνδρας δεξιοὺς
Καὶ νοῦν ἔχοντας. ὧν ὑπὸ τῆς φειδωλίας,
Ἀπεκείρατ' οὐδεὶς πώποτ' οὐδ' ἠλείψατο.
Οὐδ' εἰς βαλανεῖον ἦλθε λουσόμενος. σὺ δὲ
Ὥσπερ τεθνεῶτος καταλόει μου τὸν βίον.
Ἀλλ' ὡς τάχιστ' ἐλθὼν ὑπὲρ ἐμοῦ μάνθανε.
Φι. Τί δ' ἂν παρ' ἐκείνων καὶ μάθοι χρηστόν τις ἄν;
C Στρ. Ἀληθες. ὅσαπέρ ἐστ' ἐν ἀνθρώποις σοφά.
Γνώσει δὲ σαυτὸν ὡς ἀμαθὴς εἶ καὶ παχύς.
Ἀλλ' ἐπανάμεινόν μ' ὀλίγον ἐνταυθοῖ χρόνον.
Φι. Οἴμοι. τί δράσω παραφρονοῦντος τοῦ πατρός.
Πότερον παρανοίας αὐτὸν εἰσαγαγὼν ἕλω;
D Ἢ τοῖς σοροπηγοῖς τὴν μανίαν αὐτοῦ φράσω;
Στρ. Φέρ' ἴδω. σὺ τοῦτον τίνα νομίζεις; εἰπέ μοι.
Φι. Ἀλεκτρυόνα. Στρ. καλῶς γε. ταυτηνὶ δὲ τί;
Φι. Ἀλεκτρυόν'. Στρ. Ἄμφω ταὐτό; καταγέλαστος εἶ.
Μή νυν τὸ λοιπόν. ἀλλὰ τήνδε μὲν καλεῖν
E Ἀλεκτρύαιναν. τουτονὶ δ' ἀλέκτορα.
Φι. Ἀλεκτρύαιναν; ταῦτ' ἔμαθες τὰ δεξιὰ

PH. Equidem. ST. vides ergo, quàm bonum sit discere?
Ah mi Phidippide, non, non est Iuppiter.
PH. Quis ergo alius? ST. turbo imperat expulso Ioue.
PH. Papae, quas tu nugas agis? ST. atqui isthuc scias
Ita se habere: PH. quis hoc dicit? ST. noster Socrates
Et Chaerepho, qui nouit passus pulicum.
PH. Quid? an tu eò progressus es vesaniae:
Vt credas hominibus, atra bile percitis?
ST. Bona verba: ne maledicas tàm sapientibus
Et mente praeditis viris: qui vitam ita
Parcè exigant, vt nemo illorum vnquam siet
Attonsus, nemo lotus vnquam in balneo,
Nemo vnguento delibutus. Tu autem meam
Mihi vitam prodigis, ac si ego essem mortuus:
Sed age, ac dudū sequere hâc, & pro me discito.
PH. Et quid boni aut frugi apud illos discas aliquis?
ST. Imò omnia, quae inter homines callidam
Redolent sapientiam, teq; ipsum primulum
Nosces, quàm ineptus sis, & quàm crassi ingenij.
Sed age, operire me hic paulisper. PH. hei mihi,
Quid agam: quando ita meus delirat pater. vtrū
In ius vocabo & conuincam delirij?
An libitinarius bilem hanc faciam palàm.
ST. Sine videam: quid tu hoc existimas? cedò.
PH. Gallum. ST. quid verò hoc? PH. itidem Gallum. ST. vtrum
Ambo haec pro eodem habes? na tu ridiculus es.
Caue post haec ita dixeris: sed hanc quidem
Gallinam: hunc verò gallum nominaueris.
PH. Gallinam? an tu haec tàm docta, huc ingressus modò

Σχόλια. Αἰβοῖ.] γελῶν λέγει τὸ αἰβοῖ. ἔστι γὰρ ἐπίρρημα χλευαστικόν. Ὁ Μήλιος.] παρ' ἱστορίαν. Ἀθηναῖος γὰρ ὁ Σωκράτης. ἀλλ' ἐπεὶ Διαγόρας Μήλιος ὢν διεβάλλετο ὡς θεομάχος, καὶ τὸν Σωκράτην δὲ ὡς ἄθεον διαβάλλει. διὰ τοῦτο Μήλιον αὐτὸν ἔφη. ἄλλως. ὁ Μήλιος ἀντὶ τοῦ ὁ ἀσεβής. Διαγόρου γὰρ τοῦ Μηλίου μαθητὴς ὁ Σωκράτης. διεβέβληντο δὲ ἐπὶ ἀθεΐᾳ οἱ Μήλιοι ἀπὸ Διαγόρου. ὃς χρήματα παρακαταθέμενός τινι καὶ ἀποστερηθείς, εἰς ἀθεΐαν ἐτράπετο. ἢ διότι Μῆλον ἐπολέμησαν Ἀττικοί. οἱ δὲ ἐπειδή τις Ἀρισταγόρας διθυραμβοποιὸς ἐξωρχήσατο τὰ Ἐλευσίνια. οἱ δὲ Μήλιον τὸν καταπραΰνοντα τῇ διδαχῇ τὰς ψυχὰς τῶν Μηλίων. οἱ δὲ τὸν κομῶντα τὸν δασύν. ἄλλως. ὁ Μήλιος τινὲς ἐξεδέξαντο τὸν τὰς τῶν εἰσιόντων ψυχὰς ὀξύνοντα πρὶν εἰσελθεῖν ἠχρειωμένας, ἀπὸ μεταφορᾶς τῶν ἀλόγων θρεμμάτων. Μῆλα γὰρ τὰ θρέμματα. οἱ δὲ εἰς τὸ δασὺ καὶ αὐχμηρὸν νοοῦσιν αὐτό. οἱ δὲ παρέλαβον οὕτω. Διαγόρας ὁ Μήλιος ὃς τὸ πρότερον ἦν θεοσεβής, παρακαταθήκην ὑπό τινος ἀποστερηθείς, ἐπὶ τὸ ἄθεον ἐξέδραμεν· ἐφ' ᾧ οἱ Ἀθηναῖοι ἀγανακτήσαντες, τὴν Μῆλον ἐκάκωσαν. ἄλλως. Διαγόρας γέγονέ τις βλάσφημος εἰς τὸ θεῖον Μήλιος. καὶ ποτέ φασιν ἐν πανδοκείῳ εὑρεθείς, καὶ μὴ εὑρὼν ξύλα, ἀλλ' ἄγαλμα Ἡρακλέους, ἄγε φησὶ τρεῖς καὶ δέκατον ἡμῖν ἐπιτέλει ἆθλον καὶ ἕψησον τὴν φακῆν. Ὑπὸ τῆς φειδωλίας.] ὡς κομψεύοντας διαβάλλει τοὺς φιλοσόφους. ταῦτα δὲ ἐποίουν οἱ φιλόσοφοι διὰ καρτερίαν. ὁ δέ φησιν ὅτι οὐ δι' ἀρετὴν ἐποίουν ἀλλὰ διὰ σμικρολογίαν. ἃ γοῦν ὑπ' ἐγκρατείας ἐποίουν οὗτοι, ταῦτα ὑπὸ φειδωλίας φησίν. ἅμα δὲ δοκῶν ἐπαινεῖν, ψέγει. ἀντὶ γὰρ τοῦ εἰπεῖν καρτερίας, εἶπε φειδωλίας. Καταλούει μου.] ἐντρυφᾷς. καταναλίσκεις τὴν περιουσίαν. τὸ δὲ καταλούεις καταναλίσκεις εἰς λουτρά. ἤδη γὰρ ὥσπερ τεθνεῶτός μου καταλούει. ἄλλως. δαψιλῶς ἀναλίσκεις μου τὸν βίον. ἐκ μεταφορᾶς τῶν ἐκχυομένων ὑδάτων ἐν τοῖς βαλανείοις. ἢ ἐντρυφᾷς. ὡς καὶ τὸ βαλανεῖον διὰ τρυφὴν ὄντος. ἐπεὶ ἔθος ἦν μετὰ τὴν ἐκκομιδὴν τοῦ νεκροῦ λούεσθαι τοὺς κατ' οἶκον καθαρμοῦ χάριν. Ἀληθες.] ἐὰν μὲν προπαροξυτόνως, αὐτὸ τὸ ἀληθὲς λέγεσθαι. ἐὰν δὲ ὀξυτόνως τὸ πρᾶγμα δηλοῖ τὸ μετέχον τῆς ἀληθείας. Οἴμοι τί δράσω.] πρὸς τὸν πατέρα δικάσομαι. καὶ δείξας αὐτὸν μαινόμενον οὕτω τὴν μανίαν παύσω. Παρανοίας.] ἀντὶ τοῦ εἰς τὸ δικαστήριον εἰσαγαγὼν κατηγορήσω ὡς παραφρονοῦντος. Σοροπηγοῖς.] τουτέστι τοῖς ποιοῦσι σοροὺς τοῖς νεκροῖς. χλευάζει δὲ τὸν πατέρα ὡς πρεσβύτην καὶ γειτονιῶντα τῷ θανάτῳ. ἄλλως. τοῖς σοροποιοῖς τοῖς τὰς σοροὺς τῶν ἀποθνησκόντων ποιοῦσι. τουτέστιν ἄλλην ἴασιν οὐχ ἕξει ἢ τὸν θάνατον. καὶ δέον αὐτῷ πρὸς τὸ θανεῖν τὰ ἐπιτήδεια κατασκευάζειν.

A Εἶτα παρ' ἐκείνων ἄρτι ταῦτα τοὺς γηγενεῖς;
Στρ. Χἄτερά γε πόλλ'. ἀλλ' ὅτι μάθοιμ' ἑκά-
στοτε,
Ἐπελανθανόμην ἂν εὐθὺς ὑπὸ πλήθους ἐτῶν.
Φει. Διὰ ταῦτα δὴ καὶ θοἰμάτιον ἀπώλεσας;
Στ. Ἀλλ' οὐκ ἀπολώλεκ', ἀλλὰ καταπεφρόντι-
κα.
Φει. Τὰς δ' ἐμβάδας ποῖ τέτροφας ὦ 'νόητε σύ;
Στρ. Ὥσπερ Περικλέης, εἰς τὸ δέον ἀπώλεσα.
B Ἀλλ' ἴθι βάδιζ', ἴωμεν. εἶτα τῷ πατρὶ
Πειθόμενος ἐξάμαρτε. κἀγώ τοι ποτὲ
Οἶδ' ἑξέτει σοι τραυλίσαντι πειθόμενος,
Ὃν πρῶτον ὀβολὸν ἔλαβον ἡλιαστικόν,
Τούτου 'πριάμην σοι Διασίοις ἁμαξίδα.
Φει. Ἦ μὴν σὺ τούτοις τῷ χρόνῳ ποτ' ἀχθέσει.
Στ. Εὖ γ' ὅτι ἐπείσθης. δεῦρο δεῦρ' ὦ Σωκρά-
τες
C Ἔξελθ'. ἄγω γάρ σοι τὸν υἱὸν τουτονὶ
Ἄκοντ' ἀναπείσας. Σω. νηπύτιος γάρ ἐστ' ἔτι,
Καὶ τῶν κρεμαθρῶν οὐ τρίβων τῶν ἐνθαδί.
Φει. Αὐτὸς σὺ τρίβων εἴης ἄν, εἰ κρέμαιό γε.
Στ. Οὐκ ἐς κόρακας; καταρᾷ σὺ τῷ διδασκά-
λῳ.
Σω. Ἰδοὺ κρέμαιό γ', ὡς ἠλίθιον ἐφθέγξατο
Καὶ τοῖσι χείλεσιν διερρυηκόσιν.
D Πῶς ἂν μάθοι ποθ' οὗτος ἀπόφαξιν δί-
κης.
Ἢ κλῆσιν, ἢ χαύνωσιν ἀναπειστηρίαν.
Καίτοι ταλάντου τοῦτ' ἔμαθεν Ὑπέρβολος.

A *Didicisti ab hisce terra filijs, pater?*
ST. Imo & alia plura, sed quod annis obsitus
Essem, statim obliuiscebar, quae didiceram.
PH. Etiam propterea vestem amisisti, puto?
ST. Imò non amisi, sed in studia artium
Et literarum impendi. PH. sed tuos calceos
Quò contulisti tu fatue? ST. in Rempubl.
Atque necessarium vsum, vt Pericles, perdidi.
Sed abi, perge, vnà eamus, & tu, dum patri
B *Sis obsequens, pecca. nam & ego olim, dum tibi*
Adhuc sexenni & balbutienti sum obsequens,
Plostellum emi tibi, in festo Dialium,
Obolo, quem primum pro mercede acceperam,
Quod Heliaeo interfuissem iudicio.
PH. Nae, tu istuc cum malo tuo olim senties.
ST. Benè est, quòd mihi pares. Age huc, huc Socrates
C *Exi: nam hunc adduco tibi filium meum:*
Cui vel nolenti persuasi. SO. quippe fatuus
Est, neque adhuc nostris assueuit panarijs
Hic pensilibus. PH. tute illis assuescas, vbi
Suspensus fueris. ST. apage hunc in malam crucem.
Tun' ita magistro maledicas, homo impudens?
SO. Ecce hoc, vbi suspensus fueris, quàm friuolè
D *Effutijt, labiis distortis? quomodo hic*
Discat vitare litem, aut aduersarium
Citare, vel relaxare animos iudicum
Verbis, ad persuadendum satis idoneis?

Σχόλια. Τοὺς γηγενεῖς] διὰ τὸ ἀρχαίους καὶ νεκρώδεις εἶναι. ἢ ἀσεβεῖς καὶ θεομάχους διὰ τοὺς γίγαντας. Καταπεφρόντικα.] εἰς τοὺς φροντιστὰς ἀνάλωσα. ὡς εἰ ἔλεγε κατεπεφρόνηκα. ἢ εἰς τὴν παίδευσιν καταδεδαπάνηκα.

E BISETVS. ὦ 'νόητε σύ.] ὦ ἀνόητε, ὦ ἄφρον.

Σχόλια. Ὥσπερ Περικλέης.] Περικλῆς πολλῶν ὄντων χρημάτων ἐν τῇ ἀκροπόλει, εἰς τὸν πόλεμον τὰ πλεῖστα ἀνάλωσε. φασὶ δὲ ὅτι τοὺς λογισμοὺς διδοὺς, τάλαντα εἴκοσιν ἁπλῶς εἰπεῖν εἰς τὸ δέον ἀναλωκέναι. φησὶ δὲ Ἔφορος ὅτι μετὰ ταῦτα μαθόντες οἱ Λακεδαιμόνιοι, Κλεανδρίδην μὲν ἐζημίωσαν, Πλειστοάνακτα δὲ ιέ ταλάντοις ἐζημίωσαν, ὑπολαβόντες δωροδοκήσαντας αὐτοὺς διὰ τὸ φείσασθαι τῆς λοιπῆς Ἀθηναίων γῆς ὑπὸ τῶν περὶ τὸν Περικλέα, μὴ θελήσαντα γυμνῶς εἰπεῖν ὅτι δέδωκα τοῖς Λακεδαιμονίων βασιλεῦσι τὸ δέον. ἄλλως. Περικλῆς Ἀθηναίων στρατηγὸς χρήματα τοῦ δημοσίου λαβὼν εἰς τὸ κατασκευάσαι ὁλόχρυσον ἄγαλμα τῇ Ἀθηνᾷ, ἐλεφάντινον ποιήσας, τὰ πολλὰ ἐσφετερίσατο συμποιησάμενος μετὰ Φειδίου τοῦ πλάστου. ἐπεὶ δὲ κατακρινόμενος ὡς πλεῖστα ἀναλώσας ἠρωτᾶτο ποῦ ἀνηλώθη, ὑπὸ μεγαλονοίας ἔλεγεν εἰς τὸ δέον ἀνήλωσα. ἄλλως. Περικλῆς τοῖς Ἐφόροις Λακεδαιμονίων Κλεανδρίδῃ καὶ Πλειστοάνακτι χρήματα δέδωκεν ὑπὲρ προδοσίας, καὶ τούτων ἀπαιτούμενος ὑπὸ τῆς πόλεως λόγον, μὴ ἀξιῶν ἑαυτόν τε καὶ τοὺς Λακεδαιμονίους καταισχῦναι, ἔλεγεν εἰς τὸ δέον ἀνήλωσα. τοῦτο δὲ γνόντες Λακεδαιμόνιοι τὸν μὲν Κλεανδρίδην ἐφυγάδευσαν, τὸν δὲ Πλειστοάνακτα δεκαπέντε ταλάντοις ἐζημίωσαν, οἰηθέντες αὐτοὺς διὰ τὸ φείσασθαι τῆς λοιπῆς Ἀθηναίων γῆς δωροδοκήσαντας, ἐκ τῆς Ἀττικῆς ἀναχωρῆσαι.

Εἶτα τῷ πατρί.] ἀντὶ τοῦ ἔχεις ἀπολογίαν ὅτι τῷ πατρὶ πειθόμενος ἐξήμαρτες, ὠφελήθητι καὶ ἁμάρτανε δι' ἐμέ. Τραυλίσαντι] ψελλίσαντι. ἀντὶ τοῦ ἄσημον ἀφιέντι φωνήν. ἡλιαστικὸν δὲ ἀντὶ τοῦ ἐκκλησιαστικόν. ἡλιαία δὲ τὸ δικαστήριον διὰ τὸ ὑπαίθριον εἶναι καὶ τῷ ἡλίῳ βάλλεσθαι. ὀχ ἴσταλο δὲ τῶν δικαστικῶν ὁ μισθός. Διασίοις.] ἑορτὴ τοῦ Διός. ἁμαξὶς δὲ τὸ μικρὸν ἁμάξιον ἢ πλακοῦντος εἶδος. Ἦ μὴν σὺ τούτοις.] προαναφωνεῖ αὐτῷ ἃ μέλλει ποιήσειν, ἀντὶ τοῦ λυπηθήσῃ ποτὲ ἂν μάθῃς. τοῦτο δὲ λέγει πεισθεὶς τῷ πατρί. διὸ καὶ ὁ πατὴρ ἐπιφέρει εὖγ' ὅτι ἐπείσθης. Νηπύτιος γάρ,] ἀντὶ τοῦ νήπιος. ἐπιτείνει δὲ τὸ ὄνομα ὁ Σωκράτης ἵνα καταπλήξῃ τὸν νεώτερον τὸν εἰσελθόντα. ἀλλὰ σύ γ' αὐτός, ἐκ τῶν κρεμαστῶν δηλονότι τετριμμένος εἴης ἀεὶ κρεμάμενος. λέγει δὲ τῶν ὀργάνων τῶν ἀστρονομικῶν καὶ γεωμετρικῶν. κρεμάθρα γὰρ ἐν τῷ φροντιστηρίῳ γράφεται, ἐπεὶ αὐτὸς ἐπὶ κρεμάθρας ἦν. Ἰδοὺ κρέμαιό γε.] διώκων ὁ Σωκράτης τῇ φωνῇ ἐκεῖνον μιμούμενος ὅτι κακῶς τῷ στόματι εἶπε τὸ κρέμαιό γε. Καὶ τοῖσι χείλεσι διερρυηκόσι] τῇ φωνῇ μιμούμενος ὁ Σωκράτης φησὶ διακεχηνὼς τοῖς χείλεσι. Κλῆσιν.] τὴν μαρτυρίαν. χαύνωσιν δὲ λύσιν τῶν δικῶν. καὶ ἀπάτην τὰ κοινὰ ῥήματα ἀναπείθοντα τοὺς ἀκούοντας. ἄλλως. χαύνωσιν ἀναπειστηρίαν. ὅταν τοῦ ἀντιδίκου προβάλλοντος λόγους πιθανούς, εἰς τοὐναντίον τις αὐτοὺς περιτρέψῃ. καὶ χαύνους καὶ ἀσθενεῖς ποιήσῃ διὰ τῶν λόγων αὐτοῦ ἀναπείσας τοὺς δικαστὰς ὡς ἄρ' ἀληθῆ λέγει. Καίτοι ταλάντου.] ἀξιόπιστόν τι αἰεὶ οἱ διδάσκαλοι λέγοντες. ἐλάμβανον γὰρ τόνδε. οὐ λαμβάνω ἐπὶ τούτῳ τῷ ἀναγνώσματι. καὶ ἐπαγγέλλονται προσεῖναι τὴν κοινῶν μαθημάτων ὅσων προνοοῦσι μάλιστα.

Στρ. Α-

Σω. Ἀμέλει, δίδασκε. θυμόσοφός ἐστι φύσει.
Εὐθύς γέ τοι παιδάριον ὂν τυννουτονί,
Ἔπλαττεν ἔνδον οἰκίας. ναῦς τ' ἔγλυφεν.
Ἁμαξίδας τε σκυτίνας εἰργάζετο.
Κἀκ τῶν σιδίων βατράχους ἐποίει. πῶς δοκεῖς;
Ὅπως δ' ἐκείνω τὼ λόγω μαθήσεται
Τὸν κρείττον' ὅστις ἐστὶ καὶ τὸν ἥττονα.
Ἐὰν δὲ μή, τὸν γοῦν ἄδικον πάσῃ τέχνῃ.
Σω. Αὐτὸς μαθήσεται παρ' αὐτοῖν τοῖν λόγοιν.
Στρ. Ἐγὼ δ' ἀπέσομαι. τοῦτο δ' οὖν μέμνησ' ὅπως
Πρὸς πάντα τὰ δίκαια ἀντιλέγειν δυνήσεται.

A ST. *Ne sis sollicitus, sed doce: ingeniosus est*
Suapte natura: nam tantillus cùm adhuc
Puer esset: ædificabat hîc intus casas,
Naues sculpebat, & plostella scortea
Fingebat: etiam ranas faciebat sibi
E punicorum malorum putamine.
Quid tu censes? etiam illos sermones duos
Superiorem atque inferiorem illum posse discernere?
B *Sin minùs ambos, saltem inferiorem, omni modo.*
SO. *Agè, ipsemet ab ipsis discat sermonibus.*
ST. *Abeo hinc: tu fili memineris, ut ad omnia*
Quæ iusta sint, possis mihi contradicere.

Σχόλια. Θυμόσοφός ἐστι.] ἐκ φύσεως ἔχει σοφίαν. ἐκ τοῦ ἰδίου θυμοῦ σοφὸς, καὶ οὐκ ἐκ μαθήσεως. Σιδίων] ἐκ τῶν λεπύρων τῶν ῥοιῶν. ἐκ μὲν τῶν δερμάτων τροχοὺς καὶ ἁμάξια. ὅταν δὲ καταφάγωσι τὰ ἐντὸς, ἐκ τῶν λε- C πύρων βατράχους γλύφουσιν. εἶτα τὸ πῶς δοκεῖς θαυμάζων προσφέρεται καθ' ἑαυτόν. βούλεται δὲ αὐτὸν ὡς ἐκ παιδὸς ἀποδεῖξαι εὐφυᾶ, καὶ γλύφειν ἀστείως δυνάμενον.

ΔΡΑΜΑΤΟΣ ΤΟΥ ΤΡΙΤΟΥ Σκηνὴ δευτέρα.

Ἀναπαιστικοὶ Δίμετροι.

D

ΔΙΚΑΙΟΣ, ΑΔΙΚΟΣ, ΧΟΡΟΣ.

ACTVS III. SCENA II.

Anapæstici Quaternarij.

IVSTVS, INIVSTVS, CHORVS.

BISETVS. Μετὰ τοῦ τῶν Νεφελῶν χοροῦ δύο ἄνδρε προσέρχονται, ὧν ὁ μὲν, Δίκαιος λόγος, ὁ δὲ, Ἄδικος λόγος ἐκαλεῖτο, οὗτοι ῥητά τε, καὶ ἄρρητα λέγοντες, καὶ μακρολογοῦντες ἀλλήλους λοιδοροῦσι, καὶ συκοφαντοῦσι.

Δι. Χώρει δευρὶ δεῖξον σαυτὸν
Τοῖσι θεαταῖς καίπερ θρασὺς ὤν.
Αδ. Ἴθ' ὅποι χρῄζεις. πολὺ γὰρ μᾶλλον
Σ' ἐν τοῖς πολλοῖσι λέγων ἀπολῶ.
Δι. Ἀπολεῖς σύ; τίς ὤν; ἀδ. λόγος. δι. ἥττων γ' ὤν.
Αδ. Ἀλλά σε νικῶ, τὸν ἐμοῦ κρείττω
Φάσκοντ' εἶναι. δι. τί σοφὸν ποιῶν;
Αδ. Γνώμας καινὰς ἐξευρίσκων.
Δι. Ταῦτα γὰρ ἀνθεῖ διὰ τουτουσὶ
Τοὺς ἀνοήτους. ἀδ. οὐκ, ἀλλὰ σοφούς.
Δι. Ἀπολῶ σε κακῶς. ἀδ. εἰπὲ τί ποιῶν.
Δι. Τὰ δίκαια λέγων. ἀδ. ἀλλ' ἀνατρέψω
Ταῦτ' ἀντιλέγων. οὐδὲ γὰρ εἶναι
Πάνυ φημὶ δίκην. δι. οὐκ εἶναι φής;
Αδ. Φέρε γὰρ ποῦ 'στι. δι. παρὰ τοῖσι θεοῖς.
Αδ. Πῶς δῆτα δίκης οὔσης, ὁ Ζεὺς
Οὐκ ἀπόλωλε τὸν πατέρ' αὑτοῦ
Δήσας; δι. αἰβοῖ. τουτὶ καὶ δὴ

Exi huc: & teipsum commonstra
Spectatoribus, audax sis licet.
E IN. *Apage hinc, quò lubet: ego enim fando*
Te hîc in populo perdam potius.
IV. *Tune me perdas? quis homo es?* IN. *Sermo.*
IV. *At me inferior.* IN. *Sed te vincam:*
Etiamsi tu superiorem
Te iactes. IV. *quo ingenio fretus?*
IN. *Noua commenta inueniam.* IV. *ista vigent*
Apud hos stultos. IN. *minimè, sed apud*
Sapientes. IV. *ego malè te perdam.*
F IN. *Quidnam acturus?* IV. *quæ sunt iusta,*
Dicturus. IN. *at euertam hæc contradicendo: nam nihil esse aio*
Ius. IV. *quid? num ius nihil esse inquis?*
IN. *Agè, dic tu, ubi ius est?* IV. *Apud Diuos.*
IN. *At si illic est: quomodo Iuppiter,*
Constrictum ob patrem, non pessimè
Perijt? IV. *ehem, eòn' procedis*

G

Σχόλια. Χώρει δευρί.] δεῖξον σαυτόν. δηλοῖ κορωνὶς ἀποχωρησάντων ὑποκριτῶν. μέλος δὲ τοῦ χοροῦ οὐ κεῖται. ἀλλὰ γέγραπται μὲν ἐν μέσῳ ὁ χορὸς καὶ ἔπεται εἰς θέσιν ἀναπαιστικὴν τῶν ὑποκριτῶν. καὶ διὰ τὰ πρόσωπα οὐ τελείας ἔχει τὰς συζυγίας. ὑποκεῖνται δὲ ἐπὶ τῆς σκηνῆς ἐν πλεκτοῖς οἰκίσκοις οἱ λόγοι δίκην ὀρνίθων διαμαχόμενοι. τοῦ δὲ χοροῦ τὸ πρόσωπον ἐκλέλοιπεν. ἐπιγραφὴ δὲ φέρεται χοροῦ. ὁ δὲ κρείττων λόγος καὶ ὁ ἥττων διαλέγονται. ἄλλως. χώρει δευρί, εἴσθεσις διπλῆς κατὰ χῦμα δικαικὸν ἐκ κώλων ἀναπαιστικῶν. μέ. ὧν τὸ κα. τὸ λε. καὶ τὸ λθ. μονόμετρα ἀκατάληκτα. τὰ δὲ λοιπὰ πάντα δίμετρα ἀκατάληκτα. τῶν δύο προσώπων ὡς ἀποκλεῖστον δίμετρον κῶλον ἀποτελοῦντων ὧν τὸ τελευταῖον κα. αὐτοῖς τῆς χειρὸς ἐπιβάλλεις, ἐφθημιμερές. ἰστέον δὲ ὅτι τὸ κά κῶλον τετράβαχχειον

ἔχει ἤτοι προκελευσματικὸν τὸν πρῶτον πόδα ἀντὶ ἀναπαίστου. διαλύεται γὰρ ἡ μακρὰ τοῦ ἀναπαίστου εἰς δύο βραχείας. ὡς ἐπὶ τοῦ ἰάμβου ἐπὶ τοῦ τροχαίου καὶ τῶν λοιπῶν τετρασυλλάβων ποδῶν. ἐπὶ τῷ τέλει διπλῆ ἔξω νενευκυῖα. Ἰδ'

A ὅποι χρήζεις.] τοῦτο ἐν Τηλέφῳ Εὐριπίδου. ἴθ' ὅποι χρήζεις. οὐκ ἀπόλλυμαι τῆς Ἑλένης οὕνεκα. Γνώμας χαμαί.] ὡς παροραμένας τοῦ δικαίου παρὰ Ἀθηναίοις. διὸ καὶ μωροὺς αὐτοὺς εἶπεν.

Χωρεῖ τὸ κακόν. δότε μοι λεκάνην.
Λά. Τυφογέρων εἶ κἀνάρμοστος.
Δι. Κακοπίνων εἶ κἀνάγχιυτος.
Λά. Ῥόδα μ' εἴρηκας. Δι. καὶ βωμολόχος.
Λά. Κείνισι στεφανοῖς. Δι. καὶ πυξαλοίας.
Λά. Χρυσῷ πάττων μ' οὐ γιγνώσκεις.
Δι. Οὐ δῆτα πρὸ τοῦ γ'. ἀλλὰ μολίβδῳ.
Λά. Νῦν δέ γε κόσμος τοῦτ' ἐστὶν ἐμοί.
Δι. Θρασὺς εἶ πολλοῦ. Λά. σὺ δέ γ' ἀρχαῖος.
Δι. Διὰ σὲ δὲ φοιτᾶν
Οὐδεὶς ἐθέλει τὴν μειρακίων.
Γνωσθήσει πότ' Ἀθηναίοισιν,
Οἷα διδάσκεις τοὺς ἀνοήτους.
Λά. Αὐχμεῖς αἰσχρῶς. Δι. σὺ δέ γ' εὖ πράττεις,
Καίτοι πρότερόν γ' ἐπτώχευες,
Τήλεφος εἶναι Μυσὸς φάσκων,
Εὐριπίδου.
Γνώμας τρώγων Πανδελετείους.
Λά. Ὤ μοι σοφίας, ἧς ἐμνήσθης.
Δι. ὤμοι μανίας τῆς σῆς πόλεως θ'
Ἥτις σε τρέφει,
Λυμαινόμενον τοῖς μειρακίοις.
Λά. Οὐχὶ διδάξεις τοῦτον κρόνος ὤν;
Δι. Εἴπερ γ' αὐτὸν σωθῆναι χρή,
Καὶ μὴ λαλιὰν μόνον ἀσκῆσαι.
Λά. Δεῦρ' ἴθι, τοῦτον ἔα μαίνεσθαι.
Δι. Κλαύσει. τὴν χεῖρ' ἐπιβάλλεις;

Hoccemalam? date mihi vos peluim.
IN. Capularis es, insaniúsque senex.
IV. At tu impurus es, atque cinadus.
IN. Dicis mihi rosas. IV. Scurra es tu.
IN. Sertis me ornas. IV. occidisti
B Patrem & matrem. IN. non intelligis,
Quòd me auro conspergis nescius.
IV. Sed non ante hac: verùm plumbo.
IN. At nunc mihi sunt ornamento.
IV. Nimium audax es. IN. Sed tu nimium
Stolidus. IV. propter
Te nemo adolescentum in ludum
Venit: agnoscent aliquando te
C Ciues, quàm tu stultè eos doceas.
IN. Squalles turpiter. IV. at tu splendes:
Licet antehac mendicares, &
Miserum perhiberes te Telephum
Esse Euripidis:
Qui Pandeliti dicta creparet.
IN. O sapientiam, de qua loqueris.
IV. O stultitiam vrbis, quæ te alit his,
D Corrumpentem
Mores adolescentum. IN. non tu
Saturne docebis iuuenem istum?
IV. Siquidem conseruari ipsum opus est:
Non garrulitate exerceri.
IN. Huc age, sine hunc insanire.
IV. Væ tibi: túne inijcias huic manum?

Σχόλια. Δότε μοι λεκάνην.] ἵνα τὴν χολὴν ἐμέσω. ὡς ναυτιῶν ὑπὸ τῆς ἐκείνου ψυχρίας. ἢ ἵνα ἐμέσω. χολὴν E γάρ μοι ἐπικλύει διὰ τὰ αὐτοῦ ῥήματα. Ῥόδα μ' εἴρηκας.] ἀντὶ τοῦ ἐμοὶ τὰ ὑπὸ σοῦ εἰρημένα ῥόδα ἐστί. Βωμολόχος.] ἀσεβὴς. παρὰ τοὺς λοχῶντας τὰ ἐν τοῖς βωμοῖς ἐπιθέμενα θύματα ἢ τοὺς θύοντας ἵνα αἰτήσαντες λάβωσί τι. βωμολοχία δὲ κυρίως ἡ περὶ τὸ ἐν παιδιᾷ ἡδύ ὡς Ἀριστοτέλης ἐν δευτέρῳ ἠθικῶν ὑπερβολή. βωμολόχοι τινὲς ἐν τοῖς βωμοῖς ἐρχόμενοι καὶ ἀντὶ τοῦ τὸ θεῖον εὐχαῖς ἐξιλεοῦν πολλοῖς τισὶ λόγοις χρώμενοι καὶ ματαίοις. Κείνισιν.] ὡς ἀπὸ τοῦ κεῖνε κατὰ μεταπλασμόν. Πρὸ τοῦ γ'.] πρὸ τοῦ χρυσοῦ. μολίβδῳ δὲ ἀτίμῳ ὡς νυνὶ μᾶλλον τῶν κακῶν ἀνθρώπων. διὸ καὶ ἐκεῖνος ἐπιφέρει νῦν δέ F γε κόσμος τοῦτ' ἔστιν ἐμοί. Διὰ σὲ δὲ φοιτᾶν.] τοῦ αὐτοῦ δεῖν πάντα εἶναί φασι τοῦ ἥττονος λόγου. οὐ θέλει γάρ φησι τὰ μειράκια διὰ τὴν σὴν εὐήθειαν φοιτᾶν ὡς μαθησόμενα τὰ χρήσιμα μαθήματα. Τήλεφος εἶναι.] διαβάλλει Εὐριπίδην ὡς πτωχὸν ἀναγαγόντα τὸν Τήλεφον. τοῦτον γὰρ Εὐριπίδης ὡς πτωχὸν εἰσήγαγε. περὶ οὗ καὶ κωμῳδεῖται.

ἄλλως. ὁ Τήλεφος βασιλεὺς ἦν Μυσίας, ὃν πλανηθέντων ὅτι εἰς Τροίαν ἀπήρχοντο καὶ τῶν Ἑλλήνων δῃούντων τὴν αὐτοῦ γῆν, ἀντὶ τῆς Τροίας Ἀχιλλεὺς ἔτρωσεν. καὶ πάλιν ἀποροῦντα τοῦ θεραπεύοντος, τῆς Πυθίας ὁ τρώσας ἰάσεται ἀνελούσης παραγενόμενον εἰς Θετταλίαν τῷ χρησμῷ πεισθεὶς, θεραπείας ἠξίωσε. δυστυχήσαντα δὲ ὕστερον πεποίηκεν Εὐριπίδης ἐν δράματι πήραν ἔχοντα καὶ προσαιτοῦντα. ἀντὶ δὲ τοῦ εἰπεῖν ἄρτους καθαροὺς ἢ ξηροὺς τρώγων, Πανδελετείους γνώμας εἶπε, διαβάλλων αὐτὸν κατ' ἄμφω. καὶ ὡς ἄτιμον καὶ ὡς πανοῦργον. ἐπὶ γὰρ πανουργίᾳ διεβέβοητο ὁ Πανδέλετος. συκοφάντης δὲ ἦν καὶ φιλόδικος γράφων ψήφους ψηφίσματα. Πανδελετείους οὖν οὕτως εἶπεν ἀντὶ ἄρτων πανουργίαν σιτούμενος. μέμνηται τοῦ Πανδελέτου καὶ Κρατῖνος Χείρωσιν. ἐπεὶ καὶ ψηφίσματα ἔγραψε. διαβάλλει δὲ τοὺς ῥήτορας ὡς ἐκ τῶν πτωχῶν πλουτοῦντας. Λυμαινόμενον.] ἀντὶ τοῦ ἐνυβρίζοντα. οὕτω δὲ αὐτοῖς συνήθης οὐχὶ τὰ μειράκια λυμαινόμενον. πρὸς ὃ καὶ τὸ χ. Κρόνος.] ἀρχαῖος, λῆρος.

BISETVS. Ὁ Χορὸς τὴν τῶν ἀντιλογούντων μάχην παύει, καὶ τῆς ἀντιλογίας νόμους αὐτοῖς τάττει.

Χο. Παύσασθε μάχης, καὶ λοιδορίας.
Ἀλλ' ἐπίδειξαι σύ τε, τοὺς προτέρους
Ἃ πρὶν ἐδίδασκες, σύ τε τὴν καινὴν
Παίδευσιν, ὅπως ἂν ἀκούσας σφῷν

G CH. Mittite rixas & conuitia,
Et tu, quæ olim docuisti illos
Priscos, demonstra: tu autem nouam
Disciplinam in medium profer.
Vt, vbi hic vos audierit contra-

Σχόλια. Παύσασθε μάχης.] ἔκθεσις τῆς διπλῆς συστηματική. ὡς δύο περιόδους διῃρημένη ἐκ κώλων ὁμοίων ἀναπαιστι-

ἀναπαιστικῶν ιε. ὧν τῆς πρώτης περιόδου κῶλα δίμετρα ἀκατάληκτα ί. καὶ ἐν εἰσθέσει ἕτερα δύο ὅμοια δίμετρα ἀκατάληκτα. τῆς δὲ δευτέρας περιόδου κῶλα ὀκτώ. ὧν τὸ πρῶτον μονόμετρον ἀκατάληκτον. τὰ ἑξῆς ἑξ δί-

A μετρα ἀκατάληκτα. τὸ δὲ τελευταῖον ἑφθημιμερὲς ὃ καλεῖται παροιμιακόν. ἐπὶ τῷ τέλει τοῦ πρώτου συστήματος παράγραφος. ἐπὶ δὲ τοῦ β δύο διπλαῖ, ἡ μὲν ἐν ἀρχῇ τοῦ κώλου, ἡ δὲ κατὰ τὸ τέλος.

Ἀντιλέγοντοιν, κείνας φοιτᾷ.
Δι. Δρᾶν ταῦτ' ἐθέλω. Αδι. κἄγωγ' ἐθέλω.
Χο. Φέρε τίς λέξει πρότερος ὑμῶν;
Αδι. Τούτῳ δώσω.
Κᾆτ' ἐκ τούτων ὧν ἂν λέξῃ,
Ῥηματίοισι καινοῖς αὐτὸν
Καὶ διανοίαις κατατοξεύσω,
Τὸ τελευταῖον δ', ἢν ἀναγρύξῃ,
Τὸ πρόσωπον ἅπαν καὶ τὠφθαλμὼ
Κεντούμενος ὥσπερ ὑπ' ἀνθρηνῶν
Ὑπὸ τῶν γνωμῶν ἀπολεῖται.

dicentes, arbitrio facto,
In ludum eat alterius vestrûm.
IV. *Faciam hac sanè ego.* IN. *faciam hoc ego idem.*
B CH. *Sed uter vestrum hîc dicet?*
IN. *Isti cedam:*
Et qua ille locutus prior fuerit:
Ea verbis & sententiis novis
Prosternam, & ferro traiiciam:
Postremò si hiscere contrà velit,
Omnem faciem, atque ambos oculos
Elisus, velut à crabronibus,
Per sententias ipse peribit.
C

Σχόλια. Κείνας φοιτᾷ.] ἀντὶ τοῦ φοιτήσῃ. ἐὰν δὲ ᾖ φοιτᾷς ἀπαρεμφάτως, λείπει πείσω. ὡς τὸ τὸν παῖδα φοιτήσω παρ' ἐμὲ λογιμωτάτῳ. Ὑπ' ἀνθρηνῶν.] οὕτως οἱ ποιηταὶ τὰς μελίσσας συνήθως. ὁ δὲ Ἀριστοτέλης συγγενῆ τῇ μελίσσῃ τὴν ἀνθρήνην φησί. κοινότερον δὲ ἐπὶ τῶν μελισσῶν τὰς ἀνθρήνας λέγουσιν. ἔστι δὲ εἶδος μελίσσης ὅμοιον σφηξί.

ΣΤΡΟΦΗ ΚΩΛΩΝ ιβ.

CHORVS.

Χο. Νῦν δείξετον τὼ πισύνω
Τοῖς περιδεξίοισιν
Λόγοισι, καὶ φροντίσι καὶ
Γνωμοτύποις μερίμναις,
Ὁπότερος γ' αὐτοῖν λέγων
Ἀμείνων φανήσεται.
Νῦν γὰρ ἅπας ἐνθάδε κίνδυνος
Ἀνεῖται σοφίας,
Ἧς πέρι τοῖς ἐμοῖς φίλοις
Ἐστὶν ἀγὼν μέγιστος.
Ἀλλ' ὦ πολλοῖς τοὺς πρεσβυτέρους ἤθεσι χρηστοῖς στεφανώσας
Ῥῆξον φωνὴν ᾗτινι χαίρεις, καὶ τὴν σαυτοῦ φύσιν εἰπέ.

D *NVnc vos duo freti animis,*
Nunc specimen date ore
Diserto, animo sollicito,
Mæstificáque cura:
Vestrûm uter hic appareat
Loquendo disertior.
Liberum enim hic omne periculum,
In arte studiis:
E *De quibus est hodie meis*
Maxima rixa amicis.
At tu, qui moribus olim egregiis maiores decorasti:
Age, vocem, qua gaudes, rumpe, ingeniíque ostēde vigorem.

Σχόλια. Νῦν δείξετον.] εἴσθεσις μέλους χοροῦ προῳδικὴ στροφῆς λόγον ἔχουσα. ἔχει γὰρ καὶ ἀντιστροφὴν τὸ ὦ καλλιπύργον σοφίαν, ἐκ κώλων χοριαμβικῶν διαφόρως ἠκολουθημένων ί. ὧν τὸ πρῶτον δίμετρον ἀκατάληκτον ἐξ ἐπιτρίτου τρίτου καὶ χοριάμβου. τὸ β ἐκ χοριάμβου καὶ ἀμφιβράχεος. τὸ γ ἐκ διϊάμβου καὶ χοριάμβου. τὸ τέταρτον ἐκ χοριάμβου καὶ βακχείου. τὸ ε, ἀντιστρόφως τῷ πρώτῳ, ἐκ χοριάμβου καὶ ἐπιτρίτου τρίτου. τὸ ς ἐξ ἀντισπαστικοῦ καὶ κρητικοῦ ἤτ' οὖν ἀμφιμάκρου. τὸ ἕβδομον χοριαμβικὸν τρίμετρον βραχυκατάληκτον. τὸ ὄγδοον ἐξ ἀντισπάστου καὶ ἰάμβου, διὰ τὸ ἔχειν τὸν ὅλον πόδα τὸν τετρασύλλαβον καὶ τὸ ἥμισυ αὐτοῦ τὰς δύο δηλαδὴ συλλαβάς, ἡμιόλιον καλούμενον. τὸ ἔνατον ἐκ χοριάμβου καὶ διϊάμβου. τὸ δέκατον, ἐκ χοριάμβου καὶ ἀμφιβράχεος. Ἀνεῖται.] κεῖται. δίδοται. νῦν προκεῖται ἡμῖν ὑπὲρ ἁπάσης τῆς σοφίας κίνδυνος, ἤγουν περὶ στάσεως καταλέλειπται.
F

ΔΡΑΜΑΤΟΣ ΤΟΥ ΤΡΙΤΟΥ
Σκηνὴ τρίτη.
Ἀναπαιστικοὶ Ἀριστοφάνειοι.

ΔΙΚΑΙΟΣ, ΑΔΙΚΟΣ, ΧΟΡΟΣ.

ACTVS III. SCENA III.
G *Anapæstici Aristophanij.*

IVSTVS, INIVSTVS, CHORVS.

Βισετυς. Ὁ δίκαιος, καὶ ὁ ἄδικος λόγος, ὁ μὲν, ἐκεῖθεν, ὁ δὲ, ἐντεῦθεν πρὸς τὸν Στρεψιάδου παῖδα, ὡς ἄλλως ἡ πρὸς τὸν κλεινὸν Ἡρακλέα πάλαι ἡ ἀρετὴ, καὶ ἡ ἡδονὴ, ὁρμῶνται. καὶ ὁ δίκαιος λόγος πρότερος λέγει, καὶ

τὸν Φειδιππίδην τῷ ἀδίκῳ λόγῳ, καὶ ταῖς Νεφέλαις ἐξῶσθαι πολλὰ φράσας κελεύει, καὶ πρὸς ἑαυτὸν τρέπεται. τοὐναντίον δὲ ὁ ἄδικος τὰς τοῦ βίου ἡδονὰς αὐτῷ συνιστά- A νει, καὶ πρὸς ἑαυτὸν μεταβαίνειν, καὶ τὰς τῆς ἀδικίας ὠφελείας διώκειν πείθει.

Δι. Λέξω τοίνυν τὴν ἀρχαίαν παιδείαν ὡς διέκειτο,
Ὅτ' ἐγὼ τὰ δίκαια λέγων ἤνθουν, καὶ σωφροσύνη νενόμιστο.
Πρῶτον μὲν ἔδει παιδὸς φωνὴν γρύξαντος μηδὲν ἀκοῦσαι. B
Εἶτα βαδίζειν ἐν ταῖσιν ὁδοῖς εὐτάκτως εἰς κιθαριστοῦ,
Τοὺς κωμήτας γυμνοὺς ἀθρόους, κεἰ κριμνώδη κατανίφοι.
Εἶτ' αὖ προμαθεῖν ᾆσμ' ἐδίδασκε, τὼ μηρὼ μὴ ξυνέχοντας.
Ἢ Παλλάδα περσέπολιν δεινάν. ἢ τηλέπορόν τι βόαμα. C
Ἐντειναμένους τὴν ἁρμονίαν ἣν οἱ πατέρες παρέδωκαν.
Εἰ δέ τις αὐτῶν βωμολοχεύσαιτ' ἢ κάμψειέ τινα καμπὴν,
Οἵας οἱ νῦν τὰς κατὰ Φρῦνιν ταύτας τὰς δυσκολοκάμπτους
Ἐπετρίβετο τυπτόμενος πολλὰς, ὡς τὰς μούσας ἀφανίζων.
Ἐν παιδοτρίβου δὲ καθίζοντας, τὸν μηρὸν ἔδει προβαλέσθαι D
Τοὺς παῖδας, ὅπως τοῖς ἔξωθεν μηδὲν δείξειαν ἀπηνές.
Εἶτ' αὖ πάλιν αὖθις ἀνισταμένους συμψῆσαι, καὶ προνοῆσαι
Εἴδωλον τοῖσιν ἐρασταῖς τῆς ἥβης μὴ καταλείπειν γε.
Ἠλείψατο δ' ἂν τοὐμφαλοῦ οὐδεὶς παῖς ὑπένερθε τότ' ἂν, ὥστε E
Τοῖς αἰδοίοισι δρόσος καὶ χνοῦς, ὥσπερ μήλοισιν ἐπήνθει.
Οὐδ' ἂν μαλακὴν φυρασάμενος τὴν φωνὴν πρὸς τὸν ἐραστὴν αὖ
Αὐτὸς ἑαυτὸν προαγωγεύων τοῖς ὀφθαλμοῖς ἐβάδιζεν.

IV. Dicam igitur de disciplina veterum, qualis fuerit, cùm
Ego iusta loquendo florerem, atque modestia legibus esset
Sancita: ibi nefas primùm, aliquem puero auscultare loquenti:
Deinde in via oportebat recto ipsos ire gradu ad Cytharœdum,
Vicatim nudos, confertos: etiamsi ningeret atrà
Modios furfuris. Ibi carmen discere docebat Citharœdus,
Non compressantes femora: & vel de Pallade, Dea metuenda,
Vastatrice vrbium: vel clamorem, aliunde longéque vagantem
Concentum intendere: ita vt patres iam nunc olim instituissent.
Sin autem scurriliter aliquis caneret, aut flecteret ore
Infractam vocem, qualem nostri, difficilem vndique flexum
Edunt, imitati Phrynim: continuò flagris male (cæsus
Tergúmque dolatus, pœnam dabat: vt qui Musas aboleret.
In ludo autem residentes, pueri obijciebāt femur (intus,
Ne quid monstrarent turpe sui his, qui extrinsecus aspiciebant.
Tum, quando iterum consurrexissent, omnem rursus arenam
Conuerrebant: ne pubis vestigium amanti remaneret.
Nullus tum puer infra vmbilicum vngebatur: sed ibidem
Ros & lanugo pubetenus efflorescebat, vt agnis.
Nullus vocem subigebat molliculam aduersus amantem.
Nec seipsum quisquam oculorum obtutu, incedens, prostituebat.

Σχόλια. Λέξω τοίνυν] εἴσθεσις διπλῆς περιοδικῆς ἀμοιβαίας μονοστροφικῆς ὑφ' ἕν, διὰ τὸ εἰς μῆκος ἐκτείνεσθαι τὴν περίοδον ἐκ στίχων ἀναπαιστικῶν τετραμέτρων καταληκτικῶν μζ. ὧν τελευταῖος ἥρως ἐν ὥρᾳ χαίρων ὁπόταν πλάτανος πτελέᾳ ψιθυρίζῃ. τοῦτο δὲ τὸ μέτρον Ἀριστοφάνειον καλεῖται. ἐπεὶ εὐδοκίμησε λέγων, ὡς ὅτε ἐγὼ τὰ δίκαια λέγων ἤνθουν καὶ σωφροσύνη νενόμιστο. (ἀντὶ τοῦ ἐνενόμιστο) τοῦτ' οὖν ἄγαν Ἀριστοφάνης ἀπεδέχετο, ὡς εὖ πεποιημένον. ἐπὶ ταῖς ἀποθέσεσι παράγραφος, ἐπὶ δὲ τῷ τέλει διπλῆ ἔξω νενευκυῖα. Εἰς κιθαριστοῦ.] οὕτως Ἀττικοί. ἐσπούδαζον γὰρ περὶ τὴν κιθάραν οἱ Ἀθηναῖοι τότε μανθάνειν μὴ φροντίζοντες τοῦ καλύπτεσθαι. Κωμήτας,] τοὺς ὅτι κωμήτας τοὺς ἐκ τοῦ αὐτοῦ ἀμφόδου καὶ τόπου ὄλιγον. Κριμνώδη.] ἀντὶ τοῦ παχεῖαν σύστασιν ἔχοντα παρὰ τοὺς κρίμνους. οὗτοι γὰρ παχύτεροι τῶν ἀλεύρων. κρίμνος γὰρ εἶδος ἀλεύρου. Τὼ μηρὼ μὴ ξυνέχοντας.] ἀντὶ τοῦ ἀνειμένως ἑστῶτας πρὸς τὸ μὴ θλίβειν F τὸ μόριον ἐκθλίβοντας τὰ αἰδοῖα ἐκ τοῦ συνέχειν τοὺς μηρούς. Παλλάδα.] εἴδη ᾀσμάτων ἀμφότερα τὸ Παλλάδα περσέπολιν δεινάν, καὶ τὸ τηλέπορόν τι βόαμα. τὸ μὲν οὖν πρότερον Λαμπροκλέους εἶναί φασιν Ἀθηναίου τοῦ Μίδωνος υἱοῦ. ἔχει δὲ οὕτως. Παλλάδα περσέπολιν κλήζω πολεμαδόκον ἁγνὰν παῖδα Διὸς μεγάλου δαμάσιππον. τὸ δὲ τηλέπορόν τι βόημα μὴ εὑρίσκεσθαι ὅτου ποτέ ἐστιν. ἐν γὰρ ἀποσπάσμασιν εὗρεν Ἀριστοφάνης ἐν τῇ βιβλιοθήκῃ. τινὲς δέ φασιν αὐτὸ Κυδίδου Ἑρμιονέως τηλέπορον G τι βόημα λύρας ἄλλως. οὕτως Ἐρατοσθένης. Φρύνιχος αὐτοῦ τούτου τοῦ ᾄσματος μέμνηται ὡς Λαμπροκλέους ὄντος τοῦ Μίδωνος μαθητοῦ. ἔχει δὲ οὕτως. Παλλάδα περσέπολιν δεινὰν θεὸν ἐγρεκύδοιμον ποτικλήζω πολεμαδόκον ἁγνὰν παῖδα Διὸς μεγάλου δαμάσιππον καὶ κατὰ Λαμπροκλέα ἐπολήθησαν κατὰ λέξιν. τὸ δὲ τηλέπορον βόημα Κυδίδου τοῦ Ἑρμιονέως κιθαρῳδοῦ. ἀπὸ τινος τῶν ᾀσμάτων. τηλέπορόν τι βόημα λύρας. Τὴν ἁρμονίαν.] τὴν κιθάρας, ὡς

ρας, ὡς συντετριμμένης τῆς παλαιᾶς ἁρμονίας καὶ ἀνειμένης, ὡς οἱ νέοι ἐποίησαν.

BISETVS. Βωμολοχεύσαιτο δὲ, ἀντὶ τοῦ, ἀγοραῖον, ἢ εὐτελές τι ποιοῖ. ἢ εἴ τις κεκλασμένῃ τῇ φωνῇ τὴν ᾠδὴν προσποιήσαιτο, οἵας νῦν τὰς κατὰ Φρύνιν. καὶ τὰ ἑξῆς. Σ.

Σχόλια. Κάμψειεν.] ἀντὶ τοῦ εἰ κακοηθεύσαιτο. κεκλασμένῃ τῇ φωνῇ τὴν ᾠδὴν ἀνενέγκοιτο. οἷον καταισχύνων τῷ μαλθακῷ τῆς φωνῆς. Κατὰ Φρύνιν.] ὁ Φρύνις κιθαρῳδὸς Μιτυληναῖος. δοκεῖ δὲ πρῶτος παρ' Ἀθηναίοις κιθαρῳδικῇ νικῆσαι Παναθηναίοις ἐπὶ Καλλίου ἄρχοντος. ἦν δὲ Ἀριστοκλείτου μαθητής. ὁ δὲ Ἀριστόκλειτος τὸ γένος ἦν ἀπὸ Τερπάνδρου. ἤκμασε δ' ἐν τῇ Ἑλλάδι κατὰ τὰ Μηδικά. παραλαβὼν δὲ τὸν Φρύνιν αὐλῳδοῦντα, κιθαρίζειν ἐδίδαξεν. ὁ δὲ Ἴστρος Ἱέρωνος αὐτόν φησι μάγειρον ὄντα σὺν ἄλλοις δοθῆναι τῷ Ἀριστοκλείτῳ. ταῦτα δὲ πεπλασμένοις ἔοικεν. εἰ γὰρ ἦν γεγονὼς δοῦλος καὶ μάγειρος Ἱέρωνος, οὐκ ἂν ἀπέκρυψαν οἱ κωμικοὶ πολλάκις αὐτοῦ μεμνημένοι, ἐφ' οἷς ἐκαινούργησε κλάσας τὴν ᾠδὴν παρὰ τὸ ἀρχαῖον ἔθος, ὡς Ἀριστοφάνης φησί. καὶ Ἀριστοκράτους. καθὸ πρῶτος τὴν ἁρμονίαν ἔκλασεν ἐπὶ τὸ μαλθακώτερον. ἦν δὲ γυμνὸς καὶ ψυχρός. Πολλάς] πληγὰς δηλονότι. Ἐν παιδοτρίβου.] εἰς τὸν τόπον ὅπου γυμνάζονται καὶ διατρίβουσιν οἱ παῖδες. Προβαλέσθαι.] τουτέστιν εὐκοσμίως καθεσθῆναι, ὡς μηδὲν τοῖς περιεστῶσιν ὑποδεῖξαι ἄκοσμον. Συμψῆσαι.] ἀντὶ τοῦ συγχέαι τὴν κόνιν ὡς μὴ σημεῖον ἢ τύπον ἀπολείπεσθαι ταῖς καθέδραις. ἐν γὰρ ψάμμῳ λεπτοτάτῃ ἐγυμνάζοντο. κατέψων δὲ τὸν τόπον ὅπου ἐκαθέζοντο, ἵνα μὴ σημεῖον τῆς ἥβης ἑαυτῶν καταλείψειαν τοῖς ἐρασταῖς. παρεγίνοντο γὰρ ὥστε γυμνοὺς ὁρᾶν τοὺς ἐρωμένους.

BISETVS. Ὥσπερ μήλοισιν] Εὐστάθιος. μῆλα κυρίως τὰ πρόβατα λέγονται διὰ τὸ μαλλὸν, καὶ ὁμωνύμως πάντες οἱ καρποί. νῦν οὖν τινες τὴν ποιητὴν μῆλα καλεῖν νομίζουσι τοὺς καρπούς, οὓς οἱ Ῥωμαῖοι καὶ μᾶλα, καὶ πῶμα κατὰ τὴν ἐπιχώριον γλῶτταν καλοῦσι. καὶ γὰρ ταῦτα πρωὶ δρόσον, καὶ χνοῦν τινα ἔχουσι πρὶν τὸν ἥλιον ἀνατέλλειν, ἢ ὑπό τινος συλλέγεσθαι. τότε γὰρ μεταχειριζόμενα, καὶ τὴν δρόσον, καὶ τὸν χνοῦν ἀποβάλλουσιν. αὕτη δ' εἰκὼν καλλίστη, καὶ καλλίστην ὑποτύπωσιν ἔχει. ἀλλ' ἁπλούστερος, ἴσως καὶ πιθανώτερος ἂν ὁ νοῦς εἴη εἰ μῆλα ἐνταῦθα σημαίνειν λέγοις τὰς γνάθους, τὰς παρειὰς, τὰς γένυς. οὕτω γὰρ καλεῖσθαι ὁ Πολυδεύκης φησί, παρὰ τὸ ἀνθεῖν ἐν ὥρᾳ. λέγει δὲ τοῖς αἰδοίοισιν, ὥσπερ μήλοισιν. ἐπεὶ ἀμφοτέρωθι αἱ πρῶται τρίχες ἅμα φύεσθαι φιλοῦσι. σημείωσαι δὲ καὶ τοὺς μαστοὺς τοὺς γυναικείους μῆλα καλεῖσθαι, καθάπερ ὁ Σουίδας λέγει. τοῦτο δὲ κατά τινα ὁμοιότητα τῶν τε μήλων, καὶ τῶν μαστῶν.

Οὐδ' ἂν ἑλέσθαι δειπνοῦντ' ἐξῆν κεφάλαιον
τῆς ῥαφανῖδος
Οὐδ' ἄννηθον τῶν πρεσβυτέρων ἁρπάζειν, οὐδὲ σέλινον.
Οὐδ' ὀψοφαγεῖν, οὐδὲ κιχλίζειν, οὐδ' ἴσχειν τὼ πόδ' ἐναλλάξ.
Αδ. Ἀρχαῖά γε καὶ διπολιώδη, καὶ τεττίγων ἀνάμεστα.
Καὶ Κηκείδου καὶ Βουφονίων. Δι. ἀλλ' οὖν ταῦτ' ἐστὶν ἐκεῖνα,
Ἐξ ὧν ἄνδρας Μαραθωνομάχους, ἡ 'μὴ παίδευσις ἔθρεψεν.
Σὺ δὲ τοὺς νῦν εὐθὺς ἐν ἱματίοισι διδάσκεις ἐντετυλίχθαι.
Ὥστε μ' ἀπάγχεσθ' ὅταν ὀρχεῖσθαι Παναθηναίοις δέον αὐτοὺς,

Nulli raphano vesci licitum in cœna: nulli vel anethum,
Vel apium, herbas seniorum, fas præripere: obsonia nulli
Edere, aut deliciari, neque pedes alternare licebat.
IN. *Prisca hæc sunt, & Ionialia & annis obsita, plena cicadis,*
Nugæ Cecidæ & Buphoniorum. IV. *atque hæc scilicet illa,*
Quibus in Marathone viros pugnaces mea doctrina fidésque (mentis
Produxit: tu verò nostros homines illicò tegu-
Inuolui perdoces: vt ego suffocer, sicubi oportet
Illos saltare chorum in Panathenæis: clypeumque vti peni

Σχόλια. Κεφάλαιον τῆς ῥαφανῖδος.] ὡς θερμὸν καὶ διεγερτικὸν πρὸς τὰ ἀφροδίσια, παρῃτοῦντο ταῦτα. κεφάλαιον δὲ τὸ πρὸς τοῖς φύλλοις καυλῶδες. οὐκ ἔτεμον δὲ κατὰ μῆκος ὡς νῦν, ἀλλὰ κατὰ κύκλον φησὶ διὰ τὴν κεφαλήν. Κιχλίζειν.] ἀντὶ τοῦ λιπαροὺς ὄρτυγας τρώγειν. κίχλας ἐσθίειν. ἢ ἀτάκτως γελᾶν καὶ ἀμέτρως. Τεττίγων ἀνάμεστα.] ἀρχαῖον τὸ τοὺς τέττιγας ἀναπλέκειν. τουτέστι τοὺς κρωβύλους. (τοὺς κρωβύλους.) ἄλλως. οἱ ἀρχαιότατοι τῶν Ἀθηναίων τέττιγας χρυσοῦς ἐν τοῖς τῶν τριχῶν πλέγμασιν εἶχον, διότι οἱ τέττιγες μουσικοὶ ὄντες, ἀνάκεινται τῷ Ἀπόλλωνι, ὃς ἦν πατρῷος τῇ πόλει. τὰ δὲ διπόλεια τῶν ἀρχαιοτάτων ἑορτῶν. τὰ καὶ διάσια. τοὺς δὲ τέττιγας παρέλαβεν, ἐπειδὴ οἱ παλαιοὶ κατὰ τὴν ἀναπλοκὴν τῶν τριχῶν χρυσοῦ ἐχόμενα τέττιγι τεκμήριον ὅτι αὐτόχθονες ἦσαν οἱ Ἀθηναῖοι ὡς οἱ τέττιγες. καὶ Θουκυδίδης. καὶ οἱ πρεσβύτεροι αὐτοῖς τῶν εὐδαιμόνων οὐ πολὺς χρόνος ἐπειδὴ χιτῶνάς τε λινοὺς ἐπαύσαντο φοροῦντες καὶ χρυσῶν τεττίγων ἐνέρσει κρωβύλον ἀναδούμενοι τῶν ἐν τῇ κεφαλῇ τριχῶν.

BISETVS. Κρωβύλος δὲ κατὰ τὸν Σουίδαν, πλέγμα τριχῶν εἰς ὀξὺ λῆγον. ἐκαλεῖτο δὲ ἐπὶ τῶν ἀνδρῶν οὕτω. κόρυμβος δὲ, ἐπὶ τῶν γυναικῶν. σκορπίος δὲ ἐπὶ παίδων. οὕτω καὶ ἐν τοῖς τοῦ Θουκυδίδου σχολίοις παραδίδοται.

Σχόλια. Κηκείδου.] ἀρχαῖος διθυραμβοποιός. οὗ μέμνηται Κρατῖνος ἐν πανόπταις. τὰ δὲ Βουφόνια παλαιὰ ἑορτή. ἥν φασιν ἄγεσθαι μετὰ τὰ μυστήρια. ὅτε καὶ βοῦν θύουσιν εἰς ὑπόμνησιν τοῦ πρώτου φονευθέντος βοὸς ἐν ἀκροπόλει ἁψαμένου τοῦ πελάνου ἐν τῇ ἑορτῇ Διονυσίων. ἄλλως. ἑορτὴ Ἀθηναίων πάνυ ἀρχαία. ἐν γὰρ τοῖς διιπολείοις φασὶ βοῦν τὸ πόπανον καταφαγεῖν τὸ παρεσκευασμένον πρὸς τὴν θυσίαν. Θαύλωνα δέ τινα ὡς εἶχε πέλεκυν ἀποκτεῖναι τὸν βοῦν. καθὰ καὶ Ἀνδροτίων μέμνηται διὰ τῆς τετάρτης. Μαραθωνομάχους.] τοὺς ἐν Μαραθῶνι τροπωσαμένους τὴν Δαρείου στρατιάν, ἣν Δάτις ὁ τούτου στρατηγὸς ἤγαγεν οὖσαν περὶ πεντήκοντα μυριάδας. τὸ δὲ ἐντετυλίχθαι, τὸ ἐναντίον γυμνοῦσθαι. οὐκ ἐγκεκαλύφθαι. Ὀρχεῖσθαι.] ὠρχοῦντο γὰρ ἐν ὅπλοις ἐν τοῖς Παναθηναίοις οἱ παῖδες. διὰ δὲ τὸ ἀπρεπές φησι προέχοντες τῶν αἰδοίων τὴν ἀσπίδα. οὐ γὰρ εἰ τοιούτων ἐν τῇ πομπῇ ἀσπιδοφορούντων διὰ τὸ ἐπικαλύπτεσθαι τὴν αἰσχύνην. αὔξουσι δὲ τὴν διαβολὴν εἰς τὴν ἀσπίδα τῆς θεοῦ.

ἀμφότεροι εἶναι τῷ γέροντι ἀσυνδέτως εἰρημένοι. ἄλλως. δεικνύει τὸν μέσον δάκτυλον αἰσχρῶς, ὥσπερ φύσει A ὡς ἔστιν ἄλλως ἀντὶ τούτου τοῦ δακτύλου. καὶ γὰρ παιδίῳ μοι ὄντι πάλαι ὁ αὐτὸς ἦν. καὶ νῦν δὲ γεγηρακότι.

Κριός. τράγος. ταῦρος. κύων. ἀλεκτρυών.

Σωκρ. Ὁρᾷς ἃ πάσχεις; τήν τε θήλειαν καλεῖς

Ἀλεκτρυόνα κατὰ ταυτὸ καὶ τὸν ἄρρενα.

Στρ. Πῶς δὴ φέρε; Σω. πῶς; ἀλεκτρυὼν κἀλεκτρυών.

Στρ. Νὴ τὸν Ποσειδῶ. νῦν δὲ πῶς με χρὴ καλεῖν;

Σω. Ἀλεκτρύαιναν. τὸν δ᾽ ἕτερον ἀλέκτορα.

Στρ. Ἀλεκτρύαιναν; εὖ γε νὴ τὸν ἀέρα.

Ὥστ᾽ ἀντὶ τούτου τοῦ διδάγματος μόνου,

Διαλφιτώσω σου κύκλῳ τὴν κάρδοπον.

Σω. Ἰδοὺ μάλ᾽ αὖθις τοῦθ᾽ ἕτερον. τὴν κάρδοπον.

Ἄρρενα καλεῖς θήλειαν οὖσαν. Στρ. τῷ τρόπῳ

Ἄρρενα καλῶ ᾽γὼ κάρδοπον; Σω. μάλιστά γε.

Ὥσπερ γε καὶ Κλεώνυμον. Στρ. πῶς δή. φράσον.

Σω. Ταυτὸν δύναταί σοι κάρδοπος Κλεωνύμῳ.

Στρ. Ἀλλ᾽ ὦ ᾽γαθ᾽ οὐδ᾽ ἦν κάρδοπος Κλεωνύμῳ

Ἀλλ᾽ ἐν θυείᾳ στρογγύλῃ γ᾽ ἀνεμάττετο.

Ἀτὰρ τὸ λοιπὸν πῶς με χρὴ καλεῖν; Σω. ὅπως;

Τὴν καρδόπην, ὥσπερ καλεῖς τὴν Σωστράτην.

Στρ. Τὴν καρδόπην θήλειαν, ὀρθότερον λέγεις;

Ἐκεῖνο δ᾽ ἦν ἄν, καρδόπη, Κλεωνύμη.

Σω. Ἔτι δή γε περὶ τῶν ὀνομάτων μαθεῖν σε δεῖ.

Ἅττ᾽ ἄρρεν᾽ ἐστὶν, ἅττα δ᾽ αὐτῶν θήλεα.

Στρ. Ἀλλ᾽ οἶδ᾽ ἔγωγ᾽ ἃ θήλε᾽ ἐστίν. Σω. εἰπὲ δή.

Στρ. Λύσιλλα. Φίλιννα. Κλειταγόρα. Δημητρία.

Σω. Ἄρρενα δὲ ποῖα τῶν ὀνομάτων; Στρ. μυρία.

Φιλόξενος. Μελησίας. Ἀμυνίας.

Σω. Ἀλλ᾽ ὦ πόνηρε ταῦτά γ᾽ ἔστ᾽ οὐκ ἄρρενα.

Aries, taurus, hircus, canis & gallus. SO. *viden'*
Obsecro, quid ægri acciderit tibi? nam fœminam
Maremq́ue vno galli nomine tu appellitas.
ST. *Dic, quomodo?* SO. *Quomodo? gallus & gallus itidem.*
B ST. *Ita per Neptunum: sed quomodo me oportuit*
Hæc nominare? SO. *Gallinam, & gallum alterum.*
ST. *Gallinam? ita est per aëra. Et pro hoc vnico*
Documento ego farina conspergam omnem tibi
Nunc Cardopum, seu mactram tuam pistoriam.
SO. *Ecce autem iterum peccas: cùm dicis Cardopum:*
C *Marémque facis, quæ sit fœmina.* ST. *quomodo marem*
Voco Cardopum? SO. *videlicet, vt Cleonymum*
Marem vocas. ST. *dic, quomodo?* SO. *quia Cardopus*
Idem tibi valet, prorsum, quod Cleonymus.
ST. *Atqui, bone vir, Cleonymo haud est Cardopus:*
D *Vt qui farinam subigit in mortario.*
Sed quomodo posthac nominari oportet hæc?
SO. *Quomodo? dic Cardopam: ceu dicis, Sostratam.*
ST. *An verò rectiùs vocas hanc Cardopam?*
At illud erat dicere Cardopa, Cleonyma.
SO. *Præterea oportet te etiam discere nomina,*
Quæ masculina, quæque fœminina sint.
E ST. *At noui ego, quæ sint fœminina.* SO. *dic, age.*
ST. *Lysilla, Philinna, Cletagora, Demetria.*
SO. *Sed quænam masculina sunt?* ST. *innumera: ceu:*
Philoxenus, Milesias, Amynias.
SO. *Miserum te: non sunt masculina hæc nomina.*

F

Σχόλια. Κύων. ἀλεκτρυών.] ἔπαιξε τὸν ἀλεκτρυόνα ὡς ἐσχάτοις κατατεθειμένας. καὶ ταῦτα δὲ γελοίου χάριν παρείληπται. ἢ καὶ πρὸς τὴν ἀθεότητα Σωκράτους ὅτι κατ᾽ αὐτῶν ὄμνυσιν. Ἀλεκτρυόνα κατὰ ταυτό.] οὐκ ἂν ἄλλως λέγοιτο τοῦτο, εἰ μὴ ἐν ἔθει ἦν τότε καὶ τὴν θήλειαν ἀλεκτρυόνα λέγειν. Θεὶς δὲ γένει] ἐν Ἀμφιαράῳ. γυναῖκα τίς ψοφησάσα ἐστίν. ἢ ἀλεκτρυὼν τὴν κύλικα κατεσείσε ἐλθοῦσα. οἱ μὲν ζουσά γε. καὶ ἐν τῷ Πλάτωνος Δαιδάλῳ. ἐνίοτε πολλαὶ τῶν ἀλεκτρυόνων καὶ ὑπηνέμια G τίκτουσιν ᾠὰ πολλάκις. ὁ δὲ παῖς ἔνδει τὰς ἀλεκτρυόνας εὗρε. οἱ Ἀττικοὶ δὲ οὕτω καὶ τὰς θηλείας ἐκάλουν, καὶ Θεόπομπος, λέγουσι δ᾽ αὐτὴν καὶ ἀλεκτρύαιναν. Νὴ τὸν Ἀέρα.] μιμεῖται καὶ αὐτὸς τοὺς φιλοσόφους, καὶ κατὰ τοῦ ἀέρος ὀμνύουσιν. Ὥσπερ καὶ Κλεώνυμον.] σὺ φησὶ τὴν κάρδοπον καλεῖς ἀρσενικῶς δέον θηλυκῶς. ὥσπερ Κλεώνυμον ἄρρενα καλοῦσί τινες, οὐδὲν διαφέροντα τῇ αἰσχύνῃ τῶν γυναικῶν. Ταυτὸν δύναταί σοι.] ταυτὸ αὐτὸ γένος, σημαίνει δὲ τὴν κατάληξιν. ὅ ἐστι δοκεῖ σοι ὁμοιοκατάληκτον εἶναι. ἅμα δὲ καὶ ὡς γυναικώδη σκώπτει τὸν Κλεώνυμον, καὶ ὡς ἀδηφάγον διασύρει τῶν ἀλφίτων δεικτικῶν λέγων ὅμοιον. τῶν πολιτευομένων δὲ εἷς ἦν. καὶ ὡς γυναικιζόμενον αὐτὸν οἱ ποιηταὶ διαβάλλουσιν. Ἀλλ᾽ ἐν θυείᾳ.] ἀδηφαγίας ὑπερβολή. ὡς πένητα δὲ καὶ ἄσιτον διαβάλλει αὐτόν. καὶ ἀποροῦντα μάκτρας. μάκτρα δὲ ἡ θυεία. ἡ δὲ καρδόπη, μεγάλη. ἀδηφαγίας δὲ ἔχει διαβολὴν κατὰ τοῦ Κλεωνύμου. τρέφειν γὰρ μάκτρας ἐνδεὴς ὁ Κλεώνυμος. Τὴν Σωστράτην] πάλιν ἐνταῦθα ὁ ποιητὴς σκώπτει τὸν Σώστρατον Σωστράτην εἰπὼν, διότι λίαν ἀσελγὴς ἦν καὶ θηλυδρίας. Καρδόπη Κλεωνύμη.] τοῦτον ἤδη ὡς κίναιδον διασύρει, ἐπεὶ ῥίψασπις καὶ δειλός. ἐν ἐρωτήσει δὲ ὁ λόγος καὶ λείπει τὸ ὡς. ἵν᾽ ᾖ ἐκεῖνο δ᾽ ἦν ὀρθῶς, ὡς Καρδόπη καὶ Κλεωνύμη λέγειν. ὅμοιον δὲ ἦν τὸ λέγειν καρδόπην ὡς Κλεωνύμην.

Στρ. Οὐκ

Στ. Οὐκ ἄῤῥεν ὑμῖν ἐστι. Σω. οὐδαμῶς γ' ἐπεὶ
Πῶς ἂν καλέσειας ἐντυχὼν Ἀμυνίᾳ;
Στρ. Ὅπως ἄν; ὡδὶ, δεῦρο δεῦρ' Ἀμυνία.
Σω. Ὁρᾷς; γυναῖκα δὴ τὴν Ἀμυνίαν καλεῖς.
Στ. Οὔκουν δικαίως, ἥτις οὐ στρατεύεται.
Ἀτὰρ τί ταῦθ' ἃ πάντες ἴσμεν μανθάνω;
Σω. Οὐδὲν μὰ Δί'. ἀλλὰ κατακλινεὶς δευρί. Στρ. τί δρῶ;
Σω. Ἐκφρόντισόν τι τῶν σεαυτοῦ πραγμάτων.
Στ. Μὴ δῆθ' ἱκετεύω σ' ἐνθάδ'. ἀλλ' εἴπερ γε χρὴ
Χαμαί μ' ἔασον αὐτὰ ταῦτ' ἐκφροντίσαι.
Σω. Οὐκ ἔστι παρὰ ταῦτ' ἄλλα. Στ. κακοδαίμων ἐγὼ
Οἵαν δίκην τοῖς κόρεσι δώσω τήμερον.
Σω. Φρόντιζε δὴ καὶ διάθρει,
Πάντα τρόπον τε σαυτὸν
Στρόβει πυκνώσας.
Ταχὺ δ' ὅταν γ' εἰς ἄπορον πέσῃς,
Ἐς ἄλλο πήδα νόημα φρενός.
Ὕπνος δ' ἀπέστω γλυκύθυμος ὀμμάτων.
Στ. Ἰατταταῖ. ἰατταταῖ.
Σω. Τί πάσχεις; τί κάμνεις;
Στ. Ἀπόλλυμαι δείλαιος, ἐκ τοῦ σκίμποδος.
Δάκνουσί μ' ἐξέρποντες οἱ Κορίνθιοι.
Καὶ τὰς πλευρὰς δαρδάπτουσι.
Καὶ τὴν ψυχὴν ἐκπίνουσι.
Καὶ τοὺς ὄρχεις ἐξέλκουσι.
Καὶ τὸν πρωκτὸν διορύττουσι.

A ST. *Non sunt hæc vobis masculina?* SO. *nenti-quam:*
Nam si tu in Amyniam incidas, quomodo vocas?
ST. *Hoc scilicet modo: age huc, huc ades Amynia.*
SO. *Vidésne? Amyniam vocas tu fœminam.*
ST. *Meritò: ut qui proiectis armis non militat.*
B *Sed quorsum hæc disco: nota quæ sunt omnibus?*
SO. *Nequaquam, per Iouem: sed age, accumbe.*
ST. *quid agam?*
SO. *In curam aliquam tuarum rerum incumbito.*
ST. *At obsecro, ne in hoc lecto: sed si ita opus est,*
Sinito me humi iacentem aliquid meditarier.
SO. *At præter hæc non sunt alia loca.* ST. *miserum*
C *Me, quas hodie pœnas exoluam cimicibus.*
SO. *Excogita & dispice quid:*
Teq́met ipsum in omnes
Conuerte partes:
Et si cubi in rem dubiam incides,
Ibi tuam mentem abarce aliò:
Sed somnus hic absit ab oculis tuis.
ST. *Eheu, hei: proh dolor, hei mihi.*
D SO. *Quid est? quid mali fers?*
ST. *Pereo miser. nam prorepentes è thoro*
Me Cimicenses ciues infestant admodum,
Et costas morsu discerpunt:
Et vitam è membris exugunt:
Et testes ipsos euellunt:
Et totum perfodiunt anum:

E Σχόλια. Γυναῖκα τὴν Ἀμυνίαν.] πρὸς τὴν κατάληξιν τοῦ ὀνόματος ἔπαιξε. καὶ εἰς διαβολὴν τοῦ ἀνδρός. ἐνταῦθα μὲν εἰς θηλυκίαν μόνον καὶ μαλακίαν. Κράτης δὲ ἐν Διρρίφοις ὡς ἀλαζόνα καὶ κόλακα καὶ συκοφάντην. Εὔπολις δὲ ὡς πτωχὸν πρεσβευτήν. ὅπερ καὶ ἐν τοῖς Σφηξὶ φαίνεται. Κατακλινεὶς.] τοῦτο κοινόν. τὸ γὰρ κατακλιθεὶς, Ἀττικόν. Ἰωνικῶς δὲ κατακλινθείς. Ἐκφρόντισόν τι.] ἀντὶ τοῦ σκέψαι καὶ διανοήθητι περὶ τῶν ἰδίᾳ σοι συμφερόντων πραγμάτων. Μὴ δῆθ' ἱκετεύω.] παρεπιγραφή. ποιήσει γὰρ τὸ προσταχθὲν. εἶτα καταβρωθεὶς, ἀρνηθήσεται. F Οὐκ ἔστι παρὰ ταῦτ' ἄλλα.] εἰ μὴ ἐπὶ τοῦ ἀσκάντου σκέψῃ. τοῦτό φησι πάντως δέδοκται. οὐκ ἀνίημί σε ἐλόντα ποιῆσαί τι. Τήμερα.] ὡς ἐν Ὁλκάσιν. ἰὼ Λακεδαῖμον. τί ἄρα πείσῃ τήμερα ὁ σημερινός. καὶ ἔστι τεταγμένως ἐπὶ σώματος. τὸ δὲ τήμερον ἐπὶ χρόνου λέγεται. Φρόντιζε δὴ καὶ διάθρει.] ἐκάθισεν αὐτὸν ἐπὶ τοῦ ἀσκάντου. τὸ δὲ δὴ ἰδὲ ὑσαμεῖ τοῦ νεοῦ. ἔκθεσις τῆς διπλῆς ἀμοιβαία ἐκ στίχων καὶ κώλων δύο πρὸς τοῖς εἴκοσιν. ὧν τὸ πρῶτον δίμετρον ἐκ διιάμβου καὶ χοριάμβου. τὸ δεύτερον δίμετρον ἐκ χοριάμβου καὶ βακχείου, τὸ τρίτον ἰαμβικὸν πενθημιμερές. τὸ G τέταρτον ἐκ διιάμβου καὶ χοριάμβου τρίμετρον βραχυκατάληκτον. τὸ πέμπτον ἐκ διιάμβου καὶ τροχαίου ταυτοπαθές. τὸ ἕκτον τρίμετρον ἐκ διιάμβων καὶ κατὰ τὸ μέσον τροχαίου. τὸ ἕβδομον, ἰαμβικὸν δίμετρον ἀκατάληκτον. τὸ ὄγδοον δίμετρον ἀντισπαστικὸν βραχυκατάληκτον ἢ ἐκ δυοῖν βακχείοιν ἀκατάληκτον, τὰ ἑξῆς δύο ἰαμβικὰ τρίμετρα. τὰ δὲ μετὰ ταῦτα ἀναπαιστικὰ δίμετρα καταληκτικὰ εἰς δισύλλαβον πλὴν τοῦ πεντεκαιδεκάτου μονομέτρου ὄντος. ὁμοίως καὶ τοῦ ἑπτακαιδεκάτου καὶ εἰκοστοῦ πρώτου. ἀναπαιστικαὶ γὰρ βάσεις. καὶ τοῦ τελευταίου ἀναπαιστικοῦ μὲν ὄντος ἑφθημιμεροῦς. παροιμιακοῦ δὲ ὡς πολλάκις εἴρηται καλουμένου. ἔστι δὲ καὶ ταῦτα πολυσχημάτιστα. ἐπὶ τῷ τέλει δὲ δύο διπλαῖ ὡς ἐν τοῖς προφθάσιν. ἰστέον δὲ ὅτι τὰς ἐκθέσεις τῶν διπλῶν οὐκ ἀεὶ διὰ τοῦ αὐτοῦ μέτρου ἐκφέρουσιν, ἀλλὰ καὶ δι' ἑτέρου. ἔστι δὲ ὅτε καὶ διὰ διαφόρου ὡς κἀνταῦθα. Πάντα τρόπον.] τουτέστιν ἐπὶ πολλὰ τὴν διάνοιάν σου στρέφε. Στρόβει,] ἀνάκρινε καὶ δοκίμαζε περίφερε τῇδε κἀκεῖσε ἐπὶ πολλά. πυκνώντι καὶ συνετὴν ποιήσας καὶ φρόνιμον σκεψάμενος. Εἰς ἄπορον πέσῃς.] ἐπειδὰν δέ φησιν εἴς τι ἄπορον πέσῃς, ταχὺ ἐπ' ἄλλο νόημα φρενὸς πήδα. ἄπορον δὲ, οὗ πόρος καὶ λύσιν οὐκ ἔστιν εὑρεῖν. καθάπτεται δὲ τοῦ Σωκράτους ὡς καὶ αὐτοῦ ἐπὶ τῆς ζητήσεσιν οὕτω ποιοῦντος. ὅταν γὰρ στενοχωρῆται καὶ ἀπορῇ, μεθίσταται εἰς ἕτερον. ὁ γὰρ ὑποτιθέμενος ἄλλῳ δηλονότι αὐτὸς ἐν πείρᾳ γενόμενος τῶν οἷα λέγει, ὑποτίθεται. Ἰατταταῖ.] καταπονούμενος ὑπὸ τῶν κόρεων στενάζει ὁ Στρεψιάδης. ἔστι δὲ παρεπιγραφή. κατακλιθεὶς γὰρ καὶ μὴ δυνάμενος ὑπενεγκεῖν, παρεκάλει. Οἱ Κορίνθιοι,] ἴσως αὐτοῖς ἐνόχλουν κατ' ἐκεῖνο καιροῦ οἱ Κορίνθιοι. παρονομάζει δὲ παίζων ἅμα μὲν πρὸς τὸ κόριον, ἅμα δὲ καὶ διὰ τὸν πόλεμον, ὅτι ἐχθροὶ ἦσαν Ἀθηναίων οἱ Κορίνθιοι. Ψυχὴν ἐκπίνουσιν.] ἰστέον ὅτι

τρεῖς ψυχάς φασι, τὴν αὐξητικήν, ἥτις ἐστὶ κοινὴ τῶν ἀνθρώπων, τῶν ἀλόγων ζώων καὶ τῶν φυτῶν, τὸ αἷμα ὅ-
A περ ἐστὶ μόνων τῶν ζώων, καὶ τὴν λογικήν, ἥτις ἐστὶ μόνων τῶν ἀνθρώπων.

Καί μ' ἀπολοῦσι. Σω. μή νυν βαρέως ἄλγει λίαν.
Στρ. Καὶ πῶς; ὅτε μου
Φρούδη τὰ χρήματα, φρούδη χροιά,
Φρούδη δ' ἡ ψυχή, φρούδη δ' ἐμβάς.
Καὶ πρὸς τούτοις ἔτι τοῖσι κακοῖς,
Φρουρᾶς ᾄδων
Ὀλίγου φροῦδος γεγένημαι.
Σωκρ. Οὗτος τί ποιεῖς; οὐχὶ φροντίζεις; Στρ. ἐγώ.
Νὴ τὸν Ποσειδῶ. Σωκρ. καὶ τί δῆτ' ἐφρόντισας;
Στρ. Ὑπὸ τῶν κόρεων εἴ μού τι περιλειφθήσεται.
Σω. Ἀπολεῖ κάκιστ'. Στρ. ἀλλ' ὦ 'γαθ' ἀπόλωλ' ἀρτίως.
Σω. Οὐ μαλθακιστέ', ἀλλὰ περικαλυπτέα.
Ἐξευρετέος γὰρ νοῦς ἀποστερητικός,
Κἀπαιόλημ'. Στρ. οἴμοι. τίς ἂν δῆτ' ἐπιβάλοι
Ἐξ ἀρνακίδων γνώμην ἀποστερητρίδα;
Σωκρ. Φέρε νυν ἀθρήσω πρῶτον ὅ,τι δρᾷ τουτονί.
Οὗτος καθεύδεις; Στρ. μὰ τὸν Ἀπόλλω 'γὼ μὲν οὔ.
Σω. Ἔχεις τί; Στρ. μὰ Δί' οὐδὲν ἔγωγ'. Σω. οὐδὲν πάνυ;
Στρ. Οὐδέν γε πλὴν ἢ τὸ πέος ἐν τῇ δεξιᾷ.

Et me perdunt. SO. ne nimis acerbè isthæc feras.
ST. At quomodo? cùm
Nulla pecunia, color nullus,
Nec vita in me sit quicquam: nullum
B Calceamentum: insuper excubiarum sim fatur,
Propè nullus fio, miserq́.
SO. Heus tu, quid agis? nil commentaris? ST. Egon'? ita
Per Neptunum. So. quid ergo commentatus es?
C ST. An aliquid in me reliquum fiet à cimicibus.
SO. Malè pereas. ST. at, ô bone vir, jam antè perij.
SO. Non decet ita mollem esse, sed obnubenda facies:
Et inquirenda apta ad fraudem sententia,
Et impostura. ST. vah quis injicit mihi
Nunc ex agninis pellibus sententiam,
Ad fraudandos cimices aptam. SO. sine videam
D Primùm, quid hic agat: heus dormin'? ST. non, per Iovem.
SO. Habes aliquid? ST. nihil equidem. SO. an prorsus nihil?
ST. Nihil prorsus habeo, nisi penem in dextera.

Σχόλια. Φρούδη δ' ἐμβάς.] μέχρι τοῦ εὐτελοῦς E ἐλήματος. τοῦτο δὲ εἶπε διὰ τὸ ἀπολελύσθαι τὰς ἐμβάδας ὅτε ἀπεδύετο μέλλων εἰσιέναι εἰς τὸ φροντιστήριον. ἄλλως. ἐκ εἶπεν ὄπισθεν, ὅτι τὰς ἐμβάδας ὑπελύσατο ὁ Στρεψιάδης, ὅτε εἰσῄει τὸ ὑπὲρ γῆν ἐκεῖνο φροντιστήριον, ἀλλὰ μόνον ὅτι ἐξεδύσατο τὸ ἱμάτιον. καὶ οὐδὲν θαυμαστὸν ἢ γεγονὸς μὲν τότε παρεῖκε, νῦν δὲ λέγει τουτέστι τὸ ὑπολύσασθαι τὰς ἐμβάδας. ὁ δὲ ἐκεῖ εἶπεν ἤγουν τὸ ἀποδύσασθαι τὸ ἱμάτιον, νῦν οὐ λέγει. Φρουρᾶς ᾄδων.] οἱ φρουροῦντες ἐν τῷ πολέμῳ διὰ τὸ παραμυθεῖσθαι αὐτῶν τὴν ἀγρυπνίαν ᾖδον. καὶ οὕτως ἦν λεγόμενον F ἐπὶ τῶν ἀγρυπνούντων φρουρᾶς ᾄδων. ἄλλως. τὸ φρουρᾶς ᾄδειν παροιμία ἐστὶν ἐπὶ τῶν ἀγρυπνούντων καὶ φροντιζόντων πάνυ λεγομένη. οἱ γὰρ ἐπιτεταγμένοι ἐν νυκτὶ τὰ φυλακὴν ᾄδουσιν, ἵνα μὴ ὑπὸ τοῦ ὕπνου καταμαλθακισθέντες ἐκλίπωσιν ὃ φυλάσσουσιν. εἰκότως δ' ἐνταῦθα ἡ παροιμία ἐλήφθη. καὶ γὰρ αὐτὸς ἐν τῇ κλίνῃ κείμενος οὐκ ἐκοιμᾶτο ἀλλ' ἐφρόντιζεν. ἀστείως δὲ πάνυ καὶ τὸ φροῦδος εἴρηκεν ὁ ποιητὴς ἐκ τῶν δύο λέξεων συνθέμενος τῆς φρουρᾶς καὶ τοῦ ᾄδων σχηματίσας αὐτό. ἄλλως. ἐκ τοῦ παρεπομένου τοῖς φρουροῖς. εἰώθασι γὰρ ἑαυτοῖς ᾄδειν ἀποσοβοῦντες G τὸν ὕπνον. φρουρᾶς ᾄδων οὖν διαγρυπνῶν τὴν φρουράν. πρὸς δὲ τὴν λέξιν τὴν φρούδη τοῦτο πεποίηκε. διανοίᾳ δὲ ἡ γραφή. φρουρὸς ᾄδων ἀντὶ τοῦ συνεχῶς ᾄδων φρουρός. τὸ δὲ φρουρᾶς ᾄδων, ἀντὶ τοῦ φυλάττων. ἐπεὶ φύλακες ἦσαν τῶν φροντιστηρίων θυρῶν.

Βισετυς. Φρουρᾶς ᾄδων] εἰ καλῶς ἔχει τὸ τῆς E γραφῆς, ἔλλειψις ἂν εἴη τοῦ ἕνεκα. ᾄδων φρουρᾶς ἕνεκα, δηλονότι πρὸς τὸ τὸν ὕπνον ἀποσοβεῖν, καὶ λέξεως εἶναι τὴν γενικήν. εἰ δὲ γράψεις φρουράς, εἴη αἰτιατικὴ πληθυντική. ᾄδειν δὲ φρουρὰς ταυτὸ τῷ φρουρᾶς ἕνεκα ᾄδειν, ἵνα τὸν ὕπνον ἀποθώμεθα. Ὀλίγου φροῦδος] ἔλλειψις τοῦ δέω. γεγένημαι φροῦδος ὀλίγου δέω, ἀντὶ τοῦ σχεδὸν γεγένημαι φροῦδος. ἀλλὰ τοῦτο ἀχρηστότερον, καὶ γὰρ εἰς ἐπιπολεῖστον οὕτω λαλοῦμεν, μικροῦ ἐδέησα γενέσθαι φροῦδος. ὀλίγου ἐδέησα ἀποθανεῖν, ἀντὶ τοῦ παρὰ μικρόν, ὥστε χρὴ ἂν ἀπέθανον.

F Σχόλια. Ἀπόλωλ' ἀρτίως.] ὑπὸ τῶν κόρεων δηλονότι. ἐπεὶ Σωκράτης εἶπεν ἀπολεῖ, ὁ δὲ ἐπεὶ μέλλεις ἀπολέσθαι, αὐτὸς λέγει, ὅτι ἀπόλωλ' ἤδη. Περικαλυπτέα.] δεῖ σε συγκαλύψασθαι καὶ σκέψασθαι. ἐπεὶ οἱ ἐσκεπασμένοι τοὺς ὀφθαλμούς, ἀποπλανῶνται τὴν γνώμην. Κἀπαιόλημ'] ἀπαιόλημα γίνεται ἀπὸ τοῦ αἰόλλω, ὃ δηλοῖ τὸ ταχέως καὶ δίνην αἰόλλης κινῶ, ἀφ' οὗ Ὅμηρος αἰολοπώλους τοὺς Φρύγας καλεῖ, ἤγουν ταχυίππους ἢ ποικίλως ἱππαζομένους. Ἀρνακίδων.] ἀρνακὶς λέγεται, τὸ τοῦ ἀρνὸς κῴδιον. ἔπαιξε δὲ πρὸς τὸ ἀρνεῖσθαι. δέον εἰπεῖν τίς ἄν μοι περιβάλοι ἐξ G ἀρνακίδων στεῦραν. ἔπαιξεν ὀνομάσας ἀπὸ τῶν ἀρνῶν τὸ ἀρνεῖσθαι τοὺς δανειστάς, τὸ ἐξ ἀρνακίδων. τὸ δὲ ἀποστερητρίδα, ἅμα μὲν καὶ πρὸς τὸ ἀπὸ τοῦ ἀποστερεῖν. ἅμα δὲ καὶ ἀντὶ τοῦ περιβόλαιον. Ἔχεις τί.] ἐπεὶ προσῆκεν αὐτῷ ἀναρτήσας τὴν φροντίδα, ὡς ἐπὶ ὀρνιθοθήρου, εἶπε τὸ ἔχεις, ὡς τῶν ἀγρευόντων ἤτοι ὄρνιν ἢ ἰχθὺν, εἶπε τὸ ἔχεις τι. ἀναρτῆσαι γὰρ αὐτῷ ἐκέλευσε τὴν διάνοιαν καὶ τὴν φροντίδα.

πλῆθος. ἄλλως. χαριέντως τὸ ἔχεις τί. τῇ τῶν ἀγροίκων λέξει χρώμενος. τοῖς γὰρ ἁλιεῦσιν ἢ ὀρνιθαγρευταῖς, οὕτω φα- A σίν. ἔχεις τί. Η τὸ πέος] παρὰ προσδοκίαν. δεῖ γὰρ αὐτὸν καθίζεσθαι ἔχοντα τὸ αἰδοῖον. καὶ μιμεῖσθαι τὸν διαμύλλοντα ἑαυτόν.

Σω. Οὐκ ἐγκαλυψάμενος ταχέως τι φροντιεῖς;
Στρ. Περὶ τοῦ; σὺ γάρ μοι τοῦτο φράσον ὦ Σώκρατες.
Σω. Αὐτὸς ὅ,τι βούλει πρῶτος ἐξευρεῖν, λέγε.
Στρ. Ἀκήκοας μυριάκις ἁγὼ βούλομαι.
Περὶ τῶν τόκων ὅπως ἂν ἀποδῶ μηδενί.
Σω. Ἴθι νυν, καλύπτου. καὶ σχάσας τὴν φροντίδα
Λεπτὴν κατὰ μικρὸν περιφρόνει τὰ πράγματα,
Ὀρθῶς διαιρῶν καὶ σκοπῶν. Στρ. οἴμοι τάλας.
Σω. Ἔχ᾽ ἀτρέμα. κἂν ἀπορῇς τι τῶν νοημάτων,
Ἀφεὶς ἄπελθε. κᾆτα τὴν γνώμην πάλιν
Κίνησον αὖθις αὐτὸ καὶ ζυγώθρισον.
Στρ. Ὦ Σωκρατίδιον φίλτατον. Σω. τί ὦ γέρον;
Στρ. Ἔχω τόκου γνώμην ἀποστερητικήν.
Σω. Ἐπίδειξον αὐτήν. Στρ. εἰπὲ δή νυν μοι. Σω. τὸ τί;
Στρ. Γυναῖκα φαρμακίδ᾽ εἰ πριάμενος Θετταλὴν,
Καθέλοιμι νύκτωρ τὴν σελήνην. εἶτα δὴ
Αὐτὴν καθείρξαιμ᾽ ἐς λοφεῖον στρογγύλον,
Ὥσπερ κάτοπτρον. κᾆτα τηροίην ἔχων.
Σω. Τί δῆτα τοῦτ᾽ ἂν ὠφελήσειέ σ᾽; Στρ. ὅτι,
Εἰ μηκέτ᾽ ἀνατέλλοι σελήνη μηδαμοῦ,

SO. Nihilne coopertus iam commentaberis?
Qua de re? dic, obsecro, mihi, mi Socrates.
SO. Dic tu ipse, quid primùm perscrutari velis?
ST. Decies millies iam audisti, quid velim:
B *De vsuris: ne quid reddam cuiquam. SO. Agedùm tege*
Faciem, & subtilem cogitationem apud
Te cohibe, & res minutatim circumspice:
Appositè diuidendo & contemplando eas.
ST. Hei mihi misero. SO. quietus esto, & sicubi
In cogitatione aliqua hæsitaueris,
Omitte, & ab ea discede: ac mentem dein
Rursum commoue, & idem repete pòst sedulò.
C *ST. Hem Socratisce carissime. SO. senex, quid est?*
ST. Habeo commentum, quo vsuras fraudauero.
SO. Commonstra. ST. age, dic hoc primum. SO. quid dicam tibi?
ST. Si Thessalicam mihi quandam emam veneficam,
Et nocte Lunam ipsam deripiam cælitus,
Atque in rotundum loculum concludam, velut
D *Speculum: ac postea sic asseruans custodiam.*
SO. Quid verò hoc commodauerit tibi? ST. quia
Si Luna nusquam terræ oriatur amplius:

Σχόλια. Τί φροντιεῖς.] φροντίζω τὸ φροντίδα ἔχω κοινῶς μὲν γενικῇ συντάσσεται, ἀττικῶς δὲ μετ᾽ αἰτιατικῆς, ὡς ἐνταῦθα ἢ ἐν τῷ σολοικὲς ζητεῖται μὴ τὸ φροντίζετε. Αὐτὸς ὅτι βούλει.] διαβάλλει αὐτὸν ὡς μὴ παρέχοντα εὕρημα τοῖς μαθηταῖς. Σχάσας. καταπαύσας. στήσας. ἀτρεμήσας. καὶ Πίνδαρος, κώπαν σχάσον, ἀντὶ τοῦ ἀτρεμήσας. ἔνιοι δὲ χάσας, ἀντὶ τοῦ ἁπλώσας. Λεπτήν] ἀκριβῆ. ἔνθα καὶ λεπτολόγος ἔρευνα. διαιρῶν ἀκριβῶς καὶ ἐπιμελῶς καταμερίζων περὶ οὗ τὴν σκέψιν ποιῇ. ἀνασκόπουν δοκιμάζων, καὶ διαχρίνων τὰ πράγματα. οἷον διαίρεσιν αὐτῶν ποιῶν. ἄλλως. ὡς ἐπὶ τῶν μίμων ἐχρήσατο. ὥσπερ ἔλεγε κατὰ κεφάλαιον ἐκζητῶν. Διαιρῶν καὶ σκοπῶν.] ὁ γὰρ σκοπούμενος, οὕτω διαιρεῖ τὴν βουλήν. οἷον εἰ τόδε ποιήσω, τόδε ἀπαντήσει. καὶ εἰ τόδε, τόδε. Ἔχ᾽ ἀτρέμα.] ἐφ᾽ ἡσυχίας μένε. ὡς αὐτοῦ κινουμένου διὰ τοὺς κόρεις. ἄλλως. F Ἰστέον ὅτι οἱ Ἀττικοὶ πάντα τὰ ἑνικὰ τε καὶ πληθυντικὰ, τρίτα πρόσωπα τῶν ῥημάτων καὶ τὰς τῶν ὀνομάτων δοτικὰς τῶν πληθυντικῶν συμφώνου ἢ φωνήεντος ἐπιφερομένου μετὰ τοῦ ν γράφουσιν, ὡς ἔστι σαφῶς συμβαλεῖν τοῖς πάλαι βιβλίοις πεποιημένοις ἐντυγχάνοντα βιβλίοις. οἱ δὲ Ἴωνες δίχα τοῦ ν. τούτοις οὖν καὶ ἀμφοτέροις οἱ ποιηταὶ παρακολουθοῦντες καὶ δὴ καὶ τῇ ἀνάγκῃ τοῦ μέτρου ἑπόμενοι, πολλάκις συμφώνου μὲν ἐπιφερομένου μετὰ τοῦ ν. γράφουσι. πολλάκις δὲ καὶ φωνήεντος ἐπιφερομένου δίχα τοῦ ν. τοιοῦτον δή τι τῇ τοῦ μέτρου ἀνάγκῃ G καὶ ἐν τοῖς εἰς ν καὶ εἰς σ λήγουσιν ἐπιρρήμασι ποιεῖν εἰώθασιν, οἷον τὸ πρόσθεν, νέρθεν, ὄπισθεν, τὸ οὕτως αὖθις, πολλάκις εὐθὺς ταχὺς ἀτρέμας καὶ τοῖς ὁμοίοις. τοῦτο δὲ ὁ οὕτως ἔχον εὑρήσεις, ἀκριβῶς σκοπῶν. Ἀφεὶς] ἄπελθε ἐάσας τὸ ἀπορούμενον. ἔπειτα πάλιν ἀνασκοπεῖν καὶ οἷον ἀνοίγειν ἀποπειρῶ. τὸ γὰρ ἀναζυγοῦν ἐστι τὸ ἔξωθεν ἀνοίγειν τὴν θύραν. ἔνιοι δὲ ζυγώθρισον. συνάρμοσον. σύμπλεξον. κίνησον δὲ αὖθις. ἀντὶ τοῦ καὶ β καὶ γ ἐπίστησον. περὶ τῶν αὐτῶν ζυγοστάτησον. ἴσωσον. Κίνησον αὖθις.] ὑποτίθεται πῶς δεῖ φροντίζειν καὶ τίνα τρόπον. φησὶ γὰρ ἐὰν ὑπερβάλλῃς, ἔτι μὴ ἀμελήσῃς. ἀλλὰ E πολλάκις αὐτὸ μετάλαβε. καὶ οὕτως εἰς ἓν συμφορήσας. τὴν ἀρίστην γνώμην ἑλοῦ. Ζυγώθρισον.] ἀπὸ τοῦ ζυγὸς γίνεται καὶ τοῦ ἀθρεῖν τὸ ἀποδοκιμάζω, ζυγοαθρίζω καὶ κατὰ συγκοπὴν τοῦ ι, καὶ κρᾶσιν τοῦ ο καὶ α εἰς ω μέγα ζυγώθρισον. Ὦ Σωκρατίδιον,] ἐνθυμηθεὶς ἐξαίφνης βοᾷ. Γυναῖκα φαρμακίδ᾽.] ὡς νῦν τὰς φαρμακίδας Θετταλὰς καλοῦσι. διαβάλλονται γὰρ οἱ Θετταλοὶ ὡς γόητες. καὶ μέχρι δὲ νῦν φαρμακίδες παρ᾽ ἡμῖν αἱ Θετταλαὶ καλοῦνται. φασὶ δὲ ὅτι Μήδεια φυγοῦσα, κίστην ἐξέβαλε φαρμάκων ἐκεῖ καὶ ἀνέφυσαν. τὸ δὲ Θετταλὴν Ἀττικοὶ βαρύνουσιν οἱ F κατὰ Μένανδρον, ὡς δαμάλην. Λοφεῖον στρογγύλον.] ἡ τοῦ κατόπτρου θήκη. ἢ τὴν θήκην τοῦ λόφου τῆς περικεφαλαίας. περιφερὴς δὲ αὕτη. Ὥσπερ κάτοπτρον.] ὁ γὰρ τῆς σελήνης κύκλος στρογγυλοειδὴς, καθάπερ καὶ τὰ ἔσοπτρα. καὶ φασὶ τὰς περὶ τὰ τοιαῦτα δεινὰς, οὕτω κατάγειν τὴν θεόν. ἔστι δὲ καὶ Πυθαγόρου παίγνιον διὰ τοῦ τοιούτου κατόπτρου προσσελήνου τῆς σελήνης οὔσης, εἴτις ἐσόπτρον ἐπιγράψειεν αἵματι ὅσα βούλεται, καὶ προσειπὼν ἑτέρῳ, σταίη κατόπιν αὐτοῦ δεικνὺς πρὸς τὴν σελήνην τὰ γράμματα κἀκεῖνος ἀτενίσας ὁ πλησίον εἰς τὸν τῆς σελήνης κύκλον, ἀναγνοίη πάντα τὰ ἐν τῷ κατόπτρῳ γεγραμμένα ὡς ἐπὶ τῆς σελήνης γεγραμμένα. Μηκέτ᾽ ἀνατέλλοι.] πρὸς τὸ προειρημένον ὑπ᾽ αὐτοῦ. ὁρῶν ἄγουσαν τὴν σελήνην εἰκάδας. τελουμένης γὰρ σελήνης οἱ τόκοι ἐδίδοντο. εἰ γοῦν μὴ ἀνατέλλοι πῶς ἂν οἱ δανεισταὶ γνόντες τὴν μῆνα τελούμενον ἀπαιτήσωσι τοὺς τόκους.

Οὐκ ἂν γ' ἀποδοίην οὐδὲ τόκους. Σω. τιὴ τί δή; A
Στρ. Ὅτι κατὰ μῆνα γ' ἀργύριον δανείζεται.
Σω. Εὖ γ'. ἀλλ' ἕτερον αὖ σοι προβαλῶ τι δεξιόν.
Εἴ σοι γράφοιτο πεντετάλαντός τις δίκη,
Ὅπως ἂν αὐτὴν ἀφανίσειας, εἰπέ μοι.
Στρ. Ὅπως; ὅπως οὐκ οἶδ'. ἀτὰρ ζητητέον.
Σω. Μή νυν περὶ σαυτὸν εἶλλε τὴν γνώμην ἀεί. B
Ἀλλ' ἀποχάλα τὴν φροντίδ' ἐς τὸν ἀέρα,
Λινόδετον ὥσπερ μηλολόνθην τοῦ ποδός.
Στρ. Εὕρηκ' ἀφάνισιν τῆς δίκης σοφωτάτην,
Ὡς' αὐτὸν ὁμολογεῖν σ' ἐμοί. Σω. ποίαν τινά;
Στρ. Ἤδη παρὰ τοῖσι φαρμακοπώλαις τὴν λίθον
Ταύτην ἑώρας, τὴν καλήν, τὴν διαφανῆ,
Ἀφ' ἧς τὸ πῦρ ἅπτουσι; Σω. τὴν ὕαλον λέγεις;
Στρ. Ἔγωγε. Σω. φέρε, τί δῆτ' ἄν; Στρ. εἰ ταύτην λαβὼν C
Ὁπότε γράφοιτο τὴν δίκην ὁ γραμματεύς,
Ἀπωτέρω στὰς ὧδε πρὸς τὸν ἥλιον,
Τὰ γράμματ' ἐκτήξαιμι τῆς ἐμῆς δίκης.
Σω. Σοφῶς γε νὴ τὰς Χάριτας. Στρ. οἴμ' ὡς ἥδομαι,
Ὅτι πεντετάλαντος διαγέγραπταί μοι δίκη.
Σω. Ἄγε δὴ ταχέως τουτὶ ξυνάρπασον. Στρ. τὸ τί; D
Σω. Ὅπως ἀποστρέψαις ἂν ἀντιδικῶν δίκην.

Nulli persoluam usuras. SO. *quid ita? mi senex.*
ST. *Quia argentum secundum mensem fœnerat.*
SO. *Euge: sed ego tibi proponam aliud quippiam,*
Et aquè callidum. Si scribatur tibi
Dica quinque talentorum, quomodo tu obliteres
Eam, cedò mihi? ST. *quomodo? modum nescio,*
Sed inuestigandus tamen. SO. *sed ne tu ita*
Animum intra teipsum semper versato senex:
Sed cogitationem, uti vinctum compede
Quodam Scarabæum, sursum laxa in aërem.
ST *Ehem, obliterationem repperi*
Dicæ pulcerrimam, ut tumet fateberis.
SO. *Qualem obsecro?* ST. *vidistin' apud vnguentarios,*
Et aliptas, lapidem illum pulcrum, & pellucidū,
Vnde ignem accendunt? SO. *num vitrum dicis?*
ST. *utique*
SO. *Quidcum illo ages?* ST. *si scriba mihi scribat dicam:*
Ego procul stans, ad hunc modum, ad Solem, vitro
Delcuero literas intentæ mihi dicæ.
SO. *Sapienter, ita me Gratiæ ament.* ST. *oh gestio,*
Dicam quinque talentorum esse expunctā mihi.
SO. *Age vero & hoc celeriter arripe.* ST. *quid id est?*
SO. *Quo pacto litem effugias aduersarij.*

Σχόλια. Τιὴ τί δή.] παράλληλα. καὶ παρ' Ὁμήρῳ. τίη τί δὴ λείπεις ὦ ἄριστε. Ἀργύριον.] οὕτως ἡ γραφή· ἀργύρια δὲ παρὰ Φρυνίχῳ κεῖται. ὅτι οἱ κωμικοὶ πληθυντικῶς φασίν, οἱ δὲ ῥήτορες ἑνικῶς. καὶ Σώφρων πληθυντικῶς ἀργυρίων δεήσῃ. Προβαλῶ.] προθήσω, εἰς ὃ δεῖ σε μηχανὴν εὑρεῖν. Εἴ σοι γράφοιτο.] εἰ κατηγοροίη πέντε σε δικαζόμενον ζημιοῦσθαι τάλαντα Ἀττικῶς, ἀπὸ τοῦ ἀριθμοῦ τὸ ἐφύλαξεν. ἄλλως. ἰστέον ὅτι ἐν τοῖς δικαστηρίοις οἱ δανεισταὶ ἐρχόμενοι ἔλεγον ὡς ὁ δεῖνα αὐτοῖς ὀφείλει, εἶτα ὁ τῆς δίκης γραμματεὺς ἔγραφε τοῦτο, καὶ μετὰ ταῦτα ὁ ὀφείλων καλούμενος ἀπῃτεῖτο τὸ δάνειον. Εἶλλε τὴν γνώμην.] εἰλῶ τὸ στρέφω παρὰ κοινοῖς ... εἶλαι δὲ ... παρὰ τοῖς ποιηταῖς. Μηλολόνθην.] οὕτω γράφουσιν οἱ ἀκριβέστεροι. τινὲς δὲ λέγουσιν ὅτι ζωΰφιόν ἐστι χρυσίζον κατὰ θέρος γινόμενον, ὃ λαμβάνοντες οἱ παῖδες ἀποδεσμοῦσι λίνῳ καὶ ἐκπετάννυουσιν. ἄλλως. τὸν χρυσοκάνθαρον. οὕτως οὖν φησι δεῖν σε τὴν γνώμην, ἵν' ὅταν ἀποσπάσῃς ἐκ τοῦ ἀέρος τὴν γνώμην, πάλιν ἐπισπάσῃ αὐτήν. Τοῖσι φαρμακοπώλαις.] φαρμακοπῶλαι κυρίως οἱ τὰ φάρμακα πιπράσκοντες τά τε λυσιτελοῦντα καὶ τὰ θανάσιμα. παρὰ τοῖς παλαιοῖς δὲ καὶ οἱ τοὺς τιμαλφεῖς, τουτέστι πολυτίμους λίθους πιπράσκοντες φαρμακοπῶλαι ἐλέγοντο. οὐδεὶς γὰρ τῶν τοιούτων λίθων ὃς οὐκ ἔχει καί τινα ἰδίαν δύναμιν. Τὴν ὕαλον λέγεις.] κατασκεύασμά ἐστιν ὕαλος τροχοειδὴς παχὺ, εἰς τοῦτο τεχνασθέν. ὅπερ ἐλαίῳ χρίοντες καὶ θερμαίνοντες, προσάγουσι θρυαλλίδα, καὶ οὕτως ἅπτουσι. τοῦτο οὖν φησιν εἰ ὑφάψαιμι διὰ τῆς ὑάλου καὶ προσάγοιμι τῇ δέλτῳ τὸ πῦρ τοῦ γραμματέως, ἀφανίσαιμι τὰ γράμματα τῆς δίκης. ὅτι δὲ ὕαλος θηλυκῶς καὶ διὰ τοῦ α. διὸ τὸ χ. Ὅμηρος δὲ οὐκ οἶδε τὸ ὄνομα ἀλλὰ παρ' αὐτοῖς τοῖς ἀρχαίοις ἤλεκτρος μέν ἐστιν. ὕαλος δὲ οὔ. ἄλλως. ὕαλον ἡμεῖς μὲν ἀρτίως τὸ ἐκ βοτάνης τινὸς κεκαυμένης καὶ διὰ πυρὸς τηκόμενον εἰς κατασκευὴν ἀγγείων τινῶν λεγόμενον. οἱ παλαιοὶ δὲ διὰ τὴν διαφανῆ λίθον αὐτὴν ἰδιωτικῶς λεγόμενον κρύον, ἐοικότα δὲ ὑάλῳ. Νὴ τὰς Χάριτας.] E οὐχ ἁπλῶς ὄμνυσι κατὰ τῶν Χαρίτων. ὄπισθεν γὰρ τῆς Ἀθηνᾶς ἦσαν γλυφεῖσαι αἱ Χάριτες ἐν τῷ τοίχῳ, ἃς ἐλέγετο ὁ Σωκράτης γλύψαι. τὸ γὰρ πρῶτον λιθογλύφος ἦν τὴν τέχνην. αἰνίττεται οὖν αὐτὸ τοῦ Σωκράτους εἰς τὴν πρώτην τέχνην. ἄλλως. τῷ μὲν φαινομένῳ ἀρεσκόμενος Σωκράτης δείκνυται τῷ τοῦ Στρεψιάδου νοήματι, καὶ ὄμνυσι τὰς Χάριτας ὅτι σοφῶς τοῦτο τὸ νόημα ἐπενόησε τὸ τῆς τῶν χάρτων ... Χαρίτων γὰρ ἔργα καὶ δῶρα, σοφία. ἐσχηματισμένως δὲ τὸ Σωκράτους καθάπτεται ὁ ποιητὴς ὁ F κωμικὸς τοῦτον ὡς λιθοξόον. Σωφρονίσκου γὰρ λιθοξόου ἦν υἱὸς Σωκράτης καὶ τῆς λαξευτικῆς μετεῖχε τέχνης καὶ ἀνδριάντας λιθίνους ἐλάξευε. καὶ ἀγάλματα δὲ τῶν τριῶν Χαρίτων τετεργάσατο Πειθοῦς Ἀγλαΐας καὶ Θαλείας. καὶ ἦσαν ὄπισθεν τῆς Ἀθηνᾶς ἐγγεγλυμμένα τῷ τοίχῳ. Οἴμ' ὡς ἥδομαι.] τὸ οἴμοι καὶ ὤμοι, ποτὲ μὲν ἐπ' εὐφροσύνῃ κείμενον εὕρηται. ποτὲ δὲ ἐπὶ λύπαις. καὶ ἐπ' εὐφροσύνῃ μὲν ὡς ἐνταῦθα οἴμ' ὡς ἥδομαι. καὶ ὤμοι σοφίας ... ἐπὶ δὲ λύπης ὡς τὸ οἴμοι τάλας. καὶ οἴμοι κακοδαίμων ὡς ἀπόλωλα δείλαιος. καὶ ὤμοι μανίας τῆς ἐμῆς ... Διαγέγραπται.] G κατέξυσται, ἀνῄρηται, ἀπὸ τῆς τοῦ γραμματέως δέλτου ὅπου αἱ δίκαι ἀνεγράφοντο, καὶ αἱ εἰσαγωγαὶ τῶν δικῶν. Ἀντιδικῶν.] κατηγορῶν καὶ ἐναντιούμενος. τοῖς γὰρ γραψαμένοις καὶ μὴ ἀποδείξασιν ἐπεβάλλετο χρηματικὴ ζημία. καὶ εἰ μὴ κατὰ τὸ ὡρισμένον ἐξέτισεν ὑπερήμερος γενόμενος ἐξέτινε τετραπλῆ. οἱ δὲ μὴ ἔχοντες τίσαι, κατεκρίνοντο εἰς τὸ δικαστήριον. πολλοὶ δὲ τοῦτο πεπόνθασιν ὡς ὁ ῥήτωρ ἐν τῷ κατὰ Ἀριστογείτονος.

Μελλων

Μέλλων ὀφλήσειν, μὴ παρόντων μαρτύρων.
Στ. Φαυλότατα καὶ ῥᾷστ'. Σω. εἰπὲ δή. Στ. καὶ δὴ λέγω.
Εἰ πρόσθεν ἔτι μιᾶς ἐνεστώσης δίκης,
Πρὶν τὴν ἐμὴν καλεῖσθ' ἀπαγξαίμην τρέχων.
Σω. Οὐδὲν λέγεις. Στ. νὴ τοὺς θεοὺς ἔγωγ' ἐπεὶ
Οὐδεὶς κατ' ἐμοῦ τεθνεῶτος εἰσάξει δίκην.
Σω. Ὑθλεῖς. ἄπερρ' οὐκ ἂν διδαξαίμην σ' ἔτι.
Στ. Ὁτιὴ τί; ναὶ πρὸς τῶν θεῶν ὦ Σώκρατες.
Σω. Ἀλλ' εὐθὺς ἐπιλήθει σύ γ' ἅττ' ἂν καὶ μάθῃς.
Ἐπεὶ τί νῦν πρῶτον ἐδιδάσκου; λέγε.
Στ. Φέρ' ἴδω τί μέντοι πρῶτον ἦν; τί πρῶτον ἦν;
Τίς ἦν ἐν ᾗ ματτόμεθα μέντοι τἄλφιτα;
Οἴμοι τίς ἦν; Σω. οὐκ ἐς κόρακας ἀποφθερεῖ
Ἐπιλησμότατον καὶ σκαιότατον γερόντιον;
Στ. Οἴμοι. τί οὖν δῆθ' ὁ κακοδαίμων πείσομαι;
Ἀπὸ γὰρ ὀλοῦμαι, μὴ μαθὼν γλωττοστροφεῖν.
Ἀλλ' ὦ Νεφέλαι, χρηστόν τι συμβουλεύσατε.
Χο. Ἡμεῖς μὲν ὦ πρεσβῦτα συμβουλεύομεν,
Εἴ σοί τις υἱός ἐστιν ἐκτεθραμμένος,
Πέμπειν ἐκεῖνον ἀντὶ σαυτοῦ μανθάνειν.
Στ. Ἀλλ' ἔστ' ἔμοιγ' υἱὸς καλός τε κἀγαθός.
Ἀλλ' οὐκ ἐθέλει γὰρ μανθάνειν. τί ἐγὼ πάθω;
Χο. Σὺ δ' ἐπιτρέπεις; Στ. εὐσωματεῖ γὰρ καὶ σφριγᾷ.
Κἄστ' ἐκ γυναικῶν εὐπτέρων τῶν Κοισύρας.
Ἀτὰρ μέτειμί γ' αὐτόν. ἢν δὲ μὴ θέλῃ,
Οὐκ ἔσθ' ὅπως οὐκ ἐξελῶ 'κ τῆς οἰκίας.
Ἀλλ' ἐπανάμεινόν μ' ὀλίγον εἰσελθὼν χρόνον.

A *Iam damnandus, nullis in promtu testibus.*
ST. *Leuissimè & facilimè.* SO. *dic, quomodo?*
ST. *Dicam equidem, si instante actione vna adhuc,*
Priusquàm mea citetur, ego me strangulem.
SO. *Nihil dicis.* ST. *imò per Deos: nam mortuo*
Mihi quis obsecrò litem velit intendere?
SO. *Nugas agis: apage hinc, non ego te docuero*
B *Amplius.* ST. *at quamobrem, per Deos: mi Socrates.*
SO. *Quia tu obliuisceris tam citò, quæ didiceras:*
Age enim, dic mihi, quid primò discebas senex?
ST. *Quid primum? sine videam: quid erat? quid primum erat?*
At quæ illa, in qua farinas hic subegimus?
Væ mihi, quænam illa erat? SO. *non tu hinc is in malam*
C *Crucem, homo stultissime, atque obliuiosissime?*
ST. *Hei mihi, quid agam miser? nam nisi perdidicerim*
Versare volubilem linguam: ego perij, occidi.
Nubes date consilium mihi aliquod vtile.
CH. *Si filius tibi est benè educatus, hunc*
Vt mittas pro te in ludum literarium,
Hoc nos tibi subministramus nunc consili.
D ST. *At est mihi filius frugi & perquàm bonus.*
Sed discere tamen non vult. ah, quid fero mali?
CH. *An verò tu hoc ei permittis?* ST. *corpore*
Benè est habito, & viget: & est ex mulieribus
Alatis natus, de familia Cæsyra.
Sed accedo illum, vt tentem, si renuat mihi:
Non est, vt eum non abdicem & extrudam domo.
Tu me interim paulisper hic operire: eo.

E

BISETVS. Ὑθλεῖς] ὕθλος, ὁ λῆρος, ἡ φλυαρία, ὑθλοῦ, ληροῦ, φλυαροῦ.

Σχολ. Τίς ἦν ἐν ᾗ.] ὡς ἐπιλανθανόμενος. ἤθελε δὲ εἰπεῖν τὴν καρδόπην. Ἐπιλησμότατον.] ἔδει εἰπεῖν ἐπιλησμονέστατον. ἡ λέξις δὲ ἐπιλήσμων. φησὶ δὲ Κρατῖνος ἐπιλήσμονι. Γλωττοστροφεῖν] τὴν γλῶτταν στρέφειν δι' ἧς ἂν τοὺς δανειστὰς ἀποκρίνωμαι. Εὐσωματεῖ.] ἐκ τοῦ ἐναντίου συγκατατίθεται. δέον γὰρ ἂν μανθάνειν τοιοῦτον ὑγιαίνοντα. εἰ μὴ ἄρα τοῦτο λέγει ὅτι φοβοῦμαι αὐτόν. Εὐπτέρων.] ἀντὶ τοῦ εὐγενῶν. ἀπὸ τῶν ὀρνέων. ἢ κούφων ὧν ὁ λογισμὸς ἐπῆρται. φρονησάντων τῆς Κοισύρας. ἀντὶ τοῦ μεγάλα φρονούντων. εὐπτέρων δὲ τῶν εὐγενῶν. ἡ μεταφορὰ ἐκ τῶν ὀρνέων. ἢ τῶν μετεώρων καὶ ὑπερηφάνων. ἢ ἐπηρμένων. ὡς δραπέτας δὲ αὐτοὺς διαβάλλει. ἀσύμβουλοι δέ φησιν. ὅτι καὶ ταχέως μεταβαλλόμενοι ἐπιθυμίας ἥττους ἁλίσκονται. Ἀτὰρ μέτειμι.] ἐγὼ δὲ μετελθὼν μεταχειρίζομαι ὅπως δυνηθῶ πείσω αὐτόν.

F

ΣΤΡΟΦΗ ΚΩΛΩΝ ί.

Χο. Ἆρ' ἄγ' αἰσθάνει πλεῖστα
Δι' ἡμᾶς ἀγάθ' αὐτίκ'
Ἕξων μόνας θεῶν;
Ὡς ἕτοιμος ὅδ' ἐστὶν

CHORVS.

Equidem auferes multa
Deinceps commoda per nos;
Solas Deas. Vt hic
Promptus est & alacris

G

Σχόλια. Ἆρ' ἄγ' αἰσθάνει.] κορωνὶς καὶ εἴσθεσις χοροῦ μεσῳδικὴ κώλων διαφόρων ι'. τούτων τὸ μὲν πρῶτον δίμετρον ἀντισπαστικὸν ἐκ διτροχαίου καὶ παλιμβακχείου. τὸ β' ἐξ ἀντισπάστου καὶ ἀμφιβράχεος. τὸ γ' ἐξ ἐπιτρίτου τρίτου δίμετρον βραχυκατάληκτον. τὸ δ' δίμετρον ἐκ διτροχαίου καὶ ἀμφιβράχεος. τὸ πέμπτον τροχαϊκὸν δίμετρον ἀκατάληκτον ἀδιαφόρου τῆς τελευταίας οὔσης. τὸ ἕκτον ἰαμβικὸν δίμετρον ἀκατάληκτον. τὸ ἕβδομον ἐκ χοριάμβου καὶ διϊάμβου δίμετρον. τὸ ὄγδοον χοριαμβικὸν τρίμετρον ἀκατάληκτον. τὸ ἔνατον ὅμοιον τῷ ἕκτῳ ἐχούσης ἀνάπαιστον τῆς ἀρχούσης. τὸ δέκατον χοριαμβικὸν δίμετρον καταληκτικόν. ἔστι οὖν ἐκ χοριάμβου καὶ βακχείου.

Πάντα δρᾶν ὅσ' ἂν κελεύῃς.
Σὺ δ' ἀνδρὸς ἐκπεπληγμένου,
Καὶ φανερῶς ἐπηρμένου,
Γνοὺς, ἀπολέψεις ὅ,τι πλεῖστον δύνασαι,
Ταχέως. φιλεῖ γάρ πως τὰ τοι-
αῦθ' ἑτέρᾳ τρέπεσθαι.

A *Omnia expedire iussa.*
At tu virum attonitum qui habes,
Et manifestè concitum,
Excoriabis citò, quantum poteris.
Quia res solent huiusmodi
Sæpè aliò euenire.

Σχόλια. Ἐκπεπληγμένου.] ἀντὶ τοῦ ἐπαινοῦντος. λείπει δὲ τὸ σέ. οἱονεὶ ἐκπλήκτου καὶ μέγα φρονοῦντος. Ἐπηρμένου.] γνοὺς ἀπολέψεις. οἱ λέγοντες γνοὺς ἀντὶ τοῦ αἴσθησιν λαβών, ἵνα συντάξωσι τὴν γενικὴν, οὐ καλῶς λέγουσιν. ἔστι γὰρ αὕτη ἡ γενικὴ πρὸς τὸ ἀπολάψεις, οὕτω, σὺ δὲ ἀπολάψεις, ἀντὶ τοῦ ἀποκερδανεῖς ταχέως ὅ,τι πλεῖστον δύνασαι ἀνδρὸς ἐκπεπληγμένου καὶ φανερῶς ἐπηρμένου. εἶτα ὕστερον ἐπάξεις τὸ γνούς, ἀντὶ τοῦ οὕτως ἔχοντα αὐτὸν νοήσας. ἔστι δὲ ἀπολάψις ἐνταῦθα ἀντὶ τοῦ προστακτικοῦ, δείκνυται γὰρ ἐκ τῆς κατασκευῆς ὅτι τοῦτο αἱ Νεφέλαι αὐτῷ ἐπιτάττουσι. B Ἀπολέψεις.] ἀπολαύσεις. ἐὰν δὲ ὡς τοῖς πολλοῖς ἀπολάψῃς, ἐκπίῃ. ἀπὸ τῶν κυνῶν ἡ μεταφορὰ ἢ ὅσα λάπτοντα πίνει. καταστρέφει δὲ εἰς τὸ ἀποκερδανεῖς ἢ ἀφαρπάσεις, ἀποσπάσεις. Ὅμηρος, λάψαντες γλώσσῃσιν ἀραιῇσιν μέλαν ὕδωρ. Φιλεῖ γάρ πως.] ἔθος ἔχει συμβαίνειν γὰρ ἄλλως ἀποβαίνειν ἢ προσδοκᾷ τις. ἀντὶ τοῦ εὐμετάβλητοί εἰσιν οἱ ἐξ ἐπιθυμίας ἀλόγου τινὶ συμβαλόντες. εὐμετάβλητοι γὰρ αἱ τῶν τοιούτων ἀνδρῶν γνῶμαι.

C

ΔΡΑΜΑΤΟΣ ΤΟΥ ΤΡΙΤΟΥ,

Σκηνὴ πρώτη.

ΣΤΡΕΨΙΑΔΗΣ, ΦΕΙΔΙΠΠΙΔΗΣ, ΣΩΚΡΑΤΗΣ,

Τρίμετροι.

ACTVS III. SCENA I.

STREPSIADES, PHIDIPPIDES, SOCRATES.

Senarij.

Bisetus. Στρεψιάδης τὸ μὲν, δι' ἧσσον, τὸ δὲ, ἀπειλαῖς ἤδη πεισθέντα πρὸς τὸν Σωκράτην ἄγει, D καὶ αὐτὸν αὐτῷ συστήσας καὶ ἐπιτρίψας παραδίδωσι.

Στρ. Οὔτοι μὰ τὴν Ὁμίχλην ἔτ' ἐνταυθοῖ μενεῖς.
Ἀλλ' ἔσθι' ἐλθὼν τοὺς Μεγακλέους κίονας.
Φει. Ὦ δαιμόνιε. τί χρῆμα πάσχεις ὦ πάτερ;
Οὐκ εὖ φρονεῖς μὰ τὸν Δία τὸν Ὀλύμπιον.
Στρ. Ἰδού γ' ἰδού, Δί' Οὐλύμπιον. τῆς μωρίας.
Τὸν Δία νομίζειν ὄντα τηλικουτονί.
Φει. Τί δὲ τοῦτ' ἐγέλασας ἐτεόν. Στρ. ἐνθυμούμενος,
Ὅτι παιδάριον εἶ, καὶ φρονεῖς ἀρχαϊκά.
Ὅμως γε μὴν πρόσελθ', ἵν' εἰδῇς πλείονα.
Καί σοι φράσω πρᾶγμ', ὃ σὺ μαθὼν, ἀνὴρ ἔσει.
Ὅπως δὲ τοῦτο μὴ διδάξῃς μηδένα.
Φει. Ἰδού τί ἔστιν; Στρ. ὤμοσας νυνὶ Δία;

Heic non manebis iam: non: ita me nebulæ ament.
Age hinc, Megaclis columnas deuoratum abi.
PH. *Miserum te: quidnam tibi mali accidit, pater?*
E *Non tu rectè sapis, per Olympium Iouem.*
ST. *Ecce autem, ecce Iouem Olympium, quæ insania*
Te isthac ætate credere, esse aliquem Iouem?
PH. *Quid tu isthoc rides, quod verum est?* ST. *quia video*
Te esse puerum, & sapere senum deliria.
Sed age, accede tamen, vt plura ex me scias:
F *Nam ea tibi dicam, quæ si discas, vir eris.*
Tu verò hoc ipsum vt quenquam doceas caue.
PH. *Eho, quid est?* ST. *Iurastin' modo nūc Iouē?*

Σχόλια. Οὔτοι μὰ τὴν Ὁμίχλην.] κορωνὶς ἑτέρα ὁμοία. οἱ δὲ στίχοι ἰαμβικοὶ τρίμετροι ἀκατάληκτοι οἱ. ὁ τελευταῖος πρὸς ἐκτὸς τὸ δίκαιον ἀντιλέγειν δύναται. ἐπὶ τῷ τέλει κορωνίς. καὶ ἑξῆς τοῦ χοροῦ. ὤφειλε γὰρ κεῖσθαι θεῖναι χοροῖ, ἄχρις ἂν οἱ λόγοι ἐξέλθωσι. Κίονας.] ὡς ἅπαντα καταφαγόντος τοῦ Μεγακλέους ὡς εἶ ἐλέγετο πλούτοι. ἐμφαίνει δὲ διὰ τούτων ὡς οὐδὲν αὐτῷ κατελείφθη G εἰ μὴ ἡ οἰκία ἡ Μεγακλέους. λέγει δὲ ὅτι πάντα κατηνάλωσε, καὶ ἀπελείπετο τοὺς λίθους τῆς οἰκίας, αἰτιᾶται οὖν εἰς τὴν ἀσωτίαν τοῦ υἱοῦ. ὅτι πάντα κατηνάλωσεν αὐτῷ, καὶ οὐδὲν ἔτι ἀπολείπεται. ἄλλως. ἐντεῦθεν δῆλον ὅτι ἐν κίοσιν ἵστατο ὁ οἶκος αὐτοῦ. δείκνυται δὲ ὅτι μόνοι οὗτοι ὑπελείφθησαν αὐτῷ τῶν ἄλλων καταναλωθέντων παρ' αὐτοῦ. Οὐκ εὖ φρονεῖς.] ἔοικε καὶ αὐτὸς ἐπιτιμηθῆναι ἐπὶ τούτοις παρὰ Σωκράτους. ταῦτα δὲ πεῖρα τινὸς διδάσκειν. καταγελᾷ δὲ αὐτοῦ ὡς οὐκ ὄντος μήτε Διὸς ὀμνύοντος μήτε νομίζοντος. τοῦ δὲ διὰ τὸ ἐκτείνεσθαι φασὶ Σύμμαχος Ἀττικῶς. ἐνδεῖ δὲ τὸ χ. Τηλικουτονί.] τῇ ἡλικίᾳ ἤγουν τὴν ἡλικίαν καὶ ὀφείλοντα πάντα εἰδέναι. Ἀρχαϊκά.] μωρά. εὐήθη. λῆρα. Ἀρχαῖοι οἱ μωροὶ ἐκαλοῦντο ἀπὸ τῶν ἐπὶ τοῦ Κρόνου ἐκείνων ἀρχαίων καὶ ἀγροίκων ἀνδρῶν. Ὅπως δὲ τοῦτο.] ὡς εἰς τῶν φροντιστῶν διδασκάλων. ὡς καὶ αὐτὸς παρηγγέλθη. νομίζει δὲ ταῦτα εἶναι μυστήρια. ἄλλως. τηρεῖ τὰς παραινέσεις ἃς παρῄνεσεν αὐτῷ πρότερον μαθητὴς Σωκράτους. Ἰδού τί ἔστι.] πληρώσας αὐτῷ φησὶ τὸ ἰδού.

Φει. Ἐ-

Φει. Ἔγωγ'. Στρ. ὁρᾷς οὖν ὡς ἀγαθὸν τὸ μανθάνειν;
Οὐκ ἔστιν ὦ Φειδιππίδη Ζεύς. Φει. ἀλλὰ τίς;
Στρ. Δῖνος βασιλεύει τὸν Δί' ἐξεληλακώς.
Φει. Αἰβοῖ. τί ληρεῖς; Στρ. ἴσθι τοῦθ' οὕτως ἔχον.
Φει. Τίς φησι ταῦτα; Στρ. Σωκράτης ὁ Μήλιος,
Καὶ Χαιρεφῶν, ὃς οἶδε τὰ ψυλλῶν ἴχνη.
Φει. Σὺ δ' εἰς τοσοῦτο τῶν μανιῶν ἐλήλυθας,
Ὥστ' ἀνδράσι πείθει χολῶσιν; Στρ. εὐστόμει,
Καὶ μηδὲν εἴπῃς φλαῦρον ἄνδρας δεξιοὺς
Καὶ νοῦν ἔχοντας. ὧν ὑπὸ τῆς φειδωλίας,
Ἀπεκείρατ' οὐδεὶς πώποτ' οὐδ' ἠλείψατο.
Οὐδ' εἰς βαλανεῖον ἦλθε λουσόμενος. σὺ δὲ
Ὥσπερ τεθνεῶτος καταλόεις μου τὸν βίον.
Ἀλλ' ὡς τάχιστ' ἐλθὼν, ὑπὲρ ἐμοῦ μάνθανε.
Φε. Τί δ' ἂν παρ' ἐκείνων καὶ μάθοι χρηστόν τις ἄν.
Στ. Ἀληθες. ὅσα περ ἔστ' ἐν ἀνθρώποις σοφά.
Γνώσει δὲ σαυτὸν ὡς ἀμαθὴς εἶ καὶ παχύς.
Ἀλλ' ἐπαναμεινόν μ' ὀλίγον ἐνταυθοῖ χρόνον.
Φε. Οἴμοι. τί δράσω παραφρονοῦντος τοῦ πατρός.
Πότερον παρανοίας αὐτὸν εἰσαγαγὼν ἕλω;
Ἢ τοῖς σοροπηγοῖς τὴν μανίαν αὐτοῦ φράσω;
Στρ. Φέρ' ἴδω. σὺ τοῦτον τίνα νομίζεις; εἰπέ μοι.
Φε. Ἀλεκτρυόνα. Στρ. καλῶς γε. ταυτηνὶ δὲ τί;
Φε. Ἀλεκτρυόν'. Στρ. Ἄμφω ταὐτό; καταγέλαστος εἶ.
Μή νυν τὸ λοιπόν. ἀλλὰ τήνδε μὲν καλεῖν
Ἀλεκτρύαιναν. τουτονὶ δ' ἀλέκτορα.
Φε. Ἀλεκτρύαιναν; ταῦτ' ἔμαθες τὰ δεξιὰ

A *PH. Equidem. ST. vides ergo, quàm bonum sit discere?*
Ah mi Phidippide, non, non est Iuppiter:
PH. Quis ergo alius? ST. turbo imperat expulso Ione.
PH. Papæ, quas tu nugas agis? ST. atqui isthuc scias
Ita se habere. PH. quis hoc dicit? ST. noster Socrates
B *Et Chærepho, qui nouit passus pulicum.*
PH. Quid? an tu eò progressus es vesaniæ:
Vt credas hominibus, atra bile percitis?
ST. Bona verba: ne maledicas tàm sapientibus
Et mente præditis viris: qui vitam ita
Parcè exigunt, vt nemo illorum vnquam fiet
Attonsus, nemo lotus vnquam in balneo,
Nemo vnguento delibutus. Tu autem meam
C *Mihi vitam prodigis, ac si ego essem mortuus:*
Sed age, ac dudũ sequere hàc, & pro me discito.
PH. Et quid boni aut frugi apud illos discas aliquis?
ST. Imò omnia, quæ inter homines callidam
Redolent sapientiam, teq́ ipsum primulum
Nosces, quàm ineptus sis, & quàm crassi ingenij.
Sed age, operire me hîc paulisper. PH. hei mihi,
D *Quid agam: quando ita mens delirat pater. vtrũ*
In ius vocabo & conuincam delirij?
An libitinarijs bilem hanc faciam palàm.
ST. Sine videam: quid tu hoc existimas? cedò.
PH. Gallum. ST. quid verò hoc? PH. itidem Gallum. ST. vtrum
Ambo hæc pro eodem habes? næ tu ridiculus es.
Caue post hæc ita dixeris: sed hanc quidem
E *Gallinam: hunc verò gallum nominaueris.*
PH. Gallinam? an tu hæc tàm docta, huc ingressus modò

Σχόλια. Αἰβοῖ.] γελῶν λέγει τὸ αἰβοῖ. ἔστι γὰρ ἐπίρρημα χλευαστικόν. Ὁ Μήλιος.] παρ' ἱστορίαν. Ἀθηναῖος γὰρ ὁ Σωκράτης. ἀλλ' ἐπεὶ Διαγόρας Μήλιος ὢν διεβάλλετο ὡς θεομάχος, καὶ τὸν Σωκράτην δὲ ὡς ἄθεον διαβάλλει, διὰ τοῦτο Μήλιον αὐτὸν ἔφη. ἄλλως. ὁ Μήλιος ἀντὶ τοῦ ὁ ἀσεβής. Ἀρισταγόρου γὰρ τοῦ Μηλίου μαθητὴς ὁ Σωκράτης. διεβέβληντο δὲ ἐπὶ ἀθεΐᾳ οἱ Μήλιοι ἀπὸ Διαγόρου. ὃς χρήματα παραθέμενός τινι καὶ ἀποστερηθεὶς, εἰς ἀθεΐαν ἐτράπη. ἢ διότι Μῆλον ἐπολέμησαν Ἀθηναῖοι. οἱ δὲ ἐπειδὴ Ἀρισταγόρας διθυραμβοποιὸς ἐξωρχήσατο τὰ Ἐλευσίνια. οἱ δὲ Μήλιον τὸν καταπτοοῦντα τῇ διδαχῇ τὰς ψυχὰς τῶν Μηλίων. οἱ δὲ τὸν κομῶντα τὸν δασύν. ἄλλως. ὁ Μήλιος τινὲς ἐξεδέξαντο τὸν τὰς τῶν εἰσιόντων ψυχὰς ὀξυνόντα πρὶν εἰσελθεῖν ἠχειωμένας ἀπὸ μεταφορᾶς τῶν ἀλόγων θηρίων. Μῆλα γὰρ τὰ θρέμματα. οἱ δὲ εἰς τὸ δασὺ καὶ αὐχμηρὸν τοῦ σώματος αὐτοῦ. οἱ δὲ παρέλαβον οὕτω. Διαγόρας ὁ Μήλιος ὃς τὸ πρότερον ἦν θεοσεβὴς, παρακαταθήκην ὑπό τινος ἀποστερηθεὶς, ἐπὶ τὸ ἄθεον ἐξετράπη ἐφ' ᾧ οἱ Ἀθηναῖοι ἀγανακτήσαντες, τὴν Μῆλον ἐκάκωσαν. ἄλλως. Διαγόρας γέγονέ τις βλάσφημος εἰς τὸ θεῖον Μήλιος. ὃν ποτέ φασιν ἐν πανδοχείῳ εὑρεθεὶς, καὶ μὴ εὑρὼν ξύλα, ἀλλ' ἄγαλμα Ἡρακλέους. ἄγε φησὶ τρὶς καὶ δέκατον ἡμῖν ἐπιτέλει ἆθλον καὶ ἕψησον τὴν φακήν. Ὑπὸ τῆς φειδωλίας.] ὡς κομψευτὰς διαβάλλει τοὺς φιλοσόφους. ταῦτα δὲ ἐποίουν οἱ φιλόσοφοι διὰ καρτερίαν. ὁ δέ φησιν ὅτι οὐ διὰ ἀρετὴν ἐποίουν ἀλλὰ διὰ σμικρολογίαν. ἃ γοῦν ὑπ' ἐγκρατείας ἐποίουν οὗτοι, ταῦτα ὑπὸ φειδωλίας φησίν. ἅμα δὲ δοκῶν ἐπαινεῖν, ψέγει. ἀντὶ γὰρ τοῦ εἰπεῖν καρτερίας, εἶπε φειδωλίας. Καταλόεις μου.] ἐντρυφᾷς. καταναλίσκεις τὴν περιουσίαν. τὸ δὲ καταλόεις καταναλίσκεις εἰς λουτρά. ἤδη γὰρ ὥσπερ τεθνεῶτός μου καταλόεις. ἄλλως. δαψιλῶς ἀναλίσκεις μου τὸν βίον. ἐκ μεταφορᾶς τῶν ἐκχυομένων ὑδάτων ἐν τοῖς βαλανείοις. ἢ ἐντρυφᾷς. ὡς καὶ τὸν βαλανεῖον διὰ τρυφὴν ὄντος. ἐπεὶ ἔθος ἦν μετὰ τὴν ἐκκομιδὴν τοῦ νεκροῦ λούεσθαι τοὺς κατ' οἶκον καθαρμοῦ χάριν. Ἀληθες.] ἐὰν μὲν προπαροξυτόνως, αὐτὸ τὸ ἀληθὲς λέγεται. ἐὰν δὲ ὀξυτόνως τὸ πρᾶγμα δηλοῖ τὸ μετέχον τῆς ἀληθείας. Οἴμοι τί δράσω.] πρὸς τὸν πατέρα δικάσομαι. καὶ δείξας αὐτὸν μαινόμενον οὕτω τὴν μανίαν παύσω. Παρανοίας.] ἀντὶ τοῦ εἰς τὸ δικαστήριον εἰσαγαγὼν κατηγορήσω ὡς παραφρονοῦντος. Σοροπηγοῖς.] τουτέστι τοῖς ποιοῦσι σοροὺς τοῖς νεκροῖς. χλευάζει δὲ τὸν πατέρα ὡς πρεσβύτην καὶ γειτονεύοντα τῷ θανάτῳ. ἄλλως. τοῖς σοροποιοῖς τοῖς τὰς σοροὺς τῶν ἀποθνησκόντων ποιοῦσι. τουτέστιν ἄλλην ἴασιν οὐχ ἕξει ἢ τὸν θάνατον. καὶ δέον αὐτῷ πρὸς τὸ θανεῖν τὰ ἐπιτήδεια κατασκευάζειν.

Εἶτα παρελθὼν ἄρτι τουδὶ τοὺς γηγενεῖς;
Στρ. Χ' ἅτερά γε πόλλ'. ἀλλ' ὅτι μάθοιμ' ἑκάστοτε,
Ἐπελανθανόμην ἂν εὐθὺς ὑπὸ πλήθους ἐτῶν.
Φει. Διὰ ταῦτα δὴ καὶ θοἰμάτιον ἀπώλεσας;
Στ. Ἀλλ' οὐκ ἀπολώλεκ', ἀλλὰ καταπεφρόντικα.
Φει. Τὰς δ' ἐμβάδας ποῖ τέτροφας ὦ 'νόητε σύ.
Στρ. Ὥσπερ Περικλέης, εἰς τὸ δέον ἀπώλεσα.
Ἀλλ' ἴθι βάδιζ', ἴωμεν. εἶτα τῷ πατρὶ
Πειθόμενος ἐξάμαρτε. κἀγώ τοι ποτὲ
Οἶδ' ἑξέτει σοι τραυλίσαντι πειθόμενος,
Ὃν πρῶτον ὀβολὸν ἔλαβον ἡλιαστικὸν,
Τούτου 'πριάμην σοι Διασίοις ἁμαξίδα.
Φει. Ἦ μὴν σὺ τούτοις τῷ χρόνῳ ποτ' ἀχθέσει.
Στ. Εὖ γ' ὅτι ἐπείσθης. δεῦρο δεῦρ' ὦ Σώκρατες
Ἔξελθ'. ἄγω γάρ σοι τὸν υἱὸν τουτονὶ
Ἄκοντ' ἀναπείσας. Σω. νηπύτιος γάρ ἐστ' ἔτι,
Καὶ τῶν κρεμαθρῶν οὐ τρίβων τῶν ἐνθάδε.
Φει. Αὐτὸς σὺ τρίβων εἴης ἂν, εἰ κρέμαιό γε.
Στ. Οὐκ ἐς κόρακας; καταρᾷ σὺ τῷ διδασκάλῳ.
Σω. Ἰδοὺ κρέμαιό γ' ὡς ἠλίθιον ἐφθέγξατο
Καὶ τοῖσι χείλεσιν διερρυηκόσιν.
Πῶς ἂν μάθοι ποθ' οὗτος ἀπόφευξιν δίκης.
Ἢ κλῆσιν. ἢ χαύνωσιν ἀναπειστηρίαν.
Καίτοι ταλάντου τοῦτ' ἔμαθεν Ὑπέρβολος.

A Didicisti ab hisce terrae filijs, pater?
ST. Imò & alia plura, sed quòd annis obsitus
Essem, statim obliuiscebar, quae didiceram.
PH. Etiam propterea vestem amisisti, puto?
ST. Imò non amisi, sed in studia artium
Et literarum impendi. PH. sed tuos calceos
Quò contulisti tu fatue? ST. in Rempubl.
Atque necessarium vsum, vt Pericles, perdidi.
Sed abi, perge, vnà eamus, & tu, dum patri
B Sis obsequens, pecca. nam & ego olim, dum tibi
Adhuc sexenni & balbutienti sum obsequens,
Plostellum emi tibi, in festo Dialium,
Obolo, quem primum pro mercede acceperam,
Quod Heliaeo interfuissem iudicio.
PH. Nae, tu istuc cum malo tuo olim senties.
ST. Benè est, quòd mihi pares. Age huc, huc Socrates
C Exi: nam hunc adduco tibi filium meum:
Cui vel nolenti persuasi. SO. quippe fatuus
Est, neque adhuc nostris assueuit panarijs
Hic pensilibus. PH. tute illis assuescas, vbi
Suspensus fueris. ST. apage hinc in malam crucem.
Tun' ita magistro maledicas, homo impudens?
SO. Ecce hoc, vbi suspensus fueris, quàm friuola
D Effutijt, labiis distortis? quomodo hic
Discat vitare litem, aut aduersarium
Citare, vel relaxare animos iudicum
Verbis, ad persuadendum satis idoneis?

Σχόλιον. Τοὺς γηγενεῖς] διὰ τοὺς ἀρχαίους ἢ νεκρώδεις ἢ ἀσεβεῖς καὶ θεομάχους διὰ τοὺς γίγαντας. Καταπεφρόντικα.] εἰς τοὺς φροντιστὰς ἀνάλωσα. ὡς εἰ ἔλεγε καταπεφρόντικα. ὃ εἰς τὴν παίδευσιν καταδεδαπάνηκα.

BISETVS. ὦ 'νόητε σύ.] ὦ ἀνόητε, ὦ ἄφρων.

Σχόλια. Ὥσπερ Περικλέης.] Περικλῆς πολλῶν ὄντων χρημάτων ἐν τῇ ἀκροπόλει, εἰς τὸν πόλεμον τὰ πλεῖστα ἀνάλωσε. φασὶ δὲ ὅτι τοὺς λογισμοὺς διδοὺς, τάλαντα εἴκοσιν ἁπλῶς εἰπεῖν εἰς τὸ δέον ἀναλωκέναι. φησὶ δὲ Ἔφορος ὅτι μετὰ ταῦτα μαθόντες οἱ Λακεδαιμόνιοι, Κλεανδρίδην μὲν ἐδήμευσαν, Πλειστοάνακτα δὲ ιε ταλάντοις ἐζημίωσαν, ὑπολαβόντες δωροδοκήσαντας αὐτοὺς διὰ τὸ φείσασθαι τῆς λοιπῆς Ἀθηναίων γῆς ὑπὸ τῶν περὶ τὸν Περικλέα, μὴ θελήσαντα γυμνῶς εἰπεῖν ὅτι δέδωκα τοῖς Λακεδαιμονίων βασιλεῦσι τὰ ἐνδέοντα. ἄλλως. Περικλῆς Ἀθηναίων στρατηγὸς χρήματα τὰ δημόσια λαβὼν εἰς τὸ κατασκευάσαι ὁλόχρυσον ἄγαλμα τῇ Ἀθηνᾷ, ἐλεφάντινον ποιήσας, τὰ πολλὰ ὑφῃρήσατο συμποιησάμενος μετὰ Φειδίου τοῦ πλάστου. ὕστερον δὲ κατακρινόμενος ὡς πλεῖστα ἀναλώσας ἠρωτᾶτο ποῦ ἀνηλώθη. ὑπὸ μεγαλοστοίας ἔλεγεν εἰς τὸ δέον ἀνήλωσα. ἄλλως. Περικλῆς τοῖς Ἐφόροις Λακεδαιμονίων Κλεάνδρῳ καὶ Πλειστοάνακτι χρήματα δέδωκεν ὑπὲρ προδόσεως, καὶ τούτων ἀπαιτούμενος ὑπὸ τῆς πόλεως λόγον, ἵνα ἀξιῶν ἑαυτόν τι καὶ τοὺς Λακεδαιμονίους καταισχύνῃ, ἔλεγεν εἰς τὸ δέον ἀνήλωσα. τοῦτο δὲ γνόντες Λακεδαιμόνιοι τὸν μὲν Κλεανδρίδην ἐφυγάδευσαν, τὸν δὲ Πλειστοάνακτα δεκαπέντε ταλάντοις ἐζημίωσαν, οἰηθέντες αὐτοὺς διὰ τὸ φείσασθαι τῆς λοιπῆς Ἀθηναίων γῆς δωροδοκήσαντας, ἐκ τῆς Ἀττικῆς ἀναχωρῆσαι.

Εἶτα τῷ πατρί.] ἀντὶ τοῦ ἔχεις ἀπολογίαν ὅτι τῷ πατρὶ πειθόμενος ἐξήμαρτες, ὦ φελλήθυλε καὶ ἁμάρτανε δι' ἐμέ. Τραυλίσαντι] ψελλίσαντι. ἀντὶ τοῦ ἄσημον ἀφιέντι φωνήν. ἡλιαστικὸν δὲ ἀντὶ τοῦ ἐκκλησιαστικόν. ἡλιαία δὲ τὸ δικαστήριον διὰ τὸ ὑπαίθριον εἶναι καὶ τῷ ἡλίῳ βάλλεσθαι. οὐχ ἴσταται δὲ τῶν δικαστικῶν ὁ μισθός. Διασίοις.] ἑορτὴ τοῦ Διός. ἁμαξὶς δὲ τὸ μικρὸν ἁμάξιον ἢ πλακοῦντος εἶδος. Ἦ μὴν σὺ τούτοις.] προαναφωνεῖ αὐτῷ ἃ μέλλει ποιήσειν, ἀντὶ τοῦ λυπηθήσῃ ποτὲ ἂν μάθω. τοῦτο δὲ λέγει πεισθεὶς τῷ πατρί. διὸ καὶ ὁ πατὴρ ἐπιφέρει εὖ γ' ὅτι ἐπείσθης. Νηπύτιος γάρ,] ἀντὶ τοῦ νήπιος. ὑποκατέσπασε δὲ τὸ ὄνομα ὁ Σωκράτης ἵνα καταπλήξῃ τὸν νεώτερον νεωστὶ εἰσελθόντα. ἀλλὰ σύ γ' αὐτὸς, ἐκ τῶν κρεμαστῶν δηλονότι τετριμμένος εἴης ἂν κρεμάμενος. λέγει δὲ τῶν ὀργάνων τῶν ἀστρονομικῶν καὶ γεωμετρικῶν. κρεμάθρα γὰρ ἐν τῷ φροντιστηρίῳ κεῖται, ἐπεὶ αὐτὸς ἐπὶ κρεμάθρας ἦν. Ἰδοὺ κρέμαιό γε.] διώκων ὁ Σωκράτης τῇ φωνῇ ἐκεῖνον μιμούμενος ὅτι κακῶς τῷ στόματι εἶπε τὸ κρέμαιό γε. Καὶ τοῖσι χείλεσι διερρυηκόσι] τῇ φωνῇ μιμούμενος ὁ Σωκράτης φησὶ διακεχηνὼς τοῖς χείλεσι. Κλῆσιν.] τὴν μαρτυρίαν. χαύνωσιν δὲ λύσιν τῶν δικῶν. καὶ τὴν ἀπάτην τὰ κοινὰ ῥήματα ἀναπείθοντα τοὺς ἀκούοντας. ἄλλως. χαύνωσιν ἀναπειστηρίαν. ὅταν τοῦ ἀντιδίκου προβάλλοντος λόγους πιθανοὺς, εἰς τοὐναντίον τις αὐτοὺς περιτρέψῃ. καὶ χαύνους καὶ ἀσθενεῖς ποιήσῃ διὰ τῶν λόγων αὐτοῦ ἀναπείσας τοὺς δικαστὰς ὡς ἄρ' ἀληθῆ λέγει. Καίτοι ταλάντου.] ἀξιόπιστόν τι ἀεὶ οἱ διδάσκαλοι λέγοντες. ἐλαττοῦνται τὸ ὄνδε. οὐ λαμβάνειν ἐπὶ τούτῳ τῷ ἀναγνώσματι. καὶ ἐπαγγέλλονται προσποιήσασθαι τῶν κοινῶν μαθημάτων ὅσων προσποιοῦσι μάλιστα.

Στρ. Α-

Στρ. Αμέλει, δίδασκε. θυμόσοφός ἐστι φύσει.
Εὐθύς γέ τοι παιδάριον ὂν τυννουτονί,
Ἔπλαττεν ἔνδον οἰκίας, ναῦς τ' ἔγλυφεν.
Ἀμαξίδας τε σκυτίνας εἰργάζετο.
Κἀκ τῶν σιδίων βατράχους ἐποίει. πῶς δοκεῖς;
Ὅπως δ' ἐκείνω τὼ λόγω μαθήσεται
Τὸν κρείττον' ὅστις ἐστὶ καὶ τὸν ἥττονα.
Ἐὰν δὲ μὴ, τὸν γοῦν ἄδικον πάσῃ τέχνῃ.
Σω. Αὐτὸς μαθήσεται παρ' αὐτοῖν τοῖν λόγοιν.
Στρ. Ἐγὼ δ' ἀπέσομαι. τοῦτο δ' οὖν μέμνησ' ὅπως
Πρὸς πάντα τὰ δίκαι' ἀντιλέγειν δυνήσεται.

A ST. Ne sis sollicitus, sed doce: ingeniosus est
Suapte natura: nam tantillus cùm adhuc
Puer esset: ædificabat hic intus casas,
Naues sculpebat, & plostella scortea
Fingebat: etiam ranas faciebat sibi
E punicorum malorum putamine.
Quid tu censes? etiam illos sermones duos
Superiorem atque inferiorem illum posse discernere?
B Sin minùs ambos, saltem inferiorem, omni modo.
SO. Agè, ipsemet ab ipsis discat sermonibus.
ST. Abeo hinc: tu fili memineris, vt ad omnia
Quæ iusta sint, possis mihi contradicere.

Σχόλια. Θυμόσοφός ἐστι.] ἐκ φύσεως ἔχει σοφίαν. ἐκ τοῦ ἰδίου θυμοῦ σοφὸς, καὶ οὐκ ἐκ μαθήσεως. Σιδίων] ἐκ τῶν C λεπύρων τῶν ῥοιῶν. ἐκ μὲν τῶν δερμάτων τροχοὺς καὶ ἁμάξια. ὅταν δὲ ἐκφάγωσι τὰ ἐντὸς, ἐκ τῶν λεπύρων βατράχους γλύφουσιν. ἔστι τὸ πῶς δοκεῖς θαυμάζων προφέρεται καθ' ἑαυτόν. βούλεται δὲ αὐτὸν ὡς ἐκ παιδὸς ἀποδεῖξαι εὐφυῆ, καὶ γλύφειν ἀστείως δυνάμενον.

ΔΡΑΜΑΤΟΣ ΤΟΥ ΤΡΙΤΟΥ
Σκηνὴ δευτέρα.

Ἀναπαιστικοὶ Δίμετροι.

D ΔΙΚΑΙΟΣ, ΑΔΙΚΟΣ, ΧΟΡΟΣ.

ACTVS III. SCENA II.
Anapæstici Quaternarij.

IVSTVS, INIVSTVS, CHORVS.

Βισεξτυς. Μετὰ τοῦ τῶν Νεφελῶν χοροῦ δύο ἄνδρες προσέρχονται, ὧν ὁ μὲν, Δίκαιος λόγος, ὁ δὲ, Ἄδικος λόγος ἐκαλεῖτο, οἵτινες ῥητά τε, καὶ ἄρρητα λέγοντες, καὶ μακρολογοῦντες ἀλλήλους λοιδοροῦσι, καὶ συκοφαντοῦσι.

Δι. Χώρει δεῦρο, δεῖξον σαυτὸν
Τοῖσι θεαταῖς καίπερ θρασὺς ὤν.
Αδ. Ἴθ' ὅποι χρῄζεις. πολὺ γὰρ μᾶλλον
Σ' ἐν τοῖς πολλοῖσι λέγων ἀπολῶ.
Δι. Ἀπολεῖς σύ; τίς ὤν; ἀδ. λόγος. δι. ἥττων γ' ὤν.
Αδ. Ἀλλά σε νικῶ, τὸν ἐμοῦ κρείττω
Φάσκοντ' εἶναι. δι. τί σοφὸν ποιῶν;
Αδ. Γνώμας καινὰς ἐξευρίσκων.
Δι. Ταῦτα γὰρ ἀνθεῖ διὰ τουτουσὶ
Τοὺς ἀνοήτους. ἀδ. οὐκ, ἀλλὰ σοφούς.
Δι. Ἀπολῶ σε κακῶς. ἀδ. εἰπὲ τί ποιῶν.
Δι. Τὰ δίκαια λέγων. ἀδ. ἀλλ' ἀνατρέψω
Ταῦτ' ἀντιλέγων. οὐδὲ γὰρ εἶναι
Πάνυ φημὶ δίκην. δι. οὐκ εἶναι φής;
Αδ. Φέρε γὰρ ποῦ 'στι. δι. παρὰ τοῖσι θεοῖς.
Αδ. Πῶς δῆτα δίκης οὔσης, ὁ Ζεὺς
Οὐκ ἀπόλωλε τὸν πατέρ' αὐτοῦ
Δήσας; δι. αἰβοῖ. τουτὶ καὶ δὴ

EXi huc: & teipsum commonstra
Spectatoribus, audax sis licet.
E IN. Apage hinc, quò lubet: ego enim fando
Te hic in populo perdam potius.
IV. Tune me perdas? quis homo es? IN. Sermo.
IV. At me inferior. IN. Sed te vincam:
Etiamsi tu superiorem
Te iactes. IV. quo ingenio fretus?
IN. Noua commenta inueniam. IV. ista vigent
Apud hos stultos. IN. minimè, sed apud
Sapientes. IV. ego malè te perdam.
F IN. Quidnam acturus? IV. quæ sunt iusta,
Dicturus. IN. at euertam hæc contra-
dicendo: nam nihil esse aio
Ius. IV. quid? num ius nihil esse inquis?
IN. Agè, dic tu, ubi ius est? IV. Apud Diuos.
IN. At si illic est: quomodo Iuppiter,
Constrictum ob patrem, non pessimè
Perijt? IV. ehem, eò procedis

G

Σχόλια. Χώρει δευρί.] δεῖξον σαυτόν. δηλοῖ κορωνὶς ἀποχωρησάντων ὑποκριτῶν. μέλος δὲ τοῦ χοροῦ οὐ κεῖται. ἀλλὰ γέγραπται μὲν ἐν μέσῳ ὁ χορὸς καὶ εἶναι εἰς θέσιν ἀναπαιστικὴν τῶν ὑποκριτῶν. καὶ διὰ τὰ πρόσωπα οὐ τελείας ἔχει τὰς συζυγίας. ὑποκεῖνται δὲ ἐπὶ τῆς σκηνῆς ἐν πλεκτοῖς οἰκίσκοις οἱ λόγοι δίκην ὀρνίθων διαμαχόμενοι. τοῦ δὲ χοροῦ τὸ πρόσωπον ἐκλέλοιπεν. ἐπιγραφὴ δὲ φέρεται χοροῦ. ὁ δὲ κρείττων λόγος καὶ ὁ ἥττων διαλέγονται. ἄλλως. χώρει δευρί. εἴσθεσις διπλῆς κατὰ σχῆμα δικωνικὸν ἐκ κώλων ἀναπαιστικῶν. μ.ϛ'. ὧν τὸ κη'. τὸ λϛ'. καὶ τὸ λθ'. μονόμετρα ἀκατάληκτα. τὰ δὲ λοιπὰ πάντα δίμετρα ἀκατάληκτα. τῶν δύο προσώπων ὡς ἀποτελεῖσθαι δίμετρον κῶλον ἀποτελούντων ὧν τὸ τελευταῖον κλ. ἀνάπαιστον ἐπιβάλλεις, ἐφθημιμερές. ἰστέον δὲ ὅτι τὸ κα' κῶλον τετράβραχυν

ἔχει ἤτοι προκελευσματικὸν τὸν πρῶτον πόδα ἀντὶ ἀναπαίστου. διαλύεται γὰρ ἡ μακρὰ τοῦ ἀναπαίστου εἰς δύο βραχείας, ὡς ἐπὶ τοῦ ἰάμβου καὶ τοῦ τροχαίου καὶ τῶν λοιπῶν τετρασυλλάβων ποδῶν. ἐπὶ τῷ τέλει διπλῆ ἔξω νενευκυῖα. ιθ'

A ὅποι χωρήσεις.] τοῦτο ἐν Τηλέφῳ Εὐριπίδου. ἰδοὺ ὅποι χωρήσεις. ἐν ἀπολοῦμαι τῆς Ἑλένης οὕνεκα. Γνώμας τρώγων.] ὡς παροριζομένου τοῦ δικαίου πρὸς Ἀθηναίους. διὸ καὶ μωροὺς αὐτοὺς εἶπεν.

Χωρεῖ τὸ κακόν. δότε μοι λεκάνην.
ἀδ. Τυφογέρων εἶ κἀνάρμοστος.
Δι. Καταπύγων εἶ κἀναίσχυντος.
ἀδ. Ῥόδα μ' εἴρηκας. Δι. καὶ βωμολόχος.
ἀδ. Κρίνεσι στεφανοῖς. Δι. καὶ πατραλοίας.
ἀδ. Χρυσῷ πάττων μ' οὐ γινώσκεις.
Δι. Οὐ δῆτα πρὸ τοῦ γ'. ἀλλὰ μολίβδῳ.
ἀδ. Νῦν δέ γε κόσμος τοῦτ' ἐστὶν ἐμοί.
Δι. Θρασὺς εἶ πολλοῦ. ἀδ. σὺ δέ γ' ἀρχαῖος.
Δι. Διὰ σὲ δὲ φοιτᾶν
Οὐδεὶς ἐθέλει τῶν μειρακίων.
Γνωσθήσει πότ' Ἀθηναίοισιν,
Οἷα διδάσκεις τοὺς ἀνοήτους.
Αδ. Αὐχμεῖς αἰσχρῶς. Δι. σὺ δέ γ' εὖ πράττεις,
Καίτοι πρότερόν γ' ἐπτώχευες,
Τήλεφος εἶναι Μυσὸς φάσκων,
Εὐριπίδου.
Γνώμας τρώγων Πανδελετείους.
Αδ. Ὤμοι σοφίας, ἧς ἐμνήσθης.
Δι. ὤμοι μανίας τῆς σῆς πόλεώς θ'
Ἥτις σε τρέφει,
Λυμαινόμενον τοῖς μειρακίοις.
Αδ. Οὐχὶ διδάξεις τοῦτον Κρόνος ὤν;
Δι. Εἴπερ γ' αὐτὸν σωθῆναι χρή,
Καὶ μὴ λαλιὰν μόνον ἀσκῆσαι.
Αδ. Δεῦρ' ἴθι, τοῦτον ἔα μαίνεσθαι.
Δι. Κλαύσει. τὴν χεῖρ' ἐπιβάλλεις;

Hocce malum? date mihi vos peluim.
IN. *Capularis es, insanúsque senex.*
IV. *At tu impurus es, atque cinadus.*
IN. *Dicis mihi rosas.* IV. *Scurra es tu.*
IN. *Sertis me ornas.* IV. *occidisti*
B *Patrem & matrem.* IN. *non intelligis,*
Quòd me auro conspergis nescius.
IV. *Sed non ante hac: verùm plumbo.*
IN. *At nunc mihi sunt ornamento.*
IV. *Nimium audax es.* IN. *Sed tu nimium*
Stolidus. IV. *propter*
Te nemo adolescentum in ludum
Venit: agnoscent aliquando te
C *Cives, quàm tu stultè eos doceas.*
IN. *Squalles turpiter.* IV. *at tu splendes:*
Licet antehac mendicares, &
Miserum perhiberes te Telephum
Esse Euripidis:
Qui Pandeliti dicta craparet.
IN. *O sapientiam, de qua loqueris.*
IV. *O stultitiam urbis, qua te alit hic,*
Corrumpentem
D *Mores adolescentum.* IN. *non tu*
Saturne docebis iuvenem istum?
IV. *Siquidem conservari ipsum opus est:*
Non garrulitate exerceri.
IN. *Huc age, sine hunc insanire.*
IV. *Va tibi: túne injicias huic manum?*

Σχόλια. Δότε μοι λεκάνην.] ἵνα τὴν χολὴν ἐμέσω. ὡς ναυτιῶν ὑπὸ τῆς ἐκείνου ψυχρίας. ἢ ἵνα ἐμέσω. χολὴν E γάρ μοι ἐμπλέει διὰ τὰ αὐτοῦ ῥήματα. Ῥόδα μ' εἴρηκας.] ἀντὶ τοῦ ἐμοὶ τὰ ὑπὸ σοῦ εἰρημένα ῥόδα ἐστί. Βωμολόχος.] ἀσεβὴς. παρὰ τοὺς λοχῶντας τὰ ἐν τοῖς βωμοῖς ἐπιθέμενα θύματα ἢ τοὺς θύοντας ἵνα αἰτήσαντες λάβωσί τι. βωμολοχία δὲ κυρίως ἡ περὶ τὸ ἐν παιδιᾷ ἡδὺ ὡς Ἀριστοτέλης ἐν δευτέρῳ ἠθικῶν ὑπερβολή. βωμολόχοι τίνες ἐν τοῖς βωμοῖς ἐρχόμενοι καὶ ἀντὶ τῶν θεῶν εὐχαῖς ἐξιλεοῦν πολλοῖς τισὶ λόγοις χρώμενοι καὶ ματαίοις. Κρίνεσι.] ὡς ἀπὸ τοῦ κρίνε κατὰ μεταπλασμόν. Πρὸ τοῦ γ'.] πρὸ τοῦ χρυσοῦ. μολίβδῳ δὲ ἀτίμῳ ὡς νυνὶ μᾶλλον τῶν κακῶν ἀνθρώπων. διὸ καὶ ἐκεῖνος ἐπιφέρει νῦν δέ γε κόσμος τοῦτ' ἐστὶν ἐμοί. Διὰ σὲ δὲ φοιτᾶν.] τοῦ αὐτοῦ δεῖν πάντα εἶναί φασι τοῦ ἥττονος λόγου. οὐ θέλει γάρ φησι τὰ μειράκια διὰ τὴν σὴν εὐήθειαν φοιτᾶν ὡς μαθησόμενα τὰ χρήσιμα μαθήματα. Τήλεφος εἶναι.] διαβάλλει Εὐριπίδην ὡς πτωχὸν εἰσενηνοχότα τὸν Τήλεφον. τοῦτον γὰρ Εὐριπίδης ὡς πτωχὸν εἰσήγαγε. περὶ οὗ καὶ κωμῳδεῖται.

ἄλλως. ὁ Τήλεφος βασιλεὺς ἦν Μυσίας, ὃν πλατυθέντων ὅτε εἰς Τροίαν ἀπήρχοντο καὶ τῶν Ἑλλήνων δῃούντων τὴν αὐτοῦ γῆν, ἀντὶ τῆς Τροίας Ἀχιλλεὺς ἔτρωσεν. καὶ πάλιν ἀπορουμένου τοῦ θεραπεύοντος, τοῦ Πυθίας ὁ τρώσας ἰάσεται ἀνελούσης παραγενόμενος εἰς Θετταλίαν τοῦ χρησμοῦ πεισθεὶς, θεραπείας ἠξίωσε. δυστυχήσαντα δὲ ὕστερον πεποίηκεν Εὐριπίδης ἐν δράματι πήραν ἔχοντα καὶ προσαιτοῦντα. ἀντὶ δὲ τοῦ εἰπεῖν ἄρτους καθαροὺς ἢ ξηροὺς τρώγων, Πανδελετείους γνώμας εἶπε, διαβάλλων αὐτὸν κατ' ἄμφω. καὶ ὡς ἄτιμον καὶ ὡς πανοῦργον. ἐπὶ γὰρ πανουργίᾳ διεβεβόητο ὁ Πανδέλετος. συκοφάντης δὲ ἦν καὶ φιλόδικος γράφων ψήφων ψηφίσματα. Πανδελετείους οὖν οὕτως εἶπεν ἀντὶ ἄρτων πανουργίαν σιτούμενος. μέμνηται τοῦ Πανδελέτου καὶ Κρατῖνος Χείρωσιν. ἐστὶ καὶ ψηφίσματα ἔγραψε. διαβάλλει δὲ τοὺς ῥήτορας ὡς ἐκ τῶν πτωχῶν πλουτοῦντας. Λυμαινόμενον.] ἀντὶ τοῦ ὑβρίζοντα. οὕτω δὲ αὐτοῖς μανθάνες οὐχὶ τὰ μειράκια λυμαινόμενον. πρὸς ὃ καὶ τὸ χ. Κρόνος.] ἀρχαῖος, λῆρος.

Bisetus. Ὁ χορὸς τὴν τῶν ἀντιλογούντων μάχην παύει, καὶ τῆς ἀντιλογίας νόμους αὐτοῖς τάττει.

Χο. Παύσασθε μάχης, καὶ λοιδορείας.
Ἀλλ' ἐπίδειξαι σύ τε, τοὺς προτέρους
Ἅττ' ἐδίδασκες, σύ τε τὴν καινὴν
Παίδευσιν, ὅπως ἂν ἀκούσας σφῷν

G CH. *Mittite rixas & convitia,*
Et tu, qua olim docuisti illos
Priscos, demonstra: tu autem novam
Disciplinam in medium profer.
Vt, ubi hic vos audierit contra-

Σχόλια. Παύσασθε μάχης.] ἔκθεσις τῆς διπλῆς συστηματικῆς, ἧς δύο περίοδοι διῃρημένοι ἐκ κώλων ὁμοίων ἀναπαιστι-

ἀναπαιστικῶν ιε. ὧν τῆς πρώτης περιόδου κῶλα δίμετρα ἀκατάληκτα ι. καὶ ἐν εἰσθέσει ἕτερα δύο ὅμοια δίμετρα ἀκατάληκτα. τῆς δὲ δευτέρας περιόδου κῶλα ὀκτώ. ὧν τὸ πρῶτον μονόμετρον ἀκατάληκτον. τὰ ἑξῆς ἑξ δί-

A μετρα ἀκατάληκτα. τὸ δὲ τελευταῖον ἑφθημιμερὲς ὃ καλεῖται παροιμιακόν. ἐπὶ τῷ τέλει τοῦ πρώτου συστήματος παράγραφος. ἐπὶ δὲ τοῦ β δύο διπλαῖ, ἡ μὲν ἐν ἀρχῇ τοῦ κώλου, ἡ δὲ κατὰ τὸ τέλος.

Ἀντιλέξαντοιν κρείνας φοιτᾶ.

Δι. Δρᾶν ταῦτ' ἐθέλω. Αδι. κἄγωγ' ἐθέλω.

Χο. Φέρε τίς λέξει πρότερος ὑμῶν.

Αδι. Τούτῳ δώσω.

Κᾆτ' ἐκ τούτων ὧν ἂν λέξῃ,

Ῥηματίοισι καινοῖς αὐτὸν

Καὶ διανοίαις κατατοξεύσω,

Τὸ τελευταῖον δ' ἢν ἀναγρύξῃ,

Τὸ πρόσωπον ἅπαν καὶ τὠφθαλμὼ

Κεντούμενος ὥσπερ ὑπ' ἀνθρηνῶν

Ὑπὸ τῶν γνωμῶν ἀπολεῖται.

dicentes, arbitrio facto,

In ludum eat alterius vestrûm.

IV. Faciam hac sane ego. IN. faciam hoc ego idem.

B CH. Sed uter vestrum hic dicet?

IN. Isti cedam:

Et qua ille locutus prior fuerit:

Ea verbis & sententiis nouis

Prosternam, & ferro traiiciam:

Postremò si hiscere contrà velit,

Omnem faciem, atque ambos oculos

Elisus, velut à crabronibus,

Per sententias ipse peribit.

C

Σχόλια. Κρείνας φοιτᾷ.] ἀντὶ τοῦ φοιτήσῃ. ἐὰν δὲ ᾖ φοιτᾷ ἀ πυρι φάτως, λείπει πείσω. ὡς τὸ τὸν παῖδα φοιτήσω τῷ λογιμωτάτῳ. Ὑπ' ἀνθρηνῶν.] οὕτως οἱ ποιηταὶ τὰς μελίσσας συνήθως. ὁ δὲ Ἀριστοτέλης συγχεῖ τῇ μελίσσῃ τὴν ἀνθρήνην φησί. κοινότερον δὲ ἐπὶ τῆς μελίσσης τὰς ἀνθρήνας λέγουσιν. ἔστι δὲ εἶδος μελίσσης ὅμοιον σφηξί.

ΣΤΡΟΦΗ ΚΩΛΩΝ ιβ.

CHORVS.

D

Χο. Νῦν δείξετον τὼ πισύνω

Τοῖς περιδεξίοισιν

Λόγοισι. καὶ φροντίσι καὶ

Γνωμοτύποις μερίμναις,

Ὁπότερος γ' αὐτοῖν λέγων

Ἀμείνων φανήσεται.

Νῦν γὰρ ἅπας ἐνθάδε κίνδυνος

Ἀνεῖται σοφίας.

Ἧς πέρι τοῖς ἐμοῖς φίλοις

Ἐστιν ἀγὼν μέγιστος.

Ἀλλ' ὦ πολλοῖς τοὺς πρεσβυτέρους ἤθεσι χρηστοῖς στεφανώσας

Ῥῆξον φωνὴν ᾗτινι χαίρεις, καὶ τὴν σαυτοῦ φύσιν εἰπέ.

Nunc vos duo freti animis,

Nunc specimen date ore

Diserto, animo sollicito,

Mastificáque cura:

Vestrûm uter hic appareat

Loquendo disertior.

Liberum enim hic omne periculum,

In arte studiis:

E De quibus est hodie meis

Maxima rixa amicis.

At tu, qui moribus olim egregiis maiores decorasti:

Age, vocem, qua gaudes, rumpe, ingeniíque ostēde vigorem.

Σχόλια. Νῦν δείξετον.] ὠδὴ τις μέλους χοροῦ προωδικὴ στροφῆς λόγον ἔχουσα. ἔχει γὰρ καὶ ἀντιστροφὴν τὸ ὦ πολλοῖς. ἔστι δὲ τὰ κῶλα τῶν χοριαμβικῶν διάφορα ἀκατάληκτα ι. ὧν τὸ πρῶτον δίμετρον ἀκατάληκτον ἐξ ἐπιτρίτου τρίτου καὶ χοριάμβου. τὸ β ἐκ χοριάμβου καὶ ἀμφιβράχεος. τὸ γ ἐκ διιάμβου καὶ χοριάμβου. τὸ τέταρτον ἐκ χοριάμβου καὶ βακχείου. τὸ ε, ἀντίστροφον τῷ πρώτῳ, ἐκ χοριάμβου καὶ ἐπιτρίτου τρίτου. τὸ ϛ ἐξ ἀντισπάστου καὶ χοριάμβου καὶ ἀμφιμάκρου. τὸ ἕβδομον χοριαμβικὸν τρίμετρον βραχυκατάληκτον. τὸ ὄγδοον ἐξ ἀντισπάστου καὶ ἰάμβου, διὰ τὸ ἔχειν τὸν ὅλον πόδα τὸν τετρασύλλαβον καὶ τὸ ἥμισυ αὐτοῦ τὰς δύο δηλαδὴ συλλαβάς, ἡμιόλιον καλούμενον. τὸ ἔνατον ἐκ χοριάμβου καὶ διιάμβου. τὸ δέκατον, ἐκ χοριάμβου καὶ ἀμφιβράχεος. Ἀνεῖται.] κεῖται. δίδοται. νῦν προκεῖται ἡμῖν ὑπὲρ ἀπάσης τῆς σοφίας κίνδυνος, ἤγουν περίστασις καταλέλειπται.

F

ΔΡΑΜΑΤΟΣ ΤΟΥ ΤΡΙΤΟΥ
Σκηνὴ τρίτη.
Ἀναπαιστικοὶ Ἀριστοφάνειοι.

ACTVS III. SCENA III.
Anapæstici Aristophanij.

G

ΔΙΚΑΙΟΣ, ΑΔΙΚΟΣ, ΧΟΡΟΣ.

IVSTVS, INIVSTVS, CHORVS.

BISETVS. Ὁ δίκαιος, καὶ ὁ ἄδικος λόγος, ὁ μὲν, ἐκεῖθεν, ὁ δὲ, ἐντεῦθεν πρὸς τὸν Στρεψιάδου παῖδα, ὡς ἄλλως ἢ πρὸς τὸν κλεινὸν Ἡρακλέα πάλαι ἡ ἀρετὴ καὶ ἡ ἡδονὴ, ὁρμῶνται. καὶ ὁ δίκαιος λόγος πρότερος λέγει, ἐν

ρων, ὡς στυγνοὺς οὔσης τῆς παλαιᾶς ἁρμονίας ἐκ ἀνειμένης A
ὡς οἱ νέοι ἐπετόνησαν.

Bisetus. Βωμολοχεύσαιτο δὲ, ἀντὶ τοῦ, ἀγοραῖον, ἢ εὐτελές τι εἴποι. ἢ εἴ τις κεκλασμένῃ τῇ φωνῇ τὴν ᾠδὴν προσενέγκοι τοῦτο, οἵας νῦν ταύτας κατὰ Φρύνιν. καὶ τὰ ἑξῆς. Σ.

Σχόλια. Κάμψειεν.] ἀντὶ τοῦ εἰ κακοδαιμονοίη. κεκλασμένῃ τῇ φωνῇ τὴν ᾠδὴν ἀνενέγκοιτο. οἱ καταισχύνοντες τὸ μαλθακὸν τῆς φωνῆς. Κατὰ Φρύνιν.] ὁ Φρύνις κιθαρῳδὸς Μιτυληναῖος. οὗτος δὲ δοκεῖ πρῶτος παρ' Ἀθηναίοις κιθαρῳδικῇ νικῆσαι Παναθηναίοις ἐπὶ Καλλίου ἄρχοντος. ἦν δὲ Ἀριστοκλείτου μαθητής. ὁ δὲ Ἀριστόκλειτος τὸ γένος ἦν ἀπὸ Τερπάνδρου, ἤκμασε δὲ ἐν τῇ Ἑλλάδι κατὰ τὰ Μηδικά. παραλαβὼν δὲ τὸν Φρύνιν αὐλῳδοῦντα, κιθαρίζειν ἐδίδαξεν. ὁ δὲ Ἴστρος Ἱέρωνος αὐτόν φησι μάγειρον ὄντα σὺν ἄλλοις δοθῆναι τῷ Ἀριστοκλείτῳ. ταῦτα δὲ σχεδιάζοντι ἔοικεν. εἰ γὰρ ἦν γεγονὼς δοῦλος καὶ μάγειρος Ἱέρωνος, οὐκ ἂν ἀπέκρυψαν οἱ κωμικοὶ πολλάκις αὐτοῦ μεμνημένοι, ἐφ' οἷς ἐκαινούργησε κλάσας τὴν ᾠδὴν παρὰ τὸ ἀρχαῖον ἔθος, ὡς Ἀριστοφάνης φησὶ καὶ Ἀριστοκράτης. καθὸ πρῶτος τὴν ἁρμονίαν ἔκλασεν ἐπὶ τὸ μαλθακώτερον. ἦν δὲ γυνὶς καὶ ψυχρός. Πολλάς] πληγὰς δηλονότι. Ἐν παιδοτρίβου.] εἰς τὸν τόπον ὅπου γυμνάζονται καὶ διατρίβουσιν οἱ παῖδες. Προβαλέσθαι.] τουτέστιν εὐκοσμίως καθεσθῆναι. ὡς B C

μηδὲν τοῖς ἔξωθεν ὑποδεῖξαι ἄκοσμον. Συμψῆσαι.] ἀντὶ τοῦ συγχέαι τὴν κόνιν ὡς μὴ σημεῖον ἢ τύπον ἀπολείπεσθαι ταῖς καθέδραις. ἐν γὰρ ψάμμῳ λεπτοτάτῃ ἐγυμνάζοντο. κατέψων δὲ τὸν τόπον ὅπου ἐκαθέζοντο, ἵνα μὴ σημεῖον τῆς ἥβης ἑαυτῶν καταλείψειαν τοῖς ἐρασταῖς. παρεγίνοντο γὰρ ὥστε γυμνοὺς ὁρᾶν τοὺς ἐρωμένους.

Bisetus. Ὥσπερ μήλοισιν] Εὐστάθιος. μῆλα κυρίως τὰ πρόβατα λέγονται διὰ τὸ μαλλόν, καὶ ὁμωνύμως πάντες οἱ καρποί. νῦν οὖν τινες τὸν ποιητὴν μῆλα καλεῖν νομίζουσι τοὺς καρπούς, ὡς οἱ Ῥωμαῖοι καὶ μᾶλα, καὶ πᾶμα κατὰ τὴν ἐπιχώριον γλῶτταν καλοῦσι. καὶ γὰρ ταῦτα πρωὶ δρόσον, καὶ χνοῦν τινα ἔχουσι πρὶν τὸν ἥλιον ἀνατέλλειν, ἢ ὑπό τινος συλλέγεσθαι. τότε γὰρ μεταχειριζόμενα, καὶ τὴν δρόσον, καὶ τὸν χνοῦν ἀποβάλλουσιν. αὕτη δὲ εἰκὼν καλλίστη, καὶ καλλίστην ἀποτύπωσιν ἔχει. ἀλλ' ἁπλούστερος, ἴσως καὶ πιθανώτερος ἂν ὁ νοῦς εἴη εἰ μῆλα ἐνταῦθα σημαίνειν λέγοις τὰς γνάθους, τὰς παρειάς, τὰς μήλους. οὕτω γὰρ καλεῖσθαι ὁ Πολυδεύκης φησί, παρὰ τὸ ἀνθεῖν ἐν ὥρᾳ. λέγει δὲ τοῖς αἰδοίοισιν, ὥσπερ μήλοισιν. ἐπεὶ ἀμφοτέρωθεν αἱ πρῶται τρίχες ἅμα φύεσθαι φιλοῦσι. σημειωτέον δὲ καὶ τοὺς μαστοὺς τοὺς γυναικείους μῆλα καλεῖσθαι, καθάπερ ὁ Σουίδας λέγει. τοῦτο δὲ κατά τινα ὁμοιότητα τῶν τε μήλων, καὶ τῶν μαστῶν.

Οὐδ' ἂν ἑλέσθαι δειπνοῦντ' ἐξῆν κεφάλαιον τῆς ῥαφανῖδος

Οὐδ' ἄννηθον τῶν πρεσβυτέρων ἁρπάζειν, οὐδὲ σέλινον.

Οὐδ' ὀψοφαγεῖν, οὐδὲ κιχλίζειν, οὐδ' ἴσχειν τὼ D
πόδ' ἐναλλάξ.

Ἀδι. Ἀρχαῖά γε, καὶ διιπολιώδη, καὶ τεττίγων ἀνάμεστα.

Καὶ Κηκείδου καὶ Βουφονίων. Δι. ἀλλ' οὖν ταῦτ' ἐστὶν ἐκεῖνα,

Ἐξ ὧν ἄνδρας Μαραθωνομάχους ἡ 'μὴ παίδευσις ἔθρεψεν.

Σὺ δὲ τοὺς νῦν εὐθὺς ἐν ἱματίοισι διδάσκεις ἐντετυλίχθαι. E

Ὥστ' ἔμ' ἀπάγχεσθ' ὅταν ὀρχεῖσθαι Παναθηναίοις δέον αὐτούς,

Nulli raphano vesci licitum in cœna: nulli vel anethum,

Vel apium, herbas seniorum, fas præripere: obsonia nulli

Edere, aut deliciari, neque pedes alternare licebat.

IN. *Prisca hæc sunt, & Iovialia & annis obsita, plena cicadis,*

Nugæ Cecidæ & Buphoniorum. IV. *atque hæc scilicet illa,*

Quibus in Marathone viros pugnaces mea doctrina fidésque (mentis

Produxit: tu verò nostros homines illicò tegu-

Involui perdoces: ut ego suffocer, sicubi oportet

Illos saltare chorum in Panathenæis: clypeumq́ue ubi peni

Σχόλια. Κεφάλαιον τῆς ῥαφανῖδος.] ὡς θερμὸν καὶ διεγεῖρον πρὸς τὰ ἀφροδίσια, παρῃτοῦντο ταῦτα. κεφάλαιον δὲ τὸ πρὸς τοῖς φύλλοις καυλῶδες. οὐκ ἔτυμον δὲ κατὰ μῆκος ὡς νῦν, ἀλλὰ κατὰ κύκλον φησὶ διὰ τὴν κεφαλήν. F Κιχλίζειν.] ἀντὶ τοῦ λιπαροὺς ὄρτυγας τρώγειν. κίχλας ἐσθίειν. ἢ ἀτάκτως γελᾶν καὶ ἀμέτρως. Τεττίγων ἀνάμεστα.] ἀρχαῖον τὸ τοὺς τέττιγας ἀναπλέκειν. τουτέστι τοὺς κρωβύλους. (τοὺς κρωβύλους.) ἄλλως. οἱ ἀρχαιότατοι τῶν Ἀθηναίων τέττιγας χρυσοῦς ἐν τοῖς τῶν τριχῶν πλέγμασιν εἶχον, διότι οἱ τέττιγες μουσικοὶ ὄντες, ἀνάκεινται τῷ Ἀπόλλωνι, ὃς ἦν πατρῷος τῇ πόλει. τὰ δὲ διιπόλεια τῶν ἀρχαιοτάτων ἑορτῶν. τὰ καὶ διάσια. τοὺς δὲ τέττιγας παρέλαβεν, ἐπειδὴ οἱ παλαιοὶ κατὰ τὴν ἀνάπλεξιν τῶν τριχῶν χρυσοῖς ἐχρῶντο τέττιξι τεκμήριον ὅτι αὐτόχθονες εἶεν οἱ Ἀθηναῖοι ὡς οἱ τέττιγες. καὶ Θουκυδίδης. G καὶ οἱ πρεσβύτεροι αὐτοῖς τῶν εὐδαιμόνων οὐ πολὺς χρόνος ἐπειδὴ χιτῶνάς τε λινοῦς ἐπαύσαντο φοροῦντες καὶ χρυσῶν τεττίγων ἐνέρσει κρωβύλον ἀναδούμενοι τῶν ἐν τῇ κεφαλῇ τριχῶν.

Bisetus. Κρωβύλος δὲ κατὰ τὸν Σουίδαν, πλέγμα τριχῶν εἰς ὀξὺ λῆγον. ἐκαλεῖτο δὲ ἐπὶ τῶν ἀνδρῶν οὕτω. κόρυμβος δὲ, ἐπὶ τῶν γυναικῶν. σκορπίος δὲ ἐπὶ παίδων. οὕτω καὶ ἐν τοῖς τοῦ Θουκυδίδου σχολίοις παραδέδοται.

Σχόλια. Κηκείδου.] ἀρχαῖος διθυραμβοποιός. οὗ μέμνηται Κρατῖνος ἐν πανόπταις. τὰ δὲ Βουφόνια παλαιὰ ἑορτή. ἥν φασιν ἄγεσθαι μετὰ τὰ μυστήρια. ὅτε καὶ βοῦν θύουσιν εἰς ὑπόμνησιν τοῦ πρώτου φονευθέντος βοὸς ἐν ἀκροπόλει ἁψαμένου τοῦ πελάνου ἐν τῇ ἑορτῇ Διονυσίων. ἄλλως. ἑορτὴ Ἀθηναίων πάνυ ἀρχαία. ἐν γὰρ τοῖς διιπολείοις φασὶ βοῦν τὸ πόπανον καταφαγεῖν τὸ παρεσκευασμένον πρὸς τὴν θυσίαν. Θαύλωνα δέ τινα ὡς εἶχε πέλεκυν ἀποκτεῖναι τὸν βοῦν. καθὰ καὶ Ἀνδροτίων μέμνηται διὰ τῆς τετάρτης. Μαραθωνομάχους.] τοὺς ἐν Μαραθῶνι ἠγωνισμένους τὴν Δαρείου στρατιάν, ἧς Δάτις ὁ τούτου στρατηγὸς ἤγαγεν εἶναι περὶ τετράκις δέκα μυριάδας. τὸ δὲ ἐντετυλίχθαι, τὸ ἐναντίον γυμνοῦσθαι. οὐκ ἐγκεκαλύφθαι. Ὀρχεῖσθαι.] ὠρχοῦντο γὰρ ἐν ὅπλοις ἐν τοῖς Παναθηναίοις οἱ παῖδες. διὰ δὲ τὸ ἀσπὶς φησὶ προέχοντες τοῦ αἰδοίου τὴν ἀσπίδα. οὐκ εὐπρεπεῖ τούτων ἐν τῇ πομπῇ ἀσπιδοφορούντων διὰ τὸ ἐπικαλύπτεσθαι τὴν αἰσχύνην. ηὔξησε δὲ τὴν διαβολὴν εἰς τὴν ἀσπίδα τοῦ θεοῦ.

Τὴν ἀσπίδα τῆς κωλῆς προέχων, ἀμελῇ τῆς Τριτογενείας. A

Πρὸς ταῦτ' ὦ μειράκιον, θαρρῶν ἐμὲ τὸν κρείττω λόγον αἱροῦ.

Κἀπιστήσῃ μισεῖν ἀγοράν. καὶ βαλανείων ἀπέχεσθαι.

Καὶ τοῖς αἰσχροῖς αἰσχύνεσθαι. κἂν σκώπτῃ τίς σε φλέγεσθαι.

Καὶ τῶν θάκων τοῖς πρεσβυτέροις ὑπανίστασθαι προσιοῦσι. B

Καὶ μὴ περὶ τοὺς σαυτοῦ γονέας σκαιουργεῖν· ἄλλο τι μηδὲν

Αἰσχρὸν ποιεῖν, ὅτι τῆς αἰδοῦς μέλλεις τἄγαλμ' ἀναπλήσειν.

Μηδ' εἰς ὀρχηστρίδος εἰσιέναι· ἵνα μὴ πρὸς ταῦτα κεχηνὼς,

Μήλῳ βληθεὶς ὑπὸ πορνιδίου, τῆς εὐκλείας ἀποθραυσθῇς. C

Μηδ' ἀντειπεῖν τῷ πατρὶ μηδέν. μηδ' Ἰαπετὸν καλέσαντα

Μνησικακῆσαι τὴν ἡλικίαν, ἐξ ἧς ἐνεοττοτροφήθης.

Αδ. Εἰ ταῦθ' ὦ μειράκιον πείσει τούτῳ, νὴ τὸν Διόνυσον,

Τοῖς Ἱπποκράτους υἱέσιν εἴξεις, καί σε καλοῦσι βλιτομάμμαν D

Δι. Ἀλλ' οὖν λιπαρός γε καὶ εὐανθὴς ἐν γυμνασίοις διατρίψεις·

Οὐ στωμύλλων κατὰ τὴν ἀγορὰν τριβολεκτράπελ', οἷά περ οἱ νῦν,

Οὐδ' ἑλκόμενος περὶ πραγματίου γλισχραντιλογεξεπιτρίπτου.

Ἀλλ' εἰς Ἀκαδημίαν κατιὼν, ὑπὸ ταῖς μορίαις ἀποθρέξεις E

Praetendēdo, negligat saltationem. Proin' ô adolescens

Bono animo es, méque tibi elige sermonē multò potiorem.

Etenim sic disces odisse forum: & balnea nunquam intrare,

Suffundique pudore ob turpia: tum si quis crimine ledat,

Exardere: & senioribus assurgere, quando ingrediuntur.

Neque male facere parentibus, & nihil vsquam admittere turpe:

Adeóque pudoris viuum exemplum in te dare: sed neque lectum

Intrabis saltatricis, ne, dum istis inhias, meretrix te

Malo petat: & exinde bona de fama tu excutiaris.

Neque patri respondebis quicquam: neque vetulum, Iapetúmque

Dices, nec senium exprobrabis ei, qui te eduxit alumnum.

IN. At tu, si huic morigerēre, adolescens: tum sanè, per Iacchum

Similis eris Hippocratis filiis stupidis: bardúmque vocabunt.

IV. Imò nitidus versaberis in ludis, & floridus vsque:

Nec prostitues nugacissima verba foro: qualia nostri:

Neque trahēre in ius, propter misero litigioso malignum

Paruúmque negotiolum: sed enim in Academia sub oliuis

Σχόλια. Τριτογενείας.] εἶδος ὀρχήσεως. ἡ καλεῖται ἐνόπλιος. διὰ δὲ τὸ εἰς Ἀθηνᾶν ταύτην τελεῖσθαι τριτογένεια κέκληται. τριτὼ γὰρ ἡ κεφαλὴ παρ' Αἰολεῦσιν. ἐγεννήθη δὲ Ἀθηνᾶ ἐκ τῆς κεφαλῆς τοῦ Διός. ἐτέλουν δὲ ταύτην τὴν ὄρχησιν, οἱ πρότερον μὲν ἐνοπλισμένοι καὶ τὴν ἀσπίδα ἐν πλαγίῳ φέροντες. οἱ ὕστερον δέ, ἔμπροσθεν τῶν ποδῶν ἔφερον. σημειωτέον δέ φασι τὴν σύνταξιν. πρῶτον γὰρ πληθυντικῶς εἰπὼν εἰς ἑνικὸν ἀπέδωκεν.

Bisetvs. Ἐκεῖ γὰρ τὸ προέχων ἑνικὸν εὐθείας πτώσεως, πρὸς τὸ αὐτοὺς πληθυντικὸν τῆς αἰτιατικῆς συνάπτεται, ἀντὶ τοῦ, αὐτοὺς προέχοντας. ἀλλὰ τοῦτο τὸ ἀνακόλουθον καλῶς διορθοῦσθαι δύναται εἰ ἀντὶ τοῦ προέχων, προέχειν γράφοις, ὑπακουομένου ῥήματος ὁρῶ. οὕτως, ὅταν δέον ὀρχεῖσθαι, ὁρῶ αὐτοὺς προέχειν ἀσπίδα. καὶ τὰ ἑξῆς. ἢ ταῦτα καλῶς ἐκ τοῦ προηγουμένου ῥήματος, διδάσκεις, ἀρτᾶται. διδάσκεις προέχειν. τοῦτο καὶ πιθανόν. κωλῆ δὲ ἐνταῦθα τὸ αἰδοῖον σημαίνει.

Σχόλια. Ἀμελῇ] ἐν τοῖς παλαιοῖς τῶν ἀντιγράφων, ἀμελεῖ τῆς τριτογενείας εὕρηται.

Bisetvs. Κἀπιστήσει] καὶ ἐπιστήσει, μαθήσει. παρὰ τὸ ἐπίσταμαι, ὁ μέλλων, ἐπιστήσομαι. τὸ δὲ δεύτερον πρόσωπον διὰ τῆς διφθόγγου ει κατὰ τοὺς παλαιούς. κατὰ δὲ τοὺς νεωτέρους διὰ τοῦ η διφθόγγου γράφεται. ἐπίστασθαι δέ, τὸ γινώσκειν, καὶ μανθάνειν. ὅθεν ἐπιστήμη, καὶ ἐπιστήμων. G

Σχόλια. Μὴ περὶ τοὺς σαυτοῦ.] ἀντὶ τοῦ μὴ περὶ γνώμην τῶν σῶν γονέων, ὅπερ μέλλεις μολύνειν τῆς αἰδοῦ.

Ὅτι τῆς αἰδοῦς] ὅπερ μέλλεις τῆς αἰδοῦς τὸ ἄγαλμα πληρώσειν. γράφεται δὲ καὶ ἀφανίζειν. Μήλῳ βληθείς.] ἀντὶ τοῦ ἐρασθείς. μηλοβολεῖν γὰρ ἔλεγον τὸ εἰς ἀφροδίσια δελεάζειν. ἐπεὶ καὶ τὸ μῆλον Ἀφροδίτης ἐστὶν ἱερόν.

Bisetvs. Θεόκριτος εἰδ. γ.

Ἱππομένης ὅκα δὴ τὰν παρθένον ἤθελε γᾶμαι
Μᾶλ' ἐνὶ χερσὶν ἑλὼν δρόμον ἄνυεν. ἁ δ' Ἀταλάντα
Ὡς ἴδεν, ὡς ἐμάνη, ὡς ἐς βαθὺν ἅλλετ' ἔρωτα.

καὶ εἰδ. ς.

F Βάλλει τοι Πολύφαμε τὸ ποίμνιον ἁ Γαλάτεια
Μάλοισιν, δυσέρωτα τὸν αἰπόλον ἄνδρα καλεῦσα.

Σχόλια. Τοῖς Ἱπποκράτους.] οὗτοί εἰσι Τελέσιππος. Δημοφῶν. Περικλῆς. διαβαλλόμενοι εἰς ὑωδίαν. καὶ Εὔπολίς φησιν ἐν δήμοις. Ἱπποκράτους τὰ παῖδες ἐμβόλιμοί τινες, βληχητὰ τέκνα καὶ οὐδαμῶς τοῦ τρόπου. Βλιτομάμμαν] μωρόν, τὸ γὰρ βλίτον μωρόν ἐστι δοκεῖ λάχανον. εἰκότως δὲ εἶπε καλοῦσι καὶ οὐ καλέσουσι πρὸς τὸ εἴξεις. διότι μὲν γὰρ ἅπαξ ἔμελλεν ὅμοια πείσεσθαι, εἴξεις εἶπε. διότι δὲ μετὰ τὴν ὁμοίωσιν οὕτως ἀεὶ ἔμελλε καλεῖσθαι, καλοῦσιν εἴρηκε. Τριβολεκτράπελα.] ἐκ τοῦ τρίβολος καὶ εὐτράπελος σύγκειται. ἀντὶ τοῦ σκληρὰ καὶ ἀπαίδευτα καὶ ἀπόβλητα καὶ ἀνώμαλα.

Bisetvs. Τριβολεκτράπελ'] Σουίδας ταύτην τὴν λέξιν ἐκ τοῦ τριβόλου, καὶ εὐτραπέλου συγκεῖσθαι λέγει. τρίβολος δέ, εἶδος ἀκίστης βοτάνης.

Σχόλια. Γλισχραντιλογεξεπιτρίπτου.] ἐκ τοῦ γλίσχρου καὶ

χρου καὶ ἀντιλογίας πεπειραμένου τοῦ καὶ δυνηθέντος ἐπιτεῖψαι. Ἀλλ᾽ εἰς Ἀκαδημίαν] ἐνταῦθα γὰρ διέτριβον οἱ φιλόσοφοι. ἦν γὰρ καὶ γυμνάσιον ἀπὸ Ἀκαδήμου τινὸς καταλείψαντος τὴν κτῆσιν ἑαυτοῦ πρὸς ἐπισκευὴν τοῦ τόπου. περὶ αὐτὸν δ᾽ ἦσαν αἱ ὄντως ἱεραὶ ἐλαῖαι τῆς θεοῦ, αἱ καλοῦνται μορίαι. ἐξ ὧν τὸ ἔλαιον τῶν Παναθηναίων. τὸν δὲ στέφανον τοῦ καλάμου προσέκειτο ὡς ἁπλούστερον ὄντα καὶ ἀπεριεργον ἢ ὅτι αὐτῷ στέφονται οἱ Διόσκουροι. Ὑπὸ ταῖς μορίαις.] αἱ ἱεραὶ ἐλαῖαι τῆς Ἀθηνᾶς ἐν τῇ Ἀκροπόλει Μορίαι ἐκαλοῦντο. λέγουσι γὰρ ὅτι Ἁλιρρόθιος ὁ παῖς Ποσειδῶνος ἠθέλησεν ἐκκόψαι αὐτὰς, διὰ τὸ τῆς ἐλαίας εὑρεθείσης, κρατῆσαι τῆς Ἀθηνᾶς τὴν πόλιν. ὁ δὲ ἀνατείνας τὸν πέλεκυν καὶ ταύ- A της ἀποτυχὼν, ἔπληξεν ἑαυτὸν καὶ ἀπέθανε. καὶ διὰ τοῦτο μορίαι ἐλαῖαι ἐκλήθησαν. ἢ διὰ τὸ πάντα ἄνθρωπον κεκτημένον ἐλαίας ἀναγκάζεσθαι μέρος τι παρέχειν εἰς τὰ Παναθήναια. κέραμον γὰρ ἐλαίου ἐλάμβανον οἱ νικῶντες. ἐπεφύτευτο δὲ ἐν τῷ γυμνασίῳ δένδρον. ἔθος δὲ ἦν τοῖς ἀσκουμένοις, ἀλειψαμένοις ἐν τῷ ἡλίῳ, τρέχειν. ἄλλως. ἡττηθεὶς τῆς Ἀθηνᾶς ὁ Ποσειδῶν ἐπὶ τῇ τῆς ἐλαίας ἐπιδείξει, ἔπεμψε τὸν υἱὸν αὐτοῦ Ἁλιρρόθιον ταύτην τεμοῦντα. ὁ δὲ ἀνατείνας τὸν πέλεκυν, ταύτης μὲν ἠστόχησε. τὸν δὲ πόδα αὐτοῦ πλήξας ἐτελεύτησε. B καὶ οὕτω μορία ἡ ἐλαία ἐκλήθη. ὡς μόρου παρεκτική. ἦν δὲ ἡ Ἀκαδημία χωρίον τι ἐν Ἀθήναις ἐλαίαις καὶ ἄλλοις τισὶ δένδρεσι κατάσκιον.

Στεφανωσάμενος καλάμῳ λευκῷ μετὰ σώφρονος ἡλικιώτου.
Μίλακος ὄζων, καὶ ἀπραγμοσύνης καὶ λεύκης φυλλοβολούσης
Ἦρος ἐν ὥρᾳ χαίρων ὁπότ᾽ ἂν πλάτανος πτελέᾳ ψιθυρίζῃ. C
Ἢν ταῦτα ποιῇς ἁγὼ φράζω,
Καὶ πρὸς τούτοις προσέχῃς τὸν νοῦν,
Ἕξεις αἰεὶ στῆθος λιπαρὸν.
Χροιὰν λαμπράν. ὤμους μεγάλους.
Γλῶτταν βαιάν. πυγὴν μεγάλην.
Πόσθην μικράν. ἢν δ᾽ ἅπερ οἱ νῦν,
Ἐπιτηδεύῃς, πρῶτα μὲν ἕξεις
Χροιὰν ὠχράν. ὤμους μικρούς. D
Στῆθος λεπτόν. γλῶτταν μεγάλην.
Πυγὴν μικράν. κωλῆν μεγάλην.
Ψήφισμα μακρόν. καί σ᾽ ἀναπείσει,
Τὸ μὲν αἰσχρὸν ἅπαν, καλὸν ἡγεῖσθαι,
Τὸ καλὸν δ᾽ αἰσχρόν. καὶ πρὸς τούτοις
Τῆς Ἀντιμάχου
Καταπυγοσύνης ἀναπλήσει.

Sacris spatiaberis, inter coaequales, calamo redimitus.
Milacémque redolebis, & ocium & indita populna capillis
Folia, Vere nono gaudens, cùm platanus ulmusque susurrant. C
Quòd si haec facias ego quae dico:
Animúmque his aduortas dictis:
Pectus habebis semper nitidum,
Vultum lucentem, humeros magnos,
Exilem linguam, anum grandem,
Penem exiguum. At si eadem, quae alij
Faciunt, facias: semper habebis
Vultum pallentem, humeros paruos, D
Pectus gracile, ingentem linguam,
Penem magnum, paruúmque anum
Et longum decretum: quod tibi
Persuadebit, ut omne id honestum
Ducas, quicquid erit turpe: & ad haec
Foedo Antimachi
Itidem opplebere flagitio.

E

Σχόλια. Καλάμῳ λευκῷ.] λιτὸς γὰρ καὶ ἀπερίεργος ὁ τοιοῦτος στέφανος. ἦν δὲ τῶν Διοσκούρων ἴδιον στεφανοῦσθαι καλάμῳ. Μίλακος.] εἶδος βοτάνης. παρέμιξε τὸ ἀπραγμοσύνης. ἀπραγμοσύνη δὲ φυτὸν ὡς Ἀριστοφάνης ὁ γραμματικὸς ἐν Ἀκαδημίᾳ φυόμενον. ἡ λεύκη δὲ ὁμοία πλατάνῳ. ἄλλως. ἀπραγμοσύνη εἶδος ἄνθους. αἴτιον πάσης εὐωδίας ὄζων καὶ ἀσφαλείας. ἡ ἀπραγμοσύνης, ἀντὶ τοῦ πολυπραγμοσύνης. τὸ δὲ ψιθυρίζει, ἀντὶ τοῦ ἀνέμου πνέοντος μαλακοῦ καὶ ἠρέμα διὰ τῶν φύλλων σείοντος, ὥσπερ προσλαλεῖ τὰ δένδρα, ὅπερ ψιθυρίζειν λέγεται. καὶ Θεόκριτος. ἁδύ τι τὸ ψιθύρισμα. F

Bisetus. Πλάτανος πτελέᾳ] εἰ τὸ πτελέα ἄνευ ὑπογραφομένου γράψῃς. ἀσύνδετον ἔσται, ἀντὶ τοῦ, ἡ πλάτανος, καὶ ἡ πτελέα. εἰ δὲ πτελέᾳ διὰ τῆς διφθόγγου ᾳ, ταῦτα ληπτέον οὕτως, ἡ πλάτανος τὴν πτελέαν ἠρέμα προσλαλεῖ. τοῦτο δὲ ποιητικῶς εἴρηται, καὶ τὸ ἔαρ οὕτω χαρακτηρίζεται. Ψιθυρίζειν δὲ, παρὰ τὸ ψίειν, ὃ ἐπὶ λεπτὸν ἦχον ἐν ταῖς θύραις, ἤγουν ἐν ταῖς ἀκοαῖς, καὶ ἠρέμα, εἰς τὸ οὖς διαλέγεσθαι. λέγεται καὶ περὶ τῶν δένδρων, ὅταν πνέοντος ἀνέμου μαλακοῦ τὰ φύλλα G σείεται, καὶ μακρὸν καὶ γλυκὺν ἦχον ποιεῖ. Θεόκριτος εἰδ. α. Ἁδύ τι τὸ ψιθύρισμα, καὶ ἁ πίτυς αἰπόλε τήνα ἁ ποτὶ ταῖς παγαῖσι μελίσδεται. ἀλλαχοῦ δὲ ψιθυρίζειν, τὸ διαβάλλειν δηλοῖ. καὶ λόγος ψίθυρος, ὁ διάβολος, ἡ διαβολή. Σοφοκ. Αἴαντι μαστιγ. Τοιούς δὲ λόγους ψιθύρους πλάσσων.

Σχόλια. Ἢν ταῦτα ποιῇς.] ἔκθεσις τῆς διπλῆς ἐκ κώλων ὁμοίων ἀναπαιστικῶν δεκαπέντε. ὧν τὰ μὲν ιγ δίμετρα ἀκατάληκτα. τὸ τεσσαρακαιδέκατον μονόμετρον ὃ ποδατίλευτον ὀνομάζεται. τὸ τελευταῖον ἑφθημιμερὲς, ὃ καλεῖται παροιμιακὸν ὡς εἴρηται. ἐπὶ τῷ τέλει δύο διπλαῖ, ἡ μὲν ἐν ἀρχῇ, ἡ δὲ κατὰ τὸ τέλος τοῦ κώλου ἔξω τετευχυῖαι. Γλῶτταν βαιάν.] σωφροσύνης σύμβολον. διὰ μὴ φλυαρολογεῖν. τὸ δὲ πυγὴν μεγάλην, ἢ γέλωτος χάριν. ἢ διὰ τὴν τροφὴν ἕξεις πυγὴν μεγάλην. πόσθη δὲ τὸ μόριον τοῦ ἀνδρός. αἰνίττεται δὲ εἰς τοὺς Ἀθηναίους. Χροιὰν ὠχράν.] διὰ τὴν ἀταξίαν. Ὤμους μικρούς.] γράφεται καὶ λεπτοὺς καὶ λευκούς. οἷοι τῶν ἀγυμνάστων καὶ ἀργῶν.

Bisetus. Κωλῆν μεγάλην] τουτέστιν αἰδοῖον. τοῦτο δὲ ἐπιφέρει ὁ ποιητὴς ἀντιπαρατιθεὶς τῷ προηγουμένῳ, πόσθην μικράν.

Σχόλια. Ψήφισμα μακρόν.] τὸ ἐκ πολυλογίας συγκείμενον. ἀντὶ τοῦ μεγάλῳ ψηφίσματι γράψεις. Τῆς Ἀντιμάχου.] οὗτος ὡς κίναιδος καὶ εὔμορφος καὶ θηλυμανὴς κωμῳδεῖται. δεύτερος ὁ ἐπὶ πονηρίᾳ κωμῳδούμενος. τρίτος ὁ ψακὰς λεγόμενος. τέταρτος ὁ τραπεζίτης οὗ μέμνηται Εὔπολις ἐν δήμοις. πέμπτος ἱστοριογράφος. τάχα δὲ αὐτὸς ἐπὶ τῷ εὐμόρφῳ.

A

ΑΝΤΙΣΤΡΟΦΗ ΚΩΛΩΝ ιβ.

Χο. Ὦ καλλίπυργον σοφίαν
Κλεινοτάτην τ' ἐπασκῶν,
Ὡς ἡδύ σου τοῖσι λόγοις
Σῶφρον ἔπεστιν ἄνθος.
Εὐδαίμονες δ' ἄρ' ἦσαν οἱ
Τότε ζῶντες, ἡνίκ' ἦς
Τῶν προτέρων. πρὸς οὖν τάδ' ὦ κομψοπρεπῆ μοῦσαν ἔχων.
Δεῖ σε λέγειν τι καινόν, ὡς
Εὐδοκίμηκεν ἁνήρ.
Δεινῶν δέ σοι βουλευμάτων ἔοικε δεῖν πρὸς αὐτὸν,
Εἴπερ τὸν ἄνδρ' ὑπερβαλεῖ καὶ μὴ γέλωτ' ὀφλήσῃς.
Αδι. Καὶ μὴν πάλ' ἔγωγ' ἐπνιγόμην τὰ σπλάγχνα, κἀπεθύμουν
Απαντα ταῦτ' ἐναντίαις γνώμαισι συνταράξαι.
Εγὼ γὰρ ἥττων μὲν λόγος δι' αὐτὸ τοῦτ' ἐκλήθην
Εν τοῖσι φροντισταῖσιν, ὅτι πρώτιστος ἐπενόησα
Καὶ τοῖσι νόμοις καὶ ταῖς δίκαις τἀναντί' ἀντιλέξαι.
Καὶ τοῦτο πλεῖν ἢ μυρίων ἔστ' ἄξιον στατήρων.
Αἱρούμενον τοὺς ἥττονας λόγους, ἔπειτα νικᾶν.
Σκέψαι δὲ τὴν παίδευσιν ᾗ πέποιθεν ὡς ἐλέγξω,
Οστις σε θερμῷ φησι λοῦσθαι πρῶτον οὐκ ἐάσειν.
Καίτοι τίνα γνώμην ἔχων ψέγεις τὰ θερμὰ λουτρά;
Δι. Οτιὴ κάκιστόν ἐστι, καὶ δειλὸν ποιεῖ τὸν ἄνδρα.
Αδι. Επίσχες. εὐθὺς γάρ σε μέσον ἔχω λαβὼν ἄφυκτον.
Καί μοι φράσον, τῶν τοῦ Διὸς παίδων τίν' ἄνδρ' ἄριστον
Ψυχὴν νομίζεις, εἰπέ, καὶ πλείστους πόνους πονῆσαι;
Δι. Εγὼ μὲν οὐδέν' Ηρακλέους βελτίον' ἄνδρα κρίνω.

CHORVS. STROPHA SVPERIORI OPPOSITA.

O Qui decoram recolis,
Et sapientiam altam:
Quàm suauis est ore tuo
Flósque lepórque vocum?
B *O quàm beati, qui tum erant*
Superstites, cùm tu eras
Alterius vir æui. Agè tu, qui habes
Sonos magnificos,
Nunc aliquid noui afferas.
Nam bene se dedit hic.
Sed consilijs acutis tibi opus est aduersus ipsum:
Siquidem virum vis vincere, nec obnoxius esse risui.
C IN. *Atqui mihi iamdudum præfocantur viscera, volenti*
Et expetenti hæc omnia contrarijs turbare dictis.
Ego enim inferior sermo, ideo fui vocatus,
A dicendi magistris: quòd primus ego excogitârim
Et iuri & legibus contradicere: & istthæc staterum
D *Decem millibus est condignũ; quòd, qui ad causam forensem*
Sermones eligit inferiores, is conuincat hostem.
Sed agè tu, obserua disciplinã qua fretus triumphat
Meus aduersarius: & vide, quo pacto illum refellam,
E *Qui balneas calidas se permissurum tibi negauit.*
Et quæso, quonam tu animo balneas calidas reprehendis?
IV. *Quia noxia sunt & hominem faciunt remissum.*
IN. *Subsiste: nam statim nunc medium te teneo prehensum,*
F *Vt elabi non possis: agè enim, dic mihi, quem virum tu*
Ex illis qui Ioue sunt nati, credis fortissimũ esse:
Et plurimos exantlasse animo indefesso labores?
IV. *Ego sanè neminem esse iudico Hercule fortiorem.*

Σχόλια. Ὦ καλλίπυργον.] ἑτέρα εἴσθεσις μέλους χοροῦ μεσῳδικὴ ἀντίστροφος ὁμοία τῇ προῤῥηθείσῃ στροφῇ. ἐκ κώλων χοριαμβικῶν ἐπιμιμιγμένων. ὡς τὰ τῆς στροφῆς καθ' ἕκαστον ἐχόντων, δέκα. πλὴν τοῦ πέμπτου G ἐξ ἐπιτρίτου καὶ διιάμβου συγκειμένου καὶ τοῦ ἑβδόμου ἐκ χοριάμβου ἰάμβου, καὶ ἀντισπάστου. ἐν ἐκθέσει δὲ στίχοι δύο ἰαμβικοὶ τετράμετροι καταληκτικοὶ ὅμοιοι τοῖς ἑξῆς. ἐπὶ τῷ τέλει δύο διπλαῖ ἔξω νενεύκασι, ἡ μὲν ἐν ἀρχῇ, ἡ δὲ κατὰ τὸ τέλος. Καὶ μὴν πάλ' ἔγωγ' ἐπνιγόμην.] εἴσθεσις ἑτέρας διπλῆς ἀμοιβαίας ἐκ στίχων ἰαμβικῶν τετραμέτρων καταληκτικῶν μθ. ὧν τελευταῖος ἔξω τίνα γνώμην λέξεις τὸ μὲν εὐρύπρωκτος εἶ. τὸ δὲ μέτρον ἱππωνάκτειον. ἐπὶ τῷ τέλει διπλῆ ἔξω νενευκυῖα. Εγὼ γὰρ ἥττων.] ὅτι περὶ αὐτοὺς ἡττῶνται. ἢ ὅτι τὰ ἥττονα λέγει ἐπὶ τὸ ταῦτα ἡττᾶσθαι. Καὶ τοῦτο.] τὸ τινὰ λαβόντα δίκην τῷ ἀδίκῳ λόγῳ νικᾶν. τὸ δὲ σκέψαι, πρὸς τὸν Φειδιππίδην. Κάκιστόν ἐστι] ἐκθηλύνει γὰρ καὶ χαυνοῖ τὰ σώματα. δειλότατον δὲ εἶναι. ἐκλύει γάρ.

Μέγι

-ειν. ἐκώλυε γάρ. Μέσον ἔχω.] λαβών σε ἄφυκτον ἔχω εὐθὺς μέσον λαβών. ἡ μεταφορὰ δὲ ἀπὸ τῶν παλαιστῶν

A λαμβανομένων εἰς τὸ μέσον καὶ πιεζομένων. τὸ δὲ εὐθὺς ἀντὶ τοῦ ἐν ἀρχῇ.

Ἀδι. Ποῦ ψυχρὰ δῆτα πώποτ᾽ εἶδες Ἡράκλεια λουτρά;
Καίτοι τίς ἀνδρειότερος ἦν. Δι. ταῦτ᾽ ἐστὶ ταῦτ᾽ ἐκεῖνα
Ἃ τῶν νεανίσκων ἀεὶ δι᾽ ἡμέρας λαλούντων
Πλῆρες τὸ βαλανεῖον ποιεῖ, κενὰς δὲ τὰς παλαίστρας.
Ἀδι. Εἶτ᾽ ἐν ἀγορᾷ τὴν διατριβὴν ψέγεις. ἐγὼ δ᾽ ἐπαινῶ.
Εἰ γὰρ πονηρὸν ἦν, Ὅμηρος οὐδέποτ᾽ ἂν ἐποίει
Τὸν Νέστορ᾽ ἀγορητὴν ἄν. οὐδὲ τοὺς σοφοὺς ἅπαντας.
Ἄνειμι δῆτ᾽ ἐντεῦθεν εἰς τὴν γλῶτταν, ἣν ὁδὶ μὲν
Οὔ φησι χρῆναι τοὺς νέους ἀσκεῖν. ἐγὼ δέ φημι.
Καὶ σωφρονεῖν αὖ φησι χρῆναι. δύο κακὼ μεγίστω.
Ἐπεὶ σὺ διὰ τὸ σωφρονεῖν, τῷ πώποτ᾽ εἶδες ἤδη
Ἀγαθόν τι γιγνόμενον φράσον. καί μ᾽ ἐξέλεγξον εἰπών.
Δι. Πολλοῖς. ὁ γοῦν Πηλεὺς ἔλαβε διὰ τοῦτο τὴν μάχαιραν.
Ἀδι. Μάχαιραν; ἀστεῖόν γε κέρδος ἔλαβεν ὁ κακοδαίμων.
Ὑπέρβολος δ᾽ οὐκ ἐκ λύχνων πλεῖν ἢ τάλαντα πολλὰ
Εἴληφε διὰ πονηρίαν, ἀλλ᾽ οὐ μὰ Δί᾽ οὐ μάχαιραν.
Δι. Καὶ τὴν Θέτιν δ᾽ ἔγημε διὰ τὸ σωφρονεῖν ὁ Πηλεύς.

ΙΝ. *Et vbi tu vnquam frigida vidisti balnea Herculana?*
Et quis erat Hercule fortior? ΙV. *nimirum hæc illa sunt, quæ*
Cùm adolescentes quotidie in ore habeant, balnea repleta
B *Sunt hodie: sed vacua palæstra.* ΙΝ. *vituperas deinde*
Hanc versandi in foro consuetudinem: ego verò laudo.
Nam si mala esset, nunquam fecisset sapiẽs Poëta Homerus
Oratorem ex Nestore, neque è sapientibus vniuersis.
C *Hinc transeo ad linguam, quam negat hic esse exercitandam*
Adolescentibus: ego verò aio: tum rursus isthic inquit,
Quòd oporteat frugi esse adolescentem: duo maxima damna.
Nam cui tu vnquam boni aliquid vidisti in vita obuenire,
D *Quòd sobrius & frugi fuisset? dic, & me refuta.*
ΙV. *Permultis. nam Peleus ista de causa accepit ensem.*
ΙΝ. *Ensem? bellum profectò accepit miser homo ille lucrum.*
Hyperbolus certè an non ex lychnis, plusquam talenta
Aliquot parauit, malitia sua fretus, non machæra?
E ΙV. *Equidem Thetim propterea sibi duxit, quòd castus esset.*

Σχόλια. Ἡράκλεια λουτρά.] Ἴβυκός φησι τὸν Ἥφαιστον κατὰ δωρεὰν ἀναδοῦναι Ἡρακλεῖ λουτρὰ θερμῶν ὑδάτων. ἐξ ὧν τὰ θερμά τινές φασιν Ἡράκλεια γίνεσθαι. οἱ δέ φασιν ὅτι τῷ Ἡρακλεῖ μογήσαντι ἡ Ἀθηνᾶ θερμὰ λουτρὰ ἐπαφῆκεν ὡς Πείσανδρος. Τὰ δ᾽ ἐν Θερμοπύλαις θεὰ γλαυκῶπις Ἀθήνη Ποίει θερμὰ λοετρὰ παρὰ ῥηγμῖνι θαλάσσης. Ἃ τῶν νεανίσκων.] ὡς ταῦτα ἀγυμνάστων νεανίσκων λαλούντων, τῶν εὐγενῶν δηλονότι. Ὁ γοῦν Πηλεύς.] ὅτι ἀφῆκεν αὐτὸν Ἄκαστος μεταξὺ θηρίων, οἱ θεοὶ δεδώκασιν αὐτῷ ξίφος πρὸς ἄμυναν τῶν θηρίων. τινὲς δὲ ἐπὶ τοῦ Πηλίου ἀγῶνί φασι τὸν Πηλέα λαβεῖν διὰ σωφροσύνην ἡφαιστότευκτον μάχαιραν. ἄλλως. ὁ Πηλεὺς ἐγένετο σωφρονέστατος. καί ποτε Ἱππολύτης τῆς γυναικὸς Ἀκάστου ἐρασθείσης αὐτοῦ, καὶ μὴ δυνηθείσης πεῖσαι, ἀλλὰ διαβολῇ χρησαμένης ὡς ἄρα ἐπεχείρησε διαφθεῖραι αὐτήν, ὁ Ἄκαστος μαθὼν, καὶ λαβὼν αὐτὸν εἰς ἐρημίαν καὶ τῶν ὅπλων γυμνώσας, ἀφῆκεν αὐτὸν καὶ ἀνεχώρησεν εἰπών. εἰ δίκαιος εἶ σωθήσῃ. ὡς δὲ ἔμελλεν ὑπὸ θηρίων διαφθείρεσθαι οἱ θεοὶ μάχαιραν αὐτῷ ἐχαρίσαντο ἡφαιστότευκτον δι᾽ Ἑρμοῦ. καὶ οὕτως ἔφυγε τὸν κίνδυνον. ἄλλως. Πηλεὺς Φῶκον τὸν ἀδελφὸν κατὰ παιδιὰν σὺν Τελαμῶνι δολο-

φονήσας φεύγει εἰς Φθίαν πρὸς Εὔρυτον τὸν Ἄκτορος, ὑφ᾽ οὗ καὶ καθαίρεται. ἐκεῖθεν ἐπὶ τὴν θήραν τοῦ Καλυδωνίου κάπρου ἐλθὼν, Εὐρύτῳ ἐντυγχάνει καὶ κτείνει τοῦτον ἄκων. πάλιν οὖν ὁ Πηλεὺς ἐκ
F Φθίας φυγὼν ἐς Ἰωλκὸν πρὸς Ἄκαστον ἀφικνεῖται. καὶ καθαίρεται ὑπ᾽ αὐτοῦ. Ἀστυδάμεια δὲ ἡ Ἀκάστου γυνὴ ἐρασθεῖσα Πηλέως καὶ μὴ πείσασα αὐτὸν διὰ σωφροσύνην συνελθεῖν αὐτῇ, καταψεύδεται αὐτοῦ πρὸς Ἄκαστον ὡς ἀποπειραθέντος αὐτῆς. ὁ δὲ, κτεῖναι μὲν ὃν καθῆρεν, οὐκ ἠβουλήθη, ἄγει δὲ αὐτὸν εἰς θήραν εἰς τὸ Πήλιον. ἀποκοιμηθέντα δὲ αὐτὸν Ἄκαστος καταλιπὼν, καὶ τὴν μάχαιραν ὑπὸ τὴν κόπρον τῶν βοῶν κρύψας ἐπανέρχεται. ὁ δὲ ἐξαναστὰς καὶ μὴ εὑρὼν τὴν μάχαιραν ἔμελλεν ἀπόλλυσθαι καταληφθεὶς ὑπὸ τῶν Κενταύρων. σώζεται δὲ ὑπὸ Χείρω-
G νος. ὃς καὶ τὴν μάχαιραν ἐκζητήσας δίδωσιν αὐτῷ. Ὑπέρβολος.] οὗτος λυχνοποιὸς ὢν, πάνυ πανοῦργος ἦν. οὐ γὰρ χαλκῷ μόνον ἐχρῆτο πρὸς τὴν τῶν λύχνων κατασκευὴν, ἀλλὰ καὶ μόλιβδον ἐνετίθει ἵνα πολὺ βάρος ἔχοντες πλείονος ἀξιοῖεν. καὶ οὕτως ἠπάτα τοὺς ὠνουμένους.

Αδ. Κᾆτ' ἀπολιποῦσά γ' αὐτὸν ᾤχετ', οὐ γὰρ ἦν ὑβριστής.
Οὐδ' ἡδὺς ἐν τοῖς στρώμασι, τὴν νύκτα παννυχίζειν.
Γυνὴ δὲ σιναμωρουμένη χαίρει. σὺ δ' εἶ Κρόνιππος.
Σκέψαι γὰρ ὦ μειράκιον ἐν τῷ σωφρονεῖν ἅπαντα
Ἅνεστιν, ἡδονῶν θ' ὅσων μέλλεις ἀποστερεῖσθαι.
Παίδων. γυναικῶν. κοττάβων. ὄψων. πότων. κιχλισμῶν.
Καί τοι τί σοι ζῆν ἄξιον, τούτων ἐὰν στερηθῇς;
Εἶεν. πάρειμ' ἐντεῦθεν ἐς τὰς τῆς φύσεως ἀνάγκας.
Ἥμαρτες. ἠράσθης. ἐμοίχευσας. τί, κατελήφθης;
Ἀπόλωλας. ἀδύνατος γὰρ εἶ λέγειν. ἐμοὶ δ' ὁμιλῶν
Χρῶ τῇ φύσει. σκίρτα. γέλα. νόμιζε μηδὲν αἰσχρόν.
Μοιχὸς γὰρ ἢν τύχῃς ἁλούς, τάδ' ἀντερεῖς πρὸς αὐτὸν,
Ὡς οὐδὲν ἠδίκηκας. εἶτ' εἰς τὸν Δί' ἐπανενεγκεῖν.
Κἀκεῖνος ὡς ἥττων ἔρωτός ἐστι καὶ γυναικῶν.
Καί τοι σὺ θνητὸς ὢν, θεοῦ πῶς μεῖζον ἂν δύναιο;
Δι. Τί δ' ἢν ῥαφανιδωθῇ γε πειθόμενός σοι, τέφρα τε πληθῇ;
Ἕξει τινὰ γνώμην λέγειν, τὸ μὴ εὐρύπρωκτος εἶναι;
Αδ. Ἢν δ' εὐρύπρωκτος ᾖ, τί πείσεται κακόν;
Δι. Τί μὲν οὖν ἂν ἔτι μεῖζον πάθοι τούτου ποτέ;

A IN. *At illa relicto Peleo discessit: quòd protervus*
Non esset, neque suauis per totam noctem in lecto. At vxor
Viri coitu gaudet: tu verò ætate desipis. Nam
Videsis, mi adolescens, & perpende omnia, quæ in illa
Casta insunt vita: & quantis te voluptatibus eâdem
B *Sis priuaturus: liberis, mulieribus, atque ludis,*
Et cottabis, obsoniis, conuiuiis, cachinnis.
Quibus omnibus si orbêris: quid prosit tibi casta vita.
Sed bene nũc transeo hinc ad naturæ necessitatẽ.
Peccasti, amasti, adulterasti: si sis deprehensus,
Iam periisti illicò. neque enim eloquentia vales, sed
C *Si mecum versari optas, natura vtere, lude, ride,*
Nihil pro turpi ducito. Nam si fueris adulter
Comprehensus, ea contra aduersarium tuum loqueris:
Quibus demonstres te nullam iniuriã cuiquam intulisse.
Sed & culpam in Iouem reiicies: quòd itẽ amore victus
D *Inierit fœminas: & quomodo tu, qui homuncio sis,*
Plus possis, quàm Deus, qui summa cœli templa fulcit?
IV. *Quid autem, si tibi obsequendo vulsuram pattatur,*
Et raphano in anum immisso, pœnas exoluat: cinisque
E *In loca vulsa inspergatur: quas tùm rationes habebit,*
Quibus probet, sibi nõ esse amplũ podicẽ? dic.
IN. *Quid tum, etsi lato sit podice? quid nam mali est?*
IV. *At quid atrocius hoc vnquam possis perpeti?*

Σχόλια. Κᾆτ' ἀπολιποῦσά γ' αὐτόν.] Φασὶν ὅτι τοὺς γινομένους παῖδας ἐκ τοῦ Πηλέως ἡ Θέτις λαμβάνουσα ἐξελίσσει τὸ θνητὸν αὐτῶν σῶμα, βουλομένη αὐτοὺς ἀθανάτους ποιεῖν. καὶ πολλοὺς ἔκαυσε. καὶ τὸν Ἀχιλλέα οὖν τεκοῦσα, ἐπέθηκεν εἰς τὸ πῦρ. καὶ γνοὺς ὁ Πηλεὺς ἐβόησεν. ἡ δὲ λυπηθεῖσα ἐχωρίσθη. ἄλλως. ἡ Θέτις εἰς λέβητα ὕδατος ἐνέβαλλε τοὺς ἐκ Πηλέως γινομένους, γνῶναι βουλομένη εἰ θνητοί εἰσιν. ἑτέρους δὲ εἰς πῦρ ὡς Ἀπολλώνιός φησι. καὶ δὴ πολλῶν διαφθαρέντων, ἀγανακτῆσαι τὸν Πηλέα καὶ κωλῦσαι τὸν Ἀχιλλέα ἐμβληθῆναι εἰς λέβητα. Σοφοκλῆς δὲ ἐν Ἀχιλλέως ἐρασταῖς φησὶν ὑπὸ Πηλέως λοιδορηθεῖσαν τὴν Θέτιν καταλιπεῖν αὐτόν. Στάφυλος δὲ ἐν τῷ περὶ Θετταλίας φησὶ Χείρωνα σοφὸν ὄντα καὶ ἀστρονομίας ἔμπειρον βουλόμενον τὸν Πηλέα ἔνδοξον γενέσθαι, μεταπέμψασθαι τὴν Ἄκτορος θυγατέρα τοῦ Μυρμιδόνος, καὶ λόγους διασπεῖραι ὅτι μέλλει γαμεῖν τὴν Θέτιν Πηλεὺς Διὸς διδόντος αὐτῷ. οἱ δὲ θεοὶ μετ' ὄμβρου καὶ χειμῶνος ἥξουσι. ταῦτα σημειώσας παρατηρεῖ τὸν χρόνον ἐν ᾧ ὕδατα πολλὰ καὶ πνεύματα ἔξαισια, καὶ δίδωσι Πηλεῖ φιλομήλαν. καὶ οὕτως διεκράτησεν ἡ φήμη. Σιναμωρουμένη.] ἀντὶ τοῦ συνουσιάζουσα πρὸς μίξιν. σινάμωρος δὲ ἡ μεμωρουμένη. σῖνος δὲ τὸ αἰδοῖον. ὅθεν καὶ σιλλωνές. σινάμωρον οὖν τὸ πορνικόν. Κρόνιππος δὲ ὁ μέγας λῆρος κατ' ἐπίτασιν λαμβανομένου τοῦ ἵππου.

F

Bisetus. Σιναμωρουμένη] τῆς δὲ τῆς λέξεως ἡ ἐτυμολογία τοιάδε τις εἶναι δοκεῖ. σῖνος τὸ αἰδοῖον. μερῆσαι δὲ κατὰ τὸν Ἡσύχιον, τὸ μερίσαι, καὶ διελεῖν. ὅθεν σιναμορέω, οἱονεὶ τὸ σῖνος μερίζω, καὶ διαιρῶ, τὸ τῆς γυναικὸς διαμερίζω, ὅπερ ἐν τῇ συνουσίᾳ ὑπὸ τοῦ ἀνδρὸς ποιεῖσθαι φαίνεται. καὶ γυνὴ σιναμορουμένη λέγεσθαι δύναται ἡ μίξεως χάριν τὸν ἄνδρα φέρουσα, τουτέστιν αὐτῷ μιγνυμένη. ἐξ ὧν δῆλον τὴν λέξιν διὰ τοῦ ο μᾶλλον, ἢ διὰ τοῦ ω μεγάλου γραπτέον.

G

Σχόλια. Κοττάβων.] ἐν συμποσίῳ παίγνιον. ἦν δὲ τοιοῦτον. ἐτίθεσαν λέβητα καὶ τὸ λείψανον τοῦ πόματος ἐνέβαλλον. καὶ κτύπον μέγαν ἀπετέλουν καὶ ἐν τούτοις. Ἀδύνατος γάρ] οὐ γὰρ δυνατὸς εἶ λόγοις

νικῆσαι

νικῶσι αὐτοὺς ἐναντίον. Ην ῥαφανιδωθῇ.] οὕτω γὰρ τοὺς ἁλόντας μοιχοὺς ᾐκίζοντο. ῥαφανίδας λαμβάνοντες καθίεσαν εἰς τοὺς πρωκτοὺς τούτων. καὶ παρατίλλοντες αὐτοὺς, τέφραν θερμὴν ἐπέπασσον βασάνους ἱκανὰς ἐργαζόμενοι. Τίνα γνώμην.] ἀντὶ τοῦ ποίαν ἕξει γνώμην μὴ εὐρύπρωκτος εἶναι. Ην δ' εὐρύπρωκτος.] ἔκθεσις τῆς

A διπλῆς ἀμοιβαίας. ᾗ προτίθενται στίχοι ἰαμβικοὶ τρίμετροι ἀκατάληκτοι τέσσαρες. τὰ δὲ λοιπὰ κῶλα εἰσὶν ἰαμβικὰ ιϛ δίμετρα ἀκατάληκτα. τὸ μὲν τοι ζ καὶ ιά τρίμετρα καὶ τὸ ι πενθημιμερές. τὸ ιϛ καὶ ιζ μονόμετρα. τὸ δὲ τελευταῖον ἑφθημιμερές. ἐπὶ τῷ τέλει διπλῆ, ἔξω νενεύκηται. ἡ μὲν ἐν τῇ ἀρχῇ, ἡ δὲ κατὰ τὸ τέλος.

Αδ. Τί δῆτ' ἐρεῖς ἢν τοῦτο νικηθῇς ἐμοῦ;
Δι. Σιγήσομαι. τί δ' ἄλλο; Αδ. φέρε δή μοι φράσον
Συνηγοροῦσιν ἐκ τίνων;
Δι. Ἐξ εὐρυπρώκτων. Αδ. πείθομαι.
Τί δαί; τραγῳδοῦσ' ἐκ τίνων;
Δι. Ἐξ εὐρυπρώκτων. Αδ. εὖ λέγεις.
Καὶ δημαγωγοῦσ' ἐκ τίνων;
Δι. Ἐξ εὐρυπρώκτων. Αδ. ἆρα δῆτ' ἔγνωκας ὡς οὐδὲν λέγεις;
Καὶ τῶν θεατῶν ὁπότεροι πλείους σκόπει.
Δι. Καὶ δὴ σκοπῶ. Αδ. τί δῆθ' ὁρᾷς;
Δι. Πολὺ πλείονας νὴ τοὺς θεοὺς,
Τοὺς εὐρυπρώκτους.
Καὶ τουτονὶ γοῦν οἶδ' ἐγὼ κἀκεινονί.
Καὶ τὸν κομήτην τουτονί.
Αδ. Τί δῆτ' ἐρεῖς;
Δι. Ἡττήμεθ' ὦ κινούμενοι,
Πρὸς τῶν θεῶν δέξασθέ μου
Θοἰμάτιον, ὡς
Ἐξαυτομολῶ πρὸς ὑμᾶς.

IN. *Quid verò dices, si ego te iam vicero?*
B IV. *Tacebo: quid ergo?* IN. *agè, dic mihi, quod te rogo.*
Vnde aduocati, aut ex quibus?
IV. *Ex hominibus ampli podicis,*
IN. *Consentio. sed vnde Tragici?*
IV. *Ex hominibus ampli podicis.*
IN. *Rectè. Sed vnde praesides*
Et ciuitatis sunt duces?
IV. *Ex hominibus ampli podicis.*
C IN. *Quàm ergò nihil dicas, viden'?*
Et spectatorum vtri sint plures, dispice.
IV. *Sanè dispicio.* IN. *& quid vides?*
IV. *Quamplurimos, ita me Deus*
Amet, ampli podicis
Et hunc noui talem, atque illum, atque hunc comptulum.
IN. *Quid nunc ais?*
D IV. *Vincor manifestè: obsecro vos,*
Cinaedi, pallium meum
Accipite, vti
Hinc perfugiam citò ad vos.

Σχόλια. Ην τοῦτο.] λείπει ἡ εἰς, ἵνα ᾖ εἰς τοῦτο. δύο προσθετέον ἐλλείψεις. ἀντὶ τοῦ εἰς τοῦτο νικηθῇς ὑπ' ἐμοῦ ὅτι οὐκ ἔστι κακὸν εὐρύπρωκτον εἶναι. Τραγῳδοῦσιν.] εἰς Φρύνιχον φασὶν αὐτὸν ἀποτείνειν τὸ τραγικὸν χορευτήν. ἐπεὶ διεβάλλετο ἐπὶ μαλακίᾳ διὰ ποικιλίαν σχημάτων. Ω κινούμενοι.] τοῦτο ἄδηλον πότερον ὁ κρείττων λόγος φησὶν ὁμολογῶν ἡττῆσθαι, ἢ νεανίσκος ὁ τῶν λόγων κρί-

E τὴς, ὃ καὶ μᾶλλον φαίνεται ἐν τοῖς ἑξῆς ὁ κρείττων λόγος αὐτῷ συνάχθεται, παραδοθέντι μανθάνειν τῷ ἑτέρῳ.

BISETVS. Ω κινούμενοι] κινούμενοι δὲ, τουτέστι κίναιδοι. κινεῖν γὰρ τὸ φθείρειν, καὶ τὸ βινεῖν.

Σχόλια. Θοἰμάτιον.] ἵνα ἐξ ἑτοίμου καὶ εὐχερῶς χωρείη πρὸς αὐτὸν καὶ μὴ ἐμποδίζοιτο τῷ δρόμῳ.

ΔΡΑΜΑΤΟΣ ΤΟΥ ΤΡΙΤΟΥ
Σκηνὴ τετάρτη.

ΣΩΚΡΑΤΗΣ, ΣΤΡΕΨΙΑΔΗΣ, ΦΕΙΔΙΠΠΙΔΗΣ, ΧΟΡΟΣ.

Σω. Τί δῆτα; πότερον τοῦτον ἀπάγεσθαι λαβὼν
Βούλει τὸν υἱόν, ἢ διδάσκω σοι λέγειν;
Στ. Δίδασκε καὶ κόλαζε. καὶ μέμνησ' ὅπως

ACTVS III. SCENA IV.

F SOCRATES, STREPSIADES, PHIDIPPIDES, CHORVS.

QVid igitur? vis' tu hunc filium compellere
Prehensum, an vis, vt ego doceam illum dicere?
ST. *Doce, castiga, & vt exacuas atque in-*
G *struas*

Σχόλια. Τί δῆτα πότερον.] σύστημα κατὰ περικοπὴν ἀνομοιομερὲς στίχων ἰαμβικῶν τριμέτρων ἀκαταλήκτων ἑπτά. ἐν ἐκθέσει δ' ἐκ κῶλα ἰαμβικὰ δίμετρα καταληκτικὰ ἤτοι ἑφθημιμερῆ. ἔχει δὲ τὸ δεύτερον κῶλον τὸν δεύτερον πόδα τρίβραχυν ἀντὶ χορείου. ἐπὶ τῷ τέλει παράγραφος.

Εὖ μοι στομώσεις αὐτόν. ἐπὶ μὲν θάτερα,
Οἵαν δικιδίοις· τὴν δ' ἑτέραν αὐτοῦ γνάθον
Στόμωσον, οἵαν ἐς τὰ μείζω πράγματα.
ΣΩ. Ἀμέλει. κομιεῖ τοῦτον σοφιστὴν δεξιόν.
ΦΕ. Ὠχρὸν μὲν οὖν οἶμαι, καὶ κακοδαίμονα.
ΧΟ. Χώρει νυν. οἴομαι δέ
Σοι ταῦτα μεταμελήσειν.

A *Probè, memento: & alteram buccam quidem*
Ad leuicula obtinenda litigia: alteram
Exacue, vt maiora obtineat negocia.
SO. *Quiesce: reduces hunc impostorem probum.*
PH. *Imò pallidum opinor, sophistámque miserum.*
CH. *I nunc: credo affore illud*
B *Iam tempus, vbi pigebit.*

Σχόλια. Στομώσεις.] ὀξύνεις ἢ εὔστομον ποιήσεις. ἡ μεταφορὰ ἀπὸ τῶν μαχαιρῶν. Ἐπὶ θάτερα.] τὸ μὲν ἕτερον μέρος τῆς γνάθου. Οἵαν δικιδίοις.] τουτέστι δυνατὴν καὶ ἔμπειρον δικῶν. ὑποκοριστικῶς δὲ τὸ δικιδίοις.

ΕΠΙΡΡΗΜΑ. στίχοι ις.

ADDITAMENTVM.

Bisetus. Ὁ χορὸς τὴν τοῦ θεάτρου εὔνοιαν, προσβλέψας(?), καὶ εὐφημίαν αἰτεῖ, ἀνθ' ὧν χρησιμωτάτους ἑαυτοὺς C αὐτοῖς ὑπισχνεῖται.

ΧΟ. Τοὺς κριτὰς ἃ κερδανοῦσιν, ἤν τι τόνδε τὸν χορὸν
Ὠφελῶσ' ἐκ τῶν δικαίων, βουλόμεσθ' ὑμῖν φράσαι.
Πρῶτα μὲν γὰρ ἢν νεᾶν βούλησθ' ἐν ὥρᾳ τοὺς ἀγρούς,
Ὕσομεν πρώτοισιν ὑμῖν, τοῖσι δ' ἄλλοις ὕστερον.
Εἶτα τὸν καρπὸν τεκούσας ἀμπέλους φυλάξομεν,
Ὥστε μήτ' αὐχμὸν πιέζειν, μήτ' ἄγαν γ' ἐπομβρίαν.
Ἢν δ' ἀτιμάσῃ τις ἡμᾶς, θνητὸς ὤν, οὔσας θεάς,
Προσεχέτω τὸν νοῦν πρὸς ἡμῶν οἷα πείσεται κακά,
Λαμβάνων, οὔτ' οἶνον, οὔτ' ἄλλ' οὐδὲν ἐκ τοῦ χωρίου.
Ἡνίκ' ἂν γὰρ αἵ τ' ἐλᾶαι βλαστάνωσ', αἵ τ' ἄμπελοι
Ἀποκεκόψονται, τοιαύταις σφενδόναις παιήσομεν.
Ἢν δὲ πλινθεύοντ' ἴδωμεν, ὕσομεν, καὶ τοῦ τέγους
Τὸν κέραμον αὐτοῦ χαλάζαις στρογγύλαις συντρίψομεν.
Κἂν γαμῇ ποτ' αὐτὸς ἢ τῶν ξυγγενῶν ἢ τῶν φίλων,
Ὕσομεν τὴν νύκτα πᾶσαν· ὥστ' ἴσως βουλήσεται
Κἂν ἐν Αἰγύπτῳ τυχεῖν ὢν μᾶλλον, ἢ κρῖναι κακῶς.

CHORVS. *Indices quid lucri sint reportaturi, si huic Choro*
Ex his, quæ sunt iusta, commodent, aggredimur dicere.
Primùm, si renouare agros volueritis iusto tempore,
Nos primis vobis pluemus, postea verò cæteris.
D *Inde frugiparas custodiemus vites: vt neque*
Siccitas æstus, neque humentes pluuiæ nimium premant.
Sin quis nos contempserit, Deas nos, ipse homuncio:
Is animaduertat, quid à nobis passurus sit mali:
Nam neque vinū accipiet, nec aliud quicquam è fundo suo.
E *Quando enim oleæ germinabunt, & vites ac pampini*
Amputabuntur, fundis huiusmodi quassabimus.
Sin videbimus lateres fingentem, pluemus illicet:
Et rotunda grandine tecti comminuemus tegulas.
F *Tum si nuptias vel ipse, vel ex cognatis quispiam*
Vel amicus celebrabit, nocte pluemus tota, vt forsitan
Malit esse in Ægypto, quàm iudicare perperàm.

Σχόλια. Τοὺς κριτὰς ἃ κερδανοῦσιν.] κἀνταῦθα παράβασίς ἐστιν. ἔχει δὲ οὐ πάντα τὰ μέρη τῆς παραβάσεως, ἀλλὰ μόνον τὸ ἐπίρρημα τῆς παραβάσεως. ἐν ᾧ ἔθος ἦν χρηστὰ συμβουλεύειν τῇ πόλει, ἢ σκώπτειν τοὺς πονηρούς. τίθενται γὰρ οὐ μόνον τέλειαι παραβάσεις, ἀλλὰ καὶ μέρη τινὰ G αὐτῆς. ἔστι δὲ τὸ παρὸν ἐπίρρημα ἐκ στίχων τροχαϊκῶν τετραμέτρων καταληκτικῶν ις. ὧν τελευταῖος κἂν ἐν Αἰγύπτῳ τυχεῖν ὢν μᾶλλον ἢ κρῖναι κακῶς. αἰτιατικὴ δὲ ἀντὶ εὐθείας. ἀντὶ τοῦ οἱ κριταί. Ὅμηρος. μητέρα δ' εἴ οἱ θυμὸς ἐφορμᾶται γαμέεσθαι, ἀντὶ τοῦ ἡ μήτηρ. Ὠφελῶσ' ἐκ τῶν δικαίων.] συναγωνίζονται καὶ συλλαμβάνονταί τι κατὰ τὸ δίκαιον. ἵνα δὲ μὴ χάριτι δοκῇ νικᾶν καὶ τὴν ψῆφον φέρειν, ἀλλὰ ταῖς ἀληθείαις, προσέθηκε τοῦτο. Τεκούσας.] χαριέντως εἶπε τεκούσας καὶ φυλάξαι ἐπὶ τῆς βλαστήσεως τῆς ἀμπέλου. λίαν γάρ ἐστιν εὐχερὲς τὸν αὐχμὸν πιέζειν ἀντὶ τοῦ ξηρασίαν καταπονεῖν ἀφανίζειν. Σφενδόναις.] ὅτι ἡ χάλαζα ὡς λίθος ἐστὶν ἡ μεταφορὰ ἐκ τῶν λίθων καὶ τῶν σφενδονῶν. θέλει δὲ τὴν χιόνα εἰπεῖν ὡς ἀκύρως δὲ τὸ παιήσομεν. ἐπειδὴ ἀνθούντων τῶν καρπῶν ἡ χιὼν γίνεται. Τὴν νύκτα] ὅτε ἀνάγκη ἐστὶ μετελθεῖν τὴν νύμφην. Ἐν Αἰγύπτῳ.]

στρω.] ἐντεῦθεν μὴ ὕειν δ᾽ ἐκεῖ αὐτόθι ὡς Ἡρόδοτος. διὸ οὖν θελήσει τυχεῖν ἔνθα μὴ βλαβήσεται ἐκ τῶν Νεφελῶν, ὡς πορρωτάτω τοῦ παντὸς. ἢ ὡς ἐπὶ καλάραν. ἐπεὶ καθαρεύεται. ἐλέγετο γὰρ ληστρικώτατος ὁ Αἰγύπτιος. Αἰσχύλος.

A δεινοὶ πλέκειν τοι μηχανὰς Αἰγύπτιοι. καὶ Θεόκριτος ἐν Ἀδωνιαζούσαις. οὐδεὶς κακοεργὸς δαλεῖται τὸν ἰόντα παρέρπων Αἰγυπτιστί. καὶ αἰγυπτιάζειν τὸ ὕπουλα πράττειν.

ΔΡΑΜΑΤΟΣ ΤΟΥ ΤΕΤΑΡΤΟΥ,

Σκηνὴ πρώτη.

ΣΤΡΕΨΙΑΔΗΣ,

Τρίμετροι.

B ACTVS IIII. SCENA prima.

STREPSIADES,

Senarij.

BISETVS. Στρεψιάδης μεγίστην τῶν δανειστῶν, οἷς ὀφείλει, ἀνάγκῃ συνεχεῖ ἀπαιτήσει, καὶ δειναῖς ἀπειλαῖς πιεσθεὶς πρὸς τὸν Σωκράτην ἐπανέρχεται, καὶ τὸν υἱὸν ὡς ἤδη ἐμπειρότερον ἀσπάζεται, καὶ αὐτὸν τῆς διδα- C χῆς καὶ γοητείας πεῖράν τινα ἐπιδεξίως διδόντα θαυμάζει, τὴν τῆς ἀπάτης τέχνην ἐπαινεῖ. τὸν υἱὸν, καὶ αὑτὸν μακαρίζει, ὅτι τοιοῦτον τέκνον, ὃν ὁ παῖς ἔμαθε, πάντων τῶν πρότερον κακῶν ἀπαλλαχθήσεται.

Στ. Πέμπτη, τετράς, τρίτη, μετὰ ταύτην δευτέρα·
Εἶθ᾽ ἣν ἐγὼ μάλιστα πασῶν ἡμερῶν
Δέδοικα καὶ πέφρικα καὶ βδελύττομαι.
Εὐθὺς μετὰ ταύτην ἔσθ᾽ ἕνη τε καὶ νέα.
Πᾶς γάρ τις ὀμνύς, οἷς ὀφείλων τυγχάνω,
Θείς μοι πρυτανεῖ᾽ ἀπολεῖν μέ φησι κἀξολεῖν.
Ἐμοῦ μέτριά τε καὶ δίκαι᾽ αἰτουμένου.
Ὦ δαιμόνιε τὸ μέν τι νυνὶ μὴ λάβῃς,
Τὸ δ᾽ ἀναβαλοῦ μοι, τὸ δ᾽ ἄφες, οὔ φασί ποτε
Οὕτως ἀπολήψεσθ᾽, ἀλλὰ λοιδοροῦσί με.
Ὡς ἄδικός εἰμι. καὶ δικάσεσθαί φασί μοι.
Νῦν οὖν δικαζέσθων. ὀλίγον γάρ μοι μέλει.
Εἴπερ μεμάθηκεν εὖ λέγειν Φειδιππίδης.
Τάχα δ᾽ εἴσομαι, κόψας τὸ φροντιστήριον.
Παῖ ἠμί, παῖ, παῖ.

EN quinta, quarta, tertia, secunda: & quam ego
Ex omnibus diebus timeo maximè,
Planeq́ue horreo & abominor, mox imminet
Vetus & noua; mensium dies tricesima:
Nam omnes, quibus ego aliquid argenti debeo,
D *Deposita in iudicio pecunia, mihi*
Minantur ac iurant, quòd funditus velint
Me perdere, & omnibus bonis euertere.
Ego quidem, quod iustum est & aequum postulo.
Ah mi vir, isthoc argentum nunc temporis
Ne à me accipias: hoc differas: & terminum
Solutionis proroges: illud mihi
E *Prorsus remittas. nunquam verò, illi inquiunt,*
Hoc se modo quicquam à me accepturos: neque
Consentiunt: sed multis contumelijs
Me afficiunt, quòd sim iniquus: insuper mihi
Minantur, quòd velint me in ius hinc rapere. Age
Rapiant. quid ad me? nihil equidem curo: modò
F *Artem benè dicendi meus iam didicerit*
Phidippides. Sed mox sciam: vbi hoc pulsauero
Ludi ostium. heus puer, tibi dico, heus puer.

Σχόλια. Πέμπτη.] κορωνὶς ἀσύνθετος τῶν ἰαμβείων. καὶ ἔκθεσις κατὰ τοὺς τετραμέτρους. ἔστι γὰρ τὰ ἑξῆς ἰαμβικὰ τρίμετρα κγ. ἐξαριθμεῖται δὲ ὁ Στρεψιάδης ἀριθμῶν τὰς ἡμέρας. οὕτω δὲ ἠρίθμουν Ἀθηναῖοι. τὰς μὲν ἀπὸ νουμηνίας ὁμοίως ἡμῖν. λέγοντες πρώτη ἱσταμένου, δευτέρα ἱσταμένου, μέχρι τῶν δέκα. μεθ᾽ ἣν πρώτην ἐπὶ δέκα. εἶτα δευτέραν ἐπὶ δέκα. καὶ ἑξῆς ἄχρις εἰκοστῆς, ἢ αὕτη δὲ καὶ εἰκάς. μεθ᾽ ἣν ἐνδεκάτην φθίνοντος. ἢ δεκάτην. ἢ ἐνάτην. ἢ ἐγδόην ὡς ἔτυχεν ἔχων ὁ μήν. καὶ ἑξῆς ἀναλύοντι ἄχρι δευτέρας. οὕτω γὰρ Ἀθηναῖοι ἠρίθμουν οὐ G προστιθέντες. ἀλλ᾽ ἀφαιροῦντες καὶ ἀναλύοντες μέχρι τριακάδος, Σόλωνος ἡγησαμένου πρὸς τὰ τῆς σελήνης φῶτα οὕτω μετρεῖσθαι. μετὰ δὲ δευτέραν ἀκτέον ἕνην τουτέστι τὴν τελευταίαν τοῦ μηνὸς ἡμέραν. ἄλλως. πέμπτη, τετράς. οὐ προσέθηκε τὸ φθίνοντος. οὕτω γάρ φασιν Ἀθηναῖοι μετροῦσιν. ἀπὸ πρώτης ἕως δευτέρας προστιθέασι τὸ ἱσταμένου. ἀπὸ τρεισκαιδεκάτης ἕως ἐννεακαιδεκάτης, τὸ ἐπὶ δέκα. εἶτα ἡ μεγάλη εἰκάς. ἀπὸ εἰκοστῆς πρώτης ἕως εἰκοστῆς ἐνάτης τὸ φθίνοντος. τὴν δὲ τριακοστὴν ὅλην ἕνην καὶ νέαν, ἐπεὶ μετέχει τοῦ τε παλαιοῦ καὶ τοῦ νέου

φωνῆς. ταύτην καὶ Δημητριάδας προσηγόρευσαν. τὴν οὖν εἰκοστὴν δευτέραν, ἐκάλουν ἐνάτην φθίνοντος. τὴν εἰκοστὴν τρίτην, ὀγδόην. τὴν εἰκοστὴν τετάρτην, ζ. τὴν εἰκοστὴν πέμπτην ϛ. τὴν εἰκοστὴν ἕκτην ε. τὴν εἰκοστὴν ἑβδόμην δ. τὴν εἰκοστὴν ὀγδόην γ. τὴν εἰκοστὴν ἐνάτην β. εἶτα τὴν τριακοστὴν ἕνην τε καὶ νέαν. ἐν ᾗ τοῦτο ἀπηρτίζετο. ἐπεὶ ἐν αὐτῇ συντελεῖται ὁ μὴν καὶ ἀρχὴν ἔχει τοῦ ἑτέρου μηνὸς καὶ σελήνης. ὥστε ὁ μὲν εἰκοστὸς ἕκτος παρ᾽ αὐτοῖς πέμπτος ἀκούει. ἡ δὲ εἰκοστὴ ἑβδόμη, τετρὰς λέγεται. Ενη καὶ νέα] ἡ νουμηνία. οὕτω παρ᾽ Ἀθηναίοις ἡ παρ᾽ ἡμῖν τριακάς. ἐπεὶ συμβαίνει ἐν αὐτῇ καταλήγειν τὴν σελήνην καὶ ἄρχεσθαι. τότε δὲ τοὺς μὴ ταχέως ἀποδιδόντας τοὺς τόκους ἢ τὰ δάνεια, ἀπῄτουν ὡς ὑπερόρους. διὸ λυπεῖσθαί φησιν ὡς ὁρῶν ἐνισταμένην ἕνην καὶ νέαν. ἡ δέ ἐστιν ἡ καλουμένη εἰκὰς φθίνοντος ἕνη καὶ νέα ἡ νουμηνία. διὰ μὲν οὖν τὸ παρελθεῖν τοῦ μηνὸς ἕνη. διὰ δὲ τὴν ἀρχὴν, νέα. ἄλλως. ἡ καλουμένη νουμηνία διὰ τὸ ἐπελθεῖν παρελθόντος μηνὸς ἕτερον ἥλιος. ἀρχὴν δὲ τοῦ ἐνισταμένου. τὰς δὲ τριάκοντα ἡμέρας τῆς σελήνης, εἰς τρεῖς δεκάδας Ἀθηναῖοι διαιροῦσι. καὶ τὴν μὲν πρώτην ὡς ἡμεῖς ἀπαριθμοῦνται. τὴν δὲ δευτέραν οὕτως. πρώτη ἐπὶ δέκα. δευτέρα ἐπὶ δέκα. ἄχρι τοῦ θ. τὴν γὰρ εἰκάδα οὕτω καλοῦσι. τὴν δὲ εἰκάδα πρώτην, ὑστέραν δεκάδα καὶ τὴν μετ᾽ ταύτην θ φθίνοντος. ἕως ϐ φθίνοντος, ἥ τις ἐστὶν κθ. τὴν δὲ τριακάδα ἕνην τε καὶ νέαν φασί. Θεῖς μοι πρυτανεῖα] τὰς γὰρ δεκάδας τῶν χρέους καταβάλλοντες τοῖς πρυτανεῦσιν εἰσῆγον τοὺς χρεωστοῦντας. πρυτανεῖα δὲ τὰ νῦν καλούμενα παρὰ Ῥωμαίοις σπόρτουλα. μέμνηται τῆς λέξεως καὶ Ἰσοκράτης ἐν τῇ πρὸς Καλλίμαχον παραγραφῇ. ἔστι δὲ καὶ παρὰ τοῖς ἄλλοις Ἀττικοῖς τὰ πρυτανεῖα. ἦν δὲ ἀργύριόν τι, ὅπερ κατετίθεσαν οἱ δικαζόμενοι ἀμφότεροι, καὶ ὁ φεύγων καὶ ὁ διώκων. ἄλλως. δίκας. ἐκ ταγάς. αὐτὰ γὰρ εἰς τὸ πρυτανεῖον συνήγοντο. τὸ δὲ ἦν δημόσιόν τι θησαυροφυλάκιον. Ολίγον γάρ μοι μέλει.] ἀντὶ τοῦ οὐδὲ ὀλίγον φροντίζω λοιπὸν τῶν δανειστῶν, διὰ τὸ μεμαθηκέναι δηλαδὴ τὸν υἱὸν τὸν ἥττω λόγον, ᾧ περιεγένετο τῶν δίκαια λεγόντων.

BISET. Τὸ φροντιστήριον] ἢ τὴν φροντιστηρίου θύραν. Ημί] φημί, λέγω. νῦν προσφωνητικόν ἐστι μόνον. ἀλλαχοῦ δὲ ταπεινώσεως ἕνεκα παραλαμβάνεται.

ΔΡΑΜΑΤΟΣ ΤΟΥ ΤΕΤΑΡΤΟΥ Σκηνὴ δευτέρα.	ACTVS IV. SCENA II.
ΣΩΚΡΑΤΗΣ, ΣΤΡΕΨΙΑΔΗΣ.	SOCRATES, STREPSIADES.
Σω. Στρεψιάδην ἀσπάζομαι. Στρ. Κἄγωγέ σ᾽, ἀλλὰ τουτονὶ πρῶτον λαβέ.	D Iubeo Strepsiadem saluere. ST. & ego Socratem.
Χρὴ γὰρ ἐπιθαυμάζειν τι τὸν διδάσκαλον.	Age, hunc tu primum cape farina culeum:
	Nam venerari me sic magistrum condecet.
Καί μοι τὸν υἱὸν εἰ μεμάθηκε τὸν λόγον	Sed, dic quæso iam mihi de filio meo,
Ἐκεῖνον, εἴφ᾽, ὃν ἀρτίως εἰσήγαγες.	An sermonem illum à te introductum didicerit.
Σω. Μεμάθηκεν. Στρ. εὖ γ᾽ ὦ παμβασίλει᾽ Ἀπαιόλη.	SO. Didicit utique. ST. Euge: ô fraudem, reginam omnium.
Σω. Ὥστ᾽ ἀποφύγοις ἂν ἥντιν᾽ ἂν βούλῃ δίκην.	E SO. Effugere nunc poteris, quamcunque dicam velis.
Στρ. Κεἰ μάρτυρες παρῆσαν ὅτ᾽ ἐδανειζόμην;	ST. Etiam cùm testes affuerint mihi, fœnori Argentum accipienti? SO. imò si mille fuerint.
Σω. Πολλῷ γε μᾶλλον κἂν παρῶσι χίλιοι.	
Στρ. Βοάσομαι ἄρα τὰν ὑπέρτονον	ST. Exclamabo ergo altissimè.
Βοάν. ἰὼ κλάετ᾽ ὦ βολοστάται,	Iô, Iô, va vobis nummularii:
Αὐτοί τε καὶ τἀρχαῖα, καὶ τόκοι τόκων,	Pereatis & vos, & vestra tabularia,
Οὐδὲν γὰρ ἄν με φλαῦρον ἐργάσαισθ᾽ ἔτι	F Et vsura vsurarum. Nam nullo amplius Me vos affeceritis malo.
Οἷος ἐμοὶ τρέφεται	O mihi, quanta domo
Τοῖσδ᾽ ἐνὶ δώμασι παῖς.	Hac alitur soboles?

Σχόλια. Πρῶτον λαβέ.] θύλακον ἀλφίτων δίδωσιν αὐτῷ. καὶ γὰρ ἄνω εἶπε διαλφιτώσω σου κύκλῳ τὴν κάρδοπον. Επιθαυμάζειν.] θαυμαστῶς τιμᾶν καὶ δεξιοῦσθαι.

BISETVS. Εἴφ᾽ ὃν.] ἀντὶ τοῦ ἐκεῖνον εἰπὲ, εἰς ὃν ἀρτίως εἰσήγαγες τὸν υἱόν μου. ἢ, ὃν σὺ ἀρτίως εἰσήγαγες, καὶ ἐδίδαξας.

Σχόλια. Αρτίως.] διαφέρει τὸ ἄρτι τοῦ ἀρτίως παρὰ Ἀττικοῖς. ἄρτι μὲν γὰρ ἀντὶ τοῦ νῦν. ἀρτίως δὲ πρὸ ὀλίγου. Απαιόλη.] πέπλακεν ὄνομα δαίμονος σωματοποιήσας αὐτὴν παρὰ τὸ ἀπαιολᾶν καὶ κινεῖν καὶ στρέφειν. ἢ τινὰ τοιαύτην ὡς ἂν εἴποι τις ὦ ἀδικία. Λειστοφάνης δὲ ὀξυνίεσθαί φησι τὴν ἐσχάτην ἀπαιολή. τὸ δὲ ὥστε πρὸς τὸ μεμάθηκε. τὸ γὰρ ὦ παμβασίλεια, διὰ μέσου. Βοάσομ᾽ ἄρα.] διπλῆ εἴσθεσις εἰς μέλος ἁρμόζει, τῶν ἰαμβικῶν εἰκοσάκωλος. τὸ μὲν πρῶτον, ἐξ ἰαμβικῆς βάσεως, τῶν ἄρα δύο βραχειῶν ἀντὶ μιᾶς μακρᾶς λογιζομένων. καὶ τροχαϊκοῦ πενθημιμεροῦς. τὸ δεύτερον ἐξ ἰαμβικῆς βάσεως καὶ τροχαϊκοῦ ἑφθημιμεροῦς, τὰ δὲ ἑξῆς δύο ἰαμβικὰ τρίμετρα ἀκατάληκτα, μεθ᾽ ἃ δακτυλικὰ πενθημιμερῆ τρία. τὸ ὄγδοον ἐξ ἰωνικοῦ ἀπὸ μείζονος καὶ χορείου δίμετρον. τὸ ἔνατον ἐξ ἐπιτρίτων τρίτων δίμετρον

τρον ὑπερκατάληκτον. τὸ δέκατον ἐκ διτροχαίου ἀντισπαστικοῦ εἴτε ἐπιτρίτου τετάρτου καὶ διϊάμβου. τὰ ἑξῆς δύο χοριαμβικὰ δίμετρα βραχυκατάληκτα. τὸ τεσσαρεσκαιδέκατον, ἐκ χοριάμβου καὶ σπονδείου. τὸ ιδ, σπονδειακὴ ταυτοποδία. τὸ ιε, ἐκ παίωνος τετάρτου καὶ ἰάμβου. τὸ ις, ἀναπαιστικὸν δίμετρον ἀκατάληκτον. τὸ ιζ, δακτυλικὸν δίμετρον ἀκατάληκτον. τὸ ιη, ὅμοιον τῷ ις. τὰ ἑξῆς δῆλα, ζητητέον δὲ ἀεὶ πάντων ἀκριβέστερον. ἄλλως. παρῳδεῖ τὰ ἐκ Πηλέως Εὐριπίδου. ἐπιφέρει γὰρ ἃ ὑπέλαβον ἥτις ἐν δόμοις καὶ Φρύνιχος Σατύροις. Βοάσομαι γὰρ ἄρα τὰν ὑπέρτονον βοάν. χοριακῇ παρωδίᾳ εἴρηται καὶ

A διαλέκτῳ Δωρίδι. ὑπέρτονον δὲ, μεγάλην ὑπέροχον. φησὶ δὲ εἰ ἄρα ὁ παῖς ἐκπεπαίδευται, μέγιστον ὑπὸ χαρᾶς ἐκβοήσομαι.

BISETVS. ὦ ὀβολοστάται] ὀβολοστατεῖν, τὸ δανείζειν. Λυσίας, οὐδ᾽ ἂν οἱ πολλοὶ ἐλάττονα τόκον λογίσαιντό σοι, ἢ ὅσον οὗτοι ὀβολοστατοῦντες τοὺς ἄλλους πράττονται. ἔλεγον δὲ τοὺς ὀβολοστάτας, τοὺς δανειστὰς ὡς Ὑπερίδης καὶ ἡ κωμῳδία. Σ. Τἀρχαῖα] τὰ τῶν χρεῶν κεφάλαια. καὶ οὕτως ἐνταῦθα γραπτέον. Ἀρχεῖα γὰρ διὰ τῆς ει διφθόγγου, τὰ χαρτοφυλάκια, ἔνθα οἱ δημόσιοι χάρται ἀπόκεινται.

B

Ἀμφήκει γλώττῃ
Ἀδάμαντι. πρόβολος ἐμός.
Σωτὴρ δόμοις. ἐχθροῖς ἀνιαρός.
Λυσανίας πατρῴων μεγάλων κακῶν.
Ὃν κάλεσον τρέχων,
Ἔνδοθεν ὡς ἐμέ.
Ὦ τέκνον, ὦ παῖ παῖ.
Ἔξελθ᾽ οἴκων.
Ἄϊε σοῦ πατρός.
Σω. Ὅδ᾽ ἐκεῖνος ἀνήρ.
Στρ. Ὦ φίλος, ὦ φίλος.
Σω. Ἄπιθι σὺ λαβών.

Perplexa lingua
Fulgens: columen meum,
Custos domûs, atrox inimicis,
Qui grauibus curis eripuis patrem:
Tu properè uoca
E domo ad os patris.
C *O gnate mi: ô fili.*
Exi tecto, au-
dique patrem tuum.
SO. *Et hic ille vir est.*
ST. *O Soboles mea.*
SO. *Abi, & accipe eum.*

Σχόλια. Ἀμφήκει γλώττῃ.] ὡς ἀπὸ εὐθείας τῆς ἀμφήκης. ἀκόλουθον δέ ἐστι τὸ εὖ μοι στομώσεις αὐτὸν, ἐπὶ μὲν θάτερα οἷαν δικιδίοις.

BISETVS. Πρόβολος ἐμός.] ἤγουν ἐμοῦ προβαλλόμενος. προστάτης. τεῖχος. ἀσφάλεια. Σωτὴρ δόμοις] ὡς αὐτὸς ὁ Στρεψιάδης ᾤετο. καὶ γὰρ ὡς Εὐριπίδης λέγει ἐν Ἰφιγενείᾳ ἐν Ταύροις,

Στῦλοι γὰρ οἴκων εἰσὶ παῖδες ἄρσενες.

D ἀλλ᾽ ὡς ἐπὶ τὸ πλεῖστον
Θυρέος γὰρ οἴκων εἰσὶ παῖδες ἄρσενες.

Σχόλια. Λυσανίας.] λύων τὰς τοῦ πατρὸς ἀνίας. ἐκτεταμένως δὲ προσενεκτέον τὴν πρώτην καὶ τὴν τρίτην συλλαβήν. πρὸς δὲ τὴν ὀνοματοποιίαν τῆς Σοφοκλέους μυκτηρίζει λέγοντα. Ζεῦ ἄνοτος ἄγε τὸ Νικομάχου καὶ Πανσανίαν. τῶν Ἀτρειδῶν.

E

ΔΡΑΜΑΤΟΣ ΤΟΥ ΤΕΤΑΡΤΟΥ,

Σκηνὴ τρίτη.

ΣΤΡΕΨΙΑΔΗΣ, ΦΕΙΔΙΠΠΙΔΗΣ.

ACTVS IIII. SCENA tertia.

STREPSIADES, PHIDIPPIDES.

Στρ. Ἰὼ, ἰὼ τέκνον.
Ἰοῦ. ἰοῦ.
Ὡς ἥδομαί σου πρῶτα τὴν χροίαν ἰδών.
Νῦν μέν γ᾽ ἰδεῖν εἶ πρῶτον ἐξαρνητικὸς
Κἀντιλογικὸς, καὶ τοῦτο τοὐπιχώριον
Ἀτεχνῶς ἐπανθεῖ. τὸ, τί λέγεις σύ, καὶ δοκεῖν
Ἀδικοῦντ᾽ ἀδικεῖσθαι, καὶ κακουργοῦντ᾽ οἶδ᾽ ὅτι.
Ἐπὶ τοῦ προσώπου τ᾽ ἐστὶν Ἀττικὸν βλέπος.

F

Io, iô, fili.
Iu, iu.
Vt lætor, cùm primum colorem hunc intueor
Tuum. nam mihi videris ad negandum ita,
Et contradicendum instructus: & in te palam
Illud populare verbum effulget: quid tu ais?
Quid est? vt alicui videare pati iniuriam,
G *Quam tu infers alteri: & damnum accipere aut malum.*
Quod tu das alteri: planè hoc scio, quòd probè
Poßis: nam ipso è vultu aspectus micat Atticus.

Σχόλια. Χροίαν.] ὡς ἐκ τῆς ἀσκήσεως ὠχριάσαντος. οἱ Ἀττικοὶ δὲ παροξύνουσι τὴν χροιάν. Ἰδεῖν εἶ.] λείπει ἡ εἰς. ἵν᾽ ᾖ εἰς τὸ ἰδεῖν. ἐξαρνητικὸς δὲ, ἀρνεῖσθαι δυνάμενος. Ἀτεχνῶς.] ἄγαν ἀκριβῶς. ἐπανθεῖ δὲ, πλεονάζει, ἀκμάζει. Τί λέγεις σύ.] τοῦ περὶ τὴν συνήθειαν καὶ ἀνὰ χώραν ἐχρῶντο. εἰώθαμεν γὰρ ἐν τῇ τῶν

ἐναλλὰξ διάλεξιν λέγει, ἢ λέγεις σύ. ὅτι γὰρ τοὺς ἐναντίους καταπλῆξαι βουλόμεθα, τῇ τοιαύτῃ φωνῇ χρώμεθα, οἷον τί ἀναισχυντοῦντες πρὸς Ἀθηναίους ἀντιθεῖς ἄμφω ἔλεγον τί λέγεις σύ. Βλέπος.] ἀντὶ τοῦ A πανοῦργον τὸ βλέμμα. τὸ δὲ ἦχος πρὸς τὸν σχηματισμὸν τῆς λέξεως. τοὺς μὲν γὰρ Ἀττικοὺς ἐπὶ ἀναιδείᾳ διέβαλλον. τινὲς δὲ Ἀθηναίους ἐπὶ ἀναιδείᾳ καὶ τοὺς ἱκανοὺς εἶναι λέγειν.

Νῦν οὖν ὅπως σώσῃς μ', ἐπεὶ κἀπώλεσας.
Φειδιππ. Φοβεῖ δὲ δὴ τί; Στρ. τὴν ἔνην τε καὶ νέαν. B
Φειδιππ. Ἔνη γάρ ἐστι καὶ νέα τις ἡμέρα;
Στρεψ. Εἰς ἥν γε θήσειν τὰ πρυτανεῖά φασί μοι.
Φειδιππ. Ἀπολοῦσ' ἄρ' αὔθ' οἱ θέντες, οὐ γὰρ ἔσθ' ὅπως
Μί' ἡμέρα γένοιτ' ἂν ἡμέραι δύο.
Στρεψ. Οὐκ ἂν γένοιτο; Φειδιππ. πῶς γὰρ, εἰ μή περ γ' ἅμα
C Αὐτὴ γένοιτο γραῦς τε καὶ νέα γυνή;
Στρεψ. Καὶ μὴν νενόμισταί γ'. Φειδιππ. οὐ γὰρ, οἶμαι, τὸν νόμον
Ἴσασιν ὀρθῶς, ὅ, τι νοεῖ; Στρεψ. νοεῖ δὲ τί;
Φειδιππ. Ὁ Σόλων ὁ παλαιὸς, ἦν φιλόδημος τὴν φύσιν.
Στρεψ. Τουτὶ μὲν οὐδέπω πρὸς ἔνην τε καὶ νέαν. D
Φειδιππ. Ἐκεῖνος οὖν, τὴν κλῆσιν εἰς δύ' ἡμέρας
Ἔθηκεν, εἴς γε τὴν ἔνην τε καὶ νέαν.
Ἵν' αἱ θέσεις γίγνοιντο τῇ νουμηνίᾳ.
Στρεψ. Ἵνα δὴ τί τὴν ἔνην προσέθηκεν; Φειδιππ. ἵν' ὦ μέλε
Παρόντες οἱ φεύγοντες ἡμέρᾳ μιᾷ
Πρότερον, ἀπαλλάττοιντ' ἑκόντες. εἰ δὲ μή,

Nunc ergo ut me, quem perdideras, serues, vide.
PH. *Quid tu ergo times pater?* ST. *diem veterem & nouam*
PH. *Quid? quasi verò vna dies vetus sit & noua?*
ST. *Certè hac se deposituros in foro, mihi*
Minantur fœneratores pecuniam.
PH. *Peribunt, si deponent: neque enim illud potest*
Fieri, vna dies vt sit biduum. ST. *quid? non potest?*
C PH. *Quomodo? Nisi fortè vna mulier simul fiet*
Anus & iuuenis. ST. *at lege sic cautum est.* PH. *at hi,*
Quid lex velit, non rectè intelligunt. ST. *cedò,*
Quid ergo vult? PH. *Solon ille antiquus, fuit*
Naturâ amans populi. ST. *hoc nihil ad veterem & nouam.*
PH. *Atqui is citationem posuit in duos*
Dies in veterem scilicet & nouam diem:
Vt depositiones primo fierent die:
Calendis nimirum mensis cuiuslibet.
ST. *Cur autem veterem apposuit?* PH. *ideo, fatue homo,*
Vt postulati prius vno die in forum,
E *Cum apparuissent, vltro abirent: sin minus,*

Σχόλια. Ἔνη γάρ ἐστιν.] ἀντιλέγει τῷ ὁμολογουμένῳ, ὅτι οὐκ ἔστιν ἡμέρα μία ἔνη καὶ νέα, ἀλλὰ δύο. ὅτι οὐ δυνατὸν τὰς δύο ἡμέρας μίαν γενέσθαι. ἡ δὲ ἐνίκησεν ὅτι οὐ τῆς μιᾶς ἡμέρας ἐστὶ τὰ ὀνόματα. ἀλλὰ τὸ μὲν τῆς λ ἔνη. τὸ δὲ τῆς νουμηνίας, ἡ νέα. ἄλλως. παίζει ἐν τῷ ἐρωτῆσαι. ἔνη γάρ ἐστι καὶ νέα τις ἡμέρα. ὥσπερ καὶ εἰς τὸ ἀλεκτρύαινα καὶ ἀλεκτρυών. ἡ αὐτὴ γάρ ἐστιν ἔνη καὶ νέα. ἡ γὰρ τοῦ μηνὸς πρώτη ἀρχή τε ἐστι τῶν ἐπιλοίπων καὶ νέα. ἐν ταύτῃ γὰρ τὰ τῆς σελήνης χωρεῖ πρὸς αὔξησιν. F Πλούταρχος περὶ τοῦ μὴ δεῖν δανείζεσθαι. τὴν δὲ τράπεζαν ἡ καλὴ Αὐλὶς ἢ Τένεδος ἀντικοσμήσει ταῖς κεραμέοις καθαρωτέροις οὖσι τῶν ἀργυρῶν. οὐκ ὄζει τόκου βαρὺ καὶ δυσχερὲς ὥσπερ ἰοῦ καθ' ἡμέραν ἐπιρρυπαίνοντος τὴν πολυτέλειαν. οὐδὲ ἀναμνήσει τῶν καλανδῶν καὶ τῆς νουμηνίας, ἣν ἱερωτάτην ἡμερῶν οὖσαν ἀποφράδα ποιοῦσιν οἱ δανεισταὶ καὶ στύγιον. Ἀπολοῦντ' ἄρ'.] κωμῳδοῦνται ἅπερ ἀναλίσκουσι. φέρεται δὲ ὅτι οὐ δύναται εἶναί τις ἡμέρα ἡ αὐτὴ G ἔνη καὶ νέα. Γραῦς τε καὶ νέα.] διὰ τοῦτο τὸ παράδειγμα τῆς γυναικὸς ἔθηκε, διὰ τὸ τὴν ἔνην ἀρχαίαν καὶ παλαιὰν καὶ ὥσπερ τέλος τοῦ ὄπισθεν μηνὸς εἶναι. νέαν δὲ τὴν τριακοστὴν πρώτην. ἀφ' ἧς ὁ μὴν ἄρχεται. Ὁ Σόλων ὁ παλαιός.] ἀρχὴ αὐτὴ τῆς τοῦ νόμου διηγήσεως. ἐκωμῳδοῦντο δὲ τοὺς ῥήτορας, οἳ τὰ μὲν ὀνόματα τῶν νομοθετῶν ἴσασιν. οὐ μέντοι τοὺς νόμους. Τουτὶ μέν.] ὡς ἀναχόμενος ὁ Στρεψιάδης ἀκούσας πάντα τὸν λόγον, ἐκ τῆς κοπῆς τοῦτό φησι τὸ οὐδέν ἐστι τοῦτο πρὸς τὴν ἔνην τε καὶ νέαν. Τὴν κλῆσιν.] τὴν ἐν ταῖς δίκαις εἰσαγωγήν, ἣν καλοῦνται γὰρ εἰς τὰ δικαστήρια. Εἰς δύ' ἡμέρας.] ἐν χερσὶ λέγειν ὅτι οὐκ ἔστι μία ἡμέρα ἔνη καὶ νέα. ἀλλ' ἐπὶ δύο. ἔνη μὲν ἡ λ. νέα δὲ ἡ νουμηνία. τὰς οὖν κλήσεις τῶν δικῶν τῇ λ φασὶ γενέσθαι ὅπως ὁ κληθεὶς εἰς τὴν δίκην, ἔχῃ τὴν τριακοστὴν ὅλην εἰς τὸ σκέψασθαι περὶ αὐτοῦ καὶ μὴ ἀποτομίᾳ ζημιωθῇ. ὥς τι καλεῖσθαι καὶ τὰ πρυτανεῖα θεῖναι ἐν τῷ δήμῳ. οὐ χεῖρον δὲ καὶ τὰ παρὰ Πλουτάρχῳ περὶ Σόλωνος παραθέσθαι. συνιδὼν γάρ φησι τοῦ μηνὸς τὴν ἀνωμαλίαν καὶ τὴν κίνησιν τῆς σελήνης οὔτε δυομένῳ τῷ ἡλίῳ πάντως οὔτε ἀνίσχοντι συμφερομένην, ἀλλὰ πολλάκις τῆς αὐτῆς ἡμέρας καὶ καταλαμβάνουσαν καὶ παρερχομένην τὸν ἥλιον. αὐτὴν μὲν ἔταξε ταύτην ἔνην καὶ νέαν καλεῖσθαι. τὸ μὲν πρὸ συνόδου μόριον αὐτῆς, τῷ παυομένῳ μηνί, τὸ δὲ λοιπὸν ἤδη τῷ ἀρχομένῳ προσήκειν ἡγούμενος. πρῶτος ὡς ἔοικεν ὀρθῶς ἀκούσας Ὁμήρου λέγοντος. τοῦ μὲν φθίνοντος μηνός, τοῦ δ' ἱσταμένοιο. τὴν δ' ἐφεξῆς ἡμέραν νουμηνίαν ἐκάλεσεν. τὰς ἀπ' εἰκάδος οὐ προστιθεὶς ἀλλ' ἀφαιρῶν καὶ ἀναλύων ὥσπερ τὰ φῶτα τῆς σελήνης ἑώρα μέχρι τριακάδος ἠρίθμησεν. Ἵν' αἱ θέσεις.] αἱ δίκαι καὶ αἱ μεταβολαὶ τῶν πρυτανείων. ἅπερ μισθός ἦν τῆς εἰσαγωγῆς τῆς δίκης. ἄλλως. θέσεις τὰ δικαστήρια.

κας ἥτεια. διὰ τὸ τοὺς δικαζομένους δραχμὴν τῷ δημοσίῳ διδόναι. Ἵν' ὦ μέλε.] ἵνα φησὶ παρόντες οἱ ἐναγόμενοι, εἰ συνίδοιεν ἑαυτοῖς ἀδικοῦσι καὶ ὀφείλουσι, τοῦ δικάζεσθαι ἀπαλλάττοιντο, διαλυσάμενοι πρὸς τοὺς δανειστὰς, διὰ τῆς τῶν τόκων ἀποδόσεως. εἰ δὲ μὴ οἰκεία ἀποδοῖεν γνώμῃ, ὑπὸ τῆς δικαστηρίου λυποῖντο. εἰς σκέ-

A ψιν οὖν αὐτοῖς φησιν ἐδίδοτο ἡ τριακοστή. ἄλλως. ἵνα πρὸ μιᾶς ἡμέρας παρόντες οἱ κατηγορούμενοι διαλυθῶσιν: εἰ δὲ μὴ, τῇ νουμηνίᾳ δικάζοιντο. εἰς σκέψιν οὖν αὐτοῖς ἡ τριακοστὴ συνεχωρεῖτο, ἵνα παρόντες τῇ κλήσει συνίδοιεν τὰς ἡμέρας ἐν αἷς μετὰ τῶν ἐχθρῶν δικάζοιντο.

Ἕωθεν ὑπανιῷντο τῇ νουμηνίᾳ.
Στρεψ. Πῶς οὐ δέχονται δῆτα τῇ νουμηνίᾳ.
Ἀρχαὶ τὰ πρυτανεῖ', ἀλλ' ἔνῃ τε καὶ νέᾳ;
Φειδ. Ὅπερ οἱ προτένθαι γὰρ δοκοῦσί μοι παθεῖν,
Ἵν' ὡς τάχιστα τὰ πρυτανεῖ' ὑφελοίατο.
Διὰ τοῦτο προὐτένθευσαν ἡμέρᾳ μιᾷ.
Στ. Εὖ γ' ὦ κακοδαίμονες, τί κάθησθ' ἀβέλτεροι,
Ἡμέτερα κέρδη τῶν σοφῶν, ὄντες λίθοι,
Ἀριθμὸς, πρόβατ' ἄλλως, ἀμφορῆς νενασμένοι.
Ὥστ' εἰς ἐμαυτὸν, καὶ τὸν υἱὸν τουτονὶ,
Ἐπ' εὐτυχίαισιν ᾀστέον μοὐγκώμιον.
Μάκαρ ὦ Στρεψίαδες,
Αὐτός τ' ἔφυς ὡς σοφός;
Χ' οἷον τὸν υἱὸν ἐκτρέφεις;
Φήσουσι δή μ' οἱ φίλοι,
Χ' οἱ δημόται ζηλοῦντες.
Ἡνίκ' ἂν σὺ νικᾷς λέγων τὰς δίκας.
Ἀλλ' εἰσαγαγὼν σε βούλομαι
Πρῶτον ἑστιᾶσαι.

Ii statim ab aurora diei posteri,
B Calendis ipsis vexarentur postmodum.
ST. Cur ergo magistratus non capiunt Sportulam
Calendis, sed die vetere & noua?
Cur uno praeuertunt die? PH. certè illi idem
Faciunt quod praegustatores facere solent:
Nam vt sportulas praeripiant quàm celerrimè,
Iccircò nummos praegustant vno die.
C ST. O vos miseri, quid stolidi desidetis hic?
Nos nostram rem facimus, qui rectè sapimus: at
Vos estis caudices, lapides, numerus, ouis.
Vos amphorae vino expletae. Quare mihi
Ob res secundas accinendum carmen est,
Quo & filium & me ss fortunas praedicem.
Bene habes Strepsiades:
D Namque vt sapiens vir es?
Et qualem habes hunc filium?
Dicent amici mihi,
Et aemulantes ciues:
Quando tu perorauerìs in foro.
Sed iam introductum te volo
Recreare mensa.

Σχόλια. Ὑπανιῷντο.] ἀντὶ τοῦ μετὰ βίας ἀπαιτοῖντο. ἔθος γὰρ ἦν καταβάλλειν τῇ νουμηνίᾳ. Ἔνῃ τε καὶ νέᾳ.] ἀποδεικτικὸς ὁ τόπος, ὅτι ἔνη καὶ νέα λέγεται ἡ τριακάς. ἀντιδιέστελλε γὰρ πρὸς νουμηνίαν. ἀρχαὶ δὲ οἱ ἄρχοντες. πρυτανεῖα δὲ τὰ διδόμενα ἀπὸ τῶν δικαζομένων τῷ δημοσίῳ ἀργύρια. Ὅπερ οἱ προτένθαι.] οὐκ ἔτι γὰρ δίδοται αὐτοῖς ἡ σκέψις ἡ πρὸ μιᾶς. ἀλλ' εὐθὺς ἐπὶ τὸ καταβάλλειν ὁρμῶσιν. εἰκὸς γὰρ αὐτοὺς ἀποσχιζομένους τῆς ἐν δεσίμῳ τριακοστῇ, καταβάλλειν χωρὶς δίκης τὸ χρέος, καὶ μηκέτι τούτους λαμβάνειν τὰ πρυτανεῖα. διὰ τοῦτο τοίνυν προέλαβον τὴν προθεσμίαν ἀπὸ τοῦ ἐπιθυμητικῶς ἔχειν ὑπὸ τοῦ κερδαίνειν ἡττώμενοι. προτένθαι δὲ οἱ προλαμβάνοντες καὶ προεσθίοντες τὰ ὄψα πρὶν εἰς ἀγορὰν κομισθῆναι, καὶ μετεπιπράσκοντες πλείονος, οἱ νῦν μετάβολοι καλούμενοι, ἢ λίχνοι, ἢ ἀκρατεῖς. Ὑφελοίατο] λάβοιεν. οὐκ ἔτι γὰρ δίδοται αὐτοῖς ἡ σκέψις ἡ πρὸ μιᾶς, ἀλλ' εὐθὺς ἐπὶ τὸ καταλαβεῖν ὁρμῶσι. Προὐτένθευσαν.] προελιμβεύσαντο. προελιχνεύσαντο. προεθέσμευσαν ἡμέραν μίαν. προέλαβον τὴν προθεσμίαν ὑπὸ τοῦ ἐπιθυμητικῶς ἔχειν τοῦ κέρδους.

BISETVS. Εὖ γ' ὦ κακοδαίμονες.] ταῦτα περὶ τῶν δανειστῶν τουτέστιν, οὓς καὶ μὴ παρόντας ὁ Στρεψιάδης ἐγκαλλόμενος καὶ τῇ τοῦ υἱοῦ σοφιστικῇ τέχνῃ πεποιθὼς, κωμαστικῶς οὕτω προσφωνεῖ. εὖ γε, καλῶς, ἴσως. λέγεται καὶ ἐπὶ εἰρωνείας πολλάκις. Σ. Τί κάθησθ' ἀβέλτεροι] ἄδηλον εἰ ὁ Στρεψιάδης πρὸς αὐτοὺς τοὺς δανειστὰς, ἢ

E πρὸς τοὺς θεατὰς ἐπιστραφεὶς, ὡς παρὰ τῷ Σουίδᾳ γέγραπται, ταῦτα ἐπιφέρει.

Σχόλια. Ἀβέλτεροι.] ἀνόητοι. βέλτερος γὰρ ὁ φρόνιμος. ἢ ἀπαίδευτοι. πρὸς δὲ τοὺς δανειστὰς ποιεῖται τὸν λόγον. διὰ γὰρ τοῦ μωροῦ δοκιμάζεται ὁ φρόνιμος.

BISETVS. Ἡμέτερα κέρδη τῶν σοφῶν] ταῦτα διὰ παρενθέσεως γραπτέον δοκεῖ. ἄδηλον δὲ, ὡς προείρηται, πρὸς τίνας λέγεται. εἰ μὲν γὰρ πρὸς τοὺς δανειστὰς, ὁ Στρεψιάδης αὑτὸν, καὶ τὸν Φειδιππίδην σοφοὺς εἶναι νομίζων, ὡς εἰκός ἐστι τοὺς τοῦ Σωκράτους μαθητὰς, τοὺς δα-
F νειστὰς ὡς ἀμαθεῖς, καὶ ἀπαιδεύτους, καὶ ῥᾳδίως διὰ τοῦτο παραλογίζεσθαι, καὶ ἀπατᾶσθαι δυναμένους εὐτελίζει, καὶ φλαυρίζει. εἰ δὲ πρὸς τοὺς θεατὰς, ὃ καὶ πιθανώτερον, διὰ τοῦ ῥήματος κάθησθε. τούτους ὡς ἀργοὺς, καὶ ἀργίας ἐραστὰς χαριέντως σκώπτει. ἡμέτερα δὲ κέρδη τῶν σοφῶν ἤγουν ἡμῶν, οἱ σοφοὶ τυγχάνομεν ὄντες. Ὄντες λίθοι] τουτέστιν ἠλίθιοι. ἀναίσθητοι. μεταφορικῶς. Ἀριθμὸς] παροιμιακῶς. ὅμοιον τούτῳ τὸ,

ἐτώσιον ἄχθος ἀρούρης.

G Πρόβατα] στικτέον οὕτως. ὄντες λίθοι, ἀριθμὸς, πρόβατα. Ἄλλως ἀμφορῆς νενασμένοι] Σουίδας. κέραμοι ματαίως σεσωρευμένοι. ἄλλως. κατὰ τὸν Εὐστάθιον, τὰ μάτην, καὶ μὴ κατὰ γνώμην συμβάντα, ἄλλως ἀναβεβηκέναι λέγονται. ὑπακουομένου τῶν, ἢ ὡς ἤλπιζέ τις. Νῆσαι. τὸ σωρεῦσαι. Εὐστάθιος. νῆσαι, καὶ νηῆσαι. τὸ σωρεῦσαι καὶ φορτίσαι. ἀπὸ τοῦ νηίου θέματος, ὃ καὶ τῷ νήσω κοινότερον λέγεται. καὶ νήθω, παρὰ τὸ νῶ, τὸ σωρεύω, ὅ-

A θεν τὸ νένησμαι, καὶ νένασμαι κατὰ τροπὴν τοῦ η εἰς α. ἀλλὰ βέλτιον ἴσως εἰ τὸ νενασμένοι λαμβάνοιτο ἀντὶ τοῦ πεπληρωμένοι, ὥσπερ ἐν ταῖς Ἐκκλησιαζούσαις αἱ τράπεζαι ἐπινενασμέναι ἁπάντων ἀγαθῶν λέγονται, τουτέστι πεπληρωμέναι. ἐν σελίδι 504. καὶ ταῦτα, ἀμφορῆς ἄλλως νενασμένοι, παροιμιακῶς δύναται λέγεσθαι περὶ ἀνθρώπων, οὓς ἀχρήστους νομίζομεν, καὶ παρ' οὐδὲν ἡγούμεθα.

Σχόλια. Μάκαρ Στρεψιάδης.] Στρεψιάδη μὲν ἡ κλητική. ἀλλ' ἵνα παίξῃ εἰς τὸ ὄνομα διέστρεψε τὴν κλη-B τικὴν καὶ ὡς ἀγροῖκος ἐποίησεν. ἔκθεσις δὲ τῆς διπλῆς περιοδικῆς, εἰς μέλος μονοστροφικὸν τῶν ὑποκειτοῦ ὀκτάκωλος. ὧν τὸ πρῶτον, ἰωνικὸν ἀπ' ἐλάσσονος δίμετρον καταληκτικόν. εἰ δὲ βούλει ἀναπαιστικὸν πενθημιμερές. τὸ δεύτερον ἰωνικὸν ἀπὸ μείζονος ἑφθημιμερὲς ἀντὶ ἰωνικοῦ ἔχον ἐπίτριτον. τὸ τρίτον ἰαμβικὸν δίμετρον ἀκατάληκτον. τὸ τέταρτον ὅμοιον τῷ δευτέρῳ. τινὲς δὲ ταῦτα τὰ τρία ἀπὸ ἰαμβικῆς βάσεως καὶ τροχαϊκῆς καταληκτικῆς. τὸ πέμπτον ἰαμβικὸν ἑφθημιμερές, τὸ ϛ ἰωνικὸν τρίμετρον καταληκτικὸν ἐκ διτροχαίου καὶ ἐπιτρίτου καὶ κρητικοῦ. εἰ δὲ βούλει τροχαϊκὸν τρίμετρον καταληκτικὸν ἰάμβου κατὰ τὴν τετάρτην χώραν, ὡς ἐπὶ τῆς παραβάσεως τεθεαμένου. ἢ τὸ μὲν πέμπτον ἰωνικὸν δίμετρον ἀκατάληκτον. τὸ δὲ ἕκτον ἐξ ἰαμβικοῦ πενθημιμεροῦς, καὶ δοχμίου συζυγίας συνῆψε τῇ λέξει καὶ ἑτέραν διαίρεσιν τὴν εἰς ἰαμβικὴν τρίμετρον ὥσπερ καταληκτικὴν καὶ δόχμιον. τὸ ἕβδομον ἰωνικὸν δίμετρον ὑπερκατάληκτον. ἐξ ἰωνικοῦ καὶ διτροχαίου. ἢ ἰαμβικὸν δίμετρον ἀκατάληκτον. τὸ η ἰωνικὸν ἡμιόλιον ἐκ διτροχαίου καὶ σπονδείου ἢ τροχαϊκὸν ἰθυφαλλικόν. ἐπὶ τῷ τέλει δύο διπλαῖ ἔξω νενεύκασι. ἡ μὲν ἐν ἀρχῇ, ἡ δὲ κατὰ τὸ τέλος. ἔστι δὲ καὶ ταῦτα πολυσχημάτιστα κατὰ τὸν εἰρημένον τρόπον.

C

ΔΡΑΜΑΤΟΣ ΤΟΥ ΤΕΤΑΡΤΟΥ

Σκηνὴ τετάρτη.

ΠΑΣΙΑΣ Ο ΔΑΝΕΙΣΤΗΣ, ΣΤΡΕΨΙΑΔΗΣ, ΜΑΡΤΥΡ.

Τρίμετροι.

ACTVS IV. SCENA quarta.

Pasias Danista, Strepsiades, Testis.

Senarij.

D Εἶτ' ἄνδρα τῶν αὑτοῦ τι χρὴ προϊέναι;
Οὐδέποτέ γ'. ἀλλὰ κρεῖττον ἦν εὐθὺς τότε
Ἀπερυθριάσαι μᾶλλον, ἢ σχεῖν πράγματα,
Ὅτε τῶν ἐμαυτοῦ γ' οὕνεκα νυνὶ χρημάτων
Ἕλκω σε κλητεύσοντα, καὶ γενήσομαι
Ἐχθρὸς ἔτι πρὸς τούτοισιν ἀνδρὶ δημότῃ.
E Ἀτὰρ οὐδέποτέ γε τὴν πατρίδα καταισχυνῶ
Ζῶν, ἀλλὰ καλοῦμαι Στρεψιάδην. Στρ. τίς οὑτοσί;
Πασ. Ἐς τὴν ἕνην τε καὶ νέαν. Στρεψ. μαρτύρομαι,
Ὅτι ἐς δύ' εἶπεν ἡμέρας. τοῦ χρήματος;
Πασ. Τῶν δώδεκα μνῶν, ἃς ἔλαβες, ὠνούμενος
F

D *Itáne tandem fas sit hominem sua perdere?*
Minimè omnium: sed deposuisse iam statim
Satius erat multò, quàm tot molestiis
Affici. Equidem mea causa pecuniæ,
Nunc detraho, vt in ius debitorem mihi voces,
Vtque ex amico inimicum ego iam mihi comparem:
E *Nunquam tamen patriæ meæ fuero probro.*
Quoad vixero, sed vocabo Strepsiadem. ST. *quis hic?*
PA. *Heus tu, vetus & noua appetiit iam dies.*
ST. *Ego testor vos, quòd dixerit duos dies.*
Sed cuiusnam pecuniæ causa? cedò.
PA. *Propter duodecim minas, quas fœnore*
F

Σχόλια. Εἶτ' ἄνδρα] κορωνὶς ὁμοία τῇ ῥηθείσῃ. οἱ δὲ στίχοι ἰαμβικοὶ τρίμετροι ἀκατάληκτοι μέ. ὧν τελευταῖος ὅτι ἡ κάλεσας εὐθυκῶς τὴν κάρδοπον. ἐπὶ τῷ τέλει κορωνίς. ἔρχεται δὲ δανειστὴς τοῦ Στρεψιάδου Πασίας ἄγων μεθ' ἑαυτοῦ καὶ μάρτυρα. πρὸς ὃν διαλέγεται. προΐεναι δὲ ἀντὶ τοῦ προδιδόναι καὶ κιχρᾶν. ἐγκαλεῖ δὲ ἐπὶ τῷ μὴ κομίσασθαι ὅπερ ἐδανείσατο χρήματα. φησὶν οὖν οὐ χρὴ ῥᾳδίως ἄλλοις προΐεσθαι τὰ ἑαυτοῦ χρήματα. ἐμφαντικῇ δὲ λέξει ἐχρήσατο, G εἰπὼν μὴ διδόναι. ὁ γὰρ δῶρον λαβὼν τάχα τὴν χάριν οἶδε τῷ δεδωκότι. ἀλλ' οὔτε δανείσας. ὁ γὰρ δανείζων, ἐπὶ μείζονι ὠφελείᾳ δίδωσί τινι. ἀλλὰ προΐεναι ἐμφαντικῶς, ἀντὶ τοῦ ῥιπτεῖν καὶ ἀπολέσαι καὶ σκορπίζειν. Ἀπερυθριάσαι γε μᾶλλον.] ἀντὶ τοῦ ἀρνησάμενον μὴ χρῆσαι. ἢ σχεῖν ταῦτα πράγματα ἔχειν. ἀναισχυντῆσαι εἰπόντα μὴ ἔχειν.

Bisetvs. Κλητεύσοντα] τουτέστι μαρτυρήσοντα, ὅτι καλῶ αὐτὸν εἰς τὸ δικαστήριον. Σ.

Σχόλια. Ἐς τὴν ἕνην τε καὶ νέαν.] εἰς δικαστήριον δηλονότι, ὑπέρβατόν δέ. ἀλλὰ καλοῦμαι Στρεψιάδην, εἰς ἕνην τε καὶ νέαν. ἀπὸ κοινοῦ δὲ τὸ καλοῦμαι. Τοῦ χρήματος.] λείπει χάριν ἢ περί. Ἀττικῶς ἕνεκα τοῦ χρήματος ἤγουν τοῦ πράγματος ἐρωτηματικῶς. εἶτα ἀποκρίνεται ὁ δανειστὴς τῶν δώδεκα μνῶν καὶ τὰ ἑξῆς.

Τὸν ψαρὸν ἵππον. Στρεψ. ἵππον; οὐκ ἀκούετε; A
Οὐ πάντες ὑμεῖς ἴστε μισοῦνθ' ἱππικήν;
Πα. Καὶ νὴ Δί' ἀποδώσειν γ' ἐπώμνυς τοὺς θεοὺς
Τὸ χρέος. Στρεψ. μὰ Δί', οὐ γάρ πω τότ' ἐξηπίστατο
Φειδιππίδης μοι τὸν ἀκατάβλητον λόγον. B
Πασ. Νῦν δὲ διὰ τοῦτ' ἔξαρνος εἶναι διανοεῖ;
Στρ. Τί γὰρ ἄλλ' ἂν ἀπολαύσαιμι τοῦ μαθήματος;
Πα. Καὶ ταῦτ' ἐθελήσεις ἀπομόσαι μοι τοὺς θεούς,
Ἵν' ἂν κελεύσω 'γώ σε; Στρεψ. τοὺς ποίους θεούς; C
Πασ. Τὸν Δία, τὸν Ἑρμῆν, τὸν Ποσειδῶ. Στρεψ. νὴ Δία,
Κἂν προσκαταθείην γ', ὥστ' ὀμόσαι, τριώβολον.
Πασ. Ἀπόλοιο τοίνυν, ἕνεκ' ἀναιδείας ἔτι.
Στρεψ. Ἁλσὶ διασμηχθεὶς, ὄναιτ' ἂν οὑτοσί. D
Πασ. Οἴμ', ὡς καταγελᾷς. Στρεψ. ἓξ χοᾶς χωρήσεται.
Πασ. Οὔτοι μὰ τὸν Δία τὸν μέγαν, καὶ τοὺς θεούς,
Ἐμοῦ καταπροΐξει. Στρεψ. θαυμασίως ἥσθην θεοῖς,
Καὶ Ζεὺς γελοῖος ὀμνύμενος τοῖς εἰδόσιν.
Πασ. Ἦ μὴν σὺ τούτων τῷ χρόνῳ δώσεις δίκην. E
Ἀλλ' εἴτ' ἀποδώσεις μοι τὰ χρήματ' εἴτε μή,

Capiebas, cùm gnato maronem emeres equum.
ST. Equum? auditin'? an non vos omnes propalam
Nouistis, quòd equestrem ego rem prorsus oderim?
PA. Et per Iouem te redditurum debitum
Omnes iurabas tum Deos. ST. ita per Iouem
Sed inexpugnabilem illum dicendi modum
Tunc meus adhuc ignorabat Phidippides.
PA. Num tu ideo debitum negare cogitas?
ST. Nam, quem alium fructum disciplinæ huius auferam?
PA. Etiámne hæc audebis negare per Deos,
Si te iussero? ST. per quos Deos? cedò. PA. per Iouem,
Per Mercurium, per Neptunum. ST. sic, per Iouem.
Et ni iurem, deponam etiam triobolum.
PA. Male pereas ob summam hanc impudentiam.
ST. Sale si quis perfricet isthunc, saluum fecerit.
PA. Vah, numquid irrides? ST. sex capiet congios.
PA. Ita me magnus amet Iuppiter, & Dÿ cæteri:
Haud impunè feres, quòd mihi sic illuseris.
ST. Ego verò mirificè delector Dÿs tuis;
Et iuratus Iuppiter his, qui rectè sciunt,
De idiculo atque oblectamento est. PA. ne tu homo,
Pro his dictis omnibus pœnam aliquando dabis.
Sed age, vtrum redditurus sis pecuniam.

Σχόλια. Τὸν ψαρόν.] τὸν ταχὺν ἀπὸ τοῦ ψαίρειν. ὅθεν καὶ αἱ ψῆρες ἀπὸ τοῦ χρώματος τοιοῦτοι. Τὸν ἀκατάβλητον.] τὸν ἀήττητον, τὸν μηδενὶ καταβαλλόμενον. πρὸ δὲ τοῦ μὰ τὸν Δία, τὸ ναὶ λείπεται ἔξωθεν οὕτως. ναὶ ὤμνυον, οὐ γὰρ ἠπίστατο μὰ τὸν Δία ὁ Φειδιππίδης καὶ τὰ ἑξῆς. Προσκαταθείην ἂν ἀντὶ τοῦ ζημιωθείην ἂν τρεῖς ὀβολοὺς ἵνα ἐπιτρέψης μοι ὀμόσαι τοὺς θεούς. οὕτω καταφρονῶ τοῦ ὅρκου. ὅτι γὰρ ὥς φασιν [illegible]. τὸ δὲ ἑξῆς καὶ προσκαταθείην ἂν [illegible] ὥστε [illegible] νὴ Δία. Διασμηχθείς.] οἱ σμηχόμενοι ἁλσὶ βελτίονες γίνονται [illegible] καὶ ὅτι τοὺς [illegible] ἁλσὶ [illegible] ἐλαίῳ διέβρεχον καὶ [illegible] [illegible]. τὰ γὰρ [illegible] τῶν δερμάτων ἁλσὶ μαλαττόμενα εὐρύτερα γίνεται ὥστε πλεῖον χωρεῖν μέτρον. ὄναιτο δὲ διὰ τὸ [illegible] τοῦ δέρματος ἀποκαθαρθεὶς τὴν παχύτητα [illegible] ἀπὸ τῶν [illegible]. ταῦτα δὲ λέγει ἢ ἀσκὸν ἢ ἀγγεῖον χαλκοῦν [illegible] ὡς ἐπ' ἀγγείου [illegible] [illegible] ἐπὶ οἴνου. οἱ γὰρ δεχόμενοι ἅλας οὐ [illegible] ἀλλὰ [illegible] τὴν μεταφορὰν εἴληφεν ἀπὸ τῶν κεραμέων καὶ τοῦ οἴνου. οἷς [illegible] ὑπὲρ τοῦ μὴ ὀξίζεσθαι [illegible]. ἢ ἐπεὶ τοὺς [illegible] [illegible] ἁλσὶ μεμιγμένῳ. ὡς οὖν τοῦ δανειστοῦ [illegible] ἀλλὰ [illegible] ὡς ἐπὶ ἀμολογήμασιν ἔξαρνος ἐστίν. [illegible] τῇ μεταφορᾷ ἐχρήσατο. φησὶν οὖν [illegible] λυχέντα [illegible] ὠφεληθείη διαβρεχθεὶς ἁλσίν. Ἓξ χοᾶς.] πάλιν χλευάζει ὡς ἐπὶ ἀμφορέως ἢ οἴνου ἢ πρὸς τὸ ἀνωτέρω. ἂν σμηχθῇ τέλειον χωρήσει ὥσπερ λήκυθος ἢ ἀσκὸς ἢ ἄλλο τι τῶν τοιούτων. πλέον γὰρ χωρεῖ τῶν ἐμπεφρακότων ἀποβεβυσμένων [illegible] μέτροις ᾧ μετροῦσι τὸν οἶνον. [illegible] χοῦς ὡς Πηλεὺς ὡς [illegible] φησιν. ἀλλ' ἐξένεγκέ μοι ταχέως οἴνου χοᾶ. ἐνταῦθα δὲ τὸ χοᾶς [illegible] ἐκ τοῦ χοῦς ἐστι κατὰ ποιητικὴν ἄδειαν. χοεὺς γὰρ [illegible] [illegible], ἐξ ἑτέρας ἐστὶν εὐθείας ἥτις ἐστὶν ἡ χοῦς [illegible] τοῦ χοεὺς. Καταπροΐξει.] [illegible] τὴν προῖκα [illegible] χαρῇ μοι. Ἥσθην.] [illegible] τὸ φησιν. [illegible] γὰρ τὸ [illegible] τοῦ Διὸς, γέλωτα τὸν ἐκείνου τιθέμενος ὅρκον. ταῦτα δέ φασιν [illegible] δεδίδακται μήτε τὸν Δία μήτε τοὺς ἄλλους ἡγεῖσθαι θεοὺς, ἀλλ' ἢ τὰς Νεφέλας καὶ τὸν Δῖνον ὡς ἔφησεν ὁ Σωκράτης. Τοῖς εἰδόσιν.] ἀντὶ τοῦ ἐμοὶ τῷ εἰδότι. ἢ τοῖς ἐπισταμένοις καὶ εἰδόσιν ὅτι ὁ Ζεὺς οὐδείς ἐστι. διὸ καὶ γέλωτος ποιητικὸς ὁ Ζεὺς [illegible].

F G

R

Ἀπόπεμψον ἀποκρινάμενος. Στρ. ἔχε νυν ἡσυχος.
Ἐγὼ γὰρ αὐτίκ' ἀποκρινοῦμαί σοι σαφῶς.
Πα. Τί σοι δοκεῖ δράσειν; Μαρ. ἀποδώσειν σοι δοκεῖ.
Στρεψ. Ποῦ 'σθ' οὗτος, ὁ 'παιτῶν με τ' ἀργύρειον; λέγε,
Τουτὶ τί ἐστι; Πασ. τοῦθ' ὅτ' ἐστί; κάρδοπος.
Στρεψ. Ἔπειτ' ἀπαιτεῖς τἀργύρειον τοιοῦτος ὤν;
Οὐκ ἂν ἀποδοίην οὐδ' ὀβολὸν ἂν οὐδενί,
Ὅστις καλέσειε κάρδοπον τὴν καρδόπην.
Πασ. Οὐκ ἄρ' ἀποδώσεις; Στρ. οὐχ, ὅσον γέ μ' εἰδέναι.
Οὔκουν ἀνύσας τι θᾶττον, ἀπολιταργιεῖς
Ἀπὸ τῆς θύρας; Πασ. ἄπειμι καὶ τοῦτ' ἴσθ', ὅτι
Θύσω πρυτανεῖ', ἢ μηκέτι ζῴην ἐγώ.
Στρεψ. Προσαποβαλεῖς ἄρ' αὐτὰ πρὸς ταῖς δώδεκα,
Καίτοι σε τοῦτό γ' οὐχὶ βούλομαι παθεῖν.
Ὅτι 'κάλεσας εὐηθικῶς τὴν κάρδοπον.

A An non, responde, ac dimitte me. ST. habe animum bonum.
Iam enim statim respondebo dilucide.
PA. Quid facturus videtur tibi? TE. pecuniam
Videtur esse redditurus debitam.
ST. Vbi ille 'st, qui argentum à me postulat: cedo,
Quid hoc est? PA. id quod 'st, cardopus, aut
B alueus.
ST. Túne argentum à me deinceps postules
Qui tam rudis es? at ego obolum non redduim
Vlli, qui Cardopum dicit pro Cardopa.
PA. Quid? an non reddes? ST. non, quod ego quidem sciam,
Sed non tu desistis, atque isthinc te amoues
A foribus? PA. abeo: verùm tu hoc scias interim,
C Quòd deponam nummos, aut non viuam ego, hodie.
ST. At hoc argentum perdes cum duodecim
Minis: quanquam ego nolim te hoc multari malo,
Quòd Cardopam stultè appellâris Cardopum.

Σχόλια. Ἀποδώσειν σοι] τινὲς τοῦτο τοῦ κλητῆρος φασὶ λέγειν. ἢ εἰσελθόντος τοῦ Στρεψιάδου ὁ δανειστὴς φασὶ πρὸς τὸν μάρτυρα. Τουτί, τί ἐστιν.] εἰσελθὼν ὁ Στρεψιάδης προῆλθε πάλιν τῆς οἰκίας, σφαγίδιον ἢ μαγίδιον ἐξαγαγών. ἀνερωτᾷ οὖν αὐτὸν καὶ πυνθάνεται ὅτι ποτὲ αὐτὸ προσαγορεύοι. ὁ δὲ συνήθως φησὶν ἀρσενικῶς, κάρδοπος εἶναι. ὁ δὲ ἀπὸ τοῦ Σωκράτους καρδόπην αὐτὸ δεδίδακται λέγειν. ἵνα οὖν ἀμαθῆ καὶ ἀπαίδευτον ἀπὸ τούτου ἀποδείξῃ τὸν δανειστήν, οὕτω φησίν. Οὐχ ὅσον γέ μ' D εἰδέναι.] ἀντὶ τοῦ ὡς νομίζω ἐν ὅσῳ ἐν ἐμαυτῷ εἰμι, καὶ οἶδά τι. Ἀπολιταργιεῖς] λιταργισμοὺς ἐκάλουν τὰ σκιρτήματα. ἀποδραμῇ, ἀποσκιρτήσεις. καταλείψῃ ἀπὸ τῆς θύρας. ἤτις ἐστὶν ἡ λίτη ἡ ἀπὸ τοῦ ἀργοῦ, ὃ δηλοῖ τὸ ταχὺ, καὶ τὸ λιπεῖν. ταχέως ἂν φησὶν ἀποδραμῇ. Θύσω πρυτανεῖα] λείπει χρέος κατὰ σοῦ. ἐν γὰρ τῷ πρυτανείῳ ἐτίθεσαν τὰς τῶν ἀδικημάτων χρέας εὐηθικῶς δὲ ἀπαιδεύτως. Προσαποβαλεῖς.] ἀντὶ τοῦ ζημιωθήσῃ καὶ τὰ πρυτανεῖα πρὸς τὰς δώδεκα μνᾶς ὅ ἐστι τὸ ἐπιτίμημα τῆς δίκης. ὅπερ καλεῖται συνωνύμως παρακαταβολή.

E

ΔΡΑΜΑΤΟΣ ΤΟΥ ΤΕΤΑΡΤΟΥ,
Σκηνὴ πέμπτη.

ΑΜΥΝΙΑΣ Ο ΔΑΝΕΙΣΤΗΣ, ΣΤΡΕΨΙΑΔΗΣ, ΜΑΡΤΥΡ.

Τρίμετροι.

ACTVS IV. SCENA quinta.

AMYNIAS DANISTA, STREPSIADES, TESTIS.

F

Senarij.

Βισετυς. Προσέρχεται Ἀμυνίας ἕτερος δανειστὴς μετὰ μάρτυρος, ἀλλὰ καὶ τοῦτον ὁ Στρεψιάδης καταγελᾷ, συνακίζει, καὶ πόῤῥω τῆς οἰκίας μεθ' ὕβρεως, καὶ ἐμπαιγμοῦ ἀπελαύνει.

ΑΜ. Ἰὼ μοί μοι.
Σξ. ἔα,
Τίς οὑτοσί ποτ' ἐσθ' ὁ θρηνῶν; ἦπί που
Τῶν Καρκίνου τις δαιμόνων ἐφθέγξατο.

AM. Heu me miseram, hei mihi. ST. hem
Quis hic est, qui sic eiulat? fortasse quis
Genius poeta vocem edidit.

G

Σχόλια. Ἰώ μοί μοι.] κορωνὶς ἑτέρα ὁμοία. οἱ δὲ στίχοι ἰαμβικοὶ τρίμετροι ἀκατάληκτοι μγ. ὧν προτίθενται κῶλα δύο. τὸ πρῶτον ἀντισπαστικὸν μονόμετρον ἀκατάληκτον. τὸ δεύτερον ἰαμβικὸν μονόμετρον βραχυκατάληκτον. ὁ δὲ τελευταῖος τούτων. αὐτοῖς τροχοῖς ἴσοι καὶ ξυνωρίσιν. ἐπὶ τῷ τέλει κορωνίς. Τῶν Καρκίνου] παρ' ὑπόνοιαν εἶπεν ἀντὶ τοῦ παίδων. ἐπεὶ τραγικῶς ἀνεφώνησε τὸ ἰώ μοί μοι. Καρκίνου δὲ παῖδες, Ξενοκλῆς, Ξενότιμος καὶ Δημότιμος. καὶ οἱ μὲν χορευταί. Ξενοκλῆς δὲ τραγῳδίας ποιητής. ὡς βέβαιον δὲ ἔχων τὸ νικᾶν, κατεφρονεῖτο αὐτοῦ. ἄλλως. φασὶν ὡς ὁ Καρκῖνος οὗτος ποιητὴς ὢν τραγικὸς εἰσήγαγε τινὰς τῶν θεῶν ἔν τινι δράματι θρηνοῦντας.

Αμ. Τι

Αμ. Τί δ᾽ ὅς τις εἰμὶ, τοῦτο βούλεσθ᾽ εἰδέναι;
Ανὴρ κακοδαίμων. Στρ. κατὰ σεαυτὸν νῦν τρέπου.
Αμ. Ω σκληρὲ δαῖμον, ὦ τύχαι θραυσάντυγες
Ἵππων ἐμῶν, ὦ Παλλὰς, ὥς μ᾽ ἀπώλεσας.
Στρεψ. Τί δαί σε Τληπόλεμός ποτ᾽ εἴργασται κακόν;
Αμ. Μὴ σκῶπτέ μ᾽ ὦ τᾶν, ἀλλά μοι τὰ χρήματα
Τὸν υἱὸν ἀποδοῦναι κέλευσον, ἃ ᾽λαβεν,
Ἄλλως τε μέντοι καὶ κακῶς πεπραγότι.
Στρεψ. Τὰ ποῖα ταῦτα χρήμαθ᾽. Αμ. ἃ δανείσατο.
Στρ. Κακῶς ἄρ᾽ ὄντως εἶχες, ὥς γ᾽ ἐμοὶ δοκεῖς.
Αμ. Ἵπποις γ᾽ ἐλαύνων ἐξέπεσον, νὴ τοὺς θεούς.
Στρεψ. Τί δῆτα ληρεῖς, ὥσπερ ἀπ᾽ ὄνου καταπεσών;
Αμ. Ληρῶ, τὰ χρήματ᾽ ἀπολαβεῖν εἰ βούλομαι;
Στρ. Οὐκ ἔσθ᾽, ὅπως σύ γ᾽ αὐτὸς ὑγιαίνεις. Αμ. τί δαί;
Στρ. Τὸν ἐγκέφαλον ὥσπερ σεσεῖσθαί μοι δοκεῖς.
Αμ. Σὺ δὲ νὴ τὸν Ἑρμῆν προσκεκλήσεσθαί γέ μοι,
Εἰ μὴ ἀποδώσεις τἀργύριον. Στρ. κάτειπέ νυν,
Πότερα νομίζεις καινὸν αἰεὶ τὸν Δία
Ὕειν ὕδωρ ἑκάστοτ᾽, ἢ τὸν Ἥλιον
Ἕλκειν κάτωθεν ταυτὸ τοῦθ᾽ ὕδωρ πάλιν;
Αμ. Οὐκ οἶδ᾽ ἔγωγ᾽ ὁπότερον, οὐδέ μοι μέλει.
Στρ. Πῶς οὖν ἀπολαβεῖν τἀργύριον δίκαιος εἶ,
Εἰ μηδὲν οἶσθα τῶν μετεώρων πραγμάτων;
Αμ. Ἀλλ᾽ εἰ σπανίζεις τἀργυρίου, μοι τὸν τόκον
Ἀπόδος γε. Στρ. τοῦτο δ᾽ ἔσθ᾽ ὁ τόκος τί θηρίον;
Αμ. Τί δ᾽ ἄλλο γ᾽, ἢ κατὰ μῆνα, καὶ καθ᾽ ἡμέραν,
Πλέον πλέον τἀργύριον αἰεὶ γίνεται,
Ὑπορρέοντος τοῦ χρόνου; Στρ. καλῶς λέγεις.

A AM. *Quid? vultis scire, ego qui siem? Ego sum homo miser.*
ST. *In te hoc dictum puta.* AM. *ô genium durissimum,*
O Sortes, quae mihi rotas & equos perditis.
O Pallas, quàm tu comminuisti me malè.
ST. *Quid verò Tlepolemus unquam tibi intulit Mali?* AM. *Ne tu illudas mihi, mi vir: sed tuum*
B *Iubeto potiùs filium, ut pecuniam*
Reddat mihi, quam accepit: praesertim cùm ego
Iam ante malis conflicter tot infortuniis.
ST. *Quaenam illa pecunia?* AM. *quam ille accepit mutuo.*
ST. *Male igitur tecum agitur, ut videre quidem mihi.*
AM. *Ita per Deos: nam equos cùm agitarem, decidi.*
C ST. *Nugae: ut qui potius decidisti ab asino.*
AM. *Nugor ego; cùm recipere volo pecuniam?*
ST. *Profectò tu sanus non es.* AM. *quid ita? cedo:*
Nam tu mihi videre emoto esse cerebro.
AM. *At tu, nisi argentum mihi reddis debitum,*
In ius vocaberis per Mercurium, illico.
ST. *Age dic mihi, censes tu Iovem subinde aquam*
D *Recentem per pluviam demittere: an iubar*
Solis sursum ex imo loco attrahere hanc aquam?
AM. *Nescio sanè, neque hoc scire admodum expeto.*
ST. *Quomodo tu igitur dignus es, argentum ut recipias,*
Si nihil addidicisti rerum subtilium?
E AM. *Age si argenti laboras nunc penuria,*
Solue usuram. ST. *usuram? quid hoc animantis est?*
AM. *Quid enim aliud, nisi quòd per mensem & per diem*
Subinde magis ac magè crescit pecunia,
Sensim labente tempore? ST. *dicis largiter.*

F

Σχόλια. Ω σκληρὲ δαῖμον.] τοῦτο Ξενοκλέους ἀπὸ Τληπολέμου. διὸ καὶ ἐπενήνοχε(?), τί δαί σε Τληπόλεμος. ἐπεὶ δὲ Ξενοκλέους τοῦ Καρκίνου ἐμνήσθη, καὶ τὰ αὐτοῦ τραγῳδεῖ, εἰρηκώς, ὦ σκληρὲ δαῖμον. τοῦτο δὲ εἶπε διὰ τὸ ἄνω εἰρηκέναι ἰώ μοί μοι καὶ ἀνὴρ κακοδαίμων. Εὐφρόνιος δέ φησι τὸ, ὦ Παλλὰς ὥς μ᾽ ἀπώλεσας, Ξενοκλέους εἶναι, ἐκ τοῦ Λικυμνίου λεγόμενον ὑπὸ Ἀλκμήνης, τοῦ Λικυμνίου ὑπὸ τοῦ Τληπολέμου ἀνῃρημένου. διὸ καὶ ἐπιλέγει αὐτός. τί δαί σε Τληπόλεμός ποτ᾽ εἴργασται κακόν. καὶ τὸ χρυσάμπυγες προσέθετο. ἄλλως. ἄλλοι δὲ, τραγικὸν ὑποκριτὴν εἶναι τὸν Τληπόλεμον, συνεχῶς ὑποκρινόμενον Σοφοκλεῖ. εἰκότως δὲ τούτοις ὁ δανειστὴς χρῆται. διὰ γὰρ ἱπποτροφίαν ἐπτώχευσεν. Κακῶς ἄρ᾽ εἶχες] διὰ τὸ ἄνω εἰρηκέναι ἰώ μοί μοι καὶ ἀνὴρ κακοδαίμων. Ἵππους γ᾽ ἐλαύνων.] καὶ τοῦτο ἐκ παρῳδίας. ἅμα δὲ καὶ αὐτὸς ἱπποτροφῶν ἐδυσπράγησεν. Ὥσπερ ἀπ᾽ ὄνου] ἐπὶ τῶν ἀλόγως σφαλλόντων ἡ παροιμία. καὶ οὐ δυναμένων ὄνοις χρῆσθαι, μήτι γε δὴ ἵπποις. ὁ μέντοι Πλάτων ἐν τρίτῳ νόμων τὴν τελευταίαν παρεσπάσατο(?) ἀπὸ τοῦ λέγων οὕτως. ἡμῖν καθάπερ ἀχάλινον κεκτημένον τὸ στόμα βίᾳ ὑπὸ τοῦ λόγου φερόμενον κατὰ τὴν παροιμίαν ἀπὸ τοῦ πεσεῖν. ἢ ἔπαιξε πρὸς τὸ ὑπ᾽ αὐτοῦ εἰρημένον. καὶ δέον εἰπεῖν ἀπὸ τοῦ ἵππου, εἶπεν ἀπ᾽ ὄνου. ἄλλως. γράφεται καὶ ἀπὸ ὄνου καὶ ἀπὸ νοῦ. κεῖται δὲ παροιμία ἀπ᾽ ὄνου. φασὶ γὰρ ὅτι δύο τινὲς περιτυχόντες ὄνῳ ἐν ἐρημίᾳ, φιλονεικοῦντες πρὸς ἀλλήλους
G περὶ τοῦ τίς αὐτὸν λήψεται, ἔλαθον αὐτοὺς ἄμφω ἀπολέσαντας αὐτόν. τούτων γὰρ μαχομένων ἀνεχώρησε τὸ ζῶον. Προσκεκλήσεσθαι] ἀντὶ τοῦ διὰ μαρτύρων ἀπαχθήσεσθαι. εἰς τὸ δικαστήριον κληθήσεσθαι. κατὰ κοινοῦ δὲ τὸ δοκεῖς. Καινὸν αἰεὶ τὸν Δία] νέον ὕδωρ ὕειν νομίζεις φησίν. ἢ πάλιν ἀντισπώμενον αὐτὸ ὑπὸ τοῦ ἡλίου. Τί θηρίον.] τινὲς τὸ θηρίον πρὸς τὸν δανειστὴν λέγουσιν εἰρῆσθαι. ἀντὶ τοῦ ὦ θηρίον τί ἐστιν ὁ τόκος. ἐπεὶ γέννημα φαμὲν ἐπὶ θηρίου τὸν τόκον.

Τί δῆτα, τὴν θάλατταν ἔσθ' ὅτι πλείονα
Νυνὶ νομίζεις, ἢ πρὸ τοῦ; Αμ. μὰ Δί' ἀλλ' ἴσην.
Οὐ γὰρ δίκαιον πλεῖον εἶναι. Στρεψ. κᾆτα πῶς,
Αὕτη μὲν, ὦ κακόδαιμον, οὐδὲν γίνεται,
Ἐπιρρεόντων τῶν ποταμῶν, πλείων; σὺ δὲ
Ζητεῖς ποιῆσαι τἀργύριον πλεῖον τὸ σόν;
Οὐκ ἀποδιώξεις σαυτὸν ἐκ τῆς οἰκίας;
Φέρε μοι τὸ κέντρον. Μαρ. ταῦτ' ἐγὼ μαρτύρομαι.
Στρεψ. Ὕπαγε. τί μέλλεις; οὐκ ἐλᾷς ὦ Σαμφόρα;
Αμ. Ταῦτ' οὐχ ὕβρις δῆτ' ἐστίν; Στρεψ. ἄξεις; ἐπιαλῶ
Κεντῶν ὑπὸ τὸν πρωκτόν σε τὸν σειραφόρον,
Φεύγεις; ἔμελλον ἄρα κινήσειν σ' ἐγὼ
Αὐτοῖς τροχοῖς τοῖς σοῖσι καὶ ξυνωρίσιν.

A *Sed an non censes etiam mare nunc plenius,*
Quàm antea fuerit? AM. *non, per Iouem: sed indico*
Aequum esse: nam mare auctius fieri haud decet.
ST. *Quomodo? mare (inquis) non fit auctius, miser,*
Et tu argentum tantopere augere cupis tuum?
B *Non tu iam temet amouebis ab aedibus?*
Stimulum mihi affer. TE. *at huius rei testis ego ero.*
ST. *Apage, quid cessas? non agitas, ô Samphora?*
AMY. *An non haec contumelia est.* STR. *an ibis hinc?*
Ego insiliam: & te gestantem catenam agam,
C *Stimulaturus sub podicem: fugin' hinc scelus?*
Iam ego te fueram ex isto protrusurus loco,
Cum bigis, & rotis tuis nequissimus.

Σχόλια. Τὴν θάλατταν.] τί δῆτα ἐστὶν ὃ νομίζεις. καὶ τοῦτο δὲ ἔμαθε κατὰ τὸ σιωπώμενον. Ω Σαμφόρα.] τινὲς τοῦτο Στρεψιάδου. τινὲς ὅλον τοῦ κλητῆρος. ἀντὶ τοῦ κλήτορ. ὡς ἵππῳ αὐτῷ διαλέγεται. Ἄξεις ἐπιαλῶ.] ἡ γραφὴ διττὴ, καὶ ἐπὶ ἄλω καὶ ἐπιαλῶ. καὶ πρὸς μὲν τὸ περιεσπωμένως τὸ ἄξεις ἀπειλητικῶς χρὴ λέγειν· ὅτι ἄξεις, D ὁρμήσεις τουτέστιν. ἐπεὶ ἄλαι σε, ὅ ἐστιν ἐξελάσω σε. εἰ δὲ ὀξυτονογραφεῖται, καὶ διώξω σε κεντῶν ὑπὸ τὸν πρωκτὸν ὥσπερ ἵππον παρήορον. πρὸς δὲ τὴν ἑτέραν γραφὴν ὡς ἠθικῶς λέγοντος. ὅτι ἀπάξεις σὺ τὸν σειραφόρον εἰς μύλωνα ἐπὶ τὸ ἀλήθειν. ἀντὶ τοῦ ἄπαγε σὺ σεαυτὸν ἵππον. κἀκεῖθεν τραφήσῃ. ἄλλως. ἐπιαλῶ μέλλων ἀπὸ τοῦ ἰάλλω. λέγει δὲ ἐπιπέμψω σοι. ἐν ἤθει δὲ τὸ ἄξεις. λέγει. ἵνα ἀπάξῃς σεαυτὸν ἐντεῦθεν καὶ πορεύσῃ. τὸ δὲ ἐπιαλῶ ἀντὶ τοῦ ἐπιπέμψω σοι. συμβουλεύει δὲ αὐτῷ ἀλοάσαντα μισθοῦ πορεύεσθαι ἵνα τρέφειν ἔχῃ τοὺς ἵππους. σειραφόρος δὲ ὁ E ἔξω τοῦ ζυγοῦ. ἄλλως. ἐὰν μὲν ᾖ ὁ λόγος ἠθικῶς, ἀπέρχῃ ἢ ὑποβαλῶ τὴν μάστιγα κεντῶν σε ὑπὸ τὸν πρωκτὸν ὡς σειραφόρον. ἐὰν δὲ ἐπὶ ἄλω οὕτως. ἀπέρχῃ ἐπὶ ἅλωνα κεντῶν σε ὡς τὸν σειραφόρον, ἐπὶ τὸ ἐργαζόμενον ἐκεῖθεν τραφῆναι, οὐδὲν γὰρ ἐντεῦθεν λήψῃ. οἱ δὲ οὕτως. ἐπίβα. ἵνα τὴν μάστιγα καὶ δέρω τὸν πρωκτὸν, ἄξω σε. ἀπὸ μεταφορᾶς τῶν κεντουμένων ἵππων βραδέων ὑπὸ τῶν ἡνιόχων.

ISETVS. Ἄξεις. ἐπιαλῶ] ταῦτα μετ' ἐρωτήσεως οὕτω γραπτέον. ἄξεις; ἐπιαλῶ. ὁ δὲ νοῦς ἐστὶν, ἐκ τοῦ ἐντεῦθεν θᾶττον σαυτὸν ἀπάξεις; ἢ ἀπελεύσῃ θᾶττον ἐς κόρακας; εἰ μὴ θᾶττον ἀποχωρήσῃς, ἐγὼ εἰς τὸν σοῦ πρωκτὸν ἐπιαλῶ, εἴτε ἐπιαλοῦμαι, καὶ σὲ ὡς ἵππον ἀπελάσω.

Σχόλια. Ὑπὸ τὸν πρωκτὸν σε.] μήποτε ἵνα ἔστι σὲ ἀλλὰ σύ. εἰ μὴ ἄρα λέγει ἄξεις σεαυτὸν ὡς τὸν σειραφόρον ὥσπερ αὐτὸς ἐργάζῃ.

ΣΤΡΟΦΗ ΚΩΛΩΝ ιη'.

ΧΟ. Οἷον τὸ πραγμάτων ἐρᾶν φλαύρων,
Ὁ γὰρ γέρων ὅδ' ἐρασθεὶς,
Ἀποστερῆσαι βούλεται
Τὰ χρήμαθ', ἃ 'δανείσατο.
Κοὐκ ἔσθ', ὅπως οὐ τήμερον λήψεται.

CHORVS.

Rebus malis studere, quae res est:
Amore quippe mala artis,
F *Captus senex hic, debita hos*
Fraudare vult pecunia.
Non est, ut hodie non malam rem sibi

Σχ. Οἷον τὸ πραγμάτων ἐρᾶν.] κορωνὶς καὶ εἴσθεσις μέλους ἐξιόντων ὑποκριτῶν μονοστροφικοῦ ἐκ κώλων ιη'. ὧν τὸ πρῶτον ἰαμβικὸν τρίμετρον βραχυκατάληκτον τοῦ φλαύρων ποδὸς ἀνθ' ὅλης ἰαμβικῆς κειμένου διποδίας. τὸ δεύτερον ἐκ διιάμβου καὶ ἰωνικοῦ ἀπ' ἐλάττονος δίμετρον ἀκατάληκτον, ἢ ἰαμβικὸν ἑφθημιμερές. τὸ τρίτον ἰαμβικὸν δίμετρον ἀκατάληκτον. τὸ τέταρτον ὅμοιον ἢ ἐκ παιώνων δευτέρων. τὸ ε' χοριαμβικὸν ἐξ ἐπιτρίτων ἢ ἰαμβικὸν τρίμετρον καταληκτικόν. τὸ ἕκτον τροχαϊκὸν δίμετρον καταληκτικὸν ἤτοι ἑφθημιμερές. τὸ ἕβδομον ὅμοιον τρίμετρον μέντοι. τὸ η' χοριαμβικὸν τρίμετρον βραχυκατάληκτον. τὸ θ' ἀντισπαστικὸν ἐξ ἐπιτρίτου τρίτου καὶ πρώτου ὅμοιον. τὸ δέκατον ἰαμβικὸν δίμετρον βραχυκατάληκτον. τὸ ια' καὶ ιβ', ὅμοια τῷ τρίτῳ. τὸ τρισκαιδέκατον χοριαμβικὸν πενθημιμερές. τὸ δὲ ιδ' δακτυλικὸν δίμετρον. τὰ ἑξῆς τέσσαρα, ἀντισπαστικὰ ἑφθημιμερῆ Φερεκράτεια. διὰ τροχαϊκῆς κατὰ τὴν πρώτην τοῦ G πεντεκαιδεκάτου χώραν κειμένης ταυτοποδίας. τὸ τελευταῖον ὅμοιον τῷ τρίτῳ, μεθ' ὃ ἰαμβικὸν δίμετρον καταληκτικὸν, ἤτοι ἑφθημιμερές. ἐπὶ τῷ τέλει κορωνίς. αἰνίττεται δὲ εἰς τὸν Στρεψιάδην, λέγων ὅτι δεινόν ἐστι καὶ ἀηδὲς τὸ ἀτόπων ἐρᾶν. ἰστέον δὲ ὅτι ἐκεῖνοι διαλεχθέντες ἀπεληλύθασιν. ὁ δὲ χορὸς ἐπὶ τῆς σκηνῆς ὤν, ταῦτα διέξεισι περὶ τοῦ Στρεψιάδου. προσαναπαυόντων διὰ τούτων καὶ αἰνιττόμενος, ἃ μέλλει πείσεσθαι ὁ Στρεψιάδης ὑπὸ τοῦ υἱοῦ.

Πραγμ.

Πρᾶγμ', ὃ τοῦτον ποιήσει
Τὸν σοφιστὴν, ὧν πανουργεῖν
Ἤρξατ', ἐξαίφνης τι κακὸν λαβεῖν.
Οἶμαι γὰρ αὐτίκ' εὑρήσειν ὅπερ
Πάλαι ποτ' ἐζήτει,
Εἶναι τὸν υἱὸν δεινόν οἱ,
Γνώμας τ' ἐναντίας λέγειν
Τοῖσι δικαίοις,
Ὥστε νικᾶν ἅπαντας
Οἷσπερ ἂν ξυγγένηται,
Κἂν λέγῃ παμπόνηρα.
Ἴσως ἴσως βουλήσεται
Κἄφωνον αὐτὸν εἶναι.

A *Apparet qui hunc sophistam*
Protulit, nam ex quo vafra orsa
Cœpit vsurpare, malum sibi
Accerset: & mox reperiet, puto,
Quod ante quærebat:
Vt gnatum haberet callidum,
Qui legibus contraria
Dicere posßit:
B *Et vincere vniuersos*
Cum quibus conuersetur,
Quamlibet praua dicat.
Erit iam, erit, cùm filium
Optabit esse mutum.

Σχόλια. Τὸν σοφιστήν.] τὸν φιλόσοφον. τὸν παῖδα ἢ τὸν γέροντα ἀπὸ τοῦ σοφίζεσθαι. Ἴσως ἴσως.] εὔξεται παρ' αὐτοῦ ἀδικούμενος καὶ δεινὰ πάσχων τέλεον ἄφωνον αὐτὸν εἶναι.

C

ΔΡΑΜΑΤΟΣ ΤΟΥ ΠΕΜΠΤΟΥ

Σκηνὴ πρώτη.

ΣΤΡΕΨΙΑΔΗΣ, ΦΕΙΔΙΠΠΙΔΗΣ.

Τρίμετροι ἰαμβικοί.

D

ACTVS V. SCENA prima.

STREPSIADES, PHIDIPPIDES.

Trimetri Iambici.

Ἰοὺ, ἰού.
Ὦ γείτονες καὶ ξυγγενεῖς, καὶ δημόται.
Ἀμυνάθετέ μοι, τυπτομένῳ πάσῃ τέχνῃ.
Οἴμοι κακοδαίμων τῆς κεφαλῆς, καὶ τῆς γνάθου.
Ὦ μιαρὲ, τύπτεις τὸν πατέρα; Φειδιππ. φήμ', ὦ πάτερ.
Στρ. Ὁρᾶθ' ὁμολογοῦντ', ὅτι με τύπτει; Φει. καὶ μάλα.
Στρεψ. Ὦ μιαρὲ, καὶ πατραλοία, καὶ τοιχωρύχε.
Φειδιππ. Αὖθίς με ταυτὰ ταῦτα, καὶ πλείω λέγε.
Ἄρ' οἶσθ', ὅτι χαίρω πόλλ' ἀκούων δὴ κακά.
Στ. Ὦ λακκόπρωκτε. Φειδιππ. πάττε πολλοῖς τοῖς ῥόδοις.
Στ. Τὸν πατέρα τύπτεις; Φειδιππ. κἀποφανῶ γε, νὴ Δία,
Ὡς ἐν δίκῃ σ' ἔτυπτον. Στ. ὦ μιαρώτατε,
Καὶ πῶς γένοιτ' ἂν πατέρα τύπτειν ἐν δίκῃ;

Eheu, eheu:
O populares, cognati, vicini & accolæ,
E *Ferte mihi opem omnibus modis qui vapulo.*
Væ mihi misero: væ capiti, væ genis meis:
Scelesté, patrem tuum verberas? PH. *equidem pater.*
ST. *Ecce reum confitentem, quòd me verberet.*
PH. *Imò.* ST. *scelerate, parricida, parietum Perfossor.* PH. *repete hæc obsecro, & plura ingere.*
Nam quòd scias maledicta audire gestio.
F ST. *Cinæde.* PH. *perge, nam conspergis me rosis.*
ST. *Tuum verberas patrem?* PH. *meritò: nam per Iouem*
Tibi ego ostendam, quòd iure verberauerim.
ST. *Hominum impurißime, quomodo iure quis patrem*

G

Σχόλια. Ἰοὺ ἰού.] κορωνὶς ἑτέρα εἰσιόντων αὖθις τῶν ὑποκειτῶν. οἱ δὲ στίχοι ἰαμβικοὶ τρίμετροι ἀκατάληκτοι κγ', ὧν προτίθεται καὶ ἓν ἰαμβικὸν μονόμετρον. ὁ δὲ τελευταῖος τούτων, καλῶ ὅτι ἐκ λέξεως ἀκοῦσαι βούλομαι. ἐπὶ τῷ τέλει κορωνὶς. κέχρηται δὲ προαναφωνήσει τὸ ἰοὺ ἰού. τινὲς δὲ ἀπλοῦν τὸ ἰοὺ, φασίν. σχετλιάζων δὲ ἔξεισιν ὁ πρεσβύτης ὡς ὑπὸ τοῦ παιδὸς τετυμμένος. δῆλον δὲ ὅτι πάντα ταῦτα διαπέπλακται αὐτῷ τῆς πρὸς Σωκράτη διαβολῆς χάριν, ὁ ἐπισημαίνεται διὰ τούτων φιλοτιμούμενος ὅτι μηδὲν χρηστὸν διδάσκει τοὺς νέους. ἀλλὰ τοὐναντίον πονηρούς, ὥστε καὶ εἰς τοὺς γεγεννηκότας τοιοῦτοι γίνονται, καθίστησι.

Φει. Ἔγωγ᾽ ἀποδείξω, καί σε νικήσω λέγων.
Στ. Τουτὶ σὺ νικήσεις; Φειδιππ. πολύ γε καὶ ῥᾳδίως.
Ἑλοῦ δ᾽ ὁπότερον τοῖν λόγοιν βούλει λέγειν.
Στ. Ποίοιν λόγοιν; Φειδιππ. τὸν κρείττον᾽ ἢ τὸν ἥττονα;
Στρεψ. Ἐδιδαξάμην μέντοι σε, νὴ Δί᾽, ὦ μέλε,
Τοῖσι δικαίοις ἀντιλέγειν, εἰ ταῦτά γε
Μέλλεις ἀναπείσειν, ὡς δίκαιον καὶ καλὸν,
Τὸν πατέρα τύπτεσθ᾽ ἐστὶν ὑπὸ τῶν υἱέων.
Φει. Ἀλλ᾽ οἴομαι μέν τοι σ᾽ ἀναπείσειν, ὥστε γε
Οὐδ᾽ αὐτὸς ἀκροασάμενος, οὐδὲν ἀντερεῖς.
Στ. Καὶ μὴν ὅ, τι καὶ λέξεις ἀκοῦσαι βούλομαι.

A *Verberet?* PH. *ego ostendam & conuincam te statim.*
ST. *Tun' hoc euinces?* PH. *& quidem facillimè.*
Elige nunc, vtrum duobus ex sermonibus
Velis me adhibere. ST. *quibus sermonibus? cedò.*
PH. *Inferiorem, an superiorem?* ST. *equidem per Iouem.*
Te, fatue homo, veris docui contradicere:
B *Si tu hoc probaueris, quod pulchrum aequúmque sit,*
Patrem pulsari à filiis. PH. *at opinor, hoc*
Ita persuasurum esse tibi: vt si tu audias,
Nihil quicquam possis mihi contradicere.
ST. *Age, volo audire, quidnam dicturus sies.*

Σχόλια. Ἐδιδαξάμην.] παθητικὸν ἀντὶ ἐνεργητικοῦ. λέγονται δὲ ἐπὶ μεσότητος Ἀττικῶς ἀντὶ τοῦ ἐξεπαίδευσα δι᾽ ἑτέρου. τὸ γὰρ ἐδίδαξα δι᾽ ἑαυτοῦ.

C

ΔΡΑΜΑΤΟΣ ΤΟΥ ΠΕΜΤΟΥ, Σκηνὴ δευτέρα.

ΧΟΡΟΣ, ΣΤΡΕΨΙΑΔΗΣ, ΦΕΙΔΙΠΠΙΔΗΣ.

Σὸν ἔργον ὦ πρεσβῦτα φροντίζειν, ὅπῃ
Τὸν ἄνδρα κρατήσεις,
Ὡς οὗτος, εἰ μή τῳ ᾽πεποίθειν, οὐκ ἂν ἦν
Οὕτως ἀκόλαστος.
Ἀλλ᾽ ἔσθ᾽ ὅτῳ θρασύνεται. δῆλόν γε τοι
Λῆμ᾽ ἐστὶ τἀνθρώπου.
Ἀλλ᾽ ἐξ ὅτου τὸ πρῶτον ἤρξαθ᾽ ἡ μάχη γενέσθαι,
Ἤδη λέγειν χρὴ πρὸς χορὸν, πάντως δὲ τοῦτο δράσεις.

ACTVS V. SCENA secunda.

CHORVS, STREPSIADES, PHIDIPPIDES.

D *Tvum nunc est senex prospicere, quomodo*
Virum cohibere
Possis: nisi enim hic ingenio fideret suo:
Non tam petulans sit,
Sed est, in quo insolescat, & fortis animi
Est euidens virtus.
Nunc ex quo primùm coeperit haec concertatio moueri,
E *Oportet dicere huic gregi: & hoc tibi omnino erit agendum.*

Σχ. Σὸν ἔργον] εἴσθεσις χοροῦ στροφῆς μὲν λόγον ἔχουσα. διὰ τὸ ἔχειν καὶ ἀντίστροφον τὸ οἴομαί γε τῶν νεωτέρων. ἧς οὐδὲν διενήνοχε. προῳδικὴ δὲ διὰ τὸ προτίθεσθαι καὶ προᾴδεσθαι τῆς διπλῆς. ἡ διπλῆ καὶ εἴσθεσις εἰς ἐπῳδικὴν τριάδα ἢ τετράδα κώλων ἕξ, ὧν τὰ μὲν περιττὰ ὅμοια τοῖς ἀνωτέρω, τὰ δὲ ἄρτια ἰωνικὰ, ἡμιόλια διὰ τὸ ἔχειν πρὸς τῷ ὅλῳ καὶ ἥμισυ τοῦ ἰωνικοῦ καλούμενα, ἀδιαφοροῦντα τὴν πρώτην συλλαβήν. τὸ μέντοι τελευταῖον ὃ καὶ ἐπῳδὸς ὡς ἐπὶ τῷ τέλει τῆς ᾠδῆς τιθέμενον λέγεται, ἀντ᾽ ἰωνικοῦ ἐπίτριτον ἔχει. ἐν ἐκθέσει δὲ στίχοι δύο ἰαμβικοὶ τετράμετροι καταληκτικοὶ, ὅμοιοι τοῖς ἑξῆς. ἔθος γάρ ἐστι προτιθέναι τῆς διπλῆς διστιχίαν μετὰ τὴν περίοδον τῆς κορωνίδος ἢ τῆς ᾠδῆς. Πρὸς χορόν.] πρὸς ἐμέ. οὕτως ἔλεγον πρὸς χορὸν λέγειν. ὅταν τοῦ ὑποκειμένου διατιθεμένου τὴν ῥῆσιν ὁ χορὸς ὀρχῆται. διὸ καὶ ἐκαλεῖτο ὡς ἐπὶ τὸ πλεῖστον ἐν τοῖς τοιούτοις τὰ τετράμετρα ἢ τὰ ἀναπαιστικὰ ἢ τὰ ἰαμβικά. διὰ τὸ ῥᾳδίως F ἐμπίπτειν ἐν τούτοις τὸν τοιοῦτον ῥυθμόν. ἐπὶ τῷ τέλει παράγραφος, καὶ διπλῆ ἔξω νενευκυῖα.

Bɪsᴇᴛ. Φειδιππίδης τοὺς τῆς σοφιστικῆς φενακισμοὺς καλῶς μαθὼν τὸν πατέρα ὑπὸ τοῦ υἱοῦ δικαίως τύπτεσθαι δείκνυσι.

Στ. Καὶ μὴν ὅθεν γε τὸ πρῶτον ἠρξάμεσθα λοιδορεῖσθαι,
Ἐγὼ φράσω, ᾽πειδὴ γὰρ εἱστιώμεθ᾽, ὥσπερ ἴστε.
Πρῶτον μὲν αὐτὸν τὴν λύραν λαβόντ᾽ ἐγὼ ᾽κέλευσα
Ἆσαι Σιμωνίδου μέλος, τὸν κριὸν ὡς ἐπέχθη.

ST. *Igitur dicam, unde primùm mutuò conuitiari*
Nos coeperimus, nam postquam conuiuaremur domi intus,
G *Vt scitis; ego primò lyram sumsi, gnatumque iussi*
Carmē Simonidu canere de ariete, quomodo sit

Σχ. Καὶ μὴν ὅθεν γε] κορωνὶς καὶ στίχος ὅμοιος τῷ διστιχίῳ λδ΄. ὧν τελευταίας ἐξέφερον ἂν καὶ προοιχόμενον σε. σὺ δὲ μὲν νεῶν ἀπαίδων. μεθ᾽ ὃν τρία κῶλα ἰαμβικὰ δίμετρα ἀκατάληκτα. καὶ στίχος ὅμοιος τοῖς ἄνω. Λύραν λαβόντα.] ἐν τοῖς συμποσίοις κύκλῳ τοῖς ἑστιωμένοις ὁ ἑστιάτωρ διδοὺς λύραν ἐκέλευσεν ᾄδειν ᾠδήν. Ἆσαι Σιμωνίδου.] τὸ μέλος Σιμωνίδου καὶ ἐπινίκιον. ἐπέξαθ᾽ ὁ κριὸς οὐκ ἀεικέως. ἦν δὲ παλαιστὴς Αἰγινήτης. ἄλλως. τῇ πρὸς τὸ ζῷον κοινωνίᾳ τῆς λέξεως συνέπλεξε τὰς κοινωνίας ὁ ποιητὴς λέγων. ἐπέξαθ᾽ ὁ κριὸς οὐκ ἀεικέως, ἐλθὼν εἰς εὔδενδρον ἀγλαὸν Διὸς τέμενος. φαίνεται δὲ εὐδοκιμῶν καὶ διαφανὴς εἶναι. τὸ δὲ ἐπέχθη καὶ διὰ τοῦ ι ψιλοῦ ἀπὸ τοῦ πέκω, καὶ δίφθογγος γράφεται.

Ὁ δ' εὐθὺς ἀρχαῖον εἶν' ἔφασκε τὸ κιθαρίζειν,
Ἄδειν τε πίνονθ' ὥσπερεὶ κάχρυς γυναῖκ' ἀλοῦσαν.
Φει. Οὐ γὰρ τότ' εὐθὺς χρῆν σε γ' ἄρα τύπτεσθαι καὶ πατεῖσθαι,
Ἄδειν κελεύονθ' ὥσπερεὶ τέττιγας ἑστιῶντα;
Στρ. Τοιαῦτα μέν τοι καὶ τότ' ἔλεγεν ἔνδον, οἷάπερ νῦν.
Καὶ τὸν Σιμωνίδην ἔφασκ' εἶναι κακὸν ποιητήν.
Κἀγὼ μόλις μὲν ἀλλ' ὅμως ἠνεσχόμην τὸ πρῶτον.
Ἔπειτα δ' ἐκέλευσ' αὐτὸν ἀλλὰ μυρρίνην λαβόντα,
Τῶν Αἰσχύλου λέξαι τί μοι. κᾆθ' οὗτος εὐθὺς εἶπεν.
Ἐγὼ γὰρ Αἰσχύλον νομίζω πρῶτον ἐν ποιηταῖς,
Ψόφου πλέων. ἀσύστατον. στόμφακα. κρημνοποιόν.
Κἀνταῦθα πῶς οἴεσθέ μου τὴν καρδίαν ὀρεχθεῖν;
Ὅμως δὲ τὸν θυμὸν δακὼν, ἔφην, σὺ δ' ἀλλὰ τούτων
Λέξον τι τῶν νεωτέρων, ἅττ' ἐστὶ τὰ σοφὰ ταῦτα.
Ὁ δ' εὐθὺς ᾖσ' ἐξ Εὐριπίδου ῥῆσίν τιν' ὡς ἐκίνει
Ἀδελφὸς, ὦ 'λεξίκακε, τὴν ὁμομητρίαν ἀδελφήν.
Ἐγὼ δ' οὐκ ἠνεσχόμην ἀλλ' εὐθὺς ἐξαράττω
Πολλοῖς κακοῖς καἰσχροῖσι. κᾆτ' ἐντεῦθεν οἷον εἰκὸς,
Ἔπος πρὸς ἔπος ἠρειζόμεσθ'. εἶθ' οὗτος ἐπαναπηδᾷ.
Κᾆπειτ' ἔφλα με. κἀσπόδει. κἄπνιγε. κἀπέτριβεν.
Φει. Οὐκοῦν δικαίως, ὅστις οὐκ Εὐριπίδην ἐπαινεῖς,
Σοφώτατον. Στρ. σοφώτατόν γ' ἐκεῖνον, ὦ τί σ' εἴπω;
Ἀλλ' αὖθις αὖ τυπτήσομαι. Φει. νὴ τὸν Δί' ἐνδίκως γάρ.
Στρ. Καὶ πῶς δικαίως; ὅστις ὦ 'ναίσχυντέ σ' ἐξέθρεψα,

A Detonsus: at hic continuo subiecit, quòd sit vetustum
Et stultum pulsare cytharam: & cantare inter bibendum:
Velut mulierem, quæ molit hordea. PH. an non te statim hanc ob
Causam deuerberari oportuit, dariq; pessum:
Quod conuiuantem modulari velles, tanquam
B cicadam?
ST. Eadem hæc intus perinde dixit, vt hîc repetis: & tum
Etiam Simonidem dicebat esse malum poëtam.
Hic ego vix me continui: sed tamen primò repressi:
Postea iussi ipsum myrteo ramo ornatũ, referre
Carmen aliquod Æschyli: sed ille respondit statim mihi:
C Ego, inquit, Æschylum præcipuũ iudico è poëtis,
Streperum, incompositum, insuauem, confragosum, quomodo vos
Putatis cor meum intus pulsasse hæc verba? & tamen meum
Animum remordens, dicebam: quin tu ergo aliquod recentium
Poëtarum modulare carmẽ: vbi sapientia hæret:
D Ibi ille ex Euripide longam accinuit orationem:
Quomodo frater (proh auerrunce Iuppiter) sororem
Vterinã incestârit: ego hîc me diu nõ cõtinebam:
Sed confestim incesso maledictis multis, & nefandis.
Pòst, vt fieri solet, altercando dedimus verba verbis.
E Hic verò insultat mihi, tundit, cadit, iugulat, teritque.
PH. Meritò certè: vt qui non laudas Euripidem, poëtam
Nunc sapientissimum. ST. illum sapientissimum? oh, quid inquam?
Sed rursus vapulabo. PH. per Iouem, & profectò iure.
F ST. Quo pacto? qui te homo impudens, olim paruum educaui:

Σχόλια. Ἀρχαῖον] μωρον παραιτοῦνται γὰρ οἱ φιλόσοφοι κιθαρίζειν ἐν τῷ πίνειν. κάχρυς δὲ ἀντὶ τῆς κριθὰς πεφρυγμένας. ᾄδουσι γὰρ αἱ ἀλήθουσαι ὑπὲρ τοῦ παραμυθεῖσθαι τὸν κάματον. Ὥσπερεὶ κάχρυς.] καθάπερ τινὰ γυναῖκα κριθὰς ἀλοῦσαν. διαβάλλει δὲ λεληθότως τὸ τῶν γυναικῶν γένος εἰς ἔργον πίνειν καὶ ἕτερόν τι διαπραττομένας. Ὥσπερεὶ τέττιγας.] παρεποίησε τὸ ᾄδειν καί φησιν ὅτι τὸ ᾄδειν φλυαρεῖν ὡς τέττιγας καὶ οὐδὲν ἄλλο ἢ ὡς γυναῖκας ᾄδειν ἀλετρευούσας. Ἀλλὰ μυρρίνην.] μυρρίνης γὰρ κλάδον κατέχοντες ᾖδον τὰ Αἰσχύλου. ὥσπερ τὰ Ὁμήρου μετὰ δάφνης. παρὰ τὰ Αἰσχύλου. οὕνεκ' ἐκεῖ ἄνθεα λειμώνια. ἄλλως. Δικαίαρχος ἐν τῷ περὶ μουσικῆς. ἐπειδὴ κοινόν τι πάθος ἀεὶ φαίνεται συνακολουθεῖν τοῖς διερχομένοις, εἴτε μετὰ μέλους, εἴτε ἄνευ μέλους ἔχοντά τι τῇ χειρὶ ποιεῖσθαι τὴν ἀφήγησιν. εἴτε γὰρ ᾄδοντες ἐν τοῖς συμποσίοις ἔκ παλαιᾶς τινος παραδόσεως κλῶνα δάφνης ἢ μυρρίνης λαβόντες ᾖδουσιν. Ἀσύστατον.] οὐ συνεστῶτα, οὐδὲ πυκνὸν ἐν τῇ ποιήσει. ἀλλ' ἀραιὸν καὶ κομπώδη. τὰ γὰρ ῥήματα Αἰσχύλου φαντασίαν μὲν ἔχει. βαστάζομεν δὲ οὐδεμίαν ἔχει πραγματείαν. ἀσύστατα γάρ. ἀσύστατον δὲ ἐστὶ ἀδιάθετον. ἀπιθάνως συνιστάντα τοὺς μύθους. Στόμφακα.] σκληρὸν παρὰ τὸ στόμα καὶ τὸν ὄμφακα. ἐστὶ τραχύν. κρημνοποιὸν δὲ, μεγάλας λέξεις ποιοῦντα.

G

Bisetus. Στόμφακα] Σ. στόμφακα, τραχὺν, ἢ κομπαστήν. καὶ στομφάζει, ἀλαζονεύεται. σύνθετος ἡ λέξις ἀπὸ τοῦ στόματος, καὶ τοῦ ὄμφακος. ἤγουν ὁ λέγων, στόμφακας ἔχων ἐν τῷ στόματι τοὺς μύθους. λέγει δὲ περὶ τοῦ Αἰσχύλου τοῦ ποιητοῦ.

Σχόλια. Τὰ σοφὰ ταῦτα.] ἢ ἀντὶ τοῦ ἔσω ἐπιτηδευτικόν. ἢ δέον εἰπεῖν, εἴπερ εἰσὶν οἱ σοφοὶ οὗτοι ποιηταί, ὁ δὲ πρὸς

οὐδέτερον ἔγραψεν, ὥσπερ καὶ ἐν Βατράχοις ποιεῖ λέγων. A Ὡς οὐκοῦν ἕτερ' ἐστὶ μειρακύλλια τραγῳδίας ποιοῦντα. Ὡς ἐκίνει ἀδελφός.] τὴν Καναχὴν ὁ Μακαρεύς. τὸ δὲ ἀλεξίκακε διὰ μέσου ἀναπεφώνηται. σημειοῦται δὲ τὸ Εὐριπίδου Αἴολον. ἐκεῖ γὰρ τὰς ἀδελφὰς γαμοῦσιν ἀδελφοί. ὡς ἐπὶ Ἡρακλέους δὲ τὸ ἀλεξίκακε. γέγραπται δὲ δρᾶμα Εὐριπίδου Αἴολος λεγόμενον. ἐν ᾧ παρήγαγε Μακαρέα τὸν

Αἰσθανόμενός σου πάντα τραυλίζοντος, ὅ, τι νοοίης,
Εἰ μέν γε βρῦν εἴπῃς, ἐγὼ γνοὺς ἂν πιεῖν ἐπέσχον, B
Μαμμᾶν δ' ἂν αἰτήσαντος ἧκόν σοι φέρων ἂν ἄρτον,
Κακκᾶν δ' ἂν οὐκ ἔφθης φράσαι, κἀγὼ λαβὼν θύραζε
Ἐξέφερον ἄν, καὶ προὐσχόμην σε. σὺ δέ με νῦν ἀπάγχων
Βοῶντα, καὶ κεκραγόθ', ὅτι C
Χεζητιῴην, οὐκ ἔτλης
Ἔξω γ' ἐνεγκεῖν, ὦ μιαρέ,
Θύραζέ μ', ἀλλ' ἀποπνιγόμενος αὐτοῦ 'ποίησα κακκᾶν.

Σχόλια. Τραυλίζοντος.] ψελλίζοντος καὶ μηδὲν ἔναρθρον λαλοῦντος.

Bisetus. Εἰ μέν γε βρῦν] δικαίως τινὲς λέγουσιν οὐ βρῦν, ἀλλὰ βῦν καὶ λεκτέον, καὶ χαριέστερον, κατὰ τὴν τῶν παιδίων λαλούντων μίμησιν, ἃ τὸ πίνειν διὰ τῆς φωνῆς βῦν σημαίνει. τὸ γὰρ ρ χαλεπώτατον αὐτοῖς προφέρειν. D

ἈΝΤΙΣΤΡΟΦΗ ΚΩΛΩΝ ή.

Χο. Οἶμαί γε τῶν νεωτέρων τὰς καρδίας
Πηδᾶν, ὅ, τι λέξει. E
Εἰ γὰρ τοιαῦτά γ' οὗτος ἐξειργασμένος,
Λαλῶν ἀναπείσει,
Τὸ δέρμα τῶν γεραιτέρων λάβοιμεν ἄν,
Ἀλλ' οὐδ' ἐρεβίνθου.
Σὸν ἔργον ὦ καινῶν ἐπῶν κινητὰ καὶ μοχλευτά,
Πειθώ τινα ζητεῖν, ὅπως δόξῃς λέγειν δίκαια.

Bisetus. Τὰς καρδίας πηδᾶν] τουτέστιν ἐπιπόθως προσδοκᾶν, καὶ ἀναμένειν.

Σχόλια. Λάβοιμεν ἄν.] οὕτως ἀφανισθήσεται πλη- F

Bisetus. Φειδιππίδης διὰ πλειόνων σοφιστικῶς δεῖξαι πειρᾶται τοὺς γονεῖς ὑπὸ τῶν υἱῶν δικαίως τύπτεσθαι, καὶ πρὸς τούτοις τῇ μητρὶ πληγὰς ἀπειλεῖ.

Φει. Ὡς ἡδὺ καινοῖς πράγμασι καὶ δεξιοῖς ὁμιλεῖν,
Καὶ τῶν καθεστώτων νόμων ὑπερφρονεῖν δύνασθαι. G
Ἐγὼ γὰρ ὅτε μὲν ἱππικῇ μόνῃ τὸν νοῦν προσεῖχον,
Οὐδ' ἂν τρί' εἰπεῖν ῥήμαθ' οἷός τ' ἦν, πρὶν ἐξαμαρτεῖν.
Νυνὶ δ' ἐπειδή μ' οὑτοσὶ τούτων ἔπαυσεν αὐτός,

παῖδα Αἰόλου φθείροντα Καναχὴν τὴν ἀδελφήν. ἐπειδὴ δὲ παρὰ Ἀθηναίοις ἔξεστι γαμεῖν τὰς ἐκ πατέρων ἀδελφάς, εἰς αὔξησιν τοῦ ἀδικήματος προσέθηκε τὴν ὁμομητρίαν. εἶτα εὐφυῶς ἐσχετλίασεν ἐπάγων τὸ ἀλεξίκακον. τουτέστιν. ἀποτρόπαιε τὸ τὰ δεινὰ ἀπείργων. ἴδιον γὰρ Ἡρακλέους τὸ ἐπίθετον. Ἐξαράττω.] κρούω αὐτόν. λοιδορῶ, πλήττω πολλοῖς κακοῖς.

Et cùm tu adhuc balbutires, quidnam velles, videbam:
Nam si bryn diceres: ego aduertens potum exhibebam:
Si mammam posceres, ego panem curriculò afferebam:
Priusquam diceres cacan, ego te acceptum efferebam,
Et ante me tenebam. Nunc tu me iugulas vicissim.
Et clamitantem, quòd nimis
Cacaturirem, me forâs
Efferre non siuisti, homo
Impure: sed dum iugulor, feci isthic memet cacare.

Σχόλια. Πιεῖν ἐπέσχον.] οὐ μόνον ἐπέχω τὸ κωλύω. ἀλλὰ καὶ τὸ δίδωμι. Μαμμᾶν.] ἄσημος φωνὴ τῶν παιδίων λαλούντων.

Bisetus. Οὐκ ἂν ἔφθης φράσαι] σημείωσαι καλῶς τὸ φθάνω φράσαι, καὶ φθάνω φράσας συνωνύμως λέγεσθαι.

Chorus.

Credo ego adolescentum exilire pectora,
Quidnam puer isthic
Dicturus sit. nam si fando persuaserit,
Vt, quæ ipse patrauit,
Alij agant: ita tenuem senum cutem, vt ciceris
Non est, capiemus. *(gitâsti,*
Tuum ergo est, qui nouas rationes tecum exco-
Persuasionem exquirere, vt videâre iusta fari.

ραῖς ὡς νομίζει ἡμᾶς καὶ τοῦ δέρματος ἐρεβίνθου λεπτότερον αὐτοὺς ἔχειν.

Ἀνθ' ὧν Στρεψιάδης κινηθεὶς, καὶ ἐρεθισθεὶς εἰς ἀποδοκιμασίας τὰς Νεφέλας, τὰ Σωκράτους σοφίσματα, τὸν παῖδα τὴν Σωκράτους οἰκίαν ἐμπιμπράναι κελεύει.

ΦΗ. *Quàm suaue, nouis & præclaris rebus aliquem studere.*
Et constitutas leges posse domi contemtim habere.
Nam demens ego, cùm ad equestrem duntaxat rem animum applicarem. *(præceps*
Tria verba non potui profarier, vt non lingua
Impingeret: at nunc, postquam hic à re equestri me remouit.

Γνώμαις

Γνώμαις δὲ λεπταῖς καὶ λόγοις ξυνείμι καὶ μερίμναις,
Οἶμαι διδάξειν, ὡς δίκαιον τὸν πατέρα κολάζειν.
Στ. Ἵππευε τοίνυν, νὴ Δί', ὡς ἐμοί γε κρεῖττόν ἐστιν
Ἵππων τρέφειν τέθριππον, ἢ τυπτόμενον ἐπιτριβῆναι.
Φει. Ἐκεῖσε δ', ὅθεν ἀπέσχισάς με τοῦ λόγου, μέτειμι,
Καὶ πρῶτ' ἐρήσομαί γε τουτί, παῖδά μ' ὄντ' ἔτυπτες;
Στ. Ἔγωγέ σ', εὐνοῶν γε καὶ κηδόμενος. Φει. εἰπὲ δή μοι,
Οὐ κἀμέ σοι δίκαιόν ἐστιν εὐνοεῖν ὁμοίως,
Τύπτειν τ'; ἐπειδήπερ τοῦτ' ἔστ' εὐνοεῖν, τὸ τύπτειν;
Πῶς γὰρ τὸ μὲν σὸν σῶμα χρὴ πληγῶν ἀθῷον εἶναι,
Τοὐμὸν δὲ μή; καὶ μὴν ἔφυν ἐλεύθερός γε κἀγώ.
Κλάουσι παῖδες, πατέρα δ' οὐ κλάειν δοκεῖς;
Στ. τί ἢ δή;
Φει. Φήσεις νομίζεσθαι σὺ παιδὸς τοῦτο τοὔργον εἶναι;
Ἐγὼ δέ γ' ἀντείποιμ' ἄν, ὡς δὶς παῖδες οἱ γέροντες.
Εἰκὸς δὲ μάλιστα τοὺς γέροντας, ἢ τοὺς νέους, τι κλάειν,
Ὅσωπερ ἐξαμαρτάνειν ἧττον δίκαιον αὐτούς.
Στ. Ἀλλ' οὐδαμοῦ νομίζεται τὸν πατέρα τοῦτο πάσχειν.
Φειδ. Οὔκουν ἀνὴρ, ὁ τὸν νόμον θεὶς τοῦτον, ἦν τὸ πρῶτον,
Ὥσπερ σὺ κἀγώ, καὶ λέγων ἔπειθε τοὺς παλαιούς;
Ἧττόν τι δῆτ' ἔξεστι κἀμοί, καινὸν αὖ τὸ λοιπὸν
Θεῖναι νόμον τοῖς υἱέσι, τοὺς πατέρας ἀντιτύπτειν.
Ὅσας δὲ πληγὰς εἴχομεν πρὶν τὸν νόμον τεθῆναι,

A *Et ego sententiis, ac subtilibus assuesco verbis:*
Puto me docturum, quòd fas sit, patrem multare flagris.
ST. *Imò equita, per Iouem. Nam multò satius est mihi*
Equum alere quadriiugalem, quàm comminui vapulantem.
PH. *Ego o illuc, vnde mihi sermonem abrupisti, reuertar.*
B *Et primùm hoc ex te interrogabo: an nõ tu verberabas*
Olim me puerum? ST. *maximè: quia tibi bene volebam,*
Et curam tui agebam. PH. *cedò nunc mihi: an non est perinde*
Æquum, vt & ego tibi bene velim, & te verberem benignè:
C *Siquidem bene velle idem quod verberare est? Nam quo iure*
Tuum corpus sit liberum loris, meum non itẽ sit?
Equidem & ego natus sum liber: num lacrumẽt filij, non
Lacrumet etiam pater? ST. *quamobrem?* PH. *num tu lege dices*
Cautum esse, vt pueri solùm vapulent? at ego tibi isthuc
D *Obiecerim, quod vulgus dicit, bis pueri senes sunt.*
Tum præterea senes flere æquius est, quàm nos puellos,
Quantò minùs ipsis peccare licet, quàm nobis. ST. *at isthuc*
Nulla sancitum est lege, vt patrem ferre isthæc sit æquum.
E PH. *An non vir ille, qui primum hanc legẽ sanxisse fertur,*
Itidem homo fuit, qualis ego & tu sumus: & qui oratione
Legem persuasit antiquis? quare non liceat ergo
Et mihi nouam sancire legem filijs, vt illi
Suos referiãt patres? nã verbera quæcunq; nobis
Illata sunt, priusquã lex daretur ea: omnia ipsis

Σχόλια. Ὡς ἡδὺ καινοῖς.] ἔκθεσις ἑτέρας διπλῆς ἀμοιβαίας ἐκ στίχων ἰαμβικῶν τετραμέτρων καταληκτικῶν μέ. ὧν τελευταῖος, τὴν μητέρ' ὥσπερ καὶ σὲ τυπτήσω. τί δῆτα φὴς σύ ὁ μὲν τοι ἑπτακαιδέκατος, τρίμετρος ἰαμβικός ἐστι. ἐπὶ τῷ τέλει διπλῆ ἔξω νενευκυῖα. Κλάουσι παῖδες.] ἐκ τοῦ Ἀλκήστιδος Εὐριπίδου. χαίρεις ὁρῶν φῶς. πατέρα δ' οὐ χαίρειν δοκεῖς.

F

BISETVS. Στρ. τί ἢ δή] ἐν τοῖς παλαιοῖς σχολίοις εὑρίσκομεν τοῦτον ιζ. στίχον εἶναι τρίμετρον ἰαμβικόν, διὸ ταῦτα. Στρ. τί ἢ δή; ἴσως πλεονάζει. καὶ ἔν τισι τῶν παλαιῶν ἀντιγράφων ταῦτα οὐ γέγραπται, ἀλλὰ τὸ μέτρον τοῦ τετραμέτρου ἰαμβικοῦ γράφεται.

G

Σχόλια. Δὶς παῖδες οἱ γέροντες] παῖδές τε γὰρ τὴν ἀρχὴν ἦσαν ἄφρονες. καὶ νῦν ὑπὸ τοῦ τῶν ἐτῶν πλήθους παρατραπέντος αὐτοῖς τοῦ λογισμοῦ, παῖδές εἰσι τὸ δεύτερον πάλιν ληροῦντες. καὶ Σοφοκλῆς Πηλεῖ. Πηλέα τὸν Αἰάκειον οἰκουρὸς μόνη γεροντάγωγῶ κἀναπαιδεύω. πάλιν γὰρ αὖθις παῖς ὁ γηράσκων ἀνήρ. καὶ Θεόπομπος. δὶς παῖδες οἱ γέροντες ὀρθῷ τῷ λόγῳ. καὶ Πλάτων. ἄρ' ὡς ἔοικε δὶς γένοιτ' ἂν παῖς γέρων. καὶ Ἀντιφῶν, γηροτροφία γὰρ προσέοικε παιδοτροφίᾳ. Ὅσωπερ.] οἱ παῖδες ἐξαμαρτάνοντες συγγνώμης μᾶλλον ἄξιοι διὰ τὸ νέον τῆς ἡλικίας. τὸ δὲ ἧττον ἀντὶ τοῦ μηδ' ὅλως. Οὔκουν ἀνήρ.] ἐν ἤθει καὶ ἐρωτήσει. Ἧττον τί δῆτ' ἔξεστι κἀμοί.] ἀντὶ τοῦ κἀμοὶ οὐδὲν ἧττον ἔξεστι τοῦ παλαιοῦ νομοθέτου. γράφεται δέ τινι τῶν νεωτέρων κατὰ λέξιν οὕτως. ἀπορούσι πάντες ἐνταῦθα περὶ τοῦ ἧττον. τὸ δὲ ὡς οἶμαι τοιοῦτόν ἐστιν. εἰπὼν γὰρ, καὶ λέγων ἔπειθε τοὺς παλαιοὺς ἐπάγει ἧττον. δεικνὺς ὡς εἰ καὶ ἔπειθεν, ἀλλ' ἧττον ἢ ἐγὼ αὐτὸς νῦν. ἐπειδὴ καὶ τὰ δίκαια καὶ τὰ μὴ, λέγων, ὁμοίως νικῶ. οἱ δὲ τὸ ἧττον, πρὸς τὸ τί δῆτα συνάπτοντες, ψυχροί τινές εἰσιν. ἢ τὸ ἧττον μὴ πρός τι συνάπτε. ἀλλὰ μόνον λέγε κατ'

ἐρώτησιν. οὐκοῦν ὅτῳ ἦν ὁ θεὶς τὸν νόμον τοῦτον ὡς σὺ καὶ ἐγώ· καὶ λέγων ἔπειθε τοὺς παλαιούς. ἀντὶ τοῦ οὐδαμῶς τοῦτο οὕτως ἔχει. ἢ ὥσπερ ἐν τῷ πρώτῳ τὸ A ἧττον πρὸς τὸ ἔπειθε συνάψομεν, οὕτω καὶ πρὸς τὸ λέγων συναπτέον οὕτω. καὶ λέγων ἧττον τὸ ἔλαττον ἢ ἐγὼ νῦν, ἔπειθε τοὺς παλαιούς.

Ἀφίεμεν, καὶ δίδομεν αὐτοῖς προῖκα συγκεκόφθαι.
Σκέψαι δὲ τοὺς ἀλεκτρυόνας, καὶ τἄλλα τὰ βοτὰ ταυτί,
Ὡς τοὺς πατέρας ἀμύνεται, καίτοι διαφέρουσ' οὐδὲν
B
Ἡμῶν ἐκεῖνοι, πλὴν ὅτι ψηφίσματ' οὐ γράφουσι.
Στ. Τί δῆτ', ἐπειδὴ τοὺς ἀλεκτρυόνας ἅπαντα μιμεῖ,
Οὐκ ἐσθίεις καὶ τὴν κόπρον, κἀπὶ ξύλου καθεύδεις;
Φει. Οὐ ταυτὸν ὦ τᾶν ἐστιν, οὐδ' ἂν Σωκράτει δοκοίη.
C
Στ. Πρὸς ταῦτα μὴ τύπτ', εἰ δὲ μή, σαυτόν ποτ' αἰτιάσει.
Φει. Καὶ πῶς; Στρ. ἐπεί σε μὲν δίκαιός εἰμ' ἐγὼ κολάζειν,
Σὺ δ', ἢν γένηταί σοι, τὸν υἱόν. Φειδ. ἢν δὲ μὴ γένηται,
Μάτην ἐμοὶ κεκλαύσεται, σὺ δ' ἐγχανὼν τεθνήξεις.
D
Στ. Ἐμοὶ μὲν ὦνδρες ἥλικες δοκεῖ λέγειν δίκαια.
Κἀμοί γε συγχωρεῖν δοκεῖ τούτοισι τἀπιεική.
Κλάειν γὰρ ἡμᾶς εἰκός ἐστ', ἢν μὴ δίκαια δρῶμεν.
Φειδ. Σκέψαι δὲ χἀτέραν ἔτι γνώμην. Στ. ἀπὸ γὰρ ὀλοῦμαι.
Φειδ. Καὶ μὴν ἴσως γ' οὐκ ἀχθέσει παθὼν ἃ νῦν πέπονθας.
E
Στ. Πῶς δή; δίδαξον γάρ, τί δή μ' ἐκ τούτων ἐπωφελήσεις;
Φειδ. Τὴν μητέρ', ὥσπερ καί σε, τυπτήσω. Στ. τί δῆτα φῄς σύ;
Τοὐθ' ἕτερον αὖ μεῖζον κακόν.
Φειδ. Τί δ' ἢν ἔχων τὸν ἥττω
Λόγον σε νικήσω λέγων,
Τὴν μητέρ' ὡς τύπτειν χρεών;
F
Στρ. Τί δ' ἄλλο γ', ἢν ταυτὶ ποιῇς,
Οὐδέν σε κωλύσει, σεαυτὸν ἐμβαλεῖν
Ἐς τὸ βάραθρον μετὰ Σωκράτους,
Καὶ τὸν λόγον τὸν ἥττω;

Remittimus, & condonamus, vt impunè ceciderint nos.
Et quaso, gallos & alias pecudes saltem intuere,
Quomodo reluctentur patribus. atqui nulla re illi
A nobis differunt: nisi quod decreta non faciunt.
ST. *cur*
Ergo, quandoquidem gallos imitâre per omnia: non & .
Fimum comedis, & pertica insidens dormis?
PH. *pater mi,*
Non est idem: neque Socrates hoc pro eodem probârit.
ST. *Igitur ne pulses: sin minùs, olim accusabis teipsum.*
PH. *At quomodo?* ST. *quia mihi meum in te ius est verberandi*
Te, tibi tuum ius erit in filium: si quis nascetur
Tibi. PH. *at si non nascatur: tum neque à me flebitur: tu*
Verò morieris ore hianti. ST. *certè, vos amici*
Senes, videtur mihi, quod iustum est dicere: &, quod aequum 'st,
Concedere hisce. nam nisi nos senes, quod iustum & aequum 'st,
Faciam: decet omnino nos vapulare & eiulare.
PH. *Agè verò & alteram hanc rationem perpende.* ST. *interibo.*
PH. *Imò hac, qua modò perpessus eras fortè non feres molestè.*
ST. *Quidum? agè doce, quid hac re mihi sis cõmodi daturus.*
PH. *Matrem perinde, vt te pulsabo.* ST. *quid dicis, scelestè?*
At maius hoc illo est malum.
PH. *Quid si inferiore iam nunc*
Sermone te vincam, & probem
Opus esse, vt matrem verberem?
ST. *Quid obstet autem, si probes*
Tu, quo minus teipsum. cum Socrate tuo,
Et sermone inferiore mox
Pracipites in Barathrum

Σχόλια. Συγκεκόφθαι.] τυφθῆναι ἡμᾶς. κατακοπῆναι ταῖς μάστιξι.

BISETUS. Τὰ βοτά] τὰ βοσκήματα. κατὰ πάντων δὲ χερσαίων, καὶ πτηνῶν, καὶ ἐνύδρων, καὶ ἀγρίων ζώων λέγεται, παρὰ τὸ βόσκεσθαι Ἡσύχιος.

Σχόλια. Πλὴν ὅτι ψηφίσματα.] ἀντὶ τοῦ δικαστήρια καὶ ἀγῶνας. εἰς δὲ τὸ φιλόδικον τῶν Ἀθηναίων ἀποτείνεται. Σωκράτει δοκοίη.] ἀπορίας λύσεως ἐπὶ τὴν τοῦ Σωκράτους δόκησιν ἀνάγει πιστοτέραν οὖσαν. τὰ δὲ πρόσωπα οὕτως. ἀπὸ τοῦ οὐ ταυτὸν ἕως τοῦ οὐ ταῦτα τοῦ νέου ἐστίν. ἐν δὲ τοῦ πρεσβύτου τὸ πρὸς ταῦτα τυτέστιν ἃ σὺ νῦν περὶ τοῦ ἀλεκτρ. ὄνων εἶπον. τὸ δὲ πῶς τοῦ Φειδιππίδου λέγοντος. ἐν δέ τισιν ὁ νέος τὸν οὐ ταυτὸν καὶ ἑξῆς στίχον εὑρηται λέγων. τὰ δ' ἑξῆς μέχρι τοῦ ἢν δὲ μὴ γένηται Στρεψιάδης. ὅτι δὲ πῶς ἐμαυτὸν αἰτιάσομαι. ἔξεστι γάρ μοι τύπτειν σε. ὥσπερ καὶ σοὶ ἐὰν ἔχῃς υἱόν. Ἐμοὶ μέν.] τοὺς τρεῖς τοὺς ἑξῆς ὁ πρεσβύτης πρὸς τοὺς θεατάς. ἐπιεική δὲ, ὅμοια πρέποντα κατὰ τὸ προσῆκον δὲ ἀνόλεθρον. συγχωρεῖν τοῖς ἐπιεικέσι, συγχωρεῖν αὐτοῖς. Τοὐθ' ἕτερον αὖ] ἔκθεσις τῆς διπλῆς ἐκ κώλων ἰαμβικῶν ὀκτώ. ὧν τὸ πρῶτον δίμετρον ἀκατάληκτον. τὸ β δίμετρον καταληκτικόν, ἤτοι ἑφθημιμερές. τὰ ἑξῆς τρία ὅμοια τῷ πρώτῳ, τὸ ς τρίμετρον ἀκατάληκ-

ἀκατάληκτον. τὸ ἕβδομον δίμετρον ἀκατάληκτον. τὸ τελευταῖον, τῷ πρώτῳ ὅμοιον. ἄλλως. διπλῆ καὶ μέλος ἀμοιβαῖον οὗ ἀρχὴ τοῦθ᾽ ἕτερον αὖ μεῖζον. τέλος δὲ, καὶ τὸν λόγον τὸν ἥττω. ἔστι δὲ ἰαμβικὰ τρίμετρα ἀκατάληκτα τρία. καὶ τὸ πρῶτον ἰαμβεῖον τετράμετρον καταληκτικόν. τινὲς δὲ διαιροῦσι τοῦτο εἰς δύο. ἐπειδὴ καὶ τὰ πρόσωπα κεχωρισμένα εἰσί. καὶ γίνεται μεσωδικὴ τρία ἑκατέρωθεν ἔχουσα κῶλα. τινὲς δὲ τὸ μέσον τετράκωλον.

Ταυτὶ δι᾽ ὑμᾶς ὦ Νεφέλαι πέπονθ᾽ ἐγώ,
Ὑμῖν ἀναθεὶς ἅπαντα τὰ᾽ μὰ πράγματα.
Χο. Αὐτὸς μὲν οὖν σαυτῷ σὺ τούτων αἴτιος,
Στρέψας σεαυτὸν ἐς πονηρὰ πράγματα.
Στρεψ. Τί δῆτα ταῦτά γ᾽ οὔ μοι τότ᾽ ἠγορεύετε;
Ἀλλ᾽ ἄνδρ᾽ ἄγροικον καὶ γέροντ᾽ ἐπήρετε.
Χο. Ἀεὶ ποιοῦμεν ταῦθ᾽ ἑκάστοθ᾽, ὅτ᾽ ἄν τινα
Γνῶμεν πονηρῶν ὄντ᾽ ἐραστὴν πραγμάτων.
Ἕως ἂν αὐτὸν ἐμβάλωμεν ἐς κακόν,
Ὅπως ἂν εἰδῇ τοὺς θεοὺς δεδοικέναι.
Στ. Οἴμοι, πονηρά γ᾽ ὦ Νεφέλαι, δίκαια δέ.
Οὐ γάρ μ᾽ ἐχρῆν τὰ χρήμαθ᾽, ἃ ᾽δανεισάμην,
Ἀποστερεῖν. νῦν οὖν ὅπως, ὦ φίλτατε,
Τὸν Χαιρεφῶντα τὸν μιαρὸν καὶ Σωκράτη
Ἀπολεῖς, μετ᾽ ἐμοῦ γ᾽ ἐλθ᾽, οἳ σε κἄμ᾽ ἐξηπάτων.
Φειδ. Ἀλλ᾽ οὐκ ἂν ἀδικήσαιμι τοὺς διδασκάλους.
Στ. Ναὶ ναί, καταιδέσθητι πατρῷον Δία.
Φειδ. Ἰδού γε Δία πατρῷον, ὡς ἀρχαῖος εἶ.
Ζεὺς γάρ τις ἔστι; Στρεψ. ἐστίν. Φειδιπ. οὐκ ἔστ᾽, ἐπεὶ
Δῖνος βασιλεύει, τὸν Δί᾽ ἐξεληλακώς.
Στρ. Οὐκ ἐξελήλακ᾽, ἀλλ᾽ ἐγὼ τοῦτ᾽ ᾠόμην,
Διὰ τουτονὶ τὸν Δῖνον. οἴμοι δείλαιος,
Ὅτε καὶ σὲ χυτρεοῦν ὄντα θεὸν ἡγησάμην.
Φει. Ἐνταῦθα σαυτῷ παραφρόνει, καὶ φλυάρει.

A O Nubes, hæc ego vestri causa, fero mala:
Dum vobis omnia mea mando negocia.
CH. At horum tute malorum tibimet auctor es:
B Quando tuum animum ad res applicuisti malas.
ST. Cur hæc mihi tum non dicebatis? quòd hominem
Me circumueniebatis rusticum & senem?
CH. Isthæc semper nos facere consueuimus: ubi
Aliquem videmus operam dare rebus malis:
Vt eum in aliquod magnum coniiciamus malum:
C Donec is addiscat patrios rever eri Deos.
ST. Hei mihi, Nubes, mala quidem isthæc, sed iusta sunt.
Non enim oportebat fœnori quod sumseram,
Argentum, defraudando me interuertere.
Agè, mi fili: agè nunc mecum adesdum celeriter:
Vt Charephōtem illum scelerosum & Socratem
D Perdas: qui & te, & me ludificârunt hactenus.
PH. Ego verò magistros haudquaquam affecero aliqua
Iniuria. ST. imò reuerere patrium Iouem.
PH. Ecce autem patrium Iouem: ut delirus es.
Nam quis sit Iuppiter? ST. imò est. PH. non est Iuppiter:
Quandoquidē nunc turbo imperat, expulso Ioue.
E ST. Non est expulsus: sed ego rebar hoc ita
Ob isthunc Turbinem Deum, hei misero mihi,
Quod etiam te arbitratus sum ollarem Deum.
PH. Hic tu tibiipse nugare, atque desipe.

Σχόλια. Ταυτὶ δι᾽ ὑμᾶς.] ἐν ἐκθέσει ἴαμβοι τρίμετροι ἀκατάληκτοι μα΄. ὧν τελευταῖος ἐμοὶ ποιοῦσαι πρόστιθ᾽ ἀλαζόνας. εἶτα ἐκφώνημα τὸ ἰοὺ ἰού. καὶ πάλιν ἴαμβοι ιε΄. καὶ τελευταῖον τοῦ δράματος ἀναπαιστικὸν τετράμετρον καταληκτικόν. ἐφ᾽ ᾧ κορωνὶς ἡ καὶ τὸ δρᾶμα ἀποτερματίζουσα. Ω φίλτατε.] λείπει τὸ υἱὲ ἢ παῖ. τοῦτο γὰρ ἀπηχεῖσθαι. πρὸς τὸν υἱὸν μετέβη. Πατρῷον Δία] πατρῷος Ζεὺς καὶ Ἀπόλλων ἐν Ἀθήναις τιμῶνται. ὁ Ζεὺς μὲν μετὰ τὴν ἐν Ἀρκαδίᾳ, ἢ ὡς ἕτεροι μετὰ τὴν ἐν Κρήτῃ ἀνατροφὴν, ὅτι πρῶτον ταῖς Ἀθήναις ἐπέστη καὶ ἐφάνη τοῖς πατράσιν αὐτῶν. οἱ τινὲς ταύτῃ τῇ προσηγορίᾳ τετιμήκασιν αὐτόν. Ἀπόλλων δὲ ὅτι Ἐρεχθέως θυγατέρα ἔγημε τὴν Κρέουσαν. ἐξ ἧς γίνεται ὁ Ἴων. ὡς πρόγονον οὖν αὐτὸν ἐτίμων καὶ οἱ ἄρχοντες ὅτε ἐχειροτονοῦντο. ἐκ γὰρ τοῦ μὴ εἰδέναι ξένους αὐτοὺς ἐνόμιζον. ἄλλως. οὕτω τιμᾶται παρ᾽ Ἀθηναίοις Ζεὺς πατρῷος καὶ Ἀπόλλων. διὰ τὸ πρώτους ὑποδέξασθαι τὼ θεὼ εἰς τὴν χώραν. καὶ θυσίας συντελεῖσθαι κατὰ φρήτρας καὶ δήμους καὶ συγγενείας μόνους Ἑλλήνων. Ἰδού γε Δία.] ἐξ ὧν ὁ πατὴρ ἐπελάβετο αὐτοῦ ἀνωτέρω, ἐκ τούτων καὶ αὐτὸς πειρᾶται τοῦ πατρὸς λαμβάνεσθαι. Διὰ τουτονὶ τὸν Δῖνον] ὡς ἀγάλματος Δίνου ὄντος ἐν τῇ διατριβῇ Σωκράτους ὀστρακίνου. Χυτρεοῦν.] τὸ ἐν τῷ φροντιστηρίῳ μηχάνημα ὀστράκινον παρεμφερὲς ὡς χύτραν ὠνομαλοποίησεν. καὶ ὄνομα αὐτῷ ἔθετο χυτρεοῦν. τουτέστι μάταιον εὐτελές. χύτρας ἄξιον. ὡς ὀστρακίνου ἀγάλματος ὄντος πρὸ τῆς διατριβῆς.

F Bisetus. Φλυάρει] Σ. φλύναφος μωρολόγος. G φλυναφία, μωρολογία. φλυναφεῖν, μωρολογεῖν.

ΔΡΑΜΑΤΟΣ ΤΟΥ ΠΕΜΠΤΟΥ
Σκηνὴ τρίτη.
ΣΤΡΕΨΙΑΔΗΣ ΜΟΝΟΣ.

ACTVS V. SCENA III.
STREPSIADES SOLVS.

Στρ. Οἴμοι παρανοίας· ὡς ἐμαινόμην ἄρα,
Ὅτ' ἐξέβαλον καὶ τοὺς θεοὺς διὰ Σωκράτη.
Ἀλλ' ὦ φίλ' Ἑρμῆ, μηδαμῶς θύμαινέ μοι,
Μηδέ μ' ἐπιτρίψῃς, ἀλλὰ συγγνώμην ἔχε
Ἐμοῦ παρανοήσαντος ἀδολεσχίᾳ.
Κἀμοὶ γενοῦ ξύμβουλος, εἴτ' αὐτοὺς γραφὴν
Διωκάθω γραψάμενος, εἴθ' ὅ,τι σοι δοκεῖ.
Ὀρθῶς παραινεῖς, οὐκ ἐῶν δικορραφεῖν.
Ἀλλ' ὡς τάχιστ' ἐμπιπράναι τὴν οἰκίαν
Τῶν ἀδολεσχῶν. δεῦρο δεῦρ' ὦ Ξανθία,
Κλίμακα λαβὼν ἔξελθε, καὶ σμινύην φέρων,
Κᾆπειτ' ἐπαναβὰς ἐπὶ τὸ φροντιστήριον,
Ἕως ἂν αὐτοῖς ἐμβάλῃς τὴν οἰκίαν,
Τὸ τέγος κατάσκαπτ', εἰ φιλεῖς τὸν δεσπότην.
Ἐμοὶ δὲ δᾷδ' ἐνεγκάτω τις ἡμμένην,
Κἀγώ τιν' αὐτῶν τήμερον δοῦναι δίκην
Ἐμοὶ ποιήσω, κἂν σφόδρ' εἴσ' ἀλαζόνες.

Me miserum & stupidum: quantum insanivi modo:
Quod Socrati credens, abieci omnes Deos?
O Mercuri carißime ne succense, ne
Mihi: neu me perdas: sed veniam da mihi:
Quod garrulitate mea desipui & da tuum
Mihi consilium: an his litem intendam, aut quod tibi
Videbitur. Recte mones, quod non sinis
Litem nectere: sed hanc nugatorum domum
Iubes incendere quàm celerrimè. agè, huc agè
Adesdum Xanthia. scalam & rastrum foràs
Effer, scholam conscende, tectum perfode:
Donec domum omnem in ipsos inÿcias: perge, si
Herum tuum amas. at mihi facem quis afferat
Ardentem: ego faxim pœnas dent mihi hodie,
Quamlibet elato animo valde superbiant.

Σχόλια. Ὅτ' ἐξέβαλον.] ταῦτα εἰς διαβολὴν Σωκράτους, ἐκβαλόντος τὰ δαιμόνια. Ἀλλ' ὦ φίλ' Ἑρμῆ. τοῦτο οἱ κλέπται πρὸς τὸν Ἑρμῆν ἔλεγον ὅτε ἁλισκόμενοι ἐκολάζοντο, αἰτούμενοι αὐτὸν ἐλθεῖν αὐτοῖς εἰς βοήθειαν· ᾤοντο γὰρ διὰ τὸ κεκλεφέναι αὐτῷ ὡς ἐφόρῳ κλεπτικῆς ὄντι, εἰς ταῦτα περιπεσεῖν τὰ δεινά. Παρανοήσαντος.] ἀντὶ τοῦ ἀνοητεύσαντος παρὰ τὸ πρέπον καὶ πεισθέντος. ἀδολεσχία δὲ ἡ τῶν ἀηδῶν ὁμιλία.

Bisetus. Ἀδολεσχία] Σ. ἀδολεσχία, ἀκαιρεία, φλυαρία, συνέχεια. Ἀττικοὶ ἐκτείνουσι τὸ α. ἀδολεσχία δὲ παρὰ τῇ γραφῇ, ἡ συνεχὴς μελέτη. καὶ ἀδολεσχῆσαι, ἀντὶ τοῦ συνεχῶς μελετῆσαι. ἀδόλεσχος δὲ, καὶ ἀδολέσχης, ὁ ἀδολεσχῶν, ὁ τῇ ἀδολεσχίᾳ χαίρων. ταῦτα δὲ παρὰ τὸ ἄδος, ὃ τὸν κόρον, καὶ πλησμονὴν σημαίνει, καὶ τὴν λέσχην. λέσχας δὲ πάλαι ἔλεγον δημοσίους τινὰς τόπους, ἐν οἷς οἱ σχολὴν ἄγοντες ἐκαθέζοντο. Ὅμηρος,
Οὐκ ἐθέλεις εὕδειν χαλκήϊον ἐς δόμον ἐλθὼν,
Ἠέ που ἐς λέσχην;
Κλεάνθης δέ φησιν ἀπονενεμῆσθαι Ἀπόλλωνι τὰς λέσχας. ἐξέδραις δὲ ὁμοίας γίνεσθαι. καὶ αὐτὸν δὲ τὸν Ἀπόλλωνα παρ' ἐνίοις λεσχηνόριον ἐπικαλεῖσθαι. λέσχη ἡ πολλὴ ὁμιλία, φλυαρία. τὸ δὲ παλαιὸν αἱ καθέδραι, καὶ οἱ τόποι, ἐν οἷς εἰώθεσαν ἀθροιζόμενοι φιλοσοφεῖν, λέσχαι ἐκαλοῦντο. Κλίμακα λαβὼν] Σ. κλίμαξ ἡ κοινῶς σκάλα. σμινύη δὲ, σκαφεῖον, δίκελλα, ἀξίνη. Τί γὰρ μαθὼν] χαπλέον ἴσως, μαθὼν ὑβρίζετον; ἡ ἀνακόλουθον ὁ Στρεψιάδης ἄγροικος, καὶ ἀπαίδευτος, καὶ ὀργισθεὶς ποιεῖ. ἡ δὲ τούτων ἔννοια, αὕτη. τίς δὲ ὑμᾶς ἐδίδαξεν οὕτως εἰς τοὺς θεοὺς ὑβρίζειν; ἐκ τίνων ταύτην τὴν ἀσέβειαν ἐμάθετε; τὸ δὲ δυϊκῷ ἐχρήσατο, ὅτι πρὸς δύο ὁ λόγος ποιεῖται, τὸν Σωκράτην δηλονότι, καὶ τὸν Χαιρεφῶντα. πολλάκις δὲ παρὰ τούτῳ τῷ ποιητῇ ταύτην τῆς μετοχῆς, μαθὼν, χρῆσιν εὑρήσεις, ὅπερ ἐλέγχου τινὸς σχῆμα ἔχει, καὶ ἐπιτιμήσει, καὶ ἀπαιδευσίας ὀνειδισμὸν σημαίνει. οἷον ἐν Ἀχαρνεῦσι,
Τί μαθὼν φάγεις ἄνευ θρυαλλίδος;
καὶ ἐν Σφηξὶ,
Τί δὴ μαθὼν τῷ δακτύλῳ τὴν θρυαλλίδ' ὠθεῖς;
καὶ ἐν Λυσιστράτῃ,
Σὺ δὲ δὴ τί μαθὼν ὕδωρ δεῦρ' ἐπήνεγκες;
Οὐ μὴν ἀλλὰ καὶ τὸ εἰπὲ ἑνικὸν πολλάκις ἂν εὕροις μετὰ πληθυντικοῦ. ὡς ἐν Ὄρνισιν,
Εἰπέ μοι τί μέλλετε; καὶ ἐν Σφηξὶν, „ Εἰπέ μοι τί μέλλομεν; καὶ ἐν Ἀχαρνεῦσιν, „ Εἰπέ μοι ὦ δημόται.

ΔΡΑΜΑΤΟΣ ΤΟΥ ΠΕΜΠΤΟΥ
Σκηνὴ τετάρτη.

ACTVS V. SCENA IIII.

ΜΑΘΗΤΗΣ, ΣΤΡΕΨΙΑΔΗΣ, ΣΩΚΡΑΤΗΣ, ΧΑΙΡΕΦΩΝ.
τρίμετροι Ἰαμβικοί.

DISCIPVLVS, STREPSIADES, SOCRATES, CHAEREPHON.
Senarij Iambici.

Bisetus. Σωκράτους μαθητὴς, Σωκράτης αὐτὸς, καὶ Χαιρεφῶν τὸν τῆς οἰκίας, καὶ τοῦ φροντιστηρίου ἐμπρησμὸν δεινῶς φέροντες ἀγανακτοῦσι, καὶ τοῖς ἀυτουργοῖς μέμφονται.

Μα. Ἰοὺ, ἰού,
Στρ. Σὸν ἔργον, ὦ δᾲς, ἱέναι πολλὴν φλόγα.
Μα. Ἄνθρωπε τί ποιεῖς; Στρ. ὅ,τι ποιῶ, τί δ' ἄλλο γ' ἢ
Διαλεπτολογοῦμαι ταῖς δοκοῖς τῆς οἰκίας.

DI. *Heu, eheu:*
ST. *Tuũ est, ô fax, flammam immittere quam plurimam.*
DI. *Quid agis homo?* ST. *id quod ago: quid enim aliud, nisi*
Quod argute disputo cũ trabibus huius domus?

Μα. Οἴμοι,

Μα. Οἴμοι, τίς ἡμῶν πυρπολεῖ τὴν οἰκίαν;
Στ. Ἐκεῖνος, οὗπερ θοἰμάτιον εἰλήφατε.
Μα. Ἀπολεῖς, ἀπολεῖς. Στ. τοῦτ' αὐτὸν γὰρ καὶ βούλομαι.
Ἢν ἡ σμινύη μοι μὴ προδῷ τὰς ἐλπίδας,
Ἢ 'γὼ πρότερόν πως ἐκτραχηλισθῶ πεσών.
Σω. Οὗτος τί ποιεῖς ἐτεόν, οὑπὶ τοῦ τέγους;
Στ. Ἀεροβατῶ, καὶ περιφρονῶ τὸν Ἥλιον.
Σω. Οἴμοι τάλας, δείλαιος ἀποπνιγήσομαι.
Στ. Τί γὰρ μαθὼν ὑβρίζετον γ' εἰς τοὺς θεούς;
Χαι. Ἐγὼ δὲ κακοδαίμων γε κατακαυθήσομαι
Στ. Καὶ τῆς Σελήνης ἐσκοπεῖσθε τὴν ἕδραν.
Δίωκε, βάλλε, παῖε, πολλῶν οὕνεκα.
Μάλιστα δ' εἰδώς, τοὺς θεοὺς ὡς ἠδίκουν.

Σχόλια. Τῆς σελήνης τὴν ἕδραν.] ἀντὶ τοῦ τὰς κινήσεις τῆς σελήνης. ἕδραν δὲ εἶπεν εἰς τὸ αἰσχρὸν ἀποτείνων τὸν λόγον. τὴν ἐπιφοράν. ἐπὶ τίνος ὀχεῖται καὶ διὰ τί καὶ πῶς μηνύει. Δίωκε.] ὡς τῶν φιλοσόφων φευγόντων διὰ τὸ πῦρ. τὸ δὲ ὡς ἠδίκουν, γράφεται καὶ οὓς ἠδίκουν.

A DI. *Hei mihi, quis incendit nostram domum?*
ST. *Is, cuius vos cepistis vestem.* DI. *Male peri.*
Perdes nos. ST. *hoc ipsum volo: modò hic ligo*
Non perdat spes, à me conceptas: néue ego
Collum frangam, atque è tecto præceps decidam.
SO. *Heus tu, quid agis verò supra tectum? cedo.*
B ST. *In aëre incedo, & Solem sic contuor.*
SO. *Heu me miserum, miser ego iamiam strangulor.*
ST. *Cur ergo Deos afficitis contumelia?*
CHAE. *O me infelicem: qui flamma exanimor miser.*
ST. *Et Lunæ speculati estis sedem desuper.*
Age, tunde iace, feri, causas ob plurimas:
C *Tum præcipuè ob hanc: quòd Deos iniuria,*
Et horrenda affecerunt contumelia.

ΧΟΡΟΣ.

CHORVS.

BISETVS. Ὁ Χορὸς τῷ δράματι D τέλος ἐπιτίθησιν.

Χο. Ἡγεῖσθ' ἔξω, κεχόρευται γὰρ μετρίως τόγε τήμερον ἡμῖν.

CHO. *Exite: quoniam hodie nobis mediocriter hoc pede saltum est.*

Σχόλια. Τόγε τήμερον.] ἀντὶ τοῦ τήμερον ἀρκετῶς ἔχει ἡ ἡμέρα. ὡς ἀπὸ τοῦ ποιητοῦ δὲ ὁ λόγος. τέλος.

ΤΕΛΟΣ ΝΕΦΕΛΩΝ.

FINIS NVBIVM.

ΘΩΜΑ ΤΟΥ ΜΑΓΙΣΤΡΟΥ, ΒΑΤΡΑΧΩΝ ΥΠΟΘΕΣΙΣ.

ΔΙΟΝΥΣΟΣ Εὐριπίδου πόθῳ ληφθεὶς, καὶ οὐχ οἷός τ' ὢν ἄλλως θεραπεῦσαι τὸν ἔρωτα, εἰς ᾅδου κατελθεῖν ἠβουλήθη, ὅπως ἐκεῖ τούτῳ ἐντύχῃ. ἐπεὶ δὲ τῆς ὁδοῦ ἄπειρος ἦν, ἔγνω δεῖν εἰς Ἡρακλέα πρότερον ἐλθεῖν. ἐπεὶ γὰρ πάλαι κελεύσαντος Εὐρυσθέως, Κέρβερον ἄξειν εἰς ᾅδου κατῄει. ἐλθὼν δὲ καὶ πυθόμενος περὶ τῆς ὁδοῦ, ἤκουσε παρ' αὐτοῦ ὅπως ἄρα δεῖ κατελθεῖν, χαριεντισαμένου πρὸς αὐτὸν πρότερον. Διόνυσος δὲ καὶ πρὶν ἀπαντῆσαι πρὸς Ἡρακλέα, κατ' αὐτὸν ἐσκεύαστο, λεοντῆν ἐνδεδυμένος καὶ ῥόπαλον φέρων. ὡς οὖν ἤκουσε παρ' Ἡρακλέους περὶ τῆς ὁδοῦ, μεθ' ἑαυτοῦ δοῦλόν τινα ἔχων Ξανθίαν, ἐχώρει πρὸς ᾅδην. καὶ πρῶτον μὲν ἐντυγχάνει τῇ Ἀχερουσίᾳ λίμνῃ. καὶ ὁρᾷ ἐν αὐτῇ τὸν Χάρωνα μετὰ σκάφους, δι' οὗ τοὺς τεθνεῶτας εἰς ᾅδου ἐπέρα. καὶ ὁ μὲν Ξανθίας οὐκ ἐπέβη τοῦ σκάφους, διὰ τὸ μὴ τὴν ἐν Ἀργινούσαις ναυμαχῆσαι μάχην, πεζῇ δὲ περιῄει τὴν λίμνην. Διόνυσος δὲ ἐπιβὰς καὶ τῶν ἐν αὐτῇ βατράχων ἀκούσας μέλη παρὰ τὸν πλοῦν, διαπεραιοῦται, καὶ αὖθις Ξανθίᾳ συγγίνεται. καὶ σὺν αὐτῷ πάλιν ἁμαρτάνομενος τῆς ὁδοῦ, περὶ ἧς ἃ Ἡρακλῆς αὐτῷ προειρήκει, δυσχερῆ τινα θεάματα. καὶ τοὺς μύστας παρ' αὐταῖς ταῖς πύλαις τοῦ ᾅδου χορεύοντας. εἶτα ὡς Ἡρακλῆς εἰσελθὼν, καὶ μεταξὺ πολλῶν τούτῳ συμβάντων, παραγίνεται πρὸς Πλούτωνα, οὐχ ἵν' Εὐριπίδην ἀναγάγῃ, ἀλλ' ἵν' ἀγωνισαμένων Αἰσχύλου καὶ Εὐριπίδου, ὅστις τούτων ἄριστος τὰ εἰς τέχνην φανείη, τοῦτον αὐτὸς εἰληφὼς ἀνενέγκῃ πρὸς βίον. τούτου δὲ γενομένου καὶ κρείττονος ἀναφανέντος Αἰσχύλου, Διόνυσος τοῦτον λαβὼν, ἀνῆλθε.

Τὸ δὲ δρᾶμα τῶν εὖ καὶ φιλοπόνως πάνυ πεποιημένων. ἐδιδάχθη δὲ ἐπὶ Καλλίου ἄρχοντος τοῦ μετὰ Ἀντιγένην. οὕτω δὲ ἐθαυμάσθη διὰ τὴν ἐν αὐτῷ παράβασιν, καθ' ἣν διαλλάττει τοὺς ἐντίμους τοῖς ἀτίμοις, καὶ τοὺς πολίτας τοῖς φυγάσιν, ὥστε καὶ ἀνεδιδάχθη ὥς φησι Δικαίαρχος.

ΑΛΛΩΣ

Διόνυσός ἐστι μετὰ θεράποντος Ξανθίου δι' Εὐριπίδου πόθον, εἰς ᾅδην κατιών. ἔχει δὲ λεοντῆν καὶ ῥόπαλον, πρὸς τὸ τοῖς ἐντυγχάνουσιν ἔκπληξιν παρέχειν. ἐλθὼν δὲ ὡς τὸν Ἡρακλέα πρότερον ἵνα ἐξετάσῃ τὰ κατὰ τὰς ὁδοὺς, δι' ὧν καὶ αὐτὸς ὅτε ἐποίησε τὴν πορείαν πρὸς τὸν Κέρβερον ᾤχετο, καὶ ὀλίγα περὶ τῶν τραγικῶν διαλεχθεὶς, ὁρμᾷ πρὸς τὸ προκείμενον. ἐπεὶ δὲ πρὸς τῇ Ἀχερουσίᾳ λίμνῃ γίνεται, ὁ μὲν Ξανθίας διὰ τὸ μὴ συννεναυμαχηκέναι εἰς τὴν περὶ Ἀργινούσας ναυμαχίαν, ὑπὸ τοῦ Χάρωνος οὐκ ἀναληφθεὶς, πεζῇ τὴν λίμνην κύκλῳ διέρχεται. ὁ δὲ Διόνυσος δοὺς διώβολον περᾷ, προσπαίζων ἅμα τοῖς κατὰ τὸν πόρον ᾄδουσι βατράχοις καὶ γελωτοποιῶν. μετὰ ταῦτα ἐν ᾅδου, τῶν πραγμάτων ἤδη χειριζομένων, οἵτε μύσται χορεύοντες ἐν τῷ προφανεῖ καὶ τὸν Ἴακχον ᾄδοντες ἐν χοροῦ σχήματι καθορῶνται. ὅτε Διόνυσος μετὰ τοῦ θεράποντος, εἰς ταυτὸν ἔρχεται τούτοις. τῶν δὲ προηδικημένων ὑπὸ Ἡρακλέους προσαπολεκομένων τῷ Διονύσῳ διὰ τὴν ἐκ τῆς σκευῆς ἄγνοιαν, μέχρι μέν τινος οὐκ ἀγελοίως χειμάζονται. εἶτα μέντοι γε πρὸς Πλούτωνα καὶ τὴν Περσέφασσαν προσελθόντες, ἀλεωρῆς τυγχάνουσιν. ἐν τούτῳ δὲ, ὁ μὲν τῶν μυστῶν χορὸς, περὶ τοῦ τὴν πολιτείαν ἐξελάσαι καὶ τοὺς ἀτίμους ἐντίμους ποιῆσαι, χάτερων τινῶν, πρὸς τὴν Ἀθηναίων διαλέγεται πόλιν. τὰ δὲ λοιπὰ τοῦ δράματος, μονόκωλον, ἄλλως δὲ τερπνὴν καὶ φιλόλογον λαμβάνει σύστασιν. παρεισάγεται γὰρ Αἰσχύλος Εὐριπίδῃ περὶ τῆς τραγῳδίας διαλεγόμενος. τὸ μὲν ἔμπροσθεν, Αἰσχύλου τὸ πρωτεῖον παρὰ τῷ ᾅδῃ ἔχοντος καὶ τοῦ τραγῳδικοῦ θρόνου. τότε δὲ Εὐριπίδου τῆς τιμῆς ἀντιποιησαμένου. συστήσαντος δὲ τοῦ Πλούτωνος τὸν Διόνυσον αὐτοῖς ἀκροατὴν, ἑκάτερος αὐτῶν λόγους ποιεῖται πολλούς. καὶ τέλος πάντα ἔλεγχον καὶ πᾶσαν βάσανον οὐκ ἀπιθάνως ἑκατέρου κατὰ τὸν θατέρου ποιήσεως προσαγαγόντος, κρίνας παρὰ προσδοκίαν Διόνυσος Αἰσχύλον νικᾶν, ἔχων αὐτὸν ὡς τοὺς ζῶντας ἀνέρχεται. Τὸ δὲ δρᾶμα, τῶν εὖ καὶ φιλοπόνως πάνυ πεποιημένων. ἐδιδάχθη ἐπὶ Καλλίου ἄρχοντος τοῦ μετὰ Ἀντιγένην, ἐπὶ Ληναίῳ. Φιλωνίδης ἐπεγράφη καὶ ἐνίκα. Φρύνιχος δεύτερος, Μούσαις. Πλάτων τρίτος Κλεοφῶντι. οὕτω δὲ ἐθαυμάσθη τὸ δρᾶμα διὰ τὴν ἐν αὐτῷ παράβασιν, ὥστε καὶ ἀνεδιδάχθη ὥς φησι Δικαίαρχος. οὐ δεδήλωται μὲν ὅπου ἐστὶν ἡ σκηνή. εὐλογώτατον δ' ἐν Θήβαις. καὶ γὰρ ὁ Διόνυσος ἐκεῖθεν. καὶ πρὸς τὸν Ἡρακλέα ἀφικνεῖται Θηβαῖον ὄντα.

Σκοπὸς τοῦ παρόντος δράματος.

Ὁ παρὼν ποιητὴς ὡς ἐν τῷ δράματι Πλούτου τῷ τότε τῶν Ἀθηναίων ἄρχοντι ὅσαις δήποτε χαριζόμενος τότε τὸν Πλοῦτον ἀναβλέψαι φησὶ καὶ πλουτῆσαι τοὺς ἀγαθούς. τῶν Νεφελῶν δὲ τὸ δρᾶμα τῷ φαινομένῳ γράψας κατὰ Σωκράτους, κατὰ παντὸς συνετάξατο φιλοσόφου μεταρσιολόγου καὶ φυσικοῦ. Σωκράτης γὰρ μετερχόμενος τὴν ἠθικὴν φιλοσοφίαν κατεγέλα μεταρσιολογίας, καὶ φυσικῆς ὡς γράφει Ξενοφῶν ἐν τοῖς ὑπομνημονεύμασι. θεολογίας δὲ ὡς ἀκαταλήπτου πάντη

ἀπει-

ἀπείχετο. ὡς οὐδὲ τὸ δρᾶμα τοῦ Πλούτου ὑπὸ τοῦ τότε ἄρχοντος Ἀθηνῶν ἀσυμφανῶς ξυνετάξατο, καὶ παντὸς δὲ φιλοσόφου μεταρσιολέσχου καὶ ψευδοτύπου τὸ δρᾶμα τῶν Νεφελῶν, οὕτω καὶ τήνδε τὴν κωμῳδίαν τῶν βατράχων κατὰ ὑποψύχρου καὶ ὑποξύλου, καὶ ἀφυοῦς καὶ ἀτεχνότατα γράφοντος. τῷ μεμηνέναι δὲ οὐ συνιέντος αὐτὸν ὄντα βάρβαρον. οἰομένου δὲ μὴ μόνον ἰσοῦσθαι ἀλλὰ καὶ τὰ κρείττονα φέρεσθαι πρῶν ἀληθείαν ἀλαζόνων. ὡς τῷ ὑπὸ φύσιν Ὁμήρῳ τις ἀνώνυμος ἤριζε σάτυρος. Ἡσιόδῳ δὲ Κέρκωψ. ἢ τὸ πλέον εἰπεῖν, Εὔρυτος μὲν τοξικῇ, Μαρσύας δὲ μουσικῇ τῷ Ἀπόλλωνι. Σειρῆνες δὲ μούσαις καὶ Θάμυρις ὁ μαινόμενος. ἢ ὡς Αἰγύπτιος Σῶφις, καὶ ὁ Θετταλὸς Σαλμωνεὺς ταῖς οὐρανίαις ἀστραπαῖς ἀντιπαταγοῦντες βρονταῖς καὶ τοῖς κεραυνοῖς δῆθεν ἀντανταφάπτοντες. κατὰ τοιούτου παντὸς μὴ συνιέντος αὐτὸν, ἐξομνυμένου δὲ φιλητᾶις ἀλογίστοις καθάρμασι δίκην βατράχων βοῶσι θορυβωδέστατα, τὸ τοιοῦτον ὁ ποιητὴς δρᾶμα ἐξέθετο. διασκευὴ δὲ καὶ ἔκθεσις τοιάδε τοῦ δράματος. Πλάττεται τῷ ποιητῇ δυσφορῶν ὁ Διόνυσος διὰ τὸ ἐν τοῖς Διονυσίοις μὴ εἶναι τραγικὸν ἢ κωμικὸν δεξιὸν ποιητήν. ὅθεν καὶ βουληθεὶς κατιέναι εἰς ᾅδου ὡς Εὐριπίδην ἐκεῖθεν ἀνάξειεν, ὅτι Διονυσιακοῖς τοῖς κοθόρνοις καὶ λεοντῆν καὶ ῥόπαλον ἔχων τρόπῳ τοῦ Ἡρακλέους μετὰ Ξανθίου οἰκέτου ὄνῳ ἐποχουμένου, τοῖς ὤμοις δὲ ἀνάφορον φέροντος, ὃ ἀλλακτὸν δημοδιστέρως καλεῖται, εἰς Θήβας ἢ Τίρυνθα πόλιν τοῦ Ἄργους, ἀφικνεῖται πρὸς Ἡρακλέα. ὁδοὺς τὰς εἰς ᾅδου χρήζων μαθεῖν ἐξ αὐτοῦ καὶ πανδοχεῖα καὶ ἐκτροπὰς ἅτε τοῦ Ἡρακλέους εἰς ᾅδου πρὶν κατελθόντος ἐπὶ ἀναγωγῇ τοῦ Κερβέρου. εἰ καὶ δυσὶ γενεαῖς πρεσβύτερος ἦν Ἡρακλέους ὁ Διόνυσος. παρ' οὗ μαθὼν ὅσων ἔχρηζεν ἀπάρχεται τῆς πορείας. παρὰ τὴν λίμνην δὲ προφθακὼς τὴν Ἀχερουσίαν, αὐτὸς μὲν ὁ Διόνυσος δυσὶν ὀβολοῖς περαιοῦται τῷ Χάρωνι. Ξανθίας δ' αὖθ' ὢν τῇ περὶ Ἀργινούσας οὐκ ἐναυμάχησε ναυμαχίᾳ τῷ Χάρωνι μὴ ἀναληφθεὶς, πεζῇ τὴν λίμνην κύκλῳ περιπορεύεται. καὶ τί δεῖ λεπτολογεῖν τὸ πᾶν τοῦ συγγράμματος τέλος; Διόνυσος ξενίζεται Περσεφόνῃ καὶ Πλούτωνι καὶ κρίσιν ποιησάμενος ποιητῶν, Εὐριπίδου καὶ Αἰσχύλου, καὶ ἄριστον τῷ ὄντι Αἰσχύλον νομίσας καὶ παρὰ προσδοκίαν τοῦτον λαβὼν ἀλλ' οὐκ Εὐριπίδην αὖθις ἐς τοὺς ζῶντας ἀνέρχεται.

ΒΑΤΡΑΧΩΝ ΥΠΟΘΕΣΙΣ
διὰ στίχων.

Μαθὼν παρ' Ἡρακλέους Διόνυσος τὴν ὁδὸν,
Πρὸς τοὺς κατοιχομένους πορεύεται. λαβὼν
Τὸ δέρμα καὶ τὴν σκυτάλην. ἀνάγειν θέλων
Εὐριπίδην. λίμνην δὲ διέβαινε κάτω.
Καὶ τῶν βατράχων ἀνέκραγεν εὔφημος χορός.
Ἔπειτα μυστῶν ἐκδοχή. Πλούτων δ' ἰδὼν,
Ὡς Ἡρακλεῖ προσέκοπτε διὰ τὸν κέρβερον.
Ὡς δ' ἀπέφαιν, τίθεται τραγῳδίας ἀγών.
Καὶ δὴ στεφανοῦταί γ' Αἰσχύλος. τοῦτον δ' ἄγει
Διόνυσος εἰς φῶς. οὐ μὰ Δία γ' Εὐριπίδην.

OCCASIO RANARVM.

OCciso *ab Atheniensibus Socrate, Euripides exhibuit populo Tragœdiam: in qua Palamedē iniustè occisum à Græcis introducebat. Sed quia pleraque in ea Tragœdia sic gerebantur, vt cædem Socratis non Palamedis referrent: magnam conflauit Euripides Aristophani inuidiam. Hanc vt declinaret Poëta Comicus, Ranas conscripsit: in qua Comœdia sicut in alijs ferè omnibus Comœdiis, laudibus Euripidis detrahit: illi aliàs blandiloquum verborum lenocinium, & sophisticum dicendi genus, atque inanem orationis pompam, aliàs rerum ipsarum, quas tractat, nescio quam absurditatem & ineptitudinem, non citra odij suspicionem, obijciens. Nam verissimum est, quod apud Hesiodum dicitur:*

Καὶ κεραμεὺς κεραμεῖ κοτέει, καὶ τέκτονι τέκτων,
Καὶ πτωχὸς πτωχῷ φθονέει καὶ ἀοιδὸς ἀοιδῷ.

Vt autem vulgi & sapientum, qui Euripidem admirabantur, odium deuitet: Bacchum introducit, qui nullum in terris bonum Poëtam, præsertim Tragicum, existere conquestus inferos adire statuit: vt Euripidem in vitam inde reducat. Sed eò cùm peruenisset, Æschylum cum Euripide, de ingenij & sapientiæ gloria, non modo concertantem, sed etiam aduersarium suum longè superantem inuenit. Quare, quod præter expectationem ipsi euenerat, relicto Euripide, Æschylum secum ab inferis reducit. Est autem huius fabulæ argumentum tale.

[B]ACCHVS desiderio boni poëtæ adductus, inferos adire cõstituit: vt illinc reducat Euripidẽ. Quare cũ seruo Xanthia iter ingreditur: gestãte seruo humeris imposita stragula, & interim equitãte asinũ, vnde risus materia capitur. Primò autẽ ad ostiũ Herculis deueniut, vt eum de via ad inferos eũdi cõsulãt. Ille Bacchũ Herculeo amictũ habitu conspicatus, facetè irridet. Cognito autẽ profectionis cõsilio, varias Baccho vias aperit, quibus peruenire posset ad inferos. Sed cùm nulla earũ placeret Baccho, aliã mõstrat, qua per Stygiã paludẽ ductu Charõtis sit trãseundum. Digressi ab Hercule, fortè incidunt in mortuũ, qui ad sepulturã efferebatur. Ab hoc petũt, vt Xanthiã onere liberet, & stragula secũ ad inferos deportet. Sed quia de mercede nõ possũt cõuenire inter se, Bacchus à mortuis repellitur. Interim cõmodè ad ripã Charõtis accedũt. A quo Bacchus in nauẽ suscipitur: sed Xanthias, quòd nauali prælio apud Arginusas nõ interfuisset, paludẽ circũire cogitur. Trãsmittẽti Baccho RANAE in loco occulto, Stygiæ paludis, coaxatu suo accinũt. Vbi traiecit paludẽ Bacchus, celeriter Xanthiã ad se recipit. Occurrũt ipsis varia mõstra, & Proteo mutabilior Empusa. Ibi toto animo externatur Bacchus, ac vix tãdẽ serui, in Elysiũ prospiciẽtis, oratione cõfirmatur. Ad extremũ, in locũ beatorũ perueniunt: vbi Chorus initiatorũ tibiis & vocibus Bacchum laudat, & Bacchanalia celebrat: tædásq; ardẽtes, pro more Atheniẽsiũ, in manib⁹ gestat. Idẽ in duas mox partes, seu dimidios choros, diuisus: ex vna parte homines impios, rudes, scurras, seditiosos, proditores, auaros, & similis farinæ, à sacris remouet: ex altera hymnos canit, quibus Cereris & Bacchi laudes peragũtur. Ab eodẽ semichoro Archidem⁹ traducitur, itẽmq; Clisthenes & Seuinus notãtur. Postremò Bacchus accedit, & Chorũ de Plutonis regia, vbi ea sit, interrogat. Qua mõstrata, Chorus ex vtraq; parte lætatur ac tripudiat: ipse ostiũ leniter pulsat: prodit ibi Æacus, qui cõspecta Claua ac Leonina, Herculẽ adesse arbitratur, qui iã olim Cerberũ abstulisset. Itaq; graui ira cõmotus, Gorgones & Harpyas vocatũ abit, vt ipsum cõstringãt. Trepidãte illic Baccho, & totis animis cõsternato, seruus Xãthias paulò cõfidẽtior, habitũ cũ illo permutat. Aduenit de improuiso famula Proserpinæ, quæ Herculẽ ad lautissimũ epulũ, ab hera instructum, inuitat. Eã felicitatẽ seruo inuidẽs Bacchus, se prius cũ illo uocatũ affirmat: ipsúmq; resumpto seruili habitu, Herculeũ amictũ cogit deponere. Sed priusquàm in regia Plutonis ingrediuntur, duæ cauponæ, Pãdoceutria & Plathana, nouũ Baccho terrorẽ iniiciunt. Ratæ enim eũ esse Herculẽ, de voracitate illius & furtis queritantur: simúlq; viro extrema mala, ac quæuis supplicia cõminatur. Ibi denuo periclitãs Bacchus, seruũ orat, exorátque, vt permutato secũ habitu, sese Herculẽ esse simulet. Redit interim cũ Lorariis suis in Scenam Æacus: & Xãthiã pro Hercule, Cerberi raptore cõstringit, vt de illo supplicium sumat. Negat Xãthias se ad Inferos vnquã descẽdisse: & vt fidẽ sibi cõciliet, seruũ suũ (qui iam erat Bacchus, eũ se simulãs) vincire & torquere iubet. Sed is, quòd sibi à quæstione metueret, Deũ se esse profitetur, & Bacchũ quidẽ Iouis filiũ. Xanthias, vt herũ confundat, Æaco suadet, vt in vtriusq; diuinitatẽ inquirat: & alternis ictib⁹ vtrũq; verberet: eũ, quẽ dolere videat, eũ pro Deo nõ habeat. Instituto hoc examine, cùm vterq; plagas inflictas cõstãter ferret, Bacchus quidẽ vt Deus ἀπαθής: Xanthias verò, vt seruus, cuius tergũ plagis occalluerat: tãdẽ omissa hac inquirendi ratione, ambos in regiã Plutonis introducit: vt illic examinẽtur. Illis digressis, Chorus partim in sceleratos, vt Cleophõtẽ & Cligenẽ, inuehitur partim de suo officio & cõmoda ratione gubernãdi Rẽpub. disserit. Paulò pòst progreditur ex regia Plutonis famulus, cũ Xãthia, Bacchi famulo. Hi seruorũ more, heris absentibus obtrectãt: & virtutes suas narrat. Orto autẽ in regia tumultu, famulus Plutonis Xãthiæ exponit ambitionẽ Euripidis: quòd sceleratorũ suffragiis adiutus primas tenere, & Æschylo ac Sophocli palmã tragicã eripere conetur. Tũ, quæ mox inter vtrúq; altercatio futura sit, paucis cõmemorat. Reuersis in domũ Plutonis seruulis, Chorus de eadẽ altercatione præsagit, Æschyli iracũdiã & grãdiloquẽtiã, Euripidis verò garrulitatẽ perstringẽs. Mox adest ipse Euripides, qui occupata sede Æschyli, grauiter poëtã veterẽ criminatur. Existũt vtrinq; cõuitia, quæ vix tãdẽ a Baccho sedãtur: vtroque in placidũ colloquiũ cõsentiẽte. Habitis vndiquaque precibus, prolixa instituitur cõcertatio, & poëtarũ inter se cõtentio: in qua primum Euripides Æschylũ reprehẽdit, quòd in Achille & Niobe, personas προσχηματισμὸς mutas introduxerit, & spectatorẽ suspenderit, ideóque deceperit. Tum quòd noua verba & animalia, vt ἱππαλεκτρυόνας & τραγελάφους effinxerit. Præterea, quòd ipse doctos, Æschylus vero indoctos discipulos post se reliquerit. Denique quòd sua poëmata Reipubl. profuerint, Æschyli obfuerint. Qua accusatione Chorus permotus, Æschylum hortatur, vt placidè, &

sine ira, cõtra Euripidẽ se tueatur. Itaq; ille primo omniũ, quod vltimo loco sibi obiectũ fuerat, eruditè diluit, & suas Tragœdias plusquàm Euripidis profuisse, ex eo demõstrat, quòd sua ætate viri bellicosi fuerint, qui Persas vicerint. Euripidis verò tẽpestate, homines turbulenti, Cleones & Alcibiades, qui pacem publicam ciuibus & patriæ eripuerint. Deinde verbis suis grandibus, loquacitatem Euripidis opponit, & neglectum decori, quòd seruo & hero eandem tribuerit orationem: vnde morum facta sit dissolutio. Tandem Chorus accedit, & poëtas disceptantes locum mutare, atque alio secedere iubet: tum noua & vetera depromere mandat. Quibus ita constitutis, Euripides, Æschyli Prologos examinat, eúmque ταυτολογίας accusat. Cuius ille vicissim Prologos, præmissa suorum defensione, mirificè exagitat, omnes sibi conformes esse demõstrans: vt quibus penè omnibus τὸ ληκύθιον ἀπώλεσεν accommodari possit. Hinc à Prologis ad Choros transeunt: quos, vt perperam ab Æschylo factos, Euripides demonstret, ipse ex diuersis eiusdem Tragœdiis varia carmina ridiculè cõsuit: quibus odiosas repetitiones annectit. Sed eandem illi & parẽ gratiam, idque maiori cum venustate reponit Æschylus. Baccho autem vtrunque hortante, vt à certamine, & odiosa altercatione desistant, petit Æschylus vtriusque verba & metra appendi statera atque librari. In eo examine Æschyli verba sua grauitate, Euripidæis longè preponderant. Ad postremum Pluto accedit, & Bacchum de vtroque Poëta sententiam pronũciare iubet: vt qui melior ei videatur, eum secum deducat. Sed quia difficile erat, alterũ alteri præferre: ideo Bacchus nouas vtrique quæstiones proponit. Et primùm de Alcibiade quid sentiant, vtrumque iubet dicere. Deinde de Repub. rectè instituẽda quærit: vt ciuitas salua, & beati sint ciues. Vbi cùm ambo grauiter dixissent, Bacchus frustrà indignãte Euripide, Æschylum sibi eligit: quibus abituris, Pluto epulũ prius exhibet. Hac re animaduersa, Chorus sapientiam laudibus effert, eiusque vtilitates proposito Æschyli exemplo cõmemorat. Pluto abeunti Æschylo valedicit, & quid Athenis eum efficere velit, paucis exponit. Cui ille vicissim Sophoclem commẽdat: vt reiecto Euripide, suum ipse interea locum teneat. Accedit & Chorus, qui abeuntes læto carmine prosequitur.

ARGVMENTVM
ΑΚΡΟΣΤΙΧΕΣ.

R *educere optans ad superos vatem bonum,*
A *dit inferos Bacchus: ranæ stygis accinunt,*
N *emore sed Elysio certat cum Euripide*
Æ *schylus: eóque victo mox reducitur.*

ΤΑ ΤΟΥ ΔΡΑΜΑΤΟΣ ΠΡΟΣΩΠΑ.	*PERSONAE DRAmatis.*
Ξανθίας.	Xanthias,
Διόνυσος.	Bacchus.
Ηρακλῆς.	Hercules.
Νεκρός.	Mortuus.
Χάρων.	Charon.
Χορὸς βατράχων.	Chorus Ranarum.
Ἱερεύς.	Sacerdos.
Χορὸς Μυστῶν.	Chorus initiatorum.
Αἰακος.	Æacus.
Θεράπαινα Περσεφόνης.	Famula Proserpinæ.
Πανδοκεύτρια.	Pandoceutria.
Πλαθάνη ἑτέρα θεράπαινα.	Plathana, altera famula.
Οἰκέτης Πλούτωνος.	Famulus Plutonis.
Εὐριπίδης.	Euripides.
Αἰσχύλος.	Æschylus.
Πλούτων.	Pluto.

Ἡ εἰσθεσις τοῦ δράματος δ' εὐθὺς ἐξ ἀμοιβαίων προσώπων ἄρχεται. οἱ δὲ στίχοι εἰσὶν ἰαμβικοὶ τρίμετροι ἀκατάληκτοι σζ. ὧν τελευταῖος, βατράχων κύκνων θαυμαστὰ καλακάλλε δή.

A

ἈΡΙΣΤΟΦΑΝΟΥΣ ΒΑΤΡΑΧΟΙ.

ΔΡΑΜΑΤΟΣ ΤΟΥ ΠΡΩΤΟΥ Σκηνὴ πρώτη.

ΞΑΝΘΙΑΣ, ΔΙΟΝΥΣΟΣ.

B

Εἴπω τί τῶν εἰωθότων ὦ δέσποτα,
Ἐφ' οἷς ἀεὶ γελῶσιν οἱ θεώμενοι;
Δι. Νὴ τὸν Δί', ὅ,τι βούλει γε, πλὴν
πιέζομαι,
Τοῦτο δὲ φύλαξαι. πάνυ γάρ ἐστ' ἤ-
δη χολή.
Ξανθ. Μηδ' ἕτερον ἀστεῖόν τι; Διόν. πλήν γ', ὡς
θλίβομαι.
Ξανθ. Τί δαί, τὸ πάνυ γέλοιον εἴπω; Διον. νὴ C
Δία.
Θαρρῶν γ', ἐκεῖνο μόνον ὅπως μὴ 'ρεῖς. Ξαν.
τὸ τί;
Διον. Μεταβαλλόμενος τἀνάφορον, ὅτι χεζη-
τιᾷς.
Ξανθ. Μηδ' ὅτι τοσοῦτον ἄχθος ἐπ' ἐμαυτῷ
φέρων,
Εἰ μὴ καθαιρήσει τις, ἀποπαρδήσομαι.
Δι. μὴ δῆθ', ἱκετεύω, πλήν γ' ὅταν μέλλω D
'ξεμεῖν.
Ξανθ. Τί δῆτ' ἔδει με ταῦτα τὰ σκεύη φέ-
ρειν;
Εἴπερ ποιήσω μηδὲν, ὧνπερ Φρύνιχος
Εἴωθε ποιεῖν, καὶ Λύκις, κ' Ἀμειψίας,
Σκεύη φέρουσ' ἑκάστοτ' ἐν κωμῳδίᾳ;
Δι. Μὴ νῦν ποιήσῃς, ὡς ἐγὼ θεώμενος,
Ὅταν τι τούτων τῶν σοφισμάτων ἴδω, E

ARISTOPHANIS RANÆ.

ACTVS I. SCENA I.

XANTHIAS, BACCHVS.

Eloquar né bere usitata, & quorum gratia
Risum subinde edere spectatores solent?
BA. *Imò ut lubet: modò ne istud proferas, premor.*
XA. *At neque aliud quiddam urbanum?* BA. *modò ne ut premor,*
C *Caue isthoc.* XA. *Quid igitur? an nō eloquar, quod maxime (Iouem:*
Sit ridiculum? BA. *Imò loquere audacter per*
Illud duntaxat ne mihi, quæso dixeris.
XA. *Quid illud?* BA. *nempe, me, sportam dum fers super*
Humerum, & crebrò reÿcis ex uno in alterum,
Dicas cacaturire te. XA. *at neque hoc loquar,*
D *Quòd tantū onus ferā: ut, nisi me quis hominū*
Eo iam sublenet, crepitum emittere uelim.
BA. *Nequaquam id aies, nisi cùm ego uomere cæpero. (gula:*
XA. *At quorsum oportebat me ferre hac stra-*
Si nihil eorum fecero, quæ Phrynichus,
Lycis, atque Amipsias ÿs facere solent,
Quos fingunt uasa gestare in comœdiis.
BA. *Caue hoc faxis, nā quoties ego huiusmodi*
E *Lenociniorum, & præstigiarum quidpiam*

Σχόλια. Εἴπω τὶ τῶν εἰωθότων.] ἀντὶ τοῦ τῶν εἰθισμένων. μετοχὴ ἀντὶ τοῦ ὀνόματος. καὶ Ὅμηρος. τὸν δ' αὖ Τηλέμαχος πεπνυμένος. ἀντὶ τοῦ πινυτός. ὁ Ξανθίας δὲ ἐπὶ ὄνου ὀχεῖται καθεζόμενος ἔχων ἐπὶ τῶν ὤμων ἀνάφορον, ὅπου ἦν τὰ στρώματα γελοίου χάριν. διὸ καὶ ἀστεῖόν τι λέξαι βουλόμενος, ὑπὸ Διονύσου κωλύεται. εὐθὺς δὲ ἐν τῇ εἰσβολῇ διαβάλλει τούς τε κωμῳδοὺς ὡς γελοίως χρωμένους καὶ παρατρέποντας τοὺς θεατὰς ἀπὸ τῆς ἀκριβείας. Νὴ Δί' ὅτι βούλει γε.] ἴδιον αὐτοῦ, τὸ εἰς ταῦτα ὀλισθαίνειν ὡς καὶ ἐν Θεσμοφοριαζούσαις θεράπων φησὶν ὅς διάγει τοῦτο τοὔπος, οὐ δύναμαι σκεύη φέρειν τοσαῦτα, καὶ τοὺς ὤμους θλίβομαι. ἐνταῦθα δέ φησιν ὅτι οὐ δύναμαι ἀνέχεσθαι τοῦ θλίβομαι λεγόμενον.

B I S E T V S. Πλὴν πιέζομαι] ὄνους οὕτως. εἰ τὸ ὅ,τι βούλει. ἀλλὰ τοῦτο μόνον μὴ λέξῃς σὺ πιέζεσθαι. καὶ βαρύνεσθαι καὶ θλίβεσθαι τῷ βάρει τῶν σκευῶν, ἃ ἐπὶ τῶν ὤμων φέρεις.

Σχόλια. Πάνυ γάρ ἐστ' ἤδη χολή.] ἀντὶ τοῦ πολύ. τὸ δὲ πολὺ πᾶν ἢ γλυκὺ, πονηρόν ἐστιν. ἄλλως. ὥστε ἐλιγγιᾶν ἐκ, διὰ τὸ πολλὴν γίνεσθαι τὴν παιδιὰν ταύτην. συνεχῶς γὰρ εἰσῆγον τοὺς τὰ τοιαῦτα λέγοντας. Γέλοιον.] Ἀττικῶς, γελοῖον δὲ κοινόν. ἡ δὲ σημασία ἡ αὐτή.

B I S E T V S. Μὴ 'ρεῖς] μὴ ἐρεῖς, μὴ λέξεις, φύλαξαι μὴ λέγῃς.

Σχόλια. Μεταβαλλόμενος] μεταφέρων ἀπὸ τοῦ ἀπὸ ὤμου εἰς ὦμον. τἀνάφορον δὲ ξύλον ἀμφίκοιλον ἐν ᾧ τὰ φορτία ἐξαρτήσαντες οἱ ἐργάται βαστάζουσι. Μὴ δ' ὅτι τοσοῦτον.] μὴ οὕτω ποιήσαιμι καί τοι ἄχθος τοσοῦτον φέρων. Ἀποπαρδήσομαι.] εἰς τὸ αὐτὸ κεκλιμένον ὡς δῆθεν φέρων. Πλήν γ' ὅταν μέλλω 'ξεμεῖν.] ὅτι, εἰ ὅλως λέγεις, τότε φησὶ λέγε ἂν θέλῃς ἐπιτηρήσας, ὅτε μέλλω 'ξεμεῖν. ῥᾷστα γὰρ ἐξεμέσαιμι ἐὰν εἴπῃς. Φρύνιχος.] Δίδυμός φησιν, ὅτι νῦν Φρυνίχου τοῦ κωμικοῦ μέμνηται, ὡς παρ' ἕκαστα ἐν ταῖς κωμῳδίαις φορτικευομένου. ἔστι δὲ πατρὸς Εὐνομίδου, κωμῳδεῖται δὲ ὡς ξένος. καὶ ἐπὶ φαυλότητι ποιημάτων. καὶ ὡς ἀλλότρια λέγων. τὰ ὡς κακόμετρα. εἰσὶ δὲ τρεῖς ἄλλοι τρεῖς Φρύνιχοι. Φρύνιχος δὲ ὁ κωμικὸς οὐδὲν τούτων ἐποίησεν ἐν τοῖς σωζομένοις ἑαυτοῦ. εἰκὸς δὲ ἐν τοῖς ἀπολωλόσιν εἶναι αὐτοῦ τοιοῦτό τι. Λύκις.] κωμῳδίας ποιητής. ὡς ψυχρὸς κωμῳδεῖται. λέγει δὲ αὐτὸν καὶ Λύκον. οὐδὲν φέρεται. ὁ δὲ νοῦς εἴπερ ποιήσω μηδὲν ὧν οὗτοι εἰώθασι ποιεῖν τοῖς σκευοφοροῦσιν. ἵνα τὸ φέρουσι σημαίνῃ πλῶσιν δολικήν ἢ ἡ γραφὴ, τριχῶς. ἢ γράφεται σκευοφοροῦσιν. ἢ σκεύη φέρουσιν ἢ σκευοφορεῖν. ἀντὶ τοῦ σκευοφόρους ἄνδρας ποιοῦσιν ἔστι δὲ βεβιασμένος ὁ λόγος, εἴπερ ποιήσω μηδὲν ὧν οὗτοι ποιοῦσι σκευοφοροῦντας εἰσάγοντες μετὰ πολλῶν. λείπει οὖν τὸ, ὧν εἰώθασιν οὗτοι ποιεῖν τοὺς σκευοφόρους.

Πλεῖν ἢ 'νιαυτῷ πρεσβύτερος ἀπέρχομαι.
Ξαν. Ὦ τρισκακοδαίμων, ἄρ' ὁ τράχηλος οὑτοσί
Ὅτι θλίβεται μὲν, τὸ δὲ γέλοιον οὐκ ἐρεῖ;
Δι. Εἶτ' οὐχ ὕβρις ταῦτ' ἐστὶ καὶ πολλὴ τρυφή;
Ὅτ' ἐγὼ μὲν ὢν Διόνυσος, υἱὸς Σταμνίου,
Αὐτὸς βαδίζω καὶ πονῶ, τοῦτον δ' ὀχῶ,
B Ἵνα μὴ ταλαιπωροῖτο, μηδ' ἄχθος φέροι;
Ξαν. Οὐ γὰρ φέρω 'γώ; Δι. πῶς φέρεις γὰρ, ὅς γ' ὀχεῖ;
Ξαν. Φέρων γε ταυτί. Δι. τίνα τρόπον; Ξανθ. βαρέως πάνυ.
Δι. Οὔκουν τὸ βάρος τοῦθ' ὃ σὺ φέρεις, οὕνος φέρει;
Ξαν. Οὐ δῆθ', ὅ γ' ἔχω 'γὼ καὶ φέρω, μὰ τὸν Δί' οὔ.
C Δι. Πῶς γὰρ φέρεις, ὅς γ' αὐτὸς ὑφ' ἑτέρου φέρει;
Ξανθ. Οὐκ οἶδ'. ὁ δ' ὦμος οὑτοσὶ πιέζεται.
Δι. Σὺ δ' οὖν, ἐπειδὴ τὸν ὄνον οὐ φῂς σ' ὠφελεῖν,
Ἐν τῷ μέρει σὺ τὸν ὄνον ἀράμενος φέρε.
Ξαν. Οἴμοι κακοδαίμων. τί γὰρ ἐγὼ οὐκ ἐναυμάχουν;
D Ἦ τἄν σε κωκύειν ἂν ἐκέλευον μακρά.
Δι. Κατάβα πανοῦργε. καὶ γὰρ ἐγγὺς τῆς θύρας X.
Ἤδη βαδίζων εἰμὶ τῆσδ', οἷ πρῶτά με
Ἔδει τραπέσθαι. παιδίον. παῖ. ἠμὶ παῖ.

A Video: plus quàm anno senior effectus abeo.
XA. O ter miserè miseram ceruicem isthanc meam:
Quæ tantùm affligitur, & ioci nihil proferet?
BA. Non contumelia hæc est, & mollicies mera?
Ego, qui Bacchus sum, patre ortus Stamnio,
Pedes ingredior & lassor: atque isthunc veho,
B Ne defatigetur, neu quid oneris ferat.
XA. An non fero onus? BA. quomodo feras qui ipse veheris?
XA. Fero certè hoc. BA. quomodo? XA. valde ægrè & duriter.
BA. An non istud onus, quod tu fers, asinus gerit?
C XA. Minimè, vt quod ego fero atque habeo: non per Iouem.
BA. Quomodo fers obsecro: qui ferris ab alio?
XA. Nescio sanè. Sed hic humerus affligitur.
BA. Age si nihil prodesse tibi dicis asinum,
Eum tu humeris impone, & sublatum gere.
XA. Heu me miserum, cur non nauali prælio
Interfui? certè ego te iam ad fletus here
D Dudum impulissem. BA. agedum descende verbero.
Nam nunc prope ostium via peruenimus:
Quò primùm oportebat gradum conuertere.
Heus, heus: puer heus: puer tibi dico, puer.

Σχόλια. Πλεῖν ἢ 'νιαυτῷ.] παρὰ τὸ Ὁμηρικόν. αἶψα γὰρ ἐν κακότητι βροτοὶ καταγηράσκουσιν.

BISETVS. Καὶ ἐν Ἡσιόδῳ, ὤμοι γήραϊ θῆκε. διὰ τὴν ἀηδίαν οὖν γηράσκω, φησὶν, ὅταν τι τούτων τῶν σοφισμάτων ἴδω, καὶ πλεῖν ἢ ἐνιαυτῷ πρεσβύτερος ἀπέρχομαι. τὸ δὲ πλεῖν ἐκ τοῦ πλεῖον κατὰ συγκοπὴν γίνεται, ἢ κατὰ κρᾶσιν Ἀττικὴν, ὥς τινες οἴονται.

Σχόλια. Ἄρ' ὁ τράχηλος οὑτοσί.] ὁ Ξανθίας ἀχθόμενος ἐφ' ᾧ βαστάζει φορτίῳ λέγει. Υἱὸς Σταμνίου] δέον εἰπεῖν υἱὸς Διὸς, υἱὸς Σταμνίου εἶπε παρ' ὑπόνοιαν. ἐπεὶ ὁ οἶνος ἐν σταμνίῳ βάλλεται. ὁ δὲ Διόνυσος εἰς τὸν οἶνον ἀλληγορεῖται. Σταμνία δὲ καὶ στάμνους, τοὺς ἀμφορεῖς τοῦ οἴνου φασίν. ἔπαιξεν οὖν, ἐπεὶ ὁ κέραμος ἐν ἑαυτῷ βαστάζει τὸν οἶνον καὶ φέρει. Τοῦτον δ' ὀχῶ.] ὀχεῖσθαι ποιῶ. ἐπάνω τοῦ γὰρ ἦν καθήμενος. νοεῖται δέ τι καὶ αἰσχρὸν. ἀντὶ τοῦ ἐπιβαίνω αὐτόν.

F

BISETVS. Οὕνος] ὁ ὄνος. κρᾶσις Ἀττική.

Σχόλια. Οὐ δῆθ' ὅ γ' ἔχω 'γὼ καὶ φέρω.] ἐπάνω γὰρ τοῦ ὄνου καθεζόμενος ὁ οἰκέτης, ἐβάσταζε τὸ ἀνάφορον.
E τινὲς δὲ εἰς τὸ φέρω δύο στιγμὰς ποιοῦσιν, ἀφαιροῦντες τοῦ μὰ τὸν Δί' οὔ, τὴν μίαν στιγμήν. Πιέζεται.] κατηνέχθη ὅμως καὶ αὐτὸς ἐπὶ τὸ πιέζομαι. Ἐν τῷ μέρει σὺ τὸν ὄνον.] ἀντὶ τοῦ κατά τι μέρος. ἢ ἐν τῷ ἴσῳ μέρει κατὰ τὴν ἀμοιβὴν βάσταζε τὸν ὄνον. Τί γὰρ ἐγὼ οὐκ ἐναυμάχουν.] πρὸς τοὺς χρόνους. ὅτι τῷ προτέρῳ ἔτει ἐπὶ Ἀντιγένους. ὅτε περὶ Ἀργινούσας ἐνίκων ναυμαχίᾳ οἱ Ἀθηναῖοι συμμαχούντων δούλων. προκακωθέντες ἄλλαις ναυμαχίαις, οὓς ἠλευθέρωσαν. πρὸς τοῦτο οὖν χαριεντιζόμενος λέγει, ὅτι εἴπερ ἐνεναυμαχήκειν κἂν ἀφείμην ἐλεύθερος. ὥστε οἰμώζειν ἂν ἔλεγόν σοι. αἱ δὲ Ἀργινοῦσαι, πόλις τῆς Αἰολίδος, ἀντικρὺς δὲ Λέσβου κειμένη καὶ Μανίας καλουμένης ἄκρας. Κατάβα πανοῦργε] τὸ χ, ὅτι κατάβα φησί. πρὸς τοὺς ἀξιοῦντας, ὅτι κατάβηθι λέγεται μόνως. τὸ δὲ πανοῦργε, ἡμεῖς μὲν μετριώτερον φαμὲν, Ἀττικοὶ δὲ, ἐπὶ σφοδρᾶς ἀτιμίας.

G

ΔΡΑΜΑΤΟΣ ΤΟΥ ΠΡΩΤΟΥ, Σκηνὴ δευτέρα.

ΗΡΑΚΛΗΣ, ΔΙΟΝΥΣΟΣ, ΞΑΝΘΙΑΣ.

ACTVS I. SCENA secunda.

HERCVLES, BACCHVS, XANTHIAS.

A

Bisetus. Διόνυσος καὶ Ξανθίας πρὸς τὴν Ἡρακλέους οἰκίαν ἐλθόντες τὴν θύραν πατάσσουσιν, ὅπως τὴν πρὸς ᾍδου συντομωτάτην, καὶ ἀσφαλεστάτην ὁδὸν ἐκ τούτου σαφῶς ἐκμάθωσιν.

Ηρ. Τίς τὴν θύραν ἐπάταξεν; ὡς κενταυρικῶς
Ἐνήλαθ᾽, ὅστις, εἰπέ μοι, τουτὶ τί ἦν;
Δι. Ὁ παῖς. Ξαν. τί ἔστιν; Διόν. οὐκ ἐνεθυμήθης; Ξα. τὸ τί;
B Δι. Ὡς σφόδρα μ᾽ ἔδεισε. Ξανθ. νὴ Δία, μὴ μαίνοιό γε.
Ηρ. Οὔτοι μὰ τὴν Δήμητρα δύναμαι μὴ γελᾶν,
Καίτοι δάκνω γ᾽ ἐμαυτόν, ἀλλ᾽ ὅμως γελῶ.
Δι. Ὦ δαιμόνιε πρόσελθε. δέομαι γάρ τί σου.
Ηρ. Ἀλλ᾽ οὐχ οἷός τ᾽ εἴμ᾽ ἀποσοβῆσαι τὸν γέλων,
C Ὁρῶν λεοντῆν ἐπὶ κροκωτῷ κειμένην.
Τίς ὁ νοῦς; τί κόθορνος καὶ ῥόπαλον ξυνηλθέτην;
Ποῖ γῆς ἀπεδήμεις; Δι. ἐπεβάτευον Κλεισθένει.
Ηρ. Κἀναυμάχησας; Δι. καὶ κατεδύσαμέν γε ναῦς
Τῶν πολεμίων, ἢ δώδεκ᾽, ἢ τρεισκαίδεκα.
D Ηρ. Σφώ; νὴ τὸν Ἀπόλλω. κᾆτ᾽ ἔγωγ᾽ ἐξηγρόμην.
Δι. Καὶ δῆτ᾽ ἐπὶ τῆς νεὼς ἀναγινώσκοντί μοι
Τὴν Ἀνδρομέδαν πρὸς ἐμαυτόν, ἐξαίφνης πόθος
Τὴν καρδίαν ἐπάταξε. πῶς οἴει σφόδρα;
Ηρ. Πόθος; πόσος τις; Δι. μικρός, ἡλίκος Μόλων.

HE. *Quis ostium pulsauit? quàm centauricè*
Insiluit, quisquis est, ehem, dic mihi, quid est?
BA. *Puer.* XA. *quid est?* BA. *non animaduertisti hoc? quid hoc?*
BA. *Quomodo me extimuerit?* XA. *ne delira obsecro.*
HE. *Non possum non ridere per sacra Cereris:*
Nam etsi præmordeo memet, rideo tamen.
BA. *Bone vir, accede, nam tua opera mihi opus est.*
HE. *Non possum continere risum: quando ita*
Leoninam crocoto inductam conspicor.
Quid hoc animi? quid clauis cum cothurno erat
Commercij? quò terrarum tendis? BA. *Clisthenem*
Inscendi. HE. *& nauali certasti prælio?*
BA. *Imò aliquot naues hostium depressimus,*
Duodecim, ni fallor: aut fortè tredecim.
HE. *Vos? sic per Phœbum: & ego expergiscebar dein.*
BA. *Equidem legenti tum in naui Andromedam, mihi*
Subitus quidam Cupido perculit meum
Animum: quàm tu putas vehementer, mi Hercules?
HER. *Cupido? quantúsnam?* BA. *exiguus, ut est Molo.*

E

Σχόλια. Ὡς κενταυρικῶς.] πρῶτον μὲν ἴσως τοῦ ὑπακούειν Διονύσῳ λέγει ὁ Ἡρακλῆς ἐνήλαθ᾽ ὅστις. εἶτα τὴν ὄψιν καταπλαγείς, τὸ μὲν ἀκόλουθον, οὐκ ἀνεπλήρωσεν, εἰπὼν ὅστις ἐστίν. ἀλλὰ θαυμάσας ἐπηρώτησε τίς εἴη. κενταυρικῶς δέ, ἀντὶ τοῦ ἀκόσμως καὶ ὑβριστικῶς, ὅτι καὶ οἱ κένταυροι ὑβρισταί. καὶ τοῦτο οἶδεν Ἡρακλῆς ἐκ τῆς πρὸς αὐτοὺς μάχης. γράφεται, ἀντὶ τοῦ μαλακῶς. F εἰρωνεύεται γὰρ Ἡρακλῆς. ὁ γὰρ Διόνυσος, μαλακὸς καὶ τρυφερός. Ὁ παῖς.] ὁ Διόνυσος νεύει πρὸς τὸν Ξανθίαν. καὶ λέγει μειρακευόμενος ὡς δείσαντος αὐτὸν τοῦ Ἡρακλέους. καθόλου γὰρ τοιοῦτον εἰσάγουσι τὸν Διόνυσον καυχηματίαν. Μὴ μαίνοιό γε.] Δίδυμος. ἀντὶ τοῦ μὴ μανείης. πιθανώτερον δέ, ἀντὶ τοῦ ὑπέλαβες σε μαίνεσθαι ὁ Ἡρακλῆς. ἢ οὕτως. μὴ μανείης οὕτως, ὡς ὑπολαβεῖν σε τὸν Ἡρακλέα φοβηθῆναι. Ἐπὶ κροκωτῷ.] Διονυσιακὸν φόρημα. κροκωτὴν ἐφόρει λεοντῆν ἵνα ᾖ ὡς Ἡρακλῆς. Ἡρακλέους γὰρ φόρημα ἡ λεοντῆ. κροκωτὴν δέ, ἵνα ᾖ φοβερός. G ἡ κροκωτὴ γυναικεῖον ἐκ πλείστου ἔνδυμα. Κόθορνος.] ὅτι ὁ κόθορνος, εἰς ἀμφοτέρους τοὺς πόδας ἁρμόζει. ἔνθεν καὶ Θηραμένης κόθορνος ἐλέγετο, ὅτι τοῖς καιροῖς καθομιλεῖν ἐδύνατο. οἱ δέ, ὅτι ἀνδράσι καὶ γυναιξὶν ἁρμόττει. ὁ δὲ Ξενοφῶν ἐν Ἑλληνικοῖς, ἀμφοτέροις τοῖς ποσὶν ἁρμόζειν αὐτόν φησιν. ἐκπλήττεται δὲ ὁ Ἡρακλῆς ὁρῶν τὴν ἄτοπον ταύτην σκευὴν καὶ ὅτι τὰ ἄμικτα ἔμιξεν. ὁ μὲν γὰρ κροκωτὸς καὶ ὁ κόθορνος γυναικεῖα ἐστίν, ἡ δὲ λεοντῆ καὶ τὸ ῥόπαλον ἀνδρεῖα. Ἐπεβάτευον Κλεισθένει.] λέγεται γὰρ καὶ ἐπὶ νεὼς τὸ ἐπιβατεύειν. καὶ ἐπὶ συνουσίας κατὰ μεταφορὰν τῶν ἀλόγων ζώων, ἃ ἐπιβαίνοντα συνουσιάζει. Κλεισθένης δὲ ὁ Συβυρτίου, ἐπ᾽ αἰσχρότητι κωμῳδεῖται. ἦν δὲ λεῖος τὸ γένειον. διὸ καὶ εὐνούχῳ εἰκάζει αὐτόν. κωμῳδοῦσι δὲ αὐτὸν καὶ ἐπὶ τοῦ παχυλιᾶν. ἐμφαίνει οὖν εἰ κατὰ στρατείαν ἀπεδήμουν μετὰ Κλεισθένους ἂν ἐστρατευσάμην. καὶ τὸ ἐπεβάτευον ἐκεῖνο, καλῶς ἐμφατικῶς. ἐστρατήγησε δὲ νεωστὶ καὶ ἐνίκησεν ἐκεῖ. Σφώ; νὴ τὸν Ἀπόλλω] θαυμάζων καὶ ἀπιστῶν λέγει ὁ Ἡρακλῆς. τινὲς δὲ εἰς τὸν Ἀπόλλω δύο στίζουσι, καὶ εἰς τὸ ἐξηγρόμην.

Bisetus. Ἄλλοι δὲ τὰ πρότερα γράφουσιν οὕτως. Ηρ. Σφώ; Διο. Νὴ τὸν Ἀπόλλω. Ηρ. Κᾆτ᾽ ἔγωγ᾽ ἐξηγρόμην. τὸ δὲ ἐξηγρόμην, ἀντὶ τοῦ ἐξηγειρόμην. ἐγείρω, ἐγείρομαι, καὶ κατὰ συγκοπὴν ἔγρομαι, καὶ ἠγρόμην ἐν τῷ παρατατικῷ.

Σχόλια. Κᾆτ᾽ ἔγωγ᾽ ἐξηγρόμην.] σκώπτει τὸν Διόνυσον καὶ ἐγώ φησιν ἀνέστην ἐξ ὀνείρου. δηλοῖ ὅτι ὄναρ ταῦτα ἔπραξεν οὓς ἔφασεν ὡς ὁ Διόνυσος ταῦτα λέγει. κᾆτ᾽ ἔγωγ᾽ ἐξηγρόμην. ὡς τῶν ἐπὶ τοῖς ψευδομένοις ἐπιλεγόντων τοῦτο, καθ᾽ ὃ δηλοῦται ὅτι ἐνυπνίῳ ἔοικε τὸ λεγόμενον. οἱ δέ, τῷ Ἡρακλεῖ προσνέμουσι τοῦτο. οἱ δὲ τῷ Ξανθίᾳ. καὶ τὸ νὴ τὸν Ἀπόλλω τῷ Διονύσῳ. μόνον γὰρ τὸ σφὼ λέγειν τὸν Ἡρακλέα. Τὴν Ἀνδρομέδαν.] δρᾶμα

ὐλο

A ἄλλοτι τῶν πρὸ ὀλίγου διδαχθέντων καὶ καλῶν. Ὑψιπύλης. Φοινισσῶν. Ἀντιόπης. ἡ γὰρ Ἀνδρομέδα ὀγδόῳ ἔτει προεῖκται. ὅπερ οὐ συκοφαντητέα ἐστὶ τὰ τοιαῦτα. Μικρὸς ἡλίκος Μόλων.] παίζει. ἔστι γὰρ μεγαλόσωμος ὁ Μόλων. Δίδυμος δέ φησιν ὅτι δύο Μόλωνές εἰσιν, ὁ ὑποκριτὴς, καὶ ὁ λωποδύτης, καὶ μᾶλλον λωποδύτην λέγει, ὃς ἦν σμικρὸς τὸ σῶμα. Τιμαχίδας δὲ, τὸν ὑποκριτὴν λέγεσθαι Μόλωνα. ἄλλως γράφεται μακρός. ἵνα ὁ Κροτωνιάτης νοῆται. ἀνὴρ μεγάλῳ σώματι, ὑπὸ τοῦ ποσέως κεκοσμημένος ὡς τοῖς ὁρῶσι παρέχειν ἔκπληξιν. B ἐγένοντο δὲ αὐτῷ ἓξ ἐν Ὀλυμπίᾳ πάλῃ νῖκαι. μία δὲ ἐν παισὶν ἐξ αὐτῶν. Πυθοῖ δὲ ἐν τοῖς ἀνδράσιν ἓξ καὶ μία ἐν τοῖς ἐν παισίν. ἀφίκετο δὲ καὶ ἕβδομον παλαίσων ἐς Ὀλυμπίαν. ἀλλὰ γὰρ οὐκ ἐγένετο οἷός τε καταπαλαῖσαι Τιμασίθεον πολίτην τε ὄντα αὐτῷ καὶ ἡλικίᾳ νέον. λέγεται δὲ καὶ ὡς κομίσειεν αὐτὸς αὐτὸν τὸν ἀνδριάντα ἐς Ἄλτιν. λέγεται δὲ ἐς αὐτὸν καὶ τὸ ἐπὶ τῇ ῥοιᾷ καὶ ἐπὶ τῷ δίσκῳ. ῥοιὰν μὲν δὴ οὕτως εἶχε βιαζομένῳ, ὥστε αὐτὸς λυμήνασθαι πιέζων. ἑστάμενος δὲ ἐπὶ ἀληλιμμένῳ τῷ δίσκῳ γέλωτα ἐποιεῖτο τοὺς ἐμπίπτοντάς τε καὶ ὠθοῦντας ἀπὸ τοῦ δίσκου. ἀποθανεῖν C δὲ ὑπὸ θηρίων φασὶν αὐτόν. ἐπιτυχεῖν γὰρ αὐτὸν ἐν τῇ Κροτωνιάτιδι αὐαινομένῳ ξύλῳ. σφῆνες δὲ ἐγκείμενοι διΐσταν τὸ ξύλον. ὁ δὲ ὑπὸ φρονήματος ὁ Μίλων, καθίησι τὰς χεῖρας ἐς τὸ ξύλον. ὀλισθαίνουσι τε δὴ οἱ σφῆνες. καὶ ἐχόμενος ὑπὸ τοῦ ξύλου λύκοις ἐγένετο εὕρημα, μάλιστα δέ πως τὸ θηρίον τοῦτο ἐν τῇ Κροτωνιάτιδι πολύ τε νέμεται καὶ ἄφθονον. ταῦτα δέ φησι κατὰ λέξιν Παυσανίας ἐν δευτέρῳ Ἠλείων.

Bisetus. Locus ex Pausania] Ἐγένοντο δὲ τῷ Μίλωνι ἓξ μὲν ἐν Ὀλυμπίᾳ πάλης νῖκαι, μία ἐν παισὶν ἐξ αὐτῶν. Πυθοῖ δὲ, ἐν τε ἀνδράσιν ἓξ, καὶ μία ἐν D τοῖς ἐν παισίν. ἀφίκετο δὲ καὶ ἕβδομον παλαίσων ἐς Ὀλυμπίαν. ἀλλὰ γὰρ οὐκ ἐγένετο οἷός τε καταπαλαῖσαι Τιμόθεον πολίτην τε ὄντα αὐτῷ, καὶ ἡλικίᾳ νέον. πρὸς δὲ καὶ συνεγγύς οὐκ ἐθέλοντα ἵστασθαι. λέγεται δὲ ὡς ἐκόμισεν αὐτὸς αὐτοῦ τὸν ἀνδριάντα ἐς τὴν Ἄλτιν ὁ Μίλων. λέγεται δὲ ἐς αὐτὸν καὶ τὸ ἐπὶ τῇ ῥοιᾷ, καὶ τὸ ἐπὶ τῷ δίσκῳ. ῥοιὰν μὲν δὴ οὕτω κατεῖχεν, ὡς μήτε ἄλλῳ παρεῖναι βιαζομένῳ, μήτε αὐτὸς λυμήνασθαι πιέζων. ἑστάμενος δὲ ἐπὶ ἀληλιμμένῳ τῷ δίσκῳ, γέλωτα ἐποιεῖτο τοὺς ἐμπίπτοντάς τε, καὶ ὠθοῦντας ἀπὸ τοῦ δίσκου. παρείχετο δὲ καὶ ἄλλα τοιάδε ἐπίδειξιν. περιέδει τῷ μετώπῳ χορδὴν, κατὰ ταύτας δὲ καὶ εἰ ταινίαν περιθεῖτο, ἢ στέφανον, κατέχων δὲ ἐντὸς χειλῶν τὸ ἆσθμα, καὶ ἐμπιπλὰς αἵματος τὰς ἐν τῇ κεφαλῇ φλέβας διέρρηγνυεν ὑπὸ ἰσχύος τῶν φλεβῶν τὴν χορδήν. λέγεται δὲ καὶ ὡς τῆς δεξιᾶς χειρὸς τὸ μὲν ἐς τὸν ἀγκῶνα ἐκ τοῦ ὤμου παρ' αὐτὴν καθείη τὴν πλευράν. τὸ δὲ ἀπὸ τοῦ ἀγκῶνος ἔτεινεν ἐς εὐθὺ τῶν δακτύλων. τὸ μὲν αὐτῶν ἀναστρέφων τὸν ἀντίχειρα ἐς τὸ ἄνω. τῶν λοιπῶν δὲ ἀλλήλοις ἐπικειμένων κατὰ στοῖχον, τὸν ἐλάχιστον τῶν δακτύλων κάτω γινόμενον, οὐκ ἀπεκίνησεν ἄν τις βιαζόμενος. ἀποθανεῖν δὲ ὑπὸ θηρίων φασὶν αὐτόν. ἐπιτυχεῖν γὰρ αὐτὸν ἐν τῇ Κροτωνιάτιδι αὐαινομένῳ ξύλῳ. σφῆνας δὲ ἐγκειμένους διΐστασθαι τὸ ξύλον. ὁ δὲ ὑπὸ φρονήματος ὁ Μίλων καθίησι τὰς χεῖρας ἐς τὸ ξύλον, ὀλισθαίνουσί τε δὴ οἱ σφῆνες, καὶ ἐχόμενος ὁ Μίλων ὑπὸ τοῦ ξύλου, λύκοις ἐγένετο εὕρημα. μάλιστα δέ πως τὸ θηρίον τοῦτο ἐν τῇ Κροτωνιάτιδι πολύ τε νέμεται, καὶ ἄφθονον. ταῦτα δέ φησι Παυσανίας κατὰ λέξιν ἐν β. Ἠλείων. Τούτου δὲ τοῦ Μίλωνος τοῦ παλαιστοῦ καὶ ὁ Θεόκριτος εἰδ. δ. μέμνηται,

Βατ. Ωὔτὸς δ' ἐστὶν ἄφαντος ὁ βωκόλος ᾤχετο χώραις;

Κορ. Οὐκ ἄκουσας; ἄγων νιν ἐπ' Ἀλφεὸν ᾤχετο Μίλων.

καὶ

Βατ. Πείσαι τοὶ Μίλων καὶ τὼς λύκως αὐτίκα λυσσῆν.

Κορ. Ταὶ δαμάλαι δ' αὐτὸν μυκώμεναι ὧδε ποθεῦντι.

Ηρ. Γυναικός; Δι. οὐ δῆτ'. Ἡρακλ. ἀλλὰ παιδός; Δι. οὐδαμῶς.

Ηρ. Ἀλλ' ἀνδρός; Δι. ἀππαπαῖ. Ἡρακλ. ξυνεγένου Κλεισθένει;

Δι. Μὴ σκῶπτέ μ' ὦ 'δελφ'. οὐ γὰρ, ἀλλ' ἔχω κακῶς.

Τοιοῦτος ἵμερός με διαλυμαίνεται.

Ηρ. Ποῖός τις ὦ 'δελφίδιον. Δι. Οὐκ ἔχω φράσαι.

Ὅμως γε μέντοι σοι δι' αἰνιγμῶν ἐρῶ.

Ἤδη ποτ' ἐπεθύμησας ἐξαίφνης ἔτνους;

Ηρ. Ἔτνους; βαβαιὰξ, μυριάκις ἐν τῷ βίῳ.

Δι. Ἆρ' ἐκδιδάσκω τὸ σαφὲς, ἢ 'τέρᾳ φράσω;

Ηρ. Μὴ δῆτα περὶ ἔτνους γε. πάνυ γὰρ μανθάνω.

E HE. Num mulieris? BA. haudquaquam. HE. sed pueri. BA. neutiquam.

HE. Sed viri. BA. atat. HE. num ergo tu fellasti Clisthenem?

BA. Ne ludifices me frater: enimuerò male

Habeo, quandoquidem me tanta cupiditas tenet.

HE. Quanam cupiditas, mi fratercule? BA. non queo

Dicere: sed dicam tibi per ænigmata tamen.

F Vnquamne tu repentè petiisti faba

Pultem? HE. faba pultem? hui, plus decies millies

In vita. BA. quid? clarè hoc dico, an aliud loquar?

HE. Nihil de fabis, nam satis isthac intelligo.

Σχόλιον. Γυναικός. οὐ δῆτα.] τινὲς ἀπὸ τοῦ γυναικὸς ἀκοινώνητα ποιοῦσι. τινὲς δέ φασιν ὅλον τὸν Ἡρακλέα λέγειν, λεγομένων τίνος ἠράσθη Διόνυσος. τοῦ δὲ Διονύσου εἰπόντος τὸ ἀππαπαῖ ὁ Ἡρακλῆς ὑποπτεύει, ἀνδρὸς ἐρασθῆναι Κλεισθένους τὸν Διόνυσον. Ἀππαπαί.] γράφεται ἀππαπαί διὰ τοῦτο οὐ καταθεμένου τοῦ Διονύσου, καὶ ὁ Ἡρακλῆς ἐπιλογιζόμενος τοῦ Κλεισθένους, διὰ τὸ ὑποβάτευον Κλεισθένει. Οὐ γὰρ ἀλλ' ἔχω κακῶς.] ἀντὶ τοῦ καὶ γὰρ ἀλλὰ παρέλκει Ἀττικῶς. ἀντὶ τοῦ ἔχω G γὰρ κακῶς. Ἔτνους.] πισσίου πισινοῦ. ὡς ἀδηφάγον δὲ τὸν Ἡρακλέα κωμῳδοῦσι. τὸ δὲ ἔτνος εἶδος ἀθάρας. οἱ δὲ ἀνδρεῖοι καὶ πρὸς τὰς μάχας θαυμαστοὶ ἔτνος ἐσθίουσιν ὡς συντελοῦν αὐτοῖς πλεῖστα ὡς οἱ περὶ ταῦτα δεινοὶ λέγουσιν. Ἑτέρᾳ φράσω.] διδάσκω σε ὡς ἐρῶ. ὑποβαλὼν σοι τὸν ἔρωτα τοῦ ἔτνους. ἢ ἄλλῳ τινὶ ὑποδείγματι φράσω. ἴσω δὲ ἡμιστίχιον ἐξ Εὐριπίδου.

Δι. Τοιοῦτος ἐμὲ πόθος διαρδάπτει πό-
θος
Εὐριπίδου, καὶ ταῦτα τοῦ τεθνηκότος.
Κοὐδείς γέ μ' ἂν πείσειεν ἀνθρώπων, τὸ μὴ οὐκ
Ἐλθεῖν ἐπ' ἐκεῖνον. Ηρ. πότερον, εἰς Ἅδου κά-
τω;
Δι. Καὶ νὴ Δί' εἴ τι γ' ἐστὶν ἔτι κατωτέρω.
Ηρ. Τί βουλόμενος; Δι. δέομαι ποιητοῦ δε-
ξιοῦ.
Οἱ μὲν γὰρ οὐκ ἔτ' εἰσὶν, οἱ δ' ὄντες, κακοί.
Ηρακλ. τί δ' οὐκ Ιοφῶν ζῇ; Δι. τοῦτο γάρ τοι καὶ
μόνον
Ἔτ' ἐστὶ λοιπὸν ἀγαθὸν, εἰ καὶ τοῦτ' ἄ-
ρα.
Οὐ γὰρ σάφ' οἶδ', οὐδ' αὐτὸ τοῦθ' ὅπως ἔ-
χει.
Ηρ. Εἶτ' οὐχὶ Σοφοκλέα πρότερον ὄντ' Εὐριπί-
δου
Μέλλεις ἀναγαγεῖν, εἴπερ ἐκεῖθεν δεῖ σ' ἄ-
γειν;
Δι. Οὔ, πρίν γ' ἂν Ιοφῶντ' ἀπολαβὼν αὐτὸν
μόνον,
Ἄνευ Σοφοκλέους, ὅ,τι ποιεῖ κωδωνίσω.
Κἄλλως, ὁ μὲν γ' Εὐριπίδης πανοῦργος ὢν,
Καὶ ξυναποδρᾶναι δεῦρ' ἐπιχειρήσειέ μοι.
Ὁ δ' εὔκολος μὲν ἐνθάδ', εὔκολος δ' ἐκεῖ.
Ηρακλ. Ἀγάθων δὲ ποῦ 'στιν. Δι. ἀπολιπών μ'
ἀποίχεται,
Ἀγαθὸς ποιητὴς, καὶ ποθεινὸς τοῖς φίλοις.

A BA. *Tantus me amor videndi Euripidem tenet:*
Quamuis iam mortuus sit: vt nemo mihi
Hominum persuaserit, vt ne conueniam hinc
eum.
HE. *An obsecro tu ergo descendes ad inferos?*
BA. *Et per Iouem, si est quicquam inferius infe-*
rius.
HE. *Quid illic acturus?* BA. *poeta opus est mi-*
B *hi*
Bono. nam tales nusquam sunt hic amplius,
Qui verò sunt, mali sunt. HE. *quid ais? an Io-*
pho
Non viuit amplius. BA. *solùm hoc nobis bo-*
ni.
Adhuc superest: si modò superest hoc tempore.
Neque enim sat noui, quomodo res habeat cum
eo.
C HE. *Cur verò non potiùs Sophoclem, quàm Eu-*
ripidem
Reduces: si quis omninò reducendus est?
BA. *Non, nisi priùs seduxero Iophonem à pa-*
tre
Sophocle: & quidnam rei gerat, explorauero.
Aliâs enim, vt versutus est, Euripides
Isthinc vnà mecum aufugere huc tentauerit.
D *Nam Sophocles tàm simplex illic est, quàm hic*
erat.
HE. *Vbi verò est Agatho?* BAC. *reliquit me, &*
abyt,
Bonus Poëta, & amicis optatissimus.

Σχόλια. Καὶ ταῦτα τοῦ τεθνηκότος.] τινὲς βούλονται ἓν πρόσωπον λέγειν ὅλον. τινὲς δὲ διορίζουσι τὸ τοῦ τεθνηκότος, ὡς τοῦ Ηρακλέους λέγοντες αὐτό. οὕτω δὲ καὶ αἱ διδασκαλίαι φέρουσι. τελευτήσαντος Εὐριπίδου, τὸν υἱὸν αὐτοῦ, δεδιδαχέναι ὁμωνύμως ἐν ἄστει. Ιφιγένειαν τὴν ἐν Αὐλίδι. Αλκμαίωνα. Βάκχας.

E Bisetvs. Εἰς Ἅδου.] Εὐστάθιος. Ἄϊς, Ἄϊδος, ὁ τόπος σκοτεινὸς ἀπὸ γλώσ. ἀφανὴς, ἀφωρισμένος ψυχαῖς. διὸ καὶ Ἀΐδης λέγεται ὁ αὐτὸς. καὶ Ἀϊδωνεύς. ὡς δέ τινές φασι, καὶ Ἀΐδης κατὰ συναίρεσιν τοῦ Ἀΐδης. εἰς τοῦτο δὲ ἐναντιοῦται τὸ πνεῦμα. ὤφειλε γὰρ εἰ ἀπὸ τοῦ Ἀΐδης ὁ Ἅιδης γέγονε συναιρεθεὶς, ψιλοῦσθαι καὶ αὐτὸς καθὰ καὶ ὁ Ἀΐδης, ἀλλὰ δασύνεσθαί φασιν Ἀττικοί. τάχα δὲ διὰ τὴν ἄθροισιν ἐν αὐτῷ τῶν ψυχῶν. καὶ γὰρ οἱ Ἀττικοὶ τὸ α ἀθροιστικὸν δασύνειν εἰώθασιν, ὡς ἐν τῷ ἅ-
F λα, ἅλις, ἅπας. οἱ δὲ γράφουσιν Ἅδης δασυνόμενον χωρὶς τοῦ ι. παρὰ τὸ ἥδω, τὸ εὐφραίνω κατ' ἀντίφρασιν. ὅτι τῷ θανάτῳ, καὶ τῷ Ἅδῃ οὐδεὶς ἥδεται, καὶ χαίρει. ἢ τοίνυν Ἅδης. οὕτω γραπτέον, ἢ ἅδης ψιλούμενον, καὶ μετὰ τοῦ ι ὑπογραφομένου, κατὰ συναίρεσιν ἐκ τοῦ ἀΐδης. ἄδης, παρὰ τὸ α στερητικὸν, καὶ τὸ ἰδεῖν, τὸ ὁρᾶν. ἐστὶ γὰρ ὄντως ὁ τόπος σκοτεινὸς ὑπάρχει.

G Σχόλια. Οἱ μὲν γὰρ οὐκ ἔτ' εἰσίν.] Εὐριπίδου ἐξ Οἰνέως. σὺ δ' ὧδ' ἔρημος ξυμμάχων ἀπόλλυσαι. οἱ μὲν γὰρ, οὐκ ἔτ' εἰσὶ, οἱ δ' ὄντες, κακοί. Τί δ' οὐκ Ιοφῶν] Ιοφῶν υἱὸς ἦν Σοφοκλέους ἐκ Νικοστράτης ὃς δόκησιν παρεῖχεν, ὅτι τοῖς τοῦ πατρὸς ἐχρῆτο ποιήμασιν ὡς οἰκείοις. εἰσήγαγε δέ ποτε Σοφοκλῆς ἐν δράματι τὸν Ιοφῶντα φθονοῦντα, καὶ πρὸς τοὺς φράτορας ἐγκαλοῦντα τῷ πατρὶ ὡς ὑπὸ γήρως παραφρονοῦντι. οἱ δὲ τῷ Ιοφῶντι ἐπετίμησαν. Σάτυρος δέ φησιν αὐτὸν εἰπεῖν. εἰ μὲν εἰμὶ Σοφοκλῆς, οὐ παραφρονῶ, εἰ δὲ παραφρονῶ Σοφοκλῆς οὐκ εἰμί. καὶ τότε τὸν Οἰδίποδα παραγνῶναι. οὐ μόνον δὲ Χοιρίλῳ καὶ τοῖς περὶ Αἰσχύλον καὶ Εὐριπίδην, ἀλλὰ καὶ Ιοφῶντι συνηγωνίσατο τῷ υἱῷ. Τοῦτο γὰρ μόνον ἔτ' ἐστὶν ἀγαθόν.] ἠγωνίσατο γὰρ καὶ ἐνίκησε λαμπρῶς ἔτι ζῶντος τοῦ πατρὸς αὐτοῦ. διὸ ἀμφιβάλλει. μήποτε τοῦ Σοφοκλέους εἴη. Ὅπως ἔχει.] εἴτε αὐτοῦ δηλονότι τὰ ποιήματα εἴτε τοῦ πατρὸς αὐτοῦ Σοφοκλέους. τοιαύτη γὰρ περὶ αὐτοῦ τοὺς πολλοὺς δόξα κατεῖχε. πρότερον δὲ, τῇ ἡλικίᾳ ἢ τιμιώτερον. ἦν γὰρ ὁ Σοφοκλῆς Αἰσχύλου μὲν ἔτεσιν ἑπτὰ νεώτερος Εὐριπίδου δὲ κδ. Οὔ πρίν γ' ἂν Ιοφῶντα.] κωμῳδεῖται γὰρ Ιοφῶν ὁ υἱὸς Σοφοκλέους ὡς τὰ τοῦ πατρὸς λέγων. οὐ μόνον δὲ ἐπὶ τοῦ τοῦ πατρὸς τραγῳδίας ἐπιγράφεσθαι κωμῳδεῖται, ἀλλ' ἐπὶ τῷ καὶ ψυχρὸς, καὶ μακρὸς εἶναι. τὸ δὲ κωδωνίσω, ὅτι τινὰ τῶν ὀρνέων δοκιμάζεται τῷ τοῦ κώδωνος ψόφῳ. καὶ τοὺς ἵππους οὕτω ἐδοκίμαζον εἰ ψοφώδεις εἶεν, ἢ εἰ θόρυβον ὑπομένειν δύναιντο μή πως ἐν πολέμῳ εἰς κίνδυνον ὑπ' αὐτῶν ἐνεχθεῖεν, καὶ τοὺς ὄρτυγας. τινὲς δὲ ἀπὸ τῶν ἀγγείων τῶν κεράμων. ἐπεὶ οὕτω δοκιμάζουσι διακρούοντες. τινὲς δὲ ἐκ μεταφορᾶς τῶν νομισμάτων. τινὲς δὲ ἀπὸ τῶν φυλάκων. Δημήτριος γάρ φησιν ὅτι κατὰ τὰς φυλακὰς οἱ ἐγρηγορότες, κώδωσι διεσημαίνοντο, ὅπως ἂν φθέγγωνται. βέλτιον δὲ τὸ ἐπὶ τῶν ἵππων καὶ τῶν ἀγγείων. τὰ δὲ ἄλλα ἐσχεδίασται. Εὔκολος.] ὁ ἁπλοϊκὸς καὶ ἐλευθέριος. τοιοῦτος δὲ ὁ Σοφοκλῆς. Ἀγάθων δέ.] οὗτος τραγικὸς ποιητὴς ἐπὶ μαλακίᾳ διεβάλλετο. Ποθεινὸς τοῖς φίλοις.] τοῖς σοφοῖς.

Σωφροσύνης, ὥστε ὁ Ἀγάθων κωμῳδεῖται ὡς ὁ τῦ Σωκράτους διδάσκαλος, ἀγαθὸς τὸν τρόπον καὶ τὴν τράπεζαν λαμπρός. καὶ
A φασὶν ὅτι Πλάτωνος συμπόσιον ἐν ἑστιάσει αὐτοῦ γέγραπται, πολλῶν ἅμα φιλοσόφων σὺν αὐτῷ καταχθέντων.

Ηρ. Ποῖ γῆς ὁ τλήμων; Δι. ἐς μακάρων εὐωχίαν.
Ηρακλ. Ὁ δὲ Ξενοκλῆς; Δι. ἐξόλοιτο νὴ Δία.
Ηρακλ. Πυθάγγελος δέ; Ξανθ. περὶ ἐμοῦ δ' B οὐδεὶς λόγος,
Επιτειβομένου τὸν ὦμον οὑτωσὶ σφόδρα;
Ηρακλ. Οὔκουν ἕτερ' ἔστ' ἐνταῦθα μειρακύλλια,
Τραγῳδίας ποιοῦντα, πλεῖν ἢ μύρια,
Εὐριπίδου πλεῖν ἢ σταδίῳ λαλίστερα.
Δι. Επιφυλλίδες ταῦτ' ἐστὶ, καὶ στωμύλματα
Χελιδόνων μουσεῖα, λωβηταὶ τέχνης,
Α φροῦδα θᾶττον ἢν μόνον χορὸν λάβῃ,
Απαξ προσουρήσαντα τῇ τραγῳδίᾳ.
Γόνιμον δὲ ποιητὴν ἂν οὐχ εὕροις ἔτι
Ζητῶν ἄν, ὅστις ῥῆμα γενναῖον λάκοι.
Ηρα. Πῶς γόνιμον; Δι. ὡδὶ γόνιμον, ὅς τις φθέγξεται,
Τοιουτονί τι παρακεκινδυνευμένον.
Αἰθέρα, Διὸς δωμάτιον, ἢ χρόνου πόδα,
Η φρένα μὲν οὐκ ἐθέλουσαν ὀμόσαι καθ' ἱερῶν.
Γλῶτταν δ' ἐπιορκήσασαν ἰδίᾳ τῆς φρενός.
Ηρ. Σὲ δὲ ταῦτ' ἀρέσκει; Δι. καὶ μάλα πλεῖν ἢ μαίνομαι.
Ηρακλ. Η μὴν κόβαλλά γ' ἐστὶν, ὡς καὶ σοὶ δοκεῖ.

HE. *Quò abijt miser?* BA. *ad beatorum conuiuium.*
HE. *Vbi Xenocles?* BA. *pereat Xenocles, per Iouem.*
HE. *Pythangelus verò?* XA. *num de me nulla fit*
Mentio? cuius humerus tanta mole premitur?
HE. *An non alij hic sunt, qui scribunt Tragœdias:*
Puellorum plusquàm decem puto millia:
Qui vltra stadium Euripidem garrulitate superant?
BA. *Reijculi hi sunt racemuli, & loquaculi:*
Hirundinum musæa: artis poëticæ
C *Corruptores: statim euanidi, vbi vnum chorum*
Adepti sunt, qui placeat in Tragœdia.
Sed natiuum Poëtam haud vllum reperies,
Vbicunque inquires: qui boni quid proferat,
Et generosam aliquam depromat sententiam.
HE. *Quomodo natiuum?* BA. *sic natiuum: qui canat*
D *Aliquid, graui coniunctum cum periculo:*
Vt athera, domum Iouis, & temporis pedem:
Aut mentem iurasse quidem inuitam per sacra:
Sed linguam peierasse seorsim à mente. HER. *num*
Ergo hæc tibi placent? BA. *Imò placent supra modum.*
HE. *Certè hæc versuta sunt: vt tu etiam indicas.*

Σχόλια. Ες μακάρων εὐωχίαν.] ἢ ὡς περὶ τετελευτηκότος λέγει, οἱονεὶ περὶ τὰς μακάρων νήσους. ἢ ὅτι Αρχελάῳ τῷ βασιλεῖ μέχρι τελευτῆς μετὰ ἄλλων πολλῶν συνῆν ἐν Μακεδονίᾳ. καὶ μακάρων εὐωχίαν ἔφη τὴν ἐν βασιλείοις. τοῦτο δὲ παρ' ὑπόνοιαν. Ξενοκλῆς.] υἱὸς Καρκίνου Ξενοκλῆς, κωμῳδεῖται ὡς ἄξεστος ἐν τῇ ποιήσει καὶ ἀλληγορικός. ἀδελφοὶ δὲ αὐτοῦ, Ξενόκλειτος καὶ Ξενότιμος. εἰσὶ δὲ ὥς φασι δύο Ξενοκλεῖς τραγῳδοὶ γεγονότες. τρίτος δὲ ἐπὶ τούτοις ὁμώνυμος πολιτικός. φαύλου μὲν ἑταῖρος. τῶν δὲ δήμων Χολαργεύς. Πυθάγγελος δέ] τραγῳδίας ποιητής. μοχθηρὸς, καὶ ἄσημος. ὁ Ξανθίας δὲ ὑπομνησθεὶς Πυθαγγέλου φησὶν ὅτι οὐ φροντίζετέ μου καὶ ταῦτα Πυθαγγέλου μνημονεύοντες. καλῶς δὲ καὶ πικρῶς ἔδειξεν ὡς δοῦλος τὸ προκείμενον. Λαλίστερα] πολυλογώτερα. εἰς τοῦτο γὰρ Εὐριπίδης ἐκωμῳδεῖτο. Επιφυλλίδες.] τὰ ἐπικείμενα τοῖς μεγάλοις βότρυσι βοτρύδια. Καλλίστρατος δὲ τὰ καθ' ἑαυτὰ μικρά. κέκληνται δὲ οὕτως. διὰ τὸ τοῖς φύλλοις καλύπτεσθαι. ἢ τὰ πρὸς αὐτοῖς τοῖς φύλλοις. ἄλλως. ἐπιφυλλίδες εἰσὶ τὰ ἐν τοῖς βότρυσιν ἐν ἀρχῇ περιττώματα. οἱ δέ φασι τὰ ἐν κορυφαῖς τῶν κλημάτων. ταῦτα γὰρ οὐχ ὑποκάτω τῶν φύλλων ὡς οἱ βότρυες ἀλλ' ἐπάνω φύονται. δοκοῦσι δὲ ἐντεῦθεν ὡς οὐδὲν περὶ λόγους εἰσί. Χελιδόνων μουσεῖα.] παρὰ τὰ ἐν Αλκμήνῃ Εὐριπίδου. πολὺς δ' ἀνέρπει κισσὸς εὐφυὴς κλάδος, χελιδόνων μουσεῖα. ἀντὶ τοῦ βάρβαρα καὶ ἀσύνετα. καὶ γὰρ παροιμία ἐπὶ τῶν
E βαρβάρων καὶ πολυλόγων καὶ ἐπαχθῶν ἐστι ταττομένη. τοιοῦτον γὰρ τὸ χελιδόνων γένος. πλέον δὲ διὰ τὸ πολὺ τῆς ᾠδῆς ἀνιῶν τοὺς ἀκούοντας ἢ διὰ τὸ μέλος εὐφραῖνον. καὶ ἐν τοῖς ἑξῆς οὖν περιβρέμεται Θρηκία χελιδών. Α φροῦδα.] ἀφανῆ ὑπὸ τῆς χαρᾶς. Ην μόνον.] ἤγουν εἴπερ ἅπαξ τοὺς περιτυχόντας ἐπαινέτας σχοῖεν τῶν δραμάτων. Προσουρήσαντα.] εὐθυδρομήσαντα. εὐδοκιμήσαντα. ἐν τραγῳδίας δράματι ἐπαινεθέντα. Γόνιμον δὲ ποιητήν.] φυσικόν τινα καὶ μὴ βεβιασμένον. ἢ γεννητικόν. Παρακεκινδυνευμένον.] ὑψηλὸν βλάσφημον παράδοξον. ἀσυνήθες. Αἰθέρα Διός.] ἐξ Αλεξάνδρας Εὐριπίδου. καὶ χρόνου πρόβαινε πόδα. καὶ ἐκ Μελανίππης Σοφοκλέους. ὄμνυμι δ' ἱερὸν Αἰθέρα, οἴκησιν Διός. Γλῶτταν δ' ἐπιορκήσασαν] ταῦτα ἐξ Ιππολύτου Εὐριπίδου. ἡ γλῶσσ' ὀμώμοχ' ἡ δὲ φρὴν ἀνώμοτος. Σὲ δὲ ταῦτ' ἀρέσκει.] ἀντὶ τοῦ σοὶ Αττικῶς. σημειωτέον τοίνυν ὅτι οἱ Αττικοὶ κέχρηνται τῷ τοιούτῳ σχηματισμῷ, καὶ Εὐριπίδης ἐν Βάκχαις, καταφρονεῖ με καὶ Θήβας ὅδε. Μάλα πλεῖν ἢ μαίνομαι.] Αττικοὶ μᾶλλον ἢ μαίνομαι. οἱ μὲν φασὶν ἐλλείπουσιν. οἱ δὲ, συστέλλουσι. μεταλαμβάνεται δὲ εἰς τὸ μὲν ἦν. ἢ οὐκ. ἀλλ' ἀεὶ μᾶλλον. ἢ γὰρ μὴ ἀπαγορεύσεως παρὰ τοῖς παλαιοῖς, ἀντὶ τοῦ ἢ ἀρέσκεις παραλαμβάνεται. ἄλλως. ἀλλὰ πλέον ἢ μαίνομαι ἐπ' αὐτοῖς. τουτέστιν, ὑπερβαλλόντως μοι ἀρέσκει. Κόβαλλα.] κακοῦργα καὶ ἀνελεύθερα. Δίδυμος. κατεστωμυλμένα. ἀπατητικά. καὶ κακοβούλους κοβάλλους.

Δι. Μὴ τὸν ἐμὸν οἴκει νοῦν· ἔχεις γὰρ οἰκίαν.
Ηρακλ. Καὶ μὴν ἀτεχνῶς γε παμπόνηρα φαίνεται.
Δι. Δειπνεῖν με δίδασκε. Ξανθ. περὶ ἐμοῦ δ' οὐδεὶς λόγος;
Δι. Ἀλλ' ὧνπερ οὕνεκα τήνδε τὴν σκευὴν φέρων
Ἦλθον, κατὰ σὴν μίμησιν, ἵνα μοι τοὺς ξένους
Τοὺς σοὺς φράσειας, εἰ δεοίμην, οἷσι σὺ
Ἐχρῶ τόθ', ἡνίκ' ἦλθες ἐπὶ τὸν Κέρβερον,
Τούτους φράσον μοι, λιμένας, ἀρτοπώλια,
Πορνεῖ', ἀναπαύλας, ἐκτροπάς, κρήνας, ὁδούς,
Πόλεις, διαίτας, πανδοκευτρίας, ὅπου
Κόρεις ὀλίγιστοι. Ξανθ. περὶ ἐμοῦ δ' οὐδεὶς λόγος;
Ηρ. Ὦ σχέτλιε, τολμήσεις γὰρ ἰέναι καὶ σύ γε;
Δι. Μηδὲν ἔτι πρὸς ταῦτ', ἀλλὰ φράζε τῶν ὁδῶν,
Ὅπως τάχιστ' ἀφίξομ' εἰς ᾅδου κάτω.
Καὶ μήτε θερμὴν, μήτ' ἄγαν ψυχρὰν φράσῃς.
Ηρακλ. Φέρε δὴ τίν' αὐτῶν σοι φράσω πρώτην; τίνα;
Μία μὲν γάρ ἐστιν ἀπὸ κάλω καὶ θρανίου,
Κρεμάσαντι σαυτόν. Δι. παῦε. πνιγηρὰν λέγεις.
Ηρακλ. Ἀλλ' ἔστιν ἀτραπὸς σύντομος τετριμμένη,
Ἡ διὰ θυείας. Δι. ἆρα κώνειον λέγεις;
Ηρακλ. Μάλιστά γε. Δι. ψυχράν γε καὶ δυσχείμερον.
Εὐθὺς γὰρ ἀποπήγνυσι τἀντικνήμια.

A BA. *Ne tu habites meum animum: nam propriam habes domum.*
HE. *At enim prorsus videntur hæc mihi mala.*
BA. *Doce me cænare.* XA. *an nulla mei fit mentio?*
BA. *Nunc cur isto apparatu huc venerim, tuum*
Hac re secutus exemplum, paucis loquar,
Nempe, vt mihi, si opus sit, monstres hospites
B *Tuos, quibus tu vtebaris, cùm ad Cerberum*
Descenderes. Velim ergo dicas ordine,
Portus, popinas, diuersoria, ganeas,
Deflexiones, fontes, vrbes, itinera,
Victus, cauponas, in quibus paucissimi
Sint cimices. XA. *ecquando mei fit mentio?*
HE. *Miserum te: vin' etiam tu illo descendere?*
C BA. *Mitte hæc: neque addas quicquam: sed vias doce,*
Quibus citissimè perueniam ad inferos.
Sed neque nimis calidam docebis, neque nimis
Gelidam. HE. *quam ergo vis primam ex illis eloquar?*
Quámnam? equidem vna est à resti, & scabello tibi:
Vt teipsum suspendas. BA. *suffocatoria hæc*
D *Via est, & nimium feruida: desine, haud placet.*
HE. *At est alia compendiosior, & magis*
Trita illo per mortarium. BA. *an cicutam ais?*
HE. *Omnino.* BA. *at hæc nimis hyberna est, & frigida.*
Nam homini citò solet congelare tibias.

E Σχόλια. Μὴ τὸν ἐμὸν οἴκει.] καὶ τοῦτο παρὰ τὸ ἐν Ἀνδρομάχῃ μὴ τὸν ἐμὸν οἴκει νοῦν· ἐγὼ γὰρ ἀρκέσω.

Bisetus. Ταῦτα δὲ παροιμιακῶς κατά τρόπον τινά, καὶ ἀλληγορικῶς ληπτέον δοκεῖ. Εἰπόντος γὰρ τοῦ Ἡρακλέους πρὸς τὸν Διόνυσον

Η μὴν κόβαλλά γ' ἐστὶν, ὡς καὶ σοὶ δοκεῖ.

Ἀποκρίνεται ὁ Διόνυσος, Μὴ τὸν ἐμὸν οἴκει νοῦν ὥσπερ ἂν εἰ ἔλεγεν αὐτῷ, μὴ τοὺς τῆς ἐμῆς διανοίας μυχοὺς εἰσδῦναι, καὶ ἀναστρέφεσθαι ὅλως. ὥστε περὶ τῶν ἐμῶν λογισμῶν, καὶ νοημάτων κρίνειν, καὶ γνώμην ἀποφαίνεσθαι. πῶς γὰρ εἴδεις εἰ ταῦτ' ἐμοὶ οὕτω δοκεῖ; ἢ ἀπιθάνως δὲ καὶ ταῦτα περὶ τῶν πολυπραγμόνων ἀνθρώπων ῥηθῆναι δύναιτο. καὶ τούτοις καλῶς ἁρμόττει τὸ Ὁμηρικὸν ἐκεῖνο.

Ἀλλ' εἰς οἶκον ἰοῦσα τὰ σαυτῆς ἔργα κόμιζε.

Σχόλια. Καὶ μὴν ἀτεχνῶς γε] ἀντὶ τοῦ ὅλως. καὶ παντελῶς. καὶ ἔστιν ὅτι οὐδόλως τέχνας γὰρ ἔλεγον, ὅτι τοὺς δόκους. ἐμοὶ δὲ δεσμοί τινες ἥνιλες ἔχουσι. Δειπνεῖν με δίδασκε.] τοῦτο γὰρ ἐπίσταμαι. ἐκεῖνο δὲ σὺ ταῦτά με ἀπόσπα δίδασκε. καὶ μὴ κρίνε τραγῳδίας. ὅτι ἀδηφάγος ὁ Ἡρακλῆς.

Bisetus. Ἀρτοπώλια] ἀρτοπωλεῖον, τὸ μαγειρεῖον, ἐν ᾧ οἱ ἄρτοι γίνονται. ἀρτοπωλεῖον δὲ, ὁ τόπος, ἔνθα οἱ ἄρτοι πιπράσκονται. Σ. Πορνεῖα] τόποι ἔνθα αἱ πόρναι διάγουσι. Σ.

Σχόλια. Κρήνας.] κρουνούς. ἐκτροπαὶ δὲ διανοίξεις τῶν ὁδῶν, ὅπου τις ἐκτραπῆναι δύναται. διὰ τὸ ἐκτρέπεσθαι τὴν ὁδὸν καὶ κρύπτεσθαι, ὅταν ταραχή τις γίνηται.

τῶν νεκρῶν. ὅσα δὲ οἱ ὁδοιποροῦντες ἐπάνω τῆς γῆς εὐρίσκουσι καθ' ὁδὸν, ταῦτα καὶ αὐτὸς οἰόμενος καὶ ὑπὸ γῆν εἶναι, ἐρωτᾷ περὶ τούτων. Μήτε θερμήν.] μήτε ὅπου ἐστὶ καῦμα, μήτε δυσχείμερον ὁδὸν εἴπῃς. Θρανίου.] θράνους καὶ θρανίτια τινὰ δίφρεια καὶ ὑποπόδια ἔλεγον. καὶ ἡ παρὰ τῷ ποιητῇ δὲ θρῆνυς. ἐφ' ὧν οἱ ἀπαγχόμενοι, ἀρτῶσι ἑαυτοὺς ἀπολακτίζοντες αὐτά. τοῦ δὲ κάλω ἡ εὐθεῖα κάλως.

Bisetus. Θρανίου] Σ. θράνιον, θράνος, καὶ θρανία, ταπεινά τινα δίφρεια, καὶ ὑποπόδια λέγονται, καὶ ἡ παρὰ τῷ ποιητῇ θρῆνυς. Εὐστάθιος δὲ, θράνος, καὶ θράνιον, ἡ τῶν ἐρεσσόντων καθέδρα. καὶ θρανίτης, ὁ κωπηλάτης. παρὰ τὸ θρῆνυν ὃ δηλοῖ τὸ ὑποπόδιον. τοῦ δὲ κάλω ἡ εὐθεῖα κάλως. Διὰ δὲ τούτων, ἀπὸ κάλω, ὁ ποιητὴς νοεῖ ὅπερ Εὐριπίδης ἐν Ἑλένῃ βρόχον αἴσχιστον ὀνομάζει. ἀλλ' ὥσπερ ὁ αὐτὸς λέγει,

Ἀσχήμονες μὲν ἀγχόναι μετάρσιοι,
Κἂν τοῖσι δούλοις δυσπρεπὲς νομίζεται.

Σχόλια. Πνιγηρὰν λέγεις] καυματώδη. ἅμα μὲν, ὅτι θερμήν. ἅμα δὲ ὅτι πνίγει τῷ χρῆσθαι τὸ σχοινίον καὶ τὸ G θρανίον. Σύντομος.] οὐ τὴν μόνον ἐπίτομον λέγει, ἀλλὰ καὶ συντομεῖν. τετριμμένη δὲ, ἅμα μὲν ὡς ἐπὶ ὁδοῦ καὶ τῇ μάζῃ συνηθὴς. ἅμα δὲ καὶ διὰ τὸ τρίβεσθαι τὸ κώνειον. Ψυχράν γε καὶ δυσχείμερον] καθὼς ἐπὶ ὁδοῦ ψυχρᾶς, καὶ ὅτι κατὰ ψύξιν φονεύει τὸ κώνειον. πήγνυσι δὲ, εἶπε τἀντικνήμια. ἀπὸ τῶν ποδῶν γὰρ ἄρχεται ὁ θάνατος ἀρχεσθαι, πρώτως αὐτοὺς καταψύχων. ὡς τοῦ ζωτικοῦ αἵματος περὶ τὴν καρδίαν συστελλομένου.

Ηρ. Βου-

A Ηρακλ. Βούλει ταχεῖαν καὶ κατάντη σοι φράσω;

Δι. Νὴ τὸν Δί', ὡς ὄντος γε μὴ βαδιστικοῦ.

Ηρακλ. Καθέρπυσόν νυν ἐς Κεραμεικόν. Δι. κᾆτα τί;

Ηρακλ. Ἀναβὰς ἐπὶ τὸν πύργον τὸν ὑψηλόν. Δι. τί δρῶ;

B Ηρακλ. Ἀφιεμένην τὴν λαμπάδ' ἐντεῦθεν θεῶ,

Κἄπειτ', ἐπειδὰν φῶσιν οἱ θεώμενοι

Εἶναι, τόθ' εἶναι καὶ σὺ σαυτόν. Δι. ποῖ; Ηρα. κάτω.

Δι. Ἀλλ' ἀπολέσαιμ' ἂν ἐγκεφάλου θρίω δύω,

Οὐκ ἂν βαδίσαιμι τὴν ὁδὸν ταύτην. Ηρακλ. τί δαί;

C Δι. Ἥνπερ σὺ τότε κατῆλθες. Ηρακλ. ἀλλ' ὁ πλοῦς πολύς.

Εὐθὺς γὰρ ἐπὶ λίμνην μεγάλην ἥξεις πάνυ

Ἄβυσσον. Δι. εἶτα πῶς γε περαιωθήσομαι;

Ηρ. Ἐν πλοιαρίῳ τυννουτῳί σ' ἀνὴρ γέρων

Ναύτης διάξει, δύ' ὀβολὼ μισθὸν λαβών.

D Δι. Φεῦ, ὡς μέγα δύνασθον πανταχοῦ τὼ δύ' ὀβολώ,

Πῶς ἠλθέτην κἀκεῖσε; Ηρ. Θησεὺς ἤγαγε.

A HE. *Vin' ergo celerem & praecipitem dicam tibi?*

BA. *Ita per Iouem: cùm ad itinera non sim idoneus:*

Et taedium viae perferre non queam.

HE. *Perrepta hinc in Ceramicum.* BA. *quid tum postea?*

B HE. *Inscende turrim illic excelsam.* BA *quid ibi agam?*

HE. *Demissam illic facem despecta, & postea*

Cùm decursores iusserint demittere

Facem: tum & tu praecipitem te demittito.

BA. *Quónam?* HE. *deorsum.* BA. *sed perdidero sic duas*

Cerebri membranas. sane haud inero hanc viam.

C HE. *Quam igitur?* BA. *eandem, quam tu inisti iam antea.*

HE *Sed longa est nauigatio: Venies enim*

Ad longè maximam, adeóque profundissimam

Paludem. BA. *quomodo eam transmittam?* HE. *portitor*

Quidam senex te in nauicula tantillula

Traijciet, acceptis a te, nauli vice,

Duobus tantùm obolis. BA. *eheu, quantum due*

D *Isti oboli vbique possunt? Verùm, dic mihi,*

Quomodo eò peruenerint? HE. *Theseo duce.*

Σχόλια. Κατάντη.] οὕτως Ἀττικοὶ ἀντὶ τοῦ καταφερῆ. εὐκολώτεραι γὰρ καὶ ταχύτεραι αἱ τοιαῦται ὁδοί. Ἀφιεμένην τὴν λαμπάδα.] τοὺς λαμπαδιστὰς ἀγῶνας. λαμπαδοδρομίαι δὲ γίνονται τρεῖς ἐν τῷ Κεραμεικῷ. Ἀθηνᾶς. Ἡφαίστου. Προμηθέως. Κεραμεικὸς [illegible] τόπος Ἀθήνησιν ὅπου συντελοῦσιν οἱ Ἀθηναῖοι κατ' ἐνιαυτόν, λαμπαδοῦχον ἀγῶνα. πρὸς δὲ τῷ τόπῳ τούτῳ πύργον τινὰ ὑπάρχειν φασίν, ἐφ' ὃν συμβουλεύει αὐτὸν ἀναβάντα θεωρεῖν τὴν λαμπάδα. καὶ ὅταν οἱ πρῶτοι λαμπαδίζοντες ἀφεθῶσι, καὶ αὐτὸν ἀπὸ τοῦ πύργου ἀφεῖναι ἑαυτὸν κάτω. Εἶναι τόθ' εἶναι.] ἀντὶ τοῦ ἀφεῖναι τοὺς δρομεῖς. τινὲς γράφουσιν ἵετε ἀντὶ τοῦ ἀφέετε, οἱ δρομεῖς δηλονότι. τοῦτο δὲ [illegible] ἔχει τὸ γελοῖον. ἐπειδὰν οἱ θεώμενοι εἴπωσιν ἀφιέντε [illegible] τρέχοντες, καὶ σὺ σαυτόν. γράφεται δὲ ἐν πολλοῖς [illegible], ἀντὶ τοῦ εἶτε. μήποτε τὸ δεύτερον [illegible]. τὸ δὲ καὶ σὺ σαυτὸν ἁμαρτανομένου τοῦ πρώτου. λέγοι δ' ἄν τις, καὶ τοῦτο λόγον ἔχειν. ὡς τῶν θεωμένων ἐπιτελούντων τὸ σημεῖον ἀφιέντε κατὰ τὸ ἀρχαῖον σχῆμα. [illegible] ἄλλως ὅτι ἐν τῇ ἀφέσει τῆς λαμπάδος σημεῖον ἦν τοῖς μέλλουσι δραμεῖν ὡς δεῖ τοῦ δρόμου κατάρξασθαι. ἦν δὲ τοῦτο πρὸ τοῦ εὐρεθῆναι [illegible]. Τυρσηνοὺς τὴν σάλπιγγα.

BISETVS. Εἶναι τόθ' εἶναι.] τούτων ὅσους ἔστι [illegible] οἱ θεαταὶ λέξωσιν ἂν τοῖς δρομεῦσιν ἀφεῖναι ἑαυτοὺς πρὸς τὸ τοῦ δρόμου κατάρξασθαι. τότε καὶ σὺ εἶναι, ἤγουν ἀφεὶς σεαυτὸν [illegible] ἀπαρεμφάτων ἀντὶ προστακτικῶν, Ἰώνων ἐστὶν, Ὁμήρου Ιλ. Β.

Πέντα μάλ' ἀτρεμέως ἀγορευέμεν. ἀντὶ τοῦ, ἀγόρευε.

Σχ. Ἀλλ' ἀπολέσαιμ' ἂν ἐγκεφάλου.] ὁ ἐγκέφαλος τῶν ἀνθρώπων ἔχει ὑφ' ἑαυτὸν ὑμένας ἐοικότας τοῖς τῆς συκῆς

E φύλλοις. καὶ Ἀρίσταρχος, ὅτι πρὸς τὸ σχῆμα τοῦ ἐγκεφάλου. ἔστι γὰρ ὥσπερ θρῖα δύο συγκείμενα. θρῖα δὲ τὰ τῆς συκῆς φύλλα. τὰ θρῖα δὲ, οὕτω σκευάζεται. [illegible] ἀπὸ τοῦ [illegible] τοῖς τῆς συκῆς φύλλοις. οἱ δὲ σκευασία [illegible]. εἰώθασι δὲ καὶ ἐγκέφαλον [illegible] τοῖς τῆς συκῆς φύλλοις, [illegible] τῆς ἄλλης τοῦ θρίου κατασκευῆς, ἢ καὶ μόνον πρὸς ὃ παρέθηκε τὸ θρῖον. Ἄβυσσος.] ἣν οὐδεὶς βυθὸς δύναται χωρῆσαι. Ἴωνες δὲ τὸν βυθὸν, βύσσον λέγουσι.

BISETVS. Ἄβυσσον] Εὐσάθιος, ἄβυσσος, παρὰ τὸ α ἐπιτατικὸν, καὶ τὸ βυσσὸν. ὁ τὸν βυθὸν δηλοῖ.

Σχ. Τυννουτωί σε.] συνάγων τοὺς δακτύλους καὶ τὴν παλάμην κοιλάνας φησίν. ἀντὶ τοῦ μικροῦ. ὁμοίως δὲ καὶ τυτθὸν τὸ νήπιον. ἀντὶ τοῦ τιτθὸν. [illegible] τοῖς τιτθοῖς [illegible]. φοβεῖ δὲ αὐτὸν, ἐπιτείνας σμικρύνων τὸ πλοῖον. Δύ' ὀβολὼ μισθὸν λαβών.] οὐχ ὡς

F τοῦτο λαμβάνοντος, ἀλλὰ πρὸς τὸν δικαστικὸν μισθὸν. ὅτι δύο ὀβολῶν ἦν. ἅμα οὖν διὰ τὸ λεγόμενον, ὅτι τοῖς νεκροῖς ἐπὶ τοῦ στόματος βάλλουσι δύο ὀβολούς. καὶ ὅτι τὸ δικαστικὸν μισθάριον, δύο ὀβολοὶ ἦσαν. ἐπιφέρει γοῦν ὡς μέγα δύνασθον πανταχοῦ τὼ δύω ὀβολώ. ὕστερον δὲ ἦν τριώβολος. τοῦτο τῶν στρατηγῶν κολακείας χάριν προστιθέντων. ἐπὶ δὲ Ἀριστοφάνους καὶ δραχμὴν ἦν λαβεῖν.

G BISETVS. Φεῦ.] τινὲς μέχρι νῦν χάριν τὸ φεῦ νομίζουσιν ἐκβάλλειν. δοκεῖ δὲ τὰ παλαιὰ σχόλια τοῦτο [illegible].

Σχόλια. Θησεὺς ἤγαγε.] ὅτε κατῆλθε μετὰ Πειρίθου εἰς ᾅδου, ὡς ἁρπάσει βουλόμενου τὴν κόρην τῆς Δήμητρος Περσεφόνην. ἢ διὰ τὸ ἐπιτυχεῖν τοῦ Χάρωνα διαπορθμεύοντος.

T

Μετὰ ταῦτ' ὄφεις καὶ θηρί' ὄψει μυρία
Δεινότατα. Δι. μή μ' ἔκπληττε, μηδὲ δειμάτου.
Οὐ γάρ μ' ἀποτρέψεις. Ηρα. εἶτα βόρβορον πολὺν,
Καὶ σκῶρ ἀείνων. ἐν δὲ τούτῳ κειμένους,
Εἴ που ξένον τις ἠδίκησε πώποτε.
Η παῖδα κινῶν τἀργύριον ὑφείλετο.
Η μητέρ' ἠλοίησεν, ἢ πατρὸς γνάθον
Επάταξεν, ἢ 'πίορκον ὅρκον ὤμοσεν,
Η Μορσίμου τις ῥῆσιν ἐξεγράψατο.
Δι. Νὴ τοὺς θεοὺς ἐχρῆν γε πρὸς τούτοισι καὶ
Τὴν πυρρίχην τις ἔμαθε τὴν Κινησίου.
Ηρ. Εντεῦθεν αὐλῶν τίς σε περίεισι πνοή.
Οψει τε φῶς κάλλιστον, ὥσπερ ἐνθάδε,
Καὶ μυρρινῶνας, καὶ θιάσους εὐδαίμονας
Ανδρῶν, γυναικῶν, καὶ κρότον χειρῶν πολύν.
Δι. Οὗτοι δὲ δὴ τίνες εἰσίν; Ηρα. οἱ μεμυημένοι.
Ξανθ. Νὴ τὸν Δί' ἐγὼ γοῦν ὄνος ἄγων μυστήρια.
Ατὰρ οὐ καθέξω ταῦτα τὸν πλείω χρόνον.
Ηρακλ. Οἵ σοι φράσουσ' ἁπαξάπανθ' ὧν ἂν δέει.
Οὗτοι γὰρ ἐγγύτατα παρ' αὐτὴν τὴν ὁδὸν
Επὶ ταῖσι τοῦ Πλούτωνος οἰκοῦσι θύραις.
Καὶ χαῖρε πόλλ' ὦ 'δελφέ. Δι. νὴ Δία καὶ σύ γε
Υγίαινε.

A *Sed & posthac videbis angues, & feras*
Innumeras, atque horrendas. BA. *noli mihi metum*
Frustrà injicere; neque enim me deterrebis hic.
HE. *Tum verò cœnum & stercus desuper innatans:*
In quo iacent scelerati: vt cùm quis hospitem
Iniuria affecerit: aut puerum quempiam
B *Subagitatum pecunia fraudauerit:*
Aut matrem pulsarit suam: aut colaphum patri
Infregerit: aut periurium commiserit:
Aut verbulum vnum transcripserit è Morsimo.
BA. *Et per Deos addere oportebat hoc quoque,*
Si Pyrrichen quis didicerit Cinesiæ.
C HE. *Exinde tibiarum te cinget sonus:*
Lucémque aspicies, vt & hic, lucidissimam,
Et myrteta, & saltationes mulierum,
Virorúmque beatorum, plausúsq; manuum.
BA. *At quinam hi sunt homines?* HE. *initiati sacris.*
XA. *Tum, per Iouem, ego sum asinus portans mysteria:*
Sed non feram hanc oneris molem diutius.
D HE. *Illi tibi omnia exponent, quorum indiges.*
Nam proximè viam, quæ ad Plutonis fores
Perducit, isti habitant, & nunc multum vale,
Mi frater. BA. *& tu per Iouem, semper vale.*

Σχόλια. Καὶ σκῶρ ἀείνων.] τινές φασι τὸ σκῶρ προσκεχρῆσθαι Στράτιν ἐν Αταλάντῳ δράματι. ψεῦδος δέ. πολλοῖς γὰρ ὕστερον τῶν Βατράχων ὁ Αταλαντος Στράτιδος δεδίδακται.

Bisetvs. Σκῶρ ἀεὶ νῶν] Σκῶρ ἀποπάτημα, κόπρος. καὶ ἔστιν ἑτερόκλιτον. ἡ γὰρ γενικὴ, σκατός. Σ. [Αεὶ νῶν] τουτέστι νάον, ἐπιρρέον. καὶ συναίρεσιν νάον, νῶν, ὡς τὸ βοάων, βοῶν.

Σχόλια. Η Μορσίμου.] τραγῳδίας καὶ οὗτος ποιητής. καὶ ψυχρός. ἔστι δὲ Φιλοκλέους υἱός. ἦν δὲ ὀφθαλμῶν ἰατρὸς ἀγαθός. ἦν δὲ καὶ σμικρός. υἱὸν δὲ ἔσχεν Αμφιδάμαντα. Τὴν Κινησίου.] Κινησίας διθυραμβοποιός. ὃς ἐποιήσατο Πυρρίχην. ἢ ὅτι ἐν τοῖς χοροῖς πολλῇ κινήσει ἐχρήσατο. τινὲς δὲ οὐ γράφουσι τὸ, νὴ τοὺς θεοὺς στίχον. ἀλλ' ἀφαιροῦσι. καὶ οὕτω τὸ ἑξῆς γράφουσιν. ἢ πυρρίχην τις ἔμαθε τὴν Κινησίου. διὸ καὶ Αρίσταρχος παρατίθησιν ἀντίσιγμα καὶ τὸ σίγμα. ἄλλως. ὁ Κινησίας ἐπραγματεύσατο κατὰ τῶν κωμικῶν, ὡς εἶεν ἀχορήγητοι. ἦν δὲ καὶ τὸ σῶμα ὀκνηρὸς, καὶ κατεσκελετευτηκώς. δοκεῖ δὲ καὶ κατησχημονηκέναι τοῦ τῆς Εκάτης ἀγάλματος. διὸ καὶ ἐν τοῖς ἑξῆς φησιν. ἢ κατατίλας τῶν Εκαταίων, κυκλίοισι χοροῖσιν ὑπᾴδων; ἦν δὲ Θηβαῖος, μελοποιὸς κάκιστος, ὃς ἐν τοῖς χοροῖς ἐχρῆτο πολλῇ κινήσει. Οἱ μεμυημένοι.] λόγος γὰρ ἐκράτει παρ' Αθηναίοις ὡς ὅτι ὁ τὰ μυστήρια διδαχθεὶς, μετὰ τὴν ἐνθένδε τελευτὴν θείας ἠξιοῦτο τιμῆς. διὸ καὶ πάντες πρὸς τὴν μύησιν ἔσπευδον. Ονος ἄγων μυστήρια.] τοῖς μυστηρίοις ἐξ ἄστεος εἰς Ελευσῖνα, διὰ τῶν ὄνων φέρουσι τὰ εἰς τὴν χρείαν. ὅθεν ἡ παροιμία διὰ τὸ κακοπαθεῖν μάλιστα τοὺς ὄνους ἀχθοφοροῦντας. ὡς ἂν οὖν ὅμοιόν τι πάσχων διὰ τὸ πιέζεσθαι τῷ ἐπικειμένῳ ἄχθει, τὴν παροιμίαν μιμνήσκει. Ατὰρ οὐ καθέξω.] ἅμα τῷ λόγῳ ῥίπτει τὰ σκεύη, ἵνα ὕστερον φαίνηται γελοιότερος, κελευόμενος ἄραι τὰ σκεύη. λέγει γοῦν, πρὶν ἢ καταθέσθαι εἰπόντος, αὖθις τὰ στρώματα αὖθις λάμβανε.

ΔΡΑΜΑΤΟΣ ΤΟΥ ΠΡΩΤΟΥ Σκηνὴ τρίτη.

ΔΙΟΝΥΣΟΣ, ΞΑΝΘΙΑΣ, ΝΕΚΡΟΣ.

G ACTVS I. SCENA III.

Bacchvs, Xanthias, Mortvvs.

A Δι. Σὺ δὲ τὰ στρώματ' αὖθις λάμβανε.
Ξαν. Πρὶν καὶ καταθέσθαι; Δι. καὶ ταχέως μέντοι πάνυ.
Ξανθ. Μὴ δῆτ' ἱκετεύω σ', ἀλλὰ μίσθωσαί τινα
Τῶν ἐκφερομένων, ὅς τις ἐπὶ τοῦτ' ἔρχεται.
B Δι. Ἐὰν δὲ μὴ ὕρω; Ξαν. τότε μ' ἄγειν. Δι. καλῶς λέγεις.
Καὶ γάρ τινες ἐκφέρουσι τουτονὶ νεκρόν.

Σχόλια. Ἐὰν δὲ μὴ ὕρω.] ἀντὶ τοῦ ἐὰν δὲ μὴ εὕρω. γράφεται δὲ καί, ἂν δὲ μὴ ἔχω. ἤγουν ἐὰν δὲ μὴ ἔχω ἀργύριον, ἵνα λείπῃ τὸ ἀργύριον.

BA. Tu verò Xanthia recipe isthac stragula.
XA. Et antequam vix deponam? BA. recipe ocyus.
XA. Haudquaquam: sed te obsecro, vt hic aliquem ex mortuis
Mercede conducas: qui huic succedat oneri.
BA. Sin verò nullum reperiam? XA. tunc me adigito.
BA. Rectè mones: nam aliqui iam mortuum efferunt.

Bisetus. Ὁ Διόνυσος, καὶ Ξανθίας ἀπὸ τοῦ Ἡρακλέους ἤδη ἀποχωρήσαντες νεκρῷ πρὸς τὸν τάφον ἐκφερομένῳ κατὰ τύχην ἐντυγχάνουσι, καὶ ἐρωτῶσιν εἰ τὰς σκευάς, ἃς ὁ Ξανθίας ἔφερεν εἰς Ἅδου φέρειν ἐθέλει. περὶ δὲ τοῦ μισθοῦ τῆς σκευοφορίας συμφωνεῖν οὐ δυνάμενοι, λοῦται μὲν ἑαυτόν, ὁ δὲ Ξανθίας τὰς σκευὰς ὡς καὶ πρότερον γενναίως καὶ ἀμέμπτως φέρει. διὸ καὶ ὑπὸ Διονύσου ἐπαινεῖται.

C Οὗτος, σὲ λέγω μέντοι, σὲ τὸν τεθνηκότα.
Ἄνθρωπε, βούλει σκευάρι' εἰς ᾅδου φέρειν;
Νε. Πόσ' ἄττα; Δι. ταυτί. Νε. δύο δραχμὰς μισθὸν τελεῖς;
D Δι. Μὰ Δί', ἀλλ' ἔλαττον. Νε. ὑπάγεθ' ὑμεῖς τῆς ὁδοῦ.
Δι. Ἀνάμεινον ὦ δαιμόνι', ἐὰν ξυμβῶ τί σοι.
Νε. Εἰ μὴ καταθήσεις δύο δραχμάς, μὴ διαλέγου.
Δι. Λάβ' ἐννέ' ὀβολούς. Νε. ἀναβιώην νυν πάλιν.
E Ξαν. Ὡς σεμνὸς ὁ κατάρατος, οὐκ οἰμώξεται;
Ἐγὼ βαδιοῦμαι. Δι. χρηστὸς εἶ, καὶ γεννάδας.
Χωρῶμεν ἐπὶ τὸ πλοῖον.

Heus tu; tibi dico: tibi inquam mortuo.
Vin' tu homo res nostras tecum ferre ad inferos?
MO. Quam res? BA. hasce. MO. siquidem antè mercedem dabis,
Duas drachmas. BA. non per Iouem, sed dabo minus.
MO. Decedite hinc vos à via. BA. mane miser:
An possim tecum pro mercede pacisci er.
MO. Nisi dederis duas drachmas, ne disputes.
BA. Cape nouem obolos. MO. reuiuiscam, si accepero.
XA. Quàm honestus hic nequam? an non pœnas iam dabit?
Ego ibo. BA. vir generosus es & perbonus.
Pergamus ad nauem.

Σχόλια. Πόσ' ἄττα.] ἀντὶ τοῦ πόσα σκεύη ἔχετε. γελοίως δὲ βαστάζεσθαι φησιν, ἀσθενῶς δὲ ἐρεῖ. ἡ δραχμὴ δὲ ἐξ ὀβολῶν. δίδωσι δὲ ἐννέα ὀβολοὺς αὐτῷ. Ὑπάγεθ' ὑμεῖς.] ἀντὶ τοῦ ἀναχωρεῖτε. ἀποστρέφεται δὲ αὐτοὺς ὁ νεκρός, μὴ βουλόμενος σκευοφορεῖν. διὰ τὸ ἐλάχιστον εἶναι τὸν μισθόν. τὸ ὑπάγετε ὑμεῖς τῆς ὁδοῦ, ὁ νεκρός φησι πρὸς τοὺς νεκροφόρους. Ἐὰν ξυμβῶ τί σοι.] ἐὰν ξυμβῶ σοι. γράφεται δὲ καὶ ἵνα. ἵνα ξυμφωνήσω σοι. ἔλεγον δὲ τὸ ἵνα ἀντὶ τοῦ καί. Ὅμηρος. ἵνα μὴ ῥέξωμεν ὧδε. F Ἀναβιώην νυν.] ὀχλούμενος ὑπ' αὐτῶν τοῦτο λέγει. ἐν ἤθει δέ, ἐκ τοῦ ἐναντίου ἡμῖν. ἀντὶ ἀπολοίμην. οἱ δέ, ὅτι χαλεπὸν τὸ ζῆν νῦν, ὥστε ἄμεινον εἶναι τὸ τεθνάναι. εἰς καθάρσιν οὖν λαμβάνει τὸ ἀναζῆσαι ἐν Ἀθηναίοις. κατηγορίαν δὲ ἔχει οὐ τὴν τυχοῦσαν. ἢ γοῦν ἐπεὶ ἁπλῶς ὁ ἀνθρώπινος βίος μοχθηρός, τοῦτο λέγει. ἢ ὅτι τότε Ἀθηναίων δυστυχούντων, οἱ ἀπολλύμενοι ἐμακαρίζοντο.

ΔΡΑΜΑΤΟΣ ΤΟΥ ΠΡΩΤΟΥ, Σκηνὴ τετάρτη.

ΧΑΡΩΝ, ΔΙΟΝΥΣΟΣ, ΞΑΝΘΙΑΣ.

G

ACTVS I. SCENA quarta.

Charon, Bacchus, Xanthias.

Bisetus. Διόνυσος, καὶ Ξανθίας πρὸς τὴν λίμνην ἐλθόντες, ἐν ᾗ Χάρων τοὺς τεθνηκότας πορθμεύει, ἀσπάζονται τὸν Χάρωνα, ὁ δὲ τὸν μὲν Διόνυσον εἰς τὴν σκάφην ὑποδέχεται. τὸν δὲ Ξανθίαν, ὅτι δοῦλος ἐτύγχανε τὴν περὶ κρεῶν ναυμαχίαν οὐ ναυμαχήσας, εἰσδέχεσθαι οὐκ ἐθέλει, ἀλλὰ τὴν λίμνην δρόμῳ περιτρέχειν κελεύει.

Χα. Ὦ ὀπ, παραβαλοῦ.
Δι. Τουτὶ τί ἐστι. Ξανθ. τοῦτο λίμνη, νὴ Δία
Αὕτη 'στὶν, ἣν ἔφραζε. καὶ πλοῖόν γ' ὁρῶ.
Νὴ τὸν Ποσειδῶ, κἄστι γ' ὁ Χάρων ούτοσί.
Δι. Χαῖρ' ὦ Χάρων, χαῖρ' ὦ Χάρων, χαῖρ' ὦ Χάρων.
Χά. Τίς εἰς ἀναπαύλας ἐκ κακῶν καὶ πραγμάτων;
Τίς εἰς τὸ Λήθης πεδίον; ἢ 'ς ὄνου πόκας;
Ἢ 'ς Κερβερίους; ἢ 'ς κόρακας; ἢ 'πὶ Ταίναρον;
Δι. Ἐγώ. Χά. ταχέως ἔμβαινε. Δι. ποῦ σχήσειν δοκεῖς;
Ἐς κόρακας ὄντως; Χά. ναὶ μὰ Δία σοῦ γ' εἵνεκα.
Ἔμβαινε δή. Δι. παῖ δεῦρο. Χά. δοῦλον οὐκ ἄγω,
Εἰ μὴ νεναυμάχηκε τὴν περὶ τῶν κρεῶν.
Ξανθ. Μὰ τὸν Δί' οὐ γὰρ, ἀλλ' ἔτυχον ὀφθαλμιῶν.
Χά. Οὔκουν περιθρέξει δῆτα τὴν λίμνην τρέχων.
Ξα. Ποῦ δῆτ' ἀναμενῶ; Χά. παρὰ τὸν Αὐαίνου λίθον,

A CH. Op, accede ad scapham.
BA. Quid hoc est? XA. hac palus illa est here, per Iouem:
De qua dicebat Hercules: & hic ratem
Video, per Neptunum: atque hic est nauita Charon.
BA. Salue Charon: salue Charon: salue Charon.
B CH. Quis in requiem hûc è miseriis & malis venit?
Nunquis in obliuionis campos, ad asini
Lanam, aut ad Cerberios, aut ad coruos venis?
Aut huc ad Tænarum accedit? BA. ego. CH. at citò
Ingredere. BA. sed quò cursum diriges?
An ad coruos? CH. per Iouem, vel tui gratia.
Ingredere tantùm. BA. puer heus. CH. seruum non veho.
C Nisi qui nauali interfuerit prælio:
Et fortiter pro carnibus rem gesserit.
XA. Ego non, per Iouem: quia lippus tunc eram.
BA. Atqui paludem tu circuibis cursitans.
XA. Vbi ego te operiar? CH. ad lapidem Auani: hic vbi

D

Σχόλια. Ὦ ὀπ. παραβαλοῦ.] ἐλατικόν ἐστι ἐπίφθεγμα τὸ ὦ ὀπ. τὸ δὲ παραβαλοῦ, ἀντὶ τοῦ ὅρμισον τῇ γῇ τὴν ναῦν. ἐν τῇ νηὶ δὲ ὁ Χάρων λέγει. Τουτὶ λίμνη νὴ Δία] τοῦτο οἱ μὲν τὸν Διόνυσόν φασι λέγειν οἱ δὲ τὸν Ξανθίαν. ἐν τούτῳ δὲ τοῦ πλοίου ὀφθέντος ἠλλοιῶσθαι χρὴ τὴν σκηνήν. καὶ εἶναι κατὰ τὴν Ἀχερουσίαν λίμνην τὸν τόπον, ἐπὶ τοῦ λογείου. ἢ ἐπὶ τῆς ὀρχήστρας. μηδέπω δὲ ἐν ᾅδου. Χαῖρ' ὦ Χάρων.] Δημήτριος φησὶν Ἀχαιοῦ ὅλον εἶναι. λέγουσι δ' αὐτοὶ σατυροί. Χαῖρ' ὦ Χάρων, χαῖρ' ὦ Χάρων, χαῖρ' ὦ Χάρων. πάνυ σφόδρα θυμικὴ ἡ οὕτω πιθανὸν ὑπονοεῖν, τρεῖς τοῦτο λέγοντας, ἀσπαζομένους τὸν Χάρωνα. Διόνυσον, Ξανθίαν, καὶ τὸν Νεκρόν. δεῖ γὰρ ὑπονοεῖσθαι αὐτὸν βούλεσθαι συνεμβαίνειν αὐτοῖς. Τίς εἰς ἀναπαύλας,] εἰς ἀναπαύσεις γὰρ ἐκ κοσμικῶν ὀχλήσεων χωροῦσιν οἱ μεθιστάμενοι. Τίς εἰς τὸ Λήθης πεδίον.] τοῦτο κηρύττει ὁ Χάρων. ὡς τόπους δὲ καταλέγει. οὕτω γὰρ κηρύττειν εἰώθασιν οἱ τὰς ναῦς ἔχοντες ὅτι πρὸς ἑτέραν ἐκπλεύσειν μέλλουσι χώραν. ὡς ἂν ἀκούσαντες οἱ ἐκεῖθεν ἀποδημήσοντες οὕτως μισθώσαιντο. κατὰ τὸ ἄνω οὖν ἔθος καὶ τὰ ἐν ᾅδου σχηματίζει. Λήθης δὲ πεδίον, χωρίον διατετύπωκεν ἐν ᾅδου ὡς καὶ τὸν Αὐαίνου λίθον ἔπλασεν. ἀπὸ τοῦ αὐαίνεσθαι τοὺς νεκροὺς καὶ ἀλίβαντας εἶναι. ἐκ δὲ τοῦ δευτέρου καὶ τὸ ἀνωφελὲς τῶν καθ' ᾅδου δηλοῖ, τὸ ἢ 'ς ὄνου πόκας. ἀδύνατον γὰρ πόκας ἀποκείρασθαι τῶν ὄνων. φαίνεται δὲ καὶ παροιμιῶδές τι εἶναι ὄνου πόκον, τὸ ἄχρηστον. οὐδὲ γὰρ αἱ τῶν ὄνων πόκες χρησιμεύουσιν. ἡ παροιμία δὲ λέγεται, ἐπὶ τῶν ἀνηνύτων καὶ ἀνυστάτων, παρόσον τὸν ὄνον οὔτε πέξαι τις δύναται οὔτε κάρσαι. λέγεται δὲ καὶ ὄνον κείρεις ἐπὶ τῶν ἀνηνύτοις ἐπιχειρούντων. ἐν ᾧ τρόπῳ φαμὲν καὶ τὸ χύτραν ποικίλλειν καὶ κόπρον ἀναθυμιᾶς. ἀνέπλασε δὲ καὶ τὰ ἐν ᾅδου. διὰ τοῦτο οὖν ὄνου πόκας ἀνέπλασε ποιητικῶς. Ἢ 'ς Κερβερίους.] τινὲς καὶ παρ' Ὁμήρῳ γράφουσιν. ἐνθάδε Κερβερίων ἀντὶ τοῦ Κιμμερίων. ἢ μᾶλλον τοὺς Κιμμερίους φασὶ παίζει δὲ παρὰ τὸν Κέρβερον. Ἐς κόρακας.] παίζει ἐν τούτῳ εἰπὼν ἐς κόρακας. Ἀθήνησι γὰρ τόπος ἦν οὕτω καλούμενος, οὐχὶ ἐν ᾅδου. ἢ τοῦτο λέγει ὅτι καὶ οἱ δυσποτμούμενοι εἰς ἀπώλειαν ἤρχοντο. Ναὶ μὰ Δία σοῦ γ' εἵνεκα] παρόσον οὕτως εἰώθασι λέγειν οἱ ναῦται ὡς χαριζόμενοι τῷ ἐπιβάτῃ. Εἰ μὴ νεναυμάχηκε] τὴν περὶ Ἀργινούσας φασὶ ναυμαχίαν. ἦσαν γὰρ οἱ δοῦλοι τότε ναυμαχήσαντες, περὶ οὐδενὸς ἄλλου ἢ περὶ τῶν ἰδίων κρεῶν τουτέστι σωμάτων. φησὶν οὖν, οὐ περὶ χρημάτων καὶ πατρίδος, ἀλλὰ περὶ τοῦ ἰδίου σώματος. κρέας γὰρ τὸ σῶμα. φέρεται δὲ καὶ ἄλλη γραφή. τὴν περὶ τῶν νεκρῶν. εἴη δ' ἂν λέγων, περὶ τῆς ἐν Ἀργινούσαις ναυμαχίας. ἐν ᾗ, ἐνίκων μὲν οἱ Ἀθηναῖοι. τοὺς δὲ νεκροὺς ἐκωλύθησαν ἀνελέσθαι ὑπὸ χειμῶνος. ἐξ οὗ καὶ τῶν δέκα στρατηγῶν ἀπώλοντο καταδικασθέντες, οἱ ὑπομείναντες ἕξ. ἐπεὶ οὖν συνεναυμάχησαν καὶ οἱ δοῦλοι, τοιοῦτό τι λέγει, δοῦλον οὐκ ἄγω εἰ μὴ ἀνῄρηται τοὺς ἐκ τῆς θαλάσσης νεκρούς. οὐκ ἔχει δὲ νοῦν τὸ λεγόμενον. ναυμαχίας γὰρ οὐδεμιᾶς ἔδει πρὸς τὴν ἀναίρεσιν. χειμῶνι δὲ ἐκωλύθησαν. διὰ τί δὲ τὸν δοῦλον μόνον ἐκώλυσεν. ἀλλ' οὐχὶ καὶ τῶν ἐλευθέρων, εἴπερ μὴ ἀνῄρηται τοὺς νεκρούς. παρείασι γὰρ τὸν Διόνυσον. ἢ οὖν ἂν λέγοι νεκροὺς τοὺς Ἀθηναίους, διὰ τὸ ἐσχάτως τότε πρᾶξαι. ὅτι δὲ καὶ κρέας τὸ σῶμα, καὶ παρὰ Σοφοκλεῖ ἐν χρύσῃ. τοιοῦτος ὤν, ἄρξεις τοῦδε τοῦ κρέως. ἐνθάδε οὖν εἰ μὴ νεναυμάχηκε περὶ τῆς ψυχῆς τῆς ἑαυτοῦ. ὡς πολεμίων τῶν Ἀθηναίων ἐν περιστάσει γενομένων, καὶ ὑπὲρ τῶν ψυχῶν ἀγωνιζομένων προσλαβεῖν τοὺς δούλους καὶ ὕστερον ἐλευθερίας ἀξιῶσαι. Οὔκουν περιθρέξει] περικυκλεύσει. ὁ Χάρων πρὸς τὸν δοῦλον. ἀντὶ τοῦ οὐ λαμβάνω σε. ἀντὶ δὲ τοῦ τρέχων, γράφεται καὶ κύκλῳ. Παρὰ τὸν Αὐαίνου λίθον.] ἀπὸ τοῦ αὔους τοὺς νεκροὺς εἶναι ὄντας τινὸς ἐν ᾅδου οὕτω λεγομένου λίθου. φασὶ δὲ Αὐαίνου λίθον τινὰ λέγεσθαι Ἀθήνησι. παρ' ὃν οἰκείως ἀπὸ τοῦ Αὐαίνου παρήχθη, ἐπεὶ οἱ πολὺν χρόνον περιμείναντές τινας, εἰώθασι λέγειν, αὖος γέγονα περιμένων. ἔοικε δὲ θρυλλούμενον τοῦτο ἤδη. ἀνέπλασε δὲ τοῦτο. ἀπὸ τοῦ τοὺς νεκρούς, ξηροὺς εἶναι καὶ ἀλίβαντας. ἀμφίβολον δὲ, πότερον ἀπὸ τοῦ εἰς ὃς οὐ δύναται, ἢ ἀπὸ τοῦ εἰς τινάς. ἄλλως. τὸ μὲν φαινόμενον λίθος ἦν αὐαίνου καλούμενος. τὸ δ' ἀληθὲς οὕτως ἔχει. παρὰ τὸν λίθον αὐαίνου καὶ ξηραίνου. ἐπεὶ ξηραίνονται οἱ νεκροί.

Ἐπὶ

Ἐπὶ ταῖς ἀναπαύλαις. μανθάνεις; Ξανθ. πάνυ μανθάνω.
Οἴμοι κακοδαίμων, τῷ ξυνέτυχον ἐξιών;
Χα. Κάθιζ' ἐπὶ κώπην. εἴ τις ἐπιπλεῖ, σπευδέτω.
Οὗτος, τί ποιεῖς; Δι. ὅ τι ποιῶ; τί δ' ἄλλο γ' ἢ
Ἵζω 'πὶ κώπην, οἷπερ ἐκέλευσάς με σύ;
Χα. Οὔκουν καθεδεῖ δῆτ' ἐνθαδὶ γάστρων; Δι. ἰδού.
Χα. Οὔκουν προβαλεῖ τὼ χεῖρε κἀκτενεῖς; Δι. ἰδού.
Χα. Οὐ μὴ φλυαρήσεις ἔχων, ἀλλ' ἀντιβὰς
Ἐλᾷς προθύμως. Δι. κᾆτα πῶς δυνήσομαι
Ἄπειρος, ἀθαλάττωτος, ἀσαλαμίνιος
Ὢν, εἶτ' ἐλαύνειν; Χα. ῥᾷστ'. ἀκούσει γὰρ μέλη
Κάλλιστ', ἐπειδὰν ἐμβάλῃς ἅπαξ. Δι. τίνων;
Χα. Βατράχων, κύκνων θαυμαστά. Δι. κατακέλευε δή.
Χα. Ὢ ὂπ ὄπ, ὢ ὂπ ὄπ.

A *Sunt diuersoria: intellexti?* XA. *intelligo.*
Ah me miserum, cuinam occurri egressus homini?
CH. *Sede ad remum, quòd si quis praeterea velit*
Adnauigare, is ocyus huc properet. Sed heus
Tu, quidnam agis? BA. *quid ago? quid enim aliud, nisi*
B *Quòd ibi sedeo, ubi me sedere iusseras?*
CH. *Non igitur huc sedebis tu venter popa?* BA. *en.*
CH. *Non proijcies manus, atque extendes ita?* BA. *en.*
CH. *Non nugas quaeso ne agito: dum remum tenes:*
Sed strenuè renitendo iam nauim age.
C BA. *At quomodo possim, rei qui nauticae*
Rudis, neque expertus mare, nec Salaminius
Sum, nauigare? CH. *facillimè, quia audies*
Lepidissimos cantus, ubi remum semel
Tantùm inieceris aquae. BA. *quos cantus obsecro?*
CH. *Ranarum, velut olorum.* BA. *age celeusma incita.*
CH. *Oop, op. oop, op.*

D

Σχόλια. Τῷ ξυνέτυχον.] ἀντὶ τοῦ τίνι οἰωνῷ ξυνέτυχεν, ἐξιὼν τῆς οἰκίας. δυνατὰ δὲ τοῦτο καὶ ὁ Διόνυσος καὶ ὁ Ξανθίας λέγειν. Κάθιζ' ἐπὶ κώπην.] τοῦτο ἀκούσας ὁ Διόνυσος ἐπάνω τῆς κώπης ἐκάθισε. Γάστρων.] γαστρίμαργε. εἰσάγουσι γὰρ τὸν Διόνυσον γαστρίμαργον καὶ οὐ δαλὸν ἀπὸ τῆς ἀργίας καὶ οἰνοφλυγίας. Μὴ φλυαρήσεις ἔχων.] καὶ Πλάτων Εὐθυδήμῳ. ὅτι ἔχων φλυαρεῖς καὶ ἀρχαιότερος εἶ τοῦ δέοντος. Ἀθαλάττωτος.] θέλει εἰπεῖν, ὅτι μὴ ναυτικός. ἀθαλάττωτος δὲ καὶ
E ἀσαλαμίνιος ταυτόν ἐστιν. ἢ διὰ τὴν περὶ Σαλαμῖνα ναυμαχίαν τὴν κατὰ Ξέρξου, ἢ ὅτι ἡ μὲν ἑτέρα τῶν ὑπηρετίδων νεῶν Σαλαμινία ἐκαλεῖτο. ἡ δὲ ἑτέρα Πάραλος. Ὢ ὂπ ἐπ ὄπ.] εἰσῆλθε μέλος χοροῦ μονοστροφικόν. εἰς προτίθεται δὲ τοιοῦτον κῶλον ἀπαντοῦν ἐν ᾧ σημεῖον ἀκατάληκτον. κατὰ γὰρ μονῳδίαν μετρεῖται τὰ δακτυλικὰ τὰ δὲ τοῦ χοροῦ κῶλα δέκα εἰσί. ὧν τὸ πρῶτον καὶ τροχαϊκὰ ἑφθημιμερῆ τὸν πρῶτον ἔχοντα πόδα τείβραχυν ἤτοι χορεῖον. εἶτα δύο παιωνικὰ δίμετρα ἀκατάληκτα, ἐκ παίωνος τετάρτου καὶ διιάμβου. τὰ ἑξῆς δύο χοριαμβικὰ δίμετρα καταληκτικὰ ἤτοι ἑφθημιμερῆ. τὸ πέμπτον τρίμετρον καταληκτικόν. τὸ ἕκτον μονόμετρον ἢ ἰαμβικὴ βάσις. τὸ ἕβδομον δίμετρον ὑπερκατάληκτον ἰωνικὸν ἀπὸ μείζονος. τὸ ὄγδοον χοριαμβικὸν τρίμετρον ἀκατάληκτον. τὸ μὲν πρῶτον ποδὸς πεντασυλλάβου τῆς πρώτης μακρᾶς εἰς δύο βραχείας διαλυομένης ἐκ χορείου καὶ ἰάμβου, ὅθεν ἴσως καὶ χοριαμβικὸν ἐκλήθη. τοῦ δὲ δευτέρου ἰωνικοῦ ἀπὸ μείζονος. τοῦ δὲ τρίτου διιάμβου. τὸ ἔνατον χοριαμβικὸν δίμετρον ἀκατάληκτον. τὸ ἑξῆς ὅμοιον. τὸ τελευταῖον τρίμετρον ἀκατάληκτον ὃ καλεῖται προσοδιακόν, διὰ τὸ τὸν πρῶτον ἔχειν πόδα ἰωνικὸν ἀπὸ μείζονος. τὸ τελευταῖον ὡς τὸ πρῶτον. ἐπὶ τῷ τέλει κορωνίς. τὸ δὲ ὢ ὂπ ἐλατικὸν ἐπίφθεγμα ναυτικῶς συγκελεύων ταῦτα φησι.

F

ΔΡΑΜΑΤΟΣ ΤΟΥ ΠΡΩΤΟΥ, Σκηνὴ πέμπτη.

ACTVS I. SCENA quinta.

ΧΟΡΟΣ ΒΑΤΡΑΧΩΝ, ΔΙΟΝΥΣΟΣ, ΧΑΡΩΝ.

CHORVS RANARVM, BACCHVS, CHARON.

G

Βίσετυς. Τὴν διατριβὴν τὴν συζυγίαν μίλων διαπεράσαντι ὁ τῶν βατράχων χορὸς μετὰ χαρᾶς ὑπαντᾷ, καὶ τῇ ἑαυτοῦ κοάξει τὸν Διόνυσον ὑμνεῖ.

Βρεκεκεκὲξ κοὰξ κοάξ.
Βρεκεκεκὲξ κοὰξ κοάξ.

Brekekekex, coax, coax:
Brekekekex, coax, coax.

Λιμναῖα κρηνῶν τέκνα,
Ξύναυλον ὕμνων βοὰν
Φθεγξώμεθ', εὔγηρυν ἐμὰν ἀοιδάν,
Κοὰξ, κοάξ.
Ἣν ἀμφὶ Νυσήϊον Διὸς
Διόνυσον ἐν Λίμναισιν ἰαχήσαμεν.
Ἡνίχ' ὁ κραιπαλόκωμος
Τοῖς ἱεροῖσι χύτροισιν,
Χωρεῖ κατ' ἐμὸν τέμενος λαῶν ὄχλος.
Βρεκεκεκὲξ, κοὰξ, κοάξ.

A *Aqua paludosa stirps,*
Laudum modos consonos
Dicamus hîc concentibus canoris,
Coax, coax.
Quis ante Nyseium Iovis
Dionysum, apud Limnas memorauimus:
Ebria cùm populorum
Turba frequentibus ollis,
B *Sacrum nemus in meum procederet.*
Brekekekex, coax, coax.

Σχόλια. Λιμναῖα κρηνῶν τέκνα.] λιμνῶν καὶ κρηνῶν ὀφείλων εἰπεῖν οὕτως εἶπεν Ἀττικῶς. ταῦτα δὲ καλεῖται παρηγορήματα. (BISETVS. Γραπτέον παραχορηγήματα ὡς ἐκ τοῦ Πολυδεύκους δῆλον. καὶ γὰρ ἐν τῷ δ. βιβλίῳ κεφ. ιε. οὕτω λέγει, εἰ δὲ τέταρτος ὑποκριτής τι παραφθέγξαιτο, τοῦτο παραχορήγημα ἐκαλεῖτο.) ἐπεὶ οὐχ ὁρῶνται ἐν τῷ θεάτρῳ οἱ βάτραχοι οὐδὲ ὁ χορός. ἀλλ' ἔσωθεν μιμοῦνται τοὺς βατράχους. ὁ δὲ χορὸς, ἐκ τῶν εὐσεβῶν (BISETVS. τῶν μυστῶν.) ἐλλείπει δὲ ὁ καὶ ἵν' ᾖ λιμνῶν καὶ κρηνῶν τέκνα. καὶ γὰρ ἐν κρήναις γίνονται καὶ εὑρίσκονται βάτραχοι. Ἐμὰν ἀοιδάν.] τὸ ἡμέτερον μέλος. ἢ ὃν εἰώθαμεν ὕμνον ἡμεῖς προφέρειν. Διὸς Διόνυσον ἐν λίμναις.] λείπει παῖδα. ἀπὸ τῶν ἑαυτῶν δὲ λιμνῶν μεταφέρουσιν ἐπὶ τὸν ἐν Λίμναις Διόνυσον λεγόμενον. Λίμναι δὲ χωρίον τῆς Ἀττικῆς, ἐν ᾧ Διονύσου ἱερόν. Καλλίμαχος. Λιμναίῳ δὲ χοροστάδας ἦγον ἑορτάς. Νύσιος δὲ ὁ Διόνυσος τοῖς Ἰνδοῖς ὀνομάζεται. ἀπὸ τῆς ἐν Ἰνδοῖς νύσης. οὐ μόνον δὲ Ἰνδοῖς ἀλλὰ καὶ πᾶσι τοῖς πρὸς ἀκτῖνα ἔθνεσιν. ὥς φησι Φιλόστρατος ἐν τῷ Ἀπολλωνίου τοῦ Τυανέως βίῳ. κραιπαλόκωμος δὲ, κατὰ μετωνυμίαν ὁ κατὰ μέθην γινόμενος ὕμνος

BISETVS. Κραιπαλόκωμος] ἀλλ' ἐνταῦθα κραιπαλόκωμος ἐπιθετικῶς ληπτέον, καὶ πρὸς τὸ ὄχλος συναπτέον. ὄχλος δὲ κραιπαλόκωμος, ὁ οἴνου, κραιπάλης, καὶ κώμου ἐμπλήρης, ὁ κατὰ τὴν μέθην κωμάζων ὄχλος.

C Σχόλια. Τοῖς ἱεροῖσι Χύτροισι.] Χύτροι ἑορτὴ παρ' Ἀθηναίοις γινομένη τῷ Διονύσῳ. ἄγεται δὲ παρὰ ταύτην τὴν αἰτίαν, ἣν καὶ Θεόπομπος ἐκτίθεται γράφων οὕτω. διασωθέντας οὖν τοὺς ἀνθρώπους ἧ περ ἐθάρρησαν ἡμέρᾳ, τῷ ταύτης ὀνόματι προσαγορεῦσαι καὶ τὴν ἑορτὴν ἅπασαν. ἔπειτα θύειν αὐτοῖς ἔθος τῶν μὲν Ὀλυμπίων θεῶν, οὐδενὶ τὸ παράπαν. Ἑρμῇ δὲ χθονίῳ. καὶ τὰς χύτρας ἣν ἕψουσι πάντες κατὰ τὴν πόλιν, οὐδεὶς γεύεται τῶν ἱερέων. τοῦτο δὲ ποιοῦσι τῇ ἡμέρᾳ, καὶ τοὺς τότε παραγενομένους ὑπὲρ τῶν θανόντων ἱλάσασθαι τὸν Ἑρμῆν. ἤγοντο δὲ ἀγῶνες αὐτόθι, οἱ Χύτρινοι καλούμενοι, καθά φησι Φιλόχορος ἐν τῇ ἕκτῃ τῶν Ἀτθίδων. Ἐμὸν τέμενος.] λέγουσι τὸ ἐν λίμναις τοῦ Διονύσου ἱερόν. πρὸς δὲ τὴν
D ὁμωνυμίαν, ὅτι ἐν λίμναις εἰσὶν οἱ βάτραχοι. Λίμναι δὲ καὶ τὸ ἱερόν. ἐφεξῆς δὲ σύστημα καὶ περίοδος ἀμοιβαία ἑπτάκωλος ἰαμβικῶν διμέτρων ἀκαταλήκτων, πλὴν τῆς κοίλης ἐκκειμένης ὡς ἐφυμνίῳ ὁμοίου τῷ πρώτῳ τοῦ μέλους αὐτῶν. ἐπὶ τῷ τέλει παράγραφος.

BISETVS. Σύστημα κώλων ἰαμβικῶν διμέτρων ἀκαταλήκτων ζ.

Δι. Ἐγὼ δὲ ἀλγεῖν ἄρχομαι
Τὸν ὄρρον, ὦ κοὰξ, κοάξ.
Χο. Βρεκεκεκὲξ, κοὰξ, κοάξ.
Δι. Ὑμῖν δ' ἴσως οὐδὲν μέλει.
Χο. Βρεκεκεκὲξ, κοὰξ, κοάξ.
Δι. Ἀλλ' ἐξόλοισθ' αὐτῷ κοάξ.
Οὐδὲν γάρ ἐστ' ἀλλ', ἢ κοάξ.

E Βα. *At podicem meum dolor*
Nunc occupat, coax, coax.
CH. *Brekekekex, coax, coax.*
BA. *Sed vos nihil fortè afficit.*
CH. *Brekekekex, coax, coax.*
BA. *At occidatis cum hoc coax.*
Nil est enim, præter coax.

Σχόλια. Ἐγὼ δὲ ἀλγεῖν ἄρχομαι.] ὁ Διόνυσος λέγει δεινοπαθῶν ἐπὶ τῷ κανθηλαίειν. ὄρρον δὲ, τὸν καλούμενον ταῦρον. μέρος δέ ἐστι τῆς πυγῆς. Ἡρωδιανὸς δὲ καὶ τῷ λόγῳ καὶ κατὰ τὴν διάλεκτον βαρέως. Ὦ κοὰξ, κοάξ.] διὰ τὸ συνεχὲς αὐτῶν ἐπίφθεγμα, παίζων λέγει. ὄρρον δὲ, τὸν λεγόμενον ταῦ-
F ρον, τὸ μεταξὺ τῶν διδύμων. Καλλίστρατος, τὴν ὀσφύν. καὶ τὸ ἱερὸν ὀστοῦν. Δίδυμος τὴν τράμιν. οὐχ ὥς τινες τὸ ἰσχίον. ἔνθεν καὶ τὸ ὀρροπύγιον, τὸ ὄρρον ἐρείδειν. Ὅμηρος. ἴδιον ὡς ἐτόνια. ... γὰρ πάσχουσιν οἱ φοβούμενοι. Ἀλλ' ἐξόλοισθ' αὐτῷ κοάξ.] σὺν αὐτῷ τῷ κοάξ. Ὅμηρος, αὐτοῖς ἵπποισι καὶ ἀνδράσιν.

BISETVS. Εἴσθεσις μέλους ἑτέρου μονοστροφικοῦ
G ἐκ κώλων διαφόρων ὀκτώ.

Χο. Εἰκότως γ' ἐμοῦ γ', ὦ πολλὰ πράττων.
Ἐμὲ γὰρ ἔστερξαν εὔλυροί τε Μοῦσαι,

CH. *At qui non immeritò ô curiose,*
Quia me amârunt & aurea Camæna, &

Σχ. Εἰκότως.] εἴσθεσις μέλους ἑτέρου μονοστροφικοῦ ἐκ κώλων διαφόρων ὀκτὼ ὧν τὸ α' τροχαϊκὸν τετράμετρον βραχυ-

βραχυκατάληκτον. τὸ β ἰαμβικὸν τρίμετρον ἀκατάληκτον τοῦ πρώτου ποδὸς παίωνος τετάρτου. τὸ δὲ ἑξῆς διτρόχαιον. τὸ γ χοριαμβικὸν δίμετρον βραχυκατάληκτον ἐκ παίωνος τετάρτου καὶ τροχαϊκῆς συζυγίας. τὸ δ δίμετρον ἀκατάληκτον ἐκ παίωνος τετάρτου καὶ διτροχαίου. τὸ ε χοριαμβικὸν δίμετρον ὑπερκατάληκτον ἐκ παίωνος τετάρτου καὶ ἰαμβικῶν συζυγιῶν, ἤτοι διιάμβων. τὸ ϛ δίμετρον ἀκατάληκτον ἔχον ἄμφω τὼ πόδε
A ἑξασυλλάβω. τὸ ἢ ἰαμβικὸν δίμετρον ἀκατάληκτον. τὸ τελευταῖον δ ἦλον. ἐπὶ τῷ τέλει κορωνίς. ἄλλως. εἰκότως ἔγωγ' ὦ πολλά. εἰκότως, οὐδὲν ἄλλο λεγόμενον, ἢ κοάξ. αὐτὸ γὰρ πράττομεν. ἢ εἰκότως ἀλγεῖς τὸν ὄρρον. πολυπράγμονεῖς γάρ. Ὦ πολλὰ πράττων.] ὦ πολυπραγμονῶν. ἢ ὅτι οὐχὶ καθ' ἡσυχίαν ἀλγεῖ, ἀλλὰ χλευάζει αὐτούς, ἢ ὅτι καὶ εἰς ᾅδου ὑπέμεινεν ἐλθεῖν, ἢ ὦ πολλὰ περιεργαζόμενε.

Καὶ κεροβάτας Πάν,
Ὁ καλαμόφθογγα παίζων.
Προσεπιτέρπεται δ' ὁ φορμικτὰς Ἀπόλλων,
Ἕνεκα δόνακος, ὃν ὑπολύριον
Ἔνυδρον ἐν λίμναις τρέφω.
Βρεκεκεκὲξ, κοάξ, κοάξ.

B *Corniger ipsus Pan:*
Calamum ita inflare doctus.
Sed & Apollinem afficit concentus iste:
Quòd ego calamum alo, lyricinibus
Idoneum, in paludibus.
Brekekekex, coax, coax.

Σχόλια. Καὶ κεροβάτας.] εἰς τὰ κρέατα τῶν ὀρῶν βαίνων, ἢ ὁ ἐπὶ κέρατος βαίνων ἢ ἐπειδὴ χηλὰς ἔχειν δοκεῖ τράγου. διὸ καὶ αἰγιβότην καὶ τραγοβάμονα λέγουσι. Δίδυμος δέ φησιν, ἢ ὅτι κέρατα ἔχει, ἢ ὅτι κεροβάτης, τὴν βάσιν ἔχων κερατίνην. ὥσπερ ἱστορεῖται τὰ κάτω τράγου ἔχειν. ὥστε ἀπὸ τῶν ποδῶν κεροβάτης. Καλαμόφθογγα.] ἐξ οὗ ἡ σύριγξ. ὅτι οἱ ἀρχαῖοι καλάμῳ ἀντὶ κερατίου ἐχρῶντο Σοφοκλῆς Αἰχμαλωτίσιν. ὑφῃρέθη τὸν κάλαμον ὥσπερ λύρας. ἢ ἤδειτο μὲν τὸ κέρας. ἀνέφερον δὲ τῷ ὀνόματι, ἐπὶ τὴν ἀρχαίαν χρῆσιν. καὶ χορδὰς λέγομεν ὅτι νῦν τὰς ἐκ τῶν νεύρων ὅτι τὸ παλαιὸν ἐντεριναὶ ἦσαν. ἢ ἐπεὶ σύριγγι ἥδεται ὁ Πὰν ἥ τις ἐστὶν ἐκ καλάμων. δόνακος δέ, τοῦ λεπτοκαλάμου, μέλος ἀποτελοῦντος τῇ τοῦ ἀνέμου συγκρούσει. ἐν ἐκθέσει δὲ κῶλα πέντε. ὧν τὰ τρία ἰαμβικὰ δίμετρα ἀκατάληκτα. τὸ τέταρτον δ ἦλον. τὸ πέμπτον χοριαμβικὸν τρίμετρον ἐξ ἐπιτρίτων βραχυκατάληκτον. φλυκταίνας δὲ τὰ τῶν χειρῶν ἐπαναστήματα ἀπὸ τοῦ κωπηλατεῖν. λέγει δὲ ἐν ταῖς χερσί.

C

BISETVS. Εἴσθεσις κώλων διαφόρων πέντε.

D

Δι. Ἐγὼ δὲ φλυκταίνας γ' ἔχω,
Χ' ὠ πρωκτὸς ἰδίει πάλαι,
Κᾆτ' αὐτίκ' ἐγκύψας ἐρεῖ
Βρεκεκεκὲξ, κοάξ, κοάξ,
Ἀλλ' ὦ φιλῳδὸν γένος παύσασθε.

Βα. *At nunc ego habeo pustulas:*
Sudátque mihi dudum culus,
Et mox sonabit pendulus:
Brekekekex, coax, coax.
Ehò canorum genus desiste.

BISETVS. Εἴσθεσις μέλους ἑτέρου μονοστροφικοῦ κώλων διαφόρων δέκα.

E

Χο. Μᾶλλον μὲν οὖν φθεγξόμεθ', εἰ δή ποτ' ἐν
Ἡλίοις ἐν ἀμέραισιν
Ἡλάμεσθα διὰ κυπείρου,
Καὶ φλέω χαίροντες ᾠδῆς
Πολυκολύμβοισι μέλεσιν.
Ἢ Διὸς φεύγοντες ὄμβρον,
Ἔνυδρον ἐν βυθῷ χορείαν
Αἰόλαν ἐφθεγξάμεσθα
Πομφολυγοπαφλάσμασι.
Βρεκεκεκὲξ, κοάξ, κοάξ.

Ch. *At nos canemus mage nunc: si benè*
Vnquam apricis in diebus,
Transiliuimus cyperum
Et phleum, sonantes voce
Bene natatos numeros.
Aut cum imbrem Iouis cauentes,
F *Choream aquosam in imo*
Mirè lusimus profundo,
Vorticum orientium sono.
Brekekekex, coax, coax.

Σχόλια. Μᾶλλον μὲν οὖν.] εἴσθεσις μέλους ἑτέρου μονοστροφικοῦ ἐκ κώλων διαφόρων δέκα. τὸ πρῶτον χοριαμβικὸν τρίμετρον ἐξ ἐπιτρίτων καὶ κρητικοῦ. τὸ δεύτερον τροχαϊκὸν δίμετρον ἀκατάληκτον. τὸ τρίτον ὅμοιον τῷ τρίτῳ ποδὶ τρίβραχυν ἔχον ἢ χορεῖον. τὸ τέταρτον ὅμοιον καθαρόν. τὸ πέμπτον ἐπιχοριαμβικὸν δίμετρον ἀκατάληκτον ἐκ παίωνος τετάρτου καὶ χοριάμβου. τὸ ἕκτον ὅμοιον προσοδιακοκατάληκτον τῷ δευτέρῳ ποδί. τὸ ἕβδομον ἰαμβικὸν δίμετρον ὑπερκατάληκτον. τὰ ἑξῆς δύο τῷ δευτέρῳ πέφυκεν ὅμοια. τὸ τελευταῖον δ ἦλον. ἐπὶ τῷ τέλει κορωνίς. Εἰ δή ποτ' εὐηλίοις.] ὅτι ἐν τῷ χειμῶνι φωλεύμενοι ἐπεισφεύγουσι καὶ ἀποσιωπῶσιν. ἐν δὲ τῷ θέρει ἄφωνοι εἰσιν. Ἡλάμεσθα.] ἐπηδήσαμεν. ὡρμήσαμεν. κύπειρος δὲ εἶδος βοτάνης. Καὶ φλέω.] φλέως λοχμῶδες φυτόν, οὗ μνημονεύει Θεόφραστος. πρόδηλον ὅτι ποτάμιός ἐστι βοτάνη ὡς βούτομον. διὸ καὶ τὸ κύπειρον προσέθηκεν, ὡς καὶ Θεόκριτος. ἔνθεν βούτομον ὀξύ, βαθεῖαν δ' εἴλκομεν κύπειρον. μέμνηται αὐτοῦ καὶ ἐν Ἀμφιαράῳ. πόθεν ἂν λάβοιμι βύσμα τῷ πρωκτῷ φλέων. τοῦ δὲ ἡλίου λάμποντος καὶ θαυμαστῆς οὔσης αἰθρίας τὸ τῶν βατράχων γένος ἄνω καὶ κάτω πρὸς τὰς λίμνας χωρεῖ, καὶ πρὸς τὴν γῆν ἔστιν ὅτε διαφέρεται ἐπὶ κυπείρου καὶ φλέω καὶ τῶν τοιούτων βοτανῶν ἐφαλλόμενον. Ἢ Διὸς ὄμβρον φεύγοντες.] τὸν ἥλιον καὶ τὴν ἀλέαν διώκουσιν οἱ βάτραχοι. τὸν δὲ ὄμβρον φεύγουσιν. ἴσως ἐπεὶ τῶν χειμάρρων ποταμῶν πληρουμένων διὰ τοῦ Διὸς ὄμβρου παρασύρονται. Ἔνυδρον ἐν βυθῷ χορείαν.] τὴν ἔνυδρον χορείαν ἐστὶ καὶ φθέγγονται μὲν ἐν τῷ βυθῷ. ἀλλ' ἀνέκραγον. ἁπλοῦστερον δὲ εἴρηται. Πομφολυγοπαφλά-

G

ὑμασιν.] ἐν φύσκαις ῥηγνυμέναις καὶ ἦχόν τινα ἀποτελούσαις, ἢ ἐν ταῖς δίναις τῶν ὑδάτων. πομφόλυγες γὰρ αἱ φλυκταινώδεις εἶναι. τὸ δὲ φησιν ὡσεὶ ἡ τῶν ἐξ ὕδατος στα- A γόνων ἐπιπλεουσῶν ἐν τῷ ... ἡ ... διαλυθεῖσαι ἐν φύσκαις ὡς ... ἤχον ἀποτελοῦσι τινα.

BISETUS. Ἔκθεσις ἀμοιβαία τῶν μελῶν, ἡ τρισὶ διαιρεῖται περιόδοις. ἡ δὲ πρώτη ἔχει κῶλα πέντε.

Δι. Τοῦτί παρ' ὑμῶν λαμβάνω.
Χο. Δεινά γ' ἄρα πεισόμεσθα.
Δι. Δεινότερα δ' ἔγωγ' ἐλαύνων,
Εἰ διαῤῥαγήσομαι.
Χο. Βρεκεκεκὲξ, κοὰξ, κοάξ.
Δι. Οἰμώζετ'· οὐ γάρ μοι μέλει.
Χο. Ἀλλὰ μὴν κεκραξόμεσθά
Γ' ὁπόσον ἡ φάρυγξ ἂν ἡμῶν
Χανδάνῃ δι' ἡμέρας,
Βρεκεκεκὲξ κοὰξ, κοάξ.
Δι. Τούτῳ γὰρ οὐ νικήσετε.
Χο. Οὐδὲ μὴν ἡμᾶς σὺ πάντως.
Δι. Οὐδὲ μὴν ὑμεῖς γε δή μ'
Οὐδέποτε, κεκράξομαι γὰρ,
Κἄν με δέῃ δι' ἡμέρας,
Ἕως ἂν ὑμῶν ἐπικρατήσω τῷ κοάξ.
Χο. Βρεκεκεκὲξ, κοὰξ, κοάξ.
Δι. Ἔμελλον ἄρα παύσειν ποθ' ὑμᾶς τοῦ κοάξ.
Χα. Ὦ παῦε παῦε, παραβαλοῦ τῷ κωπίῳ.
Ἔκβαιν', ἀπόδος τὸν ναῦλον. Δι. ἔχε δὴ τὼ 'βολώ.

BA. Isthuc à vobis aufero.
CH. Ergo mala sufferemus.
B BA. Imò ego mala sufferam, si
Rumpar usque remigans.
CH. Brekekekex, coax, coax.
BA. Perite: nil cura est mihi.
CH. At clamabimus sonando,
Utique quantum sustinebit
Nostra faux totos dies,
Brekekekex, coax, coax.
BA. At hoc me non superabitis.
C CH. Sed neque tu nos universos.
BA. Hoc vos usque me vincitis.
Vociferabor, etsi totos
Me dies oporteat
Clamare: donec istud reprimam coax.
CH. Brekekekex, coax, coax.
BA. Eram vel tandem vestrum inhibiturus coax.
CH. Quiesce nunc, quiesce: & remum projice:
D Egredere, & solue naulum. BA. en obolos cape duos.

Σχόλια. Τουτί παρ' ὑμῶν.] ἡ ἀμοιβαία αὕτη ἔκθεσις τῶν μελῶν τρισὶ διαιρεῖται περιόδοις. καὶ εἰσὶ τῆς μὲν πρώτης περιόδου κῶλα πέντε. ὧν τὸ μὲν πρῶτον δίμετρον ἀκατάληκτον, καθαρὸν ἰαμβικόν. τὸ δεύτερον τροχαϊκὸν δίμετρον ὅμοιον. τὸ τρίτον ὅμοιον τῷ δευτέρῳ τετράβραχυν ἔχοντος ἡ χορεῖον. τὸ δ' ὅμοιον ἐφθημιμερές. τὸ τελευταῖον δῆλον. τὸ δὲ ἑξῆς τὸ λέγειν βρεκεκεκὲξ, παρ' ὑμῶν ἔμαθον. Δεινά γ' ἄρα πεισόμεσθα.] πάθοιμεν ἂν ἐκ τῆς E βοῆς ἐκείνοις ... ἐκτεινομένοι, ἐφ' ὅσον εἰσὶ τετωμένοι. Οἰμώζετ' οὐ γάρ μοι μέλει.] τῆς δευτέρας περιόδου τὰ κῶλα ὁμοίως πέντε τοῖς ἄνω καθ' ἕκαστον ὁμοίως ἔχοντα. ὁ μὲν τοι πρῶτος τοῦ τρίτου κώλου πούς τετράβραχύς ἐστι. δεῖ δὲ νοεῖν ὡς οἱ βάτραχοι ὑπὸ σκηνὴν εἰσίν. ἀλλ' οὐκ ἐν τῷ φανερῷ. ἡ μὲν τοι φωνὴ αὐτῶν ἐξακούεται ὥσπερ καὶ αὐτοί ἐν λίμνῃ ἠχοῦσιν ἐπεὶ οὐκ ... ἐλοιπασι καὶ χορὸς εἰσ- ... ὁ λόγος εἰ ... ὁ Διόνυσος ... ἔμελλον ἄρα ὑμᾶς παύσειν. θηλυκῶς δὲ τὴν σάρυγγα λέγει. Οὐ νικήσετε.] τῆς τρίτης περιόδου τὰ κῶλα ὀκτώ. ὧν τὰ μὲν F ἑπτὰ ὅμοια πάντως τοῖς ἄνω πλὴν τοῦ τετάρτου. τὸ δεύτερον ... τετράβραχυν ἔχοι τοῖς. τὸ ... ἕκτον καὶ ... ὄγδοον ἰαμβικὰ τρίμετρα ἀκατάληκτα. τὸ γὰρ ἕβδομον δῆλον. ἐπὶ τῷ τέλει κορωνίς. Ἔμελλον ἄρα.] σιωπῶσι λοιπὸν οἱ βάτραχοι. καὶ ἕτερος εἰσέρχεται χορὸς ὡς προσποιούμενος ὁ τῶν μυστῶν ... ἐπιπέναι καλεῖς. Ὦ παῦε παῦε.] κορωνὶς ἀμοιβαία εἰσιόντων τῶν ὑποκειτῶν. οἱ δὲ στίχοι ἰαμβικοὶ τρίμετροι ἀκατάληκτοι μέχρι ... τελευταίου. ἀλλ' ἠρεμεῖ ... ἀπαλλάξαντες ἀρεσκώμεθα. μετὰ δὲ τὸ μέσον κῶλον ἰαμβικὸν ἐφθημιμερὲς τὸ, αὐλεῖ τις ἔνδον ... παρεπιγραφὴ φασι κεῖται. ὡς καὶ ἑξῆς τὸ δίαυλον ... ἐπὶ τῷ τέλει κορωνίς. Ἀπόδος τὸν ναῦλον.] Καλλίστρατος, ὅτι τὸν ναῦλον ... ἀλλ' οὐχὶ τὸ ναῦλον ... λέγειν ... ἐν τισιν ἡ γραφή ... ὁ ναῦλος ... ἀρσενικῶς ... καὶ τοῖς δυολ... ναῦλον. Ἔχε δή.] ἀντὶ τοῦ κράτει. ... τὰ ἀρχαῖα.

ΔΡΑΜΑΤΟΣ ΤΟΥ ΠΡΩΤΟΥ Σκηνὴ ἕκτη.
ΔΙΟΝΥΣΟΣ, ΞΑΝΘΙΑΣ, ΙΕΡΕΥΣ.

ACTUS I. SCENA VI.
BACCHUS, XANTHIAS, SACERDOS.

BISETUS. Διόνυσος τῆς συνίας λίμνην ὑπὸ τὸ G Χάρωνος ... ἐκπλήττεται καὶ ... τοῦ Ξανθίου λέγεις ... μὴ δὲ ... ἀφανίζεται.

Ὦ Ξανθίας, ποῦ Ξανθίας; ἢ Ξανθίας;
Ξα. Ἰαὺ. Δι. βάδιζε δεῦρο. Ξα. χαῖρ' ὦ δέσποτα.

Hem Xanthia, ubinam Xanthia? eho Xanthia?
(tuus sies here.
XA. Hau. BAC. accede huc Xanthia. XA. sal-

BISETUS.

BISETVS. Ἢ Ξανθίας.] τινὲς τὸ ἢ ἀντὶ τοῦ ἦχι, ὅθι, ποῦ, χαριέστερον νομίζουσιν. ἀλλὰ τὸ ἢ νῦν ἔχει καλῶς, εἰ τὸ ῥῆμα πάρεστιν ὑπακούοις οὕτως, ἢ πάρεστιν ὁ Ξανθίας; ποῦ ἐστιν; ἢ πάρεστιν; Εὐστάθιος τὸ ἢ μὴ ψιλῆς, καὶ περισπωμένης, ἀντὶ τοῦ ἆρα, τοῦ κατ᾽ ἐρώτησιν προσπερισπωμένου. Σοφοκλῆς ἐν Ἠλέκτρᾳ, ἢ μέμνας ὦ τάλαινα; καὶ Πλάτων [illegible] ἐρώτημα. ἢ καὶ φρόνιμοί σοι δοκοῦσιν εἶναι, καὶ ἀγαθοὶ οἱ ἄδικοι;

Σχόλια. Ἰαῦ.] μίμημά ἐστι συριγμοῦ.

BISETVS. Ἰαῦ.] φωνὴ τοῦ ὑπακούοντος, ἢ ποιὸς ἦχος ὑλαγμοῦ.

Δι. Τί ἔστι τἀνταυθοῖ. Ξα. σκότος καὶ βόρβορος.
Δι. Κατεῖδες οὖν που τοὺς πατραλοίας αὐτόθι, B
Καὶ τοὺς ἐπιόρκους, οὓς ἔλεγεν ἡμῖν; Ξα. σὺ δ᾽ οὔ;
Δι. Νὴ τὸν Ποσειδῶ ᾽γωγε, καὶ νυνί γ᾽ ὁρῶ.
Ἄγε δὴ τί δρῶμεν; Ξα. προϊέναι βέλτιστα νῷν,
Ὡς οὗτος ὁ τόπος ἐστὶν, οὗ τὰ θηρία,
Τὰ δείν᾽ ἔφασκ᾽ ἐκεῖνος. Δι. ὡς οἰμώξεται.
Ἠλαζονεύεθ᾽, ἵνα φοβηθείην ἐγὼ, C
Εἰδώς με μάχιμον ὄντα φιλοτιμούμενος.
Οὐδὲν γὰρ οὕτω γαῦρόν ἐσθ᾽, ὡς Ἡρακλῆς.
Ἐγὼ δέ γ᾽ εὐξαίμην ἂν ἐντυχεῖν τινὶ,
Λαβεῖν τ᾽ ἀγώνισμ᾽, ἄξιόν τι τῆς ὁδοῦ.
Ξα. Νὴ τὸν Δία, καὶ μὴν αἰσθάνομαι ψόφου τινός.
Δι. Ποῦ, ποῦ ᾽στ᾽; Ξα. ὄπισθεν. Δι. ἐξόπισθε νῦν ἴθι. D
Ξα. Ἀλλ᾽ ἔστιν ἐν τῷ πρόσθε. Δι. πρόσθε νῦν ἴθι.
Ξα. Καὶ μὴν ὁρῶ νὴ τὸν Δία θηρίον μέγα.
Δι. Ποῖόν τι. Ξα. δεινὸν, παντοδαπὸν γοῦν γίνεται.
Τοτὲ μὲν βοῦς, νυνὶ δ᾽ ὀρεὺς, τοτὲ δ᾽ αὖ γυνὴ,
Ὡραιοτάτη τις. Δι. ποῦ ᾽στι; φέρ᾽ ἐπ᾽ αὐτὴν ἴω. E
Ξα. Ἀλλ᾽ οὐκέτ᾽ αὖ γυνή ᾽στιν, ἀλλ᾽ ἤδη κύων.
Δι. Ἔμπουσα τοίνυν γ᾽ ἐστί. Ξα. πυρὶ γοῦν λάμπεται
Ἅπαν τὸ πρόσωπον, καὶ σκέλος χαλκοῦν ἔχει.
Δι. Νὴ τὸν Ποσειδῶ, καὶ βολίτινον θάτερον.
Ξα. Σάφ᾽ ἴσθι. Δι. ποῖ δῆτ᾽ ἂν τραποίμην; Ξα. ποῖ δ᾽ ἐγώ; F

BA. Quid isthic est? XA. tenebræ & cœnum: BA. non prospicis
Alicubi parricidas, & periuros, de quibus
Ad me locutus est? XA. non tu vides here?
BA. Ita per Neptunum, & iam nunc video propalàm.
Ecquid nunc agimus? XA. optimum erit nos progredi:
An hic locus ille sit: vbi istæ horrendæ feræ,
De quibus aiebat Hercules. BA. miserum Herculem,
Qui hæc mentiebatur, vti mihi incuteret metum:
Quem noverat pugnacem, vir mei æmulus.
Nihil enim tàm superbum & tumidum, atque Hercules.
At ego nunc cuperem alicui occurrere bestiæ,
Et præmium accipere, quod dignum hac sit via.
XA. Ita per Iouem: & certè ego strepitum aliquem audio.
BA. Vbinam, vbi? XA. ponè. BA. ponè igitur recede iam.
XA. At antè nunc est. BA. antè igitur procede iam.
XA. Et per Iouem video pergrandem beluam.
BA. Qualem? XA. horribilem: quæ in omnes se variat modos:
Nam modo fit bos, modo mulus, rursum fœmina
Quædam speciosissima. BA. vbi ea est? ego inibo eam.
XA. At iam non amplius est mulier, sed fit canis.
BA. Erit ergo quoddam spectrum. XA. igni tota facies
Refulget, & crus alterum est illi aheneum.
BA. Ita per Neptunum, & stercoreum crus alterum.
XA. Vide sis. BA. quò me vertam? XA. quò verò me ego?

Σχόλια. Καὶ νυνί γ᾽ ὁρῶ.] τοὺς ἐν τῷ θεάτρῳ ἐπιόρκους ὁρᾶν φησιν. Ἠλαζονεύετο.] ἐψεύδετο. Μένανδρος. ἀλλ᾽ ἀλαζὼν καὶ θεοῖσιν ἐχθρός. Οὐδὲν γὰρ οὕτω γαῦρον.] πρὸς τὰ ἐν Φιλοκτήτῃ Εὐριπίδου. οὐδὲν γὰρ οὕτω γαῦρον ὡς ἀνὴρ ἔφυ.

BISETVS. Γαῦρον] Γαῦρον Σ. σοβαρὸν, μέγα, ἀλαζονικὸν, ἀκατάπληκτον. καὶ γαυριᾶν, ἀγάλλεσθαι, ἐπαίρεσθαι, θρασύνεσθαι. Ἡσύχιος δὲ, γαῦρος, αὐθάδης, σεμνὸς, μεγαλόφρων, ἢ μετέωρος. γαυριᾶν, χαίρειν, ἀγάλλεσθαι, ἀλαζονεύεσθαι, ἐπαίρεσθαι. G

Σχόλια. Ἀγώνισμα.] ἄθλου κατόρθωσιν ἀξίαν. Ἐξόπισθε νῦν ἴθι.] ὡς φοβούμενος ὁ Διόνυσος ταῦτα λέγει. ὅθεν δὲ αἰσθάνεται τοῦ ψόφου, ἐκεῖθεν αὐτὸν ἄγει ἢ προβάλλει. Φέρ᾽ ἐπ᾽ αὐτὴν ἴω] ὡς καταφρονῶν τοῦ Διονύσου ἐπιτηδείως. Ἔμπουσα τοίνυν.] φάντασμα δαιμονιῶδες ὑπὸ Ἑκάτης ἐπιπεμπόμενον καὶ φαινόμενον τοῖς δυστυχοῦσιν. ὃ δοκεῖ πολλὰς μορφὰς ἀλλάσσειν. καὶ οἱ μὲν φασὶν αὐτὴν μονόποδα εἶναι. καὶ ἐτυμολογοῦσιν οἱονεὶ ἑνίποδα διὰ τὸ ἑνὶ ποδὶ κεχρῆσθαι. οἱ δὲ ὅτι ἐξηλλάττετο τὴν μορφήν. δοκεῖ δὲ καὶ τοῖς μυουμένοις φαντάζεσθαι, ὅταν τοῖς κατοιχομένοις ἐναγίζουσιν. ἔνιοι δὲ αὐτὴν τὴν Ἑκάτην. ὡς Ἀριστοφάνης ἐν Ταγηνισταῖς. χθονίας Ἑκάτης σπεῖρα δρακόντων ἐξελισσομένη. εἶτα ἐπιφέρει. τί καλεῖς τὴν Ἔμπουσαν. Καὶ σκέλος χαλκοῦν ἔχει.] τῷ χαλκῷ προσέθηκε τὸ βολίτινον ἐπιτηδές. ἔνιοι δὲ ὄνου σκέλος λέγουσι. διὸ παρά τισι καλεῖσθαι ὀνόκωλον. τὸ δὲ

ὅλον φησὶ Κράτης ἐοικέ τι εἶναι φάντασμα παντοδαπὸν γινόμενον. βολίτινον δὲ ὄνειον. βόλιτος γὰρ κυρίως τὸ τῶν A ὄνων ἀπόπατημα. τὸ αὐτὸ δὲ καὶ βόλβιτος.

Δι. Ἱερεῦ διαφύλαξόν μ', ἵν' ὦ σοι ξυμπότης.
Ξα. Ἀπολούμεθ', ὦ 'ναξ Ἡράκλεις. Δι. οὐ, μὴ καλῇς
Μ' ὦ 'νθρωφ', ἱκετεύω, μηδὲ κατερῇς τοὔνομα.
Ξα. Διόνυσε τοίνυν. Δι. τοῦτο δ' ἔτ' ἧττον θατέρου.
B Ξα. Ἴθ', ᾗπερ ἔρχει· δεῦρο δεῦρ' ὦ δέσποτα.
Δι. Τί δ' ἐστί; Ξα. θάρρει, πάντα τἀγαθὰ πεπράγαμεν.
Ἔξεστι δ', ὥσπερ Ἡγέλοχος, ἡμῖν λέγειν,
Ἐκ κυμάτων γὰρ αὖθις αὖ γαλῆν ὁρῶ.
Ἥμπουσα φρούδη. Δι. κατόμοσον. Ξα. νὴ Δία.
C Δι. Καὖθις κατόμοσον. Ξα. νὴ Δί'. Δι. ὄμοσον. Ξα. νὴ Δία.
Δι. Οἴμοι τάλας, ὡς ὠχρίασ', αὐτὴν ἰδών.
Ὁ δὲ δείσας ὑπερεπυρρίασέ μου.
Οἴμοι, πόθεν μοι τὰ κακὰ ταυτὶ προσέπεσε;
Τίν' αἰτιάσωμαι θεῶν μ' ἀπολλύναι;
Ξα. Αἰθέρα, Διὸς δωμάτιον, ἢ χρόνου πόδα.
Δι. Αὐλεῖ τις ἔνδον.
D Οὗτος. Ξα. τί ἐστιν; Δι. οὐ κατήκουσας; Ξα. τίνος;
Δι. Αὐλῶν πνοῆς. Ξα. ἔγωγε, καὶ δᾴδων γέ με
Αὔρα τις εἰσέπνευσε μυστικωτάτη.
Ἀλλ' ἠρεμεὶ πτήξαντες ἀκροασώμεθα.

BA. Sacerdos serua me, ut sim compotor tibi.
SA. Perimus, ô rex Hercules. BA. ne tu, ne ita
Me, obsecro, voces: neu nomen apertè proferas.
SA. Bacchum ergo dicam. BA. hoc multò minus illo altero.
XA. Age, quò tu abis? huc huc adesdum, here, ilicet.
BA. Quid est? XA. bono animo es: nam benè nobiscum agitur: &
Idem nobis, quod Hegelocho, dicere licet:
E fluctibus serenitatem conspicor.
Disparuit spectrum. BA. iura mihi. XA. per Iouem.
BA. Iura iterū. XA. per Iouem. BA. iura equidem. XA. per Iouem.
BA. Hei mihi misero, vt hoc spectro viso expallui.
Sed hic meticulosus Sacerdos plusquàm ego
Expalluit, heu, hei, vnde hæc mihi mala ingruunt?
Quemnám Deorum perdidisse me querar?
XA. Æthera, Iouis cubile, aut temporis pedem.
BA. Cantat quis intus.
Heus, heus. XA. quid est? BA. non exaudisti? XA. quidnam here?
BA. Sonum tibiæ. XA. equidem: & tædarum me insuper
Afflauit aura quædam valdè mystica.
Sed age, quieti occulto auscultemus loco.

Σχόλια. Ἱερεῦ διαφύλαξόν.] παρὰ ταῖς θέαις προεδρείᾳ ἐτετίμητο ὁ ἱερεὺς τοῦ Διονύσου, πρὸς οὖν συνήθειαν καλεῖ ὁ Διόνυσος τὸν ἱερέα. ἄλλως. ἤδη γὰρ ἦν τῶν μεμυημένων κατὰ τὴν σκηνὴν γινόμενος. οἱ δέ φασιν ἄτοποι εἶναι νομίζειν ἀκολουθεῖν αὐτοῖς ἱερέα. μὴ γὰρ ἐμφαίνεσθαι. τὸ δ' ἀληθὲς οὕτως ἔχειν. οἱ μεγάλοις κακοῖς περιπίπτοντες πρὸς ἱερεῖς ἐρχόμενοι ἱκέτευον αὐτοὺς εὐχὰς ὑπὲρ αὐτῶν ποιεῖσθαι εἰς ἀπαλλαγήν. κατὰ οὖν μίμησιν ἐκείνων καὶ οὗτος νῦν λέγει. ἔχειν δέ φασι τὸν λόγον, εἶναί τινος τὸν στίχον ποιητοῦ νῦν κατατυρόμενον. Ἡράκλεις.] εἶχε γὰρ σχῆμα Ἡρακλέους ὁ Διόνυσος. ἢ τὸν ὡς ἀλεξίκακον Ἡρακλῆν καλεῖ. Μ' ὦ 'νθρωπε] πρὸς τὸ συνήθες τῆς ἀρχῆς τοῦ δευτέρου στίχου. διότι ἀπὸ συναλοιφῆς ἄρχεται. εὐλαβεῖται δὲ καταφανὴς γενέσθαι ὁ Διόνυσος. Τοῦτο δ' ἔτ' ἧττον θατέρου.] πιθανῶς τὸ τοῦ δειλοῦ ἦθος, τὸ μηδαμῶς θέλειν φανερὸς γενέσθαι. θέλει δὲ εἰπεῖν ὅτι τοῦτο χεῖρον τοῦ προτέρου. Ἴθ' ᾗπερ ἔρχει.] τοῦτο ἔμφασιν παρέχει, ὡς προσερχομένη αὐτῷ προτέρου ὄπισθεν τοῦ ἱερέως ὄντος.

BISETVS. Ἧπερ] Εὐστάθιος. ἢ ἀντὶ τοῦ ὅπου μετὰ προσγραφῆς τοῦ ι, ὁμοίως τῷ πῇ, καὶ τῷ ὅπῃ. ἢ δὲ ἀντὶ τοῦ ὡς, χωρὶς τοῦ ι. διὸ κἀνταῦθα ᾗπερ γραπτέον δοκεῖ.

Σχόλια. Ἡγέλοχος.] τραγῳδίας ὑποκριτής, ὃς τὸν ἐν τῷ Εὐριπίδου Ὀρέστῃ, προς ἀντὸς αὐτοῦ τοῦ πνεύματος ἐν τῷ δε τῷ στίχῳ. ἐκ κυμάτων γὰρ αὖθις αὖ γαλῆν ὁρῶ. εἰ φθείσθαι οὐ δυνάμενοι συνελόντα τὴν συναλοιφήν. τοῦτον δὲ καὶ ὡς ἀτιροῦ τὴν φωνήν, Πλάτων σκώπτει, καὶ Στράττις. ποῖ ποῖ πρὸς θεῶν ποῖ ποῖ γαλῆν. γαληνὰ ἐγὼ δ' ἐφ' ἡμῖν σε γαλῆν λέγειν ὁρῶ. καὶ Σαννυρίων δὲ ἐν Δανάῃ. τί ἂν γενόμενος εἰς ὀπὴν γενοίμην φὲρ εἰ γενοίμην γαλῆ. ἀλλ' Ἡγέλοχός με μηνύσειεν ὁ τραγικός. ἀνακράγοιτ'

E ἂν εὐθὺς εἰσιδών. ἐκ κυμάτων αὖ αὖθις αὖ γαλῆν ὁρῶ. ἔστι δὲ παροιμία ἐπὶ τῶν διαφυγόντων τὰ λυπηρά. οἱ δὲ λέγοντες ποιητὰς εἶναι, τὸν Ἡγέλοχον Ἀθήνησι τούτῳ συνεχῶς χρώμενον τῷ ἔπει, τὸ ἀλλ' ἄλλα τῶν αὐτοσχεδίως συντιθέντων, ἐκ ἀπεικότα τερατεύονται.

BISETVS. Γαλήνη κατὰ τὸν Εὐστάθιον λέγεται νηνεμία. γαλήνη δὲ νηνεμία, ὅταν ἐν μεγάλῳ κλύδωνι παύσηται ὁ ἄνεμος. πρὸς διαστολὴν τῆς ἁπλῶς γαλήνης, καθ' ἣν τελείως τὰ κύματα ἔστρωνται. ὅθεν γαλήνην ὁρῶ, μεταφορικῶς, τουτέστι νῦν τὰ πράγματα ἡμῖν καλῶς ἔχει. τὸ γὰρ ἐκ τῶν κυμάτων ἐπαθόμεθα ἅπερ ἡμᾶς ἐφόβει.

F ἀλλὰ νῦν τὸ γαλήνην ὁρῶ, ἀμφιβολίαν ἔχει. δύναται γὰρ τοιοῦτον καὶ αὐτὸ τὸ ζῷον, ὃ γαλῆν καλοῦσιν, οὗτινος ἡ ἀπάντησις τοῖς ἀνθρώποις ἀνάσιος καὶ κακοῦ τινος σημαντικὸν εἶναι ἐνομίζετο. Ἐπίτηδες τοίνυν ὁ Ξανθίας ταύτῃ τῇ ἀμφιβολίᾳ κέχρηται, ἵνα τὸν ἑαυτοῦ δεσπότην μᾶλλον φοβοίη. εἴη δὲ κατά τινας συναλοιφή, ἤ, ὃ καὶ βέλτιον τὸ πιθανώτερον, γαλῆν γραπτέον, καθ' ἀποκοπήν, ἀντὶ τοῦ γαλήνην. ἢ τὸ γαλῆν γραπτέον περισπωμένως κατὰ κρᾶσιν, ἐκ τοῦ γαλέην. ἐν δὲ τούτων τῶν ὀνομάτων προφορᾷ ἡ

G διαφορὰ τῆς σημασίας, οὐ ῥᾳδίως διαστέλλεσθαι, τὸ διαγιγνώσκεσθαι δύναται.

Σχόλια. Ὁ δὲ δείσας.] ὁ τοῦ Διονύσου ἱερεύς. πυρρὸς γὰρ ἦν κατὰ φύσιν. παρ' ὑπόνοιαν δὲ τὸ ἐπυρρίασε, πρὸς τὸ ὠχρίασεν. Ἀρίσταρχος δὲ ἐφ' ἑαυτοῦ φησι λέγειν τὸν Ξανθίαν. καὶ γὰρ διότι πυρρός, οὕτως ἐπικεκλῆσθαι. καθά-

περ

περ Παρμένων καὶ Σιμωνίδης. ὁ δὲ Ἴων, ἐπί τινος τῶν κα-θηκόντων, ξανθὸν τὸ χρῶμα ἔχοντος. ἐν ἔξει γάρ ἐστι, διὰ τὸ ἀπ... τοὺς ἀκροωμένους. ὡς καὶ Πλάτων ἐν παιδεραστ... ποιεῖ. Εὔπολις δὲ, τὸν τοῦ Διονύσου ἱερέα, νομίζεται αἰγίπυρον εἶναι, ἀντὶ τοῦ πυρρόν. τὸ γὰρ ἄνθος ἔχειν φησὶ Δημήτριος, ἱκανῶς ἐρυθρόν. Αὐλητρὶς ἔνδον.] παρεπιγραφή. σημείωσαι γὰρ ὅτι ἔνδοθέν τις νῦν ποτε μὴ ὁρωμένως τοῖς θεαταῖς. Αὔρα τις.] μακροκατάληκτον. τὰ γὰρ εἰς

A ρα, εἰ μὲν μονόφθογγον προηγεῖται, μακροκατάληκτα. πέρα. εἰ δὲ δίφθογγον, βραχυκατάληκτα. πλὴν τοῦ, αὔρα καὶ Φαίδρα παρ' Εὐριπίδῃ. Φαίδρα τὸ γὰρ τοῦ ἡ ὡς προτιμᾶσθαι καλόν. ἀπορούσι τινὲς ἐνταῦθα πῶς ὁ θέρμην δέ ἐστιν εἶπεν, ἀλλὰ αὔρα. καὶ φαμὲν ὅτι τὸ λέγει ἢ εἰκὸς ὅτι καὶ δᾷδας οἱ μύσται ἔφερον, καὶ θεῖα ποθέν τις ἐξ αὐτῶν ἔφερε. Μυστικωτάτη.] τῶν ἐν Ἐλευσῖνι μυστηρίων. τινὲς δὲ, εἰς τὸ μυστικωτάτην δύο ποιοῦσιν.

B

ΔΡΑΜΑΤΟΣ ΤΟΥ ΠΡΩΤΟΥ Σκηνὴ ἑβδόμη.

ΧΟΡΟΣ ΜΥΣΤΩΝ, ΞΑΝΘΙΑΣ, ΔΙΟΝΥΣΟΣ.

Bisetus. Ὁ τῶν Μυστῶν χορὸς αὐλοῖς, καὶ λαμπραῖς φωναῖς τὸν Βάκχον ὑμνεῖ, καὶ αὐτοῦ τὰ ὄργια τελεῖ.

Ἴακχ' ὦ Ἴακχε.
Ἴακχ' ὦ Ἴακχε.
Ξα. Τοῦτ' ἔς' ἐκεῖνο δέσποθ', οἱ μεμυημένοι
Ἐνταῦθά που παίζουσιν, οὓς ἔφραζε νῷν.
Ἄδουσι γοῦν τὸν Ἴακχον, ὅνπερ Διαγόρας.
Δι. Κἀμοὶ δοκοῦσιν. ἡσυχίαν τοίνυν γ' ἄγειν,
Βέλτιστόν ἐστιν ὡς ἂν εἰδῶμεν σαφῶς.
Χο. Ἴακχ' ὦ πολυτιμήτοις
Ἕδραις ἐνθάδε ναίων,
Ἴακχ' ὦ Ἴακχε,
Ἐλθὲ τόνδ' ἀνὰ λειμῶνα χορεύσων,
Ὁσίους ἐς θιασώτας,
Πολύκαρπον μὲν τινάσσων
Ἀμφὶ κρατὶ σῷ βρύοντα
Στέφανον μύρτων.
Θρασεῖ δ' ἐγκατακρούων
Ποδὶ τὰν ἀκόλαστον
Φιλοπαίγμονα τιμὰν,
Χαρίτων πλεῖστον ἔχουσαν
Μέρος, ἁγνὰν, ἱερὰν,
Ὁσίοις μύσταις χορείαν.

ACTVS I. SCENA VII.

Chorvs, Xanthias, Bacchvs.

C *Iacche, ô Iacche:*
Iacche, ô Iacche.
Xa. Hoc illud est here: hic initiati sacris,
De quibus agebat Hercules, ludos agunt.
Nam Iacchum cantu celebrant, more Diagoræ.
BA. Et mihi videntur. Optimum est, adesse cum
Silentio, ut cognoscam, quid sit rei.
CH. Iacche, ô pretiosas qui
Sedes hic habitas, ô
D *Iacche, ô Iacche.*
Huc ades, nemore hoc, ritè futurus
Thyasi dux venerandi:
Qua te florentem corollam,
Fronte qua tua nitescit,
Foliis myrti:
Levi poplite salta
Hilarem, petulantem,
E *Lepidam, iocularem,*
Charitum flore refertam,
Facilem, sacrificam,
Paribus mystis choream.

Σχόλια. Ἴακχ' ὦ Ἴακχε.] ἡ πάροδος τῆς ᾠδῆς ταύτης τοῦ τῶν μυστῶν χοροῦ κώλων ἐστὶν ἀντισπαστικῶν δύο διμέτρων βραχυκαταλήκτων. ἑξῆς δὲ τούτων σύστημα ἀμοιβαῖον ἐκ στίχων ἰάμβων τριμέτρων ἀκαταλήκτων πέντε.

Bisetus. Ἴακχε] Εὐστάθιος. Ἴακχος ὁ ἐπὶ τῷ Διονύσῳ ἦχος, παρὰ τὸ ἰάχειν. καὶ Ἴακχος, αὐτὸς ὁ Διόνυσος ὁμωνύμως.

Σχόλια. Ὅνπερ Διαγόρας.] Διαγόρας μελῶν ποιητὴς ἄθεος, ὃς καὶ καινὰ δαιμόνια εἰσηγεῖτο. καὶ ὁ μὲν Ἀρίσταρχος. Διαγόρου νῦν μνημονεύειν φησὶ τοὺς θεοὺς, οὐχ ὡς ᾄδοντος αὐτοῦ. ἀλλ' ἐν εἰρωνείᾳ κειμένην τὴν λέξιν. ἀντὶ τοῦ χλευάζοντος ἐξορχουμένου. ἀνακινεῖ οὖν τοὺς Ἀθηναίους ὁ κωμικός. ὅθεν καὶ Ἀθηναῖοι ὡς χλευάζοντος τοὺς θεοὺς κατεψηφισμένοι ἀνεκήρυξαν τῷ μὲν ἀναιροῦντι, ἀργυρίου τάλαντον, τῷ δὲ ζῶντα κομίσαντι, δύο. ἔπειθον δὲ καὶ τοὺς ἄλλους Πελοποννησίους. ὡς ἱστορεῖ Κρατερὸς ἐν τῇ συναγωγῇ τῶν ψηφισμάτων. ἦν δὲ οὗτος Τηλεκλύτου παῖς. Μήλιος τὸ γένος. τὸν χρόνον κατὰ Σιμωνίδην καὶ Πίνδαρον. οἱ δὲ τὸ δι' ἀγορᾶς φερόμενον ... ὡς Ἀπολλόδωρος ὁ Ταρσεὺς καὶ Φερεκράτης. ἄλλως. διθυραμβοποιὸς ὁ Διαγόρας ποιητὴς συνεχῶς Ἴακχε Ἴακχε ᾄδων. ἢ κωμικὸς διθυραμβικὰ τουτέστι Διονυσιακὰ δράματα ποιῶν. Ἴακχ' ὦ πολυτιμήτοις.] ᾠδὴ καὶ στροφὴ κώλων τεσσαρεσκαίδεκα. ὧν τὸ

F πρῶτον ἀντισπαστικὸν δίμετρον ἀκατάληκτον, ὃ καλεῖται γλυκώνειον. τὸ δεύτερον δίμετρον καταληκτικὸν ἢ ἐξ ἀντισπάστου καὶ βακχείου. τὸ τρίτον ὅμοιον ἐπὶ τῷ πρώτῳ τῶν ἐν τῇ παρόδῳ. τὸ τέταρτον ἐκ διτροχαίου ἀντισπαστικοῦ καὶ βακχείου Ἀλκαϊκόν φασι καλούμενον. τὸ πέμπτον ἰωνικὸν δίμετρον ἀκατάληκτον ἀνακλώμενον καὶ Ἡφαιστίωνα καλούμενον ἀπ' ἰωνικῶν παίωνα τρίτον καὶ ἐπίτριτον δεύτερον ἔχον. τὰ ἑξῆς δύο τὸν αὐτὸν τρόπον. τὸ ὄγδοον ἰωνικὸν ἀπ' ἐλάσσονος πενθημιμερές. τὸ ἔνατον ἐξ ἀντισπάστου καὶ βακχείου δίμετρον ἢ ἑφθημιμερές. τὰ ἑξῆς δύο

G ἰωνικὰ ἐκ παιώνων τρίτων καταληκτικὰ ἢ ἐκ παίωνος καὶ ... εἰς ὃν συναιρεῖται βακχεῖος. τὸ δωδέκατον ἰωνικὸν ἀπ' ἐλάττονος δίμετρον καθαρόν. τὸ τρισκαιδέκατον καθαρὸν μὲν, καταληκτικὸν δέ. τὸ τελευταῖον ὡς τὸ δυοκαιδέκατον, ἐπιμειξάμενον μὲν τοῦ ἐπιτρίτου δευτέρου ἢ διτροχαίου. ἐπὶ τῷ τέλει παράγραφος καὶ διπλῆ ἔξω νενευκυῖα. ἑξῆς δὲ τριστοιχία ἰαμβικὴ παραγράφῳ τερματιζομένη, μεθ' ἣν ἀντῳδὴ καὶ ἀντιστροφὴ παραπλησίως καθ' ἕκα-

σι σχεδὸν τῇ ἐπιφωνήσει καὶ περάτι τῶν κώλων, ἔχουσα A τῇ στροφῇ. ἐφ' ἧς τῷ τέλει δύο διπλαῖ ἔξω νενεύκασι. ἡ μὲν ἐν ἀρχῇ. ἡ δὲ κατὰ τὸ τέλος. ἄλλως. Ἴακχ' ὦ πολυτιμήτοις.] μία τῶν μυστηρίων εἰκάς ἐστιν, ἐν ᾗ τὸν Ἴακχον ἐξάγουσι. πολυτιμήτοις δὲ ἐν ἕδραις, καθὸ συνίδρυται τῇ Δήμητρι ὁ Διόνυσος. εἰσὶ γοῦν οἵπερ φασὶν αὐτὸν Περσεφόνης εἶναι. οἱ δὲ, τῇ Δήμητρι συγγεγενῆσθαι. ἄλλοι δὲ ἕτερον Διόνυσον εἶναι τὸν Ἴακχον. οἱ δὲ, τὸν αὐτόν. οἱ δὲ φασὶ πολυτιμήτοις ἐν ἕδραις, καθὸ φιλοτιμότεροί εἰσιν ἐν ᾅδου οἱ μεμυημένοι, ὡς σαφῶς ποιεῖ ἐν Εἰρήνῃ. δεῖ γὰρ μυηθῆναί με, πρὶν τεθνηκέναι. Ἀνὰ λειμῶνα χορεύσων.] ἐν τῷ λειμῶνι τὰς χορείας ἐποιοῦντο, διὰ τὸ ἀνθηρὰ χορεύοντες ἐν τῷ προφανεῖ ἐν χοροῦ σχήματι. B

Βισετυς. Θιασώτας] Σουίδας τούτων μέμνηται, καὶ ταῦτα οὕτως ἑρμηνεύει. θίασος, ὁ ἱερὸς χορός. καὶ θιασώτης, ὁ χορευτής. ἀπὸ τοῦ θεῶν, ὅ ἐστι θύειν. ὁ δὲ χορὸς ἀπὸ τῆς συνελεύσεως. θέειν γὰρ τὸ τρέχειν. ἢ ἀπὸ τῆς ἐνθυσιῶν, ὅθεν θιασῶται κυρίως οἱ περὶ τὸν Διόνυσον. ὁ αὐτός. θίασος τὸ ἀθροιζόμενον πλῆθος ἐπὶ τέλει, καὶ τιμῇ θεοῦ. οὕτω Δημοσθένης, καὶ Ξενοφῶν. Γίνεται δὲ ἐπὶ παντὸς ἀθροίσματος τὸ τελεῖ τοιοῦτον. θιασῶται δὲ ἐκαλοῦντο οἱ κοινωνοῦντες τῶν θιάσων. Ἀθήναιος δὲ ἐν τῷ ιβ. τῶν δειπνοσοφ. περὶ τούτων ταῦτα λέγει. Ἔρανοι δέ εἰσιν αἱ ἀπὸ τῶν συμβαλλομένων συναγωγαί, ἀπὸ τοῦ συνερᾶν, καὶ συμφέρειν ἕκαστον. καλεῖται δὲ ὁ αὐτὸς καὶ ἔρανος, καὶ θίασος, καὶ οἱ συνιόντες, ἐρανισταί, καὶ συνθιασῶται. καλεῖται δὲ καὶ ὁ τῷ Διονύσῳ περιπόμενος ὄχλος, θίασος, ὡς Εὐριπίδης φησίν, „Ὁρῶ θιάσους τρεῖς γυναικείων χορῶν. τοὺς μὲν οὖν θιάσους ἀπὸ θεοῦ προσηγόρευον. καὶ γὰρ αὐτοὺς τοὺς θεοὺς οἱ Λάκωνες σιοὺς φασί.

Σχόλια. Στέφανον μύρτων.] μυρσίνης στεφάνῳ ἐστεφανοῦντο οἱ μεμυημένοι. οὐχ ὥς τινες νομίζουσι νεανίσκοι. ὁ δὲ Ἀπολλόδωρος καὶ τοὺς θεσμοθέτας φησὶ διὰ τῆς μυρσίνης στέφεσθαι. ὅτι οἰκείως ἔχει πρὸς τὸ φυτὸν ἡ θεός. καὶ ὅτι τοῖς χθονίοις ἀνιέρωτο. Ἀκόλαστον.] μανιώδη. βακχικήν. ὁσίαν. οὐ γὰρ δὴ αἰσχρὰν καὶ ἀσελγῆ. τὸ δὲ ἐγκαταχρούων πρὸς τὸ ὁσίοις μύσταις. C

Βισετυς. Τετραστιχία ἰαμβικὰ προκαταγραφὴ τεμματιζομένη.

Ξαν. Ὦ πότνια πολυτίμητε Δήμητρος κόρη,
Ὡς ἡδύ μοι προσέπνευσε χοιρείων κρεῶν.
Δι. Οὔκουν ἀτρέμ' ἕξεις, ἤν τι καὶ χορδῆς λάβῃς.

XA. O veneranda Cereris filia Proserpina:
Quam suauis odor suillarum me afflat carnium?
BA. Igitur acquiescas: dum aliquid intestini auferas.

Σχόλια. Χοιρείων κρεῶν.] παρόσον χοῖροι τῇ Δήμητρι καὶ τῷ Διονύσῳ ἐθύοντο ὡς λυμαντικοὶ τῶν θεοῖν δωρημάτων. εἰκότως δὲ ἐν ᾅδου ὢν ἐπιβοᾶται τὴν Περσεφόνην. D Χορδῆς λάβῃς.] ἡ εἴλησις ἡ τῶν ἐντέρων, ἐπὶ χορδῆς. ἣν εἰλητὴν καλοῦμεν ἡμεῖς.

Βισετυς. Ἀντῳδὴ, καὶ ἀντιστροφὴ κώλων ιε.

Χο. Ἔγειρε φλογέας λαμπάδας. ἐν χερσὶ γὰρ ἥκεις
Τινάσσων Ἴακχε,
Νυκτέρου τελετῆς φωσφόρος ἀστήρ
Φλογὶ, φέγγεται δὲ λειμών,
Γόνυ πάλλεται γερόντων,
Ἀποσείονται δὲ λύπας
Χρονίους τ' ἐτῶν,
Παλαιοὺς τ' ἐνιαυτοὺς,
Ἱερᾶς ὑπὸ τιμῆς.
Σὺ δὲ λαμπάδι φλέγων,
Προβάδην ἔξαγε πάνθηρον, ἕλειον δάπεδον,
Χοροποιὸν, μάκαρ ἥβαν.

CH. Faces flamminomas tolle.
Venis namque manu ligna quassans Iacche:
E Festi noctiuagi lucifer alta
Face, campus ac refulget:
Genu senum mouetur:
Dolor omnis hinc fugatur:
Seniumque inertis aui remouetur
Ab honore sacrato.
Age qui facem tenes,
F Prai: & hanc institutentum
Choreas duc iuuenum,
Rigua hac in loca, pubem.

Σχόλια. Ἔγειρε φλογέας.] τὸ ἑξῆς. ἔγειρε φλογέας λαμπάδας ἐν χερσὶ τινάσσων ἥκεις νυκτέρου τελετῆς φωσφόρος ἀστήρ. Φωσφόρος ἀστήρ.] τὸ μυστηριακὸν πῦρ, φωσφόρον λέγουσι. λέγει δὲ ἐπεὶ τὴν νύκτα λέγουσι αἰνιγματωδῶς. διὰ τὸ λαθεῖν τοὺς ἀμυήτους. ἢ ὅτι ἐν νυκτὶ ἄγεται τὰ μυστήρια. ἀξιοῦσι δέ τινες αὐτὴν τὴν λαμπάδα φωσφόρον ἀστέρα λέγεσθαι. ὁ δὲ λόγος ἀπλοῦς ἐστιν εἰ μὴ τὸ λινάσσον ἀντὶ τοῦ τινασσόμενος λαμβάνεται. ἐν δέ τισιν ἐκλέλοιπε τὸ τινάσσων. Ἴακχ' ὦ Ἴακχε ἀναλόγως τῇ στροφῇ χάσμει καὶ τὸ χερσὶν εἰς τὸ ἔγειρε συνάπτουσιν. ἥκεις γὰρ κατὰ ἀναστροφήν. νύκτωρ δὲ ἐτελεῖτο τὰ μυστήρια. ὧν οὐ τελεστὴς μόνον χορευτὴς ἀλλὰ καὶ ἔξαρχος ἦν ὁ Διόνυσος. καὶ μὲν δὴ Διονύσου ἐν Ἐλευσῖνι ἱερόν ἐστι καὶ ἐν Διονυσίοις ἐτελεῖτο τὰ μυστήρια. Φέγγεται δὲ λειμών.] λειμὼν γὰρ ἀνάκειται τοῖς μύσταις. δηλοῖ δὲ καὶ Σοφοκλῆς. Χρονίων τ' ἐτῶν.] εἰ μὲν οὕτω γράφεται ἰωνικόν ἐστι πενθημιμερὲς ἐκ παίωνος τρίτου ἀναλόγως τῷ ἐν τῇ στροφῇ ὀγδόῳ. εἰ δὲ χρόνους τ' ἐτῶν ὡς ἐν τοῖς πλείοσιν, ἰαμβικὴ ταυτοποδία. λέγει δὲ ὅτι διὰ τὴν χαρὰν νεάζουσιν οἱ γέροντες. ἡ δὲ δύναμις ἐν γόνασι. καὶ Ὅμηρος. θεῶν ἐν γούνασι κεῖται. G Πάνθηρον ἕλειον.] προσληπτέον τὸ εἰς. ἔξαγε εἰς τὸ πάνθηρον καὶ ἕλειον δάπεδον. πάνθηρον δὲ παντοδαπῶν θηρίων δεκτικόν. τινὲς δὲ ἀναγινώσκουσιν ἐπ' ἀνθηρόν.

Βισετυς. Πάνθηρον] βέλτιον ἐπ' ἀνθηρὸν γράφειν. καὶ

φασιν καὶ ἐν τοῖς κάτω ὁ ποιητὴς τὸ τοιοῦτον καλεῖ, ἀλλ' ἀνθο- A φόρον.

ΕΠΙΡΡΗΜΑ.

BISETVS. Οἱ στίχοι ἀναπαιστικοὶ τετράμετροι καταληκτικοὶ ιή.

Ημ. Εὐφημεῖν χρὴ κἀξίστασθαι τοῖς ἡμετέροισι χοροῖσιν.
Ὅστις ἄπειρος τοιῶνδε λόγων, ἢ γνώμῃ μὴ καθαρεύει, B
Ἢ γενναίων ὄργια μουσῶν μήτ' οἶδεν πω, μήτ' ἐχόρευσεν.
Μηδὲ Κρατίνου τοῦ ταυροφάγου γλώττης βακχεῖ' ἐτελέσθη.
Ἢ βωμολόχοις ἔπεσι χαίρει, μὴ 'ν καιρῷ τοῦτο ποιοῦσιν.
Ἢ στάσιν ἐχθρὰν μὴ καταλύει, μηδ' εὔκολός ἐστι πολίταις. C
Ἀλλ' ἀνεγείρει καὶ ῥιπίζει, κερδῶν ἰδίων ἐπιθυμῶν.
Ἢ τῆς πόλεως χειμαζομένης ἄρχων καταδωροδοκεῖται,
Ἢ προδίδωσι φρούριον, ἢ ναῦς, ἢ τἀπόρρητ' ἀποπέμπει
Ἐξ Αἰγίνης, Θωρυκίων ὤν, εἰκοστολόγος, κακοδαίμων, D

SEMICHORION.

SEM. *Lingua fauisse decet, nostrisque choris decedere: quisquis*
Horum inscius est sermonum, aut mentem habet impuram, aut generosa
Musarum orgia neque didicit unquam, neque saltu celebrauit:
Neque item Bacchanali festo taurinori voce Cratini
Initiatus fuit: aut verbis gaudet scurrilibus, & qua
Non fiunt apto in tempore: quique hostilem seditionem
Non sedat, neque facilem se erga ciues prabet: sed ut auram
Agitat excitas: proprij illum stimulante Cupidine lucri.
Aut qui perturbata urbi imperitās sordida munera captat:
Aut prasidium, aut naues prodit: & ex Ægina vetitas res
Dimittit, sicut Thorycio: vigesimarū miser ille

Σχόλια. Εὐφημεῖν χρή.] ἐπὶ τοῦτον τὸν χρόνον λέγει Ἀρίσταρχος μεμερίσθαι τὰς μερικὰ ἀναπαιστικά, ἀλλὰ διαμείβεσθαι τὸν χρόνον. καὶ τί ὅρα σύνειδεν ὁ Ἀρίσταρχος. δηλοῦται δὲ καὶ σύζυγον εἶναι τὸ λεγόμενον, πολλαχοῦ δὲ μεμερίσθαι καὶ εἰς διχορίαν τὸ λοιπόν. ὥστε οὐκ ιβ διὰ μεμερίσθαι. ἄλλως. εὐφημεῖν χρὴ στροφὴ καὶ ἔκθεσις χοροῦ ἐπιρρηματική. ἔθος γὰρ ἐν τῷ ἐπιρρήματι χρηστὰ συμβουλεύειν τῇ πόλει, ἢ ἐλέγχειν τοὺς πονηρευομένους. ἐκ στίχων ἀναπαιστικῶν τετραμέτρων καταληκτικῶν ιή. αὐτὰ τελευταῖα καὶ παννυχίδας τὰς ἡμετέρας αἳ τῇδε πρέπουσιν ἑορτῇ, ἐπὶ τῷ τέλει προσγράφει. ὁ δὲ λόγος ἀπὸ τοῦ ποιητοῦ, καίτοι δοκῶν εἶναι χοροῦ. ἰστέον δὲ ὅτι εἰκαῖα διὰ τοὺς ἐν ᾅδου μύστας φαίνεται λέγειν, ἀλλὰ τῇ ἀληθείᾳ διὰ τοὺς ἐν Ἐλευσῖνι. ἐνταῦθα καὶ ὑφίσταται ἡ σκηνὴ τοῦ δράματος.

BISETVS. Μήτε Κρατίνου τοῦ ταυροφάγου] τὰ παλαιὰ χρόνια οὕτω γράφουσιν ὡς ἐν τῷ Σουΐδᾳ καλῶς ἔχει ἐν τῇ λέξει τῇ ταυροφάγος. Ταυροφάγον, τὸν Διόνυσον ὁ Σοφοκλῆς ἐν Τυροῖ καλεῖ. ἀντὶ τοῦ ὅτι τοῖς τὸν διθύραμβον νικῶσι βοῦς ἐδίδοτο. ἢ τὸν ὠμηστήν. ἀφ' οὗ καὶ ἐπὶ τοῦ Κρατίνου μετήνεγκε τὸ ὄνομα Ἀριστοφάνης. F

Ὅστις ἄπειρος τοιῶνδε λόγων, ἢ γνώμῃ μὴ καθαρεύει,
Ἢ γενναίων ὄργια Μουσῶν μήτ' οἶδε πω, μήτ' ἐχόρευσε.
Μηδὲ Κρατίνου τοῦ ταυροφάγου γλώττης βακχεῖ' ἐτελέσθη.

Τοὺς περὶ Ἀρίσταρχον οἰομένους ὅτι ταῦρος ἦν αὐτοῖς ἔπαθλον, φασὶ ψεύδεσθαι. εἴρηται δὲ παρὰ τὸ Σοφοκλέους ἐκ Τυροῦς. Διονύσου τοῦ ταυροφάγου. καὶ ὅτι φίλοινος ἦν. καὶ διὰ τοῦτο ἐπίθετον τοῦ Διονύσου αὐτῷ περιτεθείκασιν. οἱ δὲ ἔτι περιεργότεροι τὸν λόγον ἀποδιδόασι, μήτ' ἱερὰ Κρατίνου, ἥτις βακχεῖα ἐτελέσθη, ὅ ἐστι τοῦ μοσχοφάγου Διονύσου ἢ τολμηρῶς ἀπὸ τῶν Βακχῶν. τολμηροὺς γὰρ τοὺς Ἀθηναίους εὑρίσκει ἐν τοῖς δράμασι. G

Σχόλια. Μήτε Κρατίνου.] τοὺς περὶ Ἀρίσταρχον οἰομένους ὅτι ταῦρος ἦν αὐτοῖς τὸ ἔπαθλον. εἴρηται δὲ παρὰ Σοφοκλέους ἐκ Τυροῦς, Διονύσου τοῦ ταυροφάγου. ἢ ὅτι φίλοινος ἦν, καὶ διὰ τοῦτο ἐπίθετον αὐτῷ τοῦ Διονύσου ἐπιτεθείκασιν. οἱ δὲ ἔτι περιεργότερον ὅλον τὸν λόγον ἀποδιδόασι. μήτε Κρατίνου βακχεῖ' ἐτελέσθη, ὅ ἐστι τοῦ μοσχοφάγου Διονύσου. ἢ τολμηρὰ ἀπὸ τῶν Βάκχων. τολμηροὺς γὰρ τοὺς Ἀθηναίους εὑρίσκει ἐν τοῖς δράμασι. τινὲς δὲ τοῦ ταύρου ἔπαθλον λαμβάνοντος. ἢ τοῦ λαιμάργου. Βωμολόχοις δὲ τοῖς πρὸς χάριν λέγουσι καὶ πρὸς κολακείαν. ἀπὸ δὲ τῶν λοχώντων περὶ τοὺς βωμοὺς καὶ βουλομένων τι λαβεῖν μετενήνεκται ἡ λέξις. οὗτοι γὰρ ὑπὸ τῶν βωμῶν πολλὰ λιπαροῦσι, κολακεύοντες λαβεῖν τι παρὰ τῶν θυόντων. Ἢ προδίδωσι φρούριον.] πρὸς τοὺς ποιήσαντας τοὺς Φερεκράτους Πέρσας. τὰ γὰρ ἀπόρρητα ἤκουσιν, ὡς νῦν ἡμῖν ἔθος. διὸ καὶ ἐντεῦθεν λοιδορεῖται τῷ Θωρυκίωνι. ἢ αὐτὸς ὄντως μὴ οἶδεν. ἀπόρρητα δὲ ἔλεγον τὰ ἀπειρημένα ἐξάγεσθαι. ἔγγον νῦν τούτοις ἀποφέρει ἀσκώματα. καὶ λίνα. καὶ πίτταν. δῆλον ὅτι οὐδὲν ἔδει ἀποπέμπειν τούτων ἐξ Αἰγίνης, ὢν Θωρυκίων τὰ ἀπόρρητα Ἀθήνηθεν ἀποπέμπει. ὅτι νῦν πρὸς τοὺς Πελοποννησίους ἦν ὁ πόλεμος, ἀπόρρητα τὰ πρὸς ναυτηγίαν ἐξάγειν ἤτοι δὲ ὁ Θωρυκίων ἐξ Αἰγίνης ὤν, ἢ εἰς Αἴγιναν ἐξάγων. καθὸ δὴ κοινὸν ἐμπόριον ἡ Αἴγινα. ἔστι δὲ ταξίαρχος ἦν ἐν τοῖς Πελοποννησιακοῖς τῶν Ἀθηναίων. ὁ δὲ Πίσανδρος ἐπεμψεν τοῖς ἀντιπάλοις εἰς τὸ ἀνάψαι τὴν αὐτοῦ πόλιν. ὅθεν γνωσθεὶς, ἐκωμῳδεῖτο ἐπὶ προδοσίᾳ. τινὲς δὲ Θορυκίων γράφουσιν, ἀντὶ τοῦ τὰ τῶν Θορύκων μιμούμενος. Εἰκοστολόγος.] τὰ εἰκοστὰ ἐν τῇ νήσῳ συνάγων.

Ἀσκώματα, καὶ λίνα, καὶ πίτταν διαπέμπων εἰς Ἐπίδαυρον.
Ἢ χρήματα ταῖς τῶν ἀντιπάλων ναυσὶ παρέχειν τινὰ πείθει.
Ἢ κατατιλᾷ τῶν Ἑκαταίων, κυκλίοισι χοροῖσιν ὑπάδων.
Ἢ τοὺς μισθοὺς τῶν ποιητῶν ῥήτωρ ὢν, εἶτ' ἀποτρώγει (ξογει)
Κωμῳδηθεὶς ἐν ταῖς πατρίοις τελεταῖς ταῖς τοῦ Διονύσου.
Τούτοις ἀπαυδῶ, καὖθις ἀπαυδῶ, καὖθις μάλ' ἀπαυδῶ
Ἐξίστασθαι μύσταισι χοροῖς. ὑμεῖς δὲ ἀνεγείρετε μολπὴν,
Καὶ παννυχίδας τὰς ἡμετέρας, αἳ τῇδε πρέπουσιν ἑορτῇ.
Ημ. Χώρει νῦν πᾶς ἀνδρείως
Εἰς τοὺς εὐανθεῖς κόλπους
Λειμώνων, ἐγκρούων,
Καὶ σκώπτων, καὶ παίζων,
Καὶ χλευάζων. ἠρίστηται
Δ' ἐξαρκούντως. ἀλλ' ἔμβα
Χ' ὅπως αἴρῃς τὴν σώτειραν γενναίως
Τῇ φωνῇ μολπάζων.
Ἣ τὴν χώραν σώζειν φήσ' ἐς τὰς ὥρας,
Κἂν Θωρυκίων μὴ βούληται.
Χο. Ἄγε νῦν ἑτέραν ὕμνων ἰδέαν τὴν καρποφόρον βασίλειαν
Δήμητρα θεὰν ἐπικοσμοῦντες ζαθέαις μολπαῖς κελαδεῖτε.

A Collector: clàm missis in Epidaurum loris, pice, linis.
Aut, qui argentum dare nauibus hostiū aliquem impellit amicum:
Aut, qui concacat Hecatæa, chorus succinens orbiculatis: (Poëta:
Aut, Rhetor cùm sit, mercedem deuorat ipse
Et pòst traducitur in scena festu patris Dionysi.
B Atque his ego denuncio, & iterū ac rursum edico, iubeóque
Ex hoc abscedere choro. Vos autem contollite cantum,
Nostrásque lucubrationes, quæ festo huic sunt cōuenientes.
SEM. Tendas nunc sanè vnusquisque,
Hos in florentes campos
C Pratorum subsultans,
Et ridens, & ludens,
Et subsannians. Sat nunc pransum est.
Tu verò pubes salta:
Vt seruatricem Diuam clarè extollas,
Decantans applausu:
Vrbem quæ se semper tutari dicit:
Etsi Thorycion hoc nolit.
D CH. Age nunc alio genere hymnorum, Cererē, frugum genitricem,
Magnam exornate Deam, diuinis carminibus celebrantes.

Σχόλια. Ἀσκώματα.] εἰς διφθέρας γὰρ τὰς ἑαυτοῦ διανοίας γράψας ἔπεμπε τοῖς πολεμίοις ἐν τῇ Λακωνικῇ. ἄσκωμα δὲ δερμάτιόν τι, ὃ ἐν ταῖς τρυπήρεσι χρῶνται, καθ' ὃ ἡ κώπη βάλλεται. Ἐπίδαυρον] πόλιν Λακωνικήν. Ἢ χρήματα.[Κῦρος γὰρ Λυσάνδρῳ ἔπεμψε χρήματα τότε εἰς πόλεμον δανείσας χάριν. Ἢ κατατιλᾷ.] E ἤγουν ἀσεβῶς διάκειται περὶ τὰ τῆς Ἑκάτης ἀγάλματα, ὅτι κατηγορεῖ 'ει Κινησίας δὲ τοῦτο πεποίηκε.

BISETVS. Κατατιλᾷ] Σ. κατετίλησε γὰρ τῶν Ἑκάτης μυστηρίων. τοῦτο δὲ εἰς Κινησίαν τὸν διθυραμβοποιὸν ἀποσκώπτει. οὗτος γὰρ ᾄδων κατετίλησε τῆς Ἑκάτης. ἢ ὅτι εἰσήνεγκε δρᾶμα, καὶ κατετίλησεν αὐτήν.

Σχόλια. Ἢ τοὺς μισθούς.] οὓς ἔλαβε παρὰ τῆς βουλῆς αὐτοῖς παρασχεῖν. λέγει δὲ διὰ τὸν Ἀρχῖνον. Τούτοισιν ἀπαυδῶ.] παρὰ τὴν ἱεροφάντου καὶ δᾳδούχου πρόρρησιν, τὴν ἐν τῇ ποικίλῃ στοᾷ. Χώρει νῦν.] εἴσθεσις ἑτέρα μέλους μονοστροφικοῦ διαιρεθέντος τοῦ χοροῦ ἐκ κώλων ἀναπαιστικῶν ι. ὧν τὰ μὲν ἄκρα καὶ τὸ δ. καὶ ε. δίμετρα ἀκατάληκτα. τὸ δὲ β καὶ ς ἑφθημιμερῆ. τὸ γ καὶ τὸ η δίμετρα βραχυκατάληκτα. τὰ δὲ λοιπὰ τρίμετρα καταληκτικὰ εἰς συλλαβήν. ἑξῆς δὲ στίχοι δύο ἀναπαιστικοὶ τετράμετροι καταληκτικοὶ ὡς ἐξ ἑτέρας στροφῆς. ἐπὶ τῷ τέλει παράγραφος. ἐντεῦθεν δὲ ἠρίστηκε ὑπονόησον μὴ ὅλα τοῦ χοροῦ εἶναι τὰ πρῶτα. τοῦτο δὲ, ὡς ἀξιόπιστον. πολλάκις γὰρ ἀλλήλοις οὕτω παρακελεύονται οἱ περὶ τὸν χορόν. Ἐγκρούων.] βαίνων εὐρύθμως ἢ ἀντὶ τοῦ ἐκβάλλων. Ἠρίστηται.] ἄριστον γεγένηται τὸ τῆς τελετῆς. ἔμβα δὲ ἀντὶ τοῦ χόρευε. Αἴρῃς τὴν σώτειραν] ὑψώσεις τοῖς ἐπαίνοις. ἔστι γὰρ Ἀθήνησι σώτειρα λεγομένη, ᾗ καὶ θύουσιν.

F

BISETVS. Εἴσθεσις ἑτέρα μέλους μονοστροφικοῦ ἐκ κώλων ι. μεθ' ἃ ὡς ἐκ στροφῆς ἑτέρας κῶλα δ.

Ημ. Δήμητερ ἁγνῶν ὀργίων
Ἄνασσα συμπαραστάτει
Καὶ σῶζε τὸν σαυτῆς χορόν.
Καί μ' ἀσφαλῶς πανήμερον
Παῖσαί τε καὶ χορεῦσαι.
Καὶ πολλὰ μὲν γελοῖά μ' εἰπεῖν, πολλὰ δὲ σπουδαῖα καὶ
Τῆς σῆς ἑορτῆς ἀξίως
Παίσαντα καὶ σκώψαντα, νικήσαντα ταινιοῦσθαι.

SEM. Ceres pudica, quæ orgia
Regis, huc ades nobis Dea:
Chorúmque conseruatuum:
Tutóque perdium sine
Saltaréque & iocari:
Et multa risu dicere
G Condigna: multa seria,
Tuóque festo congrua,
Ludentem & irridentem alios,
Victrice fronde cingi.

Σχ. Δήμητερ.] εἴσθεσις ἑτέρα μέλους μονοστροφικοῦ ἐκ κώλων ἰαμβικῶν δέκα. ὧν τὸ πέμπτον καὶ τὸ δέκατον ἑφθημιμερῆ

μερῆ

μερῶν ἀκαταληκτῶν τριμετρα. τὸ δὲ λοιπὰ δίμετρα ἀκατάληκτα, ὧν τελευταῖον. κέκληται ταινιοῦσθαι ἑξῆς δὲ ὡς ἐξ ἑτέρας στροφῆς κῶλα τέσσαρα. ὧν τὸ πρῶτον καὶ τὸ τρίτον ἰαμβικά. τὸ μὲν τρίμετρον, τὸ δὲ δίμετρον. τὰ δὲ λοιπὰ

A τὰ τροχαϊκὰ δίμετρα βραχυκατάληκτα ἰθυφαλλικὰ καλούμενα Ἀρχιλόχεια. ἐπὶ τῷ τέλει παράγραφος. Παῖζε.] ἀντὶ τοῦ παῖξαι. ταινιοῦσθαι. στεφανοῦσθαι. ταινία γὰρ σημαίνει τοῦ στεφάνου.

Χο. Ἄγ' εἶα νῦν γε καὶ τὸν ὡραῖον θεὸν
Παρακαλεῖτε δεῦρο
Ὠδαῖσι, τὸν ξυνέμπορον
Τῆσδε τῆς χορείας.

CH. Age eia, nunc & istum festiuum Deum
Modulatu vocate
Vestro: sodalem ludicræ
Inclytum choreæ.

Σχόλια. Τὸν ὡραῖον.] τὸν ἐν καιρῷ φαινόμενον Διόνυσον. ἐπεὶ τὸν καιρὸν τοῦ ἔαρος τὰς ἑορτὰς αὐτῷ ἦγον B καὶ τὰ κωμικὰ δράματα ἐν ταύταις εἰσῆγον.

Βισετυς. Εἰσθέσεις ἑτέρου μέλους διαιρεθέντος αὖθις τοῦ χοροῦ, ἐκ κώλων ιη.

Ημ. Ἴακχε πολυτίμητε μέλος ἑορτῆς
Ἥδιστον εὑρών, δεῦρο συνακολούθει
Πρὸς τὴν θεὸν, καὶ δεῖξον ὡς
Ἀνευ πόνου πολλὴν ὁδὸν περαίνεις.
Ἴακχε φιλοχορευτὰ συμπρόπεμπέ με.
Σὺ γὰρ κατεσχίσω μὲν ἐπὶ γέλωτι
Κἀπ' εὐτελείᾳ, τόνδε
Τόν τε σανδαλίσκον καὶ τὸ ῥάκος.
Κἀξηῦρες ὥστ' ἀζημίους
Παίζειν τε καὶ χορεύειν.
Ἴακχε φιλοχορευτὰ συμπρόπεμπέ με.
Καὶ γὰρ παραβλέψας τι μειρακίσκης
Νῦν δὴ κατεῖδον καὶ μάλ' εὐπροσώπου
Συμπαιστρίας, χιτωνίου
Παραρραγέντος, τιτθίον προκύψαν.
Ἴακχε φιλοχορευτὰ, συμπρόπεμπέ με.
Ξαν. Ἐγὼ δ' ἀεί πως φιλακόλουθός εἰμι, καὶ μετ' αὐτῆς
Παίζων χορεύειν βούλομαι. Δι. κἄγωγε πρός.

SEM. Iacche venerande: ô hilaris in hoc die
Cantus repertor, huc age, comitare
Nos ad Deam, & dic, quomodo
Multum viæ conficias sine labore.
C Iacche, chori amator, consequare me.
Tu discidisti enim propter cachinnum,
Et parsimoniam, istum
Talum sordidum tritúmque amictum:
Vt absque damno lusibus
Vacemus & choreis.
Iacche, chori amator, consequare me:
Nam conspicatus hic aliquam puellam
D Modo iam vidi, & valde quidem elegantem
Consortem: & è velamine
Scisso eminentes aspexi papillas.
Iacche, chori amator, consequare me.
XA. Ego vero lubens vos consequar: nam cum lepida hac puella
Colludere, & saltare volo. BA. volo ego itidē.

Σχόλια. Ἴακχε.] εἰσθέσεις ἑτέρου μέλους διαιρεθέντος αὖθις τοῦ χοροῦ, ἐκ κώλων ὀκτωκαίδεκα. ὧν τὰ μὲν α΄ β΄ δ΄ ς΄ ιβ΄ ιγ΄ ιε΄. τρίμετρα κατὰ στίχον. τὸ δὲ γ΄ η΄ θ΄ ιδ΄. δίμετρα ἀκατάληκτα. τὰ δὲ ἑξῆς τὸ τελευταῖον τρίμετρα ἀκατάληκτα. τὸ ζ΄ καὶ ι΄ ἑφθημιμερῆ. τὸ ιζ΄. τετράμετρον καταληκτικόν. ἐν τῷ ἀπὸ θέσεως τῶν συστημάτων παράγραφοι. Συνακολούθει.] τοῦτο ἐπειδὴ εἰς Ἐλευσῖνα ὁδεύουσιν ἀπὸ τοῦ Κεραμεικοῦ προπέμποντες τὸν Διόνυσον. τὸ δὲ ἄνευ πόνου τὴν πολλὴν ὁδὸν περαίνεις, ἀντὶ τοῦ μετ' ἡμῶν ῥᾳδίαν πάνυ τὴν ὁδὸν ποίησον. ἐπεὶ ἐν τοῖς ῥακίοις διατρίβουσιν ἐφαινετο ἡμῖν ἐξαίφνης ὑπεναντία... τοῖς, ἐνταῦθα, ὁ εὕρες ὡς ὁδὸς ἄνευ πόνου τοῖς ... ποιεῖσθαι. ταῦτα γὰρ αὐτοῖς ... Σὺ γὰρ κατεσχίσω.]

E ἴδει τοῦ ἔχειν κατεσχίσθη. εὔρηται γὰρ ὁ αὐτὸς Ἴακχος τῷ Διονύσῳ καί τινας, ἐπὶ δὲ Διονύσῳ αἱ κωμῳδίαι ἀνάγονται. ἔοικε δὲ παρεμφαίνειν ὅτι ἤδη λιτῶς ἐχορηγεῖτο τοῖς ποιηταῖς. ἐπὶ γοῦν τοῦ Καλλίου τούτου φησὶν Ἀριστοτέλης ὅτι συνδυο ἔδοξε χορηγεῖν τὰ Διονύσια τοῖς τραγῳδοῖς καὶ κωμῳδοῖς. ὥστε ἦν τις ἀγὼν ... λῆναι κἂν συστολῇ χρόνῳ. δι' οὐ πολλοὶ ὕστερον καθάπερ τὰς χορηγίας ἀφεῖλε Κινησίας. Καὶ τὸ ῥάκος.] ὅτι δ' ὑπὸ ταῦτα, τὴν αὐτὴν ἔννοιαν ἔχει. ῥάκος δὲ οἱ μὲν τὸ τριβώνιον, οἱ δὲ τὸ προσωπεῖον, ὅτι ῥάκεσι καλύπτεται. Καὶ μετ' αὐτῆς.] τοῦ προσώπου τὸ αἴτιον, συμπαιστρίας μετ' αὐτῆς τῆς F συμπαιστρίας δηλονότι. Κἄγωγε πρός.] τοῦτό τινες Διονύσου φασὶ μεταξὺ παρεμβαλόν. ὡς λέγειν.

Βισετυς. Στροφὴ κώλων ιδ.

Χο. Βούλεσθε δῆτα κοινῇ
Σκώψωμεν Ἀρχέδημον;
Ὃς ἑπτέτης ὢν, οὐκ ἔφυσε φράτερας.
Νυνὶ δὲ δημαγωγεῖ

CH. Vultis ne, nos vt vnà
Taxemus Archidemum?
Qui septennis nondum tribules edidit.
Nunc mortuus in vrbe,

Σχόλ. Βούλεσθε δῆτα.] στροφὴ ἐκ εἰσθέσεως χοροῦ ἐπιρρηματικὴ ἐκ κώλων τεσσαρεσκαίδεκα ἰαμβικῶν ἐφθημιμερῶν. πλὴν τοῦ γ΄ ς΄ θ΄ ιβ΄. καὶ τελευταίου τριμέτρων ἀκαταλήκτων. ἐπὶ τῷ τέλει παράγραφος. ὁ δὲ χορὸς λαγνείαν ἐπιρρίπτει αὐφοτέρων σκώπτων, τοῦ τε διασύρειν καὶ τοῦ δῆλον. τοῦτό φησιν. ὁ δὲ Ἀρχέδημος ὡς ξένος παρ' αὐτοῦ κωμῳδεῖται. νόμος γὰρ ἦν τοὺς ἐξ ἀλλοδαπῆς Ἀθήνησι καλεῖ-

G καὶ ἐν ἰδίῳ τέλει, εἰς πολίτας ἐντεῦθα χρόνον ὀλίγον διατελέσαντας ἐγγραφῆναι. ... Ἀρχέδημος ἐκ ποίησε ὁ ἐστι οὐ ... ὅτι ὡς ἐπὶ τὸ πολὺ ... ἤδη, ὥστε τοὺς πολίτας ὥσπερ συγγενεῖς ἔχειν ... ἑξῆς δὲ τοῦ ὅλου τῆς στροφῆς τὸ εἰσθέσεις σύστημα κατὰ ἀντεισθέσεων ... κώλων θ΄ ἀναλόγως τῇ στροφῇ κειμένων. ὧν τὸ τελευταῖον παραγραφομένου. Οὐκ ἔφυσε φράτερας.] ἀντὶ τοῦ εἰπεῖν

ἐκ ἰφυσεν ὀδόντας. ἵνα ὡς ξένον διαβάλλῃ, ἡ δὲ παροιμία ἐπὶ τῆς ὧν ὀδόντας ἐκ ἰφυσεν. ἄλλως. αἴτιον εἰπεῖν ὀδόντας, συγχῶρες εἴπεν. ἡ μεταφορὰ ἀπὸ τῶν . . . ἑπτὰ ἔτη, ἔχουσι πάντας τοὺς ὀδόντας. λέγει

A οἶνου, ὅτι χρονίζει ἐν ταῖς Ἀθήναις, ὡς ἐδυνήθη ἀναγραφῆναι εἰς τοὺς πολίτας. ἐπεὶ δὲ ὡς ξένος κωμῳδεῖται. καὶ Εὔπολις Βάπταις. ἐπιχώριος δ' ἐστὶ καὶ ξένος ἀπὸ χθονός.

Εν τοῖς ἄνω νεκροῖσι
Κἀστι τὰ πρῶτα τῆς ἐκεῖ μοχθηρίας.
Τὸν Κλεισθένη δ' ἀκούω
Εν ταῖς ταφαῖσι, πρωκτὸν
Τίλλειν ἑαυτοῦ, καὶ σπαράττειν τὰς γνάθους.
Κἀκόπτετ' ἐγκεκυφώς.
Κἄκλαε, κἀκεκράγει
Σεβῖνον ὅς τις ἐστὶν Ἀναφλύστιος.
Καὶ Καλλίαν γέ φασι
Τοῦτον τὸν Ἱπποβίνου,
Κύσθου λεοντῆν ναυμαχεῖν ἐνημμένον.

Remp. administrat:
Et principatum nequitiæ illic obtinet.
Et fama Clisthenem fert,
Anum sibi in sepulcris
B Conuellere, & genas depiles reddere.
Præcisus hic supinus,
Plorabat & vocabat
Sebinum: quisquis ille est tandem Anaphlystius.
Tum Calliam, Cinædi
Gnatum, ferant, amictum
Cunni leonina fuisse in prælio.

Σχόλιον. Ἐν τοῖς ἄνω νεκροῖς.] ἤγουν ὡς Ἀπολλώνιος πρὸς τὴν ἐξήγησιν τὴν εἰμὶ νεκρομαχίαν τὴν περὶ τῶν πρῶν, ὅτι διὰ τὴν κακοπραγίαν, νεκροὺς τοὺς Ἀθηναίους λέγει. ψυχαὶ γὰρ ἀλλὰ πιθανῶς οἱ κάτω τοὺς ζῶντας, ἄνω νεκροὺς φασιν. ἢ ὅτι κατὰ τείχεσιν ἐν τοῖς ἐπάνω ἀπὸ τῶν στρατηγῶν. ἄλλως. νεκροὺς τοὺς Ἀθηναίους λέγει ἢ διότι τὸ ἀρχαῖον φρόνημα ἀποβεβλήκασιν. ἢ διότι οἱ ἐν τῷ κόσμῳ ἄνθρωποι εἰ καὶ ζῶσιν, ἀλλὰ τοῖς τῶν βίων ματαίοις ἐδουλώθημεν δ' ἐν ὁτέρα τῶν τεθνηκότων πάσχουσι ζῶντες κολαζόμενοι. ἢ διότι πολλοῖς κακοῖς ὑπὸ τῶν δημαγωγῶν καταλειβόμενοι, ἀναισθήτως ἔχουσιν ὡς νεκροί. ἀγωγῶν καταλειβόμενοι, ἀναισθήτως ἔχουσιν ὡς νεκροὶ τοὺς ἀτιμωρήτους ὄντας. χάριν δὲ τῶν ὑπὸ τῶν νεκρῶν τοὺς ζῶντας καλεῖ νεκρούς. Τῆς ἐκεῖθεν μοχθηρίας.] ἀντὶ τοῦ εἰπεῖν δημαγωγίας ἢ πολιτείας, μοχθηρίας εἶπεν χαρίεντως πρὸς τὸ κακὰ αὐτῶν. Τὸν Κλεισθένη.] διαβάλλει τὸν Κλεισθένην ὡς φαῦλον, καὶ πρὸς τὸν Σεβῖνον πορνευόμενον. διὸ καὶ ὁ ἐν τοπαθουσιν φησιν ἐπὶ τῇ τούτου πυνομένου. Ἐν ταῖς ταφαῖσι.] ταφαὶ, ὅτι οἱ ἐνδόξως τετελευτηκότες ἐθάπτοντο δημοσίᾳ. ἄλλως. τοῦ C πολέμου ἀποθανοῦσι, δημοσίᾳ ταφὰς ἐποιοῦντο. τίλλοντας τείχας καὶ κόπτοντας, ὡς μάλιστα ἐπὶ τεθνηκότι, ἀναίσχυντος. ἅμα δὲ εἰς μαλακίαν. καὶ τὸ κόπτεσθαι κακεμφάτως. Σεβῖνον, ὅς τις ἐστὶν Ἀναφλύστιος.] κακεμφάτως τοῦτο, ὡς πρὸς τὴν μαλακίαν Κλεισθένους, ἀπὸ τὸ αἰσχρόν. πιθανῶς δὲ τὸ ὅς τις, ἐμφαίνει, ὡς ὑπὸ τοῦ ἑνὸς μόνου παραιτούμενον. πέπλασαι δὲ αὐτοῦ ὥσπερ ὁ Σεβῖνος, οὕτω καὶ ὁ Ἀναφλύστιος. ἀναφλᾶν γὰρ ἔλεγον τὸ μαλάσσειν τὸ αἰδοῖον. καὶ Σεβῖνος ἴσως παρὰ τὸ βινεῖν. ἔστι δὲ καὶ D Σεβῖνος ὄνομα πεπλασμένον παρὰ Πλάτωνι ποιητῇ. ἔστι δὲ καὶ δῆμος Ἀττικῆς Ἀναφλύστιος. Τοῦτον τὸν Ἱπποβίνου.] παραγραμματίσας διὰ τὴν ἀσέλγειαν, παρὰ τὸ Ἱππονίκου εἰς πορνομανῆ. τὸ δὲ ἵππος πολλαχοῦ, ἐπὶ τοῦ μεγάλου λαμβάνουσιν. ἱππόπορνε. κωμῳδεῖται δὲ καὶ ὁ Καλλίας, ὡς σπαθῶν τὴν πατρῴαν οὐσίαν. καὶ μάλιστα ἐπὶ γυναιξὶ μιμητάς. ἢ τοῦ κληνοβάτου.

BISETVS. Σύστημα κατὰ περικοπὴν E ἐκ κώλων ϛ.

ΔΙ. Ἔχοιτ' ἂν οὖν φράσαι νῷν,
Πλούτων ὅπη 'νθάδ' οἰκεῖ;
Ξένω γὰρ ἐσμὲν, ἀρτίως ἀφιγμένω.
ΧΟ. Μηδὲν μακρὰν ἀπέλθῃς.
Μηδ' αὖθις ἐπανέρῃ με.
Ἀλλ' ἴσθ' ἐπ' αὐτὴν τὴν θύραν ἀφιγμένος.
ΔΙ. Αἴροιο αὖ αὖθις αὖ γε παῖ τὰ στρώματα.
ΞΑ. Τουτὶ τί ἦν τὸ πρᾶγμα;
Ἀλλ' ἢ Διὸς Κόρινθος ἐν τοῖς στρώμασι.

BA. Scitin' monstrare nobis,
Vbi Pluton hic moretur?
Nam peregrini sumus: & modo huc aduenimus.
CH. Ne longiùs recedas,
Neu denuò roges me:
Sed ipsum te scito attigisse hic ostium.
F BA. Agè puer iterum tu hæc sustolle stragula.
XA. Quid hoc rei sit obsecro?
Nisi, quòd Iouis Corinthus in ipsis stragulis?

Σχόλια. Ἀλλ' ἢ Διὸς Κόρινθος.] παροιμία ἐπὶ τῶν τὰ αὐτὰ συνεχῶς λεγόντων. τῶν Μεγαρέων ἀποστάντων Κορινθίων, ἀπιὼν ἄγγελος κῆρυξ πολλάκις λέγων, ὅτι ἀγανακτήσεται ὑμῖν ὁ τοῦ Διὸς Κόρινθος. ἐπιμένοντες οὖν οὗτοι καὶ ἀγανακτήσει ὑμῖν ὁ τοῦ Διὸς Κόρινθος. οἱ δὲ Μεγαρεῖς συγχυθέντες καὶ εἰς ὀργὴν τὸ λέγων. οἱ δὲ Μεγαρεῖς συνταχθέντες καὶ εἰς ὀργὴν τρεπόντες ἔλεγον, παῖε παῖε τὸν Διὸς Κόρινθον. τοσπλὰ τὸν κήρυκα. καὶ παροιμία ἐλέχθη ἐπὶ ταυτολογούντων ἀεὶ καὶ τὰ αὐτὰ πραττόντων. ὁ δὲ Διὸς Κόρινθος παῖς Διὸς βασιλεὺς Κορίνθου. Μεγαρεῖς δὲ ὑποτελεῖς ἦσαν Κορινθίοις. Μεγαρέας φασὶ Κορινθίων ἀποίκους, πολλὰ τοῖς Κορινθίοις κατ' ἰσχὺν τῆς πόλεως ὑπομένειν. ἄλλα τε γὰρ πλείονα τοὺς Κορινθίους προστάττειν, καὶ τῶν Βακχιαδῶν εἴ τις τελευτήσει, διώκουσι δ' αὐτοὶ τὴν πόλιν, δεῖ δ' οὖν Μεγαρέων ἄνδρας καὶ γυναῖκας ἐλθόντας εἰς Κόρινθον συγκηδεύειν τὸν νεκρὸν τῶν Βακχιαδῶν. ὡς δὲ ὕβρεως οὐδὲν ἀπέλειπον οἱ Κορίνθιοι, τὰ δὲ τῶν Μεγαρέων ἔρρωτο καὶ πρὸς ἐλπίδα τοῦ μηδὲν παθεῖν ἀποστάντες αὐτούς, ἀλλ' ἀφίσταται, πέμπουσι δὴ πρέσβεις οἱ Κορίνθιοι, κατηγορήσοντας Μεγαρέων. οἱ προσελθόντες εἰς τὴν ἐκκλησίαν, ἄλλα τε πολλὰ διεξῆλθον, καὶ τέλος, G δεινῶς σχετλιάζοι ὁ Διὸς Κόρινθος, εἰ μὴ λάβοι δίκην παρ' αὐτῶν. ἐφ' οἷς παροργισθέντες οἱ Μεγαρεῖς, τοὺς πρέσβεις λίθοις ἔβαλλον. καὶ κατὰ μικρὸν ἐπιβοήσαντων τινῶν τοῖς Κορινθίοις, καὶ μάχης γενομένης νικήσαντες, φυγῇ τῶν Κορινθίων ἀποφυγόντων ἐφεπόμενοι ἐβόων ἅμα παίειν τὸν Διὸς Κόρινθον ἐκέλευον. ὅθεν φησὶν ὁ Δήμων ἔτι καὶ νῦν ἐπὶ τῶν ἀγανακτούντων καὶ ὅσων ὡς ἀπαλλαττόντων, τὴν παροιμίαν τίθεσθαι.

BISETVS.

BISETVS. Εἰσθέσις ἑτέρου μέλους

Χο. Χωρεῖτε νῦν ἱερὸν ἀνὰ κύκλον θεᾶς,
Ἀνθοφόρον ἀν' ἄλσος
Παίζοντες, οἷς μέτουσία
Θεοφιλοῦς ἑορτῆς.
Δι. Ἐγὼ δὲ σὺν ταῖσι κόραις
Εἶμι καὶ γυναιξὶν,
Οὗ παννυχίζουσι θεᾷ,
Φέγγος ἱερὸν οἴσων.

A CH. Nunc ite in orbem sacrũ legifera Deæ
Et nemore in amœno.
Saltate: quis consortium est
Deicolæ diei.
BA. Ego verò cum virginibus
Ibo fœminisque:
Vbi noctem Deæ peruigilant:
B Præferámque facem illis.

Σχόλια. Χωρεῖτε νῦν] εἰσθέσις ἑτέρου μέλους ἀντιστροφικοῦ διαιρεθέντος αὖθις τοῦ χοροῦ, καὶ τοῦ μὲν τὴν στροφὴν ᾄδοντος, τοῦ δὲ τὴν ἀντιστροφήν. καὶ εἰσὶ τῆς μὲν στροφῆς οὖν τὰ κῶλα ὀκτώ. τὸ πρῶτον ἰωνικὸν ἀπὸ μείζονος τρίμετρον καταληκτικὸν τοῦ δευτέρου ποδὸς ἐξασυλλάβου. τὸ β΄ δὲ καὶ τελευταῖον παιωνικὰ δίμετρα καταληκτικὰ ἐκ παίωνος πρώτου ἢ τετάρτου καὶ βακχείου ἢ ἀμφιβραχέος. τὸ τρίτον ἰαμβικὸν δίμετρον ἀκατάληκτον. τὸ πέμπτον καὶ ἕβδομον ἐπιχοριαμβικὰ δίμετρα ἀκατάληκτα ἐκ διϊάμβου ἢ ἐπιτρίτου τρίτου καὶ χοριάμβου. τὸ ἕκτον, τροχαϊκὸν ἰθυφαλλικόν. τῆς δὲ στροφῆς τὰ κῶλα ἕξ. καὶ τὰ τῆς ἀντιστροφῆς τοσαῦτα. ὧν τὰ πρῶτα ἰαμβικὰ δίμετρα ἀκατάληκτα. τὰ δεύτερα καταληκτικὰ ἤτοι ἑφθημιμερῆ. τὸ μέντοι τῆς ἀντιστροφῆς τετράβραχυν ἔχει τὸν δεύτερον πόδα. εἶτα καὶ ἀντὶ τοῦ ἱλαρὸν ἱερὸν γράφεται. τὰ τρίτα ἰωνικὰ ἀπὸ μείζονος δίμετρα καταληκτικὰ ἐκ παίωνος δευτέρου καὶ [illegible] ἢ τοῦ ἀμφιμάκρου. τὰ πέμπτα καὶ τὰ ἕκτα ὁμοίως. τὰ μέντοι τῆς ἀντιστροφῆς ἀντ' ἰωνικῶν ἔχει παίωνας δευτέρους. τὰ τελευταῖα ἰωνικὰ ἡμιόλια ἤτοι δίμετρα βραχυκατάληκτα. ἐπὶ τῷ τέλει τῆς μὲν στροφῆς οὖν καὶ τῆς στροφῆς παράγραφος. τῆς δὲ ἀντιστροφῆς κορωνίς. ἄλλως. χωρεῖτε νῦν. δύνανται πάντες οἱ κατὰ τὸν χορὸν, ἀλλ' ὡς παρακελεύεσθαι, καὶ μὴ ὡς ἀμοιβαῖα διαιρεῖσθαι. ἀλλὰ τοῦτο εἰς οὐδὲν φαίνοιτο ἂν οἰκονομούμενος.

BISETVS. Στροφὴ κώλων ϛ΄.

Χο. Χωρῶμεν ἐς πολυρρόδους
Λειμῶνας ἀνθεμώδεις,
Τὸν ἡμέτερον τρόπον
Τὸν καλλιχορώτατον
Παίζοντες, ὃν ὄλβιαι
Μοῖραι ξυνάγουσι.

CH. Eamus hac in florida,
D Herbis referta prata:
Et nunc solito pede
Ithunc lepidum chorum
Agamus: amica quem
Huc fata reducunt.

Σχόλια. Τὸν ἡμέτερον.] ἀντὶ τοῦ κατὰ τὸν ἡμέτερον τρόπον ὡς ἔθος ἔχομεν παίζοντες.

BISETVS. Ἀντιστροφὴ κώλων ϛ΄.

Μόνοις γὰρ ἡμῖν ἥλιος,
Καὶ φέγγος ἱλαρόν ἐστιν,
Ὅσοι μεμυήμεθ', εὐ-
σεβῆ τε διήγομεν
Τρόπον περί τε ξένους,
Καὶ τοὺς ἰδιώτας.

E Nobis enim Sol fulgidus,
Solis & hilaris est lux:
Sacris qui initiamur, &
Piam bene degimus
Vitam, erga & incolas,
Erga & peregrinos.

Σχόλια. Ὅσοι μεμυήμεθ.] ἐμυστάγωγήθημεν. μυστήρια δὲ ἐκλήθη παρὰ τὸ τοὺς ἀκούοντας, μύειν τὸ στόμα, καὶ μηδενὶ ταῦτα ἐξηγεῖσθαι. μύειν δέ ἐστι τὸ κλείειν τὸ στόμα. Καὶ τοὺς ἰδιώτας.] ἀντὶ τοὺς ἰδίους. τοὺς πολίτας. ἀντίστρωνται δὲ τοῦτο τὸ ἴδιον ἀντὶ τοῦ ἰδιωτικοῦ. καὶ οὕτω πολλάκις εἴρηται κατὰ συνήθειαν. σημειωτέον ὅτι καὶ ἰδιώτης λέγεται, ὁ πρὸς γένος ἴδιος καὶ ὁ ἀμαθής.

ΔΡΑΜΑΤΟΣ ΤΟΥ ΔΕΥΤΕΡΟΥ
Σκηνὴ πρώτη.
ΔΙΟΝΥΣΟΣ, ΞΑΝΘΙΑΣ, ΑΙΑΚΟΣ.

ACTVS II. SCENA I.
BACCHVS, XANTHIAS, ÆACVS.

BISETVS. Ὁ Διόνυσος πρὸς τὸ τοῦ Πλούτωνος βασίλειον ἐλθὼν, τὴν αὐτὴν θύραν ἐλαφρῶς κόπτει. Αἰακὸς δὲ τὸν τῆς θύρας κοπείσης ἦχον αἰσθόμενος πρὸς αὐτὴν ὁρμᾶται, ὅπως γνοίη τίς ποτε τις ἂν εἴη ὁ ταύτην κόψας, καὶ τὸ ῥόπαλον, καὶ τὴν λεοντῆν ἰδὼν, τὸν Ἡρακλέα παρεῖναι νομίζων, τὰς γοργόνας, τὰς ἁρπυίας προσκαλέσων τρέχει, ἵνα τοῦτον ἁρπάσωσι, καὶ συνδήσωσι.

Ἄγε δὴ τίνα τρόπον τὴν θύραν κόψω; τίνα;
Πῶς ἐνθαδὶ ἄρα κόπτουσιν οἱ ἐπιχώριοι;

G Age quomodo ostium pulsabo? quomodo?
Aut quo pacto pulsant huius loci incolæ?

Σχόλια. Ἄγε δή.] κορωνὶς εἰσιόντων αὖθις τῶν ὑποκριτῶν. εἰσὶ δὲ στίχοι ἰαμβικοὶ τρίμετροι ἀκατάληκτοι ὧν τελευταῖος ἐμοῦ δ' ἐπεθείης ἂν εἰ θεὸς θέλει. ἐπὶ τῷ τέλει κορωνίς.

Ξα. Οὐ μὴ διατρίψῃς, ἀλλὰ γεύσῃ τῆς θύρας,
Καθ' Ἡρακλέα τὸ σχῆμα, καὶ τὸ λῆμ' ἔχων.
Δι. Παῖ, παῖ. Αἰα. τίς οὗτος; Δι. Ἡρακλῆς ὁ καρτερός.
Αἰα. Ὦ βδελυρὲ, κἀναίσχυντε, καὶ τολμηρὲ σὺ,
Καὶ μιαρὲ, καὶ παμμίαρε, καὶ μιαρώτατε,
Ὃς τὸν κύν' ἡμῶν ἐξελάσας τὸν Κέρβερον,
Ἀπῆξας ἄγχων, κἀποδρὰς ᾤχου λαβὼν,
Ὃν ἐγὼ 'φύλαττον. ἀλλὰ νῦν ἔχει μέσος,
Τοία Στυγός σε μελανοκάρδιος πέτρα,
Ἀχερόντιός τε σκόπελος αἱματοσταγὴς,
Φρουροῦσι, Κωκυτοῦ τε περίδρομοι κύνες,
Ἔχιδνά θ' ἑκατογκέφαλος, ἣ τὰ σπλάγχνα σου
Διασπαράξει, πλευμόνων τ' ἀνθάψεται
Ταρτησία μύραινα, τὼ νεφρὼ δέ σου,
Αὐτοῖσιν ἐντέροισιν ἡματωμένω,
Διασπάσονται Γοργόνες Τιθράσιαι.
Ἐφ' ἃς ἐγὼ δρομαῖον ὁρμήσω πόδα.
Ξα. Οὗτος, τί δέδρακας; Δι. ἐγκέχοδα, κάλει θεόν.
Ξα. Ὦ καταγέλαστ', οὔκουν ἀναστήσῃ ταχὺ,
Πρίν τινά σ' ἰδεῖν ἀλλότριον; Δι. ἀλλ' ὡρακιῶ,
Ἀλλ', οἶσε πρὸς τὴν καρδίαν μου σπογγιάν.
Ξα. Ἰδοὺ λαβέ. Διόν. πρόσθου, ποῦ 'στιν; Ξανθ. ὦ χρυσοῖ θεοὶ,
Ἐνταῦθ' ἔχεις τὴν καρδίαν; Δι. δείσασα γὰρ
Εἰς τὴν κάτω μου κοιλίαν καθείρπυσεν.
Ξα. Ὦ δειλότατε θεῶν σὺ κἀνθρώπων! Δι. ἐγώ;

A *ΧΑ. Caue, ne conteras, sed fac periculum:*
Quippe & figuram habes, & ipsum animum Herculis.
ΒΑ. Heus, heus puer. ÆΑ. quis hic? ΒΑ. validus ille Hercules.
ÆΑ. O te scelestum, ô impudentem, ô perfidum,
O fœdum hominem, ô perquàm fœdum, ô fœdissimum:
B *Qui quondam Cerberum abegisti nostrum canem:*
Et obtorto collo hinc abduxisti, fuga
Dilapsus: ego quem asseruabam. At nunc furcifer
Medius teneris: nam Stygis te atrox petra,
Et sanguine manantes scopuli Acherontij,
Comminuent: & Cocyti circùm canes
Et belua centiceps: quæ etiam viscera tua
C *Discerpet: murena item Tartessia*
Pulmones tibi laniabunt: & renes tuos
Ipsis cruentatos visceribus, distrahent
Tithrasiæ Gorgones: ad quas cursum incito.
ΧΑ. Ehò, quid egisti? ΒΑ. cacaui, voca Deum.
ΧΑ. Homo ridicule: annon resurges illicò,
Prinsquàm te alius videat. ΒΑ. animus deficit.
Age ad cor applica tu spongiam mihi.
D *ΧΑ. Eccam tibi. ΒΑ. applica, vbi est? ΧΑ. ô aurei Dei,*
Hic ne cor habes tuum? ΒΑ. quoniam mihi præ metu
In anum descendit. ΧΑ. hominum timidissime
Iuxtà & Deorum. ΒΑ. egon'? quomodo timidus siem,

Σχόλια. Ἀλλὰ νῦν ἔχει μέσος.] ἀντὶ τοῦ μέσον εἰλήφθης. τοῦτο δὲ ἐκ μεταφορᾶς τῶν ἀθλητῶν. τὸ ἔχει δὲ, οὕτως E Ἀττικοὶ ἀντὶ τοῦ ἔχῃ ἀπὸ τοῦ ἔχομαι δευτέρου προσώπου. Μελανοκάρδιος.] διὰ τῆς λέξεως τὸ φοβερὸν εἶπε μελανοκάρδιος πέτρα. οὐ γὰρ ἔχει καρδίαν ἡ πέτρα. ἐκ μεταφορᾶς τῶν ἀγρίων ἀνθρώπων οὓς διὰ τὴν ἐπιβουλὴν αὐτοῖς ἐχθρότητα μελανοκαρδίους φασί, καὶ τὰ μὲν ἑαυτοῦ πλάττων λέγει, τὰ δὲ ἐξ Εὐριπίδου πρὸς φόβον Διονύσου. Περίδρομοι.] οἱ πανταχοῦ δυνάμενοι περιστρέφεσθαι. λέγει δὲ τὰς Ἐρινῦς. Ἔχιδνά θ' ἑκατογκέφαλος.] ὁ τόπος ἐστὶ παρὰ τὰ ἐν Θησεῖ Εὐριπίδου. κάρα τε γάρ σου συγχέω κόμαις ὁμοῦ. ῥανῶ τε δὴ ἐγκέφαλον. ὀμμάτων δ' ἄπο, αἱμοσταγεῖς πρηστῆρες ῥεύσονται κάτω. F

Bisetus. Ἑκατογκέφαλος] ἑκατογκέφαλος καὶ πλείον δοκεῖ ὡς καὶ ἐν τοῖς ἄνω προδεδήλωται.

Σχόλια. Ταρτησία μύραινα.] Μύραινα, δαίμων φοβερὰ, παρὰ τὸ μύρεσθαι, παρὰ τὰ ἐν Θησεῖ Εὐριπίδου. Ταρτησίαν δὲ εἶπε πρὸς τὸ ἐκπληκτικώτερον διὰ τὸ ἐκτετοπισμένον. λέγουσι δὲ Ταρτησίαν γαλῆν, ἀντὶ τοῦ μεγάλην. ἡ δὲ Ταρτησὸς Ἰβηρικὴ πόλις περὶ τὴν ἄορνον λίμνην. Μύραινα δὲ ἰχθὺς θαλάσσιος. ἀντὶ δὲ τοῦ εἰπεῖν ἔχιδναν, Μύραιναν εἶπε, τὸ γὰρ συγγενὲς, ἐπὶ πλησίον εἶπε G τούτοις. ἔστι δὲ τὰ ἐν Θησεῖ πεποιημένα Εὐριπίδῃ. ἐκεῖ γὰρ τοιοῦτός ἐστι σπουδάζων ὁ Εὐριπίδης οἷος ἐνταῦθα παίζων. Γοργόνες Τιθράσιαι.] ἀπὸ δήμου τῆς Ἀττικῆς πονηροῦ. ὡς εἰκῆ δὲ τοῦτο εἶπεν. ἀλλ' ἐοίκασι τὸν δῆμον διαβάλλειν τοῦτον, ὡς κακοπράγμονα. εἰσὶ δὲ οὗτοι ἀπὸ Τιθράττος τοῦ Πανδίονος παιδὸς ὠνομασμένοι. εἰς δὲ τὴν Αἰγηΐδα φυλὴν κατανενέμηνται. ἄλλως. Τιθράσιος τόπος τῆς Λιβύης, ἔνθα αἱ Γοργόνες διέτριβον. Οὗτος, τί δέδρακας.] ἰδὼν ὁ Ξανθίας διὰ τὸν φόβον ἀποπατήσαντα τὸν Διόνυσόν φησιν, οὗτος, τί δέδρακας. τὸ δὲ κάλει θεὸν, τινὲς οὕτως ἀποδεδώκασιν. ἐν τοῖς Ληναϊκοῖς ἀγῶσι τοῦ Διονύσου ὁ δᾳδοῦχος κατέχων λαμπάδα, λέγει καλεῖτε θεόν. καὶ οἱ ὑπακούοντες βοῶσι, Σεμελήϊ' Ἴακχε πλουτοδότα. ἢ πρὸς τὸ ἐν ταῖς θυσίαις ἐπιλεγόμενον. ἐπειδὰν γὰρ σπονδοποιήσωνται, ὡς ἐκκέχυται, λέγεται κάλει θεόν. πρὸς ὃ ἐξείλεκται εἰς τοῦτο. ἄλλως. κάλει θεόν. πρὸς βοήθειαν F κάλει θεόν. οὐ γὰρ Διόνυσος θεὸς ὢν, ὅτι εἶπεν αὐτῷ κάλει θεόν. τοῦτο γὰρ ἐν κωμῳδίᾳ πέπλασται. ἄλλως. εἰώθασιν οἱ μεγάλοις κακοῖς περιπίπτοντες θεὸν ἐπικαλεῖσθαι πρὸς ἀπαγγελίαν θυσίας τινὸς ὑποσχέσει. δείκνυσι δὲ ἐντεῦθεν, ὡς ὁ Διόνυσος οὐκ ἔστι θεὸς ὡς ἐν κωμῳδίᾳ παίζων. τὸ δὲ ἐγκέχοδα ἀπὸ τοῦ χέζω μέλλοντος παρακείμενος. Ἀλλ' ὡρακιῶ.] ὡρακιῶ. φροντίζω. ὤρα ἡ φροντίς. ἐκ δὲ φροντίδος ἐκλύεταί τις. ὡρακιᾶν δὲ λέγεται τὸ ὑπὸ φόβου ὡρακιᾶν ἀπὸ τοῦ τὴν ὥραν αἰνίζειν. τοῦτο δὲ Σοφοκλῆς εἶπεν ἐν Ἀμφιαράῳ σατυρικῷ, τὸ ὡρακιᾶσθαι θλιβομένου τῆς καρδίας. G τοῦτο δὲ πολλοῖς γίνεται.

Bisetus. Ὡρακιῶ] Εὐστάθιος, ὡρακιᾶν, τὸ φροντίζειν, παρὰ τὴν ὤραν. ὃ εἰλοῖ τὴν φροντίδα, λέγεται. ὥρα, τὸ κάλλος, καὶ ὁ καιρὸς, παρὰ τοῖς μὲν Ἀττικοῖς δασύνεται. ἄλλως δὲ ψιλοῦται. ὁμοίως τῇ ὤρᾳ, ὃ δηλοῖ τὴν φροντίδα, διὸ καὶ τὸ ὡρακιᾶν ψιλοῦται.

Σχόλια. Ποῦ 'στι.] ὁ Διόνυσος φοβούμενος λέγει, ποῦ ἐστὶν ἡ καρδία μου. Ἐνταῦθ' ἔχεις τὴν καρδίαν.] ἔνθα μου τὴν χεῖρα προσήγαγες. ἤγουν περὶ τὸν πρωκτόν. A λαμβάνει γὰρ ὁ Διόνυσος τὴν χεῖρα τοῦ Ξανθίου, καὶ προστίθησιν εἰς τὸν πρωκτόν. ὁ δὲ τίθησι τὸν σπόγγον εἰς τὸ αἰδοῖον αὐτοῦ γέλωτος χάριν.

Πῶς δειλὸς, ὅς τις σπογγιὰν ᾔτησά σε;
Οὐκ οὖν ἕτερός ταῦτ' εἰργάσατ' ἀνήρ. Ξανθ. ἀλλὰ τί;
Δι. Κατέκειτ' ἂν ὀσφραινόμενος, εἴπερ δειλὸς ἦν.
Ἐγὼ δ' ἀνέστην, καὶ προσέτ' ἀπεψησάμην.
Ξανθ. Ἀνδρεῖά γ' ὦ Πόσειδον. Δι. οἶμαι νὴ Δία.
Σὺ δ' οὐκ ἔδεισας τὸν ψόφον τῶν ῥημάτων,
Καὶ τὰς ἀπειλάς; Ξανθ. οὐ μὰ Δί', οὐδ' ἐφρόντισα.
Δι. Ἴθι νυν, ἐπειδὴ ληματιᾷς, κἀνδρεῖος εἶ,
Σὺ μὲν γενοῦ 'γὼ, τὸ ῥόπαλον τουτὶ λαβὼν,
Καὶ τὴν λεοντῆν, εἴπερ ἀφοβόσπλαγχνος εἶ.
Ἐγὼ δ' ἔσομαί σοι σκευοφόρος ἐν τῷ μέρει.
Ξανθ. Φέρε δὴ ταχέως αὔτ'. οὐ γὰρ, ἀλλὰ πειστέον.
Καὶ βλέψον εἰς τὸν Ἡρακλειοξανθίαν,
Εἰ δειλὸς ἔσομαι, καὶ κατὰ σὲ τὸ λῆμ' ἔχων.
Δι. Μὰ Δί', ἀλλ' ἀληθῶς οὐκ Μελίτης μαστιγίας.
Φέρε νυν, ἐγὼ τὰ στρώματ' αἴρωμαι ταδί.

Qui spongiam petiui? nunquam alius idem
Fecisset. XA. *quid igitur?* BA. *hic accubuisset utique,*
Et olfecisset, an meticulosus siem:
B *At ego surrexi insuper, atque abstersi nates.*
XA. *Animose, per Neptunum.* BA. *ita opinor, per Iouem:*
An tu strepitum verborum, atque has graues minas
Non extimuisti? XA. *non: neque huius astimo.*
BA. *Age nunc, quoniam ita superbis, & animosus es:*
Sis tu, quod ego sum, & hanc clauam sumas tibi, C
Et hanc Leoninam; siquidem tam impauidus es.
Ego verò in hac re baiulus tibi nunc ero.
XA. *Cedo ea mihi celeriter: non ausim, sed meo*
Mos est gerendus hero. Nunc tu, ad me respice,
Herculeum Xanthiam, an timidus fuero; & tui
Similem habuero animum? BA. *non per Iouem:*
Sed ex
D *Melite eris mastigia, age tollam hæc stragula.*

Σχόλια. Πῶς δειλός.] δειλός εἰμι ἐγὼ ὅτι ᾔτησά σε σπογγιάν. θαυμάζων δὲ τοῦτο λέγει ὁ Διόνυσος ἑαυτῷ, ὅτι οὐκ ἂν ἄλλος ᾔτησέ σε ὦ Ξανθία σπόγγον. ἀλλ' ἐσιώπησεν ἄν. τοῦ γὰρ δειλοῦ τὸ σιωπᾶν οἰκεῖον, οὐ τὸ λαλεῖν. τὸ δὲ ἐγὼ ἢ μόνον κατ' ἐρώτησιν, ἢ καθ' ὁμαλισμὸν μέχρι τοῦ δειλός. Ὀσφραινόμενος.] οἱ γὰρ ὑπὸ φόβου ἐκλυόμενοι, ὀσφρήσει τὸν πόνον παύουσιν. ὁ δὲ πόνος αὐτοῖς ἐκ καρδίας γίνεται. Ἀπεψησάμην.] κατεμαξάμην. ἀποψῆν λέγουσι, τὸ ἐκμάσσειν, καὶ ἐν Πλούτῳ. ἀποψώμεθα δ' οὐ λίθοις. Ἴθι νυν.] τὸ ἴθι ἀντὶ τοῦ E ἄγε, συνωνυμεῖ γὰρ τῷ δεῦρο. ὃ σημαίνει καὶ τὸ ἄγε. Ληματιᾷς.] λῆμά ἐστι τὸ φρόνημα. ληματιᾷς οὖν μέγα φρονεῖς. γράφεται οὖν καὶ λημαλίας χωρὶς τοῦ ι. ἤτοι μεγαλόφρων καὶ ἰσχυρός. Ἀφοβόσπλαγχνος.] ἄφοβος. ἐπειδήπερ ὁ φόβος ὡς φασὶν ἐν τοῖς σπλάγχνοις ἐστίν. ἡ ὅτι ἡ καρδία ἐν τοῖς σπλάγχνοις. περὶ ἣν ὁ φόβος γίνεται. Φέρε δὴ ταχέως.] οὐδαμῶς φησὶν ὀφείλεις λέγειν. ἀλλὰ καὶ F δέδοται ἵνα σοι πιστεύσω, ὅτι ἀληθῶς ἐπαγγέλῃ διδόναι μοι αὐτά. Εἰς τὸν Ἡρακλειοξανθίαν.] αὐτὸς Ξανθίας ἐκαλεῖτο. περιβέβληται δὲ ὅπλα τοῖς Ἡρακλέους αὐτός. συμμιγνὺς οὖν τὰ δύο ὁμοῦ, εἶπεν Ἡρακλειοξανθίαν. Οὐκ Μελίτης μαστιγίας.] ἀντὶ τοῦ ἐκ Μελίτης Ἡρακλῆς. ἡ γὰρ Μελίτη δῆμος τῆς Ἀττικῆς, ἐν ᾗ ἐμυήθη Ἡρακλῆς τὰ μικρὰ μυστήρια. ἔστι δὲ ἐκεῖ καὶ Ἡρακλέους ἱερόν. ἐκλήθη δὲ ἀπὸ Μελίτης νύμφης. ᾗ ἐμίγη ὁ Ἡρακλῆς. μαστιγίας δὲ ὡς πρὸς δοῦλον. περὶ δὲ τὴν ὑπόνοιαν σκώπτει, ἐπεὶ ἐν Μελίτῃ ἐστὶν ἐπιφανέστατον Ἡρακλέους ἱερὸν ἀλεξικάκου. ὁ δὲ Ξανθίας ἀντιμετείληφε τὴν Ἡρακλέους σκευήν. τὸ δὲ τοῦ Ἡρακλέους ἄγαλμα ἔργον Ἐλάδου τοῦ Ἀργείου, τοῦ διδασκάλου Φειδίου. ἡ δὲ ἵδρυσις ἐγένετο κατὰ τὸν μέγαν λοιμόν. ὅθεν καὶ ἐπαύσατο ἡ νόσος, πολλῶν ἀνθρώπων ἀπολλυμένων. Ἀπολλώνιος δὲ οὐ κακῶς ὑπονενοῆσθαί φησι, τὸ κωμῳδεῖσθαί τινα. ἴσως δὲ ὅτι ἦρχε, διὰ τοῦτο οὐκ ὠνομάσθη. ἢ ὀλίγον πρότερον εἰρῆσθαι. Καλλίας γὰρ ὁ Ἱππονίκου, ἐν Μελίτῃ ᾤκει. παρεικάζει δὲ αὐτὸν ἅμα τῷ Ἡρακλεῖ. ἅμα χλευάζων διὰ τὸ λεοντῆν ἐν ταῖς μάχαις χρῆσθαι. ὡς ἐν τοῖς ὀπίσω κεῖται, λεοντῆν ναυμαχεῖν ἐνημμένον. ἐπεὶ εἴγε οὕτως ἐπὶ τὸν Ἡρακλέα ἀνέφερε, τί μᾶλλον εἶπε τὸ ἐκ Μελίτης, καὶ μὴ ἐξ ἄλλου δήμου. πανταχοῦ γὰρ Ἡρακλέα ἐπιφανῆ. συνήθεις τε οὐχ οὕτω λέγειν ἐπὶ θεῶν, οὐκ Μελίτης. ἀλλ' ὁ ἐν Μελίτῃ, ὡς καὶ Ζεὺς ἐν Ὀλυμπίᾳ. ἐπὶ δὲ ἀνθρώπων, ἐκ Μελίτης. ἐξ Ἰοῦς. ἐκ Κολωνῶν. πῶς δὲ καὶ παλαιότερον ἦν Ἀριστοφάνους τὸ ἄγαλμα, εἰ ἀκμάζοντος τοῦ λοιμοῦ ἱδρύθη. σχεδὸν γὰρ μειρακίσκος ἤδη ἥπτετο τῶν ἀγώνων.

G

ΔΡΑΜΑΤΟΣ ΤΟΥ ΔΕΥΤΕΡΟΥ, Σκηνὴ δευτέρα.

ΘΕΡΑΠΑΙΝΑ ΠΕΡΣΕΦΟΝΗΣ, ΔΙΟΝΥΣΟΣ, ΞΑΝΘΙΑΣ.

Τρίμετροι.

ACTVS II. SCENA secunda.

FAMVLA PROSERPINAE, BACCHVS, XANTHIAS.

Trimetri.

Βισετυς. Ἡ τῆς Περσεφόνης θεράπαινα τὸν Διόνυσον, ὡς ἐκ τοῦ ῥοπάλου καὶ τῆς λεοντῆς Ἡρακλέα εἶναι οἰομένη, A πρὸς εὐωχίαν ὑπὸ τῆς δεσποίνης ἤδη παρεσκευασμένην ἐξαπίνης προσκαλεῖ, ἑρμᾶται.

Θε. Ὦ φίλταθ' ἥκεις Ἡράκλεις; δεῦρ' εἴσιθι.
Ἡ γὰρ θεός σ' ὡς ἐπύθεθ' ἥκοντ', εὐθέως
Ἔπεττεν ἄρτους, ἧψε κατερικτῶν χύτρας
Ἔτνους δύ' ἢ τρεῖς. βοῦν ἀπηνθράκιζ' ὅλον,
Πλακοῦντας ὤπτα, κολλάβους. ἀλλ' εἴσιθι.
Ξανθ. Κάλλιστ', ἐπαινῶ. Θε. μὰ τὸν Ἀπόλλω, οὐ μή σ' ἐγὼ
Περιόψομαι ἀπελθόντ'. ἐπεί τοι καὶ κρέα
Ἀνέβραττεν ὀρνίθεια, καὶ τραγήματα
Ἔφρυγε, κᾦνον ἀνεκέραννυ γλυκύτατον.
Ἀλλ' εἴσιθ' ἅμ' ἐμοί. Ξανθ. πάνυ καλῶς. Δι. ληρεῖς ἔχων.
Οὐ γάρ σ' ἀφήσω. Θε. καὶ γὰρ αὐλητρίς γέ σοι
Ἤδ' ἔνδον ἔσθ' ὡραιοτάτη, κὠρχηστρίδες,
Ἕτεραι δύ' ἢ τρεῖς. Ξανθ. πῶς λέγεις; ὀρχηστρίδες;
Θε. Ἡβυλλιῶσαι κἄρτι παρατετιλμέναι.
Ἀλλ' εἴσιθ', ὡς ὁ μάγειρος ἤδη τὰ τεμάχη
Ἤμελλ' ἀφαιρεῖν, χ' ἡ τράπεζ' εἰσῄρετο.
Ξανθ. Ἴθι νυν, φράσον πρώτιστα ταῖς αὐλητρίσι
Ταῖς ἔνδον οὔσαις, αὐτὸς ὡς εἰσέρχομαι.
Ὁ παῖς, ἀκολούθει δεῦρο τὰ σκεύη φέρων.
Δι. Ἐπίσχες οὗτος. οὔ τί που σπουδὴν ποιεῖς,
Ὁτιή σε παίζων Ἡρακλέα γ' ἐσκεύασα;
Οὐ μὴ φλυαρήσεις ἔχων, ὦ Ξανθία,
Ἀλλ' ἀράμενος γ' οἴσεις πάλιν τὰ στρώματα.
Ξανθ. Τί δ' ἐστίν; οὔ τί που μ' ἀφελέσθαι διανοεῖ
Ἃ δέδωκας αὐτός; Δι. οὐ τάχ'. ἀλλ' ἤδη ποῶ.
Κατάθου τὸ δέρμα. Ξανθ. ταῦτ' ἐγὼ μαρτύρομαι
Καὶ τοῖς θεοῖσιν ἐπιτρέπω. Δι. ποίοις θεοῖς;
Τὸ δὲ προσδοκῆσαί σ' οὐκ ἀνόητον καὶ κενόν,
Ὡς δοῦλος ὢν καὶ θνητὸς Ἀλκμήνης ἔσῃ;
Ξανθ. Ἀμέλει. καλῶς ἔχ' αὔτ'. ἴσως γάρ τοι ποτὲ
Ἐμοῦ δεηθείης ἄν, εἰ θεὸς θέλοι.

FA. *Venistin' Hercules optatissime? age, age*
Intra nam Dea postquam hoc rescivit, statim
Panes subegit, sumptisque ollis, ex fabis
Fresis duas aut tres pultes coxit: bovem
B *Assavit integrum: placentas torruit*
Quadrangulas, recentes: age, modo intro abi.
XA. *Facio tibi gratiam.* FA. *non ego te, ita me bonus*
Apollo amet, hinc abire sinam: quandoquidem hera
Etiam carnes pullorum elixavit tibi,
Frixitque tragemata: & vinum diluit
C *Dulcissimum: age una mecum ingredere.* XA. *Gratia est.*
BA. *Nugas agis: neque enim ego te ingredi sinam.*
FA. *Sed & tibicina intus est pulcerrima,*
Et saltatrices, & duae meretriculae,
Aut tres. XA. *quas tu saltatrices dicis mihi?*
FA. *Pubescentes, & vellicatas hic modo.*
Sed abi intro. nam cocus tomacula nunc erat
D *Detracturus foco, & mensa illata sit.* XA. *age*
Dic tu tibicinis, me ingressurum statim.
Puer heus, sequere me huc, & fer tecum stragula.
BAc. *Siste gradum, an tu convertas istud seriam*
In rem: ioco quod ex te fecerim Herculem?
Absit ne ineptias, mi serve Xanthia:
Sed tolle tu & fer ista tecum stragula.
E XA. *Quid hoc rei? an rursum mihi adimere cogitas,*
Quae tute dederas? BA. *non cogito: sed hoc iam ago.*
Depone pellem. XA. *herum te testem mihi cito:*
Et rem Deis committo. BA. *quibus Deis, cedo?*
Hoccine te sperare ausum vanum & stupidum hominem,
Qui servus & mortalis cum sis, nunc Iovis
F *Et Alcmenae dicare?* XA. *ne cures: bene*
Hoc iam habet: egebis me brevi: ubi Deus volet.

Σχόλια. Κατερικτῶν χύτρας.] τῶν κατερικομένων ὀσπρίων. λέγει δὲ τὰ χιζόμενα ὄσπρια τοὺς κυάμους, τὰ ἐρεικόμενα. καὶ τὴν [illegible] δέ, ἐντεῦθεν ὁμολογοῦσί τινες. Ἔτνους.] ὃ νῦν φάβα οἱ ἰδιῶται καὶ οἱ ἀγροῖκοι, τὸ διαλελυμένον ὑπὸ τῆς ἑψήσεως [illegible] ὁ χυτρόπους. ἄλλως Πρῶτον εἰπὼν καθολικῶς κατερικτῶν, ἤτοι κατηρεισμένων ὀσπρίων, εἶτα ὡς ἐν ἄλλο τῶν ὀσπρίων χιζόμενον ἀλλ' ἢ τοὺς κυάμους, ὅταν ἔτνος ποιῶσι θέλωμεν, ἐπάγει, τὸ ἔτνους. ἔχαιρε γὰρ τούτῳ πάνυ ὁ Ἡρακλῆς ἢ τῷ ἔτνει. ἑρμηνεία τοῦ κατερικτῶν. Κολλάβους.] τοὺς ἄρτους λέγει, τοὺς ἐοικότας τῇ πλάσει τοῖς κολλάβοις τῆς κιθάρας. οἱ δὲ εἶδός τι πλακοῦντος τετραγώνου ἢ ἄρτου μικροῦ [illegible] G [illegible] Πάνυ καλῶς.] [illegible] Ληρεῖς ἔχων.] [illegible] Καὶ γὰρ αὐλητρίς.] [illegible] ἀλλ' εἴσιθ' ἅμ' ἐμοί. Ἡβυλλιῶσαι.] [illegible]

τίλλωσι τὰ αἰδοῖα. ἢ ἀντὶ τοῦ ἀκμάζωσι. Αρτι ἐκβεβ-ἰλισμένη.] ἐκ τούτου δ' εἰκοῦ ὅτι ... ἐξίδ' ἑρον ἢ ἔτυπτον τὸ γυναικεῖον ... πάλαι ἐψίλουν. τὸ δ' ... ὡς ... τοιηπ. αἱ γυναῖκες τ' ... ται. τίλλουσι δὲ τὰς τρίχας αἱ νεόνυμφοι, ... ἐπανθούσας τῷ προσώπῳ τρίχας. καὶ τὰς τῶν ὀφρύων. ... γάρ ἐστι τοῦτο τοῦ ξυρεῖν. Τεμάχη.] τὰ κόμματα τῶν ἰχθύων. Αφαιρεῖν.] κόπτειν. ἢ διαιρεῖν. ἢ κλέπτειν. Εσφρεῖ.] ... ἀντὶ τοῦ εἰσεφέρετο. Εσίγεσι.] κρατεῖ τὸν Ξανθίαν ὁ Διόνυσος. τὸ δ' ... ἀντὶ τοῦ ἄρα, ἢ πρὸς

A τὸ οὕτω τις ... τὸ δὲ λοιπὸν κατ' ἐρώτησιν λέγε. οὕτω πως ἢ γοῦν οὐδαμῶς. ... ποιεῖς, ἤγουν ἀληθῶς τὸ νόμιζε ὅτι σὺ εἶ ... Ηρακλέα ... Αρά φησι νομίζεις σαυτὸν Ηρακλέα εἶναι, ἐπεὶ ἐποιήσω παίζων σχῆμα ... τοῦ Ηρακλέους, διὰ τὴν λεοντῆν καὶ τὸ ῥόπαλον. Οὐ δήπου μ' ἀφελέσθαι διανοεῖ.] ἀντὶ τοῦ ... διανοεῖ, ὥστε ἀφελέσθαι με τὰ ὅπλα. ἢ γὰρ ... φυγκαταθεσιν δηλοῖ. Αὐτὸς ... ἀντὶ τοῦ ... τὸ δὲ παῖς, τῷ Διονύσῳ λέγει. Οὐ ταχ' ἀλλ' ἤδη ποιῶ.] οὐ δ' ὅλως φησὶ διανοοῦμαι, ἀλλ' ἤδη ταῦτα ἀφαιροῦμαι, ... B οὐ διστάζω.

ΧΟΡΟΣ, ΔΙΟΝΥΣΟΣ.

CHORVS, BACCHVS.

Bisetus. Ωδὴ καὶ στροφὴ κώλων ι.

Χο. Ταῦτα μὲν πρὸς ἀνδρός ἐστι
Νοῦν ἔχοντος καὶ φρένας, καὶ
Πολλὰ περιπεπλευκότος,
Μετακυλινδεῖν αὑτὸν ἀεὶ
Πρὸς τὸν εὖ πράττοντα τοῖχον
Μᾶλλον, ἢ γεγραμμένην
Εἰκόν' ἑστάναι, λαβόνθ' ἓν
Σχῆμα. τὸ δὲ μεταστρέφεσθαι
Πρὸς τὸ μαλθακώτερον,
Δεξιοῦ πρὸς ἀνδρός ἐστι, καὶ φύσει Θηραμένους.

C CH. Hoc viri est sagacioris,
Et cati, atque versipellis,
Multum aqua cui transitum,
Vt sese subinde flectat
Ad parietem fortunatum
Saepius, quam imaginis
In modum stet pictae, amictus
Vnica figura. at isto
Pacto semet vertere
D Ad meliorem sortem, dextri est, & plane Theramenis.

Σχόλια. Ταῦτα μὲν πρὸς ἀνδρός ἐστι.] ἔκθεσις μελικῆς χοροῦ προῳδικὴ στροφῆς λόγον ἐχούσης. ἔχει γὰρ καὶ ἀντίστροφον, τὸ νῦν σοι ἔργον ἐστίν. ἐκ κώλων τροχαϊκῶν ι. ὧν τὰ γ' ς' θ'. δίμετρα καταληκτικά. τὸ δὲ ι' ἑφθημιμερὲς Εὐριπίδειον. τὰ δὲ λοιπὰ ἀκατάληκτα. πλὴν τοῦ τελευταίου τετραμέτρου ὄντος καταληκτικοῦ. ἑξῆς δὲ σύστημα κατὰ περικοπὴν ἀνομοιομερὲς ἀναλογοῦν τῇ στροφῇ τῇ τε ποσότητι καὶ ποιότητι τῶν κώλων. ἐπὶ δὲ τῷ τέλει ἑκατέρου παράγραφος καὶ ἴσω ... διὰ τὴν ἀνταπόδοσιν. ταῦτα δὲ λέγει ὁ χορὸς διὰ τὸν Διόνυσον. ἐπεὶ γὰρ ὅτι ἐφοβεῖτο τὰς τοῦ Αἰακοῦ ἀπειλὰς, τὸν Ξανθίαν ἐποίησεν ὡς δεσπότην, ἑαυτὸν δὲ δοῦλον. ὅτε δὲ ὁ θεράπων ... γεῖλε τῷ Ξανθίᾳ ὅτι ἡ κόρη δεῖπνον καὶ ὄψα ἐποίησε, δεσπότην πάλιν ἑαυτὸν ποιεῖ, τὸν δὲ Ξανθίαν δοῦλον. ἀποδέχεται δὲ τὸν Διόνυσον ὁ χορὸς ὡς μὴ μένοντα τοῖς αὐτοῖς. Μετακυλινδεῖν.] ὅμοιον τῷ ἐν Αλκμήνῃ Εὐριπίδου. οὐ γάρ ποτ' εἴων Σθένελον εὐτυχῆ χθονὸς ... τοῖχον, τὸ δίκης ἀποστρέφειν. παροιμία δέ ἐστι πρὸς τὸν εὖ πράττοντα τοῖχον μέτειν, ἐπὶ τῶν ἀεὶ τὸ λυσιτελοῦν αὐτοῖς ἀεὶ στρεφομένων. εἴρηται δὲ ἐκ μεταφορᾶς τῶν ἐπιβατῶν τῶν νεῶς, ὅταν θατέρου μέρους αὐτοῖς καταλυζομένου, πρὸς τὸ ἕτερον οὗτοι μεθίστανται. Η γεγραμμένην.] ἀντὶ τοῦ μηδὲν ἀνύοντα. ὅτι ἀκίνητον τὸ ἐπιγεγραμμένον τῇ εἰκόνι. Θηραμένους.] ἐπεὶ τῶν τὰ πολιτικὰ ... σκώπτει δὲ

αὐτὸν ὡς εὐμετάβολον ὄντα καὶ πρὸς τὸν καιρὸν ἁρμόζοντα. ἐπεὶ δὲ γέγονεν ὁ Θηραμένης διδάσκαλος Ισοκράτους, στρατηγὸς δὲ καὶ ὑποκριτὴς, εὐμετάβλητος. Αγνωνος παῖς. Στεφανὸς τὸν δῆμον. τούτῳ πολλὰ μὲν καὶ ἄλλα ... E τε τῶν ἐν Αργινούσῃ στρατηγῶν ἀγωγὴ, ἣν αὐτὸς συνεστήσατο μετὰ Καλλιξένου. καὶ ἡ τῶν λ' ἐπὶ καταλύσει τοῦ δήμου μεταστάσεις. τοιγάρ τοι, τὸν τοῦ βίου προαιρέσεως ἐπαξίας τοῦ τέλους ἔτυχεν. ὑπὸ γὰρ αὐτῶν τῶν λ ἀνῃρέθη, Κριτίου κελεύσαντος αὐτόν. ἔνιοι δέ φασι καὶ καταφυγόντα αὐτὸν ἐπὶ τὴν ἑστίαν ἀποσπασθῆναι. τὸν διὰ τὴν ποικιλίας τοῦ ἤθους, κόθορνον ἐκάλουν ἐπεὶ ἑκατέρᾳ στάσει τῇ τῶν πολιτευομένων ἑαυτὸν παρεδίδου, καθάπερ ... τοῖς καιροῖς, καὶ τὸ συμφέρον αὐτοῦ ... προστάτων. ἐπεὶ καὶ ὁ κόθορνος ἀνδράσι καὶ γυναιξὶ πρὸς τὰς ... F δύσεις ἁρμόττει. δοκεῖ καὶ ἐπεὶ καὶ ταῦτα τὰ τρία ἐπιψηφίσασθαι ἐπὶ ζημίᾳ, ἢ δεσμεύεσθαι ἐν τῷ ξύλῳ, ἢ πιεῖν κώνειον, ἢ ἔκφυγεν ... δοκεῖ δὲ ἀπὸ Κίω τῆς νήσου εἶναι. καὶ εἰς τοῦτο ὡς μὴ γνήσιος πολίτης λέγεται. ἦν δὲ γνήσιον ἀλλὰ ποιητὸν υἱὸν τοῦ Αγνωνος. ὁ Θουκυδίδης δὲ αὐτὸν ἐν πρώτῳ ... ἄλλως. ὁ Θηραμένης ἐπεὶ ἀνὴρ πανοῦργος ἦν, καὶ πρὸς τοὺς καιροὺς μεταβαλλόμενος. Χῖοι γὰρ καὶ Κῖοι πόλεμον εἶχον πρὸς ἀλλήλους. ὅτε οὖν ... Κίοις ἦν. Χῖον ... ὅτι δὲ ... Κίοις, Κῖον. τῇ δὲ ἀληθείᾳ Χῖος ἦν.

G

Bisetus. Σύστημα κατὰ περικοπὴν κώλων ι.

Δι. Οὐ γὰρ ἂν γελοῖον ἦν, εἰ
Ξανθίας μὲν δοῦλος ὤν, ἐν

Ba. An non ridiculum hoc erat, si
Xanthias hic, meus minister,

Στρώμασι Μιλησίοις
Ἀνατετραμμένος, κινῶν ὀρ-
χηστρίδ', εἶτ' ᾔτησεν ἀμίδ'; ἐ-
γὼ δὲ πρὸς τοῦτον βλέπων,
Τοῦ ῥεβινθου δραξάμην, οὗ-
τος δ' ἅτ' ὢν αὐτὸς πανοῦργος,
Εἶδε, κᾆτ' ἐκ τῆς γνάθου
Πὺξ πατάξας μοὐξέκοψε τοὺς χοροὺς τοὺς προσ-
θίους.

A *In toris Milesiis*
Inuolutus, subagitaret
Saltatricem, & posceret me
Matulam, & hæc ego videns,
Mentulam prehenderem: ille
Conspicatus hoc vafer, mox
E genis, ori grauem
Pugnum impingens, exculpat mihi hos anterio-
res choros.
B

Σχόλια. Ἐν στρώμασι Μιλησίοις.] ἐν γὰρ Μιλήτῳ καλλίστη ἡ τῶν στρωμάτων ἐργασία. καὶ τὰ Μιλήσια στρώματα, ποικίλα, καὶ ἁπαλὰ γίνεται καὶ διάφορα. εἰς τρυφὴν δὲ οἱ Μιλήσιοι διεβάλλοντο, καὶ εἰς τὸ στολὴν πολυτελές. ἐσθῆτας τ' ἐν αὐτῇ κατεσκεύαζον ποικιλίας, καὶ τάπητες, ὡς καὶ Θεόκριτος ... πορφύρεοι δὲ τάπητες ἄνω μαλακώτεροι ὕπνω, ἃ Μίλατος ἐρεῖ χὥ τὰν Σαμίαν καταβόσκων. ἀμίδα δὲ τὴν οὐρητρίδα τὸ οὐρηρὸν ἀγγεῖον. Ἐγὼ δὲ πρὸς τοῦτον.] ὁρῶν γὰρ ὁ Διόνυσος τῇ ὀρχηστρίδι συνόντα C τὸν Ξανθίαν, καὶ ὥσπερ ἐρεθιζόμενος καὶ δραξάμενος τοῦ αἰδοίου φησίν, ἀντὶ τοῦ ἱμαντήσ... ὁ δὲ Ξανθίας ἄττα καὶ αὐτὸς ταῦτα παιδιὰν κατεσκεύαζεν. Τοῦ ῥεβίνθου τοῦ αἰδοίου.] τὸ δ' ὅλον πρὸς ταῦτα τοῦ Ξανθίου φειρωλογεῖται ἀεὶ διακονοῦντος Διονύσῳ καὶ διὰ τοῦτο ἐπιγνόντες ἂν αὐτὰ εἰ ἀνὰ μέρος ὑπολεῖ ὁ Διόνυσος. Τοὺς χοροὺς τοὺς προσθίους.] ἀντὶ τοῦ τοὺς ὀδόντας εἰπεῖν, τοὺς χοροὺς εἶπε. Διόνυσος γάρ ἐστιν ὁ τῶν χορῶν προστάτης. τὸ δ' ὅλον παρὰ τὴν ὑπόνοιαν.

ΔΡΑΜΑΤΟΣ ΤΟΥ ΔΕΥΤΕΡΟΥ, Σκηνὴ τετάρτη.

ACTVS II. SCENA quarta.

ΠΑΝΔΟΚΕΥΤΡΙΑ, ΠΛΑΘΑΝΗ, ΞΑΝΘΙΑΣ, ΔΙΟΝΥΣΟΣ.

D PANDOCEVTRIA, PLATHANA, XANTHIAS, BACCHVS.

Bisetus. Πανδοκεύτρια, καὶ Πλαθάνη τὸν Διόνυσον ἐκ τοῦ σχήματος Ἡρακλέα εἶναι ἡγησάμεναι, περὶ τῆς λαιμαργίας, καὶ κλεμμάτων πολλὰ διηγοῦνται, καὶ τὴν αὐτοῦ παρουσίαν βαρέως φέρουσι.

Πα. Πλαθάνη, Πλαθάνη, δεῦρ' ἔλθ' ὁ πανοῦργος οὑτοσί,
Ὃς εἰς τὸ πανδοκεῖον εἰσελθών ποτε,
Ἑκκαίδεκ' ἄρτους κατέφαγ' ἡμῶν. Πλα. νὴ Δία
Ἐκεῖνος αὐτὸς δῆτα. Ξαν. κακὸν ἥκει τινί.
Πα. Καὶ κρέα γε πρὸς τούτοισιν ἀνάβραστ' εἴκοσιν,
Ἀνημιωβολιαῖα. Ξα. δώσει τις δίκην.
Πα. Καὶ τὰ σκόροδα τὰ πολλά. Δι. ληρεῖς ὦ γύναι,
Κοὐκ οἶσθ' ὅ, τι λέγεις. Πλα. οὐ μὲν οὐ με προσεδόκας
Ὁτιὴ κοθόρνους εἶχες, ἀναγνῶναί σ' ἔτι;
Πα. Τί δαὶ; τὸ πολὺ τάριχος οὐκ εἴρηκά πω,
Μὰ Δί', οὐδὲ τὸν τυρὸν γε τὸν χλωρὸν τάλαν.
Ὃν οὗτος σὺν αὐτοῖσι τοῖς ταλάροις κατήσθιε.
Κᾆπειτ', ἐπειδὴ τἀργύριον ἐπραττόμην,
Ἔβλεψεν εἰς ἐμὲ δριμὺ, κἀμυκᾶτό γε.

PA. *Plathana, Plathana: huc aduenit versipellis hic,*
Qui olim tabernam ingressus diuersoriam,
E *Comedit sedecim panes nostros.* PL. *per Iouem*
Is ipse est. XA. *aliquid imminet cuidam hic mali.*
PA. *Et elixatas carnes viginti insuper,*
Haudquaquam semiobolares. XA. *aliquis luet*
Pœnam. PA. *& multa allia.* BA. *mulier nugas agis:*
Neque scis, quid garrias. PL. *quia cothurnos gerís*
F *Scilicet: ideo agnituram te non amplius*
Sperabas. PA. *quid? nondum elocuta sum tibi*
Tot salsamenta: non recentem caseum;
Quem cum canistro deuorauit improbus.
Post, vbi ab illo argentum exegissem symboli
Loco, toruum intuitus me est, atque emugijt.

G

Σχόλια. Πλαθάνη, Πλαθάνη.] παρωνίς οὐρία ... σιόντων τῶν ὑποκριτῶν. οἱ δὲ στίχοι ἰαμβικοὶ τρίμετροι ἀκατάληκτοι μα, ὧν τελευταῖος, δέχομαι τὸν ὅρμον καὶ ἐν τούτοις λαμβάνω. Πανδοκεύτρια δὲ πρὸς Πλαθάνην θεράπαιναν τοῦτο λέγει. εἰσάγει δὲ Ἡρακλέα νῦν βεβρωκότα τι. ἀνημιωβολιαῖα δὲ ἀντὶ τοῦ ἕκαστον αὐτῶν, ἥμισυ ὀβολοῦ μὴ ἄξιον ἡμιωβολιαῖα. ἃ ὠμὰ ὄντα κατὰ τὸ ἥμισυ. ἄλλως. ὅτι ἰδίως ἐπὶ τοῦ ἀνημιωβολίου πωλούμενα. ἀπὸ δὲ συνθέσεως, ὄνομα γίνεται καὶ δοκεῖ ἀγαθός. καλὸν τὰ ... θεῖς ... ἀνημιωβολεῖον, ἀνημιωβολιαῖα. ... ἡμιωβόλου ἄξια. ὑποσημειοῦσθαι δὲ τὴν λέξιν ἰδίως τὸ χ. Ἀνάβραστα δὲ.] ζεστὰ ἑψημένα.

Bisetus. Ἀνημιωβολιαῖα] ἀντὶ τοῦ, ἕκαστον αὐτῶν

αὐτῷ ἡμίσεως ὀβολοῦ ἄξιον, ἤτοι ἡμιωβολίῳ. Σ.

Σχόλια. Λῃρεῖς ὦ γυναῖ.] ὡς δείκνυται Ηρακλῆς σχεδὸν ὢν γουσάμενος. διὸ πρὸς ἑαυτὴν φησὶ λῃρεῖς. Οὐ μὴ νοσοῦμαι προσδοκᾷς.] ὡς προσδοκᾷς με γνῶναί σε. ἐστὶ δὲ

A κόθορνος ἴχνος γὰρ κόθορνος τῷ Διονύσῳ ἐστὶν, ὡς τὸ Ηρακλέους. Τὸ τάριχος]οὕτως ἔλεγον Ἀττικοὶ, ὡς εἴρηκε. ὑπολαβόμενοι δὲ φασιν εἶναι τὸ τάριχος. Αὐτοῖς τοῖς ταλάροις.]ὅτι ὄντα φασὶν ἐν τοῖς μικροῖς καλαθίσκοις.

Ξαν. Τούτου ταῦτα τοὔργον. οὗτος ὁ τρόπος πανταχοῦ.

Πα. Καὶ τὸ ξίφος γ' ἐσπᾶτο, μαίνεσθαι δοκῶν,

Νὴ Δία, τάλαινα. Πλα. νὼ δὲ δείσασαί γέ πως,

Ἐπὶ τὴν κατήλιφ' εὐθὺς ἀνεπηδήσαμεν.

Ὁ δ' ᾤχετ' ἐξάξας γε τὰς ψιάθους λαβών.

Ξανθ. Καὶ τοῦτο τοὔργον. Πλα. ἀλλ' ἐχρῆν τι δρᾶν;

Πα. Ἴθι δὴ κάλεσον τὸν προστάτην Κλέωνά μοι.

Σὺ δ' ἔμοιγ', ἐάνπερ ἐπιτύχῃς, Ὑπέρβολον,

Ἵν' αὐτὸν ἐπιτρίψωμεν. Πλα. ὦ μιαρὰ φάρυγξ,

Ὡς ἡδέως ἄν σου λίθῳ τοὺς γομφίους

Κόπτοιμ' ἄν, οἷς μου κατέφαγες τὰ φορτία.

Πα. Ἐγὼ δέ γ' εἰς τὸ βάραθρον ἐμβάλοιμί σε.

Πλα. Ἐγὼ δὲ τὸν λάρυγγ' ἂν ἐκτέμοιμί σου,

Δρέπανον λαβοῦσ', ᾧ τὰς κόλικας κατέσπασας.

Ἀλλ' εἶμ' ἐπὶ τὸν Κλέων', ὃς αὐτοῦ τήμερον

Ἐκπηνιεῖται ταῦτα προσκαλούμενος.

ΧΑ. *Hoc hominis est studium, hi mores videlicet.*

B ΡΑ. *Ah misera, etiam gladium stringebat, quasi furens,*

Per Iouem. ΡL. *at ibi nos ambæ miseræ, & pauida metu*

Sublimem scalam celeriter conscendimus,

Ipse autem abijt cum storeis, quas furtim abstulit.

ΧΑ. *Et hic mos est hominis.* ΡL. *sed quid facto opus erat?*

C ΡΑ. *Age tu voca Cleonem huc, urbis præsidem:*

Tu verò Hyperbolum accersas, si qua incides,

Vt illum conteramus. ΡL. *ô faucem improbam:*

Vt gestio dentes tibi labefactare lapide:

Quibus tu deuorasti meum peculium.

ΡΑ. *At ego te in barathrum præcipitem dare gestio.*

ΡL. *At ego guttur tibi falce excinderem labens,*

Quo panes deglutisti succinericeos.

D *Sed eo ad Cleonem, is ex ipso euoluat hodie,*

In ius vocato, quæ comedit, omnia.

Σχόλια. Οὗτος ὁ τρόπος πανταχοῦ] τὸ τρώγειν καὶ μὴ διδόναι φησὶ τὸν μισθόν. τοῦτο δὲ ὁ Ξανθίας ἐπαίρων κατὰ τοῦ Διονύσου τὰς γυναῖκας. Μαίνεσθαι δοκῶν.] καὶ παρ' Εὐριπίδῃ μαινόμενος ὡς Ηρακλῆς. καὶ σπῶν τὸ ξίφος. πρὸς τοῦτο συμπαίζει. Κατήλιφα.] τὴν μεσόδμην. ἢ τὴν κλίμακα. Τὰς ψιάθους,]ὅτι καὶ τὰ στρώματα τοῦ πανδοκείου. ἐν δὲ τῷ Καλλιστράτῳ γέγραπται τοὺς ψιάθους. Ἔστι σεσημείωται τοῦτο, ὅτι ἀρσενικῶς ἐστί. τὸ δὲ, ἀλλ' ἐχρῆν τι δρᾶν δύναται καὶ ἐν γυναικὶ λέγειν ἀντὶ τοῦ τιμωρήσασθαι. Τὸν προστάτην Κλέωνα.] ἦν γὰρ ἀποθανὼν τότε. τὰ δὲ δράματα καθ' ἃ δύναμιν. Κλέωνα δὲ τὸν βυρσοδέψην, εἰς ὃν γέγραφε τοὺς Ἱππέας. Ὑπέρβολος δὲ εἰς ὃν καὶ Εὔπολις ἔγραψε τὸν Μαρικᾶν. ἀπώλετο δὲ ἐν

τῇ Σάμῳ, πολεμούντων αὐτῷ τῶν Σαμίων. Ἐάνπερ ἐπιτύχῃς.]ὡς καὶ τοῦ Ὑπερβόλου τεθνηκότος, παρατηρητέον δὲ ὅτι σαφῶς ἐν τῷ θεάτρῳ διελέγοντο. Φορτία] ψωμούς. κρέα. τυροὺς καὶ τὰ ἄλλα. τινὲς δὲ ἤκουσαν τὰ κόπρια φορτικῶς.

E Κόλικας.]ἢ ἄρτους. ἢ ἔντερα. τὸ δὲ ᾧ, οὐ πρὸς τὸ δρέπανον, ἀλλὰ πρὸς τὸν λάρυγγα. κατέσπασας δὲ κατεβρόχθισας. Ἐκπηνιεῖται]. ἀφέξει ἡμῶν ἐκφελκύσει. ἀπὸ τῆς τὴν κρόκην μηρυομένων εἰς πηνίον. ἄλλως. ἐξελκύσει ἀπὸ τοῦ πηνίου Ὅμηρος. πηνίον ἐξέλκουσα. ἢ ἐξάξει. ἀπὸ μεταφορᾶς τῶν κατὰ μικρὸν ἐκ τῶν σκώληκος ἐξαγομένων πηνίων. οἱ δὲ διὰ τοῦ ει διφθόγγου γράφουσι. μετὰ τιμωρίας ἀπαιτήσει. Προσκαλούμενος.] ἐγκαλῶν. ὡς δικαστήριον ἕλκων, κατηγορῶν αὐτοῦ.

F

ΔΡΑΜΑΤΟΣ ΤΟΥ ΔΕΥΤΕΡΟΥ,

Σκηνὴ πέμπτη.

ΔΙΟΝΥΣΟΣ, ΞΑΝΘΙΑΣ, ΧΟΡΟΣ.

Τρίμετροι.

ACTVS II. SCENA quinta.

BACCHVS, XANTHIAS, CHORVS.

Senarij.

G

Δι. Κάκιστ' ἀπολοίμην, Ξανθίαν εἰ μὴ φιλῶ.

ΒΑ. *Peream nisi tractem amicè seruum Xanthiam.*

Σχόλια. Κάκιστ' ἀπολοίμην.] ἐνταῦθα φοβούμενος ὁ Διόνυσος, ὑποκρίνεται φιλίαν πρὸς Ξανθίαν ἵνα πάλιν Ηρακλῆς γένηται καὶ αὐτὸς Ξανθίας κελευσθεὶς ὑπὸ Διονύσου.

A
Ξανθ. Οἶδ᾽ οἶδα τὸν νοῦν. παῦε παῦε τοῦ λόγου.
Οὐκ ἂν γενοίμην Ἡρακλῆς ἄν. Δι. μηδαμῶς,
Ὦ Ξανθίδιον. Ξανθ. καὶ πῶς ἂν, Ἀλκμήνης ἐγὼ
Υἱὸς γενοίμην, δοῦλος ἅμα καὶ θνητὸς ὤν;
Δι. Οἶδ᾽ οἶδ᾽ ὅτι θυμεῖ, καὶ δικαίως αὐτὸ δρᾷς.
B
Κἂν εἴ με τύπτοις, οὐκ ἂν ἀντείποιμί σοι.
Ἀλλ᾽ ἤν σε τοῦ λοιποῦ ποτ᾽ ἀφέλωμαι χρόνου,
Πρόρριζος αὐτός, ἡ γυνή, τὰ παιδία,
Κάκιστ᾽ ἀπολοίμην, κ᾽ Ἀρχέδημος ὁ γλάμων.
Ξανθ. Δέχομαι τὸν ὅρκον, κἀπὶ τούτοις λαμβάνω.

Xa. *Noui, noui animum tuum: desiste iam loqui.*
Nolim ego iam esse Hercules. Ba. *minimè isthuc dixeris,*
Mi Xantisce. Xa. *at quomodo ego Alcmenæ sim filius,*
Homo seruus, & simul mortalis? Ba. *scio, scio,*
Quòd irascaris mihi, neque fortè iniuria.
At verberes me licet, ego non tibi obloquar.
Nam si posthac ullo vnquam tempore te deseram,
Tum & ego, & vxor, liberique, & lippiens
Ille Archedemus pereamus radicitus.
Xa. *Accipio iusiurandum; ac proin vestem induo.*

C
Σχόλια. Καὶ πῶς ἂν Ἀλκμήνης.] ἅπερ πρὸς αὐτὸν ὁ Διόνυσος πρότερον ἔλεγε, ταῦτα λέγει καὶ αὐτὸς εἰρωνευόμενος καὶ παίζων. Γλάμων] ὁ ἔχων λήμας. ὁ ἀκάθαρτος. παρόσον ἱερώμενός φασιν ἦν Διονύσου. Καλλίστρατός φασιν. ὅτι οὕτως ἐκαλεῖτο Γλάμων, ὡς Χάρων. ἄλλοι δὲ, ὁ λημῶντα καὶ δίυγρον τοὺς ὀφθαλμούς. Σοφοκλῆς ἐν Μάντεσιν ἐπί τινων ὀρνέων, τοὺς γλαμύρους καταφορβάν.

Bisetus. Ἀντῳδὴ καὶ ἀντιστροφὴ κώλων ί.

D
Χο. ΝΥν σὸν ἔργον ἐστ᾽, ἐπειδὴ
Τὴν στολὴν εἴληφας, ἥνπερ
Εἶχες ἐξ ἀρχῆς, πάλιν
Ἀνανεάζειν σαυτὸν αἰεὶ
Καὶ βλέπειν αὖθις τὸ δεινόν,
Τοῦ θεοῦ μεμνημένον,
Ὥπερ εἰκάζεις σεαυτόν.
Ἢν δὲ παραληρῶν ἁλώσῃ,
Κἀκβάλῃς τι μαλθακόν,
Αὖθις αἴρεσθαί σ᾽ ἀνάγκη ᾽στὶ πάλιν τὰ στρώματα.

Ch. *NVnc tuum est, quia induisti*
Hanc stolam, qua fueras antè
Cinctus, rursus ab initio
Iuuenilem exhibere mentem:
Et toruum tueri; & vsque
Meminisse illius Dei:
Cui tu assimulasti teipsum.
Sin per insipientiam de-
Prendare, & agas molliùs:
Rursum oportevit recipere te storeas & stragula.

E
Σχόλια. Νῦν σὸν ἔργον.] εἴσθεσις μελῶν χοροῦ περιοδικὴ καὶ ἀντίστροφος ὁμοία τῇ προῤῥηθείσῃ. καὶ τὸ σύστημα τοῖς αὐτοῖς τῷ ἐν τῇ στροφῇ κατά τε ποσότητα καὶ ποιότητα κώλοις συγκείμενον ἔχουσα. ὡς ἐπὶ τοῦ τέλους παράγραφος. τοῦ δὲ συστήματος δύο διπλαῖ. ἡ μὲν ἐν ἀρχῇ ἡ δὲ κατὰ τὸ τέλος. τὸ δ᾽ ἑξῆς, νῦν σὸν ἔργον ἐστὶ πάλιν ἀνανεάζειν.

Bisetus. Νῦν σὸν] τινὲς ταῦτα τῷ χορῷ ἀνάπτουσι, καὶ πρὸς αὐτὸν ἀναφέρουσι, ὅπερ ἐκ τῆς τοῦ Ξανθίου ἀποκρίσεως δῆλον. διὸ τὸ τοῦ χοροῦ τῶν μυστῶν πρόσωπον ἐνταῦθα δεῖ παραχαράσσειν.
Σχόλια. Παραληρῶν.] ἀγεννές τι ποιῶν, καὶ οὐ τῆς Ἡρακλέους σκευῆς ἄξιον.

F
Bisetus. Σύστημα περικοπῆς κώλων ί.

Ξα. ΟΥ κακῶς ὦνδρες παραινεῖτ᾽,
Ἀλλὰ κᾳὐτὸς τυγχάνω ταῦτ᾽ ἄρτι συννοούμενος.
Ὅτι μὲν οὖν ἢν χρηστὸν ᾖ τι,
Ταῦτ᾽ ἀφαιρεῖσθαι πάλιν πειράσεταί μ᾽, εὖ οἶδ᾽ ὅτι.
G
Ἀλλ᾽ ὅμως ἐγὼ παρέξω
Ἐμαυτὸν ἀνδρεῖον τὸ λῆμα,
Καὶ βλέποντ᾽ ὀρίγανον.
Δεῖν δ᾽ ἔοικεν, ὡς ἀκούω τῆς θύρας καὶ δὴ ψόφον.

Xa. *NOn sinistrè commonetis,*
O amici, namque idipsum
Animus mihi præsagijt.
Atqui ubi appetet boni quid:
Rursum aufferre vestem hanc ille
Attentabit, sat scio.
Sed virum tamen præbebo
Memet, atque animi potentem,
Ac tuentem origanum:
Et certè hoc facto opus est, quantum iam ne strepitum audio.

Σχόλια. Ὀρίγανον.] δριμύ. τοιοῦτον γὰρ τὸ φυτόν.

A

ΔΡΑΜΑΤΟΣ ΤΟΥ ΔΕΥΤΕΡΟΥ, Σκηνὴ ἕκτη.

ΑΙΑΚΟΣ, ΔΙΟΝΥΣΟΣ, ΞΑΝΘΙΑΣ.

Τρίμετροι ἰαμβικοί.

Βισέτυς. Αἰακὸς νῦν εἰσάγεται προσερχόμενος μετὰ τοῦ Δετύλου καὶ Σκεβλύου, καὶ Παρδόκα, καὶ τὸν Ξανθίαν ἀντὶ τοῦ Ἡρακλέους τοῦ κυνοκλόπου, συλλαμβάνειν, καὶ αὐτὸν ἀδίκως κελεύει.

Αἰα. Ξυνδεῖτε ταχέως τουτονὶ, τὸν κυνοκλόπον,
ἵνα δῷ δίκην. ἀνύετον. Δι. ἥκει τῳ κακόν.
Ξανθ. Οὐκ ἐς κόρακας. μὴ πρόσιτον. Αἰ. εἶεν, καὶ μάχει;
Ὁ Δετύλας, χὠ Σκεβλίας, χὠ Παρδόκας
Χωρεῖτε δευρὶ καὶ μάχεσθε τουτῳί.
Δι. Εἶτ' οὐχὶ δεινὰ ταῦτα; τύπτειν τουτονὶ,
Κλέπτοντα πρὸς τἀλλότρια; Ξανθ. μάλ' ὑπερφυᾶ.
Αἰ. Σχέτλια μὲν οὖν καὶ δεινά. Ξανθ. καὶ μὴν, νὴ Δία,
Εἰ πώποτ' ἦλθον δεῦρ', ἐθέλω τεθνηκέναι,
Ἤ 'κλεψα τῶν σῶν ἄξιόν τι καὶ τριχός.
Καί σοι ποιήσω πρᾶγμα γενναῖον πάνυ.
Βασάνιζε γὰρ τὸν παῖδα τουτονὶ λαβών,
Κἄν ποτέ μ' ἕλῃς ἀδικοῦντ', ἀπόκτεινόν μ' ἄγων.
Αἰ. Καὶ πῶς βασανίζω; Ξανθ. πάντα τρόπον, ἐν κλίμακι,
Δήσας, κρεμάσας, ὑστριχίδι μαστιγῶν, δέρων,
Στρεβλῶν, ἔτι τε τὰς ῥῖνας ὄξος ἐγχέων,
Πλίνθους ἐπιτιθεὶς, πάντα τἄλλα, πλὴν πράσῳ.
Μὴ τύπτε τοῦτον, μηδὲ γηθείῳ νέῳ.

ACTVS II. SCENA sexta.

ÆACVS, BACCHVS, XANTHIAS.

B

Senarij Iambici.

ÆA. Constringite ocyus furem istum Cerberi,
Vt pœnas det nobis. BA. malum huic nunc imminet.
C XA. Ite in malam rem: ne accedite. ÆA. quid? furtifer,
An etiam restitas? hem vos lorarij,
Tu Detyla, tu Sceblia, tu Pardoca:
Adeste huc, & cum isthoc homine confligite.
BA. Non hoc indignum est, qui furto aliena abripit,
Vt reuerberet? XA. indignum est here, supra modum.
D ÆA. Imò flagitiosum est, & turpe. XA. at, per Iouem,
Si ego pedem prius vnquam huc tuli, mori volo:
Aut si quid abstuli, quod dignum sit pilo.
Cuius rei argumentum tibi clarum dabo.
Hic seruus est, isthunc abduce, quare rem:
Quòd si me iniustum reperias, occidito.
ÆA. At quomodo rem quaeram ex ipso? XA. omni modo.
E Scala alliga, suspende, loris perdoma,
Cade, rape, torque, naribus acetum ingere,
Lateres admoue, & omnia tenta: solummodo
Ne porro, neu recenti gethyo feri

Σχόλια. Ξυνδεῖτε ταχέως.] κορωνὶς αὖθις ἑτέρα εἰσιόντων τῶν ὑποκριτῶν. οἱ δὲ στίχοι ἰαμβικοὶ τρίμετροι ἀκατάληκτοι ξζ, ὧν τελευταῖος πρότερον ποιῆσαι πρίν με τὰς πληγὰς λαβεῖν. ὁ ξη. μέν τοι ἰαμβικὸς ἑφθημιμερής. εἶτα κῶλον ἀντισπαστικὸν ἐξ ἐπιτρίτου πρώτου ἡμιόλιον, μεθ' ὃ μονόμετρον ὑπερκατάληκτον ἐξ ἐπιτρίτου τετάρτου. καὶ ἰωνικὸν ἀπ' ἐλάσσονος ἡμιόλιον. ἐπὶ δὲ τῷ τέλει πάντων κορωνίς. κυνοκλόπον δέ, τὸν κλέψαντα τὸν Κέρβερον κύνα. Ἥκει τῳ κακόν.] ὁ Διόνυσος τοῦτο λέγει ὅπερ δεῖ αὐτὸν καὶ ὁ Ξανθίας ἀνωτέρω. ἀνύετον δ' ἀντὶ δίκην. ἡσυχῇ δὲ ταῦτα λέγει. Μὴ πρόσιτον.] ὡς οὐδὲ ... τὸ πρόσιτον προκαλεῖσθαι δύναται δὲ ἄλλοις μὲν λέγειν τὸ πρόσιτον ὑπομνήσεις αὐτῷ. ἄλλους δὲ ὅτι καλεῖ. ... τὰ ὀνόματα εἴρηκεν ὡς δούλων, ἢ τοξοτῶν βαρβάρων. τινὲς δέ φασιν, ἀπὸ τοῦ, εἶεν καὶ τοῦ μάχει, τὰ πρὸ τοῦ Πλούτωνος ἐξελθόντα λέγειν, ἕως τοῦ κλέπτοντα τἀλλότρια. τὸ δὲ μᾶλλον ὑπερφυᾶ, τὸν Διόνυσον λέγειν. εἶτα πάλιν τὰ πρὸ τοῦ Πλούτωνος, σχέτλια μὲν οὖν καὶ δεινά. ἔνιοι δέ φασι, πάντα αὐτὰ λέγειν τὸν Πλούτωνα, ἀγανακτοῦντα ἐπὶ τῷ τύπτεσθαι τοὺς ἀκολούθους ὑπὸ Ξανθίου. ἀπὸ τοῦ εἶεν καὶ μάχει, ἕως τοῦ σχέτλια μὲν οὖν καὶ δεινά. Εἶτ' οὐχὶ
F δεινά.] εἶτ' οὐχὶ δεινὰ κλέπτοντα τοῦτον τἀλλότρια πρὸς τούτῳ τύπτειν. Μάλ' ὑπερφυᾶ.] Τιμαχίδας, βραχέως ἀξιοῖ προφέρεσθαι ἀποθάνοις. συναλοιφῆς οὔσης, ... μή, καὶ ἄλλα. ὅτι γὰρ τῷ μὴ πολλαχῇ ἀντὶ τοῦ οὐ χρῶνται, πολλάκις εἴρηται. Βασάνιζε γὰρ τὸν παῖδα.] λέγεται βασανίζειν καὶ τὸ χωρὶς πληγῶν ἀνακρίνειν, ἀπὸ τῆς βασάνου λίθου. Ἐν κλίμακι δήσας.] τὸ ἐν πρὸς τὸ δήσας, ἐνδήσας κλίμακι. ἀντὶ τοῦ εἰς κλίμακα δήσας. Ὅμηρος. κάππεσον ἐν Λήμνῳ. ἀντὶ τοῦ εἰς τὴν Λῆμνον. Πλὴν πράσῳ μὴ τύπτε τοῦτον. ἐπεὶ οἱ ἐλεύθεροι πρὸ τούτου, ἔδερον τὸ πράσοις καὶ
G σκορόδοις. τὸ δὲ Χ, πρὸς τὸ ἔθος τοῦ τύπτειν. οἱ δὲ ὅτι διάκεισται πράσον ἀπὸ τοῦ γητείου. τινὲς γὰρ οἴονται εἶναι τὸ τοῦ πράσου φύλλον. δύναται μὲν οὖν ἐν ἤθει τὰ ὄντως χαλεπὰ προσθεὶς ἐπιφέρειν. πλὴν μὴ τούτοις αὐτὸν τύπτε, ἅπερ ἐστὶν ἐλαφρότατα. δύναται δὲ καὶ ἄντικρυς βασάνιζε παντάχως αὐτόν. μὴ ἐν παιδιᾷ, μηδὲ ὡς τοὺς ἐλευθέρους παιδαγωγῷ ἀποπαλάμασι τοῦ πράσου τύπτοντα, ἢ τῷ γητείῳ

Αι. Δίκαιος ὁ λόγος. κἄν τι πηρώσω γέ σοι
Τὸν παῖδα τύπτων, τ' ἐγγύειον (σοι κεῖσε);
Ξανθ. Μὴ δῆτ' ἔμοιγ'. οὕτω δὲ βασάνιζ' ἀπαγαγών,
Αι. Αὐτοῦ μὲν οὖν. ἵνα σοι κατ' ὀφθαλμοὺς λέγῃ.
Κατάθου σὺ τὰ σκεύη ταχέως, χὤπως ἐρεῖς
Ἐνταῦθα μηδὲν ψεῦδος. Δι. ἀγορεύω τινὶ,
Ἐμὲ μὴ βασανίζειν ἀθάνατον ὄντ'. εἰ δὲ μὴ,
Αὐτὸς σὺ σαυτὸν αἰτιῶ. Αι. λέγεις δὲ τί;
Δι. Ἀθάνατος εἶναί φημι Διόνυσος Διὸς,
Τοῦτον δὲ δοῦλον. Αι. ταῦτ' ἀκούεις; Ξαν. φήμ' ἐγώ.
Καὶ πολύ γε μᾶλλόν ἐστι μαστιγωτέος.
Εἴπερ θεὸς γάρ ἐστιν, οὐκ αἰσθήσεται.
Δι. Τί δῆτ', ἐπειδὴ καὶ σὺ φῂς εἶναι θεὸς,
Οὐ καὶ σὺ τύπτει τὰς ἴσας πληγὰς ἐμοί;
Ξανθ. Δίκαιος ὁ λόγος. χὠπότερον ἂν νῷν ἴδοις
Κλαύσαντα πρότερον, ἢ προτιμήσαντά τι
Τυπτόμενον, εἶναι τοῦτον ἡγοῦ μὴ θεόν.
Αι. Οὐκ ἔσθ' ὅπως οὐκ εἶ σὺ γεννάδας ἀνήρ.
Χωρεῖς γὰρ εἰς τὸ δίκαιον. ἀποδύεσθε δή.
Ξανθ. Πῶς οὖν βασανιεῖς νὼ δικαίως; Αι. ῥᾳδίως.
Πληγὴν παρὰ πληγὴν ἑκάτερον. Ξανθ. καλῶς λέγεις.
Ἰδοὺ, σκόπει νυν ἤν με παρακινήσαντ' ἴδῃς.
Αι. Ἤδη 'πάταξά σ'. Ξανθ. οὐ μὰ Δί'. Αι. οὐδ' ἐμοὶ δοκεῖς.
Ἀλλ' εἶμ' ἐπὶ τονδὶ καὶ πατάξω. Δι. πηνίκα;
Αι. Καὶ δὴ 'πάταξα. Δι. κᾆτα πῶς οὐκ ἔπταρον;
Αι. Οὐκ οἶδα. τουδὶ δ' αὖθις ἀποπειράσομαι.
Ξανθ. Οὔκουν ἀνύσεις; ἰατταταῖ. Αι. τί δὴ ταταῖ;
Μῶν ὠδυνήθης; Ξα. οὐ μὰ Δί', ἀλλ' ἐφρόντισα,

A ÆA. Rectè mones: sed si mutilauero tibi
Seruum verberibus, an pretium reddendum erit?
XA. Minimè: sed abduce, & sic illum examina.
ÆA. Imò hoc ipso loco, vt in faciem dicat tibi.
Age tu, vasa hæc depone statim: sed ne quod hîc
Mendacium mihi proferas. BA. at ego tibi
B Edico, ne me torqueas, qui sum Deus.
Sin minus, accusa tu ipse teipsum. ÆA. quid ais?
BA. Dico me Dionysum esse filium Iouis,
Hunc verò seruum. ÆA. Audin' tu ista? XA. haud equidem nego,
Et proinde verberandus est atrociùs.
Si enim Deus est, nihil plagarum sentiet.
BA. Cur ergo non & tu mecum vapulas,
C Quandoquidem & tute affirmas esse te Deum?
XA. Rectè monet. age tu, vtrum nostrûm videris
Prius plorare, aut magni pendere verbera,
Dum vapulat, hunc tu ne deinceps habeas pro Deo.
ÆA. Non est, vt te non generosum virum autumem,
D Quoniam in ius concedis: agite vestes ponite.
XA. Quomodo nos iure torquebis? ÆA. facillimè.
Plagas alternatim incutiam. XA. pulcerrimè.
Eccum, an videas moueri me indecentiùs.
ÆA. Nunquid percussi te? XA. non, per Iouem.
ÆA. neque
Tu mihi videre: agè hunc adibo, atque feriam.
BA. Quando? ÆA. nunquid te tetigi? BA. at
E cur non sternui?
ÆA. Nescio. sed de hoc iterum faciam periculum.
XA. Cur non properas? eheu eheu. ÆA. quid hoc rei est,
Eheu, eheu? númnam dolet? XA. nō per Iouem,

Σχόλια. Κἄν τι πηρώσω.] ἐὰν βλάψω μέρος τοῦ σώματος τοῦ παιδὸς τύπτων, τὴν τιμὴν λήψῃ. Μὴ δῆτ' ἔμοιγε.] ἤγουν ἄνευ τιμῆς συνθέλω ὑπὲρ αὐτοῦ. τινὲς δὲ μὴ δῆτ' ἔμοιγε, τοῦτον δὲ βασάνιζ' ἀπαγαγὼν αὐτοῦ μὲν οὖν εἶναι, τὸ ὅλον τοῦ Ξανθίου. Κατάθου.] ἀπειλῶν τῷ Διονύσῳ ταῦτά φησι.

Bisetus. Χὤπως ἐρεῖς] ὑπακουστέον ὅρα, ἢ σκόπει.

Σχόλια. Μηδὲν ψεῦδος.] ὁ γὰρ τόπος οὐ δέχεται ψεῦδος ὅπου [illegible]. τὸ δὲ ἀγορεύω ἐν ὀργῇ λέγεται. Ταῦτ' ἀκούεις.] ὁ [illegible] τοῦ Πλούτωνος τοῦτό φησι Ξανθίᾳ, ἀντὶ τοῦ ὄντως εἶ δοῦλος. Οὐ καὶ σὺ τύπτει.] τύπτει δευτέρου προσώπου. Ἀδήλως. τινές φασι τοῦ Ξανθίου εἶναι: τινὲς δὲ τοῦ Διονύσου, πρὸς τὸν Ξανθίαν. θεὸς γὰρ ὁ Ἡρακλῆς ὃν ὁ Ξανθίας ἐμιμεῖτο. Ἢ προτιμήσαντά τι.] φροντίσαντα τῶν πληγῶν, κατὰ τοὺς Ἀθηναίους. ἢ ἐπιστραφέντα τοῦ δακρῦσαι ἢ ἀποιμῶξαι ἕνεκα. Παρακινήσαντα.] κινηθέντα. σαλευθέντα. ἐκτραπέντα τοῦ καθεστηκότος, ἢ αἰσθανθέντα, παρόσον οἱ αἰσθανόμενοι μάστιγος, κινεῖται. Ἤδη 'πάταξά σ'.] αἰσθανόμενον τὸν Ξανθίαν πρώτως τύπτεσθαι. οὕτω γὰρ, καὶ τὸ, οὐ μὰ Δί' ἀλλ' ἐφρόντισα, ὅτε Ἡρακλέα τὰ ἐν Διομείοις. τινὲς μὲν ὅτι Ξανθίας (εἰς αὐτὸν γὰρ ἐλεύσεται), ὡς ἅτε δὴ Ἡρακλέα. τινὲς δὲ ὅτι Διόνυσος. ἔχει δὲ καὶ τοῦτο λόγον, ὅτι θεράπων νῦν ἐστὶν ὁ Διόνυσος, καὶ πρῶτος τύπτεται, προσποιεῖται γοῦν ὁ ἕτερος μὴ αἰσθάνεσθαι λέγων, οὐδ' ἐμοὶ δοκεῖς. Πηνίκα.] μὴ αἰσθανόμενος καὶ αὐτὸς ὁ Διόνυσος λέγει, πότε με ἔτυψας. Κᾆτα πῶς οὐκ ἔπταρον.] ἐκ παθόντος [illegible]. ὁ γὰρ πταρμὸς, κεφαλῆς αἴσθησις. ἢ ὅτι οἱ θίγοντες τοῦ μυκτῆρος λεπτῷ κάρφει, πτάρνυνται, ἢ ἐστρέφονται προσενεγκόντες. οὕτω φησὶν ἥψατό μου ἡ πληγὴ, ὃν τρόπον ἅπτεται κάρφος μυκτῆρος. Οὔκουν ἀνύσεις.] οὐ σπεύδεις, αὐτὸς ὁ μαστιγούμενος ἐπικελεύων τῷ τύπτοντι.

Ὁπόθ'

Ὁπότ᾽ Ἡράκλεια τἀν Διομείοις γίγνεται.
Αἰ. Ἄνθρωπος ἱερός. δεῦρο πάλιν βαδιστέον.
Δι. Ἰοὺ ἰού. Αἰ. τί ἐστιν; Δι. ἱππέας γ᾽ ὁρῶ.
Αἰ. Τί δῆτα κλάεις; Δι. κρομμύων ὀσφραίνομαι.
Αἰ. Ἐπεὶ προτιμᾷς γ᾽ οὐδέν; Δι. οὐδέν μοι μέλει.
Αἰ. Βαδιστέον γ᾽ ἄρ᾽ ἐστὶν ἐπὶ τονδὶ πάλιν.
Ξανθ. Οἴμοι. Αἰ. τί ἐστι; Ξανθ. τὴν ἄκανθαν ἔξελε.
Αἰ. Τί τὸ πρᾶγμα τουτί; δεῦρο πάλιν βαδιστέον.
Δι. Ἄπολλον, ὅς που Δῆλον ἢ Πυθῶν᾽ ἔχεις.
Ξανθ. Ἤλγησεν, οὐκ ἤκουσας; Δι. οὐκ ἔγωγ᾽, ἐπεὶ
Ἴαμβον Ἱππώνακτος ἀνεμιμνησκόμην.
Ξανθ. Οὐδὲν ποιεῖς γάρ, ἀλλὰ τὰς λαγόνας ἀπόδει.
Αἰ. Μὰ τὸν Δί᾽, ἀλλ᾽ ἤδη πάρεχε τὴν γαστέρα.
Δι. Πόσειδον. Ξα. ἤλγησέ τις.
Δι. Ὃς Αἰγαίου πρῶνας, ἢ γλαυκᾶς μέδεις
Ἁλὸς ἐν βένθεσιν.
Αἰ. Οὔτοι μὰ τὴν Δήμητρα δύναμαί πω μαθεῖν
Ὁπότερος ὑμῶν ἐστι θεός. ἀλλ᾽ εἴσιτον.
Ὁ δεσπότης γὰρ αὐτὸς ὑμᾶς γνώσεται,
Χἠ Φερσέφαττ᾽, ἅτ᾽ ὄντε κἀκείνω θεώ.
Δι. Ὀρθῶς λέγεις. ἐβουλόμην δ᾽ ἂν τοῦτό σε
Πρότερον ποιῆσαι, πρὶν μὲ τὰς πληγὰς λαβεῖν.

A Sed cogitabam, quando in Diomea tribu
Heraclea fierent. ÆA. homo religiosus est,
Et perquàm sacer: ad hunc reuertendum est mihi.
BA. Heu, hei. ÆA. quid est? BA. equites venire conspicor.
ÆA. Cur ergo ploras? BA. quia capas olfactito.
ÆA. An nihil aliud hîc curas? BA. prorsus iam nihil.
B ÆA. Redeundum mihi igitur rursus ad hunc est virum.
XA. Hei mihi. ÆA. quid est? XA. Spinam hanc quæso eximas mihi.
ÆA. Quid hoc rei? rursus hic mihi adeundum est.
BA. O Phœbe Apollo, qui Delum aut Pythonem habes.
C XA. Indoluit: non audisti? BA. non sanè, quia
Iambi Hipponactis reminiscor cuiuspiam.
XA. Nihil sic promoues: age pessunda latus.
ÆA. Non, per Iouem, sed heus tu, ventrem porrige.
BA. Neptune. XA. iam dolet viro.
BA. Qui colli Ægeo, aut vndis imperas maris,
Caua subter vnda.
D ÆA. Ita me Ceres amet, vter vestrûm sit Deus
Dignoscere haud possum. Sed agite ingredimini
Nam herus ipsemet vos, & hera mea Proserpina
Meliùs cognoscent; cùm sint ipsi etiam Dei.
BA. Rectè dicis, quanquam hoc fecisse te priùs
Vellem, quàm ego tot pertulissem verbera.

Σχόλια. Τἀν Διομείοις.] δῆμος τῆς Αἰγηΐδος φυλῆς, ἀπὸ Διόμου ἐρωμένου τοῦ Ἡρακλέος. ἔστι δὲ Ἡράκλειον αὐτόθι. περὶ οὗ φησι δηλῶν, ὅτι Δίομος Ἡρακλῆς ἐγένετο.

Bisetus. Τἀν Διομείοις] τὰ ἐν Διομείοις τὰ πλήρες. Στέφανος, Διόμεια, οὐδετέρως, δῆμος τῆς Αἰγηΐδος φυλῆς ὁ δημότης, Διομιεύς.

Σχόλια. Ἄνθρωπος ἱερός.] ἀποδέχεται αὐτοῦ ὁ τόπλων, ὡς δεδοικότα καὶ φροντίζοντα τῶν μυστηρίων. τυπτόμενος γὰρ θείας τελετῆς μέμνηται. Ἱππέας ὁρῶ.] ὡς θαυμάζων ἱππέων ἔφοδον. προφάσεις δὲ ἐξευρίσκουσι γελοίως. Κρομμύων ὀσφραίνομαι.] τοῦτο γὰρ σημαίνει τὸ δακρύειν ἀκουσίως τοῖς ὀσφραινομένοις κρομμύων. Ἐπεὶ προτιμᾷς οὐδέν.] καὶ νῦν ἐπὶ τὸ ἐπιστρέφει. δύναται δὲ, τὸ αὐτὸ πρόσωπον

E λέγειν ὅλον. Τὴν ἄκανθαν ἔξελε.] ἐπάρας τὸν πόδα τὴν πτέρναν δείκνυσι. Τί τὸ πρᾶγμα τουτί.] ὡς δυσχεραίνοντος ἔχει τὸ τελευταῖον ὁ Αἰακός. Ἄπολλον ὅς που.] ᾄδειν προσποιεῖται αἰσθόμενος ὁ Διόνυσος. οἱ γὰρ ἀλγοῦντες τοὺς θεοὺς ἀνακαλοῦνται. Ἴαμβον Ἱππώνακτος.] ὡς ἀλγήσας καὶ συγκεχυμένος, οὐκ οἶδε τί λέγει. ἔστι δὲ οὐχ Ἱππώνακτος, ἀλλ᾽ Ἀνανίου. ἐπιφέρει δὲ ὁ Ἀνανίας αὐτῷ, ἢ Νάξον, ἢ Μίλητον, ἢ θεῖον Κλάρον ἵκου καθ᾽ ἱερὰ ἢ Σκύθας ἀφίξεαι. Τὰς λαγόνας ἀπόδει.] κάθαιρε. ἀποδεῖν γὰρ κυρίως, τὸ τοὺς βωμοὺς καθαίρειν. Ὃς Αἰ-
F γαίου πρῶνας.] παρὰ τὰ Σοφοκλέους ἐκ Λαοκόωντος Πόσειδον ὃς Αἰγαίου μέδεις πρῶνας. ἢ γλαυκᾶς μέδεις εὐανέμου λίμνας, ἐφ᾽ ὑψηλαῖς σπιλάδεσσι στόματος.

ΧΟΡΟΣ.

Χο. ΜΟῦσα χορῶν ἱερῶν ἐπίβηθι καὶ
Ἔλθ᾽ ἐπὶ τέρψιν ἀοιδᾶς ἐμᾶς,
Τὸν πολὺν ὀψομένη λαῶν ὄχλον,
Οὗ σοφίαι μυρίαι κάθηνται,

Chorvs, strophe.

CH. Musa, chorū deinde aggredere inclytū,
Et fac amabile carmen meum,
Innumeramque; hominum turbam aspice,
G Qua sapientia densa fulget,

Σχόλια. Μοῦσα χορῶν ἱερῶν.] καὶ τοῦτο παράβασίς ἐστιν ἀλλ᾽ οὐκ ἔχει πάντα τὰ μέρη τῆς παραβάσεως. ἀλλὰ μόνα τὰ τέσσαρα. τὴν ᾠδὴν. τὸ ἐπίρρημα. τὴν ἀντῳδὴν. τὸ ἀντεπίρρημα. ἔστι γοῦν ἡ παροῦσα ᾠδὴ ἐκ κώλων πολυσχηματίστων ιβ. ὧν τὸ πρῶτον τετράμετρον βραχυκα-

τάληκτον ἀσυνάρτητον προσοδιακὸν ἀναπαιστικὸν καλούμενον. ἢ δακτυλικὸν τετράμετρον ἀκατάληκτον. τὸ δεύτερον ἀναπαιστικὸν δίμετρον καταληκτικόν. τὸ τρίτον ὅμοιον τρίμετρον ἀκατάληκτον. καὶ τὴν τετάρτην χώραν τῆς μὲν ᾠδῆς ἀμφίβραχυς, τῆς δὲ

ἀντῳδῆς κρητικοῦ κειμένου. τὸ τέταρτον χοριαμβικὸν τοῦ δευτέρου ποδὸς ὄντος διτροχαίου τρίμετρον βραχυκατάληκτον. τὸ ε΄. ἀναπαιστικὸν δίμετρον ἀκατάληκτον. τὸ ϛ. δίμετρον ἐξ ἰωνικοῦ ἀπὸ μείζονος καὶ χοριάμβου ἀκατάληκτον. τὸ δὲ τῆς ἀντῳδῆς ἐκ διιάμβου καὶ διτροχαίου. τὸ ἕβδομον δακτυλικὸν πενθημιμερές. τὸ η΄ χοριαμβικὸν ἡμιόλιον συνίζησιν ἔχον εἰς τὸ Θρηϊκία δὲ

A τὸ ἡμιόλιον ἐστὶ τὸ τῆς ἀντῳδῆς ἐκ διτροχαίου. τὸ ἔνατον ὅμοιον τῷ πέμπτῳ καὶ τὸ ι. τὸ ια΄ μονόμετρον ὑπερκατάληκτον. τὸ ιβ τροχαϊκὸν δίμετρον βραχυκατάληκτον ἰθυφαλλικόν. ἡ δὲ ἀντῳδὴ ἰσόμετρος. ἐπὶ τῷ τέλει τῆς μὲν ᾠδῆς παράγραφος καὶ διπλῆ ἔσω νενευκυῖα. τῆς δὲ ἀντῳδῆς δύο διπλαῖ ἔξω νενευκυῖαι. ἡ μὲν ἐν ἀρχῇ τοῦ κώλου, ἡ δὲ κατὰ τὸ τέλος.

Φιλοτιμότεραι Κλεοφῶντος, ἐφ' οὗ
δὴ χείλεσιν ἀμφιλάλοις
δεινὸν ἐπιβρέμεται
Θρῃκία χελιδὼν
Ἐπὶ βάρβαρον ἑζομένη πέταλον·
Κελαδεῖ δ' ἐπίκλαυτον ἀηδόνιον
Νόμον, ὡς ἀπολεῖται,
Κἂν ἴσαι γένωνται.

B *Cleophonte magè ambitiosa suo:*
Cuius strepero ore, grauis
Infremit horrisonum
Thracia hirundo melos,
Folio residens malè barbarico:
Resonatq; uti luscinia hem miserum, hoc:
Quòd sit periturus.
Quamuis paria sint vota.

Σχόλια. Κλεοφῶντος.] Κλεοφῶν στρατηγὸς τῶν Ἀθηναίων, καὶ εἰς τοῦτον τὸ δημαγωγὸν δρᾶμα φέρεται Πλάτωνος καὶ ἐπιγράφεται ὁμωνύμως αὐτῷ Κλεοφῶν. τοῦτον κωμῳδεῖ, ὡς ξένον καὶ ἀμαθῆ, καὶ φλύαρον καὶ δυσγενῆ· Θρᾷκα γὰρ αὐτὸν ἐλέγχει. ἀντεποιεῖτο δὲ τῶν πρωτείων τῆς πόλεως. Θρηϊκία χελιδών.] ἵνα διαβάλλῃ αὐτὸν ὡς βάρβαρον. κωμῳδεῖται γὰρ ὡς υἱὸς Θρᾴκης ἔστι δὲ οὗτος ὁ καλούμενος Κλεοφῶν ὁ λυροποιός. καὶ Πλάτων ἐν Κλεοφῶντι δράματι, βαρβαρίζουσαν πρὸς αὐτὸν πεποίηκε τὴν μητέρα. καὶ αὐτὴ γὰρ Θρᾷσσα ἐλέγετο. χελιδὼν γὰρ ἀπαίδευτος. ἀηδόνιον δὲ νόμον, παρόσον ἡ ἀηδὼν τὸν ἑαυτῆς υἱὸν Ἴτυν θρηνεῖ. καὶ τοῦτον ἐπίκλαυτον ᾄδειν λέγει συνειδότα ἑαυτῷ δεινότατα περὶ τὴν πόλιν πεπανουργηκότι. Κἂν ἴσαι γένωνται.] αἱ ψῆφοι δηλονότι αἱ λευκαὶ καὶ αἱ μέλαιναι. ὑπερβολικῶς δὲ εἶπεν. ὅταν γὰρ ἴσαι γένωνται αἱ ψῆφοι ἀπολύεται ὁ κατηγορούμενος. πρὸς τὸ ἔθος δὲ ὅτι φεύγοντα ἀπολύεται ἴσων τῶν ψήφων ἐνεχθεισῶν. ἀπὸ τῆς κατὰ

C τὴν Ὀρέστην γενομένου. Εὐριπίδης ἐν Ἰφιγενείᾳ τῇ ἐν Ταύροις. ἐξέσωσά σε καὶ πρίν γ' Ἀρείοις ἐν πάγοις ψήφους ἴσας κρίνασ' Ὀρέστα.

Bisetvs. Κἂν ἴσαι γένωνται.] Ἄλλως. ἡ τῶν ψήφων ἰσότης, ἣν ἰσοψηφίαν καλοῦμεν, τοὺς κατηγορουμένους, καὶ φεύγοντας ἀπολύει. τὰ δὲ Εὐριπίδου οὕτως ἔχει,

Γνώμης δικαίας, οὕνεκ' ἐξέσωσά σε,
Καὶ πρίν γ' Ἀρείοις ἐν πάγοις ψήφους ἴσας
D Κρίνασ', Ὀρέστα, καὶ νόμισμ' εἰς ταυτό γε
Νικᾶν, ἰσήρεις ὅστις ἂν ψήφους λάβῃ.

καὶ ἐν Ἠλέκτρᾳ ὁ αὐτὸς Εὐριπίδης περὶ τῆς ἰσοψηφίας ταῦτα λέγει,

Ἴσαι δέ σ' ἐκσῴζουσι μὴ θανεῖν δίκῃ
Ψῆφοι τεθεῖσαι. καὶ
Καὶ τοῖσι λοιποῖς ὅδε νόμος τεθήσεται
Νικᾶν ἴσαις ψήφοισι τὸν φεύγοντ' ἀεί.

E

ΕΠΙΡΡΗΜΑ.

Epirrhema.

Bisetvs. Παράβασις, ἡ ἐπίρρημα ἐκ στίχων κ.

ΗΜ. Τὸν ἱερὸν χορὸν δίκαιόν ἐστι χρηστὰ τῇ πόλει
Ξυμπαραινεῖν, καὶ διδάσκειν. πρῶτον οὖν ἡμῖν δοκεῖ,
Ἐξισῶσαι τοὺς πολίτας, κἀφελεῖν τὰ δείματα.
Κεἴ τις ἥμαρτε σφαλείς τι, Φρυνίχου παλαίσμασιν
Ἐγγενέσθαι φημὶ χρῆναι τοῖς ὀλισθοῦσιν τότε.
Αἰτίαν ἐκθεῖσι, λῦσαι τὰς πρότερον ἁμαρτίας.

Sem. *Aequum est, vt sacer chorus Reipub. benè consulat,*
F *Et quæ vtilia sunt, dicat. Principiò ergo nobis bonum*
Hoc videtur, exæquare ciues: atque illis metum
Demere: Nam si quis labendo errârit, more Phrynichi,
Hunc oportet in numerum prolapsorum referre; vbi
Causas afferunt erroris, ibi criminis absoluere.

Σχόλια. Τὸν ἱερὸν χορὸν δίκαιόν ἐστι.] τὰ τοιοῦτα, παράβασις καλεῖται· ὅτι περ ἔλεγον ἐπιστρέφοντες πρὸς τοὺς θεωμένους. ἔστι δὲ ὁ τρόπος ὅταν καταλιπὼν τὰ ἑξῆς τοῦ δράματος ὁ ποιητὴς συμβουλεύῃ τοῖς θεωμένοις, ἢ ἄλλο τι ἐκτὸς λέγῃ τῆς ὑποθέσεως. σύγκειται δὲ ἐκ στίχων τροχαϊκῶν τετραμέτρων καταληκτικῶν κ. ὧν τελευταῖος ὑστέρῳ χρόνῳ τότ' αὖθις εὖ φρονεῖν οὐ δόξομεν. ἐπὶ τῷ

G τέλει διπλῆ ἔσω νενευκυῖα διὰ τὴν ἀνταπόδοσιν. Ἐξισῶσαι τοὺς πολίτας.] τουτέστιν ἐντίμους ποιῆσαι τοὺς ἀτιμωθέντας. τοιαύτη γὰρ κατάστασις ἐπεστήκει, καθ' ἣν ἐφυγαδεύθησάν τινες τῶν πολιτῶν καὶ ἄτιμοι ἐγένοντο. ἄλλως. ἴσως ἴσον τε, περὶ τῶν δέκα λέγει στρατηγῶν, ἐπεὶ, καὶ εἴ τις ἥμαρτε σφαλεὶς ἀπολογησάσθω καταλλαγείς. δύναται δὲ τὰς ἀτιμίας δηλοῦν τοὺς φόβους ἀφελεῖν,

ἀφελεῖν ἀπὸ τῶν φοβουμένων. τὸ δὲ Φρυνίχου παλαίσμασιν, ἐπεὶ τραγικὸς Φρύνιχος Ἀνταίῳ δράματι, περὶ παλαισμάτων πολλὰ διεξῆλθεν, ὡς προείρηται. ἔθος δὲ ἔχουσιν οἱ κωμικοὶ παρακωμῳδεῖν τοὺς τραγικούς, ὅταν πολλάκις καὶ συνεχῶς χρῶνται τοῖς αὐτοῖς. ἄλλως. στρατηγοῦντος αὐτοῦ ἡττήθησαν Ἀθηναῖοι, καὶ πολλοὶ αὐτῷ προσεκρούσθησαν ὡς προδόντι τὸν πόλεμον. τινὲς δὲ τοῦτον κωμικὸν ποιητὴν λέγουσιν ὃς κινουμένους τοὺς χοροὺς εἰσῆγε καὶ παλαίοντας. ἐγένετο δὲ στρατηγὸς ἐφ' οὗ πολλοὶ ἥμαρτον τῶν τραγικῶν καὶ ἄτιμοι ἐγένοντο.

Εἶτ' ἄτιμόν φημι χρῆναι μηδέν' εἶν' ἐν τῇ πόλει.
Καὶ γὰρ αἰσχρόν ἐστι τοὺς μὲν ναυμαχήσαντας μίαν
Καὶ Πλαταιᾶς εὐθὺς εἶναι, κἀντὶ δούλων δεσπότας.
Κοὐδὲ ταῦτ' ἔγωγ' ἔχοιμ' ἂν μὴ οὐ καλῶς φάσκειν ἔχειν.
Ἀλλ' ἐπαινῶ. μόνα γὰρ αὐτὰ νοῦν ἔχοντ' ἐδράσατε.
Πρὸς δὲ τούτοις εἰκὸς ὑμᾶς, οἳ μεθ' ὑμῶν πολλὰ δὴ
Χοἰ πατέρες ἐναυμάχησαν, καὶ προσήκουσι γένει,
Τὴν μίαν ταύτην παρεῖναι ξυμφορὰν, αἰτουμένοις.
Ἀλλὰ τῆς ὀργῆς ἀνέντες ὦ σοφώτατοι φύσει,
Πάντας ἀνθρώπους ἑκόντες ξυγγενεῖς κτησώμεθα,
Κἀπιτίμους, καὶ πολίτας, ὅστις ἂν ξυνναυμαχῇ.
Εἰ δὲ ταῦτ' ὀγκωσόμεσθα κἀποσεμνυνούμεθα,
Τὴν πόλιν καὶ ταῦτ' ἔχοντες κυμάτων ἐν ἀγκάλαις,
Ὑστέρῳ χρόνῳ ποτ' αὖθις εὖ φρονεῖν οὐ δόξομεν.

Deinde, neminem, honore qui caret, esse volo in Republica.
B *Nam turpe est, qui prælio nauali interfuerunt semel,*
Hos statim Platæenses & pro seruis cēseri heros.
Ego certè non possum dicere hoc se habere sat probè.
Collaudo tamen: nāq; hoc solùm fecistis prouidè.
Præterea æquum est his, qui vnà vobiscum, sæpe, vt & patres
C *Et genere propinqui, commiserunt nauale prælium,*
Hanc vnam noxam remittere, & quidem petentibus.
Quòd si iram represserimus, viri ô natura prouidi:
Multos homines cognatos vltrò iam possidebimus,
Et prætores & ciues, quicunque adesse prælio
D *Nauali voluerint. Si in his spretis nos superbiùs*
Efferemus, qui vrbem, & hæc habemus in vlnis fluctuum:
Postero tempore rursum benè sapere non videbimur.

Σχ. Εἶτ' ἄτιμον φημὶ χρῆναι.] ἴσως τὸ κἀντὶ δούλων δεσπότας ἐπὶ τοὺς συνναυμαχήσαντας δούλους ἐλευθέρους ἐποίησαν. καὶ Πλαταιεῖς δὲ εἶπεν, ὡς τῶν Πλαταιέων ἀφέντων ἐλευθέρους, τοὺς συνναυμαχήσαντας περὶ Σαλαμῖνα. Καὶ Πλαταιᾶς.] ἀντὶ τοῦ Πλαταιέας. τοὺς συνναυμαχήσαντας δούλους, Ἑλλάνικός φησιν ἐλευθερωθῆναι καὶ ἐγγραφέντας ὡς Πλαταιεῖς συμπολιτεύσασθαι αὐτοῖς. Καλλίστρατος δέ φησιν οὐ συνηθείας εἶναι ἀλλὰ διάλεκτον ἰδίαν σημαίνουσαν τὸ δέον εἶναι. ἢ ὁμοίως πη ἐπειδὴ τοῖς ἐν Πλαταιαῖς τὸ Ξέρξου νενικηκόσι πεζόν. Χοἰ πατέρες ἐναυμάχησαν.] ἴσως περὶ τῶν δέκα λέγει στρατηγῶν τῶν περὶ Ἀργινούσας ναυμαχησάντων, τῶν σωθέντων ἐκ τῶν ἐκεῖ. κατεδικάσθησαν γὰρ αὐτοὶ μὴ ἀνελόμενοι τοὺς νεκρούς. οἱ μὲν ἐξ ἀπομείναντες, θανάτῳ ἐκολάσθησαν. οἱ δὲ λοιποὶ διέφυγον. ὡς Ἀριστοφάνης μεταχαλεῖσθαί φησι καὶ ὑπὸ ἱκεσίας. ἡ δὲ Ἀργινοῦσα κώμη ἐστὶ τῆς Αἰολίδος. συμβαλόντες γὰρ ἐνίκησαν Ἀθηναῖοι Λακεδαιμονίους. καὶ νικήσαντες, ἐπανῆλθον. ἐν δὲ τῇ ὁδῷ χειμῶνι περιπεσόντες, πολλοὶ τεθνήκασιν αὐτῶν. καὶ τούτους ἐάσαντες οἱ στρατηγοὶ, ἐπανῆλθον οἱ ιʹ. καὶ οἱ μὲν ἓξ ἐκολάσθησαν οἱ δὲ δʹ, διέφυγον. ἴσως δὲ καὶ ἐν τῷ εἴ τις ἥμαρτε Φρυνίχου παλαίσμασι περὶ τῶν τετράρχων λέγει. οὗτοι καὶ εἴ τις ἥμαρτε σφαλεὶς, ἀπολογησάσθω κατακληθείς. Εἰ δὲ ταῦτ' ὀγκωσόμεθ'.] ἐὰν δὲ ὡς μεγάλα ἁμαρτήματα, μὴ θελήσωμεν ἀνεῖναι τοῖς συμμαχήσασιν ὑπερφρονήσωμεν, ἀλαζονευθῶμεν, μεγαλαυχήσωμεν. Κυμάτων ἐν ἀγκάλαις.] Δίδυμός φησι παρὰ τὸ Αἰσχύλου ψυχὰς ἔχοντες κυμάτων ἐν ἀγκάλαις. θέλει δὲ εἰπεῖν, καὶ ταῦτα ὄντες ἐν πολλοῖς κινδύνοις. ἐνειστήκει γὰρ ὁ Δεκελεικὸς πόλεμος. Ὑστέρῳ χρόνῳ] ὅτι βλαβησόμεθα τῷ πολέμῳ.

E, F

ΑΝΤΙΣΤΡΟΦΗ.

Εἰ δ' ἐγὼ ὀρθὸς ἰδεῖν βίον ἀνέρος,
Ἢ τρόπον ὅστις ἔτ' οἰμώξεται,
Οὐ πολὺν οὐδ' ὁ πίθηκος οὗτος ὁ
Νῦν ἐνοχλῶν, Κλειγένης ὁ μικρὸς,

ANTISTROPHE.

Qvòd si ego vitā hominū & studia hic queo
Cernere: qui citò pœnas dabunt:
G *Simius hic mihi balneator,*
Durus homo: Cligenes pusillus;

Σχ. Εἰ δ' ἐγὼ ὀρθῶς ἰδεῖν.] τοῦτο Ἰωνός ἐστιν ἐκ Φοινίκης. ἢ καὶ Οἰνέως. εἰ δ' ἐγὼ ὀρθῶς ἰδεῖν βίον ἀνέρος. πολιτεύεται. θέλει δὲ εἰπεῖν ὅτι εἰ δύναμαι κρίνειν. οἰμώξεται δὲ, τιμωρηθήσεται ἐφ' οἷς ἀδικεῖ. τὸ δὲ οὐ πολὺν, συνάπτει εἰς τὸ χρόνον. Ο μικρός τῷ σώματι δηλονότι. φαίνεται δὲ ὁ Κλειγένης περὶ τὰ πολιτικὰ, καὶ τῶν πλουσίων μὲν εἶναι. ξένος δὲ καὶ βάρβαρος ἐστί,

Ὁ πονηρότατος βαλανεὺς, ὁπόσοι
Κρατοῦσι κυκησιτέφρου,
Ψευδονίτρου κονίας,
Καὶ Κιμωλίας γῆς
Χρόνον ἐνδιατρίψει. εἰδὼς δὲ τάδ' οὐκ
Εἰρηνικὸς ἔσθ', ἵνα μή ποτε κα-
ποδυθῇ μεθύων, ἄ-
νευ ξύλου βαδίζων.

A *Sceleratior omnibus ipse aliis,*
Quicunque lauant cinerem;
Lixiuiumq́ parant
E nitro atque creta:
Modicum teret hic tempus. Sed & hoc
Quia scit, paci haud studet, ut ne aliquan-
Do ebrius spolietur,
Ambulans sine ligno.

Σχόλια. Ὁπόσοι κρατοῦσι.] δέον εἰπεῖν ὅσοι κρατοῦσι γῆς, οὐκ εἶπεν. ἀλλ' ἐπλεόνασεν, ὅσοι παρέχονται βαλανεῖς λουομένοις σμήγματα.

Bisetus. Κυκησιτέφρου.] Σ. κυκησιτέφρου, ταραττούσης τὴν τέφραν. τῆς κυκώσης τέφραν μεμιγμένην τῷ νίτρῳ. ἡ δὲ γῆ Κιμωλία λευκή.

Σχόλια. Καὶ Κιμωλίας γῆς.] μία τῶν Κυκλάδων νήσων αὕτη. ἡ Κιμωλία νιτροποιὸς γῆ ἐξ ἧς τὸ νίτρον. ἢ τῶν

B ἐρυθρῶν τῆς ἰωνίας ἀκρωτήριον, φέρον ἄμμον στιλπνήν. τὸν οὖν Κλεοφῶντα, ἐν τοιούτῳ ἤθει λέγει. ὥσπερ εἰ ἔλεγε, πονηρότατός ἐστι πάσης τῆς γῆς, ὁπόσης οἱ βαλανεῖς κρατοῦσι, Κιμωλίας καὶ τέφρας, καὶ τοιαύτης λοιπῆς. Οὐκ εἰρηνικός.] οὐχ ἥσυχος. ἀλλ' ἐστὶν ἔνοπλος. εἰδὼς δέ φησι τάδε. προσεποιεῖτο πρόφασιν καὶ μανίαν, εἰδὼς ὅτι μισεῖται ὑπὸ τῶν πολιτῶν. διὸ καὶ βακτηρίαν ἔχων περιῄει, δι' ἧς ἠμύνετο τοὺς ἐπερχομένους αὐτῷ.

C

ΑΝΤΕΠΙΡΡΗΜΑ
ἐν στίχοις κ.

Πολλάκις γ' ἡμῖν ἔδοξεν ἡ πόλις πεπονθέναι
Ταυτὸν, ἔς τε τῶν πολιτῶν τοὺς καλούς τε κἀγαθοὺς,
Εἴς τε τἀρχαῖον νόμισμα, καὶ τὸ καινὸν χρυσίον.
Οὔτε γὰρ τούτοισιν οὖσιν οὐ κεκιβδηλευμένοις,
Ἀλλὰ καλλίστοις ἁπάντων ὡς δοκεῖ νομισμάτων,
Καὶ μόνοις ὀρθῶς κοπεῖσι, καὶ κεκωδωνισμένοις,
Ἔν τε τοῖς Ἕλλησι καὶ τοῖς βαρβάροισι πανταχοῦ,
Χρώμεθ' οὐδὲν, ἀλλὰ τούτοις τοῖς πονηροῖς χαλκίοις,
Χθές τε καὶ πρώην κοπεῖσι τῷ κακίστῳ κόμματι.
Τῶν πολιτῶν θ' οὓς μὲν ἴσμεν εὐγενεῖς καὶ σώφρονας
Ἄνδρας ὄντας καὶ δικαίους, καὶ καλούς τε κἀγαθοὺς
Καὶ τραφέντας ἐν παλαίστραις, καὶ χοροῖς καὶ μουσικῇ,
Προσελοῦμεν. τοῖς δὲ χαλκοῖς, καὶ ξένοις, καὶ πυρρίαις,
Καὶ πονηροῖς κἀκ πονηρῶν, εἰς ἅπαντα χρώμεθα,
Ὑστάτοις ἀφιγμένοισιν, οἷσιν ἡ πόλις πρὸ τοῦ
Οὐδὲ φαρμακοῖσιν εἰκῇ ῥᾳδίως ἐχρήσατ' ἄν.
Ἀλλὰ καὶ νῦν ὦ 'νόητοι μεταβαλόντες τοὺς τρόπους,
Χρῆσθε τοῖς χρηστοῖσιν αὖθις, καὶ κατορθώσασι γὰρ
Εὔλογον, κἄν τι σφαλῆτ', ἐξ ἀξίου γοῦν τοῦ ξύλου
Ἤν τι καὶ πάσχητε, πάσχειν τοῖς σοφοῖς δοκήσετε.

ANTEPIRRHEMA
vers. 20.

Sæpe nobis visa est hæc Resp. æquis ac bonis
Ciuibus uti eodem, quo nummis veteribus & nouis,
D *Vtitur modo. Neque enim hos, qui plumbei non sunt, sed hos,*
Qui sunt omnium optimi, negligit hæc nostra ciuitas.
Nam solis probè cusis, probeq́ tinnientibus,
Nunc passim locorum, & apud Græcos, apudq́ Barbaros
Omninò non vtitur: sed improbis & ferreis,
Qui nuper & heri sunt procusi, nota quã pessima;
E *Itidem & ciuiũ, quos scimus ingenuos & sobrios,*
Et viros iustos, & honestos, & frugi; & perquàm probos,
In palæstra exercitatos, in choris, in Musica,
Hos expellimus: ferreis autem & peregrinis, & malis
Et malo genere natis, seruisq́, ad omnia vtimur:
F *Qui quidem postremò aduenerunt: quibus antehac ciuitas*
Ne quidem usa fuisset temere ac facilè pro vnguentariys.
At nunc saltem, ô stolidi, mores hos mutate perditos,
Et bonis vtimini denuò viris facientibus
Namq́ officiũ, etsi quid peccetis forte, excusabile
G *Erit: à ligno enim pulcro etsi quid patiamini: tamen*
Non inhonesta pati sapientib. videbimini viris.

Σχόλια. Πολλάκις ἡμῖν ἔδοξε.] τὸ ἀντεπίρρημα ὅμοιον κατὰ πάντα τῷ ἐπιρρήματι, ἐκ στίχων κ τροχαϊκῶν τετραμέτρων καταληκτικῶν συγκείμενον, ὧν ὁ τελευταῖος ἤν τι καὶ πάσχητε, πάσχειν τοῖς σοφοῖς δοκήσετε. ἐπὶ τῷ τέλει διπλῆ ἔξω νενευκυῖα. τὸ δὲ ἑξῆς, τὸ αὐτὸ πέπονθεν ἡ πόλις εἰς τοὺς χρηστοὺς τῶν ἀ-

τῶν ἀνθρώπων καὶ εἰς τὸ ἀρχαῖον νόμισμα. ὥσπερ γὰρ τῷ παλαιῷ νομίσματι οὐ χρώμεθα καλῷ ὄντι, ἀλλὰ τῷ καινῷ κακῷ ὄντι, οὕτω καὶ τοῖς ἀρχαίοις ἀνθρώποις οὐ χρώμεθα καλοῖς οὖσι, τοῖς δὲ νῦν στρατηγοῖς κακοῖς οὖσι συγχρώμεθα. Εἴς τε τἀρχαῖον νόμισμα.] τῷ προτέρῳ ἔτει ἐπὶ Ἀντιγένους. ἀλλὰ καὶ Ἑλλάνικός φησι χρυσοῦν νόμισμα κοπῆναι. καὶ Φιλόχορος ὁμοίως, τὸ ἐκ τῶν χρυσῶν νικῶν. Οὐ κεκιβδηλευμένοις.] ἀντὶ οὐ κακούργοις, οὐ κεκαπηλευμένοις. ἀλλὰ καθαροῖς. τοῖς παλαιοῖς δηλονότι ἀνδράσι. Κεκωδωνισμένοις.] δεδοκιμασμένοις. ἐκλελεγμένοις ἀκριβῶς. Τοῖς πονηροῖς χαλκίοις.] τοῖς χαλκοῖς κτίσμασι. τοῖς ἀδοκίμοις. καὶ μεμιγμένοις χαλκῷ ὡς ἐπὶ νομισμάτων. χαλκία δὲ ὡς χρυσία ἔλεγον τὰ χρήματα, χαλκᾶ σκεύη. νῦν δὲ ὡς κακὸν νόμισμα τὸ χρυσοῦν οὕτως εἶπεν. δύναται ἂν καὶ τὸ χαλκοῦν λέγειν. ἐπὶ γὰρ Καλλίου, χαλκοῦν νόμισμα ἐκόπη. Χθές τε καὶ πρώην.] ἀντὶ τοῦ καινοῖς. ὡς ἐπὶ νομίσματος δὲ τῷ κόμματι. Προυσελούμενοι.] προπηλακιζόμενοι. ἐλαυνόμενοι. ἐκβαλλόμενοι. Καὶ Πυρρίαις.] ἀντὶ τοῦ δούλοις. ὄνομα γὰρ δούλου, ὁ Πυρρίας ἀπό τινος δούλου Πυρρίου. ὡς καὶ Ξανθίας ἀπὸ Ξανθίου τινός. ἢ ὁ μὲν πυρρὸς ἦν τὴν κόμην, ὁ δὲ, ξανθός. φαρμακοῖσι δὲ τοῖς λεγομένοις καθάρμασιν. Ἐξ ἀξίου γοῦν τοῦ ξύλου.] πρὸς τὴν παροιμίαν ἐξ ἀξίου γοῦν τοῦ ξύλου κἂν ἀπάγξασθαι. ἐπὶ τῶν ἐθελόντων σεμνῶς δυστυχεῖν. θέλει οὖν λέγειν, ὅτι βέλτιόν ἐστι χρῆσθαι τοῖς γνησίοις στρατηγοῖς καὶ δεδοκιμασμένοις, ἢ τοῖς φαύλοις. κἂν γὰρ δέῃ παθεῖν, κρεῖττον ἀπ' ἀγαθοῦ ἢ φαύλου πάσχειν.

ΔΡΑΜΑΤΟΣ ΤΟΥ ΤΡΙΤΟΥ Σκηνὴ πρώτη.

ACTVS III. SCENA I.

ΑΙΑΚΟΣ, ΞΑΝΘΙΑΣ.

ÆACVS, XANTHIAS.

C

Βισετυς. Αἰακὸς Πλούτωνος οἰκέτης ἐκ τοῦ βασιλείου μετὰ Ξανθίου εἰς τὸ προσκήνιον προέρχεται. Οὗτοι δουλικῶς τῶν δεσποτῶν ἀπόντων κατηγοροῦσι, τὰς δι' αὐτῶν καλὰς πράξεις, καὶ ἀνδραγαθήματα διηγοῦνται.

Αἰα. Νὴ τὸν Δία τὸν σωτῆρα, γεννάδας ἀνὴρ
Ὁ δεσπότης σου. Ξαν. πῶς γὰρ οὐχὶ γεννάδας
Ὅς τις γε πίνειν οἶδε καὶ βινεῖν μόνον;
Αἰα. Τὸ δὲ μὴ πατάξαι σ' ἐξελεγχθέντ' ἄντικρυς
Ὅτι δοῦλος ὢν, ἔφασκες εἶναι δεσπότης;
Ξαν. Ὤμωζε μέντ' ἄν. Αἰα. τοῦτο μέν τοι δουλικὸν
Εὐθὺς πεποίηκας, ὅπερ ἐγὼ χαίρω ποιῶν.
Ξαν. Χαίρεις, ἱκετεύω. Αἰα. μάλ' ἐποπτεύειν δοκῶ,
Ὅταν καταράσωμαι λάθρα τῷ δεσπότῃ.
Ξαν. Τί δὲ, τονθορύζων ἡνίκ' ἂν πληγὰς λαβὼν
Πολλὰς ἀπίῃς θύραζε; Αἰα. καὶ τοῦθ' ἥδομαι.
Ξαν. Τί δὲ πολλὰ πράττων; Αἰα. ὡς μὰ Δί' οὐδὲν οἶδ' ἐγώ.
Ξαν. Ὁμόγνιε Ζεῦ. καὶ παρακούων δεσποτῶν
Ὅταν λαλῶσι; Αἰα. μάλα γε πλεῖν ἢ μαίνομαι.
Ξαν. Τί δὲ τοῖς θύραζε ταῦτα καταλαλῶν;
Αἰα. ἐγὼ

ÆA. Næper Iouem seruatorem, vir nobilis
Tuus est herus. XAN. quomodo enim non sit (nobilis,
D Qui scortari, & potare nouit vnicè?
ÆA. Non autem illum refellisse palam te, & flagris
Mulctasse: quòd seruus cùm esses, te diceres
Herum? XAN. male pereas mastigia. ÆA. iam illicò
Hoc serui facinus fecisti, quod ego, cùm ago,
Lætor. XA. lætaris ne obsecro? ÆA. prætor aliquis
E Mihi videor, cùm diris clàm deuoueo herum.
XAN. Etiámne, cùm multis ab hero acceptis flagris,
Forâs exis obmurmurans? ÆA. lætor vtique.
XAN. Etiámne cùm es curiosus? ÆA. nil scio per Iouem.
XA. Cognate Iupiter, etiam cùm audire te
F Dissimulas, quando heri loquuntur? ÆA. admodum.
Plus quàm insanus. XA. etiam cùm audita eli- (minas?
ÆA. Vtique per Iouem: & id cùm ago, sic lætus gestio:

Σχόλια. Νὴ τὸν Δία τὸν σωτῆρα.] Αἰακὸς ὁ Πλούτωνος οἰκέτης πρὸς τὸν τοῦ Διονύσου Ξανθίαν. κορωνὶς δὲ εἰσιόντων αὐτῶν τῶν ὑποκριτῶν. οἱ δὲ στίχοι ἰαμβικοὶ τρίμετροι ἀκατάληκτοι ος. ὧν τελευταῖος ἰσοσυλλαβεῖ. G κλαύμαθ' ἡμῶν γίνεται. Βινεῖν] συνουσιάζειν. γαμεῖν. ὅτι οἱ νομίζοντες τὴν ἡλικίαν, τὸ συνουσιάζειν, ὀργὰς ἔχουσι τοῦ εἶναι. ἄλλοι δὲ παρὰ τὸ βύειν διδόασιν. Ἐξελέγξαντ' ἄντικρυς.] γράφεται ἐξελεγχθέντα. λείπει δὲ τὸ θαυμάζω ἢ τοιοῦτόν τι. Ὤμωζε μέντ' ἄν.] ἀντὶ τοῦ ᾤμωζε, τελέστιν. ἔθευγον καὶ εἶπεν αὐτοῦ, οἴμωζε εἶπεν εἰ ἔτυψέ με. Τοῦτο μέν τοι δουλικόν.] τὸ λοιδορεῖν τοὺς δεσπότας ἀπόντας. Μάλ' ἐποπτεύειν δοκῶ.] Σύμμαχος οὕτως αὐτῇ τῇ λέξει φαίνεται συνεχῶς λέγειν. εὐφημοῦντες τῆς τῶν μυστηρίων ἐποπτείαν. οἱ δὲ τὰ μυστήρια παραλαμβάνοντες, μύσται καλοῦνται. οἱ δὲ παραλαβόντες αὐτὰ, τῷ αὖθις ἐνιαυτῷ ἐφορῶσι τὰ μυστήρια καὶ ἐποπτεύουσι. καὶ ἐποπτεύοντες χαίρουσιν ἐπὶ τῷ πολλὰ πράττειν. ὁ δὲ νοῦς, ὅταν φησὶ λάθρα καταράσωμαι τῷ δεσπότῃ, λίαν οὕτως ἥδομαι, ὡς δοκεῖν μυστήρια ἐποπτεύειν καὶ ἑορτάζειν. τὸ δὲ μάλα ἀντὶ τοῦ ναὶ ἀλλὰ οἷον τρόπῳ λέγομεν. οὐχ οἷον ἥδομαι, ἀλλ' ὑπερήδομαι. ἔστι δὲ καὶ ἄλλη γραφὴ μάλα γ' ἐποπτεύειν δοκῶ. ἔτι δὲ καὶ μάλ' ἐποπτεύειν μοι δοκῶ

τονθορύζων δὲ, ψιθυρίζων. ἠρέμα γογγύζων. ἢ λάθρα φθέγγόμενος. ὑποτρέμων. τὰ χείλη κινῶν. τὸ δὲ πολλὰ πράττων, ἢ ἀντὶ τοῦ χαίρεις τονθορύζων ἡνίκα πολλὰ μοχθῆς κελεύοντος τοῦ δεσπότου νοητέον. ἢ οὕτω, τὸ δὲ χαίρεις πολλὰ πράττων, ἤγουν πάσχων ἢ μοχθῶν. ἵν' ᾖ ὁ τοῦ Αἰακοῦ λόγος κατ' εἰρωνείαν. ἢ τοῦ οἰκέτου λέγοντος οὕτω χαίρω ὡς μὰ τὸν Δία οὐδὲν ἄλλο οἶδα εἰς ὃ

A χαίρω ἐγώ. Ὁμόγνιε Ζεῦ] τὴν ὁμοιότητα θαυμάζων λέγει. ὦ Ζεῦ, ὦ ὁμοιότατος. τὸ δὲ παρακούων, οὐχ ὡς ἡμεῖς εἰώθαμεν λέγειν, καταφρονῶν τῶν λεγομένων, παρὰ τῶν δεσποτῶν. ἀλλ' ἴσως τὸ λάθρα ὑπακροώμενος. ἔνθεν καὶ παρακουστὰς οἱ Ἀττικοί φασι. τὸ δὲ πλεῖν ἢ μαίνομαι, ἀντὶ τοῦ ἐξανίσταμαι ἑαυτοῦ ὑπὸ τῆς ἀξίας.

Μὰ Δί', ἀλλ' ὅταν δρῶ τοῦτο, κἀκμιαίνομαι.
Ξαν. Ὦ Φοῖβ' Ἄπολλον, ἔμβαλέ μοι τὴν δεξιάν,
Καὶ δὸς κύσαι, κ'αὐτὸς κύσον, καί μοι φράσον
Πρὸς Διὸς, ὃς ἡμῖν ἐστὶν ὁμομαστιγίας
Τίς οὗτος οὔνδον ἐστὶ θόρυβος, χ' ἡ βοὴ,
Χὠ λοιδορισμός; Αἰ. Αἰσχύλου κ' Εὐριπίδου.
Ξα. Ἆ. Αἰ. πρᾶγμα γὰρ κεκίνηται μέγα
Ἐν τοῖς νεκροῖσι, καὶ στάσις πολλὴ πάνυ.
Ξαν. Ἐκ τοῦ; Αἰακ. νόμος τις ἐνθάδ' ἐστὶ κείμενος,
Ἀπὸ τῶν τεχνῶν, ὅσαι μεγάλαι καὶ δεξιαὶ,
Τὸν ἄριστον ὄντα τῶν ἑαυτοῦ συντέχνων,
Σίτησιν αὐτὸν ἐν Πρυτανείῳ λαμβάνειν,
Θρόνον τε, τοῦ Πλούτωνος ἑξῆς. Ξαν. μανθάνω.
Αἰα. Ἕως ἀφίκοιτο τὴν τέχνην σοφώτερος
Ἕτερός τις αὐτοῦ. τότε δὲ παραχωρεῖν ἔδει.
Ξαν. Τί δῆτα τουτὶ τεθορύβηκεν Αἰσχύλον;
Αἰα. Ἐκεῖνος εἶχε τὸν τραγῳδικὸν θρόνον,
Ὡς ὢν κράτιστος τὴν τέχνην. Ξανθ. νυνὶ δὲ τίς;
Αἰα. Ὅτε δὴ κατῆλθεν Εὐριπίδης, ἐπεδείκνυτο
Τοῖς λωποδύταις καὶ τοῖς βαλαντιτόμοις
Καὶ τοῖσι πατραλοίαισι καὶ τοιχωρύχοις,
Ὅπερ ἔστ' ἐν ᾅδου πλῆθος. οἱ δ' ἀκροώμενοι
Τῶν ἀντιλογιῶν, καὶ λυγισμῶν, καὶ στροφῶν,
Ὑπερεμάνησαν, κἀνόμισαν σοφώτατον.
Κἄπειτ' ἐπαρθεὶς ἀντελάβετο τοῦ θρόνου,
Ἵν' Αἰσχύλος καθῆστο. Ξαν. κοὐκ ἐβάλλετο;
Αἰα. Μὰ Δί', ἀλλ' ὁ δῆμος ἀνεβόα κρίσιν ποιεῖν
Ὁπότερος εἴη τὴν τέχνην σοφώτερος.

Vt qui Venere sese potitum somniat.
B *XA. O Phœbe Apollo, cedò mihi dexteram tuã:*
Vt osculer, & ipse osculare: & dic mihi,
Per verberonem illum, socium nostrum, Iouem,
Quis hic intus tumultus? quis clamor oritur?
Quęnam iurgatio? ÆA. Æschyli atque Euripidis.
XA. Hem. ÆA. quippe magnus nuper motus extitit:
Et nimiùm dira seditio, hic apud inferos.
C *XA. At vnde? ÆA. lex quædam hic lata est, vt qui optimè*
Calleret aliquam, ex magnis atque industriis
Artibus, & in eadem alijs longè excelleret:
Is victum in Prytaneo capiat, atque solio
Plutonis deinceps insideat. XA. intelligo.
ÆA. Donec quis adueniat alius, qui doctiùs
Illam artem calleat: & tum cedere opus erit.
D *XA. Quamobrem verò isthuc turbauit Æschylum?*
ÆA. Prior ille habebat Tragicam sedem, vt qui optimus
In ea esset arte. XA. quis autem nunc primas habet?
ÆA. Postquam huc Euripides descendit, illicò
Ostensus est crumenarum incisoribus,
Prędonibus, parietum perfossoribus,
E *Et parricidis, quorum hic infinitus est*
Numerus. Illi vbi perceperunt cantus, strophas,
Contradictiones: suprà quàm dici queat
Furentes, iudicarunt sapientissimum
Euripidem: atque ille elatus sedem Æschyli
Prehendit. XA. an non inde deturbatus est?
ÆA. Non sanè: sed populus iudicio censuit
Rem committendam, vter artis sit peritior.

Σχόλια. Κἀκμιαίνομαι.] οὕτως ἔλεγον τὸ ἀποσπερματίζειν ὡς οἱ ὀνειρώττοντες. τοῦτο οὖν φησιν ὅτι ἥδομαι ὥσπερ εἰ ἀποσπερματίζων. Ὁμομαστιγίας.] ὥσπερ φαμὲν ἑταιρεῖος Ζεὺς καὶ ὁμόγνιος καὶ ἱκέσιος καὶ ὅσα τοιαῦτα, οὕτω καὶ δούλοις ὁ τῶν δούλων ἔφορος. ἐπεὶ δὲ οἱ δοῦλοι μαστίζεσθαι ὑπόκεινται καὶ πληγαῖς, διὰ τοῦτο ὁμομαστιγίας εἶπεν. ἢ ὑπολόμενος εἶπεν ὃς ἡμᾶς νῦν εἰσήγαγε, παίζων παρ' ὑπόνοιαν εἶπεν ὁμομαστιγίας. ἄλλως. ἀντὶ τοῦ εἰπεῖν ὁμόγνιος, ὡς ἔμπροσθεν. ἢ ὁμάδελφος. λέγει οὖν ὁμόδουλος. στικτέον δὲ ἐπὶ τῆς μαστιγίας. μέλλων γὰρ αὐτὸ πυνθάνεσθαι περί τινος πραγμάτων δηλικοῦ, σιωπᾷ, ἀκούσας ἔνδον γινομένου θορύβου περὶ ὧν καὶ ἑξῆς πυνθάνεται. ὁ γὰρ ὁρκίζων αὐτὸν κατὰ τοῦ Διὸς, ἵνα εἴπῃ αὐτῷ περὶ τοῦ ἔνδον βοῆς. ὁ μὲν γὰρ σωματικῶς καὶ ἀπὸ τοῦ καί μοι φράσον. μέχρι τοῦ χὠ λοιδορισμός. Νόμος τις ἐνθάδ' ἐστί.] νόμος ἦν ἐν τῷ ᾅδῃ, τὸν βελτίονα ἄνδρα τῶν ἑαυτοῦ συντεχνιτῶν, ἐγγὺς τοῦ

F Πλούτωνος καθέζεσθαι. Σίτησιν αὐτόν.] ταῦτα μεταφέρει ἀπὸ τῶν ἐν Ἀττικῇ ἐθῶν εἰς τὰ καθ' ᾅδου. Τοῦ Πλούτωνος ἑξῆς.] ἀντὶ τοῦ ἐγγὺς τοῦ θρόνου τοῦ Πλούτου. Βαλαντιτόμοις.] τοῖς τὰ βαλάντια τέμνουσιν ἃ ἐν ταῖς ζώναις ἀπηωρημένα φέρουσιν ἄνθρωποι. Τῶν ἀντιλογιῶν.] παρίστησιν αὐτοῦ τὸ περὶ τοὺς λόγους σοφόν. καὶ ἐν ἄλλοις. στρέψιμαλλος τὴν τέχνην Εὐριπίδης. Λυγισμῶν.] χαριέντως καμπτῶν τουτέστι παραλογισμῶν. τὸ γὰρ κάμπτειν, ἅμα μὲν πρὸς τὰ μέλη ἅμα δὲ πρὸς τὸ ἐξελίττειν καὶ ἀναδύεσθαι.
G Ὅμηρος. δίδυμοισι λύγοισι. Δίδυμος δὲ λυγισμῶν. ἀπὸ τῶν συνδούντων τὰ λύγα. Ὑπερεμάνησαν.] ἀντὶ τοῦ λίαν ἐχάρησαν. τούτων γὰρ οἱ τοιοῦτοι ὀρέγονται, ἵν' ὁπότε φωραθῶσι κλέπτοντες διὰ τούτων τοὺς κατηγορηκότας σοφίσωσι. διαβάλλει δὲ Εὐριπίδην ἐνταῦθα ὡς λίαν πανοῦργον καὶ τὰ τοιαῦτα ἐν τοῖς δράμασιν ἐπιτηδεύοντα. Οὐκ ἐβάλλετο.] λίθοις δηλονότι. οὕτως ἐλιθοβολεῖτο φησὶ Πausανίας.

Ξαν. Ο τῶν πανούργων; Αια. νὴ Δί' οὐράνιον γ' ὅσον.

Ξαν. Μετ' Αἰσχύλου δ' οὐκ ἦσαν ἕτεροι ξύμμαχοι;

Αια. Ολίγον τὸ χρηστόν ἐστιν ὥσπερ ἐνθάδε.

Ξαν. Τί δῆθ' ὁ Πλούτων δρᾶν παρασκευάζεται;

Αια. Αγῶνα ποιεῖν αὐτίκα μάλα καὶ κρίσιν.
Κἄλεγχον αὐτῶν τῆς τέχνης. Ξαν. κᾄπειτα, πῶς
Οὐ καὶ Σοφοκλῆς ἀντελάβετο τοῦ θρόνου;

Αια. Μὰ Δί' οὐκ ἐκεῖνος. ἀλλ' ἔκυσε μὲν Αἰσχύλον
Οτε δὴ κατῆλθε, κἀνέβαλε τὴν δεξιάν.
Κἀκεῖνος ὑπεχώρησεν αὐτῷ τοῦ θρόνου.
Νυνὶ δ' ἔμελλεν ὡς ἔφη Κλειδημίδης,
Εφεδρος καθεδεῖσθαι. κἂν μὲν Αἰσχύλος κρατῇ,
Εξειν κατὰ χώραν. εἰ δὲ μὴ, περὶ τῆς τέχνης
Διαγωνιεῖσθ' ἔφασκε πρός γ' Εὐριπίδην.

Ξαν. Τί χρῆμ' ἄρ' ἔσται. Αια. νὴ Δί' ὀλίγον ὕστερον,
Κἀνταῦθα δὴ τὰ δεινὰ κινηθήσεται.
Καὶ γὰρ ταλάντῳ μουσικὴ σταθμήσεται.

Ξαν. Τί δέ, μειαγωγήσουσι τὴν τραγῳδίαν;

Αια. Καὶ κανόνας ἐξοίσουσι, καὶ πήχεις ἐπῶν.
Καὶ πλαίσια ξύμπηκτα πλινθεύουσί γε.
Καὶ διαμέτρους. καὶ σφῆνας. ὁ γὰρ Εὐριπίδης
Κατ' ἔπος βασανιεῖν φησι τὰς τραγῳδίας.

Ξαν. Ηπου βαρέως οἶμαι τὸν Αἰσχύλον φέρειν.

Αια. Εβλεψε γοῦν ταυρηδὸν ἐγκύψας κάτω.

Ξαν. Κρινεῖ δὲ δὴ τίς ταῦτα; Αια. τοῦτ' ἦν δύσκολον.
Σοφῶν γὰρ ἀνδρῶν ἀπορίαν ηὑρισκέτην.
Οὔτε γὰρ Αθηναίοισι συνέβαιν' Αἰσχύλος.

Ξαν. Πολλοὺς ἴσως ἐνόμιζε τοὺς τοιχωρύχους.

Αια. Λῆρόν τε τἄλλ' ἡγεῖτο, τοῦ γνῶναι πέρι
Φύσεις ποιητῶν. εἶτα τῷ σῷ δεσπότῃ
Επέτρεψαν, ὁτιὴ τῆς τέχνης ἔμπειρος ἦν.
Αλλ' εἰσίωμεν, ὡς ὅταν γ' οἱ δεσπόται
Εσπουδάκωσι, κλαύμαθ' ἡμῖν γίγνεται.

XA. Hominem versutum. ÆA. ita, per summum Iouem admodum.

XA. Sed nulli erant commilitones cũ Æschylo?

ÆA. Pauci quippe boni sunt: sicut & hoc in loco.

XA. Quid Pluto adornat? ÆA. certamen Poëticum
Instituit: vt eruditè contendant, & sua
Quisque artis specimen edat. XA. sed, cur non eam

B *Sedẽ occupauit Sophocles, proximus Æschylo?*

ÆA. Non hercule. Sed Æschylum ille osculatus est,
Quando huc deuenit, & iniecit ei dexteram:
Ille tamen vltrò cedebat Sophocli locum:
Nunc quidẽ aderit, vt mihi retulit Clidemides,
Spectator assessurus: & si vincat Æschylus,
Nihil tentaturus, sin minus, pro gloria

C *Artis certaturum aiebat, cum Euripide.*

XA. Quid ergo erit negotij? ÆA. paulò pòst grauis
Mehercle tractabitur hîc controuersia:
Nam Musica ars in trutina examinabitur.

XA. Quid? an illi ponderabunt hic Tragœdias?

ÆA. Cubitos & regulas depromẽt carminũ,
Et quadrata ita struent, vt coëant: & quasi

D *Coagmententur: item diametros extruent*
Et cuneos: quoniam Euripides se dictitat
Ad numerum contorquere suas Tragœdias.

XA. Certè hoc ego grauiter ferre arbitror Æschylum.

ÆA. Ideo humũ contuens, taurinis videt oculis.

XA. Quis autem erit arbiter? ÆA. difficile istuc erat.
Nam sapientum virorum magna est inopia,

E *Neque enim obtingebat Æschylus Atheniẽsibus.*

XA. Forsasse multos perfossores parietum
Censebat ex ijs. ÆA. imò illos friuolos,
Et ineptos esse ducebat, qui Poëtica
Dignoscerent ingenia: ac proin' hero tuo
Rem commiserunt, quòd & ipse artem calleat.
Sed ingrediamur, vt si fortè nostri heri
Properauerint, nobis verbera parata sint.

Σχόλια. Οὐράνιον γ' ὅσον.] ἀντὶ τοῦ πολύ. καὶ μεγάλως ἐβόησαν. Ολίγον τὸ χρηστόν ἐστι.] δείκνυσιν ὡς πρὸς τὸ θέατρον. αἰνίττεται γὰρ εἶναι τοὺς ἐκεῖ. νῦν γὰρ οὐ καθ' ᾅδου φησίν. Κἀκεῖνος ὑπεχώρησεν αὐτῷ τοῦ θρόνου.] Καλλίστρατος. οὐχ ὡς παραδεδωκότος Αἰσχύλου τὸν θρόνον, ἀλλ' ὡς παραδεδεγμένου αὐτὸν καὶ ὑποκεχωρηκότος. Κλειδημίδης.] Καλλίστρατος, ὅτι ἴσως Σοφοκλέους υἱὸς ἐστιν. Απολλώνιος δὲ, ὅτι Σοφοκλέους ὑποκριτής. τοῦτο δὲ πόθεν εἴληφε, ἄδηλον. διαβάλλει δὲ καὶ Κλειδημίδην ὡς κακότεχνον. τινὲς δὲ τὸ νυνὶ δ' ἔμελλε τὸν Κλειδημίδην φασὶν εἶναι. ἔφεδρος δὲ ὁ μὴ πλανώμενος ἐν τοῖς ἀγῶσιν εἰς τὸ ἀγωνίζεσθαι τοῖς νικῶσιν. καὶ Σοφοκλῆς. καὶ μοι δυσθεράπευτος Αἴας ξυνὼν ἔφεδρος. ἤγουν ἔχων καὶ ὡς ἔφεδρος ἐλήλυθεν ἐμοὶ Αἴας εἰς κακόν. Εξειν κατὰ χώραν.] ἀντὶ τοῦ ἐνστήσειν οὕτως. ὡς εὗρεν Αἰσχύλον καθέζεσθαι. Μειαγωγήσουσι τὴν τραγῳδίαν.] μεῖον λέγεται. τοὺς ὑπὲρ τῶν υἱῶν εἰς τὰ ἀπατούρια εἰς ἄγειν ὑπὸ τῶν πατέρων εἰς φερομένους διὰ τὸ ἐπιφωνεῖν τοὺς φράτορας ἐπὶ τοῦ σταθμοῦ τοῦ ἱερείου, μεῖον. μεῖον. ὅτι δὲ ἵσταντο, Αριστοφάνης ἐν δράμασι δεδήλωκε. τοῦτο δὲ κέκληται κουρεῖον, ἀπὸ τῆς κουρᾶς, ὑπὲρ ὧν ἐθύετο. μεῖον δὲ διὰ τὴν προειρημένην αἰτίαν. καὶ ἐπιζήμιόν τι τοῖς ἧττον εἰσάγουσιν ἀποδέδοκτο, καθάπερ αὐτός φησιν Αριστοφάνης. ἀλλ' εὔχομαι ἴσως ἑλκύσει σε τὸν σφυγμόν, ἵνα μή με προσπράττωσι δραχμὰς οἱ φράτορες. μειαγωγὸς δὲ ἐλέγετο, ὁ προσάγων τὸ ἱερεῖον. ὅτι μεῖον τὸ ἱερεῖον ἔλεγον, τὸ παριστάμενον ὑπὲρ τῶν εἰς τοὺς φράτορας εἰσφερομένων. μεῖον δὲ ἐκλήθη ἀπὸ τοῦ συμβαίνοντος. ἔδει γὰρ αὐτὸ, ἔλαττον ἔχειν σταθμοῦ τινος ἀπὸ τοῦ ὡρισμένου διὰ τοὺς φιλοδεξοῦντας. οἱ δὲ φράτορες ἵνα μείζονα τέμνωνται μερίδας, ἐπιφωνοῦσιν ὡς ἰόντες ἱστᾶναι, διὰ τὸ μεῖον ἐστιν. ἄλλως. ἐάν τις εἰσάγῃ εἰς τοὺς ἰδίους φράτορας υἱὸν ἐν ἡλικίᾳ γινόμενον, παρίστασι αὐτοῖς ἐπὶ ὡρισμένου σταθμοῦ ἱερεῖον. πρὸς ὃν ἔδει προσάγειν. καὶ ὡς ἐξὸν μεῖον προσάγειν. ὅτε δὲ ἐτύθη, ἦν τὸ ἱερεῖον ὡς τὸ ζυ-

γὸν, περιεστῶτες ἐβόων. μεῖον. μεῖον. τὸ. δῆλον ὅτι ἔλαττόν ἐστι. παρὰ τοῦτο οὖν λέγει, καὶ μειαγωγεῖν τὴν τραγωδίαν, τουτέστι πρὸς τὸν ζυγὸν προσάξουσι καὶ στήσουσιν. ἄλλως. ἐπειδὴ εἰώθασι προσφέρειν οἱ εἰς τοὺς φράτορας χαφόμενοι, πρόβατον. καὶ οἱ ἱστάμενοι, ἔλεγον. μεῖον. μεῖον. καὶ τὸν εἰσάγοντα μειαγωγὸν ἐκάλουν. Καὶ κανόνας.] κυρίως τὸ ἐπάνω τῆς τρυτάνης ὂν, καὶ εἰς ἰσότητα ταύτην ἄγων. Καὶ πλαίσια.] τὰ τῶν ξύλων τετράγωνα. πλαίσιον γὰρ πλινθίον τετράγωνον. Αφθόνιος. καὶ τὸ σχῆμα πλαίσιον τυγχάνει τοῦ μηχανήματος. διάμετρος δὲ ἡ ἐν τῷ κύκλῳ κέντρον τέμνουσα μέσον γραμμή. διαβήτης. σταφύλη. ὅπερ ἐστὶν ὄνομα παρὰ τοῖς ἀρχιτέκτοσιν ἐπὶ τῆς καθειμένης μολύβδου τιθέμενον. Ομηρος. σταφύλῃ ἐπὶ νῶτον ἐΐσας. οὐδὲν δὲ ἀλλ' ὅτι περιττὰ καὶ σοφά. ἡ διὰ τούτων δείκνυσιν ὅτι παντοδαπῶς ἐξετασθήσεται.

Bisetvs. Τὸ περὶ τῆς σταφύλης παράδειγμα ἐν

A τοῖς παλαιοῖς σχολίοις οὐ καλῶς ἔχειν δοκεῖ. καὶ γὰρ οὕτως Ὅμηρος Ιλ. Β.

Ἵπποι μὲν μέγ' ἄρισται ἔσαν Φηρητιάδαο,
Τὰς Εὔμηλος ἔλαυνε ποδώκεας ὄρνιθας ὥς,
Ὄτριχας, οἰέτεας, σταφύλῃ ἐπὶ νῶτον ἐΐσας. ἀντὶ τοῦ ἴσας.

Σχόλια. Ταυρηδόν.] τοιοῦτος γὰρ τῷ σχήματι ὀργιζόμενος Αἰσχύλος. Οὔτε γὰρ Αθηναίοισιν.] ὡς φαύλων περὶ τὰς ἀποκρίσεις ὄντων, οὐ συνεχώρει. Τοὺς τοιχωρύχους.] τοὺς προσέχοντας Εὐριπίδῃ πονηρούς. Λῆρόν τε τἄλλ' ἡγεῖτο.] ἀντὶ τοῦ τοὺς

B ἄλλους. Αθηναίους μὲν, συνετοὺς ἡγεῖτο, πονηροὺς δὲ τοὺς πλείστους. διὸ μὴ ἐπιτρέψαι αὐτοῖς τὴν κρίσιν. τοὺς δὲ ἄλλους ἀνθρώπους, λῆρον ἡγεῖτο πρὸς τοιαύτην ἐξέτασιν. Ως ὅταν γ' οἱ δεσπόται.] ὅταν γὰρ οἱ δεσπόται σπουδάζωσι θᾶττόν τι ἀπαρτισθῆναι, ἐπιπλήττουσι τοὺς δούλους, ἵνα θᾶττον ἐργάζωνται.

ΧΟΡΟΣ.

C

Χο. Ἦπου δεινὸν ἐριβρεμέτας,
Χόλον ἔνδοθεν ἕξει.
Ἡνίκ' ἂν ὀξύλαλον παρίδῃ,
Θήγοντος ὀδόντας
Ἀντιτέχνου. τότε δὴ
Μανίας ὑπὸ δεινῆς,
Ὄμματα στροβήσεται.
Ἔσται δ' ὑψιλόφων τε λόγων
Κορυθαίολα νείκη,
Σχινδαλμῶν τε παραξόνια,
Σμιλεύματά τ' ἔργων,
Φωτὸς ἀμυνομένου,
Φρενοτέκτονος ἀνδρός.
Ῥήμαθ' ἱπποβάμονα.
Φρίξας δ' αὐτοκόμου λοφιᾶς
Λασιαύχενα χαίταν,
Δεινὸν ἐπισκύνιον ξυνάγων,
Βρυχώμενος ἥσει,
Ῥήματα γομφοπαγῆ
Πινακηδὸν, ἀποσπῶν
Γηγενεῖ φυσήματι.
Ἔνθεν δὴ στοματουργὸς ἐπῶν

CHORVS.

CH. *Magna isthic homo grandiloquus*
Agitabitur ira:
Viderit vt strepitum Tragici,
Dentes acuentis
Æmuli: ibi Furijs
Simul actus & Oestro,
Lumina huc & huc aget.
D *Verborum sed enim grauium,*
Pugna aspera surget,
Nugarumque rota strepera, &
Subtilia rerum
Segmina docti hominis,
Sua verba tuentis:
Verba sesquipedalia.
Tum setam quatiens rigidam
Ceruice supina,
E *Grande supercilium trahet, &*
Rugitibus edet,
Contabulata suis
Modulamina clauis:
Flans Gygantis halitum.
Inde & vocum opifex lenium,

Σχόλια. Ἦπου δεινὸν ἐριβρεμέτας.] κορωνὶς καὶ εἴσθεσις μέλους χοροῦ μονοστροφικὴ τέσσαρας περιόδους ὁμοίως ἔχουσα. τὰ κῶλα δ' ἑκάστης περιόδου εἰσὶν ἑπτὰ ἰσόμετρα. ὧν τὰ μὲν πρῶτα καὶ τρίτα καὶ πέμπτα δακτυλικά. ἀλλὰ τὰ μὲν ἑφθημιμερῆ. τὰ δὲ πέμπτα πενθημιμερῆ. τὰ δεύτερα καὶ τέταρτα καὶ ἕκτα ἀναπαιστικὰ ἑφθημιμερῆ. τὰ δ' ἕβδομα τροχαϊκὰ ἑφθημιμερῆ Εὐριπίδεια. μετρουμένων μὲν τοι καὶ κατὰ δύο δακτυλικοὺς ἑξαμέτρους καὶ ἕνα πεντάμετρον καὶ ἕνα τροχαϊκὸν δίμετρον καταληκτικόν. Ἦπου δεινὸν ἐριβρεμέτας.] ὁ Αἰσχύλος πρὸς τὸ βροντῶδες τῶν ῥημάτων καὶ κομπῶδες. οἷά ἐστι κἀκεῖνα εὐθὺς ἐν ἀρχῇ τοῦ Προμηθέως,

F

Χθονὸς μὲν ἐς τηλουρὸν ἥκομεν πέδον
Σκύθην ἐς οἶμον ἄβατον εἰς ἐρημίαν
Ἥφαιστε σοὶ δὲ χρὴ μέλειν ἐπιστολάς,
Ἅς σοι πατὴρ ἐφεῖτο τόνδε πρὸς πέτραις
Ὑψηλοκρήμνοις τὸν λεωργὸν ὀχμάσαι

Ἀδαμαντίνων δεσμῶν ἐν ἀρρήκτοις πέδαις
καὶ πάλιν
Ἀδαμαντίνου νῦν σφηνὸς αὐθάδη γνάθον
Στέρνων διαμπὰξ πασσάλευ' ἐρρωμένως.

Θήγοντος ὀδόντας.] ἀπὸ μεταφορᾶς ἐστι τῶν χοίρων οἳ ὅταν εἰς μάχην παρασκευάζωνται τοῦτο ποιοῦσι. στροβήσεται δὲ ἀντὶ τοῦ ταραχθήσεται. Ὑψιλόφων τε λόγων.] τῶν τοῦ Αἰσχύλου. διὰ τὸ ὑψηλόν. τουτέστι μετεώρων. μεγάλων. χαρακτηρίζει δὲ ἀμφοτέρους. Εὐριπίδην καὶ Αἰσχύλον. Σχινδαλμῶν τε παραξόνια.] σχινδαλμὸς κυρίως. τὸ περὶ τὸν

G φλοιὸν τοῦ καλάμου ξέσμα. παραξόνια δὲ, ὅτι κινδυνώδη καὶ παράβολα. παρὰ τὸ τροχὸν ἐλκόμενα καὶ ἄνω ἰθὺ ἐπ' αὐτὸ τοῦ Εὐριπίδου, τουτέστιν εἴ τι παρακεκινδυνευμένον. ἄλλως παραξόνια κινδυνώδη. ἀπὸ τοῦ ἄξονος. ἀεὶ γὰρ τὸ μέρος τοῦτο κινδυνεύει. σμιλεύματα δὲ, τὰ ἐκβαλλόμενα ἀπὸ σμίλης. ἀντὶ τοῦ διαλύμματα. ἐρεθίσματα. Φρενοτέκτονος.] τοῦ ἐκ τῶν αὐτοῦ φρενῶν τεκταινομένου καὶ συντιθέντος Αἰσχύλου.

Αἰσχύλου. ταῦτα δὲ λέγει ἐπειδὴ τοιούτοις ὀνόμασιν Αἰσχύλος ἐπιχειροῦντα κτύπον ἀποτελοῦσι. τὸ δὲ ἑξῆς φωτὸς ἀμυνομένου τουτέστι τοῦ Εὐριπίδου ἀμυνομένου τὰ ἱπποβάμονα ῥήματα τοῦ φρενοτέκτονος ἀνδρὸς τουτέστι τοῦ Αἰσχύλου. Φρίξας δ' αὐτοκόμου.] ὥσπερ εἶπεν ὀργισθείς, ὥσπερ σῦς. πᾶν δὲ τὸ ἐπισκύνιον κάτω ἕλκεται. εἰς ἓν δὲ συνέταξεν ὁμοῦ ἀμφοτέρας τὰς Ὁμηρικὰς εἰκόνας, τήν τε ἐπὶ τοῦ λέοντος ἐν τῷ λασιαύχενα χαίταν, καὶ τὴν ἐπὶ τοῦ συός. Ἐπισκύνιον συνάγων.] Ὅμηρος. πᾶν δέ τ' ἐπισκύνιον κάτω ἕλκεται ὄσσε καλύπτων. τὸ περὶ τὰς ὀφρῦς δέρμα. κατὰ μετάθεσιν τοῦ λ εἰς ν. σκύλος γὰρ λέγεται τὸ δέρμα. ἔνθα καὶ σκυλοδέψης ὡς βυρσοδέψης. τὸ ἐπάνω τῶν ὀφθαλμῶν

A μέρος. ἤτοι δέρμα. τὸ συνοφρύωμα τοῦ μετώπου. ὅθεν καὶ σκύζεσθαι τὸ ὀργίζεσθαι διὰ τὸ ἐνδιάθετον γίνεσθαι τοῦτο τὸ μέρος τοῖς ὀργιζομένοις. καὶ ἐπισκυζᾶν τὸ χαλεπαίνειν, ἀπὸ τοῦ τὸ ἐπισκύνιον καθέλκειν τοὺς χαλεπαίνοντας. Γομφοπαγῆ.] ἀκριβῶς αὐτὰ πολυσύνθετα, σκληρὰ καὶ ἦχον ποιοῦντα, ὥσπερ αἱ κεκαρφωμέναι σανίδες. Πινακηδὸν ἀποσπῶν.] ἀποσπῶν τὰ ῥήματα, ὥσπερ πίνακας ἀπὸ πλοίων. οὐχ ὡς Εὐριπίδης σκινδαλμούς. πινακίδες δὲ αἱ μεγάλαι σανίδες τῶν πλοίων. δίκην σανίδων τῶν ἐκ ναυαγίου ἀποσπωμένων ἐν τρικυμίᾳ. Γηγενεῖ φυσήματι.] μεγάλῳ ὥστε σεισμοὺς ποιεῖν. ἀρχαῖα γὰρ ὑπόνοια τὸ ὑπὸ πνευμάτων κατεχομένην σείεσθαι τὴν γῆν.

B

Βασανίστρια λίσπη,
Γλῶσσ' ἀνελισσομένη, φθονερούς
Κινοῦσα χαλινούς,
Ῥήματα δαιομένη,
Καταλεπτολογήσει,
Πλευμόνων πολὺν πόνον.

Numerûmq; retortrix
Lingua volubilis, inuidia
Motura lupatum:
Dum sua verba secat:
C *Tenui ore sonabit,*
Magnum anhelitus onus.

Σχόλια. Λίσπη.] τῷ τόνῳ ὡς κίστη. Ἀπολλώνιος δὲ ὀξύνει. ὡς ψιλή. λίσπη δὲ ἡ ἐκτετριμμένη καὶ λεία. οὕτω γὰρ λέγονται οἱ τοιοῦτοι ἀστράγαλοι. ἀφ' οὗ καὶ οἱ λίσποι τὰ ἰσχία. Καλλίστρατος δέ, ξηρὸν λεπτὸν σφόδρα. ἀφ' οὗ καὶ οἱ τὰ ἰσχία λεπτοί, λίσποι λέγονται ἄλλως. λίαν ἐκτετριμμένη καὶ ὀλισθηρὰ γλῶσσα. διὰ τὸ ἐν τοῖς λόγοις εὐαπόφυκτον. ἄλλως. λίσπους καλοῦσι τοὺς ὑφ' ἡμῶν μαλακούς, τρυφηλούς. ἀστραγάλους. οἱ τοιοῦτοι δέ, δυστροD πικοί εἰσιν ἐν τῷ παίζειν. λέγει δὲ τὴν Εὐριπίδου. πρὸς δὲ τὸ ἱπποβάμονα καὶ τὰ λοιπὰ τὸ κινοῦσα χαλινοὺς εἴρηται. φθονεροὺς δὲ ὡς φθονουμένου τοῦ Εὐριπίδου ἐπὶ σοφίᾳ. δαιομένη δὲ διαμερίζουσα. διαιροῦσα. κατατέμνουσα τὰ Αἰσχύλου ῥήματα. καταλεπτολογήσει δέ, τῆς τοῦ Αἰσχύλου λεπτολογίας λεπτῶς βασανίσει ὁ Εὐριπίδης. Πλευμόνων πολὺν πόνον.] τὰ γὰρ τοιαῦτα ῥήματα μετὰ πολλοῦ ἐξέρχονται πόνου.

D

ΔΡΑΜΑΤΟΣ ΤΟΥ ΤΡΙΤΟΥ Σκηνὴ δευτέρα.

ΕΥΡΙΠΙΔΗΣ, ΔΙΟΝΥΣΟΣ, ΑΙΣΧΥΛΟΣ.

Τρίμετροι.

ACTVS III. SCENA II.

EVRIPIDES, BACCHVS, ÆSCHYLVS.

E

Senarij.

Bisextus. Εὐριπίδης, καὶ Αἰσχύλος παρόντος Διονύσου περὶ τῶν πρωτείων φιλοτίμως, καὶ ἐριστικῶς διὰ πλειόνων ἐρίζουσι. καὶ τέλος οὐκ ἀπομέλεις παύονται, καὶ περὶ ὁμιλίας, καὶ ἀντιλογίας φίλης σύμβασιν ποιοῦνται.

Εὐ. Οὐκ ἂν μεθείμην τοῦ θρόνου, μὴ νουθέτει.
F Κρείττων γὰρ εἶναί φημι τούτου τὴν τέχνην.
Δι. Αἰσχύλε τί σιγᾷς; αἰσθάνει γὰρ τοῦ λόγου.
Εὐ. Ἀποσεμνυνεῖται πρῶτον, ἅπερ ἑκάστοτε
Ἐν ταῖς τραγῳδίαισιν ἐτερατεύετο.
Δι. Ὦ δαιμόνι' ἀνδρῶν, μὴ μεγάλα λίαν λέγε.
Εὐ. Ἐγᾦδα τοῦτον, καὶ διέσκεμμαι πάλαι,
Ἄνθρωπον ἀγριοποιόν, αὐθαδόστομον,
G Ἔχοντ' ἀχάλινον, ἀκρατές, ἀπύλωτον στόμα.
Ἀπεριλάλητον, κομποφακελορρήμονα.

EV. *Sedem haud reliquerim, ne moneas me modò.*
Nam doctiorem me esse dico hoc Æschylo.
BAC. *Æschyle mi, quid taces? nam verba hæc percipis.*
EV. *primùm magnificè se geret, quòd undique*
Verborum monstra loquatur in Tragœdijs.
BAC. *Mire opifex, ne loquare nimiùm grandia.*
EV. *Noui ego, qui vir siet: & dudum comperi*
Hominem, feros reddentem alios, ore improbo,
Effreni, incontinenti, ianua
Egente, futilem, ampullosis turgidum

Σχόλια. Οὐκ ἂν μεθείμην.] γράφεται καὶ μεθείμην. κορωνὶς δὲ εἰσιόντων τῶν ὑποκριτῶν. οἱ δὲ στίχοι ἰαμβικοὶ τρίμετροι ἀκατάληκτοι μέχρι ἑνὸς τελευταίου. ὑμεῖς δὲ ταῖς μούσαις τὸ μέλος ἐπάσατε. ἐπὶ τῷ τέλει κορωνίς. Αἰσθάνει γὰρ τοῦ λόγου.] ὃν λέγει, ὡς οὐ παραχωρήσει σοι τοῦ θρόνου, φάσκων εἶναι σοῦ κρείττων. Ἀποσεμνυνεῖται.] ἀντὶ τοῦ ἀπονοεῖται σιωπῶν. ὑπερηφανεῖ πάλιν ὅπερ ἐποίει ζῶν. σεμνότητος γὰρ ἕνεκα ἐπὶ πολὺ ἐσιώπα Αἰσχύλος, ἐν τοῖς

θεάτροις εἰσιών. Ἀγριοποιόν.] ἀγρίους εἰσάγοντα καὶ θυμοὺς τοὺς ἥρωας. Ἀπύλωτον στόμα.] Φρυνίχος, ἀθύρωτον. οἱ δὲ γραμματικοί, ἀπύλωτον, ἀντὶ τοῦ ἀνοιγμένον καὶ πύλην μὴ ἔχον. μὴ χαλιναγωγούμενον μηδὲ κρατούμενον. A Κομποφακελορρήμονα.] δηλ. ὡς εἶδος λαλιᾶς. κομποφακελορρήμονα δὲ βαρυρρήμονα σκληρὰ καὶ ὡσπερεὶ σύνδεσμα ἔπη λέγοντα. φάκελοι γὰρ τὰ βαρέα καὶ σύνδεσμα φορτία τῶν ξύλων.

Αἰ. Ἀληθες, ὦ παῖ τῆς ἀρουραίας θεοῦ,
Σὺ δή με ταῦτ', ὦ στωμυλιοσυλλεκτάδη,
Καὶ πτωχοποιὲ, καὶ ῥακιοσυρραπτάδη.
Ἀλλ' οὔ τι χαίρων ταῦτ' ἐρεῖς. Διόνυσ. παῦσ' Αἰσχύλε,
Καὶ μὴ πρὸς ὀργὴν σπλάγχνα θερμήνῃς κότῳ.
Αἰ. Οὐ δῆτα, πρίν γ' ἂν τοῦτον ἀποφήνω σαφῶς
Τὸν χωλοποιὸν, οἷος ὢν θρασύνεται.
Δι. Ἄρν' ἄρνα μέλαιναν παῖδες ἐξενέγκατε.
Τυφὼς γὰρ ἐκβαίνειν παρασκευάζεται.
Αἰ. Ὦ Κρητικὰς μὲν συλλέγων μονῳδίας,
Γάμους δ' ἀνοσίους εἰσφέρων εἰς τὴν τέχνην.
Δι. Ἐπίσχες οὗτος, ὦ πολυτίμητ' Αἰσχύλε,
Ἀπὸ τῶν χαλαζῶν, ὦ πόνηρ' Εὐριπίδη,
Ἄπαγε σεαυτὸν ἐκποδὼν, εἰ σωφρονεῖς,
Ἵνα μὴ κεφαλαίῳ τὸν κρόταφόν σου ῥήματι,
Θενὼν ὑπ' ὀργῆς, ἐκχέῃ τὸν Τήλεφον.
Σὺ δὲ μὴ πρὸς ὀργὴν Αἰσχύλ', ἀλλὰ πρᾴως
Ἔλεγχ' ἐλέγχου, λοιδορεῖσθαι δ' οὐ πρέπει
Ἄνδρας ποιητὰς, ὥσπερ ἀρτοπώλιδας.
Σὺ δ' εὐθὺς, ὥσπερ πρῖνος ἐμπρησθεὶς, βοᾷς.
Εὐ. Ἕτοιμός εἰμ' ἔγωγε, κοὐκ ἀναδύομαι
Δάκνειν (δάκνεσθαι πρότερος εἰ τούτῳ δοκεῖ)
Τἄπη, τὰ μέλη, τὰ νεῦρα τῆς τραγῳδίας,
Καὶ νὴ Δία, τὸν Πηλέα τε, καὶ τὸν Αἴολον,

Verbũ. Æs. ita est, mi fili ruralis Deæ:
Tu equidem, tu blateramentorum inanium
Collector, tu fabricator mendicantium,
B *Tu pannosorum hominum consutor, hæc mihi*
Obijcis: at faxo ego iam nunc, haud ut rideas.
BA. Pausa Æschyle, nec ad iram accendas viscera.
Æs. Minimè, priusquàm hunc commonstrauero palàm
Claudorum hominum fabrum, quàm sit feroculus.
C *BA. Agnum huc, agnum efferte pueri nigrum ocyus,*
Nam turbo verborum tentat prorumpere.
Æs. O tu, qui Creticas facis monodias,
Et nuptias in artes infers nefarias.
BA. Quæso abstine, mi præstantissime Æschyle,
A vocum grandinibus: tu miser Euripides,
Hinc temet amoue è conspectu, si sapis:
D *Ne iratus duriori verbo tibi caput*
Feriat, & fracto cranio effundat Telephum.
Tu verò Æschyle, ne iracundè, sed leniter,
Refelle obiecta. non enim bonos decet
Poëtas, ceu pistorum uxores, inuicem
Conuitiari. tu velut ilex clamitas,
Quæ igni crepitat. EVRIP. *nulla in me mora, neque abnuo*
E *Mordere (siquidem huic priori morderi lubet)*
Numeros, modos & neruos in Tragœdia:
Et per Iouem, Pelea meum, & meum Æolum,

Σχόλια. Ἀληθες ὦ παῖ.] ἐν ἐρωτήσει. ἀντὶ ὄντως δὴ σύ. ὅτι δὲ λαχανοπώλιδος υἱὸς ἦν ὁ Εὐριπίδης, Ἀλέξανδρός φησιν. εἴρηται δὲ ὁ στίχος παρὰ τοῦ Εὐριπίδου. ἄληθες ὦ παῖ τῆς θαλασσίας θεοῦ. βαρυτονητέον δὲ τὸ ἄληθες. ἀρουραίας δὲ διότι τὰ λάχανα ἐκ τῆς γῆς φύεται. Πτωχοποιέ.] ὅτι Τήλεφον τὸν βασιλέα Μυσῶν πτωχὸν ποιήσας. F στωμυλιοσυλλεκτάδη δὲ ὁ πολυλογίας συνάγων. ῥακιοσυρραπτάδη δὲ, ὁ τὰ ῥάκη συρράπτων καὶ ἐνδύων τοὺς βασιλεῖς. ἢ ὁ τὰ τῶν ἄλλων ποιητῶν συλλέγων καὶ οἰκεῖα ἑαυτοῦ λογιζόμενος.

Bisetus. Στωμυλιοσυλλεκτάδη] Σ. στωμύλα ῥήματα συλλέγων.

Σχόλια. Σπλάγχνα θερμήνῃς.] θυμὸς γάρ ἐστι ζέσις τοῦ περὶ τὴν καρδίαν αἵματος, δι' ὄρεξιν ἀντιλυπήσεως κινουμένη. ἢ ὀργὴ ἐναρχομένη. κότος δὲ ὀργὴ ἐπιτηρουμένη. G μῆνις δὲ ὀργὴ εἰς παλαίωσιν ἀποτιθεμένη. χόλος δὲ ὀργὴ διοιδοῦσα. ὀργὴ δὲ ἐπιθυμία τιμωρίας τοῦ ἠδικηκέναι δοκοῦντος. ἢ λύπη μεθ' ὑπολήψεως τοῦ ὀλιγωρεῖσθαι. Τὸν χωλοποιόν.] διὰ τοὺς τρεῖς. Βελλεροφόντην. Φιλοκτήτην. Τήλεφον. Ἄρν' ἄρνα μέλαιναν.] ὡς τοιαύτης γινομένης θυσίας τοῦ Τυφῶνι. ἐν τῷ λῆξαι τὰς καταιγίδας. Τυφὼς γὰρ ἐκβαίνειν] δηλ. ὁ θρόος ἐκβαίνειν μέλλει. τοὺς δὲ καταιγιδώδεις ἀνέμους, τυφῶς καλοῦσι. τούτῳ ἐοίκασι μέλανα ἄρνα σφαγιάζειν, ὅπως λήξῃ τὸ πνεῦμα, εἰς τὸν Αἰσχύλον δὲ τοῦτο. Ὦ Κρητικὰς μέν.] ἐν γὰρ τοῖς Κρησὶν, Ἴκαρον μονῳδοῦντα ἐποίησε. ἢ οἱ μὲν εἰς τὴν Ἰκάρου μονῳδίαν ἐν τοῖς Κρησί. θρασύτερον γὰρ δοκεῖ εἶναι τὸ πρόσωπον. Ἀπολλώνιος δὲ, ὅτι δύναται καὶ εἰς τὴν Ἀερόπην, τὴν ἐν ταῖς Κρήσσαις εἰρῆσθαι. ἣν εἰσήγαγε πορνεύουσαν. οἶμαι F δὲ διὰ τὰ ἐν τῷ Αἰόλῳ. Τιμαχίδας δὲ, διὰ τὴν ἐν τοῖς Κρησὶ μίξιν Πασιφάης πρὸς τὸν ταῦρον. ἄλλως. ἐκ τῶν ἐν τῷ Αἰόλῳ Κανάκης καὶ Μακαρέως ἢ ὥς τινες Δανάης καὶ Μεγαρέως τῶν ἀδελφῶν. οὐδ' ἐκεῖ γὰρ τοῖς παλαιοῖς πάνυ ἐναγὲς εἶναι ταῖς ἀδελφαῖς μίγνυσθαι. ἢ ὅτι ἡ Φαίδρα ὡς τὸ πάθος ἐδραματούργησε Κρῆσσα ἦν. καὶ γάμους ἀνοσίους λέγει διὰ τὸ αὐτὴν ἐρασθῆναι τοῦ Ἱππολύτου. ὃν ὁ Θησεὺς ἐξ Ἱππολύτης ἔσχε μιᾶς τῶν Ἀμαζόνων. μὴ δυνηθεῖσαν δὲ τελέσαι τὸν ἔρωτα διὰ τὴν Ἱππολύτου σωφροσύνην ἀγχόνῃ χρήσασθαι. Ἵνα μὴ κεφαλαίῳ.] ἀντὶ τοῦ G ἀδροῦ. ἢ ἐν ὑποβολαῖς, κεφάλαιον τῆς ῥαφανίδος. οὐδ' ἐλέσθαι δ' ἐκποιοῦν ἐξῆν, κεφάλαιον τῆς ῥαφανίδος.

Bisetus. Κεφαλαίῳ] ὁ νοῦς οὕτω. μὴ τὸν σὸν κρόταφον ῥήματι ὡς κεφαλαίῳ ῥαφανίδος, ἤγουν μεγάλῳ, τῷ κεφαλαίῳ τῆς ῥαφανίδος δίκην, ὑπ' ὀργῆς θένων, καὶ τύπτων ἐκχέῃ τὸν Τήλεφον. τουτέστι σὲ νικήσῃ, καὶ τὸ σὸν δρᾶμα κακὸν, καὶ ἀποβλητέον εἶναι δείξῃ.

Σχόλια.

Σχόλια. Εχχέω τὸν Τήλεφον.] ἀντὶ ἔφη τὸν ἐγκέφαλον. ἰδιαίτατα δὲ τὸν Τήλεφον κωμῳδεῖ.

Καὶ τὸν Μελέαγρον, κἄτι μάλα τὸν Τήλεφον.

Δι. Σὺ δὲ δὴ τί βούλει ποιεῖν; λέγ' Αἰσχύλε.

Αι. Εβουλόμην μὲν οὐκ ἐρίζειν ἐνθάδε.

Οὐκ ἐξ ἴσου γάρ ἐστιν ἀγὼν νῷν. Δι. τί;

Αι. Οτι ἡ ποίησις οὐχὶ συντέθνηκέ μοι.

Τούτῳ δὲ συντέθνηκεν, ὥσθ' ἕξει λέγειν.

Ομως, ἐπειδή σοι δοκεῖ, δρᾶν ταῦτα χρή.

Δι. Ἴθι νυν λιβανωτὸν δεῦρό τις, καὶ πῦρ δότω,

Οπως ἂν εὔξωμαι πρὸ τῶν σοφισμάτων,

Αγῶνα κρῖναι τόνδε μουσικώτατα.

Υμεῖς δὲ ταῖς μούσαις τι μέλος ὑπᾴσατε.

Σχόλια. Κἄτι μάλα τὸν Τήλεφον.] ὡσεὶ ἔλεγε. τὸν ἐγκωμιαζόμενον Τήλεφον, εἰς μέσον φέρε. Οτι ἡ ποίησις οὐχὶ συντέθνηκεν.] ἐπεὶ τὰ Αἰσχύλου ἐψηφίσαντο διδάσκειν. κωμῳδεῖ δὲ τοῦτο εἶπε. τῶν γὰρ δυνατῶν, καὶ μετὰ θάνατον ᾄδει δὲ τὰ ποιήματα. Τούτῳ δὲ συντέθνηκε] συναποθανοῦσα πάρεστιν ἐνθάδε ἐν τῷ ᾅδῃ, καὶ ἕξει αὐτὴν ξύμμαχον. Υμεῖς δὲ ταῖς μούσαις] πρὸς τὸν χορὸν ἴσον τῷ προσβιβάσαι ὡς ὑποσχαμμός τις ὤν.

A *Ω πάτερ πρῖνος.] ὅτι ὁ πρῖνος κατημμένην ψόφον ποιεῖ.*

Et hunc Meleagrum, adeoque ipsum etiam Telephum.

BA. Quid verò tu? quid vis facere? cedo, Æschyle.

ÆS. Ego hîc quidem nolim certare Tragœdijs.

Nam iniquum inter nos certamen erit. BA. cur ita?

B *ÆS. Quoniam ars Poëtica mecum haud est e-(mortua,*

Cum hoc vnà mortua: sicut ipse fatebitur.

Verùm si tibi placet, faciendum est quod iubes.

BA. Age nunc thus proferat, & ignem det quispiam?

Ego pro sagaci indicio faciam preces:

Vt aptè discernam certamen Musicum.

Vos autem Musis carmen accinite aliquod.

C

ΧΟΡΟΣ.

Bisetus. Κορωνὶς, καὶ εἴσθεσις ἐπῳδικὴ ἐκ κώλων ιγ'.

Χο. Διὸς ἐννέα παρθένοι, ἁγναὶ

Μοῦσαι, λεπτολόγους

Ξυνετὰς φρένας αἳ καθορᾶτε

Ανδρῶν γνωμοτύπων,

Οταν εἰς ἔριν ὀξυμερίμνοις

Ελθωσι, στρεβλοῖσι

Τε παλαίσμασιν ἀντιλογοῦντες,

Ελθετ' ἐποψόμεναι,

Δύναμιν δεινοτάτοιν στομάτοιν,

Πορίσασθαι ῥήματα,

Παραπρίσματ' ἐπῶν. νῦν γὰρ ἀγὼν

Σοφίας ὁ μέγας,

Χωρεῖ πρὸς ἔργον ἤδη.

Σχόλια. Διὸς ἐννέα.] κορωνὶς καὶ εἴσθεσις ἐπῳδικὴ διὰ τὸ μετὰ τὴν κορωνίδα τίθεσθαι, ἐκ κώλων ἀναπαιστικῶν τῶν διμέτρων ἐφθημιμερῶν κατὰ τὰς περιττὰς χώρας. κατὰ δὲ τὰς ἀρτίας ἀντισπαστικῶν ἡμιολίων ἐξ ἐπιτρίτου τετάρτου ἢ τοῦ πεντασυλλάβου παλιμβακχείου καὶ ἰαμβικοῦ ἑφθημιμεροῦς. ἐφ' ᾧ κορωνίς. ἔξης δὲ σύστημα κατὰ περίοδον ἀνομοίαν οἱ δ' στίχοι ἰαμβικοὶ τρίμετροι ἀκατάληκτοι δέκα. ὧν τελευταῖος ὀρθὸς μὲν ἐλλείπει ἂν ἀπλωμαι λόγων. ἐπὶ τῷ τέλει παράγραφος. Γνωμοτύπων.] τῶν τὰς οἰκείας γνώμας διὰ τῶν λόγων τυπούντων. ἢ τῶν τύπους αὐτὰς τοῖς ὕστερον καταλιμπανόντων. ἢ τῶν ταῖς γνώμαις ἀλλήλους τυπτόντων. Οξυμερίμνοις.] τοῖς μετ' ἐπιψόγως ὑπερηκομένοις, καὶ ἀκριβέσι. Ρήματα καὶ παραπρίσματα.] τὰ μὲν ῥήματα πρὸς τὸν Αἰσχύλον. τὰ δὲ παραπρίσματα πρὸς τὸν Εὐριπίδην λεπτολογοῦντα.

CHORVS.

D CH. *Soboles Iouis eia nouena*

Musa, quæ aspicitis

Animos hominum sapientum

Doctos atque catos:

Vbi litem inient, sibi acutè

Iuuentus luctandi

Rationibus oppositum

Arma: ibi adeste Deæ,

E *Vti vim nobilis eloquij*

Videatis: & scobem

Numerorum date. iam concita lis

Sapientiæ capit

Vires opúsque surgit.

F

Bisetus. Σύστημα κατὰ περικοπὴν ἐκ στίχων ι.

Δι. Εὔχεσθε δὴ καὶ σφώ τι, πρὶν τἄπη λέγειν.

Αι. Δήμητερ, ἡ θρέψασα τὴν ἐμὴν φρένα,

Εἶναί με τῶν σῶν ἄξιον μυστηρίων.

Διόν. Επίθες λαβὼν δὴ καὶ σὺ λιβανωτόν. Ευρ. (καλῶς.

G

BA. Precamini verò & vos, priusquàm carmina

Dicatis. ÆS. ô Ceres, quæ meum animũ

Pascis, fac arcanis vt sim dignus tuis. (perplacet.

BA. Cape & tu aliquid thuris, & impone. EV.

Σχόλια. Δήμητερ ἡ θρέψασα.] παρόσον Ελευσίνιος τὸ δῆμον ὁ Αἰσχύλος ἦν. ἢ ὅτι ἐν τοῖς Ελευσινίοις ἐτελεῖτο τὰ δράματα τοῦ Αἰσχύλου. ἴσως δὲ τοῦτο εἶπε ὡς Αἰσχύλου.

Bisɛt. Εἶναί με] δηλονότι δὸς, ἢ εὔχομαι ὑπακουστέον. Σχ. Καλῶς.] ὅτι τὸ νῦν τὸ καλῶς, ἀντὶ παραιτοῦσι. ἀντιστρεφόμενος δὲ καὶ παραιτούμενος ὁ Εὐριπίδης λέγει τὸ καλῶς.

Y.

Ἕτεροι γάρ εἰσιν οἷσιν εὔχομαι θεοῖς.
Δι. Ἴδιοί τινές σοι, κόμμα καινόν; Ευ. καὶ μάλα.
Δι. Ἴθι νυν προσεύχου τοῖσιν ἰδιώταις θεοῖς.
Ευ. Αἰθὴρ ἐμὸν βόσκημα, καὶ γλώσσης στρόφιγξ,
Καὶ ξύνεσις, καὶ μυκτῆρες ὀσφραντήριοι,
Ὀρθῶς μ' ἐλέγχειν, ὧν ἂν ἅπτωμαι λόγων.

A *Quoniam diuersi sunt, quos ego veneror, Dei.*
BA. An proprij tibi sũt, & noua nota? EV. admo-
BA. Age ergo precare peculiares hos Deos. (dũ
EV. Æther meũ pabulũ, & hac lingua volubilis,
Et tu solertia, naresque olfactorij,
Date, vt, quos aggredior, sermones arguam.

Σχόλια. Ἕτεροι γάρ εἰσιν οἷσιν εὔχομαι.] ἅτε δὴ Σωκρατικὸς ὤν, καινὰ δαιμόνια εἰσ... Τοῖσιν ἰδιώταις θεοῖς.] τινὲς ἐν τῷ θεοῖς δύο τιθέασι στιγμάς... Ἴδιοί τινές σοι κόμμα καινόν. Αἰθὴρ ἐμὸν βόσκημα.] καὶ Σωκράτης ἐν Νεφέλαις μετὰ τὴν ἀναπνοὴν καὶ τὸ χάος μετὰ τὸν αἰθέρα. χαρακτηρίζει δὲ Εὐριπίδην εὐεπίφορον ὄντα ἐπὶ τῷ αἰθέρα ὀνομάζειν. στρόφιγξ δέ, ἀπὸ τοῦ στρέφειν αὐτὸν καὶ πανουργεύεσθαι. μυκτῆρες δὲ ὀσφραντήριοι, ὡς συντελούντων τῶν μυκτήρων εἰς τὴν φωνήν.
B

ΧΟΡΟΣ.

CHORVS.

Bisetus Κορωνίς, ἡ εἴσθεσις χοροῦ προῳδικὴ ἐκ κώλων ιδ.

Χο. Καὶ μὴν ἡμεῖς ἐπιθυμοῦμεν
Παρὰ σοφοῖν ἀνδροῖν ἀκοῦσαι
Τινὰ λόγων ἐμμέλειαν,
Ἔπιτε δαΐαν ὁδόν.
Γλῶσσα μὲν γὰρ ἠγρίωται,
Λῆμα δ' οὐκ ἄτολμον ἀμφοῖν,
Οὐδ' ἀκίνητοι φρένες.
Προσδοκᾶν οὖν εἰκός ἐστι
Τὸν μέν, ἀστεῖόν τι λέξειν,
Καὶ κατερρινημένον.
Τὸν δ' ἀνασπῶντ' αὐτοπρέμνοις
Τοῖς λόγοισιν ἐμπεσόντα
Συσκεδᾶν πολ-
λὰς ἀλινδήθρας ἐπῶν.

CH. *ET nos sanè cupimus quandam, ex*
Hominibus doctis loquendi
Capere concinnitatem,
Et aliquam scientiam:
C *Lingua enim nostra est agrestis:*
Sed vis mentis firma vtrique,
Nec ratio pigri ingenij.
Ergo fas, vt expectemus
Alterum festiua quædam
Perpolitáque: alterum
Magno hiatu proloquentem
Verba, ab imo corde tracta: &
D *Spargentem ore,*
Innolucra verborum.

Σχόλια. Καὶ μὴν ἡμεῖς.] κορωνὶς ἡ εἴσθεσις χοροῦ προῳδικὴ ὅτι προτίθεται τῆς διπλῆς ἐκ κώλων τροχαϊκῶν ιδ. ὧν τὰ μὲν α' β' ε' ς' ή' θ' ια' ιβ' ιδ'. δίμετρα ἀκατάληκτα, τὰ δ' ἄλλα ἑφθημιμερῆ πλὴν τοῦ παρατελευταίου μονομέτρου ἀκαταλήκτου ὄντος, ἐπὶ τῷ τέλει κορωνίς. Λόγων ἐμμέλειαν] ὅτι καταχρηστικῶς νῦν τὴν εὐρυθμίαν. κυρίως δὲ ἡ μετὰ μέλους ὄρχησις τραγική. οἱ δέ, ἡ πρὸς τὰς ῥύσεις ὑπόρχησις. Δαΐαν ὁδόν.] ἀγωνιστικήν. ἔμπειρον ἀπὸ τοῦ δαῆναι. ἐπὶ τούτοις δὲ δαΐαν ὁδόν, ἔμπειρον. ἢ ἀντὶ τοῦ φιλόνεικον. Προσδοκᾶν οὖν.] ἔθος τοῖς ποιηταῖς προλέγειν ἃ εἰς τὸ ἑξῆς λέγειν μέλλουσι. κἀνταῦθα οὖν [illegible] τοῦτο ποιεῖ. Κατερρινημένον.] ἐξεσμένον. ῥίνη γάρ, ἐργαλεῖον τεκτονικόν, ᾧ ῥινοῦσιν. ἢ εὐτελές, ὅτι ἐξευτελιζόμεθα τῇ ῥινί.

Bisetus. Κατερρινημένον] γράπτεον οὖν ἢ κατερρινημένον, παρὰ τὸ καταρρινεῖν, τὸ τῇ ῥίνῃ ξέειν, καὶ λεαίνειν. ἢ κατερρινισμένον, παρὰ τὸ καταρρινίζειν, τὸ τῇ ῥινὶ εὐτελίζειν, καὶ μυκτηρίζειν.

E Σχόλια. Αὐτοπρέμνοις.] δυσκόλοις. προρρίζοις. ἢ μεγάλοις. Ἀλινδήθρας.] συναγωγάς. στροφάς. λεπτολογίας. πλοκὰς τοῦ Εὐριπίδου.

ΔΡΑΜΑΤΟΣ ΤΟΥ ΤΕΤΑΡΤΟΥ Σκηνὴ πρώτη.

ACTVS IIII. SCENA I.

ΔΙΟΝΥΣΟΣ, ΕΥΡΙΠΙΔΗΣ, ΑΙΣΧΥΛΟΣ.

Δι. Ἀλλ' ὡς τάχιστα χρὴ λέγειν, οὕτω δ', ὅπως
ἐρεῖτον
Ἀστεῖα, καὶ μήτ' εἰκόνας, μήθ' οἷ' ἂν ἄλλος εἴποι.
Ευ. Καὶ μὴν ἐμαυτὸν μέν γε τὴν ποίησιν οἷός εἰμι,
Ἐν τοῖσιν ὑστάτοις φράσω, τοῦτον δὲ πρῶτ' ἐξελέγξω,
Ὡς ἦν ἀλαζὼν καὶ φέναξ, οἵοις τε τοὺς θεατὰς
Ἐξηπάτα, μώρους λαβὼν παρὰ Φρυνίχῳ τραφέντας,
Πρώτιστα μὲν γὰρ δή γ' ἕνα τινὰ κάθισεν ἐγκαλύψας,
Ἀχιλλέα τιν', ἢ Νιόβην, τὸ πρόσωπον οὐχὶ δεικνύς

BACCHVS, EVRIPIDES, ÆSCHYLVS.

BA. *AT nũc celeriter oportet dicere: & ita vt proferatis*
F *Festiua, non figuras, neq; dicta ab alijs Poëtis.*
EV. *De me quidẽ quãt. Poëta sim, quãq; eruditus,*
Dicã postremò: nũc autẽ primo loco hũc reprehẽdam: *(& quot*
Vt sciatis quàm sit arrogãs, quantusq; impostor:
Modis spectatores fefellerit: in scenam theatri
Productis fatuis: quos nescio quis Phrynichus educârat.
G *Ac initio vnũ quẽpiã cõstituit innolatũ, (lãs:*
Achillẽ quẽdã: aut Nioben: faciẽ neutiquã reue-

Σχόλ. Ἀλλ' ὡς τάχιστα.] εἴσθεσις διπλῆς ἀμοιβαίας ἐκ στίχων ἰαμβικῶν ἑπτακαίδεκα τετραμέτρων καταληκτικῶν κζ. ὧν τελευταῖος πέπτωκεν ἔξω τῆς κακῶν ὦ Χῖος ἀλλὰ Κεῖος. ἐπὶ τῷ τέλει διπλῆ ἔξω νενευκυῖα. Παρὰ Φρυνίχῳ τραφέντας.] ἀπατηλὸν γάρ, ὡς ἀφελέστερος ὁ Φρύνιχος. νῦν δὲ Φρύνιχον λέγουσι τὸν τραγῳδίας ποιητήν. τοῦτον δὲ ἐπαινοῦσι εἰς τὴν μελοποιίαν. νῦν δὲ ὡς ἀφελοῦς ὄντος αὐτοῦ μνημονεύει ὁ Ἀριστοφάνης. ἦν δὲ πρὸ Αἰσχύλου. Ἐγκαλύψας.] ὡς αὐτοῦ εἰσφέροντος ἐν δράμασι τινὰ κεκαλυμμένον. ὁ Ἀχιλλεὺς δὲ καθήμενός ἐστι καὶ ... ἀποσιωπώμενος,

παρ

παρ' Αἰσχύλῳ ἐν δράματι ἐπιγραφομένῳ, Φρυξὶν, ἢ Ἕκτορος λύτροις. οὐδὲν γὰρ ὁ Ἀχιλλεὺς φθέγγεται. ἄλλως. εἰκὸς τὸν ἐν τοῖς Φρυξὶν Ἀχιλλέα, ἢ Ἕκτορος λύτροις. ἢ τὸν ἐν Μυρμιδόσιν, ὃς μέχρι τριῶν ἡμερῶν οὐδὲν φθέγγεται.

BISETVS. Νιόβην] εἰς ταύτην Ἀγαθίας ὁ σχο-

A λαστικὸς τοῦτο τὸ ἐπίγραμμα ἔγραψεν.

Ὁ τύμβος οὗτος ἔνδον οὐκ ἔχει νέκυν.
Ὁ νεκρὸς οὗτος ἐκτὸς οὐκ ἔχει τάφον.
Ἀλλ' αὐτὸς αὑτῷ νεκρός ἐστι, καὶ τάφος.

Πρόσχημα τῆς τραγῳδίας, γρύζοντας οὐδὲ τουτί.
Δι. Μὰ τὸν Δί', οὐ δῆθ'. Εὐ. ὁ δὲ χορός γ' ἤρειδεν ὁρμαθοὺς ἂν
B Μελῶν ἐφεξῆς, τέτταρας ξυνεχῶς ἄν, οἱ δ' ἐσίγων.
Δι. Ἐγὼ δ' ἔχαιρον τῇ σιωπῇ, καί με τοῦτ' ἔτερπεν
Οὐχ ἧττον, ἢ νῦν οἱ λαλοῦντες. Εὐριπ. ἠλίθιος γὰρ ἦσθα,
Σάφ' ἴσθι. Διόν. κἀμαυτῷ δοκῶ. τί δὲ ταῦτ' ἔδρασ' ὁ δεῖνα;
C Εὐριπ. Ὑπ' ἀλαζονείας, ἵν' ὁ θεατὴς προσδοκῶν καθῆτο,
Ὁπόθ' ἡ Νιόβη φθέγξαιτο δή. τὸ δρᾶμα δ' ἂν διῄει.
Δι. Ὦ παμπόνηρος, οἷ' ἄρ' ἐφενακιζόμην ὑπ' αὐτοῦ;
Τί σκορδινᾷ, καὶ δυσφορεῖς; Εὐριπ. ὅτ' αὐτὸν ἐξελέγχω.
D Κἄπειτ', ἐπειδὴ ταῦτα ληρήσαιτο, καὶ τὸ δρᾶμα
Ἤδη μεσοίη, ῥήματ' ἂν βόεια δώδεκ' εἶπεν,
Ὀφρῦς ἔχοντα καὶ λόφους, δείν' ἄττα μορμορωπά,
Ἄγνωτα τοῖς θεωμένοις. Αἰσχύλ. οἴμοι τάλας. Διόν. σιώπα.
Εὐριπ. Σαφὲς δ' ἂν εἶπεν οὐδὲ ἕν. Διόν. μὴ πρίε τοὺς ὀδόντας.
E Εὐριπ. Ἀλλ' ἢ Σκαμάνδρους, ἢ τάφρους, ἢ 'π' ἀσπίδων ἐπόντας
Γρυπαιέτους, χαλκηλάτους, καὶ ῥήμαθ' ἱππόκρημνα,
Ἃ ξυμβαλεῖν οὐ ῥᾴδιον ἦν. Διόν. νὴ τοὺς θεοὺς ἐγὼ γοῦν
Ἤδη ποτ' ἐν μακρῷ χρόνῳ νυκτὸς διηγρύπνησα
F Τὸν ξουθὸν ἱππαλεκτρυόνα ζητῶν, τίς ἐστιν ὄρνις.
Αἰσχύλ. Σημεῖον ἐν ταῖς ναυσὶν, ὦ 'μαθέστατ', ἐνεγέγραπτο.

Speciem quandam Tragœdia: tantillum haud mussitantes.
BA. Non est ita per Iouem. EV. at Chorus interea pronunciasset
Continuè quatuor ordines versuum: at ipsi tacebant.
BA. At ego voluptatem ex illo silentio hauriebam:
Neque id me oblectabat minus, quàm si qui hodie loquuntur.
EV. Quia tu stolidus eras: sat nosti. BA. & mihimet videor ipsi
Sed cur hoc ille fecit? EV. nempe ex arrogantia, vt sic
Suspenderet spectatorem attentum: quando in theatro
Niobe loqueretur: interim totus transiret actus.
BA. Hominem improbum: quàm turpiter ergo deceptus sum ab illo?
Quid pandiculare tu? quid? EVR. quòd eum cauillor:
Deinde verò vbi fuisset nugatus hæc, & actus
Propè transiisset: verba duodecim bubula elocutus
Est, quæ cristas haberent, & supercilia terrifica,
Laruata, spectatoribus ignota. ÆS. hei mihi. BA. tace tu.
EV. Nihil prorsum dixit perspicuè. BA. ah noli serrare dentes.
EV. Sed aut scamandros, aut fossas, aut scutis imminentes
Gryphaquilas, are ductas: voces scopulûm instar, nec vlli
Coniectu faciles. BA. per Deos, ego iam diu (fatendum hoc)
Noctes duxi aliquot insomnes propter gallum Poëta
Staturosum: dum cogito mecum, qualis nam his sit ales.
ÆS. Pro signo in nauibus, homo fatue, depingi solebat.

Σχόλια. Οὐδὲ τουτί.] εὐθὺς αὐτὸν ἀποφαίνουσα τῷ δακτύλῳ δεικνύει τὸ οὐδὲ τουτί. τὸ δὲ εἶδος ἐσίγων, ὁ Ἀχιλλεύς φασι καὶ ἡ Νιόβη. Καί με τοῦτ' ἔτερπε.] μᾶλλον τῇ σιωπῇ ἐτερπόμην, ἢ τοῖς νῦν λαλοῦσι. πολλοὶ δὲ ἐν σκηνῇ ἐλάλουν. Ὁ δεῖνα] ὅτι ἐπιδείξεως. δείκνυσι γὰρ τὸν Αἰσχύλον παρόντα. Διῄει.] ἀνύσειε εἰς τὸ τέλος ἂν ἦλθεν. Ὦ παμπόνηρος.] ἢ ἐγὼ ἢ αὐτὸς νόει καὶ πρὸς μὲν τὸν Διόνυσον ὦ παμπόνηρος ἐγὼ ὁ εἰς πάντα πονηρευόμενος καὶ πάντα ἐξετάζων, οἷα ἐφενακιζόμην ὑπ' αὐτοῦ ἐπὶ τούτῳ. πρὸς δὲ τὸν Αἰσχύλον εἴξοι εἰς τὸ παμπόνηρος καὶ τὸ ὦ ἀντὶ τοῦ φεῦ. ὦ παμπόνηρος ὑπάρχων αὐτὸς, ταῦτα πονηρευόμενος εἰς ἀπάτην τῶν θεατῶν. Τί σκορ-

δινᾷ.] οὕτως ἔλεγον τὸ παρὰ φύσιν τὰ μέλη ἐκτείνειν, σκορδινᾶσθαι. τινὲς δὲ, περὶ τοὺς ἐγειρομένους ἐξ ὕπνου, ὅταν χασμώδεις ὄντες ἐκτείνωσι τὰ μέλη, ὅπερ συμβαίνει καὶ περὶ τοὺς ἄλλους πως βασανιζομένους καὶ διαστρεφομένους τὰ μέλη. Βόεια.] μεγάλα καὶ κτύπου πλέα. ὀφρῦς ἔχοντα, ὑψηλὰ καὶ ὑπερήφανα μορμορωπά. κατα[illegible] ἐκτικά, φοβερά. ἐκ μεταφορᾶς τῆς Μορμοῦς τῆς τὰ βρέφη φοβούσης. Ἄγνωτα τοῖς θεωμένοις.] ἀπὸ τοῦ ἀγνῶτος. οὐ γὰρ [illegible] σχηματίζεται ἀπὸ τοῦ ἀγνὸς, εἰς οὐδέτερον γένος. ὥς φησιν Ἡρωδιανός. Ἢ Σκαμάνδρους.] χαρακτηριστικὸν καὶ τοῦτο ὅτι πολὺς Αἰσχύλος ἐν τῷ ποταμοὺς καὶ ὄρη λέγειν. Γρυπαιέτους.]

G

ἐπίσημα ἀσπίδος ἄλλο καὶ ἄλλο. εἰώθασι γὰρ ζωγραφεῖν εἰς τὰς ἀσπίδας ἀετούς. ζητεῖται δὲ τοῦ μᾶλλον σιωπηλόν. εἰς τὸ, ἢ τὰ ἀσπίδων ἐποίησας, ἢ τοῖς ἄνω, ἢ τῷ χρυσαιέτως. Ἤδη ποτ' ἐν μακρῷ.] παρὰ τὰ ἐξ Ἱππολύτου. ἤδη ποτ' ἄλλως νυκτὸς ἐν μακρῷ χρόνῳ. Ἱππαλεκτρυόνα.] γράφεται κολεκτρυόνα εἰς γένος τι λαβὴς Περσικὸν αὐτῷ A ὅμοιον. ἄλλως. ἱππαλεκτρυὼν εἰ καὶ τοῖς φιλοσόφοις ἀπηγόρευται μὴ εἶναι, ἀλλ' ἔστι τῇ ἀληθείᾳ ζῶον θαλάσσιον, ὅν καί τις τῶν καθ' ἡμᾶς ἱερῶν κατὰ τύχην ἐξελὼν ἀπέκτονεν καὶ πᾶσι νεκρὸν δείξας, ἐνεχάραξεν ἐν τῇ σημαίᾳ αὐτοῦ καὶ τῇ ἀσπίδι, ὡς ἂν καὶ τοῖς μὴ εἰδόσιν ὁ ἆθλος κηρύττοιτο. τινὲς δὲ τοιοῦτος ἐπὶ τοῦ μεγάλου.

Δι. Ἐγὼ δὲ τὸν Φιλοξένου γ' ᾤμην Ἔρυξιν εἶναι.

Ευεσπ. Εἶτ' ἐν τραγῳδίαις ἐχρῆν κἀλεκτρυόνα ποιῆσαι;

Αι. Σὺ δ', ὦ θεοῖσιν ἐχθρὲ, ποῖ' ἄττ' ἐστὶν, ἅττ' ἐποίεις;

Ευ. Οὐχ ἱππαλεκτρυόνας μὰ Δί', οὐδὲ τραγελάφους, ἅπερ σὺ,
Ἂν τοῖσι παραπετάσμασι τοῖς μηδικοῖς γράφουσιν,
Ἀλλ' ὡς παρέλαβον τὴν τέχνην παρὰ σοῦ, τὸ πρῶτον μὲν εὐθὺς
Οἰδοῦσαν ὑπὸ κομπασμάτων, καὶ ῥημάτων ἐπαχθῶν,
Ἴσχνανα μὲν πρώτιστον αὐτὴν, καὶ τὸ βάρος ἀφεῖλον,
Ἐπυλλίοις καὶ περιπάτοις, καὶ τευτλίοισι μικροῖς
Χυλὸν διδοὺς στωμυλμάτων, ἀπὸ βιβλίων, ἀπηθῶν.
Εἶτ' ἀνέτρεφον μονῳδίαις, Κηφισοφῶντα μιγνύς.
Εἶτ' οὐκ ἐλήρουν, ὅ, τι τύχοιμ', οὐδ' ἐμπεσὼν, ἔφυρον,
Ἀλλ' οὑξιὼν πρώτιστα μέν μοι, τὸ γένος εἶπεν εὐθὺς
Τοῦ δράματος. Αἰσχ. κρεῖττον γὰρ ἦν σοι, νὴ Δί', ἢ τὸ σαυτοῦ.

Ευεσπ. Ἔπειτ' ἀπὸ τῶν πρώτων ἐπῶν, οὐδὲν παρῆκ' ἂν ἀργὸν,
Ἀλλ' ἔλεγεν ἡ γυνή τέ μοι, χὠ δοῦλος, οὐδὲν ἧττον,
Χὠ δεσπότης, χἠ παρθένος, χἠ γραῦς ἄν. Αἰσχ. εἶτα δῆτα
Οὐκ ἀποθανεῖν σε ταῦτ' ἐχρῆν τολμῶντα; Ευ. μὰ τὸν Ἀπόλλω.
Δημοκρατικὸν γὰρ αὔτ' ἔδρων. Διόν. τουτὶ μὲν ἔασον ὦ τᾶν.
Οὐ σοὶ γάρ ἐστι περίπατος κάλλιστα περί γε τούτου.

Ευεσπ. Ἔπειτα τουτουσὶ λαλεῖν ἐδίδαξα. Αι. φημὶ κἀγώ,
Ὡς πρὶν διδάξαι γ', ὤφελες μέσος διαρραγῆναι.

BA. Et ego Philoxeni gnatum putabam Erixin esse.

B Ev. An verò gallos in Tragœdijs fingere decebat?

Æs. Tu Deis inuise homo, qualia sunt, quæcunque fingis?

Ev. Certe non sunt staturosi galli, nō capricerui,
Cuiusmodi sūt tibi, quæ in aulæis pingūtur. atqui
Vt primùm hanc artem à te accepi, iam tum inflatam ac tumentem
C Verbis ampullis, & pondere verborum nimis grauatam:
Ibi attenuaui primùm, & pondera detraxi: & quibusdam
Concisis disputationibus, & verbis minutis,
Tum paruis betis, succū blaterametorū, ab arte,
Morúmque doctrina inspersi: pòst intriui Monœdijs,
Immisito Ctesephonte: nec praue nugabar in re
D Quauis: nec permiscebam omnia, quibuscunque incidissem.
Qui primus in scenam veniebat, is statim insequentis
Genus exponebat fabulæ. Æs. quia melius erat, hercle, (pinor.
Audire fabulæ genus tibi, quàm genus tuum, o-
Ev. Deinde à primo versu nihil prætermittebam ociosum:
E Nam & mulier, & seruus loquebantur mihi perinde,
Vt herus, ut virgo, ut anus. Æs. at obsecro, an non fuerat æquum
Te mortem obire, qui istuc auderes? Ev. non per Lyceum
Apollinem. Nam hæc faciebam populariter. BA. age, omitte
F Isthuc: neq. enim pulcra tibi disputatio de ea re.
Ev. Præterea & hos omnes loqui docui. Æs. hoc idem & ego dico.
Atque utinam priùs medius rupisses, quàm hoc illos doceres.

Σχόλια. Ἔρυξιν.] οὗτος γὰρ ὡς ἄμορφος καὶ ἀηδὴς διαβάλλεται. Παραπετάσμασι.] ταῖς σκηναῖς. τοῖς Περσικοῖς βαρβαρικοῖς, ἢ ἀπλοθύροις. Ἐπυλλίοις] ἀντὶ τοῦ λογίοις μικροῖς. ὡς δὲ βρέφος βρεφύλλιον, καὶ εἶδος εἰδύλλιον, οὕτω καὶ ἔπος ἐπύλλιον. Περιπάτοις.] εἰώθασι γὰρ οἱ κάμνοντες περιπατεῖν, ἢ ἀντὶ τοῦ διατρίβειν. ὡς ἐπὶ ἀσθενοῦντος δὲ διαλέγεται ἐκ μεταφορᾶς τῶν λεπτυνομένων σωμάτων διὰ καθάρσεως. Μικροῖς.] γράφεται λευκοῖς. Χυλὸν διδούς.] οὐκ ἀπὸ τῆς φύσεως, ἀλλ' ἀπὸ ἠθῶν ἀνδρῶν καὶ βιβλίων. γράφεται δὲ καὶ ἀπηθῶν ἀντὶ τοῦ ἐκλεγόμενος, G μονῳδίαις δὲ, γυμνάσμασι μονῳδικοῖς.

BISETVS. Ἀπηθῶν] τοῦτο μεταφορικῶς εἴρηται. καὶ Εὐστάθιος εἰς τὸ Ξ. τῆς Ὀδυσσείας τοῦτον τοῦ Ἀριστοφάνους τόπον αἰνίττεσθαι δοκεῖ, λέγων οὕτω. διηθεῖν μὲν τὸ διυλίζειν, ὅπερ ἀπηθεῖν λέγει ὁ κωμικός. ὅθεν καὶ ἠθμὸς ὁ διυλιστήρ. βέλτιον οὖν ἐνταῦθα γράφειν ἀπηθῶν, ἢ ἀπ' ἠθῶν διῃρημένως, ὡς ἔν τισι τῶν παλαιῶν ἀντιγράφων. ἀπηθεῖν δὲ, διηθεῖν, καὶ διυλίζειν, ταυτόν.

Σχόλια. Κηφισοφῶντα.] ὅτι ἐδόκει δοῦλος ὢν συμποιεῖν αὐτῷ ὁ Κηφισοφῶν, καὶ μάλιστα τὰ μέλη. ὃν καὶ συνεῖναι τῇ γυναικὶ αὐτοῦ κωμῳδοῦσιν. ἕτεροι δέ φασι Κηφισοφῶντα, ὃ καὶ τὸ ψήφισμα γενέσθαι, ὑπὲρ τοῦ ἀρχθῆναι τὰ ἐν πρυτανείῳ σιτήσεις. Ἡττόνων.] ὅτι δυσγενὴς ὁ Εὐριπίδης. Ἀλλ᾽ οὐ γὰρ τὰ ἰαμβεῖα. ἐπὶ γὰρ καὶ αὐτὸς κακῶς. Ἀργόν.] ὥσπερ εἰ τὸν Νιόβην καὶ τὸν Ἀχιλλέα εἰσάγοντες μηδὲν λέγοντας. Ἡ γ᾽ ποιεῖ τί μοι χὼ ὁ ἄλλος.] ἀντὶ τοῦ τὰ αὐτά. καὶ εἰς τοῦτο δὲ κωμῳδεῖ) ὁ Εὐριπίδης, ὅτι διαφόροις τοῖς προσώποις ἀνοικείους λόγους περιτίθησιν. Γωνιασμούς] τὸ τοὺς δι-

A λους τοῖς δεσπόταις ἰσοτίμους ποιεῖν. Δημοκρατικόν.] τὰ περὶ δημοκρατίας καὶ ἰσότητος. φησὶν οὖν πρὸς ταῦτα ὁ Διόνυσος. ἐᾶσον. ἐμοὶ γὰρ ἐπὶ μᾶλλον ἐμφερέστατος περὶ τούτου ἐστίν. περὶ τοῦ εἰρήνης καὶ ἡσυχίας ὁ θεὸς αἴτιος. ἐᾶσον οὖν ὦ τᾶν. ὀρθῶς γὰρ τοῦτο ταλαιπωρεῖ ἐπὶ τῇ πάντων ὀλιγαρχίᾳ ὁ Αἰσχύλος. καὶ ἵνα ἂν ἔχοις ἐμφερέστατος περιπατεῖν σταυροῦ ἐπὶ τούτῳ. ἄλλως. σὺ δ᾽ εἰ σὲ φησὶ ζητεῖν ὅπως ἂν ἐπιδείξῃς ὡς κάλλιστα τοῦτο ἐποίεις. οὐ γὰρ καλὸν ἐξεῖναι τοὺς δούλους τοῖς δεσπόταις παρρησιάζεσθαι. περίπατος δὲ διατριβή.

B

Εὐρι. Λεπτῶν τε κανόνων ἐσβολὰς, ἐπῶν τε γωνιασμούς,
Νοεῖν, ὁρᾶν, ξυνιέναι, στρέφειν, ἐρᾶν, τεχνάζειν,
Κάχ᾽ ὑποτοπεῖσθαι, περινοεῖν ἅπαντα. Αἰσχ. φημὶ κἀγώ.
Εὐρι. Οἰκεῖα πράγματ᾽ εἰσάγων, οἷς χρώμεθ᾽, οἷς ξύνεσμεν,
(Ἐξ ὧν γ᾽ ἂν ἐξηλεγχόμην. ξυνειδότες γὰρ οὗτοι,
C Ἤλεγχον ἄν μου τὴν τέχνην) ἀλλ᾽ οὐκ ἐκομπολάκουν,
Ἀπὸ τοῦ φρονεῖν ἀποσπάσας, οὐδ᾽ ἐξέπληττον αὐτοὺς,
Κύκνους ποιῶν καὶ Μέμνονας κωδωνοφαλαροπώλους.
Γνώσει δὲ τοὺς τούτου τε, κἀμοῦ γ᾽ ἑκατέρου μαθητάς.
D Τούτου μὲν οὖν Φορμίσιος, Μεγαίνετός θ᾽ ὁ μάνης,
Σαλπιγγολογχυπηνάδαι, σαρκασμοπιτυοκάμπται,
Οὑμοὶ δὲ, Κλειτοφῶν τε, καὶ Θηραμένης ὁ κομψός.
Διόνυ. Θηραμένης; σοφός γ᾽ ἀνὴρ καὶ δεινὸς εἰς τὰ πάντα,
E Ὃς ἢν κακοῖς που περιπέσῃ καὶ πλησίον παραστῇ,
Πέπτωκεν ἔξω τῶν κακῶν, οὐ Χῖος ἀλλὰ Κῖος.

Ev. *Subtiliúmque regularum ingressus, angulósque*
Contiguos versuũ intelligere, sapere, peruidere,
Agere versutè, amare, dolos meditari, suspicari
Quiduis mali, omnia comminiscier. Æs. *hoc idem & ego dico.*
Ev. *Vernaculas res introduxi, quibus hic immoramur,*
C *Et quibus hic vtimur (ob quas etiam reprehensus fuissem:*
Nam hi, qui huius rei sunt conscij, reprehendissent meam artem)
Sed neque quicquam dixi in Tragœdia pompatice: quod
Populum à prudentia abstraheret: neque perterrefaciebam,
D *Effingẽs Memnonas, cygnósque noliphalerepolas.*
Dignosces verò etiam discipulos vtriusque nostrũm,
Huius quidẽ Phormisius, Megenetúsque seruus,
Tubhastibarbiformidandi, Erucosanniones.
Mei verò sunt Clitipho, & Theramenes comatus
BA. *Theramenes? vir prudens sanè, & ad omnia versipellis*
E *Qui sicubi in malos inciderit, propéque astiterit vsquam:*
Non Chius à malis, sed Cius potiùs euolauit.

Σχόλια. Γωνιασμούς.] πλαγιασμούς. ἀπάτας. κάχ᾽ ὑποτοπεῖσθαι δὲ ἀντὶ τοῦ κακὰ ὑπονοεῖν ἐάν τις εἰς αὐτὰς τεχνάσῃ). Οὐκ ἐκομπολάκουν] κενοὺς οὐκ ἐποίουν ψόφους. οὐκ ἔλεγον κομπώδη ὡς Αἰσχύλος. Ἀπὸ τοῦ φρονεῖν ἀποσπάσας.] ἀπὸ τῆς σωφροσύνης αὐτῶν ἀποσπάσας. ἀπὸ τοῦ φρονεῖν καὶ συνεῖναι τὰ λεγόμενα ἀποσπάσας αὐτούς. Κύκνους.] ὅτι δύο Κύκνοι ἐγένοντο, ὁ μὲν Ἄρεος υἱὸς ὁ ὑφ᾽ Ἡρακλέους φονευθεὶς ὡς ἐν τῇ ἀσπίδι Ἡσίοδος. ὁ δὲ Ποσειδῶνος ὁ ὑπ᾽ Ἀχιλλέως. ὡς καὶ Πίνδαρος ἱστορεῖ. Κωδωνοφαλαροπώλους. Ἀπολλώνιός φησιν, ὅτι παρῆλθε τὰς φορβαίας κωδωνοφόρους τινάς. κωδωνοφόρους ἐν τοῖς φαλάροις ἔχοντας. Φορμίσιος] Δίδυμός φησιν, ὅτι Φορμίσιος δραστικὸς ἦν καὶ κόμην τρέφων, καὶ φοβερὸς ὡς ... διὸ καὶ Αἰσχύλου μαθητὴν φησὶν αὐτὸν εἶναι. καθὸς δὲ ἦν καὶ χαθεὶς τὸν πώγωνα. κωμῳδεῖται δὲ καὶ εἰς δωροδοκίαν. Μεγαίνετός θ᾽ ὁ μάνης.] ὁ Μεγαίνετος. ὅτι οὐ πάντως ἦν βάρβαρος ἀλλ᾽ ἀναίσθητος καὶ οὐκ ἀστεῖος. αὐθάδης δὲ ἦν καὶ τῶν στρατηγησάντων ἐπὶ καὶ θρασύς. τὸ δὲ ὅλον ὀνόματα. Σαλπιγγολογχυπηνάδαι.] σάλπιγγας καὶ λόγχας καὶ ὑπήνας ἔχοντες. τοῦτο δὲ εἰς τὸν Φορμίσιον ἀποτείνει. Σαρκασμοπιτυοκάμπται.] ὡς σο-

μὲν σοφιστὰς καὶ προσποιουμένους τὰ πολεμικά. οὐχ ἁπλῶς δὲ τοιούτους. υἱὸς δὲ ἐπιμελουμένους. διὸ καὶ τὸν Μεγαίνετον μάνην εἶπεν. οὐ πάντως βάρβαρον. ἀλλ᾽ ἀναίσθητον καὶ μανικόν. ἐπὶ ταῖς δὲ εἰσηγεῖτο τοῖς σωματοῖς, διὰ τὸ Αἰσχύλου ἦθος.

F Bisetvs. Οὑμοί.] οἱ ἐμοί. βέλτιον δὲ ἴσως χαίρειν οὑμοί.

Σχόλια. Θηραμένης.] ὡς ἀστεῖος καὶ πιθανός. Κλειτοφῶν δὲ ὡς ἀργὸς ἐκωμῳδεῖτο. νῦν δὲ ὡς πανοῦργον καὶ παλίμβολον βούλεται τοῦτον ἀποδεικνύναι. καὶ παραπλήσιον Θηραμένει. Οὐ Χῖος. ἀλλὰ Κῖος.] ὅτι δοκεῖ προσγεγράφθαι τῇ πολιτείᾳ, ἄγνωστος αὐτὸν ποιουμένου ὡς Εὔπολις φησίν. Ἀρίσταρχος δέ. ὡς γεγραμμένου Κῷος ἐξηγεῖται. ὅτι πρὸς τὸ Κῷος εἴρηται, ὁ τὸ Χῖος. τὸν γὰρ ἀντίστροφον τοῦ Χίου λέγεσθαι. τοῦτο οὖν φησιν. ὅτι οὐδέποτε κακοῦ ἔλαβεν ὁ Θηραμένης ὡς ἐν G σφαγαῖς, ἀλλ᾽ ἐπιτυγχάνει. ἐπεὶ ἀντὶ τοῦ δ᾽ αὐτοῦ Δημήτριος, ὡς τελειοῦν ὅτι Κῖος ἦν ἀπαλλάττεται δὲ ὅμως καὶ αὐτός, ὅτι οὐδὲν ἧττον παρὰ τὴν ὑπόνοιαν εἴρηται, ἀντὶ τοῦ Κῷος Κῖος. Δίδυμος δέ φησιν ὅτι δηλοῦται καὶ τῆς παροιμίας μεμνῆσθαι. οὐ Χῖος ἀλλὰ Κῖος. παρόσον

ποικίλος τὶς ἐν ᾗ καὶ αἰχ... καθ' ὠμίλει τοὺς χορ- ρούς, πρὸς τὸ πρῶτον μέρος αἰεὶ ... ἐλάττω ...). καὶ κόθορνες. Λουκιανὸς Ερωσιν. ὡς καὶ ...

A γυν' ἂν εὐξαίμην ὥσπερ ... ἐν δυνατῷ ... μένης ἐκεῖνος ὁ κόθορνος, ἣν ἀμφω γεγονότες ἐξέβη ... δίζοντο.

BISETVS. Εἰσθέσις τῆς διπλῆς ὡς δύο περιόδους διῃρημένη ἐκ κώλων κά. καὶ τῆς πρώτης

Ευ. Τοιαῦτα μὲν ἐγὼ φρονεῖν,
Τούτοισιν εἰσηγησάμην,
Λογισμὸν ἐνθεὶς τῇ τέχνῃ,
Καὶ σκέψιν, ὥστ' ἤδη νοεῖν
Ἅπαντα καὶ διειδέναι.
Τἄτ' ἄλλα, καὶ τὰς οἰκίας
Οἰκεῖν ἄμεινον ἢ πρὸ τοῦ,
Κἀνασκοπεῖν, πῶς τοῦτ' ἔχει;
Ποῦ μοι τὸ δεῖ; τίς τοῦτ' ἔλαβε;

Σχόλ. Τοιαῦτα μέντοι 'γὼ φρονεῖν.] τὸ πλῆρες τοιαῦτα μέντοι ἐγώ. εἴσθεσις τῆς διπλῆς ὡς δύο περιόδους διῃρημένη ἐκ κώλων ἰαμβικῶν διμέτρων ἀκαταλήκτων κά. ὧν ἡ τῆς μὲν πρώτης περιόδου κῶλα θ. τῆς δὲ δευτέρας κῶλα ... ἐστὶ ... καταληκτικά εἰσιν. ἐπὶ τῷ τέλει

Ευ. Ego seruulis prudentiam
Nunc indidi atque industriam
Peritiámque: vt omnia
B Dispicere, & nosse possient,
Et tum alia, tum domestica
Nunc administrare meliùs,
Et cogitare: quomodo
Hoc habet? vbi hoc? quis abstulit?

ἡ μὲν πρώτης περιόδου ... ἡ δὲ δευτέρας δύο διπλαῖ. ἡ μὲν ἐν ἀρχῇ τοῦ κώλου, ἡ δὲ κατὰ τὸ τέλος, ἀμφότεραι ἔξω νενευκυῖαι. Καὶ τὰς οἰκίας.] προσέχειν τῇ οἰκίᾳ καὶ μηκέτι ...

C

BISETVS. Δευτέρας περιόδου κῶλα ιβ.

Δι. Νὴ τοὺς θεούς, νῦν γοῦν Ἀθηναίων ἅπας τις εἰσιὼν,
Κέκραγε πρὸς τοὺς οἰκέτας,
Ζητεῖ τε, ποῦ 'στιν ἡ χύτρα;
Τίς τὴν κεφαλὴν ἀπεδήδοκε
Τῆς μαινίδος; τὸ τρύβλιον
Τὸ περυσινὸν τέθνηκέ μοι.
Ποῦ τὸ σκόροδον τὸ χθεσινόν;
Τίς τῆς ἐλάας παρέτραγε;
Τέως δ' ἀβελτερώτατοι
Κεχηνότες μαμμάκυθοι
Καὶ Μελιτίδαι κάθηντο.

BA. Ita per Deos: & iam proin
Vt quilibet intrat in domum
Proclamat ad seruos suos,
Rogatque, vbi est fidelia?
Quis deuorauit hic caput
D Manæ? catinus proximo
Anno emptus interiit? vbi
Est allium hesternum? cedo.
Oleam quis hanc deglutiit?
Sic stultiores redditi
Nunc desident, & ore hiant
Mammacythi & Melitidæ.

Σχόλ. Ποῦ 'στιν ἡ χύτρα;] ταῦτα πάντα μικροπρεπείας δείγματα. Τέθνηκέ μοι.] ἀντὶ τοῦ κέκλασται ἀπώλετο πρὸς τὰς λέξεις Εὐριπίδου. Τῆς ἐλάας.] μέχρι καὶ τοῦ νῦν τὸν ... ἐλάα δὲ ὁ καρπὸς τῆς ἐλαίας. καταχρηστικῶς δὲ θάτερον ἀντὶ θατέρου λαμβάνεται). Μαμμάκυθοι.] Αρίσταρχος μὲν φησιν ὀνοματοπεποιῆσθαι, πῶς ἂν Δημήτριος φησιν, εἰ μὴ σύνηθες αὐτοῖς τὸ ὄνομα. ὃ καὶ δρᾶμα

E ὅλον οὕτως ἐπιγέγραπται Μαμμάκυθος. ὁ τινὲς Πλάτωνος λέγουσιν. ἄλλως. ἀντὶ τοῦ μαμμόθρεπτοι. Δίδυμος, ὅτι μαμμάκυθος καὶ Μελιτίδης ἐπὶ μωρίᾳ διαβάλλονται, καθάπερ καὶ ὁ Βουκαλίων καὶ ὁ Κόροιβος. μή ποτε δὲ χηνῶδες ... μαμμάκυθοι διὰ τὸν στίχον. Μελιτίδην δὲ τὸν εὐήθη ... τὸ μέλι. ὃ καὶ γέγονέ τις οὕτω μωρός. τοῦ δὲ Μελιτίδου καὶ Κορόιβου καὶ Λουκιανὸς ἔρωσι μέμνηται.

BISETVS. Κορωνὶς, καὶ εἴσθεσις χοροῦ ἐπῳδικὴ, καὶ προῳδικὴ ἐκ κώλων ιγ. καὶ ἐν ἐκθέσει δύο στίχοι δακτυλικοὶ, τετράμετροι καταληκτικοί.

Χο. Τάδε μὲν λεύσσεις φαίδιμ' Ἀχιλλεῦ,
Σὺ δὲ τί φέρε πρὸς ταῦτα λέξεις; μόνον ὅπως
F Μή σ' ὁ θυμὸς ἁρπάσας,
Ἐκτὸς οἴσει τῶν ἐλαῶν,
Δεινὰ γὰρ κατηγόρηκεν.
Ἀλλ' ὅπως ὦ γεννάδα,
Μὴ πρὸς ὀργὴν ἀντιλέξεις,
Ἀλλὰ συστείλας, ἄκροισι
Χρώμενος τοῖς ἱστίοισιν,
Εἶτα μᾶλλον μᾶλλον ἄξεις,
Καὶ φυλάξεις, ἡνίκ' ἂν τὸ
Πνεῦμα λεῖον,
Καὶ καθεστηκὸς λάβῃς.
Ἀλλ' ὦ πρῶτος τῶν Ἑλλήνων πυργώσας ῥήματα σεμνὰ,
Καὶ κοσμήσας τραγικὸν λῆρον, θαρρῶν τὸν κρουνὸν ἀφίει.

Ch. Age, tun' isthac inclyte Achilles
Videbis? at quid ad hæc dices? solùmmodo
Ne ira te malè impulsum,
Extra oleas raptet, canebis.
Namque acerba dixit in te.
Sed caue vir inclyte,
Ne quid iratus loquare.
Prora contractis ab alto
Nauiga velis, ratémque
Promoue, magis, magísque:
Atque vbi vento secundo
G Aura constans
Flabit, hic time tibi.
Iamq; age, qui primus Græcorum extraxisti grandia verba,
Et Musam exornasti tragicam, torrentem emitte sonorum.

Σχόλ. Τάδε μὲν λεύσσεις φαίδιμ'.] κορωνὶς καὶ εἴσθεσις χοροῦ ἐπῳδικὴ μὲν διὰ τὸ μετὰ τὴν διπλῆν κεῖσθαι, προῳδικὴ δὲ

ἀλλὰ δὲ δεῖ τὸ προτίθεσθαι ἑτέρας διπλῆς ἐκ κώλων κγ. ὧν τὸ α΄ ἀναπαιστικὸν δίμετρον ἀκατάληκτον. τὸ β΄ ἰαμβικὸν τρίμετρον ἀκατάληκτον. τὰ γ. ς΄ ἐν τραχαϊκὰ ἑφθημιμερῆ. τὰ δὲ λοιπὰ ἀκατάληκτα καὶ δίμετρα πλὴν τοῦ μονομέτρου τοῦ τελευταίου. ἐν ἐκθέσει δὲ στίχοι δύο ἀναπαιστικοὶ τετράμετροι καταληκτικοὶ, ὅμοιοι τοῖς ἑξῆς διπλῆς ἀμοιβαίας εἰσθέσεως ἑβδομήκοντα κώλοις, ὧν τὸ τελευταῖον, ἐν μινθώσει τὸ ξύστιδον καὶ κβάς τινα λωποδυτοῦσι. ἐπὶ τῷ τέλει δὲ τοῦ μὲν προῳδικῆς κορωνίς, τῶν δὲ τεσσάρων διπλῆ ἡ ἔξω νενευκυῖα. πρὸς τὸν Αἰσχύλον δὲ ὁ χορὸς ἀπὸ τῶν αὐτοῦ. ἔστι δὲ ἀρχὴ αὕτη Μυρμιδόνων Αἰσχύλου. τοῦτο δὲ [illegible] τὴν ὑπόνοιαν. Ἐκβὰς οἴσει.] ἀντὶ τοῦ ἐκτὸς τῶν ὡρισμένων δρόμων. [illegible] ὡρισμένον λέγειν. καὶ μάλιστα, ἐπ' ἄκρου τοῦ παραδρόμου, ἐλαῖαι ἦσαν, καθ' ἃς ἐξεφέροντο οἱ ἵπποι πίπτοντες κατὰ τὸν δρόμον. θέλει δὲ εἰπεῖν ἐκτὸς τοῦ προκειμένου, ἢ ὥσπερ εἶπεν ὁ [illegible] τινὸς, τίς τῆς ἐλαίας παρέτρεχεν, [illegible] τὸ παρέτρεψε [illegible] ζωντο ὁ χορὸς τουτί φησι, μή σε ὁ θυμὸς ἁρπάσας ἐκτὸς οἴσει τῶν ἐλαιῶν. ἄλλως. ἐν τῷ τέλει τοῦ τόπου οὗ ἐτελεῖτο ὁ δρόμος, ἐλαῖαι στιχηδὸν ἵσταντο οὖσαι καὶ ἄντημα τοῦ δρόμου. καὶ οὐδεὶς ἐπέκεινα τούτων ἐχώρει. ὅς τις οὖν περα τοῦ δέοντος ἐφέρετό τι, ἔλεγον ὡς ἐκτὸς τῶν ἐλαιῶν φέρεται. ἐκκεχώρηται δὲ εἰς παροιμίαν. Χρώμενος τοῖς ἱστίοις.] λείπει ὁ καί. ἔστι γὰρ καὶ ἄκροισι χρώμενος. τοῦτο δὲ εἴρηκεν ἐκ μεταφορᾶς τῶν πλεόντων. οἳ ὅταν πνεῦμα σφοδρὸν ἐμπνεύσῃ, συστέλλουσι τὰ ἱστία, ἵνα μὴ τῇ βιαίᾳ τούτου φορᾷ ἀνατραπείη τὸ σκάφος. χαλῶντες δὲ ἤδη κατὰ μικρὸν ἄγουσι τὴν ναῦν εἰς τὸ πρόσω τοῦ πλοῦ. ἄκροις δὲ τοῖς ἐν ἄκρῳ δεχομένοις τὸ πνεῦμα, καὶ μὴ κατὰ τὸ μέσον. Πυργώσας.] ὑψηλὰ καὶ μεγάλα εἰπών. Τραγικὸν λῆρον] παρ' ὑπόνοιαν ἀντὶ τοῦ τέχνην. τραγικὸν δὲ, ὅτι ἀλλήλους διαβάλλουσι κωμικοὶ καὶ τραγικοί.

ΔΡΑΜΑΤΟΣ ΤΟΥ ΤΕΤΑΡΤΟΥ, Σκηνὴ δευτέρα.

ΑΙΣΧΥΛΟΣ, ΕΥΡΙΠΙΔΗΣ, ΔΙΟΝΥΣΟΣ.

Ἀναπαιστικοὶ Ἀριστοφάνειοι.

Βισετος. Εἰθύως ἀμοιβαῖα διπλῆς ἐκ στίχων δ΄.

ACTVS IIII. SCENA secunda.

ÆSCHYLVS, EVRIPIDES, BACCHVS.

Anapæstici Aristophanij.

Αἰσ. Θυμοῦμαι μὲν τῇ ξυντυχίᾳ, καί μου τὰ σπλάγχν' ἀγανακτεῖ,
Εἰ πρὸς τοῦτον δεῖ μ' ἀντιλέγειν. ἵνα μὴ φάσκῃ δ' ἀπορεῖν με,
Ἀπόκριναί μοι. τίνος οὕνεκα χρὴ θαυμάζειν ἄνδρα ποιητήν;
Εὐ. Δεξιότητος, καὶ νουθεσίας, ὅτι βελτίους τε ποιοῦμεν
Τοὺς ἀνθρώπους ἐν ταῖς πόλεσι. Αἰσ. τοῦτ' οὖν εἰ μὴ πεποίηκας,
Ἀλλ' ἐκ χρηστῶν, καὶ γενναίων μοχθηροτάτους ἀπέδειξας,
Τί παθεῖν φήσεις ἄξιος εἶναι; Δι. τεθνάναι, μὴ τοῦτον ἐρώτα.
Αἰσ. Σκέψαι τοίνυν γ' οἵους αὐτοὺς παρ' ἐμοῦ παρεδέξατο πρῶτον,
Εἰ γενναίους, καὶ τετραπήχεις, καὶ μὴ διαδρασιπολίτας,
Μήτ' ἀγοραίους, μήτε κοβάλους, ὥσπερ νῦν, μηδὲ πανούργους.
Ἀλλὰ πνέοντας δόρυ, καὶ λόγχας, καὶ λευκολόφους τρυφαλείας
Καὶ πήληκας, καὶ κνημῖδας, καὶ θυμοὺς ἑπταβοείους.
Εὐ. Καὶ δὴ χωρεῖ τουτὶ τὸ κακόν. Δι. κρανοποιῶν αὖ μ' ἐπιτρίψει.

Æs. Excandesco equidem, ob talem congressum: & mea viscera bile
Feruent: quòd oportet me cum isto contendere: nam metuo, ne
Dicat, me pendere animi: quasi dubitem de manere palma.
Heus, responde: cur me decet admirari, quæso, Poëtam?
Ev. Propter dexteritatem ingenij, & doctrinam, qua meliores
Efficim' ciues in Rep. Æs. age ergo, nisi tu isthuc
Studuisti, ég; bonis & frugi fecisti improbiores:
Quo supplicio dignum te dicis? BA. morte: isthunc rogitare
Noli. Æs. vide sis ergo, quales primùm à me acceperis ipsos,
Generosósne, & cubitorum quatuor: atque haud suffugientes
Munia publica, non errones, neque maleficos, neque vafros
Quales nunc sunt: sed spirantes hastam, galeaś decorum,
Et cristas, atque ocreas, animósque virorum septiboninos.
EV. Atqui hic illud malum erumpit. BA. si cristas hic iterum aptet,

Σχόλια. Ἐκ χρηστῶν καὶ γενναίων.] ἀντὶ τοῦ ἀπὸ καλῶν, κακοὺς ἐποίησας. μοχθηροὺς δὲ ἀντὶ τοῦ αἰσχροτέρους. Τεθνάναι, μὴ τοῦτον ἐρώτα.] οὐδὲ τοῦτο συναρπαστικὸν ἐπὶ [illegible] λέγει τεθνάναι. ἴσως γὰρ πρὸς τὸ γελοῖον [illegible]

ρουν) ἐγκελεύεται χαίρειν εἰπεῖν. ἤδη γὰρ ἀπῄεσαν. ἐρει χυαὶ ἀλεκτρυόνες. Διαδρασιπολίτας.] ἀντὶ τοῦ δειλούς. ἀποδιδράσκοντας τὴν πολιτείαν. Κοβάλους] ἀντὶ τοῦ ἀλλαζόνας κοβάλους καὶ πανούργους. Ἐπ... Βοείους.] ἀντὶ τοῦ μεγάλους. ἀπὸ μεταφορᾶς τῆς ἀσπίδος Αἴαντος. Κεανῶπα.] κράνη καὶ λόφους διηγούμενος ἀφανιεῖ με τῷ πατάγῳ τῶν ὀνομάτων.

ΕΥ. Καὶ σὺ τί δὴ δράσας, αὐτοὺς οὕτως ἀνδρείους ἐδίδαξας;

ΔΙ. Αἰσχύλε λέξον, μηδ' αὐθαδῶς σεμνυνόμενος χαλέπαινε.

ΑΙ. Δρᾶμα ποιήσας Ἄρεως μεστόν. ΕΥ. ποῖον; ΑΙ. τοὺς ἐπὶ Θήβας.

Ὃ θεασάμενος πᾶς ἄν τις ἀνὴρ, ἠράσθη δάϊος εἶναι.

ΔΙ. Τουτὶ μέν σοι κακὸν εἴργασται. Θηβαίους γὰρ πεποίηκας.

Ἀνδρειοτέρους εἰς τὸν πόλεμον καὶ τούτου γ' οὕνεκα τύπτου.

ΑΙ. Ἀλλ' ὑμῖν αὔτ' ἐξῆν ἀσκεῖν, ἀλλ' οὐκ ἐπὶ τοῦτ' ἐτράπεσθε.

Εἶτα διδάξας τοὺς Πέρσας, μετὰ τοῦτ' ἐπιθυμεῖν ἐδίδαξα

Νικᾶν ἀεὶ τοὺς ἀντιπάλους, κοσμήσας ἔργον ἄριστον.

ΔΙ. Ἐχάρην γοῦν ἡνίκ' ἤκουσα περὶ Δαρείου τεθνεῶτος.

Ὁ χορὸς δ' εὐθὺς τὼ χεῖρ' ὡδὶ ξυγκρούσας, εἶπεν, ἰαυοῖ.

ΑΙ. Ταῦτα γὰρ ἄνδρας χρὴ ποιητὰς ἀσκεῖν. σκέψαι γὰρ ἀπ' ἀρχῆς

Ὡς ὠφέλιμοι τῶν ποιητῶν οἱ γενναῖοι γεγένηνται;

Ὀρφεὺς μὲν γὰρ τελετάς θ' ἡμῖν κατέδειξε, φόνων τ' ἀπέχεσθαι;

Μουσαῖος δ' ἐξακέσεις τε νόσων, καὶ χρησμούς. Ἡσίοδος δὲ

Me attriuerit. EV. *at tu quo pacto ipsos tam fortes potuisti*

Efficere? BA. *Æschyle dic: & grauitate sua ne difficilis sis.*

ÆS. *Cum plenum Martis opus fecissem.* EV. *quódnam.* ÆS. *septem ad Thebas.*

Nam quisquis spectator fuerat, optabat belligerari.

EV. *Sane hoc abs te male factum est, nam Thebanos hac ratione*

Fecisti alacriores ad pugnam: ideoq; hic vapula, homo audax.

ÆS. *Atqui hæc tractare eadem licuit vobis, sed vos aliorsum*

Vertistis animum. Sed & exhibitis Persis, magna cupido

Hostem superandi animis iniecta est, me pulcrum opus operante.

BA. *Ego certe lætatus sum, ubi Darium audiui occubuisse,*

Et Chorum etiam manibus complosis exclamauit, iope.

ÆS. *Quippe Poëtas istæc tractare decet: atque age, vide sis, quam*

Magno emolumento fuerint generosi omni tempore vates.

Equidem Orpheus ritus me docuit, & cædibus abstinuisse,

Musæus remedia morborum atque oracula prodidit: agri

Σχόλια. Τοὺς ἑπτ' ἐπὶ Θήβας.] οἱ Πέρσαι πρότερον δεδιδαγμένοι εἰσὶν, εἶτα οἱ ἑπτὰ ἐπὶ Θήβας. νῦν δὲ τὸ ὕστερον πρότερον εἶπε. πλὴν οὐδὲ τὸ ποιητῇ ἐγκλητέον. οὐ γάρ ἐστιν ἀκριβῶς τοῦτο, οὐδ' ... αὐτόν. Θηβαίους γὰρ πεποίηκας.] δῆλον ὡς ἐχθρῶν ὄντων τοῖς Ἀθηναίοις τῶν Θηβαίων, ἀλλὰ διαφερομένων. Ἀλλ' ὑμῖν αὔτ' ἐξῆν.] ὑμῖν ἐξῆν Ἀθηναίοις μιμεῖσθαι καὶ ἀσκεῖν τὰ πολεμικά.

BISETVS. Αὔτ' ἐξῆν] αὐτὰ τὰ πολεμικὰ ἀσκεῖν ἐξῆν.

Σχόλια. Οὐκ ἐπὶ τοῦτο.] ἀλλ' εἰς ἐγκλήσεις καὶ δικογραφίας. κατηγορεῖ δὲ Ἀθηναίων ἐντεῦθεν. Τοὺς Πέρσας.] Αἰσχύλου δρᾶμα οὕτω καλούμενον. τὸ δ' εἶτα, καὶ τὸ μετὰ τοῦτο, ἐθέλουσι ἀκούειν πρὸς τὰς διδασκαλίας ... τὸ πρότερον καὶ τὸ ὕστερον. Ἐχάρην γοῦν ἡνίκ' ἤκουσα] ἐν τοῖς φερομένοις Αἰσχύλου Πέρσαις οὔτε Δαρείου θάνατος ἀπαγγέλλεται, οὔτε ὁ χορὸς τὰς χεῖρας συγκρούσας λέγει ἰαυοῖ. ὅ ἐστιν ἐπιφώνημα πρὸς τὸν Διόνυσον λεγόμενον παρὰ τοῖς ... ἀλλὰ τὰ μὲν πράγματα ὑπόκειται ἐν Σούσοις. καὶ πρόλογός ἐστιν ἡ μήτηρ Ξέρξου ἐξ ὀνείρου τινός. χορὸς δὲ Περσῶν γερόντων διαλεγόμενος πρὸς αὐτήν. εἶτα ἄγγελος ἀπαγγέλλων τὴν περὶ Σαλαμῖνα ναυμαχίαν καὶ τὴν

Ξέρξου φυγήν. Χαίρεις δέ φησι τῷ Δαρείου, ἀντὶ τοῦ Ξέρξου. εἰώθεις γὰρ τοῖς ποιηταῖς ἐπὶ τῶν υἱῶν τοῖς τῶν πατέρων ὀνόμασι χρῆσθαι. πρὸς ὅ ἐστιν εἰπεῖν, ὅτι ἐν τῷ δράματι λέγεται, Ξέρξης μὲν αὐτὸς ζῇ τε καὶ βλέπει φάος. Ἡρόδικος δέ φησι διττὰς γεγονέναι τὰς θανάτους, καὶ τὴν περὶ Σαλαμῖνα ταύτην, καὶ τὴν ἐν Πλαταιαῖς μάχην. δοκοῦσι δὲ οὗτοι οἱ Πέρσαι ὑπὸ τοῦ Αἰσχύλου δεδιδάχθαι ἐν Συρακούσαις, σπουδάσαντος Ἱέρωνος, ὥς φησιν Ἐρατοσθένης ἐν γ' περὶ κωμῳδιῶν. ἄλλως. Δίδυμος ὅτι οὐ περιέχουσι θάνατον Δαρείου οἱ Πέρσαι τὸ δρᾶμα. διό τινες, διπλᾶς θέσεις, τουτέστι διδασκαλίας τῶν Περσῶν φασι. καὶ τὴν μίαν μὴ φέρεσθαι. τινὲς δὲ γράφουσι Δαρείου τοῦ Ξέρξου. ... ὅτι τοῖς κυρίοις ἀντὶ πατρωνυμικῶν κέχρηνται. καὶ ὅτι ὁ Ξέρξης οἱ δὲ, ὅτι εἴδωλον Δαρείου φαίνεται, ἐκεῖ τεθνηκότος δηλονότι. Ὀρφεὺς γὰρ τελετάς θ' ἡμῖν.] ὅτι πολλὴ δόξα κατεῖχε περὶ Ὀρφέως, ὡς τελετὰς συντετάχοι. Μουσαῖος δ'] τὸν Μουσαῖον παῖδα Σελήνης καὶ Εὐμόλπου Φιλόχορός φησιν. οὗτος δὲ παραλύσεις καὶ τελετὰς καὶ καθαρμοὺς συντέθεικεν. ὁ δὲ Σοφοκλῆς, χρησμολόγον αὐτόν φησι. ... οὕτως ἔχον. Εὐμόλπου φίλον υἱὸν ... Μουσαῖον, φθίμενον σῶμ' ὑπὸ τῷδε τάφῳ. ἐν τῷ δὲ καὶ θεραπείας νοσημάτων καταδεῖξαι λέγεται. Ἡσίοδος δὲ,] ὡς πρώτου Ἡσιόδου μεμνηνται.

Γῆς ἐργασίας, καρπῶν ὥρας, ἀρότους. ὁ δὲ θεῖος Ὅμηρος
Ἀπὸ τοῦ τιμὴν καὶ κλέος ἔσχε, πλὴν τοῦθ᾽ ὅτι χρήστ᾽ ἐδίδαξε,
Τάξεις, ἀρετάς, ὁπλίσεις ἀνδρῶν; Δι. καὶ μὴν οὐ Παντακλέα γε
Ἐδίδαξεν ὅμως τὸν σκαιότατον. πρώην γοῦν, ἡνίκ᾽ ἔπεμπεν,
Τὸ κράνος πρῶτον περιδησάμενος τὸν λόφον ἤμελλ᾽ ἐπιδήσειν.
Αἰ. Ἀλλ᾽ ἄλλους τοι πολλοὺς ἀγαθούς, ὧν ἦν καὶ Λάμαχος ἥρως.
Ὅθεν ἡ μὴ φρὴν ἀπομαξαμένη, πολλὰς ἀρετὰς ἐποίησεν
Πατρόκλων, Τεύκρων, θυμολεόντων, ἵν᾽ ἐπαίροιμ᾽ ἄνδρα πολίτην
Ἀντεκτείνειν αὑτὸν τούτοις, ὁπόταν σάλπιγγος ἀκούσῃ.
Ἀλλ᾽ οὐ μὰ Δί᾽, οὐ Φαίδρας ἐποίουν πόρνας, οὐδὲ Σθενεβοίας.
Οὐδ᾽ οἶδ᾽ εἰς ἥν τιν᾽ ἐρῶσαν πώποτ᾽ ἐποίησα γυναῖκα.
Ευρι. Μὰ Δί᾽. οὐ γὰρ ἐπῆν τῆς Ἀφροδίτης οὐδὲν σοί. Αἰσ. μηδέ γ᾽ ἐπείη,
Ἀλλ᾽ ἐπὶ σοί τοι καὶ τοῖς σοῖσιν πολλὴ πολλοῦ ἐπικαθῖτο.
Ὥς τε γε καὐτόν σε κατ᾽ οὖν ἔβαλεν. Δι. νὴ τὸν Δία τοῦτό γέ τοι δή.
Ἃ γὰρ ἐς τὰς ἀλλοτρίας ἐποίεις, αὐτὸς τούτοισιν ἐπλήγης.
Ευρι. Καὶ τί βλάπτουσ᾽, ὦ σχέτλι᾽ ἀνδρῶν, τὴν πόλιν ἁμαὶ Σθενέβοιαι;
Αἰ. Ὅτι γενναίας καὶ γενναίων ἀνδρῶν ἀλόχους ἀνέπεισας,
Κώνεια πίνειν, αἰσχυνθείσας διὰ τοὺς σοὺς Βελλεροφόντας.
Ευρι. Πότερον δ᾽ οὐκ ὄντα λόγον τοῦτον περὶ τῆς Φαίδρας ξυνέθηκα;
Αἰ. Μὰ Δί᾽, ἀλλ᾽ ὄντ᾽. ἀλλ᾽ ἀποκρύπτειν χρὴ τὸ πονηρὸν τόν γε ποιητήν,
Καὶ μὴ παράγειν, μηδὲ διδάσκειν. τοῖς μὲν γὰρ παιδαρίοισιν
Ἔστι διδάσκαλος, ὅστις φράζει, τοῖς δ᾽ ἡβῶσι ποιηταί.
Πάνυ δὴ δεῖ χρηστὰ λέγειν ἡμᾶς. Ευρι. ἢν οὖν σὺ λέγῃς Λυκαβηττούς,

A Cultum Hesiodus sationum, & messiu tempora. Diuus Homerus,
Vnde est gloriam adeptus, honoremque, nisi quod pulcra doceret:
Acies, virtutes, arma virûm? BA. sed stolidum Pantaclem Homerus
Tamen artem haud docuit: qui cùm galeam capiti induceret amens,
B Prius illam circumuinxit, quàm conum circumdaret altum.
Æs. Alios alij multos fortes: quorum è grege Lamachus heros:
Vnde subacta hæc mens mea, virtutes effinxit Patroclorum,
Teucrorum, Thymaleontium, vt ciues hoc pacto extimularem,
Vt & ipsi horum similes fierent, sonitu stridente tubarum,
C Non autem Phædras produxi meretrices, non Sthenobœas:
Nec scio, an vllam vnquam fœminam amantem duxerim in ora tuentum.
EV. Non per Iouem: neque enim tibi quicquam inerat Veneris. Æs. neque inesse
Mihi velim: sed tibi tuisque Venus insit quàm plurima per me:
D Vt quæ etiam te pessundedit, improbe homo. BA. ita est, per Iouem, vt inquis.
Nam quicquid finxisti de aliis, hoc in te tute luisti.
EV. Et quid noxæ pariunt vrbi, tu ardello, meæ Sthenobœæ?
Æs. Quia viros ingenuos, vxoresque ingenuas docuisti
E Potare cicutam, dum tuos reuerentur Bellerophontes.
EV. Quid? egone primus de Phædra scripsi hæc quasi noua, ô Æschyle? dic dum.
Æs. Imò trita: sed hæc quæ sunt mala, decet occultare Poëtam,
Non producere, non condocefacere: nam pueris solet æque
F Dictare magister: adultis instillant præcepta Poëtæ.
Omninò igitur decet vtiliter nos loqui. EV. an ergo Lycabetos

Σχόλια. Χρήστ᾽ ἐδίδαξε.] τινὲς σὺν ἀλοιφῇ τὴν λέγουσι. χρηστὰ δὲ ἀντὶ τοῦ χρήσιμα. Καὶ μὴν οὐ Παντακλέα.] διαβάλλει τὸν Πανταλέα ὡς ἀμαθῆ ἐν τῷ ὁπλίζεσθαι. μέμνηται δὲ τούτου καὶ Εὔπολις ἐν χρυσῷ γένει. Παντακλέης σκαιός. Τὸ κράνος πρῶτον περιδησάμενος] δέον ἐπιδήσαντα τὸν λόφον πρῶτον, τὸ κράνος περιθέσθαι. καὶ Ὅμηρος ἐμφαίνει τοῦτο. κρατὶ δ᾽ ἐπ᾽ ἰφθίμῳ κυνέην εὔτυκτον ἔθηκε δεινὸν δὲ λόφος καθύπερθεν ἔνευε. Λάμαχος ἥρως.] ὁ Λάμαχος ἦν ἄριστος τὰ πολεμικά. ἦν δὲ ἐπὶ τῶν χρόνων Αἰσχύλου καὶ Ἀριστοφάνους

G στρατηγὸς Ἀθηναίων. μέμνηται δὲ τούτου καὶ ἐν Ἀχαρνεῦσιν. ὅθεν δὲ ἦγουν ἐκ τοῦ Ὁμήρου. Ἀντεκτείνειν.] ἀνταποδιδόναι. ὁμοιοῦν ἑαυτόν. Οὐ Φαίδρας.] δρᾶμα Εὐριπίδου. Σθενέβοια δὲ, ἣν Ὅμηρος Ἄντειαν, ἡ ἠράσθη τοῦ Βελλεροφόντου, οὗ μὴ ὑπακούσαντος καταψεύδεται πρὸς τὸν ἴδιον ἄνδρα Προῖτον ὡς βιαζομένου. ὃς ἔπεμψε τοῦτον εἰς τὸν πενθερὸν αὐτοῦ ἀναιρεθησόμενον. ἐλθόντος οὖν ἐκεῖσε Βελλεροφόντου καὶ καθαροῦ φανέντος μὴ φέρουσα τὴν αἰσχύνην ἡ Σθενέβοια, κώνειον ἐχρήσατο.

BISETUS. Οὐδὲ Σθενοβοίας.] τὸν δὲ τ μῦθον Ὅμηρος ἐν τῷ Ζ. τ Ἰλιάδος διεξέρχε).

Σχόλια. Περὶ καὐτόν σε.] ἵνα δ᾽ ἐπιάλῃ τὴν γυναῖκα τοῦ Εὐριπίδου. τὸ δ᾽ ἐξ ἄ γδ εἰς τὰς ἄλλοτ ειδὲ ποιεῖς, διπλῶς νοητέον. ἢ ὅτι τὰς τῶν ἄλλων μοιχεύων γυναῖκας ἢ αὐτὸς ὑφ᾽ ἑτέρων. τοῦτ᾽ πέπονθας. ἢ ἃ ἐποίεις περὶ τὰς ἑτέρας, λέγω δὴ Φαίδραν καὶ Σθενόβοιαν μοιχευομέ- A νας αὐτὰς λίαν, ταῦτοις ἐπλήγης. αὐτὸς γὰρ καὶ αὐτὸς τὴν γυναῖκα μεμοίχευται. Κατὰ τίνδε.] ὅτι πληθυντικῶς οὕτω κατὰ, ἕνεκα τ πολλὰς εἶ). ἐὰν δὲ καὶ ἑνικῶς εἴτε τ. Ἔχει μὲν τοι μᾶλλον, πρὸς τὸ περὶ γυναικῶν ἱστορούμενον. πολλαὶ γὰρ τὴν Σθενόβοιαν μιμησάμεναι ποιοῦσαι ... ἐτελεύτησαν. Τοῖς μὲν γὰρ παιδαρίοισιν.] ὁ γὰρ διδάσκαλος τοῖς μικροῖς. ὁ δὲ ποιητὴς, τοῖς ἡβῶσι.

Καὶ Παρνασσῶν ἡμῖν μεγέθη, τοῦτ᾽ ἐστὶ τὸ χρηστὰ διδάσκειν; B
Ὃν χρὴ φράζειν ἀνθρωπείως; Αἰσχ. ἀλλ᾽ ὦ κακόδαιμον ἀνάγκη
Μεγάλων γνωμῶν καὶ διανοιῶν, ἴσα καὶ τὰ ῥήματα τίκτειν.
Κἄλλως εἰκὸς τοὺς ἡμιθέους τοῖς ῥήμασι μείζοσι χρῆσθαι.
Καὶ γὰρ τοῖς ἱματίοις ἡμῶν χρῶνται πολὺ σεμνοτέροισιν, C
Ἁ᾽μοῦ χρηστῶς καταδείξαντος διελυμήνω σύ. Ευ(ρ). τί δράσας;
Αἰσχ. Πρῶτον μὲν τοὺς βασιλεύοντας, ῥάκι᾽ ἀμπίσχων, ἵν᾽ ἐλεεινοὶ
Τοῖς ἀνθρώποις φαίνοιντ᾽ εἶ). Ευ(ρ). τοῦτ᾽ οὖν ἔβλαψα τί δράσας;
Αἰσχ. Οὔκουν ἐθέλει γε τριηραρχεῖν πλουτῶν οὐδεὶς διὰ ταῦτα,
Ἀλλ᾽ ἐν ῥακίοις περιειλόμενος, κλάει, καὶ φησὶ πένεσθαι. D
Δι. Νὴ τὴν Δήμητρα, χιτῶνά γ᾽ ἔχων οὔλων ἐρίων ὑπένερθε.
Κἂν ταῦτα λέγων ἐξαπατήσῃ, παρὰ τοὺς ἰχθῦς ἀνέκυψεν.
Αἰσχ. Εἶτ᾽ αὖ λαλιὰν ἐπιτηδεῦσαι καὶ στωμυλίαν ἐδίδαξας.
Ἣ ᾽ξεκένωσε τάς τε παλαίστρας, καὶ τὰς πυγὰς ἐνέτριψε, E
Τῶν μειρακίων στωμυλλομένων, καὶ τοὺς παράλους ἀνέπεισεν
Ἀνταγορεύειν τοῖς ἄρχουσι, καί τοι τότε γ᾽, ἡνίκ᾽ ἐγὼ ᾽ζων,
Οὐκ ἠπίσταντ᾽ ἀλλ᾽ ἢ μᾶζαν καλέσαι, καὶ ῥυππαπαὶ εἰπεῖν.
Δι. Νὴ τὸν Ἀπόλλω, καὶ προσπαρδεῖν γ᾽ εἰς τὸ στόμα τῷ θαλάμακι, F
Καὶ μινθῶσαι τὸν ξύσσιτον, κἀκβὰς, τινὰ λωποδυτῆσαι.

Et Parnassos cùm tu memoras, hoc sit bona & aequa docere:
Quem humana loqui conuenit? ÆS. at tu infelix, omnino necesse est,
Vt ponderibus sententiarum paria sint lumina vocum,
Et aliàs semideos aequum est verbis grandioribus vti.
Nam & habitu illi vtuntur, quàm nos, multò venerabiliori.
Quae cùm tibi pulcrè praemonstrassem, tu foedasti. EV. age quidnam
Feci? ÆS. primò indutos panno lacero producere reges
Nō erubuisti, vt hominib. illorū miserabilis esset
Aspectus. EV. quid nam hac re nocui? aut quidnam feci? cedò. ÆS. nemo
Opulentus iam vult exinde triremibus impendere sumptus:
Sed pannis obsitus eiulat, & seipsummet dicit egere.
BA. Ita, per Cererem. Nam tunicam subtus habet è vellere molli:
Et licet haec praetexat, tamen ad pisces deflexit ocellos.
ÆS. Praeterea & garrulitatem, & inanem verborum docuisti
Strepitum; qui & ludos perdidit, & pro more nates puerorum,
Garrire addiscentum, afflixit: tum etiam nautis male suasit
Oggannire magistris. At ego cùm viuerem adhuc, nihil horum
Sciebant aliud, nisi massam poscere, vel rhyppapae ore sonare.
BA. Ita per Phoebum: inferiori remigi in os oppedere, merda
Foedare sodalem, & egressus aliquē vestitu spo- (liare.

Σχόλια. Καὶ Παρνασσῶν.] ὄρος Φωκίδος. ἀντὶ ῥήματα ... πλήσια ὄρεσι. ἢ τὸ Λυκαβηττοὺς καὶ Παρνασσῶν μεγέθη Αἰσχύλος ἔν τινι τῶν αὐτοῦ πεποίηκε δραμάτων. ἔστι δὲ Λυκαβηττὸς ὄρος Ἀθηναίων. Γνωμῶν καὶ διανοιῶν.] G σημειωτέον, ὅτι πρὸς τὴν λέξιν ἔταξε τὸ ἴσα. Ἁ᾽μοῦ χρηστῶς.] τὸ λέγειν τοὺς ἥρωας μείζω ῥήματα καὶ πρὸς τὰς μεγίστας διανοίας καὶ τοὺς λόγους τοιούτους προάγειν. Ῥάκι᾽ ἀμπίσχων.] διὰ Οἰνέα καὶ Τήλεφον καὶ τοὺς ἄλλους. Περιειλόμενος.] συστραφεὶς ἢ περιειληθείς. ἴλλειν γὰρ τὸ συνέχειν.

BISETUS. Περιειλόμενος.] Εὐστάθιος ἴλλειν ταυτὸ ὅπερ εἰλεῖν. ὅ ἐστι συστρέφειν. ὅθεν ἰλλάς, δεσμός. ὁ συνεστραμμένος δεσμός. ἴσως δὲ κατὰ ... χαπτέον περιειλλόμενος. ἢ τὸ περιειλλόμενος, παρὰ τὸ περιειλεῖν. τὸ γὰρ περιειλεῖν βαρύτονον, ἄχρηστον. εἰ δὲ τὸ εἰλεῖν ἐν χρήσει τὸ περιειλόμενος καλῶς ἔχει.

Σχόλια. Οὔλων ἐρίων.] ὁ Διόνυσος φησιν, ὅτι ἐνδεδυμένος ἔνδοθεν ἐρίων χιτῶνα. περιειλεῖται γὰρ ῥάκη προσποιούμενος εἶ) πένης.

BISETUS. Οὔλων ἐρίων] ἢ τῶν ἁπαλῶν, ἢ τῶν συνε-

συνεστραμμένων. οὕτω καὶ οὔλη θρὶξ, παρὰ τὸ εἴλειν, ἤ εἰλεῖν, τὸ συστρέφειν. Σ. οὖλος, ὁ συνεστραμμένας ἔχων τὰς τρίχας. Ομηρος περὶ Οδυσσέως,

Σκιερὸς ἔην ὤμοις μελανόχροος, οὐλοκάρηνος. καὶ οὖλον. μαλακὸν ἁπαλὸν, συνεστραμμένον τῇ θριξί.

Σχόλια. Παρὰ τοὺς ἰχθῦς ἀνέκυψε] παρὰ τὰ ἰχθυοπώλια. τὸ δὲ τοιοῦτον, Αττικόν. Εὔπολις περιῆλθον εἰς τὰ σκόροδα καὶ τὰ κρόμμυα. φησὶν οὖν, ὅτι ἀναφαίνεται περὶ τὰ ἰχθυοπωλεῖα ἀγοράζειν. ἀντὶ τοῦ τρυφᾶν εὑρίσκεται. Στωμυλίαν.] σκώμματα κολακείας. πανουργίαν. Τῶν μειρακίων στωμυλλομένων.] ἄπειροι οὗτοι ἐκκλησίας. φησὶν οὖν ὑπὸ Εὐριπίδου γραφέντας ἐπὶ τὸ λέγειν ὁρμῆσαι, καὶ διατρίβοντα ἐν τῇ ἀγορᾷ πολλοὺς κτᾶσθαι τοὺς ἐραστάς. παράλους δὲ σημαίνει τοὺς καπηλεύοντας, Πάραλος γὰρ καὶ Σαλαμινία, τριήρεις εἰρηναρχικαί. κοινῶς δὲ παράλους, τοὺς ἐκ τῆς τριήρους ναύτας. οὐ γὰρ ἴδιόν τι λέγοι ἂν περὶ τῆς παράλου τριήρους ναύτας. ἄτιμοι δὲ οὗτοι ἦσαν. Ρυππαπαί.] ἐπίφθεγμα ναυτικὸν, παρασκευαστικὸν, ἢ παρακελευσματικὸν καπηλείας. Τῷ θαλάμακι] τῷ καθημένῳ ἐν τῷ κάτω μέρει τῆς τριήρους. οἱ δὲ θαλάμακες ὀλίγον ἐλάμβανον μισθὸν, διὰ τὸ κολοβαῖς χρῆσθαι κώπαις παρὰ τὰς ἄλλας τρεῖς τάξεις τῶν ἐρετῶν, ὅτι μᾶλλον ἐγγύς εἰσι τοῦ ὕδατος. εἰσὶ δὲ τρεῖς τάξεις τῶν ἐρετῶν. καὶ ἡ μὲν κάτω, θαλαμῖται. ἡ δὲ μέση, ζυγῖται. ἡ δὲ ἄνω, θρανῖται. θρανίτης οὖν ὁ πρὸς τὴν πρύμναν. ζυγίτης ὁ μέσος. θαλαμίτης ὁ πρὸς πρῷραν. καὶ θαλαμία ὀπὴ, δι' ἧς ἐξέρχεται ἡ κώπη. ἔστι οὖν παρὰ τὸ συγκαθέδρῳ περδεῖν. Μινθῶσαι.] δυσφρᾶναι. δυσοσμίας ἀναπλῆσαι. μιᾶναι. μίνθη δὲ, τὸ παρ' ἡμῖν ἡδύοσμον. οἱ δὲ τὸ θύμον ἢ κόπρον αἰγῶν.

Νῦν δ' ἀντιλέγει, κοὐκέτ' ἐλαύνει,
Καὶ πλεῖ δευρὶ καὖθις ἐκεῖσε.
ΑΙ. Ποίων δὲ κακῶν οὐκ αἴτιός ἐστ';
Οὐ προαγωγοὺς κατέδειξ' οὗτος;
Κἀτικτούσας ἐν τοῖς ἱεροῖς,
Καὶ μιγνυμένας τοῖσιν ἀδελφοῖς,
Καὶ φασκούσας οὐ ζῆν τὸ ζῆν,
Κᾆτ' ἐκ τούτων ἡ πόλις ἡμῶν
Υπὸ γραμματέων ἀνεμεστώθη,
Καὶ βωμολόχων δημοπιθήκων,
Εξαπατώντων τὸν δῆμον ἀεί;
Λαμπάδα δ' οὐδεὶς οἷός τε φέρειν,
Υπ' ἀγυμνασίας ἔτι νυνί.

At iam obloquitur quiuis: nemo
Remigat aut nauem huc illuc agit.
ÆS. Cuius sceleris non hic reus est?
Non lenones introduxit,
Et parturientes in fanis
Et concubitu fratrum mistas:
Et vitam dicentes mortem?
Non propterea impleta vrbs nostra
Tot scribis, scurris & simiis
Plebis, qui decipiunt populum.
At ferre facem nemo hic hominum
Scit, præ ruditate, etiamnum.

Σχόλια. Νῦν δ' ἀντιλέγει.] εἴσθεσις τῆς διπλῆς εἰς δύο περιόδους διῃρημένης ἐκ κώλων ὁμοίων ἀναπαιστικῶν κγ. ὧν τὰ μὲν πρῶτα δύο κῶλα δίμετρα ὄντα ἀκατάληκτα τῇ διπλῇ συνάπτεται. τῆς δὲ πρώτης περιόδου εἰσὶ κῶλα ια'. ἀκατάληκτα, πλὴν τοῦ τελευταίου ἑφθημιμεροῦς ὁμοίως δὲ καὶ τὰ τῆς β ἔχει. τὸ μέντοι παρατέλευτον ἀναπαιστικόν ἐστι βάσις. ἐπὶ τῷ τέλει τῆς μὲν πρώτης περιόδου παράγραφος. τῆς δὲ β δύο διπλαῖ, ἡ μὲν ἐν ἀρχῇ τοῦ κώλου ἡ δὲ κατὰ τὸ τέλος. Καὶ τικτούσας.] ἔγραψε γὰρ τὴν Αὔγην ὠδίνουσαν ἐν ἱερῷ. Τοῖσιν ἀδελφοῖς] ὡς αἱ τοῦ Αἰόλου θυγατέρες. Καὶ φασκούσας οὐ ζῆν] ὅτι παρὰ τὰ ἐκ Φρίξου Εὐριπίδου. τίς δ' οἶδ' εἰ τὸ ζῆν μέν ἐστι κατθανεῖν. τὸ κατθανεῖν δὲ ζῆν. ἀλλ' ὀλίγον ἐστὶ Φρίξος. ἔστι δὲ, ὡς παρὰ γυναικὸς αὐτὸ λέγει εἰρημένον. ἰδεῖν οὖν χρὴ, μήποτε τῆς αὐτῆς νοοῦ παρ' Εὐριπίδῃ γυνὴ λέγῃ. καὶ μήποτε τὸ ὑπὸ τῆς τροφοῦ ἐν Ιππολύτῳ λεγόμενον. ἀλλ' ὅτι τούτου φίλτερον ἄλλο σκότος ἀμπίσχον κρύπτει Νεφέλαις. καὶ τὰ ἑξῆς. Ανεμεστώθη.] ἀνεπληρώθη, τῶν γραμματεύειν βουλομένων καὶ μὴ στρατεύεσθαι. ἢ καὶ ἐπὶ κακοπραγμοσύνῃ τοὺς γραμματεῖς διαβάλλει. ὀλέθριος γραμματεὺς συκοφαντῶν. ἄλλως. ἐπεὶ ἀφέντες τὰ γυναῖα πράγματα φορολόγοι γεγόνασιν. οἱ δὲ μετιόντες τὸν λόγον, κέρδους ἕνεκα τούτοις εἵποντο. δημοπιθήκους δὲ τοὺς πανούργους περὶ τὸν δῆμον ὡς τὸ ζῶον ὁ πίθηκος. ἢ τοὺς τὸν δῆμον κολακεύοντας καὶ πείθοντας. Λαμπάδα δ' οὐδείς.] ἔδει γὰρ λαμπαδουχεῖν ἐν Ηφαιστείοις, καὶ Παναθηναίοις. ἐν Αθήναις δέ ἐστι γυμνάσιον, ἐν ᾧ ἐλαμπαδοφόρουν οἱ γυμνάζοντες. ὁ τῆς λαμπάδος δὲ ἀγὼν τρίτος Αθήνησιν ἤγετο. Προμήθεια. Ηφαίστεια. Παναθήναια.

Δευτέρας περιόδου κῶλα ι.

ΔΙ. Μὰ Δί' οὐ δῆθ' ὥστ' ἀπεφαυάνθην,
Παναθηναίοισι γελῶν, ὅτε δὴ
Βραδύς ἄνθρωπός τις ἔθει, κύψας,
Λευκὸς, πίων, ὑπολειπόμενος,
Καὶ δεινὰ ποιῶν. κᾆθ' οἱ Κεραμῆς,
Εν ταῖσι πύλαις, παίουσ' αὐτοῦ
Γαστέρα, πλευρὰς, λαγόνας, πυγήν.
Ο δὲ τυπτόμενος ταῖσι πλατείαις
Υποπερδόμενος,
Φυσῶν τὴν λαμπάδ' ἔφευγε.

BA. Non equidem, nam risu proximus
Panathenaicis propè dissilui,
Quando quispiam homo tardigradus,
Incuruus, obesus, candénsque,
Pone relictus, & ægre affectus.
Dein figuli in foribus feriebant
Ventrem, ilia, nates & latera.
Percussus homo, in vicis passim
Pedendo facem
Extinxit: & inde aufugit.

Σχόλια. Απεφαυάνθην.] ἐξηράνθην.

BISETVS. Απεφαυάνθην] αὔω, τὸ ξηραίνω,

τὸ λάμπω, τὸ φαίνω, πάλαι παρά τισιν ἐδασύνετο. ἀλλαχοῦ δὲ τὸ αὔω, τὸ ξηραίνω, δασύνεται. αὔω δὲ, τὸ λάμπω, καὶ τὸ φωνῶ, ψιλοῦται, πρὸς διαστολήν. ἐκ δὲ τοῦ αὔω δασυνομένου γίνεται τὸ αὐαίνω. καὶ τῆς δασείας εἰς φ τρεπείσης, φαυαίνω. ὅθεν τὸ ἀποφαυαίνω, τὸ ἀποξηραίνω. εὑρίσκεται μέντοι καὶ φαύω, ἀντὶ τοῦ πληρῶ. Εὐριπίδης ἐν Ρήσῳ,

λύκ' ἐξώστης Ἄρης
Ἔφαυσε λαίφη τῆσδε γῆς μέγας πνέων.

τὸ γὰρ ἔφαυσε τινὲς τῶν πάνυ δοκίμων, καὶ εὐπαιδεύτων ἀνδρῶν ἑρμηνεύουσιν, ἔπλησεν, ἐξέπλησεν, ἀνεπλήρωσεν. ἴσως δὲ οὐκ ἄτοπον ἂν εἴη εἰ λέξῃς παρὰ τὸ φάω, φῶ, κατ' αἰολικὴν ἐπένθεσιν τοῦ υ φαύω γίνεσθαι. ὅθεν τὸ φαυαίνω, καὶ ἀποφαυαίνω. ὅπερ νῦν σημαίνει οὕτω ξηραίνειν, ὥστε κτείνειν. οἱ γὰρ Αἰολεῖς ἐν πολλοῖς τῶν ὀνομάτων τὸ υ ἐπεντιθέναι εἰώθασιν, ὡς ἐν τοῖς εὔκηλος, οὖρος, οὖλος, ἀντὶ τοῦ ἔκηλος, ὅρος, ὅλος. ὅτι δὲ πάλαι τὸ αὔω τὸ ξηραίνω, ἐδασύνετο, δῆλον ἐκ τῶν συνθέτων ἀφαύω, ἀφαύσω, ὥσπερ ὁ ποιητὴς ἐχρήσατο ἐν τῇ Εἰρήνῃ καὶ ἐν ταῖς Εκκλησιαζούσαις. καὶ τῷ ἀφαυαίνω ἐν τῷ αὐτῷ δράματι.

Σχόλια. Κἀθ' οἱ Κεραμῆς.] οἱ τὸν Κεραμεικὸν οἰκοῦντες. Δῆμος δὲ Ἀθηναίων. ἐκεῖ γὰρ ὁ ἀγὼν ἤγετο. καὶ ἐν Πλούτῳ α' τῶν λαμπαδηφόρων τε καὶ πλείστων αἰτίαν τοῖς ὑστάτοις πλατειῶν. τοῦτο δέ φησιν Εὐφρόνιος, ὅτι ἀπὸ τοῦ ἐν τῷ Κεραμεικῷ ἀγῶνος τῆς λαμπάδος, καὶ τοὺς ὑστάτους τρέχοντας ἀπὸ τῶν ἀγοραίων τύπτεσθαι πλατείαις ὑπὸ τῶν νεανίσκων χερσί. καὶ λέγονται αἱ τοιαῦται Κεραμεικαὶ πληγαί. ἐμφαίνεται δὲ ἀπὸ τούτων, ὅτι παρὰ τοῖς Κεραμεικοῖς τοῦτο μάλιστα γίνεται. πύλαις δὲ τῆς εἰσόδοις τοῦ ἀγῶνος. Ταῖς πλατείαις.] ταῖς πλατείαις χερσὶ δηλονότι. ἢ μάστιξιν. ἢ οὕτω λεγομέναις Κεραμεικαῖς πληγαῖς τε καὶ πλατείαις.

C

ΧΟΡΟΣ.

CHORVS.

Στροφὴ κώλων ι.

Χο. Μέγα τὸ πρᾶγμα, πολὺ τὸ νεῖκος, ἁδρὸς ὁ πόλεμος ἔρχεται.
Χαλεπὸν οὖν ἔργον διαιρεῖν, ὅταν ὁ μὲν τείνῃ βιαίως,
Ὁ δ' ἐπαναστρέφειν δύνηται, κἀπερείδεσθαι τορῶς.
Ἀλλὰ μὴ 'ν ταὐτῷ κάθησθον.
Ἐσβολαὶ γάρ εἰσι πολλαὶ, χἄτεραι σοφισμάτων,
Ὅ,τι περ οὖν ἔχετον ἐρίζειν
Λέγετον, ἔπιτον, ἀναδέρετον,
Τά τε παλαιὰ, καὶ τὰ καινά,
Κἀποκινδυνεύετον λεπτόν τι καὶ σοφὸν λέγειν.

CH. Magna res, vehemens certamen, ingens bellum hic ingruit.
Difficile est dijudicare.
Cùm alter intendat vehementer:
D *Alter & refellere, & sua rectè tutari queat:*
Sed ne eodem persistatis.
Multa captionum sunt via, sunt multa sophismata.
Quicquid ergo habetis, omne id
Dicite propalàm & dilucidè:
Tam qua sunt noua, quàm qua prisca.
Et tentate quippiam subtile, catúmque dicere.

E

Σχόλια. Μέγα τὸ πρᾶγμα.] ἡ παροῦσα στροφὴ καὶ ἀντιστροφὴ, κώλων ἐστὶν ἑκατέρα δέκα ἐπιμεμιγμένων τοῖς βραχέσιν. ὧν τὰ α' δ' ϛ' ι'. τροχαϊκὰ τετράμετρα καταληκτικά. τὰ δὲ λοιπὰ δίμετρα ἀκατάληκτα. τὸ μέντοι ζ' τῆς στροφῆς ἀναπαιστικὸν πενθημιμερὲς καὶ τὸ ἑξῆς δίμετρον βραχυκατάληκτον. ἐπὶ τῷ τέλει τῆς μὲν στροφῆς, παράγραφος. τῆς δὲ ἀντιστροφῆς κορωνίς. Μὴ 'ν ταὐτῷ κάθησθον.] μὴ ἐν τῷ αὐτῷ τόπῳ καὶ λόγῳ καὶ τρόπῳ τὰς ἀντιλογίας ποιεῖσθε. Ἐσβολαί.] ἀφορμαί. ἀρχαί. φιλονεικίαι. εἴσβολοι. Κἀποκινδυνεύετον.] ἀποκινδυνεύοντες λέγεται. τουτέστι τολμῶντες.

F

Ἀντιστροφὴ κώλων ι.

Εἰ δὲ τοῦτο καταφοβεῖσθον, μή τις ἀμαθία προσῇ,
Τοῖς θεωμένοισιν, ὡς τὰ
Λεπτὰ μὴ γνῶναι λεγόντοιν,
Μηδὲν ὀῤῥωδεῖτε τοῦθ'. ὡς οὐκ ἔτ' οὕτω ταῦτ' ἔχει
Ἐστρατευμένοι γάρ εἰσι.
Βιβλίον τ' ἔχων ἕκαστος μανθάνει τὰ δεξιά.
Αἱ φύσεις δ' ἄλλως κράτισται.
Νῦν δὲ καὶ παρηκόνηνται.
Μηδὲν οὖν δείσητον, ἀλλὰ
Πάντ' ἐπέξιτον, θεατῶν γ' οὕνεχ', ὡς ὄντων σοφῶν.

Sin autē timetis, ne qua insit rerum imperitia
Spectatoribus, qui acuta
Non queant cognoscere ista:
Nolite hoc pauere: quoniam hoc non ita se habet amplius.
Milites enim fuerunt:
G *Sed librū iā quisq; habet, discitq; res lōgè optimas.*
Natura aliàs sunt potentes:
At nunc maximè exacuta.
Quare nil timete: verùm
Omnia, pp̄ter hos doctos spectatores, percurrite.

Σχόλια. Οὐκ ἔσθ' οὕτω.] ὡς τῶν Ἀθηναίων πρότερον οὐχ ὁμοίως γεγυμνασμένων ἐν τοῖς ποιητικοῖς σοφισμοῖς.

Τὰ

τὰ δεξιά.] δεξιοὺς νομίζουσι τοὺς ἐστρατευμένους καὶ ἐπαίνου ἀξίους. τοὺς δὲ διαδιδράσκοντας στρατείας, φιλοδόνους εἶναι καὶ συκοφάντας. ἢ τὸ ἐναντίον ἵνα ᾖ πάντες οἱ ἀμαθεῖς, ἔξω ἐστρατευμένοι εἰσίν. Αἱ φύσεις

A δ' ἄλλως.] ἐν εἰρωνείᾳ λέγει. Παρηκόνηται.] παραξυμένοι εἰσὶν οἱ θεαταὶ δηλονότι. ἐκ μεταφορᾶς τῶν ξιφῶν. ἅπερ ἀκονῶσιν εἰς μάχην ἐρχόμενοι οἱ ἄνθρωποι. εἰκότως δὲ ἐπαινεῖ ὁ Ἀριστοφάνης τοὺς θεατάς.

ΔΡΑΜΑΤΟΣ ΤΟΥ ΠΕΜΠΤΟΥ, Σκηνὴ πρώτη.

ΕΥΡΙΠΙΔΗΣ, ΔΙΟΝΥΣΟΣ, ΑΙΣΧΥΛΟΣ.

Κορωνὶς ἑτέρα, ἐν ᾗ στίχοι ἰαμβικοὶ ρλϛ.

Εὐ. Καὶ μὴν ἐπ' αὐτοὺς τοὺς προλόγους σου τρέψομαι,
Ὅπως τὸ πρῶτον τῆς τραγῳδίας μέρος,
Πρώτιστον αὐτοῦ βασανιῶ τοῦ δεξιοῦ.
Ἀσαφὴς γὰρ ἦν ἐν τῇ φράσει τῶν πραγμάτων.
Δι. Καὶ ποῖον αὐτοῦ βασανιεῖς; Εὐ. πολλοὺς πάνυ.
Πρῶτον δέ μοι τὸν ἐξ Ὀρεστείας λέγε.
Δι. Ἄγε δὴ σιώπα πᾶς ἀνήρ. λέγ' Αἰσχύλε.
Αἰ. Ἑρμῆ χθόνιε, πατρῷ' ἐποπτεύων κράτη,
Σωτὴρ γενοῦ μοι, σύμμαχός τ' αἰτουμένῳ.
Ἥκω γὰρ εἰς γῆν τήνδε, καὶ κατέρχομαι.
Δι. Τούτων ἔχεις ψέγειν τί; Εὐ. πλεῖν ἢ δώδεκα.
Δι. Ἀλλ' οὐδὲ πάντα ταῦτά γ' ἐστ', ἀλλ' ἢ τρία.
Εὐ. Ἔχει δ' ἕκαστον εἴκοσί γ' ἁμαρτίας.
Δι. Αἰσχύλε παραινῶ σοι, σιωπᾶν, εἰ δὲ μή,
Πρὸς τρισὶν ἰαμβείοισι προσοφείλων φανεῖ.
Αἰσχ. Ἐγὼ σιωπῶ τῷδέ γ'; Δι. ἂν πείθῃ γ' ἐμοί.
Εὐ. Εὐθὺς γὰρ ἡμάρτηκεν, οὐράνιόν γ' ὅσον;
Αἰσχ. Ὁρᾷς, ὅτι ληρεῖς; Δι. ἀλλ' ὀλίγον γέ μοι μέλει.
Αἰσχ. Πῶς φής μ' ἁμαρτεῖν; Εὐ. αὖθις ἐξ ἀρχῆς λέγε.
Αἰ. Ἑρμῆ χθόνιε πατρῷ' ἐποπτεύων κράτη.

B ACTVS V. SCENA prima.

EVRIPIDES, BACCHVS, ÆSCHYLVS.

EV. *Igitur ad prologos me iam conuerto tuos,*
C *Tanquam primam partem cuiusque Tragœdiæ,*
Examinabo hunc primum, quid habeat boni,
Nam obscurus est in verbis & rebus simul.
BA. *Quem tu prologum examinabis? EV. plurimos.*
Age recita mihi tu prologum Orestiæ.
BA. *Tacete nunc omnes: recita tu mi Æschyle.*
D ÆS. *Terrene Mercuri, imperia obseruans patris,*
Serua me, & adiutor petenti adsis mihi:
Nam venio & descendo modò in hanc terram redux.
BA. *Habésne, quod cauillère? EV. vltra duodecim.*
BA. *At hæc omnia non sunt duodecim, sed tria.*
E *EV. At vnumquodque viginti vitia habet.*
BA. *Æschyle, ego te moneo, vti taceas: sin minùs,*
Hos præter Iambos tres, reus eris plurium.
ÆS. Huic ne vt ego taceam? BA. *siquidem tu me audire vis.*
EV. Quippe initiò statim peccauit, proh Deum
Quantopere? ÆS. viden' quod nugeris? BA. *mihi cura est parum.*
F ÆS. *Quomodo peccare dicis? EV. repete ab initio.*
ÆS. *Terrene Mercuri, imperia inspectãs patris.*

Σχόλια. Καὶ μὴν ἐπ' αὐτούς.] κορωνὶς ἑτέρα εἰσιόντων τῶν ὑποκριτῶν. οἱ δὲ στίχοι ἰαμβικοὶ τρίμετροι ἀκατάληκτοι ρλϛ. ὧν τελευταῖος μελοποιὸν ὄντα καὶ ποιοῦντα ταῦτ' ἀεί. ἐπὶ τῷ τέλει κορωνίς. Τοῦ δεξιοῦ.] ἀντὶ τοῦ ἐπιδεξίου. ἐν εἰρωνείᾳ δὲ τοῦτό φησι. Ἐξ Ὀρεστείας.] τετραλογίαν φέρουσι τὴν Ὀρεστείαν αἱ διδασκαλίαι. Ἀγαμέμνονα, Χοηφόρους, Εὐμενίδας, Πρωτέα σατυρικόν. Ἀρίσταρχος καὶ Ἀπολλώνιος τριλογίαν λέγουσι χωρὶς τῶν σατυρικῶν. Πατρῷ' ἐποπτεύων.] τὸ πατρῷα κεκίνηκε τὴν ἀμφιβολίαν. οὗτος γὰρ τὴν μὲν παρὰ τοῦ πατρὸς Ὀρέστης φησίν, ἢ τὰ καθ' ἃ διέλαβεν πατρῷα κράτη τοῦ Ἑρμοῦ, καθ' ὃ καὶ χθόνιος ὁ Ἑρμῆς ὁ ἐκ πατρὸς εἴληχεν τὰς ἐν τῷ κόσμῳ βασιλείας ἐπιτηρεῖν. ἴδιον δὲ εἰπεῖν πατρόθεν, πατρῷα εἶναι πρὸς τὰ κράτη. δῆλον δὲ ἐκ τοῦ πατρῷον τοῦτο κέκτηται γέρας. Σωτὴρ γενοῦ μοι.] ἐπὶ τοῦ παρόντος ἀγῶνος ὃν ἀγωνίζομαι θέλων τιμωρῆσαι τῷ πατρί. G Ἀλλ' ἢ τρία.] ἔξωθεν προσληπτέον τὸ ἔπη ἢ ἰαμβεῖα. Προσοφείλων.] χρεώστης ὢν αὐτῷ καὶ ἑτέραν μέμψιν πρὸς τῇ προτέρᾳ τιμωρηθῆναι. Ὁρᾷς ὅτι ληρεῖς.] ὁ Αἰσχύλος πρὸς τὸν Διόνυσον, ὡς ἀπατωμένου ὑπὸ Εὐριπίδου. διὸ ἐπιφέρει Διόνυσος. ὀλίγον γέ μοι μέλει. Ἀλλ' ὀλίγον γέ μοι.] οὐ μέλει μοι ὑβριζομένῳ. ἀλλὰ καταφρονῶ σου. οὐ φροντίζω φησὶ κἂν λέγῃς ὅτι ἥμαρτον.

Ευρ. Οὔκουν Ὀρέστης ταῦτ' ἐπὶ τῷ τύμβῳ λέγει,
Τῷ τοῦ πατρὸς τεθνεῶτος; Αἰσχ. οὐκ ἄλλως λέγω.
Ευριπ. Πότερ' οὖν τὸν Ἑρμῆν, ὡς ὁ πατὴρ ἀπώλετο
Αὐτοῦ, βιαίως ἐκ γυναικείας χερὸς,
Δόλοις λαθραίοις, ταῦτ' ἐποπτεύειν ἔφη;
Αἰ. Οὐ δῆτ' ἐκεῖνον, ἀλλὰ τὸν Ἐριούνιον,
Ἑρμῆν χθόνιον προσεῖπε, κἀδήλου λέγων,
Ὁτιὴ πατρῷον τοῦτο κέκτηται γέρας.
Ευριπ. Ἔτι μεῖζον ἐξήμαρτες, ἢ 'γὼ βουλόμην.
Εἰ γὰρ πατρῷον τὸ χθόνιον ἔχει γέρας.
Δι. Οὕτω γ' ἂν εἴη πρὸς πατρὸς τυμβωρύχος.
Αἰ. Διόνυσε πίνεις οἶνον οὐκ ἀνθοσμίαν.
Δι. Λέγ' ἕτερον αὐτῷ. σὺ δ' ἐπιτήρει τὸ βλάβος.
Αἰ. Σωτὴρ γενοῦ μοι σύμμαχός τ' αἰτουμένῳ.
Ἥκω γὰρ ἐς γῆν τήνδε, καὶ κατέρχομαι.
Ευριπ. Δὶς ταὐτὸν ἡμῖν εἶπεν ὁ σοφὸς Αἰσχύλος.
Δι. Πῶς δίς; Ευριπ. σκόπει τὸ ῥῆμ', ἐγὼ δέ σοι φράσω.
Ἥκω γὰρ ἐς γῆν φησι, καὶ κατέρχομαι.
Ἥκειν δὲ ταὐτόν ἐστι τῷ κατέρχομαι.
Δι. Νὴ τὸν Δί', ὥσπερ γ' εἴ τις εἴποι γείτονι,
Χρῆσον σὺ μάκτραν, εἰ δὲ βούλει κάρδοπον.
Αἰ. Οὐ δῆτα τοῦτό γ' ὦ κατεστωμυλμένε
Ἄνθρωπε ταὔτ' ἔστ', ἀλλ' ἄριστ' ἐπῶν ἔχον.
Ευριπ. Πῶς δή; δίδαξον γάρ με καθ' ὅτι δὴ λέγεις.

A *EV. An non Orestes hæc dicit, tumulo insidens*
Patris demortui? ÆS. haud aliter. EV. vtrum ne ait
Mercurium ibi inspectare, quomodo pater
Violenta morte, clanculum & dolo malo
Occisus fuerit à Clytemnestræ manu?
ÆS. Nequaquam hunc Mercurium, sed illum Eriunium
B *Terrenum alloquitur: & hoc declarat inquiens,*
Quòd hoc paternum adeptus sit munus. EV. sed hoc
Multò plus iam peccasti, quàm volebam ego:
Siquidem paternum munus, terrenum obtinet.
BA. At sic tumulorum suffossor esset à patre.
ÆS. Dionyse florem vini veteris haud bibis.
BA. Dic aliud illi: tu verò obserua malum.
ÆS. Serua me, & adiutor petenti sis mihi,
C *Nam venio & descendo modò, in hanc terram redux.*
EV. Bis idem nobis sapiens hic dixit Æschylus.
BA. Quomodo bis? EV. obserua verbum: ego dicam tibi.
Nam venio, & descendo modò in hanc terram, ait: Idem
Venire est in terram, quod est descendere.
D *BA. Ita per Iouem: ac si quis vicino dixerit:*
Da mihi mactram, aut si lubet, arcam panariam.
ÆS. Minimè, tu blaterator nugacissime:
Nam hæc non sunt eadem, sed diuersa maximè.
EV. Quomodo? doce me, vt, quid dicas, intelligam.

Σχόλια. Οὐ δῆτ' ἐκεῖνον.] τὸ δὲ λοιπὸν δηλονότι. ἀλλὰ τὸν Ἐριούνιον. πρὸς τὴν ἐκδοχὴν τὴν Ἐριουνίου. ὅτι οὐκ ὀρθῶς. Ἀρίσταρχος δέ φησι τὴν λέξιν ἧττον τοῦ στίχου τὴν προτέραν, κατὰ τὸν ποιητὴν εἶναι ὃν ὁ Εὐριπίδης εἶπε. τὰ τοῦ ἐμοῦ πατρὸς κράτη ἐποπτεύων. ὃς κρατηθεὶς ὑπὸ τῶν περὶ Αἴγισθον ἀπώλετο.

Bisetus. Τὸν Ἐριούνιον] Εὐστάθιος. Ἐριούνιος Ἑρμῆς, ὁ λίαν ὠφελῶν. παρὰ τὸ ἐρι ἐπιτατικὸν. καὶ τὸ ὀνῶ, τὸ ὠφελῶ. ἢ ὁ χθόνιος παρὰ τὴν ἔραν, εἴτε γῆν. σημειωτέον δὲ ὅτι Ἐριούνης μὲν παρ' ἑτέροις, Ἐριούνιος δὲ παρ' Ὁμήρῳ λέγεται. χθόνιος δὲ Ἑρμῆς, ἤτοι καταχθόνιος, εἴτε κατὰ τὴν χθόνα στρεφόμενος, ὡς θεῶν ἄγγελος, ἵνα τὰς αὐτῶν ἐντολὰς τοῖς ἀνθρώποις ἀγγείλῃ, διὸ καὶ διάκτωρ, καὶ διάκτορος, καὶ κῆρυξ θεῶν καλεῖται. ἢ καὶ χθόνιος, ὁ καταχθόνιος, ἤγουν ὁ κατὰ τῆς χθονὸς, εἰς ᾅδου τὰς τῶν θανόντων ψυχὰς προπέμπων. διὸ καὶ ψυχοπομπὸς λέγεται. οὐ μόνον δὲ τὰς ψυχὰς εἰς ᾅδου κατάγειν, ἀλλὰ καὶ ἐκεῖθεν πρὸς τὸ φῶς αὖ ἄγειν νομίζεται. Ὅμηρος Οδ. Ω.

Ἑρμῆς δὲ ψυχὰς Κυλλήνιος ἐξεκαλεῖτο
Ἀνδρῶν μνηστήρων. ἔχε δὲ ῥάβδον μετὰ χερσὶν
Καλὴν, χρυσείην, τῇ τ' ἀνδρῶν ὄμματα θέλγει,
Ὧν ἐθέλει, τοὺς δ' αὖτε καὶ ὑπνώοντας ἐγείρει.
καὶ τὰ ἑξῆς.

Σχόλια. Τοῦτο κέκτηται.] τὸ εἶναι χθόνιον ὡς νῦν ὁ πατὴρ αὐτοῦ ὑπὸ γῆν ὢν καὶ καταχθόνιος. Οὕτω γ' ἂν εἴη πρὸς πατρὸς τυμβωρύχος.] ἀντὶ τυμβωρύχος πατρός. οὕτως ὁ

E χθόνιος λέγεται μὲν καὶ ὁ γήϊνος. λέγεται δὲ καὶ ὁ ὑπὸ γῆν. τὰ δ' ὑπὸ γῆν οἱ κλέπται ζητοῦσι. τοῦτο δὲ ὁ Διόνυσος λέγει, ὑποτεμνόμενος τὸν Εὐριπίδου λόγον, διὰ τὸ ὑπερασπίζειν, ὡς Ἀρίσταρχός φησιν. οὕτω γὰρ εἰκότως Αἰσχύλος ἐπήγαγε, Διόνυσε πίνεις οἶνον οὐκ ἀνθοσμίαν. Διόνυσε πίνεις οἶνον.] ἀντὶ κραιπαλᾷς ἱκανῶς καὶ ληρεῖς, σκληρὸν οἶνον πιών, ἀλλ' οὐχ ἡδὺν, οὐδὲ ἁπαλόν. ἀντὶ μεθύεις. ἵνα μὴ κατ' ἐρώτησιν λέγῃ, ἀλλ' ἐν ἀποφάσει. ἀνθοσμίας δὲ ὁ εὐώδης, ἐγκειμένου τοῦ ἄνθους καὶ τῆς ὀσμῆς. καὶ γέγονε παρ-
F άγωγον ἀνθόσμιος καὶ ἀνθοσμίας. ἢ οὕτως, ἃ οὐκ ἀποδέχῃ ἀκούεις, φλυαφεῖς φημὶ καὶ λόγους ἀπρεπεῖς. Σὺ δ' ἐπιτήρει τὸ βλάβος.] τὸ βλάψεις αὐτὸν ἐν τῇ κατηγορίᾳ ἢ τὸ ἁμάρτημα. Μάκτραν, εἰ δὲ βούλει κάρδοπον] εἴρηται ἐν τοῖς πρόσθεν, ὅτι τοῦτο ἀρχαιότερόν ἐστι τὸ τὰς μεταλήψεις τῶν λέξεων τῶν ἰσοδυναμουσῶν ἐπιτηδεύειν. Πλάτων ποιητής. ὁρᾶτε τὸ δίηρες ὑπερῷον. ὡς τὸ παρ' Ὁμήρῳ, Ἕκτορα δ' ἐκ βελέων ὕπαγε Ζεὺς ἔκ τε κονίης. Ἔκ τ' ἀνδροκτασίης ἔκ θ' αἵματος ἔκ τε κυδοιμοῦ. καὶ τὸ μηκέτι
G παῖδε φίλω πολεμίζετε μηδὲ μάχεσθον, πρὸς Ἕκτορα καὶ Αἴαντα μονομαχοῦντας ὑπὸ τοῦ Ἰδαίου κήρυκος εἰρημένον. καὶ τὸ, Μνηστῆρες δ' ἄρα τοῖς μακρὸν θάνατον τε μόρον τε ἤρτυον. καὶ τὸ, Βάσκ' ἴθι καλὲ Ὄνειρε. καὶ Βάσκ' ἴθι Ἶρι ταχεῖα.

Bisetus. Ταὔτ' ἔστ', ἀλλ' ἑτέρως.] ἐν τοῖς τῶν παλαιῶν ἀντιγράφοις γέγραπται, ταὔτ' ἔστ' ἀλλ' ἄριστ' ἐπῶν ἔχον. ἀλλὰ βέλτιον καὶ τοῦτο, καὶ τοῦ μέτρου χάριν οὕτω γράφειν, Ταὔτ' ἐστὶν, ἀλλ' ἑτέρως ἔχον.

Ἐλθεῖν

A Αἰσχ. Ἐλθεῖν μὲν εἰς γῆν ἔσθ' ὅτῳ μετῇ πάτρας.
Χωρὶς γὰρ ἄλλης συμφορᾶς ἐλήλυθε.
Φεύγων δ' ἀνὴρ, ἥκει τε καὶ κατέρχεται.
Δι. Εὖ νὴ τὸν Ἀπόλλω. τί σὺ λέγεις Εὐριπίδη;
Εὐ. Οὔ φημι τὸν Ὀρέστην κατελθεῖν οἴκαδε.
B Λάθρᾳ γὰρ ἦλθεν, οὐ πιθὼν τοὺς κυρίους.
Δι. Εὖ νὴ τὸν Ἑρμῆν. ὅτι λέγεις δ', οὐ μανθάνω.
Εὐ. Πέραινε τοίνυν ἕτερον. Δι. ἴθι πέραινε σὺ
Αἰσχύλ' ἀνύσας. σὺ δ' εἰς τὸ κακὸν ἀπόβλεπε.
Αἰσχ. Τύμβου δ' ἐπ' ὄχθῳ τῷδε κηρύσσω πατρὶ
C Κλύειν ἀκοῦσαι. Εὐ. τοῦθ' ἕτερον αὖθις λέγει,
Κλύειν ἀκοῦσαι, ταὐτὸν ὂν σαφέστατα.
Δι. Τεθνηκόσι γὰρ ἔλεγεν, ὦ μόχθηρε σύ.
Οἷς οὐδὲ τρὶς λέγοντες ἐξικνούμεθα.
Αἰσχ. Σὺ δὲ πῶς ἐποίεις τοὺς προλόγους; Εὐ. ἐγὼ φράσω,
Κἄν που δὶς εἴπω ταὐτὸν, ἢ στοιβὴν ἴδῃς
Ἐνοῦσαν, ἔξω τοῦ λόγου, καταπτύσον.
Δι. Ἴθι δὴ λέγ'. οὐ γάρ μοὐστὶν ἀλλ' ἀκουστέα,
D Τῶν σῶν προλόγων τῆς ὀρθότητος τῶν ἐπῶν.
Εὐ. Ἦν Οἰδίπους τὸ πρῶτον εὐτυχὴς ἀνήρ.
Αἰσχ. Μὰ τὸν Δί', οὐ δῆτ', ἀλλὰ κακοδαίμων φύσει,
Ὅν τινά γε πρὶν μὲν φῦναι Ἀπόλλων ἔφη,
Ἀποκτενεῖν τὸν πατέρα πρὶν καὶ γεγονέναι,
Πῶς οὗτος ἦν τὸ πρῶτον εὐτυχὴς ἀνήρ;
Εὐριπ. Εἶτ' ἐγένετ' αὖθις ἀθλιώτατος βροτῶν.
E Αἰσχ. Μὰ τὸν Δί' οὐ δῆτ', οὐ μὲν οὖν ἐπαύσατο.
Πῶς γάρ; ὅτε δὴ πρῶτον μὲν αὐτὸν γενόμενον
Χειμῶνος ὄντος ἐξέθεσαν ἐν ὀστράκῳ,
Ἵνα μὴ 'κτραφεὶς γένοιτο τοῦ πατρὸς φονεύς.

ÆS. Venire in terram est, cùm quis patriæ particeps
Redditur. Etenim absque clade domum reuertitur.
At exul in patriam venit postliminio.
BA. Benè per Phœbum quid ad hac dicis, tu Euripides?
EV. Non dico Orestem reuenire hoc loco domum.
Quoniam clanculum, & inconsultis dominis redit.
BA. Bellè. sed ego, quid dicas non intelligo.
EV. Transi nunc ad aliud. BA. age transi tu Æschyle,
Et propera: tu verò obserua, vbi vitium siet.
ÆS. Sepulcri in ora isthac renuncio patri,
Vt audiat & auscultet. EV. hoc nunc alterum:
Audire enim & auscultare prorsus sunt idem.
BA. Quia mortuis loquebatur, fatue, quibus
Si ter dicamus, vix exaudimur tamen.
ÆS. Quomodo verò tu faciebas prologos? EV. ego
Dicam. sicubi bis idem dixero, & si videris
Tantillum inesse extra propositum, despue.
BA. Dic tu. nam meum hoc non est: sed carminum
Tuorum, in prologis, audiendus mihi nitor.
EV. Erat Oedipus vir primò felicissimus.
ÆS. Non per Iouem, sed omnium miserrimus;
De quo prædixerat Apollinis oraculum:
Priusquàm natus fuit, occisurum patrem.
Quomodo igitur hic initio vir felix fuit?
EV. Postea hominum repentè fuit miserrimus.
ÆS. Non per Iouem: nam haud vnquam miser esse desiit.
Quomodo enim? cùm primùm recens ipsum editum
In testa exposuerint, instanti frigore,
Ne enutritus, fieret interfector patris.

Σχόλια. Ἐλθεῖν μὲν εἰς γῆν.] ἐλθεῖν μὲν εἰς τὴν πόλιν, ὅταν μετῇ τινὶ τῆς πατρίδος. ὅταν δὲ φυγὰς ἔλθῃ, τότε καὶ κατέρχεται. ἰδίως δὲ ἐπὶ τῶν φυγάδων χρῶνται τῷ κατέρχεται. Οὐ πιθών.] διὰ τοῦ ι ψιλοῦ γραπτέον καὶ ὀξυτονητέον τὸ πιθών. ἵνα ᾖ δευτέρου ἀορίστου καὶ μέλλοντος. τοῦτο δέ ἐστιν ὅτι οἱ τὰς διώξεις ποιοῦντες, οἱ αὐτοὶ τοὺς ἀποικήσαντας ἐπανάγουσι. Σὺ δ' εἰς τὸ κακόν.] ἀντὶ τοῦ παρατήρει τὸ κακῶς λεγόμενον. τὸ δὲ τύμβου δ' ἐπ' ὄχθῳ, τὸ ἐπὶ τῆς ἀρχῆς τοῦ λόγου. Ἐξικνούμεθα.] ἀκουόμεθα, εἰσακουσθῆναι δυνάμεθα. Κἄν που δὶς εἴπω ταὐτόν.] κἄν τι ἐλάχιστον ῥῆμα ἢ περιττὸν εὕρῃς καὶ παρέλκον ἐν τῷ λόγῳ ἀπὸ τῆς στοιβῆς τῆς φορτικῆς. Ἦν Οἰδίπους.] ἐξ Ἀντιγόνης Εὐριπίδου. ἐστὶ δὲ ἀρχὴ τοῦ δράματος. Ἀποκτενεῖν τὸν πατέρα.] παρὰ τῷ Εὐριπίδῃ ἐν Φοινίσσαις εἴρηται περὶ Οἰδίποδος καὶ Λαΐου.

Μὴ σπεῖρε τέκνων ἄλοκα δαιμόνων βίᾳ.
Εἰ γὰρ τεκνώσεις παῖδ', ἀποκτενεῖ σ' ὁ φύς.

καὶ ὁ χρησμὸς δὲ οὕτως ἔχει,

Λάϊε Λαβδακίδη παίδων γένος ὄλβιον αἰτεῖς,
F Δώσω τοι φίλον υἱὸν, ἀτὰρ πεπρωμένον ἐστὶ
Σοῦ παιδὸς χείρεσσι λιπεῖν φάος. ὡς γὰρ ἔνευσε
Ζεὺς Κρονίδης Πέλοπος στυγεραῖς ἀραῖσι πιθήσας,
Οὗ φίλον ἥρπασας υἱόν. ὁ δ' ηὔξατό σοι τάδε πάντα.

Πρὶν καὶ γεγονέναι.] ἢ τὸ φῦναι καὶ γεγονέναι ἐκ παραλλήλου ἐστὶν, ἢ σύναπτε τὸ φῦναι πρὸς τὸ ἔφη. τὸ δὲ γεγονέναι πρὸς τὸ ἀποκτενεῖν. εἰ δέ τις εἴποι ὡς μὴ τὸ γεννηθῆναι καὶ εἰς ἀδρὰν ἡλικίαν ἐλθεῖν τὸν ἀπέκτεινεν, ἐροῦμεν ὅτι ἐξ οὗ ἐσπάρη μὴ τῆς ἀνῃρημένον ἦν ὁ Λάϊος. Τὸ δὲ ἐπαύσατο. ἀντὶ τοῦ ἀεὶ δυστυχοῦντος, ἀλλ' ἀντὶ τοῦ
G πρόσθεν μὲν εὐδαιμονοῦντος, ὕστερον δὲ προσκεκρουκότος τῇ τύχῃ. Χειμῶνος ὄντος.] τοῦτο ἔχει διασκευὴν παρ' αὐτῷ, τὸ χειμῶνος ὄντος. τὸ δὲ ἐν ὀστράκῳ, ἐπειδὴ ἐν χύτραις ἐξετίθεσαν τὰ παιδία, διὸ καὶ χυτρίζειν ἔλεγον. ἔφρασε δὲ ἀπὸ τῆς ἱερῶν τοῦ σημαίνοντος τὸ μὴ φθορᾶς ἐλθεῖν.

BISETVS. Χειμῶνος] Εὐριπίδης ἐν τῷ τῆς φοι-

Εἶθ' ὡς Πόλυβον ἠρρήσεν οἰδῶν τὼ πόδε.
Ἔπειτα γραῦν ἔγημεν, αὐτὸς ὢν νέος,
Καὶ πρός γε τούτοις, τὴν ἑαυτοῦ μητέρα.
Εἶτ' ἐξετύφλωσεν αὑτόν. Δι. εὐδαίμων ἄρ' ἦν,
Εἰ κἀστρατήγησέ γε μετ' Ἐρασινίδου.
Εὐριπ. Ληρεῖς. ἐγὼ δὲ τοὺς προλόγους καλῶς ποιῶ.
Αἰσχ. Καὶ μὴν μὰ τὸν Δί', οὐ κατ' ἔπος γέ σου κνίσω
Τὸ ῥῆμ' ἕκαστον, ἀλλὰ σὺν τοῖσιν θεοῖς,
Ἀπὸ ληκυθίου σου τοὺς προλόγους διαφθερῶ.
Εὐρ. Ἀπὸ ληκυθίου σὺ τοὺς ἐμούς; Αἰσχ. ἑνὸς μόνου.
Ποιεῖς γὰρ οὕτως, ὥστ' ἐναρμόττειν ἅπαν,
Καὶ κῳδάριον, καὶ ληκύθιον, καὶ θυλάκιον,
Ἐν τοῖς ἰαμβείοισι. δείξω δ' αὐτίκα.
Εὐριπ. Ἰδού σὺ δείξεις; Αἰσχ. φημί. Δι. καὶ δὴ χρὴ λέγειν.
Εὐρ. Αἴγυπτος, ὡς ὁ πλεῖστος ἔσπαρται λόγος,
Ξὺν παισὶ πεντήκοντα, ναυτίλῳ πλάτῃ
Ἄργος κατασχών. Αἰσχ. ληκύθιον ἀπώλεσεν.
Δι. Τουτὶ τί ἦν τὸ ληκύθιον; οὐ κλαύσεται;
Λέγ' ἕτερον αὐτῷ πρόλογον, ἵνα καὶ γνῶ πάλιν.
Εὐ. Διόνυσος, ὃς θύρσοισι καὶ νεβρῶν δοραῖς
Καθαπτὸς ἐν πεύκαισι Παρνασσὸν κάτα
Πηδᾷ χορεύων. Αἰ. ληκύθιον ἀπώλεσεν.
Δι. Οἴμοι πεπλήγμεθ' αὖθις ὑπὸ τῆς ληκύθου.
Εὐριπ. Ἀλλ' οὐδὲν ἔσται πρᾶγμα. πρὸς γὰρ τουτονὶ
Τὸν πρόλογον οὐχ ἕξει προσάψαι λήκυθον.
Οὐκ ἔστιν, ὅστις πάντ' ἀνὴρ εὐδαιμονεῖ.
Ἢ γὰρ πεφυκὼς ἐσθλὸς, οὐκ ἔχει βίον,
Ἢ δυσγενὴς ὤν. Αἰ. ληκύθιον ἀπώλεσεν.
Δι. Εὐριπίδη. Εὐριπ. τί ἐστιν; Δι. ὑφέσθαι μοι δοκεῖς.
Τὸ ληκύθιον γὰρ τοῦτό γε πνευσεῖται πολύ.

A *Pòst ad Polybum proserpsit, utrumque pedem tumens:*
Praeterea anum duxit, iuuenis ipse admodum,
Et genitricem quidem suam: se denique
Ipsum excaecauit. BA. *at beatus ille erat:*
Si militasset cum infelici Erasinide.
EV. *Nugaris: equidem prologos ego rectè paro.*
ÆS. *Non sanè: neque ego vellicabo hic singula*
B *Verbotenus, sed propitijs Deis, tuos*
Prologos vna subuertam forma carminis:
Quam à parua ampulla Lecythion appellitant.
EV. *Túne meos prologos Lecytheo?* ÆS. *& solo quidem.*
Nam ita prologos facis, ut cuiuis voci applicem
Pelliculam, vel culeolum, vel Lecythion
In Iambicis: atque hoc nunc ostendam illicò.
C EV. *Túne hoc ostendes?* ÆS. *ita loquor.* BA. *dicere opus est.*
EV. *Ægyptus, ut fama huius rei percrebuit,*
Cum liberis quinquaginta, rate nautica
Argos prehendens. ÆS. *Lecythulum deperdidit.*
BA. *Quod hoc erat Lecythium? non poenas dabit?*
Dic alium ei prologum, ut cognoscam denuò.
D EV. *Dionysus, hasta & hinnulorum pellibus*
Qui cinctus, in piceis, iugum Parnasseum
Saltu pererrat. ÆS. *Lecythulum deperdidit.*
BA. *Hei mihi, iterum percussi sumus à Lecytho.*
EV. *Nihil interest, nam ad hunc, quem recitabo prologum*
Non poterit rursus applicare Lecythum,
Nemo est ab omni parte felix: si bonus
Et nobilis sit, non habet victum tamen:
E *Ignobilis sit.* ÆS. *Lecythulum deperdidit.*
BA. *Euripides.* EV. *quid est?* BA. *videris cedere.*
Nam hic Lecythulus magnos emittet spiritus.

Σχόλια. Μετ' Ἐρασινίδου.] εἰς τῶν περὶ Ἀργινούσας στρατηγησάντων δυστυχής. ἀπέθανε δὲ δημοσίᾳ, οὗτός τε καὶ οἱ ὑπομείναντες, Θράσυλλος, Περικλῆς, Ἀριστοκράτης, Διομέδων, ὥς φησι Φιλόχορος. Δημήτριος δέ φησι, πλεονεκτικώτερόν τι γενέσθαι τῷ Ἐρασινίδῃ, τὸ καὶ κλοπῆς κατηγορηθῆναι τῶν περὶ Ἑλλήσποντον χρημάτων. F

BISETVS. Ἀπὸ ληκυθίου σου.] ἡ λήκυθος πρωτότυπον τοῦ ληκύθιον, ὅπερ ὑποκοριστικὸν, καὶ παράγωγον. λήκυθος δὲ, καὶ ληκύθιον ἐστὶν ὅτε ταὐτὸ κατὰ τὴν σημασίαν. δηλοῖ δὲ κυρίως τὸν λύχνον, καὶ ἐλαιοδόχον ἀγγεῖον, παρὰ τὸ ἔλαιον κεύθειν. μεταφορικῶς δὲ λήκυθον καλοῦσι τὰς συγγραφὰς, καὶ ἀκριβολογίας, ἃς τῷ ληκύθῳ χρώμενοι νυκτὸς ποιούμεθα. καὶ ἐνίοτε τὴν μεγαλορρημοσύνην καὶ ἐπῶν ψόφον. ὅθεν τὸ ληκυθίζειν, τὸ G ἀκριβῶς τι γράφειν, ἢ μεγαλορρημονεῖν, καὶ ψοφώδη λαλεῖν. ἐνταῦθα τοίνυν ὁ Αἰσχύλος τῷ Εὐριπίδῃ ἀπειλεῖ τοὺς ἐκείνου προλόγους τοὺς ἄγαν ὀγκώδεις ὑφ' αὑτοῦ ῥᾳδίως διαφθαρεῖσθαι. Ἄλλως. ἐκ τῶν τοῦ ποιητοῦ ῥημάτων ἀτόπως εἰκάσαντας τοὺς Αἰσχύλου πρὸς Εὐριπίδην λόγους οὕτω νοητέον, δύναται, ὡς εἰ λέγοι, ἐγώ σε τοῖς ἰδίοις σου ὅπλοις, ἤγουν τῇ τῶν ταπεινῶν, καὶ σχεδίων προλόγων λεπτολογίαις, καὶ φλυαρίαις διαφθερῶ.

Σχ. Ποιεῖς γὰρ οὕτως.] οὕτως γὰρ τοὺς λόγους ποιεῖς, ὡς πάντα προσδέχεσθαι. ὅτι μικροπρεπὲς τὸ κῳδάριον. οὐχ οὕτω δὲ θύλακον. ἀλλ' ἐάν τις ποιήσῃ θυλάκιον, ἐγχωρεῖ. Αἴγυπτος ὡς ὁ πλεῖστος ἔσπαρται λόγος. Ἀρχελάου αὕτη ἐστὶν ἡ ἀρχή, ὥς τινες ψευδῶς. οὐ γὰρ φέρεται νῦν Εὐριπίδου λόγος οὐδεὶς τοιοῦτος, οὐ γάρ ἐστι φησὶν Ἀρίσταρχος τοῦ Ἀρχελάου, εἰ μὴ αὐτὸς μετέθηκεν ὕστερον, ὁ δὲ Ἀριστοφάνης τὸ ἐξ ἀρχῆς κείμενον εἶπε. Διόνυσος ὅς.] ὑψιπύλης ἡ ἀρχή. καθαπτὸς δὲ ἀντὶ τοῦ πυρφόρος. φωτεινὸς διὰ τὰς δᾷδας. ἄλλως. καθαπτός. Τιμαχίδας. περιπρακτός, καθεζυσμένος. τὸ δὲ, ἑτέρως λεγόμενον. δηλοῖ τὸ δὲ καθάπτεσθαι. Πηδᾷ χορεύων.] προσήρτησε τὸ ληκύθιον ἀπώλεσεν. τὸ δὲ λοιπὸν τῶν ἰάμβων, παρθένοις σὺν Δελφίσιν. Ἢ δυσγενὴς ὤν.] τὸ λοιπὸν τῶν ἰάμβων, πλουσίαν ἀροῖ πλάκα. ἐκ Σθενεβοίας δὲ ἡ ἀρχή. διαβάλλει δὲ τὴν ὁμοειδίαν τῶν εἰσβολῶν τῶν δραμάτων. Ὑφέσθαι δοκεῖς.] ὑποχωρῆσαι, εἶξαι. ὑποχαλάσαι. ἐνδοῦναι.

Εὐ. Οὐδ'

Ευρ. Οὐδ᾽ αὖ μὰ τὴν Δήμητρα, φροντίσαιμί γε,
Νυνὶ γὰρ αὐτοῦ τουτογὶ ἐκκεκόψεται.
Αἰ. Ἴθι δὴ λέγ᾽ ἕτερον, κἀπέχου τῆς ληκύθου.
Ευρ. Σιδώνιόν ποτ᾽ ἄστυ Κάδμος ἐκλιπὼν
Ἀγήνορος παῖς. Αἰ. Ληκύθιον ἀπώλεσεν.
Δι. Ὦ δαιμόνι᾽ ἀνδρῶν, ἀποπρίω τὴν λήκυθον,
Ἵνα μὴ διακναίσῃ τοὺς προλόγους ἡμῶν. Ευρ. τὸ τί;
Ἐγὼ πρίωμαι τῷδ᾽; Δι. ἐὰν πείθῃ γ᾽ ἐμοί,
Ευ. Οὐ δῆτ᾽, ἐπεὶ πολλοὺς προλόγους ἕξω λέγειν,
Ἵν᾽ οὗτος οὐχ ἕξει προσάψαι λήκυθον.
Πέλοψ ὁ Ταντάλειος εἰς Πῖσαν μολὼν
Θοαῖσιν ἵπποις. Αἰ. Ληκύθιον ἀπώλεσεν.
Δι. Ὁρᾷς, προσῆψεν αὖθις αὖ τὴν λήκυθον,
Ἀλλ᾽ ὦ ᾽γάθ᾽ ἔτι καὶ νῦν ἀπόδος πάσῃ τέχνῃ.
Λήψει γὰρ ὀβολοῦ, πάνυ καλήν γε κἀγαθήν.
Ευρ. Μὰ τὸν Δί᾽ οὔπω γ᾽. ἔτι γὰρ εἰσί μοι συχνοί.
Οἰνεύς ποτ᾽ ἐκ γῆς. Αἰσχ. Ληκύθιον ἀπώλεσεν.
Εὐ. Ἔασον εἰπεῖν πρῶθ᾽ ὅλον με τὸν στίχον.
Οἰνεύς ποτ᾽ ἐκ γῆς πολύμετρον λαβὼν στάχυν.

A Ευ. Non curo quicquam, ita me maxima Ceres amet.
Nam nunc adeò excutietur hic illi è manu.
Æs. Age tu dic alium, & bene caueas à Lecytho.
EV. Sidonio quondam rex Cadmus egressus solo,
Agenore satus. Æs. Lecythulum deperdidit.
B BA. Hominum miserrime, quæso eme isti in Lecythum:
Ne prologos nobis defricet. EV. quid: egóne emam
Hanc Lecythum? BA. si me audias. EV. minimè omnium.
Nam multò plures potero recitare prologos,
Vbi ille suam nequit applicare Lecythum.
Pisam profectus Tantali natus Pelops,
C Veloce curru. Æs. Lecythulum deperdidit.
BA. Vides? iterum ille accommodauit Lecythum.
Age mi vir Æschyle, vende hanc omni modo:
Nam͡q; vno obolo emes aliam tibi pulcram & probam.
EV. Non per Iouem: quia adhuc mihi sunt quàm plurimi:
D Oeneus ab agro. Æs. Lecythulum deperdidit.
EV. Sine me priùs versiculum totum absoluere.
Oeneus ab agro colligens spicam vberem,

Σχόλια. Κἀπέχου.] τουτέστι σκόπει μὴ τοιοῦτόν τι εἴπῃς, ὡς προσαφθῆναι τούτῳ δύνασθαι λήκυθον. Σιδώνιόν ποτ᾽ ἄστυ.] Σιδὼν πόλις ἐστὶ Φοινίκης. ἔστι δὲ τοῦ β Φρίξου Εὐριπίδου ἡ ἀρχή. τὸ λοιπὸν δὲ τοῦ στίχου. ἵκετ᾽ ἐς Θήβας πέδον. οὐ χεῖρον δὲ ἂν εἴη καὶ τὸν Κάδμῳ δοθέντα χρησμὸν ὥσπερ τι ἐπεισόδιον εἰσενεγκεῖν οὕτως ἔχοντα.

Φράζεο δή μοι μῦθον Ἀγήνορος ἔκγονε Κάδμε.
Ἠοῦς ἐγρόμενος προλιπὼν ἴθι Πυθὼ δίαν.
Ἠθάδ᾽ ἔχων ἐσθῆτα καὶ αἰγανέην μετὰ χερσί.
Τὴν διά τε Φλεγύων καὶ Φωκίδος, εὖτ᾽ ἂν ἵκηαι.
Βουκόλον ἠδὲ βόας κε κιχήσεαι πελάγ[ι]ος.
Ἔνθα δὲ προσπελάσας ξυλλάμβανε βοῶν ἐρίμυκον.
Ἤτεν δὴ νόστοισι μετ᾽ ἀμφοτέροισιν ἴχνεσι.
Λευκὸν σῆμ᾽ ἑκάτερθε περίπλοκον ἠύτε μήνης.
Τήνδε σὺ ἡγεμόνα σχεῖν ἀτριπτοῖο κελεύθου.
Σῆμα δέ τοι ἐρέω μάλ᾽ ἀριφραδές, οὐδέ σε λήσει.
Ἔνθα κέ τοι πρώτιστα βοὸς κέρας ἀγραύλοιο.
Ἥξῃ τὶ κλίνῃ τε πέδῳ γόνυ ποιήεντι,
Καὶ τότε τὴν μὲν ἔπειτα μελαμφύλλῳ χθονὶ ῥέζειν
Ἁγνῶς καὶ καθαρῶς. γαίῃ δ᾽ ὅταν ἱερὰ ῥέξῃς,
Ὄχθῳ ἐπ᾽ ἀκροτάτῳ κτίζειν πόλιν εὐρυάγυιαν,
Δεινὸν ἐνυαλίου πέμψας φύλακ᾽ ἄϊδος εἴσω.
Καί σύ γ᾽ ἐπ᾽ ἀνθρώπους ὄνομα κλυτὸς ἔσσεαι αὖθις,
Ἀθανάτων λεχέων ἀντήσας ὄλβιε Κάδμε.

Ἀποπρίω τὴν λήκυθον.] ἤτοι πρὸς Εὐριπίδην ὁ λόγος. ὅτι ἀγόρασον παρ᾽ Αἰσχύλου τὴν λήκυθον. ἢ πρὸς Αἰσχύλον, ὥστε πωλῆσαι. ὡσεὶ ἔλεγεν ὤνησαι αὐτὴν καὶ ἀπόδος ἀντὶ τῆς ἀπολωλυίας. τὸ δὲ πρίω ἐν ἴσῳ τῷ ὤνησαι. ἀλλ᾽ ἐν τοῖς ἑξῆς φησιν Εὐριπίδης, ἐγὼ πρίωμαι τῷδε, ὥστε μεταία ἡ παρατήρησις τοῦ Συμμάχου. Ἐγὼ πρίωμαι τῷδε.] ἀντὶ τοῦ ἀγοράσω τὴν λήκυθον καὶ ἀποδώσω τὴν ἀπολωλυῖαν. δῆλον γέγονεν ὅτι τὸ ἀποπρίω, ἀντὶ τοῦ ἐξώνησαι. λέγει δὲ τοῦτο ἐπεὶ συνεχῶς ἐκεῖνος, ληκύθιον ἀπώλεσεν. τὸ δὲ πρίωμαι, ἴσον τῷ ὠνήσωμαι. Θοαῖσιν ἵπποις.] τὸ δὲ λοιπὸν τοῦ ἰάμβου, Οἰνομάου γαμεῖ κόρην. Ἰφιγενείας δὲ τῆς ἐν Ταύροις ἡ ἀρχὴ αὕτη. Ἀπόδος πάσῃ τέχνῃ.] ληκύθιον αὐτῷ ἀπόδος ἀντὶ τοῦ ἀπολομένου. ἐπιλέγει δὲ λήψει ὀβολοῦ πάνυ καλήν. διὰ τούτων δὲ ὁ Διόνυσος ἐμφαίνει, ὡς ἐπεὶ ἐν τοῖς προλόγοις τοῖς τοῖς ἀποδέδοται ἡ λήκυθος, ὥσπερ δοκεῖς αὐτὴν ὀφείλειν Αἰσχύλῳ. οὐκοῦν ἀγοράσας ταύτην ἀπόδος αὐτῷ. Οἰνεύς ποτ᾽ ἐκ γῆς.] ἔστι μὲν ἐκ Μελεάγρου μετὰ ἱκανὰ τῆς ἀρχῆς. ἡ δὲ ἀρχὴ τοῦ δράματος. Καλυδὼν μὲν ἥδε γαῖα Πελοπίας χθονός. τὸ δὲ λοιπὸν τοῦ στίχου. οὐκ ἔθυσεν Ἀρτέμιδι. Οἰνεὺς δὲ τῆς αὐτοῦ γῆς εὐφορίας ἀπαρχὰς πᾶσι θεοῖς θύσας, Ἀρτέμιδι οὐκ ἔθυσεν. ὅθεν ὀργισθεῖσα σῦν μέγαν κατὰ τῆς χώρας αὐτοῦ ἀφῆκεν, ἵνα ταύτην λυμαίνηται. ἐπὶ τοῦτον τὸν κάπρον τοὺς ἀρίστους ἐκ τῆς Ἑλλάδος πάντας συνεκάλεσεν, καὶ τῷ κρατήσαντι τὸ θῆρα τὴν δορὰν δώσειν ἀριστεῖον ὑπέσχετο. συνελθοῦσι δὲ μετὰ τῶν ἀρίστων καὶ Αταλάντης τῆς Σχοινέως, κοινῇ τὸν κάπρον περιέστησαν ἅπαντες. ἐπεὶ δὲ τὸ δέρας τῇ Αταλάντῃ πρώτῃ τὸν κάπρον τοξευσάσῃ ὁ Μελέαγρος χαριζόμενος ἔδωκε, καὶ οἱ πρὸς μητρὸς αὐτοῦ θεῖοι, ἀγανακτοῦντες εἰ τὰ ἀριστεῖα γυνὴ λήψεται, τὸ δέρας μὲν Αταλάντης ἀφείλοντο, ὑπὸ δὲ Μελεάγρου ἐφονεύθησαν. ὀλίγον ὕστερον καὶ αὐτοῦ τῆς μητρὸς ἐπὶ τῇ ἀναιρέσει τῶν ἀδελφῶν λυπηθείσης καὶ ἀναψάσης τὸν μοιραῖον δαλόν, ἀποθανόντος.

Θύων ἀπαρχάς. Αἰ. Ληκύθιον ἀπώλεσεν;
Δι. Μεταξὺ θύων, καὶ τίς αὔθ' ὑφείλετο;
Εὐρι. Ἔα αὐτὸν ὦ τᾶν, πρὸς τοδὶ γὰρ εἰπάτω,
Ζεὺς ὡς λέλεκται τῆς ἀληθείας ὕπο.
Δι. Ἀπολεῖ σ'· ἐρεῖ γὰρ Ληκύθιον ἀπώλεσεν.
Τὸ ληκύθιον γὰρ τοῦτ' ἐπὶ τοῖς προλόγοισί
σου,
Ὥσπερ τὰ σῦκ' ἐπὶ τοῖσιν ὀφθαλμοῖς ἔφυ.
Ἀλλ' ἐς τὰ μέλη πρὸς τῶν θεῶν αὐτοῦ τρά-
που.
Εὐρι. Καὶ μὴν ἔχω γ', ὡς αὐτὸν ἀποδείξω κα-
κὸν
Μελοποιὸν ὄντα, καὶ ποιοῦντα ταῦτ' ἀεί.

A *Deos sacrans. Æs. Lecythulum deperdidit.*
BA. Inter sacrandum? & quisnam suffuratus
est?
EV. Mitte ipsum, mi vir: atque ad hoc dicat, si-
ne.
Iuppiter, vt aiunt, veritatis gratia.
BA. Perdis te: dicet enim Lecythulum perdidit.
Nam Lecythulus perinde inest prologis tuis,
Sicut oculis fici imminent. verùm age
B *Confer te, obsecro, ad carmina eius & choros.*
EV. Equidem habeo, quo demonstrem, ipsum
perperam
Fecisse choros, atque subinde eadem repetere.

Σχόλια. Πρὸς τοδὶ γὰρ εἰπάτω.] εἰς ὃ μέλλω λέγειν. εἰπάτω τὸ Ληκύθιον. ἀκόλουθον τοῦ μὲν εἶπε προστακτικοῦ, τὸ τρίτον εἰπέτω, ὡς λεγέτω. τοῦ δὲ εἶπον, εἰπάτω, ὡς γράψον γραψάτω. Ζεὺς ὡς λέλεκται.] Μεγαλαυχίας τῆς σοφίας ἡ ἀρχή. Ἐρεῖ γὰρ Ληκύθιον ἀπώλεσεν.] πεποίηκε τὸν Διόνυσον, ὥσπερ ὑφαρπάζοντα τὸν λόγον. Ὥσπερ τὰ σῦκα.] σῦκα λέγει, τὰ σαρκώματα, ἢ ἕλκος γινόμενον ἐπὶ τοῖς ὀφθαλμοῖς, σῦκον καλούμενον. ἄλλως. C τὰ ὑπὸ τῶν ἰατρῶν συκώματα λεγόμενα, σῦκα ἔφη. σῦκον εἶδος παθήματος ἀεὶ ἐν τοῖς ὀφθαλμοῖς, καὶ ἐν ἄλλῳ τινὶ μέρει τοῦ σώματος φυόμενον. ὃ φασὶν ἰδιωτικῶς συκάμινον. Τράπου] τοῦτο ἢ πρὸς τὸν Αἰσχύλον δι' Εὐριπίδην, ἢ πρὸς Εὐριπίδην δι' Αἰσχύλον, εἰ καὶ Εὐριπίδης τὸν λόγον προήρπασε. τὸ δὲ ταῦτ' ἀεί, ἀντὶ τὸ ταῦτα. διὰ δὲ τὴν συναλοιφὴν ἀναβιβάζεται ὁ τόνος. οὐ δεῖ δὲ περισπᾶν ὡς ἐν τῷ Πλούτῳ εἴρηται.

ΣΤΡΟΦΗ κώλων ί.

D

Χο. Τί ποτε πρᾶγμα γενήσεται;
Φροντίζειν γὰρ ἔγωγ' ἔχω,
Τίν' ἄρα μέμψιν γ' ἐποίσει
Ἀνδρὶ τῷ πολὺ πλεῖστα δὴ,
Καὶ κάλλιστα μέλη ποιή-
σαντι τῶν ἔτι νυνὶ ὄντων.
Θαυμάζω γὰρ ἔγωγ', ὅπῃ
Μέμψαιτό ποτε τοῦτον
Τὸν βακχεῖον ἄνακτα;
Καὶ δέδοιχ' ὑπὲρ αὐτοῦ.

CH. *Agite, quid rei hoc erit?*
Nam nunc mecum ego cogito:
Quid in eo vate possit
Iure carpere, qui optima
Fecit carmina præ omnibus,
Quotquot hoc superant aeuo.
Miror, qua ratione eum
E *Criminarier ausit,*
Bacchaum mihi regem.
Non nihil metuo illi.

Σχόλια. Τί ποτε πρᾶγμα.] κορωνὶς καὶ εἴσθεσις χοροῦ ἰαμβικὴ διὰ τὸ κεῖσθαι μετὰ τὴν κορωνίδα. ἐνίοτε δὲ καὶ μετὰ τὴν διπλῆν ὡς πολλάκις εἴρηται. ἐκ κώλων δὲ καὶ μετὰ τὴν διπλῆν ὡς πολλάκις ἐπιμεμιγμένων ἐπιτρίτοις καὶ διιάμβοις καὶ ἰωνικῶν ἐπιμεμιγμένων ἐπιτρίτοις καὶ διιάμβοις καὶ διτροχαίοις δέκα. ὧν τὸ πρῶτον, δίμετρον ἀκατάληκτον ἐκ πενταυλλάβου ἀντισπάστου ὃ καλεῖται γλυκώνειον. τὸ δεύτερον ἐκ παίωνος τετάρτου καὶ διιάμβου ὅμοιον. τὸ τρίτον τοῦ πρώτου ποδὸς πεντασυλλάβου καταληκτικόν. τὸ τέταρτον ἐκ διτροχαίου καὶ ἐπιτρίτου τρίτου ἀκατάληκτον. τὸ ἕ ὅμοιον τῷ δευτέρῳ. τὸ ἕκτον ἐκ διτροχαίου καὶ ἐπιτρίτου πρώτου. τὸ ἕβδομον ὅμοιον τῷ δευτέρῳ. τὸ η

καταληκτικὸν ἐκ διτροχαίου καὶ βακχείου ἢ ἀμφιβράχεος. τὸ θ ὅμοιον τῷ δευτέρῳ. τὸ ί ὅμοιον τῷ ὀγδόῳ. ἑξῆς δὲ ἐν ἐκθέσει στίχοι ἰαμβικοὶ τρίμετροι ἀκατάληκτοι γ. ἑξῆς δὲ τίθεται κῶλον ἰαμβικὸν ἑφθημιμερές. τὸ διαύλιον προσαυλεῖ, ὅπερ κατὰ παρεπιγραφὴν τίθεται, ὥσπερ καὶ τὸ αὐλεῖ F τις ἔνδον, καὶ ἄλλα πολλά. φασὶ δὲ διαύλιον λέγεσθαι ὅταν ἡσυχίας πάντων γινομένης ἔνδον ὁ αὐλητὴς ᾄσῃ. ἐπὶ τῷ τέλει τῆς μὲν στροφῆς, κορωνίς. τοῦ δὲ συστήματος παράγραφος. Τὸν βακχεῖον ἄνακτα.] τὸν Αἰσχύλον δηλονότι τὸν ἄριστον μελοποιόν. τὸν ὥσπερ ἐκβακχεύοντα ἐν τῇ ποιήσει. ὁ γὰρ Εὐριπίδης ἔρχεται ἐπὶ τὰ μέλη αὐτοῦ.

G

ΔΡΑΜΑΤΟΣ ΤΟΥ ΠΕΜΠΤΟΥ,
Σκηνὴ δευτέρα.

ΕΥΡΙΠΙΔΗΣ, ΔΙΟΝΥΣΟΣ, ΑΙΣΧΥΛΟΣ.
Ανάκρισις τῶν χορῶν.

ACTVS V. SCENA secunda.

EVRIPIDES, BACCHVS, ÆSCHYLVS.

Examen Chororum.

Σύστη

Εὐ. Πάντως γε μέλη θαυμαστὰ δείξει δὴ τάχα.
Εἰς ἓν γὰρ αὐτοῦ πάντα τὰ μέλη ξυντεμῶ.

Δι. Καὶ μὴν λογιοῦμαι ταῦτα, τὴν ψῆφον λαβών.

Εν. Miranda certè carmina monstrabit tibi:
Nam ego in vnum contraham omnia eius carmina.
BA. At ego rationem inibo sumptis calculis.

Σχόλ. Εἰς ἓν γὰρ αὐτοῦ πάντα.] εἰς τὸ αὐτὸ τέλος περατούμενα πάντα. ἐπεὶ κἀκεῖνος εἶπεν, ἀπολκυθίου σε τοὺς προλόγους. οὕτως ἀποφθερῶ. Καὶ μὴν λογιοῦμαι.] ἀπαριθμήσω. ψηφίσω. ἐπεὶ προεῖπεν Εὐριπίδης εἰς ἓν συντεμῶ (B) λογιοῦμαι αὐτοῦ πάντα τὰ μέλη. Ἐρατοσθένης δὲ, τὴν ψῆφον λογιστικῶν τινὰς γράφειν, τὴν ψῆφον λαβών, ἵνα καὶ τὰ συμπλασθέντα δράματα, ἐν οἷς τὸ συνέχον τοῦ ἀσύνδετον, δοκῇ μὴ σολοικίζειν.

Ὠδὴ κώλων ι.

Εὐ. Φθιῶτ' Ἀχιλεῦ, τί ποτ' ἀνδροδάϊκτον ἀκούων,
Ἰήκοπον οὐ πελάθεις ἐπ' ἀρωγάν;
Ἑρμᾶν μὲν πρόγονον
Τίομεν γένος οἱ περὶ λίμναν,
Ἰήκοπον οὐ πελάθεις ἐπ' ἀρωγάν.

Εν. Phthiota Achilles: vbi Lethiferū quid inaudis:
C Cur non adhibes bona fulcra labori?
Patrem Mercurium
Istius colit accola ripa.
Tu non adhibes bona fulcra labo i.

Σχόλια. Φθιῶτ' Ἀχιλεῦ.] τοῦτο ἀπὸ τῆς πρεσβείας πρὸς Ἀχιλλέα Αἰσχύλος πεποίηκεν. ἔστι δὲ ἐκ Μυρμιδόνων. προφέρει δὲ Εὐριπίδης εἰς γέλωτα ἄλλα ἐξ ἄλλων δράματα συναγαγών. διὸ καὶ σαφῆ μίαν ἁρμονίαν οὐκ ἔχοντα. ἵνα ἄρα τὰ μὴ ξυνετὰ ζητῶσιν. ἀνδροδάϊκτον δὲ τὸν ἀνδρῶν φόνον ποιοῦντα. τὰ δὲ τοιαῦτα εἴδη καλεῖται ἀλλοιόστροφα ὡς Ἡφαιστίων φησίν. ὅσα πάντως διαιρεῖται ἢ κατὰ πρόσωπον ἀμοιβαῖον, ἢ χοροῦ πρὸς ὑποκριτὴν ἀποτελεσιν. ἔστι δὲ τῆς μὲν ᾠδῆς ταύτης τὰ κῶλα ἀναπαιστικά, ι. ὧν τὸ πρῶτον τετράμετρον καταληκτικὸν εἰς συλλαβὴν, ὃ καλεῖται Αἰολικόν. διὰ τὸ ἴαμβον ἔχειν τὸν πρῶτον πόδα. τὸ δεύτερον καὶ τὸ ι δίμετρα ὑπερκατάληκτα. τὸ γ πενθημιμερές. τὸ δ ἑφθημιμερὲς ὃ καλεῖται ὡς εἴρηται παροιμιακόν. ἐπὶ τῷ τέλει παράγραφος. τῆς δὲ συστήματος τὰ κῶλα ὅμοια ι, πλὴν τοῦ τετάρτου τῷ δευτέρῳ τῆς (D) ᾠδῆς ὁμοίου, ἑφθημιμερῶ. ἐπὶ τῷ τέλει παράγραφος. τῆς δὲ ἑξῆς ᾠδῆς τὰ κῶλα ἕξ. τὸ πρῶτον δακτυλικὸν ἑφθημιμερές. τὸ β ἀναπαιστικὸν ἑφθημιμερές. τὸ γ καὶ τὸ ς ὡς ὁ β τῆς ἄνω ᾠδῆς. τὸ τέταρτον δακτυλικὸν τετράμετρον. ἔστι δὲ κῶλον ἐκ χοροῦ τῆς ἀνέγνων ἐν Ἀγαμέμνονι δράματι Αἰσχύλου. τὸ ι ὅμοιον δίμετρον. ἔστι δὲ ἡμιτελὲς ἐνταῦθα. τὸ γὰρ τέλειόν ἐστιν αἴσιον ἀνδρῶν. ἐκ τελείων. ὅπερ ἑφθημιμερές ἐστιν. ἐπὶ τῷ τέλει παράγραφος. ἑξῆς δὲ σύστημα κατὰ περικοπὴν ἀνομοιομερὲς στίχων ἰαμβικῶν τριμέτρων ἀκαταλήκτων ἕξ. ἐπὶ τῷ τέλει παράγραφος. ὁ μέντοι ἕκτος στίχος ἔν τισιν οὐ κεῖται. ἐντεῦθεν ἴθι δὴ πείραινε. Ἑρμᾶν μὲν πρόγονον.] ἐκ τῆς Αἰσχύλου Ψυχαγωγῶν. προφέρεται δὲ οὐκ ἐφεξῆς τὰ αὐτὰ μέλη αὐτοῦ. ἀλλ' ὡς ἔτυχεν ἄλλο (E) ἄλλοθεν. καὶ ἐπιλέγει τὸ ἰήκοπον κυρίως ἐκείνων τῶν στίχων ὂν τοῦ Φθιῶτ' Ἀχιλλεῦ.

Σύστημα κώλων ι.

Δι. Δύο σοι κόπω Αἰσχύλε τούτω.
Εὐ. Κύδιστ' Ἀχαιῶν, Ἀτρέως
Πολυκοίρανε μάνθανέ μου παῖ.
Ἰήκοπον οὐ πελάθεις ἐπ' ἀρωγάν.
Δι. Τρίτος Αἰσχύλε σοι κόπος οὗτος.

BA. Duo sunt tibi nempe labores.
Ev. Praclare Achiuorum, Atrei
Domine, hac mea percipe fili,
Tu non adhibes bona fulcra labori.
F Ba. Labor, Æschyle, tertius hic est.

Σχόλια. Κύδιστ' Ἀχαιῶν.] Ἀρίσταρχος καὶ Ἀπολλώνιος, ἐπισκέψασθαι πόθεν εἰσί. Τιμαχίδας δὲ ἐκ Τηλέφου Αἰσχύλου. Ἀσκληπιάδης δὲ ἐξ Ἰφιγενείας.

Ὠδὴ κώλων ς.

Εὐ. Εὐφαμεῖτε μελισσονόμοι
Δόμον Ἀρτέμιδος πέλας οἴγειν,
Ἰήκοπον οὐ πελάθεις ἐπ' ἀρωγάν.
Κύριός εἰμι θροεῖν ὅσιον κράτος
Αἴσιον ἀνδρῶν.
Ἰήκοπον οὐ πελάθεις ἐπ' ἀρωγάν.

Εν. Hue mellarij adeste bonis
G Animis, aperite Diana.
Tu non adhibes bona fulcra labori.
Possum ego destruere imperia auspice
Condita fato.
Tu non adhibes bona fulcra labori.

Σχόλια. Εὐφαμεῖτε μελισσονόμοι.] οἱ διανέμοντες τὰ τῆς πόλεως. ἢ οἰκοῦντες ἐν τῇ πόλει. Ἰήκοπον.] τινὲς ἀξιοῦσι τὸ ἰὴ ψιλοῦν. ὅταν μὴ ᾖ ἐν ὕμνῳ. ἐκεῖ γὰρ δασύνεται. ὡς ἰφυμνίῳ δὲ κέχρηται ἰήκοπον οὐ πελάθεις. Ὅσιον

κράτος.] ἐν τοῖς πλείστοις αἰστον. Ἀσκληπιάδης τὸ δεσιον. Α μαίνω τοὺς βουβῶνας. ἔστι δὲ ἐξ Ἀγαμέμνονος Αἰσχύλου. βουβωνιῶ δὲ, φλεγ-

Σύστημα κατὰ περικοπὴν στίχων ς΄.

Δι. Ὦ Ζεῦ βασιλεῦ τὸ χρῆμα τῶν κόπων ὅσον;
Ἐγὼ μὲν οὖν ἐς τὸ βαλανεῖον βούλομαι,
Ὑπὸ τῶν κόπων γὰρ τὼ νεφρὼ βουβωνιῶ.
Εὐ. Μὴ, πρίν γ' ἀκούσῃς χατέραν στάσιν μελῶν,
Ἐκ τῶν κιθαρῳδικῶν νόμων εἰργασμένην.
Αἰ. Ἴθι δὴ πέραινε, καὶ κόπον μὴ προστίθει.

BA. Proh Iuppiter, quid hoc laboris? quid rei?
Ego hinc me conferam curriculo in balneum,
B Nam ex sordibus, dolores inguinis sentio.
Ev. Noli priusquam alteram stationem carminum
Percipias, compositam è Citharœdicis modis.
Æs. Age perduc ad finem: sed sordes ne adyce.

Σχόλια. Στάσιν μελῶν.] στάσιμον μέλος, ὃ ᾄδουσιν ἑστάμενοι οἱ χορευταί. Ἐκ τῶν κιθαρῳδικῶν νόμων.] Τιμαχίδας γράφει, ὡς τῷ ὀρθίῳ νόμῳ κεχρημένου τοῦ Αἰσχύλου καὶ ἀνατεταγμένως.

C ᾨδὴ κώλων ιδ΄.

Εὐ. Ὅπως Ἀχαιῶν
Δίθρονον κράτος Ἑλλάδος ἥβας
Τὸ φλαττοθραττοφλαττόθρατ.
Σφίγγα δυσαμεριᾶν
Πρύτανιν κύνα πέμπει.
Τὸ φλαττοθραττοφλαττόθρατ.
Ξὺν δορὶ καὶ χερὶ πράκτορι
Θούριος ὄρνις,
Τὸ φλαττοθραττοφλαττόθρατ.
Κυρεῖν παρασχὼν,
Ἰταμαῖς κυσὶν ἀεροφοίτοις,
Τὸ φλαττοφλαττόθρατ.
Τὸ συγκλινὲς ἐπ' Αἴαντι,
Τὸ φλαττοφλαττόθρατ.

Ev. Vt nunc Achiuum
Bifidum imperium, Argolidis vim,
To Phlattothrattophlattothrat:
Sphingémque tristificam
Dominúmque canem det.
To Phlattothrattophlattothrat:
Cum iaculo & valida manu.
D Bellicus ales,
To Phlattothrattophlattothrat:
Prædam vt feroces
Aquilæ super aëra ferrent:
To Phlattophlattothrat.
Quod incline erat Aiaci,
To Phlattophlattothrat.

Σχόλ. Ὅπως Ἀχαιῶν.] ᾠδὴ κώλων ιδ΄. ὧν τὸ πρῶτον ἰαμβικὸν ἑφθημιμερές. τὸ β΄ ἀναπαιστικὸν ἑφθημιμερές. τὸ δ΄ δακτυλικὸν πενθημιμερές. τὸ ε΄ φερεκράτειον. τὸ ζ΄ τρίμετρον ἀκατάληκτον. τὸ η΄ δίμετρον. τὸ ι΄ ὅμοιον τῷ α΄. τὸ ια΄ ὅμοιον τῷ ς΄. τὸ ιβ΄ ἀντισπαστικὸν δίμετρον ἀκατάληκτον ἐπιμεμιγμένον διτροχαίῳ. ἐπὶ τῷ τέλει παράγραφος. τὸ δὲ ἐφύμνιον δίμετρον ἰαμβικὸν ἀκατάληκτον. Εὐριπίδης δὲ ὁμοίως τῷ Αἰσχύλῳ χορικὰ μέλη διεσπαρμένα λέγει ἐξ ἄλλων καὶ ἄλλων δραμάτων. τοῦτο μέντοι ἐξ Ἀγαμέμνονος. δίθρονον δὲ κράτος, αὐτόν τε καὶ τὸν Μενέλαον. ἥβαν δὲ τὴν νεότητα. ἔστι δὲ ἀναπόδοτον. Τὸ φλαττοθραττοφλαττ.] τοῦτο λέγει χλευάζων ὡς ἀσυνετοποιοῦντα. τινὲς δὲ σημειοῦνται αὐτό, ὅτι διορθωταί τινες, ἀφεῖλον τὰς τοιαύτας ἐν τοῖς μέλεσι προσθέσεις. Σφίγγα δὲ δυσαμεριᾶν.] τὴν ἐπὶ κακῷ χρόνῳ Θηβαίοις φανεῖσαν. πάρεχον ... ταῦτα δὲ ἐκ Σφιγγὸς Αἰσχύλου. θούριος δὲ ὄρνις ἡ πολεμοῦσα Θηβαίους τύχη. τὸ δὲ ξὺν δορὶ καὶ χερὶ πράκτορι ἐξ Ἀγαμέμνονος ἐκ τῆς συνεπείας τοῦ κύριός εἰμι θροεῖν. ἐπειδὴ δὲ οἱ τῆς σφιγγὸς πόδες λεοντώδεις ἦσαν, ὁ δὲ τοῦ λέοντος ὄνυξ δίκην δόρατος πλήττει, διὰ τοῦτο δόρατι εἶπεν. Ἰταμαῖς κυσί.] τοῖς ἁρπακτικοῖς ἀετοῖς. ταῦτα δὲ ὡς ἀσαφῆ παρέλθε. Τὸ συγκλινὲς ἐπ' Αἴαντι.] Τιμαχίδας φησὶ τοῦτο ἐν ἐνίοις μὴ γράφεσθαι. Ἀπολλώνιος δέ φησιν ἐκ Θρησσῶν αὐτὸ εἶναι.

Σύστημα κατὰ περικοπὴν στίχων ιγ΄.

Δι. Τί τὸ φλαττόθρατ; τοῦτ' ἐστὶν ἐκ Μαραθῶνος; ἢ
Πόθεν συνέλεξας ἱμονιοστρόφου μέλη;
Αἰ. Ἀλλ' οὖν ἐγὼ μὲν ἐς τὸ καλὸν ἐκ τοῦ καλοῦ
Ἤνεγκον αὐτὰ, ἵνα μὴ τὸν αὐτὸν Φρυνίχῳ
Λειμῶνα Μουσῶν ἱερῶν ὀφθείην δρέπων.
Οὗτος δ' ἀπὸ πάντων μὲν φέρει πορνιδίων

BA. Quid est phlattothrat? vtrum ex solo Marathonio?
Aut vnde hoc collegisti aquatorum melos?
G Æs. At ego ex bono traduxi hæc in aliud bonũ:
Ne idem & vnum pratũ Musarũ cũ Phrynicho
Viderer decerpere. Sed hic Euripides
Ab omnibus meretriculis sumpsit modos

Σχόλια. Τί τὸ φλαττόθρατ.] σύστημα κατὰ περικοπὴν ἀνομοιομερὲς στίχων ἰαμβικῶν τριμέτρων ἀκαταλήκτων ιγ΄. ἐπὶ τῷ τέλει παράγραφος. Ἐκ Μαραθῶνος.] ἐπεὶ ὁ φλέως ἄνθος ἐν Μαραθῶνι ὃν οἱ ἰδιῶται φλόμον. διὰ τὸ ἔχειν ἐν ἀρχῇ παρόμοιον τῷ φλέῳ τὸ φλαττο. ὡς ἐν Μαραθῶνι οὖν τοῦ φλέω πολλοῦ ὄντος, ἑλώδης γὰρ ὁ τόπος. Ἱμονιοστρόφου.]

Ιμονιοσρόφε.] ὅπ χοινιοσρόφε μέλη, ἃ οἱ ἄνδρες ὕδατα ἀρυόμενοι ᾄδουσιν. ἱμονιὰ γὰρ καλεῖται, τὸ τῶν ἀντλημάτων χοινίον, ἥτις ὡς ἐπιτοπλεῖστον ἐν τοῖς φρέασιν ἀπηώρηται, καὶ τὸ ᾆσμα ὃ ᾄδουσιν οἱ ἀνθλοῦντες, ἱμαῖον. Καλλίμαχος. ἀείδει καί που τις ἀνὴρ ὑδατηγὸς ἱμαῖον.

Bisetvs. Ιμονιοσρόφε] Σ. ἱμᾶν, καὶ ἱμεῖν, ἀντλεῖν, ἀνέλκειν, ἀνασπᾷν. ἱμονιὰ δὲ καλεῖται τὸ ἀντλητήριον τῶν φρεάτων, καὶ ἱμονιᾷν ἀποπατεῖν, ἀντὶ τοῦ μαστίζειν, ἀπὸ τοῦ χοινίου, δι᾽ οὗ τὰ ὕδατα ἀρύονται. ὁ καλῶσιν ἱμονίαν. ἱμαῖον δὲ τὸ τῶν ἀντλούντων ᾆσμα.

A Σχόλια. Ἀλλ᾽ οὖν ἐγὼ μὲν ἐς τὸ καλὸν μετήνεγκα] ἐκ γὰρ τοῦ κιθαρῳδικοῦ καλοῦ ὄντος, εἰς τὸ τραγῳδικὸν μετήνεγκα. ἵνα μὴ εἰς ταυτὰ τοῖς ὑπὸ Φρυνίχου μέλεσι προσέχειν μόνως ἐμπίπτω. ἀπὸ δ᾽ ἔχον] δὲ πάντες τοῖς μέλεσι τὸν Φρύνιχον ἐπιτυγχάνοντα τοῖς κιθαρῳδικοῖς. Ηνέγκον.] διχῶς ἔλεγον. ἤνεγκον μὲν, ἀπὸ τοῦ ἐνέγκω. ἤνεγκα δὲ ἀπὸ τοῦ ἐνέγκα. Ινα μὴ τὸν αὐτὸν Φρυνίχῳ.] ἵνα μὴ τὰ αὐτὰ τῷ Φρυνίχῳ μελοποιῶ. ἦν δὲ καὶ οὗτος ἐν τοῖς μέλεσι Φρύνιχος. ὁ δὲ λόγος, ἐκ τῶν κιθαρῳδικῶν εἰς τὴν τραγικὴν ᾠδὴν μετενήνεγκα. τοῦτο γὰρ καὶ Εὐριπίδης

B προσεῖπε.

Σκολιῶν Μελίτου καὶ Καρικῶν αὐλημάτων,
Θρήνων, χορειῶν. τάχα δὲ δηλωθήσεται.
Ενεγκάτω τις τὸ λύριον. καίτοι τί δεῖ
Λύρας ἐπὶ τοῦτον; ποῦ 'στιν ἡ τοῖς ὀστράκοις
Αὕτη κροτοῦσα; δεῦρο Μοῦσ᾽ Εὐριπίδου,
Πρὸς ἥνπερ ἐπιτήδεια ταῦτ᾽ ᾄδειν μέλη.
Διόν. Αὕτη ποθ᾽ ἡ Μοῦσ᾽ οὐκ ἐλεσβίαζεν, C οὔ.

Obliquos Meliti, Caricaéq; tibiæ
In funere, & Choreis. Quod nunc illicò
Ei demonstrabitur. Lyram quis afferat.
Sed quid opus est Lyra ad hanc rem? ubi illa testulis
Crepitans? age huc adesdum Musa Euripidis:
Ad quam hi modi cantari sunt idonei.
BA. Hac certè Musa nunquam ante in Lesbo fuit.

Σχόλια. Σκολιῶν] μελῶν τινῶν ἐν συμποσίοις γινομένων. σκολιὰ λέγονται, τὰ παροίνια ᾄσματα. Τιμοκρέων δὲ ὁ Ρόδιος ἐποποιὸς τοῦτον ἔγραψε σκολιὸν κατὰ τοῦ Πλούτου οὗ ἡ ἀρχή,

Ὤφελες ὦ τυφλὲ Πλοῦτε
Μήτ᾽ ἐν γῇ, μήτ᾽ ἐν θαλάττῃ, μήτ᾽ ἐν Ηπείρῳ
Φανήμεναι.
Αλλὰ Τάρταρόν τε ναίειν, κ᾽ Ἀχέροντα.
Διὰ σὲ γὰρ πάντ᾽ ἐν ἀνθρώποις κακά.

τούτοις ἔοικε τὰ ὑπὸ Περικλέους εἰσηγηθέντα. ἔγραψε γὰρ ψήφισμα τοιοῦτον ὁ Περικλῆς, Μεγαρέας μήτ᾽ ἀγορᾶς, μήτε θαλάττης, μήτ᾽ Ηπείρου μετέχειν. ὅμοια τιθεὶς σκολιὰ τοῖς Τιμοκρέοντος. καὶ αὖθις, νόμους ἐτίθει, ὥσπερ σκολιὰ γεγραμμένους. ἄλλως. σκολιὸν ἡ παροίνιος ᾠδή. ὡς μὲν Δικαίαρχος ἐν τῷ περὶ Μουσικῶν ἀγώνων, ὅτι τρία γένη ἦν ᾠδῶν. τὸ μὲν ὑπὸ πάντων ᾀδόμενον καθ᾽ ἕνα ἑξῆς. τὸ δὲ ὑπὸ τῶν συνετωτάτων ὡς ἔτυχε τῇ τάξει ὃ δὴ καλεῖται σκολιόν. ὡς δὲ Ἀριστόξενος καὶ Φύλλις ὁ μουσικὸς ὅτι ἐν τοῖς γάμοις περὶ μίαν τράπεζαν πολλὰς κλίνας τιθέντες παρὰ μέρος ἑξῆς μυρρίνας ἔχοντες ᾖδον γνώμας καὶ ἐρωτικὰ σύντονα. ἡ δὲ περίοδος σκολιὰ ἐγίνετο, διὰ τὴν θέσιν τῶν κλινῶν σκολιόν. ὑπόμνημα ἔγραψε Τυραννίων περὶ τοῦ σκολιοῦ μέτρου. ὃ προσέθη αὐτῷ ὑπὸ Γαΐου Καίσαρος. σκολιὸν τὸ ῥᾴδιον κατ᾽ ἀντίφρασιν, μέλος τι ὀλιγόστιχον. τὰ δὲ Καρικὰ αὐλήματα, καὶ μέλη θρηνώδη ἐστίν. ἡ Καρικῶν βαρβαρικῶν. δουλικῶν.

Bisetvs. Σκολιῶν] σκόλια, μέλη τινὰ προσηγορικῶς οὕτω λεγόμενα. καὶ προπαροξυτόνως τοὔνομα πρὸς διαστολὴν τοῦ ἐπιθέτου. οὕτω δὲ λέγεται διὰ τὸ μὴ καθ᾽ εὐθὺ μέλπεσθαι, ἀλλὰ σκολιῶς. Εὐστάθιος.

D Σχόλια. Μελίτου.] προσείρηται ὅτι τραγικὸς ποιητὴς ὁ Μέλιτος. ἔστι δὲ ἐπὶ ὁ Σωκράτη γραψάμενος. κωμῳδεῖται δὲ καὶ ὡς ψυχρὸς ἐν τῇ ποιήσει. καὶ ὡς πονηρὸς τὸν τρόπον. χορειῶν δὲ μικροπρεπῶν καὶ οἷα ἐν τοῖς χοροῖς ᾄδουσι. λύριον δὲ τὴν μικρὰν λύραν ὥστε ψάλαι τὰ Εὐριπίδου. Η τοῖς ὀστράκοις.] ἀντὶ λύρας ὄστρακα τινὲς λαμβάνοντες, ἦχον μὲν ἀπετέλουν, πάνυ δὲ ἄσημον. διαβάλλει δὲ Εὐριπίδην ὡς κακὸν μελοποιόν. ἄλλως. ὅτι φαίνονταί τινες ἀγοραῖοι κρούοντες τοῖς ὀστράκοις, καὶ προσᾴδοντες τῷ κρούματι τῷ διὰ τούτων. λέγεται δὲ εἰς τὴν Υψιπύλην ταῦτα. ἡ καθόλου τὴν μοῦσαν αὐτοῦ. ἐπιλέγει

E γὰρ, δεῦρο Μοῦσα Εὐριπίδου. Δίδυμος δὲ προστίθησιν ὅτι εἰώθασιν ἀντὶ λύρας κογχύλια καὶ ὀστράκια κρούοντες, εὐρύθμως τινὰ ἦχον ἀποτελεῖν τοῖς ὀρχουμένοις. Αὕτη ποθ᾽ ἡ Μοῦσα.] ἐν ἐρωτήσει λέγει. αὕτη οὐκ αἰσχροποιεῖ. καὶ ἐν Σφηξὶν ἐπὶ τῆς αὐλητρίδος. μέλλουσαν ἤδη λεσβιεῖν τοὺς ξυμπότας. λεσβιάζειν δὲ τὸ ἀσχημόνως πλησιάζειν καὶ μολύνειν τὸ στόμα. διεβάλλοντο γὰρ ἐπὶ αἰσχρότητι οἱ Λέσβιοι. καὶ ἐν τῷ εἰς Φερεκράτην ἀναφερομένῳ. ὁ ὥσπερ δέ τις γυναῖκας ἐκάλει Λεσβίδας. καλὸν τὸ δῶρον, ὅτι ἔχειν λαικαστρίας.

F

Bisetvs. Διάφορα κόμματα ἐκ διαφόρων Εὐριπίδου δραμάτων ὑπ᾽ Αἰσχύλου τιθέμενα. καὶ οὐδὲν μέλος κατὰ τὸ ἑξῆς ὑπ᾽ αὐτοῦ λεγόμενον. ἀλλὰ ταῦτα πάντα ἀσύνταλοκα, καὶ ἀσυνάρτητα. διὰ δὲ τούτων ἁπάντων ὁ Εὐριπίδης ὑπὸ τοῦ Αἰσχύλου διαβάλλεται, καὶ καταγελᾶται.

Αἰ. Ἀλκυόνες αἳ παρ᾽ ἀενάοις θαλάσσης
Κύμασι στωμύλλετε,
Τέγγουσαι νοτεραῖς πτερῶν,
Ρανίσι χρόα δροσιζόμεναι,
Αἵ θ᾽ ὑπωρόφιοι κατὰ γωνίας
G Εἰ εἰ εἰ εἰ εἰλίσσετε δακτύλοις φάλαγγες,

ÆS. Halcyones, ore quæ strepitis sonoro, in
Fluctibus marinis,
Tingentes leue guttulis
Corpus, rore madens liquido.
Vósque sub tecto habitantes in angulis,
Quæ e e e e e euoluitis digitis, aranea,

Σχόλια. Ἀλκυόνες.] χαρακτηρίζουσι τὰ Εὐριπίδου μέλη, ὡς ἐκλελυμένα. ἀλκυόνες δὲ εἰσὶ τὰ [illegible] τοῦ τῆς θαλάσσης ὕδατος καθ᾽ ἃ [illegible], τὰ αὐτῶν ᾠὰ ἐν τῷ βυθῷ κείμενα θερμαίνουσι. καθ᾽ ὃν δὲ καιρὸν τοῦτο ποιοῦσιν ἀλκυονίδες αὗται αἱ ἡμέραι καλοῦνται. καὶ ἔστιν ἐν αὐταῖς μεγίστη ἡσυχία ἀνέμων τε καὶ κυμάτων. οἱ δέ φασιν ἐν τῷ ἄφρῳ τῆς θαλάσσης ἐπὶ τῆς ψάμμου τοῦτο ποιοῦσι. Κύμασι στωμύλλετε.] διὰ τοῦ στωμύλλετε, πάλιν εἰς αὐτὸν παί-

ζει ἐξ ἄλλων δὲ καὶ ἄλλων Εὐριπίδου δραμάτων κόμματα τίθησι. καὶ νῦν κατὰ τὸ ἑξῆς λέγει μέλος. ἔστι δὲ τὸ προκείμενον ἐξ Ἰφιγενείας τῆς ἐν Αὐλίδι. Τέγγουσαι νοτίοις.] τὸ ἑξῆς. νοτίαις ῥανίσι πτερύγων χρόα δροσιζόμεναι.

BISETUS. Ὑπωρόφιοι] ὑπὸ τὴν αὐτὴν οἰκίαν συνειλημμένοι, συγγενεῖς. Σ. ὑπωρόφιος δὲ ἐκ τοῦ ὑπὸ, καὶ ὄροφος, ἡ ὀροφή. διὸ καὶ κατά τινας διὰ τοῦ ο γραπτέον. A εἰ μὴ λέγης ἐκ δυοῖν οο εἰς ω κατὰ κρᾶσιν γίνεσθαι. ἐν δὲ τῇ ἑτέρᾳ γραφῇ τὸ ἕτερον ο ἐκβληθήσεται ἐν τῇ συνθέσει, καὶ ὑπορόφιος γραφθήσεται.

Σχόλια. Εἱειειειει.] ἡ ἐπίτασις τοῦ εἱλίσσετε κατὰ μίμησιν εἴρηται τῆς μελοποιίας. Φάλαγγες] αἱ λεγόμεναι καματηραί. ἀράχνιόν τι ἡ φάλαγξ. λέγουσι δὲ τὰ ἄκρα τῶν δακτύλων φάλαγγας. ὅπερ νῦν μᾶλλον λέγει.

Ἰστότονα πηνίσματα, καὶ
Κερκίδος ἀοιδοῦ μελέτας,
Ἵν' ὁ φίλαυλος ἔπαλλε δελφὶς
Πρῴραις κυανεμβόλοις
Μαντεῖα καὶ σταδίους,
Οἰνάνθας γάνος ἀμπέλου,
Βότρυος ἕλικα παυσίπονον
Περίβαλλ' ὦ τέκνον ὠλένας.
Ὁρᾷς τὸν πόδα τοῦτον; Δι. ὁρῶ.
Αἰ. Τί δαί; τοῦτον ὁρᾷς; Δι. ὁρῶ.
Αἰ. Τοιαυτὶ μέντοι σὺ ποιῶν,
Τολμᾷς τἀμὰ μέλη ψέγειν,
Ἀνὰ τὸ δωδεκαμήχανον
Κυρήνης μελοποιῶν;
Τὰ μὲν μέλη σου ταῦτα. βούλομαι δ' ἔτι
Τὸν τῶν μονῳδιῶν διεξελθεῖν τρόπον.
Ὦ νυκτὸς κελαινοφαὴς
Ὄρφνα, τίνα μοι δύστηνον
Ὄνειρον πέμπεις ἐξ ἀφανοῦς,
Ἀΐδα πρόπολον,
Ψυχὰν ἄψυχον ἔχοντα,
Μελαίνας νυκτὸς παῖδα,
Φρικώδη δεινὰν ὄψιν.
Μελανονεκυείμονα,
Φόνια φόνια δερκόμενον,
Μεγάλους ὄνυχας ἔχοντα;
Ἀλλά μοι ἀμφίπολοι λύχνον ἅψατε,
Κάλπισί τ' ἐκ ποταμῶν δρόσον ἄρατε,
Θέρμετε δ' ὕδωρ,
Ὡς ἂν θεῖον ὄνειρον ἀποκλύσω.
Ἰὼ πόντιε δαῖμον,
Τοῦτ' ἐκεῖν'. ἰὼ ξύνοικοι,
Τάδε τέρατα θεάσασθε·
Τὸν ἀλεκτρυόνα μου ξυναρπάσασα, φρούδη Γλύκη.

B *Licia, ateláſque, & cercidis*
Rancidi Poëtæ cures:
Vbi cantu gaudens Delphinus
Proris quatiebat mare ſecantibus,
Oracula & ſtadia,
Gemmas, lætitiam vitis,
Racemi capreolum, onus leuantem.
Agè me amplectere, mi puer.
Pedem hunc túne vides? BA. *video.*
C *Æs. Quid hunc? annè vides?* BA. *video.*
Æs. Hos cùm modos tu ſuccinas,
Audes meos reprehendere:
Qui per duodecim technas
Cyrenes modularis.
Et hi modi nempe tui. nunc etiam volo
Monædiarum rationem perquirere.
O noctem nigram tenebris,
D *Quàm tu miſerum affers ſomnum*
Mihi, hunc ex obſcuris caliginibus
Erebi ſeruulum:
Inanime pectus habentem,
Nefariæ noctis prolem,
Atrocem vultu: amictum
Nigro necire dimiculis:
Trucia, trucia tuentem:
Magnos vngues habentem.
E *Ferte facem celeres famulæ mihi:*
Situla aquam è liquido date flumine:
Calfacite vndas.
Hæc vt ſomnia fontibus abluam,
Iò Pontice Dæe
Hoc mihi illud: ô ſodales,
Hæc prodigia, quæſo, videte.
Rapuit mihi gallum Glyce, nec
F *Vſpiam apparet hic.*

Σχόλια. Ἰστότονα.] τοὺς ἱστοὺς οὓς ἐν τῷ ἀέρι οἱ ἀράχναι ὑφαίνουσι. λάμβανε δὲ ἀπὸ κοινοῦ εἰς τὰς μελέτας τὸ εἱλίσσετε. οὕτω καὶ εἱλίσσετε μελέτας κερκίδος ἀοιδοῦ. τουτέστιν, ὥσπερ αἱ ὑφάντριαι διὰ τῶν κερκίδων γυναῖκες ἐν τῷ ὑφαίνειν ᾄδουσιν, οὕτω καὶ ὑμεῖς ὦ ἀράχναι. πηνίσματα δὲ ὑφάσματα. τὸ δὲ κερκίδος ἐκ Μελεάγρου Εὐριπίδου. τὸ δὲ ἵν' ὁ φίλαυλος, ἐξ Ἠλέκτρας. φίλαυλος δὲ ὁ τοὺς αὐλοὺς καὶ [illegible] ... ποιῶν. αἰνίττεται δ' ἴσως εἰς τὸν [illegible] μῦθον, [illegible] δὲ ταῖς ἐν τῷ μέλανι βυθῷ [illegible] ῥύταις. Οἰνάνθας.] παρὰ τὰ ἐξ Ὑψιπύλης Εὐριπίδου. οἰνάνθη φέρει τὸν ἱερὸν βότρυν. ἡ πρώτη δὲ ἔκφυσις τῆς ἀμπέλου οἰνάνθη λέγεται. καὶ τὸ περίβαλλ' ὦ τέκνον ἐξ Ὑψιπύλης.

BISETUS. Βότρυος ἕλικα παυσίπονον] τοῦτο καλῶς. Πανύασις Ἁλικαρνασσεύς,

Οἶνος μὲν γὰρ πυρὶ ἶσον ἐπιχθονίοισιν ὄνειαρ,
Ἐσθλὸν, ἀλεξίκακον, πάσης συνοπηδὸν ἀοιδῆς.
Ἐν μὲν γὰρ θαλίης ἱερὸν μέρος, ἀγλαΐης τε,
Ἐν δὲ χοροιτυπίης, ἐν δ' ἱμερτῆς φιλότητος.

καὶ Εὐριπίδης ἐν Βάκχαις,

Ὁ δ' ἦλθ' ἐπὶ τἀντίπαλον, ὁ Σεμέλης γόνος,
Βότρυος [illegible] πῶμ' εὗρε, κεἰσηνέγκατο
G Θνητοῖς, ὃ παύει τοὺς ταλαιπώρους βροτοὺς
Λύπης, ὅταν πλησθῶσιν ἀμπέλου ῥοῆς.
Ὕπνον τε λήθην τῶν καθ' ἡμέραν κακῶν
Δίδωσιν, οὐδ' ἔστ' ἄλλο φάρμακον κακῶν.

Σχόλια. Ὁρᾷς τὸν πόδα τοῦτον.] ὡς καὶ τοιαῦτα ἁμαρτήματα ἐν τοῖς μέλεσιν ἐπιτηδεύοντος Εὐριπίδου. καὶ ταῦτα δὲ

A τὰ δὲ ἐκτὸς προστίθησιν ἀναμωκώμενος Εὐριπίδην, ὡς τοιαῦτα ἐν τοῖς μέλεσιν αὐτοῦ ἐπιτηδεύοντα. πόδα δὲ τὸν ῥυθμὸν ἢ τὸ μέλος ἀπὸ μέρους. Κυρήνης μελοποιῶν.] Κυρήνη ἑταίρα τις ἐπίσημος δωδεκαμήχανος ἐπικαλουμένη, διὰ τὸ τοσαῦτα σχήματα ἐν τῇ συνουσίᾳ ποιεῖν. ἔστι δὲ παρὰ τὸ ἐξ Ὑψιπύλης Εὐριπίδου. ἀνὰ τὸ δωδεκαμήχανον ἄντρον. ἐκ δὲ τῆς λέξεως ἀνὰ τὸ δωδεκαμήχανον Κυρήνης, ἤγουν ἀνὰ τὰς ιβ' ἐκείνης αἰσχρὰς μηχανάς, δείκνυσιν αὐτὸν πάνυ φαυλότατον. Ὦ νυκτὸς κελαινοφαής.] φασὶν ὡς πάντα ταῦτα τὰ ἔπη ἔκ τινος δράματός ἐστιν Εὐριπίδου. Ἀσκληπιάδης, παρὰ τὰ ἐξ Ἑκάβης Εὐριπίδου B ἐν μιμήσει δηλονότι. οὕτω γὰρ παραγέγραπται· ὦ στεροπὰ Διός. ὦ σκοτία νύξ. τί ποτ' αἴρομαι ἔννυχος. προσπόλον δὲ ὑπηρέτιν. ψυχὴν δὲ ὡς φαινόμενον. ἄψυχον δὲ ὡς ἄυλον καὶ εὐθέως οἰχόμενον. νυκτὸς δὲ παῖδα ἐνταῦθα εἴρηκε, καίτοι ἐν Ἑκάβῃ μελανοπτερύγων ὀνείρων εἰπὼν τὴν γῆν μητέρα. μελανονεκυείμονα δὲ μέλανα καὶ νεκρῶν ἱμάτια φοροῦντα ὡς θανάτου σημαντικόν. μεγάλους ὄνυχας ἔχοντα ὡς πάνυ τὰς ψυχὰς σπαράττοντα.

Bisetus. Νυκτὸς παῖδα] Τὰ δὲ τοῦ Εὐριπίδου ἐν Ἑκάβῃ οὕτως ἔχει,

Ὦ στεροπὰ Διός, ὦ σκοτία νύξ,
Τί ποτ' αἴρομαι ἔννυχος οὕτω
Δείμασι, φάσμασιν; ὦ πότνια χθὼν
Μελανοπτερύγων μᾶτερ ὀνείρων.

Σχόλια: Ἀλλά μοι ἀμφίπολοι.] Ἀπολλώνιος παρὰ τὰ ἐκ τῶν Εὐμενίδων. Ὄνειρον ἀποκλύσω.] ἀπονίψωμαι. ὅπερ εἰώθασι ποιεῖν ἐν τοῖς ὀνείροις. τοῦτο δὲ μιμεῖται ὁ Αἰσχύλος, παρ' οὗ ἀποδιοπομπεῖσθαι εἰώθει τοὺς χαλεπωτάτους τῶν ὀνείρων. ἀπροσάπτα ἄλογα δὲ ταῦτα καὶ ἀσυνάρτητα σὺν τοῖς ἑξῆς πᾶσι. τὸ δὲ ἔναρ ὃ εἶδε τοιοῦτον εἶναι δοκεῖ. ὡς γυνή τις ἐκ γειτόνων οὖσα αὐτῇ, Γλύκη καλουμένη, τὸν ἀλεκτρυόνα αὐτῆς ἁρπάσασα ᾤχετο. ἐπικαλεῖται δὲ τὸν Ποσειδῶνα ὡς πλησίον τῆς θαλάσσης ἰδοῦσα τὸν ὄνειρον.

Νύμφαι ὀρεσσίγονοι	C *Nymphæ montigenæ:*
Ὦ μανία ξύλλαβε.	*O rabies occupa.*
Ἐγὼ δ' ἁ τάλαινα προσέχουσ' ἔτυχον,	*Ego autem missella propriis operam*
Ἐμαυτῆς ἔργοισιν,	*Mecum impendo rebus:*
Λίνου μεστὸν ἄτρακτον,	*Plenum stamine fusum*
Εἰειειειλίσσουσα χεροῖν,	*Eee euoluens manibus.*
Κλωστῆρα ποιοῦσ', ὅπως κνεφαῖος	*Nectoglomus: clanculúmque vendo*
Ἐς τὴν ἀγορὰν φέρουσ' ἀποδοίμαν.	*Pòst in foro, atris septa tenebris:*
Ὁ δ' ἀνέπτατ' ἀνέπτατ' ἐς αἰθέρα	D *At ille volitabat, volitabat ad æthera*
Κουφοτάταις πτερύγων ἀκμαῖς,	*Remigio alarum leui:*
Ἐμοὶ δ' ἄχε' ἄχεα κατέλιπεν.	*Mihi mala, mala reliquit.*
Δάκρυα δάκρυά τ' ἀπ' ὀμμάτων,	*Lacryma, lacryma de palpebris*
Ἔβαλον ἔβαλον ἁ τλάμων.	*Cecidit, cecidit infelix.*
Ἀλλ' ὦ Κρῆτες, Ἴδης τέκνα,	*Verùm ô Cretes, Idæ proles,*
Τὰ τόξα λαβόντες, ἐπαμύνατε,	*Sumptis iaculis, mala repellite:*
Τὰ κῶλά τ' ἀμπάλλετε κυκλούμενοι	*Et membra concutite: & circumdate*
Τὴν οἰκίαν. ἅμα δὲ	E *Domum. simul etiam*
Δίκτυννα παῖς Ἄρτεμις	*Dictynna virgo, Dea*
Καλὰ, τὰς κυνίσκας	*Elegans, catellas*
Ἔχουσ' ἐλθέτω διὰ δόμων	*Agens, pernagetur domos*
Πανταχῇ. σὺ δ' ὦ Διὸς	*Vndique. At ô Iouis*
Διπύρους ἀνέχουσα λαμπάδας,	*Duplices faculas manu tenens*
Ὀξυτάταιν χεροῖν Ἑκάτα	*Perquam agili, triceps Hecate.*
Παράφηνον εἰς Γλύκης, ὅπως	*Ostende te in Glycæ domo:*
Εἰσελθοῦσα φωράσω.	*Vt ingressa in furto prehendam.*
Δι. Παύσασθον ἤδη τῶν μελῶν.	F *BA. Plures omittite iam modos.*
Αἰ. Κἀμοί γ' ἅλις.	*ÆS. Et mihi satis.*
Ἐπὶ τὸν σταθμὸν γὰρ αὐτὸν ἀγαγεῖν βούλομαι,	*Nunc ad stateram volo virum hunc deducere.*
Ὅσπερ γ' ἐλέγξει ποίησιν ἡμῶν μόνος,	*Nam sola hæc vtriusque ostendet Poëticam,*

Σχόλια. Νύμφαι ὀρεσσίγονοι.] ἐκ τῶν Ξαντριῶν Εὐριπίδου, φησὶν Ἀσκληπιάδης. εὗρε δὲ Ἀθήνησιν ἔν τινι τῶν διατεθέντων. νύμφαι ὀρεσσίγονοι θεαῖσιν ἀγείρω Ἰνάχου Ἀργείου. ὑπὸ ποταμοῦ παισὶ βιοδώροις. ἔοικε δὲ τὸ ὅλον ἐπιτηδεύειν ἀνυπόστατα. ἄλλως οὐδὲ παρ' Αἰσχύλου ταῦτα ἁρμόζει λαμβάνεσθαι τὸ δὲ ὦ μανία ξύλλαβε νῦν λέγει διὰ τὸν ἄτοπον ὄνειρον εὐχομένη μανίας τυχεῖν, ἵνα μηδενὸς τούτων αἰσθάνοιτο. τὸ δέ, ἐγὼ δ' ἁ τλάμων, πρὸς τὸ φροῦδος Γλύκη, ἔχει τὴν ἀκολουθίαν. κνεφαῖος δὲ ἑωθινή. κνέφας γὰρ τὸ λυκόφως. Εἰς ἀγορὰν φέρουσα.] πάλιν ἐπὶ πενίαν καὶ μικροπρέπειαν αὐτὸν κωμῳδεῖ. δηλοῖ δὲ καὶ G ὅτι ἐν τοῖς μέλεσι δὶς τὰ τοιαῦτα λέγει Εὐριπίδης, ἀνέπτατ' ἀνέπτατο. καὶ τὰ λοιπά. Ἀλλ' ὦ Κρῆτες Ἴδης.] οὐ μόνον ἐν Τροίᾳ ἀλλὰ καὶ ἐν Κρήτῃ, Ἴδη ἐστίν, ὡς καὶ ὁ Λυκόφρων φησίν. ἐπὶ δὲ ἐν Κρήτῃ τὴν ἡ τοξαλέγουσα, διὰ τοῦτο λέγει Ἴδης τέκνα τὰ τόξα λαβόντες ἐπαμύνατε. Δίκτυνναν δὲ λέγει τὴν Ἄρτεμιν διὰ ταῦτα. ἐπειδὴ τῶν κυνηγετῶν ἐστὶ τὸ δίκτυα φέρειν. ἔφορος δὲ κυνηγίας ἡ Ἄρτεμις. φασὶ δὲ ὅτι νύμφη τις Βριτόμαρτις καλουμένη θηρεύουσα ποτὲ δικτύοις τισὶ κατὰ τύχην ἐνέπεσε. καὶ ὑπὸ Ἀρτέμιδος ῥυσθεῖσα Δικτύννης Ἀρτέμιδος ἱερὸν ἱδρύσατο. Ἑκάτην δὲ καὶ Ἄρτεμιν οἱ μὲν τὴν αὐτήν φασιν. οἱ δὲ ἀλ-

λων καὶ ἄλλων ὡς κἀνταῦθα. ταῦτα δὲ παρὰ τὰ ἐκ Κρη-
των Εὐριπίδου.

BISETVS. Τὰ κῶλά τ' ἀμπάλλετε] τὰ ἄρκυα, τὰ δίκτυα. κατὰ συνεκδοχήν. κῶλον γὰρ, μέρος ἐστὶν ἀρκυος, ὡς φησι Πολυδεύκης ἐκ Ξενοφῶντος οὕτω γράφων.

A ὅθεν καὶ Ξενοφῶν τοῖς μὲν ἐνοδίοις παρὰ τὰς ἄρκυς κῶλον ἕν, ὃ καλεῖται τόνος, προστίθησιν. Αμπάλλετε δὲ, ἀντὶ τοῦ ἀναπάλλετε.

Σχόλια. Κυλίσκας] τὰς κύλικας. ὡς φιάλας καὶ φιαλίσκας. διπύρους δὲ ἀντὶ τοῦ διπλᾶς.

Τὸ γὰρ βάρος ναὶ βασανιεῖ τῶν ῥημάτων.
Δι. Ἴτε δεῦρο νυνὶ, εἴπερ γε δεῖ καὶ τοῦτό με
Ἀνδρῶν ποιητῶν τυροπωλῆσαι τὴν τέχνην.

Et vtrinque verborum librabis pondera.
BA. Agite huc adeste: nam Poëtarum ars mihi
B *Ad libram erit vendenda, tanquam casei.*

Σχόλια. Τὸ γὰρ βάρος] τινές φασιν, ἕως τῶν ἐνθάδε τὸν Αἰσχύλον λέγειν. τὰ δὲ ἑξῆς τὸν Διόνυσον. Τυροπωλῆσαι.] πρὸς γὰρ τὸν σταθμὸν ἐπωλεῖτο ὁ τυρός.

Κορωνὶς, καὶ εἴσθεσις μέλους χοροῦ προῳδικὴ ἐκ κώλων ή.

Χο. Ἐπίπονοί γ' οἱ δεξιοί.
Τὸ δὲ γὰρ ἕτερον αὖ τέρας
Νεοχμὸν, ἀτοπίας πλέων,
Ὃ τίς ἂν ἐπενόησεν ἄλλος;
Μὰ τὸν, ἐγὼ μὲν οὐδ' ἂν εἴ τις
Ἔλεγέ μοι τῶν ἐπιτυχόντων
Ἐπειθόμην, ἀλλ' ᾠόμην ἂν
Αὐτὸν αὐτὰ ληρεῖν.

CH. Viri operosi, qui cati:
Equidem opus hoc planè nouum,
C *Et prodigiosum, & absurdum.*
Nam quis vnquam hoc cogitauit?
Testor hunc, si quis mihi antè
Tale quod dixisset, illi haud
Fidem dedissem, sed putassem
Illum afferre nugas.

Σχόλια. Ἐπίπονοί γ' οἱ δεξιοί] κορωνὶς καὶ εἴσθεσις μέλους χοροῦ προῳδικὴ διὰ τὸ προτίθεσθαι τῆς κορωνίδος ἐκ κώλων τροχαϊκῶν ἐφθημιμερῶν χορείοις καὶ ἰάμβοις ή. D αὐτῶν τὰ γ' ἐφθημιμερῆ. τὰ δ' ἄλλα δίμετρα ἀκατάληκτα πλὴν τοῦ τελευταίου ἰθυφαλλικοῦ ὄντος. ἐπὶ τῷ τέλει κορωνίς. Μὰ τόν.] ἐλλειπτικῶς ὀμνύει, καὶ οὕτως ἔθος ἐστὶ τοῖς ἀρχαίοις, ἐνίοτε μὴ προστιθέναι τὸν θεὸν εὐλαβείας χάριν. εἰώθεισαν δὲ τοῖς τοιούτοις ὅρκοις χρῆσθαι, ἐπευφημιζόμενοι ὥστε εἰπεῖν μὲν μὰ τὸν, ὄνομα δὲ μηκέτι προσθεῖναι. καὶ Πλάτωνα δὲ τῷ τοιούτῳ κεχρῆσθαι. λέγει δὲ, οὐκ ἂν ἐπειθόμην οὐδὲ εἴ τίς μοι ἔλεγε τῶν ἐπὶ τοῦ πράγματος τυχόντων. τὸ δὲ ἐπιτυχόντων, ἀντὶ τοῦ συνελθόντων. ὁ ἐπὶ ἀντὶ τῆς σύν.

ΔΡΑΜΑΤΟΣ ΤΟΥ ΠΕΜΠΤΟΥ
Σκηνὴ τρίτη.
E
ΔΙΟΝΥΣΟΣ, ΑΙΣΧΥΛΟΣ, ΕΥΡΙΠΙΔΗΣ.

ACTVS V. SCENA III.

BACCHVS, ÆSCHYLVS, EVRIPIDES.

BISETVS. Διόνυσος, Αἰσχύλου τοῦ τοιούτου ἀγωνιστὸς, τοὺς ἀμφοτέρων λόγους, καὶ μέτρα ἐπὶ τὸν σταθμὸν λέγεσθαι κελεύει, ἵνα γιγνώσκῃ, καὶ ἀποφαίνηται ὁποτέρου τὰ ἔπη βαρύτερα, καὶ τιμιώτερα εἴη.

Κορωνὶς ἑτέρα ἐκ στίχων ρέ.

Δι. Ἴθι νῦν παρίστασθον παρὰ τὼ πλάστιγγ'. Αἰ. Ἰδού.
Δι. Καὶ λαβομένω, τὸ ῥῆμ' ἑκάτερος εἴπατον,
Καὶ μὴ μεθεῖσθον, πρὶν ἂν ἐγὼ σφῷν κοκκύσω.
Αἰ. Ἐχόμεθα. Δι. Τοὔπος νῦν λέγετον ἐπὶ τὸν σταθμόν.
Εὐ. Εἴθ' ὤφελ' Ἀργοῦς μὴ διαπτάσθαι σκάφος.

F *BA. AGè, nunc astate ad lances. ÆS. eccum me tibi.*
BA. Et apprendentes quisque verbum proferat,
Neque è manu mittatis priusquàm clamitē (bet
Cuculi more. ÆS. tenem'. BA. nūc recitet quilibet
Versum, ad staterā, aut verbū proferat aliquod.
EV. O si ratis non peruolasset Argo aquis.

Σχόλια. Ἴθι νῦν παρίστασθον.] κορωνὶς ἑτέρα εἰσιόντων τῶν ὑποκριτῶν. οἱ δὲ στίχοι ἰαμβικοὶ τρίμετροι ἀκατάληκτοι, ὧν τελευταῖος. νὴ τὸν Δί' οὐ γὰρ ἄχθομαι τῷ πράγματι ἐπὶ τῷ τέλει κορωνίς. Παρὰ τὼ πλάστιγγ'.] παρὰ τοῖς λεγομένοις ζυγίοις. τὸ δὲ σχῆμα ἀττικὸν ὡς τὸ γῆρας, τὼ πόδε, καὶ ἐν τῷ στόμα. πλάστιγξ δὲ τὸ κατατετρημένον τοῦ ζυγοῦ μέρος, ᾧ ἐπιτίθεται τὰ G ζυγά. Κοκκύσω.] φωνήσω. σύνθημα δοῦ. δίκην ἀλεκτρυόνος βοήσω. τὸ δὲ εἴθ' ὤφελον, ἀρχὴ τοῦ Μηδείας δράματος Εὐριπίδου.

BISETVS. Κόκκυ] Εὐστάθιος. ἐπίρρημα, παρὰ τὸ κοκκύζειν, τὸ κατὰ κόκκυγα ᾄδειν. κοκκύζειν δὲ κυρίως λέγεται ὁ κόκκυξ τὸ ὄρνεον κατὰ λέξεως ὀνοματοποιΐαν. λέγεται δὲ καὶ ἐπὶ τῶν ἀλεκτρυόνων, ἀντὶ τοῦ ᾄδειν.

Αἰ. Σπερ-

Αἰ. Σπερχειὲ ποταμὲ, βουνόμοι τ' ἐπιστροφαί.

Διόνυ. Κόκκυ μεθεῖτε, καὶ πολύ γε κατωτέρω

Χωρεῖ τὸ τοῦδε. Εὐ. καὶ τί ποτ' ἐστὶ τ' αἴτιον;

Δι. Ὅτ' εἰσέθηκε ποταμὸν ἐριοπωλικῶς

Ὑγρὸν ποιήσας, τοὔπος, ὥσπερ τἄρια.

Σὺ δ' εἰσέθηκας τοὔπος ἐπτερωμένον.

Εὐ. Ἀλλ' ἕτερον εἰπάτω τι, κἀντιστησάτω.

Δι. Λάβεσθε τοίνυν αὖθις. Εὐριπ. ἢν ἰδού. Δι. λέγε.

Εὐριπ. Οὐκ ἔστι Πειθοῦς ἱερὸν ἄλλο, πλὴν λόγος.

Αἰ. Μόνος θεῶν γὰρ θάνατος, οὐ δώρων ἐρᾷ.

Διόνυ. Μεθεῖτε, μεθεῖτε, καὶ τὸ τοῦδέ γ' αὖ ῥέπει.

Θάνατον γὰρ εἰσέθηκε βαρύτατον κακῶν.

Εὐριπ. Ἐγὼ δὲ πειθώ γ', ἔπος ἄριστ' εἰρημένον.

Διόνυ. Πειθὼ δὲ κοῦφόν ἐστι, καὶ νοῦν οὐκ ἔχον.

Ἀλλ' ἕτερον αὖ ζήτει τι τῶν βαρυστάθμων,

Ὅ τι σοι καθέλξει, καρτερόν τε καὶ μέγα.

Εὐριπ. Φέρε ποῦ τοιοῦτο δῆτα μοὐστί; ποῦ φράσω;

Διόνυ. Βέβληκ' Ἀχιλλεὺς δύο κύβω καὶ τέτταρα.

Λέγοιτ' ἄν, ὡς αὕτη 'στὶ λοιπὴ σφῷν στάσις.

Εὐριπ. Σιδηροβριθές τ' ἔλαβε δεξιᾷ ξύλον.

Αἰ. Ἐφ' ἅρματος γὰρ ἅρμα, καὶ νεκρῷ νεκρός.

Διόνυ. Ἐξηπάτηκεν αὖ σε καὶ νῦν. Εὐριπ. τῷ τρόπῳ;

Δι. Δύ' ἅρματ' εἰσέθηκε καὶ νεκρὼ δύω,

Οὓς οὐκ ἂν ἄραιντ' οὐδ' ἑκατὸν Αἰγύπτιοι.

Αἰ. Καὶ μηκέτ' ἔμοιγε κατ' ἔπος, ἀλλ' ἐς τὸν σταθμὸν

Αὐτὸς, τὰ παιδία, χ' ἡ γυνὴ Κηφισοφῶν,

Ἐμβὰς καθήσθω, ξυλλαβὼν τὰ βιβλία,

Ἐγὼ δὲ δύ' ἔπη τῶν ἐμῶν ἐρῶ μόνα.

A Æs. Sperchie fluuie, pascuique vortices.

BA. Cucu: stateram mittite: multò pressior

Lanx Æschyli, quàm altera. Ev. quid causa obsecro?

BA. Quia fluuium imposuit: & carmen propemodum

Humectauit perinde, vt qui lanam solent

Humectare, priusquàm in foro diuendissent:

Tu verò verbum imposuisti volatile.

B Ev. Age aliud dicat, & contra me proferat.

BA. Prendite rursum stateram. Ev. ellam. BA. iam proferas.

Ev. Non est fanum Suadæ, nisi bona oratio:

Æs. Mors est Deus sola, haud capit data munera.

BA. Dimittite, mittite: iterum inclinat Æschyli:

C Nam mortem imposuit, malum grauissimum.

Ev. At ego Suadæ verbum imposui, dictum optimè.

BA. Res leuicula est suadela, & mentem non habes,

Disquire aliud, & quod sit ponderosius,

Et quod lancem plus deprimat, ac validiùs.

D Evr. Sine videam, vbi sit tale. vbi dicam esse, obsecro?

BA. Duas Achilles tesseras & quatuor

Iecit: pergite: nam res in vno hoc cardine est.

Evr. Lignum graue ferro, comprehendit dextera.

Æs. Nam currui currum, atque funus funeri.

BA. Iterum dolo te circumuenit. Ev. & quomodo?

E BA. Currus duos, duósque iniecit mortuos:

Quos ægrè centum sustollant Ægyptij.

Æs. Ne ponderentur iam voces: sed liberi

Et vxor, & Cephisopho, & ipsius & libri

Nunc insideant lanci. ego tantùm duo proferam

Verba è meis.---

Σχόλια. Βουνόμοι.] ὑπὸ βοῶν κατανεμόμεναι. ἔστι δὲ, ἐκ Φιλοκτήτου Αἰσχύλου. Ἐριοπωλικῶς.] ὥσ οἱ τὰ ἔρια πωλοῦντες βρέχουσιν αὐτὰ ἵνα βαρύνωσιν ἐν τῷ σταθμῷ. τὸ δ' οὐκ ἔστι πειθοῦς, ἐξ Ἀντιγόνης Εὐριπίδου. τὴν δὲ πειθὼ χρῆμα νοῦν οὐκ ἔχον φησίν. ὅτι τὸ πείθειν ποικιλία καὶ στροφὴ λόγων ἐστὶ παράγουσα τοὺς ἀκούοντας καὶ οὐκ ἀληθὴς διάνοια. τὸ δ' ἑξῆς ἐκ Νιόβης Αἰσχύλου. Βέβληκ' Ἀχιλλεύς.] Ἀρίσταρχός φησιν ἀδιανοήτως τοῦτο προφέρεσθαι, ὡς Εὐριπίδου πεποιηκότος κυβεύοντας ἐν τῷ Τηλέφῳ τοὺς καὶ Ἀχιλλέα. μή ποτ' οὖν ἐκεῖθεν ἦν. μᾶλλον οὖν, ἐχλεύαζεν ἂν εἴη Ἀριστοφάνης. οὐδὲ γὰρ τὸν Εὐριπίδην, τοῦτο προσφερόμενον, ἀλλὰ τὸν Διόνυσον χλευάζοντα. τινὲς δὲ ὅτι ἐν τῷ Φιλοκτήτῃ ἦν ὁ τόπος. οἱ δὲ ἐν τῇ Ἰφιγενείᾳ τῇ ἐν Αὐλίδι. διαφαίνει δὲ καὶ Εὔπολις τοῦτο εἰδὼς ἀποφήνασθαι δὲ δύο κύβω καὶ τέτταρα. τοῦτο δὲ Διόνυσος ἐπιβάλλων

F αὐτῷ χλευάζων. ἄλλως. ἐκ Μυρμιδόνων. πεποίηκε γὰρ αὐτοὺς κυβεύοντας. ἔθος δὲ τοῖς κυβεύουσιν οὕτω λέγειν. βέβληκε. τοῦτο δὲ λέγει ὁ Διόνυσος δεικνὺς ὡς Αἰσχύλος νενίκηκε. τὸ δὲ σιδηροβριθὲς, ἐκ Μελεάγρου. τὸ δὲ ἐφ' ἅρματος γὰρ ἅρμα ἐκ Γλαύκου Ποτνιέως Αἰσχύλου. τὸ δὲ ἐξηπάτηκεν εἶπεν ἐκ μεταφορᾶς τῶν παλαιστῶν. ἐκεῖνοι γὰρ ἀπατῶντες τοὺς ἀντιπάλους νικῶσιν. Ἑκατὸν Αἰγύπτιοι.] πανταχοῦ τῶν Αἰγυπτίων ὡς ἀχθοφόρων μέμνηται. Κηφισοφῶν.] καὶ διὰ τούτου δηλοῖ πάλιν, χλευάζων τὸ συναμφότερον. ὡς Κηφισοφῶν συνεποίει τὰ δράματα. καὶ τὴν γυναῖκα αὐτοῦ εἶχεν ἄλλως. οὐχ ὡς μόνον συμποιοῦντος αὐτῷ τοῦ Κηφισοφῶντος τὰ δράματα, ἀλλὰ ὡς συνόντος αὐτοῦ τῇ γυναικί. οἱ δὲ γράφοντες χὠ Κηφισοφῶν, [illegible] ἀξιοῦντες ἀνάπαιστον τὸν τελευταῖον πόδα, σκεψάσθωσαν οἱ [illegible] συστέλλεται.

G

Aa

A

ΔΡΑΜΑΤΟΣ ΤΟΥ ΠΕΜΠΤΟΥ Σκηνὴ τετάρτη.

ΔΙΟΝΥΣΟΣ, ΠΛΟΥΤΩΝ, ΑΙΣΧΥΛΟΣ, ΕΥΡΙΠΙΔΗΣ.

Bisetus. Πλούτων προσέρχεται, καὶ τὸν Διόνυσον περὶ ἑκατέρου ποιητοῦ τὴν ἑαυτοῦ γνώμην ἀποφαίνεσθαι κελεύει, ὥστε τὸν μεθ' ἑαυτοῦ ἐξ ᾅδου ἀνάγειν, ὃν κρείττω ἂν νομίζοι.

B

Δι. Ἄνδρες φίλοι, κἀγὼ μὲν αὐτοῖς οὐ κρινῶ,
Οὐ γὰρ δι' ἔχθρας οὐδετέρῳ γενήσομαι.
Τὸν μὲν γὰρ ἡγοῦμαι σοφὸν, τῷ δ' ἥδομαι.
Πλου. Οὐδὲν ἄρα πράξεις, ὧνπερ ἦλθες οὕνεκα.
Δι. Ἐὰν δὲ κρίνω; Πλου. τὸν ἕτερον λαβὼν ἄπει,
Ὁπότερον ἂν κρίνῃς, ἵν' ἔλθῃς μὴ μάτην.
Δι. Εὐδαιμονοίης, φέρε δὴ πύθεσθέ μου ταδί,
Ἐγὼ κατῆλθον ἐπὶ ποιητήν. Αἰσχύ. τοῦ χάριν;
Δι. Ἵν' ἡ πόλις σωθεῖσα τοὺς χοροὺς ἄγῃ,
Ὁπότερος ἂν οὖν τῇ πόλει παραινέσειν
Μέλλει τι χρηστὸν, τοῦτον ἄξειν μοι δοκῶ,
Πρῶτον μὲν οὖν περὶ Ἀλκιβιάδου τίν' ἔχετον
Γνώμην ἑκάτερος; ἡ πόλις γὰρ δυστοκεῖ.
Αἰ. Ἔχει δὲ περὶ αὐτοῦ τίνα γνώμην; Διόνυ. τίνα;
Ποθεῖ μὲν, ἐχθαίρει δὲ, βούλεται δ' ἔχειν.
Ἀλλ' ὅ, τι νοεῖτον, εἴπατον τούτου πέρι.
Εὐ. Μισῶ πολίτην, ὅστις ὠφελεῖν πάτραν
Βραδὺς πέφυκε, μεγάλα δὲ βλάπτειν ταχὺς,
Καὶ πόριμον αὑτῷ, τῇ πόλει δ' ἀμήχανον.
Δι. Εὖ γ' ὦ Πόσειδον. σὺ δὲ τίνα γνώμην ἔχεις;
Αἰ. Οὐ χρὴ λέοντος σκύμνον ἐν πόλει τρέφειν,

ACTVS V. SCENA IIII.

BACCHVS, PLVTO, ÆSCHYLVS, EVRIPIDES.

BA. *Amici ego hic sententiam*
Inter eos non feram, nam neutrius odio lubens
Memet onerem: alterum sapientem iudico:
Voluptatem non paruam capio ex altero.
PL. *Nihil ergo efficies, quorum iuisti huc gratia.*
C BA. *Sin indicem?* PL. *tunc alterum elige, atque abi*
Quem tu praeposueris: ne frustra huc veneris.
BA. *Di tibi benè velint. agite vos, audite me:*
Ego huc veni propter Poëtam. ÆS. *Cur? ceda*
BA. *Vt ciuitas choros agendo salua sit,*
Vter ergo vestrûm consilia Reipub.
D *Daturus est vtilia: hunc abducere volo.*
Primùm de Alcibiade, quae nam sententia
Alterutri est? Nam malè perit nostra ciuitas.
ÆS. *Quid autem de illo sentit ciuitas?* BA. *quid? Hoc:*
Cupit quidem, sed odit tamen, & habere vult.
Sed quid vos de illo sentiatis, dicite.
EV. *Ciuem hunc ego odi, qui in seruanda patria*
E *Fit tardus, in laedenda eadem fit celer:*
Sat commodus sibi, ciuitati incommodus.
BA. *Euge, ô Neptune, & quae tua est sententia?*
ÆS. *Catulum Leonis alere in vrbe non decet,*

Σχόλια. Τὸν μὲν γὰρ ἡγοῦμαι σοφόν.] Σοφὸν μὲν, Εὐριπίδην λέγει. ἥδεσθαι δὲ τῷ Αἰσχύλῳ. οὕτως Ἀρίσταρχος. ἄλλοι δὲ τὸ ἐναντίον καὶ ἑκατέρῳ συνηγορεῖν μάλιστα, ὅτι ἥδεται Εὐριπίδῃ καὶ ὡς ἐν ἀρχῇ προεῖπεν. F Οὐδὲν ἄρα πράξεις.] Ἀπολλώνιος τοῦ Πλούτωνος εἶναί φησι τοῦτο, καὶ γίνεται πρόσωπα ἐν τῇ σκηνῇ δὴ. τινὲς δὲ τοῦ χοροῦ. Τοῦ χάριν.] ἐκ ἔστιν ἄλλου προσώπου τὸ τοῦ χάριν. ἀλλ' ὁ Διόνυσος ἑαυτῷ ἀνθυποφέρει. Πρῶτον μὲν οὖν περὶ Ἀλκιβιάδου.] περὶ τῆς δευτέρας λέγει αὐτοῦ ἀποχωρήσεως ἣν ἑκὼν ἔφυγε. κατελθὼν μὲν ἐπὶ Ἀντιγένους, πρὸ ἐνιαυτοῦ τῶν βατραχῶν, διὰ δὲ τὸ πιστεῦσαι Ἀντιόχῳ τῷ κυβερνήτῃ τὸ ναυτικὸν, καὶ ἡττηθῆναι ὑπὸ Λυσάνδρου δυσχερανθεὶς ὑπὸ Ἀθηναίων. ἄνδρων δὲ G διατρίβεται πρὸς Φαρνάβαζον περὶ τὴν καθόδου. Καλλίστρατος δέ φησιν, ὅτι ἦν ὁ καιρὸς, καθ' ὃν ἑκὼν ἔφυγεν ὁ Ἀλκιβιάδης. ὁ δὲ Ἀρίσταρχός φησι, καθ' ὃν ἐκπεσὼν ἐν Λακεδαίμονι διατρίβων ἔπεισε Λακεδαιμονίους Ἀθηναίοις Δεκέλειαν ἐπιτειχίσαι. τελείως δὲ πλαίουσι. λέγει οὖν, περὶ τῆς δευτέρας ἀποχωρήσεως ἣν ἑκὼν ἔφυγε. γεγόνασι δὲ Ἀλκιβιάδαι τέσσαρες. δυστοκεῖ δὲ λέγει ἀντὶ τοῦ ἀγανακτεῖ χαλεπῶς πάσχει ἀπὸ μεταφορᾶς τῶν δυστοκουσῶν γυναικῶν. ἢ δυστοκεῖ λέγει ἀντὶ τοῦ κακὰ βουλεύματα προάγει. Ἀλκιβιάδης γὰρ φύσει Ἀθηναῖος ὢν ἔφυγε μὲν καὶ πρόσθεν διά τινα αἰτίαν ἐκ πόλεως. κατελθὼν δὲ ὕστερον καὶ ναύαρχος καταστὰς ἐπίστευσε τὸ ναυτικὸν Ἀντιόχῳ. οὗ καὶ ὑπὸ Λυσάνδρου ἡττηθέντος, φοβηθεὶς Ἀλκιβιάδης μεταχωρεῖ πρὸς Λακεδαιμονίους, οὓς καὶ πείθει Ἀθηναίοις ἐπιτειχίσαι Δεκέλειαν. ἡ δὲ Δεκέλεια χώρα ἐν τῇ Ἀττικῇ, ἧς τειχισθείσης μέγας ἦν κίνδυνος Ἀθηναίοις μὴ δυναμένοις ἐξελθεῖν. Ποθεῖ μὲν, ἐχθαίρει δέ.] παρὰ τὰ ἐκ τῶν Ἴωνος Φρουρῶν. ὅπου ἡ Ἑλένη πρὸς τὸν Ὀδυσσέα φησί. σιγᾷ μὲν, ἐχθαίρει δὲ, βούλεται γε μήν. ὁ δὲ λόγος, ποθεῖ μὲν ὡς δραστήριον, διὰ τὰς νίκας. ἐχθαίρει δὲ ὡς τυραννικὸν ἢ ὡς εἰς Λακεδαιμονίους χωρήσαντα. Μισῶ πολίτην.] αὕτη Εὐριπίδου ἡ γνώμη. μὴ κατάγεσθαι καθάπαξ Ἀλκιβιάδην. χαρακτηρίζει δὲ αὐτὸν ἄνω. ταῦτα δέ φησιν Εὐριπίδης περὶ Ἀλκιβιάδου ὡς ὄντος αὐτοῦ τοιούτου. βραδέως μὲν ὠφελοῦντος τὴν πατρίδα, ταχέως δὲ βλάπτοντος.

Bisetus. Πόριμον αὐτῷ] τὸν ἑαυτῷ πολλοὺς πόρους, καὶ μηχανὰς εὑρίσκοντα, καὶ πορίζοντα, τῇ δὲ πόλει οὐδένα πόρον, οὐδεμίαν μηχανὴν πορίζοντα· A δυνάμενον. ἢ τὸν δυνάμενον μὲν διὰ πολλῶν πόρων, καὶ μηχανῶν ἑαυτὸν ὠφελεῖν, τὴν δὲ πόλιν, οὔτε θέλοντα, οὔτε δυνάμενον ὠφελεῖν.

Μάλιστα μὲν λέοντα μὴ ᾽ν πόλει τρέφειν.
Ἢν δ᾽ ἐκτραφῇ τις, τοῖς τρόποις ὑπηρετεῖν.
Διον. Νὴ τὸν Δία τὸν σωτῆρα, δυσκρίτως γ᾽ ἔχω.
Ὁ μὲν σοφῶς γὰρ εἶπεν, ὁ δ᾽ ἕτερος σαφῶς.
Ἀλλ᾽ ἔτι μίαν γνώμην ἑκάτερος εἴπατον,
Περὶ τῆς πόλεως ἥντιν᾽ ἔχετον σωτηρίαν;
Εὐ. Εἴ τις πτερώσας Κλεόκριτον Κινησίᾳ,
Αἴροιεν αὖραι πελαγίαν ὑπὲρ πλάκα.
Δι. Γέλοιον ἂν φαίνοιτο, νοῦν δ᾽ ἔχει τινά.
Εὐ. Εἰ ναυμαχοῖεν αὖ, κατέχοντες τ᾽ ὀξίδας
Ῥαίνοιεν ἐς τὰ βλέφαρα τῶν ἐναντίων.
Ἐγὼ μὲν οἶδα, καὶ θέλω φράζειν. Δι. λέγε.
Εὐ. Ὅταν τὰ νῦν ἄπιστα πίσθ᾽ ἡγώμεθα,
Τὰ δ᾽ ὄντ᾽ ἄπιστα πιστά. Δι. πῶς; οὐ μανθάνω.
Ἀμαθέστερόν πως εἰπὲ, καὶ σαφέστερον.
Εὐ. Εἰ τῶν πολιτῶν, οἷσι νῦν πιστεύομεν,
Τούτοις ἀπιστήσαιμεν, οἷς δ᾽ οὐ χρώμεθα,
Τούτοισι χρησαίμεσθ᾽, ἴσως σωθείημεν ἄν.
Εἰ νῦν γε δυστυχοῦμεν ἐν τούτοισι, πῶς
Τἀναντία πράττοντες οὐ σωζοίμεθ᾽ ἄν;
Διον. Εὖ γ᾽ ὦ Παλάμηδες, ὦ σοφωτάτη φύσις,
Ταυτὶ πότερ᾽ αὐτὸς εὗρες, ἢ Κηφισοφῶν.
Εὐ. Ἐγὼ μόνος, τὰς δ᾽ ὀξίδας Κηφισοφῶν.
Διόν. Τί δαὶ λέγεις σύ; Αἰσχύλ. τὴν πόλιν νῦν μοι φράσον

Sed maximè ipsum ne Leonem nutrias:
Sin alueris aliquem, obsecunda moribus.
BA. Ego per Iouem seruatorem ægrè iudico:
Nam luculenter ille, prudenter hic ait.
Sed adhuc vnam quisque recites sententiam:
B *Quanam salutis spes est de Republica?*
EV. Si quis Cleocritum applicet, pro alis, Cinesia:
Vtrumque venti mox in mare sustollerent.
BA. Hoc ridiculum quidem: at rationem tamen habet.
EV. Si qui nauale facturi sunt prælium,
Acetabula teneant, & loculos hostium
C *Conspergant: ego noui, & dicam. BA. Dic obsecro.*
EV. Si fida quæ sunt, pro infidis habeamus: &
Quæ infida sunt, pro fidis. BAC. non intelligo,
Rudius hoc dicas, & aliquantò planius.
EV. Si ciuibus, quibus iam nimium fidimus,
Post diffidemus: & quibus non vtimur,
Illis vtamur: erimus salui forsitan.
D *Nam si nunc propter istam causam affligimur,*
Quomodo contraria agentes non seruabimur?
BAC. Euge, ô Palamedes: ô ingenium perspicax:
Tune ipsus hæc inuenisti, an Cephisophon?
EV. Ego solus inueni: sed acetabula Cephisopho.
BA. Quid autem tu dicis? ÆS. primùm hoc
E *memora mihi:*

Σχόλια. Μάλιστα μὲν λέοντα.] μάλιστα μὲν μὴ ἀνατρέφειν φρόνημα ἔχοντα. ἐὰν δὲ ἀνατρέφῃ μὴ ἐρεθίζειν, ἀλλὰ τιθασεύειν. ὥστε ὁ μὲν Εὐριπίδης συμβεβούλευκε μὴ δέχεσθαι. ὁ δὲ Αἰσχύλος, τοιαύτην τινὰ διάνοιαν. ἢ μὴ κατάδέξασθαι, ἢ καταδεξαμένους, προσφέρειν. ἐν τισὶ δὲ μετὰ τὸ πρῶτον, παρήλαγε χρᾶσθαι. ὥστε εἶναι τὸ μὲν πρῶτον ὁμολογουμένως Αἰσχύλου. τὸ δὲ ἑξῆς. ἄδηλον τίνος. ἢ γὰρ Εὐριπίδης δίς ἐστιν ἀποφηνάμενος. ἢ ὁ Διόνυσος ἀντακούσαν ἐκείνου αὐτὸς ἦ λέγων. καὶ ταῦτα ἐπεξεργαζόμενος τὸ παρὰ Αἰσχύλου λεγόμενον. ἢ ὁ χορός. ἐν τισὶ δὲ ἐνός ἐστι τὰ τρία, τοῦ Αἰσχύλου. πρῶτον μὲν, ἀποφαντικῶς λέγοντος. τὰ δὲ ἑξῆς δύο, μαλακώτερον ὑποτιθεμένου. Εἴ τις πτερώσας Κλεόκριτον Κινησίᾳ.] ὁ Κινησίας λεπτὸς ἦν. ὁ δὲ Κλεόκριτος μοχθηρός. φησὶν οὖν ὅτι εἴ τις ἀντὶ πτερῶν Κλεοκρίτῳ Κινησίαν περιβάλοι, ὥστε φέρεσθαι μετάρσιος, συμβήσεται αὐτοὺς ὀλέσθαι αὐροφορήτους γενομένους. ἄλλως. εἴ τις πτερώσας. ὡς λεπτὸς σφόδρα ὢν κουφότατος. καὶ ὡς ξένος. καὶ ὡς κόλαξ. ἐμνήσθη δὲ καὶ τοῦ Κινησίου ὡς τούτου καὶ τοῦ Κλεοκρίτου ὁμοφρονούντων. ἀθετεῖ δὲ τοὺς πέντε ἐφεξῆς στίχους. ἕως τοῦ, ῥαίνοιεν εἰς τὰ βλέφαρα τῶν ἐναντίων. Ἀρίσταρχος. ὅτι φορτικώτεροί εἰσι καὶ εὐτελεῖς διὰ τοῦτο ὑποπτεύονται. Ἀπολλώνιος δὲ οὐ διὰ τοῦτο ἀλλ᾽ ὅτι οὐ πρὸς τὴν ὑπόθεσιν ἔχουσί τι. ἀφωρισμένων δὲ αὐτῶν ἑκάτερος μίαν γνώμην λέγει. Κατέχοντες ὀξίδας.] ὀξίβαφους κατέχοντες, ῥαίνοιεν ὄξει τοὺς πολεμίους. ὀξίδες δὲ, κεράμια μικρά. ἢ εἶδος λοπάδος. ταῦτα δὲ ἠθετημένα μετρίως ἄν τις νομίσειεν ἐνδιεσκευάσθαι. καὶ γάρ ἐστι φορτικά. τὰ δὲ ἑξῆς κείμενα, πρέποντα καὶ τῷ ποιητῇ καὶ τῇ ὑποθέσει. ὅταν φησὶν ὡς νῦν ἔχομεν παρωραμένους καὶ δοκοῦμεν ἐχθροὺς τῆς πόλεως, τούτους ἐπανάγωμεν εἰς τὸ ἀρχαῖον ἀξίωμα, καὶ πιστοὺς νομίσωμεν. οἷς δὲ νῦν χρώμεθα ὡς πιστοῖς, τούτους ἀπίστους καὶ φθορέας τῆς πόλεως ἡγώμεθα, σωθείη ἡ πόλις. τοῦτο δὲ λέγει διότι τοὺς καλοὺς καὶ λυσιτελοῦντας ἄνδρας τῇ πόλει ἀφέντες, ὡς καὶ ὀπισθεν ἐν τῇ παραβάσει ἔφη, μοχθηροῖς καὶ φαύλοις ἐχρῶντο πρὸς τὰ κοινά. Ἀμαθέστερόν πως εἰπέ.] ἀγροικότερον καὶ παχύτερον. ἀπαιδευτότερον. ἢ κοινότερον. παρὰ τὴν παροιμίαν σαφέστερόν μοι κἀμαθέστερον φράσον. Εὖ γ᾽ ὦ Παλάμηδες.] πρὸς τὸν Εὐριπίδην. ὅτι εἰκὸς ἂν Παλαμήδους πεπλάσθαι ταῦτα. ἢ ἐπειδὴ ὁ Παλαμήδης μηχανικὸς καὶ ἐφευρετὴς ἦν. εὗρε δὲ καὶ οὗτος μηχανὴν σωτηρίας τῇ πόλει, διὰ τοῦτο Παλαμήδην τοῦτον καλεῖ. Ταυτὶ πότερ᾽ αὐτός.] συναθετεῖται τοῖς ἄνω καὶ ταῦτα. μαχόμενον γὰρ, ἀνεῖλε τὴν ἐκείνων ἀθέτησιν. ἐν ᾗ φαίνεται τὰ μὲν πρότερα. Αἰσχύλος λέγων. τὰ δὲ ἑξῆς Εὐριπίδης. Τὰς δ᾽ ὀξίδας Κηφισοφῶν.] Τιμόθεος, πέρραθεν ὡς λαχανοπώλισσάς φησι τὸν Εὐριπίδην διὰ τὰς ὀξίδας.

Περὶ τῶν, πῶς χρῆται; πότερα τοῖς χρηστοῖς; Διον. Πόθεν;

Μισεῖ κάκιστα. Αἰ. τοῖς πονηροῖς δ' ἥδεται;

Δι. Οὐ δῆτ' ἐκείνη γ', ἀλλὰ χρῆται πρὸς βίαν.

Αἰ. Πῶς οὖν τις ἂν σώσειε τοιαύτην πόλιν,

Ἣ μήτε χλαῖνα, μήτε σισύρα ξυμφέρει.

Δι. Εὕρισκε νὴ Δί', εἴπερ ἀναδύσει πάλιν.

Αἰ. Ἐκεῖ φράσαιμ' ἄν, ἐνθαδὶ δ' οὐ βούλομαι.

Δι. Μὴ δῆτα σύ γ', ἀλλ' ἐνθένδ' ἀνίει τἀγαθά.

Αἰ. Τὴν γῆν ὅταν νομίσωσι τὴν τῶν πολεμίων

Εἶναι σφετέραν, τὴν δὲ σφετέραν τῶν πολεμίων,

Πόρον δὲ τὰς ναῦς, ἀπορίαν δὲ τὸν πόρον.

Δι. Εὖ, πλήν γ' ὁ δικαστὴς αὐτὰ καταπίνει μόνος.

Πλου. Κρίνοις ἄν; Δι. αὕτη σφῷν κρίσις γενήσεται,

Αἱρήσομαι γὰρ, ὅνπερ ἡ ψυχὴ θέλει.

Εὐ. Μεμνημένος νυν τῶν θεῶν, οὓς ὤμοσας,

Ἦ μὴν ἀπάξειν μ' οἴκαδ', αἱροῦ τοὺς φίλους.

Διον. Ἡ γλῶττ' ὀμώμοκ', Αἰσχύλον δ' αἱρήσομαι.

Εὐ. Τί δέδρακας ὦ μιαρώτατ' ἀνθρώπων; Δι. ἐγώ;

Ἔκρινα νικᾶν Αἰσχύλον, τιὴ γὰρ οὔ;

Εὐ. Αἴσχιστον ἔργον μ' ἐργασάμενος προσβλέπεις.

Δι. Τί δ' αἰσχρὸν, ἢν μὴ τοῖς θεωμένοις δοκῇ;

Εὐ. Ὦ σχέτλιε, περιόψει με δὴ τεθνηκότα;

Δι. Τίς οἶδεν, εἰ τὸ ζῆν μέν ἐστι κατθανεῖν,

Τὸ πνεῖν δὲ δειπνεῖν, καὶ τὸ καθεύδειν κώδιον;

Πλ. Χωρεῖτε τοίνυν ὦ Διόνυσ' εἴσω. Δι. τί δαί;

Πλου. Ἵνα ξενίζω σφὼ, πρὶν γ' ἀπελθεῖν. Δι. εὖ λέγεις

Νὴ τὸν Δί', οὐ γὰρ ἄχθομαι τῷ πράγματι.

A *Quibus vtitur Respub. viris? num bonis?*

BA. At vnde? pessimè odit. Æs. at gaudet malis?

BA. Minimè, sed illis ad vim faciẽdam vtitur.

Æs. Quomodo igitur talem vrbem seruet quispiam?

Cui neque Lana, neq; sagulum rectè congruit?

BA. Quæso reperi aliquid, an emergat denuò.

B *Æs. Illic memorem, hic non est integrum proloqui:*

BA. Minimè, sed hic dimitte, quæ censes bona.

Æs. Quando hostiũ terrã habituri sunt pro sua:

Suamq; pro hostili: naues, pro recta via:

Viam terrestrem pro re dubia & perdita.

BA. Benè, nisi quòd ea iudex solus deuorat.

PL. Feras sententiam. BA. hanc relinquam vos penes.

C *Ego enim eligam, quicunq; animo arridet meo.*

EV. Memor igitur esto Deorũ, quos iuraueras:

Hinc abducturum me domum: elige me tibi.

BA. Lingua mea iurauit: ego mihi eligam Æschylum. { *BA. egóne?*

EV. Scelestissime hominum, quid nam fecisti?

Victorem iudico Æschylum esse, quippeni?

EV. Turpissimè me aduersus egisti aspiciũ?

D *BA. Cur turpe, si secus spectator iudicet?*

EV. O scelus, an despicies etiam me mortuum?

BA. Ecquis scit, anne viuere nostrum sit mori:

Spirare, sit cœnare: dormire sit ouis

Vellus? PL. agè, ite intrò, Dionyse. BA. quamobrem? cedò.

PL. Vt excipiam vos hospitio meo, antequam abeatis. BA. benè mones: ego non ægrè fero.

E

Σχόλ. Πόθεν] ἀρνητικῶς ἴσον τῷ οὐδαμόθεν. πρὸς βίαν δὲ πρὸς ἀνάγκην, ἐπειδὴ τούτους ὁ καιρὸς ἤγαγεν. Ἡ μήτε σισύρα.] χλαίνης εἶδος εὐτελὲς. οἱ ἐξαυτῆς δὲ ἁπλοΐς ἢ σισύρα, ... ἀλλαχοῦ. χειμῶνες ὄντες τε σισύρας ... φέλλιον. τινὲς δὲ ἱμάτιον τραχὺ ... αἰγοικικόν. ... παλαιὸν, ἢ χιτὼν διφθέρα. ... ὁπότερος ... τὴν σισύραν ἐκδύσῃ ... τέλος ἡ ἐχλαρὸς πολίτης συμφέρει. πρὸς δὲ τὸ ... φοραι. ἐν τισὶ καὶ σισύρα σισύρνη ... αὐτὸ, πλὴν ὅτι ἡ μὲν σισύρα, ... ἐκ δερμάτων αἰγείων. ἡ δὲ χλαῖνα ἀπὸ ἐρίων. Εἴπερ ἀναδύσει.] ἀνελθεῖν ἐκ τῆς δυστυχίας ὡς ἐκ βυθοῦ. εἴρηται δὲ ἐκ μεταφορᾶς τῶν βυθιζομένων ... Ἐκεῖ φράσαιμ' ἄν.] ἐν τῷ βίῳ. ἀπολυθεὶς δὲ ... Ἀλλ' ἐνθένδ' ἀνίει τἀγαθά.] ... ἀνάπεμπε. ... ἐπεὶ βούλεται ... τἀγαθά. Τὴν γῆν ὅταν νομίσωσι.] τὴν Περικλέους ... γνώμην λέγει. εἰ τὴν μὲν ... ὡς πολεμίαν ... τὴν δὲ Λακωνικὴν ... G Περικλέους φέρεται γνώμη. ὃς συνεβούλευσε ... τὴν πολιτείαν. μὴ μάχεσθαι δὲ τεμνομένης τῆς Ἀττικῆς. ἄλλως. τοιαύτην γνώμην ὁ Περικλῆς συνεβούλευσεν Ἀθηναίοις Λακεδαιμονίων εἰσβαλόντων εἰς τὴν Ἀττικὴν, μέγα βοῶν ἀπὸ τοῦ βήματος. ὡς ἐὰν ἄλλως ... τοῖς πράγμασι ... εἰ μὴ τὸ κατὰ γῆν μάχεσθαι ... τοὺς ἀφέντες ... Λακεδαιμονίων ...

ναῦν. Πόρον δὲ τὰς ναῦς.] καὶ τοῦτο κατὰ τὴν Περικλέους γνώμην. ὃς ἐκέλευσεν Ἀθηναίοις, ἐμβαλόντων Λακεδαιμονίων εἰς τὴν Ἀττικὴν, μὴ ἐπεξιέναι, ἀλλ' ἔσω τείχους μένειν. αὐτοὺς δὲ διὰ τῶν πλοίων ἐπιέναι τῇ Λακωνικῇ. τὸν οὖν κατὰ γῆν πόρον, ἀπορίαν ἡγεῖσθαι. τὸν δὲ διὰ θαλάσσης τοῦτον ἡγεῖσθαι πόρον. ἢ καὶ οὕτως. ἵνα μὲν πόρον ἡγεῖσθαι χρημάτων, τὸ ναῦς ὡς πλείστας ἔχειν. τὸν δὲ ἄλλον πόρον. ὃς ἂν ἔξω τῆς γῆς ᾖ, τοῦτον ἀπορίαν νομίζειν. εἶτα τὰ θεωρικὰ, ἢ δικαστικὰ, ἢ ἐκκλησιαστικά. συμβουλεύει οὖν πᾶσαν τὴν ἐν τούτοις γινομένην δαπάνην, ταῖς ναυσὶν ἀφορίζειν. πρὸς ταύτην δὲ τὴν ἔννοιαν, καὶ τὸ ἐπιφερόμενον ἀκόλουθον. φησὶ γὰρ ὁ Διόνυσος. Πλήν γ' ὁ δικαστὴς αὐτὰ καταπίνει μόνος] ὡς πολλῶν ὄντων τῶν δαπανωμένων εἰς τὸν δικαστικὸν μισθόν. τοῦτο δὲ παρ' ὑπόνοιαν εἶπε. νοεῖται μὲν γὰρ κατὰ τὸ φανερὸν ὅτι ἐγὼ μόνος ὁ δικάζων ὑμῖν κατὰ νοῦν ταῦτα λαμβάνω καὶ ἀποδέχομαι. τῇ δὲ ἀληθείᾳ κατηγορίαν Ἀθηναίων ἐμφαίνει, ὡς δωροδοκούντων καὶ μισθοὺς πολλοὺς ... δίκας διδόντων. τὸ δὲ κρίνοις ἄν, τινὲς τὸν Πλούτωνα λέγειν ἀξιοῦσιν. αἱροῦ δὲ τοὺς φίλους. ἀντὶ τοῦ ἐμὲ λάβε. Ἡ γλῶττ' ὀμώμοκε.] παρὰ τὰ ἐξ Ἱππολύτου. ἡ γλῶττ' ὀμώμοχ', ἡ δὲ φρὴν ἀνώμοτος. Τί δ' αἰσχρὸν ἢν μή.] παρὰ τὰ ἐξ Αἰόλου Εὐριπίδου. τί δ' αἰσχρὸν ἢν μὴ τοῖσι χρωμένοις δοκῇ. Τὸ πνεῖν δὲ δειπνεῖν.] παρὰ τὰ ἐκ Φρίξου Εὐριπίδου. τὸ δὲ κώδιον προσέθηκεν ἐπειδὴ καθεύδειν ἔφη. ἄλλως. τοῦτο ἐξ Ἱππολύτου δράματος. τίς οἶδεν εἰ τὸ ζῆν μέν ἐστι κατθανεῖν. τὸ κατθανεῖν δὲ ζῆν. ὑπονοεῖ δὲ τὸ κατθανεῖν.

κατθανεῖν Ἀριστοφάνης δέ φησι τὸ πίνειν δὲ δειπνοῦντι καὶ τὸ καθεύδειν κάλλιον. πεποίηκε δὲ τοῦτο ἐπειδὴ ὁ Διόνυσος οὐδὲν ἕτερον ἀγαπᾷ ἢ δειπνεῖν καὶ καθεύδειν ἐν μαλακοῖς στρώμασιν εἰωθὼς διὰ καλλίων.

ΧΟΡΟΣ.

Bisetvs. Ὁ χορὸς τὴν σοφίαν, ἣ συνέσιν ὑπερφυῶς ἐπαινῶν, καὶ τὰς τούτων τῆς ἀρετῆς ὠφελείας καλῶν

Chorvs.

Αἰσχύλου καθάπερ εὕρημα προτιθεὶς δηλοῖ.

Κορωνὶς. χο. εἴσθεσις χοροῦ B ἰσομετρικὴ ἐκ κώλων ιη.

Χο. Μακάριός γ' ἀνὴρ ἔχων
Ξυνέσιν ἠκριβωμένην.
Παρὰ δὲ πολλοῖσι μαθεῖν.
Ὅδε γὰρ εὖ φρονεῖν δοκήσας,
Πάλιν ἄπεισιν οἴκαδ' αὖθις,
Ἐπ' ἀγαθῷ μὲν τοῖς πολίταις,
Ἐπ' ἀγαθῷ δὲ τοῖς ἑαυτοῦ
Ξυγγενέσι τε καὶ φίλοις,
Διὰ τὸ ξυνετὸς εἶναι.
Χαρίεν οὖν μὴ Σωκράτει
Παρακαθήμενον λαλεῖν.
Ἀποβαλόντα μουσικήν,
Τά τε μέγιστα παραλιπόντα
Τῆς τραγῳδικῆς τέχνης.
Τὸ δ' ἐπὶ σεμνοῖσι λόγοις,
Καὶ σκαριφισμοῖσι λήρων
Διατριβὴν ἀργὸν ποιεῖσθαι
Παραφρονοῦντος ἀνδρός.

Ch. Homo beatus ille, qui
Bene animum politum habet.
Datur enim multis discere.
Equidem hic Æschylus repertus
Sapere, nunc domum redibis,
Homo suæque ciuitati,
Homo suisque dein propinquis
C Vtilis, atque amiculis:
Cùm adeò sapiat aqua.
Itaque pulcrum est, Socrate
Procul omisso, haud discere
Garrulitatem, & Musicam
Reijcere artis Tragicæ.
Tumida verò proloqui:
Magnificéque nugando
D Terere tempus otiosum;
Hominis imperiti est.

Σχόλια. Μακάριον.] κορωνὶς καὶ εἴσθεσις χοροῦ ἰσομετρικὴ διὰ τὸ μὴ τὴν κορωνίδα κεῖσθαι ἐκ κώλων τροχαϊκῶν ἐπιμεμιγμένων χορείοις καὶ ἰάμβοις καὶ ἀναπαίστοις διμέτρων ιη. ὧν τὰ μὲν α β γ ι ια ιβ καὶ ιη. καταληκτικά, ὧν τὸ ἔσχατον μιμεῖται Εὐριπίδειον ἢ ληκύθιον. τὰ δ' ἄλλα ἀκατάληκτα πλὴν τοῦ θ. καὶ τελευταῖον βραχυκατάληκτον ἰθυφαλλικόν. ἐπὶ τῷ τέλει κορωνίς. λείπει δὲ τὸ πρᾶγμα. ἵν' ᾖ μακάριον πρᾶγμα. φίλους δὲ νῦν ὡς καὶ ἡμεῖς. πολλαχοῦ δὲ τοὺς συγγενεῖς καὶ ἀναγκαίους. Χαρίεν οὖν.] ὅτι νῦν πρὸς Σωκράτην ἑταιρείαν δηλοῖ. Παναίτιος δὲ ὅλα ταῦτα περὶ ἑτέρου Σωκράτους φησὶ λέγεσθαι, τοῦ περὶ σκηνὰς φλυάρου, ὡς Εὐριπίδης. ἄλλως. τὸν Σωκράτη ἐνταῦθα κατηγορεῖ. ζῶν γὰρ αὐτὸς ὡς πολυλόγος κατηγορεῖτο, ὅτι πολλοὺς λόγους ἐν τοῖς ἐργαστηρίοις καὶ τραπέζαις διεξήρχετο περὶ φιλοσοφίας. λέγει οὖν ὅτι καλὸν ἐστι, μὴ μετ' αὐτοῦ τινα διάγοντα ἀφεῖναι τοὺς ποιητὰς τοιούτους ὄντας ὡς καὶ μετὰ θάνατον ἀναβιοῦν αὖθις δύνασθαι. ὃ νῦν Αἰσχύλος ἔτυχε. Καὶ σκαριφισμοῖς.] σκινδαλμοῖς, συμμέτροις καὶ συνδετοῖς. παρόσον ἐν αἰνιγμοῖς οἱ φιλόσοφοι διελέγοντο. ἢ τοῖς σκαριφισμοῖς καὶ λεπτολογίαις. σκιαγραφίαις. σκαριφεύειν γὰρ τὸ τοὺς ζωγράφους ὑποτυποῦσθαι πρῶτον τοὺς γραφομένους. καὶ σκαριφᾶσθαι ἐπὶ τὸ ἐπισυρμένως τὶ ποιεῖν καὶ μὴ κατὰ τὴν προσήκουσαν ἀκρίβειαν σκιαγραφεῖν. εἰσὶ δὲ καὶ οἱ φιλόσοφοι λόγοι ὥσπερ σκιαὶ καὶ αἰνίγματα. διὰ τὸ ἀεροῦδες αὐτῶν καὶ λεπτόν. ἴσως δὲ ἐντεῦθεν καὶ τὸ ἐν τῇ συνηθείᾳ σκάριφος. ἤγουν τὸ κάρφος καὶ φρύγανον, μᾶλλον δὲ ἡ γραφίς. Παραφρονοῦντος ἀνδρός.] λείπει τὸ, ἐστίν. ὡς καὶ τὸ Ὁμηρικὸν, οὐδ' ὅ γε τεθνάναι. καὶ εἰν Ἀΐδαο δόμοισι. λείπει γὰρ κἀνταῦθα τὸ ἐστί.

F

ΔΡΑΜΑΤΟΣ ΤΟΥ ΠΕΜΠΤΟΥ Σκηνὴ πέμπτη.

ΠΛΟΥΤΩΝ, ΑΙΣΧΥΛΟΣ, ΧΟΡΟΣ.

Actvs V. Scena V.

Plvto, Æschylvs, Chorvs.

Bisetvs. Πλούτων Αἰσχύλῳ ἐξ Ἅδου ἀναχωροῦντι χαίρειν λέγει, καὶ τί ὑπ' αὐτοῦ Ἀθήνῃσι ποιεῖσθαι ἐθέλοι, διὰ βραχέων διδάσκει. Πάλιν δὲ καὶ ὁ G Αἰσχύλος τὸν Σοφοκλέα τῷ Πλούτωνι σύνεστάναι, ὅπως τὸν ἑαυτοῦ θρόνον, διὰ τὸ σοφίᾳ δεύτερον κριθῆναι, βεβαίως τηρήσῃ Εὐριπίδου ἐκεῖθεν ἀπελαθέντος.

Ἔκθεσις τοῦ δράματος, ὃ καὶ ἐπίλογος καλεῖται, ἐκ κώλων κδ.

Πλυ. Ἄγε δὴ χαίρων Αἰσχύλε χώρει,
Καὶ σῷζε πόλιν τὴν ἡμετέραν
Γνώμαις ἀγαθαῖς, καὶ παίδευσον
Τοὺς ἀνοήτους (πολλοὶ δ᾽ εἰσί)
Καὶ δὸς τουτὶ Κλεοφῶντι φέρων,
Καὶ τουτοὶ τοῖσι ποριςαῖς
Μύρμηκί θ᾽ ὁμοῦ καὶ Νικομάχῳ,
Τόδε δ᾽ Ἀρχενόμῳ,
Καὶ φράζ᾽ αὐτοῖς, ταχέως ἥκειν
Ὡς ἐμὲ δευρὶ, καὶ μὴ μέλλειν.
Κἂν μὴ ταχέως ἥκωσι,
Νὴ τὸν Ἀπόλλω στίξας αὐτοὺς,
Καὶ συμποδίσας,
Μετ᾽ Ἀδειμάντου τοῦ Λευκολόφου,
Κατὰ γῆς ταχέως ἀποπέμψω.
Αἰ. Ταῦτα ποιήσω. σὺ δὲ τὸν θᾶκον
Τὸν ἐμὸν παράδος Σοφοκλεῖ τηρεῖν
Καὶ σώζειν, ἢν ἄρ᾽ ἐγώ ποτε
Δεῦρ᾽ ἀφίκωμαι. τοῦτον γὰρ ἐγὼ
Σοφίᾳ κρίνω δεύτερον εἶναι,
Μέμνησο δ᾽, ὅπως ὁ πανοῦργος ἀνὴρ,
Καὶ ψευδολόγος, καὶ βωμολόχος,
Μηδέποτ᾽ εἰς τὸν θᾶκον τὸν ἐμὸν,
Μηδ᾽ ἄκων ἐγκαθεδεῖται.
Πλυ. Φαίνετε τοίνυν ὑμεῖς τούτῳ
Λαμπάδας ἱερὰς, χἄμα προπέμπετε,
Τοῖς τούτου τοῦτον μέλεσι,
Καὶ μολπαῖς κελαδοῦντες.

A Pl. *Age verò, Æschyle, læto pede abi,*
Et serua nostram Rempublicam
Præceptis vtilibus: ciues
Stolidos, quorum multi sunt, doce.
Cleophonti autem isthuc fer munus:
Et publicanis hisce vrbis,
Myrmeci pariter, & Nicomacho,
Atque Archenomo:
Et dic illis, vt citò veniant
B *Huc ad me, sublata omni mora.*
Ni celeriter huc aduenient,
Ita me Phœbus amet, cadam ipsos:
Et quadrupedes
Constringam: & Adimanto iunctos,
Sub terræ viscera demittam.
Æs. Effecta hæc dabo: sed tu sedem
Committe meam Sophocli, vt seruet,
C *Et tueatur, si fortè huc ego*
Redeam, nam ego sua hunc sapientia,
A me esse secundum, iam statuo.
Memineris verò, ne vafer hic,
Et vaniloquus scurra, homo futilis,
Vnquam interea sedem isthanc meam,
Inuitus licet, obsideat.
Pl. Præferte facem, & prælucete
D *Huic, & honestè illum deducite:*
Vatémque suis Carminibus,
Et cantu celebrate.

Σχόλια. Ἄγε δὴ χαίρων.] ἔκθεσις τοῦ δράματος ὃ καὶ ἐπίλογος καλεῖται, ἐκ κώλων διμέτρων ἀναπαιστικῶν κη. ὧν τὰ ϛ ια ιε κδ κζ ἐφθημιμερῆ. τὰ δὲ λοιπὰ ἀκατάληκτα, πλὴν τοῦ η καὶ ιγ μονομέτρων. ἐφ᾽ ἑκάστης περιόδου τέλει ὁ συστήματος παράγραφος. Τὴν ἡμετέραν.] πάντας γὰρ οἱ θεοὶ αὐτὴν οἰκοῦμεν διὰ τὴν πρὸς ἡμᾶς εὐσέβειαν. Καὶ δὸς τουτὶ Κλεοφῶντι.] ἴσως τι χοινίον δίδωσιν αὐτῷ ὁ Πλούτων, πρὸς ἀγχόνην. ὅτι τοιοῦτο σύμβολον θανάτου. ὡς ξένος δὲ ὁ Κλεοφῶν κωμῳδεῖται. ἢ ὅτι γέρων ὢν ἔμελλε μετ᾽ ὀλίγον τεθνήξεσθαι. ἢ ὡς ἀγχόνης ἄξια ἔπραττε. Καὶ τούτοις τοῖσι ποριςαῖς] τοῖς φορολόγοις τούτους λέγει, τοὺς περὶ πόρου χρημάτων εἰσηγουμένους. εἴη δ᾽ ἂν χοινίον, ὃ ἐπιδίδωσιν αὐτοῖς. Μύρμηκι θ᾽ ὁμοῦ.] ὀνόματα κύρια. ἐπὶ πονηρίᾳ δὲ οὗτοι ἐκωμῳδοῦντο. οὐ πάντως δὲ ὁ Μύρμηξ τῶν ποριςῶν ἐστὶν ἀλλὰ δὴ οἴονται ἀπὸ ἄλλης ἀρχῆς. οὐδὲ γὰρ ὁ Νικόμαχος. ἀλλὰ ἤτοι ὁ τραγικὸς ὑποκριτὴς ἢ ὁ πολίτης. περὶ ὧν προείρηται. τί δ᾽ ἂν εἴη διδοὺς τάχα βρόχους πρὸς ἀγχόνην ἤ τι τοιοῦτον. ξυμποδίσας δὲ συνδήσας τοὺς πόδας. Τοῦ Λευκολόφου.] εἴη ἂν οὗτος ὁ τοῦ Λευκολοφίου, οὗ καὶ Πλάτων μέμνηται ἐν τῷ Πρωταγόρᾳ. ἦν γὰρ τῶν περὶ τοὺς καιροὺς τούτους στρατηγούντων. ἡγεῖτο δὲ τοῦ μέρους τοῦ ναυτικοῦ. τάχα δ᾽ ἂν οὗτος εἴη, ὃν καὶ παραγεγραμμένον λέγουσιν, οἰκεῖον γὰρ αὐτῷ, τὸ στίξας αὐτούς. ἀντὶ τοῦ στιγματίας καὶ μαστιγίας. ἦν γὰρ ξένος. ἄλλως. στρατηγὸς ἦν τοῦ ναυτικοῦ, καὶ Εὔπολις μέμνηται ἐν πόλεσιν οὕτω περὶ τοῦ Ἀδειμάντου. ἵνα ἀργαλέον δῆτ᾽ ἐστὶ πάσχειν. τὸν ἐμὲ τὸν Λευκολόφου παῖδα. Ἢν ἄρ᾽ ἐγώ ποτε.] ἀναστρεύσεις ὡς ἔτι πάλιν εἰς ᾅδου ἀφίξεται. Μηδ᾽ ἄκων.] οὐ μὴ δὲ εἴ τινες ἄκοντα τοῦτον λαβόντες καθίσαι θελήσουσι. Φαίνετε.] πρὸς τὸν χορόν. ἀντὶ τοῦ ἀνάπτετε ὦ μύσται.

E F

ΧΟΡΟΣ.

CHORVS.

Ἡ τελευταία τοῦ δράματος ἔκθεσις ἐκ στίχων ϛ.

Χο. Πρῶτα μὲν εὐοδίαν ἀγαθὴν ἀπιόντι ποιητῇ
Ἐς φάος ὀρνυμένῳ δότε δαίμονες οἳ κατὰ γαίας,
Τῇ τε πόλει μεγάλων ἀγαθῶν ἀγαθὰς ἐπινοίας,

BA. *Principiò facilémque viam, & bona signa Poëtæ,*
G *Dum redit ad superos, date vos pia numina terræ:*
Nostráque consiliis defendite mœnia vestris,

Σχόλια. Πρῶτα μὲν εὐοδίαν.] ἡ τελευταία ἔκθεσις τοῦ δράματος, ἐκ στίχων ἐπὶ δακτυλικῶν ϛ. ἐπὶ τῷ τέλει κορωνὶς ἣ καὶ τὸ δρᾶμα ἀποπερατοῦται. εὐοδίαν δὲ εὐκολίαν περὶ τὴν ὁδόν. ταῦτα δὲ παρὰ τὰ ἐν Γλαύκῳ Ποτνιεῖ Αἰσχύλου. εὐοδίας μὲν πρῶτα, ἀπὸ στόματος χέομεν.

Πάγχυ γὰρ ἐκ μεγάλων ἀχέων παυσαίμεθ' ἂν οὕτως,
Ἀργαλέων τ' ἐν ὅπλοις ξυνόδων. Κλεοφῶν δὲ μαχέσθω,
Κἄλλος ὁ βουλόμενος τούτων πατρίοις ἐν ἀρούραις.

A Sic equidem innumeris releuabimur vndique damnis,
Et strepitu armisono: Cleopho sua pralia tractet,
Et male quisquis amat, patrio super orbe, tumultus.

Σχόλια. Παυσαίμεθ' ἄν.] τὸ παυσαίμεθα εἶπεν ὁ χορὸς διότι τῷ μὲν δοκεῖν, ἐν ᾅδου ἦν. τὸ δ' ἀληθὲς Ἀθήνησιν ἔνθα ἐτελεῖτο τὸ δρᾶμα. ξυνόδων δὲ, συμπλοκῶν ἃς ἡ πόλις νῦν πάσχει. Κλεοφῶν δὲ μαχέσθω.] παρόσον ὡς Ἀριστοτέλης φησὶ μετὰ τὴν ἐν Ἀργινούσαις ναυμαχίαν, Λακεδαιμονίων βουλομένων ἐκ Δεκελείας ἀπιέναι, ἐφ' οἷς ἔχουσιν ἑκάτεροι, καὶ εἰρήνην ἄγειν ἐπὶ τοῦ Καλλίου, Κλεοφῶν ἔπεισε τὸν δῆμον μὴ προσδέξασθαι, ἐλθὼν εἰς τὴν ἐκκλησίαν μεθύων καὶ θώ- B ρακα ἐνδεδυκὼς, οὐ φάσκων ἐπιτρέψειν, ἐὰν μὴ πάσας ἀφῶσι τὰς πόλεις οἱ Λακεδαιμόνιοι. ἔστι δὲ ὁ Κλεοφῶν, ὡς ξένος κωμῳδεῖται καὶ βάρβαρος. οὗ καὶ ἄνω ἐμνήσθη εἰπὼν φιλοτιμότεραι Κλεοφῶντος ἐφ' οὗ χείλεσιν ἀμφιλάλοις δεινὸν ἐπιβρέμει θρηκία χελιδών. μαχέσθω οὖν φησι Κλεοφῶν καὶ οἱ ἄλλοι ὅσοι τούτῳ ὅμοιοί εἰσιν, ἐν τῇ πατρίδι αὐτῶν, καὶ μὴ ἐν τῇ Ἀττικῇ κινείτωσαν πολέμους· οὐ γάρ ἐστιν αὐτοῖς πατρὶς αὕτη. Πατρίοις ἐν ἀρούραις.] ἐν ταῖς ἑαυτῶν ἀρούραις. κωμῳδεῖ δὲ αὐτοὺς ὡς ξένους.

ΤΕΛΟΣ ΒΑΤΡΑΧΩΝ.

FINIS RANARVM.

ΥΠΟΘΕΣΙΣ ΙΠΠΕΩΝ ΑΡΙΣΤΟΦΑΝΟΥΣ.

Τὸ δρᾶμα τοῦτο πεποίηται εἰς Κλέωνα, τὸν Ἀθηναίων δημαγωγόν. ὑπόκειται δὲ ὡς Παφλαγὼν νεώνητος δουλεύων τῷ δήμῳ, καὶ προαγόμενος παρ' αὐτῷ περιττότερον. ἐπιτιθεμένων δὲ αὐτῷ δυοῖν τοῖν ὁμοδούλοιν, καὶ κατά τινα λόγια πονηρίᾳ διάσημον ἀλλαντοπώλην Ἀγοράκριτον ἐπαγόντοιν ὡς ἐπιτροπεύσῃ τοῦ δήμου τῶν Ἀθηναίων, αὐτοὶ οἱ Ἀθηναίων ἱππεῖς συλλαβόντες, ἐν χοροῦ σχήματι παραφαίνονται. ὑφ' ὧν περιπληττόμενος ὁ Κλέων ἀγανακτεῖ. καὶ διενεχθεὶς ἱκανῶς περὶ τοῦ ἀνώτερος εἶναι τῶν ἐναντιουμένων, σφᾶς ὡς συνομωμοκότας κατὰ τῆς πόλεως πρὸς τὴν βουλὴν ἵεται. διώξαντος δὲ καὶ τοῦ Ἀλλαντοπώλου κατὰ πόδας οἱ ἱππεῖς, περί τε τοῦ ποιητοῦ τινὰ καὶ τῶν προγόνων, ἔτι δὲ καὶ τῶν κινδυνευόντων σφίσιν ἐπὶ ταῖς μάχαις, πρὸς τοὺς πολίτας ἁδρότερος διαλέγονται. ὅ, τε Ἀλλαντοπώλης παραγεγενημένος ἐν βουλῇ μάλα γελοίως κατὰ τοῦ Κλέωνος, καὶ λοιδορούμενος αὖθις αὐτῷ προσέρχεται. ἐκκαλεσαμένου δὲ τοῦ Κλέωνος τὸν δῆμον, προσελθὼν οὗτος, διαφερομένων ἀκροᾶται. λόγων δὲ πολλῶν γινομένων κατὰ τοῦ Κλέωνος, τοῦ Ἀγορακρίτου μάλ' ἐντέχνως τοῖς ἐπιτιμήμασι καὶ ταῖς θωπείαις, καὶ προσέτι ταῖς ἐκ τῶν λογίων ὑπερβολαῖς κρατοῦντος, καταμικρὸν ὁ δῆμος τοῖς λόγοις συνεφέλκεται. δείσαντος δὲ τοῦ Κλέωνος κἀπὶ τὸ ψωμίζειν τὸν δῆμον ὁρμήσαντος, ἀντιψωμίζειν ἅτερος ἐγχειρεῖ. καὶ τέλος τοῦ δήμου τὴν ἑκατέρου σίτησιν συνιέντος, εἶτα τῆς μὲν κενῆς, τῆς δὲ τοῦ Κλέωνος μεστῆς ἀφ[ε]θείσης, ἐλεγχθεὶς αὐτὸς, ὥσπερ περιφανῆς τὰ τοῦ δήμου κλέπτων ἐκβάλλεται τῆς ἐπιτροπείας. μετὰ ταῦτα δὲ τὸν Ἀλλαντοπώλου τὸν δῆμον ἀφεψήσαντος, εἶτα νεώτερον ἐξ αὐτοῦ εἰς τὸ ἐμφανὲς γεγονότα προαγαγόντος Κλέων περιῃρημένος τὴν Ἀγορακρίτου θατέραν σκευὴν ἐπὶ παραδειγματισμοῦ διὰ μέσης πόλεως Ἀλλαντοπωλῶν ἀνὰ μέρος καὶ τῇ τέχνῃ χρησόμενος πέμπεται, καὶ ἡ ἐπιτροπὴ τῷ Ἀλλαντοπώλῃ παραδίδοται. Τὸ δὲ δρᾶμα, τῶν ἄγαν καλῶς πεποιημένων. ἄλλως. Ὁ σκοπὸς αὐτῷ πρὸς τὸ καθελεῖν Κλέωνα. ἐστὶ γὰρ βυρσοπώλης ὢν ἐκράτει τῶν Ἀθηναίων ἐκ προφάσεως τοιαύτης. Ἀθηναῖοι πόλιν Πύλον λεγομένην Σφακτηρίαν ἐπολιόρκουν διὰ Δημοσθένους στρατηγοῦ καὶ Νικίου. ὧν στρατηγῶν χρονισάντων, ἐδυσχέραινον οἱ Ἀθηναῖοι. καὶ εἰς ἐκκλησίαν συνελθόντων αὐτῶν καὶ ἀδημονούντων, Κλέων τις βυρσοπώλης ἀναστὰς ὑπέσχετο δεσμίους φέρειν τοὺς ἐναντίους, εἴσω εἴκοσιν ἡμερῶν, εἰ στρατηγὸς αἱρεθείη. ὅπερ καὶ γέγονε, κατὰ τὰς ὑποσχέσεις οὖν ἐστρατήγει, κυκῶν τὴν πόλιν. ἐφ' οἷς μὴ ἐνεγκὼν Ἀριστοφάνης καθίησι τὸ τῶν ἱππέων δρᾶμα δι' αὐτόν. ἐπεὶ τῶν σκευοποιῶν οὐδεὶς ἐπλάσατο τὸ τοῦ Κλέωνος πρόσωπον διὰ φόβον. καὶ τὰ μὲν πρῶτα κρύπτει φοβούμενος. εἶτα προφανῶς αὐτὸ ἀνεδίδαξε τὸ δρᾶμα. Ἔοικεν ὁ προλογίζων εἶναι Δημοσθένης ὃς ἐκεκμήκει περὶ τὴν Πύλου πολιορκίαν. ἀφῃρέθη δὲ τὴν στρατηγίαν ὑπὸ Κλέωνος ὑποσχομένου πῶς τοῖς Ἀθηναίοις, παραστήσασθαι τὴν Πύ-

λον εἴσω καὶ ἡμικρόν. ὃ καὶ κατώρθωσε, διὰ τὸ πλεῖστα τῆς ἁλώσεως προσπεποιῆσθαι Δημοσθένει. ἔοικε δὲ ὡς ἐπὶ οἰκίας δεσποτικῆς ποιεῖσθαι τὸν λόγον. εἴη δ' ἂν δεσπότης ὁ δῆμος. οἰκία ἡ πόλις. οἰκέται δὲ δύο τοῦ δήμου προλογίζουσι, κακῶς πάσχοντες ὑπὸ Κλέωνος. ὁ δὲ χορὸς ἐκ τῶν ἱππέων ἐστὶν, οἳ καὶ ἐζημίωσαν τὸν Κλέωνα πέντε ταλάντοις, ἐπὶ δωροδοκίᾳ ἁλόντα. λέγουσι δὲ τῶν οἰκετῶν, τὸν μὲν εἶναι Δημοσθένην, τὸν δὲ Νικίαν, ἵνα ὦσι δημηγόροι οἱ δύο.

Ἄλλως, διὰ στίχων, Ἀριστοφάνους τοῦ γραμματικοῦ.

Παράγει τινὰ Κλέωνα τὸν καλούμενον
Παφλαγόνα, καὶ ἔτι βυρσοπώλην, πικρότατα
Καταθέοντα πως τὰ κοινὰ χρήματα
Κἂν παραλογισμοῖς διαφοροῦντ' ἐρρωμένως,
Ἀλλαντοπώλην, εὐθέως σκατοφάγον
Πεισθέντα τ' ἐπιθέσθαι σὺν ἱππεῦσί ποι
Τοῖς ἐν χορῷ παροῦσι τῇ τῶν πραγμάτων
Ἀρχῇ. Κλέωνος τ' ἐν μέσῳ κατηγορεῖ.
Ἐγένετο τοῦτ'. ἐξέπεσεν ὁ Κλέων παγκάκως
Ὁ δὲ σκατοφάγος ἔτυχε προεδρίας καλῆς.

Ἐδιδάχθη τὸ δρᾶμα ἐπὶ Στρατοκλέους ἄρχοντος δημοσίᾳ εἰς Λήναια δι' αὐτοῦ Ἀριστοφάνους. πρῶτος ἐνίκα. δεύτερος, Κρατῖνος Σατύροις. τρίτος Ἀριστομένης, Ὀλοφύροις. Ἰστέον ὅτι εἰς δ' μέρη διῄρητο ὁ δῆμος τῶν Ἀθηναίων εἰς πεντακοσιομεδίμνους, εἰς ἱππέας, εἰς ζευγίτας, καὶ εἰς θῆτας.

OCCASIO FABVLÆ.

EX FRISCLINO.

ATHENIENSES, ducibus Demosthene & Nicia, insulam quandam Pylum, vel vt alij, vrbem, alio nomine Sphacteriam dictam, obsidebant, anno belli Peloponnesiaci septimo: vt refert Thucyd. lib. 4. In ea Lacedæmonij præsidium habebant, ad quod noctu subintrantes, commeatum, & alia necessaria clàm importabant. Cùm autem obsidio in longum tempus extraheretur: & obsidentes foris plus difficultatis & inopiæ paterentur, quàm obsessi: mittunt legatos Athenas: inter quos fuit & Nicias, alter Ducum: qui iuberet vel pacisci cum Lacedæmonijs (id quod Lacedæmonij ab Atheniensibus postularant: sed Cleone dissuadente non impetrârant) vel subsidium aliquod, aut cibaria mittere: alioquin obsidionem dissolutum iri. Hoc cùm graue Atheniensibus videretur, & multi in Cleonem eam culpam transferrent: qui anteà intercessisset, quò minus in istas conditiones cum Lacedæmoniis itum esset: ibi Cleo in concilio surgens, omnem hanc moram & culpam in duces retorquebat, iactitans se intra vigesimum diem, si dux sit, capturum fuisse Pylon. Paratus igitur se abdicare imperio Nicias, Cleoni cedit. Atque hic, quòd Niciam simulare rem crederet, se initiò promptum ostendebat, ad suscipiendum imperium. Sed vbi vidit rem seriò agi, mox tergiuersari cœpit. Itaque instante simul Nicia, simul aliis Atheniensibus, compulsus imperium suscipit: atque ad exercitus proficiscitur. Cæterùm vt ferè fit, quòd fortuna meliori indigniores vtuntur: postquàm iam in itinère esset Cleo, interim Demosthenes, cum exercitu, ad insulam appulit: & accensa fortè ibi sylua, quæ Atheniensibus fuerat aduersa, in spem expugnandæ insulæ peruenit. Vt ergo illam inuaderet, omnia apparabat, & tumultuaria auxilia è proximis locis contrahebat. Interea Cleon cum exercitu superuenit, & mox ambo coniunctis viribus inuadunt obsessos, atque in deditionem eos accipiunt. Quæ res postea Cleoni tantam autoritatem apud plebem creauit (quia promissa fides seruata erat, & ipse hanc victoriam, non casu aut fortuna, sed virtute & consilio, adeptus vulgò credebatur) vt penè vnus & solus Rempubl. deinceps teneret: omniaq́; pro suo arbitrio raptim atque turbatè ageret. Solent enim homines, quos ex humili magna ad fastigia rerum euexit, quando voluit fortuna iocari, rebus secundioribus efferri, & modum, qui in re qualibet optimum

mum est condimentum, excedere.) His de causis cæteri Principes, superbè & importunè ab illo facta, subinde inuidia grauabant: præsertim Nicias & Demosthenes, quibus ille belli gloriam, & victoriæ laudem præripuerat. Quam quidem inuidiam etiam hoc auxit, quòd humili loco esset natus: quippe ex patre coriario, ipse etiam coriarius: tum, quia pacem cum Lacedæmoniis inire dissuasisset: & magnis vociferationibus, legatos Lacedæmoniorum è senatu expulisset. Accedebant & alia flagitia: quòd peculator esset Reipub. quòd munerum captator: quòd adulator plebis. Hinc occasionem sumpsit Aristophanes, vt Cleonem per scenas traduceret: & malum ciuem esse ostenderet. Tametsi etiam priuata fuit causa Aristophani aduersus Cleonem: nempe, quòd ξενίας, id est, peregrinitatis, ab eo fuerat accusatus.

ARGVMENTVM IN EQVITES.

COMOEDIA hac exagitaturus Cleonem Poëta, introducit Niciam & Demosthenem, duces Athenienses, seruili habitu, & misera specie vestitos, qui de suis ærumnis & seruitute queritantur, & consilium de arripienda fuga ineunt. Sed quia hoc non satis tutum videbatur, idcirco alia via rem aggrediuntur, & primùm spectatoribus ingenium ac mores cuiusdam Paphlagonis, seu vociferatoris (hoc enim nomine Cleo notabatur) recitant, & flagitia in Rempublicam domi & foris perpetrata exponunt. Deinde vinum sibi afferri iubet Demosthenes, vt illo hausto, bonum consilium reperiat. Nicias domum ingressus herum Cleonem dormientem reperit, & vinum subductum effert. Eo accepto, & somno Cleonis cognito, Demosthenes iterum ad herum intrare iubet Niciam, & tabulas, in quibus arcana illius continebantur, proferre. Inspectis autem & lectis tabulis, oraculum deprehenditur, de Cleonis interitu, & de successione Allantopolæ seu fartoris cuiusdam, qui alio nomine dicebatur Agoracritus. Illis oraculum examinantibus, commodùm ipse Allantopola interuenit, cui spem consequendi imperij duo serui faciunt: partim, quòd ipse vir malus & audax esset (nam tales digni imperio tum habebantur) partim, quòd oraculum Reipublicæ administrationem ei deferret: Ei rei vt fidem maiorem faciant, oraculum ex tabula recitant, & quibus eum moribus præditum esse velint, lepidè perstringunt. Interim è crapuloso somno expergefactus Cleo, cùm seruorum suorum furtum animaduertisset, celeriter procurrit, & seruis tanquam coniuratis & seditiosis extrema mala comminatur. Fugit Agoracritus: sed Chorus equitum accedit, & animum illi ad opprimendum Cleonem adiicit. Qui mox confirmatus, Cleonem, frustra auxilium Senatus implorantem, verberibus multat. Cùm verò multis querelis, & magno clamore sublato, Cleo se defenderet, equitésque accusaret: Allantopola suum quoque clamorem contrà attollit. Exoritur grauis inter Cleonem & Agoracritum contentio. Nam mutuis se criminibus & calumniis proscindunt, & extremam internecionem sibi inuicem minantur. Chorus turbulenti Cleonis audaciam & peculatum execratus, Allantopolam exhortatur, vt productum Cleonem teneat, ac manifestorum scelerum coram populo reum agat. Qua voce incitatus Allantopola Agoracritus, primùm Cleoni, qui tarditatem linguæ, & ruditatem ei obiiciebat, opponit ipsius loquacitatem & clamores. Deinde Cleonis vitia sibi inesse fingit, & falsè hominem reprehendit. Tū vterque alteri, verbis quibusdam ex sua arte petitis, necem interminatur. Qua re animaduersa, Chorus Allantopolam admiratur: cùm fieri non posse existimasset, vt summa Cleonis dicacitas à quoquam superaretur. Hac oratione equitum denuò confirmatus Allantopola, Cleonem acriter inuadit: & alia multa crimina & flagitia illi obiicit. Sed Cleo nemini impudentia cessurum se affirmat. Cui respondet Agoracritus, & furem, & hominem perfidum, & scortatorem, & fellatorem seu Pathicum esse docet. Itaque noua oritur altercatio, & multis vtrimque conuiciis prolatis, Cleo rursum ab Allantopolà verberatur. Tandem graui ira percitus, in Prytanæum abit, vt coniuratores illic, coram Senatu Atheniensi accuset. Sed Allantopola relictis in theatro intestinis & cultro fartorio: ita monente Choro: celeriter subsequitur, vt se contra Cleo-

nis calumnias defendat. Illis digressis, Chorus primùm abeunti Agoracrito felicitatem precatur, deinde in Strophis & Antistrophis Neptunum ac Mineruam pro felici successu inuocat: in Epirrhematis autem & Antepirrhematis varia ac multa Atheniensium vitia carpit, comprimis, quòd boni Poëtæ, malorum hostes, in populi contemptu essent. Præterea res ac virtutes maiorum extollit, & his suæ ætatis hominum vitia opponit. Postremò Equitum virtutem tam in præliis naualibus, quàm terrestribus, cum summa frugalitate coniunctam commendat. Reuersus ex senatu Allantopola, rem illic contra Cleonis accusationem prosperè gestam Equitibus exponit, & orationem à se habitam recitat, in qua Cleonis morem exprimens, Senatum impudenter reprehendit, populo spem pacis, & rerum omnium copiam promittit: fœdus Lacedæmoniorum dissuadet, ac totius chori applausum consequitur. Illo sic perorante, mox adest & ipse Cleo, qui aduersario suo graues minas ingerit, sed falsè ab eodem eluditur. Paulò pòst vterque ad plebem prouocat. Vbi hæc vtriusque beneuolentiam cognoscit, & res pro patria gestas intelligit, constituit de ambobus paulò diligentius inquirere. Chorus Allantopolam, vt circumspectus sit, præmonet. Iactitante ibi Cleone sua in Remp. beneficia & merita, respondet Agoracritus, non esse viri liberalis, aliis eripere, quod alteri largiatur. Simul obiicit Cleoni furta & rapinas, perturbationes pacis, & alia scelera. Cui accusationi etiam Chorus Equitum adstipulatur: qui Cleonem seditionis arguit, quòd clypeis & armis in templo suspensis ansas reliquisset: quòd perturbata Republ. bona ciuium compilasset, vt aquam turbare solent, qui anguillas captant: quòd homo esset auarus & sordidus: quod denique etiam libidinosus & perquàm superbus. Quibus omnibus plebs, tanquàm conscia, lubens assentitur, & Cleonem detestatur. Ille aduersario trierarchiam comminatur: sed chorus silentium ei mandat. Victus ergo modis omnibus Cleo, magistratum deponere & anulum iubetur reddere. Vbi cùm nihil superesset præsidij, oracula se allaturum ait, quibus suam auctoritatem tueatur. Idipsum effecturum se promittit Allantopola. Cæterùm horum oraculorum auctores fuerant: Bacis, qui pro Cleone: & Glanis, qui pro Allantopola faciebat. Prior oraculum suum recitat Cleo, posterior Allantopola, idque alternatis vicibus. Sed ea ita comparata erant, vt facilè intelligeretur, Cleonem imperio submouendum, & in locum eius Allantopolam subrogandum. Cùm ergo & hac via nihil profecisset Cleo, ad vltimum remedium confugit: ac populum inescare constituit. Quod idem etiam Allantopola attentat. Digressis ambobus, Chorus Equitum cum populo expostulat, quòd sui tam impotens sit: vt etiam inescari se patiatur. Sed is se satis cautum ac circumspectum fore promittit. Mox reuersi in scenam Cleo & Agoracritus, propositis vtrinque dapibus, certatim plebis fauorem mercari conantur. In quo turpi aucupio cùm neuter alteri cederet: tandem Allantopola plebem hortatur, vt cistas vtriusque patefaciat: & cuius vacuam deprehendat, eum probum & beneuolum: cuius verò plenam inueniat, eum pro depeculatore & hoste Reipub. habeat. Hoc consilio approbato, cùm vacua Allantopolæ, plena autem Cleonis cista reperiretur: de omni dignitatis gradu Cleo deiicitur. Populus se Allantopolæ, qui Agoracritum se esse profitebatur, officiosè commendat. Abeunte cum populo Allantopola, Chorus equitum, in Stropha & Antistropha, laudatis Equitibus, diuitias & paupertatem deprecatur, & Cleonymi sordes detestatur: in Epirrhemate verò & Antepirrhemate sceleratos & flagitiosos: vt, Arignotum & Ariphradem insectatur: itémque Hyperbolum & Nauphantem, sed picturatè, sub persona triremium. Interim cum populo in theatrum redit Agoracritus & multò iam formosiorem, & quasi recoctum populum Atheniensem ostendit Equitibus. Simul veterem illi cæcitatem & stultitiam demonstrat, quòd se Rhetorum præstigiis decipi, & Sophistarum technis circumueniri passus esset. Quòd ne deinceps eueniat, duo scorta adducit, quæ fœdera Atheniensium cum Lacedæmoniis repræsentabant, eáque apud Cleonem prius latitasse, nunc verò in lucem reddita affirmat. Hisce plebs ad se receptis, Agoracrito summam rerum committit, Cleonem verò cum farciminibus & intestinis negociatum amandat.

ARGV-

ARGVMENTVM

ΑΚΡΟΣΤΙΧΙΣ

E *rat olim Athenis seruiens populo Cleon,*
Q *uem Agoracritus quidam, & equites agunt reum.*
V *t causa utrinque est dicta, vincitur Cleon.*
I *gitur inescando ut rursum captet senem:*
T *ecte alter inspicere arculam secum iubet.*
E *a plena furti inuenta Cleonem deprimit,*
S *ummaq; rerum mox potitur Agoracritus.*

ΤΑ ΤΟΥ ΔΡΑΜΑΤΟΣ πρόσωπα.	PERSONAE DRAmatis.
Δημοσθένης.	Demosthenes.
Νικίας.	Nicias.
Ἀγοράκριτος ὁ καὶ Ἀλλαντοπώλης,	Agoracritus, qui Allantopola.
Κλέων.	Cleo, vrbis prætor.
Χορὸς ἱππέων.	Chorus Equitum.
Δῆμος.	Populus Atticus.

Εἴσθεσις τοῦ παρόντος δράματος, διθὺς ἐξ ἀμοιβαίων προσώπων ἄρχεται. οἱ δὲ στίχοι εἰσὶν ἰαμβικοὶ τρίμετροι ἀκατάληκτοι ἑκατὸν ἐνενήκοντα ἕξ. ὧν τελευταῖος καὶ ποικίλως πως καὶ σαφῶς ἠνιγμένος. μεθ' οὓς καθ' ὑποβολὴν ἐπικοί, τουτέστι δακτυλικοὶ ἑξάμετροι πέντε. ἑξῆς δὲ πάλιν ἐν εἰσθέσει ἰαμβικοὶ ὅμοιοι μ. ἐν ἐκθέσει δὲ τούτων στίχοι τροχαϊκοὶ τετράμετροι καταληκτικοὶ πέντε. ὧν τελευταῖος ἀλλ' ἀμείνου καὶ δίωκε καὶ τρέπου αὐτὸ ποιοῦ. ἐπὶ ταῖς ὑποθέσεσι παράγραφος. ἐπὶ δὲ τῷ τέλει τοῦ τελευταίου στίχου κορωνίς.

A

ἈΡΙΣΤΟΦΑΝΟΥΣ ΙΠΠΕΙΣ

ΔΡΑΜΑΤΟΣ ΤΟΥ ΠΡΩΤΟΥ

Σκηνὴ πρώτη.

B

Τρίμετροι ἰαμβικοί.

ΔΗΜΟΣΘΕΝΗΣ, ΝΙΚΙΑΣ.

Βισετυς. Δημοσθένης, καὶ Νικίας Ἀθηναίων στρατηγοὶ δουλικὸν ἔχοντες σχῆμα διὰ τὴν ἑαυτῶν ἀπαριστῆ δουλείαν, καὶ δεινὰς κακοπαθείας ἀγανακτοῦντες μέμφονται, καὶ περὶ φυγῆς, καὶ αὐτομολίας βουλεύονται, ὅπως τῶν παρόντων κακῶν ἀπαλλαχθεῖεν.

Ἰατταταιὰξ τῶν κακῶν ἰατταταί.
Κακῶς Παφλαγόνα τὸν νεώνητον κακὸν C
Αὐταῖσι βουλαῖς ἀπολέσειαν οἱ θεοί.
Ἐξ οὗ γὰρ εἰσήρρησεν εἰς τὴν οἰκίαν,
Πληγὰς ἀεὶ προστρίβεται τοῖς οἰκέταις.
Νι. Κάκιστα δῆθ᾽, οὗτός γε πρῶτος Παφλαγόνων,
Αὐταῖς διαβολαῖς. Δη. ὦ κακόδαιμον, πῶς ἔχεις; D
Νι. Κακῶς, καθάπερ σύ. Δη. δεῦρο νῦν πρόσελθ᾽, ἵνα
Ξυναυλίαν κλαύσωμεν, Οὐλύμπου νόμον.
Μυ μῦ, μυ μῦ, μυ μῦ, μυ μῦ, μυ μῦ, μυ μῦ.
Τί κινυρόμεθ᾽ ἄλλως; οὐκ ἐχρῆν ζητεῖν τινα
Σωτηρίαν νῷν, ἀλλὰ μὴ κλάειν ἔτι;
Νι. Τίς οὖν γένοιτ᾽ ἄν; λέγε σύ. Δη. σὺ μὲν οὖν μοι λέγε,
Ἵνα μὴ μάχωμαι. Νι. μὰ τὸν Ἀπόλλω ᾽γὼ μὲν οὔ. E
Ἀλλ᾽ εἰπὲ θαρρῶν, εἶτα κἀγώ σοι φράσω.

ARISTOPHANIS EQVITES.

ACTVS PRIMI SCENA prima.

Senarij Iambici.

DEMOSTHENES, NICIAS.

Attataeax, quid mali hoc? iattata.
Vt illum Paphlagonem, nouitium, Dij malum
Male perduint, cum eius consiliis pessimis.
Nam ex quo scelestus in aedes nostras irruit,
Plagas assiduè infligit nobis seruulis.
NI. Ah pessimè pereat hic primus Paphlagonum,
Suis ipsius cum calumniis. DE. miser
Homo, quomodo habes? NI. male, sicut & tu. DE. age huc ades.
Quasi concentum lamentemur, Olympi modum,
Mymy, mymy, mymy, mymy, mymy, mymy.
Sed quid lamentamur frustra? annon erat aequius
Salutem nobis quaerere: non flere amplius?
NI. Quamnam salutem? aut unde? cedo. DE. cedo tu prior,
Ne contradicam. NI. non per Apollinem: at mihi
Tu dic audacter: & ego post dicam tibi.

Σχόλια. Ἰατταταιάξ.] σχετλιασμὸν δηλοῖ αὐτό τε τοῦτο καὶ τὸ ἑξῆς. ἔοικε δὲ ὁ προλογίζων εἶναι Δημοσθένης ὁ προκαμὼν ἐν Πύλῳ, διὰ τοῦτο. ἄλλως. σχετλιαστικὸν τὸ ῥῆμα. παρεπιγραφὴ δὲ λέγεται τὰ τοιαῦτα. ἀλλὰ καὶ γίνεται τοῖς σχήμασιν. ἔστι δὲ εἷς τῶν προειρημένων δῆθεν οἰκετῶν ἀποδυρόμενος τὸν ἕτερον. Παφλαγόνα.] τὸν Κλέωνα ὡς δημοτικὸν οἰκέτην. Παφλαγόνα δὲ, οὐ τῷ γένει, ἀλλ᾽ ὅτι ἐπάφλαζεν ἐν ἐκκλησίᾳ. νεώνητον δὲ τὸν νεωστὶ καταξιωθέντα τῆς ἀρχῆς. Παφλαγόνα δὲ τὸν Κλέωνα διὰ τὸ τῆς φωνῆς ἀπηχὲς ἀπὸ τοῦ παφλάζειν ὠνόμασεν. ἴσως γὰρ ὅτι ξένος ὢν ἐπολιτεύσατο. ὀνειδίζει οὖν αὐτὸν ὡς ξένον καὶ βάρβαρον. Τὸν νεώνητον.] τὸν νεωστὶ ἠγορασμένον. ἐπεὶ μὴ ἐκ γένους ἦν Ἀθηναῖος, ἀλλὰ νεωστὶ προσεληλυθὼς τῇ πολιτείᾳ. ἐμφαίνει δὲ διὰ τούτων, ὅτι καὶ τῶν Ἀθηναίων καθάπτεται. ὅτι δέον αὐτοὺς πιστεύειν τοῖς γνησίοις καὶ πολλὰ τὴν πόλιν εὐεργετηκόσιν, οἱ δὲ μᾶλλον ἐτίμων τὸν Κλέωνα. πεφύκαμεν γὰρ καὶ τῶν οἰκετῶν μᾶλλον πιστεύειν τοῖς οἴκοι γεννηθεῖσι καὶ τραφεῖσιν, ἢ οὓς ἂν κτησώμεθα ...μενοι. ἄλλως. ὅτι νεωστὶ τῇ δημαγωγίᾳ προσῆλθε. τὸ ἑξῆς, κακὸν κακῶς ἀπολέσειαν οἱ θεοὶ τὸν Παφλαγόνα τὸν νεώνητον. F G

Αὐταῖσι βουλαῖς.] Ἀττικὸν τὸ σχῆμα, καὶ ἡ σύνταξις τοῦ λόγου. ὡς εἰ λέγομεν αὐτοῖς ὅπλοις. αὐτοῖς ἵπποις. λείπει δὲ ἡ σὺν πρόθεσις. Εἰσήρρησεν.] ἀντὶ τοῦ εἰσῆλθεν, εἰσεπήδησεν. ὡς βίᾳ καὶ ἀναιδῶς τῇ πολιτείᾳ προσελθόντος. Ἀττικὴ δὲ ἡ λέξις. ἐν ἐνίοις δὲ ἀντιγράφοις εἰσέφρησε γράφεται. δηλώσας τῇ λέξει τὸ ἐπεπήδησεν, ἔτι δὲ καὶ τὸ μετὰ φθορᾶς εἰσελθεῖν. Πρῶτος Παφλαγόνων.] ὡς πάντων μὲν ὄντων πονηρῶν, ἐξαιρέτως δὲ τοῦ Κλέωνος. Αὐταῖσι διαβολαῖς.] ὅμοιον καὶ τοῦτο τὸ σχῆμα, τῷ αὐταῖσι βουλαῖς. τοῦτο δὲ εἶπεν, ἐπεὶ διαβάλλων Κλέων τοὺς ἄλλους στρατηγοὺς καὶ προσκρούων τῷ δήμῳ, εἰς ἑαυτὸν βλέπειν τοὺς Ἀθηναίους ἐποίησε. Ξυναυλίαν.] ξυναυλία καλεῖται, ὅταν δύο αὐλῶσι τὸ αὐτὸ λέγουσιν. ὁ δὲ Ὄλυμπος μουσικὸς ἦν Μαρσύου μαθητής. ἔγραψε δὲ αὐλητικοὺς καὶ θρηνητικοὺς νόμους. ἄλλως. ξυναυλία λέγεται ὅταν κιθάρα καὶ αὐλὸς συμφωνῇ. νόμοι δὲ καλοῦνται, οἱ εἰς θεοὺς ὕμνοι. Ὄλυμπος δὲ μαθητὴς γέγονε Μαρσύου περὶ τὴν αὐλητικὴν ἄριστος, καὶ αὐτὸς δυστυχήσας διὰ μουσικήν. καθάπερ οὖν Ὄλυμπος εὗρε τὸ συναυλεῖν, καὶ ἡμεῖς ὅμοια. καὶ ὥσπερ ἀπὸ μιᾶς φω-

ςῆς

A νῆς, ὀδυρώμεθα. μιμησώμεθα οὖν τὴν συναυλίαν ὀλύμπου. Μῦ μῦ.] τοῦτο ὁμοφωνοῦσιν ἀμφότεροι μύζοντες. τοῦτο δὲ ὡς θρηνητικόν. ἔστι δὲ ἴαμβος ἔχων τὸ μὲν πρῶτον βραχὺ. τὸ δὲ δεύτερον μακρόν. Τί κινυρόμεθα.] τί δακρύομεν, καὶ ὀδυρόμεθα εἰς κενὸν καὶ ἀνωφελές.

Bisetvs. Κινυρόμεθα.] Εὐστάθιος. κινύρεσθαι, τὸ ὑποκλαίειν. κυρίως δὲ κινύρεσθαι, τὸ κινύρᾳ χρώμενον μέλπειν ἐπὶ τοῖς νεκροῖς ᾠδάς. κινύρα δὲ παρὰ τῷ Σουίδᾳ ὄργανον μουσικὸν, ἢ κιθάρα παρὰ τὸ κινεῖν τὰ νεῦρα.

Σχόλια. Οὐκ ἐχρῆν ζητεῖν τινα.] ἡμεῖς δὲ ἀπαλλα- B

γέντες τοῦ δακρύειν, βουλευσόμεθα τίνα τρόπον ἀπαλλαγησόμεθα τῶν τοῦ Κλέωνος κακῶν. αὐτὸς γὰρ μέλλει τὴν τοῦ ἀποδρᾶναι γνώμην εἰσηγεῖσθαι. ζητεῖν δὲ πολυπραγμονεῖν καὶ σκοπεῖν. Τίς οὖν γένοιτ' ἂν λέγε σύ.] τίς οὖν ἀφορμὴ γένοιτο λέγε σύ. πρὸς τὴν ἐπερώτησιν τοῦ ἑτέρου, ὁ ἕτερος πάλιν ἀντικεῖναι. ὁ ἕτερος δὲ εὐλαβῶς ἔχει τοῦ εἰπεῖν, διὰ τὸ φοβεῖσθαι δ' ἦθεν τὸν Κλέωνα. καθ' οὗ συνίσταται τὴν ἐπιβουλήν. φιλονεικοῦσιν οὖν τίς πρῶτος εἴπῃ. Σὺ μὲν οὖν λέγε.] ἀντὶ τοῦ σὺ εἰπέ. ἵνα εἰπόντος σου, μὴ μαχήσωμαί σοι, μηδὲ ἀντιλέξω. ἢ οὕτως. σὺ λέγε. ἵνα μὴ εἴπω πρῶτος, καὶ φθονῶν ἀντείπῃς. κἀγώ σοι μάχωμαι.

Δημοσθ. Πῶς ἂν σύ μοι λέξειας, ἅ 'μὲ χρὴ λέγειν.

Νικ. Ἀλλ' οὐκ ἔνι μοι τὸ θρέττε, πῶς ἂν οὖν ποτε

Εἴποιμ' ἂν αὐτὸ δῆτα κομψευριπιδικῶς;

Δημοσθ. Μή μοί γε μή μοι, μὴ διασκανδικίσῃς,

Ἀλλ' εὑρέ τιν' ἀπόκινον ἀπὸ τοῦ δεσπότου.

Νικ. Λέγε δὴ μόλωμεν ξυνεχὲς ὡδὶ ξυλλαβών.

Δη. Καὶ δὴ λέγω, μόλωμεν Νι. ἐξόπισθέ νυν

Αὐτὸ φάθι τοῦ μόλωμεν. Δημ. αὐτό. Νικ. πάνυ καλῶς,

Ὥσπερ δεφόμενος νῦν ἀρέμα πρῶτον λέγε,

Τὸ μόλωμεν εἶτα δ' αὐτὸ κατεπάγων πυκνόν. D

Δημοσθ. Μόλωμεν αὐτό. μόλωμεν, αὐτομολῶμεν. Νι. ἦν

Οὐχ ἡδύ; Δη. νὴ Δία, πλήν γε περὶ τῷ δέρματι

Δέδοικα τουτονὶ τὸν οἰωνόν. Νι. τί δαί;

Δη. Ὅτι τὸ δέρμα τῶν δεφομένων ἀπέρχεται.

DE. Eadem tu dicas mihi, quæ me vis dicere.

NI. At nulla inest mihi confidentia: quomodo

Igitur hoc Euripidicè, & satcomicè eloquar?

DE. Ne mihi, ne (inquam) isthuc: ne quem scandicem mihi

Hic vendites: sed inueni viam fugæ

C Ab hero. NI. dic ergo hanc continenter voculam,

Fugiamus. DE. age, dico: fugiamus. NI. nunc item

Post fugiamus dic trans. DE. trans. NI. rectè admodum

Nunc, vt pudenda vellicantes assolent,

Remissè primùm dic, fugiamus, postea

Illud trans infer, & repete creberrimè.

DE. Fugiamus trans, fugiamus, transfugiamus. NI. an

Non suaue hoc? DE. per Iouem: nisi, quòd præputio

Nunc metuo, propter hoc augurium. NI. cur ita?

DE. Nam vellicantibus abscedit præputium.

Σχόλια. Ἅ 'μὲ χρὴ λέγειν.] ἅ τινά με χρή φησιν εἰπεῖν. εἴθε περὶ τούτων ἤκουσα παρὰ σοῦ λεχθέντων. τοῦτο δὲ E εἶπε διὰ τὸ φοβεῖσθαι λέγειν. ἔστι δὲ παρὰ τὸ ἐν Ἱππολύτῳ Εὐριπίδου ὑπὸ τῆς Φαίδρας πρὸς τὴν τροφὸν εἰρημένον οὕτως ἀποκεκριμένην. οὐ μάντις εἰμὶ τἀφανῆ γνῶναι σαφῶς. Ἀλλ' οὐκ ἔνι μοι τὸ θρέττε.] ἀντὶ τοῦ τὸ θαρσαλέον. οὐδὲ τὸ τυχὸν ἔχων φησὶ περὶ τούτων εἰπεῖν. θρέττε δὲ βαρβαρισμός, ἀντὶ τοῦ θάρρει. παρὰ τὸ θρασὺ καὶ ἀνδρεῖον. οὐκ ἔστιν οὖν εἰπεῖν ὃ σὺ διανοῇ. ἠρνήσατο δὲ, ἵνα εἰς ἀνάγκην τὸν ἕτερον καταστήσῃ. πρὸς τὸ πεισθῆναί τι καὶ συμβουλεῦσαι. τὸ δὲ πῶς ἂν οὖν ποτε, ἀντὶ τοῦ οὐ θαρρῶ φησιν εἰ- F πεῖν, οὐδὲ τυχόν. βαρβαρίζει δὲ ὡς δοῦλος. Κομψευριπιδικῶς.] ἀντὶ τοῦ εὐριπιδικῶς, καὶ δεινῶς. ἀπὸ πανουργίας. κομψοὶ δὲ παρὰ τοῖς ἀρχαίοις ἐλέγοντο οἱ πανοῦργοι. φησὶν οὖν πῶς ἄν τις εἴποι πεπαισμένως καὶ λεληθότως. εἴποι εἰ μὴ φανερῶς. Μὴ διασκανδικίσῃς.] δι' εὐριπιδίσῃς. ἡ γὰρ μήτηρ Εὐριπίδου, σκάνδικας ἐπίπρασκεν. ὃ ἐστιν ἄγρια λάχανα. ἄλλως. μὴ ἀποδειλιάσῃς. μὴ μεταμελήσῃς. σκώπτει δὲ τὸν Εὐριπίδην, ὡς λαχανοπωλητρίας υἱόν. σκάνδιξ γὰρ, εἶδος λαχάνου. Ἀπόκινον.] φυγήν. ἀπο- G χώρησιν. ἔστι δὲ καὶ εἶδος ὀρχήσεως φορτικῆς. οἱ δὲ μέλος. καὶ ὁ ἐπινικιος. Λέγε δὴ μόλωμεν.] τινὲς τὸ μόλωμεν προσπεριεσπῶσι. περισπᾶται δέ, ὑποτίθεσθαι φεύγειν αὐτόν. καὶ λέγει αὐτομολήσωμεν πρὸς τοὺς Λακεδαιμονίους, αὐτὸς παραιτούμενος λέγειν. αὐτομολῆσαι δέ ἐστι τὸ προδοῦναι τοὺς ἰδίους καὶ ἰέναι καὶ ἀπελθεῖν πρὸς τοὺς ἐναντίους ἐπὶ συμμαχίᾳ. Ἐξόπισθέ νυν] κατόπιν. τουτέστι πρόσθες τῷ μόλωμεν, τοῦ αὐτό. εἶτα πάλιν τοῦ μόλωμεν τὸ αὐτό. βούλεται δὲ λέγειν, αὐτομολήσωμεν πρὸς τοὺς Λακεδαιμονίους. αἰνιγματωδῶς δὲ μετὰ δισταγμοῦ λέγει, ποιῶν ἐκεῖνον συνάπτειν τὰς λοιπὰς αὐτοῦ συλλαβάς. τὸ δὲ φάθι ἀπὸ τοῦ φημὶ φήσω. ἔφην. φὰς φάντος. φάθι. ὅπερ ὁ μὲν Ἀπολλώνιος ὀξύνει. ὁ δὲ Ἡρωδιανὸς βαρύνει. παραλόγως γὰρ ὀξύνεσθαι. Ὥσπερ δεφόμενος.] ἀντὶ τοῦ ἀποδέρων τὸ αἰδοῖον. οἱ γὰρ ἁπτόμενοι τῶν αἰδοίων, οὐχ ὡς ἤρξαντο, ἀλλὰ σπουδαιότερον κινοῦσι ἐκπυρούμενοι τῇ συνεχείᾳ τῆς κινήσεως, πρὸς τῇ τῆς γονῆς ἐκκρίσει. τοῦτο οὖν λέγει ὅτι πρῶτον κατὰ μικρὸν, εἶτα συνεχῶς λέγε. Αὐτό. μόλωμεν. αὐτομολῶμεν.] ὡς ἐπιλαμβανόμενος αὐτοῦ τοῦτο λέγει. αὐτομολεῖν δὲ, τὸ πρὸς τοὺς πολεμίους ἀπελθεῖν. Ἦν οὐχ ἡδύ.] ἰδοὺ ἐρωτηματικόν. λέγει δὲ οὐκ ἔστιν ἡδὺ τὸ αὐτομολῶμεν; ἔθος δὲ ἦν καὶ τὸ παρὰ τοὺς πολεμίους φεύγειν, εἰ πάσχοιέν τι κακὸν ὑπὸ τοῦ δεσπότου. τὸ δὲ φεύγειν, αὐτομολεῖν λέγουσιν Ἀθηναῖοι. ἄλλως. ὁ τὴν γνώμην λέγων ἐφίστησι τῷ λόγῳ αἰσθανόμενος τοῦ ῥήματος, ὡς ἐξηπατημένος καὶ παρακεκρουσμένος εἰπεῖν τὸ αὐτομολήσωμεν. ἄλλως. μὴ οὐ καλόν. οὐ πρὸς ἡδονὴν ἀποδοκιμάσω σου τὴν συμβουλήν. τὸν οἰωνὸν δὲ τὸ σημεῖον. Ὅτι τὸ δέρμα.] ὅτι ὥσπερ τῶν δεφομένων τὸ δέρμα ἀπέρχεται, οὕτω καὶ τῶν αὐτομολούντων. Τῶν δεφομένων.] τῶν ἀποδερομένων τὸ αἰδοῖον, ὑποχωρεῖ ἐπιπαθεῖ. μή πως οὖν καὶ ἡμᾶς νοήσαντες οἱ Ἀθηναῖοι φύγοντας κρατήσωσι καὶ ἀποδέρωσι.

Νι. Κράτιστα τοίνυν τῶν παρόντων ἐστὶ νῷν,
Θεῶν ἰόντε προσπεσεῖν ποι πρὸς βρέτας.
Δημοσθ. Ποῖον βρετέτας; ἐτεὸν ἡγεῖ γὰρ θεούς;
Νικ. Ἔγωγε. Δημοσθ. ποίῳ χρώμενος τεκμηρίῳ;
Νικ. Ὁτιὴ θεοῖσιν ἐχθρός εἰμ' οὐκ εἰκότως.
Δημοσθ. Εὖ προσβιβάζεις μ'. Νικ. ἀλλ' ἑτέρᾳ B ποι σκεπτέον.
Δη. Βούλει τὸ πρᾶγμα τοῖς θεαταῖσι φράσω;
Νι. Οὐ χεῖρον ἓν δ' αὐτοὺς παραιτησώμεθα,
Ἐπίδηλον ἡμῖν τοῖς προσώποισιν ποιεῖν,
Ἢν τοῖς ἔπεσι χαίρωσι καὶ τοῖς πράγμασι.

A *Ni. Optimum igitur facto est nobis præsentibus,*
Apud Deorum simulacra alibi procumbere.
De. Quænam simulacra? an esse tu statuis Deos?
Ni. Immò. De. sed quonam argumento hoc edoctus es?
Ni. Quia enim Diis inuisus sum vltrà, quàm decet.
De. Facilè hoc mihi persuades. Ni. Igitur alia via
Ineunda erit. De. via'n tu, vt rem spectatoribus
Exponam? Ni. non abs re fuerit. sed vnum eos
Rogabimus: vt nobis manifestum frontibus
Faxint, an dicta & facta læti comprobent.

Σχόλια. Πρὸς βρέτας.] ἄγαλμα θεῶν. προσπεσεῖν δὲ, ἱκέτας καθίσαι. ἡ γὰρ φυγεῖν πρὸς βρέτας, πρὸς ἱερὸν, πρὸς τέμενος. ἢ πρὸς ἕδος. ἢ πρὸς ἄγαλμα θεῶν. βρέτας δὲ, εἴρηται ἀπὸ τοῦ βροτοῖς ἐοικέναι αὐτό. Βρετέτας.] ἐν παρολκῇ παίζων. οὐ μόνον δὲ τῇ γλώττῃ προσέπαιξε τῇ C παρονομασίᾳ τοῦ βρέτας. ἀλλὰ καί φησιν ὅτι εἰ μὴ ἦσαν θεοί, οὐκ ἂν ἤμην θεοῖς ἐχθρός. Ἐτεὸν ἡγεῖ γὰρ θεούς.] ἀληθῶς οὕτω πεπίστευκας καὶ ὑπολαμβάνεις εἶναι θεούς; τεκμηρίῳ δὲ καὶ σημείῳ, μαρτυρίῳ. προσβιβάζεις δὲ, πείθεις, παραινεῖς ἢ στοχάζῃ. Ἀλλ' ἑτέρᾳ ποι.] ἀλλ' ἑτέρῳ τρόπῳ δεῖ σκέψασθαι. γράφεται δὲ καὶ πῇ. ἔστι δὲ περιττόν. Παραιτησώμεθα.] περιττὴ ἡ παρά. ἔστι γὰρ αἰτησώμεθα. παρακαλέσωμεν. πλεονάζουσι γὰρ καὶ ἐλλείπουσι ταῖς προθέσεσιν Ἀττικοί. Ἐπίδηλον ἡμῖν ποιεῖν φασὶν ἡμῖν διὰ τῶν προσώπων εἰ χαίρουσι τοῖς λεγομένοις. ἐκ γὰρ τοῦ προσώπου δηλοῦται ἡ τῆς ψυχῆς διάθεσις. Ἢν τοῖς ἔπεσι χαίρωσιν.] ἔπεσι τοῖς ποιήμασιν, ἢ τοῖς λεγομένοις, ἢ τοῖς ἰάμβοις. πᾶν γὰρ ἔπος μέτρον καλοῦσι. πράγμασι δὲ τοῖς ποιήμασι τοῖς λεγομένοις.

D

Bisetus. Δημοσθένης πρὸς τοὺς θεατὰς στραφεὶς τὴν φύσιν, τοὺς τρόπους, τὰ ἤθη, τὴν τέχνην, καὶ τὰς βουλὰς Κλέωνος, ὃν Παφλαγόνα καλεῖ, διὰ πλειόνων ἀκριβῶς διηγεῖται καὶ ὡσανεὶ πρὸ ὀμμάτων τίθησιν. εἶτα οἶνον πρὸς αὐτὸν φέρεσθαι κελεύει, ἵνα τοῦδε πιὼν, χρηστόν τι βουλεύσηται.

Δη. Λέγοιμ' ἂν ἤδη. νῷν γάρ ἐστι δεσπότης
Ἄγροικος ὀργὴν, κυαμοτρὼξ, ἀκράχολος,
Δῆμος Πυκνίτης, δύσκολον γερόντιον,
Ὑπόκωφον. οὗτος τῇ προτέρᾳ νουμηνίᾳ
Ἐπρίατο δοῦλον, βυρσοδέψην Παφλαγόνα, E
Πανουργότατον, καὶ διαβολώτατόν τινα.

De. Dicam igitur. Est herus nobis ira ferox,
Esor fabarum, biliosus, vir tribu
Pycensis: morosum difficiléque senium,
Surdastrum: qui superiori nouilunio
Emit Paphlagona conseruum coriarium:
Hominem vaferrimum, delatorem improbum,

Σχόλια. Νῷν γάρ ἐστι δεσπότης.] ὥσπερ τινὰ οἰκίαν κατασκευάζει τὴν πόλιν. δεσπότην δέ φησι τὸν δῆμον, οἰκέτας δὲ τοὺς προχειριζομένους ὑπ' αὐτοῦ ὑπηρετεῖν αὐτῷ ἐν τῇ τῶν κοινῶν ἐπιμελείᾳ. ὑπηρέται γάρ τινες εἶναι δοκοῦσι τοῦ δήμου οἱ ἄρχοντες οἱ τῶν κοινῶν προϊστάμενοι. Ἄγροικος ὀργήν.] δύναται ἡ ὀργὴ ἡ νῦν ἑκάτερον δηλοῦν. καὶ κυρίως καὶ ἐπὶ τοῦ τρόπου. ἄγριος καὶ σκληρὸς, καὶ κεκινημένος καὶ τραχὺς ἢ ἀφιλής. ἀκράχολος δὲ, ἤγουν εἰς ὀργὴν πρόχειρος. F

Bisetus. Ἀκράχολος.] ὁ ἀκράχολος ὑπὸ Θεοκρίτου εἰδ. α. καλῶς χαρακτηρίζεται,
Καί οἱ ἀεὶ δριμεῖα χολὰ ποτὶ ῥινὶ κάθηται.

Σχόλια. Κυαμοτρώξ.] δικαστικός. κυάμους ἐσθίων. κυάμοις δὲ ἐχρῶντο οἱ δικασταί, διὰ τὸ μὴ καθεύδειν. ἢ κυάμοις δὲ ἀντὶ ψήφων. ἄλλοι δὲ διὰ τὸ σ. κυαμοτρῶγας, ὁ κυάμοις δικάζων. ὁ λιτρώσκων. τούτοις γὰρ ἐχρῶντο ἀντὶ ψήφων. ἄλλως. τρεφόμενος ἀπὸ τῶν κυάμων ἐπεὶ ἀντὶ ψήφων, κυάμοις ἐχρῶντο ἐν τῇ χειροτονίᾳ τῶν ἀρχόντων καὶ τῆς ἐκκλησίας. ὡς οὖν τῶν ψηφιζομένων ἀργύριον λαμβανόντων καὶ χειροτονούντων τοὺς διδόντας πλεῖον, οὕτως ὠνόμασε τὸν δῆμον τὸν ἀπὸ τῶν κυάμων τρεφόμενον. Πυκνίτης.] τόπος Ἀθήνησιν ἔνθα ἔστιν ὅτε ἐκκλησίαζον οἱ Ἀθηναῖοι. πνὺξ γὰρ τόπος ἐν Ἀθήναις, ἔνθα ἡ ἐκκλησία συνεκροτεῖτο. τὸν δῆμον δὲ ὥσπερ πολίτην τῆς πυκνὸς εἶπε. πνὺξ δὲ λέγεται παρὰ τὸ πυκνοῦσθαι ἐκεῖ τοὺς βουλευτὰς, ἢ ἀπὸ τοῦ συνωθεῖσθαι ταῖς καθέδραις. δύσκολοι δὲ δυσάρεστοι. Δύσκολον γερόντιον.] δυσάρεστον. πρεσβύτερον. αἰτιᾶται δὲ διὰ τούτου ὁ ποιητὴς τὴν ἱστορίαν ὅτι πρῶτοί τε καὶ αὐτόχθονες οἱ Ἀθηναῖοι. ὑπόκωφον δὲ, ὅτι οὐ πᾶσιν ἐπείθετο, ἀλλὰ προσεποιεῖτο μὴ ἀκούειν τῶν λεγομένων. Τῇ προτέρᾳ νουμηνίᾳ.] τῇ παρελθούσῃ. τουτέστι νεωστί. ἵνα εἴπῃ τὸν Κλέωνα οὐ πάλαι τῆς πολιτείας τετυχηκότα. ἐν δὲ ταῖς νουμηνίαις οἱ δοῦλοι ἐπωλοῦντο καὶ οἱ στρατηγοὶ ἐχειροτονοῦντο. Βυρσοδέψην Παφλαγόνα. ἐπεὶ ὁ πατὴρ αὐτοῦ Κλεώνυμος ἐργαστήριον εἶχε δούλων βυρσοδεψῶν. βυρσοδέψης. συμβαίνει δὲ τούτους ἐκ τοῦ ἐμβρέχειν τὰ δέρματα, καὶ πλείοσιν ἐᾶν ἡμέραις αὐτὰ εἰς τὸ G φάρμακον ἵνα διαλυθείη, ἀπὸ τοῦ ... ὕδατος καὶ τῶν δερμάτων μολυνομένους ... ἄλλως τε καὶ τὴν εὐτέλειαν δηλοῦσι τοῦ Κλέωνος, ἀφ' οἵας τύχης ὁρμώμενος ἐπρώτευσε τῶν Ἀθηναίων. ἐπεὶ ὁ πατὴρ αὐτοῦ Κλεώνυμος ἐργαστήριον εἶχε δούλων βυρσοδεψῶν.

Bisetus. Θουκυδίδης ἐν τῷ γ. τοῦ Κλέωνος πατέρα Κλεαίνετον καλεῖ.

Οὗτος

Οὗτος καταγνοὺς τοῦ γέροντος τοὺς τρόπους,
Ὁ βυρσοπαφλαγὼν, ὑποπεσὼν τὸν δεσπότην,
Ἤκαλλ', ἐθώπευ', ἐκολάκευ', ἐξηπάτα,
Κοσκυλματίοις ἄκροισι, τοιαυτὶ λέγων·
Ὦ δῆμε, λοῦσαι πρῶτον ἐκδικάσας μίαν,
Ἔνθου, ῥόφησον, ἔντραγ', ἔχε τριώβολον.
Βούλει παραθῶ σοι δόρπον; εἶτ' ἀναρπάσας,
Ὅ,τι ἄν τις ἡμῶν σκευάσῃ τῷ δεσπότῃ,
Παφλαγὼν κεχάρισται τοῦτο. καὶ πρώην γ' ἐμοῦ
Μάζαν μεμαχότος ἐν Πύλῳ Λακωνικήν,
Πανουργότατά πως περιδραμὼν ὑφαρπάσας,
Αὐτὸς παρέθηκε τὴν ὑπ' ἐμοῦ μεμαγμένην.
Ἡμᾶς δ' ἀπελαύνει, κοὐκ ἐᾷ τὸν δεσπότην
Ἄλλον θεραπεύειν, ἀλλὰ βυρσίνην ἔχων
Δειπνοῦντος ἑστὼς, ἀποσοβεῖ τοὺς ῥήτορας.
Ἄδει δὲ χρησμούς, εἶθ' ὁ γέρων σιβυλλιᾷ.

A *Is cùm senis mores haberet cognitos,*
Coriarius Paphlago cœpit hero subditus
Esse, illi adulari, morem gerere: vndique
Assentari: tum insuper in fraudem ducere,
Summis coriorum præsegminibus, & hac loqui:
O popule Atheniensis, nunc primùm laua:
Postquam vnum iudicâsti diem: cibum cape,
B *Sorbe vinum, comede, habe tibi triobulum.*
Vin' cœnam apponam tibi? pòst nobis omnia
Abripuit, quæ nostrûm aliquis hero parauerat:
Et gratiam ab illo iniuit. Nam cùm ego in Pylo
Massam aliquam pinsuissem mihi Laconicam:
Homo astutissimè circumiuit, clanculum
Surripuit, & à me pistam apposuit pro sua,
C *Nos autem dimouet: nec alium sinit herum*
Obseruare, manuq́ tenens scuticam loream.
Stat, & à populo cœnante abarcet Rhetoras.
Canit item oracula: planeq́ Sibyllaturit.

Σχόλια. Οὗτος καταγνούς.] θεωρήσας. περιττὴ ἡ κατά. ἀντὶ καταμαθὼν καὶ αἰσθόμενος. πρὸς ἔμφασιν δὲ πλείονα εἶπε τοῦ μαθών. διενηνοχέναι δέ φασι, τὸ καταγνῶναι καὶ ἐπιγνῶναι ταύτῃ. ὅτι τὸ μὲν καταγνῶναι, ἰδίως ἐπὶ διαβολῇ καὶ πονηρίᾳ λέγουσιν οἱ παλαιοί. τὸ δὲ ἐπιγνῶναι, ἀπὸ τοῦ γνωρίζειν. γνῶναι δὲ χωρὶς τῆς προθέσεως, τὸ μαθεῖν. καταγνοὺς οὖν, ἀντὶ καταμαθὼν καὶ αἰσθόμενος. Ὁ βυρσοπαφλαγών.] συνέμιξε τὸ γένος καὶ τὴν τέχνην. ἵνα τὸ πλέον ὀνειδίσῃ, προσθήκης ἑκατέρου γενομένου θατέρου. Ἤκαλλεν.] αἰκάλλειν ἐστὶ τὸ, τὴν κύνα τοῖς ὠσὶ καὶ τῇ οὐρᾷ σαίνειν τοὺς ἐθάδας. ἢ ἀπὸ μεταφορᾶς τῶν ἀλεκτρυόνων. κάλλαια γὰρ καλεῖται τούτων τὰ γένεια. πολλαὶ δὲ αἱ λέξεις ἀλλὰ τὸ σημαινόμενον ἕν. ἐκολάκευε γάρ. Κοσκυλματίοις.] τοῖς περικεκομμένοις καὶ ἀπορριφεῖσι δέρμασι. βούλεται δὲ λέγειν, λογαρίοις αἱμύλοις. τὸ δὲ πᾶν αὐτοῦ νόημα, ὅτι λόγοις ἐξηπάτα τὸν δῆμον, δοκοῦσι μὲν ὠφέλειάν τινα ἔχειν, βλάπτουσι δὲ τὰ μέγιστα. ἄλλως. κοσκύλματα καλοῦνται τὰ περιττά. τὰ περιτεμνόμενα ἀπὸ τῶν καττυμάτων. καττυματίοις οὖν λέγει, εὐτελέσι ῥήμασιν ἢ πράγμασιν. Ἐκδικάσας μίαν.] δικάσας. ὥσπερ ἔλεγε γυμνασθείς. τοιαῦτα δὲ εἰώθασι τοῖς τρυφῶσιν οἱ κόλακες λέγειν. τοῦτό φησι κολακεύων ἔλεγε τὸν δῆμον. λείπει δὲ ἡμέραν. ἐν ἢ μίαν ἡμέραν δίκας ἐδίκασεν. Ἔνθου.] ἐπὶ ψωμοῦ καὶ τοῦ ὄψου οὕτω λεκτέον, καὶ ὅλως τοῦ φαγεῖν. Ἔντραγε.] οὕτω τὸ ἀκρατίζειν. καὶ Μένανδρος. ἀλλ' ἐὰν ἐντραγεῖν. ὁ γὰρ οἰκέτης ἐστὶ, βαρύτερον τὴν πρὸς τοὺς δοκοῦντας ἐστὶ ποιούμενος τρυφὴν, παρονειδίζων ὅτι τοιαῦτα ἀποστέλλεται οὐκ ἐπὶ δεῖπνον ἀλλ' ἀκρατισμόν. Ἔχε τριώβολον.] τὸν δικαστικὸν μισθόν. ἐπεὶ τριώβολον ἐλάμβανον. Μάζαν μεμαχότος.] τὰ πεφυραμένα ἄλευρα μαλάξαντος, καὶ ἀρτοποιήσαντος. ὡς ἐπὶ τροφῆς δὲ τὸ κατόρθωμα τὸ ἐν Πύλῳ εἴρηκεν. ἄλλως. τοῦτο ἀφ' ἱστορίας τέθεικεν ἧς μέμνηται καὶ Θουκυδίδης. ἔχει δὲ οὕτως. Δημοσθένης στρατηγὸς Ἀθηναίων, ἀποσταλεὶς εἰς Σικελίαν διὰ τὸν αὐτόθι πόλεμον, παραπλέων τὴν Πύλον καὶ τὴν Σφακτηρίαν δυνάμει προλαβὼν, τετρακοσίους σὺν θεῷ αἰχμαλώτους. καὶ ἐδήλωσεν Ἀθηναίοις, τί βούλονται περὶ τούτων γενέσθαι. ἄλλων δὲ ἄλλα λεγόντων, Κλέων ἀναστὰς ἐπηγγείλατο ἡμερῶν ἀριθμὸν προσθεὶς, εἴσω εἴκοσιν ἄξειν αὐτοὺς, ὡς γέλωτα πολὺν κατ' αὐτοῦ γενέσθαι. ἀγαγὼν δὲ αὐτοὺς, ὡς ἰδίαν πρᾶξιν κατορθώσας ἐσεμνύνετο. ἄλλως. ἐν τῇ Πύλῳ. τόπος δὲ ἐστὶ τῆς Λακωνικῆς στενὸς, διείργων καὶ ἀποχωρίζων τὰς ἀπὸ τῆς Θετταλίας καὶ Λακεδαιμονίας εἰσβολάς. ἔνθα Λεωνίδας πρότερον τῶν Μακεδόνων βασιλεὺς, ἅμα καὶ Σπαρτιατῶν ἀντέστη Ξέρξῃ τῷ τῶν Περσῶν βασιλεῖ. καὶ πολλοὺς τῶν Περσῶν ἀποκτείνας, ἀριστεύων ἐτελεύτησε, κυκλωθεὶς ἐκ προδοσίας, Ἐπιάλτου τινὸς δείξαντος τοῖς Πέρσαις διὰ τῶν ὀρῶν ὁδόν. ἐνταῦθα οὖν ὁ Δημοσθένης ἀπόβασιν ποιησάμενος σὺν ὀλίγοις, ἐξετείχισε τὸ χωρίον, καὶ κατέστησε φρούριον. βοηθησάντων δὲ τῶν Λακεδαιμονίων, διὰ τάχους Βρασίδου στρατηγοῦντος, αὐτός τε ὁ Βρασίδας ἀπέβαλε τὴν ἀσπίδα, καὶ πολλοὶ τῶν Λακεδαιμονίων ἀπέθανον ἐν τῇ μάχῃ. ἔνιοι δὲ κατέφυγον καταπονούμενοι, εἰς τὴν κατ' ἀντικρὺ νησίδα τὴν Σφακτηρίαν. καὶ αὐτὸς ὁ Δημοσθένης μετεπέμψατο ἀπὸ τῶν Ἀθηναίων, ὡς ἂν πλείονι δυνάμει χρησάμενος, τοὺς ἄνδρας ἐκπολιορκοίη. ὁ γοῦν Κλέων γνοὺς ὅτι ὑπὸ τῆς ἀνάγκης καὶ λιμοῦ, καὶ δίψους, οὐχ οἷοί τε εἰσὶ πλείοσιν ἀντέχειν ἡμέραις, ἐπεὶ καὶ τοῦτο ἤγγελλον οἱ ἀπὸ τοῦ στρατοπέδου ἀφικνούμενοι, παρελθὼν εἰς τὸν δῆμον, εἰ λάβοι δύναμιν ὡς αἰτεῖ Δημοσθένης, ἐπηγγείλατο ἐντὸς κ ἡμερῶν παραστήσειν τοὺς πολιορκουμένους. καὶ οὕτω διαπλεύσας, καὶ τοὺς Λακεδαιμονίους λαβὼν, ἔδοξεν αὐτοῖς κατορθοῦν τὸ τοῦ Δημοσθένους ὁ Κλέων. ἐπεστράφη γὰρ ὑφαρπάσαι τὸ τέλος τῶν ἐκείνου πόνων. Μεμαγμένην.] παρεσκευασμένην. καὶ ἐν ἑτοίμῳ γενομένην. Ἀλλὰ βυρσίνην ἔχων.] ῥυτῆρα. ἱμάντα. ἔπαιξε δὲ παρὰ τὸ βυρσοδέψην εἶναι τὸν Κλέωνα, ἐναλλαγὴν στοιχείου ἐργασάμενος. ἔδει γὰρ εἰπεῖν μυρσίνην ἔχων ἀποσοβεῖ τὰς μυίας, ταύτῃ γὰρ ἐστεφανοῦντο οἱ στρατηγοὶ, βυρσίνην εἶπεν ἔχων ἀποσοβεῖ τοὺς ῥήτορας, ὡς πρὸς βυρσοδέψην. Εἶθ' ὁ γέρων σιβυλλιᾷ.] διὰ τὸν χρόνον τὸν ἀρχαῖον ὄντα, εἰκότως πολλὰ τοιαῦτα γίνεσθαι. γέρων ἐστὶν ὁ δεσπότης, ἤγουν ὁ δῆμος. σιβυλλιᾷ ἐστὶ, χρησμῶν ἐρᾷ καὶ ἐπιθυμεῖ. ἢ παρὰ τὸ λῆρον ἐπεὶ ἡ Σίβυλλα μακρόβιος. ἢ τοῖς χρησμοῖς ἥδεται ἢ ἀπατᾶται. μαντικῶς ἔχει. χρησμοὺς φαντάζεται. χρησμολόγος γὰρ Ἐρυθραία ἦν ἡ Σίβυλλα. ἢ μέγα φρονεῖ καὶ ἐπαίρεται.

Ὁ δ' αὖθ' ὡς ὁρᾷ μεμακκοακότα,
Τέχνην πεποίηται. τοὺς γὰρ ἔνδον ἄντικρυς
Ψευδῆ διαβάλλει. κᾆτα μαστιγούμεθα
Ἡμεῖς. Παφλαγὼν δὲ περιθέων τοὺς οἰκέτας,
Αἰτεῖ, ταράττει, δωροδοκεῖ, λέγων τάδε;
Ὁρᾶτε τὸν Ὕλαν δι' ἐμὲ μαστιγούμενον;
Εἰ μή μ' ἀναπείσετ', ἀποθανεῖσθε σήμερον.
Ἡμεῖς δὲ δίδομεν. εἰ δὲ μή, πατούμενοι
Ὑπὸ τοῦ γέροντος, ὀκταπλάσιον χέζομεν.
Νῦν οὖν ἀνύσαντες φροντίσωμεν, ὦ 'γαθέ,
Ποίαν ὁδὸν νὼ τρεπτέον, καὶ πρὸς τίνα.
Νι. Κρατίστη 'κείνη, τὴν μόλωμεν, ὦ 'γαθέ.
Δη. Ἀλλ' οὐχ οἷόν τε τὸν Παφλαγόν' οὐδὲν λαθεῖν,
Ἐφορᾷ γὰρ αὐτὸς πάντ'. ἔχει γὰρ τὸ σκέλος,
Τὸ μὲν ἐν Πύλῳ, τὸ δ' ἕτερον ἐν τῇ 'κκλησίᾳ.
Τοσόνδε δ' αὐτοῦ βῆμα διαβεβηκότος,
Ὁ πρωκτός ἐστιν αὐτόχρημ' ἐν Χάοσι.
Τὼ χεῖρ' ἐν Αἰτωλοῖς. ὁ νοῦς δ' ἐν Κλωπιδῶν.
Νι. Κράτιστον οὖν νῷν ἀποθανεῖν. ἀλλὰ σκόπει,
Ὅπως ἂν ἀποθάνωμεν ἀνδρειότατα.
Δη. Πῶς δῆτα; πῶς γένοιτ' ἂν ἀνδρειότατα;
Νι. Βέλτιστον ἡμῖν αἷμα ταύρειον πιεῖν.
Ὁ Θεμιστοκλέους γὰρ θάνατος αἱρετώτερος.

A *Vbi ille illum insanientem conspicit,*
Dolum inuenit: nam quotquot eramus in domo,
Falsò calumniatur. Ibi tum nos flagris
Afficimur: Paphlago circumcursitans petit
Seruos, exterret, munera captat, clamitat:
Videtis Hylam flagris à me male domitum?
Nisi me placaueritis, moriemini hodie.
B *Nos verò illi damus: sin minus, ab improbo*
Sene hoc pessundati, cacamus octuplum:
Nunc ergo, mi vir, dispiciamus celeriter,
Quánam via insistendum, & ad quémnam virum.
NI. Illam de fugiendo, quam dixeram.
DE. Sed vt Paphlagonem res lateat, fieri haud potest,
C *Ipsus enim dispicit omnia. Nam pedem alterum*
Habet in Pylo fixum, alterum tenet in foro.
Et cùm tam latis ingrediatur passibus:
Podex reapse illi est Hiantiæ, manus
Vtraque Petiliæ, mens in Clepidum tribu.
NI. Ergo optimum, vt moriamur: sed age, tu vide:
Vt, si moriendum est, moriamur fortissimè.
D *DE. Dic: quomodo? quomodo hoc fiat fortissimè?*
NI. Erit optimum bibere taurinum sanguinem.
Nam mors Themistoclis optatissima omnium.

Σχόλια. Μεμακκοακότα.] τὰ μακκοῦς φρονοῦντα. ἀνοηταίνοντα. Μακκὼ γὰρ ἡ Λαμία ἐλέγετο ἀνοητή. τουτέστι ἐσχάτως νοοῦντα. παραφρονοῦντα. ληροῦντα. γέγονε παρὰ τὸ μάταια κοεῖν, ὅ ἐστι νοεῖν, ὅθεν θυοσκόος, ἢ παρὰ τὸ θύω τὸ κοῶ. ὃ σημαίνει τὸ νοῶ. Ἄντικρυς.] πρὸς ὅλως, ὁμολογουμένως, αὔξησιν δὲ τὴν ἀναίδειαν, διὰ τὸ φανερῶς παρ... ἄλλως. φανερῶς, δεῖγμα γὰρ τῆς ἀναισχυντίας τὸ φανερῶς ψεύδεσθαι. Δωροδοκεῖ.] δῶρα λαμβάνει καὶ διαφθείρεται. τίθεται δὲ ἡ λέξις καὶ ἐπὶ τοῦ διδόντος.

Bisetus. Δωροδοκεῖ] παρὰ τὸ δῶρον δέχεσθαι. τὸ δὲ χ... ἰωνικῶς ἐτράπη.

Σχόλια. Εἰ μή μ' ἀναπείσετε.] ἀντὶ τοῦ ἀναπείσετε χρήμασι. διαβάλλει δὲ αὐτὸν ὡς δωροδοκούμενον καὶ προδιδόντα τὴν πόλιν. ἄλλως. εἰ μὴ πιστὸν ποιήσετε. τουτέστιν εἰ μὴ μισθόν τινά μοι δῶτε. Ὀκταπλάσιον χέζομεν.] πολλαπλασίονα. ἔστι δὲ τὸ νοούμενον, ὅτι μικροῖς λήμμασιν ἀποδίδονται τῆς πόλεως τὰ πράγματα, ἀφ' ὧν ὠφέλεια μείζων ἢ δύναται γίνεσθαι τῇ πόλει. Κρατίστ' ἐκείνην.] ... ἐπὶ τὸ αὐτομολήσωμεν. τουτέστι χωρῆσαι πρὸς τοὺς ἐναντίους.

Bisetus. Αὐτόχρημα.] Σ. πάνυ ἀληθῶς, ἀψευδῶς.

Σχόλια. Ἐν Χάοσι.] Θρᾴκης ἔθνος οἱ Χάονες. παρέλαβε δὲ τὸ ὄνομα ἵνα τὸ κεχηνέναι δηλώσῃ. Χάονες δὲ δῆμος τῆς Θεσπρωτῶν. ἢ βάρβαρον ἔθνος. ἄλλως. οἱ μὲν τῆς Ἠπείρου. οἱ δὲ τῆς Θρᾴκης τοὺς Χάονας. ἅμα δὲ τοὺς εὐρυπρώκτους, διασύρει. διὰ τὸ χαῦνον τοῦ πρωκτοῦ. Τὼ χεῖρ' ἐν Αἰτωλοῖς.] ἀπὸ τοῦ ὀνόματος τὸ πρᾶγμα λέγει. ἐν Αἰτωλίᾳ, ἀλλ' ἐν τῷ αἰτεῖν. τὸ δ' ἐν Κλωπιδῶν, ἐνήλλαξεν πάλιν στοιχεῖον, ... Κρωπίδαι γὰρ δῆμος τῆς Λεοντίδος φυλῆς. ... θεὸν παρὰ τὸ κλέπτειν. Ὁ Θεμιστοκλέους.] Θεμιστοκλῆς ὁ καταναυμαχήσας ἐν τῇ περὶ Σαλαμῖνα ναυμαχίᾳ τοὺς βαρβάρους, εἶθ' ὕστερον φυγαδευθεὶς ὑπὸ Ἀθηναίων ἐπὶ προδοσίας αἰτίᾳ ψευδεῖ, καταφυγὼν πρὸς Ἀρταξέρξην τὸν Ξέρξου παῖδα, καὶ τιμηθεὶς τὰ μέγιστα παρ' αὐτοῦ, ὡς καὶ τρεῖς πόλεις εἰς ὄψον καὶ ἄρτον λαβεῖν, Μαγνησίαν, Μυοῦντα, Λάμψακον, ἐπηγγείλατο αὐτῷ καταδουλώσασθαι τὴν Ἑλλάδα, δυνάμεως εἰ λάβοι. παραγενόμενος δὲ ἅμα τῷ στρατηγῷ εἰς Μαγνησίαν, καὶ καταγνοὺς ἑαυτοῦ, εἰ οἱ δι' αὐτοῦ σωθέντες Ἕλληνες, εἶτα δουλεύσουσι βαρβάροις, προφάσει χρησάμενος ὡς θυσίαν ἐπιτελέσαι βούλοιτο, καὶ ἱερουργῆσαι τῇ Λευκοφρύῃ Ἀρτέμιδι καλουμένῃ, ταύρῳ ὑποθεὶς τὴν φιάλην, καὶ ὑποδεξάμενος τὸ αἷμα, καὶ χανδὸν πιὼν ἐτελεύτησεν εὐθέως. οἱ δέ φασιν, ὅτι συνιδὼν ὡς ὁ Θεμιστοκλῆς ὅτι οὐχ οἷός τε ἦν διαπράξασθαι τῷ βασιλεῖ, ἅπερ ἐπηγγείλατο, οὕτως ἐπὶ τὸν τοῦ θανάτου αἵρεσιν παρεγένετο. τοῦτον οὖν τὸν τρόπον, βέλτιον εἶναί φασι καὶ αὐτοὺς ἀποθανεῖν, κατὰ ζῆλον τοῦ Θεμιστοκλέους. διαβάλλει δὲ τοὺς Ἀθηναίους ὡς κακοὺς περὶ τοὺς εὐεργέτας. ἄλλως. μετὰ τὴν Ξέρξου φυγὴν Λακεδαιμόνιοι προδοσίας κρίναντες καὶ φονεύσαντες Παυσανίαν τὸν ἴδιον βασιλέα Κλεομβρότου καὶ Ἀλκαθέας υἱόν, εἰκότως δὲ διακείμενοι πρὸς Θεμιστοκλέα διὰ τὸν τειχισμὸν τῆς Ἀττικῆς, μεταστέλλονται αὐτὸν εἰς κρίσιν, φάσκοντες Παυσανίαν ὁμολογηκέναι καὶ αὐτὸν κοινωνεῖν ἐν τῇ προδοσίᾳ. Ἀθηναίων δὲ βουλομένων ἀποστέλλειν αὐτόν, φυγὼν ἧκε πρὸς Ἀρταξέρξην, καὶ Μηδικὴν φωνὴν μαθών, ἐδίδαξεν αὐτὸν πῶς ἔσωσε τὸν πατέρα Ξέρξην, μὴ συγχωρήσας τοῖς Ἕλλησι διαλῦσαι τὰ ἐπὶ Σηστοῦ καὶ Ἀβύδου διαζεύγματα. ἐφ' οἷς εὐχαριστήσας ὁ βασιλεύς, δωρεῖται αὐτῷ τρεῖς πόλεις. Μαγνησίαν εἰς σῖτον. Λάμψακον εἰς οἶνον, Μυοῦντα εἰς ὄψα. ὡς δὲ Κλεάνθης, καὶ Περκώτην εἰς στρωμνήν, καὶ Παλαίσκηψιν, εἰς στολήν. στρατιὰν δὲ λαβὼν

αὐτοῦ

αὐτοῦ ἐπὶ πορθήσει τῆς Ἑλλάδος, περὶ τὴν Ἰωνίαν ἐν Μαγνησίᾳ γενόμενος, θύων ὡς εἴρηται ἄνω τελευτᾷ. καὶ μετὰ θάνατον, τὸν μιξοβάρβαρον ἐνδεικνύμενος τρόπον. λοιμωξάντων δὲ Ἀθηναίων, ὁ θεὸς εἶπε μετάγειν τὰ ὀστέα Θεμιστοκλέους. Μαγνήτων δὲ μὴ συγχωρούντων, ᾐτήσαντο ἐπὶ τεσσαράκοντα ἡμέραις ἐναγίσαι τῷ τάφῳ. καὶ περισκηνώσαντες τὸ χωρίον, λάθρα κομίζουσιν ἀνορύξαντες τὰ ὀστᾶ. σύμμαχος δέ φησι ψεύδεσθαι περὶ Θεμιστοκλέους. οὔτε γὰρ Ἡρόδοτος οὔτε Θουκυδίδης ἱστορεῖ. ἔστι γοῦν ἀπὸ Σοφοκλέους Ἑλένης. ἐμοὶ δὲ λῷστον αἷμα ταύρου γ' ἐκπιεῖν καὶ μὴ γε πλείω τῶνδε ἔχειν δυσφημίας. τινὲς δέ φασιν ὅτι Σοφοκλῆς περὶ Θεμιστοκλέους τοῦτό φησι. ψεύδονται δέ, οὐ γάρ ἐστι πιθανόν.

Δημ. Μὰ Δί', ἀλλ' ἄκρατον οἶνον ἀγαθοῦ δαίμονος.
Ἴσως γὰρ ἂν χρηστόν τι βουλευσαίμεθα.
Νι. Ἰδού γ' ἄκρατον. περὶ ποτοῦ γοῦν ἐστί σοι;
Πῶς δ' ἂν μεθύων χρηστόν τι βουλεύσαιτ' ἀνήρ;
Δη. Ἀληθες οὗτος; κρουνοχυτρολήραιον εἶ.
Οἶνον σὺ τολμᾷς εἰς ἐπίνοιαν λοιδορεῖν;
Οἴνου γὰρ εὕροις ἄν τι πρακτικώτερον;
Ὁρᾷς; ὅταν πίνωσιν ἄνθρωποι, τότε
Πλουτοῦσι, διαπράττουσι, νικῶσι δίκας,
Εὐδαιμονοῦσιν, ὠφελοῦσι τοὺς φίλους.
Ἀλλ' ἐξένεγκέ μοι ταχέως οἴνου χοᾶ.
Τὸν νοῦν ἵν' ἄρδω, καὶ λέγω τι δεξιόν.
Νι. Οἴμοι τί ποθ' ἡμᾶς ἐργάσει τῷ σῷ ποτῷ;
Δη. Ἀγάθ'. ἀλλ' ἔνεγκ'. ἐγὼ δὲ κατακλινήσομαι.
Ἢν γὰρ μεθυσθῶ, πάντα ταυτὶ καταπάσω,
Βουλευματίων, καὶ γνωμιδίων, καὶ νοιδίων.

DE. Non per Iouem: sed fortunæ bonæ merum
Meracum: an sic consulitemus aliquid utile.
NI. Vide meracum: ergon' de potu agitur tibi?
At quid queat ebrius consultare utile?
DE. Certè omnino utile, tu homo nugacißime.
Quid? túne uinum audes calumniarier:
Quasi ad consultandum nihil afferat boni?
An vino aliquid reperias ad agendum aptius?
Viden' quando bibunt vinum homines, ibi admodum
Ditescunt, causas vincunt, lites obtinent,
Beati fiunt, & iam amicis commodant.
Age effer huc mihi vini veteris congium,
Vt irrigem mentem, & dicam aliquid vtile.
NI. Hei mihi, quid acturus es hîc cum potu tuo?
DE. Bene agam: effer tu modò, ego decumbam paululum:
Nam inebriatus, spargam vndique ratiunculas,
Sententiolas, & consultatiunculas.

Σχόλια. Ἀγαθοῦ δαίμονος] αἰρομένης τῆς τραπέζης μετὰ τὸ δεῖπνον, ἄκρατον περιεφέρετο, καὶ ἐκαλεῖτο ἡ κρᾶσις ἀγαθοῦ δαίμονος. ἄλλως. τὸ πρῶτον ποτήριον ἀγαθοῦ δαίμονος ἔπινον. εὐφημεῖ δὲ τὸν Διόνυσον, ὡς πάτριον θεόν. ἐπεὶ καὶ ἐν τῇ Διονύσου ἑορτῇ, τουτέστι τοῖς Διονυσίοις, ἠγωνίζοντο οἱ τῆς ἀρχαίας κωμῳδίας ποιηταί.

Bisetvs. Πῶς δ' ἂν μεθύων.] τοῦτο μέντοι πάλαι ἐποίουν οἱ Πέρσαι, ὡς Ἡρόδοτος λέγει. καὶ γὰρ ἐν τῇ Κλειοῖ ταῦτα περὶ τούτων γράφει. Μεθυσκόμενοι δὲ εἰώθασι βουλεύεσθαι τὰ σπουδαιότατα τῶν πραγμάτων, τὸ δ' ἂν ἅδῃ σφι βουλευομένοισι, τοῦτο τῇ ὑστεραίῃ νήφουσι προτιθεῖ ὁ στέγαρχος, ἐν τοῦ ἂν ἐόντες βουλεύωνται. καὶ ἣν μὲν ἅδῃ καὶ νήφουσι, χρέωνται αὐτῷ. ἣν δὲ μὴ ἅδῃ, μετιεῖσι. τὰ δ' ἂν νήφοντες προβουλεύσωνται, μεθυσκόμενοι ἐπιδιαγινώσκουσι.

Σχόλια. Ἀληθες οὗτος.] προπαροξυτόνως ἀναγνωστέον. αὕτη γὰρ χρῆσις τῶν Ἀττικῶν. ὅτι σημαίνει τὸ ἀληθές. ὅτε δὲ ὀξύνεται τὸ ὄνομα.

Bisetvs. Τὸ πρᾶγμα δηλοῖ τὸ τῆς ἀληθείας μετέχον. οὕτω γὰρ γράφουσι πρὸς τὴν τῆς γνώμης ὁλοκληρίαν. τοῦτο δὲ δῆλον ἐν ταῖς Νεφέλαις.

Σχόλια. Κρουνοχυτρολήραιον.] ἀντὶ τοῦ φλύαρος εἶ. κρουνὸς, τὸ χύδην καὶ ἀκρίτως καὶ ἀθρόως ῥέον. λῆρον δὲ τὸ μάταιον. συνέθηκεν οὖν ἐκ τοῦ κρουνοῦ καὶ ληρεῖν, καὶ τῆς χύτρας ἀναισθήτου οὔσης. ἵνα τὸ ὅλον δηλώσῃ τὸ ἀναίσθητον καὶ ἀνόητον καὶ περιττολόγον. Οἴνου γὰρ εὕροις ἄν τι.] Ὁμηρικὸν τὸ νόημα. ἀνδρὶ δὲ κεκμηῶτι μένος μέγα οἶνος ἀέξει. Ἡρόδοτος δὲ τοὺς Πέρσας τοῦτον τὸν τρόπον βουλεύεσθαί φησιν. εἰ μὲν οὖν εἴσηγήσαντό τινες νήφοντες, βουλεύεσθαί τι περὶ τούτων ἐν μέθῃ καὶ κυροῦν. νήφοντες δὲ, ἐπικυροῦν. φησὶν οὖν Ἡρόδοτος μέλλοντας τοὺς Πέρσας βουλεύεσθαι μεθύειν. Ὁρᾷς ὅταν πίνωσιν.] ὅρα τὸν Ἀριστοφάνην. ἀρχόμενον γὰρ σκωμμάτων, μεθύσκεσθαι, ἵνα μὴ νήφων δειλιάσῃ κωμῳδεῖν μεγάλους ἄνδρας. Οἴνου χοᾶ] χοῦς μέτρον Ἀττικὸν χωροῦν κοτύλας η'. ἔστι δὲ καὶ ἑορτὴ Ἀθήνησι. κέκληται δὲ ἀπὸ τοιαύτης αἰτίας. Ὀρέστης μετὰ τὴν τῆς μητρὸς ἀναίρεσιν ἧκεν εἰς Ἀθήνας παρὰ τὸν Πανδίονα συγγενῆ καθεστηκότα, ὃς ἔτυχε τότε βασιλεύων τῶν Ἀθηναίων, καὶ αὐτὸν κατέλαβεν εὐωχίαν τινὰ δημοτελῆ ποιοῦντα. ὁ τοίνυν Πανδίων παραπέμψασθαι τὸν Ὀρέστην αἰδούμενος, κοινωνῆσαι δὲ ποτοῦ καὶ τραπέζης ἀπαξιοῖς ἡγησάμενος μὴ καθαρθέντος αὐτοῦ τοῦ φόνου, ὡς ἂν μὴ ἀπὸ κρατῆρος πίνοιεν, ἑκάστῳ τῶν κεκλημένων παρέθηκε χοῦν. Καταπάσω.] πληρώσω. Καὶ νοιδίων.] λεπτῶν καὶ μεμεριμνημένων. οὐ γὰρ ὑποκορισμῷ εἴρηκεν. ἄλλως. διανοημάτων. παρήγαγεν ἀπὸ τοῦ πληθυντικοῦ τοῦ οἱ νοῖ, τὸ νοίδιον ὑποκοριστικόν. τέτακται δὲ ὀνειδισμῶν καὶ λοιδορεῖ ὑπὸ τοῦ οἴνου καὶ τῆς μέθης κακῶς.

Bisetvs. Νικίας οἴκοθεν ἐπανελθὼν οἶνον φέρει. ὃν Δημοσθένης παραλαβὼν, καὶ τὸν Κλέωνος καθεύδοντος καὶ ῥέγκοντος μέθην μαθὼν, τὸν Νικίαν πρὸς τὴν δεσποτικὴν πάλιν χωρεῖν κελεύει, ὅπως κλέψῃ τὰς σανίδας, καὶ τὰ βιβλία, ἐν οἷς τὰ κρύφια, καὶ λαθραῖα αὐτοῦ βουλεύματα ἦσαν γεγραμμένα. Νικίας τὸ προσταχθὲν ταχέως, καὶ ἐπιδεξίως ποιῶν, καὶ πρὸς Δημοσθένην ἐπαναστρέψας τὸ κλέμμα προφέρει, καὶ πᾶσι δηλοῖ τὸν χρησμὸν οἴκοι καταληφθέντα περί τινος Ἀλλαντοπώλου, ὃς τὸν Κλέωνα διαφθείρας, καὶ ἀπολέσας τῆς πόλεως προστατήσει.

Νι. Ὦ Σ' ἀτυχῶς, ὅτ', οὐκ ἐλήφθην ἔνδοθεν,

NI. QVàm prosperè euenit, quòd intus non fui

Κλέπτων τὸ σῖτον. Δημ. εἰπέ μοι, Παφλαγὼν τί δρᾷ;
Νι. Ἐπίπαστα λείξας δημιόπραθ' ὁ βάσκανος,
Ῥέγκει μεθύων ἐν ταῖσι βύρσαις, ὕπτιος.
Δη. Ἴθι νυν, ἄκρατον ἐγκάναξόν μοι πολύν.
Νι. Σπονδὴν λαβὲ δή, καὶ σπεῖσον ἀγαθοῦ δαίμονος,
Ἕλχ', ἕλκε τὴν τοῦ δαίμονος τοῦ Πραμνίου.
Δη. Ὦ δαῖμον ἀγαθέ, σὸν τὸ βούλευμ', οὐκ ἐμόν.
Νι. Εἴπ', ἀντιβολῶ, τί ἐστι; Δη. τοὺς χρησμοὺς ταχὺ
Κλέψας ἔνεγκε τοῦ Παφλαγόνος ἔνδοθεν,
Ἕως καθεύδει. Νι. ταῦτ'; ἀτὰρ τοῦ δαίμονος
Δέδοιχ' ὅπως μὴ τεύξομαι κακοδαίμονος.
Δη. Φέρε νυν ἐγὼ 'μαυτῷ προσαγάγω τὸν χοᾶ,
Τὸν νοῦν ἵν' ἄρδω, καὶ λέγω τι δεξιόν.
Νι. Ὡς μεγάλ' ὁ Παφλαγὼν πέρδεται, καὶ ῥέγκεται,
Ὥστ' ἔλαθον αὐτὸν τὸν ἱερὸν χρησμὸν λαβών,
Ὅνπερ μάλιστ' ἐφύλαττεν. Δη. ὦ σοφώτατε
Φέρ' αὐτόν, ἵν' ἀναγνῶ· σὺ δ' ἔγχεον πιεῖν
Ἀνύσας τι. φέρ' ἴδω τί ἆρ' ἔνεστιν αὐτόθι.
Ὦ λόγια. δός μοι τὸ ποτήριον ταχύ.
Νι. Ἰδού, τί φησιν ὁ χρησμός; Δη. ἑτέραν ἔγχεον.
Νι. Ἐν τοῖς λογίοις ἔνεστιν, ἑτέραν ἔγχεον;
Δη. Ὦ Βάκι. Νι. τί ἐστι; Δη. δὸς τὸ ποτήριον ταχύ.

A *Deprehensus in furto.* DE. *quid agit Paphlago? cedo.*
NI. *Vbi praestigiator publicata cibaria*
Liguriuit, stertit supinus in corio.
DE. *Age nunc meracum cum strepitu infundas mihi.*
NI. *Cape hoc libamen, & liba genio bono,*
Trahe, trahe quaeso, libamen Pramnij Dei.
B DE. *O bone Geni, tuum est consilium hoc, non meum.*
NI. *Dic obsecro: quid est?* DE. *i, aufer Paphlagonis*
Oracula furtim, dum intus dormiat. NI. *bacci-ne*
Vult Genius? vereor ne Genio potiar malo.
DE. *Age, nunc ego mihi ipsi admouebo congium,*
C *Vt irrigem mentem, & dicam aliquid vtile.*
NI. *Quàm valde pedit & stertit nequam iste Paphlago?*
Nam non sensit, cùm surriperem ipsi oracula:
Quae tamen asseruabat plurimum. DE. *amice optime*
Cedò hoc oraculum, vt legam: tu, quod bibam,
Infunde: propera: sine videam quid insit hîc.
D *O quae oracula? da poculum mihi ocyus.*
NI. *En tibi, quid ait oraculum?* DE. *infunde alterum.*
NI. *Oraculóne inscriptum est hoc, infunde alterum?*
DE. *O Baci.* NI. *quid est?* DE. *da poculum mihi quam celerrimè.*

Σχόλια. Ἐπίπαστα λείξας.] τὰ ἐπιπασσόμενα τοῖς ἄρτοις ἄλευρα. ἄττος δέ, ἣν ἀθάρας ἔλεγον. καὶ τὸ πίασμα ἔψημα. τὰ δὲ ἄλφιτα δημόσια πιπράσκεται. ἔθος δὲ εἶχον ποιεῖν πλακοῦντας ἢ ἄρτους καὶ ἐπιπάσσειν τινὰ καρυκεύματα ἁλμυρά. καὶ διὰ τοῦτο ἔφη τὰ ἐπίπαστα. Δημιόπραθ' ὁ βάσκανος.] τὰ δημόσια πιπρασκόμενα. ἐκ δημιουργίας καὶ τῶν δημευομένων διὰ Κλέωνα θυσιῶν. ἢ δημόπρατα ἔλεξεν ὡς ἐκ δημοσίου πράγματα αὐτοῦ κλέψαντος. ἄλλως. τὰ τοῦ δήμου ἐξωνούμενα. τῷ γὰρ λέγειν τῷ δήμῳ κεχαρισμένα, ὠνεῖτο τοῖς τοιούτοις λόγοις τὴν παρ' αὐτοῦ εὔνοιαν. Ῥέγκει.] διὰ τὸ κ. συμβαίνει δὲ μάλιστα τοῦτο πάσχειν τοὺς μεθύοντας. ἢ τοὺς ὑπτίους ἀνακειμένους. ὥσπερ καὶ αὐτὸς ἐσήμανεν ἐκ τῆς ἑξῆς λέξεως, εἰπών. ἐν ταῖς βύρσαις ὕπτιος, ῥέγκει οὖν ἀντὶ τοῦ ποιὸν ἦχον ἀποτελεῖ τῇ ῥινί. Ἐγκάναξον.] ἔγχει. ἐγκένωσον. λέγεται δὲ ἐπὶ τῶν ἀθρόως πινόντων. εἰ δὲ ἐπὶ θορύβου τὰ πλεῖστα τοῦτο σημ. τὴν καναχήν. ἔγχεον μετὰ ψόφου ἔγχεον. Τὴν τοῦ δαίμονος τοῦ Πραμνίου.] τὴν Πραμνειοῦς. ἤτοι ἀπὸ γῆς Πραμνίας ἀμπέλου. ἢ ἀπὸ τοῦ πραΰνειν τὸ ὕδωρ ἢ διὰ τὸ πολυχρόνιον πεπαμμένον. ἢ ἐν Πραμνίῳ πέτρᾳ γινόμενον, ἢ πρὸς τὴν Θρᾴκην. δέον δὲ εἰπεῖν τὴν τοῦ δαίμονος τοῦ ἀγαθοῦ, εἶπε Πραμνίου. ἐπεὶ ὁ Πράμνιος οἶνος πολυτιμητός ἐστιν. ἢ διὰ τὸ ἐμφράττειν καὶ μὴ ἐξιστάναι τὸν πίνοντα.

BISETVS. Τοῦ Πραμνίου.] Ἀθηναῖος ἐν τῷ α. τῶν δειπνοσοφ. Γίνεται δὲ ἐν Ἰκάρῳ, φησὶν Ἐπαρχίδης, ὁ Πράμνιος. ἔστι δὲ οὗτος γένος τι οἴνου. καὶ ἔστιν οὗτος οὐ γλυ-
E κύς, οὔτε παχύς, ἀλλ' αὐστηρὸς καὶ σκληρὸς, καὶ δύναμιν ἔχων διαφέρουσαν, οἵῳ Ἀριστοφάνης, οὐχ ἥδεσθαι Ἀθηναίους φησὶ λέγων,

Τὸν Ἀθηναίων δῆμον οὔτε ποιηταῖς
Ἥδεσθαι σκληροῖς, καὶ ἀστεμφέσιν, οὔτε
Πραμνίοις σκληροῖσιν οἴνοις, συνάγουσι
Τὰς ὀφρῦς τε, καὶ τὴν κοιλίαν, ἀλλ'
Ἀνθοσμίᾳ, καὶ πέπονι νεκταροσταγεῖ.

Εἶναι γὰρ ἐν Ἰκάρῳ φησὶ Σῆμος Πράμνιον πέτραν, καὶ παρ'
F αὐτῇ ὄρος μέγα, ἀφ' οὗ τὸν Πράμνιον οἶνον, ὃν καὶ φαρμακίτην τινὰς καλεῖν.

Σχόλια. Ὦ δαῖμον] ὡς ἐμπνευσθεὶς καὶ σοφῶς τοῦτό φησι. Δέδοιχ' ὅπως.] δέδοικά φησι μὴ διὰ τὸν δαίμονα τὸν ἀγαθόν, τύχω τοῦ κακοδαίμονος. Φέρε νυν ἐγὼ 'μαυτῷ.] μόνος γενόμενος καὶ μηκέτι κωλυόμενος ὑφ' ἑτέρου, ἀδεέστερον πίνε, ἕως ἐκεῖνος ἐκφέρει τοὺς χρησμούς. Ἄρδω.] ποτίσω. τὸ δὲ προσπλεῦ ἔλαβεν ἀπὸ τῶν φυτῶν. Πέρδεται.] ὁμοιοκατάληκτον εἶπε τῷ ῥέγκεται. ἢ γὰρ ὅτι δόκιμον οὕτω λέγει. ἀνύσας δὲ διαπραξάμενος σπουδαίως. Τὸν ἱερὸν χρησμόν.] δύο χρησμοὺς δεδοικέναι τῷ Κλέωνι, ὡς φυλάσσοντες δὲ τοῦτον μάλιστα ὑπὲρ τοῦ μὴ ἔχουσιν αὐτὸν γνῶναι. τοῦτο οὖν λέγει. ὡς καὶ ἄλλους αὐτοῦ ἔχοντος. Φέρ' ἴδω.] καταμάθω. καὶ κατανοήσω καὶ ἐπισκέψωμαι, πότε γίγνεται. ἢ τί ποῖε ὁ χρησμὸς λέγει. αὐτόθι δέ, τουτέστιν ἐν τῷ βιβλίῳ. ἢ ἐν τῷ χρησμῷ. Ὦ λόγια.] μαντεύματα. θαυμάζει δὲ τοὺς χρησμοὺς, ἀναγνοὺς. ἰδοὺ δέ. ἀντὶ τοῦ λάμβανε, κράτει. Ὦ Βάκι.] τρεῖς Βάκιδες ἐγένοντο. εἷς μὲν Ἀττικὸς καὶ μάντις. ὁ δὲ Λοκρός. ὁ δὲ Βοιωτός.

G

Νι. Πολ-

Νι. Πολλῷ γ' ὁ Βάκις ἐχρῆτο τῷ ποτηρίῳ.

Δημοσθ. Ὦ μιαρὲ Παφλαγὼν, ταῦτ' ἄρ' ἐφυλάττου πάλαι,
Τὸν περὶ σεαυτοῦ χρησμὸν ὀρρωδῶν. Νι. τιή;

Δημοσθ. Ἐνταῦθ' ἔνεστιν, αὐτὸς ὡς ἀπόλλυται.

Νι. Καὶ πῶς; Δημο. ὅπως, ὁ χρησμὸς ἄντικρυς λέγει,
Ὡς πρῶτα μὲν στυππειοπώλης γίνεται,
Ὃς πρῶτος ἕξει τῆς πόλεως τὰ πράγματα.

Νι. Εἷς οὑτοσὶ πώλης. τί τοὐντεῦθεν; λέγε.

Δημοσθ. Μετὰ τοῦτον αὖθις προβατοπώλης δεύτερος.

Νι. Δύο τώδε πώλα, καὶ τί τοῦτον χρὴ παθεῖν;

Δημοσθ. Κρατεῖν, ἕως αὖ ἕτερος ἀνὴρ βδελυρώτερος
Αὐτοῦ γένοιτο, μετὰ δὲ ταῦτ' ἀπόλλυται.
Ἐπιγίνεται γὰρ βυρσοπώλης Παφλαγὼν,
Ἅρπαξ, κεκράκτης, Κυκλοβόρου φωνὴν ἔχων.

Νι. Τὸν προβατοπώλην ἦν ἄρ' ἀπολέσθαι χρεὼν
Ὑπὸ βυρσοπώλου; Δημοσθ. νὴ Δί'; Νι. οἴμοι δείλαιος.
Πόθεν οὖν ἂν ἔτι γένοιτο πώλης εἷς μόνος;

Δη. Ἔτ' ἔστιν εἷς, ὑπέρφυᾶ τέχνην ἔχων.

Νι. Εἴπ', ἀντιβολῶ, τίς ἐστιν; Δημοσθ. εἴπω; Νι. νὴ Δία.

Δη. Ἀλλαντοπώλης ἔσθ', ὁ τοῦτον ἐξολῶν.

Νι. Ἀλλαντοπώλης; ὦ Πόσειδον, τῆς τέχνης;
Φέρε, ποῦ τὸν ἄνδρα τοῦτον ἐξευρήσομεν;

Δημοσθ. Ζητῶμεν αὐτόν. Νι. ἀλλ' ὅδε προσέρχεται,
Ὥσπερ κατὰ θεῖον, εἰς ἀγοράν. Δημοσθ. ὦ μακάριε
Ἀλλαντοπῶλα, δεῦρο δεῦρ' ὦ φίλτατε.
Ἀνάβαινε σωτὴρ τῇ πόλει καὶ νῷν φανείς.

A *Ni. Multo potu isthic sanè Bacis vsus est.*
De. Scelestè Paphlago haeccine seruabas tam diu?
Metuens tuum de te ipso oraculum? Ni. quid est?
De. Inest huic charta: quonam pacto ipse pereat.
Ni. Et quomodo? De. Modum explicat hoc oraculum
B *Manifestè: quòd primò stupparum venditor*
Hic administraturus sit Rempublicam.
Ni. Vnus hic est venditor: quid deinde ait? cedo.
De. Post hunc erit secundus ouium venditor.
Ni. Duo iam sunt venditores: & quid alterum
Hunc pati opus est? De. quid? tantisper dominarier
C *Donec alius succedat ipso nequior.*
Sed posthaec interit: nam corij venditor
Iste Paphlago succedit in illius locum,
Homo rapax, vociferator, os Cyclobori habens.
Ni. Erat ergo ita in fatis, vt ouium venditor
A venditore corij tolleretur è
Medio? De. nae, per Iouem. Ni. hei mihi misero, vnde adhuc
Vel vnus tantùm, pòst existat venditor?
D *De. Immò, est vnus supra modum instructus dolis.*
Ni. Dic, obsecro, quis est? De. dicámne? Ni. per Iouem.
De. Istum qui perdet, venditor est farcimnum.
Ni. Fartórne? próh Neptune, quae haec fallacia?
Cedò, vbinam istum inueniemus commodè virum?
E *De. Quaeramus ipsum. Ni. eccum ipso in tempore, in forum*
Huc aduenit, quasi fato quodã. De. euge optime
Fartor adesdum: huc ades, vir optatissime:
Seruator ades nobis, Reique publicae.

Σχόλια. Πολλῷ γ' ὁ Βάκις ἐχρῆτο.] ἀντὶ τοῦ πολλὰ ἔπινεν. Ὀρρωδῶν.] φοβούμενος, εὐλαβούμενος. ἀπὸ τοῦ τὸν ὄρρον τὸν δειλὸν ἰδίειν. τὸ ἑξῆς. ταῦτ' ὀρρωδῶν, ἐφυλάττου πάλαι τὸν περὶ σεαυτοῦ χρησμόν. ἄντικρυς δὲ φανερῶς διαῤῥήδην. Στυππειοπώλης.] ὁ τὰ στυππεῖα πωλῶν. τουτέστι καννάβινα λινᾶ. δηλοῖ δὲ τὸν Εὐκράτην καὶ τὴν ἐπ' αὐτοῦ πολιτείαν. ὃς στύππαξ ἐκαλεῖτο, διὰ τὸ στυππειοπώλης εἶναι, ὡς καὶ ἐν ἑτέροις. ἕξει δὲ ἀντὶ τοῦ καθέξει. διοικήσει καὶ διαχειριεῖται. Πώλης.] παρὰ τὸ τέλος τοῦ ὀνόματος παίζει. Προβατοπώλης.] τὸν Καλλίαν λέγει. καὶ τὴν πολιτείαν αὐτοῦ. τινὲς δὲ, ὅτι Λυσικλέα λέγει. ὃς προβατοπώλης ἐλέγετο. Δύο τώδε πώλα.] ἔπαιξε τοῖς ὀνόμασι. παρὰ γὰρ τὸ ἀποδίδοσθαι καὶ πωλεῖν τοὺς πολιτευομένους τὰ τῆς πόλεως πράγματα. κρατεῖν δὲ ἄρχειν καὶ διέπειν τὰ πολιτικά. δέον δὲ εἰπεῖν στρατηγὸς, Παφλαγών ἐστι. Κυκλοβόρου φωνὴν ἔχων.] Κυκλοβόρος ποταμὸς τῶν Ἀθηναίων, οὐκ ἀεὶ, οὐδὲ διὰ παντὸς ῥέων, ἀλλὰ χειμάῤῥους. φησὶν οὖν τραχεῖαν φωνὴν ἔχων καθάπερ ὁ ποταμὸς ἐπειδὰν ῥέῃ. ἢ ἀπὸ τοῦ τρεφομένου ἐκ τοῦ κύκλου. ὁ δὲ κύκλος Ἀθήνησίν ἐστι. καθάπερ Μάκελλος, ἐκ τῆς κατασκευῆς, τῆς προσηγορίαν λαβόν. ἔνθα δὴ πιπράσκεται χωρὶς κρεῶν, τὰ ἄλλα ὤνια. ἐξαιρέτως δὲ οἱ ἰχθύες. οὕτω τὸν Κλέωνα δυνάμενον μέγα, καὶ φοβερὸν ὄντα, χρηματίζεται παρὰ τῶν πιπρασκόντων, ἵνα μὴ περιεργάζοιτο αὐτούς. καὶ ἴσως ὀμπνειότερον ὠνόμασεν. ὁ μὲν γὰρ Ὅμηρος δημοβόρον φησὶ τὸν Ἀγαμέμνονα. λέγων δημοβόρος βασιλεὺς ἐπεὶ οὐτιδανοῖσιν ἀνάσσεις. ἄλλως. ποταμὸς τῆς Ἀττικῆς χειμάῤῥους ὁ Κυκλοβόρος. ὑπὸ Ἀθηναίων γνωσθείς. τὴν κακοφωνίαν οὖν τοῦ Κλέωνος, εἴκασε τῷ ἤχῳ τοῦ ποταμοῦ. καὶ ἀλλαχοῦ, φωνὴν δ' ἐγὼ τοῦ Κυκλοβόρου κατιέναι. ἔνιοι δὲ τόπος Κυκλοτερὴς, ἐν ᾧ τὰ ὤνια ἐπωλοῦντο ἃ ἐσφετερίζετο ὁ Κλέων. Πόθεν ἂν οὖν ἔτι γένοιτο.] ἔχων ἐν τῷ τέλει τὸ ὄνομα τὸ πώλης. διαβάλλει δὲ τοὺς Ἀθηναίους ὡς ἀγοραίους καὶ βαναύσους καθιστάντας τοὺς δημαγωγούς. Ὑπερφυᾶ.] ὑπερβάλλουσαν. θαυμαστὴν καὶ λαμπράν. ἐξαίρει δὲ νῦν αὐτοῦ τὴν τέχνην, ἵνα μᾶλλον ὀνειδίσῃ φανείσης αὐτοῦ τῆς τέχνης λίαν εὐτελοῦς. ἐξολῶν δὲ ἐκβαλῶν μέλλων τῆς πολιτείας τὸν Κλέωνα. ἀλλαντοπώλην δὲ τὸν Ἀγοράκριτον λέγει οὕτως αὐτοῦ πεπλασμένον κατὰ κωμικὴν παιδιάν. Ὥσπερ κατὰ θεῖον εἰς

ἀγοράν.] ἐπὶ τῶν ἐξαίφνης γινομένων τουτέστιν ἀκαίρως ἐπιφαινομένων, κατὰ θεῖον ἔλεγον. ἐπεὶ καὶ ὁ ἀλλαντοπώλης αἰφνίδιον βουλομένοις, μὴ προσδοκήσασι δὲ ἐπιφαίνει αὐτοῖς. ἄλλως. κατὰ θεοῦ πρόνοιαν. τοὺς δὲ ἐξαίφνης φαινομένους, οὕτως ἔλεγον κατὰ θεῖον ὦφθαι. ὅ ἐστι κατὰ πρόνοιαν θεοῦ. Ἀνάβαινε σωτὴρ τῇ πόλ(ει).] ἵνα φασὶν ἐκ τῆς A παρόδου ἐπὶ τὸ λογεῖον ἀναβῇ. διὰ τί οὖν ἐκ τῆς παρόδου. τοῦτο γὰρ οὐκ ἀναγκαῖον. λεκτέον οὖν ὅτι ἀναβαίνειν ἐλέγετο τὸ ἐπὶ τὸ λογεῖον εἰσιέναι. ὃ καὶ πρόκειται. λέγεται γὰρ καταβαίνειν, τὸ ἀπαλλάττεσθαι ἐντεῦθεν ἀπὸ τοῦ παλαιοῦ ἔθους. τοῦτον δὲ οἱ μὲν Κλεώνυμον. οἱ δὲ Ὑπέρβολον. οἱ δὲ φασὶν Εὔβολον εἶναι. ὡς ἐν θυμέλῃ δὲ τὸ ἀνάβαινε.

ΔΡΑΜΑΤΟΣ ΠΡΩΤΟΥ B

Σκηνὴ δευτέρα.

Τρίμετροι ἰαμβικοί.

ΑΛΛΑΝΤΟΠΩΛΗΣ, Ο ΚΑΙ ΑΓΟΡΑΚΡΙΤΟΣ, ΔΗΜΟΣΘΕΝΗΣ, ΝΙΚΙΑΣ.

Βισετυς. Ἀγοράκριτος προσέρχεται, ᾧπερ οἱ δύο δοῦλοι τὸν ἀπὸ αὐτοῦ δοθέντα χρησμὸν δηλοῦσι, καὶ C καλὴν δυναστείας ἐλπίδα παρέχουσιν.

Αλ. Τί ἐστι; τί με καλεῖτε; Δη. δεῦρ' ἐλθ', ἵνα πύθῃ,
Ὡς εὐτυχὴς εἶ, καὶ μεγάλως εὐδαιμονεῖς.
Νι. Ἴθι δὴ κάθελ' αὐτοῦ τοὐλεὸν, καὶ τοῦ θεοῦ
Τὸν χρησμὸν ἀνάδιδαξον αὐτὸν, ὡς ἔχει.
Ἐγὼ δ' ἰὼν προσκέψομαι τὸν Παφλαγόνα.
Δημοσθ. Ἄγε δὴ σὺ κατάθου πρῶτα τὰ σκεύη χαμαί, D
Ἔπειτα τὴν γῆν πρόσκυσον, καὶ τοὺς θεούς.
Αλ. Ἰδοὺ· τί ἐστι; Δημοσθ. ὦ μακάρι', ὦ πλούσιε,
Ὦ νῦν μὲν οὐδεὶς, αὔριον δ' ὑπέρμεγας,
Ὦ τῶν Ἀθηναίων ταγὲ τῶν εὐδαιμόνων.
Αλ. Τί μ' ὦ 'γάθ' οὐ πλύνειν ἐᾷς τὰς κοιλίας,
Πωλεῖν τε τοὺς ἀλλᾶντας, ἀλλὰ καταγελᾷς; E
Δη. Ὦ μῶρε, ποίας κοιλίας; δεῦρο βλέπε,
Τὰς στίχας ὁρᾷς γε τάσδε τῶν λαῶν; Αλλαν. ὁρῶ.
Δη. Τούτων ἁπάντων αὐτὸς ἀρχέλας ἔσει,
Καὶ τῆς ἀγορᾶς, καὶ τῶν λιμένων, καὶ τῆς πυκνός,
Βουλὴν πατήσεις, καὶ στρατηγοὺς κλαστάσεις,

ACTVS I. SCENA II.

Senarij Iambici.

AGORACRITVS, QVI ET ALLANTOPOLA, DEMOSTHENES, NICIAS.

AG. *Quid est? quid me vocatis?* DE. *agè huc, ut audias*
Quàm vis beatus sis, & quàm prosperè habeas.
NI. *Aufer tu mensam ei fartoriam: & Dei*
Quale sit oraculum, & quid velit, ipsum edoce.
Ego ibo, & internisam, quid agat Paphlago.
DE. *Agè, tu depone primùm hæc vasa humi: dein*
Pronus adora Tellurem, & patrios Deos.
AG. *Eccum: quid est?* DE. *ô te fœlicem, ô diuitem,*
O qui, hodie nullus cùm sis, cras maximus eris.
O dux Atheniensium felicium.
AG. *Cur non sinis me abluere hos ventriculos, & hæc*
Farcimina vendere, quid me habes despectui?
DE. *Quos ventriculos, tu fatue? huc ad me respice.*
Viden' hos populi ordines? AG. *video sanè.* DE. *omnium*
Tu horum dux & princeps eris, fori, pnycis,
Et portuum: senatum calcabis: duces
Confringes: vincies, vinctos custodies:

F

Σχόλια. Τί με καλεῖτε.] ὁ Ἀγοράκριτος τουτέστιν ὁ Ἀλλαντοπώλης ταῦτα λέγει. εἰσάγει δὲ εἰς τὸ θέατρον, γελοίως χορδὰς ἔντερα καὶ κοιλίας, καὶ μαγειρικὴν τράπεζαν φέρων. Τοὐλεόν.] τὸ τραπέζιον, ἐν ᾧ ἤσθιον οἱ ἀλλᾶντες. ἐλεοὶ γὰρ λέγονται αἱ μαγειρικαὶ τράπεζαι. καὶ Ὅμηρος. ἐν ἐλεοῖσιν ἔθηκεν. Προσκέψομαι] περιεργάσομαί φησιν εἰσελθὼν, καὶ κατανοήσω τί ποιεῖ ὁ Παφλαγών. Τὰ σκεύη] τὸ ἀγγεῖον ἐν ᾧ ἔφερε τοὺς ἀλλᾶντας. Ἰδού.] πεποίηκεν ὃ προσέταξε. παρεπιγραφὴ δὲ καλεῖται τὰ τοιαῦτα πάντα. ἀμοιβαῖα δέ ἐστι ταῦτα τοῦ ἀλλαντοπώλου καὶ ἑνὸς τῶν οἰκετῶν. Ταγέ.] ἀρχηγέ. ἡγεμών. καὶ Ὅμηρος. πὰρ δ' οἱ ταγοὶ ἄμμι μενόντων. Τὰς κοιλίας.] Ὅμηρος διὰ παντὸς γαστέρας καλεῖ οὐ κοιλίας. Ἀλλὰ καταγελᾷς.] ἀλλὰ χλευάζεις με καὶ γέλωτα τίθεσαι. ὅτι δὲ ἀπίστου ὄντα ποιεῖ, τοῦτον δείκνυσιν αὐτὸν τῆς πολιτείας ἀνάξιον, ἢ τὸν ἀλλαντοπώλην δια- G βάλλειν βουλόμενος, ἀλλ' ὁμοῦ καὶ τῶν Ἀθηναίων καθαπτόμενος, οἳ τοιούτων ἀνέχονται πολιτῶν. καὶ διαβάλλων τὸν Κλέωνα, ὅτι αὐτός τε ἐκεῖνος ἦν εὐτελὴς, καὶ ὑπὸ τοιούτου τῆς πολιτείας ἐκβληθήσεται. Τὰς στίχας ὁρᾷς] τὸ πλῆθος. τὰς τάξεις. τὸ θέατρον δὲ αὐτῷ δεικνὺς ταῦτά φησιν. Ἀρχέλας] ἄρχων λαοῦ. ἡγεμών. ἔξαρχος. δημαγωγός. ἔπαιξε δὲ τῷ ὀνόματι. φησὶ γὰρ ἄρξεις τοῦ λαοῦ. Πυκνός.] τῆς ἐκκλησίας. μετάθεσίς ἐστι τῶν στοιχείων. εἰ γὰρ πνὺξ ἐστὶν, ἔδει πνυκός. νῦν δὲ πυκνός. Βουλὴν πατήσεις.] διαταλαιπωρήσεις. καταπατήσεις. ἢ ἀντὶ τοῦ καταφρονήσεις τοῦ βουλευτηρίου. Κλαστάσεις.] οἱ μὲν κλοιώσεις καὶ δεσμεύσεις, οἱ δὲ ἐκραυγάσεις. βέλτιον δὲ κλάσεις, ἀπὸ μεταφορᾶς τῶν τεμνομένων κλημάτων. ἄλλως. ἐκριζῶν ἀνατρέψεις. ἔνθεν κλαστήριον τὸ δρέπανον, ᾧ κλαδεύουσι καὶ ξύλα καὶ κλήματα ἐν ταῖς ἀμπέλοις.

Δήσεις,

Διήσεις, φυλάξεις, ἐν Πρυτανείῳ λαικάσεις.
Αλ. Ἐγώ; Δη. σὺ μέντοι, κοὐδέπω γε πάνθ' ὁρᾷς,
Ἀλλ' ἐπανάβηθι κἀπὶ τοὐλεὸν τοδί,
Καὶ κάτιδε τὰς νήσους ἁπάσας ἐν κύκλῳ.
Αλ. Καθορῶ. Δη. τί δαί; τἀμπόρια, καὶ τὰς ὁλκάδας;
Αλ. Ἔγωγε. Δη. πῶς οὖν οὐ μεγάλως εὐδαιμονεῖς;
Ἔτι νῦν τὸν ὀφθαλμὸν παράβαλλ' εἰς Καρίαν
Τὸν δεξιὸν, τὸν δ' ἕτερον εἰς Καρχηδόνα.
Αλ. Εὐδαιμονήσω γ', εἰ διαστραφήσομαι;
Δημοσθ. Οὔκ, ἀλλὰ διὰ σοῦ ταῦτα πάντα πέρναται.
Γίγνει γὰρ, ὡς ὁ χρησμὸς οὑτοσὶ λέγει,
Ἀνὴρ μέγιστος. Αλ. εἰπέ μοι καὶ πῶς ἐγὼ
Ἀλλαντοπώλης ὢν, ἀνὴρ γενήσομαι.
Δη. Δι' αὐτὸ γάρ τοι τοῦτο καὶ γίγνει μέγας.
Ὁτιὴ πονηρὸς, κἀξ ἀγορᾶς εἶ, καὶ θρασύς.
Αλ. Οὐκ ἀξιῶ 'γὼ 'μαυτὸν ἰσχύειν μέγα.
Δημοσθ. Οἴμοι, τί ποτ' ἔστ', ὅτι σαυτὸν οὐ φῂς ἄξιον;
Ξυνειδέναι τί μοι δοκεῖς σαυτῷ καλόν;
Μῶν ἐκ καλῶν εἶ κἀγαθῶν; Αλλαν. μὰ τοὺς θεοὺς
Εἰμ' ἐκ πονηρῶν γ'. Δημοσθ. ὦ μακάριε τῆς τύχης,
Οἷον πέπονθας ἀγαθὸν εἰς τὰ πράγματα;
Αλ. Ἀλλ' ὦγάθ', οὐδὲ μουσικὴν ἐπίσταμαι,
Πλὴν γραμμάτων, καὶ ταῦτα μέντοι κακὰ κακῶς.
Δημοσθ. Τουτί σε μόνον ἔβλαψεν, ὅτι κακὰ κακῶς,
Ἡ δημαγωγία γὰρ οὐ πρὸς μουσικοῦ
Ἔτ' ἐστὶν ἀνδρὸς, οὐδὲ χρηστοῦ τοὺς τρόπους,
Ἀλλ' εἰς ἀμαθῆ καὶ βδελυρόν. ἀλλὰ μὴ παρῇς,
Ἅ σοι διδόασ' ἐν τοῖς λογίοισιν οἱ θεοί.
Αλ. Πῶς δῆτά φησ' ὁ χρησμός; Δημοσθ. εὖ νὴ τοὺς θεοὺς,

A *In Prytaneo scortum accubabis molliter.*
AG. Egon? DE. tute ergo: necdum vidisti omnia:
Verùm conscende mensam istam fartoriam,
Et insulas circumcirca omnes dispice.
AG. Video. DE. quid? emporia, & naves onerarias?
AG. Video. DE. quomodo igitur non habeas optime?
B *Nunc oculum dextrum detorque hinc in Cariam,*
Sinistrum verò isthanc versus Carthaginem.
AG. An fortunatus ero, si oculos distorsero?
DE. Non, sed per te vendentur isthaec omnia
Fies enim, sicut vult hoc oraculum,
Vir maximus. AG. dic obsecro, quo pacto ego,
Qui fartor sum, vir possim fieri maximus?
C *DE. At propter hoc ipsum fies vir maximus,*
Quòd malus es, & audax, unúsque e foro.
AG. Ego memet indignum indico, qui sim potens.
DE. Eheu, quid hoc rei, quòd te indignum esse ais?
Videre mihi aliquid conscire tibi boni.
Utrum ê bonis ac probis? AG. non per Deos,
D *Ego sum malorum unus. DE. felicem te virum,*
Quantum igitur adiumenti ad agendas es habes?
AG. At ego, vir bone, nullam artem didici Musicam,
Praeterquàm literas, & male quidem has malas.
E *DE. Et hoc nocuit tibi unicè, quòd male malas.*
Nam nihil ad doctos pertinet Respublica,
Nihil ad probos, sed ad impuratos & rudes.
Modò ne spernas, quae Dii dant tibi in oraculis.
AG. Quid igitur ait oraculum? DE. bene per Deos.

Σχόλια. Ἐν Πρυτανείῳ] Πρυτανεῖον οἰκίσκος παρὰ τοῖς Ἀθηναίοις, ἔνθα σιτοῦνται δημοσίᾳ οἱ τῆς τοιαύτης τιμῆς παρ' αὐτοῖς τυχόντες. περισπούδαστον δὲ ἦν τῆς δωρεᾶς τυχεῖν. ἐπὶ γὰρ μεγάλοις κατορθώμασι, τῆς τοιαύτης ἐπιδόσεως χάριν. Λαικάσεις.] δέον εἰπεῖν σιτήσεις. ὁ ἐν Πρυτανείῳ ἀεὶ σιτήσεις. παρ' ὑπόνοιαν οὖν εἶπεν ὡς ἐν κωμῳδίᾳ, ἀντὶ τοῦ πορνεύσεις. ὅθεν καὶ λαικάστρια ἡ πόρνη.

BISETUS. Λαικάσεις] λαικάζειν, ὥς φησιν Εὐστάθιος, τὸ πορνεύειν, παρὰ τὸ λα ἐπιτατικὸν, καὶ τὸ κάζειν, τὸ κοσμεῖν. ὅθεν λαικάστρια, ἡ πόρνη, διὰ τὸν περιττότερον κόσμον, καὶ καλλωπισμὸν πρὸς τὸ ἐφέλκειν τοὺς ἐραστάς.

Σχόλια. Ἐν κύκλῳ.] ἀπὸ τοῦ συμβεβηκότος καὶ αὐτὸς ὀνόμασε. βουλόμενος δηλῶσαι τὰς Κυκλάδας νήσους κύκλῳ κειμένας. φησὶν οὖν περίβλεπε. καὶ γὰρ τούτων ἄρξεις. ὁλκάδας δὲ τὰς ναῦς ἀπὸ τοῦ ἕλκειν. Καρχηδόνα.] παίζει F πρὸς τὸ ἐνταῦθα κἀκεῖσε ὁρᾶν. ἡ μὲν γὰρ Καρία, πρὸς ἕω, ἡ δὲ πρὸς δύσιν, ἡ Καρχηδὼν ἡ λεγομένη Καρταγένα. λέγει δὲ τὴν δύσιν. διαστραφήσομαι δὲ στρεβλωθήσομαι τοὺς ὀφθαλμούς. ἐπεὶ εἶπε στράφηθι. Πέρναται.] πιπράσκεται. δέον εἰπεῖν διοικεῖται. ὁ δὲ εἶπε πιπράσκεται πικρῶς. τουτέστι πιπράσκεται. Κἀξ ἀγορᾶς εἶ.] πάλιν διὰ τούτου δεικνύναι βούλεται, ὅτι ὑπὸ τῶν πονηροτάτων διοικεῖται τὰ τῶν Ἀθηναίων πράγματα. καὶ ὅτι μάλιστα εὐδοκιμοῦσιν οἱ τοιοῦτοι παρ' αὐτοῖς ὥσπερ καὶ ὁ Κλέων. Οὐκ ἀξιῶ.] οὐχ ὑπολαμβάνω. ἢ ἄξιον κρίνω. Οἷον πέπονθας ἀγαθόν.] ὑπάρχεις. οἷον πλεονέκτημα ἔχεις. χαίρει καὶ ὅλως. G Οὐδὲ μουσικὴν ἐπίσταμαι] ὅτι μουσικὴν τὴν ἐγκύκλιον παιδείαν φησί. γράμματα δὲ τὰ πρῶτα στοιχεῖα. δεῖ δὲ τοὺς ἀρχομένους διὰ γραμμάτων παιδεύεσθαι. ἡ γὰρ παιδεία τοὺς ἀτόπους ἐκτρέπει λογισμούς. Πλὴν γραμμάτων.] οἱ γὰρ ἀξιώματος ἀντιποιούμενοι τὴν ἐγκύκλιον μάλιστα ἐπαιδεύοντο παιδείαν. ἡ δὲ ἐγκύκλιος παιδεία,

μὲν πάσης χώρας καὶ παιδεύσεως καὶ ῥυθμοῦ παντὸς καὶ κινήματος. ταύτην παιδευθῆναι τὸν Θηβαῖον Ἐπαμινώνδαν καὶ ἄλλους δὲ πολλοὺς καὶ ἀγαθοὺς ἄνδρας. Καὶ ταῦτα μέν τοι κακὰ κακῶς.] παροιμιῶδες ἐστὶ καὶ κακὰ κακῶς. ὅτι τὸ συνολόν φησιν ἐπίσασθαι γράμματα. τοῦτό ἐστι πρὸς τὴν πολιτείαν ἐστὶν ἀνωφελές. ἀποτείνεται δὲ πρὸς τοὺς πολιτευομένους πάλιν διὰ τούτων. ἢ ὡς ἀμαθῶν ὄντων, καὶ τυχόντων ἀνθρώπων πολιτευομένων. καὶ διὰ τοῦτο ῥᾳδίως χωρούντων ἐπὶ τὴν ἀδικίαν, ὡς τῆς παιδείας ἱκανῶς καθιστώσης, ἀποδιώξαι καὶ ἀπελάσαι τῆς ψυχῆς τοὺς πονηροὺς λογισμούς. διὰ τὴν συνήθειαν δὲ τὸ κακὰ κακῶς οὐ καλῶς, ἀλλὰ κακῶς ἐπίσασθαι. Τουτί σε μόνον ἔβλαψεν.] ἢ γὰρ ἂν ἀμείνων ἦσθα μηδὲ τὴν ἀρχὴν πειραθεὶς τῶν γραμμάτων. Η δημαγωγία γάρ.] ἡ τῶν δημαγωγῶν ἀρχή φησιν, οὐκέτι τοῖς σοφοῖς οὐδὲ τοῖς ἀξιολόγοις ἐγχειρίζεται. Ἀλλὰ μὴ παρῇς.] μὴ ὑπερίδῃς. μὴ ἀπώσῃ. μὴ δὲ παραπέμψῃ τοιοῦτον καιρὸν παραπεπτωκότα.

B

Καὶ ποικίλως πως, καὶ σαφῶς ἠνιγμένος.
Ἀλλ᾽ ὁπόταν μάρψῃ βυρσαίετος ἀγκυλοχείλης,
Γαμφηλῇσι δράκοντα κοάλεμον αἱματοπώτην,
Δὴ τότε Παφλαγόνων μὲν ἀπόλλυται ἡ σκοροδάλμη.
Κοιλιοπώλῃσι δὲ θεὸς μέγα κῦδος ὀπάζει,
Αἴκεν μὴ πωλεῖν ἀλλᾶντας μᾶλλον ἕλωνται.
C
Αλ. Πῶς οὖν πρὸς ἐμὲ ταῦτ᾽ ἐστίν, ἀναδίδασκέ με.
Δημοσθ. Βυρσαίετος μὲν ὁ Παφλαγών ἐσθ᾽ οὑτοσί.
Αλ. Τί δ᾽ ἀγκυλοχείλης ἐστίν. Δη. αὐτό που λέγει,
Ὅτι ἀγκύλαις ταῖς χερσὶν ἁρπάζων φέρει.
D
Αλ. Ὁ δράκων δὲ πρὸς τί; Δη. τοῦτο περιφανέστατον.
Ὁ δράκων γάρ ἐστι μακρὸν, ἀλλᾶς τ᾽ αὖ μακρόν.
Εἶθ᾽ αἱματοπώτης ἐστὶν ὅ, τ᾽ ἀλλᾶς, χὠ δράκων.
Τὸν οὖν δράκοντά φησι τὸν βυρσαίετον,
Ἤδη κρατήσειν, αἴκε μὴ θαλφθῇ λόγοις.
Αλ. Τὰ μὲν λόγι᾽ αἰκάλλει με, θαυμάζω δ᾽ ὅπως
Τὸν δῆμον οἷός τ᾽ εἴμ᾽ ἐπιτροπεύειν ἐγώ.
E
Δη. Φαυλότατον ἔργον, ταῦθ᾽ ἅπερ ποιεῖς, ποίει,
Τάραττε, καὶ χόρδευ᾽ ὁμοῦ τὰ πράγματα
Ἅπαντα, καὶ τὸν δῆμον ἀεὶ προσποιοῦ,

Nam veris & perspicuis ambagibus editum est:
Verùm ubi rostro ales rapiet Coriarius unco,
Sanguinis haustorem crudi, stupidúmque Draconem.
Tunc & Paphlagonum muria alliata peribit:
Et Deus ingentem fartoribus addet honorem:
Si modò non populo farcimina vendere malint.
AG. Quid hæc ad me attinent? age edoce, ut sciam.
DE. Ales quidem coriarius est hic Paphlago.
AG. Quid uncus rostro? DE. idem: quia uncis unguibus
Aufert rapitque. AG. sed quid draco? DE. manifestum id est.
Draco est oblongum quiddam: & farcimen itidem
Oblongum: at sanguinibus & potulus, & Draco est.
Dicit igitur à Dracone aquilam coriariam
Superatum iri: nisi is se inescari sinat.
AG. Oraculum quidem hoc abblanditur mihi.
Sed hoc miror, qui ego possim præesse populo.
DE. Nullo negotio: nam ea, quæ nunc agis, age:
Inuolue res omnes, perturba omnia,
Quidnis simula apud plebem, blandiendo et,

Σχόλια. Ηνιγμένος.] μετὰ αἰνίγματος λελεγμένος. ἐκ αὐτόθεν φανερὸν ἔχων τὸν νοῦν. τοῦτο δὲ παρόσον οἱ χρησμοὶ λοξῶς ἐκφέρονται ὑπὸ τοῦ Ἀπόλλωνος. ἄλλως. μετὰ αἰνίγματος, ἀλλὰ μὲν λέγων, ἄλλα δὲ δηλῶν. Ἀλλ᾽ ὁπόταν μάρψῃ.] αὕτη ἀρχή ἐστι τοῦ χρησμοῦ. ὁρᾷς ὅτι ἐμπεπλεγμένος τοῖς λόγοις. ἀσάφειαν γὰρ κατὰ ἑρμηνείαν ἐργάζεται. Βυρσαίετος,] τὸν Κλέωνα λέγει. πολλάκις γὰρ προειρήκαμεν, ὅτι διαβάλλει τὸν Κλέωνα. συνέθηκε δὲ τὴν λέξιν, ἀπὸ τῆς βύρσης καὶ τοῦ αἰετοῦ. ἅμα δὲ ὡς βυρσοδέψην κωμῳδῶν τὸν Κλέωνα καὶ ὡς κλέπτην καὶ ἅρπαγα τῶν κοινῶν. ἁρπακτικὸν γάρ ἐστι τὸ ζῶον ὁ ἀετός. τὸ δὲ ἀγκυλοχείλης, ἐπίθετον τοῦ αἰετοῦ ὁ ἐπικαμπεῖς τὰς χηλὰς ἔχων. ἐπὶ δὲ Κλέωνος, τὰς χεῖρας ἀγκύλας ἔχων πρὸς τὸ κλέπτειν, καὶ ἁρπάζειν. διὰ τοῦτο αἰετῷ αὐτὸν ἀπείκασε. Γαμφηλῇσι.] σιαγόσι. δράκοντα τὸν ἀλλᾶντα. κοάλεμον τὸν κωλύοντα καὶ παύοντα τὰ κακά. ὅτι καὶ αὐτὸς ἔμελλε παύσειν τὸν Κλέωνα. Κοάλεμον.] τὸν Ἀσοράκειτον οὕτως εἶπεν. εἴρηται δὲ ἡ λέξις τό, τε ἠλεὸν καὶ τὸ νοεῖν. ὁ ἐστι νοεῖν. τὸν οὖν ἀνόητα καὶ μάταιο κοάλεμον εἶπεν.
Bisetus. Κοάλεμον] Εὐσάθιος. ἐκ τοῦ ἀλδ

τὸ πλανᾶσθαι παράγεται ἡ ἄλη, ἡ πλάνη. ὅθεν ἠλεός, ὁ μάταιος. οὗ ἡ κλητικὴ ἠλεέ, καὶ κατὰ συστολὴν ἠλέ. καὶ τὸ ἠλέματος, καὶ τὸ ἐν κωμῳδίᾳ, κοάλεμος, ἤγουν ἐν τῷ κοεῖν, ἤτοι νοεῖν ἀλώμενος, τουτέστιν εὐήθης.
F
Σχόλια. Αἱματοπώτην.] καὶ τοῦτο οἰκείως ἐπὶ τοῦ δράκοντος. αἱματοποτεῖ γὰρ τὸ ζῶον. καὶ ἐπὶ τοῦ ἀλλαντοπώλου. τὰ γὰρ ἔντερα καὶ τοὺς ἀλλᾶντας μετὰ αἵματος καὶ σιμιλάεως ἢ ἀλφίτων φυρῶσιν οἱ ἀλλαντοπῶλαι. αἱματοπώτην οὖν τὸν αἷμα καταναλίσκοντα, καὶ ὥσπερ ἐκροφοῦντα. Σκοροδάλμη.] ἡ οἰκεία τῷ σκορόδῳ καὶ τῇ ἅλμῃ, τὸ μετὰ τῆς ἅλμης τρίμμα τῶν σκορόδων. αὕτη δ᾽ ἐδεμύτης. εἶπε δὲ Παφλαγόνων, διὰ τὸν Κλέωνα, ἐπειδὴ Παφλαγὼν ἦν. Βυρσαίετος.] ἀμφιβόλως ἐξελήλυθε κατὰ τὴν φράσιν. δύο δὲ αἴτια εἰς ταυτὸ παραλαμβανόμενα ἀμφιβολίας
G
ἐργάζονται. εἴρηται δὲ παρὰ τὴν βύρσαν καὶ τὸ ἁρπάζειν. Εἶθ᾽ αἱματοπώτης.] παρόσον εἰώθασι τοὺς ἀλλᾶντας μετὰ αἵματος φυρᾶν. Αἴκε μὴ θαλφθῇ] καταπλαγῇ ταῖς λοιδορίαις, τουτέστιν ἐὰν μὲν εἴκῃ μὴ δὲ παραχωρήσῃ λοιδορούμενος. ἄλλως. ἀπατηθῇ ἀπατηθεὶς καταπλήξας τὰς λοιδορίας Κλέωνος. αἰκάλλει δὲ θωπεύει. χαίρειν ποιεῖ κολακεύει. μὲ

λεῖ με ἀντὶ τοῦ κινεῖ, προτρέπεται. ἐπιτροπεύειν δὲ ἄρχειν. διοικεῖν. φαυλότατον δὲ, εὐτελὲς. βραχύ. ἁπλοῦν. Τάρατλε.] παρῳδίας τρόπον. παρῳδοῦσι γὰρ τὸν ἴαμβον ἐξ Ἡρακλειδῶν Εὐριπίδου. μεταφορικῶς δὲ τοῖς ὀνόμασι χρῆται ἐπὶ τῆς πολιτείας, καὶ τῇ τοῦ ἀλλαντοπώλου τέχνῃ. τάραττε φησὶ καὶ συμφύρα τὰ πράγματα. Χόρδευε.] τὰ ἔντερα τῶν τετραπόδων, χορδὰς καλοῦσι. καὶ τοῦτο οὖν,

A ἀπὸ τῆς τέχνης τοῦ ἀλλαντοπώλου εἴρηκεν. ὥσπερ γάρ φησι γεμίζεις καὶ πληροῖς τὰ ἔντερα πάντα τοῦ φυράματος, οὕτωσὶ χόρδευε καὶ τὰ πολιτικά. ἄλλως τὸ χορδεύειν. χορδὴ γάρ ἐστι τὸ λεπτὸν ἔντερον. ὁ συνθαπτ πλέκειν οἱ μάγειροι. διὰ δὲ τοῦ ἄλλου δὲ πάλιν τοὺς στρατηγοὺς ταράττοντας καὶ χορδεύοντας. τουτέστιν εἰς πλοκὰς ἐμβάλλοντας τὴν πόλιν.

Ὑπογλυκαίνων ῥηματίοις μαγειρικοῖς.
Τὰ δ' ἄλλα σοι πρόσεστι δημαγωγικά,
Φωνὴ μιαρά, γέγονας κακός, ἀγοραῖος εἶ,
Ἔχεις ἅπαντα τὰ πρὸς τὴν πολιτείαν, ἃ δεῖ,
Χρησμοί τε συμβαίνουσι καὶ τὸ Πυθικόν.
Ἀλλὰ στεφανοῦ καὶ σπένδε τῷ Κοαλέμῳ,
Χὤπως ἀμυνεῖ τὸν ἄνδρα. Αλ. καὶ τίς ξύμμαχος
Γενήσεταί μοι; καὶ γὰρ οἵ τε πλούσιοι
Δεδίασιν αὐτόν, ὅ, τε πένης βδύλλει λεώς.
Δημοσθ. Ἀλλ' εἰσὶν ἱππῆς ἄνδρες ἀγαθοὶ χίλιοι,
Μισοῦντες αὐτόν, οἳ βοηθήσουσί σοι,
Καὶ τῶν πολιτῶν οἱ καλοί τε κἀγαθοί,
Καὶ τῶν θεατῶν ὅστις ἐστὶ δεξιός.
Κἀγὼ μετ' αὐτῶν, χὠ θεὸς ξυλλήψεται,
Καὶ μὴ δέδιθ', οὐ γάρ ἐστιν ἐξῃκασμένος.
Ὑπὸ τοῦ δέους γὰρ αὐτὸν οὐδεὶς ἤθελε
Τῶν σκευοποιῶν εἰκάσαι. πάντως γε μὴν
Γνωσθήσεται, τὸ γὰρ θέατρον δεξιόν.
Νι. Οἴμοι κακοδαίμων, ὁ Παφλαγὼν ἐξέρχεται.

B *Et verbulis demulcendo coquinarijs.*
Insunt tibi alia multa, quæ ad populum valent
Conciliandum, vox fœda, ingenium improbum:
Tum rerum item peritus es forensium.
Habes omnia, quibus indiget Respub.
Et bellè Pythicum conuenit oraculum.
Sed age indue coronam, & liba Coalem
C *Hunc vt hominem oppugnes. AG. & quis erit mihi*
Adiutor? nam opulenti metuunt istum virum:
Et pauperes eum extimescunt admodum.
DE. At mille sunt equites, viri per quàm boni,
Qui oderunt ipsum, hi tibi promtam ferent opē.
Nec non & ciuium quotquot frugi ac boni:
Tum spectatorum quisquis vir probus.
D *Et ego vnà cum ipsis, & opem Deus ipse afferet.*
Modò ne metuas: nam qui repræsentatur hic,
Non est ipsius: quia præ metu, nemo voluit
Ex histrionibus illum exprimere: sed tamen
Facilè agnoscetur. Nam theatrum industriū est.
NI. Hei mihi misero, forâs egreditur Paphlago.

Σχόλια. Ὑπογλυκαίνων.] ἡδύσμασι χρώμενος καὶ ἀρτύμασι. λόγοις κολακευτικοῖς καὶ γλυκέσι. Ἔχεις ἅπαντα.] σύμφωνά σοι ἔχεις. καὶ ἁρμόζεις εἰς ἅπαντα. πάλιν δὲ ἐνταῦθα αὐτῶν καθάπτεται τῶν Ἀθηναίων καὶ τῶν πολιτευομένων. ὡς τοῖς μὲν τοιούτοις ἐγχειριζόντων τὰ δημόσια. τῶν δὲ πολιτευομένων οὕτω πεφυκότων. Τῷ Κοαλέμῳ.] ἀντὶ τοῦ ἀνοίᾳ. ἀναπλάττει δὲ τινα ὡς δαίμονα. τοῦτο δὲ παρῳδησεν ἐκ τῆς τραγῳδίας. ἀνέπλασε δέ τινα δαίμονα ἀπὸ τῶν προειρημένων κωμικῶς. τουτέστιν ἀπατητικῷ καὶ ἀνοήτῳ δαίμονι. ἢ τῷ κωλύοντι τὸν ἄνεμον καὶ παύοντι δαίμονι. ἢ τῷ ἀλλαντοπώλῃ. Βδύλλει.] καταπέπληκται. διαλύεται. τουτέστι μισεῖ. Ἀλλ' εἰσὶν ἱππῆς ἄνδρες ἀγαθοὶ χίλιοι] οἱ ἱππεῖς ἐπίβουλοι αὐτῷ. ἐπειδὴ ἦσαν εἰς αὐτοῦ, κακῶς αὐτοὺς διέθηκεν. ἱππεῖς οὖν. τὸ γὰρ ἐστὶν ἐν τῇ Ἀττικῇ. ἀφ' ὧν ὁ χορὸς σύγκειται τῷ δράματι ὅθεν καὶ τὴν ἐπιγραφὴν πεποίηται. Μι-

E σοῦντες αὐτόν.] Θεόπομπος ἐν δεκάτῳ Φιλιππικῶν φησίν, ὅτι οἱ ἱππεῖς ἐμίσουν αὐτόν. προπηλακισθεὶς γὰρ ὑπ' αὐτῶν, καὶ παροξυνθεὶς ἐπέθετο τῇ πολιτείᾳ, καὶ διετέλεσεν εἰς αὐτοὺς κακὰ μηχανώμενος. κατηγόρησε γὰρ αὐτῶν ὡς λειποστρατούντων. διὰ τοῦτο οὖν ἐμνήσθη Ἀριστοφάνης. Ὅς τις ἐστὶ δεξιός.] ἀγαθός. εὔνους ἡμῖν. ἀπεχθόμενος περὶ τὴν τοῦ Κλέωνος πονηρίαν. Ἐξῃκασμένος.] πεπλασμένος πρὸς ὁμοιότητα. ἔθος γὰρ ἦν τοῖς κωμικοῖς ὅμοια τὰ προσωπεῖα ποιεῖν τοῖς κωμῳδουμένοις ἵνα φανεροὶ ὦσιν ἐπ' αὐτῶν, καὶ περιτίθεναι τοῖς ὑποκριταῖς. ἄλλως. οὐκ
F εἶχεν αὐτοῦ προσωπεῖον, διὰ τὸ δεδοικέναι τοὺς σκευοποιοὺς καὶ μὴ θέλειν μήτε πλάττειν μήτε σχηματίζειν τὴν ὄψιν τοῦ Κλέωνος. λέγει οὖν ὅτι μηδενὸς ὑποστάντος αὐτὸν ὑποκρίνεσθαι, αὐτὸς ὁ Ἀριστοφάνης μιλτώσας ἑαυτὸν ὑπεκρίνατο, ἢ τῇ τρυγίᾳ χρίσας ἑαυτόν.

ΔΡΑΜΑΤΟΣ ΠΡΩΤΟΥ
Σκηνὴ τρίτη.

Τρίμετροι Ἰαμβικοί, καὶ τετράμετροι Τροχαϊκοὶ Καταληκτικοί, καὶ ἄλλοι.

ΚΛΕΩΝ, ΔΗΜΟΣΘΕΝΗΣ, ΧΟΡΟΣ.

G ACTVS I. SCENA III.

Senarij Iambici, & Septenarij Trochaici Catalectici, & alij.

CLEO, DEMOSTHENES; CHORVS.

BISETVS. Κλέων ἐξ ὕπνου ἐγερθεὶς τὸ κλέμμα τῶν δούλων αἰσθάνεται, καὶ τὰ ἔσχατα τοῖς δεινοῖς αὐ- A τοῖς ἀπειλεῖ.

Κλ. Οὔτοι μὰ τοὺς δώδεκα θεοὺς χαιρήσετον,
Ὁτιὴ 'πὶ τῷ δήμῳ ξυνόμνυτον πάλαι.
Τουτὶ τί δρᾷ τὸ Χαλκιδικὸν ποτήριον;
Οὐκ ἔστιν ὅπως οὐ Χαλκιδέας ἀφίστατον.
Ἀπολεῖσθον, ἀποθανεῖσθον ὦ μιαρωτάτω. B

Σχόλια. Μὰ τοὺς δώδεκα θεούς.] τοῦτο Κλέων λέγει ἰδὼν ὁμιλοῦντας, καὶ μὴ εἰδὼς περὶ του ὁμιλοῦσι, συνωμότας καλεῖ. πικρᾶς οὖν κατὰ τοῦ Κλέωνος ἐκφέρονται, ὡς τοιαῦτα αὐτοῦ συκοφαντοῦντος ἀπὸ μικρῶν καὶ εὐτελῶν προφάσεων. χαιρήσετον δὲ χαίροντες ἀπαλλαχθήσεσθον. Ξυνόμνυτον.] ξυνωμοσίαν ἐποιήσατε. τουτέστιν ὅρκους καὶ πίστεις ἀλλήλοις δεδώκατε ἵνα οἰκοφθορήσητε κατὰ τοῦ δήμου. Τὸ χαλκιδικὸν ποτήριον.] ἴσως μὲν ὅτι ὁ θεράπων ἔπινε καὶ εἶχεν ἐπὶ χεῖρας τὸ ποτήριον. ἰδὼν οὖν ὁ Κλέων, C προφάσει καὶ τούτῳ κέχρηται τῆς συκοφαντίας. καὶ τὸ ποτήριον εὐθέως ὡς Χαλκιδικόν. κωμῳδεῖ δὲ αὐτὸν ὡς καὶ ἐπὶ τοῖς τυχοῦσι μεγάλα μεμφόμενον. οἱ δὲ Χαλκιδεῖς εἰσὶ μὲν ἐπὶ τῆς Εὐβοίας ἄποικοι Ἀθηναίων. εἰσὶ δὲ καὶ ἐπὶ Θρᾴκης οἱ Χαλκιδεῖς, ἄποικοι ὄντες ἀπὸ τῆς Εὐβοίας. πολλὰ δὲ ἦν τότε χωρία τῆς Θρᾴκης ὑπακούοντα τοῖς Ἀθηναίοις. περὶ ὧν νῦν λέγει. καὶ γὰρ οἱ ἐπὶ Θρᾴκης Χαλκιδεῖς ἦσαν ὑπήκοοι τῶν Ἀθηναίων. φησὶν οὖν ὅτι τὸ ποτήριον τοῦτο Χαλκιδικόν ἐστι. καὶ πόθεν ὑμεῖς αὐτὸ ἔχετε. εἰ μὴ δῶρον ὑμῖν ἐδόθη ἵνα ἀποστῶσιν. ἔλαβε δὲ τὴν πρόφασιν εὔκαιρον τοῦ ὀνόματος τῶν Χαλκιδέων. διὰ τὸ κατ' ἐκεῖνον τὸν καιρὸν ἀποστῆναι αὐτοὺς τῶν Ἀθηναίων. ἀπέστησαν δὲ ἀπὸ Ἀθηναίων Χαλκιδεῖς ἐπὶ Εὐκλείδου ἄρχοντος. Χαλκιδέας ἀφίστατον.] πόλις Εὐβοίας. ἄποικοι Ἀθηναίων. ἐχρῶντο δὲ τοῖς ὀστρακίνοις εἰς τὰ συμπόσια. ὡς ἀεὶ οὖν τοῦ Κλέωνος δι' ἐλάχιστόν τι κατηγοροῦντος. χωρίζετε οὖν φησὶ Χαλκιδέας ἀπὸ τῆς τῶν Ἀθηναίων συμμαχίας.

CL. At nō gaudebitis per duodecim Deos:
Quòd dudum coniurastis in plebem: quid hoc
Agit Chalcidicum poculum? non est, uti
Non ad defectionem impellatis poplum
Chalcidicum, pereatis: moriamini, improbi.

BISETVS. Ἀγοράκριτος Κλέωνα πόρρωθεν ἰδὼν, ὑπὸ φόβου φεύγει. τοῦτον Δημοσθένης μάτην ἐπέχειν πειρᾶται. οὐ μὴν πολὺν δὲ χρόνον ὑπὸ τοῦ τῶν ἱππέων χοροῦ θαρραλεώτερος ποιηθεὶς τὸν Κλέωνα τὴν τῆς βουλῆς βοήθειαν λαμπραῖς φωναῖς ματαίως ἐπιβοῶντα παίει, καὶ τύπτει.

Δη. Οὗτος, τί φεύγεις, οὐ μενεῖς ὦ γεννάδα D
Ἀλλαντοπῶλα; μὴ προδῷς τὰ πράγματα.
Ἄνδρες ἱππῆς παραγένεσθε, νῦν ὁ καιρὸς, ὦ Σίμων,
Ὦ Παναίτι', οὐκ ἐλᾶτε πρὸς τὸ δεξιὸν κέρας;
Ἄνδρες ἐγγύς, ἀλλ' ἀμύνου, κἀπαναστρέφου πάλιν.
Ὁ κονιορτὸς δῆλος αὐτῶν, ὡς ὁμοῦ προσκειμένων. E
Ἀλλ' ἀμύνου καὶ δίωκε, καὶ τροπὴν αὐτοῦ ποιοῦ.

DE. Heus tu quid fugis? hem fartor, non manebis hic?
At quæso te fartor, ne prodas negocium.
Viri equites adeste, nunc appetit occasio: ô Simo,
O Panæti, cur non ad sinistrum cornu flectitis?
Hûc propè adeste viri. tu dimica & revertere ocyus.
Pulvis manifestè excitatur, vt vnà ipsis properantibus.
Agè propugna, persequere: in fugā ipsum ac dudum coniice.

Σχόλια. Ὦ γεννάδα.] τοῦτο ὁ θεράπων πρὸς τὸν Ἀγοράκριτον. ἔν τισι δὲ οἱ δύο στίχοι οὐκ ἔγκεινται. Ἄνδρες ἱππεῖς.] ὡς συκοφαντούμενοι, ἐπικαλοῦνται εἰς βοήθειαν τοὺς ἱππέας. ἵππαρχοι δὲ ὁ Σίμων καὶ ὁ Παναίτιος. Πρὸς τὸ δεξιὸν κέρας.] ὡς ἐπὶ τάξεως φησίν. ὁ δὲ Παναίτιος ὡς μέγας τῶν ἱππέων κωμῳδεῖται. τινὲς δὲ τὸ μὲν ἄνδρες ἱππεῖς ἀλλαντοπώλην λέγειν. ἄλλοι δὲ τὸ ἄνδρες ἐγγύς, τὸν θεράποντα. Κἀπαναστρέφου.] ὡς τοῦ ἀλλαντοπώλου πεφευγότος, εἶπεν ἀναστρέφου. Ὡς ὁμοῦ προσκειμένων.] τὸ ὁμοῦ λέγουσιν Ἀττικοὶ ἀντὶ τοῦ ἐγγύς. ὡς καὶ ἐν Εἰρήνῃ. καὶ μὴν ὁμοῦ 'στιν ἤδη. F

BISETVS. Τοῦ χοροῦ ἀπὸ τῶν ἱππέων συμπληρουμένου πάροδος, καὶ ἔκθεσις τῆς διπλῆς ἀμοιβαίας ἐκ στίχων λζ΄.

Χο. Παῖε παῖε τὸν πανοῦργον καὶ ταραξιππόστρατον,
Καὶ τελώνην, καὶ φάραγγα, καὶ χάρυβδιν ἁρπαγῆς,
Καὶ πανοῦργον, καὶ πανοῦργον. πολλάκις γὰρ αὔτ' ἐρῶ. G
Καὶ γὰρ οὗτος ἦν πανοῦργος πολλάκις τῆς ἡμέρας.
Ἀλλὰ παῖε καὶ δίωκε, καὶ τάραττε, καὶ κύκα,

CH. Cæde cæde versipellem, copiarum equestrium
Hostem, publicanum, barathrúmque & rapinæ gurgitem:
Versipellem, versipellem (sæpe hoc repetendum puto:
Nam sæpe hic erat vno versutus die) feri, feri,

Σχόλια. Παῖε παῖε.] ἐντεῦθεν ἡ πάροδος γίνεται τοῦ χοροῦ ἀπὸ τῶν ἱππέων συμπληρουμένου. οἵ τινες ἐπικαλουμένου ἀκούσαντες τοῦ θεράποντος, εὐθέως ἀφικνοῦνται βοηθοῦντες αὐτῷ. Ταραξιππόστρατον δὲ καλοῦσι

A λοῦσι τὸν Κλέωνα. τουτέστι τὸν ταράξαντα τὸ πλῆθος τὸ ἱππικόν. τοῦτο δὲ εἶπεν ἵνα δόξωσιν εἰκότως αὐτῷ χαλεπαίνειν καὶ αὐτοὶ, καὶ πολεμεῖν. ἢ ἵνα τὸν Κλέωνα δείξῃ διὰ πάντων λυμαινόμενον τὴν πόλιν. διαφθείροντα μὲν τὸ ἱππικὸν, σφετεριζόμενον δὲ τοὺς φόρους. εἴσθεσις δὲ τῆς διπλῆς ἀμοιβαίας ἑτέρων εἰσιόντων ὑποκριτῶν. οἱ δὲ στίχοι, τροχαϊκοὶ τετράμετροι καταληκτικοὶ λζ. ὧν τελευταῖος, ὁ τέμαχος οὐ Πελλῆς ἠξιώθη πώποτε ἐπὶ ταῖς ἀποθέσεσι παράγραφος. ἐπὶ δὲ τῷ τέλει τῶν στίχων διπλῆ ἔξω νενευκυῖα. Καὶ τελώνην.] διεβέβλητο τὸ τοῦ τελώνου ὄνομα, ὡς καὶ τοῦ Κλέωνος ὄντος τελώνου, καὶ ὑπὲρ τὸ τέλος τελωνοῦντος. φάραγξ δὲ, τὸ ἀπόσχισμα τῆς γῆς, ὃ τὸ παρεμπίπτον ὕδωρ πίνει. τοῦτο δὲ καὶ εἰς τὸ κακόφωνον αὐτοῦ. χάρυβδιν δὲ ἁρπαγῆς, ὡς πᾶν ὁτιοῦν ἁρπάζοντα. Φάραγγα.] τὸ τῆς γῆς βάραθρον. ὃ ἐὰν εἰς αὐτὸ ὕδωρ ἐμπέσῃ, ἀφανὲς ποιεῖ. εἰς ἄδηλον γὰρ τὸ ὕδωρ καταναλίσκεται. τοῦτο δὲ, διὰ τὸ κακόφωνον τοῦ Κλέωνος. καὶ τὸ κράζειν ὡς ἐπὶ τῶν πετρῶν τὰ κύματα.

B

Καὶ βδελύττου. καὶ γὰρ ἡμεῖς, κἀπικείμενος βόα,
Εὐλαβοῦ δὲ, μὴ 'κφύγῃ σε, καὶ γὰρ οἶδε τὰς ὁδοὺς,
Ἅσπερ Εὐκράτης ἔφευγεν εὐθὺ τῶν κυρηβίων.

Persequere ipsum, exterre, conturba, auersatur nos enim.
Immine illi, clamita: caue, ne effugiat: Nam vias
Nouit, quibus effugit Eucrates rectà sub furfures.

Σχόλια. Κἀπικείμενος.] ἀντὶ τοῦ τύπτων αὐτόν. διὰ δὲ Κλέωνα τοῦτο πάλιν λέγει. ἐπειδὴ κεκράκτης ἦν. Οἶδε τὰς ὁδούς.] ἐπίσταται φησὶ τὰς καταδύσεις Εὐκράτους τὰς ἐπὶ τὰ κυρήβια. κυρήβια δέ εἰσι τὰ πίτυρα καὶ ἄχυρα τῶν πυρῶν ἢ κριθῶν. μυλῶνας δὲ ἔχων ὁ Εὐκράτης, εἰκότως εἶχε καὶ κυρήβια. ἐκωμῳδοῦσι οὖν εὐχερῶς αὐτὸν, ὡς C μυλωνάρχην, καὶ ὡς πρὸ αὐτοῦ πολιτευσάμενον καὶ πεφευγότα. τινὲς δὲ, ὅτι ἦν μύλων ἀρχή. Κυρηβίων.] ἔνθα αἱ κάχρυς φρύγονται. κάχρυς δέ εἰσιν αἱ λελεπισμέναι κριθαὶ, ἀφ' ὧν ἡ πτισάνη. σκώπτει δὲ καὶ τὸν Εὐκράτην ὡς τοιαύτην τέχνην ἔχοντα. ἐν ἄλλοις γοῦν φανερωτέρως φησὶ καὶ σὺ κυρηβιοπῶλα Εὔκρατες στύπαξ.

BISETVS. Κλέων ὑπὸ τοῦ Ἀγορακρίτου τυπτόμενος τοὺς γέροντας ἡλιαστὰς ἑαυτῷ βοηθῆσαι ἐπικαλεῖ. οὗτοι δὲ αὐτὸν διὰ τὰς αὐτοῦ πανουργίας, καὶ διὰ τὰς ἀδικίας δικαίως τύπτεσθαι, καὶ ζημιοῦσθαι λέγουσι, καὶ οὐδένα αὐτοῦ ποιουμένου λόγον ποιοῦνται, ἀλλ' αὐτῷ ἐπεγγελῶσι.

D

Κλ. Ω γέροντες ἡλιασταὶ, φράτορες τριωβόλου,
Οὓς ἐγὼ βόσκω, κεκραγὼς καὶ δίκαια κἄδικα,
Παραβοηθεῖθ', ὡς ὑπ' ἀνδρῶν τύπτομαι ξυνωμοτῶν.
Χο. Ἐν δίκῃ γ'. ἐπεὶ τὰ κοινὰ, πρὶν λαχεῖν, κατεσθίεις,
E Κἀποσυκάζεις πιέζων τοὺς ὑπευθύνους σκοπῶν,
Ὅστις αὐτῶν ὠμός ἐστιν, ἢ πέπων, ἢ μὴ πέπων.
Κἤν τιν' αὐτῶν γνῷς ἀπράγμον' ὄντα καὶ κεχηνότα,
Καταγαγὼν ἐκ Χερρονήσου διαβαλὼν ἀγκυρίσας,
Εἶτ' ἀποστρέψας τὸν ὦμον, αὐτὸν ἐνεκολάβησας.
F Καὶ σκοπεῖς γε, τῶν πολιτῶν ὅστις ἐστὶν ἀμνοκῶν,

CL. O trioboli vos contribules, iudices senes,
Quos ego pasco, aqua & iniqua clamitans, opem mihi
Ferte, subuenite mihi, qui à coniuratis verberor.
CH. Meritò: quia Rēpub. priùs deuoras, quàm accipis:
Et ficulneus cùm sis, quoscunque reos vides, premis,
Quicunque illorum est crudus, seu sit pepo, siue non pepo.
Tum si noras simplicem & oscitantem ex ipsis quempiam,
Hunc tu è Cherroneso eductum, & oppressum calumnijs,
Supplantâsti, & auerso humero deglutiuisti: sed &
Ciues obseruas, qui simplices sunt, quique diuites

Σχόλια. Ω γέροντες ἡλιασταί.] τοῦτο ὁ Κλέων λέγει. καὶ αὐτὸ. ἐπικαλούμενος τοὺς δικαστὰς εἰς βοήθειαν. Ἡλιαία γὰρ μέγιστον δικαστήριον Ἀθήνησιν. οἱ δὲ δικασταὶ ὑπὸ τῶν δημαγωγῶν ἐτρέφοντο, τριώβολον λαμβάνοντες μισθὸν δικαστικὸν μετὰ τὸ εἶναι. ὡς δημαγωγὸς οὖν ἐπικαλεῖται οὓς ἔτρεφε, συγγενεῖς δὲ εἶπε τριωβόλου, ὡς προσωκειωμένους καὶ προσπεφυκότας τῷ τριωβόλῳ. καὶ γὰρ τοὺς συγγενεῖς φράτορας καλοῦσιν. εἰσὶ δὲ οἱ τῆς αὐτῆς φατρίας μετέχοντες. ὡς πατρῷος τινός. ὁ γοῦν Ὅμηρος αὐτὴν πάτραν λέγει. ἦ μὲν γ' ἀμφοτέροισιν ὁμὸν γένος ἠδ' ἴα πάτρη. καὶ κατὰ ἀναφορὰν πάτρη καλεῖται. μεταπέπτωκε δὲ τὰ στοιχεῖα, καθάπερ ἐπὶ τοῦ δι. ὁ φράτριος Ζεὺς καὶ ὁ πάτριος. G τὸ δὲ τριώβολον ἡμιδραχμόν ἐστιν. Ἡλιαῖον δὲ καλεῖται, διὰ τὸ ὑπαίθριον αὐτὸ εἶναι, καὶ ὑπὸ τῷ ἡλίῳ καθέζεσθαι τοὺς συνελθόντας δικαστάς. Οὓς ἐγὼ βόσκω.] πικρῶς ὡς θρέμμασιν αὐτοῖς κέχρηται ἀλόγοις. βόσκειν γὰρ ἐπὶ τῶν ἀλόγων ζώων τίθεται. τὸ δὲ δίκαια κἄδικα, ἀντὶ ἐκ δικαίου. Ξυνωμοτῶν.] ξυνωμοσίαν συνεστημένων. τουτέστι πίστεις δι' ὅρκων διδόντων αὐτοῖς, καὶ συνθήκας κατ' ἐμοῦ πεποιηκότων. ἄλλως. προδοτῶν τοῦ δήμου. τῶν συνομνυόντων ἐπὶ τῇ καθαιρέσει τοῦ δήμου. Πρὶν λαχεῖν.] πρὶν χειροτονηθῆναι. πρὶν κληρωθῆναι. πρὸ διανομῆς φησιν, ἁρπάζεις. ἡ μεταφορὰ ἀπὸ τῶν ἐν τοῖς δείπνοις ἁρπαζόντων πρὸ διανομῆς.

Κἀποσυκάζεις.] συκοφαντεῖς. ἐχρήσατο δὲ τῷ ὀνόματι, ἀφ' οὗ καὶ συκοφάντης κέκληται. τὸ γὰρ παλαιὸν τίμια παρὰ τοῖς Ἀθηναίοις τὰ σῦκα ἦν. καὶ εἴ τις διεβλήθη κλέπτων ἐκολάζετο. φαίνειν δὲ ἔλεγον τὸ κατηγορεῖν. ἄλλως. συκάζειν τὸ ἀποθλίβειν τὰ σῦκα. ἢ ὠμὰ ἢ πέπειρα. καλῶς οὖν ἐπήνεγκε τὸ ἀποπιέζων, ἐπεὶ ἀποθλίβει τοὺς συκοφαντουμένους, καὶ πιέζει δωροδοκῶν. Τοὺς ὑπευθύνους σκοπῶν.] διαλογιζόμενος. καὶ ὁρῶν καὶ πολυπραγμονῶν. ὠμὸς δὲ σκληρός. δυσκαταμάχητος. ἀντὶ δὲ τοῦ εἰπεῖν πένης, ἢ πλούσιος ἐπέμεινε τῇ μεταφορᾷ ὡς ἐπὶ σύκων. τὸ δὲ πέπων ἢ μὴ πέπων, ἀντὶ τοῦ ἁπαλὸς, ῥαδίως διασεισθῆναι δυνάμενος. μεταφορικῶς δὲ ἀπὸ τοῦ συκάζειν τούτοις τοῖς ὀνόμασι κέχρηται. ὠμὰ δὲ τὰ μηδέπω ὡριμακότα. ὥσπερ οὖν ἐπὶ τῶν καρπῶν, ἐκ μὲν τῶν πεπανθέντων ἔστι δρέψασθαι καὶ φαγεῖν. ἐκ δὲ τῶν ἀώρων καὶ ὠμῶν οὐκέτι. οὕτω φησὶ καὶ τῶν ἀνθρώπων ὁ Κλέων διελογίζετο, καὶ διέκρινε τίς ἐπιτήδειος διασεισθῆναι, καὶ τίς σκληρὸς καὶ δυσκαταμάχητος. ὑπευθύνους δὲ, τοὺς μηδέπω λογισμὸν παρεχομένους μηδὲ εὐθύνας τῆς ἀρχῆς ἧς ἐπιστεύθησαν. Ἀπράγμονα.] ἐπιεικῆ καὶ μέτριον τοὺς τρόπους. οὐ φιλοπράγμονα. Ἐκ Χερρονήσου.] Χερρόνησος τῆς Θρᾴκης χωρίον καὶ πόλις, ὑπήκοος τῶν Ἀθηναίων εὔφορος εἰς πυροῦ γεωργίαν. ὅθεν καὶ ἐσιτάγωγουν οἱ Ἀθηναῖοι. ὡς ἰδιοπραγμόνων δὲ, καὶ ἰδιωτῶν ὄντων τῶν Χερρονησιωτῶν καὶ διασεισθῆναι δυναμένων ῥαδίως, μάλιστα δὲ τοῦ Κλέωνος ἐπηρεάζοντος αὐτοὺς τούτου ἐμνήσθη. ὅθεν ὡς ἐπὶ ἀγροίκων καὶ τῷ καταγαγεῖν ἐχρήσατο. σημαντικῶς ὥσπερ ἀπ' ἀγροῦ τινος μετακαλουμένων καὶ καπιόντων εἰς πόλιν. ἄλλως. ὡς καταγαγόντος αὐτοὺς συμμάχους εἰς Ἀθήνας, καὶ συκοφαντοῦντος καὶ ἀργυριζομένου. Ἀγκυρίσας.] ὑποσκελίσας. καταξὰς. μετακαλεσάμενος δὲ τῇ ἀγκύλῃ καταλαβών. ὅπερ ἐστὶν ἀκοντίου εἶδος. ἢ καταπαλαίσας. παλαιστρικὰ γάρ εἰσι ταῦτα. καὶ τὸ διαβαλὼν καὶ τὸ ἀγκυρίσας. καὶ ἀγκύρισμα εἶδος παλαίσματος. καὶ σκεῦος ἀγωνικὸν σύκων. Ἐνεκολάβησας.] ἄκολος. ψωμὸς, ὅθεν τὸ ἐνεκολάβησας. ἀντὶ τοῦ καταπέπωκας. τὸ δὲ ὅλον καταπαλαίσας αὐτὸν ἐμπεσὼν, καὶ διασείσας, ἀργυρίζεται. τὴν βίαν δὲ ἧ κέχρηται κατὰ τῶν ἀνθρώπων, διὰ τῆς πάλης ἐδήλωσε. Καὶ σκοπεῖς γε τῶν πολιτῶν.] διακρίνεις καὶ ἀναζητεῖς. ὁ δὲ νοῦς αὐτῷ πᾶς τοῦτο λέγειν βούλεται. ὅτι οὐ τῷ προειρημένῳ ἐπηρεάζει τρόπῳ. ἀλλ' εἴ τις καὶ τοιοῦτό τι ποιεῖ, ἀναζητεῖ καὶ διακρίνει τίς ἐστι τῶν πολιτῶν ἀμνοκῶν. ἤγουν προβατώδης. τουτέστι μωρὸς καὶ εὐήθης. τὰ γὰρ πρόβατα ἐπὶ εὐηθείᾳ διαβάλλεται.

Πλούσιος, καὶ μὴ πονηρὸς, καὶ τρέμων τὰ πράγματα.
Κλ. Ξυνεπίκεισθ' ὑμεῖς, ἐγὼ δ' ὦ 'νδρες δι' ὑμᾶς τύπτομαι,
Ὅτι λέγειν γνώμην ἔμελλον, ὡς δίκαιον ἐν πόλει
Ἱστάναι μνημεῖον ὑμῶν ἐστιν, ἀνδρείας χάριν.
Χο. Ὡς δ' ἀλαζὼν, ὡς δὲ μάσθλης, εἴδες, οἷ' ὑπέρχεται,
Ὥσπερεὶ γέροντας ἡμᾶς ἐκκοβαλικεύεται.
Ἀλλ' ἐὰν ταύτῃ γε νικᾷ, ταυτῃὶ πεπλήξεται,
Ἢν δ' ὑπεκκλίνῃ γε δευρὶ, πρὸς σκέλος κυρηβάσει.
Κλ. Ὦ πόλις καὶ δῆμ' ὑφ' οἵων θηρίων γαστρίζομαι;
Χο. Καὶ κέκραγας, ὥσπερ ἀεὶ τὴν πόλιν καταστρέφεις;

Atque haud improbi, & qui maximè abhorrēt à negocijs.
CL. *Vos unà in me insurgitis, ego verò propter vos vapulo,*
D *Qui sententiam dicturus fueram, quòd iustum sit hac*
Erigere in vrbe monumentum vestri, ob fortitudinem.
CH. *Hominem verberonem & arrogantem: vides, quomodo.*
Se insinuet: quasi qui senibus nobis os penitus sublinat.
E *At si isthoc modo vincat, eodem mox verberabitur:*
Sin huc declinauerit, crus impinget sauissimè.
CL. *O vrbs, ò plebs, à quibus ventrem percutior ferus?*
CH. *Etiam clamitas: vrbem qui nostram semper destruis?*

Σχόλια. Καὶ τρέμων τὰ πράγματα.] εὐλαβούμενος καταστῆναι εἰς πράγματα. πολλοὶ γὰρ οὐ διὰ δειλίαν ἀλλ' ἦθος καὶ τρόπων ἐπιείκειαν, αἱροῦνται ζημιωθῆναι μᾶλλον, ἢ χωρῆσαι διὰ δίκης. καὶ τοὺς τοιούτους ἐκλεγόμενος φησὶν ὁ Κλέων, καταστῆσαι εἰς φόβον τοῦ παρέξειν πράγματα ἐπηρεάζει ῥαδίως. Ὡς δ' ἀλαζών.] ἀλαζὼν, ὁ μείζονα τῆς ἑαυτοῦ ἀξίας κομπάζων καὶ φρονῶν. μάσθλης δὲ κυρίως, ἱμὰς μεμαλαγμένος καὶ ἁπαλός. καὶ περιφερής. καλῶς οὖν ἐπὶ τοῦ Κλέωνος τῷ ὀνόματι κέχρηται, ὁμοῦ καὶ τὸ τοῦ τρόπου ὕπτιον καὶ τὸ λαγαρὸν αὐτοῦ δεικνὺς, καὶ σκώπτων ὡς βυρσέα. ἀφ' ὧν οἱ ἱμάντες γίνονται κατεργασθέντος τοιοῦτοι. μάσθλης οὖν ὁ μεμαλαγμένος ἐν πονηρίᾳ. Εἴδες οἷ' ὑπέρχεται.] ὡς ὑπάγεται τὸν δῆμον ὑποτρέχων. καὶ κολακεύει. καὶ καταπραΰνει ἀπάγων τῆς ὀργῆς ἁπάσης τῆς πρὸς αὐτούς. Ὡσπερεὶ γέροντας.] ὥσπερ φησὶ τοὺς γέροντας δικαστὰς ἐξαπατήσας, οὕτω καὶ ἡμᾶς ἐπιχειρεῖ ἀπατᾶν. κόβαλα γὰρ καλοῦσι τὰ πανουργήματα. Ἐκκοβαλικεύεται.] ἀπατᾷ. παραλογίζεται. λῃστεύει. κόβαλοι γὰρ οἱ λῃσταί. τοὺς αὐτοὺς καὶ κορυνηφόρους καλοῦσιν. οἱ δὲ, κόβαλον τὴν μετ' ἀπάτης παιδιάν. Ἀλλ' ἐὰν ταύτῃ γε νικᾷ.] τῇ πανουργίᾳ λέγει. ὅτι ἐν τῇ πανουργίᾳ νικήσει. αὐτῇ τῇ πανουργίᾳ πεισθήσεται. ἄλλως. τὰς χεῖρας δείκνυσιν. ἡ δὲ μεταφορὰ ἀπὸ τῶν παλαιόντων. διό φασι καὶ τὸ κυρηβάσει. Κυρηβάσει.] κυρηβασία λέγεται. ἡ διὰ τῶν κεράτων μάχη. ἥπερ ἐν τοῖς ἀλόγοις ζῴοις γίνεται. τοῦτο οὖν δηλοῖ ὅτι ἡ μάχη ἡ πλήξει. κυρηβάσεις γὰρ λέγονται αἱ πλήξεις τῶν τράγων. καὶ γὰρ ἐκεῖνοι ταῖς κεφαλαῖς διαμάχονται. ἄλλως. πρὸς τὸ σκέλος μάχεται. ἢ διαπλίσεται. γαστρίζομαι δὲ εἶπεν, ὡς πληγεὶς τῷ σκέλει. εἰς τὴν γαστέρα τύπτομαι. παρετήρησαν δὲ, συγκεκυφὼς γὰρ καὶ ὑπὸ τῶν διωκόντων τύπτεται. καταστρέφεις δὲ, δουλοῖς. στρέψομαι δέ. εἰς φυγὴν τρέψω. πλεῖόν σου βοῶν νικήσω. ὑπερβαλοῦμαι.

BISETVS.

BISETVS. Κλέων, καὶ ἀλλαντοπώλης μεγάλαις βοαῖς ἀλλήλων κατηγοροῦσι, ἀλλήλους λοιδοροῦσι, ἀλλήλοις πληγάς, τραύματα, φόνους, ἀπώλειαν ἀπειλοῦσι.

A

Αλ. Αλλ' ἐγώ σε τῇ βοῇ ταύτῃ γε πρῶτον τρέψομαι.

Χο. Αλλ' ἐὰν μέντοι γε νικᾷς τῇ βοῇ, τήνελλος εἶ.

Ην δ' ἀναιδείᾳ παρέλθῃς, ἡμέτερος ὁ πυραμοῦς.

B

Κλ. Τουτονὶ τὸν ἄνδρ' ἐγὼ 'νδείκνυμι, καί φημ' ἐξάγειν,

Ταῖσι Πελοποννησίων τριήρεσι ζωμεύματα.

Αλ. Ναὶ μὰ Δία, κἄγωγε τοῦτον ὅτι κενῇ τῇ κοιλίᾳ

Εσδραμὼν ἐς τὸ Πρυτανεῖον, εἶτα πάλιν ἐκθεῖ πλέᾳ.

Δη. Νὴ Δί' ἐξαγαγών γε τἀπόρρηθ', ἅμ' ἄρτον, καὶ κρέας,

C

Καὶ τέμαχος, οὗ Περικλέης οὐκ ἠξιώθη πώποτε.

AG. Ego verò te, cum hoc clamore, primus conijciam in fugam.

CH. At si illum vincas clamore, triumphū duces Musicum:

Sin superes ipsum impudentia: nobis placenta erit.

CL. Hunc ego virum dico, & demonstro, clam triremibus

Peloponnesiorum efferre iuscula & cibaria.

AG. Ita per Iouem: & ego dico, quòd hic ventre vacuo solet

Ingredi Prytaneum: post autem pleno rursum egredi.

DE. Per Iouem. Nam cum pane atque carne, inde arcana extulit,

Et frusta, quibus neque Pericles dignus iudicatus est.

Σχόλια. Τήνελλος εἶ.] τήνελλος ἁρμονία λύρας. ἐὰν τοῦτον ὑπερακοντίσῃς αὐτόν, μουσικώτατος εἶ. ἄλλως. νικηφόρος τήνελλος δὲ κρουμάτιον ἐπινίκιον. Ην δ' ἀναιδείᾳ.] κἂν ἐπιπληθῇς φωνῇ ὑπ' αὐτοῦ τῇ βοῇ. περιγένῃ δὲ ἐν ἀναιδείᾳ, οὐδὲν ἧττον ἡμετέρα ἡ νίκη. πυραμοῦς δέ, εἶδος πλακοῦντος. ἐκ μέλιτος ἑφθοῦ καὶ πυρῶν πεφρυγμένων. ὡς καὶ σησαμοῦς τὸ διὰ σησάμων. ταῦτα δὲ ἐτίθεσαν ἆθλα τοῖς διαγρυπνηταῖς. εἰώθασι δὲ ἐν τοῖς συμποσίοις ἁμιλλᾶσθαι περὶ ἀγρυπνίας, καὶ ὁ διαγρυπνήσας μέχρι τῆς ἕω, ἐλάμβανε τὸν πυραμοῦντα. Εγὼ δείκνυμι.] ἐνδείκνυμι. καὶ φαίνω. ἐνδείκνυσθαι δὲ ἔλεγον τὸ καταγγέλλειν τινὰ κακουργοῦντα περὶ τὰ κοινά. Ζωμεύματα.] τὰ τῶν νεῶν χρειώδη. λέγεται δὲ ξύλα καὶ κηρὸς καὶ πίσσα. ἄλλως. τὰ λεγόμενα ὑποζώματα. εἰσὶ δὲ ξύλα τῶν νεῶν. ἀντὶ τοῦ εἰπεῖν ὑποζώματα, εἶπεν ὡς πρὸς μάγειρον παίζων ζωμεύματα, ὡς ἀρτύσεως ἔμπειρον καὶ ζωμευμάτων. ἀπείρητο δὲ ἀπὸ Αθηναίων ἐξάγειν ξύλα, καὶ πίτταν. εἶχον δὲ καὶ οἱ Λακεδαιμόνιοι τριήρεις. Εκθεῖ πλέᾳ.] ἔξεισι καὶ πορεύεται μεστῇ καὶ γεμούσῃ. τουτέστιν ἔξεισιν ἐκ τῆς πολιτείας γενόμενος πλούσιος. εἰσδραμὼν δὲ ἀντὶ τοῦ εἰσελθὼν τῇ πολιτείᾳ. ἐμφαντικῇ δὲ λέξει κέχρηται ἵνα δείξῃ αὐτὸν ἐμπεπηδηκότα βιαίως καὶ ἀναισχύντως τῇ πολιτείᾳ. Πρυτανεῖον δὲ τόπος Αθήνησιν οὗ τὰς δημοσίας σιτήσεις ἐποιοῦντο. τιμὴ δὲ ἦν μεγίστη τοῖς δημοσίᾳ σιτουμένοις ἐκεῖ. ταῦτα δὲ εἶπεν ὅτι πένης ὢν ἐκ τῶν κοινῶν πεπλούτηκε, καὶ ὅτι ἀναξίως ἔχει τῆς ἐν Πρυτανείῳ σιτήσεως. Νὴ Δία ἐξαγαγών γε τὰ ἀπόρρητα.] ἐπειδὴ ὁ Κλέων εἶπεν ἀπόρρητα, καὶ αὐτὸς εἶπε κρέας καὶ ἄρτον. λέγει οὖν, ὅτι ἀναξίως ἔτυχεν ὁ Κλέων, οὗ Περικλῆς οὐκ ἔτυχε τῶν Αθηναίων μὴ παρεχόντων. καίτοι ὑπὸ μεγαλοφροσύνης τοῦ ἀνδρὸς παραιτησαμένου, ἢ ὅτι ἐξοστρακισθείς, οὐκ ἔτυχε τῆς ἐν Πρυτανείῳ σιτήσεως, ἢ ὅτι διὰ τοῦτο εἶπε κρέας καὶ ἄρτον ἐπειδὴ οὐκ ἐξῆν τὰ θυόμενα Δημήτρι καὶ Περσεφόνῃ, ἔξω ἀφιέναι. ὡς γοῦν αὐτὰ ἐκφέροντος, κατηγορεῖ. Καὶ τέμαχος.] ἰχθύων. ἰδίως δὲ τεμαχίτας ἰχθῦς, τοὺς μεγάλους καὶ κατακοπτομένους.

D E

BISETVS. Διπλῆ, καὶ εἴσθεσις κώλων ιθ'.

Κλ. Αποθανεῖσθον αὐτίκα μάλα.

Αλ. Τριπλάσιον κεκράξομαί σου.

F

Κλ. Καταβοήσομαι βοῶν σε.

Αλ. Κατακεκράξομαί σου κράζων.

Κλ. Διαβαλῶ σ', ἐὰν στρατηγῇς.

Αλ. Κυνοκοπήσω σου τὸ νῶτον.

Κλ. Περιελῶ σ' ἀλαζονείας.

CL. Malè omnes illicò peribitis.

AG. Ego triplò plus clamitabo.

CL. Ego magis clamabo, clamans.

AG. Ego magis strepam strependo.

CL. Ducem ego te calumniabor.

AG. Tibi dolabo terga flagris.

CL. Tibi superbiam hanc reuellam.

Σχόλια. Αποθανεῖσθον.] διπλῆ καὶ εἴσθεσις περιοδικὴ κώλων ιθ. ὧν τὰ μὲν ἐξ ἀμοιβαῖα τῶν ὑποκριτῶν δίμετρα. τὰ δὲ τέσσαρα ἐναλλὰξ ἀκατάληκτα. καὶ μετὰ ταῦτα εἰσὶ δίστιχα τετράμετρα καταληκτικά. αὐτίκα δὲ μάλα εὐθὺς παραχρῆμα. Ατλικὴ δὲ ἡ σύνταξις. κεκράξομαί σου. τοῦ κεκραγμοῦ περιέσομαι, ἀντὶ τοῦ νικήσω. Κυνοκοπήσω σου.] τυπτήσω σε, καθάπερ κύνα. τοῦτο δὲ ὡς μάγειρος λέγει. ἔστι γὰρ κύων ἰχθύς ποιός. ἅμα δὲ καὶ κνήσω σε δέρματι τούτῳ. ἔστι γὰρ τραχύτατον. Περιελῶ σ' ἀλαζονείας.] περιαποδύσω σε καὶ παύσω τῶν ἀλαζονευμάτων. ἡ μεταφορὰ ἀπὸ τῶν ἱππασάντων. παύσω καὶ περικόψω τῆς ἀλαζονείας. περιελάσω. νικήσω.

G

BISETVS. Περιελῶ σ' ἀλαζονείας] γέγραπται καὶ περιελάσω. εἰ περιελῶ χάψης, εἴη ἂν ἀντὶ τοῦ περιαιρήσω, παρὰ τὸ ἄχρηστον περιέλω, οὗ ὁ μέλλων περιελῶ ἐν χρήσει παρὰ πολλοῖς, ὡς τὸ ἐξελῶ. Ευριπίδης ἐν Ελένῃ.

Ελθὼν δ' εἰς οἴκους ἐξελῶ κόσμον νεκροῦ,

Καί σ' οὐ κεναῖσι χερσὶ γῆς ἀποστελῶ.

περιαιρεῖν δὲ λέγονται καὶ οἱ τέκτονες τὸ τῶν ξύλων περιττὸν

τὸν, ἵνα καλὸν ἔργον ἀποδείξωσι. λέγεται καὶ τοῦτο περὶ τῶν περιτεμνόντων τὸν φλοιὸν, ἢ τοὺς κλάδους τῶν δένδρων. καὶ οἱ βυρσοδέψαι, καὶ οἱ σκυτοτόμοι περιαιροῦσι τὰς βύρσας, καὶ περιτέμνουσι τὰ δέρματα, ἵνα τὸ περιττὸν, καὶ ἀνωφελὲς ἅπαν ἀφέλωσιν. εἰ δὲ περιελάσω A χάψης, ἡ μεταφορὰ εἴη ἂν ἀπὸ τῶν ἐριαζόντων. λέγομεν δὲ περιαιρεῖν τινος ἀλαζονείαν, καὶ περιαιρεῖν τινα ἀλαζονείας. ἀμφίβολον δὲ πότερον νῦν τὰ σ' ἀλαζονείας ἐστὶν ἀντὶ τοῦ τῆς σου ἀλαζονείας, ἢ τὰς σου ἀλαζονείας, ἢ σὲ τῆς ἀλαζονείας.

Ἀλ. Ὑποτεμοῦμαί σου τὰς ὁδούς.
Κλ. Βλέψον εἰς ἔμ' ἀσκαρδάμυκτος.
Ἀλ. Ἐν ἀγορᾷ κἀγὼ τέθραμμαι.
Κλ. Διαφορήσω σ', εἴ τι γρύξεις.
Ἀλ. Κοπροφορήσω σ', εἰ λαλήσεις.
Κλ. Ὁμολογῶ κλέπτειν, σὺ δ' οὐχί.
Ἀλ. Νὴ τὸν Ἑρμῆν τὸν ἀγοραῖον,
Κἀπιορκῶ γε βλεπόντων.
Κλ. Ἀλλότρια τοίνυν σοφίζει,
Καί σε φανῶ τοῖς Πρυτάνεσιν
Ἀδεκατεύτους τῶν θεῶν ἱερὰς ἔχοντα κοιλίας.

AG. Ego vias tibi obstruam omnes.
CL. Respice huc ad me inconniventer.
B *AG. Et ego sum in foro educatus.*
CL. Male peribis, si quid hiscas.
AG. Malè linêre, si loquaris.
CL. Fateor esse furem: an & tu?
AG. Næ per Mercurium forensem,
Peiero, visus licet sim.
CL. Ergo tu alienas sapis res,
At referam ego Prytanibus,
C *Non decimatos te Deûm sacros*
Possidere ventriculos.

Σχόλια. Ὑποτεμοῦμαι τὰς ὁδούς σου.] ἀντὶ τοῦ σε προλέγειν, προλήψομαι, νικήσω. τοῦτο ὡς πρὸς βυρσοδέψην. ὑποτέμνεται γὰρ τὰ δέρματα, ἵνα παχέα φαίνηται. διαφέρει γὰρ τὸ τέμνειν τοῦ ὑποτέμνειν. ὅταν γὰρ ὑποτέμνῃ, παχύτερον φαίνεται. ἀσθενέστερον δέ ἐστι. τέμνειν δὲ, τὸ ὀρθὴν ποιεῖσθαι τὴν τομήν. τὸ γὰρ ἀνώμαλον τῆς τομῆς, παχύτητος δόξαν ἐργάζεται. Ἀσκαρδάμυκτος.] μὴ μύσας τοὺς ὀφθαλμούς. σκαρδαμύττειν γὰρ, τὸ σκαίρειν καὶ μύειν τοὺς ὀφθαλμούς. τὸ πυκνῶς βλεφαρίζειν, ὃ καὶ ἰλλωπεῖν λέγεται ἢ ἰλλωπίζειν. ἀσκαρδαμυκτεῖν δὲ προστεθέντος τοῦ α, τὸ ἀτενὲς βλέπειν τὸν ἥλιον. φησὶν οὖν, ὅτι ἀτενὲς εἰς ἐμὲ βλέψον ὡς ἐν τούτῳ καταπλησσόμενος τὸν ἀλλαντοπώλην. Διαφορήσω σ' εἴ τι γρύξεις.] ἔπαιξε παρὰ τὸ διαφορεῖν. καλῶς δὲ ὡς ἐπὶ μαγείρου καὶ ἀλλαντοπώλου εἴρηται. ἄλλως. διασπάσω. διελέγξω. ἐκφορήσω. ἄλλως τε, καὶ ... ἐπὶ μαγείρου καὶ τοῦ ἀλλαντοπώλου. οὗτοι γὰρ τὰ ἔγκατα πλύνοντες, ἐξ ἀνάγκης τῆς ἀπ' αὐτῶν πληροῦνται κόπρου. παρατηρητέον δὲ, ὅτι ἐν πᾶσιν ἀμείβεσθαι τοῖς ἴσοις πειρᾶται τὸν Κλέωνα. Κοπροφορήσω,] κόπρου σε πληρώσω. ἔπαιξε δὲ παρὰ τὸ διαφορήσω σε. οἱ μάγειροι γὰρ τὰ ἔγκατα πλύνοντες, ἀναγκαίως πληροῦνται κόπρου. ἄλλως. τὴν κόπρον ἐκφορήσω τύπτων σε. ἢ ὡς βυρσοδέψην. ὅτι κόπρῳ τὰς βύρσας ἐθεράπευεν. Ὁμολογῶ κλέπτειν.] τοῦτο ἐν ὑπονοίᾳ λέγει. ὡς ἂν εἰ ἔλεγε, σώφρων εἰμὶ καὶ πεπαιδευμένος. ὁ δὲ αὐχεῖ ἐπὶ τῷ κλέπτειν ἃ κλέπτει, ὀμνύων μὴ κεκλοφέναι. ὅ ἐστιν ὑπερβολὴ ἐπιορκίας. Νὴ τὸν Ἑρμῆν τὸν ἀγοραῖον.] προσπαρωμένως ἐπὶ τοῦ θεοῦ. ἐν μέσῃ τῇ ἀγορᾷ ἵδρυται Ἑρμοῦ ἀγοραίου D ἄγαλμα. πλεονεκτεῖν δὲ αὐτὸν πειρᾶται μὴ μόνον κλέπτων, ἀλλὰ καὶ διαρρήδην ἐπιορκῶν. δεῖ, ἐμά ἐστι ταῦτα τὰ ἐπιχειρήματα. ἀμφότεροι δὲ ἁμιλλῶνται τίς ἐστιν αὐτῶν χείρων. Κἀπιορκῶ γε βλεπόντων.] ἐμοῦ ὁρώντων ὅτι κλέπτων ὀμνύω ὅτι οὐκ ἔκλεψα. τοῦτο δὲ προστέθεικεν ὁ Αγοράκριτος, ὅτι πλεονεκτεῖ ἐκεῖνον, καὶ μᾶλλον πονηρὸς εἶναι δοκεῖ, εἰ σὺ κλέπτεις μόνον, ἀλλὰ καὶ φανερῶς ἐπιορκεῖ. Σοφίζει.] τεχνάζῃ. σοφίας γὰρ ἔλεγον τὰς τέχνας. τὰ ἀλλότρια λέγεις, φησίν. ἐμά ἐστι ταῦτα τὰ ἐπιχειρήματα. E ὡς εἰ ἔλεγε τὰ ἐμὰ τοίνυν κλέπτεις. φανῶ δὲ φανερώσω, κατηγορήσω. Ἀδεκατεύτους τῶν θεῶν] μὴ δεδωκότα ἀπ' αὐτῶν τὴν δεκάτην μοῖραν τοῖς θεοῖς. ἔθος δὲ εἶχον τὰς δεκάτας τῶν θυομένων τοῖς Πρυτάνεσιν οἱ μάγειροι διδόναι. δέον δὲ εἰπεῖν ἀδεκάτευτον ἔχοντα οὐσίαν, ὁ δὲ ἀντὶ οὐσίας, κοιλίας ἐπήνεγκεν ὡς ἀλλαντοπώλῃ.

Κορωνὶς καὶ ἔκθεσις χοροῦ ἐπῳδικὴ ἐκ κώλων θ'.

Χο. Ὦ μιαρὲ καὶ βδελυρὲ,
Καὶ κεκράκτα, τοῦ σοῦ θράσους
Πᾶσα μὲν γῆ πλέα,
Πᾶσα δ' ἐκκλησία,
Καὶ τέλη καὶ γραφαὶ,
Καὶ δικαστήρι', ὦ
Βορβοροτάραξι, καὶ
Τὴν πόλιν ἅπασαν ἡμῶν ἀνατετύρβακας.

F *CH. O nebulo, digne odio:*
O clamator: audacia
Hac tua omnes plagæ,
Concio omnis, tabulæ atque portoria,
Et tribunalia
Plena sunt: ô fimo
Qui malè coinquinas
G *Omnia, & urbem eruis:*

Σχόλια. Ὦ μιαρὲ καὶ βδελυρέ.] κορωνὶς καὶ ἔκθεσις χοροῦ ἐπῳδικὴ διὰ τὸ τίθεσθαι μετὰ τὴν διπλῆν. ἐκ κώλων παιωνικῶν ἐπιμεμιγμένων κρητικοῖς καὶ βακχείοις ἐννέα. ὧν τὸ πρῶτον δίμετρον ἀκατάληκτον ὃ καλεῖται δίρρυθμον. τὸ δεύτερον τρίμετρον βραχυκατάληκτον τοῦ πρώτου ποδὸς κρητικοῦ. τοῦ δὲ δευτέρου βακχείου. τὰ ἑξῆς τέσσαρα ὅμοια τῷ πρώτῳ ἐκ κρητικῶν. τὰ δὲ τούτων ἑξῆς τρία ὅμοια τοῦ δευτέρου ποδὸς κρητικοῦ. ἐν ἐκθέσει δὲ στίχοι τροχαϊκοὶ τετράμετροι καταληκτικοί. ἐπὶ τῷ τέλει κορωνίς. ἑξῆς δὲ ἐν εἰσθέσει σύστημα κατὰ περικοπὴν ἀμοιβαῖον ἐκ στίχων ὁμοίων. ἐπὶ τῷ τέλει παράγραφος. Καὶ τέλη καὶ γραφαί.] τὰ τελώνια καὶ ἀρχαί. τελώνης γὰρ ἦν, καὶ ἐμίσθου τὰ τέλη, τουτέστι τὰ τάγματα.

Ὦ βορ-

ὦ βερβορόταραξι.] ταραχωδέστατε. ταράττων ἡμῶν τὴν πόλιν ὡς βόρβορον. θορύβου πληρώσας τὴν πόλιν καὶ βορβόρου. Ανατετυρβακώς.] ἀνατάραξας. τυρβάζειν δὲ κυρίως λέγεται, τὸ πολὺ ταράξαι.

BISETUS. Σύστημα κατὰ περικοπὴν στίχων ι.

Ὅστις ἡμῶν τὰς Ἀθήνας ἐκκεκώφηκας βοῶν,
Κἀπὸ τῶν πετρῶν ἄνωθεν τοὺς φόρους θυννοσκοπῶν.

Qui nostras Athenas obtudisti tot clamoribus,
Quasi piscator, e specula procul ob[s]eruans portoria.

Κλ. Οἶδ' ἐγὼ τὸ πρᾶγμα τοῦθ', ὅθεν πάλαι καττύεται.

Cl. Noui ego, unde isthac consuta sint iamdudum omnia.

Αλ. Εἰ δὲ μὴ σύ γ' οἶσθα κάττυμ', οὐδ' ἐγὼ χορδεύματα,
Ὅστις ὑποτέμνων ἐπώλεις δέρμα μοχθηροῦ βοός,
Τοῖς ἀγροίκοισι πανούργως, ὥστε φαίνεσθαι παχύ,
Καὶ πρὶν ἡμέραν φορῆσαι, μεῖζον ἦν δυοῖν δοχμαῖν.

Ag. Nisi tu sutelas nosti, neque ego intestina nouero.
Quippe tu vendebas dissectum corium mali bouis
Agricolis astute. Nam cùm appareret spissum & solidum:
Antequam unum esset diem calcatum, ultra palmos duos
Extenuabatur.

Δη. Καὶ τὴ Δία, κἀμὲ τοῦτ' ἔδρασε ταὐτόν, ὥστε καταγέλων
Πάμπολυν τοῖς δημόταισι καὶ τοῖς φίλοις παρασχεῖν.
Πρὶν γὰρ εἶναι Περγασῆσιν, ἔνεον ἐν ταῖς ἐμβάσιν.

De. sanè hoc modo & mecum egit, per Iouem,
Magnum ut nuper amicis ciuibúsque risum mouerim.
Nam priusquam in Pergasis essem, natabam in calceis.

Σχόλια. Ἐκκεκώφηκας.] βοῆς πληρώσας τὰς ἀκοάς.
BISETUS. Ἐκκεκώφηκας] τὰς Ἀθήνας κωφὰς ταῖς σου βοαῖς ἐποίησας. ταῖς σου κραυγαῖς τὰς τῆς πόλεως ἀκοὰς κωφὰς ἐποίησας.
Σχόλια. Κἀπὸ τῶν πετρῶν ἄνωθεν.] ἐπειδὴ οἱ θυννοσκόποι ἐπὶ ὕψους ἱστάμενοι, τὴν κατασκοπὴν τῶν εἰσιόντων θυννῶν εἰς τὰ δίκτυα ποιοῦνται, φησὶν ὅτι καθάπερ τοὺς θυννοσκόπους εἰσιόντες εἰς τὸ δίκτυον οὐ λανθάνουσιν οἱ θύννοι, οὕτως οὐ λανθάνουσι τὸν Κλέωνα, τῆς πόλεως ἐπιβαίνοντες οἱ τοὺς φόρους φέροντες. προαρπάζει οὖν, δέον τὴν πόλιν τὰ ἑαυτῆς λαμβάνειν. ὀνειδίζει οὖν αὐτῷ, ὅτι τὰ δημόσια νοσφίζεται χρήματα. ἅμα δὲ καὶ εἰς ἐμφραγίαν διαβάλλει. ἀπὸ μεταφορᾶς δὲ τῶν ἁλιέων τοῦτο εἶπε τῶν ἀγρευόντων τοὺς θύννους. Καττύεται.] συντίθεται καὶ ῥάπτεται κατ' ἐμοῦ. αἰτίως δὲ τῇ λέξει κέχρηται ὡς βυρσοδέψης ἀπὸ τῶν ὑποδημάτων. Χορδεύματα.] ἑξῆς καὶ οὗτος ὡς μάγειρος ἀντέκειτο. χορδεύματα καὶ χορδαὶ καλοῦνται τὰ ἔντερα. Μοχθηροῦ βοός.] θανασίμου ἢ ἀσθενοῦς. ἰσχνοῦ καὶ λεπτοβύρσου. καὶ τοῦτο δέ, ὡς βυρσέα σκώπτει. Τοῖς ἀγροίκοισι πανούργως.] εἰς ὑποδήματα τοῖς αὐτοῖς. καὶ ὡς τὰς βύρσας τέμνων. καττύματα δὲ τὰ ἄκρα δέρματα καὶ εἰς μικρὰ τετμημένα, ἃ προστίθεται τοῖς σανδαλίοις. τοῦτο δὲ εἶπεν ὡς πρὸς σκυτέα. Δυοῖν δοχμαῖν.] παίζων καὶ αὐτός, παλαιστὰς ἐξετείνετο. δοχμὴ γὰρ ἡ παλαιστή. ἄλλως. δύο παλαιστάς. ἐκτεινόμενα γὰρ τὰ ἰσχνὰ τῶν δερμάτων, εἰς πλάτος αὔξεται. Κἀμὲ τοῦτ' ἔδρασε.] τὸν αὐτὸν τρόπον καὶ ἡμᾶς ἐξηπάτηκεν, ὥστε καταγελάστους γενέσθαι. Τοῖς δημόταισι.] διαβολὴ τῶν Ἀθηναίων, εἰ ὁ δοῦλος παρ' αὐτοῖς ὁ δῆμος ἀπαγγέλλεται. Περγασῆσιν.] ὄνομα δήμου. Ἔνεον ἐν ταῖς ἐμβάσιν.] ἐκολύμβων. ἐνηχόμην ἐν τοῖς ὑποδήμασιν. ἐμβάδες δὲ ἐρρέθησαν ἀπὸ τοῦ ἐμβαίνειν αὐτοῖς. ἐκτεινομένων γὰρ καὶ πλατυνομένων εὐχερῶς τῶν δερμάτων, ἐκολύμβων ἐν αὐτοῖς, διὰ τοῦ μηκέτι ἡρμοσμένα τοῖς ποσὶ τῶν φορούντων αὐτὰ εἶναι.

BISETUS. Κορωνίς, καὶ εἴσθεσις χοροῦ προῳδικὴ ἐκ κώλων, καὶ στίχων πολυσχηματίστων ιβ'.

Χο. Ἆρα δῆτ' οὐκ ἀπ' ἀρχῆς ἐδήλους ἀναίδειαν, ἥπερ μόνη
Προστατεῖ τῶν ῥητόρων;

Ch. Nonne primò statim
Impudentiam tuam exercuisti, quae unica
Omnium est dux rhetorum?

Σχόλια. Ἆρα δῆτ' οὐκ ἀπ' ἀρχῆς.] ὁ λόγος πρὸς τὸν ἀλλαντοπώλην. κορωνὶς δὲ καὶ εἴσθεσις χοροῦ προῳδικὴ διὰ τὸ ἀεὶ προτίθεσθαι τῆς ᾠδῆς. ἐκ κώλων καὶ στίχων πολυσχηματίστων δώδεκα. ὧν τὰ πρῶτα τρία παιωνικὰ δίμετρα ἀκατάληκτα. ἃ καλεῖται κρητικὰ δίρρυθμα. τὸ δὲ δ' τροχαϊκὸν ἑφθημιμερές, ὃ καλεῖται Εὐριπίδειον ἢ ληκύθιον. τὰ δὲ ε' ς' ζ' η' θ' ι' τετράμετρα καταληκτικά. τὰ δὲ ζ' ἢ δακτυλικὰ τετράμετρα. τὰ δὲ τελευταῖα δύο ἰαμβικὰ τετράμετρα καταληκτικά, ὅμοια τοῖς ἑξῆς. ἐπὶ τῷ τέλει κορωνίς. Προστατεῖ.] προέστηκε, καθηγεῖται τῶν ῥητόρων ὡς ἀναιδῶν.

Ἦ σὺ πισεύων, ἀμέλγεις τῶν ξένων τοὺς καρπί-
μους,
Πρύτανις ὤν, ὁ δ' Ἱπποδάμου λείβεται θεώμενος.
Ἀλλ' ἐφάνη γὰρ ἀνὴρ ἕτερος πολὺ
Σοῦ μιαρώτερος, ὥστε με χαίρειν,
Ὅς σε παύσει, καὶ πάρεστιν, δῆλός ἐστιν αὐτόθεν,
Ἐν πανουργίᾳ τε, καὶ θράσει, καὶ κοβαλικεύ-
μασιν.
Ἀλλ' ὦ τραφεὶς, ὅθεν περ εἰσὶν ἄνδρες, οἵ περ
εἰσί,
Νῦν δεῖξον, ὡς οὐδὲν λέγει, τὸ σωφρόνως τρα-
φῆναι.

A Hac tu fretus, fructuosos decerpis nunc hospites,
Cùm sis prætor. Hippodami verò filius, tuam
Insolentiam videns, ferè liquescit lacrymis.
Verùm equidem modò vir sceleratior
Te, subito exoriens, reficit me,
Qui te compescet, & adest: & hic præclarus au-
tor est
In dolis, audacia, atque in assentationibus.
B Age tu, qui illic nutritus es, unde viri sunt, qui
quidem sunt,
Nunc ostende, vt pro nihilo hic ducat, esse probè
educatum.

Σχόλια. Ἦ σύ.] τοῦτο πρὸς τὸν Κλέωνα. ἀμέλγεις δὲ, λαμβάνεις τὰ αὐτῶν πράγματα. τοῦτο δὲ κατὰ τὴν κοινὴν συνήθειαν εἴρηται.

Bisetus. Ἀμέλγεις] Ἀμέλγειν κατὰ τὸν Εὐστάθιον, ἐκ τοῦ ἀμέργειν γίνεται κατὰ τροπὴν τοῦ ρ εἰς λ. ἀμέργειν δὲ τὸ ἀποσπᾶν. τὸ καρπολογεῖν. λέγεται καὶ μέργειν, ὅθεν τὸ ἀμέργειν προστεθέντος τοῦ α ἐπιτατικοῦ.

C Σχόλια. Τοὺς καρπίμους.] τοὺς εὐπόρους τῶν ξένων διὰ τοὺς πλουσίους καὶ εὐποροῦντας. ἀμέλγεις δὲ ἀποδρέπῃ. ἀπανθίζεις. τρυγᾷς καὶ καρπίζῃ. ἰδίως δὲ ἀμέλγειν λέγεται τὸ παρὰ τὸν προσήκοντα καιρὸν τοὺς καρποὺς ἀποσπᾶν, ὅπερ οἱ κλέπται ποιοῦσιν. Ὁ δ' Ἱπποδάμου] οὗτος ἐν Πειραιεῖ κατῴκει, καὶ οἰκίαν εἶχεν, ἥνπερ ἀνῆκε δημοσίαν εἶναι. καὶ πρῶτος αὐτὸς τὸν Πειραιᾶ κατὰ τὰ Μηδικὰ συνήγαγεν. ἦν δὲ Ἀθηναίοις τίμιος. πικρῶς οὖν λείβεται. ὅτι σὺ μὲν ἀνάξιος ὢν, πρυτανεύεις, καὶ ἀπὸ πάντων κερδαίνεις. ὁ δὲ εὔνους ὢν τῇ πόλει καταλείβεται τοῖς δάκρυσιν ἀναξίως ὁρῶν σε τὰ τῆς πόλεως καρπούμενον. λυπεῖται φησὶν ὁ Ἀρχεπτόλεμος. οὗτος γὰρ πολλὰ ὠφέλησε τὴν πόλιν. καὶ οἱ μὲν αὐτὸν φασι Θουρίον. οἱ δὲ, Μιλήσιον. Κλέωνος δὲ ἐχθρὸς ἦν λείπει δὲ ὀφθαλμός. ἄλλως. Ἱππόδαμος μόνος λείβεται καὶ ἡττᾶται. διαβάλλεται γὰρ ἐπὶ πολυφαγίᾳ ὁ Ἱππόδαμος. ὡς οὖν τοῦ Κλέωνος ὄντος γαστριμάργου, παρευδοκιμουμένου δὲ ὑπὸ Ἱπποδάμου,

E κέχρηται τῇ συγκρίσει χρησιμώτατα. ὁμοῦ γὰρ καὶ τὸν Ἱππόδαμον καὶ τὸν Κλέωνα διαβάλλει. Ἀνὴρ ἕτερος.] ὁ ἀλλαντοπώλης. Ὅς σε παύσει.] καταπαύσει σε παρευδοκιμήσει. πάρεστιν ἐγγὺς ἐστὶ καὶ πλησίον καὶ οὐκ εἰς μακράν. ἄλλως. ὑπερβαλεῖ σε, παραδραμεῖται, νικήσει σε. καὶ Ὅμηρος. ἐπεὶ οὐ παρελεύσεαι οὐδὲ με πείσεις. Κοβαλικεύμασι.] τὸ κολακεύειν καὶ θωπεύειν. ἐξ ἀρχῆς χαίρειν δημηγορεῖν. ἐπεὶ καὶ ὁ Κλέων ἐδόκει παρὰ τοῖς Ἀθηναίοις εἰδοκιμεῖν, διὰ τὸ προσηνὲς καὶ χάριεν δημηγορεῖν. καὶ ὅλως δι' ὧν φησι παρευδοκιμήσειν τοῦτον, τὸν Παφλαγόνα, διὰ τούτων διαβάλλει τὸν Κλέωνα, δεικνὺς ὅτι τὰ τοιαῦτα πάντα πρόσεστιν αὐτῷ, δι' ὧν ἤρθη μέγας. Ἀλλ' ὦ τραφείς.] τοιαύτης ἀνατροφῆς μεταλαχών. τουτέστι πονηρᾶς καὶ κακῆς ὅθεν οἱ ἀνατραφέντες ἄνδρες οἱ ἔξαρχοι καὶ πρωτεύοντες. οἱ ἀνδρεῖοι ὄντες.

D Bisetus. Οὐδὲν λέγει τὸ σωφρόνως] ὁ νοῦς ἐστι. δεῖξον ὡς τὸ τὴν σωφροσύνην ἀσκεῖν, καὶ σωφρόνως ζῆν, οὐδὲν λέγειν, καὶ ὠφελεῖν βούλεται. τουτέστιν ὡς ἡ σωφροσύνη τοὺς σώφρονας οὐδὲν ὠφελεῖ, ἀλλὰ μᾶλλον βλάπτει.

Σχόλια. Τὸ σωφρόνως τραφῆναι.] τὸ ἐπιεικῶς, καὶ εὐγενῶς ἀνατραφῆναι. τὸν ἀλλαντοπώλην δὲ βουλόμενος διαβάλλειν, δείκνυσιν αὐτὸν πονηρὸν ἦθος. ἀλλὰ λανθανόντως δι' ὧν περὶ τούτου λέγει, ὀνειδίζει τοὺς ἄλλους πολίτας ὡς ἀπὸ τῶν τοιούτων ὁρμωμένους ἐπιτηδευμάτων καὶ εὐδοκιμοῦντας.

Bisetus. Εἴσθεσις διπλῆς ἀμοιβαίας ἐκ στίχων λθ'.

Αλ. Καὶ μὴν ἀκούσαθ', οἷός ἐστιν οὑτοσὶ πολίτης.
Κλ. Οὐκ αὖ μ' ἐάσεις; Αλ. μὰ Δί', ἐπεὶ κἀγὼ πονηρός εἰμι.
Αλλ' αὐτὸ, περὶ τοῦ πρότερος εἰπεῖν, πρῶτα διαμαχοῦμαι.
F Χο. Ἐὰν δὲ μὴ ταύτῃ γ' ὑπείκῃ, λέγ' ὅτι κἀκ πονηρῶν.
Κλ. Οὐκ αὖ μ' ἐάσεις; Αλ. οὐ μὰ Δία. Κλ. ναὶ μὰ Δία. Αλ μὰ τὸν Ποσειδῶ.
Κλ. Οἴμοι, διαρραγήσομαι. Αλ. καὶ μὴν ἐγώ σ' οὐ παρήσω.

AG. Enimuerò audite, hic qualis sit ciuis, quàm modestus.
CL. Non tu sines me? AG. non hercle, quando & ego vir malus sum.
At de hoc ipso primùm pugnabo, vter prior loquatur.
CH. Si tibi nolit cedere, dic tu, quòd & ipse vir malus sis.
CL. Non tu me iam sines? AG. non, per Iouem.
CL. imò per Iouem. AG. non,
Per Neptunum. CL. hei mihi, disrumpar. AG. ego certè haud te sinam isthuc.

Σχόλια. Καὶ μὴν ἀκούσατε οἷος.] εἴσθεσις διπλῆς ἀμοιβαίας ἐκ στίχων ἰαμβικῶν τετραμέτρων καταληκτικῶν λθ. ὧν τελευταῖός ἐστι τὸν Ποσειδῶ. καὶ μὴν γὰρ ἦν περὶ τὰ τῆς ὁλκῆς. ἐπὶ τῷ τέλει διπλῆ ἔξω νενευκυῖα. ἑξῆς δὲ τούτων ἰαμβικὰ δίμετρα ἀκατάληκτα ιε. πλὴν τοῦ παρατελεύτου μονομέτρου ὄντος. καὶ τοῦ τελευταίου διμέτρου καταληκτικοῦ. ἐπὶ τῷ τέλει διπλῆ ἔξω νενευκυῖα. Οὐκ αὖ μ' ἐάσεις.] ὡς ἐπιτρέψεις. οὐ συγχωρήσεις μοι. ὁ

G δὲ Κλέων ἐστὶν ὁ λέγων πρὸς τὸν ἀλλαντοπώλην. ἐπιστομίζει γὰρ αὐτὸν ἐκεῖνος βουλόμενος λέγειν. Οὐ παρήσω.] οὐ παραχωρήσω. πρὸς δὲ τὸ οὐκ ἐάσεις, οὐ παρήσω εἰπεῖν πρῶτον δηλονότι ἀμειβόλως δὲ εἶπε. λέγων γὰρ ἐκεῖνος πρῶτος λέγειν ἐπιτρέψαι μοι, τὸ δὲ εὐφημότερον ἀποκεῖσθαι πρὸς τὸ ὑπ' ἐκείνου ῥηθὲν διαρραγήσομαι. διόπερ ἑξῆς ὁ χορὸς ἀπέκειτο πάρες πρὸς τῶν θεῶν διαρραγῆναι.

Χο. Πάρες πρὸς τῶν θεῶν αὐτὸν διαρραγῆναι.

Κλ. Τῷ καὶ πεποιθὼς, ἀξιοῖς ἐμοῦ λέγειν ἐναντία;

Αλ. Ὁτιὴ λέγειν οἷός τε κἀγὼ, καὶ καρυκκοποιεῖν.

Κλ. Ἰδοὺ λέγειν. καλῶς γ' ἂν οὖν τι πρᾶγμα προσπεσόν σοι,

Ὠμοσπάρακτον παραλαβὼν, μεταχειρίσαιο χρηστῶς.

Αλλ' οἶσθ' ὅ μοι πεπονθέναι δοκεῖς, ὅπερ τὸ πλῆθος.

Εἴ που δικίδιον εἶπας εὖ, κατὰ ξένου μετοίκου,

Τὴν νύκτα θρυλλῶν, καὶ λαλῶν ἐν ταῖς ὁδοῖς σεαυτῷ;

Ὕδωρ τε πίνων, κἀπιδεικνὺς, τοὺς φίλους τ' ἀνιῶν,

Ὤου δυνατὸς εἶναι λέγειν. ὦ μῶρε τῆς ἀνοίας.

Αλλ. Τί δαὶ σὺ πίνων τὴν πόλιν πεποίηκας, ὥστε νυνὶ

Ὑπὸ σοῦ μονωτάτου κατεγλωττισμένην σιωπᾶν;

Κλ. Ἐμοὶ γὰρ ἀντέθηκας ἀνθρώπων τίν'; ὅστις εὐθὺς

Θυννεῖα θερμὰ καταφαγὼν, κᾆτ' ἐπιπιὼν ἀκράτου

Οἴνου χοᾶ, κασαλβάσω τοὺς ἐν Πύλῳ στρατηγούς;

Αλλ. Ἐγὼ δέ γ' ἤνυστρον βοὸς καὶ κοιλίαν ὑείαν.

A CH. Sine, obsecro, ipsum ut disrumpatur. CL. tu quanam arte fretus,
Audeas mihi contradicere? AG. quia dicendi peritus
Sum, & condimenta noui condire optima. CL. tun' peritus
Dicendi? pulchrè igitur, si quod negocium inuolutum
B Tibi incidat, tu acceptum perquàm commodè explicabis.
Sed scin' quid accidisse tibi putem? quod imperitis.
Si controuersiolam bene dixeras contra inquilinum,
Noctem susurrando, & tecum in uiis demurmurando:
C Aquam bibendo: & deferendo & affligendo amicos:
Ibi te disertum credebas. ô stulte, quae haec fatuitas?
AG. Tu verò quidnam fecisti bibendo ciuitatem,
Quae garrulitate tua turbata cogitur tacere?
CL. Tun' quenquam hominem opposueris mihi? qui simulac deuoráro
D Thynni offam calidam, & vini congium ebibero meraci,
Omnes calumniabor in Pylo duces. AG. ego autem
Simulac omasum bubulum, & ventrem comedero suillum,

Σχόλια. Πάρες.] τοῦ Κλέωνος εἰπόντος διαρραγήσομαι, καὶ τοῦ ἀλλαντοπώλου εἰρηκότος οὐ περιόψομαι, ὁ χορὸς πρὸς τὸ εἰρημένον φησὶν ὅτι πάρες αὐτὸν διαρραγῆναι. Τῷ καὶ πεποιθώς.] τίνι τεθαρρηκὼς ἀξιοῖς φιλονικεῖν ἐμοὶ καὶ διαλέγεσθαι. Ὁτιὴ λέγειν οἷός τ' ἐγώ.] κἀγὼ δυνατός εἰμι, καὶ ἱκανὸς εἰπεῖν. Καρυκκοποιεῖν.] κοσμεῖν ποικιλίᾳ τινὶ ῥημάτων τὸν λόγον. πλαγίως δὲ τῇ λέξει ὡς μάγειρος ἐχρήσατο. καρυκεύματα γὰρ καὶ ἡδύσματά εἰσι τὰ ἀρτύματα. καὶ καρύκκη, κοιλία ἣν νῦν μονθυλευτὴν καλοῦσιν. Ἰδοὺ λέγειν.] ἐγχλευάζει αὐτὸν ὅτι δύναμαι λέγειν λέγοντα. τῇ δὲ τοῦ σχήματος ἐμφάσει, τὸν διασυρμὸν ἐνδείκνυσι. φησὶ γὰρ, ἀφόρητόν ἐστιν εἰ καὶ σὺ ῥήτωρ εἶ. Ὠμοσπάρακτον.] ἀστείως καὶ οὕτως ὡς πρὸς μάγειρον. ὃ δὲ λέγει αὐτῷ τοῦτο βούλεται. εἰ πρᾶγμά φησι σκολιὸν προσπέσοι σοι ἂν πάνυ κατορθώσειας. οὐδὲ διατυπώσεις. ὠμοσπάρακτον δὲ, δυνάμενοι σπαράξαι τὸν λέγοντα. ἄλλως ἀδιαθετὸν καταλαβὼν καὶ ὠμόν. ὡς πρὸς μάγειρον δὲ τὸ ὠμοσπάρακτον. ἢ τὸ νεοσπάρακτον. χρηστῶς δὲ, ἀντὶ τοῦ καλῶς. ὥσπερ ἴσως συμφερόντως. ἐπέμεινε δὲ τῇ τροπῇ καὶ τῷ ἀστείῳ, ὡς πρὸς μάγειρον. χρηστὸν γὰρ ἔδεσμα λεγόμενον τὸ εὖ ἠρτυμένον. Ἀλλ' οἶσθ' ὅπερ πέπονθας.] ἀλλὰ γινώσκω ὃ πέπονθας. ἢ οἶδα τὸ ἐπαῖρόν σε. ἀλλά μοι δοκῶ συνειδέναι τὴν αἰτίαν δι' ἣν εἰς τοσοῦτον θράσος προελήλυθας. Εὖ κατὰ ξένου.] οἱ γὰρ κατὰ ξένου λέγοντες εὐκόλως λέγουσιν. ὡς κατὰ ξένων καὶ οὐ πολιτῶν δημηγοροῦντες. Τὴν νύκτα θρυλλῶν.] οἱ γὰρ μὴ ἔμπειροι τοῦ συνηγορεῖν, ἐὰν διδαχθῶσιν ἀπὸ πράγματος, μὴ ἔχοντες ἀπὸ

E φύσεως τὸ λέγειν ἀσκοῦνται καὶ ἰδίως διηγοῦνται καὶ χρηγοροῦσι διὰ τῆς νυκτὸς καὶ ὕδωρ πίνουσιν. Ὕδωρ τε πίνων.] τουτέστι ταλαιπωρῶν. καὶ μετὰ πολλῶν καμάτων καὶ πόνων συντάσσων τὸν λόγον. δεικνύμενος δὲ διὰ τούτων πάντων βούλεται, τὴν ἀσθένειαν αὐτοῦ τοῦ λόγου καὶ τὴν ἀπορίαν. ἄλλως. ἀγρυπνῶν καὶ φροντίζων καὶ τῆς νυκτὸς μελετῶν καὶ σκεπτόμενος τὴν δίκην τουτέστι ταλαιπωρῶν καὶ μετὰ πολλοῦ καμάτου συντάσσων τὴν δίκην. Κἀπιδεικνύς.] τουτέστι καταδηλοῦ τοὺς λανθάνοντας ξένους ποιῶν. Τοὺς φίλους τ' ἀνιῶν.] λυπῶν φίλους. πρὸς γὰρ φίλους καὶ γνωρί-
F μους δημότας, ὅτι τοὺς μὲν φίλους ἱκανός ἐστι βλάπτειν καὶ κακοποιεῖν. πρὸς δὲ τοὺς ἀλλοτρίους καὶ ξένους ἐξασθενεῖ. Τῆς ἀνοίας.] τῆς μωρίας. τῆς ἠλιθιότητος. καὶ ἐξηπάτησας φησὶ διότι κατὰ μετοίκου πολίτου τινὸς ἀπηνέγκου χάριν καὶ ἐλπίζεις διὰ τοῦτο δύνασθαι καὶ δημηγορεῖν. μετοίκους δὲ ἐκάλουν, τοὺς ἀφ' ἑτέρας πόλεως μεταβαίνοντας εἰς ἑτέραν καὶ οἰκοῦντας. Κατεγλωττισμένην.] πλήρη γενομένην τῶν σῶν λόγων. ἀπατωμένην ταραττομένην καταλελαλημένην τοῦ σοῦ μόνου προσέχειν τὸν νοῦν. συνήθως δὲ τοῦτο λέγουσι, μὴ ἔχον λόγον καὶ παρὰ ἀρ-
G χαίοις καὶ νεωτέροις.

Bisetus. Γραπτέον δὲ ἴσως καταγεγλωττισμένην κατὰ τοὺς τῶν γραμματικῶν κανόνας, εἰ μὴ κατεγλωττισμένην κατὰ συγκοπὴν εὐφωνίας χάριν εἰρῆσθαι λέγοις.

Σχόλια. Αντέθηκας.] ἔστησας ἐξ ἐναντίας καὶ ἀντέταξας. Κασαλβάσω.] λοιδορήσω. ἔστι δὲ ὄνομα ἑταίρας. καὶ

δὲ εἰρηκέναι, τοῦ Διαγόρα λοιδορηθείσης. πρὸς δὲ τὸ ῥηθὲν ὑπὸ τοῦ ἑτέρου, καταβαλῶ ὁ στρατηγὸς ἀντεπῶν, καὶ Νικίαν ταράξω. Νικίας δὲ στρατηγὸς Ἀθηναίων. ἄλλως. καταβάδες ἑταῖραι εἰσὶν, αἱ ἀεὶ ἐπὶ τῷ οἰκήματι ἑστῶσαι, ἐπὶ μισθῷ παρέχουσι τοῖς βουλομένοις. καταβάδες δὲ εἴρηνται, ἀφ᾽ οὗ ποιοῦσι. κελεύουσι μὲν γὰρ μὴ ἔχουσαι τοὺς ἐραστάς. σβοῦσι δὲ τοὺς ὄντας, ἵνα ἄλλους λάβωσι. ἐπεὶ οὖν ἰταμῶς καὶ ἀναιδῶς καὶ ὁ Κλέων ἀλλοτρίοις ἐπεπήδησεν εἰπὼν, καὶ τῆς ἐπὶ τοῖς κατορθώμασι δόξης αὐτοὺς ἀφείλετο, καὶ αἱ ἑταῖραι δὲ ἀναίσχυντοι καὶ ἀναιδεῖς, ἐπεὶ ἐπιπηδῶσι τοῖς ἐρασταῖς, εἰκότως ὁ ποιητὴς τῇ λέξει ταύτῃ κέχρηται. Ἐγὼ δὲ γ᾽ ἤνυστρον.] τὰ μηρυκάζοντα τῶν ζώων, τρεῖς κοιλίας ἔχει, κεκρύφαλον, ἤνυστρον, ἐχῖνον. μηρυκάζει δὲ, ὅταν μὴ τροφῆς πληρωθῇ, ἀναπεμπάζῃ τὴν ἐν τῇ κοιλίᾳ τροφὴν, καὶ κινῆται τὸ στόμα. ὥσπερ αἶξ, πρόβατον καὶ κάμηλος. εἰκότως δὲ ὡς μάγειρος τούτοις ἠμείψατο τὸν Κλέωνα.

Καταβροχθίσας, κᾆτ᾽ ἐκπιὼν τὸν ζωμὸν ἀναπόνιπτος,
Λαρυγγιῶ τοὺς ῥήτορας, καὶ Νικίαν ταράξω.
Χο. Τὰ μὲν ἄλλα μ᾽ ἤρεσας λέγων, ἓν δ᾽ οὐ προσίεταί με
Τῶν πραγμάτων. ὁτιὴ μόνος τὸν ζωμὸν ἐκροφήσεις.
Ἀλλ᾽ οὐ λάβρακας καταφαγὼν, Μιλησίους κλονήσεις.
Ἀλλ. Ἀλλὰ σχελίδας ἐδηδοκὼς, ὠνήσομαι μέταλλα.
Κλ. Ἐγὼ δ᾽ ἐπεισπηδῶν γε τὴν βουλὴν βίᾳ κυκήσω.
Ἀλλ. Ἐγὼ δὲ κινήσω γέ σου τὸν πρωκτὸν ἀντὶ φύσκης.
Κλ. Ἐγὼ δέ τ᾽ ἐξέλξω σε τῇ πυγῇ θύραζε κύβδα.
Χο. Νὴ τὸν Ποσειδῶ, κἀμὲ γὰρ, ἤνπερ τοῦτον ἕλκῃς.

Et illotis manibus epotauero ius esculentum:
Guttur præcidam causidicis, & Niciam commouebo.
CH. *Quæ dicis, omnia placent: hoc vnum mihi non probatur:*
Quòd solus exsorpturus es ius illud esculentum.
At non Milesios mouebis, si vores labraces.
AG. *At lateribus voratis, etiam mercabor metalla.*
CL. *Ego verò insultans, vi conturbabo hunc omnem senatum.*
AG. *Ego verò pro falisco podicem tuum mouebo.*
CL. *Ego verò natibus te extraham foràs, capite inclinato.*
CH. *Et me vnà per Neptunum: siquidem hunc protrahes, scelestε.*

Σχόλια. Καταβροχθίσας.] ἐκροφήσας. καταπιών. λέγεται δὲ ἐπὶ τῶν ἀθρόως καὶ ἀπλήστως ἐκροφούντων. Ἀναπόνιπτος.] μὴ νιψάμενος μὴν δὲ πλυνάς τὰς χεῖρας. ἀλλ᾽ ἀκάθαρτος. ἵνα τὸ ῥυπαρὸν αὐτοῦ μᾶλλον ἐνδείξῃ τῶν τρόπων. παρατηρητέον δὲ ὅτι τοῖς ἴσοις ἀμείβεσθαι φιλονεικεῖ τὸν Κλέωνα. τῷ μὲν οὖν θύννῳ τὸ ἤνυστρον καὶ κοιλίαν ἀντιτιθείς. τῷ δὲ θερμῷ, τὸ ἀναπόνιπτος. τῷ δὲ οἴνῳ τὸν ζωμόν. Λαρυγγιῶ.] καταβοήσομαί φησι τῶν ἄλλων ῥητόρων. ἢ τὴν φάρυγγα ἐκτεμῶ. τουτέστι καταπνίξω τοὺς ῥήτορας. τμηθείσης γὰρ τῆς φάρυγγος, οὐχ οἷόν τε τὴν φωνὴν προΐεσθαι. παρατηρητέον δὲ ὅτι ὥσπερ ὁ Κλέων ἠπείλησε καταβαλεῖν τοὺς ἐν Πύλῳ στρατηγοὺς, καὶ οὗτος ἐχρήσατο τῷ λαρυγγιῶ τοὺς ῥήτορας. Καὶ Νικίαν ταράξω.] φοβήσω. δυσώνητος δὲ ὁ Νικίας. ἐμφαίνει δὲ, ὅτι καὶ αὐτὸς τῶν εὐδοκιμούντων ἦν στρατηγός. καὶ ὁ υἱὸς Στράτιππος. ἐμνημόνευσε δὲ τοῦ Νικίου Δημοσθένης. ἦν δὲ Νικηράτου παῖς. Ἀλλ᾽ οὐ λάβρακας.] λάβραξ εἶδος ἰχθύος. ἀφ᾽ οὗ ποιεῖται τὴν προσηγορίαν. κέχηνέ τε γὰρ αὐτοῦ τὸ στόμα καὶ ἀθρόως καὶ λάβρως τὸ δέλεαρ καταπίνει. ὅθεν καὶ εὐχερῶς ἁλίσκεται. ἐπεὶ οὖν ὁ μὲν Κλέων ἔφησε θύννους θερμοὺς καταπιεῖν, ὁ δὲ ἀλλαντοπώλης ἀπὸ τῆς αὐτοῦ τέχνης ὁρμώμενος, τὸ ἤνυστρον καὶ τὴν κοιλίαν. καὶ τὸν ζωμὸν ἀντέθηκεν, ὁ χορὸς μέμφεται ὡς εἰκὸς ἀμειψάμενον τοῦ ἀλλαντοπώλου τὸν Κλέωνα. λέγων ὡς ἐχρῆν αὐτὸν ἀντιτεθεικέναι τῷ θύννῳ λάβρακα. ἰδιωτέρα γὰρ αὕτη πρὸς τὸν θύννον τοῦ ἠνύστρου καὶ ὢν αὐτὸς εἶπεν, ἀπαντήσειεν ἂν ἦν. ἄλλως. βέλτιόν φησιν εἶναι λάβρακας καταφαγόντα, τοὺς Μιλησίους κλονεῖν. ἀλλὰ μὴ Νικίαν ταράσσειν. ὅπερ ἠπείλησεν ὁ ἀλλαντοπώλης. ἐν Μιλήτῳ δὲ, τῆς Ἀσίας, μέγιστοι οἱ λάβρακες, διὰ τὴν ἐπικαρίαν λίμνην εἰς τὴν θάλασσαν. χαίροντες γὰρ οἱ ἰχθύες τῷ γλυκεῖ ὕδατι εἰς τὴν λίμνην ἐκ τῆς θαλάσσης ἀνατρέχουσι, καὶ οὕτω πληθύνουσι παρὰ τοῖς Μιλησίοις. Μιλησίους δὲ εἶπεν, ὡς τοῦ Κλέωνος τοὺς Μιλησίους ταράσσοντος καὶ ἐπηρεάζοντος. Σχελίδας] βοὸς πλευρά. ἢ ἁπλῶς τὰ πλευρικὰ ὡς Αἰσχύλος. Ὠνήσομαι μέταλλα] ὠνήσομαι μέταλλα ἀργυρείου καὶ χρυσίου. ὥστε προσόδους ἔχειν τὴν πόλιν. ἦν δὲ μέταλλα Ἀθήνησιν ἐν Λαυρείῳ. Κυκήσω.] συνταράξω ἐπεισπεσών. τὸ βίαιον δὲ αὐτοῦ διὰ τῆς λέξεως ἐδήλωσεν. Φύσκης.] φύσκη ἔντερόν ἐστι παχύ, εἰς ὃ ἐμβάλλεται ἄλευρα καὶ κρέα καὶ μάττουσιν. ἐξ οὗ γίνεται ὁ ἀλλᾶς. ὡς ἀλλαντοπώλης δὲ τῆς φύσκης ἐμνημόνευσε. Κύβδα] κύπτοντα. διὰ δὲ τοῦ σχήματος τὴν αἰσχύνην δείκνυσιν ἑαυτοῦ. Νὴ τὸν Ποσειδῶ.] καὶ ἐμὲ τὸν θεράποντα ἕλκε, ἐὰν τὸν ἀλλαντοπώλην ἕλκῃς. ἄλλως. ὁ χορός ἐστιν ὁ λέγων. χρησίμως δὲ κέχρηται τῇ συνδρομῇ. μὴ τοῦτον μόνον, ἀλλὰ καὶ ἡμᾶς τὸν αὐτὸν ἐξάγεις τρόπον.

BISETVS. Σύστημα κώλων εἰς [illegible] ὧν ὅρα τὰ ἐν τοῖς σχολίοις.

Κλ. Οἴσω σε δήσω τῷ ξύλῳ.
Ἀλ. Διώξομαί σε δειλίας.

CL. *Solum alligabo te palo.*
AG. *Timiditatis agam te reum.*

ΚΛ.Η-

ΚΛ. Ἡ βύρσα σου θρανεύσεται.
ΑΛΛ. Δερῶ σε θύλακον κλοπῆς,
ΚΛ. Διαπατταλευθήσει χαμαί.
ΑΛΛ. Περικόμματ' ἐκ σοῦ σκευάσω.
ΚΛ. Τὰς βλεφαρίδας σου παρατιλῶ.
ΑΛΛ. Τὸν πρηγορεῶνα σου κτεμῶ.
ΔΗ. Καὶ νὴ Δί' ἐμβαλόντες αὐ-
τῷ πάτταλον μαγειρικῶς
Εἰς τὸ στόμ', εἶτα γ' ἔνδοθεν
Τὴν γλῶτταν ἐξείραντες αὐ-
τοῦ, σκεψόμεσθ' εὖ κἀνδρικῶς
Κεχηνότος,
Τὸν πρωκτὸν, εἰ χαλαζᾷ.

A CL. *Cutis tua dilatabitur.*
AG. Laniabo te furti saccum.
CL. Distentus affigère humi.
AG. Ex te faciam præsegmina.
CL. Circùm tibi vellam palpebras.
AG. Strumam tibi exscindam illi-
cò.
DE. Et per Iouem, ritu coqui
B *Immittite illi stipitem*
In os, deinde linguam ei
Extrahite: tum videbimus
Hiante eo,
Podéxne grandinosus.

Σχόλια. Οὐδέν σε δήσω.] μόνον ἵνα ἦ λέγων. τῶν μὲν ἄλλων σου συνωμοτῶν καίπερ ἀδικούμενος ὑπ' αὐτῶν φείδομαι, σὲ δὲ μόνον δήσω τῷ ξύλῳ. εἶδος δὲ δεσμωτηρίου τὸ ξύλον. ἣν ποδοκάκην λέγουσι καὶ ποδοστράβην. διώξομαι δὲ κατηγορήσω σου δειλίας. ἀγῶνα ἐνστήσομαι κατὰ σοῦ. Θρανεύσεται.] ἐκταθήσεται. θράνος γὰρ ἐστὶ πέδιλον. ὅπου τὰ δέρματα ἐκτείνεται. πάλιν δὲ ὡς βυρσοπώλης τοῦτο λέγει. ἄλλως. ξαίνειν ἔλεγον τὸ τύπτειν. καὶ ξαίνεσθαι τὸ πάσχειν. φησὶν οὖν ἡ βύρσα σου τυπτομένη διαθρανευθήσεται. ἰδίως δὲ ὡς βυρσεὺς τῇ ἀπειλῇ ταύτῃ κέχρηται. καὶ γὰρ τὰς βύρσας ξύλοις τύπτειν εἰώθασιν ἵνα ἁπαλαὶ ὦσιν. ἔνιοι δὲ ἵνα διαλάβοιεν εὐχερῶς τοῦ φαρμάκου. Δερῶ σε θύλακον.] ἐκδερῶ σε. τὸ γὰρ ἐκδέρειν μᾶλλον τῶν μαγείρων ἴδιον. ἐκδερῶ σέ φησιν ὥστε ἀπὸ τοῦ σώματός σου, θύλακον ποιῆσαι εἰς ὑποδοχὴν κλέμματος. Διαπατταλευθήσει] ἐκταθήσῃ χαμαί. τὰς γὰρ βύρσας ἐκτείνοντες ἐπὶ τῆς γῆς ἵνα μὴ συνάγοιντο, καὶ συστέλλοιντο ἐκ τῆς τοῦ ἡλίου καύσεως, κατὰ ἄκρα παττάλοις καταπηγνύοντες, ἐκτείνουσιν. ἄλλως. χαμαὶ ἐπὶ τῶν παττάλων ἐξέδερον τὰ δέρματα. Περικόμματ' ἐκ σοῦ] περικόμματα τὰ ἐκ τῶν μαγείρων περιαιρούμενα τῶν κρεῶν. ὃ δὲ βούλεται λέγειν τοιοῦτόν ἐστι. τουτέστι κατὰ μέρος σε κόψω τὸ σῶμα. ὡς μάγειρος δὲ λέγει. Τὰς βλεφαρίδας.] παρετήρησαν τὸ σχῆμα. ἐπὶ γὰρ τὰς ὄψεις τοῦ ἀλλαντοπώλου ἐπιβαλὼν τὰς χεῖρας C ἐκτίλλει. τῶν γὰρ βυρσέων ἐστὶν ἔργον τῶν δερμάτων ἀπομαδίζειν τὰς τρίχας. ἢ ὅτι πρὸς τὸ ῥάπτειν τριχῶν δέονται. Τὸν πρηγορεῶνα.] τὸν λεγόμενον γαργαρεῶνα. παρατηρητέον δὲ ἐν πᾶσι τοῖς ἀντιθέτοις. ὅτι ἀπὸ τῆς αὐτοῦ τέχνης ἑκάτερος αὐτῶν τοῖς ὀνόμασι χρῆται καὶ ταῖς λέξεσιν. ὥσπερ γὰρ τῶν βυρσέων τὸ καθαίρειν καὶ μαδίζειν τῶν δερμάτων τὰς τρίχας, οὕτω καὶ τῶν μαγείρων τὸ τέμνειν καὶ σφάζειν εἰς τὸν λαιμὸν τὰ θρέμματα. κυρίως δὲ ἡ τῶν ὀρνέων φάρυγξ, ἐν ᾗ ἀγείρεται ἡ τροφή. Μαγειρικῶς.] εἰώθασι γὰρ οἱ μάγειροι παττάλοις τὰ τῶν χοίρων ἀνοίγοντες στόματα κατανοεῖν εἰ χαλαζῶσι. χάλαζα δὲ πάθος τῶν χοίρων. ἄλλως. οἱ μά- D γειροι μετὰ τὸ ἀποσφάξαι τὰ θρέμματα, εἰώθασι κρεμᾶν αὐτὰ ἐκ τοῦ παττάλου καὶ οὕτως ἐκδέρειν. συνάγειν δὲ εἰώθε τὰ θρέμματα τὸ στόμα. κατὰ ταῦτα οὖν φησι χρὴ πάτταλον ἐμβαλεῖν εἰς τὸ στόμα καὶ διανοῖξαι πρὸς τὸ ἐξεῖραι τὴν γλῶτταν. ἐξείραντες δὲ αὐτὴν. ἑλκύσαντες ἀνασπάσαντες. Σκεψόμεθα.] ἐπιγνωσόμεθα. ἀνδρικῶς δὲ ἀντὶ τοῦ ἀνεπικωλύτως. ἅτε τῆς γλώττης προεξειρημένης καὶ μὴ ἐμποδιζούσης τὴν θέαν. Χαλαζᾷ.] ἤτοι εἰ χαλαρός ἐστι. καὶ εἰ χαλαζᾷ ἐκεῖ. νόσημα δὲ τοῦτο τῶν θρεμμάτων. ὅπερ ζώντων μὲν λανθάνει. ἀποθανόντων δὲ καὶ τεμνομένων φανερὸν γίνεται. τῇ σαρκὶ δὲ αὐτῶν ἀναμέμικται καὶ ἐμπέφυκεν ἡ E χάλαζα.

BISETVS. Κορωνὶς καὶ ἔκθεσις χοροῦ προῳδικὴ ἐκ κώλων ζ. ἐν ἐκθέσει δὲ στίχοι δύο.

ΧΟ. Ἦν ἄρα πυρός γ' ἕτερα θερμότερα,
Καὶ λόγοι ἐν πόλει
Τῶν ἀναιδῶν ἀναιδέστεροι.
Καὶ τὸ πρᾶγμ' οὐκ ἦν φλαῦρον ὧδ'.
Ἀλλ' ἔπιθι καὶ στρόβει,
Μηδὲν ὀλίγον ποίει.
Νῦν γὰρ ἔχεται μέσος.
Ὡς ἂν νυνὶ μαλάξῃς αὐτὸν ἐν τῇ προσβολῇ,
Δειλὸν εὑρήσεις. ἐγὼ γὰρ τοὺς τρόπους ἐπίσταμαι.

CH. *Feruidius ergo aliud igne erat hic.*
Vulgi item vocibus
Vox erat quæpiam obscænior:
Et hæc erat res haud mala.
F *At tu in hominem irrue:*
Tunde, medicum nihil
Fac: medium enim tenes.
Hunc si tu in primo aditu molliorem feceris: dein
Timidum reperies: nam noui ego mores huius viri.

G

Σχόλια. Ἦν ἄρα πυρός.] διπλῆ καὶ ἐν ἐκθέσει, περίοδος τοῦ χοροῦ παιωνικὴ ἑπτὰ, κώλων ἔχουσα τὸ ἐπίρρημα, πρῶτον δεύτερον. τὰ δὲ λοιπὰ ἀντεπίρρημα ἄλλως. κορωνὶς καὶ ἔκθεσις χοροῦ προῳδικὴ ἐκ κώλων παιωνικῶν ἐπιμεμιγμένων κρητικοῖς ἑπτά. ὧν τὸ πρῶτον τρίμετρον ἀκατάληκτον καθαρόν. τὸ δεύτερον δίμετρον ἀκατάληκτον ἐκ κρητικῶν ἤτοι ἀμφιμάκρων. τὸ γ' ὅμοιον τῷ πρώτῳ ἐκ κρητικῶν. τὸ τέταρτον ὅμοιον. τὸ ε' ὅμοιον τῷ δευτέρῳ ἐκ παίωνος καὶ κρητικοῦ ὡς καὶ τὰ ἑξῆς δύο. ἐν ἐκθέσει δὲ στίχοι δύο τροχαϊκοὶ τετράμετροι καταληκτο-

κοί. ἐπὶ τῷ τέλει κορωνίς. ἑξῆς δὲ σύστημα κατὰ περικοπὴν στίχων ὁμοίων ἕξ. τὰ ἑξῆς τρία κῶλα τοῦ χοροῦ τροχαϊκά. ὧν τὰ μὲν δύο δίμετρα ἀκατάληκτα, τὸ μὲν κατὰ τὴν τετάρτην, τὸ δὲ κατὰ τὴν τρίτην ἴαμβον ἔχοντα. τὸ δὲ τρίτον καταληκτικὸν ἐφθημιμερές. οἱ ἑξῆς τούτων δύο στίχοι τροχαϊκοὶ τετράμετροι καταληκτικοί. τῶν δὲ ἑξῆς τοῦ χοροῦ ἑ κώλων τὰ μὲν ά β. δακτυλικὰ τετράμετρα, τὰ δὲ γ δ. τροχαϊκὰ τετράμετρα καταληκτικά. τὸ δὲ τέταρτον ἰαμβικὸν δίμετρον ἀκατάληκτον. τὸ πέμπτον ὅμοιον ἐκ διτροχαίου διιάμβου. ἑξῆς δὲ τούτων ἐν ἐκθέσει στίχοι δύο ἰαμβικοὶ τετράμετροι καταληκτικοί. ἐπὶ τῇ ἀποθέσει παράγραφος, ἐπὶ δὲ τῷ τέλει κορωνίς. ἄλλως. ἀπὸ ἐνδόξου, σύγκεισιν ὑπειλήφαμεν σφόδρα. τί γὰρ γένοιτο πυρὸς ἐμπυρώτερον καὶ σφοδρότερον, ὅπου γε τὴν Κλέωνος ἀναίδειαν τις ἂν ὑπερακοντίσειε ναυτικῶν. μὴ διὰ τὴν τοῦ ἡττηθέντος ἐπιείκειαν, ἀλλὰ δι' ὑπερβάλλουσαν ἑαυτοῦ πονηρίαν τὴν νίκην ἀποφέρεσθαι δοκεῖ. ὅθεν δὲ τὴν νίκην θαυμάζει τοῦ νενικηκότος, τοσοῦτον τοῦ ἡττηθέντος A θαυμάζει τὴν ἀνδρείαν. οὐ γὰρ τὸν ἀλλαντοπώλην τοσοῦτον ὅσον τὸν Κλέωνα πονηρὸν ὄντα βούλεται δεῖξαι. Οὐκ ἦν φλαῦρον.] εἶπεν οὐ φαῦλον οὐκ ἄχρηστον οὐδὲ πονηρόν ἐστι τὸ πρᾶγμα. οὐδὲ ἀνόητον. εὐφραίνεται γὰρ ἐπεὶ παρευδοκιμούμενον ὁρᾷ τὸν Κλέωνα ὁ χορός. Ἀλλ' ἔπιθι.] ἐπίμενε δὲ καὶ ἐπίκεισο, καὶ μὴ ἀνῇς. ταῦτα δὲ τῷ Ἀλλαντοπώλῃ φησὶν ὁ χορὸς, ἡδόμενος ὅτι πρόσκειται τῷ Κλέωνι ἡττωμένῳ. Καὶ στρόβει.] στροβεῖς ἐργαλεῖον κναφικόν. φησὶν οὖν, περίαγε αὐτὸν καὶ στρέφε. τοῦτο γὰρ καὶ τοῦ B ἐργαλείου τὸ ἔργον. Μηδὲν ὀλίγον ποίει.] γράφεται μηδὲν ἔλαττον ποίει. φησὶν οὖν, πάντα μεγάλα κατ' αὐτοῦ ποίει καὶ μηδὲν εὐτελές. Νῦν γὰρ ἔχεται μέσος.] νῦν γὰρ τὸ κατ' αὐτοῦ μέσος αὔξεται. καταπεπάλαισται φησίν. ἡ μεταφορὰ, ἀπὸ τῶν παλαιόντων τῶν τοὺς ἀντιπάλους μεταλαβόντων. καὶ ἐκ τοῦ κρείττονος γενομένου. Ὡς ἂν νυνὶ μαλάξῃς.] ἐὰν ἐν τῇ ἀρχῇ καταγωνίσῃ καὶ ἀσθενῆ ποιήσῃς.

C

BISETVS. Σύστημα κατὰ περικοπὴν στίχων ς'. μεθ' οὓς τρία κῶλα τοῦ χοροῦ. εἶτα δύο στίχοι. καὶ ἄλλοι ἑξῆς τοῦ χοροῦ διάφοροι.

Ἀλ. Ἀλλ' ὅμως οὗτος τοιοῦτος ὢν ἅπαντα τὸν βίον,
Κᾆτ' ἀνὴρ ἔδοξεν εἶναι, τἀλλότριον ἀμῶν θέρος.
Νῦν δὲ τοὺς στάχυς ἐκείνους, οὓς ἐκεῖθεν ἤγαγεν,
Ἐν ξύλῳ δήσας ἀφαύει, κἀποδόσθαι βούλεται.
Κλ. Οὐ δέδοιχ' ὑμᾶς, ἕως ἂν ζῇ τὸ βουλευτήριον,
Καὶ τὸ τοῦ δήμου πρόσωπον μακκοᾷ καθήμενον.
Χο. Ὡς δὲ πρὸς πᾶν ἀναιδεύεται,
Κοὐ μεθίστησι τοῦ χρώματος
Τοῦ παρεστηκότος.
Κλ. Εἴ σε μὴ μισῶ, γενοίμην ἐν Κρατίνου κῴδιον,

AG. Atqui cùm talis fuerit per omnem vitam, pòst tamen
Fortis esse visus est, alienam messem demetens.
D *Nunc autem spicas, quas illinc attulit, palo alligat.*
Arefacit, & populo vult rependere. CL. *nil ego curo vos:*
Quantisper quidem hoc superstes est in vrbe senaculum.
Et populi persona surda ac muta stultè desidet.
CH. *Quàm impudentem gerit se vndique:*
E *Nec colorem, qui adest, improbo*
Mutat in vultu homo!
CL. *Nisi te odi, fiam vna de Cratini ouillis pellibus,*

Σχόλια. Ἀλλότριον ἀμῶν θέρος.] τουτέστι τοὺς ἀλλοτρίους καμάτους καὶ πόνους, ἄλλων γεωργούντων καὶ καρπούμενος. αἰνίττεται δὲ πρὸς τὴν Πύλον. καὶ ὅτι μετὰ τοὺς κινδύνους καὶ τὰς πολλὰς ταλαιπωρίας ἃς ὑπέμεινε Δημοσθένης πολιορκῶν τοὺς ἐν Σφακτηρίᾳ. μηδὲν ὁ Κλέων πονήσας, ἀλλ' ὕστερον ἐφ' ἕτοιμα ἐλθὼν, τὴν νίκην τὴν ἐκείνου παρελόμενος, αὐτὸς ἐπεγράφη τῷ κατορθώματι. ὡς εἴ τις ἀγρὸν ἀμῶν ἀνὴρ ὑπ' αὐτῷ ἀμητῷ τὸν ἄλλων ἐκβαλὼν τὸν σπείραντα γεωργὸν καὶ προπεπονηκότα, τοὺς καρποὺς ἀξιοῖ προσίζεσθαι. Νῦν δὲ τοὺς στάχυς] ἑξῆς ἀπὸ τοῦ ἀμητοῦ. ὀνόμασε τοὺς στάχυς. ἀντὶ τῶν αἰχμαλώτων οὓς ζῶντας ἔχειν Λακεδαιμονίων κατεπαγγειλάμενος ὁ Κλέων τοῖς Ἀθηναίοις ἐμπροθέσμως ἤγαγεν. φησὶν οὖν τοὺς ἄνδρας ἐκείνους οὓς δήσας ἤγαγεν, ἀφεῖναι νῦν καὶ ἀπολῦσαι διανοεῖται. Ἀποδόσθαι.] πωλῆσαι. τουτέστι λύτρα παρ' αὐτῶν λαβεῖν. Μακκοᾷ] ἀνοηταίνει. ἐν ἔθει ἐστίν. ἔφαμεν δὲ ὅτι ἡ Μακκὼ, ἠλιθία ἦν. Κρατίνου κῴδιον.] κῴδιόν ἐστι τὸ ἅμα τοῖς ἐρίοις δέρμα σκευαζόμενον. ὡς ἐνουρητὴν δὲ καὶ μέθυσον διαβάλλει τὸν Κρατῖνον. ὁ δὲ Κρατῖνος καὶ αὐτὸς ἀρχαίας κωμῳδίας ποιητὴς, πρεσβύτερος Ἀριστοφάνους, τῶν ἄγαν εὐδοκίμων. γενοίμην οὖν φησιν εἰς τὴν οἰκίαν Κρατίνου κῴδιον, ὥστε μου κατουρεῖν ἐκεῖνον εἰ μή σε μισῶ. ὅπερ μοι F δοκεῖ παροξυνθεὶς ἐκεῖνος, καίτοι τοῦ ἀγωνίζεσθαι ἀποστὰς καὶ συγγράφειν, πάλιν γράφει δρᾶμα τὴν πυτίνην. εἰς αὐτόν τι καὶ μέθην. οἰκονομίᾳ τε κέχρηται τοιαύτῃ. τὴν κωμῳδίαν ὁ Κρατῖνος ἔπλασε ταύτην αὐτοῦ εἶναι γυναῖκα, καὶ ἀφίστασθαι τοῦ συνοικεσίου τοῦ σὺν αὐτῷ θέλειν, καὶ κακώσεως αὐτοῦ δίκην λαγχάνειν. φίλους δὲ παρατυχόντας τοῦ Κρατίνου δεῖσθαι μηδὲν προπετὲς περιποιῆσαι καὶ τῆς ἔχθρας ἀνερωτᾶν τὴν αἰτίαν. τὴν δὲ, μέμφεσθαι αὐτῷ ὅτι μὴ κωμῳδοῖ. ἢ μηκέτι σχολάζοι τῇ μέθῃ. μηδὲν δὲ χεῖρον πολυμαθίας ἕνεκεν αὐτὰ, τὰ ἐπιτήδεια τῶν G ἰάμβων ἐκλέξαντα, θεῖναι ταῦτα,

Ἀλλ' ἐπαναστρέψαι βούλομαι εἰς τὸν λόγον
Πρότερον. ἐκεῖνος πρὸς ἑτέραν γυναῖκα ἔχων
Τὸν νοῦν, κακὰς εἶπον πρὸς ἑτέραν, ἀλλ' ἅμα μὲν
Τὸ γῆρας. ἅμα δέ μοι δοκεῖ οὐδέ ποτ' αὐτοῦ
Πρότερον. καὶ τὰ ἑξῆς.

(BISETVS. Σημείωσαι δὲ ταῦτα διὰ τὴν πάροιαν τοῦ

σιν τῆς ὁλοκλήρου γνώμης, ἀσαφέστερον εἰρῆσθαι, καὶ δ. στίχον ἐν τῇ ἕκτῃ χώρᾳ σπονδεῖον ἀντὶ ἰάμβου παρὰ τὸν τοῦ μέτρου νόμον ἔχειν. ἀντὶ δὲ τοῦ κακῶς εἶπεν, βέλτιον ἴσως,

A κακά μοι εἴποι.) ἄλλως. κωμῳδίας ποιητὴς πολλοὺς οἶνον πίνων ὡς καὶ ἐνυρεῖν. διδάσκοιμι φησὶν ἐν τῷ Κρατίνου κώδιον. ἵνα κατασήπωμαι ἐνουρῶν τοῖς αὐτοῦ.

Καὶ διδασκοίμην προσᾴδειν Μορσίμου τραγῳδίαν.
Χο. Ὦ περὶ πάντ' ἐπὶ πᾶσί τε πράγμασι,
Δωροδόκοισιν ἐπ' ἄνθεσιν ἵζων,
Εἴθε φαύλως, ὥσπερ εὗρες, ἐκβάλοις τὴν ἔνθεσιν.
Ἄσαιμι γὰρ τότ' ἂν μόνον, Πῖνε, πῖν' ἐπὶ συμφοραῖς,
Τὸν Ἰουλίου τ' ἂν οἴομαι γέροντα Πυρροπίπην,
Ἠθέντα, καὶ Παιῶνα δή, καὶ Βακχέβακχον ᾆσαι.

Et docear Tragœdiam cantare stulti Morsimi.
CH. O super omnia, rebus in omnibus,
Donipetas residens super herbas:
Vtinam bucceam, male inuentam, mox eÿcias male. B
Tunc enim cantem solùm, bibe, bibe, cum calamitatibus.
Senemq́ Pyrrhopipem, tunc credam, impubere potiùm,
Et Bacchebacchum læto cantu, & Paána modulari.

Σχόλια. Μορσίμου.] Μόρσιμος, Φιλοκλέους τοῦ ποιητοῦ υἱός, τραγῳδίας ποιητὴς ψυχρός. ἔστι δὲ καὶ ἰατρός. ὡς δὲ μοχθηρῶν ὄντων αὐτοῦ τῶν ποιημάτων ἐν ἀρᾶς εἴδει τέθεικε μέρει. Ὦ περὶ πάντ' ἐπὶ πᾶσιν.] ὦ ἐπὶ πάσῃ προδοσίᾳ ἐξετάζόμενε καὶ κακίᾳ. μεταφορικῶς δὲ εἴληφε τὸ νόημα ἀπὸ τῶν μελισσῶν. ὃ γὰρ λέγει, τοιοῦτόν ἐστιν. ὥσπερ αἱ μέλισσαι φησὶ πᾶν ἄνθος δρέπονται, οὕτω καὶ σὺ τῶν τῆς πόλεως πραγμάτων οὐδὲν λανθάνει, ὥστε μὴ οὐκ ἀποδόσθαι αὐτὸ καὶ προδοῦναι. Εἴθε φαύλως.] εἴθε ἐκ τοῦ ῥᾷστου, καὶ οὕτως εὐχερῶς. ἐπεὶ μηδ' ἐλπίσας εἰς τοῦτο δόξης προελθεῖν. ὁ Κλέων ἔδοξεν εὐδοκιμεῖν ἐκ τῶν περὶ Πύλον κατορθωμάτων. Ὥσπερ εὗρες.] ὥσπερ ἐπέτυχες. ἐναργῆ δὲ τῇ λέξει τῷ εὗρες κέχρηται. τὸ μὲν γὰρ καμάτῳ καὶ πόνῳ περιγίνεσθαί τινος, τῆς τοῦ καμόντος γνώμης καὶ προαιρέσεως ἔλεγχον ἔχει. τὸ δὲ εὑρεῖν ἁπλῶς, τῆς παρατυχούσης τύχης, οὐ τῆς αὐτοῦ τοῦ εὑρόντος γνώμης τὸ ἔργον. ὡς οὐκ ἐκ προνοίας τοῦ Κλέωνος κατορθώσαντος ἃ διεπράξατο ἀλλ' ἁπλῶς εὑρόντος εὕρημα. Τὴν ἔνθεσιν.] τὴν τροφήν. τὴν ἐν Πρυτανείῳ δοθεῖσαν αὐτῷ ἔνθεσις γὰρ ὁ ἀκόλος ὁ ψωμός. Ἄσαιμι.] τότε γάρ φησιν ἐπᾴσαιμί σοι τὸ Σιμωνίδου μέλος πῖνε πῖνε ἐπὶ συμφοραῖς. ἐκ τῶν Σιμωνίδου δὲ τοῦτο τεθρίππων. τὸ δὲ συμφοραῖς, ἐπ' ἄθλοις. τῶν μέσων γὰρ ἡ συμφορά. Τὸν Ἰουλίου γέροντα.] ὡς παιδεραστὴς οὗτος ὁ πρεσβύτης διαβάλλεται. ἐν ἀρχαῖς δὲ τὴν ἡλικίαν αὐτοῦ προσέθηκεν. C διαβολὴν γὰρ ἐπὶ τοῖς νεωτέροις ἔχοντες τοῦ πράγματος, μείζονα τὴν αἰσχύνην ἐποίησεν ἐπ' αὐτῷ, ὥσπερ γέροντι ὄντι ἀσελγαίνειν καὶ τὰ τοιαῦτα ὑβρίζειν πρόσεστι. παιδοπίπην δὲ τὸν προσέχοντα τοῖς παισὶ καὶ περιεργαζόμενον καὶ ἀναπείθοντα τὰ μειράκια. τοῦτον δὲ ὁ Κρατῖνος πυρροπίπην λέγει, τουτέστι, τὸν φύλακα τοῦ σίτου, ὡς εἰς τὸ Πρυτανεῖον παρέχοντα ἄρτους.

BISET. Πυρροπίπην.] Σουΐδας. πυρροπίπης ὁ Κλέων. διεβάλλετο γὰρ ὡς παιδεραστής. ἢ διὰ τὸ ἐν Πρυτανείῳ σιτεῖσθαι. πυρὸς γὰρ ὁ σῖτος. Εὐστάθιος. πυρροπίπης, ὁ καὶ D πυροπίπης, παρὰ τὸ ὀπιπτεύειν, σίτου ἐποπτεύειν. ὅ ἐστιν ἐπιτηρεῖν τοὺς πυρούς, λέγεται. καθολικώτερον δ' ἐστὶ οὐ παιδοφίλης ὄνομα, ὡς καὶ παρθενοπίπης τὸ γυναικομανής.

Σχόλια. Βακχέβακχον ᾆσαι.] εὐφημῆσαι τὸν Διόνυσον καὶ ἀνυμνῆσαι. Βάκχον δὲ οὐ τὸν Διόνυσον ἐκάλουν μόνον, ἀλλὰ καὶ πάντας τοὺς τελοῦντας τὰ ὄργια Βάκχους ἐκάλουν. οὐ μὴν ἀλλὰ καὶ τοὺς κλάδους οὓς οἱ μύσται φέρουσι. μέμνηται δὲ Ξενοφάνης ἐν Σίλλοις, οὕτως. ἑστᾶσι δ' ἐλάται πυκινὸν περὶ δῶμα. ἔστι δὲ καὶ στεφάνης εἶδος, ὡς Νίκανδρος ἐν τῷ E περὶ τῶν Γλωσσῶν ἱστορεῖ. φησὶ γὰρ οὕτως. βάκχοισι κεφαλὰς περιανθέσιν ἐστέψαντο. τὸ δὲ παιῶνα δὴ γράφεται παιωνίσαι. ἢ ἠθέντ' ἐν παιῶν ᾆσαι. τοῦτο μέν τοι ὁ στίχος ἐκ δπαιῶν.

BISETVS. Διπλῆ, καὶ στίχοι λϛ' ὅμοιοι τοῖς ἄνω λβ' στίχοις.

Κλ. Οὔτοι μ' ὑπερβαλεῖσθ' ἀναιδείᾳ, μὰ τὸν Ποσειδῶ
Ἢ μήποτ' ἀγοραίου Διὸς σπλάγχνοισι παραγενοίμην.
Αλ. Ἔγωγε νὴ τοὺς κονδύλους, οὓς πολλὰ δὴ 'πὶ πολλοῖς
Ἠνεσχόμην ἐκ παιδίων, μαχαιρίδων τε πληγάς,
Ὑπερβαλεῖσθαί σ' οἴομαι τούτοισιν, ἢ μάτην γ' ἂν
Ἀπὸ μαγδαλιᾶς σιτούμενος τοσοῦτος ἐκτραφείην.
Κλ. Ἀπὸ μαγδαλιᾶς, ὥσπερ κύων, ὦ παμπόνηρε; πῶς ἄν

F *CL. Ita me Neptunus amet, nunquam impudentia potiores*
Eritis: aut ego nunquam extis interfim Iouis forensis.
AG. Per pugnos, quos sæpenumerò complures à puellis
Accepi, per plagas gladiolis illatas mihi frequenter:
G *Ego me superaturum te confido impudentia: aut iam*
Frustra videbor tam bene pastus magdalia sagina.
CL. Dape magdalia, tamquàm canis scelestè? quomodo ergo

Σχόλια. Οὔτοι μ' ὑπερβαλεῖσθ' ἀναιδείᾳ] διπλῆ καὶ στίχοι ὅμοιοι τοῖς ἄνω λβ. ὧν τελευταῖος φίλος ἂν ἡδέως

λάζοι τούς τε στρίφους παρέσει, ἐφ' ᾧ διπλῆ ἔξω γεγονυῖα. ὑπερβαλεῖσθαι δὲ νικήσειν. ἐκ μεταφορᾶς τῶν τρεχόντων. Η μήποτ' ἀγοραίου.] ἀγοραῖος Ζεὺς ἵδρυται ἐν τῇ ἀγορᾷ καὶ ἐν τῇ ἐκκλησίᾳ. Ἔγωγε νὴ τοὺς κονδύλους.] ὁ ἀλλαντοπώλης ἐστὶν ὁ λέγων. ἀποτείνεται δὲ πρὸς τὸν Κλέωνα καὶ φησὶν ὅτι οὐχ ὥσπερ ἐκεῖνος τὴν δόξαν ῥᾳδίως εὗρε, τὸν αὐτὸν καὶ αὐτὸς εὐδοκίμησε τρόπον. ἀλλὰ πολλὰ ποιήσας καὶ πολλοὺς κινδύνους ὑποστὰς καὶ κατορθώσεις τὰς πολεμικὰς πλείονας. αἰνιττόμενος τὰ περὶ Ἀκαρνᾶνα καὶ Αἰτωλίαν καθ' ὧν εὐδοκίμησε, στρατηγῆσαι φθάσας.

A ἄλλως. ἀποτείνεται πρὸς τὸν Κλέωνα ὁ ἀλλαντοπώλης. ὅτι ἐκεῖνος μὲν εὐκόλως ἐστρατήγησεν. αὐτὸς δὲ πολλὰ κακοπαθήσας καὶ τυπτηθεὶς ἐν τῷ μαγειρείῳ. Ἀπὸ μαγδαλιᾶς.] ἀπὸ εὐτελοῦς τροφῆς ὁρμώμενος. μαγδαλιὰ γὰρ τὰ τῶν ἀλφίτων ἀποβλήματα. ἄλλως. ἡ τῶν κυνῶν τροφή. ἥτις ἦν σταὶς καὶ λίπος. οὕτω καὶ ὁ ποιητὴς εἶπεν. αἰεὶ γάρ τε φέρει μειλίγματα θυμοῦ. μετὰ γὰρ τὸ δεῖπνον, τὸ σταὶς ἀπεψῶντο καὶ τὸ λίπος, καὶ τοῖς κυσὶν ἐπέρριπτον. ἄλλως. τὸ σταίς, ὃ ἀπομάττονται οἱ μάγειροι, ὅπερ ἐκάλουν χειρόμακτρον. ὃ μετὰ τὴν ἐργασίαν, ἐπερρίπτουν τοῖς κυσίν.

B

Κυνὸς βορὰν σιτούμενος, μάχει σὺ κυνοκεφάλῳ;	*Tu, qui canis esca victitas, canicipiti repugnas?*
Αλ. Καὶ νὴ Δί' ἄλλα γ' ἐστί μου κόβαλα παιδὸς ὄντος.	*AG. At per Iouem etiam in me puero versutia fuerunt.*
Ἐξηπάτων γὰρ τοὺς μαγείρους, ἐπιλέγων τοιαυτί.	*Coquos enim fefelli, sic dolosè ad eos locutus:*
C Σκέψασθε παῖδες, οὐχ ὁρᾶθ' ὥρα νέα, χελιδών.	*Spectate pueri: non videtis ver: noua adest hirundo:*
Οἱ δ' ἔβλεπον. κἀγὼ 'ν τοσούτῳ τῶν κρεῶν ἔκλεπτον.	*Illi videbant. interim ego carnes furtim auferebam.*
Χο. Ὦ δεξιώτατον κρέας, ὡς σοφῶς γε προὐνόησω.	*CH. O commodam carnem, vt lepidum dolum tu excogitasti:*
Ὥσπερ ἀκαλήφας ἐσθίων, πρὸ χελιδόνων ὑπέκλεπτες.	*Quasi qui vrticas comedens, ante hirundines carnem auferebas.*
D Αλλ. Καὶ ταῦτα δρῶν ἐλάνθανόν γ'. εἰ δ' οὖν ἴδοι τις αὐτῶν,	*AG. Et hac cùm admisissem, latebam: sin vidisset horum*
Ἀποκρυπτόμενος εἰς τὰ κοχώνα, τοὺς θεοὺς ἀπώμνυον.	*Aliquis: occultassem sub femore, Deósque peierassem.*
Ὥστ' εἶπ' ἀνὴρ τῶν ῥητόρων ἰδών με τοῦτο δρῶντα,	*Hoc cùm animaduertisset me quispiam fecisse Rhetor:*
Οὐκ ἔσθ', ὅπως ὁ παῖς ὅδ', οὐ τὸν δῆμον ἐπιτροπεύσει.	*Dicebat, non est, vt puer hic vrbem non administret.*

E

Σχόλια. Κυνοκεφάλῳ.] ἑαυτὸν ὁ Κλέων λέγει κυνοκέφαλον. δεινὸν καὶ ἀναίσχυντον. ὁποῖος ἦν ὁ παρ' Ἡσιόδῳ Γηρυονεύς. Χρυσάωρ δ' ἔτεκε τρικέφαλον Γηρυονῆα. ἄλλως. τῷ κυνὸς κεφαλὴν ἔχοντι. τουτέστιν, ἐμοὶ τῷ Κλέωνι. ἀφ' ἧς δὲ προείρηκε τροφῆς, κυνοκέφαλον αὐτὸν εἶπεν. ἐπεὶ ἰταμὸν καὶ ἀναιδὲς καὶ ἁρπακτικόν. ἐπεὶ καὶ τὸ ζῷον τοιοῦτον. ὃ δὲ λέγει, τοιοῦτόν ἐστι, πῶς οἷόν τε φησὶν εἰ κυνὸς τροφὴν ἐσθίων, τῷ ὁμογενεῖ καὶ ὁμοτρόπῳ μάχεσθαι διανοῇ. λέγει δὲ κυνὶ ἐπὶ πονηρῷ καὶ βιαίῳ. κόβαλα δέ, σοφίσματα πανουργεύματα. κλέμματα. καὶ κοβαλεία ἡ προσποίητος μετὰ ἀπάτης παιδιά. καὶ κόβαλος ὁ ταύτῃ χρώμενος. ἔοικε δὲ συνώνυμον τῷ βωμολόχῳ. Φιλόχορος β' Ἀτθίδος. οὐ γὰρ ὡς ἔνιοι λέγουσι βωμολόχον τινὰ καὶ κόβαλον νομιστέον τὸν Διόνυσον. Ἀριστοτέλης δὲ ἐν δευτέρῳ ζῴων ἱστορίας τὸν ὦτόν φησι κόβαλον καὶ μιμητὴν ὄντα, ἀντορχούμενον ἁλίσκεσθαι. Νέα χελιδών.] παροιμιῶδες. ὁλόκληρος δέ ἐστι παροιμία τὸ λεγόμενον. ἔστιν ἔαρος ἀρχή. δοκεῖ γάρ πως ἅμα τῷ ἔαρι φαίνεσθαι χελιδών. Οἱ δ' ἔβλεπον.] ἐαρινόν. ὑπὸ τῆς ἀπειρίας ἐξαγόμενα τὰ παιδία, τῇ θέᾳ τὸν νοῦν προσεῖχον, ὥστε χελιδόνα θεάσασθαι. κἀκείνων περὶ τοῦτο ἱστορουμένων. ῥᾷστον αὐτὸς εἶχε τὸ κλέπτειν. Ὦ δεξιώτατον κρέας.] ὦ κάλλιστον καὶ σοφώτατον κρέας διὰ τὸ καλῶς κεκλοφέναι. καὶ ὥσπερ ὁ δεξιὸς χειρὶ ὑφῃρῆσθαι. ἀντὶ ὦ σοφώτατε ἄνθρωπε. Ὥσπερ ἀκαλήφας.] βοτάνης εἶδος, αἳ παρὰ τοῖς πολλοῖς κνίδαι καλοῦνται. ἐμνημόνευσε δὲ τῶν ἀκαλήφων, διὰ τὴν δριμύτητα τοῦ ἀλλαντοπώλου καὶ τὴν ἀγχίνοιαν. ὅτι κλοπῆς ἐξεῦρε τρόπον. δριμεῖα γὰρ ἡ βοτάνη, καὶ τοὺς θίγοντας κνᾶσθαι ποιεῖ. εἶπε δὲ πρὸ χελιδόνων, ἐπεὶ μετὰ τὴν χελιδόνα ἄβρωτοι αἱ κνίδαι. ἄλλως. ἀκαλήφη εἶδος μύας. ὡς Ἀριστοτέλης. ἐν τῷ χειμῶνι δὲ ἐδώδιμοι εἰσίν, ἐν δὲ τῷ θέρει ἀπόλλυνται. ἄλλως. λάχανόν ἐστιν ἄγριον. καλεῖται δὲ καὶ θαλασσία ἀκαλήφη, ἣ προσπελασθεῖσα τῷ χρωτί, κνισμὸν ποιεῖ. ἐοίκασι δὲ τῇ ὥρᾳ τῇ πρὸ τοῦ ἔαρος χρῆσθαι. ἄλλως. ἀκαλήφη. κνίδη. καὶ ἡ χερσαία καὶ ἡ θαλασσία. ἥτις ἐστὶ κογχυλιῶδές τι. Φερεκράτης Αὐτομόλοις. νὴ τὴν Δήμητρ' ἀνιαρὸν ἦν τὸ κακῶς ἄδειπνος ἀκούειν. βουλοίμην γὰρ κἂν ἀκαλήφαις τὸν ἐμὸν χρόνον ἐστεφανῶσθαι. τὰς δὲ θαλασσίας καὶ Ἀριστοτέλης ἀκαλήφας ἐν τῷ πρώτῳ περὶ ζῴων, καὶ Θεόφραστος ἐν ἑβδόμῳ φυτικῶν. Εἰς τὰ κοχώνα.] κοχώνη τὸ ὑπὸ τὸ αἰδοῖον καὶ τῶν μηρῶν καὶ τῆς κοτύλης καὶ τῶν ἰσχίων. μέμνηται δὲ τῆς κοχώνης, καὶ ἐν σκηναῖς καταβαινούσαις. ἀλλὰ συναπτέον δὲ τὰς κοχώνας. αἱ αὐταὶ δὲ καὶ πύγαια καὶ προχῶναι παρ' Ἀρχίππῳ καλοῦνται. οὐδετέρως δὲ εἴρηται κοχώνα. Ἐπιτροπεύσει.] προστήσει. προστατήσει. ἐκ ὀργῆς δὲ ἐπὶ ἔνδοξον πρόσωπον τὴν τοιαύτην ἀνάγαγε κρίσιν. οὐ γὰρ ἰδίως φησί τινα εἰρηκέναι. ἀλλὰ ῥήτορα, καὶ προειδεῖν καὶ συνιέναι πλέον τῶν ἄλλων δυνάμενον. διὰ δὲ τούτου λεληθότως φησὶν ὅτι καὶ οἱ στρατηγοὶ ἐπίορκοι.

F

G

Χο. Εὖ-

Χο. Εὖγε ξυνέβαλεν αὔτ᾽, ἀτὰρ δῆλόν γ᾽, ἀφ᾽ οὗ ξυνίγνω.
Ὅτῃ ᾽πιώρκεις θ᾽ ἡρπακὼς, καὶ κρέας ὁ πρωκτὸς εἶχεν.
Κλ. Ἐγώ σε παύσω τοῦ θράσους. οἶμαι δὲ μᾶλλον ἄμφω.
Ἔξειμι γάρ σοι λαμπρὸς ἤδη, καὶ μέγας καθιεὶς,
B Ὁμοῦ ταράττων τήν τε γῆν, καὶ τὴν θάλατταν εἰκῇ.
Αλ. Ἐγὼ δὲ συστείλας γε τοὺς ἀλλᾶντας, εἶτ᾽ ἀφήσω
Κατὰ κῦμ᾽ ἐμαυτὸν οὔριον, κλάειν σε μακρὰ κελεύων.
Δημ. Κἄγωγ᾽, ἐάν τι παραχαλᾷ, τὴν ἀντλίαν φυλάξω.
C Κλ. Οὔτοι, μὰ τὴν Δήμητρα, καταπροΐξει, τάλαντα πολλὰ
Κλέψας Ἀθηναίων. Χο. ἄθρει, καὶ τοῦ ποδὸς παρίει.
Ὡς οὗτος ἤδη καικίας, καὶ συκοφαντίας πνεῖ.
Κλ. Σὲ δ᾽ ἐκ Ποτιδαίας ἔχοντ᾽ εὖ οἶδα δέκα τάλαντα.
D Αλ. Τί δῆτα; βούλει τῶν ταλάντων ἓν λαβὼν σιωπᾶν;
Χο. Ἀνὴρ ἂν ἡδέως λάβοι, τοὺς δὲ θείους παρίει.

CH. Euge, ut probè hoc coniectauit? nam manifestum unde nôrit:
Cùm peierasses tu, & carnem ablatam calares anus.
CL. Ego hanc audaciam compescam, & vos, ni fallor, ambos.
Nam ex eo tibi huc iam lucidus, rapidaq́ immissus aura,
Terram simul & mare conturbo, quoquò impellor furenter.
AG. Ego verò contraham farcimina, & in fluctus meipsum
Vento secundo demittam: & te longum flere iubebo.
DE. Et ego sentinam asseruabo, si qua funes remittent.
CL. Non tu, sic me Ceres amet, frustrà me irriseris, qui
Talenta multa furatus es Reip. CH. vide & relaxa
Pedem: nam malitias hic spirat, sycophantiásque.
CL. Ego te decem talenta è Potidaea iam habere noui.
AG. Quid? vis tu unum accipere talentum à me, & posteà tacere?
CH. Homo iste lubens acceperit: elaxa iam rudentes.

Σχόλια. Εὖγε ξυνέβαλεν.] ἀπ᾽ αὐτῶν τῶν πραττομένων φανερόν ἐστι τὸ ἀποβησόμενον. Ὅτῃ ᾽πιώρκεις.] πάλιν κατὰ τῶν πολιτευομένων καθάπτεται, ὡς ἐξ ἐπιορκίας καὶ κλοπῆς συνεστηκότων καὶ τοιούτων ἐθῶν. διὰ τοῦτο καὶ τὸν ἀλλαντοπώλην διαπρέπειν ἐν τῇ πολιτείᾳ ὁ ῥήτωρ ἔφησεν. Ὁ πρωκτὸς εἶχεν.] ἤτοι τὴν μοχθηρίαν αὐτοῦ καὶ ῥυπαρίαν, καὶ τούτῳ δείκνυσι τὸν τρόπον, καὶ ὅτι κατέκρυπτε κλέπτων ἐν τῷ πρωκτῷ κρέα, καὶ ταῦτα πάλιν αὐτὸς ἤσθιεν. ἢ διαβάλλειν εἰς ἀσέλγειαν αὐτὸν θέλει, ὡς διὰ παρ᾽ ἡλικίαν τὰ τῶν γυναικῶν παθόντα. Καθιείς.] παρεσκευασμένος. καθιέναι δὲ κυρίως τὸ χαλᾶν τὰ τῶν νεῶν ἱστία. ταῦτα δὲ προσφόρως εἴρηκεν ὁ Κλέων. ἦν γὰρ σφοδρὸς ἐν τοῖς λόγοις. καθιεὶς οὖν, ἀντὶ τοῦ καθειμένος πνέων. ἡ δὲ μεταφορὰ ἀπὸ τῶν ἀνέμων. Καὶ τὴν θάλατταν εἰκῇ.] πάλιν ἐπί σοι μηχανησάμενος καὶ πάντα κινήσας ἐπιβουλῆς τρόπον. δι᾽ ὧν δὴ ἀπειλεῖ αὐτῷ δεινὰ καὶ μείζονα, δι᾽ αὐτῶν δηλοῖ τὴν σπουδὴν τῆς ἐπιβουλῆς τῆς κατ᾽ αὐτοῦ. εἰκῇ δὲ ἀντὶ τοῦ ἁπλῶς καὶ ὡς ἔτυχε μάτην. τουτέστιν ἐπ᾽ οὐδενὶ ἀναγκαίῳ καὶ σπουδαίῳ πράγματι, φανερὰν καὶ ἐν τούτῳ ποιῶν τὴν ἑαυτοῦ ἐξουσίαν, ἣν κατὰ τῆς πόλεως εὐτυχεῖ, εἰ ἐπ᾽ αὐτῷ καθέστηκε τὸν δῆμον κινεῖν καὶ παροξύνειν καθ᾽ ὧν βούλεται, καὶ ταῦτα ἐπ᾽ οὐδεμιᾷ προφάσει ἢ λόγῳ. Ἐγὼ συστείλας.] καὶ τοῦτο περι[illegible]. ὃ γὰρ εἶπε καὶ ποιεῖ. τουτέστιν ὃ κατετίθετο τῶν ἀλλάντων φθάσας ἐπιών, τοῦτο πάλιν ἀναιρούμενος τῆς θυμέλης ἐξάγει. Κατὰ κῦμ᾽ ἐμαυτόν.] ἀπὸ τῶν ἀφιέντων ἑαυτοὺς κατὰ κῦμα φέρεσθαι. Κλάειν σε μακρὰ κελεύων.] τὸ μὲν εἶδος ἀρχαῖον Ἀττικὸν τῆς συνηθείας, ὡς μακρὰ χαίρειν σοι λέγω καὶ οἰμώζειν μακρά. τὸ δὲ λεγόμενον, πρόδηλον. φησὶ γάρ. ἐπειδὰν σου φροντίσας τῶν ἀπειλῶν ἀπολύσωμαι, καταλείψω σε ἐνταῦθα κλάειν. ἵνα δόξῃ καὶ φιλονεικεῖν καὶ διαλοιδορεῖσθαι πρὸς αὐτόν. πείθουσι γὰρ οἱ βελτίονες καὶ τῶν λοιδοριῶν ὑπερφρονεῖν τῶν ἡττόνων. Κἄγωγ᾽ ἄν τι παραχαλᾷ.] ἑξῆς καὶ τοῦτο τῆς ἀντλίας μνημονεύουσιν, ἵνα καὶ αὐτὸς ἴδιον ἀπὸ τῆς θαλάσσης δοκῇ ἀσφαλίζεσθαι. ὥσπερ καὶ ὁ ἀλλαντοπώλης. ἀντλία δὲ λέγεται, τόπος τις τοῦ πλοίου
E εἰς ὃν τὸ ὕδωρ συρρεύεται εἰς τὴν ναῦν καὶ ἀλλαχοῦ. οὐ γὰρ ἔθ᾽ οἷός τ᾽ εἰμ᾽ ὑπερέχειν τῆς ἀντλίας. ἀντὶ τοῦ ἀντέχειν καὶ ὑπεργίνεσθαι τοῦ πράγματος. λέγει δὲ ὅτι φυλάξω, ἐάν τις τῆς ἀντλίας εἰσδέχηται. ἰστέον δὲ ὅτι ἱστάμενον καὶ χρονίζον τὸ ὕδωρ, κάκιστον ὄζει. τί ποτε οὖν βούλεται τῷ ποιητῇ ζητητέον, τὸ ἀπειλῶν τούτῳ παραφυλάξειν τὴν ἀντλίαν. πλὴν εἰ μὴ τοὺς προειπόντας ὡς καὶ αὐτοὺς ψυχρολογοῦντας σκώπτειν θέλει. διὰ τοῦτο ἀδύνατα εἴρηκεν. οὔτε γὰρ ἦν τῷ Κλέωνι δυνατὸν ἀνθρώπῳ
F γε ὄντι, κινῆσαι τὴν γῆν καὶ τὴν θάλατταν. οὔτε τῷ ἀλλαντοπώλῃ ῥίψαι καὶ διασκευάσαι κατὰ κυμάτων ἑαυτόν. καὶ τοῦτο ἀνόητον καὶ [illegible], ὁ ἐπὶ τῇ ἀντλίᾳ τῆς φρουρᾶς πόνος. ἄλλως. περὶ τοῦ ῥηθέντος παρὰ τοῦ Κλέωνος λόγου, ὅτι συνταράξει τὴν θάλασσαν, καὶ [illegible] ἀπολύτησιν εἰπών. Καταπροΐξει.] οὐ προῖκά μου καταφρονήσεις, τουτέστι δωρεάν μοι ἐγχανῇ. καταγελάσεις μου χωρὶς ζημίας. προῖκα γὰρ ἔλεγον τὴν ζημίαν. καὶ ἀλλαχοῦ. οὔτοι μὰ τὼ θεὼ σὺ καταπροΐξει λέγουσα ταυτί. ἡ πρὸ δὲ ἀντὶ τοῦ παρά. προσῆν τίθεται. τινὲς δὲ ἀπὸ τοῦ ἴξεσθαι ὅ ἐστι δωρεάν τινα λαβεῖν. Ἡρόδοτος. οὐ γὰρ
G δὴ ἐμέ γε ὧδε λωβησάμενος καταπροΐξεται. Ἀρχίλοχος. οὐ δὴ ἐκεῖνος οὐ καταπροΐξεται. Ἡρωδιανὸς δὲ ἐν ἐπιμερισμοῖς παρὰ τὸ ἴσω φησί. καὶ Ἀρχίλοχος. προτείνω χεῖρα καὶ προΐσσομαι. Καὶ τοῦ ποδὸς παρίει.] μεταφορικῶς ἀπὸ τῶν πλεόντων ἐχρήσατο, ἐπειδὰν γὰρ πλείων ἄνεμος ἐμπέσῃ τοῖς πλέουσι συστέλλουσι, καὶ παραιροῦσι τῶν ἱστίων τὰ πολλά. ἢ τὸ μὲν ἂν μέρος τοῦ ἱστίου

τὸ δὲ ἕτερον, ἐὰν συστέλλεται ὅτι, ἂν μὴ χρεία ᾖ καὶ ὁ καιρὸς ἐπιτάττῃ. πόδας δὲ καλοῦσιν οἱ ναῦται, τοὺς παρ' ἑκάτερα τὰ μέρη κάλως ἐκδεδεμένους τῆς ὀθόνης. φησὶν οὖν ἀσφαλέστερον λοιπὸν διαλέγου καὶ πρᾶττε. τουτέστι μὴ πολλῇ χρῶ ἀθυρογλωττίᾳ. ἀλλὰ πεφεισμένως διαλέγου τῷ Κλέωνι. παροξύνεται γὰρ σφόδρα. Κακίας καὶ συκοφαντίας.] ἐπεὶ ψευδῆ κατηγορεῖν ἐτόλμησεν ὁ Κλέων αὐτοῦ, φήσας αὐτὸν ὑφῃρῆσθαι τῆς πόλεως τάλαντα πολλά. καὶ οὐκ ἄν ποτε συγχωρήσειν προῖκα τῷ αὐτοῦ, διὰ τοῦτο ἰδίως φησὶν αὐτὸν καὶ συκοφαντίας πνεῖν. ὁ χρὴ στοχάζεσθαι τὸν ἀλλαντοπώλην. ἑξῆς δὲ, ἀπὸ τῶν ἀνέμων τῷ πνεῖν καὶ συκοφαντίας κέχρηται. ἄλλως. ὄνομα ἀνέμου ὁ Καικίας, ὃν δὲ αὐτὸν καὶ Νότον καλοῦσί τινες ἀκολούθως δὲ εἶπε διὰ τὸ προειρηκέναι τοῦ ποδός. ἅμα δὲ πρὸς τὴν συκοφαντίαν καὶ κακίαν αὐτοῦ, τὰ ὀνόματα πέπαιχεν. ἔστι δὲ ὅτε πνεῖ, τὰ νέφη εἰς ἑαυτὸν ἕλκει. ὡς τὸ κακὰ ἐφ' ἑαυτὸν ἕλκων ὡς ὁ καικίας νέφος. Ποτιδαίας.] ἔπαιξε τῷ ὀνόματι. ἵνα ἀκολούθως ἀπὸ τῆς θαλάττης καὶ τῶν ἀνέμων, ἀποκεῖσθαι καὶ αὐτὸς δοκῇ. ἡ δὲ Ποτίδαια, πόλις ἐπὶ πρὸς τῷ ἰσθμῷ τῆς Παλλήνης κατῳκισμένη. Κορινθίων μὲν ἄποικος. Ἀθηναίων δὲ σύμμαχος, καὶ φόρους ἐτέλει. ἣν ἀποστᾶσαν πολιορκήσαντες οἱ Ἀθηναῖοι πολιορκίᾳ μακρᾷ ὡς καὶ ἐφ' ὧν αὐτῶν γενέσθαι καταναγκάσαι, παρέλαβον, καὶ ἐξανδραποδίσαντες τὴν πόλιν. ἀπὸ ταύτης φησὶ τῆς πόλεως κεκλοφέναι δέκα τάλαντα τὸν Κλέωνα. καὶ τοῦτο φιλονεικῶν αὐτὸν ἀμείβεσθαι τοῖς ἴσοις, ἐπεὶ πρότερος ἐκεῖνος ἔφησεν αὐτὸν ὑφῃρῆσθαι τῆς πόλεως τάλαντα πολλά. Δέκα τάλαντα.] χρησίμως μετὰ τὸν τόπον καὶ τὸν ἀριθμὸν εἶπεν. ἵνα ὁ λόγος αὐτῷ πίστεως ἔχεσθαι δοκῇ, καὶ μὴ μάτην, ἀλλ' ὡς περὶ τῆς τοῦ Κλέωνος διαβολῆς λελέχθαι χαίρειν. πίστεως γὰρ παράδειγμα, τὸν κατηγοροῦντα μὴ ψιλοῖς χρῆσθαι ῥήμασιν, ἀλλὰ καὶ ἀριθμὸν προβάλλεσθαι καὶ τόπον. Βούλει τῶν ταλάντων.] δεῖ νοῆσαι τὸν Κλέωνα ἐπὶ τῇ ἐλπίδι καὶ τῇ ἐπαγγελίᾳ τοῦ ταλάντου πεισθέντα ἐνδοῦναι. πρὸς ὅ φησιν ὁ ἕτερος, τὸ πνεῦμα ἔλαττον γίνεται. Θείους.] οἱ ἔσχατοι κάλοι οὓς ἐκφόρους καλοῦσιν οἱ ναῦται. οὓς ὅταν ἐνδιδῷ τὸ πνεῦμα, πρώτους ἐκ πρώρας χαλῶσι. καὶ ἐπεὶ ὧν ἀκολούθως τοῦτο εἶπε. διὰ τὸ προειπεῖν τοὺς πόδας παρεῖναι. φησὶν οὖν ὁ Κλέων πάντων ἂν ὑφεῖναι οἱ ἕνεκεν λήμματος.

Bisetus. Ἔκθεσις τῆς διπλῆς ἐκ κώλων ις'.

Αλ. Τὸ πνεῦμ' ἔλαττον γίνεται.
Κλ. Φεύξει γραφὰς ἑκατονταλάντους τέτταρας.
Αλ. Σὺ δὲ ἀστρατείας γ' εἴκοσι,
Κλοπῆς δὲ πλεῖν ἢ χιλίας.
Κλ. Ἐκ τῶν ἀλιτηρίων σε φημὶ γεγονέναι τῶν τῆς θεοῦ.
Αλ. Τὸν πάππον εἶναί φημί σου
Τῶν δορυφόρων. Κλ. ποίων; φράσον.
Αλ. Τῶν Βυρσίνης τῆς Ἱππίου.
Κλ. Κόβαλος εἶ. Αλ. πανοῦργος εἶ.
Χο. Παῖ' ἀνδρικῶς. Κλ. ἰοὺ ἰού.
Τύπτουσί μ' οἱ ξυνωμόται.
Χο. Παῖ' αὐτὸν ἀνδρικώτατα,
Γάστριζε καὶ τοῖς ἐντέροις,
Καὶ τοῖς κόλοις,
Χὤπως κολᾷ τὸν ἄνδρα.

AG. *Ventus remittit plusculum,*
CL. *Talentûm quadringentûm postulaberis.*
AG. *Tribus decem, ut qui proditi*
Exercitus reus, insuper
Plus mille, quod furti es reus.
CL. *De sacrilegis mihi unus es,*
Qui saecem profanârunt Deae.
AG. *Unus satellitum fuit*
Auus tuus. *CL.* *quorum? cedo.*
AG. *Ex Byrsina, grata Hippiae.*
CL. *Impostor es.* *AG.* *versutus es.*
CH. *Audacter verbera.* *CL.* *hei mihi*
Coniurati me verberant.
CH. *Feri, feri validissime,*
Contunde ventrem cum ilijs,
Et cum cibis,
Et comprimas virum istum.

Σχόλια. Τὸ πνεῦμ' ἔλαττον γίνεται.] ἔκθεσις τῆς διπλῆς ἐκ κώλων ἰαμβικῶν διαφόρων ἀκαταλήκτων, πλὴν τοῦ δευτέρου τριμέτρου, καὶ τοῦ παρατελεύτου μονομέτρου, καὶ τοῦ τελευταίου ἑφθημιμεροῦς ὄντος. ἑξῆς δὲ τούτων τετράμετροι τέσσαρες καταληκτικοί, ἐν ἐπῳδοῦ τάξει κείμενοι. μεθ' οὓς τέσσαρες τρεῖς ἀκατάληκτοι. ἐπὶ τῷ τέλει τῆς μὲν ἐκθέσεως δύο διπλαῖ. ἡ μὲν ἐν ἀρχῇ τοῦ κώλου, ἡ δὲ κατὰ τὸ τέλος. τοῦ δὲ συστήματος κορωνίς. ἄλλως. Τὸ πνεῦμα ἔλαττον γίνεται. ἐπέμεινε τῇ τροπῇ τῶν ὀνομάτων. ὁ δὲ λέγει, τοιοῦτόν ἐστιν. ὅτι ἐπιεικέστερος ἔσται καὶ πρᾳότερος. λοιπὸν γὰρ ἐπεὶ φθάσας εἶπεν κακίας καὶ συκοφαντίας αὐτὸν πνεῖν, διὰ τοῦτο πάλιν οἰκείως ἔλαττον ἔφησεν αὐτῷ γίνεσθαι τὸ πνεῦμα. Φεύξει γραφάς.] διώξει καὶ φεύξει ἔλεγον, ὅτι τῶν κατηγορούντων καὶ τῶν ἀπολογουμένων. ἐδίωκον μὲν γὰρ οἱ κατήγοροι. ἔφευγον δὲ οἱ κατηγορούμενοι. φησὶν οὖν ὅτι κατηγορηθήσῃ δίκας δέκα. Ἐκ τῶν ἀλιτηρίων.] τῶν μετεχόντων τοῦ Κυλωνείου ἄγους. ὅπερ εἰς τὴν Ἀθηνᾶν δοκεῖ γενέσθαι ἀσέβημα. ἐπειδήπερ οἱ συγκατακλεισθέντες τῷ Κύλωνι ἐν τῇ Ἀκροπόλει, εἰς τὴν κρίσιν κατέβησαν ἐν Ἀρείῳ πάγῳ, ἐκ τοῦ ἕδους τῆς θεοῦ ἐξάψαντες τὴν ἱκετηρίαν. ἧς διαρρυείσης, λίθοις αὐτοὺς ἔβαλλον οἱ Ἀθηναῖοι. ἀλιτηρίων δὲ, ἀντὶ τοῦ ἐναγῶν. Ἀλιτηρίων.] τῶν ἁμαρτησάντων εἰς Ἀθηνᾶν. Κύλων γὰρ Ἀθηναῖος ἀνήρ, Μεγαρεῖ δὲ γυναῖκα γήμας Θεαγένους γυναῖκα, θέλων τυραννεῖν, ἔλαβε χρησμὸν τῇ μεγάλῃ ἑορτῇ τοῦ Διὸς ἐπιθέσθαι τῇ πόλει. ἐν Ὀλυμπίᾳ δὲ ἐπιθέμενος, νομίζων ταύτην εἶναι μεγάλην ἑορτήν, δύναμιν λαβὼν παρὰ Θεαγένους, μὴ γνοὺς ὅτι τὰ Διάσια ἦν ἡ μεγάλη ἑορτή, ἐπελθὼν τῇ Ἀκροπόλει ἁλίσκεται. ἐλήφθη δὲ συλῶν τὸ ἱερὸν τῆς Ἀθηνᾶς. καὶ αὐτὸς μὲν ὁ Κύλων φεύγει. τοὺς δὲ ἄλλους φονεύουσι. τινὰς δὲ καὶ ἱκέτας ἐκ τῶν βωμῶν ἀποσπάσαντες ἀπέκτειναν. τοὺς οὖν ἁμαρτανόντας εἰς τοὺς ἱκέτας, ἀλιτηρίους ἔφασκον. οὓς καὶ ἐξέβαλον τῆς πόλεως ὅτι ἐκ τῶν ἀρχαίων νόμων παρέβησαν τοὺς ἱκέτας φονεύσαντες. ἄλλως. Κύλων τὴν ἀκρόπολιν κατέλαβεν ἐπὶ τυραννίδι. καὶ ἐλήφθη ποτὲ συλῶν τὸ ἱερὸν τῆς Ἀθηνᾶς. καὶ ὑπὸ Ἀθηναίων ἐκλείσθη. καὶ οὕτως ἐκεῖνος εὑρὼν καιρὸν φυγῇ ἐχρήσατο. καὶ οἱ φίλοι, ἔφυγον εἰς τοὺς βωμοὺς τῶν θεῶν, οὓς οὗτοι ἀποσπάσαντες ἀπέκτειναν, ὅθεν ἀλιτήριοι ἐκλήθησαν. ἐκλήθησαν δὲ ἐντεῦθεν οἱ ἀλιτήριοι. λιμὸς κατέλαβε ποτὲ τοὺς Ἀθη-

Ἀθηναίους. καὶ οἱ πένητες τὰ τῶν ἀλφιτοπωλῶν ἄλευρα διήρπαζον. ἀπὸ γοῦν ἐκείνων καταχρηστικῶς τοὺς πονηροὺς ἀλιτηρίους ἐκάλουν. παρέτεινε δὲ τὸ ὄνομα καὶ ἐπὶ τῶν μετ' ἐκείνους τὶ ποιούντων. ἀπὸ τῆς σιτοδείας τῆς κατὰ τὸν αἰτωλικὸν πόλεμον γινομένης. ἔστι δὲ τὰ παραγώγως ἀπὸ τοῦ ἀλιταίνειν, ὅ ἐστιν ἁμαρτάνειν. λαμβάνεται δὲ τὸ ἀλιτηρίων καὶ ἀντὶ τῶν ἀστοχησάντων καὶ ἀποτυχόντων. Τῆς Βυρσίνης.] ἔπαιξε παρὰ τὸ βυρσοδέψην εἶναι τὸν Κλέωνα. καὶ παρὰ τὸ τυράννου ὄνομα τοῦ Ἱππίου. εἴπερ τῷ ὀνόματι τοῦ Ἱππίου ἐνεργέστερον ἐχρήσατο. δῆλον μὲν γὰρ τὰ ἐκ τῶν προειρημένων οὐχ ἥκιστα δὲ καὶ ἀπὸ τούτων, ὅτι μὴ αὐτὸς ὁ Ἱππίας κατέστησε τὴν τυραννίδα, ἀλλὰ παρὰ τοῦ πατρὸς ἅμα τοῖς ἀδελφοῖς παρέλαβε τοῦ Πεισιστράτου. οὐ πάντως ἂν ἐμνημόνευσεν, εἰ μὴ χρησιμώτερον τὸ ὄνομα τοῦ Ἱππίου πρὸς τὸ συνάψαι τῇ Βυρσίνῃ κατεφαίνετο. καὶ ἄδηλον ἐστι διαβάλλοντος τοῦ Κλέωνος αὐτὸν ὡς τῶν ἀλιτηρίων γεγονέναι, τῶν ἐπιβουλευσάντων

A τῇ πόλει καὶ τοῖς τυράννοις συμπαραταξαμένων. ἄλλως. Πεισιστράτου γυνὴ γέγονεν ἡ Μυῤῥίνη, Ἱππίου καὶ Ἱππάρχου μήτηρ. Βυρσίνην οὖν εἶπεν, ἀντὶ τοῦ Μυῤῥίνην. ὡς βυρσοπώλην πάλιν κωμῳδεῖ τὸν Κλέωνα. ταύτην ὁ Πεισίστρατος ὁπότε κατήγαγεν εἰς Ἀθήνας, ἔφασκεν Ἀθηνᾶν εἶναι βουλόμενος τυραννεῖν. Κόβαλος εἶ.] προσειρήκασιν ὅτι τοὺς μετὰ ξύλου λῃστάς, οὕτως ἐκάλουν οἱ παλαιοί. Ἰού.] τοῦτο παρεπιγραφή. τυπτόμενος γὰρ ὑποκρίνεται. Ξυνωμόται.] οἱ ἀνταράται. οἱ προδόται. οἱ τὰ αὐτὰ κατ' ἐμοῦ συνθέμενοι φρονεῖν. Παῖ αὐ-

B τόν.] ἰστέον ὅτι ὁ χορὸς ταῦτα τῷ ἀλλαντοπώλῃ παρακελεύεται. ἀστείως δὲ διὰ τὴν ἐκείνου τέχνην εἴς τε τὰ ἔντερα καὶ τὸ κόλον αὐτὸν τύπτειν κελεύει. μάλιστα γὰρ ἡ τῶν ἀλλαντοπωλῶν ἐκ τούτων συνέστηκε τέχνη. Κολᾷ τὸν ἄνδρα.] κολούσεις καὶ παύσεις καὶ ταπεινώσεις. ἀπὸ δὲ τοῦ κόλου καὶ ἐντέρων, τὴν λέξιν ἐποίησεν. ἴσως δὲ καὶ αὐτὸν τύπτουσιν.

BISETVS. Σύστημα C στίχων δ.

Χο. Ὦ γεννικώτατον κρέας, ψυχήν τε ἄριστε πάντων,
Καὶ τῇ πόλει σωτὴρ φανείς, ἡμῖν τε τοῖς πολίταις,
Ὡς εὖ τὸν ἄνδρα ποικίλως θ' ὑπῆλθες ἐν λόγοισιν,
Πῶς ἄν σ' ἐπαινέσαιμεν οὕτως, ὥσπερ ἡδόμεσθα.

CH. O Generosissimum corpus, animóque praepotenti
Vir optime, seruator tum ciuium, tum ciuitatis.
Quàm captiosis verbis huius viri animum subijsti?
D Quomodo te praedicemus ita, vt volumus animo lubenti?

Σχόλια. Ὦ γεννικώτατον.] ἰσχυρότατον. παίζων πρὸς αὐτὸν λέγει. ἐκ μεταφορᾶς τῶν ἰσχυρῶν κρεῶν ἃ ὁ ματτυολογεῖ(?) ψυχεῖ. Ὡς εὖ.] ἐπιτηδείως αὐτὸν καὶ ὑπούλως διὰ τῶν λόγων ἐνίκησας τῶν σῶν.

BISETVS. Σύστημα στίχων λζ.

ΚΛ. Ταυτὶ μὰ τὴν Δήμητρά μ' οὐκ ἐλάνθανε
Τεκταινόμενα τὰ πράγματ', ἀλλ' ἠπιστάμην
Γομφούμενα γε τὰ πάντα καὶ κολλώμενα.
Χο. Οἴμοι, σὺ δ' οὐδὲν ἐξ ἁμαξουργοῦ λέγεις.
Αλλ. Οὔκουν μ' ἐν Ἄργει οἷα πράττεις λανθάνεις.
Πρόφασιν μὲν Ἀργείους φίλους ἡμῖν ποιεῖ.
Ἰδίᾳ δ' ἐκεῖ Λακεδαιμονίοις ξυγγίνεται,

E CL. Hoc ita geri negocium, me nentiquam
Latebat: sed sciebam haec iampridem omnia
Compacta clauis, & conglutinata iam.
CH. Eheu, nihil tu loqueris è plaustrario.
AG. Atqui haud latet me, quid in Argolide feceris:
Equidem Argiuos amicos praetendis: at ibi
F Priuatim cum Lacedaemoniis conuentum agis.

Σχόλια. Ἀλλ' ἐπιστάμην.] ὑψηλὸς ὢν καὶ μεγαλόφωνος ὁ Κλέων, πολυτρόποις λόγοις κέχρηται. Γομφούμενα.] σφηνούμενα. γόμφοι γάρ, οἱ σφῆνες οἱ συνείροντες τὰς σανίδας καὶ συναρμονιάζοντες καὶ συνέχοντες.

BISET. Γομφούμενα.] Γόμφος, ὁ ἧλος ᾧ αἱ σανίδες συνείρονται μεταφορικῶς δὲ τὸ στερεόν, καὶ τὸ ἀμετάβολον, ὅθεν καὶ τὸ γομφοῦν, τὸ στεροῦν, καὶ κυροῦν. Αἰσχύλος ἐν Ἱκέτισι,

Ψῆφος κέκρανται μή ποτ' ἐκδοῦναι βίᾳ
Στόλον γυναικῶν τῶν δ' ἐφήλωται τορῶς
Γόμφος διαμπὰξ ὡς μένειν ἀραρότως.

Σχόλια. Ἐξ ἁμαξουργοῦ.] ἁμαξουργοὺς Ἀττικοὶ τοὺς ἀρχιτέκτονας. εἴδους δὲ ἀρχιτεκτονικοί, τεκτόνων. οἱ τὰς ἁμάξας τεκταίνουσι καὶ πάντων τῶν ἀγρίων ξύλων εἰσὶν ἐργάται. ἐπεὶ δὲ ὁ Κλέων τεκτονικοῖς ὀνόμασι πᾶσιν ἐχρήσατο, τεκταινόμενα εἰπὼν καὶ γομφούμενα, ὁ δὲ ἀλλαντοπώλης καὶ ἀπὸ τεκτονικῆς ἀπαντᾷ, ὁ χορὸς ὥσπερ δέδοικα μὴ ἧττον ἀπενέγκηται τοῦ Κλέωνος, καὶ ἀγανακτεῖ καὶ δυσφορεῖ, ὅτι οὐδὲν ἀντέθηκε τοιοῦτον ῥῆμα.

BISETVS. Ἁμαξουργοῦ.] Εὐστάθιος, ἅμαξα, παρὰ τὸ ἄγειν τὰ ἀμώμενα, ἤγουν θεριζόμενα, ἢ καὶ ψιλοῦται. ἢ παρὰ τὸ ἅμα, καὶ τὸ ἄξων, καὶ οὕτω δασύνεται Ἀττικῶς. Ἰωνικῶς δὲ ψιλοῦται.

Σχόλια. Οὔκουν μ' ἐν Ἄργει.] παρὰ τὸν πόλεμον τὸν
G Πελοποννησιακόν. καί τοι πρότερον ἐχθροὶ ὄντες τοῖς Ἀργείοις οἱ Ἀθηναῖοι διὰ τὴν πρὸς Λακεδαιμονίους ἀπέχθειαν, ἔδοξαν αὐτοῖς γενέσθαι φίλοι. φησὶν οὖν ὅτι Κλέων ἐπὶ βλάβῃ τῆς πόλεως τὴν Ἀργείων φιλίαν προξενῶν, οὐ λανθάνει με πορεύεσθαι πρὸς τοὺς Ἀργείους πείθων τὴν πόλιν παῤῥησίαν εἰς τὸ συγγενέσθαι τοῖς Λακεδαιμονίοις ἑαυτὸν περιποιούμενος.

Καὶ ταῦτ' ἐγ' οἶδ' ὅθεν ἐστὶ συμφυσώμενα,
Ἐγ' οἶδ'. ἐπὶ γὰρ τοῖς δεδεμένοις χαλκεύεται.
Χο. Εὖγ' εὖγε. χάλκευ' ἀντὶ τῶν κολλωμένων.
Αλλ. Ὠ ξυγκροτοῦσιν ἄνδρες αὔτ' ἐκεῖθεν αὖ.
Κοὐ ταῦτα μ' οὔτ' ἀργύριον, οὔτε χρυσίον
Διδοὺς ἀναπείσεις, οὔτε προσπέμπων φίλους,
Ὅπως ἐγὼ ταῦτ' οὐκ Ἀθηναίοις φράσω.
Κλ. Ἐγὼ μὲν οὖν αὐτίκα μάλ' εἰς βουλὴν ἰὼν,
Ὑμῶν ἁπάντων τὰς ξυνωμοσίας ἐρῶ,
Καὶ τὰς ξυνόδους τὰς νυκτερινὰς ἐπὶ τῇ πόλει,
Καὶ πάνθ' ἃ Μήδοις καὶ Βασιλεῖ ξυνόμνυτε,
Καὶ τἀκ Βοιωτῶν ταῦτα σωντυρούμενα.
Αλλ. Πῶς οὖν ὁ τυρὸς ἐν Βοιωτοῖς ὤνιος;
Κλ. Ἐγώ σε, νὴ τὸν Ἡρακλέα, παραστορῶ.
Χο. Ἄγε δὴ σὺ τίνα νοῦν, ἢ τίνα ψυχὴν ἔχεις,
Νυνὶ διδάξεις, εἴπερ ἀπεκρύψω τότε
Ἐς τὰς κοχώνας τὸ κρέας, ὡς αὐτὸς λέγεις,
Θεύσει γὰρ ἄξας ἐς τὸ βουλευτήριον,
Ὡς οὗτος ἐμπεσὼν ἐκεῖσε διαβαλεῖ
Ἡμᾶς ἅπαντας, καὶ κράγον κεκράξεται.
Αλλ. Ἀλλ' εἶμι. πρῶτον δ', ὡς ἔχω, τὰς κοιλίας,
Καὶ τὰς μαχαίρας ἐνθαδὶ καταθήσομαι.
Χο. Ἔχε νυν, ἄλειψον τὸν τράχηλον τουτῳί.
Ἵν' ἐξολισθάνειν δύνῃ τὰς διαβολάς.
Αλλ. Ἀλλ' εὖ λέγεις, καὶ παιδοτριβικῶς ταυταγί.
Χο. Ἔχε νυν, ἐπέγκαψον λαβὼν ταδί. Αλλ. Τί δαί;
Χο. Ἵν' ἄμεινον ὦ τᾶν ἐσκοροδισμένος μάχῃ,
Καὶ σπεῦδε ταχέως. Αλλ. Ταῦτα δρῶ. Χο. Μέμνησό νυν
Δάκνειν, διαβάλλειν, τοὺς λόφους κατεσθίειν,
Χ' ὅπως τὰ κάλλαι' ἀποφαγὼν, ἥξεις πάλιν.

A Ego noui, quorum causa haec conflentur modo.
Nam propter captiuos fabricantur omnia.
CH. Euge, euge, tu pro glutinando fabrica.
AG. Certe haec inter se homines illic rursus agitant,
Neque tu si aurum atque argentum des, neque
Si tu amicos ad me mittas, mihi persuaseris:
Vt haec Atheniensibus non produam.
B CL. Ego haec nunc illicò in senatum deferam,
Et coniurationis vos reos agam:
Prodam nocturna in vrbe conuenticula:
Et quae Regi & Medis iurastis omnia.
Et quae coagulastis Boeotijs.
AG. Quanti venditur apud Boeotos caseus?
CL. Ego differam te nebulonem, mehercule.
CH. Age, nunc tu illi demonstra, quo sis praeditus
Animo, qua mente: siquidem occuluisti caté
In femoribus carnem, velut aiebas modò.
C Nam celeriter procurres hinc in curiam,
Quoniam incidens hic, ibi calumniabitur
Nos omnes, & vehementer vociferabitur.
AG. Abeo. Sed prius hos ventriculos, quos attuli,
Et cultros huc deponam laniatorios.
CH. Siue, collum prius inungas isto plasmate,
D Vt eludere possis viri calumnias.
AG. Bene haec mones, & vt ludimagistrum decet.
CH. Age, hoc cape nunc, & deuora. AG. quamobrem? cedo.
CH. Vt plenus allijs resistas fortius.
Propera ac dudum. AG. isthuc ago. CH. memineris nunc probè.
Mordere, calumniari, cristas comedere.
E Tum paleis deuoratis vt redeas, face.

Σχόλια. Καὶ ταῦτ' ἐγ' οἶδ' ὅθεν ἐστὶ συμφυσώμενα.] κατασκευάζεται. ἐπί τινι συμπνέουσιν [illegible] ὅ, τε Κλέων καὶ οἱ Λακεδαιμόνιοι, φησὶν αὐτὸς [illegible]. ἐπεὶ δὲ ὁ Κλέων τεκτονικοῖς τισιν ὀνόμασιν ἐχρήσατο, πάλιν οὗτος χρῆται χαλκευτικοῖς. φυσώμενα δὲ εἶπε διὰ τὰς φύσας τὰς χαλκευτικάς. τὸ δὲ χαλκεύεται ὡς πρὸς τὰς φύσας εἶπεν. ἔστι δὲ ὅμοιον τῷ τεκταίνεται. ταῦτα δέ φησι πράττεται τῷ Κλέωνι, ὅπως οἱ ἄνδρες τῶν δεσμῶν ἐκλυθῶσιν. Τοῖς δεδεμένοις.] τουτέστι τοῖς τριακοσίοις τῶν Λακεδαιμονίων οὓς ἀπὸ Πύλου καὶ Σφακτηρίας ἤγαγεν. οὓς εἶπεν ἀποδώσειν [illegible] τὸν Κλέωνα. Εὖγ' εὖγε.] ἐπιρρήματα [illegible] χορὸς ἐπαινῶν τὸν ἀλλαντοπώλην, ὅτι ἀντὶ τῶν τεκτονικῶν ῥημάτων αὐτὸς χαλκευτικὰ φθέγγεται. Καὶ ξυγκροτοῦσι.] συνάγουσι καὶ συμπράττουσι. καὶ [illegible] παραλαμβάνουσι τὸ πείθειν τὸν Κλέωνα τοῖς δεδεμένοις [illegible] σωτηρίας ἀφορμήν. ἄλλως. ἐπέμεινε τῇ μεταφορᾷ τῇ ἀπὸ τῶν χαλκέων. ἀντὶ τοῦ συμπράττουσιν. Οὐκ Ἀθηναίοις φράσω.] ἡ σύνταξις Ἀττική. λέγει δὲ ὅτι εὐθὺς καὶ παραχρῆμα. Τὰς ξυνωμοσίας.] τὰς ἐπὶ καθαιρέσει τοῦ δήμου ἐν ὅρκοις [illegible]. Τὰς ξυνόδους τὰς νυκτερινάς.] ὅτι νύκτωρ οὗτοι κατὰ τῆς πόλεως ἐβουλεύσαντο. Καὶ βασιλεῖ ξυνόμνυτε.] [illegible] ἀλλ' [illegible], διαβάλλει αὐτοὺς ἐπὶ βλάβῃ τῆς πόλεως Ἀργείοις καὶ Λακεδαιμονίοις ξυνιέναι. διὰ τοῦτο καὶ ὁ Κλέων ὡς τῷ τῶν Περσῶν βασιλεῖ προδιδόντας αὐτοὺς τὰ τῆς πόλεως αἰτιᾶται πράγματα. Ξυνόμνυτε.] συμπράττετε. καὶ κοινοπραγεῖτε. καλῶς δὲ τῆς διαβολῆς [illegible] ἀπατᾶται τὸν δῆμον αὐτὸν, ξυνωμότας αὐτοὺς τῷ Περσῶν βασιλεῖ λέγων γεγονέναι. ἵνα [illegible] ἔθος δείξῃ τοῦτο καὶ βεβαιώσῃ ὅτι καὶ κατὰ τούτου ξυνωμοσίαν [illegible]. Συντυρούμενα.] συμπηγνύμενα. καὶ ὅτι παρὰ Βοιωτοῖς πολὺς τυρός. Ὁ τυρὸς ἐν Βοιωτοῖς.] ἔπαιξε τοῦτο πρὸς τὸ συντυρούμενα πρὸς τὴν μεταφοράν. τὸ δὲ ὠνιος πρὸς τοὺς ῥήτορας ὡς τὸ [illegible] καταπλησσομένους τῆς αὐτῶν ἀγοραλογίας. Παραστορῶ.] ἐκτενῶ. ἅμα δὲ καὶ ἀπὸ τῶν βυρσῶν. ἀκολούθως δὲ τοῦ Ἡρακλέους ἐμνήσθη [illegible] Θηβαῖον ἴδιος ὁ θεὸς [illegible] λέγεται. τῆς δὲ Βοιωτίας αἱ Θῆβαι πόλις. Ἄγε δὴ σύ.] τὸ μὲν Κλέωνος τὸ θυμῶδες [illegible], τὴν βουλὴν δὲ [illegible] κατ' αὐτὸν [illegible] τὸν Νικίαν, τὸν ἀλλαντοπώλην παρακελεύονται [illegible] ἀντιστῆναι πρὸς αὐτόν. νῦν γάρ φασιν ἀντιστὰς πρὸς τὸν Κλέωνα, ἔργῳ δείξεις εἰ ἄν [illegible] γενναῖον ἢ πανοῦργον ἐν τῷ πρώτῳ πέπρακται [illegible]. Θεύσει γὰρ ἄξας.] ὁρμῇ ὁρμήσας εἰσελθεῖν καὶ Ὅμηρος. ἔμελλε θεύσεσθαι. ἄξας δὲ ἀντὶ τοῦ ἀΐξας εἰσελθών. Κράγον κεκράξεται.] Ἀρίσταρχος ὀξυτόνως ἀντὶ τοῦ κραυγαστικῶς. καὶ Ἡρωδιανὸς ἐν Ἀττικῇ προσῳδίᾳ.

Εγχναψον. ἄλειψον.] στέαρ διδοῦσιν αὐτῷ ἀλείφεσθαι. ἵνα εὐχερῶς ὀλισθαίνειν δυνήσεται, καὶ δύσληπτος ᾖ τοῖς ἀνταγωνισταῖς. ἐπ' ἀργῶς δὲ τὸ λίπος παραλαμβάνουσι διὰ τὸ ἀλλαντοποιὸν αὐτὸν εἶναι. εἰώθασι γὰρ αὐτοὶ τὰ λίπη κατατέμνοντες, βάλλειν εἰς τὸ φύραμα, καὶ οὕτω πληροῦν τοὺς βούλους. Τὰς διαβολάς.] δέον εἰπεῖν τὰς λαβὰς ὡς ἐπὶ πάλης, τὰς διαβολὰς εἶπεν ἃς ἔμελλε διαβάλλειν ὁ Κλέων. Παιδοτριβικῶς] ἐπειδὴ ἀντέληψιν αὐτὸν τῷ λίπει, παιδοτρίβην καλεῖ. ἄλλως. ἀντὶ τοῦ ἀλειπτικῶς. παιδοτρίβαι γὰρ καλοῦνται, οἱ ἀλείπται καὶ κηρωματισταί. Επέγκαψον.] κάψον ἐπίφαγε ταδί. καὶ τοῦτο παρεπιγραφή. σκόροδον γὰρ αὐτῷ προσφέρει. ὅ φασὶ δεῖν αὐτὸν ἐπιφαγεῖν.

A BISETVS. Επέγκαψον] Κάπτειν τὸ χανδὸν ἐσθίειν.

Σχόλια. Εσκοροδισμένος μάχῃ] μετενήνεγκεν ἀπὸ τῶν ἀλεκτρυόνων. ὅταν γὰρ εἰς μάχην συμβάλλωσιν αὐτούς, σκόροδα διδόασιν αὐτοῖς, ἵνα δριμύτεροι ὦσιν ἐν τῇ μάχῃ. ἄλλως. κατάφαγε τὰ σκόροδα, ἵνα ὀξύτερος γενόμενος καὶ σκορόδοις τραφείς, μάχῃ ὡς οἱ ἀλεκτρυόνες. κάλλαια δὲ τοὺς πώγωνας τῶν ἀλεκτρυόνων. Ηξεις πάλιν.] λεληθότως σκώπτει τὸν Κλέωνα δι' ὧν ἐκείνῳ παρακελεύεσθαι δοκεῖ. μάλιστα γὰρ παρὰ τοῖς Αθηναίοις εὐδοκίμησεν ἐκεῖνος τοὺς ἄλλους διαβάλλων τῷ δήμῳ ἀγαθόν. ὡς καὶ ἐν ἀρχῇ τοῦ ποιήματος λέγων περὶ αὐτοῦ ἔφησε. κάμιστα δὴ θ' οὗτος γε πρῶτος Παφλαγόνων αὐταῖσι διαβολαῖς.

ΚΟΜΜΑΤΙΟΝ ΧΟΡΟΥ.

Χο. Αλλ' ἴθι χαίρων καὶ πράξειας
Κατὰ νοῦν τὸν ἐμόν, καί σε φυλάττοι
Ζεὺς ἀγοραῖος, καὶ νικήσας,
Αὖθις ἐκεῖθεν πάλιν ὡς ἡμᾶς
Ελθοις στεφάνοις κατάπαστος.
Υμεῖς δ' ἡμῖν προσέχετε τὸν νοῦν,
Τοῖς ἀναπαίστοις, ὦ παντοίας
Ηδη μούσης πειραθέντες καθ' ἑαυτούς.

COMMATIVM CHORI.

C CH. *I Pede fausto, & peragas hanc rem*
Ex animi sententia: Iuppiter
Agoraeus te seruet: victor
Illinc ad nos iterum redeas,
Victrice corona redimitus.
At vos animum aduertite nostris
Anapaestis, quicunque omnimoda
Experti in vobis estis carmina Musae.

D

Σχόλια. Αλλ' ἴθι χαίρων.] κορωνίς. εἰσελθόντων γὰρ τῶν ὑποκριτῶν, εἶτα καταληφθεὶς ὁ χορός, λέγει πρὸς τὸν ἀναπαίστους ἤ. τὴν μὲν προπεμπτικὴν τοῦ ἑτέρου τῶν ὑποκριτῶν οὖσαν δεκάμετρον πεντάκωλον, ὑφ' ὃ διπλῆ καὶ τὴν δευτερεύουσαν, κομμάτιον. ἄρχεται γὰρ τῆς καλουμένης τελείας παραβάσεως. ἑπτάμετρα δέ εἰσι. τὸ δὲ κομμάτιον, τετράμετρον. ἄλλως. τὸ δὲ μετὰ τὴν διπλῆν τίθεσθαι ἔοικεν εἶναι ἔκθεσις τῆς διπλῆς. διὸ καὶ τὸ παρατέλευτον ἔχει κῶλον. ὅπερ ἔθος ἐν τῇ ἐκθέσει τίθεσθαι. διὰ δὲ τὸ προτίθεσθαι τῆς παραβάσεως, κομμάτιον χοροῦ ὀνομάζεσθαι ὡς εἴρηται. ἔθος γάρ ἐστι προτίθεσθαι τῆς παραβάσεως. κομμάτιόν ἐστιν ἐκ κώλων ἀναπαιστικῶν πλὴν τοῦ παρατελεύτου, ὅπερ μονόμετρον καὶ τοῦ πέμπτου καὶ τελευταίου, ἅπερ ἐφθημιμερῆ, διμέτρων. ἐπὶ τῷ τέλει παράγραφος. ταῦτα δὲ παρὰ τὰ Σοφοκλέους ἐξ Ιολάου.

BISETVS. Ενταῦθα τὰ παλαιὰ σχόλια μεγίστην ἔχει σύγχυσιν, καὶ ἀσάφειαν ἐν τῇ τούτων τῶν μέτρων δηλώσει. ἀλλὰ τούτων ἀκριβεστέραν ζήτησιν τοῖς τῶν μέτρων ἐμπειροτέροις ἐατέον. ἢ γὰρ τὰ σχόλια, ἢ τὰ τοῦ ποιητοῦ μέτρα ἐπανορθῶσαι ἀπαιτεῖν δοκοῦσιν, ἣν οὐ ῥᾴδιον αὐτίκα παραθεῖναι, διὰ τὸ ἄδηλον τῶν ἐν τοῖς σχολίοις λεγομένων, καὶ διὰ τὸ διάφορον αὐτῶν τῶν μέτρων. ὁ μὲν τοι νοῦς ὁλόκληρος, καὶ φανερὸς ὑπάρχει.

E Σχόλια. Ζεὺς ἀγοραῖος] ὡς Ζεὺς ξένιος. ἢ μειλίχιος ἢ φίλιος, οὕτως ἀγοραῖος. οἰκείως δὲ νῦν διὰ τὸ ἀλλαντοπώλην ἀγοραῖον εἶναι. Καταπαστος.] κατάμεστος. πλήρης πεποικιλμένος. Υμεῖς δ' ἡμῖν.] ἐντεῦθεν παράβασις γίνεται. καὶ ἔστι τοῦτο, τὸ καλούμενον κομμάτιον. μεθ' ὃ οἱ ἀνάπαιστοι. ἔπειτα τὸ μακρόν. μετὰ ταῦτα, στροφή. ἔπειτα τὸ ἐπίρρημα. ἑξῆς δὲ ἡ ἀντιστροφὴ καὶ ἐπὶ πᾶσι τὸ ἀντεπίρρημα. παντοίας δὲ παντοδαπῆς ποικίλης μεμουσωμένοι ἀκροαταί, καὶ πάσης ποιήσεως καὶ μέτρου ἀκροασάμενοι.

F

ΠΑΡΑΒΑΣΙΣ ΧΟΡΟΥ.

Αναπαιστικοὶ Αριστοφάνειοι.

Ει μέν τις ἀνὴρ τῶν ἀρχαίων κωμῳδοδιδάσκαλος ἡμᾶς
Ηνάγκαζεν, ἔπη λέξοντας γ' ἐς τὸ θέατρον παραβῆναι.

TRANSITVS CHORI.

Anapaestici Aristophanij.

SI quis veterum scriptorum, Comicus autor nos voluisset
G *Isthaec carmina recitare, atque in vestrum prodire theatrum:*

Σχόλια. Ει μέν τις ἀνήρ.] ἀναπαιστικὴ διπλῆ καὶ ἔκθεσις εἰς αὐτὴν τὴν παράβασιν ἀναπαιστικοὶ στίχοι καταληκτικοὶ τετράμετροι, μς. ὧν τελευταῖος εἴρηται αὐτῷ πολὺ τὸ ῥόθιον. παραστησάμενοι ἐφ' ἑνδεκα κώπαις. ἐν ἐκθέσει δὲ κῶλα ἀναπαιστικὰ τέτταρα ὧν τὰ μὲν δύο δίμετρα ἀκατάληκτα. τὸ τρίτον μονόμετρον ὁ καὶ

παρὰ τὸ τελευταῖον ὀνομάζεται. τὸ δὲ τέταρτον δίμετρον καταληκτικόν. ἐφ' ὃ ἡ παράγραφος. ὁ δὲ λόγος ἐκ τοῦ χοροῦ παρὰ τοῦ Ἀριστοφάνους τὸν λόγον ποιούμενος. Ἔπη λέγοντας.] ὅτι καὶ τὰ ἄλλα μέτρα ἔπη λέγονται. Παραβῆναι.] τῇ παραβάσει χρήσασθαι. λέγεται δὲ παράβασις, ἤτοι ἐπεὶ ἀπήρτηται τῆς ἄλλης ὑποθέσεως ἢ ἐπεὶ παραβαίνει ὁ χορὸς τὸν τόπον. BISETVS. ἱστᾶσι μὲν γὰρ A κατὰ στοιχεῖον οἱ πρὸς τὴν ὀρχήστραν προσβλέποντες. ὅταν δὲ παραβῶσιν ἐφεξῆς ἑστῶτες, καὶ πρὸς τοὺς θεατὰς ἀποβλέποντες, τὸν λόγον ποιοῦνται· εἶτα διελθόντες τὴν καλουμένην παράβασιν ἐστρέφοντο πάλιν εἰς τὴν προτέραν στάσιν. δῆλον δὲ ποιοῦσιν αὐτοὶ οἱ ποιηταὶ τὸ στρέψαι σημαίνοντες, καὶ τὸ παραβαίνειν. καὶ ταῦτα μὲν οὕτω κατὰ τὸν Σουίδαν ἐν τῷ χαμαίλιον.

Οὐκ ἂν φαύλως ἔτυχε τούτου. νῦν δ' ἄξιός ἐσθ' ὁ ποιητής.	B *Haud facilè impetrasset: nunc noster dignus amore Poëta est:*
Ὅτι τοὺς αὐτοὺς ἡμῖν μισεῖ, τολμᾷ τε λέγειν τὰ δίκαια.	*Quòd eosdem nobiscum odit: & audet, quæ sunt iusta, profari.*
Καὶ γενναίως πρὸς τὸν Τυφῶ χωρεῖ, καὶ τὴν ἐριώλην.	*Et forti animo vento venit aduorsùm, rapidaque procellæ:*
Ἃ δὲ θαυμάζειν ὑμῶν φησὶ πολλοὺς αὐτῷ προσιόντας,	*Quia verò multos vestrùm se adeuntes, mirarier inquit,*
Καὶ βασανίζειν, ὡς οὐχὶ πάλαι χορὸν αἰτοίη καθ' ἑαυτόν.	*Et quærere, cur non ipse chorum à se iamdudum exigat ipso:*
Ἡμᾶς ὑμῖν ἐκέλευσε φράσαι περὶ τούτου. φησὶ γὰρ ἀνὴρ	C *De his nos voluit loquier vobis. Nam dicit Comicus iste*
Οὐχ ὑπ' ἀνοίας τοῦτο πεπονθὼς διατρίβειν, ἀλλὰ νομίζων	*Quòd nulla è stultitia isthoc egerit antehac: sed quia verum*
Κωμῳδοδιδασκαλίαν εἶναι χαλεπώτατον ἔργον ἁπάντων.	*Artem tractandi Comica difficillimum indicet esse:*
Πολλῶν γὰρ δὴ πειρασάντων αὐτὴν, ὀλίγοις χαρίσασθαι.	*(Nam cum multi illam tentassent, paucis ea gratificata est.)*
Ὑμᾶς τε πάλαι διαγιγνώσκων ἐπετείους τὴν φύσιν ὄντας.	D *Et quia iamdudum norat vos esse homines vnius anni,*
Καὶ τοὺς προτέρους τῶν ποιητῶν ἅμα τῷ γήρᾳ προδιδόντας.	*Veteresque poetas à vobis cano cum vertice prodi.*
Τοῦτο μὲν εἰδὼς ἅπαθε Μάγνης ἅμα ταῖς πολιαῖς κατιούσαις.	*Et quia scibat, quid Magnes iam canis venientibus esset*
Ὃς πλεῖστα χορῶν τῶν ἀντιπάλων νίκης ἔστησε τρόπαια.	*Expertus: qui cùm de aliis poetis, arte chori superatis,*
Πάσας δ' ὑμῖν φωνὰς ἱεὶς καὶ ψάλλων, καὶ πτερυγίζων,	*Statuisset multa tropæa, canendo vobis, gesticulando.*
Καὶ λυδίζων, καὶ ψηνίζων, καὶ βαπτόμενος βατραχείοις,	E *Lydos imitando, glabrando faciem atque dolore linendo:*
Οὐκ ἐξήρκεσεν, ἀλλὰ τελευτῶν, ἐπὶ γήρως (οὐ γὰρ ἐφ' ἥβης)	*Non sat fecit tamen, effætúsque senex, (neque enim iuuenis vir)*
Ἐξεβλήθη πρεσβύτης ὤν, ὅτι τοῦ σκώπτειν ἀπελείφθη.	*Leco motus fuit: eò quòd scurrilibus abstinuisset.*

Σχόλια. Οὐκ ἂν φαύλως] οὐκ ἂν εὐχερῶς, οὐδὲ ἄνευ καμάτου καὶ πόνου. Ἄξιός ἐσθ' ὁ ποιητής.] λέγει ὅτι ἄξιός ἐσθ' ὁ ποιητὴς καὶ τῆς παρὰ τῶν θεωμένων εὐνοίας. ὅτι τὴν πρὸς Κλέωνα ἔχθραν ἐπανείλετο, καὶ τοὺς αὐτοὺς ἐχθροὺς ἥγηται, οὓς ὑμεῖς οἱ Ἀθηναῖοι. Καὶ γενναίως πρὸς τὸν Τυφῶ.] ὁ Τυφὼς γῆς μὲν ἦν υἱός. ἴσχυσε δὲ τοσοῦτον, ὡς μὴ ἀνθρώποις μόνοις δοκεῖν φοβερὸς εἶναι, ἀλλὰ καὶ τοῖς θεοῖς. καὶ εἰς ἀλόγων ζώων ἰδέας μετέβαλλον τὰς μορφὰς διὰ τὸν ἐκείνου φόβον. Τὴν ἐριώλην.] F Τυφὼς, ἀνέμου συστροφὴ πυρός. τὸν Κλέωνα δὲ λέγει. ἐριώλη δὲ ἀναθυμιάσεως συστροφὴ, G πρὶν ἐμπυρωθῆναι τὸν ἀέρα. καὶ ἡ μεγάλη δὲ πνοὴ οὕτως. ἔμπαλιν δὲ εἰπὼν, ηὔξησεν ἂν μᾶλλον καὶ δεξιώτερον εἶπεν. ἡ γὰρ ἐριώλη, πνοὴ σφοδρά. ἀλλ' ὅμως Τυφὼς μεῖζόν τι πνεῦμα καὶ κακοποιόν. ἔδει οὖν εἰπεῖν πρῶτον ἐριώλην, εἶτα Τυφῶ. καὶ εἶχεν ἂν μείζω τὴν ἔμφασιν. Διατρίβειν.] τὸ ὑπερτίθεσθαι καὶ μέλλειν αὐτούς. Πολλῶν γὰρ δὴ πειρασάντων.] μετελθόντων ἐπιτηδευσάντων. ἀπὸ τοῦ πειρᾶν ἐσχημάτισε. πειρᾶν δὲ, τὸ προσβάλλειν τῇ γυναικὶ περὶ ἀφροδίτης. τροπικῶς εἴρηται ὡς ἐπὶ γυναικός. διὸ καὶ τὸ, χαρίσασθαι ἐπήνεγκεν. σημαίνει οὖν σπανίως ἐπιτυχεῖν τινὰς καὶ ὀλίγους κατορθῶσαι παντάπασιν. Ἐπετείους.] ἀντὶ τοῦ ἐκ πολλοῦ κατεγνωκὼς τὸν ὑμέτερον τρόπον. ἀπὸ τῶν οἰωνῶν δὲ μετήνεγκε τῶν μὴ μονίμων ὄντων, ἀλλὰ φερομένων τῇ πτήσει. τουτέστιν εὐμεταβλήτους ὀλιγώρους. μὴ διαμένοντας ἐν τοῖς αὐτοῖς. ἀλλ' ἀψικόρους.

BISETVS. Ἐπέτειον.] τὸ ἀπὸ νῦν ἔτους. ἐπέτος γὰρ δὴ λέγεται τὸν ἐνεστῶτα καιρὸν, οὐχὶ διὰ τοῦ φ, ἀλλὰ διὰ τοῦ π. ὥς φησι Πίνδαρος. καὶ ἐπέτειος, ὁ κατ' ἔτος γινόμενος. Σουίδας ἐν τῇ τοῦ δὲ τοῦ τόπου ἑρμηνείᾳ.

Σχόλια.

Σχόλια. Καὶ τοὺς προτέρους τῶν ποιητῶν.] οἱ τοῖς νέοις χαίροντες ἀεὶ τῶν ποιητῶν, καὶ μὴ τοῖς ἀρχαίοις. καὶ εἰς τὴν θυμέλην παρεισοῦσι πρῶτον. Προδιδόντας.] ἐπὶ γήρως ὑφ' ὧν καταλείποντας. Μάγνης δὲ ἀρχαίας κωμῳδίας ποιητής. Τῶν ἀντιπάλων.] κατὰ τῶν ἀνταγωνιστῶν. φησὶ δὲ ὅτι εὐδοκιμῶν ὁ Μάγνης, πολλὰς νίκας ἀπηνέγκατο κατὰ τῶν δι' ἐναντίας. ἴσως δὲ, ἀφιεὶς παρερχόμενος. Ψάλλων.] τοὺς βαρβιτίδας τάσσουσιν οἱ λόγοι. τοὺς βαρβιτιστὰς ἂν λέγοι. δρᾶμα δέ ἐστι τοῦ Μάγνητος. ἡ δὲ βάρβιτος εἶδος ὀργάνου μουσικοῦ. πτερυγίζων δὲ ὅτι καὶ ὄρνιθας ἐποίησε δρᾶμα. ἔγραψε δὲ καὶ Λυδοὺς καὶ ψῆνας· καὶ βατράχους. ἔστι δὲ χρώματος εἶδος τὸ βατράχειον. ἀπὸ τούτου καὶ βατραχοῦς ἱμάτιον. ἐχρίοντο δὲ τῷ | A | βατραχείῳ τὰ πρόσωπα, πρὶν ἐπινοηθῆναι καὶ τὰ προσωπεῖα. τὸ πτερυγίζειν δὲ εἶπε, ὡς πρὸς τοὺς ψῆνας ἀναφέρων.

BISETUS. Εὐστάθιος. ψάλλειν, τὸ διὰ ὀργάνων μουσικῶν μέλπειν. καὶ ψάλλεσθαι, τὸ ψάλλοντας ἀκροᾶσθαι. ψάλλων δὲ εἴρηκεν Ἀριστοφάνης περὶ τοῦ Μάγνητος, ὅτι δρᾶμα ἐποίησε Βαρβιτίδας, ἢ Βαρβιστὰς κατά τινας, παρὰ τὴν βάρβιτον, ὅ ἐστιν εἶδος ὀργάνου μουσικοῦ, ὅθεν τὸ βαρβιτίζειν, τὸ τὴν βάρβιτον κρέκειν, καὶ ψάλλειν. ὅτι δὲ καὶ δράματα Ὄρνιθας, Λυδοὺς, Ψῆνας, καὶ βατράχους ἐποίησε. διὰ τοῦτο εἶπε πτερυγίζων, λυδίζων, ψηνίζων καὶ βαπτόμενος βατραχείοις, παίζων πρὸς τὸ βατράχειον, ὅ ἐστιν εἶδος χρώματος.

Εἶτα Κρατίνου μεμνημένος, ὃς πολλῷ ῥεύσας ποτ' ἐπαίνῳ,
Διὰ τῶν ἀφελῶν πεδίων ἔρρει, καὶ τῆς στάσεως παρασύρων,
C Ἐφόρει τὰς δρῦς, καὶ τὰς πλατάνους, καὶ τοὺς ἐχθροὺς προθελύμνους,
Ἆσαι δ' οὐκ ἦν ἐν ξυμποσίῳ, πλὴν Δωροῖ συκοπέδιλε,
Καὶ, Τέκτονες εὐπαλάμων ὕμνων. οὕτως ἤνθησεν ἐκεῖνος.
Νυνὶ δ' ὑμεῖς αὐτὸν ὁρῶντες παραληροῦντ' οὐκ ἐλεεῖτε.
D Ἐκπιπτουσῶν τῶν ἠλέκτρων, καὶ τοῦ τόνου οὐκ ἔτ' ἐνόντος,
Τῶν θ' ἁρμονιῶν διαχασκουσῶν, ἀλλὰ γέρων ὢν περιέρρει,
Ὥσπερ Κοννᾶς, στέφανον μὲν ἔχων αὖον, δίψῃ δ' ἀπολωλώς,
Ὃν χρῆν διὰ τὰς προτέρας νίκας πίνειν ἐν τῷ Πρυτανείῳ,
E Καὶ μὴ ληρεῖν, ἀλλὰ θεᾶσθαι λιπαρὸν παρὰ τῷ Διονύσῳ.

Deinde Cratini memor est, qui quondam multa laudis abundans,
Per apertos campos fluitabat, & à propria sede reuulsas
Rapiebat quercus, platanos, atque omnes radicitus hostes.
Nihil autem in Symposio ille canebat, nisi, ficulnea Doro;
Aut hoc, Hymnorum pulcrorum artifices. Sic floruit ille.
Sed nihil eius vos nunc miseret, quem delirare videtis:
Cùm de sponda exciderint electra, neque corda amplius insit:
Et commissura hiscant, sed cùm vetulus esset, fluitabat,
Vt Connas, qui cùm siccum gestaret sertum, siti obiuit
Quem certè propter tot palmas bibere aequum erat in Prytaneo:
Neque nugas agere, sed vnctum spectare apud almum Dionysum.

Σχόλια. Ὃς πολλῷ ῥεύσας.] οἱ γὰρ λάβρως ποταμοὶ ῥέοντες καὶ αὐτοῦ τῆς γῆς παρασύρουσι μέρος δι' ἧς ῥέουσι. τουτέστιν εὐδοκιμήσας πολλάκις. καὶ Δημοσθένης ἐν Φιλιππικοῖς. τότε τοίνυν τυφῶνος πολλοῦ ῥέοντος καθ' ὑμῶν. δοκεῖ δέ μοι Ἀριστοφάνης ἀφ' ὧν εἶπε Κρατῖνος περὶ αὐτοῦ μεγαληγορῶν, ἀπὸ τούτων καὶ πρὸς τὴν τροπὴν εἰληφέναι. ὁ γὰρ Κρατῖνος οὕτω πως ἑαυτὸν ἐπῄνεσεν ἐν τῇ Πυτίνῃ.
Ἄναξ Ἄπολλον τῶν ἐπῶν τῶν ῥευμάτων
Καναχοῦσι πηγαί. δωδεκάκρουνον στόμα
Ἰλισσὸς ἐν φάρυγγι. τί ἂν εἴποιμί σοι;
Εἰ μὴ γὰρ ἐπιβύσει τις αὐτοῦ τὸ στόμα,
Ἅπαντα ταῦτα κατακλύσει ποιήμασιν.
ἤτοι συνιδὼν γὰρ τούτων καὶ Ἀριστοφάνης περὶ τοῦ Κρατίνου ταῦτα λέγει, ἢ τὸ ῥεύσας εἶπε σκώπτων πρὸς τὸ ἐγκρατὲς τοῦ Κρατίνου. Διὰ τῶν ἀφελῶν πεδίων.] ἀντὶ τοῦ διὰ τῆς φράσεως. ἔνιοι δὲ διὰ τῶν ἀφύων γράφουσι. πρὸς πάντα δὲ αὐτὸς ἔοικε διὰ τὸ ἀντιτιθέναι τὰ ὑπὸ Κρατίνου εἰρημένα. ἐπεὶ κἀκεῖνος ποταμῷ παρέβαλεν ἑαυτὸν ἀθρόως ῥέοντι. ἤχουν τι φήσας τὰς πηγάς. ὅπερ λάβρως ῥέοντος ὕδατός ἐστιν ἔργον. ἦχον ἀποτελοῦν καὶ ψόφον καὶ τὰ λοιπὰ ὡς εἴπομεν. διὰ τοῦτο καὶ Ἀριστοφάνης ὡς ἐπὶ ποταμοῦ ἐχρήσατο τῇ τροπῇ. ἄλλως. τὸ ἐπὶ τῆς φράσεως ἄκομψον καὶ ἀπλοϊκὸν τοῦ Κρατίνου ἀλληγορεῖσθαί φασι τὸ ἀφελές. καὶ γὰρ

F G ἀφελὲς νῦν ἀντὶ τοῦ ὑγιὲς καὶ ὁλόκληρον. ἢ τὸ μέγα καὶ ἀνεμπόδιστον ἢ ἀφελῶς ἁπλῶς. ἐπεὶ τὰ ἐπιπόλαια ἀφελῶς χαράσσειν. καὶ ἀφελὴς γυνὴ ἡ ἀπόνηρος καὶ ἀκαλλώπιστος. ὡς τὸ, μισῶ τῆς ἀφελοῦς μισῶ τῆς σώφρονα λίαν. ὁ αὐτὸς δὲ καὶ ἐνταῦθα ἀντὶ τοῦ ἁπλῶς. ἐπεὶ ἐπὶ τῆς φράσεως. στάσεις δὲ, τὰ ἀναχώματα τοῦ ποταμοῦ. Καὶ τῆς στάσεως παρασύρων.] ὡς διὰ τὸ γῆρας καὶ τῆς πολυποσίας, σκάζοντος καὶ τρέμοντος τοῦ Κρατίνου τῆς βάσιν. ἐφόρει δὲ κατέβαλλε τοὺς ἀνταγωνιζομένους πρὸς αὐτὸν ὑψηλοὺς ὄντας. τοὺς ἐχθροὺς δὲ, τοὺς περὶ τὸν Καλλίαν αἰνίττεται. Προθελύμνους.] προρρίζους. εἰώθασι γὰρ οἱ ποταμοὶ τὰ ἐπὶ τῆς ὄχθαις ὄντα δένδρα ὑπονοσοῦντα καταβάλλουσι παρασύροντες καὶ διατέμνοντες τὴν γῆν, τὰς ῥίζας τέμνειν, ὡς τοῦ Κρατίνου ψήφῳ νικῶντος τοὺς ἀνταγωνιστάς. Ἆσαι δ' οὐκ ἦν.] πάλιν ὡς μέθυσον αὐτὸν διαβάλλει τὸν Κρατῖνον. οὐκ ἦν γὰρ ἑτέραν φησὶν ἐν τοῖς συμποσίοις ᾠδὴν ποιήσασθαί τινα, προκαταλαμβάνοντος αὐτὰ τοῦ Κρατίνου. Δωροῖ συκοπέδιλε.] Κρατίνου μέλους ἀρχή. σκώπτων δέ τινα ἐκεῖνος δωροδόκον καὶ συκοφάντην τοῦτο εἶπεν. Τέκτονες εὐπαλάμων.] τέκτονες πάντες οἱ τεχνῖται. καὶ τοῦτο δὲ, ἐκ τῶν Εὐνειδῶν Κρατίνου. εὐπαλάμων δὲ, εὖ διακεχειρισμένων ἢ συντεταγμένων. Παραληροῦντα.] διαπορῶντα καὶ ἀσχημονοῦντα. ταῦτα ἀκούσας ὁ Κρατῖνος, ἔγραψε τὴν Πυτίνην. δεικνὺς

ὅτι οὐκ ἠλάρησεν ἐν οἷς κακῶς λέγει τὸν Ἀριστοφάνην ὡς τὰ Εὐπόλιδος λέγοντα. Ἐκπεπτωκότων τῶν ἠλέκτρων.] ἰδίως τὰ τοῖς κλίναις ἐπιβαλλόμενα, οὕτως ἐκάλουν ἤλεκτρα. μεταφορᾷ οὖν κέχρηται ἀπὸ τῶν κλινῶν. αἱ γὰρ ἀρχαῖαι κλῖναι τοὺς πόδας εἶχον ἠσφαλισμένους ἄνθραξι καὶ ἠλέκτροις, ὥσπερ νῦν ἀργύρῳ ἢ κασσιτέρῳ. διόπερ βαρυτόνως ἀναγνωστέον ἀπὸ τοῦ αἱ ἤλεκτροι τῶν ἠλέκτρων. Καὶ τοῦ τόνου οὐκ ἔτ' ἐνόντος.] ἀκολούθως μετὰ τὴν κλίνην ἐμνημόνευσε τοῦ τόνου. τόνος γὰρ, τὰ τῶν κραββάτων σχοινία. τροπικῶς δὲ δηλοῖ τὴν τῆς φωνῆς τάσιν. Τῶν θ' ἁρμονιῶν.] ἁρμονίας λέγει, τὰ συμπηγνύμενα τῶν κρεμάτων μέρη. ἐπέμεινε δὲ τῇ τροπῇ. καὶ γὰρ ἁρμονίαν λέγομεν, τὴν τῶν ποιημάτων σύνθεσιν. Διαχασκουσῶν] κεχηνυιῶν. διεσκορπισμένων καὶ μὴ ἐχουσῶν συνέπειαν. Ὥσπερ Κοννᾶς.] ὁ Κοννᾶς αὐλητὴς ἦν καὶ μέθυσος. ὃς εἰς συμπόσια παρῄει συνεχῶς ἐστεμμένος, ἅπαξ ὀλυμπιονίκης γενόμενος καὶ πολλάκις στεφανωθεὶς, πτωχὸς ἦν μηδὲν ἔχων ἀλλ' ἢ τὸν κότινον. ἐφ' οὗ Κρατῖνος εἶπεν.

Ἔσθιε καὶ σῇ γαστρὶ δίδου χάριν ὄφρα σε λιμὸς
Ἐχθαίρῃ. Κοννᾶς δὲ, πολυστέφανος νικάσει.

λέγει δὲ αὐτὸν τὸν αὐτὸν νικήσαντα μηδέπω τετιμῆσθαι. ἡ δὲ παροιμία. στέφανον μὲν ἔχων, δίψει δ' ἀπολωλώς. καὶ πάλιν.

Δελφὸς ἀνὴρ, στέφανον μὲν ἔχων δίψει δ' ἀπολωλώς.

B Πρὸς τὸν Κρατῖνον δὲ καὶ τοῦτο ὅτι μέθυσός ἐστιν. Ἐν τῷ Πρυτανείῳ.] ἔχεται καὶ τοῦτο τῆς ἐννοίας τῆς προκειμένης. σιτεῖσθαι γὰρ ἔλεγον ἐν τῷ Πρυτανείῳ, οὐχὶ πίνειν. παρὰ τῷ Διονύσῳ δὲ ἀντὶ ἐν τῷ θεάτρῳ.

Οἵας δὲ Κράτης ὀργὰς ὑμῶν ἠνέσχετο καὶ στυφελισμούς;
Ὃς ἀπὸ σμικρᾶς δαπάνης ὑμᾶς ἀριστίζων ἀπέπεμπεν,
C Ἀπὸ κραμβοτάτου στόματος μάττων ἀστειοτάτας ἐπινοίας.
Χοὗτος μέντοι μόνος ἀντήρκει, τοτὲ μὲν πίπτων, τοτὲ δ' οὐχί.
Ταῦτ' ὀρρωδῶν διέτριβεν ἀεί, καὶ πρὸς τούτοισιν ἔφασκεν,
Ἐρέτην χρῆναι πρῶτα γενέσθαι, πρὶν πηδαλίοις ἐπιχειρεῖν,
D Κἆτ' ἐντεῦθεν πρωρατεῦσαι, καὶ τοὺς ἀνέμους διαθρῆσαι·
Κἆτα κυβερνᾶν αὐτὸν ἑαυτῷ. τούτων οὕνεκα πάντων,
Ὅτι σωφρονικῶς, κοὐκ ἀνοήτως ἐσπηδήσας ἐφλυάρει,
Αἴρεσθ' αὐτῷ πολὺ τὸ ῥόθιον, παραπέμψατ' ἐφ' ἕνδεκα κώπαις.

Quas verò Crates iras vestras, & quot conuitia passus?
Qui paruo sumtu vos assuescebat dimittere pransos,
Et sententias perquam vrbanas, dulci pinsebat in ore.
Hic solus ad obsistendum sufficiebat: sæpe cadens, &
Sæpe iterum stans. Hæc metuens noster cessauit: quia dicit:
Remigem oportere antè esse aliquem: quàm clauum in puppe tenere:
Ac postea demum proretam agere, atque obseruare Aquilones,
Ac deinde gubernare ipsum seipso. Pro quibus omnibus: vt quòd
Prudenter, non stolide nugatus venerit in medium: vos
Tollite remorum sonitum: & ad vndenos transmittite remos.

E

Σχόλια. Οἵας δὲ Κράτης ὀργάς.] οὗτος κωμῳδίας ἦν ποιητής. ὃς πρῶτος ὑπεκείνατο Κρατίνου. καὶ αὐτὸς ποιητὴς ὕστερον ἐγένετο. καὶ ἐξωνεῖτο τοὺς θεατὰς καὶ τὴν τούτων εὔνοιαν. ἄλλως. τραγικὸς ποιητὴς, ὀλιγόστιχα ποιήματα γράψας, στυφελισμοὺς δὲ ὀργὰς λοιδορίας. ὕβρεις. μέμψεις. καὶ ἐν μυθικοῖς ὅτι στυφελῶν ἀπὸ πέτρων ὀστρακόεντα καὶ ἀγκύλα γυῖα κεάσθη. Ἀπὸ σμικρᾶς δαπάνης.] σμικρὰ ἐποίει καὶ ἔτερπε τοὺς ἀκροατὰς, γράφων ἡδέα. ἀριστίζων δὲ τρέφων ἄριστον κατασκευάζων. Ἀπὸ κραμβοτάτου.] ἡδυτάτου ξηροτάτου. ἔπαιξε δὲ ἀπὸ τοῦ τῶν λαχάνων ἐπινοίας. αὐτοσχέδιος γὰρ ἦν ποιεῖν τὰ δράματα. ἢ διὰ τὸ κάπυρος. ἄλλως. ἀπὸ τοῦ χρηστοτάτου. ἔπαιξε δὲ ἐπὶ τοῦ κραμβοτάτου, ἀπὸ τοῦ λαχάνου κράμβης οὕτω καλουμένης. παρὰ δὲ τοῖς Ἀττικοῖς κοράμβλη διὰ τὸ τὰς κόρας βλάπτειν. φασὶ γὰρ αὐτὴν ἐκ τῶν ὀφθαλμῶν τοῦ Λυκούργου. ἡνίκα γὰρ ὁ Διόνυσος τοῦτον εὐλαβηθεὶς εἰς τὴν θάλασσαν ἔδυ ὑπὸ τῆς ἀμπέλου δεσμευθέντα δάκρυον ἐκαφηκέναι. παρὰ τὸ δακρύου τὴν κράμβην. καὶ διὰ τοῦτο ἀντιπαθῶς ἔχειν ἀλλήλων τὴν κράμβην καὶ τὴν ἄμπελον. πιστοῦνται δὲ τὸν μῦθον τοῦτον γεωργῶν παῖδες. εἰ γάρ τις φασὶ τὴν ῥίζαν αὐτῆς ἐξάψαι ἐν ἀμπέλῳ, ἐὰν αὕτη καρπογονήσῃ κοιλόθεν καὶ πρώτη ἐν συμποσίῳ δίδοται. καὶ οἱ Αἰγύπτιοι πρὸ τῶν ἄλλων ἐδεσμάτων ἑφθὰς κράμβας ἤσθιον διὰ τὸ μὴ μεθύσκεσθαι οἴνῳ. βέλτιον δὲ κράμβη λέγοιτ' ἂν ἡ τῷ καρπῷ ἀντιβαίνουσα. χαριέντως δὲ ὁ ποιητὴς ἀντὶ τοῦ χρηστοτάτου, κραμβοτάτου ἔφησεν. ἵνα τὸ ἀπὸ μικρᾶς δαπάνης καὶ τὸ ἀριστίζω, ἀκόλουθον τῷ ἑξῆς λέγειν δοκῇ. μάττων δὲ, σκευαζόμενος, κατασκευάζων. ἐφευρίσκων ἀντήρκει δὲ ἀντεῖχε. Τοτὲ μὲν πίπτων, τοτὲ δ' οὐχί.] οἷον ἀνὰ μέρος εὐδοκιμῶν. εἶθ' ὅτι δὲ ἡττώμενος. τοῦτο δὲ εἶπεν, ὡς οὐκ ἀεὶ εὐδοκιμοῦντος. Ἐρέτην χρῆναι.] κωπηλάτην μὴ ἐπιχειρεῖν φησὶ κυβερνᾶν, εἰ μὴ ἐν πείρᾳ γένηται τοιαύτῃ. ἄλλως. μὴ πρὶν κυβερνᾶν. οὐ γὰρ οἷόν τε κυβερνᾶν, μὴ πρότερον ἐν πολλῇ πείρᾳ γενόμενον ἀποδημίας καὶ τῶν ναυτικῶν, καὶ τοὺς ἀνέμους προϊδεῖν τίνες μέλλουσι πνεῖν καὶ πρὸς τίνας. εἶθ' οὕτω κυβερνᾶν. ἐντεῦθεν δέ τινες τῶν τῆς παρ' ἡμῖν θρησκείας ἱεροφαντῶν δαιμονίως μετηρύθμισαν τὸ, ἐφαινῶ τὸν ναυτικὸν νόμον, ἐς τὸν κώπην πρότερον ἐγχειρήσαντα τῷ νῦν κυβερνήτῃ καὶ πιστεύσαντα ἔμπροσθεν. αὖθις ἐπὶ τῶν οἰάκων καθίζει μετὰ τὴν πολλὴν τυφθεῖσαν θάλασσαν, καὶ τὴν τῶν ἀνέμων διάσκεψιν. Ὅτι σωφρονικῶς.] μετὰ λογισμοῦ καὶ σκέψεως. καὶ οὐκ ἀνοήτως. οὐδὲ ἐκ τοῦ προχείρου. Αἴρεσθ' αὐτῷ πολὺ τὸ ῥόθιον.] ῥόθιον τὸ κῦμα ἀπὸ τοῦ ὀξέως ῥεῖν, ἀπὸ τῆς ἐρεσσόντων μετενήνοχεν. ὅταν συνεχῶς ὑπὸ πολλῶν ἐρετῶν, ἐπὶ πλέον προάγηται ἡ ναῦς εἰς τὸ ἔμπροσθεν. ἀξιοῖ οὖν τὸν νῦν ἔπαινον, μέχρι πολλοῦ παρατείνεσθαι. Ἐφ' ἕνδεκα κώπαις.] κέλευσμα ναυτικὸν λέγεσθαι ἐφ' ἕνδεκα κωπηλασίαις ἐκτεινομέναις. ἐπέμεινε δὲ τῇ τροπῇ. ἄλλως. Ἐπαράτω παραδέχεσθαι ἐφ' ἕνδεκα κώπαις ἐξῆς ἀπὸ τῶν ναυτικῶν.

F

G

ναυτικῶν. τουτέστιν ἀπὸ τοῦ κυβερνᾶν καὶ τοῦ ῥοθεῖν τὸ ἐφ' ἕνδεκα κώπαις ἐπήδησαν. ἢ ἐπειδὴ οἱ Ἀθηναῖοι τῶν A ναυτικῶν ἐπιστήμονες ἦσαν.

BISETVS. Ἔκθεσις κώλων δ'.

Θόρυβον χρηστὸν ληναΐτην,
Ἵν' ὁ ποιητὴς ἀπίῃ χαίρων,
Κατὰ νοῦν πράξας,
Φαιδρὸς λάμποντι μετώπῳ.

Strepitum vtibilem Lenaiten:
Vti poëta hic abeat lætus,
Votis compos,
Vultu fulgensque sereno.

Σχόλια. Ληναΐτην.] ἑορτὴ παρὰ τοῖς Ἀθηναίοις τὰ Λήναια. ἔστι δὲ εἰς Διόνυσον. ἐν ᾗ μέχρι νῦν ἀγωνίζονται ποιηταὶ συγγράφοντές τινα ᾄσματα τοῦ γελασθῆναι χάριν. ὅπερ ὁ Δημοσθένης εἶπεν ἐξ ἁμαξῶν. ἐπὶ ἁμα- B ξῶν γὰρ οἱ ᾄδοντες καθήμενοι λέγουσι καὶ ᾄδουσι τὰ ποιήματα. Φαιδρὸς λάμποντι μετώπῳ.] ἱλαρός. φαιδρὸς τὸ μέτωπον. ἢ διὰ τὸ φαλακρὸν εἶναι τὸν Ἀριστοφάνην.

ΣΤΡΟΦΗ
κώλων ιδ'.

Τροχαϊκοὶ δίμετροι.

Ἵππι' ἄναξ, Πόσειδον, ᾧ
Χαλκοκρότων ἵππων κτύπος,
Καὶ χρεμετισμὸς ἁνδάνει,
Καὶ κυανέμβολοι θοαὶ
Μισθοφόροι τριήρεις,
Μειρακίων θ' ἅμιλλα λαμ-
πρυνομένων ἐν ἅρμασιν,
Καὶ βαρυδαιμονούντων.
Δεῦρ' ἔλθ' ἐς χορὸν ὦ χρυσοτρίαιν', ὦ
Δελφίνων μεδέων Σουνιάρατε.
Ὦ Γεραίστιε παῖ Κρόνου,
Φορμίωνί τε φίλτατ', ἐκ
Τῶν ἄλλων τε θεῶν Ἀθη-
ναίοις πρὸς τὸ παρεστώς.

C
STROPHE
vers. 14.

Trochaici Dimetri.

REx maris ô equester, ô
Cui fremitus placent equûm,
Et crepêri frenûm lupi:
Rostráque acuta nauium,
D Æra foris merentum,
Et iuuenes, Olympico
Qui renitent certamine
Sorte grauati iniquâ.
Huc huc, qui trifida cuspide Phocis
Imperas, sua quem Sunia adorant:
O Gerestie, magne Rex,
Phormioni amice: tu
E Præ diuis alijs, Athe-
Narum vrbi bonus adsis.

Σχόλια. Ἵππι' ἄναξ Πόσειδον.] ὡς ἀρχηγὸς τοῦ Ποσειδῶνος τῶν ἐπιθέτων ἔθηκε τοῦτο. ἐπεὶ καὶ αὐτὸς ὁ χορὸς συνίσταται ἐξ ἱππέων. ἀποσεμνύνων οὖν βουλόμενος ἐπιτήδειον ὑμνῶ τὸν αὐτοῦ, οὕτω τὸν Ποσειδῶνα προσεῖπε. τουτέστιν ἱππικέ. Εἰσάγεται αὖθις διπλῆ εἰς ἣν ἐπάγεται ἐπιρρηματικὴ συζυγία. ἧς μέλη καὶ περίοδοι εἰσὶ ιδ' κώλων. ὧν τὰ μὲν ὀκτὼ χοριαμβικὰ ἰαμβικὴν ἔχοντα ἐπιμεμιγμένην ἀκατάληκτον καὶ καταληκτικὴν ὡς ἐν τοῖς ε' καὶ η'. τῶν δὲ ἑξῆς ἀντισπαστικὰ τὰ μὲν θ' καὶ ι' τρίμετρα καταληκτικά. τὰ δὲ λοιπὰ δίμετρα ἀκατάληκτα Γλυκώνεια ἐκ διτροχαίου καὶ ἰάμβου πλὴν τοῦ τελευταίου ἑφθημιμεροῦς. ὃ καλεῖται Φερεκράτειον ὑφ' ὃ παράγραφος καὶ διπλῆ ἔσω νενευκυῖα. ὅπλα ἔχειν αὐτὰ πόδας. εἰς αὐτὰ δὲ καὶ ἀντιστροφὴ σύγκειται. ἐφ' ἧς τῷ τέλει δύο διπλαῖ ἔξω νενευκυῖαι. ἡ μὲν ἐν ἀρχῇ τοῦ κώλου. ἡ δὲ κατὰ τὸ τέλος. Χαλκοκρότων.] χαλκοπόδων. τουτέστι τὰς ὁπλὰς ἰσχυρὰς ἐχόντων. συμβαίνει γὰρ ἠχεῖν τὴν γῆν, κτυπεῖν ἐπικρουομένην τοῖς ποσὶ τῶν ἵππων. Κυανέμβολοι.] ἤτοι αἱ τοὺς ἐμβόλους ἔχουσαι κυανῷ βεβαμμένους, ὡς μιλτοπάρῃοι, αἱ μεμιλτωμέναι. ἢ αἱ τέμνουσαι τὴν θάλασσαν. κυανὸν γὰρ τὸ ταύτης ὕδωρ. Μισθοφόροι τριήρεις.] αἱ τοὺς ἐπὶ μισθῷ στρατευομένους ἄγουσαι. Λαμπρυνομένων.] ἀντὶ τοῦ καυχωμένων, καὶ νικώντων ἐν τοῖς ἅρμασι. Βαρυδαιμονούντων.] ὅτι ἄθλιοι ἦσαν οἱ ἱπποτροφοῦντες καταναλίσκοντες αὐτῶν τὴν οὐσίαν. Ὦ χρυσοτρίαιν'.] περίφρασις ἐστὶ τῆς θαλάττης βασιλεῦ. Σουνιάρατε δὲ, ὁ ἐν τῷ Σουνίῳ ἀρώμενος καὶ εὐχόμενος. Σούνιον δὲ ἀκρωτήριον τῆς Ἀττικῆς.

BISETVS. Χρυσοτρίαινε,] τουτέστι χρυσῆν τρίαιναν ἔχων. ἐστὶ δὲ τοῦ Ποσειδῶνος ἐπίθετον, ὡς τὸ Σουνιά- F ρατε. τρίαιναν δὲ λέγουσι κρατεῖν τὸν Ποσειδῶνα, ἢ διὰ τὸ τρίτον στοιχεῖον εἶναι αὐτόν, ἢ διὰ τὸ εἰς τρία διαιρεῖσθαι τὸ ὕδωρ, εἰς ποτάμιον, εἰς θαλάσσιον, καὶ εἰς λιμναῖον.

Σχόλια. Γεραίστιε.] Γεραιστὸς ἀκρωτήριον τῆς Εὐβοίας, τῇ μὲν Κρημνίτην ἔχων, τῇ δὲ Λίχαιον. ἱερὰ δέ ἐστι τοῦ Ποσειδῶνος, ἔνθα ὁ Εὔριπος. Φορμίωνί τε φίλτατε.] προσφιλέστατε τῷ Φορμίωνι. τὸν μῦθον δὲ ἀντιτίθησιν, ὅτι καὶ ὁ Ποσειδῶν περὶ τῶν Ἀθηνῶν ἀντεποιεῖτο, καὶ τῇ Ἀθηνᾷ ἤρισε. στρατηγὸς δὲ Ἀθηναίων ναυτικώτατος ὁ Φορ- G μίων. καὶ πολλάκις εὐτυχήσας ἐν ναυμαχίαις καὶ ἐν τῇ πρὸς Λακεδαιμονίους μάχῃ κατορθώσας νζ'. ναῦς διέφθειρεν. ἐκ τῶν ἄλλων τε θεῶν.] ἐκ τῶν ἄλλων θεῶν σὺ μόνος. δεῦρο ἐλθὲ Ἀθηναίοις πρὸς τὸ παρεστώς, τουτέστι πρὸς τὰ παρόντα καὶ ἐνεστῶτα πράγματα. ἐπεὶ νῦν εἰσὶν Ἀθηναῖοι Φορμίωνος στρατηγοῦντος περὶ ναυμαχίαν ἠνδραγάθησαν.

ΕΠΙΡΡΗΜΑ
στίχων ις'.

Τροχαϊκοὶ, Τετράμετροι, Καταληκτικοί.

Εὐλογῆσαι βουλόμεσθα τοὺς πατέρας ἡμῶν, ὅτι
Ἄνδρες ἦσαν τῆσδε τῆς γῆς ἄξιοι, καὶ τοῦ πέπλου,
Οἵτινες πεζαῖς μάχαισιν, ἔν τε ναυφράκτῳ στρατῷ B
Πανταχοῦ νικῶντες ἀεὶ, τήνδ' ἐκόσμησαν πόλιν.
Κοὐδεὶς οὐδεπώποτ' αὐτῶν τοὺς ἐναντίους ἰδὼν
Ἠρίθμησεν. ἀλλ' ὁ θυμὸς εὐθὺς ἦν ἀμυνίας.
Εἰ δέ που πέσοιεν ἐς τὸν ὦμον ἐν μάχῃ τινὶ,
Ταῦτ' ἀπεψήσαντ' ἂν, εἶτ' ἠρνοῦντο μὴ πεπτωκέναι, C
Ἀλλὰ διεπάλαιον αὖθις. καὶ στρατηγὸς οὐδ' ἂν εἷς
Τῶν προτοῦ, σίτησιν ᾔτησ' ἐρόμενος Κλεαίνετον.
Νῦν δ' ἐὰν μὴ προεδρίαν φέρωσι, καὶ τὰ σιτία,
Οὐ μαχεῖσθαί φασιν. ἡμεῖς δ' ἀξιοῦμεν τῇ πόλει D
Προῖκα γενναίως ἀμύνειν, καὶ θεοῖς ἐγχωρίοις.
Καὶ πρὸς, οὐκ αἰτοῦμεν οὐδὲν, πλὴν τοσουτονὶ μόνως,
Ἤν ποτ' εἰρήνη γένηται, καὶ πόνων παυσώμεθα,
Μὴ φθονεῖθ' ἡμῖν κομῶσι, μηδ' ἀπεστλεγγισμένοις. E

EPIRRHEMA
vers. 16.

Trochaici, Septenarij, Catalectici.

Praedicare volumus maiores nostros: quoniam viri
Fuerant & terra hac, & festiuo peplo dignissimi,
Qui mari & terra viriliter conseruerunt manus
Cum hoste, semper victores, vbique hunc decorantes locum,
Neque quisquam illorum conspectis hostium vnquam copijs
Cessauit: sed animus defensor eis inerat illico.
Si forte in pugna caderent in humerum, tum hanc rem protinus
Abstergebant: post cecidisse se negabant firmiter.
Mox iterum in pugnam redibant: neque quisquam veterum ducum
Postulabat publicum victum, orato Cleaeneto. At
Nunc, nisi vbique primas teneant, vnà cum cibarijs,
Se pugnaturos negant. Nos verò aequum esse ducimus,
Gratis, & patriae, & Dis indigenis opitularier.
Hic nihil amplius requirimus, praeterquam hoc vnicum:
Si quando pax restituatur, & à bello sit ocium:
Ne nobis inuideatis bene comtis & tersis viris.

Σχόλια. Εὐλογῆσαι βουλόμεσθα.] τὸ ἐπίρρημα, στίχων ις', τετραμέτρων τροχαϊκῶν καταληκτικῶν, ὃ φιλεῖ Λυσίστρατος(?). ὁμοίως δὲ καὶ τὸ ἀντεπίρρημα. δηλοῖ δ' ἄμφω τὴν παράβασιν. ἀλλὰ τὸ μὲν τῇ ἔσω διὰ τὴν ἀνταπόδοσιν, τὸ δὲ τῇ ἔξω. εὐλογῆσαι δὲ ἀντὶ τοῦ ἐπαινέσαι, ὑμνῆσαι, ἐγκωμιάσαι. Ἄξιοι τοῦ πέπλου.] ἰδία παρὰ τοῖς Ἀθηναίοις πέπλος τὸ ἄρμενον τῆς Παναθηναϊκῆς νεὼς, ὃ οἱ Ἀθηναῖοι κατασκευάζουσι διὰ τετραετηρίδος, ὡς καὶ τὴν πομπὴν, ἀπὸ τοῦ κεραμικοῦ ποιοῦσι μέχρι τοῦ Ἐλευσινίου. πέπλον δὲ καλοῦσι τὸ ἄρμενον διὰ τὸ ἀραιὸν αὐτὸ εἶναι. ἄλλως. τοῦ πέπλου. ᾧ ἐνέγραπτο Ἐγκέλαδος, ὃν ἀνεῖλεν ἡ Ἀθηνᾶ. ἦν δὲ εἰς τὴν Γιγάντων. ἐπεσκευάζετο οὖν ὁ πέπλος καθ' ἕκαστον ἐνιαυτὸν, καὶ ἐπομπεύετο ἐν τοῖς Παναθηναίοις. ἄλλως. νικήσαντες πέπλον ἐποίησαν τῇ Ἀθηνᾷ, καὶ ἐνέθεντο τοὺς ἀριστείας ἐν αὐτῷ. Εὐριπίδης Ἑκάβῃ. ἢ Παλλάδος ἐν πόλει τὰς καλλιδίφρου Ἀθαναίας ἐν κροκέῳ πέπλῳ ζεύξομαι ἅρματι πώλους. Ναυφράκτῳ στρατῷ.] τῷ συμπεφραγμένῳ καὶ συντεταγμένῳ ναυτικῷ.

Bisetus. Πανταχοῦ νικῶντες ἀεί.] Αἰσχύλος ἐν ἑπτὰ ἐπὶ Θήβαις. G
Ἐστ' ἂρ Ἀθηνῶν, ἔστ' ἀπόρθητος πόλις.
Ἀνδρῶν γὰρ ὄντων ἕρκος ἐστὶν ἀσφαλές.

Σχόλια. Ἠρίθμησεν] ἀπεδειλίασεν, μεθ' ἡσυχίας ἦλθεν. Ἀμυνίας.] ἕτοιμος πρὸς τὸ ἀμύνειν, ὡς ἐπὶ τῶν ἐν πάλῃ ἀγωνιζομένων. Εἰ δέ που πέσοιεν.] ἡττηθεῖεν. ἡττηθέντες ἀπῆλθον. ἄλλως. εἶδος παλαίσματος. ὃ τινες ψευδόπτωμα καλοῦσιν. ἐπέμεινε δὲ τῇ τροπῇ· καὶ γὰρ τῶν παλαιόντων οἱ εἰς τὸν ὦμον πεσόντες, ἐξαναστάντες εἰώθασιν ἀποψῆν τὴν κόνιν, ἵνα μὴ ἴχνος ἔχοιεν μηδ' ἔλεγχον τοῦ πτώματος. ὃ δὲ λέγει, τοιοῦτόν ἐστιν. ὅτι οἱ πρὸ ἡμῶν εἰ καὶ ἡττηθεῖεν ἐν μάχῃ, πάλιν αὐτοὶ τὴν ἧτταν ἀνεκαλοῦντο ταχέως, καὶ τοῖς νενικηκόσιν ἡττηθεῖσιν ἐκ δευτέρου, πλέον τῆς προτέρας νίκης οὐδὲν ἦν. Ἀπεψήσαντ' ἄν.] ἀπεμάξαντο ὡς οἱ παλαίοντες, ἵνα μηδὲν ἴχνος ἔχοιεν πτώματος. διεπάλαιον δὲ ἀνεπάλαιον. ἀνεμάχοντο. Τῶν προτοῦ, σίτησιν.] σίτησιν λέγει τὴν ἐν Πρυτανείῳ τράπεζαν, τουτέστι δημοσίᾳ τρέφεσθαι, οὐδεὶς ἂν τῶν παλαιῶν ἠξίωσεν, ὡς τῶν κατ' αὐτὸν στρατηγῶν τοῦτο ποιούντων, καὶ ὡς ἐπὶ μισθῷ ὑφισταμένων κατορθοῦν τι τῇ πόλει. ἄλλως. στρατηγῶν Ἀθηναίων τῶν πρότερον οὐδεὶς πρὸ τοῦ πολέμου σίτησιν ᾔτησεν, ἂν μὴ ὁ δῆμος χρεῖ, ὑπῆρ. νῦν δὲ ἐὰν μὴ τιμῶνται προεδρίᾳ, καὶ σιτίοις, ἀναγκ. Ἔστιν. ἴσκα ψιλ. ὁ γὰρ ἔστι σίτησιν, ἐὰν μὴ ἔχωσι τῇ προεδρίᾳ τιμῆς ἀξιωθῶσιν, οὐ μαχεῖσθαί φασι. Κλεαίνετον.] οὗτος ὁ Κλεαίνετος φαίνεται κατὰ δόξαν τῇ ὑπονοίᾳ ἡδυπαθής. οἱ δὲ, ὅτι οὗτος ἔγραψε ψήφισμα μηδένα δεῖν διδόναι τοῖς στρατηγοῖς σίτησιν. προτείνας δὲ μόνον τὸν Κλεαίνετον ἀποκεῖσθαι μόνον. στοχάζεται οὖν τινες ὅτι οὗτος ἂν εἴη ὁ τὴν σίτησιν προτείνας τοῦ Κλέωνος.

Bisetus. Κλεαίνετον] πατέρα τοῦ Κλεαινέτου Θουκυδίδης

κύδίδης πατέρα Κλέωνος εἶναι λέγει.

Σχόλια. Εὰν μὴ προεδρίαν φέρωσι.] τιμῆς καὶ τοῦτο τρόπος. ἐξῆν δὲ τοῖς τιμῆς ταύτης τυχοῦσι, καὶ ἐν βουλευτηρίῳ καὶ ἐν ἐκκλησίᾳ καὶ ἐν θεάτροις καὶ ἐν ἄλλῳ παντὶ συλλόγῳ τοὺς προλαμβάνοντας οἵτινες ἦσαν ἐξαναστήσαντας αὐτοὺς εἰς τὸν ἐκείνων τόπον καθίζειν. πεποίηται δὲ τὸ ὄνομα ἀπὸ τοῦ τὴν πρώτην αὐτοὺς ἕδραν ἔχειν. ἄλλως. ἐὰν μὴ προτεραίον φησὶ τοιούτου τύχωσι τινός, ἀπειλοῦσι μὴ μάχεσθαι. διὰ τούτων καθαπτόμενος ὁμοῦ τε καὶ τῶν Ἀθηναίων καὶ τῶν στρατηγῶν. τῶν μὲν Ἀθηναίων, ὡς ἀναξίοις διαδιδόντων τὰς τιμὰς καὶ τὰς δωρεάς, εἰ πρίν τι δρᾶσαι τὴν πόλιν ἀγαθόν, ταῦτα δεδώκασιν αὐτοῖς. τῶν δὲ στρατηγῶν, ὡς τιμωμένων πρὶν τῶν κατορθωμάτων, καὶ τῶν ἤδη τιμῆς ἴσως τετυχηκότων τὴν δόξαν ἀφαιρουμένων οἱ φαίνονται δωρεὰν λαβόντες ἐπ' ἀνδραγαθήμασι. Καὶ τὰ σιτία.] οἱ ἐπὶ στρατείαν ἐξιόντες χρόνου τινός, ἐπήγοντο σιτία. οὗτοι δέ φησιν οἱ νῦν, ἐὰν μὴ προεδρίας τινὸς τιμῆς ἀξιωθῶσιν, οὐκ ἐξίασιν ἐπὶ πόλεμον. σιτία γοῦν εἶπε, τὴν ἐν Πρυτα-

νείῳ σίτησιν. Κομῶσι.] τρυφῶσι, πλουτοῦσι. τὸ γὰρ κομᾶν ἐπὶ τοῦ τρυφᾶν λέγεται καὶ γαυριᾶν, καὶ μέγα φρονεῖν. ἄλλως. ἐπεὶ καὶ τοῦ θρέξαι κομᾶν εἰς τιμὴν συγκεχώρηται αὐτοῖς. Ἀπεστλεγγισμένοις.] κεκαρμένοις. Κινέας γὰρ καὶ Φεῖνος εἰσηγήσαντο μισθοὺς λαβεῖν τοὺς νέους, νόμον γράψαντες μηκέτι ἀκροατάς εἶναι, ὃν πρότερον τὸ παλαιόν, μηδὲ κομᾶν. ἢ ἀπεξεσμένοις καὶ ἐκπεπανηκόσιν ἀπὸ ἀλείμματος. Ἀντιφῶν δὲ ἀκούει στλεγγίδας τὰς σταγόνας τοῦ ἐλαίου. ἀπεστλεγγισμένοις, ἀντὶ τοῦ ἐγκεκαθαρμένοις, μετλουμένοις. στλεγγὶς γὰρ ἡ ξύστρα καὶ στλεγγιζόμενος ἀποξυόμενος. καὶ ἀλλαχοῦ γῆρα. εἰ παιδαρίοις ἀκολουθεῖν δεῖ σφαῖραν καὶ στλεγγίδ' ἔχοντα, διαταλεύσιν. οὐδὲ γὰρ αὐτὴ στλεγγίς, οὐδ' ἐν λήκυθος. καλεῖται στλεγγὶς καὶ χρυσοῦν ἔλασμα τὸ περὶ τῇ κεφαλῇ τῶν γυναικῶν. ἡ δὲ στλεγγὶς τῶν πρὸς ἀλλότι. οὐ γὰρ πρὸς τὸ περιξύεσθαι ἄν τις αὐτῇ χρήσαιτο μόνον, ἀλλὰ καὶ πρὸς τὸ ὕδωρ ἀρύσασθαι. ἀπεστλεγγισμένοις οὖν ἀπεξεσμένοις, ἢ ἐλαίῳ ἀλειμμένοις.

ΑΝΤΩΔΗ ΚΑΙ ΑΝΤΙΣΤΡΟΦΗ

κώλων ιδ.

Τροχαϊκοὶ δίμετροι.

Ὦ πολιοῦχε Παλλάς, ὦ
Τῆς ἱερωτάτης ἁπα-
σῶν πολέμῳ τε καὶ ποιη-
ταῖς, δυνάμει θ' ὑπερφερού-
σης μεδέουσα χώρας,
Δεῦρ' ἀφικοῦ λαβοῦσα τὴν
Ἐν στρατιαῖς τε καὶ μάχαις
Ἡμετέραν ξυνεργὸν
Νίκην, ἣ χορικῶν ἐστιν ἑταίρα,
Τοῖς τ' ἐχθροῖσι μεθ' ἡμῶν στασιάζει.
Νῦν οὖν δεῦρο φάνηθι. δεῖ
Γὰρ τοῖς ἀνδράσι τοῖσδε, πά-
σῃ τέχνῃ πορίσαι σε νί-
κην, εἴπερ ποτέ, καὶ νῦν.

ANTODE, ET ANTISTROPHE

vers. 14.

Trochaici Dimetri.

Casta Minerua, quæ omnium
Hanc celeberrimam urbium
Marte poëticaque habes:
Et valida potentia
Huic domināris ora.
Huc ades, & simulfer huc,
Inque acie, inque prælio
Auxilij sodalem
Palmam: grata Chori quæ comes huius,
Nobiscum aggreditur bello inimicos.
Eia huc, huc ades: his enim
Palma præmia, si priùs
Vnquam, nunc etiam, viris
Te concedere oportet.

Σχόλια. Ὦ πολιοῦχε Παλλάς.] ἡ τὴν πόλιν κατέχουσα καὶ περιέχουσα. ἐπεὶ καὶ ἄρχει τῆς πόλεως. ἔφορος γὰρ αὐτῆς ἡ θεός. καὶ τὴν ἐπὶ τοῖς πολέμοις ἀρετὴν διὰ τούτων ἐδήλωσεν αὐτῆς. ὁ δὲ νοῦς. ὦ τῆς ἁπασῶν ὑπερφερούσης καὶ ὑπερβαλλούσης χώρας μεδέουσα καὶ βασιλεύουσα ἐν δυνάμει καὶ ποιηταῖς. ἐπικαλεῖται δὲ τὴν θεὸν μετὰ τῆς νίκης συνελθεῖν παραστῆναι τοῖς ποιήμασιν αὐτοῦ. ὁμοῦ δὲ καὶ τὴν ἐπὶ σοφίᾳ δόξαν τῆς πόλεως καὶ τὴν ἐπὶ τοῖς πολέμοις ἀρετὴν διὰ τούτων ἐδήλωσε. ξυνεργὸν δὲ ὁ συμπράττουσα, σύμμαχον. Ἡ χορικῶν ἐστιν ἑταίρα.] ἢ τοῖς χοροῖς ἐστι προσφιλὴς καὶ συνήθης. οἱ γὰρ τῆς ἀρχαίας κωμῳδίας ποιηταὶ καὶ τραγικοὶ χοροὺς ἵστασαν, οἳ τὰ χορικὰ ὑπεκρίνοντο καὶ ᾖδον μέλη. συνειστήκει δὲ ὁ χορὸς ὁ μὲν κωμικὸς ἐξ ἀνδρῶν κδ καὶ γυναικῶν, ὁμοῦ δὲ καὶ ἐκ παίδων κδ, ὡς καὶ ἀπηριθμήσατο ὁ ὄρνισιν. ἄρρενας μὲν ὄρνεις ιβ. θηλείας δὲ τοσαύτας. ὁ δὲ τραγικὸς ιε. ὡς Αἰσχύλος Ἀγαμέμνονι. ἔστι δὲ ὅτε καὶ ἡμιχόρια ἵσταντο οὗτοι ἐξ ἀνδρῶν καὶ γυναικῶν. ἐν δὲ τοῖς τοιούτοις χοροῖς, οἱ μὲν ἐξ ἀνδρῶν εἶεν καὶ γυναικῶν ὁ χορός, ἐπλεονέκτει τὸ τῶν ἀνδρῶν μέρος καὶ ἦσαν ιγ. αἱ δὲ γυναῖκες ἕνδεκα. εἰ δὲ παίδων εἴη καὶ γυναικῶν, αἱ μὲν γυναῖκες τεσσαρεσκαίδεκα ἦσαν. οἱ δὲ παῖδες, ἕνδεκα. εἰ δὲ πρεσβυτῶν καὶ νέων, τοὺς πρεσβύτας πλεονεκτεῖν δεῖν φασίν. ἄλλως. χορικῶν τῶν κωμικῶν καὶ τραγικῶν. ἢ γὰρ ἐνίκων ἢ ἡττῶντο οἱ ἀγωνιζόμενοι. Τοῖς τ' ἐχθροῖσι.] τοῖς ἀντιπάλοις, τοῖς ἐναντιωθεῖσι. στασιάζει δὲ ἀντὶ τοῦ πρὸς φιλονεικίαν διαφέρεται.

ΑΝΤΕΠΙΡΡΗΜΑ

στίχων ιε.

Τροχαϊκοί, τετράμετροι, Καταληκτικοί.

ANTEPIRRHEMA

vers. 16.

Septenarij, Trochaici, Catalectici.

Ἃ ξυνίσμεν, τοῖσιν ἵπποις βουλόμεσθ' ἐπαινέσαι. A
Ἄξιοι δ' εἴσ' εὐλογεῖσθαι, πολλὰ γὰρ δὴ πράγματα
Ξυνδιήνεγκαν μεθ' ἡμῶν, εἰσβολάς τε καὶ μάχας.
Ἀλλὰ τἀν τῇ γῇ μὲν αὐτῶν, οὐκ ἄγαν θαυμάζομεν,
Ὡς ὅτ' εἰς τὰς ἱππαγωγοὺς εἰσεπήδων ἀνδρικῶς, B
Πριάμενοι κώθωνας, οἱ δὲ καὶ σκόροδα, καὶ κρόμμυα, (τοι),
Εἶτα τὰς κώπας λαβόντες, ὥσπερ ἡμεῖς οἱ βροτοὶ
Ἐμβαλόντες ἀνεβρύαξαν, ἱππαπαῖ, τίς ἐμβαλεῖ;
Ληπτέον μᾶλλον, τί δρῶμεν; οὐκ ἐλᾷς ὦ Σαμφόρα;
Ἐξεπήδων τ' εἰς Κόρινθον, εἶτά γ' οἱ νεώτεροι
Ταῖς ὁπλαῖς ὤρυττον εὐνάς, καὶ μετῄεσαν στρώματα. C
Ἤσθιον δὲ τοὺς παγούρους, ἀντὶ πόας Μηδικῆς,
Εἴ τις ἐξέρποι θύραζε, κἀκ βυθοῦ θηρώμενοι.
Ὥστ' ἔφη Θέωρος, εἰπεῖν καρκίνον Κορίνθιον,
Δεινά γ' ὦ Πόσειδον, εἰ μήτ' ἐν βυθῷ δυνήσομαι,
Μήτ' ἐν γῇ, μήτ' ἐν θαλάττῃ διαφυγεῖν τοὺς ἱππέας. D

Radicare item volumus de equis, quæ pulcra nonimus.
Digni enim sunt, quos celebremus: nam nobiscum plurima
Pertulerunt, incursus, irruptiones, prælia,
In terra quidem non valde admiramur eos: atque ubi
In naues, quîs trajici solent, insiluerunt: ibi
Militaria pocula ementes: & cæpas & allia.
Postea acceptis remis, ut & nos, impulêre aquas,
Hinnierúntque Hippapæ, quis remigabit? cùm potiùs
Sumendum, quid agimus? cur non agitas currum Samphora?
Exiluère etiam in Corinthû: & iuniores postea
Vngulis cubilia perfodère, relictis stragulis:
Comedebant autẽ in naui cancros, pro gramine Medico
Siqui erepserant, etiam in cauernis piscati intimis
Vnde apud Theorum sic loquitur cancer Corinthius:
Occidi ò Neptune, si neque in cauernis postea
Effugere potero hos equites, neque in terra, neque in mari.

Σχόλια. Ἃ ξυνίσμεν.] ὅτι καὶ αὐτοὶ παρακολουθήσαντες γινώσκομεν. ἐπεὶ δὲ ἀλλότρια τῶν ἱππέων οὐσίας μέλλει περὶ αὐτῶν λέγειν, ἵνα θεραπεύσῃ τῆς ἐπαγγελίας τὸ ἀπίθανον, ὥσπερ αὐτοῖς συνέγνω, ταῦτά φησι περὶ αὐτῶν ἐρεῖν. Τοῖσιν ἵπποις.] ἵνα μὴ εἴπῃ τοῖς ἱππεῦσι καὶ δόξῃ χαρίζεσθαι τῷ χορῷ, ἀλλ' ἵνα διὰ τῶν ἵππων ἐπαινέσῃ αὐτούς.

Bisetus. Τοῖσιν ἵπποις] οὕτω δὲ λέγει, ὅτι κατὰ τὸν Εὐριπίδην ἐν Ἰφιγενείᾳ ἐν Αὐλίδι, E
Αἰνούμενοι γὰρ οἱ 'γαθοί, τρόπον τινὰ
Μισοῦσι τοὺς αἰνοῦντας, ἐὰν αἰνῶσ' ἄγαν.

Σχόλια. Εἰσβολάς.] τὰς ἐπὶ τὴν τῶν πολεμίων χώραν ἐκάλουν εἰσβολάς. ἱππαγωγοὺς δὲ τὰς ἵππους καὶ ἄνδρας ἀγούσας ναῦς. Κώθωνας.] εἴδη ποτηρίων ἃ ἐλάμβανον οἱ στρατιῶται. τοὺς ἱππέας δὲ ἐπαινεῖν βουλόμενος ταῦτά φησιν. ἄλογον γὰρ καὶ ἀλόγοις ζώοις λογισμὸν περιτιθέναι. τοὺς δὲ Ἀθηναίους ἐπαινεῖ, ἐπεὶ ἠπειρῶται ὄντες, ἀντεποιήσαντο τῆς θαλάττης. καὶ οὐκ ἀπέτυχον τῆς προσδοκίας. F διὰ δὲ τοῦ σκορόδου καὶ κρομμύου, τὴν εὐτέλειαν δεικνύουσι τῶν τε ναυτικῶν καὶ στρατιωτικῶν σιτίων. ὅτι εὐτελῆ οἱ στρατιῶται ἔφερον. ἄλλως. κώθων εἶδος ἐκπώματος ὀστρακίνου. ἢ εἶδος ποτηρίου Λακωνικοῦ καὶ στρατιωτικοῦ. ἐπειδὴ μιαρὸν ὕδωρ ἐλάμβανον οἱ ναῦται, κώθωνας εἶχον. Ἀπιατός(?). ἔφερε δὲ δᾷδα συγκεκομμένην καὶ θεῖον ἐν κώθωσι. καὶ κωθωνίσαι τὸ μεθύσαι. ὡς τὸ ἱερὸν δὲ καὶ κωθωνιζόμενος ἀφ' ἡμέρας.

Bisetus. Κώθωνας.] Ἀθήναιος ἐν τῷ ἑνδεκάτῳ τῶν δειπνοσοφ. τούτων μέμνηται. Κώθων, φησί, Λακωνικὸν ποτήριον, οὗ μνημονεύει Ξενοφῶν ἐν πρώτῳ Κύρου παιδείας. καὶ μετ' ὀλίγον. Κώθων, Λακωνικὸν ἔκπωμα χρησιμώτατον εἰς στρατείαν, καὶ εὐφορώτατον ἐν γυλίῳ. καὶ τὰ ἑξῆς. μνημονεύει τούτου καὶ Ἀρχίλοχος ἐν ἐλεγείοις ὡς ποτηρίου ὄντος. G
Ἀλλ' ἄγε σὺν κώθωνι θοῆς διὰ σέλματα νηὸς
Φοίτα, καὶ κοίλων πώματ' ἄφελκε κάδων.
Ἄγρει δ' οἶνον ἐρυθρὸν ἀπὸ τρυγός. οὐδὲ γὰρ ἡμεῖς
Νήφειν ἐν φυλακῇ τῇδε δυνησόμεθα.

Σχόλια. Τίς ἐμβαλεῖ.] ἰδίως τὸ κροῦσαι ναῦς ἐν(?), ἐμβαλεῖν λέγουσι. φησὶν οὖν, τίς ὁ τολμήσας τοῖς ἐναντίοις ἐξ ἐναντίας στῆναι. κυρίως οὖν τὸ ἐμβαλεῖν τὸ τῇ κώπῃ κροῦσαι, νῦν δὲ ἀντὶ τοῦ τοῖς ἵπποις συμβαλεῖν. τὸ δὲ ἱππαπαί, ἔπαιξε παρὰ τὸ ῥυππαπαί, εἰρηκὼς ὡς ἐπὶ ἵππων. ἔστι δὲ τὸ ῥυππαπαὶ ἐπιφώνημα ναυτικόν. ἢ ψόφου μίμημα ἀπὸ τῶν κωπῶν ἀποτελούμενον. ἀνεβρύαξαν δὲ, ἀνεθορύβησαν, ἀνέκραξαν. οὐκ ἐλᾷς δ' οὐκ ἐρέττεις, οὐ κωπηλατεῖς. Ὦ σαμφόρα] ἰδίως καλοῦνται σαμφόραι ἵπποι ἐγκεχαραγμένοι τὸ γὰρ σ. σημεῖον, οἱ Δωριεῖς τὸ σὰν καλοῦσιν. Ἐξεπήδων.] κυρίως τὸ ἐξεπήδων, ἐπὶ ἵππων. φησὶ δὲ ἐξώρμων. ἐναργεῖ δὲ λέξει κέχρηται δεικνὺς αὐτῶν τὴν προθυμίαν. παγούρους δὲ τοὺς παρ' ἡμῖν καράβους. Ἀντὶ πόας Μηδικῆς.] τοῦ παρ' ἡμῖν χόρτου. λέγεται δὲ πόα Μηδικὴ ἀρίστη καὶ καλλίστη καὶ ἐπιτήδειος τοῖς ἵπποις. ἡ αὐτὴ δὲ, τρίφυλλος λέγεται. ὅτι Μῆδοι ἐχθροὶ Ἀθηναίων καὶ ἡ τῶν Μήδων χώρα ἔφυδρος οὖσα χόρτον πολὺν ἐκφέρει. ἑκάστη δὲ βοτάνη πόα λέγεται. ὁ δὲ σμῆχος(?), πόα λέγεται παρὰ Δημοσθένει καὶ Λυσίᾳ. ἄλλως. ἀντὶ λόχου Μηδικοῦ. ἔφυδρος γὰρ ἡ Μηδικὴ χώρα Μηδείας τε οὖσα καὶ κάθυγρος εὔφορος ἐστὶν εἰς τὰς τῶν κτηνῶν τροφάς. ἐπεὶ τοῖς Ἀθηναίοις ἔθος ἦν Μήδων κρατεῖν. Εἴ τις ἐξέρποι.] εἴ τις προκύψειε μόνον, ἐπέμφει δὲ τῇ τροπῇ πλεῖόν τι περὶ τῶν Ἀθηναίων φιλοτιμούμενος. οὐ γὰρ τοὺς προϊόντας φησὶ διέφθειρον συλλαμβάνοντες, ἀλλὰ καὶ τοὺς ἐν τοῖς αὐτοῖς ὄντας τοῖς βυθοῖς. ταῦτα δὲ πάντα πρὸς τὴν ἐμπειρίαν αὐτῶν ἀποτεινόμενος τὴν περὶ τὰ ναυτικά. Θέωρος.] ὁ ποιητὴς Θέωρος ἔφη εἰπεῖν τινα Καρκίνον Κορίνθιον ταῦτα. ἀποδέχεται δὲ αὐτοὺς πίνοντας ἕνεκα τοῦ νικῆσαι μόνον. ὁ Θέωρος ἔσκωψε Καρκίνον λέγοντα πρὸς τὸν Ποσειδῶ καὶ ἀποδυσπετοῦντα. προσωποποιεῖ ὥς τινα Καρκίνον. διὰ τὸ γὰρ καὶ

τοὺς ἱππέας καὶ οὐχ ἱππεῖς. ὡς μοιχὸς δὲ κωμῳδεῖται ὁ Θέωρος καὶ ἰχθυοφάγος καὶ πονηρός. περὶ Κόρινθον οὖν διατελοῦν, ἴσως διὰ τὰς ἐκεῖ πόρνας. ἦν δὲ καὶ κόλαξ. ταῦτα οὖν λέγει, ἴσως κολακεύων τοὺς ἱππέας. Δεινά γ' ὦ Πόσειδον.] δοκοῦσι καὶ οἱ Κορίνθιοι μάλιστα σέβειν Ποσειδῶνα διὰ τὸν Ἰσθμόν. ὅθεν καὶ γυμνικὸν ἀγῶνα τὰ Ἴσθμια ἐπιτελοῦσι τῷ τε Παλαίμονι καὶ τῷ Ποσειδῶνι. ἄλλως, ὅτι οἱ Ἀθηναῖοι ἐστράτευσαν ἐπὶ Κόρινθον, καὶ περὶ Κορχίας ἐνίκησαν Νικίου στρατηγοῦντος τοῦ Νικηράτου, σὺν ἱππεῦσι καὶ ὁπλίταις καὶ ναυσί. Μήτ' ἐν γῇ μήτ' ἐν θαλάττῃ.] ὡς τῶν Ἀθηναίων οὐ κατὰ θάλατταν μόνον, ἀλλὰ καὶ κατὰ γῆν ἐν τοῖς πολέμοις κρατούντων.

ΔΡΑΜΑΤΟΣ ΔΕΥΤΕΡΟΥ, Σκηνὴ πρώτη.

Τρίμετροι, καὶ ἄλλοι μικτοί.

ΧΟΡΟΣ, ΑΛΛΑΝΤΟΠΩΛΗΣ, Η ΑΓΟΡΑΚΡΙΤΟΣ.

ACTVS II. SCENA I.

Senarij & alij misti.

CHORVS, AGORACRITVS.

BISETVS. Χορὸς τὸν Ἀλλαντοπώλην ἰδὼν πάλιν ἐλθόντα νῦν, καὶ χαίροντα, πᾶν τὸ πρᾶγμα, καὶ τὸν ἠγωνισμένον ἀγῶνα, καὶ τὴν νίκην ἀπὸ Κλέωνος ἀπενεχθεῖσαν ἑαυτῷ φανερῶς αὐτὸν διηγεῖσθαι κελεύει. ὅσην δὲ περὶ τῆς αὐτοῦ σωτηρίας, καὶ λαμπρᾶς νίκης ἡδονὴν, καὶ χαρὰν ἔχοι, διαρρήδην λέγει.

BISETVS. Σύστημα στίχων ί.

Χο. Ὦ φίλτατ' ἀνδρῶν καὶ νεανικώτατε
Ὅσην ἀπὼν παρέσχες ἡμῖν φροντίδα;
Καὶ νῦν ἐπειδὴ σῶς ἐλήλυθας πάλιν,
Ἄγγειλον ἡμῖν πῶς τὸ πρᾶγμ' ἠγωνίσω.
Αλ. Τί δ' ἄλλο γ', εἰ μὴ Νικόβουλος ἐγενόμην;

CH. *Hominum charissime, & iuuenum fortissime,*
Quantam iniecisti nobis solicitudinem,
Dum abes: At nũc, quãdo saluus huc reuerterὺ,
Expone, quomodo tuam causam obtinueris.
AG. *Quomodo enim aliter, nisi quòd victor fui in foro?*

Σχόλια. Ὦ φίλτατ' ἀνδρῶν.] ἔτι τοῦ χοροῦ ἴαμβοι τρίμετροι ἀκατάληκτοι ί. τοῦ ὑποκειμένου προσερχομένου. ἄλλως. ὦ φίλτατε. ὁ χορὸς πρὸς τὸν ἀλλαντοπώλην ἥκοντα ἀπὸ τῆς βουλῆς καὶ καταγωνισάμενον Κλέωνα. Φροντίδα.] ἀγωνίαν καὶ μέριμναν καὶ φόβον. ὃ δὲ λέγει, τοιοῦτόν ἐστιν. εἰς δέος κατέστησας ἡμᾶς, μὴ περιυβρισμενθῇς πρὸς τοῦ Κλέωνος. Νικόβουλος.] ἤγουν φησι τὴν νίκην ἀπενεγκάμην. ἀστείως δὲ κέχρηται τῷ συνθέτῳ. καὶ τὰ ὀνόματα συνέπλεξεν ἄμφω. ἐν τῇ βουλῇ γὰρ τὴν φιλονεικίαν ἐποιήσατο προσκαλεσαμένου τοῦ Κλέωνος. καὶ οἱ βουλευταὶ τὴν νίκην προσένειμαν αὐτῷ.

BISETVS. Στροφὴ κώλων ή.

Χο. Νῦν ἄρ' ἄξιόν γε πᾶσιν ἐστὶν ἐπολολύξαι.
Ὦ καλὰ λέγων, πολὺ δ' ἀμείνον' ἔτι τῶν λόγων
Εἰργασμένε, εἴθ' ἐπέλ-
θοις ἅπαντά μοι σαφῶς,
Ὡς ἐγώ μοι δοκῶ,
Κἂν μακρὰν ὁδὸν διελθεῖν, ὥστ' ἀκοῦσαι.
Πρὸς ταῦτ' ὦ βέλτιστε θαρρήσας λέγ', ὡς ἅπαντες ἡδόμεσθά σοι.

CH. *NVnc ergo nos omnes iugiter exclamare par est.*
O bona loquendo, meliora faciendo qui
Adstas: vtinam dilucidè
Omnia explices mihi.
Namq́, ego longum iter
Ingredi velim, dummodo te audire possim.
Dic agè, ô amice audacter: nos vt omnes
Gratulemur hic tibi.

Σχόλια. Νῦν ἄρ' ἄξιον] διπλῆ καὶ εἴσθεσις εἰς περίοδον τοῦ χοροῦ προῳδικὴ στροφῆς λόγον ἔχουσα. ἔχει γὰρ καὶ ἀντιστροφὴν τὸ πάντα δὴ πέπραχας ὁμοίαν καθ' ἕκαστον ἑαυτῇ. ἔστι δὲ ὀκτάκωλος. ἧς τὸ ά. τροχαϊκὸν τετράμετρον ἀκατάληκτον. μᾶλλον δὲ τετράμετρον βραχυκατάληκτον τοῦ ς ποδὸς τετραβράχεος. τὸ β, ἐν εἰσθέσει παιωνικὸν τετράρρυθμον ἢ τετράμετρον καθαρὸν καταληκτικόν. τὰ δὲ λοιπὰ ἐν εἰσθέσει. τὸ γ, παιωνικὸν δίρρυθμον. ἤτοι δίμετρον καταληκτικὸν ἀντὶ παίωνος ἰωνικὸν ἀπὸ μείζονος ἔχον. τὸ δ, τροχαϊκὸν ἑφθημιμερές. τὸ ε, παιωνικὸν δίρρυθμον ἀκατάληκτον ἐκ κρητικῶν. τὸ ς, τροχαϊκὸν τετράμετρον ἀκατάληκτον. τὸ ζ, ὅμοιον καὶ τὸ ή, τροχαϊκὸν ἑφθημιμερές. ἐπὶ τῷ τέλει τῆς μὲν στροφῆς παράγραφος καὶ διπλῆ ἔσω νενευκυῖα. τῆς δὲ ἀντιστροφῆς δύο διπλαῖ. ἡ μὲν ἐν ἀρχῇ τοῦ κώλου, ἡ δὲ κατὰ τὸ τέλος, ἀμφότεραι ἔξω νενευκυῖαι. ἐπολολύξαι δὲ εὔξασθαι καὶ εὐφημῆσαι. Εἴθ' ἐπέλθοις.] εἴθε ἐθελήσεις μοι διελθεῖν καὶ διηγήσασθαι πάντα τὰ πραχθέντα σοι καὶ γεγενημένα. Κἂν μακρὰν ὁδόν.] καὶ ἀποδημίαν στείλασθαί μοι δοκῶ, ὥστε μαθεῖν τὰ πεπραγμένα. θέλω φησὶ καὶ μακρὰν ὁδὸν διελθεῖν, ἵνα μάθω, πῶς ἐνίκησας τὸν Κλέωνα. Ὡς ἅπαντες ἡδόμεθά σοι.] ὡς ἐπὶ τῇ σῇ εὐφραινόμεθα νίκῃ καὶ χαίρομεν. λείπει δὲ ἡ ἐπὶ ἵν' ᾖ ἐπὶ σοι. ἢ οὕτω, ἵνα συνηδόμεθά σοι.

Ec

Τρίμετροι   A   Senarij.

BISETVS. Περιοδικὴ, μονοστροφικὴ, καὶ διηγηματικὴ εἴσθεσις ἐκ στίχων νθ'.

ΑΛ. Καὶ μὴν ἀκοῦσαί γ' ἄξιον τῶν πραγμάτων.	AG. E Quidem operæpretium est, rem ipsam cognoscere.
Εὐθὺς γὰρ αὐτοῦ κατόπιν ἐνθένδ' ἱέμην.	Námque illicet ipsum à tergo consequebar hinc.
Ὁ δ' ἄρ' ἔνδον ἐλασίβροντ' ἀναρρηγνὺς ἔπη,	At ille vocum rumpere fulmina in foro,
Τερατευόμενος ἤρειδε κατὰ τῶν ἱππέων,	Et contra equites innectus multa proloqui
Κρημνοὺς ἐρείδων, καὶ ξυνωμότας λέγων.	Portenta verborum, & linguæ præcipitia
Πιθανώτατα δ' ἡ βουλὴ γ' ἅπασ' ἀκροωμένη,	B Eiaculari, vos coniuratos criminans.
	Vbi, quæ verisimillima, senatus audijt,
Ἐγένετ' ὑπ' αὐτοῦ ψευδατραφάξιος πλέα,	Completus ab illo est Atraphaxios mendacijs:
Κἄβλεψε νᾶπυ, καὶ τὰ μέτωπ' ἀνέσπασε.	Et torua tuens, vti qui sinapi victitant,
Κἄγωγ' ὅτε δὴ 'γνων ἐνδεχομένην τοὺς λόγους,	Frontem seueram corrugabat. Tunc ego,
	Postquàm cognoui sermones admittier,
Καὶ τοῖσι φενακισμοῖσιν ἐξαπατωμένην,	Et decipi senatum istis fallacijs:
Ἄγε δὴ Σκίταλοι, καὶ Φένακες, ἦν δ' ἐγώ,	Agitè, dicebam, impostores, viri improbi,
Βερέσχεθοί τε, καὶ κόβαλοι, καὶ μόθωνες,	Fatui, scurræ, seruili præditi indole:
Ἀγορά τ', ἐν ᾗ παῖς ὢν, ἐπαιδεύθην ἐγώ,	C Et tu forum, in quo institutus sum paruulus,
Νῦν μοι θράσος, καὶ γλῶσσαν εὔπορον δότε,	Ferte expeditam linguam, ferte audaciam,

Σχόλια. Καὶ μήν.] ἡ περιοδικὴ αὕτη, καὶ μονοστροφικὴ εἴσθεσις τοῦ ὑποκειτοῦ διηγηματική ἐστιν, ἐκ στίχων ἰαμβικῶν τριμέτρων ἀκαταλήκτων νθ. ὧν τελευταῖος· ὁδὸν εὖ κρείττοσιν ἀναλαβὼν ἐλήλυθα. ἐπὶ τῷ τέλει παράγραφος. κατὰ τὸ ἧν δὲ ὄπισθεν ἢ μετ' αὐτοῦ ἐπορευόμην. τὸ δὲ ἐλασίβροντα παρὰ τὰ ἐκ τῆς ἀρχῆς Πινδάρου. ἀναρρηγνὺς δὲ ἀποσπῶν, μετὰ σφοδρότητος λέγων. τουτέστι πλάττων καὶ κατασκευάζων καὶ συντιθείς. ἔχεται δὲ καὶ τοῦτο τὸ ῥῆμα ἐμφάσεως μείζονος. ἄλλως. ὥσπερ ὑπὸ βροντῆς ἐλαυνόμενα. τουτέστι μεγαληγορῶν, καὶ ὑπερόγκοις χρώμενος ῥήμασι, γέμουσι ψόφων. ἤτοι δὲ τὴν φωνὴν σκώπτει τοῦ Κλέωνος ὅτι ταχέως ἐφθέγγετο, ἢ ὡς ταχεῖαν πρὸς τὴν ἀπειλὴν, ἣν ἠπείλησεν ὁ Κλέων εἰπὼν συνταράξειν τήν τε γῆν καὶ τὴν θάλασσαν ἐπ' αὐτούς. τό τε γὰρ τὴν γῆν κινεῖν καὶ σαλεύειν καὶ τοὺς τῆς θαλάττης βυθοὺς, ἔργον τοῦ Διὸς ὡς καὶ τὸ βροντᾶν. προπαροξυτόνως δὲ ἀναγνωστέον ἐλασίβροντα.

BISETVS. Ἱέμην] ἐπορευόμην, παρὰ τὸ ἵεμαι, ὃ σημαίνει τὸ πορεύομαι. ὅπερ οὕτω σχηματίζεται, ἴω, τὸ πορεύομαι, καὶ προσλήψει τοῦ ι εἴω, καὶ τὸ ι ψιλοῦται. ὅθεν κατ' ἀποβολὴν τοῦ ε, ἴω. καὶ ἀττικῶς δασυνόμενον ἵω, ἱῶ, ὅθεν ἵημι, καὶ ἵεμαι. ὁ παρατατικὸς ἱέμην, ἵεσο, ἵετο. οἱ δὲ οὕτως, εἴω, ἴω, ἱέω, ἱῶ, ἵημι, ἵεμαι.

Σχόλια. Τερατευόμενος.] ψευδόμενος καὶ μηδὲν ἀληθὲς μηδὲ ὑγιὲς λέγων. Ἤρειδε κατὰ τῶν ἱππέων.] ἤφιε καὶ ἔπεμπε κατὰ τῶν ἱππέων. ἔφαμεν δὲ, ὅτι συνίστηκεν ὁ χορὸς ἐκ τῶν ἱππέων. εἰς τρία γὰρ μέρη τὸ παλαιὸν τῶν Ἀθηναίων διῄρητο ὁ δῆμος. εἰς τοὺς πεντακοσιομεδίμνους καλουμένους. οὓς διὰ τὸ γεωργεῖν τοσαῦτα μέτρα, οὕτως ὠνόμαζον. καὶ τοὺς ἱππέας καὶ τοὺς θῆτας. οἱ μὲν οὖν πεντακοσιομέδιμνοι, ἦσαν εὔποροι. οἱ δὲ ἱππεῖς, ἧττον μὲν πεντακοσιομεδίμνων. μέχρι δὲ τῶν τριακοσίων μέτρων. ἱππεῖς δὲ αὐτοὺς ὠνόμαζον, διὰ τὸ δύνασθαι ἔστιν ὅτε αὐτοῖς χρείᾳ γένηται ἵππους, ἕκαστος αὐτῶν τρέφειν. ἦσαν δὲ τὸ μὲν πρότερον κατὰ τὸν ἀριθμὸν. οὗτοι δὲ μετὰ ταῦτα τῆς πόλεως πληθυνθείσης, ἐγένοντο διακόσιοι πρὸς τοῖς χιλίοις. ὅθεν καὶ τὰς θυσίας ἃς αὐτοὶ τιμῶσιν ἐν ταῖς πομπαῖς, ἐκάλουν ἱππάδας. G ἐξῆν δὲ αὐτοῖς καὶ κομᾶν. ἡ δὲ τρίτη τάξις, ἦσαν οἱ θῆτες παρ' αὐτοῖς. οἷς οὐδὲ ἄρχειν ἐξῆν, ἢ δικάζειν καὶ ἐκκλησιάζειν μόνον, ἵν' ἐκ τοῦ δικαστικοῦ καὶ ἐκκλησιαστικοῦ τρέφοιντο. Κρημνοὺς ἐρείδων.] ἐπιτιθεὶς καὶ ἀκοντίζων. τουτέστιν ὑψηλά τινα, ὑπέρογκα καὶ διαβολὰς χαλεπωτάτας ῥιπτῶν καὶ λοιδορῶν κατὰ τῶν ἱππέων. ἀπὸ δὲ τοῦ ἐλασίβροντα καὶ τοῦτο εἴληφε τὸ ῥῆμα ἐχόμενον τῆς ὄγκου τοῦ προειρημένου. κρημνοὶ δέ εἰσι τὰ μέρη τὰ ἀπὸ τῶν ὀρῶν ἀποσπώμενα. καὶ τὴν ὄχθην δὲ κρημνὸν λέγουσιν, ἐπειδὴ πάντα τὰ ὑψηλὰ κρημνοί. Πιθανώτατα.] ἐγγὺς πίστεως καὶ ἀληθείας ἐχόμενα πλάττων ἐπιφέρων αὐτοῖς ἐγκλήματα. Ψευδατραφάξιος.] πλήρης ψευσμάτων. ἀτράφαξις δὲ, εἶδος λαχάνου, ὃ ταχέως εἰς μέγεθος αὔξεται. D ἐπεὶ οὖν ὁ Κλέων ψευδῆ κατὰ τῶν ἱππέων κατηγόρησε, καὶ ἡ βουλὴ πείθεσθαι ἐδόκει, ψευδατραφάξιος εἶπε πλέαν τὴν βουλὴν γεγονέναι, διαβάλλων μὲν ὡς ψεύστην τὸν Κλέωνα, τῆς δὲ βουλῆς καθαπτόμενος, ὡς τοῖς ψευδομένοις καὶ διαβάλλουσι πειθομένοις εὐχερῶς καὶ ῥᾳδίως, ὥσπερ καὶ τὸ λάχανον αὔξεται. Κἄβλεψε νᾶπυ.] καὶ ἀνέβλεψε δριμὺ καὶ ὀργίλον. ἀπὸ τοῦ ψευδατραφάξιος, ἐξ ἧς εἶπε τὸ νᾶπυ. λαχάνου γὰρ καὶ τοῦτο εἶδος. ἔστι δὲ δριμὺ τὴν φύσιν. ἀφ' ἧς περὶ ματος τὸ νῦν λεγόμενον σίνηπι γίνεται. νᾶπυ γὰρ τὸ σίνηπι λέγεται. E Καὶ τὰ μέτωπ' ἀνέσπασε.] συνέστειλε τὰς ὀφρῦς. καὶ τοῦτο δὲ δεῖγμα ὀργῆς.

BISETVS. Κἄγωγ' ὅτε δὴ 'γνων] τὸ πλῆρες καὶ ἐγὼ ἐπεὶ δὴ ἔγνων.

Σχόλια. Φενακισμοῖσιν.] ἀπατήμασι. φενάκη γάρ ἐστιν ἡ προσθετὴ κόμη. Ἄγε δὴ Σκίταλοι.] ὠνοματοποίησε δαίμονάς τινας ἀναπλάσας ἀναιδεῖς. οὐκ ὄντας γὰρ θεοὺς ἐπὶ χλεύῃ ἀσυνήθως προφέρεται τὰ ὀνόματα λέγων ὡς θεῶν. ἄλλως. ἐπεὶ προτρεπόμενος καὶ ἐπιθαρσύνων αὐτὸν εἰς ἀναίδειαν καὶ εὐτολμίαν ἀνέπλασε θεοὺς ἐπὶ χλεύῃ. οἷς ηὔξατο ἀρξάμενος τοῦ λέγειν. F Σκίταλοι μὲν οὖν, οἱ εὐτελεῖς καὶ πονηροί. ἦν γὰρ σκίτων κναφεύς τις καὶ εὐτελὴς ἐπὶ πονηρίᾳ κωμῳδούμενος. βερέσχεθοι δὲ, οἱ ἀνόητοι. πέπλασται δὲ ἡ λέξις. κόαλεμοι δὲ, οἱ ἀνόητα κοοῦντες καὶ νοοῦντες. μόθων δὲ, ὁ εὐτελής. μόθωνας γὰρ ἐκάλουν οἱ Λάκωνες, τοὺς παρεπομένους τοῖς ἐλευθέροις. ἔστι δὲ καὶ γένος ὀρχήσεως. ἄλλως. πρὸς τὴν ὁμωνυμίαν οὐκ ὄντας θεοὺς ἐπὶ χλεύῃ προφέρεται. ὥσπερ δὲ ἐπιστάτας ἀνθρώπων πονηρῶν καὶ παρέδρους, τούτους ἐπεκαλεῖτο θεούς. οὐδεὶς δὲ αὐτῷ ἡρμήνευσε τὰ ὀνόματα. Ἦν δ' ἐγώ.] ἔφην δ' ἐγώ. G ἀττικὴ δὲ ἡ λέξις καὶ ἡ σύνταξις. μάλιστα δὲ αὐτῇ συνεχῶς κέχρηται καὶ κατακόρως ὁ Πλάτων. καὶ ἦ δ' ὃς ἀντὶ τοῦ ἔφη ἐκεῖνος.

BISET. Καὶ μόθωνες] ἴσως μέτρου χάριν χαπλέον οὕτω, Βερέσχεθοί τε, καὶ Μόθωνες, καὶ κόβαλοι.

Σχόλ. Ἀγορά τ' ἐν ᾗ παῖς ὤν.] τά τε ἄλλα φησὶ παρεκελευσάμην, καὶ τῆς ἀνατροφῆς ἀναμιμνησκόμενος, ὅτι ἐν

τῇ ἀγορᾷ γραφεῖον καὶ τὰ ἐκ παιδὸς ἐπικαλούμενα ἐπι- A ληψόμενα συλλαβόντες μοι τις τὸ ἄξονα πρὸς Κλέωνα

Φωνήν τ' ἀναιδῆ. ταῦτα φροντίζοντί μοι,
Ἐκ δεξιᾶς ἀπέπαρδε καταπύγων ἀνήρ.
Κἀγὼ προσέκυσα, κᾆτα τῷ πρωκτῷ θένων,
Τὴν κιγκλίδ' ἐξάραξα, κἀναχανὼν μέγα
Ἀνέκραγον, ὦ βουλή, λόγους ἀγαθοὺς φέρων,
Εὐαγγελίσασθαι πρῶτον ὑμῖν βούλομαι.
Ἐξ οὗ γὰρ ἡμῖν ὁ πόλεμος κατερράγη,
Οὐ πώποτ' ἀφύας εἶδον ἀξιωτέρας.
Τῶν δ' εὐθέως τὰ πρόσωπα διεγαλήνισεν,
Εἶτ' ἐστεφάνουν μ' εὐαγγέλια, κἀγὼ 'φρασα
Αὐτοῖς ἀπόρρητον, ποιησάμενος ταχύ,
Ἵνα τὰς ἀφύας ὠνοῖντο πολλὰς τοὐβολοῦ,
Τῶν δημιουργῶν ξυλλαβεῖν τὰ τρύβλια.
Οἱ δ' ἀνεκρότησαν, καὶ πρὸς ἔμ' ἐκεχήνεσαν.
Ὁ δ' ὑποτοπήσας ὁ Παφλαγών, εἰδὼς ἄρα
Οἷς ἥδεθ' ἡ βουλὴ μάλιστα ῥήμασι,
Γνώμην ἔλεξεν, ἄνδρες ἤδη μοι δοκεῖ,
Ἐπὶ συμφοραῖς ἀγαθαῖσιν εἰσηγγελμέναις,
Εὐαγγέλια θύειν, ἑκατὸν βοῦς, τῇ θεῷ.
Ἐπένευσεν εἰς ἐκεῖνον ἡ βουλὴ πάλιν.

Os afferte impudens. Cogitanti isthac mihi,
Cinadus à dextra pepêdit illicò:
Et ego adoraui, & cancellarum ianuam
Natibus pulsaui, effregique: & quàm maximo
Hiatu exclamaui: ô senatus, fero bona B
Verba: & latum volo vobis dicere nuncium.
Ex quo bellum abruptum nobis, haud vnquam ego
Preciosiores vidi apuas. Tum protenus
Senatorum vultus serenos conspicor.
Et illi ob latum me coronant nuncium.
Dixi autem pleraque illis occultè: & statim
C *Effeci, vt multas apuas vno obolo emerent,*
Et opificum patellas comprehenderent.
Illi autem applausere, intuiti aperto ore me.
Hic suspectum me habebat Paphlago: & quia
Videbat, qua senatui potissimum
Grata oratio, mox protulit sententiam:
Viri Athenienses, nunc videtur mihi bonas
Ob arumnas, qua nunciata sunt mihi,
D *Dea immolandam Hecatomben, latum nuncium.*
Rursum senatus ei tunc annuit. Et ego

Σχόλια. Φροντίζοντί μοι] εὐχομένῳ καὶ μεριμνῶντι. Ἀπέπαρδεν] οὕτως Ἀττικοὶ τὸ πορδὴν ἀφεῖναι. παρεῖλε δὲ τοῦτο γέλωτος χάριν. καταπύγων δὲ εὐρύπρωκτος. Προσέκυσα.] προσεκύνησα ὥσπερ σημείου τινὸς δοθέντος, ἴστε μέντοι ὅτι γέλωτος χάριν προσείληφε ταῦτα. Τὴν κιγκλίδ' ἐξάραξα.] τὴν θύραν. ἢ κάγκελοι τοῦ δικαστηρίου. ἰδίως δὲ τὰς διπλᾶς θύρας, οὕτω κλιντῆρας. ἅς τινας δικλίδας φασίν, ἡ κιγκλὶς ἰδίως ἡ ὀπή, δι' ἧς ἡ κλεὶς πέμπεται. Ἐξάραξεν] ἀνέῳξα. ὁ δὲ λέγει, τοιοῦτόν ἐστιν. θαρσήσας φησὶ τῷ δοθέντι σημείῳ, διάρας τὸ στόμα καὶ τὴν ἀγωνίαν ἀποβαλών, ὥσπερ τὸ στόμ' ἀνοίξας ἀνέκραγον. εὐαγγελίσασθαι δὲ εὐαγγέλια λέγειν ἀττικῶς. πόλεμος δὲ ὁ Πελοποννησιακὸς δηλονότι. κατερράγη δὲ ἀντὶ τοῦ συνέπεσεν. Ἀφύας.] εἶδος λεπτῶν ἰχθύων ἄγαν. αἷς ὁ πηλὸς γίνεται ἐπὶ πάνυ ἰλυώδης ὅταν συστῇ καὶ γένηται μέλας, φύσει τινὶ ἀπορρήτῳ εἰς ζῷα μεταβάλλεται πάμπολα. οὐδὲν δὲ δέονται τροφῆς. ἀπέχει γε μὴν ἀλλήλας συνειλιχμένας. ἄγχει δὲ αὐτῶν εἶναι τὰ λεπτά. εἰς δὲ ἄλλων ἰχθύων θήραν ἥκιστον. συμβαίνει δὲ τὴν ἀφύαν τάχιστα ἕψεσθαι. ὅθεν καὶ παροιμία ἀφύα ἐς πῦρ, ἐπὶ τῶν τέλος ὀξὺ λαμβανόντων. ἰωνικῶς δὲ εἶπεν ἐν Ταγηνισταῖς εἶπεν ἀφύη. ἐν ἄλλαις δὲ ἀεὶ πληθυντικῶς τὰς ἀφύας. λέγεται δὲ καὶ ἀφρὸς διὰ τὴν λευκότητα. ἔστι δὲ ἡ παρὰ πολλῶν λεγομένη ἐγχραυλις. καὶ ἀφύων τιμὴ τὸ ἔλαιον. ἐπεὶ ἐν αὐτῷ ἕψονται. καὶ ἀφύας Φαληρικὰς τὰς μεγάλας Φαληρεὺς δὲ λιμὴν τῆς Ἀττικῆς. ἔστι δὲ γένη πλεῖστα. ἡ μὲν ἀφρῖτις λεγομένη. ἥτις οὐ γίνεται ἀπὸ γόνου, ἀλλ' ἐκ τοῦ ἐπιπολάζοντος τῇ θαλάσσῃ ἀφροῦ καὶ πηλοῦ ἰλυώδους ὡς ἀνωτέρω ἐρρέθη. ἑτέρα δέ ἐστιν ἡ λεγομένη κωβῖτις. ἣ γίνεται ἐκ τῶν μικρῶν καὶ ταπεινῶν τῶν ἐν τῇ ἄμμῳ φερομένων κωβιῶν. ἐξ αὐτῆς δὲ ἕτεραι αἱ ἐγκρασίχολοι καλοῦνται. καὶ ἄλλη ἥτις ἐστὶ γένος μαινίδων. καὶ ἄλλη ἐκ τῆς μεμβράδος. καὶ ἄλλη ἐκ τῶν μικρῶν κεστρέων. ἔστι δὲ προηγουμένη ἡ ἀφρῖτις. σφόδρα δὲ καὶ μέχρι νῦν παρὰ τοῖς Ἀθηναίοις σπουδάζεται. Ἀξιωτέρας.] εὐωνοτέρας τῆς ἀξίας τιμῆς. ἄξιον παρ' Ἀττικοῖς τὸ εὔωνον. Διεγαλήνισεν.] πρᾳεῖα καὶ πρᾶα, καὶ ἥμερα ἐγένοντο. τουτέστιν ἐκ τῆς ὀργῆς μετέβαλε καὶ μετηλλάγη. ἀπὸ δὲ τῶν ἀφύων κυρίως τῷ διεγαλήνισεν ἐχρήσατο. ὅτι ἐμπειρίας οἱ Ἀθηναῖοι εἶχον τῆς ναυτικῆς. σκώπτει δὲ αὐτούς, ὡς μικροῖς δελεαζομένους λήμμασιν. Ἐστεφάνουν μ' εὐαγγέλια.] τοὺς γὰρ εὐαγγελιζομένους τι ἀγαθόν, στεφάνοις ἐτίμων.

BISETVS. Ἐστεφάνουν] τινὲς εὐαγγελίῳ χαπλέον νομίζουσιν. ἀλλ' εἰ μὲν γράψῃς εὐαγγέλια, ἔλλειψις ἔσται τῆς διὰ προθέσεως, διὰ τὰ εὐαγγέλια, διὰ τὴν καλὴν κἀγαθὴν ἀγγελίαν. εἰ δὲ εὐαγγελίῳ, ἔσται δοτικῇ ἀπὸ τῆς εὐθείας εὐαγγελία.

F Σχόλια. Ἀπόρρητον.] τὸ ἐν μυστηρίῳ λεγόμενον. ἐστὶ τὸ κεκρυμμένον καὶ ἀγγεῖον αὐτοῖς ὑποθέμενος. ἵν' ἔχοιεν καὶ τοῦ ἀγοράσειεν. Τῶν δημιουργῶν.] τῶν σκευοποιῶν. τῶν κεραμέων. δημιουργοὺς δὲ ἐκάλουν καὶ τὰς νῦν καλουμένας ὑπονυμφίδας. τουτέστι τὰς παρεστώσας τῇ νύμφῃ γυναῖκας. ὅθεν ἐστὶ καὶ Μενάνδρῳ δημιουργός. κοινῶς δὲ ἔλεγον δημιουργοὺς τοὺς τὰ δημόσια ἐργαζομένους. ποτὲ δὲ καὶ τοὺς ἀρχιτέκτονας. ὡς ἐν εἰρήνῃ. καὶ δημιουργικῶς, ἀντὶ τοῦ τεκτονικῶς. τρύβλια δὲ, τὰ ὀξύβαφα. Ἀνεκρότησαν] ἥσθησάν τε καὶ ἐκρότησαν. δείγματα δὲ χαρᾶς. ἐκεχήνεσαν δέ, ἀντὶ τοῦ ἔβλεπον G ἢ ἐμοὶ προσεῖχον ὑπονοήσας δέ, ὑποπτεύσας ἢ κατανοήσας τότε καὶ προϊδών. Ἐπὶ συμφοραῖς ἀγαθαῖς.] ἐπὶ ἀγαθοῖς πράγμασι. μέσον δὲ ὄνομα, ἡ συμφορά. δηλοῖ γὰρ καὶ τὸ καλὸν καὶ τὸ κακόν, ἐκ τῆς προσθήκης τοῦ ἐπιφερομένου. ὥσπερ οὖν καὶ νῦν προσθεὶς ἐπ' ἀγαθαῖσιν, οὐκ ἀφῆκεν ἐπὶ τοῦ πονηροῦ τεθῆναι.

Κἄγωγ', ὅτε δὴ 'γνων, τοῖς βολίτοις ἡττημένος,
Διακοσίοισι βουσὶν ὑπερηκόντισα.
Τῇ δ' Ἀγροτέρᾳ κατὰ χιλίων παρῄνεσα,
Εὐχὴν ποιήσασθαι χιμάρων εἰσαύριον,
Αἱ τριχίδες εἰ γενοίαθ' ἑκατὸν τοὐβολοῦ.
Ἐκαραδόκησεν εἰς ἔμ' ἡ βουλὴ πάλιν.
Ὁ δὲ ταῦτ' ἀκούσας, ἐκπλαγεὶς ἐφληνάφα.
Κᾆθ' εἷλκον αὐτὸν οἱ Πρυτάνεις χοἰ τοξόται.
Οἱ δ' ἐθορύβουν περὶ τῶν ἀφύων, ἑστηκότες,
Ὁ δ' ἠντεβόλει γ' αὐτοὺς, ὀλίγον μεῖναι χρόνον,
Ἵν' ἅτθ' ὁ κῆρυξ οὑκ Λακεδαίμονος λέγει,
Πύθησθ'. ἀφῖκται γὰρ περὶ σπονδῶν λέγων.
Οἱ δ' ἐξ ἑνὸς στόματος ἅπαντες ἀνέκραγον,
Νυνὶ περὶ σπονδῶν; ἐπειδή γ' ὦ μέλε
Ἤσθοντο τὰς ἀφύας παρ' ἡμῖν ἀξίας;
Οὐ δεόμεθα σπονδῶν, ὁ πόλεμος ἑρπέτω.
Ἐκεκράγεσάν τε τοὺς Πρυτάνεις ἀφιέναι,
Εἶθ' ὑπερεπήδων τοὺς δρυφάκτους πανταχοῦ.
Ἐγὼ δὲ τὰ κορίανν' ἐπριάμην ὑποδραμὼν,
Ἅπαντα, τά, τε γήτει', ὅσ' ἦν ἐν τῇ ἀγορᾷ.
Ἔπειτα ταῖς ἀφύαις ἐδίδουν ἡδύσματα,
Ἀποροῦσιν αὐτοῖς προῖκα κἀχαριζόμην.
Οἱ δ' ὑπερεπῄνουν ὑπερεπόππαζόν τέ με.
Ἅπαντες οὕτως, ὥστε τὴν βουλὴν ὅλην
Ὀβολοῦ κοριάννοις ἀναλαβὼν ἐλήλυθα.

Cùm me viderem bubulo victum stercore,
Ducentis bobus superaui centum boues.
Dianæ item præcepi mille circiter
Capellas, in diem vouêre crastinum.
Si centum Trichides vno obolo veneant.
Hîc iterum ad me senatus reflexit oculos.
Ille his auditis, toto externatus animo
Nugas capit agere. Ac pòst vrbis præsides,
Et cum his lorarij protraxerunt eum:
Et circum apuas tumultuabantur, propè
Stantes: tum Paphlago orabat, vt pauxilluli
Moram temporis ibi facerent: vt quid rei
Præco Lacedæmone afferat, cognoscerent.
Nam pacis firmandæ caussa hûc aduenerat.
Illi omnes vno ore reclamabant: iámne de
Fœderibus? de pace, homo miser? quando audiunt
Hostes: quòd apuæ apud nos vilis sunt pretij.
Non indigemus fœdere: bellum serpito.
Mox ipsos præsides iussere abscedere,
Ipsi omnes cancellos transiliêre vndique.
Ego verò emebam coriandrum, circa omnia
Loca cursitans, & allia quæcunque in foro:
Atque apuis sua condimenta insuper dabam,
Et gratus gratificabar indigentibus.
Illi me summis efferebant laudibus,
Verbisque demulcebant quàm blandissimè,
Omnes adeò, vt totum senatum mihi, oboli
Vnius coriandris nunc conciliauerim.

Σχόλια. Τοῖς βολίτοις ἡττημένος.] ταῖς τῶν βοῶν ἐπαγγελίαις ὅτε ἔγνων ἡττηθείς. βολίτοις δὲ τοῖς ἀπελέθοις. βόλιτοι γὰρ οἱ ἀπελέθοι τῶν βοῶν. ἄλλως. τοῖς βοιδίοις. ἡ τοῦ βοὸς κοιλία, βόλιτον ἔχει. λέγει δὲ φαύλοις οὖσιν, ἐν αὐτοῖς ἡττώμενος. Ἀττικοὶ δὲ οὕτω λέγουσι χωρὶς τοῦ β, ὅπερ ἡμεῖς βόλβιτον λέγομεν. βολίτοις δὲ ὅτι περὶ βοῶν ὁ λόγος. καὶ παροιμία βολίτου δίκην, πρὸς τοὺς ἐπὶ μικροῖς δίκας ἐπέχοντας. ὁ γὰρ Σόλωνος νόμος καὶ τοὺς βόλιτον ὑφελομένους κολάζει. ὑπερηκόντισα δὲ ἐνίκησα διὰ μεταφορᾶς τῶν τοῖς ἀκοντίοις νικώντων. Τῇ δ' Ἀγροτέρᾳ.] τῇ Ἀρτέμιδι. ἰδίως γὰρ οἱ Ἀθηναῖοι σέβουσι καὶ τιμῶσι τὴν Ἀγροτέραν Ἄρτεμιν. ἄλλως. ἐξ ἱστορίας Καλλίμαχος ὁ Πολέμαρχος, λέγεται εὔξασθαι τῇ Ἀρτέμιδι, τοσούτους βοῦς θῦσαι, ὅσους ἂν φονεύσῃ βαρβάρους ἐν Μαραθῶνι. ἐπειδὴ δὲ πολλοὶ ἐφονεύθησαν, μὴ δυνάμενος τοσούτους βοῦς θῦσαι, ἔθυσε χιμαίρας. παρῄνεσα δὲ, συνεβούλευσα, εἰσηγησάμην Ἀθηναίοις. Αἱ τριχίδες.] εἶδος ἰχθύων, ἃς θρίσσας καλοῦμεν. καὶ ἀλλαχοῦ. [illegible] ὅλην τριχίδων πεπληρωμένος. Ἐκαραδόκησεν.] ἀντὶ τοῦ ἀπέβλεψεν. ἢ ὅτι οἱ προσέχοντες τὴν κεφαλὴν μετεωρίζοντες. [illegible] ἐφληνάφα δὲ [illegible] ἐξετύλιζε. Κᾆθ' εἷλκον αὐτόν.] εἶτα εἷλκον αὐτὸν, καὶ ἐξώθουν τῆς βουλῆς. Οἱ Πρυτάνεις.] οἱ προεστῶτες τῆς σιτήσεως. τὸ δὲ [illegible] ὑπηρέται. Ἵν' ἅτθ' ὁ κῆρυξ.] ταῦτα εἰς τὴν ἀπάτην τοῦ Κλέωνος τὴν εἰς τὸν δῆμον. ἐξ ἱστορίας δὲ τοῦτο. Λακεδαιμονίους γὰρ περὶ εἰρήνης πρεσβευομένους, οὐκ ἐδέξαντο Κλέωνος κωλύσαντος. Ἐξ ἑνὸς στόματος.] ὁμοθυμαδὸν καὶ μιᾷ φωνῇ. Ὦ μέλε.] πρόσφθεγμα Ἀττικὸν, ἀντὶ τοῦ ὦ κάκιστε. ἢ κακοδαιμονέστατε. ἢ οἰκτρότατε. παρέλκει δὲ τὸ ὦ μέλε. ἀξίας δὲ, εὐώνους. Ὁ πόλεμος ἑρπέτω.] χωρείτω, τὸ ἐρρέτω. τουτέστι χαιρέτω· οὐδεμίαν φροντίδα τοῦ πολέμου ποιοῦμεν. Ὑπερεπήδων.] τὸ εὐθὺς ὑπερήλλοντο καὶ ὑπερεπήδων. τουτέστι δρομαῖοι ὑπήγοντο. διὰ δὲ τῆς σπουδῆς τὴν λιχνείαν ἐνδείκνυσιν αὐτῶν. Τοὺς δρυφάκτους.] τὰ νῦν ταυλώματα καλούμενα. τὰ τῶν οἰκοδομημάτων ἐξέχοντα ξύλα. ἢ τὰ κάγκελα. δρυφακτές τις ὤν. οἱ γὰρ ἀρχαῖοι πᾶν δένδρον δρῦν ἐκάλουν. ὥσπερ καὶ ἀκρόδρυα τὰ ἄκρα τῶν δένδρων. τουτέστιν ὁ ἐκ δρυῶν φραγμός.

Bisetus. Τὰ κορίαννα] κορίαννον, εἶδος βοτάνης τὸ νῦν κολίανδρον.

Σχόλια. Γήτεια] εἶδος λαχάνου ἀγρίου, παρεοικὸς τοῖς λευκοῖς πράσοις. καὶ τοῦτο ἥδυσμα ὡς τὸ ἀμπελόπρασον. Ἐδίδουν ἡδύσματα.] ἀρτύματά φησιν αὐτοῖς ἐχαριζόμην οἰκείως δὲ ὡς μάγειρος ἐδίδουν τὰ ἀρτύματα. Ὑπερεπῄνουν.] [illegible] καὶ ὑπερεπλήσαντό με καὶ τὸ φιλότιμον ἐθαύμαζον τὴν ἐμήν. διασύρει δὲ αὐτοὺς ὡς [illegible] καὶ τελείως ἀπατωμένους ὀλίγῳ λήμματι. Ὑπερεπόππαζον.] πόππυζε ἐπεφώνουν, ὃ ἡμεῖς ποππύζειν λέγομεν. Ἀναλαβών.] συναρπάσας. κουφίσας. μετεωρίσας. τουτέστιν εἰς ἐμαυτὸν τῇ εὐνοίᾳ πείσας ῥέπειν. ἱκανῶς δὲ κωμῳδεῖ τοὺς Ἀθηναίους.

A

ΑΝΤΙΣΤΡΟΦΗ
κώλων η.

Πάντα δὴ πέπραχας, οἷα χρὴ τὸν εὐτυχοῦντα·
Εὗρε δ' ὁ πανοῦργος ἕτερον, πολὺ πανουργίαις
Μείζοσι κεκασμένον,
Καὶ δόλοισι ποικίλοις,
Ῥήμασί θ' αἱμύλοις.
Ἀλλ' ὅπως ἀγωνιεῖ φρόντιζε τἀπίλοιπ' ἄριστα. ξυμμάχους δ' ἡμᾶς ἔχων εὔνους, ἐπίστασαι πάλαι.

Σχόλια. Ὁ πανοῦργος.] ὁ Κλέων τὸν ἀλλαντοπώλην. κεκασμένον δὲ κεκοσμημένον. ποικίλοις δὲ πολλοῖς καὶ διαφόροις. αἱμυλίοις δὲ τοῖς προσηνέσι ἐξαπατητικοῖς ἢ ἀπατητικοῖς.

ANTISTROPHE
vers. 8.

CHo. Omnia effecisti, quæ facere auspicatò oportet:
Repperitq́; versutus alium versutiorem,
Pluribúsque præditum,
Et dolis, & vocibus,
B *Valdè blandulis.*
Sed quomodo pugnam depugnes, cogita quàm
Optimè. tu quidem nos socios habebis
Dudum promptos, quod scias.

Bisetus. Διπλῆ καὶ εἴσθεσις ἐν στίχων ξί.

Αλ. Καὶ μὴν ὁ Παφλαγὼν οὑτοσὶ προσέρχεται, C
Ὠθῶν κολόκυμα, καὶ ταράττων, καὶ κυκῶν,
Ὡς δὴ καταπιόμενός με, Μορμὼ τοῦ θράσους.

Σχόλια. Καὶ μὴν ὁ Παφλαγών.] διπλῆ καὶ εἴσθεσις εἰς ἰάμβους τριμέτρους ἀκαταλήκτους ξί. ἐπὶ τῷ τέλει κορωνίς. Κολόκυμα] τὸ κολοβὸν κῦμα, ὅπερ τυφλὸν διὰ τὸ μὴ καχλάζειν λέγουσιν ἢ τὸ κυλίον καὶ ἐπιφέρον. ὑψηλὸν κῦμα καὶ μέγα ἀπὸ τῆς κορυφοῦσθαι κυλιόμενον. τοῦτο δὲ ὡς πρὸς ἄνεμον. ἄλλως, ὅπερ τινὲς κωφὸν καλοῦσι τὸ μὴ ἐπηχοῦν μηδὲ καχλάζον. πρὸς τὴν προειρημένην δὲ ἀπειλὴν ὑπὸ τοῦ Κλέωνος ἔτι τε γῆν ταράξει καὶ τὴν θάλατταν, ὑποτείνεται διαπύρων αὐτόν. ὅτι μηδὲν ἔπραξεν ἂν προαπειλήσας, ἀλλ' ἧττον ἔχων ἀπῆλθε τοῦ Ἀγορακρίτου. Ὡς δὴ καταπιόμενός με.] ὡς ἐπικαλύψων με τῷ κύματι, αἰσχρῶς μέλλων καταπιεῖν. Μορμὼ τοῦ θράσους] D τὸ μορμολύκειον, ἣν λέγουσι Λάμιαν. μορμολύκεια δὲ ἔλεγον, τὰ φοβερά. λείπει δὲ τὸ ὡς. ὡς Μορμώ. ἢ ἐπιρρηματικῶς ἐξενήνεκται. ὡς εἰ ἔλεγε φεῦ τοῦ θράσους.

AG. At enim video huc ipsum aduolitare Paphlagonem:
Mouet fluctus, perturbat, miscet omnia:
Quasi deuoraturus me, larua audaciæ.

ΔΡΑΜΑΤΟΣ ΔΕΥΤΕΡΟΥ, Σκηνὴ δευτέρα.
Τρίμετροι Ἰαμβικοί.

ΚΛΕΩΝ, ΑΛΛΑΝΤΟΠΩΛΗΣ, ΔΗΜΟΣ. E

Κλ. Εἰ μή σ' ἀπολέσαιμ', εἴ τι τῶν αὐτῶν ἐμοὶ
Ψευδῶν ἐνείη, διαπέσοιμι πανταχῇ.
Αλ. Ἥσθην ἀπειλαῖς, ἐγέλασα ψολοκομπίαις,
Ἀπεπυδάρισα μόθωνα, περιεκόκκυσα.
Κλ. Οὔτοι μὰ τὴν Δήμητρ' ἐὰν μή σ' ἐκφάγω
Ἐκ τῆσδε τῆς γῆς, οὐδέποτε βιώσομαι.

Σχόλια. Εἰ μή σ' ἀπολέσαιμι.] οὐ διαμαρτήσαιμι φησὶ τῆς ἐλπίδος, εἰ σε μὴ ἀπολέσω μη, εἴ τι τῶν ἐμῶν ἐπαινεῖ γαίο ψευσμάτων ἐπειδὴ ψευδόμενος καὶ ἀνθυπηγρέμενος, ἐνδέχεται αὐτὸ ὁ ἀλλαντοπώλης παρῳδοκιμεῖν. ἄλλως ἔστι τῶν ἐνόντων μοι ψευδῶν τάξη. εἰ μὴ ἀπολέσω καὶ τὸ ψευδεῖ διαμάρτοιμι καὶ διαπέσοιμι πανταχοῦ. εἰ μή σε ἐξ ἀνθρώπων ποιήσαιμι. διαπέσοιμι. οὐ μὴ εἴη εἶναι συκοφάντης. Ἥσθην ἀπειλαῖς] εὐφράνθην ταῖς ἀπειλαῖς. τις ἐστι καταφρονοῦν τῷ ἀπειλῶν καὶ περὶ οὐδὲν αὐταῖς τέρπομαι. Ψολοκομπίαις.] αἰθαλοκομπίαις. ματαίαις ψευδολογίαις μεγαληγορίαις καπνοῖς. ἀπὸ δὲ τῆς προσφερομένης τάξεως ἀπὸ τῆς βροντῆς καὶ τῆς στεροπῆς τὴν γῆν καὶ τὴν θάλατταν κατεσπερμηνεύεται. ὁ μὲν ὁ Διὸς εἰσὶν ἔργα ἐν τῇ τούτων ἐυῳ ἡ προστιθεῖα διὰ τὸ κεραυνοῦ χρῆσθαι δοκεῖν. τὸ γὰρ κεραυνοῖ οἱ μὲν καταιβάται. οἱ δὲ ψολόεντες. οἱ δὲ ἀργῆτες καλοῦνται, ὡς Ὅμηρος ὠνόμασεν. Ἀπεπυδάρισα.] πυδαρίζειν ἐπὶ τῷ ἀλλαντ. ἤτοι F πυδαρίζειν τὸ πυδαρίζειν. ὡς ὄνομα καὶ ὄνυμα Αἰολικῶς. ἢ πυδαρίζειν παρὰ τὸ ψοφεῖν. καὶ τροπῇ πυδαρίζειν. ὡς γνόφος καὶ δνόφος. δηλοῖ δὲ τὸ λακτίζειν. ὡς τὸ ἀπεπυδάρισα μόθωνα. περιεκόκκυσα παρὰ τὰς ᾠδάς. Μόθωνα.] τὸν φορτικὸν καὶ δοῦλον. καὶ πανουργίαν προσφερόμενον τινί. ἄλλως, μόθων φορτικὸν ὀρχήσεως εἶδος. ἔλεγον δὲ τοὺς φορτικοὺς μόθωνας. Περιεκόκκυσα.] περικορδακίσα. ἔστι δὲ εἶδος ὀρχήσεως. τινὲς δὲ τὸ μὲν ἀπεπυδάρισα, ἀπεπαρδον. ἄλλοι δὲ, ἐπισκίρτησα καὶ ὀρχησάμην τὸ δὲ περιεκόκκυσα, περιεψόφησα, καὶ ὑπερῆσεν καὶ καταφρόνησα. Οὔτοι μὰ τὴν Δήμητρα.] πατέρες τῶν Ἀθηναίων ἡ Δημήτηρ, διὰ τὸ ξενισθῆναι παρὰ Κελεῷ ἐνταῦθα τῇ πλάνῃ εὑρεῖν τὴν κόρην G ὑπὸ τοῦ ὑποδοχῆς καὶ τῆς φιλοφροσύνης, καὶ τῆς ξενίας ἀμοιβὴν ἀποδοῦναι τοὺς πυροὺς αὐτοῖς τρέφας, καὶ ἅρμα δρακόντων, ἐφ' ὅτε ἐπιπάσαν διασπεῖραι τὴν οἰκουμένην. Ἐκφάγω.] ἐὰν μή σε καταναλώσω καὶ ἐκβάλω ἐκ ταύτης τῆς γῆς καὶ διώξω. τὸ δὲ ἐκφάγω ὑπὸ διὰ καὶ τῆς Δήμητρος ὅρκος.

ACTVS II. SCENA II.
Senarij Iambici.

CLEO, AGORACRITVS, POPVLVS.

CL. Ni te perdā: si quid modò inest mēdacij Veteris, malè omnibus modis intereā.
AG. Minis oblectatus sū, & fumidas tuas iactantias risi, saltaui turpiter
Circumq́; coccyssaui. CL. nisi ego te exedam
Ex hac terra, non viuam: ita me Ceres amet.

Αλ. Ἢν μὴ κφάγῃς, ἐγὼ δέ σ' ἢν μή γ' ἐκπίω, A
Κἀπεκροφήσας, αὐτὸς ἐπιδιαρραγῶ.
Κλ. Ἀπολῶ σε, νὴ τὴν προεδρίαν τὴν ἐκ Πύλου.
Αλ. Ἰδοὺ προεδρίαν. οἷον ὄψομαί σ' ἐγὼ,
Ἐκ τῆς προεδρίας ἔσχατον θεώμενον.
Κλ. Ἐν τῷ ξύλῳ δήσω σε, νὴ τὸν οὐρανόν.
Αλ. Ὡς ὀξύθυμος. φέρε τί σοι δῶ καταφαγεῖν;
Ἐπὶ τῷ φάγοις ἥδιστ' ἄν, ἐπὶ βαλλαντίῳ; B
Κλ. Ἐξαρπάσομαί σου τοῖς ὄνυξι τἄντερα.
Αλ. Ἀπονυχιῶ σου τἀν Πρυτανείῳ σιτία.
Κλ. Ἕλξω σε πρὸς τὸν δῆμον, ἵνα δῷς μοι δίκην.
Αλ. Κἀγὼ δέ σ' ἕλξω, καὶ διαβαλῶ πλείονα.
Κλ. Ἀλλ' ὦ πόνηρε, σοὶ μὲν οὐδὲν πείθεται.
Ἐγὼ δ' ἐκείνου καταγελῶ γ', ὅσον θέλω. C
Αλ. Ὡς σφόδρα σὺ τὸν δῆμον σεαυτοῦ νενόμικας;
Κλ. Ἐπίσταμαι γὰρ αὐτὸν, οἷς ψωμίζεται.
Αλ. Καθάπερ αἱ τίτθαι γε σιτίζεις κακῶς,
Μασώμενος γὰρ, τῷ μὲν ὀλίγον ἐντιθεὶς,
Αὐτὸς δ' ἐκείνου τριπλάσιον κατέσπακας.
Κλ. Καὶ νὴ Δί' ὑπό γε δεξιότητος τῆς ἐμῆς, D
Δύναμαι ποιεῖν τὸν δῆμον εὐρὺν καὶ στενόν.
Αλ. Χὡ πρωκτὸς οὑμὸς, τουτογὶ σοφίζεται.
Κλ. Οὐκ ὦγάθ' ἐν βουλῇ με δόξεις καθυβρίσαι.
Ἴωμεν εἰς τὸν δῆμον. Αλ. οὐδὲν κωλύει.
Ἰδοὺ βάδιζε, μηδὲν ἡμᾶς ἰσχέτω. E

Ag. At nisi tu me exedas, ego verò te ebibam,
Exorbeámque: medius disrumpar. Cl. ego te,
Per primum accubitum meum è Pylo, perdam ilicet.
Ag. Ecce autem primum accubitum: ô quem te ego mox virum
Ex primo accubitu conspiciam imo subsellio?
Cl. Palo alligabo te, per cœlum & cœlites.
Ag. Quàm praceps animi. agè, quid dem comedendum tibi,
Quod oblectet te maximè? utrum marsupium?
Cl. Eripiam tibi ego intestina meis unguibus.
Ag. Ego unguibus euellam in Prytaneo tibi cibum.
Cl. Ad populum te traham, ut pœnam des mihi.
Ag. Traham & ego te: & calumniabor pluribus.
Cl. At tibi nebuloni nemo hominum adhibet fidem.
Ego verò ludos populum faciam, prout volo.
Ag. Quàm pulcrè tu populum tuum esse iudicas?
Cl. Quippe ego noui, quibus inescetur ferculis.
Ag. Nutricum more tu populum pascis male:
Quia ubi pramanderis, in os paullum ipsi ingeris,
Tu verò triplo plus, quàm alumnus deuoras.
Cl. Ego, per Iouem, mea possum sollertia
Populum angustum latumq́, iuxtà reddere.
Ag. Meus hoc idem anus pernouit optimè.
Cl. Non tu in senatu iam videberis mihi
Illudere. Eamus ad populum. Ag. nihil moror,
Perge modo. nam nihil impedimenti obuiã est.

Σχόλια. Ἐκπίω.] ἑξῆς πρὸς τὸ ὑπ' ἐκείνου ῥηθὲν ἀποκρίνεται. τῷ ἐκφαγεῖν ἀντιτιθεὶς τὸ ἐκπιεῖν. ὡς γὰρ ἡ Δημήτηρ τὰς τροφὰς, οὕτως καὶ Διόνυσος Ἰκαρίῳ φιλοξενίας ἔδωκε δῶρον, ὅτι φιλοφρόνως αὐτὸν ὑπεδέξατο, τὴν ὕβριν φεύγοντα τοῦ Πένθεως. Κἀπεκροφήσας.] πλέον τι προσέθηκεν ὑπερβολῇ τῆς ἀπειλῆς. τῷ ἐκπίω ἐπενεγκὼν τὸ ἐκροφήσας. Οἷον ὄψομαί σ' ἐγώ.] ἀντὶ τοῦ οἵως. Ὅμηρος, οἷον ἀναΐξας ἄφαρ οἴχεται. ἀντὶ τοῦ οἵως. ὁ δὲ νοῦς. οἷον ὄψομαί σε ἀπὸ τῆς τιμῆς ἄτιμον γενόμενον. ἀπειλεῖ δὲ αὐτῷ, ὡς ἀφαιρησόμενος αὐτὸν τὴν προεδρίαν. τοῦτο δὲ, ὡς ἀεὶ τοῦ Κλέωνος θρυλλοῦντος τὰ περὶ Πύλον καὶ Σφακτηρίαν, καὶ τοὺς αἰχμαλώτους. Ἐπὶ τῷ φάγοις ἂν ἥδιστα.] ἀντὶ τοῦ εἰπεῖν ἐπ' ἰχθύσι φάγοις ἂν οἷον μετ' ἰχθύων. ἢ ἀντὶ τοῦ εἰπεῖν ἐπὶ τραπέζῃ, πικρῶς εἶπεν ἐπὶ βαλλαντίῳ. ἵνα διαβάλῃ ὡς κλέπτην καὶ τῶν δημοσίων ἅρπαγα. ἐν τῷ ξύλῳ δὲ ἐν τῇ ποδοκάκῃ ὡς εἴρηται. Ἐξαρπάσομαί σου.] ἐξοίσω. διασπαράξω τοῖς ὄνυξιν. ἀπὸ τοῦ χρησμοῦ δὲ ἔπαιξε. βυρσαίετον γὰρ ἐκεῖ προσεῖπε τὸν Κλέωνα. ὁ δὲ αἰετὸς, τοῖς ὄνυξιν ἐστὶν ἄλκιμος. Ἀπονυχιῶ σου.] πάλιν ὡς πρὸς τὸ μαγειρεῖον ἀπέσκωψε. διασπαράξας γάρ φησιν, ἐξελῶ σου τὰ ἔντερα. Τἀν Πρυτανείῳ σιτία.] ἀφαιρήσομαί σου φησὶ τὴν σίτησιν. ἀποδράξω. ἀποκλείσω. ἀπὸ μεταφορᾶς τῶν ὀνυχιζομένων. Ἕλξω σε πρὸς τὸν δῆμον.] ἡττήθη γὰρ ἐν τῇ βουλῇ. παρεπιγραφὴ δέ. ποιεῖ γὰρ ὅπερ εἴρηκεν καὶ ἅμα τῷ λόγῳ εἷλκεν αὐτόν. Καὶ διαβαλῶ γε.] ἔφαμεν πολλάκις ὅτι τῷ διαβάλλειν μάλιστα ἴσχυεν ὁ Κλέων. εἰπὼν δὲ ὅτι σοῦ πλείονα διαβαλῶ, τὸ κἀκεῖνον, εἰ καὶ ἧττον, ὅμως γοῦν διαβάλλειν ἐνεδείξατο. Καταγελῶ γ' ὅσον θέλω.] πᾶσαν ἔχω τοῦ πείθειν ἐξουσίαν, καὶ ὥσπερ ἐντρυφῶ τῷ δήμῳ. Σεαυτοῦ νενόμικας.] οἰκείως ἔχειν πρὸς σὲ ὑπολαμβάνεις. Οἷς ψωμίζεται.] οἷς ἀπατᾶται. οἷς χαίρει. τὸ δὲ ψωμίζεσθαι ἐπὶ τῶν μικρῶν παιδίων λέγεται, ἃ ὑπόκειται τῇ τῶν διδόντων ἐξουσίᾳ. Καθάπερ αἱ τίτθαι.] τίτθας καλοῦμεν τὰς τιτθίοις καὶ τῷ γάλακτι τρεφούσας τὰ παιδία. ἔγγυθεν οὖν ἀπὸ τοῦ ψωμίζειν ἀπεκρίνατο λέγων, ὅτι κατὰ τὰς τίτθας καὶ σὺ τὸν δῆμον κακῶς τρέφεις. τίτθας οὖν τὰς τροφούς. τὰς μάμμας. ὡς τὸ, ὅσα δὲ ἀργίᾳ μεμάρανται καὶ ῥαθυμίᾳ διέφθαρται μειράκια, ταῖς τίτθαις ἀπομύττειν καὶ ταῖς γυναιξὶ λύειν ἀπεπέμψατε, καὶ θρυπτόμενα παρὰ ταύταις, στωμύλλεσθαι καὶ λαλεῖν περὶ κρόκης καὶ στημόνων ἐάσωμεν.

Bisetus. Αἱ τίτθαι] Εὐστάθιος. τίτθη βαρυτόνως, ἢ τιτθὴ ὀξυτόνως ἡ τοὺς τιτθοὺς, ἤγουν μαστοὺς παρέχουσα τοῖς βρέφεσι. καὶ τιτθὸς, καὶ τιτθίον ἐκ τοῦ θῶ, τὸ θηλάζω λέγονται ἢ ἀπὸ τοῦ τιθῶ, ὅ ἐστι τίθημι, διὰ τὸ ἐντίθεσθαι τοῖς τῶν βρεφῶν στόμασι τοὺς μαστούς.

Σχόλια.

Σχόλια. Μασώμενος γάρ.] ἐσθίων ἢ διαμασώμενος. ἐπέμεινε δὲ τῇ ὁμοιώσει τὴν ῥᾳδιουργίαν ἐπεξηγούμενος τῶν τροφῶν ἀπὸ τοῦ συμβεβηκότος. αὗται γὰρ διὰ τὸ μὴ δύνασθαι πάσας τὰς τροφὰς δι' ὁλοκλήρου τὰ παιδία ἐσθίειν, λαμβάνουσαι καὶ διαμασώμεναι, οὕτω μετὰ τὸ κατεργάσασθαι τὰ ἐν τοῖς μασταῖς ἐξαίρουσαι τοῦ ἰδίου στόματος, ἐντιθέασι τοῖς τῶν παιδίων. εἶτα συμβαίνει τὰς ἀγνώμονας, ὀλίγα μὲν διδόναι τοῖς παιδίοις. αὐτὰς δὲ κατεσθίειν τὰ πλείονα. κατὰ τὰς τίτθας οὖν φησὶν ὁ Κλέων ὀλίγα τῷ δήμῳ χαριζόμενος, αὐτὸς πλείω κερδαίνει καὶ λαμβάνει.

BISETUS. Εντιθεὶς.] πρὸς τὸ ἔτυμον τῶν τιτθῶν ὁρῶν ὁ ποιητὴς λέγει, ὀλίγον ἐντιθείς.

A Σχόλια. Κατέσπακας.] ἰδίως ἐπὶ τῶν θηλαζόντων βρεφῶν κατασπᾶν λέγουσι καὶ ἐφέλκειν τὸ γάλα. τῷ ὀνόματι οὖν ἀπὸ τῶν προειρημένων ἐχρήσατο. λέγει οὖν ὅτι τὸ πλεῖον κερδαίνεις αὐτοὺς καὶ κατεσθίεις. εὗρεν δὲ καὶ στενὸν, πλούσιον καὶ πένητα. Σοφίζεται.] τεχνάζεται. ποιεῖ. τουτέστι ποτὲ μὲν πλατύνεται, ποτὲ δὲ συστέλλεται. ἰστέον δὲ ὅτι γελοίου χάριν παρέλαβε τοῦτο. ἐπὶ δὲ τῷ καθυβρίσαι, τινὲς τιθέασι δύο διπλᾶς. Ἴωμεν εἰς τὸν δῆμον.] εἰς τὸ βουλευτήριον. ἔδοξε γὰρ αὐτὸς παρευδοκιμεῖν ἐν τῇ βουλῇ. οὐ καταφρονήσεις οὖν μου
B φησὶν ἐπὶ τῶν δημοτῶν ὥσπερ ἐν τῷ βουλευτηρίῳ. Μηδὲν ἡμᾶς ἰσχέτω.] μηδὲν ἡμᾶς ὑπισχέτω, μηδὲν ἐμπόδιον ἔστω.

Κλ. Ὦ δῆμε, δεῦρ' ἔξελθε, νὴ Δί', ὦ πάτερ.
Αλλ. Ἔξελθε δῆτ' ὦ δημίδιον φίλτατον.
Δημ. Τίνες οἱ βοῶντες; οὐκ ἄπιτ' ἀπὸ τῆς θύρας;
Τὴν εἰρεσιώνην μου κατεσπαράξατε.
Κλ. Ἔξελθ', ἵν' εἰδῇς, οἷάπερ γ' ὑβρίζομαι.
Δη. Τίς ὦ Παφλαγὼν ἀδικεῖ σε; Κλ. διὰ σὲ τύπτομαι.
Ὑπὸ τουτουὶ, καὶ τῶν νεανίσκων. Δη. τιή;
Κλ. Ὁτιὴ φιλῶ σ', ὦ δῆμ', ἐραστής τ' εἰμὶ σός.
Δημ. Σὺ δ' εἶ τίς ἐτεόν; Αλλ. ἀντεραστὴς τουτουί.
Ἐρῶν πάλαι σου, βουλόμενός τε σ' εὖ ποιεῖν,
Ἄλλοι τε πολλοὶ, καὶ καλοί τε κἀγαθοί.
Ἀλλ' οὐχ οἷοί τ' ἐσμὲν διὰ τουτονί. σὺ γὰρ
Ὅμοιος εἶ τοῖς παισὶ τοῖς ἐρωμένοις.
Τοὺς μὲν καλούς τε κἀγαθοὺς οὐ προσδέχει,
Σαυτὸν δὲ λυχνοπώλησι καὶ νευρορράφοις,
Καὶ σκυτοτόμοις, καὶ βυρσοπώλησιν δίδως.
Κλ. Εὖ γὰρ ποιῶ τὸν δῆμον. Αλλ. εἰπέ νυν τί δρῶν;
Κλ. Ὅτι τὸν στρατηγὸν ὑποδραμὼν τὸν ἐκ Πύλου,
Πλεύσας ἐκεῖσε, τοὺς Λάκωνας ἤγαγον.

CL. Exi huc, exi ô popule, exi obsecro mi pater.
AG. Age, exi, exi ô popelle, mi carissime.
PO. Qui clamitant? non hinc abitis ab ostio?
Oleæ ramum mihi conuellistis pessimi.
C *CL. Quæso exi, vt videas, quas patiar iniurias.*
PO. Quisnam, Paphlago, te afficit iniuria? CL. tui
Causa vapulo ab hoc & hisce iuuenibus. PO. cedò,
Quamobrem? CL. quia te colo & amator sum tuus.
D *POP. Tu verò quis es obsecro? AG. riualis sum viri*
Huius. Nam & ego te iamdudum amo, voloque tibi
Benefacere: vt & alij multi boni ac probi.
Sed nihil per hunc valemus, nihilque possumus.
Nam tu similis es pueris, qui amari solent.
Bonos probosque ab amore tui tu respuis,
Teque lucernariis & restionibus,
E *Et calceariis, atque coriarijs,*
Ipsummet prostituis. CL. quia plebem plurimis
Afficio beneficijs. AG. quo pacto? dic mihi.
CL. Quoniam præuerti exercitus ducem in Pylo,
Et nauigans illò, Laconas expuli.

F

Σχόλια. Ὦ δῆμε δεῦρ' ἔξελθε.] ὁ Κλέων ἐστὶν ὁ λέγων, διὰ δὲ τῆς οἰκειότητος τῶν ὀνομάτων τὸν δῆμον κολακεύει, καὶ προσεταιρίζεται τὸ πάτερ προσφωνῶν αὐτόν. ἵνα κἀκεῖνος ὡς ὑπὲρ παιδὸς φροντίζῃ, εἶτα ὁ ἀλλαντοπώλης ἔξελθε δῆτα ὦ δημίδιον φίλτατον, καὶ αὐτὸς ἀντικολακεύων φησί. Τὴν εἰρεσιώνην μου κατεσπαράξατε.] κλάδος ἐλαίας ἐρίοις περιπεπλεγμένοις ἀναδεδεμένος. ἐξήρτηντο δὲ αὐτοῦ ὡραῖα πάντα ἀκρόδρυα. πρὸ δὲ τῶν θυρῶν ἱστᾶσιν αὐτὴν εἰσέτι καὶ νῦν. ποιοῦσι δὲ τοῦτο κατὰ παλαιόν τι χρηστήριον. οἱ μὲν γάρ φασιν, ὅτι λιμοῦ, οἱ δὲ, ὅτι καὶ λοιμοῦ τὴν πᾶσαν καταχόντος οἰκουμένην, χρωμένων τίνα ἂν τρόπον παύσαιτο τὸ δεινὸν, τὴν λύσιν ταύτην ὁ Πύθιος ἐμαντεύσατο. εἰ προηρόσιον ὑπὲρ ἁπάντων Ἀθηναίων θύσειαν. θυσάντων οὖν τῶν Ἀθηναίων τὸ δεινὸν ἐπαύσατο. καὶ οὕτως ὥσπερ χαριστήριον οἱ πανταχόθεν τοῖς Ἀθηναίοις ἐξέπεμπον τῶν καρπῶν ἁπάντων τὰς ἀπαρχάς. ὅτε δὴ καὶ Κράτης φησὶ τὸν ὑπερβόρειον ἐλθόντα θεωρὸν εἰς τὴν Ἑλλάδα, Ἀπόλλωνι θητεῦσαι, καὶ οὕτω συγγράψαι τοὺς χρησμοὺς τοὺς νῦν προσαγορευομένους βάκιδας. τινὲς δὲ τὸν Θησέα φασὶ καθ' ὃν καιρὸν εἰς Κρήτην ἔπλει προσχόντα Δήλῳ διὰ χειμῶνα, εὔξασθαι τῷ Ἀπόλλωνι καταστέψεσθαι κλάδοις ἐλαίας ὅταν σωθῇ τὸν Μινώταυρον ἀποκτείνας καὶ θυσιάσειν. καὶ τὴν ἱκετηρίαν ταύτην καταστέψαντα ἑψῆσαι
G χύτραν ἀθάρης καὶ ἔτνους. καὶ βωμὸν ἱδρύσασθαι, διὸ καὶ Πυανέψια δοκεῖ λέγεσθαι οἷον κυαμέψια. τὸ γὰρ πρότερον τοὺς κυάμους, πυάνους ἐκάλουν. ἦγον δὲ ἔθος ὅτε ἐπὶ τῇ ἀποτροπῇ λοιμοῦ. ᾖδον δὲ παῖδες. ὅθεν εἰσέτι καὶ νῦν ἐπειδὰν ἀνιστῶσι τὸν κλάδον, λέγουσι ταῦτα.

Εἰρεσιώνη σῦκα φέρει καὶ πίονας ἄρτους.
Καὶ μέλι ἐν κοτύλῃ. καὶ ἔλαιον ἀνεψήσασθαι.
Καὶ κύλικ' εὔζωρον, ὡς ἂν μεθύουσα καθεύδῃ.

μοῦ δὲ τὴν ἑορτὴν ἔξω τῶν ἀγγείων τιθέασι πρὸ αὐτὰς τὰς θύρας. Κράτης δὲ ὁ Ἀθηναῖος ἐν τῷ περὶ τῶν Ἀθήνησι θυσιῶν, ἀφορίας ποτὲ κατασχούσης τὴν πόλιν, θαλλὸν φασὶ καταστέψαντας ἐρίοις ἱκετηρίαν ἀναθεῖναι τῷ Ἀπόλλωνι. ἄλλως. Πυανεψίοις καὶ Θαργηλίοις ἡλίῳ καὶ ὥραις ἑορτάζουσιν Ἀθηναῖοι. φέρουσι δὲ οἱ παῖδες, τοὺς τότε θαλλοὺς ἐρίοις περιειλημμένους, ὅθεν Εἰρεσιώνη λέγονται, καὶ τούτους πρὸ τῶν θυρῶν κρεμῶσιν. ἐξήρτηντο δὲ τῶν θαλλῶν αἱ ὧραι. τὸ δὲ κατεπαράξατε εἶπεν ἐπὶ ἀλλήλους ὤθουν. Σὺ δ' εἶ τίς.] τῷ ἀλλαντοπώλῃ λέγει. Ἀλλ' οὐχ οἷοί τ' ἐσμέν.] ἀλλ' οὐ δυνάμεθα προστῆναι οὐδ' εὖ ποιεῖν, κωλυόμενοι φησὶν ὑπὸ τοῦ Κλέωνος. Λυχνοπώλησιν.] διὰ Ὑπέρβολον. καὶ αὐτὸς γὰρ δημαγωγὸς ἦν λυχνοποιὸς ὤν. κυρσοῤῥάφοις δέ φησι, διὰ τὸν προβατοπώλην Λυσικλέα. Καὶ σκυτοτόμοις.] Κλέωνι καὶ Λυσικλεῖ. ὀνειδίζει δὲ πάλιν Κλέωνι, ἀφ' οἵας τέχνης ἄγει καὶ φέρει τὴν πόλιν. Δέδως.] παρέχεις. ἢ πιστεύεις σεαυτόν. Ὑπεκδραμὼν τῶν ἐκ Πύλου.] καταδραμὼν τοὺς ἐν Πύλῳ στρατηγούς. ὅτι σύνιχθες μέμνηται τοῦ ἐν Πύλῳ κατορθώματος. ἄλλως. ὑφαρπάσας διὰ τὴν νίκην τὴν ἐν Πύλῳ. ἐν σχήματι δὲ εἶπεν, ἀντὶ τοὺς στρατηγούς.

Αλλ. Ἐγὼ δὲ περιπατῶν γ' ἀπ' ἐργαστηρίου,
Ἑψοντος ἑτέρου τὴν χύτραν ὑφειλόμην.
Κλ. Καὶ μὴν ποιήσας αὐτίκα μάλ' ἐκκλησίαν,
Ὦ δῆμ', ἵν' εἰδῇς, ὁπότερος νῷν ἐστί σοι
Εὐνούστερος, διάκρινον, ἵν' ἐκεῖνον φιλῇς.
Αλλ. Ναὶ ναὶ διάκρινον δῆτα, πλὴν μὴ 'ν τῇ Πυκνί.
Δη. Οὐκ ἂν καθιζοίμην ἐν ἄλλῳ χωρίῳ,
Ἀλλ' εἰς τὸ πρόσθε χρὴ παρεῖν' εἰς τὴν Πύκνα.
Αλλ. Οἴμοι κακοδαίμων, ὡς ἀπόλωλ'. ὁ γὰρ γέρων
Οἴκοι μὲν, ἀνδρῶν ἐστὶ δεξιώτατος.
Ὅταν δ' ἐπὶ ταυτησὶ κάθηται τῆς πέτρας,
Κέχηνεν, ὥσπερ ἐμποδίζων ἰσχάδας.

AG. Ego verò ab officina prodeambulans,
Quam coxerat alius, ollam furtim sustuli.
CL. Obsecro te, mi popule, conuentum age illico:
Vt videas, nostrum vter sit beneuolentior
Tibi, age, dyudica, vt illum ames. AG. Dÿudica
Sanè: modò ne in Pnyce. PO. atqui non alio in loco.
Nam & antehac oportebat adesse in Pnyce.
AG. Hei mihi misero, perÿ. Nam isthic senex
Domi sapit optimè: sed quando in hac petra
Considet, haud aliter hiat, atque pueri solent,
Cùm ficos, laqueo appensos, patulo ore capiunt.

Σχόλια. Ἀπ' ἐργαστηρίου.] ἵνα μηδὲ ἐν τούτοις ἀπολείπεσθαι δοκῇ τοῦ Κλέωνος ὁ ἀλλαντοπώλης, ἔδοξέ πως ὅμοιον ἐξευρηκέναι πρᾶγμα τοῖς ἐκείνῳ πεπραγμένοις. οὐ γὰρ Κλέων φησὶ μόνος, ἀλλοτρίαν νίκην ὑφήρπασεν, ἀλλὰ καὶ ἐγὼ ἐκ τῆς πόλεως μέσης ἔκ τινος ἐργαστηρίου φησὶ χύτραν ὑφειλόμην, ἄλλου κατασκευάσαντος ἑαυτῷ τροφήν, ὡς κἀκεῖνος τὸ ἀλλότριον κατόρθωμα ἴδιον ἐποιήσατο. Διάκρινον.] σύγκρινον. ἢ ἀντέξεταζον πότερός σοι μᾶλλον εὔνους. Μὴ 'ν τῇ Πυκνί.] ὡς ἂν ἐν τῇ συνόδῳ ἀνόητα δρῶντος τοῦ δήμου. ἡ δὲ Πνὺξ τόπος ἐστὶν, ἐν ᾧ τὸ παλαιὸν ἐκκλησίαζον. Ἀλλ' εἰς τὸ πρόσθ' ἐχρῆν παρεῖναι.] εἰς τὴν αὔριον χρὴ παρεῖναι ἅπαντας καὶ συνελθεῖν. γέροντα δὲ πάλιν εἶπεν ὅτι ἀρχαῖος ὁ τῶν Ἀθηναίων δῆμος. δεξιώτατος δὲ φιλανθρωπότατος προσηνέστατος. ἀγαθός. τῆς πέτρας δὲ τῆς Πυκνός. ὀρεινὴ γὰρ ἦν ὡς ἔοικεν.

Βισετυς. Τὸ πρόσθε.] σημείωσαι δὲ τὸ πρόσθε ἀντὶ τοῦ εἰς αὔριον, οὐ μόνον σπάνιον ἐστὶ, ἀλλὰ καὶ σπανιώτατον. καὶ γὰρ ὅτε τὸ πρόσθε χρονικῶς λαμβάνεται, σημαίνει τὸ πρὸ ὀλίγου, καὶ ὡς εἰπεῖν ἐγγὺς, καὶ πρόσθε μὲν ἐστὶ λέγονται τὰ πρὸ ὀφθαλμῶν, καὶ ἐνεστῶτα, ὄπισθεν δὲ, τὰ μέλλοντα. ὅτι μέντοι ἡ αὔριον ἐγγὺς ἡμῶν ἐστὶ, διὰ τοῦτο καὶ ὁ ποιητὴς οὕτω τούτῳ κέχρηται.

Σχόλια. Ἐμποδίζων ἰσχάδας.] σῦκα. ὥσπερ φησὶν οἱ τὰς ἰσχάδας ἐσθίοντες ἀνεμποδίστως καὶ λάβρως αὐτὰς ἐσθίουσι, τὸν αὐτὸν τρόπον καὶ ὁ δῆμος, ἐπειδὰν ἐν τῇ Πυκνὶ καθεσθῇ, κατακρίνει καὶ δημεύει. καὶ ὥσπερ οἱ τὰς ἰσχάδας ἐσθίοντες οὐκ ἂν μεταδοῖεν εὐχερῶς τινὶ, οὕτως οὐδὲ ὁ δῆμος ἐκεῖσε δικάζων, οὐκ ἂν φιλανθρωπεύσαιτο ῥᾳδίως. ἄλλως. ἐπεὶ εἰώθει τὰ παιδία παίζοντα, ἀναβάλλειν τὰς ἰσχάδας, καὶ ἐν τῷ στόματι αὐτῶν δέχεσθαι. Ἀρίσταρχος τὸ ἐμποδίζων, ἀντὶ τοῦ μασώμενος, ἢ ἐμφερόμενος. ἔνιοι δὲ, ἀπὸ τοῦ σῦκα λαμβάνοντα χάσκειν. οἱ δὲ παιδιάν τινα. ἄλλως Σύμμαχος οὕτως. ἀπὸ τῶν μελισσῶν ἡ μεταφορά. εἰώθασι γὰρ οἱ μελισσουργοὶ ἰσχάδας συγκεκομμένας ῥίπτειν ταῖς μελίσσαις, ἐπὰν διὰ κρύος ἢ χειμῶνα, ἐξιέναι καλοκνῶσιν ἐκ τῶν σίμβλων, ἵνα ἔνδοθεν ἐσθίωσι. κεχήνασι δὲ οἱ μασώμενοι. Ἀρίσταρχος δὲ ὅτι μασώμενοι τὰς ἰσχάδας ταῖς μελίτταις τρίβουσιν ἃ τοῖς παισὶ τρίβουσιν. ἄλλως. ἐπεὶ οἱ παῖδες περιτιθέντες τῇ συκῇ βρόχον, εἰώθασιν ἐσθίειν ἐπιθυμοῦντες τῶν σύκων. εἶτα ὑπὸ τοῦ πάνυ γλίχεσθαι κεχήνασιν. ἢ οὕτως ὅτι εἰώθει τὰ παιδία παίζοντα ἄνω ῥίπτειν τὰς ἰσχάδας ἢ τὰς τῶν βοτρύων ῥᾶγας καὶ τῷ στόματι αὐτὰς κατιούσας δέχεσθαι χαίνοντα. ἢ ὅτι τὰ ἐπὶ τῆς συκῆς σῦκα διὰ κάλαμον ἀποσπῶντα, κεχηνότα ταῦτα ὑποδέχεται τῷ στόματι.

ΣΤΡΟΦΗ στίχων ξη'.

STROPHE.

ΔΡΑΜΑΤΟΣ ΤΟΥ ΔΕΥΤΕΡΟΥ Σκηνὴ τρίτη.

ACTVS II. SCENA tertia.

ΧΟΡΟΣ, ΚΛΕΩΝ, ΑΛΛΑΝΤΟΠΩΛΗΣ, ΔΗΜΟΣ.

Chorvs, Cleo, Agoracritvs, Popvlvs.

Bisetus. Ὁ χορὸς τὸν Ἀγοράκριτον θαρρεῖν κελεύει.

Χο. Νῦν δεῖ σε πάντα δὴ κάλων ἐξιέναι σεαυτοῦ,
Καὶ λῆμα θούριον φορεῖν, καὶ λόγοις ἀφύκτοις.
Ὅτοισι τόνδ᾽ ὑπερβαλεῖ. ποικίλος γὰρ ἀνήρ,
Κἀκ τῶν ἀμηχάνων πόρους εὐμηχάνους πορίζων.
Πρὸς ταῦθ᾽, ὅπως ἔσει πολὺς καὶ λαμπρὸς ἐς τὸν ἄνδρα.
Ἀλλὰ φυλάττου, καὶ πρὶν ἐκεῖνον προσκεῖσθαί σοι, πρότερος σὺ
Τοὺς δελφῖνας μετεωρίζου, καὶ τὴν ἄκατον παράβαλλε.

Ch. Nunc omnem à temetipso oportet immittere rudentem:
Animumque præsentem huc adferre, & argumenta tecum
Inuicta, quibus hostem superes: quoniam vir versipellis
B *Est, qui è vijs incertis certas nouit comminisci.*
Quapropter copiosus, & elegans contra virum esto.
Verùm obserua, priusquàm te ille aggrediatur, tu prior ipso
Delphinas vt sustollas, & lembum vt habeas paratum.

Σχόλια. Νῦν δεῖ σε.] κορωνὶς καὶ εἴσθεσις χοροῦ, ἐπῳδικὴ μὲν διὰ τὸ μετὰ τὴν κορωνίδα κεῖσθαι. μεσῳδικὴ δὲ διὰ τὸ ἑξῆς εἰσάγεσθαι ἑτέραν διπλῆν ἐκ στίχων πέντε. ὧν οἱ μὲν τρεῖς ἀσυνάρτητοι, ἐξ ἰαμβικοῦ διμέτρου ἀκαταλήκτου τοῦ καλουμένου Ἀνακρεοντίου καὶ τροχαϊκοῦ ἰθυφαλλικοῦ τοῦ καλουμένου Ἀρχιλοχείου. καλεῖται δὲ ταῦτα ἀσυνάρτητα Εὐριπίδεια. εἰσὶ γὰρ ὅμοια τῷ Εὐριπίδου ἔπος ἡνίχ᾽ ἱππότης ἐξέλαμψεν ἀστήρ. οἱ δὲ ἑξῆς δύο ἰαμβικοὶ τετράμετροι καταληκτικοί. ἔνταῦθα ἐκθέσει ἐπὶ τὸ ἔξιμον. διπλῆ ἀνάπαιστος τετράμετρος καταληκτική ὑφ᾽ ὃ παράγραφος διπλῆ. καὶ ἑξῆς στίχοι ὁμοίως ζ. ἐφ᾽ ὧν τῷ τέλει κορωνίς. Κάλων.] παροιμία. πάντα δὴ κάλων κινεῖν. εἴληπται δὲ ἐπὶ τῶν πάσῃ προθυμίᾳ χρωμένων. παρῆκται δὲ ἀπὸ τῶν πλεόντων καὶ χειμαζομένων, καὶ τὰ σχοινία ῥιπτόντων σὺν ταῖς ἀγκύραις ἐπὶ θάλασσαν, ὥστε τοῦ κλύδωνος ῥύεσθαι τὸ πλοῖον. ὁμοία δὲ τῇ πάντα λίθον κίνει. τοῦ γὰρ Μαρδονίου ἡττηθέντος ἐν Πλαταιαῖς, φήμη κατεῖχεν ὡς ἐν τῷ περιβόλῳ τῆς σκηνῆς θησαυρὸν κατορύξας ἀπολελοίποι. πριάμενος οὖν Πολυκράτης ὁ Ἀθηναῖος τὸν τόπον πολὺν χρόνον ἐζήτει. ὡς δὲ οὐδὲν ἐπέραινε, πέμψας εἰς Δελφοὺς ἐπηρώτα πῶς ἂν εὕροι. τὸν δὲ Ἀπόλλωνα ἀποκρίνασθαί φασι πάντα λίθον κίνει. καὶ ἐν ἐπιγράμματι Καλλιμάχου τὸ τορευτὸν ἔπος τόδε. δὴ γὰρ ἐπ᾽ αὐτῷ ἀνὴρ τοὺς μουσέων πάντας ἔσεισε κάλως. φησὶν οὖν πάντα κίνει πράγματα, καὶ πάντα μηχανῶ κατὰ τοῦ Κλέωνος, ἵνα αὐτοῦ περιγένῃ. κάλων δὲ τὸ σχοινίον. τροπικῶς δὲ ὡς ἐπὶ τοῦ ἱστοῦ λέγει. ἁπλοῦν σε δεῖ τὰ ἄρμενα, τουτέστι πάντα κινεῖν ὑπὲρ τοῦ περιγενέσθαι αὐτοῦ. θούριον δὲ λῆμα, ὁρμητικόν, ταχύ, πεδητικόν. πολεμικώτατον. καὶ

C θούριος Αἴας. θούριος Ἄρης. ποικίλος δὲ ὁ ἐπὶ πολλὰ τὴν γνώμην ἄγων. Κἀκ τῶν ἀμηχάνων.] ἐκ τῶν ἀπόρων εὐπόρους ἀφορμάς. καὶ εὐαφόρμους καὶ εὐσυνέτους. λόγων εὐπορίας. ταῦτα δὲ παρὰ τὰ ἐν Προμηθεῖ Αἰσχύλου. δεινὸς γὰρ εὑρεῖν κἀξ ἀμηχάνων πόρους. Πρὸς ταῦθ᾽ ὅπως ἔσει] διὰ ταῦτα φρόντιζε ὅπως ἐπεξελεύσῃ καὶ λαμπρὸς δόξῃς εἶναι πλήρης λόγων καὶ φρονήματος. ἀλλὰ φύλασσε καὶ ἐπιτήρει. Τοὺς δελφῖνας μετεωρίζου] δελφὶς ὄργανον ναυτικόν. μετεωρίζου δὲ, τουτέστιν εἰς ὕψος αἶρε. ἐπεὶ καὶ τῶν θαλασσίων δελφίνων πηδήματα μετέωρα. μέμνηται δὲ καὶ
D Θουκυδίδης. ἄλλως. δελφὶς ἐξάρτημα τῶν νεῶν, ἀγκυρώματα. ἄλλως. σιδηροῦν κατασκεύασμα ἢ μολίβδινον εἰς δελφῖνα ἐσχηματισμένον. τοῦτο δὲ ἐκ τῆς κεραίας τοῦ ἱστοῦ αἱ ναυμαχοῦσαι ἠφίεσαν εἰς τὰς τῶν πολεμίων, καὶ κατεδύοντο. δηλοῦται δὲ ὑπὸ Φερεκράτους ἐν τοῖς Ἀγρίοις, ὅταν λέγῃ. ὁ δὲ δὴ δελφὶς, ἐστὶ μολιβδοῦς. δελφινοφόρος τε κέρδος διακόψει τοὔδαφος αὐτῶν ἐμπίπτων καὶ καταδύων. καὶ Θουκυδίδης δελφινοφόρον εἴρηκε τὴν ναῦν ἐξηρτῆσθαι, τὴν ἐξηρτημένην ἔχουσαν δελφῖνα τοιοῦτον. ἐν γὰρ τῇ ἑβδόμῃ ἱστορίᾳ φησὶν αὐτοὺς δὲ κεραῖαι ὑπὲρ τῶν εἴσπλων αἱ ἀπὸ τῶν ὁλκάδων δελφινοφόροι ἠρμέναι
E ἐκώλυον. δελφίνιον δὲ ἱερὸν Ἀπόλλωνος Ἀθήνησιν οὕτω καλούμενον. ἔνθα καὶ τὸ ἐν Δελφινίῳ δικαστήριον. καὶ χωρίον ἐν Χίῳ. Τὴν ἄκατον παράβαλλου.] ἑτοίμην ποίει ὡς εἴ τις κίνδυνος ἐκ τοῦ ἀνέμου αὐτὴν ἐμβησόμενος.

Bisetus. Τὴν ἄκατον καλεῖ πλοίου τι εἶδος. καὶ οἱ μὲν ἀρσενικῶς, οἱ δὲ θηλυκῶς προφέρουσιν. ὅθεν τὸ ὑποκοριστικόν, ἀκάτιον. ἀλλαχοῦ δὲ ἡ ἄκατος ποτήριόν τι πλοιοειδὲς σημαίνει.

F

Bisetus. Κλέων, καὶ Ἀγοράκριτος ἐξ ὑποβολῆς, καὶ ἐναλλὰξ τὰς ἑαυτῶν εἰς τὴν πόλιν εὐεργεσίας διηγοῦνται, καὶ ἀλλήλους λοιδοροῦσι.

Κλ. Τῇ μὲν δεσποίνῃ Ἀθηναίᾳ, τῇ τῆς πόλεως μεδεούσῃ,
Εὔχομαι. εἰ μὲν περὶ τὸν δῆμον τὸν Ἀθηναίων γεγένημαι
Βέλτιστος ἀνὴρ, μετὰ Λυσικλέα, καὶ Κύνναν, καὶ Σαλαβάκχαν,
Ὥσπερ νυνὶ μηδὲν δράσας, δειπνεῖν ἐν τῷ Πρυτανείῳ.

CL. Principiò Deam ego Mineruam, conseruatricem istius vrbis
G *Veneror atque oro: si ego de ciuibus optima sum meritus, post*
Lysiclem, & Cynnam, ac Salabaccham meretrices: vt nihil æquè
Aut boni agendo, nihilominus in Prytaneo prãdia sumam.

Εἰ δέ σε μισῶ, καὶ μὴ περὶ σοῦ μάχομαι, μόνος ἀντιβεβληκώς,
Ἀπολοίμην, καὶ διαπρισθείην, διατμηθείην τε λέπαδνα.
Αλλ. Κἄγωγ', ὦ δῆμ', εἰ μή σε φιλῶ, καὶ μὴ στέργω, κατατμηθεὶς
Ἑψοίμην ἐν περικομματίοις· καὶ μὴ τούτοισι πέποιθας,
Ἐπὶ ταυτησὶ κατακνησθείην ἐν μυττωτῷ μετὰ τυροῦ.
Καὶ τῇ κρεάγρᾳ τῶν ὀρχιπέδων ἑλκοίμην ἐς Κεραμεικόν.
Κλ. Καὶ πῶς ἂν ἐμοῦ μᾶλλον σε φιλῶν, ὦ δῆμε, γένοιτο πολίτης,
Ὃς πρῶτα μὲν ἡνίκ' ἐβούλευόν σοι, χρήματα πλεῖστ' ἀπέδειξα
Ἐν τῷ κοινῷ, τοὺς μὲν στρεβλῶν, τοὺς δ' ἄγχων, τοὺς δὲ μεταιτῶν.
Οὐ φροντίζων τῶν ἰδιωτῶν οὐδενός, εἰ σοὶ χαριζοίμην.
Αλλ. Τοῦτο μέν, ὦ δῆμ', οὐδὲν σεμνόν. κἀγὼ γὰρ τοῦτό σε δράσω.
Ἁρπάζων γὰρ τοὺς ἄρτους, σοι τοὺς ἀλλοτρίους παραθήσω.
Ὡς δ' οὐχὶ φιλεῖ σ', οὐδ' ἔστ' εὔνους, τοῦτ' αὐτό σε πρῶτα διδάξω.
Ἀλλ' ἢ διὰ τοῦτ' αὔθ' ὅτι σου τῆς ἀνθρακιᾶς ἀπολαύει.

A *Sin autem te exodi, & iam solus collato pede tecum*
Non congrediar: disperеam, distendar, disscindar in habenas.
AG. Et ego mi popule, nisi te diligo & amo: disfecer hic in
Frusta, & coquar in minutali: ac nisi tu mihi credis amice,
B *Super hoc vasis iam conterar in offa cum caseo: & unca*
Forcipe correptis testiculis, hinc protrahar in Ceramicum.
CL. Et quomodo sit alius ciuis, qui te plus diligat unum,
Quàm ego: qui, cùm primùm tibi consulerem, ostendi plurimùm opimi
C *Argenti: alios torquendo, alios strangulando, ab aliis repetendo:*
Nulli ex priuatis parcendo: dummodo tibi gratificarer.
AG. Hoc sanè, mi popule, nil habet in se laudabile. Namq;
Eadem isthac & ego tibi praestabo: nam panes aliunde
D *Subreptos, apponam tibi. Sed quòd nec amet te hic, neque fidus*
Tibi sit, hoc primùm ostendam: nisi quia tuis prunis perfruitur: Nam

Σχόλια. Βέλτιστος ἀνήρ.] εὔνους. ἄριστος. ἐντεῦθεν δοκεῖ μοι καὶ Δημοσθένης ὠφεληθείς, τὸ προοίμιον εἰληφέναι ἐν τῷ περὶ τοῦ στεφάνου λόγῳ. φησὶ γὰρ οὕτω. πρῶτον μὲν ὦ Ἀθηναῖοι τοῖς θεοῖς εὔχομαι πᾶσι καὶ πάσαις, ὅσην εὔνοιαν ἔχων ἐγὼ διατελῶ τῇ τε πόλει. E Μετὰ Λυσικλέα.] Λυσικλῆς ὡς προβατοκάπηλος διεβάλλετο. Κύννα δὲ καὶ Σαλαβάκχα, τῶν θαυμαζομένων ἑταιρίδων. Μηδὲν δράσας.] μηδὲν σπουδαῖον διαπραξάμενος. ἄλλως. μηδὲν διαπραξάμενος ἔργον σπουδαῖον καὶ μέγα. φησὶ γάρ, ὅτι ἐπὶ μεγάλοις κατορθώμασι, τὴν τιμὴν Ἀθηναῖοι παρεῖχον τοῖς ἀγαθόν τι εὐεργετήσασιν αὐτούς. νῦν οὖν σκώπτει τὸν Κλέωνα, δι' ὧν αὐτὸν ὁμολογοῦντα ποιεῖ, ὅτι μηδὲν διαπραξάμενος τοιοῦτον ἔργον, τῆς ἐν Πρυτανείῳ σιτήσεως μετέχει. F Ἀντιβεβληκώς.] ἀντὶ τοῦ πρὸς βίαν ἀγωνιζόμενος. εἴρηται δέ, ἀπὸ τῶν τοὺς ἵππους ἐλαυνόντων. ἢ τῶν τούτους σαγήναις ἑλκόντων. ἄλλως. ἀνθιστάμενος τοῖς ἀδικεῖν σε προαιρουμένοις. διαπρισθείην, εἰς μέρη λαιμοτομηθείην. Λέπαδνα.] οἱ στηθιαῖοι λῶροι ἢ οἱ μασχαλιστῆρες τῶν ἵππων. τοῦτο δέ, ὡς συμβατικῶς εἶπεν. ἄλλως λεπτότατα καὶ εἰς πολλὰ μέρη διῃρημένα. ἀπὸ δὲ τοῦ ἱμαντώδους χείλους τῇ μεταφορᾷ τῶν ὀνομάτων ἐχρήσατο, παίζων ὁμοῦ καὶ τὴν τέχνην τοῦ Κλέωνος διὰ τὰς καταλειπομένας βύρσας. λείπει δὲ ἡ εἰς. ἵν' ᾖ εἰς λέπαδνα. G Εἰ μή σε φιλῶ.] ἔπαιξε κἀνταῦθα τοῦτο ποιούμενος διὰ τὸ μάγειρον αὐτὸν εἶναι. πειρᾶται δὲ εἷς ἕκαστος αὐτῶν, μᾶλλον φανῆναι τὸν δῆμον φιλῶν, ἵν' εὔνοιαν ἑαυτῷ κατασκευάσῃ. Ἑψοίμην ἐν περικομματίοις.] τοῖς περιαιρήμασι τῶν κρεῶν. ἑψηθείην οὖν σὺν αὐτοῖς περικόμμασι. Καὶ μὴ τούτοισιν.] εἰ μὴ τούτοις ἀρκῇ τοῖς ῥήμασιν, καὶ εἰ μὴ πιστεύεις φησὶ τούτῳ μου τῷ ὅρκῳ, ὀμοῦμαί σοι καὶ ἕτερον ὅρκον μείζονα. ἐπὶ ταυτησὶ δὲ εἶπε, τὴν τράπεζαν δεικνὺς τὴν μαγειρικήν. Κατακνησθείην.] καταξυσθείην εἰς ἰσχνὰ μέρη, καὶ ἀναλωθείην. καὶ τοῦτο δὲ ἀπὸ τῆς τέχνης παρείληπται τῆς αὐτοῦ. μυττωτῷ δὲ εἶπε, παίζων ἴσως πρὸς τὸ Ὁμηρικόν. ἔστι δὲ ὑπότριμμα διὰ σκορόδου. κατασκευάζεται δὲ ἀπὸ τυροῦ καὶ σκορόδου καὶ ᾠοῦ, καὶ ἐλαίου καὶ πράσου. Κρεάγρα.] εἶδος ἐργαλείου μαγειρικοῦ χειρὶ παρεοικός, μόνον ἐγκεκαμμένους τοὺς δακτύλους, ἀνειμένα τὰ ξεστὰ διὰ τὸ τὰς χεῖρας μὴ καίεσθαι. κρεάγρα δὲ εἴρηται, ἀπὸ τοῦ τὰ κρέα ἐπὶ τοῖς λέβησιν ἀγρεύειν καὶ ἀνασπᾶν. Ὀρχιπέδων.] τοῦτο οὐχ ἁπλῶς, ἀλλ' ἀφ' ἱστορίας, ὡς καὶ αὐτὴν τὴν κόλασιν προσαγόντων τῶν Ἀθηναίων. Εἰς Κεραμεικόν.] τόπος Ἀθηναίων οἱ Κεραμεικοί. διὰ τὰ ἀγάλματα ἐκεῖσε ἱδρυμένα. ἄλλως. δῆμος Ἀθηνῶν. δύο δὲ οἱ Κεραμεικοὶ Ἀθήνησιν. ὁ μὲν ἔνδον τῆς πόλεως. ὁ δὲ ἔξω. ἔνθα καὶ τοὺς ἐν πολέμῳ τελευτήσαντας ἔθαπτον δημοσίᾳ. καὶ τοὺς ἐπιταφίους ἔλεγον. εἰσὶ δὲ ἔνθεν καὶ ἔνθεν στῆλαι ἐπὶ τοῖς δημοσίᾳ τεθαμμένοις ἔχουσαι ἐπιγραφὰς ποῦ ἕκαστος τέθαπται. ἐν δὲ τῷ ἑτέρῳ ἵσταντο καὶ προεστήκεσαν αἱ πόρναι. Τοὺς δ' ἄγχων.] δηλοῖ διὰ τούτων τῶν ὀνομάτων τὸ βίαιον τῆς ἀπαιτήσεως, εἴπερ δύναιτο [illegible] τοὺς Ἀθηναίους [illegible] περὶ τὰς ἀπαιτήσεις τῶν πολιτικῶν χρημάτων βαρεῖς. Μεταιτῶν.] τοὺς μὴ ὀφείλοντας δηλονότι. λῆρον δὲ ἐποίησε διὰ τὴν ἀνταπόδοσιν τὸ σχῆμα, εἰπών, ὅτι τοὺς μὲν μετὰ βίας εἰσέπραττεν τῶν χρεωστουμένων, τοὺς δὲ μὴ ὀφείλοντας μετῄτει. Οὐ φροντίζων.] τὸ λεγόμενον τοιοῦτόν ἐστιν. ἐν δευτέρῳ τὴν πρὸς τοὺς ἰδιώτας ἀπέχθειαν ἐποιούμην, ἕνεκα τοῦ ἀποθεραπεῦσαι τὴν πόλιν. Ἄρτους ἀλλοτρίους.] τοὺς βιαίως ἀφαιρουμένους. σκώπτει δὲ τὸν Κλέωνα, ἀπὸ τῶν ἀλλοτρίων φιλοτιμού.

τιμούμενος. ἀπὸ δὲ τῆς αὐτῆς τέχνης ὁρμώμενος, πάλιν τοῦ ἀλλαντοπώλου μέμνηται.

BISETUS. Διὰ τὸ τ' αὖθ' ὅτι.] διὰ τοῦτο αὐτὸ, ἀλλὰ διὰ τὴν ἀποβολὴν τοῦ ο, ὁ λόγος εἰς τὴν προηγουμένην συλλαβὴν ἀνέλκεται.

A Σχόλια. Τῆς ἀνθρακιᾶς.] ὅτι τῶν σῶν ἀγαθῶν ἀπολαύει. χρησιμεύει γὰρ ἡ ἀνθρακιὰ τῷ χειμῶνι. καὶ τοὺς ἔχοντας, οἱ ἄλλοι περιιστάμενοι θάλπονται, βουλόμενοι εἶναι ἐκεῖ.

Σὲ γὰρ, ὃς Μήδοισι διεξιφίσω περὶ τῆς χώρας ἐν Μαραθῶνι,
Καὶ νικήσας, ἡμῖν μεγάλως ἐγγλωττοτυπεῖν παρέδωκας,
Ἐπὶ ταῖς πέτραις οὐ φροντίζει σκληρῶς σε καθήμενον οὕτως.
Οὐχ ὥσπερ ἐγὼ ῥαψάμενός σοι τουτὶ φέρω. ἀλλ' ἐπαναίρου,
Κᾆτα καθίζου μαλακῶς, ἵνα μὴ τρίβῃς τὴν ἐν Σαλαμῖνι.
Δημ. Ἄνθρωπε τίς εἶ; μῶν ἔγγονος εἶ τῶν Ἁρμοδίου τις ἐκείνων;
Τοῦτό γε τοὔργον ἀληθῶς γενναῖον, καὶ φιλόδημον.
Κλ. Ὡς ἀπὸ μικρῶν εὔνους αὐτῷ θωπευματίων γεγένησαι;
Ἀλλ. Καὶ σὺ γὰρ αὐτὸν πολὺ μικροτέροις τούτων δελεάσμασιν εἷλες.
Κλ. Καὶ μὴν εἴ πού τις ἀνὴρ ἐφάνη τῷ δήμῳ μᾶλλον ἀμύνων,
Ἢ μᾶλλον ἐμοῦ σε φιλῶν, ἐθέλω περὶ τῆς κεφαλῆς περιδόσθαι.
Ἀλ. Καὶ πῶς σὺ φιλεῖς, ὃς τοῦτον ὁρῶν οἰκοῦντ' ἐν ταῖσι πιθάκναισιν,
Καὶ γυπαρίοις, καὶ πυργιδίοις, ἔτος ὄγδοον, οὐκ ἐλεαίρεις.

Te, qui cum Medis pugnauisti pro patria, in Marathone,
Et qui hoste superato, fecisti, vt nos iam nostrâ crepemus B
Magnificè: te, inquam, in petra hac non sic respicit ille sedentem:
Sicut ego, qui hunc fero puluinum tibi: surge popule, surge,
Et molliter hic reside: vt ne atteras clunes in Salamine.
PO. Quinam es, mi vir? an vnus de istis cognatis Harmody es tu?
C *Nam reuera hoc facinus praeclarum est, ac valdè populare.*
CL. Quàm beneuolus ob modicum blandimentum tu factus es illi?
AG. At tu populum inescasti antehac multò leuioribus escis.
CL. Imò si quisquam alius sit populi, quàm ego, studiosior, aut qui
D *Te plus, quàm ego, ames: caput ausim & vitam pro hac laude pacisci.*
AG. Quomodo ames tu populum: quem caua dolia inhabitare vides, &
Turriculas atque cauernas: tamen octo annis nil misereris:

Σχόλια. Διεξιφίσω.] ἐπολέμησας πρὸς τοὺς Μήδους. τοῖς ξίφεσι κατ' αὐτῶν ἐχρήσω. Ἐν Μαραθῶνι.] τόπος τῆς Ἀττικῆς εἰς ὃν ἀνώρμησαν Δᾶτις καὶ Ἀρταβάζος, Μηδικοὶ στρατηγοὶ πεμφθέντες ὑπὸ Δαρείου βασιλέως καταδουλώσασθαι τὴν Ἑλλάδα, ἔνθα συμβαλόντες αὐτοῖς οἱ Ἀθηναῖοι Μιλτιάδου στρατηγοῦντος, μόνων Πλαταιέων συμμαχησάντων αὐτοῖς χιλίοις ἀνδράσιν ὡς ἐξισωθῆναι τὴν τῶν Ἀθηναίων δύναμιν τῇ Περσῶν, τοῖς Ἕλλησι τῆς ἐλευθερίας αἴτιοι κατέστησαν, μόνοι ἐξ ἁπάντων τῶν Ἑλλήνων τὸ πρῶτον τῶν Περσῶν διαφθείραντες. Ἐγγλωττοτυπεῖν.] τὴν γλῶτταν ψοφεῖν τὰ κατορθώματα. στωμυλολογεῖν τὰ ἐκείνων καὶ ἀεὶ ἐπὶ γλώττης ἔχειν. Ῥαψάμενός σοι τουτὶ φέρω.] παρεντεχνεύει. δείκνυσι γὰρ αὐτῷ προσκεφάλαιον. ὅ φησι τῷ δήμῳ παρεσκευάσθαι ἵνα μὴ ἐπὶ ψιλοῖς τοῖς βάθροις ἐπικαθέζηται, ἀπαρχῆς τὴν περὶ τὸν δῆμον εὔνοιαν δεικνύς. Ἀλλ' ἐπαναίρου.] ἐπανίστασο καὶ ἐπεγείρου, ἵνα ὑποθῶ τῷ καθίσματι τὸ προσκεφάλαιον. Ἵνα μὴ τρίβῃς.] ἵνα μὴ ἐκτρίψῃς μηδὲ διαφθείρῃς τὴν ἐν Σαλαμῖνι καμοῦσαν πυγὴν ἐν ναυμαχίᾳ. ἀντὶ δὲ Μαραθῶνος, Σαλαμῖνος μέμνηται, ὅτι ναυμαχία Περσῶν περιγέγονε. ἐν Μαραθῶνι δὲ πεζομαχία. G κεῖται δὲ ἡ Σαλαμὶς, ὀλίγον πρὸ τῆς Σαλαμῖνος πόλεως, ἱερὰ Δήμητρος καὶ κόρης. πλήρης οὖσα κατορθωμάτων Ἑλληνικῶν. καὶ γὰρ ἐν ταύτῃ, πολλὰς τῶν Περσῶν Ἀθηναῖοι καταναυμαχήσαντες τριήρεις ὀλίγῳ ἀριθμῷ, Θεμιστοκλέους στρατηγοῦντος. ἔνθα καὶ πέτρα Εἰρεσία οὕτω καλουμένη, ὥσπερ διὰ τὸ ὄνομα τρόπαιον οὖσα τῆς Ἀττικῆς. ἔστι δὲ καὶ Ἀγέλαστος πέτρα καλουμένη παρὰ τοῖς

E Ἀθηναίοις, ὅπου καθίσαι φασὶ Θησέα μέλλοντα καταβαίνειν εἰς ᾅδου. ἄλλοι καὶ λοιδοροῦσι τῇ πέτρᾳ, ἢ ὅτι ἐκεῖ ἐκάθισεν ἡ Δημήτηρ κλαίουσα, ὅταν ἐζήτει τὴν κόρην. ἐρασθεὶς γὰρ Περσεφόνης ὁ Πλούτων ἥρπασεν αὐτὴν κρύφα. Δημήτηρ δὲ μετὰ λαμπάδων νυκτός τε καὶ ἡμέρας κατὰ πᾶσαν τὴν γῆν ζητοῦσα περιήρχετο. μαθοῦσα δὲ παρὰ Ἑρμιονέων ὅτι Πλούτων αὐτὴν ἥρπασεν, ὀργιζομένη θεοῖς κατέλιπεν οὐρανόν. καὶ εἰκασθεῖσα γυναικὶ ἧκεν εἰς Ἐλευσῖνα, ἔνθα ἐπὶ πέτραν ἐκάθισεν τὴν ἀπ' ἐκείνης κληθεῖσαν Ἀγέλαστον. Μῶν ἔγγονος.] μὴ τὸ γένος φησὶ κατάγεις ἀπὸ Ἁρμοδίου καὶ Ἀριστογείτονος. ὁ δὲ δῆμος F ἐστὶν ὁ θαυμάζων τὸν ἀλλαντοπώλην ἐπὶ τῇ φιλοτιμίᾳ τῶν καθισμάτων. εἰς Ἁρμόδιον δὲ καὶ Ἀριστογείτονα τὸ γένος ἀνήνεγκεν αὐτοῦ, ἐπεὶ καὶ οὗτοι εὐνοίας πολλάκις ἀπηνέγκαντο δόξαν, ἐπιθέμενοι τοῖς τυράννοις, καὶ τὸν Ἱππίαν διαχειρισάμενοι, ὡς φθάσαντες προείπομεν. τοῦτο γέ τοι πρῶτον ἐπιδείκνυσι τὴν εἰς τὴν πόλιν εὔνοιαν. Ὡς ἀπὸ σμικρῶν.] ἀπὸ βραχέων καὶ τῶν τυχόντων παντάπασι. δελεάσμασιν ἀπάταις. ἰδίως δὲ δέλεαρ καλοῦμεν, τὴν τοῖς ἰχθύσιν ὑποβαλλομένην τροφὴν G εἰς ἀπάτην τοῦ ἀγρευθῆναι. ἀπὸ μεταφορᾶς οὖν ἐκείνων φησιν. εἷλες δὲ ἠγρεύσας. ὑποχείριον ἐποίησας. Περιδόσθαι.] συνθήκην θεῖναι. καὶ ἀλλαχοῦ. περίδου καὶ ταχέως ἀνὴρ γένου καὶ αὖθις. εἰ βούλει περίδου μοι περὶ θυμέτιδος ἀλῶν. τουτέστι συνθήκας ποιησώμεθα. καὶ Ὅμηρος, δεῦρό νυν ἢ τρίποδος περιδώμεθα. Ἐν ταῖς πιθάκναις.] τοῖς μικροῖς πίθοις. πιθακνίταις. ἐρήμοις τόποις ὅτι διὰ τὸν πόλεμον οἱ Ἀθηναῖοι ἐκ τῶν ἀγρῶν

εἰσερχόμενοι, ἐν ταῖς πιθάκναις ἢ ἐν τοῖς σπηλαίοις ᾤκουν διὰ τὴν σπάνιν τῶν οἰκημάτων. οἱ δὲ παλαιοὶ πιδάκνην λέγουσι. Γυπαρίοις.] εἶδος ὀρνέου γύπες. ἔπαιξε δὲ τὸ ὄνομα διὰ τὸ ἐπιφερόμενον. δοκεῖ γάρ πως παρόμοια τὰ ὀνόματα ταῦτα εἶναι γυπαρίοις καὶ πυργιδίοις. ἢ διὰ τὸ τοὺς ὄρνις τούτους μάλιστα τοῖς πύργοις ἐπικαθῆσθαι, ἢ τοῖς τείχεσιν εἰς οὓς οἱ Ἀθηναῖοι ἐκάθευδον διὰ τὸν πόλεμον φρουροῦντες τὴν πόλιν. ἄλλως. ἀντὶ τοῦ ἐν φωλεοῖς καὶ καλιαῖς καὶ στενοῖς χωρίοις. Κρατῖνος δέ φησιν, ὅτι πᾶσαν στενὴν κατάδυσιν οὕτως ὠνόμαζον. Ἔτος ὄγδοον.] τοσαῦτα γὰρ ἔτη εἶχον πολεμοῦντες. Οὐκ ἐλεαίρεις.] οὐ κατοικτείρεις. δείκνυσι δὲ διὰ τούτων, ὅτι ὁ κωλύων παύσασθαι τὸν πόλεμόν ἐστιν ὁ Κλέων. ὅπερ οὖν καὶ Θουκυδίδης ἱστορεῖ διὰ τούτων. ἐπεὶ καὶ ἡ ἐν Ἀμφιπόλει ἧττα τοῖς Ἀθηναίοις ἐγένετο. καὶ τεθνήκει Κλέων τε καὶ Βρασίδας, οἵπερ ἀμφότεροι ἠναντιοῦντο τῇ εἰρήνῃ. ὁ μὲν, διὰ τὸ εὐτυχεῖν τε καὶ τιμᾶσθαι ἐκ τοῦ πολεμεῖν. ὁ δὲ γενομένης εὐτυχίας καταφανέστερός τε νομίζων εἶναι κακουργῶν καὶ ἀπιστότερος διαβάλλων.

Ἀλλὰ καθείρξας αὐτὸν βλίττεις. Ἀρχεπτολέμου δὲ φέροντος
Τὴν εἰρήνην ἐξεσκέδασας. τὰς πρεσβείας τ' ἀπελαύνεις,
Ἐκ τῆς πόλεως ῥαθαπυγίζων, ἅπαξ σπονδὰς προκαλοῦντας.
Κλ. Ἵνα γ' Ἑλλήνων ἄρξῃ πάντων. ἔστι γὰρ ἐν τοῖς λογίοισιν,
Ὡς τοῦτον δεῖ ποτ' ἐν Ἀρκαδίᾳ πεντώβολον ἡλιάσασθαι,
Ἢν ἀναμείνῃ. πάντως δ' αὐτὸν θρέψω 'γὼ καὶ θεραπεύσω,
Ἐξευρίσκων εὖ καὶ μιαρῶς, ὁπόθεν τὸ τριώβολον ἕξει.
Ἀλλ. Οὐχ ἵνα γ' ἄρξῃ, μὰ Δί', Ἀρκαδίας προνοούμενος, ἀλλ' ἵνα μᾶλλον
Σὺ μὲν ἁρπάζῃς καὶ δωροδοκῇς παρὰ τῶν πόλεων, ὁ δὲ δῆμος
Ὑπὸ τοῦ πολέμου καὶ τῆς ὁμίχλης, ἃ πανουργεῖς, μὴ καθορᾷ σου,
Ἀλλ' ὑπ' ἀνάγκης ἅμα καὶ χρείας καὶ μισθοῦ πρὸς σὲ κεχήνῃ.
Εἰ δέ ποτ' εἰς ἀγρὸν οὗτος ἀπελθὼν εἰρηναῖος διατρίψῃ,
Καὶ χίδρα φαγὼν ἀναθαρρήσῃ, καὶ στεμφύλων εἰς λόγον ἔλθῃ,
Γνώσεται οἵων ἀγαθῶν αὐτὸν τῇ μισθοφορᾷ παρεκόπτου.

Sed eum, vi constrictum emulges. quid? cùm dux bellicus vrbi
Pacem offerret: tu disiecisti: & legatos repulisti:
Pedibusq́; explosisti: qui hortabantur nos fœdera inire.
CL. *Nempe vt Græcis omnibus imperitares, feci: quia diuûm*
Responsa hoc promittunt, quòd populus hic in media Arcadia olim (belli
Pro quinq; obolis sit iudicium dictaturus: mala
Si forti animo toleret, sed ego omnino populum alamq́; colamq́;
Et per fas atque nefas inueniam, vnde triobolum habeat ipse.
AG. *Non, ita me Deus amet, hoc tu prospicis, vt populus dominetur* (captes,
Arcadiæ: sed magis, vt tu diripias, & munera
Populus autem præ bello & tenebris non videat, quid agas, tu
Astute homo: sed præ inopia, & mercede ad te spectet hianti
Ore. vbi verò in agrum hic digressus, pacificè degerit æuum,
Seq; leguminibus recreârit, fraciumq́; accesserit eius.
Tum denique comperiet, qualia tu bona præcideris illi,
Propter militia stipendia: mox toruus, & ore seuerus

Σχόλια. Βλίττεις.] ἀμέλγεις. βλίττειν ἐστὶ τὸ ἀφαιρεῖν τὸ μέλι ἀπὸ τῶν κηρίων. καὶ πειράζειν καὶ τὸ ψηλαφᾶν. ἢ τὸ ἐκπιέζειν τὰ κηρία τῶν μελισσῶν θλίβειν. Ἀρχεπτολέμου δὲ φέροντος.] παρ' ἱστορίαν τοῦ Ἀρχεπτολέμου ἐμνημόνευσεν. ὄγδοον γὰρ ἔτος ἔχοντος τοῦ πολέμου τούτου, ἔτι ζῶντος τοῦ Κλέωνος, ἐνιαύσιον ἐποιήσαντο πρὸς ἀλλήλους ἐκεχειρίαν οἱ Ἀθηναῖοι καὶ Πελοποννήσιοι, πρεσβείαν πέμψαντες πρὸς ἀλλήλους. οὐ μὴν Ἀρχεπτολέμου πρεσβεύοντός τινος. ἀλλὰ τῶν Λακεδαιμονίων ἦν πρεσβευτὴς, Ταῦρος Ἐχετιμίδης. Ἀθήναιος. Περικλείδας. Αἰνείας. Σισυφαμήδας Ἀριστοδήμου. Σικυωνίων δὲ, Δημότιμος Ναυκράτου. Μεγικράτης Ἀμφιδώρου. Ἐπιδαυρίων δὲ, Ἀμφίας. Ἀθηναίων δὲ στρατηγοί, Νικίας ὁ Νικηράτου. Αὐτοκλῆς Τολμαίου. ἐγένετο δὲ ὁ πόλεμος ἐπὶ εἴκοσι καὶ ἑπτὰ ἔτη. καὶ οὕτως ἡ πρεσβεία τοῦ Κλέωνος ζῶντος, ἡ εἰρήνη μετ' ἐνιαυτὸν ἐγένετο. εἰκὸς οὖν Ἀρχεπτολέμου μνημονεῦσαι, ἵνα μᾶλλον ἔξαρχον ἐπιδείξῃ τοῦ πολέμου τὸν Κλέωνα καὶ Ἀρχεπτολέμου εἰρήνην διδόντος. ἐξεσκέδασας δὲ ἀντὶ τοῦ διετάραξας. δείκνυσιν οὖν ὅτι οὗτος ἦν αἴτιος τούτου. Ῥαθαπυγίζων.] τῇ πυγῇ ῥόθον ποιῶν. τουτέστι πυγὴν τῇ χειρὶ παίων ἢ τῷ ποδὶ τύπτων. ἄλλως. λάθρα τύπτων κατὰ τῆς πυγῆς τῇ πλατείᾳ χειρὶ καὶ πλατεῖ τῷ ποδί. τῇ πυγῇ ῥόθον ποιῶν. γελοίως δὲ χρῆσιν τούτῳ ἐχρήσατο. Προκαλοῦνται.] παρέχουσιν. εὐτρεπίζουσιν. εὐχαρίως δὲ τῷ προκαλοῦνται ἐχρήσατο, ἵνα μᾶλλον τοὺς Λακεδαιμονίους ἐπιδικαζομένους τῆς εἰρήνης δείξῃ καὶ ἐπιθυμοῦντας. Ὡς τοῦτον δεῖ ποτ' ἐν Ἀρκαδίᾳ.] νικήσαντα τοὺς Πελοποννησίους, δικάσαι μέχρις Ἀρκαδίας, λαμβάνοντα μισθὸν, πεντώβολον ἀλλ' οὐ τριώβολον. Ἢν ἀναμείνῃ.] ἐὰν ὑπομείνῃ καὶ πολεμῇ ἐν ἑαυτῷ. Εὖ καὶ μιαρῶς.] ἀλλήλοις ἐναντία. εἰ γὰρ εὖ, πῶς μιαρῶς; εἰ δὲ μιαρῶς, πῶς εὖ; πλὴν εἰ μὴ τοῦτο λέγει. ὅτι ἀνενδεῶς τὸ τριώβολον αὐτῷ φροντίσω καὶ ποιήσω λαμβάνειν. οὐ περιεργαζόμενος, οὔτε εἰ ἀπὸ δικαίων, οὔτε εἰ ἀπὸ ἀδίκων πορισθήσεται τὰ πράγματα. πιθανῶς δὲ προσφέρει τὰς ὑποσχέσεις τοῦ Κλέω-

τοῦ Κλέωνος, περὶ τῶν ἐνεστηκότων καὶ μελλόντων. Ὑπὸ τοῦ πολέμου καὶ τῆς ὁμίχλης.] ὑπὸ τῶν περιεστώτων κακῶν, καὶ τῶν τοῦ πολέμου δυσχερῶν συνεχόμενος μὴ ἐλέγχῃ τὰ σὰ κακουργήματα. ὁμίχλη δὲ, ἐπὶ τοῦ θολουμένου ἀέρος. καὶ μὴ διαυγοῦς μηδὲ λαμπροῦ, τέτακται. ὁ δὲ νοῦς οὗτος, ὅτι οὐ τοῦ δήμου φίλα φρονῶν, πείθεις αὐτὸν Ἀρκάσι πολεμεῖν, ἀλλ' ἵνα περὶ τὸν πόλεμον ἀσχολούμενος, μὴ περιεργάζηται τὰ σὰ πανουργήματα, εἰς σὲ κεχήνῃ, εἰς σὲ ἀποβλέπῃ καὶ πειθαρχῇ. Χίδρα.] τινὲς ἄγρια λάχανα. οἱ δὲ τὰ ὄσπρια ἢ τὰ ἐξ ὀσπρίων ἄλευρα ἢ ἐρῖκτα ἢ στάχυες πεφωγμένοι. κυρίως δὲ, τὰ ἀπὸ χλωρᾶς κριθῆς πεφωγμένα ὡς σπυρίδαλις ἐρικτά. χίδρα δὲ εἴρηται παρὰ τὸ χύδην. ἀναθαρρήσει δὲ θαρσαλεώτερος γένηται.

BISETVS. Χίδρα.] Σ. Χίδρα, τὰ εἰς τὴν χεῖρα λεπτυνόμενα ἀπὸ τῶν ἀσταχύων σίτου, καὶ κριθῆς.

A χίδρον, τὸ ἀπὸ τῆς ἐλύμου γινόμενον ἄλευρον. ἔδεσμα περὶ Καρίαν. ἤτοι τὸ ἀπὸ χλωρῶν κριθῶν. οἱ δὲ ἔτνος βοτάνης. ὧδε δὲ τοῦτο δηλοῖ τὴν εὐτέλειαν.

Σχόλια. Στεμφύλων εἰς λόγον ἔλθῃ.] καὶ προσομιλήσῃ τοῖς στεμφύλοις, ἢ πλησιάσῃ. στέμφυλα δὲ ἐκάλουν οἱ παλαιοὶ, τὰ τῶν ἐλαιῶν ἀποπιέσματα. πιτύσματα δὲ τὰ τῶν ἀμπέλων. Παρεκόπτου.] παρήρου. ἐλυμαίνου. ἀπὸ μεταφορᾶς τῶν παρακοπτομένων τὰ πτερὰ ὀρνέων. ἰδίως δὲ τὸν μισθὸν τῶν στρατευομένων οἱ παλαιοὶ μισθοφορὰν ἐκάλουν. φησὶν οὖν, ὅτι τοῦ πολέμου ἀπαλλαγέντες, ἐπιγνώσονται τὴν βλάβην, B ἣν διὰ τῆς μισθοφορᾶς αὐτοὺς ἔβλαπτες, πλείονα αὐτοὺς ἀγαθὰ παραιρούμενος, ὧν ἀπολαύειν ἠδύναντο εἰρήνην ἄγοντες. ἄγροικος δὲ ὁ ὀργῆς γέμων. παχὺς δὲ ψῆφον ἰχνεύων, καταδικάσαι προῃρημένος.

Εἶθ' ἥξει σοι δριμὺς ἄγροικος, κατὰ σοῦ τὴν ψῆφον ἰχνεύων.
Ἃ σὺ γιγνώσκων, τόνδ' ἐξαπατᾷς καὶ ὀνειροπολεῖς περὶ σαυτοῦ. C
Κλ. Οὔκουν δεινόν, ταυτί σε λέγειν δῆτ' ἐς ἐμέ, καὶ διαβάλλειν,
Πρὸς Ἀθηναίους καὶ τὸν δῆμον, πεποιηκότα πλείονα χρηστά,
Νὴ τὴν Δήμητρα, Θεμιστοκλέους πολλῷ περὶ τὴν πόλιν ἤδη.
Αλλ. Ὦ πόλις Ἄργους, κλύεθ' οἷα λέγει; σὺ Θεμιστοκλεῖ ἀντιφερίζεις; D
Ὃς ἐποίησε τὴν πόλιν ἡμῶν μεστήν, εὑρὼν ἐπιχειλῆ.
Καὶ πρὸς τούτοις ἀριστώσῃ τὸν Πειραιᾶ προσέμαξεν,
Ἀφελών τ' οὐδὲν τῶν ἀρχαίων ἰχθῦς καινοὺς παρέθηκε;
Σὺ δ' Ἀθηναίους ἐζήτησας μικροπολίτας ἀποφῆναι, E
Διατειχίζων καὶ χρησμῳδῶν ὁ Θεμιστοκλεῖ ἀντιφερίζων.
Κἀκεῖνος μὲν φεύγει τὴν γῆν, σὺ δ' Ἀχιλλείων ἀπομάττει.
Κλ. Οὔκουν ταυτὶ δεινὸν ἀκούειν ὦ δῆμ' ἐστί μ' ὑπὸ τούτου,
Ὅτι σε φιλῶ. Δη. παῦ' οὗτος, καὶ μὴ σκέρβολλε πονηρά. F
Πολλοῦ δὴ πολὺν με χρόνον καὶ νῦν ἐλελήθεις ἐγκρυφιάζων.

Ad te veniet, & calculum iniquè aduersus te feret atrum.
Quæ cùm tu scias: populum decipis, & de te somnia capias.
CL. *Annon hoc graue, tam dura aduersus me conuitia, iotq;*
Crimina proferri ad populum? beneficia plura locaui
In Rempub. ita me amet Dea, quàm præclara Themistoclis arma.
AG. *O urbs Argi, auditin' quid dicat? túne Themistocli, opinor,*
Te æquipares: qui quam vacuam reperit, plenam reddidit urbem:
Et Piræum insuper adiecit, piscesq; nouos epulanti
Apposuit: de antiquis nihil ademit: tu verò indigenas nos
Extenuas, dirimendo muros, recitando oracula: qui te
Audes ipsi æquiparare Themistocli, tu furcifer amens.
Patriam ille quidem fugit: tu verò Achilleis vesceris ordeis
CL. *Annon graue mihi, audire hac, mi popule, ex isto nebulone:*
Propterea, quòd amo te? POP. *tacesis, nec mala conuitia faxis:*
Sat longo tempore iam, ex occulto tu mihi verba dedisti.

Σχόλια. Ὀνειροπολεῖς.] παρακρούῃ, καὶ παραλογίζῃ καὶ παραπλανᾷς. καὶ ὀνειροπολεῖς, ὀνείρους ὁρῶν. τὸ δὲ ὦ πόλις Ἄργους ἀπὸ Τηλέφου Εὐριπίδου. τὸ δὲ κλύεθ' οἷα λέγει, ἀπὸ Μηδείας. τὸ δὲ σὺ δεικτικῶς.

BISETVS. Θεμιστοκλέους πολλῷ] πολλῷ πλείονα χρηστά, ἤτοι ἀγαθὰ πεποιηκότα, πλείονα λέγω τοῦ Θεμιστοκλέους. G

Σχόλια. Ἐπιχειλῆ.] τουτέστι χείλη μὴ ἔχουσαν. αἰνίττεται δὲ διὰ τούτου τὴν ἱστορίαν Θεμιστοκλέους ὅτι τὴν πόλιν ἐτείχισεν. καὶ αὐτὴν παρὰ γνώμην τῶν Πελοποννησίων ἀπατήσας αὐτούς. φασὶ γὰρ τῶν Λακεδαιμονίων μαθόντων ἐκτειχίζειν τοὺς Ἀθηναίους καὶ μὴ ἐπιτρεπόντων, κατεστρατηγῆσαι τὸν Θεμιστοκλέα ἐπὶ τῷ δεῖξαι τοῖς Λακεδαιμονίοις ὅτι ἐπὶ τῷ κοινῷ τῆς Ἑλλάδος συμφέροντι τειχίζοιεν τὴν πόλιν. χειροτονηθεὶς δὲ πρεσβευτὴς, τοῖς μὲν Ἀθηναίοις ἔδωκεν ἐντολὰς τειχίζειν πάσῃ σπουδῇ τὴν πόλιν, μὴ φειδομένους, μήτε ἰδίου μήτε δημοσίου τινὸς οἰκοδομήματος. τοῖς δὲ πρεσβευταῖς προσέταξε, βράδιον ἐλθεῖν εἰς τὴν Λακεδαίμονα. αὐτὸς δὲ ἀφικόμενος ἐκεῖσε καὶ τῶν Λακεδαιμονίων ἀξιούντων αὐτὸν εἰς τὸ κοινὸν παρεῖναι, καὶ λέγειν ὧν χρῄζων ἀφῖκται, τὸ μὲν πρῶτον εἰς τὴν παρουσίαν ὑπερετίθετο τῶν πρέσβεων. μὴ γὰρ ἀσφαλὲς ὑπάρχειν αὐτῷ κοινὰς ἐντολὰς λαβόντι, μόνον ἀποπληρῶσαι τὴν πρεσβείαν,

A καὶ ἤχαλλεν ὅτι μή πω παρεληλύθοντο, ὡς δὲ χρόνος ἱκανὸς διεγένετο, καὶ πρέσβεις παρῆσαν, ἤδη δὲ τοῦ τείχους ἱκανῶς προκεχωρηκότος τοῖς Λακεδαιμονίοις ἤγγελτο ὅτι τετειχισμέναι λοιπὸν εἶεν Ἀθῆναι, παρελθὼν ἐκεῖθεν αὐτοὺς μὴ ταχέως πιστεύειν τοῖς βουλομένοις εἰς ἔχθραν καταστῆσαι τὴν πόλιν. ἀλλ' ἐπιλεξαμένους αὐτῶν ἄνδρας τοὺς εὐνοίᾳ καὶ πίστει διαφέροντας, ἐπόπτας ἐκπέμψαι. μέχρι δὲ τῆς ἐκείνων παρουσίας, ὅμηρον αὐτὸν κατεπαγγέλλετο, κἂν τούτῳ τεταγμένον τινὰ χρόνον ἐμμενεῖν. πεισθέντων οὖν Λακεδαιμονίων καὶ τοὺς μάλιστα διαφέροντας εὐνοίᾳ καὶ πίστει τῶν πολιτῶν B πεμψάντων, λάθρα τοῖς Ἀθηναίοις προσέταξε μὴ πρότερον τοὺς Λακεδαιμονίων ἄνδρας ὀπίσω πάλιν ἐλθεῖν ἐᾶσαι, πρὶν αὐτόν τε καὶ τοὺς συμπρέσβεις ἀπολύσωσι Πελοποννήσιοι. ἔστιν οὖν τὸ νόημα ὑπερβατόν. ὃ γὰρ λέγει, τοιοῦτόν ἐστιν. ὅς τις ἐποίησε μείζω καὶ ὁλόκληρον ἡμῶν τὴν πόλιν ἀτείχιστον οὖσαν. ἄλλως. ἐπιχειλῆ. ἐνδεᾶ. ἐπιχειλὲς γὰρ μέτρον λέγεται, τὸ καὶ μὴ πλῆρες, ἀλλ' ἀπομειούμενον. αἰνίττεται δὲ, ὅτι αὐτὸς τὴν πόλιν ἐτείχισε. Καὶ πρὸς τούτοις ἀριστώσῃ.] καὶ πρὸς τούτοις ἄριστα τῇ πόλει ἐχούσῃ. ἔπαιξε δὲ τῷ ἀριστώσῃ πρὸς C τὰ ἐπιφερόμενα. Τὸν Πειραιᾶ.] καὶ τὸν Πειραιᾶ γὰρ ἐτείχισεν. ὃς ἀπέχει τῆς πόλεως σταδίους λέ, παρὰ θάλατταν ὤν. ἔπαιξε τῷ ἀριστώσῃ πρὸς τὰ ἐπιφερόμενα. πρὸς ὃ ἐπιφορᾷ καὶ τὰ ἰχθῦς προσέθηκεν. Προσέμαξε.] προσέθηκε. προσεκόλλησεν. μάττειν γὰρ λέγεται τὸ ἀναμιγνῦναι καὶ φυρᾶν καὶ εἰς ἓν συνάγειν. ἑξῆς οὖν τὸ μάττειν προσενήνοχε, διὰ τὸ προειρηκέναι ἀριστώσῃ. αἰνίττεται δὲ διὰ τούτων τὰ μακρὰ τείχη παρὰ τοῖς Ἀθηναίοις καλούμενα. μακρὰ δὲ ἐλέγοντο, διὰ τὸ ἀπὸ τῆς πόλεως διήκειν μέχρι τοῦ Πειραιῶς. ἄλλως. ἐμπόριον ὁ Πειραιεὺς τῶν Ἀθηναίων παρὰ τῇ θαλάττῃ κείμενος, ἀπὸ πέντε τῆς πόλεως σημείων. Ἰχθῦς καινούς.] ὅτι ἐκ τοῦ Πειραιῶς ἐποίησεν αὐτὸν ἰχθύας ἔχειν. τὸν γὰρ Πειραιᾶ Θεμιστοκλῆς προσέβαλλε τῇ πόλει. τὸ δὲ παρέθηκε, προσέθηκε. προσεκόλλησε τὰ μακρὰ τείχη. Μικροπολίτας.] διὰ τὴν ἐκ τοῦ πολέμου στενοχωρίαν τῶν ἀναλωμάτων καὶ τὴν τῶν ἀνδρῶν σπάνιν. Διατειχίζων.] συστέλλων τὰ τείχη. διὰ γὰρ τὸν πόλεμον καὶ τὰ ἐπὶ τοῖς φρουροῖς ἀναλώματα, καὶ τὴν ἀνδρῶν σπάνιν συνέστελλον τὰ τείχη. Κἀκεῖνος μὲν φεύγει.] ἐξωστράκισε γὰρ τὸν Θεμιστοκλέα ὁ δῆμος. Σὺ δ' ἀχιλλείων.] σὺ δὲ τῆς ἐν Πρυτανείῳ σιτήσεως μετέχεις. ἐκαλοῦντο γὰρ ἀχίλλειαί τινες μάζαι ὡς εὐγενεῖς αὗται. Μὴ σκέρβολλε.] μὴ λοιδόρει. δηλοῖ δὲ καὶ κερτομεῖν. κεῖται δὲ νῦν ἡ λέξις, ἀντὶ τοῦ μὴ ποίκιλλε. καὶ Καλλίμαχος. σκέρβολα μυθήσαντο.

BISETVS. Σκέρβολλε.] Εὐστάθιος. σκερβόλλειν, εἰς κέαρ βάλλειν, ἀποβολῇ τοῦ ε. τοῦ ἐκ προθέσεως.

Σχόλια. Ἐγκρυφιάζων.] ἐμφωλεύων καὶ ἀποκρύπτων. ὃ δὲ λέγει τοιοῦτόν ἐστιν. ἐλάνθανές με ῥᾳδιουργῶν περὶ πόλιν. ἀπὸ δὲ τῆς ἐγκρυφίας ἄρτου μετενήνοχεν. ὅτι λανθάνων καὶ ἐγκρύπτων σεαυτόν.

D BISETVS. Διπλῆ καὶ εἴσθεσις εἰς περίοδον κώλων ιβ.

ΑΛΛ. Μιαρώτατος, ὦ δημακίδιον, καὶ πλεῖστα πανοῦργα δεδρακώς,
Ὁπόταν χασμᾷ, καὶ τοὺς καυλοὺς
Τῶν εὐθυνῶν ἐκκαυλίζων,
Καταβροχθίζει, κἀμφοῖν χεροῖν
Μυστιλᾶται τῶν δημοσίων,
ΚΛ. Οὐ χαιρήσεις, ἀλλά σε κλέπτονθ' αἱρήσω 'γὼ τρεῖς μυριάδας.
ΑΛΛ. Τί θαλαττοκοπεῖς καὶ πλατυγίζεις,
Μιαρώτατος ὢν περὶ τὸν δῆμον
Τῶν Ἀθηναίων; κἀ σ' ἐπιδείξω
Νὴ τὴν Δήμητρ', ἢ μὴ ζῴην,
Δωροδοκήσαντ' ἐκ Μιτυλήνης πλεῖν ἢ μνᾶς τετταράκοντα.

AG. *Nequissimus homo est, mi Popule: & qui astute plurima fecit,*
Quando oscitat, & repetundarum
Caules defringit, & absorbet,
Manibusq́ ambabus Reipub.
Bona peculatur, & exugit.
CL. *Non ridebis. nam ego te furti*
E *Reum agam, propter tres Myriades.*
AG. Quid turbas das? quid strepitas?
Qui pessimus es erga populum
Atticum? ego te conuincam, ita me
Dea amet, aut non viuam, quòd plus,
Quàm quadraginta minis, corruptus fueris, è Mytilene.

Σχόλια. Μιαρώτατος.] διπλῆ καὶ εἴσθεσις εἰς περίοδον ἀναπαιστικὴν, δωδεκάκωλον. ὧν τὸ πρῶτον καὶ τελευταῖον τετράμετρα καταληκτικά. τὰ δὲ λοιπὰ δίμετρα. ἐπὶ τῷ τέλει διπλῆ ἔξω νενευκυῖα. Ὁπόταν χασμᾷ.] ὁπότε μετεωροφρονεῖς, ὅτι περὶ ἄλλα τὴν διάνοιαν ἔχεις. Τῶν εὐθυνῶν.] τῶν δικαίων παραλογισμῶν· οἱ γὰρ χειρίσαντές τι τῶν κοινῶν, καὶ διοικήσαντες, τῶν ἀναλωμένων χρημάτων εὐθύνας καὶ λογισμοὺς ἐδίδοσαν. Ἐκκαυλίζων.] ἀπὸ τῶν τὰ λάχανα ἀποκλώντων τῇ μεταφορᾷ ἐχρήσατο. ὅτι ἀνασπῶν καὶ ἀναιρῶν. ὃ δὲ λέγει τοιοῦτόν ἐστι. μισθὸν λαμβάνων παρὰ τῶν διοικούντων τὰ κοινά, ἐκκόπτει αὐτῶν τὰς δίκας, ἵνα μὴ ὁ δῆμος εὐθύνας λαμβάνειν παρ' αὐτῶν δύνηται. Καταβροχθίζει.] καταπίνει ἀμφοτέραις ταῖς F χερσί. τουτέστιν ἀπλήστως καὶ λάβρως καὶ ἀφειδῶς. Μυστιλᾶται.] κατατρώγει. ἰδίως δὲ παρὰ τοῖς Ἀττικοῖς μύστιλλαν ἐκάλουν τὸν ἄρτον τὸν τοῖς κυσὶ παραβαλλόμενον. καὶ ἀλλαχοῦ μεμυστιλημένας, ἀντὶ τοῦ κατειργασμένας ἤδη καὶ ἑτοίμους. τουτέστι μεμασημένας. ἄλλως. μυστίλη ὁ κοῖλος ἄρτος, ᾧ δύναταί τις καὶ ζωμὸν ἀρύσασθαι. Αἱρήσω.] φωρῶ. διελέγξω. ἔλαβε δὲ τὸ αἱρήσω, ἀπὸ τοῦ χαιρήσω. ἄλλως. κλοπῆς G συγκατηγορήσεως. καταδίκης αἴτιός σοι γενήσομαι νικήσας σε. Τί θαλαττοκοπεῖς.] ἐθαλαττοκράτουν γὰρ οἱ Ἀθηναῖοι. ὡς τοῦ Κλέωνος συνεχῶς προφερομένου τὴν κατὰ θάλατταν δυναστείαν. πλατυγίζειν δὲ κυρίως, τὸ ἐπιτιθέναι πλαταγώνιον τῇ ἀριστερᾷ χειρὶ καὶ παίειν τῇ δεξιᾷ καὶ ἦχον ἀποτελεῖν.

ἄλλως

A ἄλλως. τί ἐστι; παρὰ τὸ ἔλαβε δὲ τὴν χρῆσιν τοῦ ὀνόματος, ἀπὸ τῆς θαλάσσης. ἐπειδὰν γὰρ ὑπὸ σφοδρῶν ἀνέμων ταραχθῇ, τὰ κύματα ἀλλήλοις συγκρούουσιν. Πλατυγίζεις.] ἀμφω μεγαλοῤῥημοσύνης δέγματα καὶ πλατυσμὸς καὶ ἀλαζονεία. ἀπὸ δὲ τοῦ πλατυτέρου μέρους τῆς κώπης, ὃ τῇ θαλάσσῃ μᾶλλον προστρίβεται, καὶ τύπτον τὸ ὕδωρ τῇ εἰρεσίᾳ ἀπεργάζεται κτύπον, ἡ μεταφορά. ἀκολούθως δὲ τῷ θαλαττοκοπεῖς, ἐπήγαγε τὸ πλατυγίζεις. Δωροδοκήσαντα.] οὕτως ἐδωροδόκησεν ὁ Κλέων ἐκ Μυτιλήνης. δωροδοκεῖν δὲ οὐ μόνον δὲ τὸ δῶρα διδόναι καὶ ἀναπείθειν, ἀλλὰ καὶ τὸ λαμβάνειν. πόλις δὲ Λέσβου τῆς νήσου Μυτιλήνη. φίλη μὲν Ἀθηναίων καὶ σύμμαχος. ὕστερον δὲ νεωτερίσαντες καὶ ἀποστάντες, κατέστρεψαν μὲν πάλιν οἱ Ἀθηναῖοι Χάρητος στρατηγοῦντος, συμβουλεύσαντος δὲ Κλέωνος, ἐψηφίσαντο παῖδας μὲν καὶ γυναῖκας ἡβηδὸν ἀποκτεῖναι Μυτιληναίων, ἐξανδραποδίσασθαι δὲ πᾶσαν πόλιν. καὶ ναῦν ἐξέπεμψαν εὐθὺς ἀγγέλλουσαν τὰ βεβουλευμένα τῷ Χάρητι. τῇ δευτεραίᾳ δὲ μετανοοῦντας αἰσθόμενος ἐπὶ τοῖς γνωσθεῖσι Διόδοτος, εἷς καὶ αὐτὸς ὢν τῶν πολιτευομένων τότε, συναγομένης ἐκκλησίας, καὶ οὐδὲν ἀντιλέγοντος τοῦ Κλέωνος, καὶ παρακελευομένου ἅπαξ τοῖς δόξασιν ἐμμένειν, παρελθὼν μεταγνῶναι τοὺς Ἀθηναίους ἔπεισεν. ἦσαν γὰρ καὶ ἄλλοι τινὲς τὰ Μυτιληναίων φρονοῦντες, οὐ μὴν ἀλλὰ καὶ αὐτῶν ἀνδρὸς Μυτιληναίων κατά τινα πρεσβείαν ἀφιγμένοι πείθουσι διαδόχους ἑτέραν πέμψαι τριήρη, ἀπαγορεύουσαν τῷ Χάρητι μηδὲν διαπράξασθαι τῶν πρότερον ἐπεσταλμένων. τοὺς δὲ ναύτας τῆς δευτέρας τριήρους τῆς τε

B C D

ἄλλῃ προσκλήσει καὶ δώρων ὑποσχέσει, παρόντες ἐψηφίσαντο σπουδῇ περὶ τὸν πλοῦν χρήσασθαι προθύμως ὡς ἂν τὴν προτέραν τριήρη φθάσειεν. οἱ δὲ, ἅτε καὶ ἐπὶ χρηστὸν πλέοντες πρᾶγμα, καὶ τῆς προσκλήσεως δεξάμενοι, τοσαύτῃ περὶ τὴν εἰρεσίαν ἐχρήσαντο σπουδῇ, ὥστε ἅμα ἔφθη καταπλεύσασα ἡ προτέρα ναῦς, καὶ ὁ Χάρης λαβὼν τὰ γράμματα, καὶ ἐκείνην ἐπεισπλεῦσαι ἐκέλευσε. παρὰ τούτου κεκλημένου ἡ Μυτιλήνη ἦλθεν. ἀπὸ ταύτης οὖν φασιν αὐτὸν ἐπιδείξειν τὸ ἀργύριον εἰληφότα. λελημμένως δὲ πάλιν αὐτὸν εἰς ὠμότητα διαβάλλων τὸν τρόπον. οὐ γὰρ φέρεται λαβὼν πλείω ἢ μνᾶς μ΄ παρὰ τῶν Μυτιληναίων ὁ Κλέων μισθόν. πιθανῶς δὲ ἐπλάσατο αὐτὸν εἰληφέναι. ἐπεὶ ἐκεῖνός φησιν αὐτὸν ἀμείβεσθαι τοῖς ἴσοις.

Bisetus. Θουκυδίδης ἐν τῷ γ΄ τῆς ἑαυτοῦ ξυγγραφῆς ταῦτα περὶ τούτων σαφέστερον λέγει. Καὶ τριήρη εὐθὺς ἄλλην ἀπέστελλον κατὰ σπουδὴν, ὅπως μὴ φθασάσης τῆς δευτέρας εὕρωσι διεφθαρμένην τὴν πόλιν. προεῖχε δὲ ἡμέρᾳ καὶ νυκτί. παρασκευασάντων δὲ τῶν Μυτιληναίων πρέσβεων τῇ νηὶ οἶνον καὶ ἄλφιτα καὶ μεγάλα ὑποσχομένων εἰ φθάσαιεν, ἐγένετο σπουδὴ τοῦ πλοῦ τοιαύτη, ὥστε ἤσθιόν θ' ἅμα ἐλαύνοντες, οἴνῳ καὶ ἐλαίῳ ἄλφιτα πεφυρμένα, καὶ οἱ μὲν ὕπνον ᾑροῦντο κατὰ μέρος, οἱ δὲ ἤλαυνον. κατὰ τύχην δὲ πνεύματος οὐδενὸς ἐναντιωθέντος, καὶ τῆς μὲν προτέρας νεὼς οὐ σπουδῇ πλευσάσης ἐπὶ πρᾶγμα ἀλλόκοτον, ταύτης δὲ τοιούτῳ τρόπῳ ἐπειγομένης, ἡ μὲν ἔφθασε τοσοῦτον, ὅσον Πάχητα ἀνεγνωκέναι τὸ ψήφισμα, καὶ μέλλειν δράσειν τὰ δεδογμένα. ἡ δὲ ὑστέρα αὐτῆς ἐπικατάγεται, καὶ διεκώλυσε μὴ διαφθαρῆναι.

ΑΝΤΙΣΤΡΟΦΗ στίχων ιϛ΄.

ΔΡΑΜΑΤΟΣ ΤΟΥ ΔΕΥΤΕΡΟΥ Σκηνὴ τετάρτη.

E Τετράμετροι Ἰαμβικοὶ Καταληκτικοί.

Ταυτὰ πρόσωπα.

Bisetus. Ὁ Χορὸς τὸν Ἀγοράκριτον ἐπαινεῖ, καὶ τῆς εὐγλωττίας ζηλοῖ, ὅτι πάντων ἄριστα τοῦ Κλέωνος κατηγόρησε, καὶ πρὸς τὸ μὴ μεθεῖναι τὸν ἄνδρα, ἀλλὰ διώκειν μεθ' ὑπομονῆς αὐτὸν διώκειν. αὐτῷ ἐπιχειρεῖν, καὶ πιέζειν, ἕως καταργάσηται, προτρέπει.

ANTISTROPHE.

ACTVS II. SCENA quarta.

Octonarij Iambici Catalectici.

Eædem Personæ.

Χο. Ὦ Πᾶσιν ἀνθρώποις φανεὶς μέγιστον ὠφέλημα,
Ζηλῶ σε τῆς εὐγλωττίας, εἰ γὰρ ὧδ' ἐποίσεις,
Μέγιστος Ἑλλήνων ἔσει, καὶ τὴν μόνος καθέξεις
Τἀν τῇ πόλει, τῶν ξυμμάχων τ' ἄρξεις ἔχων τρίαιναν,
Ἡ πολλὰ χρήματ' ἐργάσει, σείων τε καὶ ταράττων.

F

CH. *O Qui omnibus nobis summo hodie adiumento fuisti,*
Laudo te ob hanc eloquentiam. Nam si ita pergas, eris dehinc
Græcorum maximus, & solus Rempubl. capesses:
Et imperium in socios habebis, armatus tridente,
Quo multum conficies pecunia, perterritando,

G

Σχόλια. Πᾶσιν ἀνθρώποις.] διπλῆ, καὶ ἔκθεσις ἡ κατὰ ἰσόν τοῖς ἀναπαίστοις εἰς ἰαμβικὰ τετράμετρα καταληκτικὰ ἐπτακαίδεκα ιϛ΄. ἐπὶ τῇ ἀποθέσει παράγραφος. ἐπὶ δὲ τοῦ ἄκρου τῇ τελευταίᾳ διπλῆ ἔξω νενευκυῖα. τινὲς δὲ τὰ πρῶτα κῶλα ὡς ἀντιστροφὴν εἰλήφασιν. Εἰ γὰρ ὧδ' ἐποίσεις.] εἰ γὰρ εἰς τέλος ἐναντιούμενος αὐτῷ παραμείνῃς πρὸς τὴν χαφλὴν κατηγορίας. εἰ γὰρ οὕτω κατηγορίᾳ χρήσῃ. Τῶν συμμάχων τ' ἄρξεις.] ἔπαιξε παρὰ τὸ θαλαττοκρατεῖν τοὺς Ἀθηναίους καὶ τοὺς νησιώτας ἔχειν ὑποτελεῖς φόρων. Ἐργάσει.] συνάξεις. τὸ δὲ σείων. ἀντὶ διασείων καὶ ἀναγκάζων

Κἂν μὴ μεθῇς τὸν ἄνδρ' ἐπειδή σοι λαβὴν δέδωκεν.
Κατεργάσει γὰρ ῥᾳδίως, πλευρὰς ἔχων τοιαύτας.
ΚΛ. Οὐχ ὦγαθοὶ ταῦτ' ἐστί πω ταύτῃ. μὰ τὸν Ποσειδῶ.
Ἐμοὶ γάρ ἐστ' εἰργασμένον τοιοῦτον ἔργον, ὥστε
Ἀπαξάπαντας τοὺς ἐμοὺς ἐχθροὺς ἐπιστομίζειν,
Ἕως ἂν ᾖ τῶν ἀσπίδων τῶν ἐκ Πύλου τι λοιπόν.
ΑΛΛ. Ἐπίσχες ἐν ταῖς ἀσπίσι. λαβὴν γὰρ ἐνδέδωκας.
Οὐ γάρ σ' ἐχρῆν εἴπερ φιλεῖς τὸν δῆμον, ἐκ προνοίας
Ταύτας ἐᾶν αὐτοῖσι τοῖς πόρπαξιν ἀνατεθῆναι.
Ἀλλ' ἔστι τοῦτ' ὦ δῆμε μηχάνημ', ἵν' ἢν σὺ βούλῃ
Τὸν ἄνδρα κολάσαι τουτονί, σοὶ τοῦτο μὴ 'κγένηται.
Ὁρᾷς γὰρ αὐτῷ στῖφος οἷόν ἐστι βυρσοπωλῶν
Νεανιῶν. τούτους δὲ περιοικοῦσι μελιτοπῶλαι
Καὶ τυροπῶλαι. τοῦτο δ' εἰς ἕν ἐστι συγκεκυφός.
Ὥστ' εἰ σὺ βριμήσαιο, καὶ βλέψειας ὀστρακίνδα,
Νύκτωρ καθαρπάσαντες ἂν τὰς ἀσπίδας, θέοντες
Τὰς εἰσβολὰς τῶν ἀλφίτων ἂν καταλάβοιεν ἡμῶν.

A *Et commonendo: modò ne dimittas hominem, tibi ansam*
Qui præbuit: facilè ad nihilum redizes: compage tanta
Laterum qui polles. CL. *ô populares, hæc non ita se habent, non*
Per Neptunum. Nam tale ego facinus feci, ut meorum
B *Inimicorum omnium os facillimè obturare possim,*
Donec aliquid scutorum fuerit è Pylo superstes.
AG. *Reprime te in scutis, quia tu ansam tumultui præbuisti.*
Neque enim oportebat te (siquidem amas populum) scuta cum ipsis
Loris, ex composito, in templu suspendere. Sed viri huius,
C *O popule, commentum hoc est: ut, si tu velis in illum*
Animaduertere, non liceat tibi. Vides enim cateruam
Iuuenum coriariorum illi præstò esse: tum propola
Mellis circùm habitant, atq; caseorum: qui omnes in unum
D *Conspirant: ut si tu fremas, & videas ostracismum,*
Illi clàm è templis scuta corripiant noctu: impetumq;
Faciant in frumentorum cameras, auferantq; nostra.

Σχόλια. Λαβήν.] ἀφορμήν. λῆμμα ὡς παλαιστής. Κατεργάσει γάρ.] νικήσεις περιέσῃ αὐτοῦ. Πλευρὰς ἔχων.] σῶμα ἔχων ἰσχυρὸν καὶ στερρότητα. τουτέστιν ἰταμείαν ἔχων τοιαύτην. Οὐχ ὦγαθοί.] οὐ ταῦτα τοῦτον ἔχει τὸν τρόπον, ὡς ὑμεῖς φατὲ καὶ προσδοκᾶτε. Μὰ τὸν Ποσειδῶ] ὅτι περὶ τῆς ἀκμῆς εἰπόντων τῶν ἱππέων καὶ οἰκείων τὸ πράττειν, τὸν Ποσειδῶνα ὄμνυσιν. Ἐπιστομίζειν] καταστέλλειν, ἐπὶ στόμα ἔχειν τῶν κατ' ἐμοῦ λέγων καὶ διαβάλλων κυρίως δὲ φαύλου ἐᾶν παρεῖναι. Τῶν ἀσπίδων τῶν ἐκ Πύλου] πάλιν ὁ Κλέων τὰ περὶ Πύλον θρυλλεῖ καὶ Σφακτηρίαν, καὶ τὰ τῶν αἰχμαλώτων. ἔθος δὲ ἦν, τὰ ἀπὸ τῶν πολεμίων ὅπλα ἐν τοῖς ἱεροῖς ἀνατιθέναι. ἕως οὖν φησιν ἀνάκειται ἀπὸ Πύλου καὶ Σφακτηρίας ὅπλα ἅπερ ἀνέθηκα τοῖς θεοῖς νικήσας, οὐδεὶς τῶν ἐχθρῶν τολμήσει κατ' ἐμοῦ λέγειν. Λαβὴν γὰρ ἐνδέδωκας] κατὰ σεαυτοῦ. ἐπεὶ ἀφορμὴν κατὰ σοῦ κατηγορίας. ἀπὸ δὲ τῶν ἀσπίδων τὴν λαβὴν εἶπεν. Αὐτοῖσι τοῖς πόρπαξι.] σὺν αὐτοῖς ὀχάνοις. πόρπαξ ἐστὶν ᾧ τὴν ἀσπίδα κατέχουσιν ὃ καλεῖται ὄχανος. περιφερὴς δὲ οὖσα ἡ ἀσπὶς ἐκινεῖτο κυκλικῶς διὰ τοῦ πόρπακος. ἀνετίθεσαν δὲ τὰ ἐκ τῶν πολεμίων ὅπλα, ἄνευ τῶν ὀχάνων, ἵνα μὴ ἑτοίμως ἔχωσιν αὐτοῖς χρῆσθαι. μηχάνημα δὲ στρατήγημα, πανούργημα. Στῖφος.] σύστημα. τάξις πολεμική. ἡ φάλαγξ. συστροφή. πλῆθος συστάσεων. τοῦτο δὲ ἔστρεφεν ὁ Κλέων, ἵνα ἔχῃ φησὶ συνεργόμενον αὐτῷ πρὸς τὴν πολιτείαν. Συγκεκυφός.] συνηλθόν. ἀντὶ τοῦ ὁμονοοῦσιν ἑαυτοῖς καὶ συμπνέουσιν. ἄλλως. ὁμονοοῦν ἀντὶ τοῦ συνελθόντες αὐτῷ συμπνέουσι. Βριμήσαιο δὲ ὀργισθείης. βριμᾶσθαι γὰρ τὸ ὀργίζεσθαι καὶ ἀπειλεῖν. σημαίνει δέ τισι καὶ τὸ ἦχον ἀποτελεῖν. ὡς τὸ ὑπὸ γὰρ τῶν πολλαῖς μύλαις βριμωμένων ὁ τῆς μιᾶς ψόφος ῥᾳδίως λανθάνεται. Ὀστρακίνδα.] ἔστι μὲν ὄνομα παιδιᾶς. θέλει δὲ εἰπεῖν. θελήσεις αὐτὸν ἐξοστρακισθῆναι. ὁ δὲ τρόπος τοιοῦτος τοῦ ἐξοστρακισμοῦ. προεχειροτόνει ὁ δῆμος ὄστρακον εἰσφέρειν. καὶ ὅταν δόξῃ, ἐφράττετο σανίσιν ἡ ἀγορά, καὶ κατελείποντο εἴσοδοι δέκα, δι' ὧν εἰσιόντες κατὰ φυλὰς ἐτίθεσαν ὄστρακον, ἐντιθέντες τὴν ἐπιγραφήν. ἐπεστάτουν δὲ, οἵ τε θ' ἄρχοντες, καὶ ἡ βουλή. ἀριθμηθέντων δὲ, ὧν πλεῖστα γένοιτο καὶ μὴ ἐλάττω ἑξακισχιλίων, τοῦτον ἔδει ἐν δέκα ἡμέραις μεταστῆναι τῆς πόλεως. εἰ δὲ μὴ γένοιτο ἑξακισχίλια, οὐ μεθίστατο. οὐ μόνον δὲ Ἀθηναῖοι ὠστρακοφόρουν, ἀλλὰ καὶ Ἀργεῖοι καὶ Μιλήσιοι, καὶ Μεγαρεῖς. σχεδὸν δὲ, οἱ χαριέστατοι πάντες, ὠστρακίσθησαν. Ἀριστείδης. Κίμων, τῇ ἀδελφῇ Ἐλπινίκῃ συγκοιμηθεὶς καὶ διαβληθεὶς πρὸς τοὺς πολίτας. Θεμιστοκλῆς. Θουκυδίδης. Ἀλκιβιάδης. μέχρι δὲ Ὑπερβόλου ὀστρακισμὸς προελθὼν, ἐπ' αὐτοῦ κατελύθη, μὴ ὑπακούσαντος τοῦ νόμου διὰ τὴν ἀσθένειαν τὴν γεγενημένην τοῖς Ἀθηναίων πράγμασιν ὕστερον. παροιμίαι δὲ ἔλεγε τὸ ὀστρακίνδα καὶ πάντα τὰ τοιαῦτα ἐπὶ παιδιᾶς τεταγμένα. διαφέρει δὲ φυγῆς ὀστρακισμός. ὅτι τῶν μὲν φυγῆς ἁλόντων αἱ οὐσίαι δημεύονται. τῶν δὲ ὀστρακισμῷ ἀποστάντων οὐκ ἀφαιρεῖται τὰ χρήματα ὁ δῆμος. καὶ τοῖς μὲν χρόνος ἐνδείκνυται καὶ τόπος. οἱ δὲ φεύγοντες οὐδέτερον τούτων ἔχουσιν. οἱ κατανούστατοι δὲ τῷ δήμῳ δοκοῦντες ἐξωστρακίζοντο καὶ κατεδικάζοντο. ὀστράκοις γὰρ ἐχαράττετο τὸ ὄνομα τοῦ φευξομένου. Εἰσβολάς.] τὰ σιτοφυλάκια. τὰς ἀποθήκας παραλάβοιεν φάσκοντες. ἡ εἰσβολὰς ὡσεὶ ἔλεγε τοῦ χώρας. εἰσβολὰς δὲ ἔλεγον τοὺς τόπους δι' ὧν εἰσέβαλλον οἱ πολέμιοι.

Δη. Οἴ-

Δημ. Οἴμοι τάλας. ἔχουσι γὰρ πόρπακας; ὦ πόνηρε,
Ὅσον με παρέκοπτες χρόνον, τοιαῦτα κρουσιδημῶν.
Κλ. Ὦ δαιμόνιε μὴ τοῦ λέγοντος ἴσθι. μηδ' οἰηθῇς
Ἐμοῦ ποθ' εὑρήσειν φίλον βελτίον', ὅστις εἷς ὢν
Ἔπαυσα τοὺς συνωμότας, καί μ' οὐ λέληθεν οὐδὲν
Ἐν τῇ πόλει ξυνιστάμενον. ἀλλ' εὐθέως κέκραγα.
Αλλ. Ὅπερ γὰρ οἱ τὰς ἐγχέλεις θηρώμενοι πέπονθας.
Ὅταν μὲν ἡ λίμνη καταστῇ, λαμβάνουσιν οὐδέν.
Ἐὰν δ' ἄνω τε καὶ κάτω τὸν βόρβορον κυκῶσιν,
Αἱροῦσι. καὶ σὺ λαμβάνεις, ἢν τὴν πόλιν ταράττῃς.
Ἓν δ' εἰπέ μοι τοσουτονί. σκύτη τοσαῦτα πωλῶν
Ἔδωκας ἤδη τουτῳΐ καττύμα παρὰ σαυτοῦ
Ταῖς ἐμβάσι φάσκων φιλεῖν. Δημ. οὐ δῆτα μὰ τὸν Ἀπόλλω,
Αλλ. Ἔγνωκας οὖν δῆτ' αὐτὸν οἷός ἐστιν; ἀλλ' ἐγώ σοι,
Ζεῦγος πριάμενος ἐμβάδων, τουτὶ φορεῖν δίδωμι.
Δημ. Κείνω σ' ὅσον γ' ἐγ' ᾦδα περὶ τὸν δῆμον ὄντ' ἄριστον.
Εὐνούστατόν τε τῇ πόλει, καὶ τοῖσι δακτύλοισιν.
Κλ. Οὐ δεινὸν οὖν δῆτ' ἐμβάδας τοσουτονὶ δύνασθαι,
Ἐμοῦ δὲ μὴ μνείαν ἔχειν ὅσων πέπονθας, ὅστις
Ἔπαυσα τοὺς κινουμένους, τὸν Γρύττον ἐξαλείψας;
Αλλ. Οὔκουν σε δῆτα ταῦτα δεινόν ἐστι πρωκτοτηρεῖν.
Παῦσαί τε τοὺς κινουμένους, κοὐκ ἔσθ' ὅπως ἐκείνους

A PO. *Va misero mihi: num clypei lora habent? ô tu scelestè*
Quanto me tempore fraudasti, ludificando populum.
CL. *Istud ne dixis infelix, nen te putes amicum*
Inuenturum, qui melior sit, quàm ego. Nam ego cùm vnus essem:
B *Coniuratos solus compescui: neque me latebat*
Quicquam, quod in vrbe clàm fieret, nam clamaui repentè.
AG. *Idem accidit tibi, quod his, qui anguillas aucupantur*
Vbi tranquillus est lacus, nil piscium reportant.
C *At si lutum stagni sursum commôrint & deorsum,*
Ibi capiunt demum: sic & tu capis, vbi priùs ciuitatem
Perturbas. Age verò, vnum hoc dicas mihi: cùm venditares
Tantum corij, dedistin' vnquam sponte tua, huic popello
Corrigiam vnam, ad suendos calceos, tuo ex amore?
D PO. *Non sanè, non, per Apollinem.* AG. *noras ergo vir iste*
Quinam esset, at ego tibi emam, & dabo par isthoc calceorum.
PO. *Ego, quantum video, te bene velle populo arbitror, & vrbi*
Amicum te esse, & digitis quoque meis. CL. *annon graue hoc sit,*
E *Quòd calcei tantùm valent: mei autem nulla restat*
In te memoria, à quo tanta accepisti bona. Nam ego olim
Sedaui subagitatos, & Gryttum extinxi cynædum.
AG. *Annon graue hoc Cynædorum nates inspicere & omnes*
F *Sedare pathicos. Neque sanè est, vt non sedâris illos*

Σχόλια. Ἔχουσι γὰρ πόρπακας.] ὡς δέον τοὺς ἀνατιθεμένους ἀσπίδας μὴ ἔχειν πόρπακας, ὑπὲρ τοῦ μὴ ἐξεῖναι τοῖς ἐπιχειροῦσι κατὰ τοῦ δήμου ἐξ ἑτοίμου χρῆσθαι ταῖς ἀσπίσι. Κρουσιδημῶν.] ἀντὶ τοῦ κρούων τῇ βουλῇ. λυμαινόμενος τὸν δῆμον ἀπατῶν, καὶ παρακρουόμενος [illegible]. ἔστι γὰρ παρακρουσάμενον, μέτρον. ὃ λέγεται ἐπὶ τῶν τοῖς μέτροις παραλογιζομένων. καὶ παρακρούσασθαι, ἀνατρέψαι. καὶ παραίρουσιν ἐξ ἀπάτης ἐμπαιγμόν. Ἐν τῇ πόλει ξυνιστάμενον.] οὐδὲν τῶν κατὰ τῆς πόλεως λογιζομένων καὶ ὁμοῦ ἱσταμένων. Καταστῇ.] κατάστασιν λάβῃ. ἐν εὐδίᾳ ᾖ. G ἐπεὶ αἱ ἐγχέλεις μὴ δυνάμεναι ἀνέχεσθαι, ἐν τῇ ἰλύϊ εἰσίν. οἱ οὖν θηρεύοντες τὸ ὕδωρ ταράττοντες ἀγρεύουσι τὰς ἐγχέλεις. Ζεῦγος πριάμενος.] πλείονα εὔνοιαν ἔδειξεν, ὅτι καὶ πριάμενος δέδωκεν. ὁ δέ, ἔχων οἴκοι, οὐ δέδωκεν. οὐδ' ἔστι χρύσιμον ἔχει, τῇ πόλει χαρίζεται. Τοῖσι δακτύλοισι.] πρὸς τὸ μὴ πταίειν διὰ τὰς ἐμβάδας. ἅμα δὲ καὶ τοῖς δακτύλοις τῶν χειρῶν, διὰ τὸ μὴ κλέπτειν. Τὸν Γρύττον ἐξαλείψας.] οἱ μὲν ἀντὶ τοῦ τὸ λοιπὸν τῆς πορνείας ἐξαλείψας. παρὰ τὸν ἐν τοῖς ὄνυξι ῥύπον ὃν λέγουσι γρῦ. οἱ δέ, Γρύττον τινὰ ἐπὶ κιναιδίᾳ διαβάλλουσι. τῶν ἐπὶ μαλακίᾳ γὰρ διαβαλλομένων ὁ Γρύττος. ἄλλως. ὑχόν τινα ὡς καταξηρόν. ὃς διὰ τὴν πολλὴν ὑγρότητα, ἐν ἑταιρείαις διέτριβεν, ὁ δὲ Κλέων δημαγωγῶν, θάνατον αὐτῷ ἐπέθηκε τὴν ζημίαν. Πρωκτοτηρεῖν.] πρωκτὸν ἐπιτηρεῖν τῶν πορνευομένων.

Οὐχὶ φθονῶν ἔπαυσας, ἵνα μὴ ῥήτορες γένωνται.
Τουτονὶ δ' ὁρῶν ἄνευ χιτῶνος ὄντα τηλικοῦτον,
Οὐπώποτ' ἀμφιμασχάλου τὸν δῆμον ἠξίωσας,
Χειμῶνος ὄντος, ἀλλ' ἐγώ σοι τουτονὶ δίδωμι.
Δημ. Τοιουτονὶ Θεμιστοκλῆς οὐπώποτ' ἐπενόησεν,
Καίτοι σοφὸν κἀκεῖν' ὁ Πειραιεύς. ἔμοιγε μέντοι
Οὐ μεῖζον εἶναι φαίνετ' ἐξεύρημα τοῦ χιτῶνος.
Κλ. Οἴμοι τάλας, οἵοις πιθηκισμοῖς με περιελαύνεις.
Αλλ. Οὐκ, ἀλλ' ὅπερ πίνων ἀνὴρ πέπονθ' ὅταν χεσείῃ,
Τοῖσι τρόποις τοῖς σοῖσιν, ὥσπερ βλαυτίοισι, χρῶμαι.
Κλ. Ἀλλ' οὐχ ὑπερβαλεῖς με θωπείαις. ἐγὼ γὰρ αὐτὸν
Προσαμφιῶ τοδί. σὺ δ' οἴμωζ', ὦ πόνηρε. Δημ. αἰβοῖ.
Οὐκ ἐς κόρακας ἀποφθερεῖ, βύρσης κάκιστον ὄζων;
Αλλ. Καὶ τοῦτ' ἐπίτηδές σε περιήμπισχ', ἵνα σ' ἀποπνίξῃ.
Καὶ πρότερον ἐπεβούλευσέ σοι. τὸν καυλὸν οἶσθ' ἐκεῖνον,
Τοῦ σιλφίου τὸν ἄξιον γενόμενον; Δημ. οἶδα μέντοι.
Αλλ. Ἐπίτηδες οὗτος αὐτὸν ἔσπευδ' ἄξιον γενέσθαι,
Ἵν' ἐσθίοιτ' ὠνούμενοι, κἄπειτ' ἐν Ἡλιαίᾳ
Βδέοντες ἀλλήλους ἀποκτείνειαν οἱ δικασταί.
Δη. Νὴ τὸν Ποσειδῶ, καὶ πρὸς ἐμὲ τουτί γ' εἶπ' ἀνὴρ κόπρειος.
Αλλ. Οὐ γὰρ τόθ' ὑμεῖς βδεόμενοι δήπου 'γένεσθε πυρροί;
Καὶ νὴ Δί' ἦν καὶ τοῦτο Πυρράνδρου τὸ μηχάνημα.

A *Ex inuidia, metuens eos oratores futuros.*
Sed cùm nudum videres hunc tantillulum popellum,
Ne quidem humerali veste dignum censuisti,
Etiam durante hyeme: at ego tibi dono pallium istuc.
PO. Nae tale ne quidem Themistocles dare cogitauit:
B *Quamuis hac etiam in parte sapiens, Piraeensis iste:*
Mihi tamen hac tunica nil maius inuentum videtur.
CL. Ah me miserum, quibus circumagis me modis dolosis?
AG. Minimè: sed idem facio, quod poti, qui aluo vrgente surgunt.
Nam vt illi alienis soleis, ita tuis moribus ego vtor.
C *CL. At non superabis me, palpum obtrudendo:*
Nam ego popellum
Hac induam tunica. at tu male dispereas verbero. PO. ehem,
Non tu hinc abis in rem malam, qui corium oles malignè?
AG. Sanè haud ineptè tibi circumdedit, vt te strangulet. Nam
D *Et antehac tibi insidias struxit, scis caulem, opinor,*
Istum Laserpitij, paruo venalem factum? PO. ego noui.
AG. Non abs re voluit illum tam vili venire nuper
Pretio: vt qui emistis, comedatis: ac pòst in foro sedentes
Pedatis iudices: & vosmet inuicem enecetis.
E *PO. Ita per Neptunum. Hoc dixit idem ad me quidam stercorosus.*
AG. Nunquámne verò pedendo suffusi estis rubore?
Nam per Iouem, Pyrrhandri quoque commentum fuerat isthuc.

Σχόλια. Ἵνα μὴ ῥήτορες.] ἀπείρητο γὰρ τοῖς τοιούτοις ἀγορεύειν. διαβάλλει δὲ τοὺς ῥήτορας ὡς τοιούτους. Ἀμφιμασχάλου.] χειριδωτοῦ ἱματίου. οἱ δὲ, F διμασχάλου. ἄλλως. μικροῦ χιτωνίσκου. ἦν δὲ καὶ ἑτερομάσχαλος ὁ τῶν ἐργατῶν, οὗ τὴν μίαν μασχάλην ἔρραπτον. ἄλλως. ἑκατέρωθεν ἔχοντος χειρίδας οὐ μακράς. ἀλλ' ἴσως τῶν μασχαλῶν. Ἀλλ' ἐγώ σοι.] παρεπιγραφή. δίδωσι γὰρ αὐτῷ χιτῶνα. Οὐ μεῖζον εἶναι φαίνεται.] ὅτι σοφίας δόξαν ἀπηνέγκατο ὁ Θεμιστοκλῆς, πείσας Ἀθηναίους τὸν δοθέντα χρησμόν. τεῖχος τριτογενεῖ ξύλινον δίδωσιν εὐρύοπα Ζεύς. ἄλλων δὲ ἄλλα λεγόντων Θεμιστοκλῆς ἔφη, τὰς τριήρεις λέγειν ξύλινον τεῖχος. καὶ τὸν Πειραιᾶ δὲ τειχίσας ὡς εἴρηται καὶ τὰ μακρὰ τείχη ποιήσας τὰ διήκοντα ἀπὸ τῆς πόλεως μέχρι τοῦ Πειραιῶς, ἔτι πλεῖον ἔδοξε σοφός. Πιθηκισμοῖς.] ἀπάταις καὶ κολακεύμασιν. ἄλλως. μιμήμασιν. ὡς καὶ αὐτοῦ ταῦτα πεποιηκότος. Περιελαύνεις.] γράφεται περιελαύνεις. Ὅταν χεσείῃ.] οἱ G ἀνιστάμενοι ἐκ τῶν συμποσίων πρὸς τὸ ἀποπατῆσαι, πολλάκις τοῖς ἀλλοτρίοις ὑποδήμασιν, ἤτοι σπεύδοντες, ἢ καὶ ἀγνοοῦντες ὑπὸ μέθης ἐξέρχονται.

BLISTVS. Βλαυτίοισι] Σ βλαύτη, εἶδος ὑποδήματος. καὶ βλαυτίοις. σανδαλίοις. ἐκ δὲ τοῦ βλαύτη, τὸ ὑποκοριστικὸν τὸ βλαυτίον γίνεται.

Σχόλια. Προσαμφιῶ τοδί.] πρὸς ὃ ἔχει ἔνδυσιν. παρεπιγραφὴ δέ. δίδωσι γὰρ ὁ Κλέων αὐτῷ χιτῶνα. Βύρσης ἄριστον] ἐνδιαθετικῶς ὁ δῆμος ὑπονοήσας ὡς τὸν χιτῶνα βυρσοδέψης, ταῦτά φησι. Τὸν καυλὸν οἶσθ' ἐκεῖνον.] τὴν ῥίζαν τοῦ σιλφίου. σίλφιον δὲ ῥίζα κατά τινας ἡδύοσμος ἐν Λιβύῃ γινομένη ἀρτυτικὴ καὶ θεραπευτική. καλλίστη δὲ ἡ Κυρηναϊκή. ὅτι τῷ ὄπῳ καὶ τῇ ῥίζῃ καὶ τῷ καυλῷ τοῦ σιλφίου ἐχρῶντο ἄλλως. φυτεύεται δὲ κακοσμον. Ἀρισταῖος δὲ ὁ Ἀπόλλωνος καὶ Κυρήνης, πρῶτον τὴν ἐργασίαν τοῦ σιλφίου ἐξεῦρεν ὥσπερ καὶ τοῦ μέλιτος. Τὸν ἄξιον γενόμενον.] ὅτι καὶ νῦν εὔωνον καὶ ὀλίγης τιμῆς πιπρασκόμενον,

Οἶδα

Οἶδα μέντοι.] ὅτι καὶ τῷ ἐπφ καὶ τῇ ῥίζῃ καὶ τῷ καυλῷ τοῦ σιλφίου ἐχρῶντο. Οἱ δικασταὶ] οἱ ἡλιασταί. τὸ μέγα δὲ δικαστήριον ἐν τῇ Ἀττικῇ, Ἡλιαία. καὶ οἱ δικασταὶ Ἡλιασταί. Κόπριος ἀνήρ.] Σ. ὡς ἀπὸ δήμου. λέγει δὲ τὸν κοπρολόγον. ὁ κοπρουρὸς, παρὰ τὴν κόπρον. Ἄλλως. Κύπρος, νῆσος τῆς Ἀττικῆς, ὅθεν τὸ ἐθνικὸν Κύπριος. παίζει δὲ ἐν τῷ τοιούτῳ τῇ λέξει ὁμοιότητι. Πυῤῥάνδρου.] ἀπὸ τοῦ πυῤῥίου ἔπαιξε τὸ ὄνομα. ἦν δὲ οὗτος ὁ Πύῤῥανδρος πονηρὸς καὶ συκοφάντης. βωμολοχεύμασι δὲ κολακεύμασιν ἢ ἀπάταις. βωμολόχοι δέ εἰσιν οἱ περὶ τοὺς βωμοὺς λοχῶντες καὶ κρυφίως ὑπολαθόμενοι, ἐπὶ τῷ ἁρπάζειν τὰ ἐπιτιθέμενα θύματα. τὸ δ' ἡμῖν πλεονάκις ἴσως τοῦ οἴεστος ἀρπλαστὸν ἢ τὴν Ἀθηνᾶν ἀκουστέον.

Κλ. Οἵοισί μ' ὦ πόνηρε βωμολοχεύμασι ταράττεις;

Αλ. Ἡ γὰρ θεός μ' ἐκέλευσε νικῆσαί σ' ἀλαζονείᾳ.

Κλ. Ἀλλ' οὐ με νικήσεις. ἐγὼ γάρ φημί σοι παρέξειν,

Ὦ δῆμε, μηδὲν δρῶντι, μισθοῦ τρύβλιον ῥοφῆσαι.

Αλ. Ἐγὼ δὲ κυλίχνιόν τέ σοι, καὶ φάρμακον δίδωμι,

Τὰ 'ν τοῖσιν ἀντικνημίοισιν ἑλκύδρια περιαλείφειν.

Κλ. Ἐγὼ δὲ τὰς πολιάς γέ σου 'κλέγων, νέον ποιήσω.

Αλ. Ἰδοὺ δέχου κέρκον λαγὼ, τὼ 'φθαλμιδίω περιψῆν.

Κλ. Ἀπομυξάμενος, ὦ δῆμ', ἐμοῦ πρὸς τὴν κεφαλὴν ἀποψῶ.

B

CL. *Ab quibus insultas mihi scurrilitatibus, scelestе?*

AG. *Dea Pallas certè iussit, vt vincam vanitate.*

CL. *Non vinces. Ego enim affirmo tibi, mi popule, me daturum*

Etiam ocioso, vt ollam mercedis sorbere possis.

C

AG. *At ego do iam tibi pyxidem, cum vnguento, vt tibiarum*

Vlcera circùm vngas. CL. *at ego canos mihi eligens capillos,*

Iuuenem te faciam. AG. *hem cape sis leporis hanc caudam, atque ocellos*

Absterge. CL. *ô popule, vbi ego emunxi, tu in caput absterge meum.*

D

Σχόλια. Μισθοῦ τρύβλιον.] ὀξύβαφον. ἀντὶ τοῦ εἰπεῖν ὀστρεῖον ἢ ἄλλου τινὸς προσφάγιον, μισθοῦ εἶπε διὰ τὸν δικαστικὸν μισθόν. Κυλίχνιον.] ἔκπωμα. ὃ νῦν λέγουσι πυξίδιον. ἔχουσι δὲ οἱ ἰατροὶ τὰ πυξίδια ἐν οἷς προσβάλλουσι τὰ πάσματα. Κέρκον.] τὴν οὐράν. ἁπαλὸν δὲ καὶ τρυφερὸν τὸ τοῦ λαγὼ ἔριον. ὥστε ἀντὶ σπόγγου χρῆσθαι διὰ τὸ ἁπαλὸν εἶναι. ὥστε τὰς λήμας περιψῆν.

BISETVS. Λαγὼ] ἴσως λαγὼ χρηστέον. Εὐστάθιος. λαγὼς, λαγὼ. ἀττικῶς. λαγὸς δὲ λαγοῦ κοινῶς, κατὰ τὴν ἀρχαίαν χρῆσιν. ἀλλαχοῦ δὲ ἰωνικῶς μὲν διὰ τοῦ ω μεγάλ. λαγὸς δὲ κοινῶς διὰ τοῦ ο μικροῦ παρὰ τὸ λάω, τὸ βλέπω.

E

Σχόλια. Περιψῆν.] ἀντὶ τοῦ καθάρασθαι. ἀποσπογγίζειν. φιλονεικεῖ δὲ ἕκαστος ὑπερβαλεῖν ταῖς δωρεαῖς.

BISETVS. Ἀπομυξάμενος] Εὐστάθιος. ἀπομύξαι τινὰ, τὸ ἐξαπατῆσαι ὡς εὐήθη, ὃς ἐκ τῆς μύξης καταῤῥεούσης χαρακτηρίζεται. ὁ αὐτός. ἀπομύσασθαι, τὸ τὴν μύξαν ἐκμάξασθαι. μύξα δὲ, τὸ ἐκ μυκτήρων καταῤῥέον περίττωμα. ὅθεν καὶ ὁ μυκτὴρ, καὶ μύξα λύχνου ὁμωνύμως, τὸ τοῦ ἐλλυχνίου περίττωμα, ὃ καὶ μύκης ὁμωνύμως τῷ ἐκ γῆς φυομένῳ λέγεται.

Δίμετροι Ἰαμβικοί.

Dimetri Iambici.

BISETVS. Διπλῆ, καὶ εἴσθεσις εἰς ἀμοιβαῖον μέλος κώλων λ'.

Αλ. Ἐμοῦ μὲν οὖν, ἐμοῦ μὲν οὖν.

Κλ. Ἐγώ σε ποιήσω τριηραρχεῖν, ἀναλίσκοντα τῶν

Σαυτοῦ, παλαιὰν ναῦν ἔχοντ', εἰς ἣν ἀναλῶν οὐχ ἐφέξεις, οὐδὲ ναυπηγούμενος.

Διαμηχανήσομαί θ', ὅπως

Ἂν ἱστίον σαπρὸν λάβῃς.

Χο. Ἀνὴρ παφλάζει, παῦε, παῦ'

Ὑπερζέων, ὑφελκτέον

Τῶν ξύλων, ἀπαρυστέον

Τῶν ἀπειλῶν ταυτηνί.

Κλ. Δώσεις ἐμοὶ καλὴν δίκην.

AG. *Imò in meum caput, in meum.*

CL. *Ego faxo, vt instructam tuis*

F

Habeas triremem impendiis:

Nauémque veterem compares:

In qua reficienda haud queas

Perferre sumtus: postea

Excogitabo, vt putridum

In naui velum surrigas.

CH. *Homo hic furenti ira aestuat:*

Seda feruorem, seda, & foco

Ligna aufer: & cohibeas minas.

G

CL. *Pœnam dabis pulcrè mihi,*

Σχόλια. Ἐμοῦ μὲν οὖν.] διπλῆ καὶ εἴσθεσις εἰς ἀμοιβαῖον μέλος τῶν ὑποκειμένων κώλων τριάκοντα διμέτρων ἀκαταλήκτων πλὴν τοῦ παρατελεύτου μονομέτρου συνήθως καὶ τοῦ τελευταίου ἑφθημιμεροῦς. ἐπὶ τῷ τέλει δύο διπλαῖ. ἡ μὲν ἐν ἀρχῇ τοῦ κώλου δὲ κατὰ τὸ τέλος.

Τριηραρχεῖν.] ἀπειλεῖ λειτουργίαν αὐτῷ. λειτουργία γὰρ παρὰ Ἀθηναίοις. δαπανηρὸν δὲ τὸ τριηραρχεῖν. ἔδει γὰρ τὴν τριήρη, πάντα ἔχουσαν πρὸς τὸν πόλεμον εὔθετα, ἄπορα παρασκευάζειν, ὁ τὴν λειτουργίαν ταύτην προσβληθείς. ἄλλως. ἐπειδὴ οἱ στρατηγοὶ εἴ τινα εἶχον ἐχθρὸν,

εἰς τετραρχίαν ἐνέβαλλον, ὅπως ἂν ὁ βίος αὐτοῦ ἀναλί- A σκοιτο. οὐδέ τινι ὑπερβαλλόντως ἀπεχθάνοντο, παλαιάς ναῦς αὐτῷ ἐδίδοσαν, ὅπως ἂν οἴκοθεν καινὰς ἀντ' αὐτῶν κατασκευάσῃ, καὶ πάντῃ ἄποροι ἐγίνοντο. καὶ ἐφέξεις δὲ ἀντὶ τοῦ οὐ παύσῃ. διαμηχανήσομαι δὲ διαπράξομαι. Ἀνὴρ παφλάζων.] ἐπειδὴ ἑώρα τὸν Κλέωνα κεκραγότα καὶ παφλάζοντα τῷ λόγῳ, τῇ μεταφορᾷ ἐχρήσατο τοῦ χαλκείου ἐν τῷ πυρὶ κειμένου. ἐπειδὰν γὰρ ἴδωμεν τοῦτο ὑπερζέον, τῶν ὑποκειμένων ξύλων ὑφαιρούμεθα καὶ τοῦ ὕδατος, ἵνα μὴ ὑπερχυθέντος τοῦ ὕδατος τὸ πῦρ σβεσθῇ. χαριέντως δὲ ὡς μαγείρῳ ἄλλως. ἐντεῦθεν μετὰ τὸ θ κῶλον, διαπλέκεται

τοῖς προσώποις. εἰσὶ δὲ ἴσα ὅλα, καὶ ὅμοιον ποιεῖ τὸ ὅλον περιοδικόν. τὸ δὲ τελευταῖον ἑτέραν ἔχει διαίρεσιν, τὸ εἰς τρίμετρον καταληκτικόν. ἄλλως. βραχὺ καὶ τετάρακται. πεποίηται παρὰ τὸ πάφλα. τὸ δὲ ἑξῆς ἀνὴρ παφλάζει ὑπερζέων. Τῶν ξύλων.] ἐν τοῖς πλείοσι τῶν δᾴδων. ἔδει δὲ εἰπεῖν τῶν κρεῶν. ἔστι γὰρ ἀπὸ μεταφορᾶς τῶν ἑψόντων. οἵτινες ὅταν παφλάζῃ, τῶν ὑποκειμένων ξύλων ἀφαιροῦνται καὶ τῶν κρεῶν. Ἀπαρυστέον.] ἀφαιρετέον. τῶν ἀπειλῶν δὲ εἶπεν, ἀντὶ τοῦ εἰπεῖν τοῦ ζέματος. ἐπειδὴ τῶν ὑπερζεόντων ἀπαρύονται, ἵνα μήτι ὑποχέηται. μαγειρικῶς δὲ ταῦτα.
B Ταυτηί.] ἴσως κρεάγραν ἔδειξεν ὡς μαγείρῳ.

Ἰπούμενος ταῖς εἰσφοραῖς.
Ἐγὼ γὰρ εἰς τοὺς πλουσίους
Σπεύσω σ' ὅπως ἂν ἐγγραφῇς.
Ἀλ. Ἐγὼ δ' ἀπειλήσω μὲν οὐ-
δὲν, εὔχομαι δέ σοι ταδί.
Τὸ μὲν τάγηνον τευθίδων
Ἐφεστάναι σίζον. σὺ δὲ
Γνώμην ἐρεῖν μέλλοντα περὶ
Μιλησίων καὶ κερδανεῖν,
Τάλαντον ἢν κατεργάσῃ,
Σπεύδειν ὅπως τῶν τευθίδων
Ἐμπλήμενος, φθαίης ἔτ' εἰς
Ἐκκλησίαν ἐλθεῖν. ἔπειτα πρὶν φαγεῖν, ἀνήρ μεθήκοι, καὶ σὺ τὸ τάλαντον λαβεῖν
Βουλόμενος ἐ-
πιθέων ἀποπνιγείης.
Χο. Εὖ νὴ τὸν Δία καὶ τὸν Ἀπόλλω,
Καὶ τὴν Δήμητρα.
Δη. Καί μοι δοκεῖ, καὶ τἄλλα γ' εἶναι καταφανῶς
Ἀγαθὸς πολίτης, οἷος οὐδείς πω χρόνου
Ἀνὴρ γεγένηται τοῖσι πολλοῖς τοῦ βολοῦ.
Σὺ δ' ὦ Παφλαγὼν φάσκων φιλεῖν μ' ἐσκορόδισας.
Καὶ νῦν ἀπόδος τὸν δακτύλιον, ὡς οὐκ ἔτι
Ἐμοὶ ταμιεύσεις. Κλ. ἔχε, τοσοῦτον δ' ἴσθ' ὅτι,
Εἰ μή μ' ἐάσεις ἐπιτροπεύειν, ἕτερος αὖ
Ἐμοῦ πανουργότερος τις ἀναφανήσεται.
Δη. Οὐκ ἔσθ' ὅπως ὁ δακτύλιος ἐστ' οὑτοσὶ
Οὑμός, τὸ γοῦν σημεῖον ἕτερον φαίνεται,
Ἀλλ' ἢ οὐ καθορῶ. Ἀλ. φέρ' ἴδω τί σοι σημεῖον ἦν.

Oppressus ærumnis malis
Nam ego faxo, vt inter diuites
Relatus argentum luas.
AG. Ego nihil tibi comminor:
Sed istud imprecor, vt tua
Sartago stridat piscibus.
C *Tu verò, de Milesiis*
Cùm proferes sententiam
Lucri cupidus: talentum vbi
Paraneris: antè piscibus
Repletus: ad cœtum properes.
Sed te, priusquàm vescier
Occœperis, vir quispiam
Perturbet, & talentum ibi
D *Tu capere vo-*
Lens, cibo hoc stranguleris.
CH. Bellè, per Apollinem, Iouémque
Atque almam matrem.
PO. Et mihi palam videtur, etiam cætera
Bonus esse ciuis: qualis vix vllus fuit
Vnquam ex multis, qui digni sunt teruncio.
Tu verò Paphlago, dum ais, quòd me diligas,
Molestus es mihi allius, quæ fœdè oles.
E *Et nunc agè redde mihi annulum. Neque enim amplius*
Quæsturam in vrbe geres. CL. habe: sed hoc scias,
Si non sines me rem curare publicam,
Alium fore, me longè versutiorem præsidem.
PO. Fieri nequit, meus vt sit isthic anulus:
Quoniam aliud apparet signum, me nisi oculi
F *Fallunt. AG. sine videam, quod signum sit tibi.*

Σχόλια. Ἰπούμενος.] θλιβόμενος ταῖς συντελείαις τοῖς ἀπαιτήσεσι. πολλὰ εἰσφέρειν ἀναγκαζόμενος πιεζόμενος.

BISETVS. Ἰπούμενος] Εὐστάθιος. ἴπος, θηρεῖδιά ποιά κέρασι, καὶ ξύλοις ἐμφυόμενα. παρὰ τὸ ἴπτειν, τὸ φθείρειν. καὶ ἴπος δι' ἑνὸς π ἡ παγὶς τῶν μυῶν, παρὰ τὸ ἰποῦν, ὅ ἐστι βλάπτειν. ἐνταῦθα τοίνυν χαριέστερον ἰπούμενος, ἤγουν βλαπτόμενος.

Σχόλια. Σπεύσω σε.] σπεύσω εἰς σὲ καὶ σπουδάσω. ἐπειδὴ G οἱ στρατηγοί, ἐχθρούς τινας ἔχοντες πένητας, ἐνέγραφον τῷ πρώτῳ τῶν πλουσίων τάγματι. ὅπως μὴ ἀρκοῦντες πρὸς τὰς μεγάλας ζημίας, ἄποροι γένωνται. εὔχομαι δὲ καταρῶμαι. τάγηνον δὲ τήγανον. τευθὶς δὲ εἶδος ἰχθύος εὐτελοῦς. σίζον δὲ ποιὸν ἦχον ἀποτελοῦν. Μιλησίων.] ὡς ἀπαχθὲν ὃ προσδοκῶντος. μέτοικοι δὲ Ἀθηναίων οἱ Μιλήσιοι. Ἢν κατεργάσῃ.] ἐὰν διαπράξῃς ἅπερ αὐτοῖς ἐπαγγέλλῃ. μεθήκοι δὲ μέτελθοι, καλῶν σε δηλονότι. Εὖ γε νὴ τὸν Δία.] διπλῆ καὶ τοῦ χορικοῦ ἐπεισθέσει. ὧν τὸ πρῶτον ἐκ τροχαϊκῆς βάσεως καὶ ἀντισπαστικῆς. καὶ ἑφθημιμερὲς οὐκ ἰωνικὸν ἀπὸ μείζονος τετραμέτρου καταληκτικόν. ἀτακτότερον δὲ ἔχει τὴν τροχαϊκὴν βάσιν ἐπλάσιμον. τὸ δὲ δ πενθημιμερὲς κοινὸν δακτυλικὸν καὶ ἀντισπαστικόν, ἐπὶ τὸ δὲ ἐς διαλελυμένως τὸ πεζὸν λόγον. ἔστι δὲ πολλὰ καὶ παρ' Εὐπόλιδι σεσημειωμένα. Καί μοι δοκεῖ.] κορωνὶς ἑτέρως εἰσιόντων τῶν ὑποκριτῶν. οἱ δὲ στίχοι ἰαμβικοὶ τρίμετροι ἀκατάληκτοι λ. ὧν τελευταῖος. ἰοὺ ἰού. νὴ τὸν Δί' οὐδὲν πολύει. ἐπὶ τῷ τέλει κορωνίς. Ἀγαθὸς πολίτης] ὁ ἀλλαντοπώλης δηλονότι δοκεῖ μοι φησὶ καλὸς εἶναι πολίτης, οἷος οὐδεὶς ἄλλος γένοιτο ἂν ἐν παντὶ χρόνῳ. Πολλοῖς τοῦ βολοῦ.]

'βολοῦ.] τοῖς εὐώνοις τοῖς Ἀθηναίοις. οὕτω γὰρ λέγεται ἐπὶ τῶν πολλῶν τοῦ ὀβολοῦ πωλουμένων. Ἐσκοροδίσας] ἀηδίσας. καὶ ἐπικράνας. ἢ ὀδὲ ἐμυξας. ἢ κλαῦσαι πεποίηκας. ἢ ἀπὸ τῶν τὰ σκόροδα τελεσάντων. Ἐμοὶ ταμιεύσεις] ὡς

A οὐκέτι ἐπιμελήσῃ τῶν ἐμῶν χρημάτων, ἀλλ' ὁ ταμίας μοι ἔσῃ. τουτέστι διοικήσεις τὰ πρυτανεῖα. Ἐμοῦ πανουργότερος.] ἑαυτὸν διαβάλλει ὁ Κλέων, ἐκείνου ψόφον ἐπιφέρειν βαλόμενος. ὁ δακτύλιος δὲ ὃν ἐφόρει τῆς ἀρχῆς ἦν τὸ σημεῖον.

Δη. Δημοῦ βοείου θρῖον ἐξωπτημένον.
Αλ. Οὐ τοῦτό γ' ἔστ' οὐ τὸ θρῖον. Δη. ἀλλὰ τί;
Αλ. Λάρος κεχηνὼς ἐπὶ πέτρας δημηγορῶν.
Δη. Αἰβοῖ τάλας. Αλ. τί ἔστιν; Δη. ἀπόφερ' ἐκποδών,
Οὐ τοὐμὸν εἶχεν, ἀλλὰ τὸν Κλεωνύμου.
Παρ' ἐμοῦ δὲ τουτονὶ λαβὼν ταμίευέ μοι.
Κλ. Μὴ δῆτά πω γ' ὦ δέσποτ', ἀντιβολῶ σ' ἐγώ,
Πρὶν ἄν γε τῶν χρησμῶν ἀκούσῃς τῶν ἐμῶν.
Αλ. Καὶ τῶν ἐμῶν νυν. Κλ. ἀλλ' ἐὰν τούτῳ πίθῃ,
Μολγὸν γενέσθαι δεῖ σε. Αλ. κἄν γε τουτῳί,
Ψωλὸν γενέσθαι δεῖ σε μέχρι τοῦ μυρρίνου.
Κλ. Ἀλλ' οἵ γ' ἐμοὶ λέγουσιν, ὡς ἄρξαι σε δεῖ
Χώρας ἁπάσης, ἐστεφανωμένον ῥόδοις.
Αλ. Οἱ 'μοὶ δέ γ' αὖ λέγουσιν, ὡς ἁλουργίδα
Ἔχων κατάπαστον, καὶ στεφάνην, ἐφ' ἅρματος
Χρυσοῦ διώξεις Σμικύθην, καὶ κύριον.
Κλ. Καὶ μὴν ἔνεγκ' αὐτοὺς ἰών, ἵν' οὑτοσὶ
Αὐτῶν ἀκούσῃ. Αλ. πάνυ γε. Δη. καὶ σὺ δὴ φέρε.
Κλ. Ἰδού. Αλ. ἰδού. Δη. νὴ τὸν Δί' οὐδὲν κωλύει.

Po Bubula adipis assatum folium ficulneum.
Ag. Non hoc ficulneum est folium. Po. quid ergo inest?
B *Ag. Larus inhians praeda, qui è petra verba dat*
Pro concione. Po. Hei me miserum. Ag. quid rei est? cedò.
Po. Procul aufer. neque enim meum habet, sed Cleonymi.
Tu verò hunc à me habe, & quaesturam suscipe.
Cl. Istuc ne faxis, mi Domine, quaeso: antequàm
C *Audiueris, qualia mihi sint oracula.*
Ag. Et qualia mihi sint. Cl. at si huic obtemperes,
Peculatorem oportet te fieri. Ag. & si huic,
Herniosum te fieri oportet vsque ad caput.
Cl. Atqui mea dicunt oracula, quod oporteat
Te imperio totius terrae potirier,
D *Rosis coronatum. Ag. mea vicissim mihi*
Dicunt quòd tu trabeatus, & serto micans
In aureo curru insequeris Smicytham,
Et Dominum. Cl. quin abis, & huc affers tua
Oracula, vt populus illa audiat. Ag. admodum.
Po. Et tu feras tua. Cl. ecce in promptu sunt mihi.
Ag. Ecce & mea. Po. Per Iouem, iam nihil est in mora.

E

Σχόλια. Δημοῦ βοείου.] παρὰ τὸν δῆμον ἐποίησε δημὸν ὀξυτόνως. ἐπειδὴ τῷ θρίῳ περιβάλλοντες τὸ λίπος, ὤπτων. θρῖον δέ, τὸ τῆς συκῆς φύλλον. ὀλίγον οὖν δεῖ τῷ τόνῳ παρεγκλίνειν τὸ ὄνομα. λέγει δὲ καὶ ταῦτα. ἐπειδὴ ὡς ἀναίσθητον διαβάλλει τὸν δῆμον. ἄλλως. λίπους βοείου. ταῦτα δὲ εἰς ἀναισθησίαν τοῦ δήμου, καὶ ἐν Σφηξίν, ἔστι βόειον δημόν. θρῖον δὲ σκεύασμά τι μετὰ ἐγκεφάλου γινόμενον.

F Bisetus. Δημοῦ] Δῆμος προπερισπωμένως, τὸ πλῆθος τῶν ἀνθρώπων, τὸ πολιτικὸν κατάστημα. ὅθεν καὶ δημοκρατεῖσθαι. δημὸς δὲ ὀξυτόνως, ἡ κνίσα, ἐπίπλους, τουτέστι τὸ λίπος.

Σχόλια. Θρῖον.] χόνδρος ἢ ὄρυζα ἕψεται. ἢ σεμίδαλις ἀρκούντως. εἶτα ἀποχεῖται τὸ ὕδωρ, καὶ φυρᾶται τὸ ἑψημένον μετὰ ἁπαλοῦ τυροῦ καὶ ᾠῶν ὀλίγων εἶτα περιλαμβάνεται φύλλοις συκίνοις ὅλως, καὶ περιειλεῖται καννάβῳ ἢ σπαρτίῳ, ἢ λίνῳ. καὶ καθίεται εἰς ζωμὸν κρεῶν ἑψημένων, ἄχρι τοῦ λαβεῖν ἱκανὴν ἕψησιν. εἶτα ἐπαίρεται ἐκ τοῦ ζωμοῦ, τῶν περιαιρεθέντων, καὶ εἰς λοπάδα νέαν ζέοντος μέλιτος ἐμβάλλεται καὶ ἕψεται. στρεφόμενον δέ, ὅτι ἱκανῶς ἔχον καὶ ξανθὸν γένηται. ἐξαιρεθὲν παρατίθεται μέλιτος περιχυθέντος, ἢ ἀπὸ τοῦ ἰσθμοῦ, ἢ ἀπὸ τοῦ ἄλλου. θρῖον δὲ
G καλεῖται, ἀπὸ τῶν φύλλων τῆς συκῆς ἃ οὕτω καλοῦνται. ἄλλως. θρῖα τὰ φύλλα τῆς συκῆς. καὶ θρῖον ἐστὶ σκεύασμά τι παρ' Ἀθηναίοις, ὃ περιλαμβάνει ὕειον στέαρ καὶ ἐλεῖφον. καὶ σεμίδαλιν καὶ γάλα, καὶ λεκυθώδες ὠμὸν πρὸς τὸ πήγνυσθαι καὶ οὕτως εἰς φύλλα συκῆς ἐμβαλλόμενον, ἥδιστον ἀποτελεῖ βρῶμα. οὕτω Δίδυμος. ἐκαλεῖτο δὲ καὶ ἄλλη τις σκευασία θρῖον ἐγκέφαλος μετὰ γάλακτος καὶ τυροῦ σκευαζόμενος καὶ ἐλαιούμενος ἐν φύλλοις συκῆς καὶ ὀπτώμενος. ἐπεὶ ἐπὶ φύλλων τὰ τεμάχη βαλλόμενα βαστάζονται. περὶ δὲ θρίου καὶ ἐν Βατράχοις εἴρηται ἐν τῷ, ἀλλ' ἀπολοίμην ἂν ἐγκεφάλου θρίῳ δύο. Λάρος κεχηνώς.] τὸν Κλέωνα λέγει παρὰ τὸ ἁρπακτικόν. ἀπὸ τούτου δὲ ὡς κλέπτειν τὸν Κλέωνα διαβάλλει. καὶ ὁ λάρος γὰρ ζῶόν ἐστιν ἀδηφάγον. πέτραν δὲ, διὰ τὸ βῆμα τὸ ἐν τῇ πνυκί. Κλεωνύμου.] ὡς δαπανηρὸν καὶ ἐν τρυφῇ ζῶντα κωμῳδεῖ καὶ διαβάλλει τὸν Κλεώνυμον καὶ ἅρπαγα. εἰπὼν γὰρ λάρος, ὑπήνεγκε τὸν Κλεωνύμου. Παρ' ἐμοῦ δὲ τουτονὶ λαβών.] δακτύλιον ἄλλον δίδωσι. καὶ ἔστι παρεπιγραφή. Μολγὸν γενέσθαι.] φασὶν ὅς, μολγὸν ἀντὶ τοῦ τυφλόν. Ἡρόδοτος δὲ ἱστορεῖ τούτους ἐπάνω τῆς Σκυθίας εἶναι. ἄλλως. πέπουται παρὰ τὸ ἀμέλγεσθαι καὶ ζημιοῦσθαι. ἄλλως Σύμμαχος. ἔοικε χρησμός τις εἶναι. ἐν γὰρ τοῖς γεωργοῖς, οὕτως ἔχει. ὅτῳ δοκεῖ τοι δεῖν μάλιστα τῇ πόλει. ὑμεῖς μὲν ἐπὶ τὸν μολγὸν εἶναι ὡς ἀκήκοας. Ἐρατοσθένης, μολγὸν καὶ ἀμολγὸν τὸ αὐτόν. ἀμολγοὺς δὲ παρὰ τούτοις φησὶ λέγεσθαι τοὺς ἀμέλγοντας τὰ κοινά. Ἡσίοδος δὲ, μᾶζά τ' ἀμολγαίη. οἱ δὲ ἀντὶ τοῦ ἀμελγῶν. παρὰ δὲ τοῖς κωμικοῖς, μόλγας ὁ μοχθηρὸς ὥσπερ γόης. οὕτω Σωκράτης. ἄλλως. μολγόν τε-

τος μὲν, γλαυκόν. οἱ δὲ, τὸ βραδεῖον. ἐπεὶ ἀμολγὸν τὸ κλέπτειν τῶν δημοσίων. μολγοὺς γὰρ ἔλεγον, τοὺς ἐξαμέλγοντας καὶ κλέπτοντας τὰ κοινά. Ψωλὸν γενέσθαι.] ψωλὸς ὁ λεπτόδερμος ὀξυτόνως. καὶ ἀκρόψωλος, ὁ ἐπιβραχὺ τοιοῦτος. ἢ ὁ ἀσχήμων κατὰ παρέκτασιν τοῦ μορίου. ἐνταῦθα δὲ ἰδίως ἐπὶ τῶν μέχρι πολλοῦ διεσκυλμένων. παρὰ δὲ Διονύσῳ ἐν τοῖς ἐπαγισμασι παραπεποίηται ἄχρι τοῦ λάρυγγος. Μέχρι τοῦ μυῤῥίνου.] μέχρι τῆς κεφαλῆς. ἐπειδὴ οἱ ἄρχοντες μυῤῥίνῃ ἐστεφανοῦντο. ἢ ἀπὸ τοῦ σκολύφθαι τὸ αἰδοῖον εἰς τέλος καὶ ὁλόκληρον. μύρτον δὲ πεποιημένον ἐκάλουν οἱ παλαιοὶ τὸ γυναικεῖον αἰδοῖον. Ἀλουργίδα.] πορφυρᾶν χλανίδα. ἐπειδὴ τὸ ῥόδον πορφυροῦν, τῷ στεφάνῳ τῶν ῥόδων τὴν ἀλουργίδα ἐπήνεγκεν. Χρυσοῦ διάξεις.] τῷ διάξεις ἔχοντι λόγον πρὸς τὸ προκείμενα, ἐπήνεγκε παρὰ τὴν φωνὴν, τὸ διάξεις Σμικύθην καὶ Κύριον. ὥσπερ ἐν ταῖς εἰσαγωγαῖς τῶν ἐγκλημάτων κηρύττειν εἰώθασιν, ἐπειδὰν γυναικὶ ἐπιφέρηται ἔγκλημα. οὕτω γὰρ προκαλεῖσθαι εἰώθασιν ἐν τῷ δικαστηρίῳ. ἡ δεῖνα καὶ ὁ κύριος, τουτέστιν ὁ ἀνήρ. ἅμα οὖν ὡς γυναικώδη τὸν Σμικύθην κωμῳδεῖ, καὶ ἔχοντα κύριον ὡς αἱ θήλειαι. ὁ δὲ Σμικύθης, Θρακῶν βασιλεύς. Κύριον δὲ, ἀντὶ τοῦ Κύρου τοῦ Ἀρταξέρξου τοῦ Περσῶν βασιλέως ὃς κατ' ἐκείνους τοὺς χρόνους τῆς Λυδίας πεμφθεὶς σατραπεύειν, Λακεδαιμονίοις προσθεμένοις εἰς πόλεμον τὸν πρὸς Ἀθηναίους ἐχορήγησε χρήματα. ἄλλως. τὸν Σμικύθην κωμῳδεῖ ὡς κίναιδον. Κύριον δὲ λέγει τὸν ἄνδρα. οὕτω γὰρ ἐπεγράφοντο ἐν τοῖς δικαστηρίοις. Λαμπάδα καὶ Κύριος. τουτέστιν ὁ Περικλῆς.

ΧΟΡΟΣ.

CHORVS.

Choriambici, Glyconij.

Στροφὴ κώλων κδʹ.

Χο. Ἥδιστον φάος ἡμέρας
Ἔσται τοῖσι παροῦσι, καὶ
Τοῖσιν ἀφικνουμένοισιν,
Ἢν Κλέων ἀπόληται.
Καίτοι πρεσβυτέρων τινῶν,
Οἵων ἀργαλεωτάτων,
Ἐν τῷ δείγματι τῶν δικῶν,
Ἤκουσ' ἀντιλεγόντων,
Ὡς εἰ μὴ 'γένεθ' οὗτος ἐν
Τῇ πόλει μέγας, οὐκ ἂν ἤ-
στην σκεύει δύω χρησίμω,
Δοῖδυξ, οὐδὲ τορύνη.
Ἀλλὰ καὶ τόδ' ἔγωγε θαυ-
μάζω τῆς ὑομουσίας
Αὐτοῦ· φασὶ γὰρ αὐτὸν οἱ
Παῖδες, οἳ ξυνεφοίτων,
Τὴν Δωριστὶ μόνην ἂν ἁρ-
μόττεσθαι θαμὰ τὴν λύραν,
Ἄλλην δ' οὐκ ἐθέλειν μαθεῖν,
Κᾆτα τὸν κιθαριστὴν
Ὀργισθέντ' ἀπάγειν κελεύ-
ειν, ὡς ἁρμονίαν ὁ παῖς
Οὗτος οὐ δύναται μαθεῖν,
Ἢν μὴ δωροδοκιστί.

CH. *Prastò lux erit optima*
Nobis, qui modò viuimus:
Quique olim venient, Cleo
Si perdatur iniquus.
Quamquam in Digmate litium
Morosos aliquos senes
Audiui mihi dicere
Contrà: ni Cleo nobis
Isthic afforet, haud fore
Vasa vrbi duo commoda,
Pistillum & rudicellam.
Verùm miror & hoc ego,
Quanám hac Musa suilla sit
Huius. Nam pueros ferunt,
Qui condiscipuli sunt:
Solùm carmina Dorica
Plectro aptasse lyra: neque
Vllam discere, prater hanc,
Tum iratum Cytharœdum
Iussurum, à se abeat: quia
Isthic nullam aliam puer
Posset discere Musicam:
Ni, qua Dorica tinnit.

Σχόλια. Ἥδιστον φάος.] κορωνίς. εἰσιᾶσι γὰρ ὑποκριταί. καὶ ἐν εἰσθέσει τοῦ χοροῦ, ἐξὰς μονοστροφικὴ τετράκωλος ἐκ περιόδων ἐκ τριῶν γλυκωνείων ποτὲ μὲν ἐξ ἐπιτρίτου τετάρτου, ποτὲ δὲ διτροχαίου. ἐν δὲ τῷ γ καὶ χοριάμβου. καὶ διιάμβου καὶ τοῦ φερεκρατείου. συνάπτεται δὲ τῇ λέξει καὶ μόνον διαιρεῖται τὸ φερεκράτειον. ἑφθημιμερὲς δέ ἐστιν ἐξ ἐπιτρίτου τετάρτου, ἢ διτροχαίου καὶ βακχείου συγκείμενον. παράγραφοι δὲ, ἁπλοῖ μὲν ε. ἡ δὲ ϛ καὶ μετὰ κορωνίδος. ταῦτα δὲ παρὰ τὸ Εὐριπίδου. Τοῖσιν ἀφικνουμένοις. ἢ τοῖς μετὰ ταῦτα ἰσομένοις. ἢ τοῖς ἐπιδημοῦσι τῶν ξένων, ἵν' ἐπιδείξῃ τὸν Κλέωνα. κατὰ τοῦτο πονηρὸν, ὅτι μηδὲ τούτων φείδεται, ἀλλ' ὁμοίως ἅπαντας συκοφαντεῖ.

Bisetvs. Ἢν Κλέων.] καὶ γὰρ αἱ πόλεις οὐδὲν αἴτιοι κακῶν, ἀλλὰ τοὺς κακοὺς κυβερνήτας κακῶς ἀκούουσι κατὰ τὸν Εὐριπίδην, ὃς ἐν Ἱκέτισιν οὕτω λέγει,

Τούς τ' ἐξαμαρτάνοντας, οὐχὶ τὴν πόλιν
Ἤχθαιρ'. ἐπεί τοι κοὐδὲν αἰτία πόλις,
Κακῶς κλύουσα διὰ κυβερνήτην κακόν.

Οὐδὲν οὖν ἥδιον τῇ πόλει συμβαίνειν δύναται τοῦ τῶν κακῶν θανάτου, καὶ ὀλέθρου.

Σχόλια. Ἐν τῷ δείγματι τῶν δικῶν.] Σύμμαχος. σκέψασθε τί δήποτέ ἐστι τὸ δεῖγμα τῶν δικῶν πορεῖται γάρ φησιν εἶναι τὸ δεῖγμα τόπος ἐστὶν ἐν Πειραιεῖ, ἔνθα πολλοὶ συνήγοντο ξένοι καὶ πολῖται. καὶ ἐλογοποίουν. τὸ δὲ τῶν δικῶν προσέθηκεν, ἵνα διαβάλλῃ τὸ φιλόδικον τῶν Ἀθηναίων. ἄλλως. ἐν τῷ Πειραιεῖ ὅπου δικάζουσιν. ἐπεὶ ἐκεῖ οἱ ἔμποροι τὰ δείγματα τῶν πωλουμένων ἐτίθεσαν. ἅμα δὲ ἔσκωψε τὸ φιλόδικον τῶν Ἀθηναίων. Δοῖδυξ.] παροιμία

δοῖδυξ

δοίδυξ αὔξει ἐπὶ τῶν λίαν μικρῶν. ἢ ἐπὶ τῶν αὐξανομένων φησὶν ὁ Χρύσιππος. ἀλλὰ καὶ ἐπὶ τῶν μικρῶν μενόντων εἴρηται ἡ παροιμία. ὁ γὰρ δοίδυξ, μικρός ἐστι καὶ στρογγύλος. ταῦτα δὲ ὡς πρὸς Κλέωνα πάντα. τορύνη δὲ τὸ κινητήριον τῆς χύτρας. πανταχοῦ δὲ ἐκτείνεται εἰ καὶ παρ' Εὐπόλιδι, τορύνην τίνος δὴ ξίφος ὑπεζωσμένος. καὶ αὖθις. καὶ τὰν ἐπιοδόνου τορύναν. τῆς ὑομουσίας δὲ τῆς χοιρωδίας, τῆς ἀπαιδευσίας. καὶ ὑηνία ἡ μωρία. ὡς ἀλλαχοῦ Ἀριστοφάνης. ἵνα μὴ γένηται Θετταλῶν ὑηνεία. τινὲς δὲ ὑηνεῖαν τὴν ἐκ τῶν χοίρων δυσωδίαν φασὶν οἵπερ διαφόροις ἐδέσμασι χρώμενοι δυσώδη ἀποπατοῦσι καὶ εἰς βόρβορον διαλύονται. A Οἱ ξυμφοιτῶν.] οἱ συμμαθόντες. Τὴν Δωριστί.] τὸ ὄνοματι παίζει διὰ τὸ δωροδοκῆσαι. διαβάλλει οὖν αὐτὸν ὡς κλέπτην καὶ δωροδοκούμενον. Δώριος δὲ οὕτω καλεῖται μία τῶν ἁρμονιῶν, ὡς καὶ Λύδιος καὶ Φρύγιος καὶ Βοιώτιος. ἄλλως. οὐδεμίαν ἁρμονίαν ἄλλην θέλει μαθεῖν, μόνην δὲ τὴν τοῦ δωροδοκεῖν ἐπώνυμον. Τὰς ἁρμονίας.] ἁρμονίας οἱ μουσικοὶ καλοῦσι, τὸ εὖ καὶ ἐπισταμένως ἔχειν τὰς νευρὰς ἐν τοῖς κρούμασι τῶν ᾀσμάτων. ἐν ἤθει οὖν ταῦτά φησιν ὅτι Κλέων ἑτέρας μουσικῆς οὐ μετεχειρίζετο, οὐδὲ μανθάνειν ἐβούλετο. ταύτης δὲ μόνης μετεποιεῖτο τῆς Δωρίου διὰ τὴν αὐτοῦ δωροδοκίαν, καὶ ἔμπειρος ἦν. B

ΔΡΑΜΑΤΟΣ ΤΡΙΤΟΥ, Σκηνὴ πρώτη.

Τρίμετροι, ἰαμβικοί.

ΚΛΕΩΝ, ΑΛΛΑΝΤΟΠΩΛΗΣ, ΔΗΜΟΣ, ΧΟΡΟΣ.

Βισετυς. Κορωνὶς ἐκ στίχων ἑνενήκοντα ἕξ. ὧν προτίθενται στίχοι ις'.

ΚΛ. Ἰδοὺ, θέασαι, κοὐχ ἅπαντας ἐκφέρω.
ΑΛ. Οἴμ' ὡς χεζητιῶ, κοὐχ ἅπαντας ἐκφέρω.
ΔΗ. Ταυτὶ τί ἐστι; ΚΛ. λόγια. ΔΗ. πάντ'; ΚΛ. ἐθαύμασας;
Καὶ νὴ Δί', ἔτι γ' ἐμοῦ 'στι κιβωτὸς πλέα.
ΑΛ. Ἐμοὶ δ' ὑπερῷον, καὶ ξυνοικία δύω.
ΔΗ. Φέρ' ἴδω, τίνος γάρ εἰσιν οἱ χρησμοί ποτε;
ΚΛ. Οὑμοὶ μέν εἰσι Βάκιδος. ΔΗ. οἱ δὲ σοὶ τίνος;
ΑΛ. Γλάνιδος, ἀδελφοῦ τοῦ Βάκιδος γεραιτέρου.
ΔΗ. Εἰσὶ δὲ περὶ τοῦ; ΚΛ. περὶ Ἀθηνῶν, περὶ Πύλου,
Περὶ σοῦ, περὶ ἐμοῦ, περὶ ἁπάντων πραγμάτων.
ΔΗ. Οἱ σοὶ δὲ περὶ τοῦ; ΑΛ. περὶ Ἀθηνῶν, περὶ φακῆς,
Περὶ Λακεδαιμονίων, περὶ σκόμβρων νέων,
Περὶ τῶν μετρούντων τἄλφιτ' ἐν ἀγορᾷ κακῶς,
Περὶ σοῦ, περὶ ἐμοῦ, περὶ ἁπάντων πραγμάτων,
Τὸ πέος αὖ οὗτος δάκοι.
ΔΗ. Ἄγε νυν ὅπως αὐτούς ἀναγνώσεσθέ μοι,
Καὶ τὸν περὶ ἐμοῦ κεῖνον, ᾧπερ ἥδομαι,
Ὡς ἐν νεφέλῃσιν αἰετὸς γενήσομαι.

ACTVS III. SCENA I.

Senarij Iambici.

C CLEO, AGORACRITVS FARTOR, POPVLVS, CHORVS.

CL. EN *videsis oracula mea: nec fero omnia.*
AG. *Hei, quàm cacaturio, nec ego effero omnia.*
PO. *Quid hæc sunt?* CL. *oracula.* PO. *num omnia?* CL. *miraris hac?*
D *Et, per Iouem, mihi adhuc referta arca est domi.*
AG. *Et mihi cœnaculum, & duo domicilia.*
PO. *Sine videam: cuius sunt hæc oracula?*
CL. *Mea quidem Bacidis sunt.* PO. *cuius sunt tua?*
AG. *Glanidis, qui Bacidis frater maior fuit.*
PO. *De quo loquuntur?* CL. *de hisce Athenis, de Pylo,*
E *De te, de me, déque omnibus negocijs.*
PO. *Quæ de re tua dicunt?* AG. *de Athenis, de viris*
Lacedæmoniis, de lentibus, de piscibus
Nouis: de his qui malè metiuntur in foro
Frumenta, de te, de me, rebúsque omnibus.
Hoc mentulam momorderit.
PO. *Age nunc mihi recitate isthæc oracula,*
Et illud de me, quo delector plurimùm:
F *Vt aquila fiam in nubibus videlicet.*

Σχόλια. Ἰδοὺ θέασαι.] κορωνὶς εἰσιόντων αὖθις τῶν ὑποκριτῶν. οἱ δὲ στίχοι ἰαμβικοὶ καὶ δακτυλικοὶ ἐνενήκοντα ἕξ. ὧν προτίθενται στίχοι ἰαμβικοὶ τρίμετροι ἀκατάληκτοι ις'. τὸ γὰρ ις'. δίμετρόν ἐστιν ἀκατάληκτον. ἐπὶ τῷ τέλει παράγραφος. περὶ δὲ τῶν ἑξῆς ἐν ἑκάστῃ περιόδῳ εὑρήσεται. ὁ δὲ Κλέων ἐξιὼν ἐπὶ τῶν μεταφρένων ἀγγεῖον φέρων πεπληρωμένον χρησμῶν. καὶ λέγει ὅτι τοσοῦτον ἄχθος βαστάζων, ὅλως ἅπαντας ἐξάγειν οὐκ ἠδυνήθη τοὺς χρησμούς καὶ ὁ ἕτερος, ὁμοίως τὸ αὐτὸ ποιεῖ. τοῦτο γὰρ ἐπαγγέλλεται, εἰ σπουδῇ ἐξοίσειν τοὺς χρησμοὺς οὓς ἔχουσι περὶ τοῦ δήμου. Ξυνοικία δύο.] δυϊκῶς ἐπήγαγε τὰ ξυνοικία. λέγονται δὲ ξυνοικίαι, καὶ αἱ μικραὶ οἰκίαι, καὶ ἀποστάσεις, ἃς νῦν φανόπλας φαμέν. Γλάνιδος.] ἔπαιξε πρὸς τὴν καταληξιν τὸν Βάκιν καὶ τὸν Γλάνιν εἰπών. ἔστι δὲ εἶδος ἰχθύος ὁ γλάνις. γεραιτέρου δὲ πρεσβυτέρου. Περὶ σκόμβρων] εἶδος ἰχθύων οἱ σκόμβροι, παρόμοιοι τοῖς μικροῖς θύννοις. νέων δὲ, νεωστὶ ταριχευμένων. ἔπαιξε δὲ, ὡς μάγειρος. Πέος δάκοι.] ἐνταῦθα οὐ τὸ σπήλαιον, ἀλλὰ τὸ αἰδοῖον, ὡς καὶ ἀλλαχοῦ. ὅπως ἂν οἰκουρῇ τὸ πέος τοῦ νυμφίου. καὶ αὖθις. τίς τὸ πέος ἀποτεθρίακεν. καὶ ἐν Νεφέλαις. τὸ πέος ἐν τῇ δεξιᾷ. Ὡς ἐν νεφέλῃσιν αἰετός.] ἐφέρετο χρησμὸς τοῖς Ἀθηναίοις περὶ τοῦ δήμου αὐτῶν λεγόμενος. G
Εὔδαιμον πτολίεθρον Ἀθηναίης ἀγελείης.
Πολλὰ ἰδὸν καὶ πολλὰ παθὸν καὶ πολλὰ μογῆσαν.
Αἰετὸς ἐν νεφέλῃσι γενήσεαι ἤματα πάντα.
ὅτι βασιλεὺς μέγας ὑπερέξεις ἁπάντων ὥσπερ αἰετὸς τῶν ὀρνέων. τούτου δὲ τοῦ χρησμοῦ, οὐ μόνον ἐνταῦθα, ἀλλὰ καὶ ἐν Ὄρνισι καὶ Δαιταλεῦσι μέμνηται.

Κλ. Ἄκουε δὴ νυν, καὶ πρόσεχε τὸν νοῦν ἐμοί.
Φράζευ Ἐρεχθεΐδη λογίων ὁδὸν, ἥν σοι Ἀπόλλων
Ἴαχεν ἐξ ἀδύτοιο διὰ τριπόδων ἐριτίμων,
Σώζεσθαί σ' ἐκέλευσ' ἱερὸν κύνα καρχαρόδοντα.
Ὃς πρόσθεν δάκνων, καὶ ὑπὲρ σοῦ δεινὰ κεκραγὼς,
Σοὶ μισθὸν ποριεῖ. κἂν μὴ δρᾷ ταῦτ', ἀπολεῖται.
Πολλοὶ γὰρ μίσει σφε κατακρώζουσι κολοιοί.
Δη. Ταυτὶ μὰ τὴν Δήμητρ' ἐγὼ οὐκ οἶδ', ὅ,τι λέγει,
Τί γάρ ἐστ' Ἐρεχθεῖ, καὶ κολοιοῖς, καὶ κυνί;
Κλ. Ἐγὼ μέν εἰμ' ὁ κύων, πρὸ σοῦ γὰρ ἀπύω,
Σοί δ' εἶπε σώζεσθαί μ' ὁ Φοῖβος τὸν κύνα.
Αλ. Οὐ τοῦτο φήσ' ὁ χρησμὸς, ἀλλ' ὁ κύων ὁδὶ,
Ὥσπερ θύρας σου τῶν λογίων παρεσθίει,
Ἐμοὶ γάρ ἐστ' ὀρθῶς περὶ τούτου τοῦ κυνός.
Δη. Λέγε δὴ, ἐγὼ δὲ πρῶτα λήψομαι λίθον,
Ἵνα μή μ' ὁ χρησμὸς ὁ περὶ τοῦ κυνὸς δάκῃ.
Αλ. Φράζευ Ἐρεχθεΐδη κύνα Κέρβερον ἀνδραποδιστὴν,
Ὃς κέρκῳ σαίνων σ' ὁπόταν δειπνῇς ἐπιτηρῶν,
Ἐξέδεταί σου τοὔψον, ὅταν σύ που ἄλλοσε χάσκῃς,
Ἐσφοιτῶν δ' ἐς τοὐπτάνιον λήσει σε κυνηδὸν,
Νύκτωρ τὰς λοπάδας, καὶ τὰς νήσους διαλείχων.
Δη. Νὴ τὸν Ποσειδῶ, πολύ γ' ἄμεινον ὦ Γλάνι.
Κλ. Ὦ τᾶν, ἄκουσον, εἶτα διάκρινον τότε.
Ἔστι γυνὴ, τέξει δὲ λέονθ' ἱεραῖς ἐν Ἀθήναις.
Ὃς περὶ τοῦ δήμου πολλοῖς κώνωψι μαχεῖται,
Ὥστε περὶ σκυμνοῖσι βεβηκὼς, ὃν σὺ φύλαξαι,
Τεῖχος ποιήσας ξύλινον, πύργους τε σιδηροῦς.
Δη. Ταῦτ' οἶσθ' ὅ,τι λέγει; Αλ. μὰ τὸν Ἀπόλλω 'γὼ μὲν οὔ.
Κλ. Ἔφρασεν ὁ θεός σοι σαφῶς σώζειν ἐμέ.
Ἐγὼ γὰρ ἀντὶ τοῦ λέοντος εἰμί σοι.

A *Cl. Igitur ausculta, & adhibe animum mihi tuum.*
Aspice Erechtide, quæ sint oracula Phœbi,
Hæc tibi de tripode ex adytis penetralibus effert:
Te seruare iubet ferratis dentibus acrem
Ille canem, qui te allatrans, mordénsque vicissim,
B *Mercedem reddet: ni fecerit ista, peribit.*
Multæ odio cornices cornicantur in illum.
Po. Ita me Ceres amet: vt, quid dicat, nescio.
Quid enim sit Erechteo & cornicibus, & cani?
Cl. Ego quidem sum canis. Nam pro te latro ego.
Te verò Apollo hortatur, vt serues canem.
Ag. Non isthuc iubet oraculum, sed hic canis
Non aliter rodit oracula, quàm ostia tua.
C *Nam de hoc cane meum canit apertè oraculum.*
Po. Dic obsecro, ego interim lapidem prehendam manu,
Ne me isthuc de cane oraculum male mordeat.
Ag. Aspice Erechtide, quis Cerberus iste nefandus,
Assentans cauda, quoties cœnæ imminet hora:
Sudorem vorat ille tuum, te hiscente aliorsum:
D *Et latitans intrat, catuli de more, culinam,*
Atque ollas noctu lambit, terrásque mari alto.
Po. Per Neptunum: melius dixisti, tu Glani.
Cl. Amice, audi priùs, pòst demum iudica.
Est mulier, quæ isthac partu dabit vrbe leonem,
Qui culicum auxilio, populum defendet, & armis
Pro catulis pugnans, hunc tu seruare memento,
Aerata turri, atque abiegni pariete muri.
E *Po. Nostine, quid dicat? Ag. ego non, per Apollinem.*
Cl. Hoc vult Deus manifestè: vt serues me tibi.
Ego enim loco leonis sum tibi propalam.

Σχόλια. Ἄκουε δὴ νυν.] ὁ πρῶτος στίχος ἐνταῦθα ἰαμβικὸς τρίμετρος ἀκατάληκτος. οἱ δὲ ἑξῆς ς. δακτυλικοὶ ἑξάμετροι καταληκτικοί. ἐπὶ τῷ τέλει παράγραφος. Ἐριτίμων ἀπὸ τριπόδων.] ἐφ' ὧν ἐκαθέζετο ἡ πρόμαντις. ἐριτίμων δὲ, πάνυ τιμίων. τὸ γὰρ ἔρι, ἐπίρρημά ἐστιν ἐπιτάσεως. ὡς τὸ ἐριβώλακα καὶ ἐρικυδέα, τὴν μεγάλως ἔνδοξον. περὶ δὲ τοῦ ἐν Δελφοῖς τρίποδος εἰς ἀναπλήρωσιν τῶν ἐν τοῖς εἰς τὸν Πλοῦτον λεχθέντων, οὐ χεῖρον καὶ τὰ παρὰ Πλουτάρχῳ ἱστορηθέντα περὶ ἀλλήλων Σόλωνι, κἀνταῦθα παραθεῖναι. τοὺς μὲν γὰρ ἁλιεῖς Κώους τοὺς τὸν βόλον πριαμένους, ἐκ Μιλήτου ξένους ὑπάρξαι φησίν. τὸν δ' ἀναφανέντα χρυσοῦν τρίποδα, Ἑλένην πλέουσαν ἐκ Τροίας αὐτόθι καταθεῖναι χρησμοῦ τινος ἀναμνησθεῖσαν παλαιοῦ. G ἐριζομένους δὲ τοῖς ξένοις ἄχρι πολέμου διαφορᾶς, τὴν Πυθίαν ἀνελεῖν τῷ σοφωτάτῳ τὸν τρίποδα ἀποδοῦναι, ὅθεν πρῶτον μὲν πρὸς Θάλητα ἀποσταλθῆναι, εἶτα πρὸς Βίαντα, τοῦ Θάλητος σοφώτερον αὐτὸν ἀποφήναντος. ἀπ' ἐκείνου δ' αὖθις εἰς ἕτερον ἀναπεμπόμενον, τέλος εἰς Θήβας ἐκ Μιλήτου κομισθέντα τῷ Ἰσμηνίῳ Ἀπόλλωνι. κατὰ δὲ Θεόφραστον τῷ ἐν Δελφοῖς καθιερωθῆναι. εἰς ὃν δὲ ὕστατον ἐπέμφθη, τινὲς μὲν Θαλῆν τινὲς δὲ Βίαντα, εἰσὶ δ' οἳ καὶ Σόλωνα ἱστορήκασι. σώζεσθαι δὲ, σώζειν καὶ περὶ πολλοῦ ποιεῖσθαι. Καρχαρόδοντα.] τραχεῖς ὀδόντας ἔχοντα. F καρχαρόδοντα δὲ ὅσα στρογγύλους καὶ ἐναλλάσσοντας τοὺς ὀδόντας ἔχουσι. λέων. κύων. πάρδαλις. ἀντίδες. καὶ ἰχθύων γένος ἃ σαρκοφάγα εἰσί. Κἂν μὴ δρᾷ ταῦτα.] κἂν μὴ ποιήσῃ ταῦτα ὁ κύων ἀπολεῖται. Κατακρώζουσι.] καταθορυβοῦσιν. ἰδίως δὲ νῦν ἐπὶ ὀρνέων τὸ κρώζειν ἀντὶ τοῦ κράζειν. ἄλλως. οἱ ἄλλοι ῥήτορες κράζουσι καὶ θορυβοῦσι. Ταυτὶ μὰ τὴν Δήμητρα] οἱ ἑξῆς τῶν εἰρημένων οὗτοι στίχοι ἰαμβικοί εἰσι τρίμετροι ἀκατάληκτοι ἐννέα. ἐπὶ τῷ τέλει παράγραφος. πρὸ σοῦ δὲ ἀπύω ἀντὶ τοῦ ὑπὲρ σοῦ ὑλακτῶ. Ὥσπερ θύρας σου] οἱ γὰρ ἀποκλειόμενοι κύνες, τὰς G θύρας περιεσθίουσι, βουλόμενοι ἑαυτοῖς ποιῆσαι εἴσοδον. ὁ χρησμὸς δ' ὁ περὶ τοῦ κυνὸς ἀντὶ τοῦ ὁ ἐν τῷ χρησμῷ κύων. ἐν ἐκθέσει δὲ στίχοι ἑ δακτυλικοὶ ἐφ' ὧν τῷ τέλει παράγραφος. Ἀνδραποδιστὴν.] σωματέμπορον, τοὺς ἐλευθέρους καταδουλούμενον. Ὃς κέρκῳ σαίνων] τῇ οὐρᾷ σαίνων ἐπιτρέχων καὶ κολακεύων. ἔπαιξε δὲ παρὰ τὴν παροιμίαν. σαίνεις δ' ἄκνυλα καὶ κύων λαίθαργος εἶ. ἐπὶ τῶν ὑποκρινομένων

κεκομμένων δῆθεν εὐνοεῖν, ἐπιβουλευόντων δὲ λάθρα. ἐξέδεται δὲ, ἐκτρώγει. τοὖψον δὲ, τὸ βρῶμα. ἄλλως δὲ χάσκεις, ἀντὶ τοῦ περὶ ἄλλα τὴν διάνοιαν ἔχῃς.

Bisetvs. Τοὖψον] τὸ ὄψον.

Σχόλια. Ες τοὐπτάνιον.] ἀντὶ τοῦ ἐπὶ τὸ Πρυτανεῖον εἰπεῖν, εἶπεν εἰς τοὐπτάνιον, τουτέστι τὸ μαγειρεῖον.

Bisetvs. Τοὐπτάνιον] τὸ ὀπτάνιον, τὸ μαγειρεῖον, ἐν ᾧ τὰ ὄψα ὀπτῶνται.

Σχόλ. Νύκτωρ τὰς λοπάδας.] ὅτι τοὺς φόρους τῶν νήσων καὶ τῶν πόλεων ἀφήρπαζεν. ὡς κύνες οἱ εἰς τὰ μαγειρεῖα εἰσιόντες, περιλείχουσι τὰς λοπάδας καὶ τὰς χύτρας, οὕτω καὶ ὁ Κλέων ἐάν τι τοῖς νησιώταις περιλειφθῇ καὶ τοῦτο λαμβάνει. ἄλλως. ἔπαιξε πρὸς τὸ γινόμενον ὑπὸ τῶν κυνῶν. οἱ γὰρ ἁρπάσαντές τι, εἰώθασιν εἰς τοὺς ἡσυχίαν ἔχοντας τόπους ἀναχωρήσαντες, ἐμφορεῖσθαι. Καὶ τὰς νήσους διαλείχων.] ὅτι ἀντὶ τοῦ εἰπεῖν τὰς χύτρας, παρ᾽ ὑπόνοιαν εἶπε τὰς νήσους, τουτέστι τοὺς τῆς πόλεως πόρους διαρπάζων καὶ τοὺς νησιώτας διασείων. Νὴ τὸν Ποσειδῶ.] πρὸς τὸν

A ἀλλαντοπώλην ὁ λόγος. τῶν δ᾽ ἑξῆς τούτων ἓξ στίχων, οἱ μὲν α β ἰαμβικοί. οἱ δὲ λοιποὶ τέσσαρες δακτυλικοί ἐπὶ τῷ τέλει παράγραφος. Κύναλφ.] τοῖς ῥήτορσιν ὥσπερ τοῖς μάνδαις λέγει. Ωσπερ σκύμνοις.] ὡς νέαις ὑπερμαχῶν σκύμνων. Τεῖχος ποιήσας ξύλινον.] τὰς ναῦς φησι. μετῴκησαν δὲ τότε εἰς Σαλαμῖνα. ἔδοξε δὲ τὸ χρηστήριον ἐπιόντος τοῦ βαρβάρου ἰδόντος ἐγνοούντων δὲ αὐτῶν, καὶ βουλομένων ξυλίνῳ τείχει τὴν πόλιν τειχίσαι, Θεμιστοκλῆς ὁ στρατηγὸς νοήσας τὸν χρησμὸν εἶπε τεῖχος τὰς ναῦς λέγειν. ἔστι δὲ ὁ χρησμός.

B Τεῖχος τριτογενεῖ ξύλινον διδοῖ εὐρύοπα Ζεύς.
Μοῦνον ἀπόρθητον τελέθειν διὰ Παλλάδα κούρην.
Μὴ δὲ σύ γ᾽ ἱπποσύνην μίμνειν καὶ πεζὸν ἰόντα
Νῶτον ἐπιστρέψαις, ἔτι γάρ ποτε κἀντίος ἔσσει.
Ω θείη Σαλαμὶς ἀπολεῖς δὲ σὺ τέκνα γυναικῶν.
Ἤπου σκιδναμένης Δημήτερος ἢ συνιούσης.
Πύργωσα τὸν ἱρῶς.] τὰ ὅπλα λέγει. Ταῦτ᾽ ἴσθ᾽ ὅτι.] ἐκθέσει ἴαμβοι τρίμετροι ἀκατάληκτοι δ. ἐφ᾽ ὧν τῷ τέλει παράγραφος.

C Δη. Καὶ πῶς μ᾽ ἐλελήθεις Ἀντιλέων γεγενημένος;
Αλ. Ἓν οὐκ ἀναδιδάσκει σε τῶν λογίων ἑκών,
Ὃ μόνον σιδηροῦν τεῖχός ἐστι καὶ ξύλινον,
Ἐν ᾧ σε σώζειν τόνδ᾽ ἐκέλευσ᾽ ὁ Λοξίας.
Δη. Πῶς δῆτα τοῦτ᾽ ἔφραζεν ὁ θεός; Αλ. τουτονὶ
Δῆσαί σ᾽ ἐκέλευ᾽ ἐν πεντεσυρίγγῳ ξύλῳ.
Δη. Ταυτὶ τελεῖσθαι τὰ λόγι᾽ ἤδη μοι δοκεῖ.
D Κλ. Μὴ πείθου. φθονεραὶ γὰρ ἐπικεκράγουσι κορῶναι.
Ἀλλ᾽ ἱέρακα φίλει, μεμνημένος ἐν φρεσὶν, ὅς σοι
Ἤγαγε συνδήσας Λακεδαιμονίων κορακίνους.
Αλ. Τοῦτό γέ τοι Παφλαγὼν παρεκινδύνευσε μεθυσθείς,
Κεκροπίδη κακόβουλε, τί τοῦθ᾽ ἡγεῖ μέγα τοὔργον;
Καί κε γυνὴ φέροι ἄχθος, ἐπεί κεν ἀνὴρ ἀναθείη,
E Ἀλλ᾽ οὐκ ἂν μαχέσαιτο. χέσαιτο γὰρ, εἰ μαχέσαιτο.
Κλ. Ἀλλὰ τόδε φράζου, πρὸ Πύλου Πύλον ἥν σοι ἔφραζεν,
Ἐστὶ Πύλος πρὸ Πύλοιο. Δη. τί τοῦτο λέγει πρὸ Πύλοιο;

C Po. *Et quomodo me latuisti, qui quasi leo eras?*
AG. *Vnum te celat astutè ex oraculo,*
Qui ligneus & ferreus murus fiet:
In quo te Apollo seruare illum iusserit.
PO. *Quomodo igitur hoc dixit Deus?* AG. *ligare te*
Iubet virum hunc in ligno quinque foraminum.
PO. *Iubet profecto hac exequuter oracula.*
D CL. *Ne morem gere. cornices male cornicantur inique:* *(vinctos,*
Accipitrem sed ama, memor, vt Lacedæmone
Duxerit ille tibi Coracinos vndique pisces.
AG. *Hæc equidem subiit Paphlago discrimina potus,*
Cecropide demēs, an magnū opus esse putas hoc?
Fert onus & mulier, quod ei indit forte maritus
E *Nec pugnat. nam turpe cacet, si ferre recuset.*
CL. *Hoc perpende, Pylum siquam ante Pylum tibi dixit,*
Est Pylus ante Pylum. PO. *sibi quid vult ante Pylum isthuc?*

Σχόλια. Αντιλέων.] ἄλλως πονηρὸς κωμῳδεῖται καὶ πολυπράγμων, προειρήκει δὲ ὁ Κλέων ἀντὶ τοῦ λέοντος αὐτῷ εἶναι φύλαξ.

Bisetvs. Αντιλέων] ὅτι ὁ Κλέων ἔλεξεν ἑαυτὸν ἀντὶ τοῦ λέοντος κατὰ τὸν χρησμὸν εἶναι τῇ πόλει, ὁ δῆμος παίζων, καὶ διαβάλλων τὸν Κλέωνα τοῦτο λέγει, καὶ ἐκ τῆς ἀντὶ προθέσεως, καὶ τοῦ λέων, ὄνομα κύριον πονηροῦ ἀνδρὸς ἐποίησεν, ὃν Κλέωνα πρότερον εἶναι ἠγνόει.

F Σχόλια. Σιδηροῦν.] τεῖχός ἐστι καὶ ξύλινον. ἀντὶ τοῦ ξύλον σιδηροῦν. οὕτω τὸ ἑξῆς. σώζειν δὲ, φυλάττειν. τελεῖσθαι δέ φησι τὰ λόγια ὡς αὐτὸν δεσμεῦσαι βουλόμενος. Πεντεσυρίγγῳ.] πέντε ὀπὰς ἔχοντι δι᾽ ὧν οἵ τε πόδες καὶ αἱ χεῖρες καὶ ὁ τράχηλος ἐνεβάλλετο. Μὴ πείθου.] οἱ ἑξῆς οὗτοι στίχοι δακτυλικοί εἰσι δέκα. ὧν ἐπὶ τῷ τέλει παράγραφος. κορώνας δέ φησι τοὺς ἐχθρούς. ἑαυτὸν ἱέρακα. κορακῖνος δὲ εἶδος ἰχθύος. ἔπαιξε δὲ ἀντὶ τοῦ κούρους.

G Bisetvs. Επικεκράγασι] ὅμοιόν τι καὶ παρὰ Πινδάρῳ Ὀλυμπίων ᾠδῇ β.
Κόρακες ὡς „ Ακραντα γαρύετον „ Διὸς πρὸς ὄρνιχα θεῖον.

Σχόλια. Συνδήσας Λακεδαιμονίων.] πάλιν τὴν ἀναφορὰν ποιεῖται ἐπὶ τὴν Πύλον καὶ τὴν Σφακτηρίαν καὶ τοὺς αἰχμαλώτους τούς τ. οὓς ἔλαβε Δημοσθένης ἐπὶ Σικελίαν ἀπιών. ἤγαγε δὲ Κλέων. Παρεκινδύνευσε] τέρας γὰρ ὑπέθετο τοῖς Ἀθηναίοις ὁ Κλέων κατορθώσαι τὸν ἐν τῇ Πύλῳ πόλεμον ἕως ἡμερῶν κ. καὶ θαυμάσαντες πάντες, ἔλεγον αὐτὸν μεθύειν. καὶ Θουκυδίδης δέ φησιν, ὅτι τῇ ἀπονοίᾳ τῆς ὑποσχέσεως ἐθαύμαζον οἱ Ἀθηναῖοι καὶ ἐγέλων. Κεκροπίδη.] ἀπὸ Κέκροπος τοῦ διφυοῦς τὸ γένος κατάγων. Καί κε γυνὴ φέροι.] ἡ ἱστορία τοῦτον τὸν τρόπον ἔχει. ὅτι διεφέροντο περὶ τῶν ἀριστείων, ὅ, τε Αἴας καὶ ὁ Ὀδυσσεύς, ὥς φησιν ὁ τὴν μικρὰν Ἰλιάδα πεποιηκώς, τὸν Νέστορα δὲ συμβουλεῦσαι τοῖς Ἕλλησι, πέμψαι τινὰς ἐξ αὐτῶν ὑπὸ τὰ τείχη τῶν Τρώων, ὠτακουστήσοντας περὶ τῆς ἀνδρείας τῶν προειρημένων ἡρώων. τοὺς δὲ πεμφθέντας ἀκοῦσαι παρθένων διαφερομένων πρὸς ἀλλήλας. ὧν τὴν μὲν λέγειν, ὁ Αἴας πολὺ κρείττων ἐστὶ τοῦ Ὀδυσσέως διερχομένην οὕτως.
Αἴας μὲν γὰρ ἄειρε καὶ ἔκφερε δηϊοτῆτος
Ἥρω Πηλείδην, οὐδ᾽ ἤθελε δῖος Ὀδυσσεύς.
τὴν δ᾽ ἑτέραν ἀντειπεῖν Ἀθηνᾶς προνοίᾳ.
Πῶς ἐπεφωνήσω. πῶς οὐ κατὰ κόσμον ἔειπες
Ψεῦδος.
τοῦτο δὲ ἵνα δείξῃ ὡς Δημοσθένους τοῦ Κλέωνος τὸ κατόρθωμα. ἄλλως. τοῦτο ἐκ τοῦ κύκλου ἀφείλκυσται.

λέγεται δὲ ἀπὸ τῶν Τρῳάδων κελευσθῶν τὸν Αἴαντα καὶ τὸν Ὀδυσσέα. λέγεται δὲ, ὅτι οὐ τοῦ Αἴαντος ἔργον ἀλλὰ τὸ τοῦ Ὀδυσσέως. ταῦτα δὲ λέγει, διὰ τὰ ἐν Πύλῳ, ἃ Δημοσθένης μὲν ἀπελάυσεν. ἐκεῖνος δὲ ἰδιοποιήσατο. Πρὸ Πύλου

A Πύλοι] πρὸς τὴν κατάληξιν ἔπαιξεν ὅτι ἀεὶ προσεχὴς ἐστὶ περὶ Πύλου λέγων. Ἐστὶ Πύλος.] τοῦτο χρησμός. ἔστι Πύλος πρὸ Πύλοιο. Πύλος γὰρ μὲν ἐστὶ καὶ ἄλλη.

Αλ. Τὰς πυέλους φησὶ καταλήψεσθ᾽ ἐν βαλανείοις.

Δη. Ἐγὼ δ᾽ ἄλουτος τήμερον γενήσομαι.

Αλ. Αὐτὸς γὰρ ἡμῶν τὰς πυέλους ἀφήρπασεν.

Ἀλλ᾽ οὑτοσὶ γάρ ἐστι περὶ τοῦ ναυτικοῦ,

Ὁ χρησμὸς, ᾧ σε δεῖ προσέχειν τὸν νοῦν πάνυ. B

Δη. Προσέχω, σὺ δ᾽ ἀναγίνωσκε τοῖς ναύταισί μου,

Ὅπως ὁ μισθὸς πρῶτον ἀποδοθήσεται.

Αλ. Αἰγείδη, φράσσαι κυναλώπεκα, μή σε δολώσῃ,

Λαίθαργον, ταχύπουν, δολίαν, κερδῶ, πολυΐδριν,

Οἶσθ᾽ ὅ τι τοῦτό ἐστι; Δη. Φιλόστρατος, ἡ κυναλώπηξ.

Αλ. Οὐ τοῦτό φησιν, ἀλλὰ ναῦς ἑκάστοτε

Αἰτεῖ ταχείας, ἀργυρολόγους οὑτοσί, C

Ταύτας ἀπαυδᾷ μὴ διδόναι σ᾽ ὁ Λοξίας.

Δη. Πῶς δὴ τριήρης ἐστὶ κυναλώπηξ; Αλ. Ὅπως,

Ὅτι ἡ τριήρης ἐστὶ χὠ κύων, ταχύ.

Δη. Πῶς οὖν ἀλώπηξ προσετέθη πρὸς τῷ κυνί.

Αλ. Ἀλωπεκίοισι τοὺς στρατιώτας ᾔκασεν,

Ὅτι ἡ βότρυς τρώγουσιν ἐν τοῖς χωρίοις.

Δη. Εἶεν.

Τούτοις ὁ μισθὸς τοῖς ἀλωπεκίοισι ποῦ; D

Αλ. Ἐγὼ ποριῶ καὶ τοῦτον ἡμερῶν τριῶν.

Ἀλλ᾽ ἔτι τόνδ᾽ ἐπάκουσον, ὃν εἶπέ σοι ἐξαλέασθαι,

Χρησμὸν Λητοΐδης, Κυλλήνην, μή σε δολώσῃ.

Δη. Ποίαν Κυλλήνην; Αλ. τὴν τούτου χεῖρ᾽ ἐποίησε

Κυλλήνην, ὀρθῶς ὅτι φήσ᾽, ἔμβαλε κυλλῇ.

Κλ. Οὐκ ὀρθῶς φράζεις, τὴν Κυλλήνην γὰρ ὁ Φοῖβος E

AG. *Se suffuratum dicit per balnea pelues.*

Po. *Igitur illoto viuendum erit hodie mihi.*

AG. *Quia enim labra & pelues hic nobis abstulit.*

At hoc de classe datum est oraculum mihi:

In quo percipiendo, animum opus est aduertere.

Po. *Aduerto sane: tu recita nautis meis:*

Vt illis primo numeretur stipendium.

AG. *Ægide, caueas caniuulpem, ne male fallat,*

Astutam, celerem, mordentem ponè, dolosam.

Nosti hoc, quale sit? Po. *iste Philostratus est, caniuulpes.*

AG. *Non hoc vult, sed naues vbique postulat*

Celeres, & quæstuarias, oraculum:

Eas te dare vetat hic Apollo Delphicus.

Po. *Quomodo triremis sit caniuulpes?* AG. *hoc modo:*

Quia triremis etiam fortassis est canis.

Po. *At quomodo vulpes apponitur ad canem?*

AG. *Vulpeculis Deus assimilauit milites:*

Quoniam botros comedunt in his regionibus.

Po. *Esto: at merces vnde istis danda vulpibus?*

AG. *Ego mercedem trium dierum porrigam.*

Verum etiã hac capias oracula, quæ tibi dixit,

Cyllenam vt caueas, (ne te deludat) Apollo.

Po. *Qualem Cyllenam?* AG. *dextram nempe huius Apollo*

Innuit, & rectè: quoniam claudæ indidit, inquit.

CL. *Nõ rectè dicis: Cyllena hac Phœbus Apollo*

Σχόλια. Τὰς πυέλους.] τὰς ἐμβάσεις. πύελος γὰρ ὄρυγμα. ἐμβατή. ἔνθα ἀπολούονται. ἀντὶ τοῦ τὴν ἐν Πύλῳ πρᾶξιν Δημοσθένους. Ὁ μισθὸς ἀποδοθήσεται.] ὡς τοῦ Κλέωνος ἀποστερoῦντος. ἐν ἐκθέσει δ᾽ ἴαμβοι ἕξ. ἐπὶ τῷ τέλει παράγραφος. ἔπαιξε δὲ τῷ ὀνόματι, διὰ τὸ συνεχῶς τῆς πόλεως μεμνῆσθαι τὸν Κλέωνα. Αἰγείδη φράσαι.] ἐν ἐκθέσει ἐπικοὶ τρεῖς. ἐπὶ τῷ τέλει παράγραφος. ἀπὸ δὲ τῶν ζώων διαβάλλει τὸν Κλέωνα, ὡς ἀναιδῆ καὶ πανοῦργον. Μή σε δολώσῃ.] μή σε δόλῳ ὑπέλθῃ. Λαίθαργον.] λαίθαργοι κύνες λέγονται, αἱ λάθρα προσιοῦσαι καὶ δάκνουσαι. πολυΐδριν δὲ, ὅτι πολύπειροι αἱ ἀλώπεκες. καὶ παροιμία· πόλλ᾽ οἶδ᾽ ἀλώπηξ. ἀλλ᾽ ἐχῖνος ἓν μέγα. παρὰ δὲ τὴν παροιμίαν ἔπαιξε. σαίνεις δ᾽ ἄνευ καὶ κύων λαίθαργος εἶ. κερδὼ δὲ ἡ ἀλώπηξ παρὰ τὴν κερδοσύνην, τουτέστι τὴν πανουργίαν. ὡς Εἰδοθέα, Εἰδώ. καὶ Υψιπύλη, Υψώ. Φιλόστρατος κυναλώπηξ.] οὕτως ἐκαλεῖτο ὁ Φιλόστρατος. λέγει δὲ αὐτὸν καὶ πορνοβοσκὸν καὶ καλλωπιστήν. Οὐ τοῦτό φησιν.] οἱ ἑξῆς οὗτοι στίχοι ἰαμβικοί εἰσι τρίμετροι ἀκατάληκτοι ὀκτώ. ἑξῆς δὲ κῶλον ἰαμβικὸν μονόμετρον βραχυκατάληκτον. λείπει γὰρ ὅλου ποδὸς πρὸς τὴν συζυγίαν. καὶ ἑξῆς αὖ στίχοι ἰαμβικοὶ τρίμετροι ἀκατάληκτοι δύο. ἐπὶ τῷ τέλει παράγραφος. Ἀλλὰ ναῦς ἑκάστοτε.] τὰς ἐκπεμπομένας, ἀπὸ τῶν νήσων ἀναπράττεσθαι τοὺς φόρους. οἱ δὲ ἐκπεμπόμενοι πολλὰ ἐκέρδανον. Ταχείας ἀργυρολόγους.] πολεμίας. τὰς συλλε- F G

γούσας ἀργύριον. καὶ λήμματα αὐτῷ ποιούσας. ἐλέγοντο δὲ, πάραλοι καὶ σαλαμινίαι. Ἀλωπεκίοισιν.] ὁμοίως φησὶν ἀλώπηξιν αὐτούς. τοῦτο δέ φησι, παρ᾽ ὅσον παρατλίοντες οἱ ναῦται ἐξορμῶσιν. ἐπειδὰν εἰσέλθωσιν ἐπειδὰν παρείωσιν ἀμπέλους πορθοῦσι τοὺς βότρυας διαρπάζοντες.

BISETVS. Εἶεν.] τὸ ἰαμβικὸν, μονόμετρον, βραχυκατάληκτον κῶλον τὸ ἐν τοῖς χειλίοις λεγόμενον. καὶ χωρὶς ὑποκριτέον οὕτω,

Εἶεν.

Τούτοις ὁ μισθὸς τοῖς ἀλωπεκίοισι ποῦ;

Σχόλια. Τούτοις ὁ μισθός.] αἰτιολογεῖται διὰ τούτων περὶ τῶν δημοσίων χρημάτων, ὅτι χρὴ μᾶλλον τοῖς στρατευομένοις αὐτὰ διδόναι. Καὶ τοῦτον ἡμερῶν τριῶν.] εἰώθασιν εἰς τὸν πόλεμον ἐξιόντες οἱ στρατιῶται λαμβάνειν τροφὴν ἡμερῶν τριῶν. Ἀλλ᾽ ἔτι.] ἐν ἐκθέσει ἐπικὰ ἑκκαίδεκα. ἐπὶ τῷ τέλει παράγραφος καὶ κορωνὶς ὡς εἴρηται. Κυλλήνην μή σε.] Κυλλήνη πόλις ἐστὶ τῆς Ἀρκαδίας, διότι καὶ ἐχρήσατο τῷ ὀνόματι δῆλον ἀπὸ τῶν ἑξῆς ἵνα παρονομάσῃ τὴν κυλλὴν χεῖρα, εἰς δωροδοκίαν καὶ διασεισμὸν διαβάλλων τὸν Κλέωνα. οἱ γὰρ διασείοντές τινας καὶ δωροδοκοῦντες, κοιλαίνουσι τὴν χεῖρα. καὶ ὑποβάλλοντες ὑπὸ τὸ ἱμάτιον αἰτοῦσι. Τὴν τούτου χεῖρ.] ἐκ μεταφορᾶς τῶν παιδίων, τῶν αἰτούντων καὶ κοιλαινόντων τὰς χεῖρας, ᾐνίξατο. Ἔμβαλε κυλλῇ.] οἱ μάγειροι ἐπειδὰν πλάττωσί τι, λέγουσιν, ἔμβαλε τῇ λαιᾷ.

Ἐς τὴν

Ἐς τὴν χεῖρ' ὀρθῶς ἠνίξατο τὴν Διοπείθους.
Ἀλλὰ γάρ ἐστιν μοι χρησμὸς περὶ σοῦ πτερυγωτός,
Αἰετὸς ὡς γίνει, καὶ πάσης γῆς βασιλεύσεις.
Αλ. Καὶ γὰρ ἐμοὶ καὶ γῆς, καὶ τῆς Ἐρυθρᾶς γε θαλάσσης,
Χὤτι γ' ἐν Ἐκβατάνοις δικάσεις, λείχων ἐπίπαστα.
Κλ. Ἀλλ' ἐγὼ εἶδον ὄναρ, καί μοι δοκεῖ ἡ θεὸς αὐτή,
Τοῦ δήμου καταχεῖν ἀρυταίνῃ πλουθυγίειαν.
Αλ. Νὴ Δία καὶ γὰρ ἐγώ, καί μοι ἔδοκει ἡ θεὸς αὐτὴ
Ἐκ πόλεως ἐλθεῖν, καὶ γλαῦξ αὐτῇ 'πικαθῆσθαι.
Εἶτα καταισπένδειν κατὰ τῆς κεφαλῆς ἀρυβάλλῳ,
Ἀμβροσίαν κατὰ σοῦ, κατὰ τούτου δὲ σκοροδάλμην.

A *Ad dextram allusit claudam Diopithis, opinor.*
Verum est aligerum oraclum de te mihi factum,
Quòd Iouis ales eris: toti & dominaberis orbi.
AG. *Et mihi, quòd fies terra & rubri aequoris, olim*
Arbiter Ecbatanis ubi salsa cibaria lambes.
CL. *Vidi ego per somnum, mihi Diua apparuit ipsa* (*membra.*
B *In populum hunc & opes, & sana infundere*
AG. *Vidi & ego certè, mihi Diua apparuit ipsa,*
His exire locis, & noctua desuper urbi
Sidere: tum in capita è sacra profundere pelui,
Ambrosiam in populum, sed in hunc muriam alliatam.

Σχόλια. Τὴν Διοπείθους.] συνέσπαστο τὰς χεῖρας. καὶ ἦν κυλλὸς ὁ Διοπείθης, τουτέστι πεπηρωμένος. κυλλοὺς δὲ Ἀττικοὶ καλοῦσιν ἐπὶ ποδῶν καὶ χειρῶν ὁμοίως. C καὶ κυλλοὺς τοὺς χεῖρα πεπηρωμένους. Εὔπολις. ὅτι χωλὸς εἶ σὺ τὴν χεῖρα σφόδρα. κατὰ καιρὸν δὲ διαβάλλει αὐτὸν ὡς κλέπτην. ἦν δὲ καὶ Νικίου ἑταῖρος. Πτερυγωτός.] πρὸς τὸν ἀετὸν ἀπέδωκε τὸ πτερυγωτός. χρησμὸς γὰρ ἐξέπεσε τοῖς Ἀθηναίοις, ὡς ἄρα δεῖ αὐτοὺς τοσοῦτον διενεγκεῖν τῶν ἄλλων ἀνθρώπων, ὅσον ἀετὸς τῶν πτηνῶν. Ἐν Ἐκβατάνοις.] ἐν τῇ βαρβάρων χώρᾳ. Σοῦσα γὰρ καὶ Ἐκβάτανα, τῆς Περσίδος χώρας πόλεις. ὧν ἐν μὲν τῇ ἑτέρᾳ ἐχείμαζε βασιλεὺς ὁ μέγας. ἐν δὲ τῇ ἑτέρᾳ ἐθέριζεν. ἄρξεις οὖν φησὶν οὐχ Ἑλλήνων μόνον, ἀλλὰ καὶ βαρβάρων. D Λείχων ἐπίπαστα.] ἐνταῦθα δὴ ἐπιστάντες. ἐν δὲ τοῖς προφθάσασι λείξας εἶπε δὴ ἀσθένου. ἐν οἷς καὶ τοῦ ἐπίπαστα δεῖ ἐμπλάσαι. πλάκουσι γὰρ ἐπέπασσον ἁλμυρά, καὶ ἐκ τούτου ἠναγκάζοντο πίνειν πολλά. Τοῦ δήμου καταχεῖν] ὅτι τὸ καταχεῖν, οὐ πάντως ἐπὶ ὑγροῦ. ἀλλὰ καὶ τὴν ἀμβροσίαν ἐπιφέρει ὅ ἐστι ξηρόν. ἀρύταινα δὲ χαλκοῦν σκεῦος, ᾧ τὸ ἔλαιον ἐγχέουσιν εἰς λύχνους. Πλουθυγίειαν.] ἴσως αἰνίττεται τοὺς δοθέντας Μυσκέλλῳ καὶ Ἀρχίᾳ, τῷ μὲν Κρότωνα, τῷ δὲ Συρακούσας κτίζειν μέλλουσι καὶ φήμην ἀγαθὴν λαβεῖν αἰτουμένοις, οὕτως ἔχοντας χρησμούς.

Χώρας καὶ πόλεως οἰκήτορα λαὸν ἔχοντες
Ἤλθετ' ἐρησόμενοι Φοῖβον τίνα γαῖαν ἵκησθε.
C Ἀλλ' ἄγε δὴ φράζεσθ' ἀγαθῶν πότερόν κεν ἕλοισθε
Πλοῦτον ἔχειν κτεάνων ἢ τερπνοτάτην ὑγίειαν.
ὁ μὲν οὖν Μύσκελλος ὑγίειαν εἵλετο, Ἀρχίας πλοῦτον ἑλόμενος. ὅθεν φασὶ Κροτωνιᾶται μὲν ὑγιεινότεροι καὶ ἡ πόλις αὐτῶν ἀθλητῶν πολλῶν καὶ ἀγαθῶν μήτηρ ἐγένετο. καὶ τὸ Κρότωνος δὲ ὑγιέστερος ὁ γεωγράφος φησὶν ἐντεῦθεν εἰλῆφθαι, ὡς τῶν Κροτωνιατῶν εὐρώστων ὄντων. ἡ δὲ Συρακουσίων πόλις παμπλούσιος ἐγένετο. ὧν καὶ ἡ δεκάτη εἰς πάνυ πολλὴν παροιμίαν ἦλθεν. ἐκατέρων τοῖς συγχρησθεῖσι τῶν οἰκιστῶν εἰς εὐδαιμονίαν ὧν ἔμελλον οἰκίζειν πόλεων D ἀποχρῆν ἔδοξεν, ἄμφω δὴ ταῦτα τὴν θεὸν ὁ Ἀλλαντοπώλης ὄναρ ἐθεάσατο τῷ δήμῳ τῶν Ἀθηναίων χαριζομένην, τὸν Ἀρχίου πλοῦτον καὶ τὴν Μυσκέλλου ὑγίειαν εἰς ἓν συναγαγὼν πλουθυγίειαν συνθέμενος. Ἐκ πόλεως ἐλθεῖν.] ἐκ τῆς ἀκροπόλεως. γλαῦξ δὲ ἱερὸν ὄρνεον Ἀθηνᾶς ἐπιχωριάζον ἐν Λαυρείῳ τῆς Ἀττικῆς ὅπου γίνονται χρυσᾶ μέταλλα. ταύτης ἡ πτῆσις εἰς νίκης σύμβολον ἐλογίζετο. ὅθεν καὶ παροιμίαι Γλαῦκας ἐς Ἀθήνας, Γλαῦκες Λαυριωτικαί, καὶ Γλαῦξ ἵπταται. ἐνετυποῦτο δὲ τῷ Ἀττικῷ χρυσῷ νομίσματι. Ἀρυβάλλῳ.] πλεκτόν τι βαλλάντιον, ὅπερ ἑλκόμενον E κλείεται καὶ ἀνοίγεται. εἴρηται παρὰ τὸ ἀρύειν καὶ βάλλειν. γίνεται δὲ λέγεται οὐ μόνον τὰ ὑγρά, ἀλλὰ καὶ στερεά, ὃ καὶ νῦν ἐπὶ ἀμβροσίας ἔταξεν.

Bisect. Ἔκθεσις κορωνίδος ἐκ στίχων ιδ'. ὧν πρῶτον κῶλον ἰαμβικὸν μονόμετρον ἀκατάληκτον, τὸ, Ἰή, ἰή.

Δη. Ἰὴ ἰή, οὐκ ἦν ἄρ' οὐδεὶς τοῦ Γλάνιδος σοφώτερος.
Καὶ νῦν ἐμαυτὸν ἐπιτρέπω σοι τουτονὶ
Γεροντάγωγεῖν, κἀναπαιδεύειν πάλιν.
Κλ. Μήπω γ' ἱκετεύω σ', ἀλλ' ἀνάμεινον. ὡς ἐγὼ
Κριθὰς πορίῶ σοι καὶ βίον καθ' ἡμέραν.
Δη. Οὐκ ἀνέχομαι κριθῶν ἀκούων, πολλάκις
Ἐξηπατήθην ὑπό τε σοῦ καὶ Θουφάνους.
Κλ. Ἀλλ' ἄλφιτ' ἤδη σοι πορίῶ σκευασμένα.
Αλ. Ἐγὼ δὲ μαζίσκας γε διαμεμαγμένας,
Καὶ τοὔψον ὀπτόν, μηδὲν ἄλλ' εἰ μὴ 'σθίειν.
Δη. Ἀνύσατε νῦν, ὅ, τι περ ποιήσεθ', ὡς ἐγὼ
Ὁπότερος ἂν σφῷν εὖ με μᾶλλον ἂν ποιῇ,
Τούτῳ παραδώσω τῆς Πυκνὸς τὰς ἡνίας.
Αλ. Τρέχοιμ' ἂν ἤδη πρότερος. Κλ. οὐ δῆτ', ἀλλ' ἐγώ.

PO. *Hei, hei: nemo fuit hoc Glanide sapiētior*
Ego certè memetipsum cōmendo tibi,
Vt me instituas senem, atque erudias denuo.
CL. *Ne facias obsecro: sed hic morare, dum*
F *Frumenta, victumque diurnum tibi largiar.*
PO. *Non sustineo: cùm de frumentis audio.*
Nam sæpe deceptus sum à te, atq; à Theophane.
CL. *At ego paratas tibi farinas iam dabo.*
AG. *Ego verò maceratas offas tibi dabo,*
Piscesq; assos: nec aliud est, nisi comede.
PO. *Properate nūc perficere, quod vultis: ut ego*
Illi, quem beneficentiorem videro,
G *Habenas, & moderamen committam Pnycis.*
AG. *Ego te cursu peruertam.* CL. *minimè, sed ego te.*

Σχόλια. Ἰὴ ἰή.] ἔκθεσις τῆς κορωνίδος ἐκ στίχων ἰαμβικῶν ιδ'. ὧν πρῶτον τὸ παρὸν κῶλον ἰαμβικὸν μονόμετρον ἀκατάληκτον. οἱ δὲ λοιποὶ τρίμετροι ιδ'. ἐπὶ τῷ τέλει κορωνὶς ἐξιόντων τῶν ὑποκριτῶν. Γεροντάγωγεῖν.] ἐπειδὴ τὸ παιδαγωγεῖν. τὸ δὲ λέγει ὁ δῆμος, ὡς τοῦ Κλέωνος κατεγνωκότος. ὅλον δὲ τὸ ἰαμβικὸν παρῴδησεν ἀπὸ τοῦ Πηλέως Σοφοκλέους. ὃ δὴ καὶ ἐν Νεφέλαις παρέθηκεν, τῷ, δὶς παῖδες οἱ γέροντες.

καὶ Θεοφάνους.] ὡς κόλακα κωμῳδεῖ τοῦτον καὶ ἀπατεῶνα. καὶ τῷ Κλέωνι συνεῖναι διὰ κολακείαν. ἦν δὲ ὑπογραμματεύς. διαμεμαγμένας δὲ πεφυρμένας.

Bisetus. Θεοφάνους] ἀντὶ τοῦ Θεοφάνης κατὰ πρᾶσιν ἀττικήν.

Σχόλια. Καὶ τοῦ ψόφου οὐδέν.] καὶ τὸ ψόφον. ἐκάλουν A δὲ τὸ ἰχθύδιον. τὸ δὲ ἑξῆς μόνον τοῦ ἐσθίειν χόλακι. τοιαύτην γὰρ ἐγώ σοι ἀφθονίαν παρέξω. Ἀνύσατε νῦν.] ἔργῳ πληρώσατε καὶ μὴ λόγοις μόνοις ἐπαγγέλλεσθε. Τὰς ἡνίας.] τροπικῶς ἀπὸ τῶν ἁρμάτων. ταῖς γὰρ ἡνίαις ἡνιοχοῦνται οἱ ἵπποι, καὶ οἱ δῆμοι διὰ τῶν πολιτευομένων. Τρέχοιμ' ἂν εἴσω.] ἐντεῦθεν ἀπὸ τῆς ἡνίας τὸ τρέχοιμι ἐπήνεγκεν. διαβάλλει δὲ πάλιν τοὺς Ἀθηναίους ὡς ἥττονας κέρδους.

B

ΔΡΑΜΑΤΟΣ ΤΡΙΤΟΥ, Σκηνὴ δευτέρα.

ΧΟΡΟΣ, ΔΗΜΟΣ.

ΣΤΡΟΦΗ κώλων ι.

ACTVS III. SCENA II.

Chorvs, Popvlvs.

Strophe.

Bisetus. Κλέωνος καὶ Ἀγορακρίτου ἀπελθόντων ἐκ τῶν ἱππέων Χορὸς τῷ δήμῳ δικαίαν μέμψιν μέμφεται, καὶ αὐτοῦ κατηγορεῖ ὅτι διὰ τὴν ἑαυτοῦ ἀκράτειαν, καὶ εὐήθειαν ἑαυτὸν ὑπὸ τῶν πονηρῶν ἀεὶ θωπεύεσθαι καὶ ἀπατᾶσθαι ἐᾷ. ὁ δὲ δῆμος ἐπαγγέλλεται ἑαυτὸν τὸ λοιπὸν πολλῷ φρονιμώτερον ἔσεσθαι.

Χο. Ὦ Δῆμε καλήν γ' ἔχεις
Ἀρχήν, ὅτε πάντες ἄν-
θρωποι δεδίασί σ', ὥσ-
περ ἄνδρα τύραννον.
Ἀλλ' εὐπαράγωγος εἶ,
Θωπευόμενός τε χαί-
ρεις, κἀξαπατώμενος,
Πρὸς τόν τε λέγοντ' ἀεὶ
Κέχηνας, ὁ νοῦς δέ σου
Παρὼν ἀποδημεῖ.

C CH. O Imperium qui habes
Pulcrum: te homines pople
Cuncti metuunt, velut
Virum urbe tyrannum hac.
At tu facile potes
Falli, facile capi,
Palpúmque sinis tibi
Obtrudier, ore hias,
D Cum quis loquitur, procul
Sed corpore abest mens.

Σχόλια. Ὦ δῆμε.] διπλῆ καὶ εἴσθεσις καὶ μέλος μονοστροφικὸν ἀμοιβαῖον περιόδων τεσσάρων, ἐν ἅπαξ τοῦ χοροῦ ἐν ἐκθέσει. δεκάκωλοι δέ εἰσιν αἱ περίοδοι. ἰωνικὸν δὲ, ἀπὸ μείζονος τὸ μέτρον. ὧν τὰ μὲν ἐστιν ἑφθημιμερῆ. δύο δὲ ἡμιόλια τὸ τέταρτον καὶ τὸ δέκατον. εὕρηται δὲ κατὰ τὴν πρώτην χώραν καὶ παίων ἀντ' ἰωνικοῦ. ἐν δέ τισι καὶ διτρόχαιος. ἐφ' ἑκάστῃ περιόδῳ παράγραφος. ἐπὶ τῷ τέλει τῆς τετάρτης παράγραφος καὶ κορωνίς.

E

ΣΥΣΤΗΜΑ ΚΑΤΑ ΠΕΡΙΚΟΠΗΝ κώλων ι.

SYSTEMA PRIMVM.

Δη. Νοῦς οὐκ ἔνι ταῖς κόμαις
Ὑμῶν, ὅτε μ' οὐ φρονεῖν
Νομίζετ', ἐγὼ δ' ἑκὼν
Ταῦτ' ἠλιθιάζω.
Αὐτός τε γὰρ ἥδομαι
Βρύλλων τὸ καθ' ἡμέραν,
Κλέπτοντά τε βούλομαι
Τρέφειν ἕνα προστάτην.
Τοῦτον δ', ὅταν ᾖ πλέως,
Ἄρας ἐπάταξα.

PO. Nil mentis inest comis
Vestris, quia dicitis
Me desipere: atqui ego
Sic desipio ultro.
Ipsi volupe est mihi
Deludier indies,
F Furémque lubet dein
Praefectum alere unicum: At
Plenum volo postea,
Suspendere quassum.

Σχόλια. Νοῦς οὐκ ἔνι ταῖς κόμαις.] ὅτι ἐν τῷ ἐγκεφάλῳ ὑμῶν. ὅτι ἐκόμων οἱ ἱππεῖς. ἐγκέφαλος οὐκ ἔστιν ὑμῖν. οὐδ' ἐστὲ φρενήρεις.

Bisetus. Νοῦς οὐκ ἔνι] ἀντὶ τοῦ οὐκ ἔνεστιν. ὁ G γὰρ ὄχλος ἔχειν μὲν, καὶ ἔθνος ἔχει, νοῦν δὲ οὐκ ἔχει.

Σχόλια. Ταῦθ' ἠλιθιάζω.] ἀνοηταίνω. προσποιοῦμαι ἠλίθιος εἶναι, ἀναίσθητοι γὰρ οἱ λίθοι. ἢ ἀντὶ τοῦ ἀνοηταίνω. Βρύλλων.] ἐξαπατώμενος ὑποπίνων καὶ μεθύων. Σύμμαχος δὲ ὑποπίνων ἐκ μιμήσεως τῆς τῶν παίδων φωνῆς.

Bisetus. Σουίδας τούτου μνημονεύων, τὸ βρύλλων ἑρμηνεύει, ὑποπίνων.

Σχόλια. Προστάτην.] τὸν προεστάμενον τοῦ δήμου. τουτέστι δημαγωγόν. Ὅταν ᾖ πλέως.] φανερὸς, ἀντὶ τοῦ πλήρης. τουτέστιν, ὅταν αὐξηθῇ δοκῇ καὶ μέγας ᾖ. Ἄρας ἐπάταξα.] κατέβαλον. ὡς μεγάλῳ καὶ λαμπρῷ ... ἐποίησα. τουτέστιν ἐάσας πλουτῆσαι, ὕστερον πένητα ἐποίησα.

ANTI-

A

ΑΝΤΙΣΤΡΟΦΗ κώλων ι.

Χο. Οὕτω μὲν αὖ εὖ ποιῇς
Εἴ σοι πυκνότης ἔνε-
στ' ἐν τῷ τρόπῳ, ὡς λέγεις,
Τούτῳ πάνυ πολλή.
Εἰ τοὺς δ' ἐπίτηδες ὥς-
περ δημοσίους τρέφεις
Εν τῇ Πνυκί. κᾆθ' ὅταν
Μή σοι τύχῃ ὄψον ὄν,
Τούτων ὃς ἂν ᾖ παχὺς
Θύσας, ἐπιδειπνεῖς.

ANTISTROPHE.

CH. Sic tu benefeceris,
Si in te sapientia
Insit, velut ipse ais,
Hoc plurima pacto:
Et si hos uti publicos,
B Summo studio in Pnyce
Alas, ubi post tibi
Opsonia non erunt,
Ex pinguibus his sacrans
Vnum, bene cœnes.

Σχόλια. Εἴ σοι πυκνότης ἔνεστι.] σύνεσις. φρόνησις. ἢ συνεχῶς καὶ περὶ πάντας οὕτω φρονεῖς. Ὥσπερ δημοσίους] λείπει βοῦς ἢ ταύρους. ἢ ἀλλ' ὅτι τοιοῦτον θῦμα. δημοσίους δὲ τοὺς λεγομένους φαρμακούς, οἵπερ καθαίρουσι τὰς πόλεις τῷ ἑαυτῶν φόνῳ. ἢ τοὺς δημοσίᾳ καὶ ὑπὸ τῆς πόλεως τρεφομένους. ἔτρεφον γάρ τινας Ἀθηναῖοι λίαν ἀγεννεῖς καὶ ἀχρήστους. καὶ ἐν καιρῷ συμφορᾶς τινος ἐπελθούσης τῇ πόλει, λοιμοῦ λέγω ἢ τοιούτου τινός, C ἔθυον τούτους ἕνεκα τοῦ καθαρθῆναι τοῦ μιάσματος. οὓς καὶ ἐπωνόμαζον καθάρματα. καὶ ἐν Βατράχοις· οὐδὲ φαρμακοῖσιν εἰκῇ ῥᾳδίως ἐχρήσατ' ἄν. Ὅταν μή σοι τύχῃ.] τροπικῶς ὅταν μή σοι τυχὸν πόρος χρημάτων ᾖ. Ὃς ἂν ᾖ παχύς.] πλούσιος. ἀπὸ μεταφορᾶς τῶν χοίρων. ἐπιδειπνεῖς δὲ δημεύεις αὐτῶν τὰς οὐσίας. παρέλκει δὲ ἡ ἐπί. ἢ παρὰ τὸ εἰκός. κάλλιον δὲ ἐπὶ τῷ θῦσαι δειπνεῖς.

D

ΣΥΣΤΗΜΑ ΕΤΕΡΟΝ κώλων ι.

Δη. Σκέψασθέ μ', εἰ σοφῶς
Αὐτοὺς περιέρχομαι,
Τοὺς οἰομένους φρονεῖν,
Κἀμ' ἐξαπατύλλειν.
Τηρῶ γὰρ ἑκάστοτ' αὐ-
τοὺς (οὐδὲ δοκῶν ὁρᾶν,)
Κλέπτοντας, ἔπειτ' ἀναγ-
κάζω πάλιν ἐξεμεῖν,
Ἅττ' ἂν κεκλόφωσί μου,
Κημὸν καταμηλῶν.

SYSTEMA ALTERVM.

Po. Me vero videte, utrum
Circumueniam hos catè,
Qui se sapere autumant,
Et fallere me clàm.
Obseruo equidem vndique
Illos, (quasi qui nihil
Cernam) rapuisse: Mox
E Cogo euomere omnia,
Quæ surpuerant: spatha
Exploroque caxmum.

Σχόλια. Περιέρχομαι.] ὑποδρομῶ ἐξαπατῶ. ἢ τειχίζομαι καὶ ὑπέρχομαι. Οὐδὲ δοκῶν ὁρᾶν.] οὐδὲ προσποιούμενος εἰδέναι ἅπερ ἠδίκουν. Ἅττ' ἂν κεκλόφωσί μου.] ἅτινα ἂν κεκλοφότες ὦσι. Κημόν.] κημὸς ὁ κάδος τῶν δικαστικῶν, ἔνθα ἔβαλλον τὰς ψήφους. ἄλλως. F κημὸς ὁ ἐπὶ τοῦ καδίσκου εἰς ὃν τὰς ψήφους καθίεσαν τοῖς δικαστηρίοις. Κρατῖνος δὲ αὐτὸν ἐν νόμοις, χοίνιον ἠθμὸν καλεῖ. τοιοῦτος γὰρ ἐγίνετο καὶ ἦν παρόμοιος χώνῃ ὡς καὶ Σοφοκλῆς ἐν Ἰνάχῳ. ὕστερον δὲ ἀμφότεροι δύο ἵσταντο ἐν τοῖς δικαστηρίοις, ὁ μὲν χαλκοῦς, ὁ δὲ ξύλινος. καὶ ὁ μὲν κύριος ἦν, ὁ δὲ ἄκυρος. εἶχε δὲ καὶ ὁ χαλκοῦς ὥς φησιν Ἀριστοτέλης διερρινημένον ἐπίθημα, εἰς τὸ αὐτὴν μόνην τὴν ψῆφον καθίεσθαι. πρὸς τοῦτο οὖν ὁ κημός. ἀντὶ δὲ ψήφων ταῖς χοιρίναις οἱ δικασταὶ ἐχρῶντο. αὗται δὲ κόγχαι τινές εἰσιν ὥς φησιν Ἐπαφρόδιτος ἐν ταῖς λέξεσιν. καὶ ὁ τοῖς ἵπποις δὲ περιτιθέμενος οὕτως ἐκαλεῖτο κημός, ὁ καλούμενος φιμός, ὡς Ξενοφῶν ἐν τῷ περὶ ἱππικῆς. πλέγματι ἐκ σχοινίων γινόμενον ὅ λοιπὸν ἢ θηλ. ᾧ τὰς πορφύρας λαμβάνουσιν, εἰς ὃ αἱ πορφύραι καὶ τὰ κογχύλια εἰσέρπουσιν. ἐν αὐτοῖς δὲ τούτοις ἐπὶ καὶ τὸ δέλεαρ ὥς φησιν Ἡρόδοτος G περιτιθέμενος τὰ ἐκ Πήλεως Σοφοκλέους. κημοῖσι πλεκταῖς πορφύρας φθείρει γένος. Αἰσχύλος ἐν Λυκούργῳ ἀλληγορικῶς τοὺς δεσμοὺς εἴρηκε διὰ τούτων. καὶ τούσδε κημοὺς στόματος. ἄλλως. Φασηλίς. κημός ὁ βαθὺς. ὁ περιτιθέμενος τοῖς ἵπποις. καὶ κημῶσαι τὸ συγκλεῖσαι. καὶ οἱ ἰατροὶ κημῶσαι λέγουσι τὸ τὸν ὀφθαλμὸν μῦσαι ἄλλως. κημὸς ἐκαλεῖτο τὸ πλέγμα τὸ ἐπιτιθέμενον τῷ κάδῳ, δι' οὗ οἱ δικασταὶ καθίεσαν τὰς ψήφους. ἄλλως. κημὸς πλέγμα κωνοειδὲς, δι' οὗ καθιᾶσιν οἱ δικασταὶ τὴν ψῆφον εἰς τὸν κάδον. καὶ ἀλλαχοῦ. κἀπιστάσιν ἐπὶ τοῖς κημοῖς. καὶ τὸ τοῖς ἵπποις ἐπιτιθέμενον. καὶ γυναικεῖον προκόσμημα. καὶ αἱ αὐλητικαὶ φορβειαί. καὶ κείνου τι γένος. καὶ πόα τις. καὶ ὅπλον τι παρὰ Θραξί. καὶ μηχανικόν τι πυρφόρον μηχάνημα. Καταμηλῶν.] κατα μηλοῦν ἐστι, τὸ τὴν μήλην καθίεσθαι ὑπὸ τοῦ ἰατροῦ εἰς τὸν λαιμόν, ὡς ποιοῦσι καὶ οἱ ἐμοῦντες. τὸ ὅλον οὖν βούλεται, ὅτι καταψηφιζόμενος αὐτῶν καὶ δικάζων, ἀναγκάζω ἐμεῖν τὰς κλοπάς. καταδικάζων καὶ ἐξοστρακίζων. ἀπὸ μεταφορᾶς τῶν ἰατρῶν τῶν δοκιμαζόντων ἀπὸ τῆς μήλης.

ΔΡΑΜΑΤΟΣ ΤΕΤΑΡΤΟΥ

Σκηνὴ πρώτη.

Τρίμετροι.

ΚΛΕΩΝ, ΑΛΛΑΝΤΟΠΩΛΗΣ, ΔΗΜΟΣ, ΧΟΡΟΣ.

Bisetus. Κλέων, καὶ Ἀγοράκριτος τῷ δήμῳ εὐωχίαν ποικίλοις βρώμασι θηρεύουσιν ἀμφοτέρωθεν πειρῶνται. B

Bisetus. Κορωνὶς ἐκ στίχων ρι.

Κλ. Ἄπαγ' ἐς Μακαρίαν ἐκποδών. Αλ. σύ γ' ὦ φθόρε.
Κλ. Ὦ δῆμ', ἐγὼ μέντοι παρεσκευασμένος
Τετράπαλαι κάθημαι, βουλόμενός σ' εὐεργετεῖν.
Αλ. Ἐγὼ δὲ δεκαπάλαι γε, καὶ δωδεκάπαλαι,
Καὶ χιλιόπαλαι, καὶ προπάλαι, πάλαι, πάλαι.
Δη. Ἐγὼ δὲ προσδοκῶν γε, τρισμυριόπαλαι,
Βδελύττομαί σφω καὶ προπάλαι, πάλαι, πάλαι.
Αλ. Οἶσθ' οὖν ὃ δρᾶσον; Δη. εἴγε μὴ φράσεις γε σύ.
Αλ. Ἄφες ἀπὸ βαλβίδων ἐμέ τε καὶ τουτονί,
Ἵνα σ' εὖ ποιῶμεν ἐξ ἴσου. Δη. δρᾶν ταῦτα χρή.
Ἄπιτον. Αλ. ἰδού. Δη. θεῖτ' ἄν. Κλ. ὑποθεῖν οὐκ ἐῶ.
Δη. Ἀλλ' ἢ μεγάλως εὐδαιμονήσω τήμερον,
Ὑπὸ τῶν ἐραστῶν, νὴ Δί', ἢ 'γὼ θρύπτομαι.
Κλ. Ὁρᾷς, ἐγώ σοι πρότερος ἐκφέρω δίφρον.
Αλ. Ἀλλ' οὐ τράπεζαν, ἀλλ' ἐγὼ προτεραίτερος.
Κλ. Ἰδοὺ φέρω σοι τήνδε μαζίσκην ἐγώ,
Ἐκ τῶν ὀλῶν τῶν ἐκ Πύλου μεμαγμένην.
Αλ. Ἐγὼ δὲ μυστίλας μεμυστιλημένας
Ὑπὸ τῆς θεοῦ τῇ χειρὶ τῇ 'λεφαντίνῃ.
Δη. Ὡς μέγαν ἄρ' εἶχες ὦ πότνια τὸν δάκτυλον.
Κλ. Ἐγὼ δ' ἔτνος γε πίσινον, εὔχρων καὶ καλόν,
Ἐτόρυνε δ' αὔθ' ἡ Παλλὰς ἡ πυλαιμάχος.
Αλ. Ὦ δῆμ', ἐναργῶς ἡ θεός σ' ἐπισκοπεῖ,
Καὶ νῦν ὑπερέχει σου χύτραν ζωμοῦ πλέαν.
Δη. Οἴει γὰρ οἰκεῖσθ' ἂν ἔτι τήνδε τὴν πόλιν,
Εἰ μὴ φανερῶς ἡμῶν ὑπερεῖχε τὴν χύτραν.

ACTVS IIII. SCENA I.

Senarij.

CLEO, AGORACRITVS, POPVLVS, CHORVS.

CL. *Apage hinc in Macariam.* AG. *tu apage, tu perdite.*
CL. *O popule ego iam paratus assideo tibi,*
Nunc dudum vt beneficia mea in te conferam.
AG. *Et ego decies dudum & duodecies, pople,*
Et millies dudum, dudum inquam, mi pople.
C PO. *At ego nunc tricies expecto millies.*
Vósque execror iamdudum, dudum, inquam, & diu.
AG. *Scin' tu ergo quid facias?* PO. *sciam, si dixeris.*
AG. *A carceribus dimitte me & hunc, vt cursibus*
Æquis tibi benefaciamus. PO. *sic facto opus est.*
D *Abite.* AG. *Eccum.* PO. *currite.* CL. *subuerti haud me sinam.*
PO. *Aut ego fortunabor hodie quã plurimùm,*
Ab his amatoribus, aut viuam molliter.
CL. *Viden' prior ego tibi sellam isthanc offero.*
AG. *Sed non mensam, ego verò prior tibi effero.*
CL. *Eccã hanc tibi massulã fero: quæ ex ordeis*
Salsis, Pyli insulæ bene pistla venit tibi.
E AG. *Ego verò caricas conformatas à Dea*
Cerere, manu eburnea. PO. *quàm magnũ ergo ô Dea*
Venerãda habebas digitũ. CL. *at ego pultẽ bonã*
Boni coloris, è pisis coctam fero.
Hanc Pallas coxit, illa direptrix Pyli.
AG. *O popule, acutis oculis te obseruat Dea,*
Et ollam iure plenam, prætendit tibi.
PO. *Putásne tu hanc urbẽ etiamnũ habitari, nisi*
F *Ollam nobis palàm prætendisset Dea.*

Σχόλια. Ἄπαγ' ἐς Μακαρίαν.] κορωνὶς αὖθις ἑτέρα εἰσιόντων τῶν ὑποκριτῶν. οἱ δὲ στίχοι ἰαμβικοὶ τρίμετροι ἀκατάληκτοι ρι. πλὴν τοῦ ἰαμβικοῦ μονομέτρου βραχυκαταληκτικοῦ, ὃ τελευταῖος, ἰδὼν ἄμεινον τῇ Κεχηναίων πόλει. ἐπὶ τῷ τέλει κορωνίς. γράφεται δὲ ἔρρ' εἰς Μακαρίαν κατ' εὐφημισμὸν ἀντὶ τοῦ εἰς ὄλεθρον. ἐπειδὴ οἱ τεθνεῶτες μακαρῖται λέγονται. ἄλλως. Μακαρία Ἡρακλέους θυγάτηρ, ἣν Ἀθηναῖοι ὑπὲρ αὐτῶν ἀποθανοῦσαν πολυτελῶς ἔθαψαν. ἄλλως. παροιμιῶδες. βάλλ' εἰς Μακαρίαν. οἱ μὲν κατ' εὐφημισμὸν ἐδέξαντο λέγεσθαι. ἀντὶ τοῦ εἰς ἀλλ' εἰς δεινότητα. Μακαρίαν γὰρ τὴν ἄδου χώραν διατυποῦσιν. οἱ δὲ τὴν Μακαρίαν θυγατέρα φασὶ τοῦ Ἡρακλέους. ἥτις κατὰ τὴν ἐπὶ τὰς Ἀθήνας Εὐρυσθέως στρατείαν τῶν Ἀθηναίων μὴ ἐκδιδόντων αὐτῷ τοὺς Ἡρακλείδας πρὸς τὸν τοῦ ἐλέου βωμὸν καταφυγόντας, χρησμοῦ δοθέντος τοὺς Ἀθηναίους νικήσειν, ἐάν τις τῶν Ἡρακλειδῶν πρὸς θάνατον ἑκούσιον ἐκδῷ ἑαυτόν, κατέσφαξεν ἑαυτὴν ὡς ἐν Ἡρακλείδαις Εὐριπίδης. ἧς τὸν τάφον ἄνθεσι καὶ στεφάνοις τιμῶντες οἱ Ἀθηναῖοι ὡς τῶν ἀριστείων τυχοῦσαν, ἔλεγον, βάλλ' εἰς Μακαρίαν. τὸ μὲν οὖν πρῶτον ἐπὶ τῶν κατ' ἀρετὴν διδόντων ἑαυτοὺς εἰς θάνατον ἡ παροιμία ἐλέγετο. ὕστερον δὲ ἐπὶ πάσης ἀφοσιώσεως. φθόρε δέ. ὀλέθρου φθοροποιέ. Οἶσθ' οὖν ὃ δρᾶσον] ἀττικὸν ἀντὶ τοῦ δράσεις. Ἀπὸ βαλβίδων.] μετενήνεκται ἀπὸ τῶν ἐκεῖ δρόμους ἁμιλλωμένων ἐν τοῖς ἀγῶσι. βαλβὶς δὲ καλεῖται τὸ ἐν τῇ ἀρχῇ τοῦ δρόμου κείμενον ἐγκάρσιον ξύλον, ὃ καὶ ἀφετηρίαν καλοῦσιν. ὅπερ μετὰ τὸ ἑτοιμασθῆναι τοὺς δρομεῖς εἰς τὸ δραμεῖν, ἀφαιροῦντες ἀφιᾶσιν

ἀφιεῖσαν τρέχειν. ἄλλως. ἡ ὑπὸ τὴν ὕσπληγγα γινομένη χαμευνία, διὰ τὸ ἐπ' αὐτῆς ἑστηκέναι τοὺς δρομέας, βαλβὶς καλεῖται ἀπὸ τοῦ εἰσβάλλεσθαι βάσιν. πρῶτον γὰρ εἰσέρχονται βάσιν, εἶτα τοῦ δρόμου ἄρχονται. ἡ ἀπὸ τοῦ ἀλλόμαι ἀλμὶς ἀλβὶς. ὑπερβιβασμῷ βαλβὶς. ἡ ἀπὸ τοῦ βαίνειν. Υποθεῖν με ἰδέ.] ὑποτρέχειν. ὑποσκελίζειν. καὶ ἐμποδὼν ἵστασθαι. Εγὼ θρύπτομαι.] σιωπὴ τελεστικῇ ἡ τρυφῶ. καὶ σεμνύνομαι. μαζίσκην δὲ ἄρτον πεφυραμένον. Εκ τῶν ὀλῶν.] ἀλαὶ αἱ μετ' ἀλῶν μεμιγμέναι κριθαὶ, καὶ τοῖς θύμασιν ἐπιβαλλόμεναι. μάλιστα δὲ εὐφυῶς ὑπομιμνήσκει τῶν ἐν Πύλῳ. Μεμυστιλημένας] κατειργασμένας. ἤδη ἑτοίμους τουτέστι μεμασημένας.

A Ως μέγαν.] λεληθότως συμπολογεῖ τὸ μέγεθος τοῦ ἀγάλματος διὰ τοῦ εἰπεῖν τὸν δάκτυλον αὐτῆς μέγαν. ὥσπερ καὶ διὰ τοῦ εἰπεῖν ἐν χειρὶ ἐλεφαντίνῃ τὴν λευκότητα καὶ λαμπρότητα καὶ το... λος αὐτῆς ... διὰ φιλονεικεῖ δεῖξαι τὴν τῆς Αθηνᾶς εὔνοιαν ... ὡς εἰ τοῦτο δείξει καὶ τὴν ἑαυτοῦ φίλ... πρὸς τὴν πόλιν τοῦτο... Εγὼ δὲ ἔτνος γε.] ὅτι ... ἐν τῇ ἑψήσει διὰ θρύπτεσθαι. ... ἐν Πύλῳ κατόρθωμα διὰ τῆς πυλαιμάχος. Υπερέχει σου.] ἀντὶ τοῦ

B ὑπερμαχεῖ καὶ ὑπερασπίζει σου. ἀντὶ δὲ τοῦ εἰπεῖν περικεφαλαίαν, εἶπε χύτραν ὡς μάγειρος. Τὴν χύτραν.] ἀντὶ τοῦ εἰπεῖν χεῖρα.

Κλ. Τουτὶ τόμαχός σοι δῶκεν ἡ φοβεσιστράτη.
Αλλ. Η δ' ὀμβριμοπάτρα γ' ἑφθόν ἐκ ζωμοῦ κρέας,
Καὶ χόλικος, ἠνύστρου τε, καὶ γαστρὸς τόμον.
Δη. Καλῶς γ' ἐποίησε τοῦ πέπλου μεμνημένη.
Κλ. Η γοργολόφα σ' ἐκέλευε ταυτουὶ φαγεῖν
Ελατῆρος, ἵνα τὰς ναῦς ἐλαύνωμεν καλῶς.
Αλλ. Λαβὲ καὶ ταδὶ νυνί. Δη. καὶ τί τούτοις χρήσομαι
Τοῖς ἐντέροις; Αλλ. ἐπίτηδες αὔτ' ἔπεμψέ σοι
Εἰς τὰς τριήρεις ἐντερόνειαν ἡ θεός.
Επισκοπεῖ γὰρ περιφανῶς τὸ ναυτικόν.
Εχε καὶ πιεῖν κεκραμένον, τρία καὶ δύο.
Δημ. Ως ἡδύς, ὦ Ζεῦ, καὶ τὰ τρία φέρει καλῶς.
Αλλ. Η Τριτογενὴς γὰρ αὐτὸν ἐνετριτόνισε.
Κλ. Λαβέ νυν πλακοῦντος πίονος παρ' ἐμοῦ τόμον.
Αλλ. Παρ' ἐμοῦ δ' ὅλον γε τὸν πλακοῦντα τουτονί.
Κλ. Αλλ' οὐ λαγῷ' ἕξεις ὁπόθεν δῷς, ἀλλ' ἐγώ.
Αλλ. Οἴμοι, πόθεν λαγῷά μοι γενήσεται;
Ω θυμὲ νυνὶ βωμολόχον ἐξευρέ τι.
Κλ. Ορᾷς ταδί, ὦ κακόδαιμον; Αλλ. ὀλίγον μοι μέλει.
Αλλὰ γὰρ ἐκεῖνοί γ' ὡς ἔμ' ἔρχονται. Κλ. τίνες;
Αλλ. Πρέσβεις, ἔχοντες ἀργυρίου βαλάντια.
Κλ. Πῦ, ποῦ; Αλλ. τί δέ σοι τοῦτ'; οὐκ ἐάσεις τοὺς ξένους;
Ω Δημίδιον, ὁρᾷς τὰ λαγῷ', ἅ σοι φέρω;
Κλ. Οἴμοι τάλας, ἀδίκως γε τἄμ' ὑφήρπασας.
Αλλ. Νὴ τὸν Ποσειδῶ, καὶ σὺ γὰρ τοὺς ἐκ Πύλου.
Δη. Εἴπ', ἀντιβολῶ, πῶς ἐπενόησας ἁρπάσαι;

CL. Tomaculum hoc tibi dedit bellatrix Dea.
AG. Immò hanc, ex iure coctam, carnem dat tibi
Patrima Dearum intestino & ventriculo.
C PO. Benefecit, quòd pepli recordata est Dea.
CL. Cristata Gorgone Pallas te vesci iubet
Istac placenta, ut remigemus commode.
AG. Etiam hac cape. PO. quid cum intestinis istis agam?
AG. Data opera tibi misit, quasi carinam, Dea
Ad naues. nam probè obseruat rem nauticam,
Habe & dilutum, quod bibas, tria ac duo.
D PO. Quàm suaue, proh Deum, & quàm pulcrè fert tria.
AG. Tritonia ipsum miscuit poclis tribus.
CL. Cape hanc à me placentæ portiunculam.
AG. A me verò hanc placentam totam habe tibi.
CL. At unde leporinas des, non habebis, ut
Ego. AG. væ mihi! leporinas unde comparem?
Anime mi, nunc scurrile quid finge, inueni. ura
E CL. Viden' has, homo miser? AG. id parum est mihi.
Verùm huc alij quidam ad me tendunt. CL. qui, obsecro?
AG. Legati, onustos ære loculos qui ferunt.
CL. Vbinam, ubi? AG. quid ad te? quin omittis hospites?
O mi popelle, viden' leporinas, quas fero?
F CL. Hei mihi, mea tu rapuisti per nefas bona.
AG. Ita per Neptunum, quando & tu aliena è Pylo.
PO. Dic quæso, quomodo cogitasti surpere?

Σχόλια. Η φοβεσιστράτη.] ἡ φοβοῦσα τὸν στρατόν. ἑξῆς δὲ τὰ ἐπίθετα τῆς θεοῦ. Καὶ χόλικος.] χόλικες τὰ παχέα ἔντερα. χόλικος δὲ καὶ ἤνυστρον, ἐκ παραλλήλου τὸ αὐτό. ταῦτα δὲ ἐγκατάδη κρέα. τομὸν δὲ τὸ τόμαχος. ἤνυστρον δὲ ἡ κάτω κοιλία. Η γοργολόφα.] ἡ ἐκ τῆς κεφαλῆς τῆς Γοργοῦς τὴν περικεφαλαίαν ἔχουσα. ἐλατὴρ δέ, πέμματος εἶδος. τινὲς μὲν, ἄζυμα. Εὐριπίδης δὲ πεττά. ἔπαιξε δὲ τοῖς ὀνόμασι διὰ τὴν περὶ ναυτικὰ τῶν Αθηναίων ἐμπειρίαν. Εντερόνειαν.] τὰ ἐγκοίλια τὰ ἀπὸ τῆς τρόπιδος ἀνερχόμενα ξύλα, ἐντερόνεια καλεῖται. ἄλλως. οἱ μὲν τὸ τῶν νεῶν ἔδαφος. οἱ δὲ, τὰ ἐγκοίλια. βέλτιον δὲ, τὴν τῶν ἐγκοιλίων ὕλην λέγειν. ταῦτα δὲ ὁ ἡρωδιανὸς ἐν τῇ καθόλου προπαροξύνει. καὶ ἡ ἐντερόνεια δὲ τούτῳ τῷ

G λόγῳ ὤφειλε συστέλλειν τὸ α, καὶ παροξύνειν. οὕτω γὰρ τὴν ἐντερόνειαν Αριστοφάνης ἐν τοῖς Ιππεῦσιν ἔφη. ὅπερ ἐστὶ τὸ μεσαίτατον τῆς νεώς. ὃ ἐστὶ συνεκτικώτατον ἥτις ἐστὶ τρόπις. ὑπὸ δὲ ἄλλων μήτρα καλεῖται. φησὶ δὲ ὁ κωμικὸς εἰς τὰς τριήρεις ἐντερόνειαν ἡ θεός. εἰ μὴ ἄρα ποιητική ἐστιν ἡ ἔκτασις.

BISETVS. Εντερόνειαν περὶ τῷ Πολυδεύκει λέ-

γεται τὸ ἐντὸς τῆς ῥάβδου, ὃ ἐξαιροῦσιν οἱ βουλόμενοι κατάξαι τὴν ῥάβδον εἰς σύριγγα, ἢ αὐλὸν, ἤ τι τοιοῦτον. ἐντεριώνην δὲ τὰ καλλύσματα ἐγκοίλια τῶν νεῶν Αριστοφάνης ὠνόμασεν.

Σχόλια. Τρία καὶ δύο. τρία μέρη ὕδατος ἐπιδεχόμενον. οἶνος δὲ δύο. ἀρίστη δὲ ἡ κρᾶσις. οἴνου δύο μέρη καὶ ὕδατος τρία. Εντετρίτωνισεν.] εὐκαίρως τῷ ἐπιθέτῳ ἐχρήσατο, ἵνα παίξῃ πρὸς τὰ τρία καὶ δύο. βούλεται δὲ δηλοῦν ὅτι καὶ ἡ Αθηνᾶ τοιοῦτον αὐτὸν ἐποίησεν, ὡς δυνάσθαι τρία μέτρα φέρειν ὕδατος. ἢ ὡς ἀπὸ τῆς A τριῶν κρημνῶν. ἢ ἀπὸ τοῦ Τρίτωνος ποταμοῦ Λιβύης, παρ᾽ ᾧ ἐτέχθη ἡ Αθηνᾶ. βωμολόχον δέ, πανοῦργον λῃστρικόν. Ορᾷς τάδε.] τὰ λαγῷα δείκνυσιν αὐτῷ, καὶ χλευάζει ὡς οὐκ ἔχοντα. Τίνες.] οἱ μὲν τὸ αὐτὸ πρόσωπον. ἐν ᾗ τινὲς. οἱ δέ, τοῦ Κλέωνος. ἐν ᾗ ἐρωτηματικῶς τίνες; Ποῦ, ποῦ.] ὁ Αγοράκριτος μεθόδῳ χρῆται πρὸς Κλέωνα. καὶ ἁρπάζων τὰ τοῦ Κλέωνος λαγῷα, δίδωσι τῷ δήμῳ. Οὐκ ἰάσεις.] λείπει ἐπιφοιτᾶν. Καὶ σὺ γὰρ τοὺς ἐκ Πύλου.] ἥρπασας δηλονότι ἀπὸ Δημοσθένους τοῦ στρατηγοῦ.

B

Αλλ. Τὸ μὲν νόημα τοῦ θεοῦ· τὸ δὲ κλέμμ᾽ ἐμόν.
Κλ. Εγὼ δ᾽ ἐκινδύνευσ᾽. Αλλ. ἐγὼ δ᾽ ὤπτησά γε.
Δη. Απιθ᾽· οὐ γὰρ, ἀλλὰ τοῦ παραθέντος ἡ χάρις.
Κλ. Οἴμοι κακοδαίμων, ὑπεραναιδευθήσομαι.
Αλλ. Τί οὐ διακρίνεις δῆμ᾽, ὁπότερός ἐστι νῷν
Ανὴρ ἀμείνων περὶ σὲ, καὶ τὴν γαστέρα;
Δη. Τῷ δῆτ᾽ ἂν ὑμᾶς χρησάμενος τεκμηρίῳ,
Δόξαιμι κρίνειν τοῖς θεαταῖσιν σοφῶς;

AG. Dea est excogitare: furari est meum.
CL. At ego periclitatus sum. AG. assaui autem ego.
PO. Abi: non tua, sed apponentis gratia est.
CL. Ah me miserum, qui vincor impudentia.
AG. Cur non diiudicas, vter nostrûm tibi
Tuoque ventri vir siet fidelior?
C PO. Et quo vsus argumento, spectatoribus
Videar diiudicasse iam sat candide?

Σχόλια. Τὸ μὲν νόημα τοῦ θεοῦ.] τοῦτο πρὸς τὴν ἀλαζονείαν τῶν δημαγωγῶν. εἰώθασι γὰρ λέγειν, ὅτι ἡ μὲν θεὸς ὑπέβαλλέ μοι, ἥρπασα δὲ ἐγώ. οὕτω γὰρ οἱ δημαγωγοὶ ἀστειζόμενοι, ἔλεγον τὰς ἑαυτῶν ἐπινοίας τοῦ θεοῦ. Υπεραναιδευθήσομαι.] τῇ ἀναιδείᾳ νικηθήσομαι. εἰ ἀναιδέστερός μου φανήσεται.

Bisetus. Επειδὴ ἐν τῇ τῆς δημοτικῆς εὐνοίας θηρεύσει οὐδέτερος ἑτέρῳ ἐνδιδοὺς ὑπεῖκεν, Αγοράκριτος τῷ δήμῳ συμβουλεύει τὴν ἀμφοτέρων κίστην σιωπῇ, καὶ λάθρα ξυλλαμβάνειν, καὶ βασανίζειν τὰ ἐν αὐτῇ D ὄντα. ὁποτέρου δὲ κίστην καταλάβοι κενὴν, τοῦτον ἀγαθὸν, καὶ εὔνουν τῷ δήμῳ κρίνειν, οὗ δὲ παντοίων ἀγαθῶν ἔμπλεων εὕροι, τοῦτον τῶν δημοσίων χρημάτων κλέπτην, καὶ τῇ πόλει πολέμιον ἡγεῖσθαι.

Αλ. Εγώ φράσω σοι, τὴν ἐμὴν κίστην ἰὼν,
Ξύλλαβε σιωπῇ, καὶ βασάνιζ᾽ ἅττ᾽ ἔνι,
Καὶ τὴν Παφλαγόνος. κἀμέλει; κρινεῖς καλῶς.
E Δημ. Φέρ᾽ ἴδω, τί οὖν ἔστ᾽. Αλλ. ἀλλ᾽ ἀγ᾽ οὐχ ὁρᾷς κενὴν
Ω παππίδιον; ἅπαντα γάρ σοι παρεφόρουν.
Δη. Αὕτη μὲν ἡ κίστη τὰ τοῦ δήμου φρονεῖ.
Αλ. Βάδιζε νῦν καὶ δεῦρο πρὸς τὴν Παφλαγόνος.
Ορᾷς τηνδί; Δη. οἴμοι τῶν ἀγαθῶν ὅσων πλέα,
Οσον τὸ χρῆμα τοῦ πλακοῦντος ἀπέθετο.
F Εμοὶ δ᾽ ἔδωκεν ἀποτεμὼν τυννουτονί.
Αλ. Τοιαῦτα μέντοι καὶ πρότερον εἰργάζετο.
Σοὶ μὲν προσεδίδου μικρὸν, ὧν ἐλάμβανεν.
Αὐτὸς δ᾽ ἑαυτῷ παρετίθει τὰ μείζονα.
Δημ. Ω μιαρὲ κλέπτων δῆμε ταῦτ᾽ ἐξηπάτας,
Εγὼ δέ σ᾽ ἐστεφάνιξα κἀδωρησάμην.
Κλ. Εγὼ δ᾽ ἔκλεπτον ἐπ᾽ ἀγαθῷ γε τῇ πόλει.

AG. Ego hoc dicam tibi, vade, & cistam meã
Clàm surripe, & quæ sunt intus perquirito.
Cape item Paphlagonis, ac tace: sat commodè
E Feres sententiam. PO. sine videam. AG. quid? an
Meam non cernis vacuam, mi patercule?
Nam ego omnia, quæ possederam, tibi obtuli.
PO. Hac certè cista, quæ populi sunt, prospicit.
AG. Accede nunc ad hancce cistam Paphlagonis.
Viden? PO. proh Iuppiter, quibus completa est bonis?
F Quantum Paphlago placentarum in ea reposuit?
Mihi, quod præciderat, tantillulum dedit.
AG. Atque hæc eadem ille factitauit antehac.
Nam portiunculam minorem tibi dedit.
Ipse sibi maiorem reseruauit scelus.
PO. O fur scelestẹ, qui me his fraudasti dolis.
At ego coronatum te ornaui præmiis.
CL. Ego furatus sum propter vrbis commoda.

G

Σχόλια. Τὴν ἐμὴν κίστην.] τὴν κιβωτόν. ταύτῃ δὲ διενήνοχεν. ὅτι ἡ μὲν, εἰς ὑποδοχὴν ἐστὶν ἐδεσμάτων. ἡ δὲ, ἱματίων καὶ χρυσοῦ ἡ κιβωτός. Τὰ τοῦ δήμου φρονεῖ.] ἀντὶ τοῦ δωροδοκεῖται. τὴν τοῦ ἀλλαντοπώλου δέ φησιν, ὅτι πάντα τῷ δήμῳ παρέθηκεν. Τυννουτονί.] δεικτικῶς συλλαβὼν τοὺς δακτύλους φησὶ Φαεινὸς ἀντὶ τοῦ μικρόν. Εγὼ δέ σε.] τὸ σὲ δωρικῶς. ἀντὶ τοῦ σέ. ἔπαιξε δὲ παρὰ τὸ δωροδοκεῖν, δωρεῖσθαι εἰρηκώς. τὸ δὲ ἐστεφάνιξα, ἀντὶ τοῦ στεφάνοις ἐτίμησα. δημοσίᾳ γὰρ ἐτιμήθη ὁ Κλέων στεφάνῳ. μιμεῖται δὲ τοὺς εἵλωτας, ὅταν στεφανῶσι τὸν Ποσειδῶνα.

Δη. Κα-

Δη. Κατάθου ταχέως τὸν στέφανον, ἵν' ἐγὼ τουτῳὶ
Αὐτὸν περιθῶ. Αλλ. κατάθου ταχέως μαστιγία.
Κλ. Οὐ δῆτ', ἐπεί μοι χρησμός ἐστι Πυθικὸς,
Φράζων ὑφ' οὗ δεήσει μ' ἡττᾶσθαι μόνου.
Αλλ. Τοὐμόν γε φράζων ὄνομα καὶ λίαν σαφῶς.
Κλ. Καὶ μὴν σ' ἐλέγξαι βούλομαι τεκμηρίῳ,
Εἴ τι ξυνοίσεις τοῦ θεοῦ τοῖς θεσφάτοις.
Καί σου τοσοῦτο πρῶτον ἐκπειράσομαι.
Παῖς ὢν, ἐφοίτας ἐς τίνος διδασκάλου;
Αλλ. Ἐν ταῖσιν εὕστραις κονδύλοις ἡρμοττόμην.
Κλ. Πῶς εἶπας; ὥς μου χρησμὸς ἅπτεται φρενῶν.
Εἶεν.
Ἐν παιδοτρίβου δὲ τίνα πάλην ἐμάνθανες;
Αλλ. Κλέπτειν, ἐπιορκεῖν καὶ βλέπειν ἐναντίον.
Κλ. Ὦ Φοῖβ' Ἄπολλον, Λύκιε, τί ποτέ μ' ἐργάσει;
Τέχνην δὲ τίνα ποτ' εἶχες ἐξανδρούμενος;
Αλλ. Ἠλλαντοπώλουν. Κλ. καὶ τί. Αλλ. καὶ βινεσκόμην.
Κλ. Οἴμοι κακοδαίμων. οὐκέτ' οὐδέν εἰμ' ἐγώ.
Λεπτή τις ἐλπίς ἐστ' ἐφ' ἧς ὀχούμεθα.
Καί μοι τοσοῦτον εἰπέ. πότερον ἐν ἀγορᾷ
Ἠλλαντοπώλεις ἐτεὸν, ἢ 'πὶ ταῖς Πύλαις;
Αλλ. Ἐπὶ ταῖσι Πύλαισιν οὗ τὸ τάριχος ὤνιον.
Κλ. Οἴμοι. πέπρακται τοῦ θεοῦ τὸ θέσφατον.
Κυλίνδετ' εἴσω τόνδε τὸν δυσδαίμονα.
Ὦ στέφανε. χαίρων ἄπιθι. κεἴ σ' ἄκων ἐγὼ
Λείπω. σὲ δ' ἄλλος τις λαβὼν, κεκτήσεται.
Κλέπτης μὲν οὐκ ἂν μᾶλλον, εὐτυχὴς δ' ἴσως.
Αλλ. Ἑλλάνιε Ζεῦ. σὸν τὸ νικητήριον.

A PO. Depone iam coronam ilicet, vt huic eam
Imponam. AG. age depone coronam citò verbero.
CL. Minimè. quia mihi Pythicum est oraculum,
Quod dicit à quo vno vinci me oporteat.
AG. Nempe meum satis aperiè nomen exprimit.
CL. Ego manifesto indicio te conuincere
B Volo, si quid responsis Dei consenties.
Iamq́ adeo hoc primum ex te percontari volo,
Puer cùm esses, quónam præceptore vsus es?
AG. Ego pugnis in culinis aptabar probè.
CL. Quomodo dixisti? vt animum perculit modò hoc
Oraculum, age in ludo quam luctam didiceras?
AG. Furari, peierare, aduersum tuerier.
C CL. O Phœbe Apollo, Lycie, quo afficiar malo?
Sed artem quam tu exercuisti, iam adultior?
AG. Farcimina vendebam. CL. quid deín? AG. scortis item
Accumbebam. CL. hei mihi: nullus sum posthac ego:
Spes exigua superest mihi, qua suffulciar.
Etiam hoc dicas mihi, reuera ne vendere
Solebas in foro, an in Pylo farcimina?
D AG. Immò in Pylo, vbi venalia salsamenta sunt.
CL. Hei mihi: verè completum est Phœbi oraculum.
Volutate intrò isthunc infelicem. Vale
Corona, & abi, ego quidem inuitus te desero:
Alius verò in potestate te habebit sua:
Si non maior fur, forsitan felicior.
E AG. Tuum hoc est præmium victoriæ Iuppiter.

Σχόλια. Εἴ τι ξυνοίσεις.] εἰ συμφωνήσεις. εἰ μὴ θέξει. Εὔστραις.] ἀντὶ τῆς φλογιστρίας, ὅπου τὰ ἱερὰ θύεται. λέγει δὲ ὡς μάγειρος. ἄλλως. ἐν τοῖς μαγειρείοις. εὔστρα γὰρ τὸ μαδιστήριον. ἀπὸ τοῦ εὕειν, καὶ φλογίζειν τοὺς χοίρους. τὸ δὲ ἡρμοττόμην, ὡς πρὸς μουσικήν. ἀντὶ τοῦ ἐπαιδευόμην. ἄλλως. εὔστρα, ἡ ὀρεστὴ κεληθή, εἴρηται δὲ καὶ ἀμφικαυτὶς παρὰ κωμικοῖς καὶ τραγικοῖς ἀπὸ τοῦ ἀφεύεσθαι. εἰ δὲ, τὴν πρώτην ἔχουσιν τῶν συρῶν, ἣν λαιὸν ... ὀρύουσιν ὄρυγμα, διὰ τὸ τοὺς σφαγίμους κατέχειν τὴν ἐσχάραν, ἐπιτηδείους εἰς τροφήν. Ὦ Φοῖβ' Ἄπολλον.] ὁ στίχος ἐκ Τηλέφου Εὐριπίδου. Ὠνιον.] ὤνιον ὅπου τὸ ταριχοπωλεῖον, ἀντὶ ὅπου τὰ εὐτελῆ πωλεῖται. Κυλίνδετ' εἴσω.] ἑαυτὸν λέγει ὁ Κλέων. ταῦτα δὲ, ἐκ Βελλεροφόντου Εὐριπίδου. τὸ δὲ κυλίνδετ' ἀντὶ τοῦ κομίζετε. Σὲ δ' ἄλλος τις.] λείπει ἀνήρ. παρῳδεῖ δὲ τὰ ἐξ Ἀλκήστιδος Εὐριπίδου. ἔχει δὲ οὕτω.
--σὲ δ' ἄλλη τὶς γυνὴ κεκτήσεται.
Σώφρων μὲν οὐκ ἂν μᾶλλον, εὐτυχὴς δ' ἴσως.
F Ἑλλάνιε Ζεῦ.] Ἑλλάνιος Ζεὺς ἀπὸ τῆς ἐν Αἰγίνῃ αὐχμοῦ ποτὲ γινομένου. ὅτε Αἰακὸς συναθροίσας τοὺς Πανέλληνας ἐξιλεώσατο τὸν Δία. ὅτε δὲ λέγει ὁ ἀλλαντοπώλης, ἀφελὼς τὸν στέφανον. Ἑλλάνιος δὲ Ζεὺς τιμᾶται ἐν Αἰγίνῃ.

Bisetus. Κλέων ἀρχῆς, καὶ πάσης τιμῆς στερηθεὶς τὴν ἑαυτοῦ τύχην ἀποκλαίεται. ὁ δὲ χορὸς τῷ Ἀγορακρίτῳ συνήδεται, καὶ ὁ δῆμος ἑαυτῷ, καὶ πάντα τὰ τῆς πόλεως πράγματα τῷ αὐτῷ ἐπιτρέπει, καὶ συνηγορεῖ.

Χο. Ὦ Χαῖρε καλλίνικε. καὶ μέμνησ' ὅτι
Ἀνὴρ γεγένησαι διὰ ἐμέ. καί σ' αἰτῶ βραχύ.
G Ὅπως γένωμαί σοι Φανὸς ὑπογραφεὺς δικῶν.
Δη. Ἐμοὶ δέ γ' ὅτι σοι τοὔνομ' εἰπέ. Αλ. Ἀγοράκριτος.
Ἐν τῇ ἀγορᾷ γὰρ κρινόμενος ἐβοσκόμην.

CH. O Salue victor, & memento, quòd mea
Causa in virum hunc euaseris: modicum hoc peto:
Vt scriba iudiciorum Phanus sim tibi.
PO. Nomen tuum quod sit, mihi dic. AG. Agoracritus.
Quoniam in foro nutritus sum pro iudice.

Δη. Αγορακρίτῳ τούτῳ γ' ἐμαυτὸν ἐπιτρέπω.
Καὶ τὸν Παφλαγόνα παραδίδωμι τουτονί.
Αλ. Καὶ μὴν ἐγώ σ' ὦ δῆμε θεραπεύσω καλῶς.
Ὥσθ' ὁμολογεῖν σε, μηδέν' ἀνθρώπων ἐμοῦ
Ἰδεῖν ἀμείνω τῇ Κεχηναίων πόλει.

APO. Ego memet Agoracrito commendatum volo,
Eiq́; Paphlagonem istum trado pessimum.
AG. Equidem mi popule, ego te curabo sedulò.
Vt tute fatearis, præter me, neminem
Vidisse, qui vrbi Hiantiæ melius velit.

Σχόλια. Καλλίστει.] τοῦτο λέγει ὁ χορὸς πρὸς τὸν Αλλαντοπώλην. Φανός.] Σύμμαχος φαίνεταί τις γραμματεὺς ὢν τῶν πάνυ σπανίων, ὄνομα κύριον. κωμῳδεῖ δ' αὐτὸν ὡς φιλόδικον. φανὸς δὲ, ὁ καὶ ἀπαγγέλλων καὶ φανερὰ ποιῶν τὰ πράγματα καὶ μηνύων. ἢ ἀπὸ τοῦ φαίνειν. ὁ ἐστι συκοφαντεῖν. Φανὸς γὰρ, κακὸν πράγματα ἐμφαίνειν.

B τὸ φιλόνεικος γραμματεὺς. ἐπὶ δήμου γὰρ, ὑπογραφεὺς λέγεται. ὁ δὲ τοῦ βουλευτηρίου ἀντιγραφεὺς. δημοσίου δὲ γινομένου, ἔγραφον ἀμφότεροι τὰ λεγόμενα. Τῇ Κεχηναίων πόλει] Αθηναίων. ὡς κεχηνότων αὐτῶν, ἔπαιξε παρὰ τὸ Αθηναίων. ἀπὸ δὲ τοῦ κεχηνέναι ἔλαβε τὸ ὄνομα ὡς μετίωρα τῶν Αθηναίων φρονούντων.

ΩΔΗ ΚΑΙ ΣΤΡΟΦΗ κώλων ι.

Χο. Τί κάλλιον ἀρχομένοισιν,
Ἢ καταπαυομένοισιν,
Ἢ θοᾶν ἵππων ἐλατῆρας ἀείδειν;
Μηδὲν ἐς Λυσίστρατον
Μηδὲ Θούμαντιν ἄστιον αὖ,
Λυπεῖν ἑκούσῃ καρδίᾳ.
Καὶ γὰρ οὗτος φίλ' Ἄπολλον
Πεινῇ, θαλεροῖσι δακρύοις
Σᾶς ἁπτόμενος φαρέτρας
Πυθῶνι ἐν, δίᾳ τὸ κακῶς πένεσθαι.

ODE ET STROPHE.

C CH. QVid pulcrius incipienti, aut denique finem adhibenti:
Quàm loqui laudem domitoris equorum.
Nec vel in Lysistrato,
Vel male egente Thomante aliquid
Taxare corde conscio.
Hic enim fame mi, ô bone Apollo,
Fert cum calidis lacrymis, pre-
D Henditq́; tuam pharetram,
Delphos apud, summa inopia laborans.

Σχόλια. Τί κάλλιον ἀρχομένοισι.] τὸ ἀρχὴ προοιμίου Πινδάρου. ἔχει δὲ οὕτω. τί κάλλιον ἀρχομένοισιν, ἢ καταπαυομένοισιν, ἢ βαθύζωνόν τε Λατὼ καὶ θοᾶν ἵππων ἐλάτειραν ἀείσαι. κορωνὶς δὲ, ἐξίασι γὰρ οἱ ὑποκριταί. καὶ ἔστι συζυγία ἐπιρρηματική. ἧς αἱ μὲν μέλικαι περίοδοι δεκάκωλοι εἰσι. καὶ αὐτῶν τὸ μὲν α΄ ἰαμβικὸν ἑφθημιμερὲς, ἐξ ἀντισπάστου καὶ χοριάμβου δίμετρον ὑπερκατάληκτον. τὸ δὲ β΄, δακτυλικὸν τρίμετρον εἰς δισυλλαβίαν. τὸ γ΄ ἐξ ἐπιτρίτου δευτέρου χοριάμβου καὶ ἰωνικοῦ ἀπ' ἐλάσσονος τρίμετρον ἀκατάληκτον. τὸ δὲ, προσοδιακὸν τετράμετρον ἑφθημιμερές. τὸ ε΄. ἐπιωνικὸν ἑφθημιμερές. τὸ ς΄, ἰαμβικὸν δίμετρον ἀκατάληκτον. τὸ ζ΄, τροχαϊκὸν δίμετρον ὑπερκατάληκτον. τὸ η΄, προσοδικὸν δὲ ὃ δεκάσημον διάφορον προσέλαβε. τὸ θ΄, ἀναπαιστικὸν τρίμετρον ἀκατάληκτον. τὸ ι΄, ἰαμβικὸν τρίμετρον ἀκατάληκτον. ἐπὶ τῷ τέλει διπλῆ ἔσω νενευκυῖα. ἔχει δὲ καὶ ἀντιστροφὴν ὁμοίαν καθ' ἕκαστον ἑαυτῇ. ἧς τὸ τελευταῖον, ἰσῶν διπλῶν κατ' ἄμφω τ' ἄκρα σημειοῦται. Μηδὲ Θούμαντιν.] οὗτοι πένητες διεβάλλοντο. καὶ ὁ μὲν Λυσίστρατος ὡς κόλαξ. ὁ δὲ Θούμαντις ὡς πένης καὶ μάντις. δεῖ οὖν φησι τοὺς μὲν ἱππέας ἐπαινεῖν,
E ἐκείνους δὲ τοὺς πένητας, μὴ διαβάλλειν. Θαλεροῖς δακρύοις.] ἀντὶ τοῦ μετὰ δακρύων ἱκετεύει σε διὰ πενίας ἔριχε, ἀπαλλαγῆναι ταύτης ἀξιῶν. ἱκετεύει δὲ ἁπτόμενος τῆς σῆς φαρέτρας διὰ τὸ κακῶς πένεσθαι.

ΕΠΙΡΡΗΜΑ ἐκ στίχων ις΄.

Τετράμετροι τροχαϊκοί.

EPIRRHEMA.

F Septenarij Trochaici.

Βισετυς. Ἐν τούτῳ τῷ ἐπιρρήματι, καὶ ἐν τῷ ἑξῆς ἀντεπιρρήματι ὁ χορὸς πονηροὺς, καὶ μιαροὺς τινας πολίτας λοιδορεῖ, καὶ ζωγραφικῶς χαρακτηρίζει.

ΛΟιδορῆσαι τοὺς πονηροὺς, οὐδέν ἐστ' ἐπίφθονον,
Ἀλλὰ τιμὴ τοῖσι χρηστοῖς, ὅστις εὖ λογίζεται.
Εἰ μὲν οὖν ἄνθρωπος ὃν δεῖ πόλλ' ἀκοῦσαι καὶ κακὰ,
Αὐτὸς ἦν ἔνδηλος, οὐκ ἂν ἀνδρὸς ἐμνήσθην φίλου.
Νῦν δ' Ἀρίγνωτον γὰρ οὐδεὶς ὅστις οὐκ ἐπίσταται,

NOn est odiosũ malos homines cõuitiarier:
G Sed bonis laudi datur, si quis rem rectè ponderet.
Quòd si isthic homo, quem oportet audire malè, vir foret
Præclarus, tũ ego nõ cõmeminissem amiculi mei.
Nunc Arignotum cytharœdum, nullus est, qui nesciat,

Ost.

Ὅς τις ἢ τὸ λευκὸν οἶδεν, ἢ τὸ ὄρθιον νόμον.
Ἔστιν οὖν ἀδελφὸς αὐτῷ τοὺς τρόπους οὐ συγγενής,
Ἀριφράδης πονηρός. ἀλλὰ τοῦτο μὲν καὶ βούλεται.
Ἔστι δ' οὐ μόνον πονηρὸς, οὐ γὰρ οὐδ' ἂν ᾐσθόμην.
Οὐδὲ παμπόνηρος, ἀλλὰ καὶ προσεξηύρηκέ τι.
Τὴν γὰρ αὑτοῦ γλῶτταν αἰσχραῖς ἡδοναῖς λυμαίνεται,
Ἐν κασαυρείοισι λείχων τὴν ἀπόπτυστον δρόσον,
Καὶ μολύνων τὴν ὑπήνην, καὶ κυκῶν τὰς ἐσχάρας,
Καὶ Πολυμνήστεια ποιῶν καὶ ξυνὼν Οἰωνίχῳ.
Ὅς τις οὖν τοιοῦτον ἄνδρα μὴ σφόδρα βδελύττεται,
Οὔ ποτ' ἐκ ταὐτοῦ μεθ' ἡμῶν πίεται ποτηρίου.

A *Qui quidem album norit, aut rectum qui sit cythara modum.*
Frater est illi, à fraternis moribus sed degener,
Ariphrades scelestus: & qui idipsum sedulò studet.
Et verò non modò malus (neq́ enim unquam aliàs nouissem ego)
Et prorsum nequam: sed & commentus est aliquid mali.
B *Nam linguam suam voluptatibus infandis polluit:*
Quippe in ganeis rorem delingit abominabilem,
Et barbam inquinat, & confundit inter se labra orium:
Et Polymnestum hic imitatur, & coit cum Oeonicho,
C *Hunc virum quicunque non execratur nefariũ,*
Ille nunquam eodem nobiscum potabit poculo.

Σχόλια. Λοιδορῆσαι.] τῆς παραβάσεως ἐστὶ μέρος τὸ ἐπίρρημα ἐκ στίχων τροχαϊκῶν τετραμέτρων καταληκτικῶν ις, ἔσω νενευκυίᾳ διπλῇ περιλαμβανόμενον. ἔχει δὲ καὶ ἀντεπίρρημα καθ' ἕκαστον ὅμοιον ἑαυτῷ, οὗ ἐπὶ τῷ τέλει κορωνίς. κωμῳδεῖ δὲ καὶ ἐνταῦθα Ἀριφράδους, ὡς ἀσελγαίνοντος καὶ ἀρρητοποιοῦντος αἰσχρῶς. καὶ παρὰ φύσιν προσιόντος ταῖς γυναιξί. τὸ δὲ τοὺς πονηροὺς λοιδορῆσαι, τιμὴ γίνεται τοῖς ἀγαθοῖς. Ὃν δεῖ πολλ' ἀκοῦσαι.] ὅτι ὃν δεῖ λοιδορηθῆναι λέγει δὲ τὸν Ἀριφράδην. Οὗτος ἦν ἔνδηλος.] ὃν θέλω λέγειν ὑμῖν οὐκ ἔστιν ἐπίσημος. τούτου χάριν δι' ἑτέρου τοὺς τρόπους δηλώσειν θέλω. τοῦτο δὲ λέγει, ὡς τοῦ Ἀριγνώτου γινωσκομένου, Ἀριφράδους δὲ ἀσήμου ὄντος, ἀπὸ δὲ τούτου γινωσκομένου. ἄλλως. τὸν Ἀριφράδην λέγει. Ἀριφράδους δὲ δύο παῖδες Ἀρίγνωτος καὶ Ἀριφράδης ὁμώνυμος τῷ πατρί. Ἀρίγνωτον γάρ.] αἰτίατου ἐστι γὰρ δῆλος. καὶ οὐκ ἔστιν ὅς τις οὐκ οἶδεν αὐτὸν ἐστὶν οὖν ὁ Ἀρίγνωτος, διεβάλλετο δὲ ὡς ἀρρητοποιός. Ἀρίγνωτος δὲ ἐστὶ κιθαρῳδὸς ἦν. διόπερ καὶ τὸν ὄρθιον νόμον ἔφη αὐτὸν εἰδέναι. δοκεῖ δὲ παροιμιώδης εἶναι ὁ λόγος. ὅς τις οἶδε τὸ λευκὸν καὶ τὸ μέλαν. παρὰ τοῦτο οὖν ἐποίησεν. εἰρωνεύεται δὲ πρὸς αὐτὸν, ὅτι οὐκ ἂν αὐτοῦ ἐμιμήσατο χρηστοῦ ὄντος, εἰ μὴ εἶχε πονηρὸν ἀδελφόν. ὁ γὰρ Ἀρίγνωτος ὕστατος ἦν. Ὅς τις ἢ τὸ λευκόν.] Ἀρίσταρχος παρὰ τὸ λεγόμενον εἴ τις οἶδε τὸ λευκὸν ἢ τὸ μέλαν. οἱ δὲ λέγουσιν, Ἀρίγνωτον κιθαρῳδόν. ὃς ᾔδει τὸν ὄρθιον καλούμενον νόμον καὶ τὸν λευκόν. οἱ τινες ἐθαυμάζοντο τῷ τότε χρόνῳ. ἄλλως. παροιμία ἐστὶν ἐπὶ τῶν πάνυ φανερῶν. ὁ οὖν τέλει εἰπεῖν τοιοῦτόν ἐστιν. οὐδείς ἐστιν ὅς τις οἶδε τὸ λευκὸν ἢ τὸ μέλαν, ὁ μὴ ἐπιστάμενος. Τοῦτο μὲν καὶ βούλεται.] τὸ εἶναι δηλονότι πονηρός. Ἐν κασαυρείοισι.] διχῶς ἐν καπηλείοις ἀντὶ τοῦ ἐν πορνείοις. Τὴν ἀπόπτυστον δρόσον. τὴν τῶν αἰδοίων φησὶ τουτέστι τὸ σπέρμα. Ἐσχάρας.] τὰ χείλη τῶν γυναικείων αἰδοίων. Πολυμνήστεια] μέλη Πολυμνήστου Κολοφωνίου. κιθαρῳδὸς ἦν οὗτος. κωμῳδεῖται δὲ καὶ οὗτος ἐν τοῖς αὐτοῖς. Πολύμνηστος δὲ καὶ Οἰώνιχος ὅμοιοι ἀρρητοποιοί. Κρατῖνος καὶ Πολυμνήστεια ᾄδει, μουσικήν τε μανθάνει. Ἐκ ταὐτοῦ.] ὅτι αἰσχρὸν τὸ τούτων ποτήριον, διὰ τὸ λείχειν αὐτούς.

D, E

ΑΝΤΩΔΗ ΚΑΙ ΑΝΤΙΣΤΡΟΦΗ
κώλων ι.

ANTODE ET ANTISTROPHE.

Χο. Ἡ πολλάκις ἐννυχίαισι
Φροντίσι συγγεγένημαι,
Καὶ διεζήτηχ' ὁπόθεν ποτὲ φαύλως
Ἐσθίει Κλεώνυμος.
Φασὶ γὰρ αὐτὸν ἐρεπτόμενον
Τὰ τῶν ἐχόντων ἀνέρων,
Οὐκ ἂν ἐξελθεῖν ἀπὸ σιπύης.
Τοὺς δ' ἀντιβολεῖν ἂν ὁμοίως.
Ἴθ' ὦ ἄνα πρὸς γονάτων
Ἔξελθε καὶ σύγγνωθι τῇ τραπέζῃ.

F CH. *Noctu studijs ego serò sæpius aduigilaui,*
Quæritans, vnde hic adeò male & agrè
Vinceret Cleonymus!
Namq́ ferunt comedentem hominem
Bona atq́ opes prædiuitum,
A penu non posse reuelli:
Illos rogitare frequenter:
G *Vade ô, sua per genua*
Oro: hinc abi, & veniam da quæso mensæ.

Σχόλια. Φροντίσι συγγεγένημαι.] ἐκ τοῦ ὅς τις οὖν τοιοῦτον ἄνδρα. φασί τινες Εὐπόλιδος εἶναι τὴν παράβασιν. εἶναι φασὶν Εὔπολις ξυμποιῆσαι τῷ φαλακρῷ. Ἐσθίει Κλεώνυμος.] τοῦτον ὡς δαπανηρὸν καὶ πολλάκις ἐσθίοντα διασύρει. ἅμα δὲ καὶ δειλόν. ἐρεπτόμενον δὲ εἶπεν ἐμφαντικῶς ὡς ἐπὶ χηνώδους. σιπύης δὲ τῆς ἀρτοθήκης. οἱονεὶ σιτοθήκης τινὸς οὔσης. παρὰ τὸ ἐν αὐτῇ τὰ σιτία ἐμβάλλεσθαι. Ἴθ' ὦ ἄνα.] παροιμιώδης. ὡς καὶ τὸ γελοῖον αὐτοῦ φοβουμένων τῶν ἐξωθούντων αὐτόν.

A

ΑΝΤΕΠΙΡΡΗΜΑ ἐκ στίχων ις΄.

Τετράμετροι τροχαϊκοί.

Φασὶν ἀλλήλαις ξυνελθεῖν τὰς τριήρεις εἰς λόγον,
Καί μίαν λέξαι τιν᾽ αὐτῶν ἥτις ἦν γεραιτέρα.
Οὐδὲ πυνθάνεσθε ταῦτ᾽ ὦ παρθένοι τἀν τῇ πόλει;
Φασὶν αἰτεῖσθαί τιν᾽ ἡμῶν ἑκατὸν ἐς Καρχηδόνα.
Ἄνδρα μοχθηρὸν πολίτην, ὀξίνην Ὑπέρβολον.
Ταῖς δὲ δόξαι δεινὸν εἶναι τοῦτο, κοὐκ ἀνασχετόν.
Καί τιν᾽ εἰπεῖν, ἥτις ἀνδρῶν ἆσσον οὐκ ἐληλύθει.
Ἀποτρόπαι᾽· οὐ δῆτ᾽ ἐμοῦ γ᾽ ἄρξει ποτ᾽. ἀλλ᾽ ἐάν με χρῇ
Ὑπὸ τερηδόνων σαπεῖσ᾽, ἐνταῦθα καταγηράσομαι.
Οὐδὲ Ναυφάντης γε τοῦ Ναύσωνος, οὐ δῆτ᾽ ὦ θεοί,
Εἴπερ ἐκ πεύκης γε κἀγὼ καὶ ξύλων ἐπηγνύμην.
Εἰ δ᾽ ἀρέσκοι ταῦτ᾽ Ἀθηναίοισι, καθῆσθαί μοι δοκῶ
Εἰς τὸ Θησεῖον πλεούσαις, ἢ ᾽πὶ τῶν σεμνῶν θεῶν.
Οὐ γὰρ ἡμῶν γε στρατηγῶν ἐγχανεῖται τῇ πόλει.
Ἀλλὰ πλείτω χωρὶς αὐτὸς ἐς κόρακας εἰ βούλεται.
Τὰς σκάφας ἐν αἷς ἐπώλει τοὺς λύχνους καθελκύσας.

ANTEPIRRHEMA.

Septenarij Trochaici.

Aiunt conuenisse triremes in colloquium mutuum,
Et dixisse quandam ex ipsis, quæ natu maiuscula:
B *Annon auditis, quæ in vrbe nunc fiant, vos virgines?*
Nam dicunt aliquem, centum è vobis, petere Carthaginem
Vsque: pessimum ciuem, vappam, peruersum Hyperbolum.
Sed puellis hoc graue esse factu & intolerabile,
C *Vnamq; harum dicere, quæ viros propè nunquam adiuerit:*
Di meliora, haudquaquam isthic mihi vnquam prædominabitur.
Sed si oportet: consenescam hic corrosa ore teredinum.
At ne Nauphantes quidem Nausonis imperitet mihi:
D *Si modò ego etiam è lignis, & picea bene compacta sum.*
Quòd si isthæc Atheniensibus placent, videor mihi
Considere nauigantibus in Theseum, aut ad focos Eumenidum.
Nec enim nobis imperitando, vrbi illuserit.
Verùm age solus ipse nauiget in malam rem, si lubet:
E *Et scaphas, in quis lucernas vendebat, secum trahat.*

Σχόλια. Φασὶν ἀλλήλαις.] σωματοποιεῖ τὰς τριήρεις. Οὐδὲ πυνθάνεσθε.] οὐδὲ αἰσθάνεσθε. τὸ γὰρ πυνθάνομαι παρὰ τοῖς ῥήτορσι καὶ παρ᾽ Ὁμήρῳ ἐπὶ τοῦ ἀκούειν καὶ μανθάνειν. ὡς τὸ αἰσχρὸν γὰρ τόδε γ᾽ ἐστὶ καὶ ἐσσομένοισι πυθέσθαι. καὶ πεύθετο γὰρ Κύπρονδε μέγα κλέος. καὶ πευθόμενος ἤχι ἕκαστος ἀπώλετο. καὶ κείνου γὰρ καὶ ὄλεθρον ἀπευθέα θῆκε Κρονίων. ἐν γὰρ τούτοις ἅπασιν ἐπὶ τοῦ ἀκούειν κεῖται τὸ πυνθάνεσθαι. καὶ Αἰσχίνης ἐν τῷ περὶ τῆς παραπρεσβείας, τούτῳ συμβαλεῖν πυνθανόμενος. καὶ Δείναρχος ἐν τῷ κατὰ Φιλοκλέους. εὐτυχεῖτε ὅτι ἐν μείζονι καιρῷ ἐπύθεσθε τὴν αὐτοῦ αἰσχροκέρδειαν. ὁ στίχος δὲ παρὰ τὰ ἐξ Ἀλκμαίωνος Εὐριπίδου. τὰς μὴ ἔτι δὲ πλευσάσας, παρθένους εἴρηκεν. τὰς δὲ πλευσάσας, χήρας. Καρχηδὼν δὲ πόλις Θράκης περὶ τὸ Βυζάντιον. Ὀξίνην.] ὀξίδες αἱ καλούμεναι ὀξυβάφια. λυχνοποιὸς δὲ ὁ Ὑπέρβολος. τινὲς δὲ τὰ κεράμια ἃ ἐστιν ὄξους δεκτικά. κεραμεὺς δὲ ὁ Ὑπέρβολος. μετὰ δὲ τὴν ἀποβολὴν τοῦ Κλέωνος, εὐθέως ὑπερέβαλλεν ὑπὲρ τοῦ Ὑπερβόλου, μετ᾽ αὐτὸν γὰρ ἐπολιτεύσατο. Ἥ τις ἀνδρῶν.] ἥτις οὔπω διὰ ὀρθῶν τετριηράρχηται, μὴ δὲ πλεύσασα, ἀλλὰ νεωστὶ κατασκευασθεῖσα ἣν ἄνω εἶπε παρθένον. Ὑπὸ τερηδόνων.] σητεδόνων. ἢ σκωλήκων. Οὐδὲ Ναυφάντης.] πεποίηται ταῦτα τὰ ὀνόματα παρὰ τὴν ναῦν. ἀπὸ κοινοῦ δὲ τὸ ἄρξει. Εἴπερ ἐκ πεύκης γε κἀγώ.] οὐκ ἄρξει ἐμοῦ, εἴπερ ἐξ ἀνθρώπων εἰμὶ κἀγώ. οὐχ ἁπλῶς δὲ, ἀλλ᾽ ὅτι εὐγενὴς εἰμι. ἀπὸ τούτου τὸ πευκεδανόν. Εἰς τὸ Θησεῖον.] ἐν τούτῳ οἱ καταφεύγοντες τῶν οἰκετῶν, ἀσυλίαν εἶχον. Ἐπὶ τῶν σεμνῶν.] εἰς τὸ τῶν Ἐριννύων ἱερόν. καὶ ἐν τούτῳ δὲ οἱ οἰκέται ἔφευγον. Ἐγχανεῖται.] καταπτύσειεν, ἐνυβρίσειεν. σκάφας δὲ τὰ ξύλινα ἀγγεῖα. πάλιν δὲ ὡς λυχνοπώλην αὐτὸν διαβάλλει.

G

ΔΡΑΜΑΤΟΣ ΤΟΥ ΠΕΜΠΤΟΥ, Σκηνὴ πρώτη.

ΑΛΛΑΝΤΟΠΩΛΗΣ, ΧΟΡΟΣ.

ACTVS V. SCENA prima.

AGORACRITVS, CHORVS.

BISE-

BISETVS. Ἀλλαντοπώλης μετὰ δῆμου εἰς τὸ θέατρον ἐπανέρχεται, πάντας εὐφημεῖν, στόμα κλείειν, ἀπὸ δικῶν καὶ δικαστηρίων ἀπέχεσθαι, καὶ ὅτι τὸν καινοῖς εὐτυχίαις χαίρειν, καὶ παιωνίζειν κελεύει. ὅτι τὸν δῆμον οἷον ἀφεψήσας, καλὸν ἐξ αἰσχροῦ πεποίηκε. A

Αλλ. Εὐφημεῖν χρὴ καὶ στόμα κλείειν. καὶ μαρτυριῶν ἀπέχεσθαι,
Καὶ τὰ δικαστήρια συγκλείειν οἷς ἡ πόλις ἥδε γέγηθεν.
Ἐπὶ καιναῖσι δ' εὐτυχίαισι παιωνίζειν τὸ θέατρον.
Χο. Ὦ ταῖς ἱεραῖς νήσοις ἐπίκουρε, καὶ φέγγος ἐν Ἀθήναις.
Τίν' ἔχων φήμην ἀγαθὴν ἥκεις; ἐφ' ὅτῳ κνισσῶμεν ἀγυιάς;
Αλλ. Τὸν δῆμον ἀφεψήσας ἡμῖν, καλὸν ἐξ αἰσχροῦ πεποίηκα.
Χο. Καὶ ποῦ 'στι νῦν, ὦ θαυμαστὰς ἐξευρίσκων ἐπινοίας;
Αλλ. Ἐν ταῖσι ἰοστεφάνοις οἰκεῖ ταῖς ἀρχαίαισιν Ἀθήναις.
Χο. Πῶς ἂν ἴδοιμεν; ποίαν ἔχει σκευὴν καὶ ποῖος γεγένηται;
Αλλ. Οἷός περ Ἀριστείδῃ πρότερον, καὶ Μιλτιάδῃ ξυνεσίτει.
Ὄψεσθε δὲ, καὶ γὰρ ἀνοιγνυμένων ψόφος ἤδη τῶν προπυλαίων.
Ἀλλ' ὀλολύξατε φαινομέναις ταῖς ἀρχαίαισιν Ἀθήναις.
Καὶ θαυμασταῖς καὶ πολυΰμνοις, ἵν' ὁ κλεινὸς δῆμος ἐνοικεῖ.
Χο. Ὦ ταὶ λιπαραὶ, καὶ ἰοστέφανοι, καὶ ἀριζήλωτοι Ἀθῆναι.
Δείξατε τὸν τῆς Ἑλλάδος ἡμῖν καὶ τῆς γῆς τῆσδε μόναρχον.
Αλλ. Ὅδ' ἐκεῖνος ὁρᾶν τεττιγοφόρος, ἀρχαίῳ σχήματι λαμπρὸς,
Οὐ χοιρινῶν ὄζων, ἀλλὰ σπονδῶν. Σμύρνῃ κατάλειπτος.
Χο. Χαῖρ' ὦ βασιλεῦ τῶν Ἑλλήνων. καί σοι ξυγχαίρομεν ἡμεῖς.
Τῆς γὰρ πόλεως ἄξια πράττεις, καὶ τοῦ 'ν Μαραθῶνι τροπαίου.

AG. Date silentia, linguásque sinete, & iam dimittite lites,
Puteásque & fora claudite, quibus hæc vibs præ alijs vndique gaudet.
Namque nouis ob fortunas conuenit hoc laudare theatrum. B
CH. O custos bone terrarum & pelagi: vrbis lux vnica nostra:
Quæ læta afers noua nuncia fama, vt Dijs sacrificemus?
AG. Populum vobis recoquendo, è turpi feci, vt nunc sit honestus.
CH. Et vbi nunc est populus? dic consiliorum admiranda repertor.
C AG. Antiquas incolit Athenas, violis pulcrè redimitas.
CH. Quomodo videamus, quem gerat ornatum, qua denique forma?
AG. Quali cum Miltiade antehac & Aristide vixit, eodem
Vultu est: vti videbitis. Etenim strepitus nunc vestibulorum
D Auditur apertorum: priscis omnes applaudite Athenis,
Venerandis & longè hymnisonis, vbi nunc habet inclyta plebes.
CH. O pingues, ô violis redimita, ô digna gloria Athenæ.
Monstrate virum nobis, qui ter a Græcorum imperat vnus.
E AG. Hic ille cicadifer est, specie antiqua vultúque sereno:
Non suffragia, sed pacem redolens, vnguento illitus apto.
CH. Salue Rex Græcorum, tibi nos gratamur mentibus æquis:
Nam digna facis vrbe hac, digna illis in Marathone tropæis.

Σχόλια. Εὐφημεῖν χρή.] στίχοι ἐν ἐκθέσει ἀναπαιστικοὶ τετράμετροι καταληκτικοὶ ἑννεακαίδεκα. ἐπὶ τῷ τέλει παράγραφος. Οἷς ἡ πόλις] ὅτι φιλόδικοι ἦσαν Ἀθηναῖοι. παιωνίζειν δὲ ὕμνον παιᾶνα ᾄδειν. Ἐφ' ὅτῳ κνισσῶμεν ἀγυιάς.] ἔθυον γὰρ πρὸ τῶν εὐαγγελίων πρὸ τῶν πυλῶν ἕκαστος. ἀγυιὰς δὲ, τοὺς ἀγυιεῖς θεούς. ἀντὶ τοῦ θυσίας ἐπιτελοῦμεν τοῖς θεοῖς. ἄλλως. ἔθος ἦν τοῖς ἐν ἀγυιαῖς ἱσταμένοις θεοῖς ἐπὶ τῶν ἐρχομένων ἀγγελίαις θύειν. ὡς ἂν εἰ ἀγαθαὶ εἶεν ἐπινεύσαντες ταύταις. εἰ δὲ τοὐναντίον ἀποτρέψαιεν.

BISETVS. Ἀγυιάς] Ἀγυιὰ ἡ ῥύμη παρὰ τὸ ἄγειν. ὅθεν ἀγυιεὺς κίων πρὸ τῶν θυρῶν ἱστὸς καὶ ἀγυιάτιδες θεράπαιναι, οἱ πρὸ τῶν θυρῶν βωμοί. καὶ Ἀγυιεὺς Ἀπόλλων. ταύτας Εὐσταθιος ὁ δὲ Σουίδας τὰς ἀγυιὰς ἑρμηνεύει ἄμφοδα, καὶ ἐπιμήκεις ὁδούς. παρὰ τὸ μὴ ἔχειν γυῖα, ἤγουν μέλη, καὶ καμπάς. τὰ δὲ ἄμφοδα ἔχουσιν ἑκατέρωθεν διεξόδους. καὶ ταύτῃ διαφέρουσιν. ἀγυιὰς δὲ ἔνιοι μὲν ὀξύνουσι, F θηλυκῶς δὲ χρώμενοι, εἰς τὰς ὁδούς. βέλτιον δὲ περισπᾶν ὡς ἀπὸ τῆς ἀγυιᾶς. Ἀγυιεὺς δέ ἐστι κίων εἰς ὀξὺ λήγων, ὃν ἱστᾶσι πρὸ τῶν θυρῶν. ἰδίως δέ φασιν αὐτοὺς εἶναι Ἀπόλλωνος. οἱ δὲ Διονύσου. οἱ δὲ ἀμφοῖν. ἔστιν οὖν τὸ ὁλόκληρον ἀγυιεύς. καὶ ἡ αἰτιατικὴ, ἀγυιέας. ἐν συναλοιφῇ δὲ ἀγυιᾶς. ἔστι δὲ ἴδιον Δωριέων. εἶεν δ' ἂν οἱ παρὰ τοῖς Ἀττικοῖς λεγόμενοι ἀγυιεῖς, οἱ πρὸ τῶν οἰκιῶν βωμοί, ὡς Σοφοκλῆς μετάγων τὰ Ἀθηναίων ἔθη εἰς Τροίαν φησι,

Λάμπει δ' ἀγυιεὺς βωμὸς ἀτμίζων πυρὶ
G Σμύρνης σταλαγμοὺς βαρβάρους εὐοσμίας.

καὶ ἀγυιεὺς ὁ πρὸ τῶν αὐλείων θυρῶν κωνοειδὴς κίων, ἱερὸς Ἀπόλλωνος, καὶ αὐτὸς θεός. Φερεκράτης Κραπατάλοις,

Ὦ δέσποτ' Ἀγυιεῦ ταῦτα σὺ μέμνησό μου.

Σχόλια. Ἀφεψήσας.] καλῶς, ὡς μάγειρος. ὥσπερ ἡ Μήδεια λέγεται ὡς μὲν Αἰσχύλος ἱστορεῖ, τὰς τροφοὺς τοῦ Διονύσου ἀφεψήσασα ἀνανεάσαι ποιῆσαι μετὰ τῶν ἀνδρῶν

αὐτῶν. ὡς δὴ ὁ τοὺς νόστους ποιήσας καὶ τὸν Αἴσονα λέγων οὕτως.

Αὐτίκα δ' Αἴσονα θῆκε φίλον κόρον ἡβώοντα.
Γῆρας ἀποξύσασ' ἰδυίῃσι πραπίδεσσι.
Φάρμακα πόλλ' ἕψουσ' ἐπὶ χρυσείοισι λέβησι.

Φερεκύδης δὲ καὶ Σιμωνίδης τὸν Ἰάσονα. Ἰοστεφάνοις.] ἰοστεφανουμέναις. ἴον δὲ τὸ λευκὸν ἄνθος καὶ μέλαν. Ἀριστείδῃ πρότερον] ἄριστοι ἐγένοντο ἀμφότεροι. Ἀριστείδης ἦν ὁ δίκαιος ἐπικαλούμενος. καὶ Μιλτιάδης ὁ στρατηγός. ὅτε ἐν Μαραθῶνι ἐστρατήγησε. τοιοῦτος οὖν φησιν ὁ δῆμος ἐν τοιαύτῃ καταστάσει, οἷος ἦν πολιτευομένων ἐκείνων. Ἀλλ' ὀλολύξατε] εὔξασθε. ἀνευφημήσατε. καὶ Ὅμηρος. αἳ δ' ὀλολυγῇ πᾶσαι. Ὦ ταὶ λιπαραί.] ἀπὸ Πινδάρου παρῳδεῖται. Ἀριζήλωτοι.] αἱ ἥρωες. ἢ γέμουσαι κατορθωμάτων. Τεττιγοφόρος.] ἦν τοῖς Ἀθηναίοις τὸ πάλαι τέττιξι χρυσοῖς ἀναδεῖσθαι τὴν κόμην. ὡς Θουκυδίδης. οὕτω οἱ εὐγενεῖς ἐφόρουν παῖδες καὶ ἄνδρες πλέκοντες τὴν κεφαλήν. Οὐ χοιρίνων ὄζων] ὅτι χοιρίναις ἐχρῶντο πρότερον πρὸ τῶν ψήφων. εἰσὶ δὲ τινες κόγχαι θαλάσσιαι. σπονδῶν δὲ, τῶν τῆς εἰρήνης. Καὶ τοὺν Μαραθῶνι.] εἰκότως τούτου ἐμνημόνευσεν. ἐπειδὴ Ἀθηναῖοι μόνοι ἐν Μαραθῶνι τοὺς Βαρβάρους ἐνίκησαν. ἡ γὰρ ἐν Σαλαμῖνι νίκη καὶ ἡ ἐν Πλαταιαῖς, ἐδόκει κοινὸν ἔργον εἶναι πάντων Ἑλλήνων. ἄλλως. μόνον τούτου μέμνηται. ὅτι τὰ μὲν ἄλλα κατορθώματα, κοινῇ πᾶσα ἡ Ἑλλὰς ἐποίησε κατὰ τῶν Βαρβάρων. τὰ δ' ἐν Μαραθῶνι, μόνοι Ἀθηναῖοι.

Bisetus. τοὺν] ἀντὶ τοῦ, τὸ ἐν.

Σχόλια. Τρόπαια.] τὰ κατὰ τῶν Βαρβάρων εἶπε καὶ τοῦ τροπαίου οὗπερ ἔστησαν ἐν Μαραθῶνι, καταναυμαχήσαντες αὐτοὺς καὶ νικήσαντες.

ΔΡΑΜΑΤΟΣ ΤΟΥ ΠΕΜΠΤΟΥ, Σκηνὴ δευτέρα.

ΔΗΜΟΣ, ΑΛΛΑΝΤΟΠΩΛΗΣ, ΧΟΡΟΣ.

ACTVS V. SCENA secunda.

Popvlvs, Agoracritvs, Chorvs.

Bisetus. Ὁ δῆμος ἐπαινεῖ τὸν Ἀγοράκριτον διὰ πολλὰς εὐεργεσίας, ἃς ὑπ' αὐτοῦ ἔπαθεν. ὁ δὲ φανερῶς δηλοῖ ὅσης τυφλότητος, καὶ εὐηθείας αὐτὸν ἀπαλλάξειεν, ὅτι τὸν τῶν ῥητόρων, καὶ σοφιστῶν τέχναις, καὶ σοφίσμασιν αὐτὸν ἐξαπατᾶσθαι οὐκ ἐπιστεύετο.

Bisetus. Ἐκθέσεις στίχων ος΄.

Δη. Ὦ Φίλτατ' ἀνδρῶν, ἐλθὲ δεῦρ' Ἀγοράκριτε.
Ὅσα με δέδρακας ἀγαθ' ἀφεψήσας; Αλ. ἐγώ;
Ἀλλ' ὦ μέλ'. οὐκ οἶσθ' οἷος ἦσθ' αὐτὸς πάρος
Οὐδ' οἷον ἔδρας. ἐμὲ γὰρ νομίζοις ἂν θεόν.
Δη. Τί δ' ἔδρων; κάτειπέ μοι πρότερον. ποῖος τις ἦν;
Αλλ. Πρῶτον μὲν, ὁπότ' εἴποι τις ἐν τῇ 'κκλησίᾳ.
Ὦ δῆμ', ἐραστής εἰμι σός. φιλῶ τέ σε,
Καὶ κήδομαί σου, καὶ προβουλεύω μόνος.
Τούτοις ὁπότε χρήσαιτό τις προοιμίοις,
Ἀνωρτάλιζες, κἀκερατίας. Δη. ἐγώ;
Αλ. Εἶτ' ἐξαπατήσας σ', ἀντὶ τούτων ᾤχετο.
Δη. Τί φῄς; τοιαῦτά μ' ἔδρων, ἐγὼ δ' οὐκ ᾐσθόμην.
Αλ. Τὰ δ' ὦτα γάρ σου, νὴ Δί', ἐξεπετάννυτο,
Ὥσπερ σκιάδιον, καὶ πάλιν ξυνήγετο.

PO. Hominum carissime huc ades Agoracrite:
Quanto tu recoquendo me affecisti bono?
AG. Egon'? ô miser, nescis tu qualis antea
Fueris, quæ feceris: ut me credas iam Deum.
PO. Quid feci igitur: cedo, qualis fui antehac?
AG. Primo quidem si quis dicebat in foro:
O pople amans tui sum, & te unice colo,
Et curam gero tui, & solus tibi consulo,
Si quis talibus utebatur lenociniis:
Ibi tu expassis alis tollebas cornua.
PO. Egon'? AG. post, ubi verba dedit, pro his liber abijt.
PO. Quid ais? hæc illi fecerunt, sed me inscio.
AG. At per Iouem, aures expandebantur tuæ,
Et complicabantur, quasi quoddam umbraculũ.

Σχ. Ὦ φίλτατ' ἀνδρῶν] ἐν ἐκθέσει ἴαμβοι τρίμετροι καταληκτικοὶ ος΄. καὶ μετὰ τὸ τελευταῖον κορωνὶς ἡ τοῦ δράματος. Ἀλλ' ὦ μέλε] τὸ ὦ μέλε, οὐκ ἐπὶ βλασφημίας ἐτάττετο.

Biset. Τίς ἦν] ἀντὶ τοῦ τίς ἦν, καὶ ὑπῆρχον ἴσως; εὐσταθ. ἦν ἀντὶ τοῦ ὑπῆρχον, Ἀττικῶς χωρὶς τοῦ ν, ἐκ τοῦ ἔα ἰωνικοῦ κέκραται. καὶ ἐπὶ τρίτου προσώπου οὐδέποτε χωρὶς τοῦ ν λέγεται.

Σχ. Ἐν τῇ 'κκλησίᾳ.] ἔστις πρὸς χάριν λέγων κολακεύσῃ σε, ἐραστὴς σου προσποιούμενος. τοιούτοις γὰρ οἱ στρατηγοὶ ἐκολάκευον τὸν δῆμον ῥήμασιν. Ἀνωρτάλιζες] ἐμετεωρίζου καὶ μάλα ἐφρόνεις. ἢ ἀντὶ τοῦ ἀνεκεφίζου. ἀρχοῦ. ἐπῃροῦ. καὶ ταχέως ἐπίστευες πρὶν δοκιμάσῃς. ὀρταλίζειν γὰρ λέγεται ἐπὶ τῶν ἀρχομένων ἀναπτερύσσεσθαι ὀρνίθων. ἄλλως. ὄρω ἐστὶ ῥῆμα βαρύτερον. ἔνθεν ὅτε τ' ὤρετο μητίετα Ζεύς. ἀφ' οὗ ὄνομα ῥηματικὸν. ὄρτος. καὶ ὀρτῶ ῥῆμα, τὸ δὲ ὀρτῶ ῥῆμα σημαίνει τὸ ὀρτίζω. καὶ πλεονασμῷ τῆς αλ συλλαβῆς, ὀρταλίζω. δηλοῖ δὲ τὸ ὀρταλίζειν, τὸ ἀναρριπτεῖν τὰ νέοττια τῶν παιδίων. ἐπὶ ὀρούειν ποιεῖν εἰς ὕψος. κατεχρῶντο δὲ τῇ λέξει, καὶ ἐπὶ ἄλλης κινήσεως ἥν τινα εἶδος μετέωρου. Κἀκερατίας] τὴν κεφαλὴν ἀνέτεινας δίκην τῶν κερατοφόρων ζῴων, ὅτι ὑψοῦν. τινὲς δὲ μετεωρίζοντα τὴν κορυφήν. δηλοῖ δὲ τὸ γαυριᾶν. ὡς ἔλαφος φασὶν ἠγάλλου τοῖς κέρασιν. ἀπὸ δὲ τῶν κερατοφυούντων ἡ λέξις. ἐξῆς οὖν τοῦ πτερόφυτον, εἶπε τὸ κερατοφυεῖν. Ἐξεπετάννυτο.] ἐξηνοίγετο. τουτέστι ῥᾳδίως ἐπείθου τοῖς λέγουσι. Σκιάδιον.] σκέπασμά τι ὅπερ αἱ γυναῖκες παρὰ τοῖς Ἀθηναίοις ἔχουσι θέρους ὑπὲρ τοῦ μὴ καίεσθαι τὰς ὄψεις ὑπὸ τοῦ ἡλίου. ἐκτείνεται δὲ καὶ συστέλλεται πρὸς τὸν κατεπείγοντα καιρόν.

Bisetus. Σκιάδιον.] Σ. σκιάδιον, κατασκεύασμά τι, ὅπερ ἐφόρουν αἱ κανηφόροι ἀπιοῦσαι εἰς τὰ Ἐλευσίνια, ἕνεκεν τοῦ μὴ καίεσθαι ὑπὸ τοῦ ἡλίου. ἢ ὅπερ ἡμεῖς καμηλαύκιον λέγομεν.

Δη. Οὐ-

Δη. Οὕτως ἀνόητος ἐγεγενήμην καὶ γέρων;
Αλλ. Καὶ νὴ Δία γ' εἰ δύω λεγοίτην ῥήτορε,
Ὁ μὲν, ποιεῖσθαι ναῦς λέγων, ὁ δ' ἕτερος αὖ,
Καταμισθοφορῆσαι, τοῦτον ὁ τὸν μισθὸν λέγων,
Τὸν τὰς τριήρεις παραδραμὼν ἂν ᾤχετο.
Οὗτος τί κύπτεις; οὐχὶ κατὰ χώραν μενεῖς;
Δη. Αἰσχύνομαί τοι ταῖς πρότερον ἁμαρτίαις.
Αλλ. Ἀλλ' οὐ σὺ τούτων αἴτιος, μὴ φροντίσῃς.
Ἀλλ' οἵ σε ταῦτ' ἐξηπάτων. νῦν δὲ φράζε.
Ἐάν τις εἴπῃ βωμολόχος ξυνήγορος,
Οὐκ ἔστιν ὑμῖν τοῖς δικασταῖς ἄλφιτα,
Εἰ μὴ καταγνώσεσθε ταύτην τὴν δίκην,
Τοῦτον τί δράσεις εἰπὲ τὸν ξυνήγορον;
Δη. Ἄρας μετέωρον, εἰς τὸ βάραθρον ἐμβαλῶ,
Ἐκ τοῦ λάρυγγος ἐκκρεμάσας Ὑπέρβολον.
Αλλ. Τουτὶ μὲν ὀρθῶς καὶ φρονίμως ἤδη λέγεις.
Τὰ δ' ἄλλα φέρ' ἴδω πῶς πολιτεύσει, φράσον.
Δη. Πρῶτον μὲν, ὁπόσοι ναῦς ἐλαύνουσι μακράς,
Καταγομένοις τὸν μισθὸν ἀποδώσω 'ντελῆ.
Αλλ. Πολλοῖς γ' ὑπολίσποις πυγιδίοισιν ἐχαρίσω.
Δη. Ἔπειθ' ὁ πολίτης ἐντεθεὶς ἐν καταλόγῳ,
Οὐδεὶς κατὰ σπουδὰς μεταγραφήσεται.
Ἀλλ' ὥσπερ ἦν τὸ πρῶτον ἐγγεγράψεται.
Αλλ. Τοῦτ' ἔδακε τὸν πόρπακα τὸν Κλεωνύμου.
Δη. Οὐδ' ἀγοράσει γ' ἀγένειος οὐδεὶς ἐν ἀγορᾷ.
Αλλ. Ποῦ δῆτα Κλεισθένης ἀγοράσει καὶ Στράτων;
Τὰ μειράκια ταυτὶ λέγω τὰ 'ν τῷ μύρῳ,
Ἃ στωμυλεῖται τοιαδὶ καθήμενα.
Σοφός γ' ὁ Φαίαξ, δεξιῶς τ' οὐκ ἀπέθανε.
Συνερκτικὸς γάρ ἐστι καὶ περαντικὸς
Καὶ γνωμοτυπικὸς, καὶ σαφὴς, καὶ κρουστικός.
Καταληπτικός τ' ἄριστα τοῦ θορυβητικοῦ.
Χο. Οὐκοῦν καταδακτυλικὸς σὺ τοῦ λαλητικοῦ.
Δη. Μὰ Δί' ἀλλ' ἀναγκάσω κυνηγετεῖν ἐγὼ
Τούτους ἅπαντας, παυσαμένους ψηφισμάτων.
Αλλ. Ἔχε νυν ἐπὶ τούτοις τουτονὶ τὸν ὀκλαδίαν.
Καὶ παῖδ' ἐνόρχην ὅσπερ οἴσει τόνδε σοι.
Κἄν που δοκῇ σοι, τοῦτον ὀκλαδίαν ποίει.
Δη. Μακάριος, ἐς τἀρχαῖα δὴ καθίσταμαι.

A *PO. Adeon' stultus atq; delirus fui?*
AG. Et per Iouem si duo dicebant Rhetores,
Quorum alter naues confici suaderet, &
Alter stipendia militaria soluere:
Hic, qui verba faciebat de stipendiis,
Illum, qui de triremibus te monuerat,
Praterlabebatur. quid aspectas humum
Obstipo capite? annon manebis hoc loco?
B *PO. Pudet praeteritorum delictorum, ac piget.*
AG. At nulla in te culpa est, ne solicitus sies,
Sed in his, qui tibi verba dedêre. age verò, cedo,
Nunc si quis aduocatus scurra diceret,
Nihil farinae vobis iudicibus erit,
Nisi priùs hanc causam damnaueritis. age
Quid huic facturus es aduocato? cedo mihi.
PO. Raptum sublimem, in barathrum praecipitem
dabo:
C *Et Hyperbolo ipsi, laqueo interstringam gulam.*
AG. Sapienter hoc & rectè iam pronuncias.
Sed quomodo ordinabis caetera? dic age.
PO. Primum quicunque naues longas remo agunt,
His militibus integram dabo stipendium.
AG. Multis detritis natibus gratum feceris.
D *PO. Deinde nemo ciuium relatus in*
Numerum: pòst praeproperè transscribetur aliò.
Sed, vt erat primitus, ita inscribetur statim,
AG. Hoc marculum Cleonymi momorderit.
PO. Nemo imberbis pòst in foro versabitur.
AG. Vbi ergo Clisthenes manebit & Strato?
Hos dico adolescentes, vnguentis illitos.
Qui considentes haec verba assiduè crepant.
E *Sapiens est Phaeax, sed mortem non prosperè*
Obiuit: nam & membra aptè scit connectere,
Et terminare, formareq; sententias,
Et perspicuus est, atque in dicendo vehemens,
Et aduersus tumultuantem quàm optimè
Praeoccupare animos auditorum potest.
CH. Non tu hominem garrulum digitis praeoccupes?
F *PO. Non per Iouem: sed hos omnes venarier*
Cogam, & Senatusconsulta intermittere.
AG. Habe nunc pro istis hanc sellam plicatilem,
Puerumq; testiculatum, qui sellam ferat.
Vbi tibi visum fuerit sellam ipsum face.
PO. Beatum me, qui restituor in pristinum.

Σχόλια. Καταμισθοφορῆσαι.] εἰς μισθὸν ἀναλῶσαι. μισθὸν διδόναι ἐν τῇ ἐκκλησίᾳ καὶ τοῖς δικαστηρίοις, τὸ δικαστικὸν καὶ τὸ ἐκκλησιαστικόν. παραδραμὼν δὲ παρευδοκιμήσας. Τί κύπτεις.] τοῖς αἰσχυνθέντος αὐτοῦ. δεῖ δὲ νοεῖν ὅτι ὁ δῆμος ἀκούσας ταῦτα, ὑπὸ αἰδοῦς κατέκυψε καὶ εἰς τὴν γῆν ἀτενῶς ἀφεώρα· ἐπεὶ αἰδοῦνται ἐφ' οἷς ἐδόκει ... καὶ ὡς πρᾶξαι. Οὐχὶ κατὰ χώραν μενεῖς.] ἀντὶ τοῦ μενεῖς καὶ ἡσυχίαν ἄξεις. Εἰ μὴ καταγνώσεσθε.] εἰ μὴ κατακρινεῖτε καὶ καταδικάσετε. Εἰς τὸ βάραθρον.] τόπος Ἀθήνησι βαθύς, ὅπου καὶ τοὺς Δαρείου πρέσβεις ἐβαλον. πάντα δὲ τὰ ἐκεῖ βαλλόμενα, ἀφανῆ ἐποίει. Ἐκ τοῦ λάρυγγος.] ὅταν γὰρ καταποντῶσί τινας, βάρος ἀπὸ τῶν τραχήλων ἐκρέμων. ἀντὶ δὲ τοῦ εἰπεῖν λίθον, Ὑπέρβολον εἶπεν. φαίνεται δὲ ὁ Ὑπέρβολος ἤδη εἰσβὰς εἰς τὴν πολιτείαν. λέγεται δὲ καὶ λάρυγξ καὶ φάρυγξ. Ναῦς ἐλαύνουσι μακράς.] πολεμίας. τὰς τριήρεις δή φησι. τὰ δὲ στρογγύλα πλοῖα, φορτηγά εἰσιν. Ὑπολίσποις.] οἱ γὰρ Ἀθηναῖοι πάντες, λεπτοὶ ἐτύγχανον τὰ ὀπίσθια ἀπὸ Θησέως. ὑπόλισπα δὲ τὰ τετριμμένα. κοινῶς γοῦν τοὺς Ἀθηναίους λεπτόπυγάς φασι καὶ πλάττονται τὸ περὶ Θησέως

G

A μύθευον. ὅτι ἐλκόμενος ὑπὸ Ἡρακλέους κατέλιπεν ἐπὶ τὴν πέτραν τὴν πυγήν. νῦν δὲ οἰκείως εἶπεν ἐπὶ τῶν ἐρεττόντων διὰ τὴν καθέδραν λεπτοπύγων ὄντων, ἄλλως. ἱστορουμένοις. τεκμαίρεται δὲ αἱ πυγαὶ τῶν ναυτῶν διὰ τὴν συνεχῆ ἕδραν καὶ εἰρεσίαν. Ἐν καταλόγῳ.] ἐν τῷ καταλόγῳ. ἐν τοῖς πίναξιν, ἐν οἷς ἀνεγέγραφον τῶν στρατευομένων τὰ ὀνόματα. ἐκαλοῦντο γὰρ κατάλογοι. κατὰ σπουδὰς δὲ κατ' ἄλλην σπουδήν. Τὸν πόρπακα.] δειλὸς γὰρ καὶ ῥίψασπις ὁ Κλεώνυμος οὗ καὶ ἐν Νεφέλαις μέμνηται. Οὐδ' ἀγοράσει.] οὐ νῦν ἐν ἀγορᾷ διατρίψει. Κλεισθένης καὶ Στράτων.] γελοῖοί τε οὗτοι καὶ πεπλασμένοι τὰ γένεια, λεῖοι δὲ καὶ μαλακοί. Τἀν τῷ μύρῳ.] οὕτως Ἀττικῶς ἀντὶ τοῦ ἐν μυροπωλείῳ, ἀπὸ τῶν πωλουμένων τοὺς τόπους καλοῦντες. Φαίαξ.] συνεστὸς ῥήτωρ ὁ Φαίαξ ἐστίν, ὡς καὶ ἀποφυγεῖν ἐπὶ θανάτῳ ὑπ' αὐτοφώρῳ κρινόμενος. κωμῳδεῖται δὲ ὡς τὰ στωμύλα μειράκια καὶ ἐξαπατῶν. Συστρεπτικός.] συνείρειν τοὺς λόγους καὶ συντιθέναι δυνάμενος εὐκόλως. περαντικὸς δέ, πέρας ἐπιτιθεὶς τοῖς λόγοις. Κρουστικός.] τὰ ὦτα τῶν ἀκροωμένων κρούων τῇ σφοδρότητι τῶν λόγων. Καταληπτικός.] προκαταλαμβανόμενος τοὺς ἀκούοντας ὥστε θόρυβον μὴ κινῆσαι. Καταδακτυλικός.] ἀντὶ τοῦ συμποσιαστικὸς κατὰ τὸ δακτύλιον τὸ ποιοῦν. τὸ λαλητικοῦ δέ, τῶν λαλούντων ταῦτα, τῶν περὶ Κλεισθένη καὶ Στράτωνα. ἄδηλος δὲ ὁ στίχος, καὶ πάντες αὐτὸν ἐσημειώσαντο, διὰ τὸ ἀκατάλληλον. ἄδηλον γὰρ τίς τίνι

B λέγει. Ὀκλαδίαν.] ὀκλαδίας συγκεκλασμένος δίφρος καὶ ποτὲ μὲν ἐκτεινόμενος, ποτὲ δὲ συστελλόμενος. Καὶ παῖδ' ἐνόρχην.] ἐπεὶ παρὰ τοῖς βαρβάροις σπάδοντες, ἐστ' ἐνόρχην δίδωσι. Τοῦτον.] τὸν παῖδα. παίζει δὲ περαίνειν καὶ κύφειν ποιεῖν κακεμφάτως.

ΑΛΛ. Φήσεις γ' ἐπειδὰν τὰς τριακοντούτιδας
Σπονδὰς παραδῶ σοι. δεῦρ' ἴθ' αἱ σπονδαὶ ταχύ.
ΔΗ. Ὦ Ζεῦ πολυτίμηθ' ὡς καλαί. πρὸς τῶν θεῶν
Ἔξεστιν αὐτῶν κατατριακοντουτίσαι;
Πῶς ἔλαβες ταύτας ἐτεόν. ΑΛΛ. οὐ γὰρ ὁ Παφλαγὼν
Ἀπέκρυπτε ταύτας ἔνδον ἵνα μὴ σὺ λάβῃς.
Νῦν οὖν ἐγώ σοι παραδίδωμ' εἰς τοὺς ἀγροὺς
Αὐτὰς ἰέναι λαβόντα. ΔΗ. τὸν δὲ Παφλαγόνα,
Ὃς ταῦτ' ἔδρασεν εἴφ' ὅ, τι ποιήσεις κακόν.
ΑΛΛ. Οὐδὲν μέγ' ἀλλ' ἢ τὴν ἐμὴν ἕξει τέχνην.
Ἐπὶ ταῖς πύλαις ἀλλαντοπωλήσει μόνος,
Τὰ κύνεια μιγνὺς τοῖς ὀνείοις πράγμασιν.
Μεθύων τε ταῖς πόρναισι λοιδορήσεται.
Κἀκ τῶν βαλανείων αὖ τὸ λοῦτρον πίεται.
ΔΗ. Εὖ γ' ἐπενόησας οὗπερ ἐστὶν ἄξιος
Πόρναισι καὶ βαλανεῦσι διακεκραγέναι.
Καί σ' ἀντὶ τούτων, εἰς τὸ Πρυτανεῖον καλῶ.
Ἐς τὴν ἕδραν θ' ἵν' ἐκεῖνος ἦν ὁ φαρμακός.
Ἕπου δὲ ταυτηνὶ λαβὼν τὴν βατραχίδα.
Κἀκεῖνον ἐκφερέτω τις ὡς ἐπὶ τὴν τέχνην.
Ἵν' ἴδωσιν αὐτὸν οἷς ἐλωβᾶθ', οἱ ξένοι.

AG. Hoc tum dices, ubi ego fœdus tibi dedero
Triginta annorum. Adeste huc illicò fœdera.
PO. Proh Iuppiter, quàm sunt formosæ! per Deos
C *Oro, liceat cum ipsis habere rem mihi.*
Amábo, quomodo nam abstulit hæc fœdera?
AG. Annón ea occultârat intus Paphlago,
Ne tu posses adipisci? at nunc ego do tibi,
Vt hinc rus tecum abducas. PO. sed quid Paphlagoni,
Hæc qui perpetrauit mala, inferes mali?
AG. Nihil aliud maius, nisi ut artem exerceat
D *Meam, & ad portas solus vendat farcimina:*
Canina miscens asininis negocijs,
Et ebrius scortis dicat conuitia:
Tum è balneis lauacrum perpetim bibat.
PO. Euge reperisti supplicium, quo dignus est,
Vt à scortis & balneatorum grege
Explodatur: ego pro his te in Prytanæum voco:
Vt eam sedem occupes, quam prior ille tenuit
Veneficus. sequere hac, & vestem hanc indue:
Illum producat huc quispiam ad artem suam,
E *Vt eum hospites videant, quibus damnum dedit.*

Σχόλια. Τριακοντούτιδας.] πόρνας εἰσφέρει, διὸ καὶ φησίν. ἔξεστιν αὐτῶν κατατριακοντουτίσαι, τουτέστιν εἰς συνουσίαν λαβεῖν. Σπονδάς.] σπονδὰς ἐποιήσαντο μετὰ Εὐβοίας ἅλωσιν οἱ Ἕλληνες πρὸς ἑαυτοὺς πρὸ τοῦ Πελοποννησιακοῦ πολέμου. Ὡς καλαί.] εἰσῆλθον αἱ ἑταῖραι ὡραῖαι τὰς ὄψεις, ὑποκρινόμεναι τὰ πρόσωπα τῶν σπονδῶν πρὸς ἃς λέγει ὁ Δῆμος. Οὐ γὰρ ὁ Παφλαγών.] μετὰ τὴν Κλέωνος καὶ Βρασίδου τελευτήν, σπονδαὶ τοῖς
F Πελοποννησίοις καὶ Ἀθηναίοις ἐγένοντο τριακοντούτιδες. οὗτοι γὰρ ἠναντιοῦντο τῇ εἰρήνῃ. ἀποθανόντων δὲ αὐτῶν ἐγένοντο αἱ σπονδαί. Τὰ κύνεια μιγνύς.] συμφύρων τὰ τῆς πόλεως πράγματα. ὅτι καὶ οἱ μάγειροι τὰ κρέα μιγνύουσιν. ἔθος γὰρ αὐτοῖς μιγνύειν κρέα προβάτων τε καὶ αἰγῶν, καὶ προτιθέναι ὡς μόνων προβάτων, καὶ ἐξαπατᾶν τοὺς ἀφελεστέρους.

Bisetus. Τοῖς ὀνείοις πράγμασιν.] ἀντὶ τοῦ τοῖς τῶν ὄνων κρέασιν.

Σχόλια. τὸ λοῦτρον] τὸ ἀπόλυμα καὶ ῥυπαρόν. ὅ ἐστι, τὸ ἀπόλουτρον. ἐς τὴν ἕδραν δὲ εἰς τὴν προεδρίαν. Τὴν βατραχίδα] εἶδος ἐσθῆτος ἀνθινῆς, ὅμοιον τῷ ὀνόματι ἔχουσα τὸ χρῶμα. Ἐκφερέτω] αἰρόμενος ἐκφερέσθω ὁ Κλέων, τὸ δὲ ἑξῆς ἵνα ἴδωσιν αὐτὸν οἱ ξένοι οὓς ἐλωβᾶτο.

ΤΕΛΟΣ.

ΑΧΑΡ-

ΑΧΑΡΝΕΩΝ ΥΠΟΘΕΣΙΣ.

Ἐκκλησία ὑφέστηκεν Ἀθήνησιν ἐν τῷ φανερῷ, καθ' ἣν προπολεμοῦντες οἱ ῥήτορες καὶ προφανῶς τὸν δῆμον ἐξαπατῶντες, Δικαιόπολίς τις τῶν αὐτουργῶν, ἐξελέγχων παρεισάγεται. Τούτου δὲ διά τινος Ἀμφιθέου σπεισαμένου κατ' ἰδίαν τοῖς Λάκωσιν, Ἀχαρνικοὶ γέροντες πεπυσμένοι τὸ πρᾶγμα, διώκοντες ἐν χοροῦ σχήματι προσέρχονται· καὶ μετὰ ταῦτα θύοντα τὸν Δικαιόπολιν ὁρῶντες, ὡς ἐσπεισμένον τοῖς πολεμίοις καταλεύσειν ὁρμῶσιν. ὁ δὲ, ὑποσχόμενος ὑπὲρ ἐπιξήνου τὴν κεφαλὴν ἔχων ἀπολογήσασθαι, ἐφ' ᾧ τε ἐὰν μὴ πείσῃ τὸν τράχηλον ἀποκοπήσεσθαι, ἐλθὼν ὡς Εὐριπίδην, τραγικὴν στολὴν αἰτεῖ. καὶ στολισθεὶς τοῖς Τηλέφου ῥακώμασι, παρῳδεῖ τὸν ἐκείνου λόγον οὐκ ἀχαρίτως, καθαπτόμενος Περικλέους περὶ τοῦ Μεγαρικοῦ ψηφίσματος. παροξυνθέντων δέ τινων ἐπὶ τῷ δοκεῖν συνηγορεῖν τοῖς πολεμίοις εἶτα ἐπιφερομένων, ἐνισταμένων δὲ ἑτέρων ὡς τὰ δίκαια εἰρηκότος αὐτοῦ, ἐπιφανεὶς Λάμαχος, θορυβεῖν πειρᾶται. εἶτα γινομένου διελκυσμοῦ, κατηνεχθεὶς ὁ χορὸς, ἀπολύει τὸν Δικαιόπολιν. καὶ πρὸς αὐτοὺς δικαστὰς περὶ τῆς τοῦ ποιητοῦ ἀρετῆς καὶ ἄλλων τινῶν διαλέγεται. τοῦ δὲ Δικαιοπόλιδος ἄγοντος καθ' αὐτὸν εἰρήνην, τὸ μὲν πρῶτον Μεγαρικός τις εἰς χοιρίδια διεσκευασμένα παιδία ἑαυτοῦ φέρων ἐν σάκκῳ πράσιμα παραγίνεται· μετὰ δὲ τοῦτον, ἐκ Βοιωτῶν ἕτερος, ἐγχέλεις τε καὶ παντοδαπῶν ὀρνίθων γένος ἀναπιθέμενος εἰς τὴν ἀγοράν. οἷς ἐπιφανέντων τινῶν συκοφαντῶν, συλλαβόμενος ἕνα ἐξ αὐτῶν ὁ Δικαιόπολις καὶ βαλὼν εἰς σάκκον, τοῦτόν τε τῷ Βοιωτῷ ἀντίφορτον ἐξάγειν ἐκ τῶν Ἀθηνῶν παραδίδωσι, καὶ προσαποστελλόντων αὐτῷ πλειόνων, καὶ δεομένων μεταδοῦναι τῶν σπονδῶν, καθυπερηφανεῖ. παροικοῦντος δὲ αὐτῷ Λαμάχου, καὶ ἐνεστηκυίας τῆς τῶν χοῶν ἑορτῆς, τούτῳ ἄγγελος παρὰ τῶν στρατηγῶν ἥκων, κελεύει ἐξιόντα μετὰ τῶν ὅπλων, τὰς εἰσβολὰς τηρεῖν. τὸν δὲ Δικαιόπολιν παρὰ τοῦ ἱερέως τις τοῦ Διονύσου καλῶν, ἐπὶ δεῖπνον ἔρχεται. καὶ μετ' ὀλίγον ὁ μὲν τραυματίας καὶ κακῶς ἀπαλλάττων, ἐπανήκει. ὁ δὲ Δικαιόπολις δεδειπνηκὼς καὶ μεθ' ἑταίρας ἀναλύων. τὸ δὲ δρᾶμα τῶν εὖ σφόδρα πεποιημένων, καὶ ἐκ παντὸς τρόπου τὴν εἰρήνην προσκαλούμενον.

Ἄλλως Ἀριστοφάνους γραμματικοῦ δι' ἰαμβείων.

Ἐκκλησίας οὔσης, παραγίνονταί τινες
Παρὰ Περσῶν. καὶ παρὰ Σιτάλκους πάλιν.
Οἱ μὲν στρατιὰν ἄγοντες. οἱ δὲ χρυσίον.
Παρὰ τῶν Λακεδαιμονίων τε μετὰ τούτους τινὲς
Σπονδὰς φέροντες. οὓς Ἀχαρνεῖς οὐδαμῶς
Εἴασαν. ἀλλ' ἐξέβαλον. ὧν καθάπτεται
Σκληρῶς ὁ ποιητής. αὐτὸ τὸ ψήφισμά τε,
Μεγαρικὸν ὡς ἱκανῶς φησι. καὶ τὸν Περικλέα.
Οὐχ ἡ τῶν Λακώνων. τῶν δὲ πάντων αἴτιον.
Σπονδὰς λύσιν τε τῶν ἐφεστώτων κακῶν.

Ἐδιδάχθη ἐπὶ Εὐθυμένους ἄρχοντος ἐν Ληναίοις διὰ Καλλιστράτου. καὶ πρῶτος ἦν. δεύτερος Κρατῖνος Χειμαζομένοις. οὐ σώζεται. τρίτος Εὔπολις Νουμηνίαις.

OCCASIO FABVLÆ, QVÆ INSCRIBITVR ACHARNENSES EX ATHEnæo, Thucydide, Diodoro Siculo, & Plutarcho.

EX FRISCHLINO.

ERAT *Athenis Aſpaſia Socratica, mulier ſpecioſiſſima: cuius fama vniuerſam Græciam compleuerat. Hanc impendio amabat Pericles, ciuitatis Atticæ Prætor. Cùm autem iuuenes Athenienſes temulenti, Megaram fuiſſent profecti, & Simathã nobile ſcortũ rapuiſſẽt: Megarenſes dolore iracundiæ permoti, Athenas proficiſcuntur, & Aſpaſiæ duas meretriculas vicißim auferunt. Hinc belli Peloponneſiaci principium erupit omnibus Græcis, ex tribus meretricibus, vt docet Athenæus in Dipnoſoph. Nã ira percitus Aſpaſiæ amator Pericles, decreto publico ſanxit:*

si quis Megarensis attingeret finem Atticum, ea res homini illi capitalis esset: pratores, in solenni iureiurando adderēt, vt bis quotannis agrum Megarensem popularentur. Atque hoc plebiscitum Pericles in tabulam retulit. Cùm autem Rex Lacedæmoniorum Archidamus suos legatos Athenas misisset: tum vt socios Athenienses pacarent, & ab amicitia Corcyreorum eos auerterent: tùm verò imprimis, vt hoc illi plebiscitum Megaricum abrogarent: ibi solus Pericles omnibus restitit: & sua pertinacia decretum conseruauit, lege obtensa: quæ tabulam, in quam plebiscitum esset relatum, vetaret reuellere. Etsi autem aliæ quoque causæ fuerant, quæ Atheniensibus infestos reddiderant Peloponnesios: tamen ob illas arma non fuisse socijs illaturos Lacedæmonios, si Athenienses adduci potuissent, vt plebiscitum Megaricum facerent irritum: autor est Plutarchus. Confirmati igitur ad arma ciues orationibus Periclis, obtemperant illi: & res suas, liberos, coniuges & omne instrumentum domesticum ex agris in vrbem comportant: iumenta & oues in Eubœā mittūt: vt refert Thucydides: qui hanc migrationē difficilem fuisse Atheniensibus tradit: propterea, quòd pleriq; eorum ruri viuere consueuissent. Magnis paulò pòst copiis Lacedæmonij cum socijs (inter quos erant etiam Bœotij) Rege Archidamo duce, Atticam ingrediuntur, & deuastatis prædijs ac vitibus excisis, fœdatisq; finibus, Acharnas vsque, quæ Attica curia fuit, perueniunt. Nam, autore Thucydide, ciues Acharnenses, præcipuam partem vrbis, neutiquam putabat Archidamus passuros esse vastationem suorum fundorum: sed reliquos omnes ad pugnam incitaturos: aut vbi res suas amisissent Acharnenses, non proinde promtos fore credebat ad pugnandum pro alijs: & forte seditionem inter illos futuram esse. Hæc Archidamo fuisse consilia sedenti ad Acharnas, refert Thucydides. Conflagrantibus postea, in conspectu ciuium, prædijs & agris, ipsi concurrere & cœtus facere incipiebant: in quibus multum altercationum erat: cùm alij ad erumpendum incitatores essent, alij quidam dehortarentur. Vates item oracula decantabant varia, neque inter se consentientia: quæ quisque, sicut affectus erat, ita accipiebat. Acharnenses porrò, vt qui sibi non minima pars ciuitatis esse videbantur, populum ad pugnam, quàm maximè instigabant. Denique tota ciuitas commota erat, & Pericli irata, qui ciues ab eruptione prohibebat: & huius belli autor fuerat. Inter hos etiam Cleo fuit, teste Plutarcho: qui, vbi ciuitatem in illum incensam vidit, auram popularem captans, acriter mordebat Periclem. Verùm nihil istorum mouit Periclem, sed ignominiam moderate tulit: & eos, qui angebantur ob vastationē agrorū, demulsit: dicens arbores cæsas & deiectas mox renasci: virorum cæsorum iterum non promtam fore facultatem. Nauibus in Peloponnesum dimissis terram hostium per legatos vastauit: ipse terrestri exercitu in fines Megaricos ducto, eos vndequaque conculcauit. Paulò pòst fœdus & amicitiam ineunt Athenienses cum Nymphodoro Abderita: cuius sororem habebat Sithalces Rex Thracum: per quem etiam Regem ipsum sibi adiungunt. Nam Athenas veniens Nymphodorus, fœdus & societatem Sithalcæ cū Atheniensibus conciliauit: & Sadocum filium Sithalcæ ciuem Athenis fecit: atque Atheniensibus pollicitus est, se bellum, quod gerebatur in Thracia, compositurum esse, & apud Sithalcen persuadendo effecturum: vt in Thracia cōscriptas copias equitum & peditum, peltis vtentium, auxilio Atheniensibus mitteret. Conciliauit etiam Perdiccam, filium Alexandri, Regem Macedonum Atheniensibus, vt sua cum illis arma coniungeret. Cùm autem multis vltrò citroq; cladibus illatis bellum in tam longum duceretur, multi ciues desiderio agrorum & tranquillitatis publicæ, arma detestabantur: quanquam plures initio, inter quos erant Acharnenses præcipui, vindictam expetebant, vt acceptas clades in hostibus vlciscerentur. Senatus vana spe populum lactabat: de pace nihil consultabat, sed tantummodo magnificis promissis, de affuturis Regum auxiliis plebem deliniebat. Huc accedebat, quòd Athenienses stulta ambitione Alcibiadis incitati, anno belli 17. cùm in spem venissent Siciliæ totius occupandæ, suos illò misissent exercitus, ducibus Alcibiade, Nicia & Lamacho. In hoc enim bello duo duces Nicias & Lamachus, amissis quadraginta millibus hominum perierunt: sicut historiam huius belli recitat Thucydides lib. 6. Hinc occasionem traxit Aristophanes, vt præsentem scriberet Comœdiam: in qua stulta Atheniensium consilia, & plebisciti Megarici immanitatem, ideoq; totius belli incommoda proposito Lamachi interitu demonstrat, pacemq; cum Lacedæmoniis ineundam suadet: commonstratis omnibus, quæ pacem comitari solent, operibus & commodis.

ARGV-

ARGVMENTVM FABVLÆ ACHARNENSIVM.

INITIO quendam ciuem Atticum, Dicæopolin (quasi dicas, Iustum ciuem) introducit, qui de peruerso Reip. statu queritur, & vitia quædam Atheniensium partim risu, partim fletu digna, Comicè perstringit: vt quòd Eschyli poëmatibus neglectis, Theognidis aut Euripidis fabulas audiant: & quod pacem non promoueant, sed de aliis rebus consultent. Ingressis in scenam Senatoribus, statim adest Caduceator siue præco, qui singulos hortatur, vt suam quisque dicat sententiam. Ibi Amphitheus, quòd pacem & fœdus cum Spartanis ineundum suaderet, è curia eiicitur: frustrà indignante Dicæopoli. Postea audiuntur legati, à rege Persico cum Pseudartabano, eiusdem Satrapa reuersi. Hi in concilio suas comessationes & luxum Persicum exponunt. Tandem productus Pseudartabanus regis sui mādata, lingua Persica commemorat: Cuius verba cùm præco perperam ac falsò interpretaretur de auro, quod rex missurus esset, Dicæopolis remotis arbitris, longè aliud ex ipso comperit. Quare vana spe populum lactari intelligēs, sibi consilium capit, & Amphitheum ad Lacedæmonios ablegat, vt sibi cum Lacedæmoniis fœdus faciat. Interim à Caduceatore vocatur in Senatum Theorus, hoc est, spectator, vt Sithalcis Thracum regis responsum, de auxiliis & societate belli, exponat. Verùm is consimili vanitate populum ludificat, & magnifica regis auxilia & promissa commemorat. Reuersus interim Lacedæmone, Amphitheus secum inducias & fœdera refert. Verùm deprehēsus ab Acharnensibus, qui propter vineta deuastata à Spartanis grauiter infensi erant, vim persequentum ægrè effugit. Dicæopolis acceptis ab eo fœderibus domum lætus abit: &, vt gratus sit diis immortalibus, ruri Choas, quod Bacchanale erat festum, celebrare instituit. Huic imminet ex improuiso Chorus senum Acharnensium, qui Amphitheum, fuga elapsum, quærit, vt ab eo pœnas sumat: quandoquidem ille fœdus cum atrocissimis hostibus pepigisset. Egressus domo cum seruo, vxore & filiabus, Dicæopolis Choas agere parat. Ibi seruus Priapum in palo, filia calathum, mater pultem & coclear gestat. Vbi ista Chorus animaduertit, illicò Dicæopolin pro Amphitheo comprehendit: eique lapidibus intentis, mortem comminatur, neque vllas excusationes admittit. Cum verò alia ratione se non posset defendere, vicissim illis minatur, nisi audiatur, sese Acharnensium obsides violaturum. Prolato mox cophino carbonibus oppleto, necem Dicæopolis stricto ense intentat. Quo spectaculo carbonarij Acharnēses commoti, & carbonum tanquam liberorum miserti, Dicæopolin abiectis lapidibus audiunt, & sententiam de Lacedæmoniis liberè dicere vltrò iubent. Sed ille prius quàm peroret, habitum vt sibi mutare, & mendici vestibus amiciri liceat, ab Acharnensibus petit. Ea re impetrata, Euripidem accedit, qui heroas in Tragœdijs mendicos producere solebat, eúmque exorat, vt Telephi habitu ipsum amiciat, & reiiculas concedat: quibus Dicæopolis contra Acharnicos se defendat. Habitu mendici accepto, iam auarus & petax redditus, vt fert mendicorum natura, quorum pera nunquam impletur, modò hoc, modò aliud ab Euripide postulat, ac difficulter admodum ab ostio remouetur. Rediens ergo ad suos Acharnenses, Dicæopolis eleganti oratione Lacedæmonios excusat: culpam in Periclis iam defuncti pertinaciam, & Megarensium miseriam reiicit: quæ duo Lacedæmonios impulisse ait, vt primùm opem tulerint oppressis: deinde vastatis Atheniensium vineis, & Atticæ agris, parem Atheniensibus gratiam reposuerint. Hoc cognito pars Chori Dicæopolidi assentitur, pars (vt fit) grauiter illi succenset, & Lamachum ducem exercitus aduocat. Ab hoc petunt, vt proditorem istum armis opprimat. Sed is, cùm armatus accurreret, falsè à Dicæopolide irridetur, & tanquam mollis ac Cinędus, cum suis armis exploditur. Nam pauper & inops, compilatis Reip. commodis, ad summas opes & honores, malis artibus peruenerat. Lamacho minante bellum se cum Peloponnesijs continuaturum: Dicæopolis contrà forum & Emporia Attica Megarensibus & Thebanis se permissurum affirmat. Eo degresso, Chorus Aristophanem laudat, vt patriæ amantem, & bene consulentem

Reipub. quod regis Persarum testimonio confirmat. Deinde Athenienses accusat, quòd veteranos milites negligant, & à iunioribus per calumnias eos deferri, accusari & opprimi patiantur. In Strophis verò & Antistrophis, inuocata Musa Acharnica, hortatur Athenienses, vt bene meritis dignam reddant gratiam. Concesso Megarensibus & Bœotis foro Attico, aduenit Megareus cum duabus filiabus, quas fame adductus vendere constituit, & iocosè admodum vtranque in porcos transformat, ipsásque sacco indit. Dicæopolis vbi hunc videt, mercem licetur: porcos contrectat: iocatur, & tandem mercatur. Fortè interuenit huic contractui Sycophanta, qui se mercatorem cum suis mercibus delaturum & quadruplaturum esse comminatur. Eum repellit Dicæopolis, & receptis ad se porcis, Megareo cæpas & salem, loco precij persoluit. Accedit deinde Bœotius, cum omnis generis mercibus, ceu herbis, volucribus, feris, piscibus, eásque res in foro Attico venum exponit. Ab hoc Dicæopolis opsonia ad festiuitatis suæ Choicæ celebrationem necessaria mercatur. Nicarchus Sycophanta postquam delationem esset minatus, instinctu Chori ab vtroque malè mulctatur, & facta commutatione mercium, ipse serui humeris imponitur pro vrceo, & in Bœotiam deportatur. Quibus peractis, famulus Lamachi Dicæopolidem adit, & heri sui nomine turdos atque alias lautitias ab eo petit: sed nihil impetrat. Ex qua re Chorus spem pacis concipit, & bellum, in quod antea toto animo consistebat, iam execratur. At Dicæopolis incœptas Choas peragit, & collaudata pace, eam sibi vxorem iungit, plurimis enumeratis illius commodis. Accedit deinde Caduceator, qui reliquæ plebi Choas indicit, eámque ad bibendum epulandúmque hoc pacis tempore exhortatur. Paulò pòst gemens ac plorans accurrit agricola, cui boues ademerant Bœotij. Petit à Dicæopolide, vt sublato bello, pacem cum Thebanis faciat. Sed quia sibi soli fœdus comparauerat Dicæopolis, nihil obtinet agricola. Aduolat item Paranymphus cum pronuba, & sponsi sponsæq; nomine Dicæopolidem orat, vt pacem cum hostibus faciat, ne nouus maritus in militiam euocatus, à coniugis amplexu auellatur. Tum duo prodeunt nuncij, quorum alter Lamacho, homini turbarum & belli studioso, repentinam hostium irruptionem annunciat, & in armis esse iubet: alter Dicæopolidem pacis cupidum, ad cœnam sacerdotis Bacchi inuitat. Hac occasione arrepta, Dicæopolis Lamachum irridet, armaturam eius exibilat, & militari duritiei, bellíque calamitatibus, commoda, & voluptates pacis, lepidè opponit. Quibus digressis, altero quidem in bellum, altero verò ad cœnam, Chorus Antimachum quendam exagitat, & omnibus diris deuouet, ipsúmque obiter Cratinum vellicat. Nulla ibi mora interposita adest nũcius è castris, qui Lamachi heri sui cladem ac vulnera exponit, omnésque seruos ad curationem vulnerum iubet accurrere. Eum è vestigio insequitur Lamachus, & miserabili clamore cladem acceptam deplorat, bellúmque execratur. Dicæopolis, vbi miserum videt, salsè irridet, & multis sarcasmis turbulento homini insultat. At ipse Choro applaudente, vtrem præmij loco, quòd fortiter in festo Bacchi bibisset, ab Acharnensibus accipit.

ARGVMENTVM

ΑΚΡΟΣΤΙΧΕΣ.

A *more Pacis, quidam Acharnensis sibi*
C *omparat ab hoste fœdus, Amphitheo duce:*
H *oc vbi seniorum plebs videt populárium:*
A *mphitheum & ipsum persequuntur lapidibus.*
R *euersus ergo in concionem, deuouet*
N *eci caput, factum nisi probet suum.*
E *xin Periclem & Megaricam legem refert,*
N *egásque causam aliam esse præsentis mali.*
S *ed vt is retentam pacem agat lætus domi:*
E *xcedit vrbe præliatum Lamachus.*
I *nterea ab hoste vulnus rettulit graue.*
S *enex reuersum ridet inter pocula.*

ΤΑ ΤΟΥ ΔΡΑΜΑΤΟΣ ΠΡΟΣΩΠΑ.

Δικαιόπολις.
Κῆρυξ.
Ἀμφίθεος.
Πρέσβεις.
Ψευδαρτάβας, ὁ βασιλέως ὀφθαλμός.
Θέωρος.
Χορὸς Ἀχαρνέων.
Μήτηρ.
Θυγάτηρ.
Κηφισοφῶν θεράπων Εὐριπίδου.
Εὐριπίδης.
Λάμαχος.
Μεγαρεύς.
Κόραι.
Συκοφάντης.
Βοιωτός.
Νίκαρχος συκοφάντης.
Ἄγγελος Λαμάχου.
Γεωργός, Δερκέτης φυλάσιος.
Παράνυμφος, ἢ θεράπων νυμφίου.
Ἄγγελος.
Ἕτερος ἄγγελος.

PERSONÆ DRAMATIS.

Dicæopolis.
Præco.
Amphitheus.
Legati.
Pseudartabanus.
Theorus.
Chorus Acharnensium.
Mater: uxor Dicæopolis.
Filia.
Cephisopho, famulus Euripidis.
Euripides.
Lamachus.
Megareus.
Puellæ: filiæ Megarei.
Sycophanta.
Bœotus.
Nicarchus, sycophanta.
Nuncius Lamachi.
Agricola.
Paranymphus.
Nuncius Dicæopolis.
Alter nuncius.

Ἡ εἴσθεσις τοῦ δράματος ἄρχεται ἐκ σημαντικῆς προεισόδου καὶ ἑξῆς ἐκ προσώπων ἀμοιβαίων. οἱ δὲ στίχοι εἰσὶν ἰαμβικοὶ τρίμετροι ἀκατάληκτοι σα'. ὧν τελευταῖος ἐγὼ δὲ φρούξομαί γε τοὺς Ἀχαρνέας. ὁ μέντοι μγ' κομμάτιον ἀπ' ἐλάσσονος καὶ ρκα'. πενθημιμερής. ὁ δὲ ξ' ἑφθημιμερής. ἐξαιρείσθωσαν καὶ αἱ παρεπιγραφαί. ἐπὶ ταῖς ὑποθέσεσι παράγραφος. ἐπὶ δὲ τῷ τέλει τῶν στίχων κορωνίς.

A

ΑΡΙΣΤΟΦΑΝΟΥΣ ΑΧΑΡΝΗΣ.

ΔΡΑΜΑΤΟΣ ΤΟΥ ΠΡΩΤΟΥ, Σκηνὴ πρώτη.

ΔΙΚΑΙΟΠΟΛΙΣ.

τρίμετροι Ἰαμβικοί.

Β

Bisetus. Δικαιόπολις τὴν τύχην, τὴν κατάστασιν, καὶ τὴν κακοπάθειαν τῆς πόλεως βαρέως φέρων ἀγανακτεῖ, καὶ μέμφεται, καὶ Ἀθηναίων κακά τινα, τὰ μὲν γέλωτος, τὰ δὲ θρήνου, καὶ ὅλως ἄξια κωμικῶς διεξέρχεται.

Ὅσα δὴ δέδηγμαι τὴν ἐμαυτοῦ καρδίαν.
Ἥσθην δὲ βαιά, πάνυ δὲ βαιά, τέτταρα,
Ἃ δ' ὠδυνήθην, ψαμμοκοσιογάργαρα.
Φέρ' ἴδω τί δ' ἥσθην ἄξιον χαιρηδόνος.
Ἐγᾦδ' ἐφ' ᾧ γε τὸ κέαρ εὐφράνθην ἰδὼν
Τοῖς πέντε ταλάντοις οἷς Κλέων ἐξήμεσε.

ARISTOPHANIS ACHARNENSES.

ACTVS I. SCENA I.

DICÆOPOLIS.

Senarij Iambici.

Quàm multa sunt, quæ assiduè cor mordent meum?
Quàm rara, quibus oblector? ita, rara admodum:
Vix quatuor: quæ verò dolorem mihi ferunt,
Innumera sunt & montem arenæ æquant. Age
C *Videam, quid sit: quamobrem meritò gaudeam.*
Novi ego, novi meum quid oblectet animum:
Quādo quinque talenta video, quæ evomit Cleo.

Σχόλ. Οἷα δὴ δέδηγμαι.] θαυμαστικὸν τὸ οἷα, ἀντὶ τοῦ πολλά. ὁ δὲ δὴ σύνδεσμος παραπληρωματικός, ὡς ἔχουσιν οἱ Ἀττικοί. ἐκέχρητο δὲ αὐτῷ καὶ Θουκυδίδης ἐν τῷ προοιμίῳ, κίνησις γὰρ αὕτη δὴ μεγίστη. δύναται δὲ λείπειν ἡ κατὰ πρόθεσις, ἵν᾽ ᾖ κατὰ τὴν ἐμαυτοῦ καρδίαν. ὃ καὶ βέλτιον, ὅτι μεταφέρει ἀπὸ τῶν θηρίων ἐπὶ τὴν καρδίαν. ἀντὶ γὰρ τοῦ εἰπεῖν κατὰ τὸν ἐμαυτοῦ θυμόν, κατὰ τὴν ἐμαυτοῦ καρδίαν φησί. δέδηγμαι δέ, ἀντὶ τοῦ ἠνίαμαι, λελύπημαι. καὶ Ὅμηρος. δάκε δὲ φρένας Ἕκτορι μῦθος. καὶ θυμοδακὴς μῦθος. ἄλλως. καλῶς ἔφη δέδηγμαι τὴν καρδίαν, παρόσον περὶ τὴν καρδίαν συνίσταται τὰ τοῦ θυμοῦ καὶ τὰ τῆς ἡδονῆς. ὡς καὶ παρ᾽ Ὁμήρῳ Ὀδυσσεὺς θυμούμενος κατὰ τῶν μνηστήρων. στῆθος δὲ πλήξας, κραδίην ἠνίπαπε μύθῳ. τέτλαθι δὴ κραδίη φάσκων. Ψαμμακοσιογάργαρα] ὅτι πολλὰ καὶ ἀναρίθμητα. τὸ γὰρ ψαμμακόσια καθ᾽ ἑαυτὸ ἐπὶ πλήθους ἐτίθετο. παρὰ μὲν Εὐπόλιδι ἐν χρυσῷ γένει οὕτως. ἀριθμεῖν θυγατέρας ψαμμακοσίας. παρὰ τὸ ἑξακοσίας, ἢ ἑπτακοσίας ἀπὸ τῆς ψάμμου ἀριθμητικῶς γεγενημένον. καὶ τὰ γάργαρα δέ, ἐπὶ πλήθους ἐτίθετο. ὡς ἐν Λίμναις. ἀνδρῶν ἐπακτῶν πᾶσα γάργαρ᾽ ἑστία. καὶ παρὰ Ἀριστομένει ἐν Βοηθοῖς. ἔνδον γὰρ ἡμῖν γάργαρα. καὶ παρὰ Σώφρονι. ἁ δὲ οἰκία τῶν ἀργυρωμάτων γαργαίρει. καὶ ἐν τῇ τραγῳδίᾳ χρημάτων τε γάργαρα. θέλουσι δέ τινες καὶ τὸ παρὰ τῷ ποιητῇ, κάρχαιρε δὲ γαῖα πόδεσσι, τὴν πολλὴν κίνησιν τῶν ποδῶν σημαίνειν. ὅτι γαργαίρει. καὶ τὸν Καρκίνον δὲ οὕτως ὀνομάζεσθαι, διὰ τὸ πλῆθος τῶν ποδῶν. ἄλλως. ἀπὸ δύο λέξεων τὸ σύνθετον ἐγένετο δηλοῦν πολλά. σύγκειται γὰρ ἀπό τε τῆς ψάμμου τὸν ἀριθμὸν εἰδέναι. ὁ γὰρ Πίνδαρος γεγωνεύεται τὸ

A ψάμμου τὸν ἀριθμὸν εἰδέναι, αὐχῶν ἐν οἷς λέγει, οἶδα δ᾽ ἐγὼ ψάμμου τ᾽ ἀριθμὸν καὶ μέτρα θαλάσσης. καὶ Εὔπολις ἐπιτετμημένα τὴν λέξιν εἶπεν. ἀριθμεῖν θυγατέρας ψαμμοκοσίας. δύναται γὰρ ἐγκεῖσθαι τῇ λέξει τὰ κόσια. ἥτις ἐστὶ κατάληξις τῶν μετὰ τὸν ἑκατὸν ἀριθμῶν μέχρι τῶν χιλίων. ἐς πλήθους ἐστὶ πολλοῦ σημαντικός. ὅτι διακόσια τριακόσια καὶ ἑξῆς. τὸ δὲ γάργαρα καὶ αὐτὸ ἐπὶ πλήθους λαμβάνεται διὰ τὴν συγγένειαν τὴν πρὸς τὸ κ. εἴρηται δέ, ἀντὶ τοῦ ἄφθονα καὶ ἀναρίθμητα. τὸ δὲ κάρχαιρε παρὰ τῷ ποιητῇ ἐστί, κάρχαιρε δὲ γαῖα πόδεσσι. μέμνηται δὲ καὶ

B Κρατῖνος, Ἀρίστων ἀνδρῶν πᾶσα γαργαίρει πόλις. ἀντὶ πλήθει.

Bisetvs. Ησθην] παρὰ τὸ ἥδεσθαι, τὸ χαίρειν, καὶ εὐφραίνεσθαι. τὸ δὲ ἐγᾦδα, ἀντὶ τοῦ ἐγὼ οἶδα.

Σχόλια. Ἄξιον χαιρηδόνος.] ἀντὶ τοῦ χαρᾶς, τῷ τύπῳ δὲ ὡς ἀλγηδόνος. ὡς γὰρ ἀπὸ τοῦ ἀλγῆσαι μέλλοντος ἀλγηδὼν ἀλγηδόνος, οὕτω καὶ ἀπὸ τοῦ χαιρῆσαι χαιρηδὼν χαιρηδόνος. Τὸ κέαρ εὐφράνθην.] σαφῶς Ἀριστοφάνης τὴν καρδίαν εἶπε κέαρ. ἄνω γὰρ εἶπεν. οἶδα δὴ δέδηγμαι τὴν ἐμαυτοῦ καρδίαν, νῦν φησὶν ἐφ᾽ ᾧ

C τὸ κέαρ εὐφράνθην. Τοῖς πέντε ταλάντοις] ἀπλήστως ἀλλότρια κατατραγών, ἐξήμεσεν αὐτά. ἀντὶ τοῦ κλέψας καὶ καταπιὼν ἀπέδωκεν. ἐζημιώθη γὰρ ὁ Κλέων πέντε τάλαντα, διὰ τὸ ὑβρίζειν τοὺς ἱππέας. παρὰ τῶν νησιωτῶν γὰρ ἔλαβε πέντε τάλαντα ὁ Κλέων ἵνα κουφίσαι πείσῃ τοὺς Ἀθηναίους αὐτοὺς τῆς εἰσφορᾶς. αἰσθόμενοι δὲ οἱ ἱππεῖς, ἀντέλεγον καὶ ἀπῄτουν αὐτόν. μέμνηται Θεόπομπος.

Ταῦθ᾽ ὡς ἐγανώθην, καὶ φιλῶ τοὺς ἱππέας	*Vt lætor ob hanc rem, & equites amo. Nam facinus hoc* D
Διὰ τοῦτο τοὔργον, ἄξιον γὰρ Ἑλλάδι.	*Dignum certè fuit vniuersa Græcia.*
Ἀλλ᾽ ὠδυνήθην ἕτερον αὖ τραγῳδικόν.	*Rursum indolui propter Tragicas ineptias:*
Ὅτε δὴ κεχήνη προσδοκῶν τὸν Αἰσχύλον.	*Quòd, cùm ego maximo hiatu expectauissem Æschylum,*
Ὁ δ᾽ ἀνεῖπεν, εἴσαγ᾽ ὦ Θέογνι τὸν χορόν.	*Præco clamaret: heus Theogni chorum introduc.*
Πῶς τοῦτ᾽ ἔσεισέ μου δοκεῖς τὴν καρδίαν;	*Quomodo putas, hoc animum perculerit meum?*
Ἀλλ᾽ ἕτερον ἥσθην ἡνίκ᾽ ἐπὶ Μόσχῳ ποτὲ	E *Sed aliud item me oblectauit: cùm ingressus est Post Moschum, Dexitheus, canturus Bœotium.*
Δεξίθεος εἰσῆλθ᾽ ᾀσόμενος Βοιώτιον,	*Hoc anno mortuus sum, & distortus fui*
Τῆτες δ᾽ ἀπέθανον καὶ διεστράφην ἰδών,	*Oculis, videns, quòd respiceret ad Orthium*
Ὅτε δὴ παρέκυψε Χαῖρις ἐπὶ τὸν ὄρθιον,	*Modum Charis, sed ex quo ego sordibus eluor,*
Ἀλλ᾽ οὐδεπώποτ᾽ ἐξ ὅτου γὰρ ῥύπτομαι	*Nunquam pulueribus sic ægrè afflictus fui,*

Σχόλια. Ταῦθ᾽ ὡς ἐγανώθην.] ἀντὶ τοῦ ἐχάρην. ἐφαιδρύνθην. ἀπὸ τοῦ γάνυμαι. Ὅμηρος. γάνυται δὲ φρένα ποιμήν. ἀπὸ μεταφορᾶς τῶν λαμπρυνομένων χαλκωμάτων.

Bisetvs. Εὐστάθιος. γάνος, ἡ χαρά, παρὰ τὸ γάλα, τροπῇ τοῦ λ εἰς ν. ὅθεν τὸ γανοῦσθαι, τὸ χαίρειν. καὶ γάνυσθαι, καὶ γανύσκεσθαι ταυτόν.

Σχόλια. Ἄξιον γὰρ Ἑλλάδι.] τοῦτο παρῳδία καλεῖται, ὅτ᾽ ἂν ἐκ τραγῳδίας μετενεχθῇ. ἔστι δὲ τὸ ἡμιστίχιον ἐκ Τηλέφου Εὐριπίδου ἔχον οὕτω. κακῶς ὄλοιτ᾽ ἄν. ἄξιον γὰρ Ἑλλάδι. εἰς τὸ δρᾶμα οὖν τῶν ἱππέων ἀποτείνεται. διὰ τούτου γὰρ φαίνεται καταδικασθεὶς ὁ Κλέων, τάλαντα ε. ἄξιος οὖν φησιν Ἑλλάδος, καταδικασθῆναι τὸν Κλέωνα.

Bisetvs. Ἄλλως. Ἄξιον Ἑλλάδι, ἀντὶ τοῦ Ἑλλάδος. χαιρονεμπ... [illegible] ἀλλὰ τὸ ἄξιον, καὶ τὸ ἀνάξιον μετὰ δοτικῆς ἀντὶ τοῦ ἄριστον, ἢ μὴ ἄριστον λαμβάνεται. ὅτι παρὰ Ἐπιχάρμῳ, ἄξιον ἀνθρώποις ζῆν. ἐν τῷ α.

F τῶν ἀπομνημ. καὶ ἐν τῷ β. „ Σοὶ δ᾽ οὖν ἄξιον, ὦ Ἀρίστιππε. καὶ τὰ ἑξῆς. καὶ ἐν τῷ γ. „ Οὐκ οἴει σοι ἄξιον εἶναι ἐπιμεληθῆναι ὅπως διαπραχθῇ; ἄξιον οὖν Ἑλλάδι, ἀντὶ τοῦ ἄριστον.

Σχόλια. Τραγῳδικόν.] ἀντὶ τοῦ ἐμπαθές. ἐπείπερ καὶ ἡ τραγῳδία ἐμπαθῶν πραγμάτων ἀπαγγελτική. ἢ ἐπεὶ περὶ τραγῳδιῶν μέλλει λέγειν. Ὅτε δὴ κεχήνη.] ἡ συναίρεσις τοῦ κεχήνειν, ἀττική. τὸ γὰρ ε καὶ α, εἰς η συναίρουσιν. εἰς τὸ αὐτό. συνήλοιφε, ἀντὶ τοῦ κεχήνεα. ἔστι δὲ τὸ κεχήνειν ἰακόν. οἱ γὰρ Ἴωνες ἀπὸ τοῦ αὐτοῦ συμφώνου ἄρχονται. οἱ δὲ σφόδρα προσέχοντες τινί, κεχήνασι. δύναται δὲ εἶναι κατὰ μεταφορὰν τῶν ὀρνίθων τῶν ἔτι νεοττῶν,

G προσδεχομένων τὴν τροφὴν καὶ ἔτι κεχηνότων. ὅτι τροφή μοι ἦν τῶν Αἰσχύλου τραγῳδιῶν ἀκοῦσαι. Προσδοκῶν τὸν Αἰσχύλον.] ἀντὶ τοῦ Αἰσχύλου τραγῳδίας. ὥσπερ καὶ ἡμεῖς ἔχοντες τὰ Αἰσχύλου, Αἰσχύλον λέγομεν ἔχειν. οὐ γὰρ ἔζη κατ᾽ ἐκεῖνον τὸν χρόνον. ἐτελεύτησε γὰρ ἐπὶ ἄρχοντος Καλλίου τοῦ μετὰ Μνησίθεον, τούτοις πρότερον ἐνιαυτόν. τεμᾶς δὲ

A μῆς δὲ μεγίστης ἔτυχε παρὰ Ἀθηναίοις ὁ Αἰσχύλος. καὶ μόνου αὐτοῦ τὰ δράματα ψηφίσματι κοινῷ καὶ μετὰ θάνατον ἐδιδάσκετο. Ὀδ'. ἀνεῖπεν εἴσαγε.] ἀνηγόρευσεν. ὁ κήρυξ δὲ δηλονότι. Θέογνις δὲ οὗτος, τραγῳδίας ποιητὴς, πάνυ ψυχρὸς ἐκ τῶν τριάκοντα, ὃς καὶ Χιὼν ἐλέγετο. Πῶς τοῦτ' ἔσεισέ μου.] ἀσείστου ὄντος φύσει, μᾶλλον ἐπέσεισε. κέχρηται δὲ τῇ ὑπερβολῇ ἐπὶ τῆς καρδίας, καὶ Θουκυδίδης τὸ ὄνομα φράζων. Ἡνίκ' ἐπὶ Μόσχῳ ποτέ.] ἀντὶ τοῦ μετὰ τὸν Μόσχον. ἦν δὲ οὗτος φαῦλος κιθαρῳδὸς, πολλὰ ἀπηνιστὶ ᾄδων. εἰς τὸ αὐτό. ὁ Μόσχος κιθαρῳδὸς Ἀκραγαντῖνος. τινὲς οὕτως. ὅτι ὁ νικήσας, ἆθλον ἐλάμβανε Μόσχον. τὸ δὲ Βοιώτιον μέλος οὕτω καλούμενον, ὅπερ εὗρε Τέρπανδρος, ὥσπερ καὶ τὸ Φρύγιον. ὁ δὲ Δεξίθεος, ἄριστος κιθαρῳδὸς καὶ Πυθιονίκης. οἱ δὲ, ψυχρὸν αὐτὸν εἶναί φασιν. Τῆτες δ' ἀπέθανον.] ἀπὸ ἔτος. ὅπερ οἱ Δωριεῖς τῆτες λέγουσιν. εἰς τὸ αὐτό. ἀντὶ τοῦ τοῦτο ἔτος. οἱ Δωριεῖς δὲ διὰ τοῦ δ λέγουσι τᾶδες. Ὅτε δὴ παρέκυψε Χαῖρις.] καλῶς τὸ παρέκυψεν. ὅθεν δὲ τὸ κύψαι, κιθαρῳδὸς καὶ αὐλητὴς φαῦλος. ὁ δὲ ὄρθιος αὐλητικὸς νόμος, οὕτω καλού- B μενος, διὰ τὸ εὔτονος καὶ ἀνάτασιν ἔχειν. ὡς δηλοῖ καὶ Ὅμηρος, ἔνθα στᾶσ' ἤϋσε θεὰ μέγα τε δεινόν τε ὄρθια. Ἀχαιοῖσι δὲ μέγα σθένος ἔμβαλ' ἑκάστῳ.

BISETVS. Χαῖρις κατὰ τὸν Σουίδαν κιθαρῳδὸς ἦν ἄμουσος. οἱ δὲ ἄμουσοι διὰ τὴν τῆς μουσικῆς ἀπειρίαν παρακύπτειν, καὶ τὰ μουσικὰ ὄργανα, οἷς χρῶνται, ἀεὶ προσβλέπειν εἰώθασιν, ἵνα μὴ περὶ τοὺς μουσικοὺς ῥυθμοὺς, καὶ περὶ τὴν ἁρμονίαν αἰσχρῶς ἁμάρτωσι, καὶ ὑπὸ τῶν ἀκουόντων καταγελῶνται. τὰ δὲ παλαιὰ σχόλια ἴσως οὕτω γραπτέον. καλῶς τὸ παρέκυψεν, ἐφ' ὅσον ὁ Χαῖρις τῷ κύψαι ἂν εἴη κιθαρῳδὸς, καὶ αὐλητὴς φαῦλος. τουτέστιν ἐφ' ὅσον τοιαύτῃ παρακύψει ἑαυτὸν κιθαρῳδὸν, καὶ αὐλητὴν φαῦλον εἶναι δηλοῖ.

Σχόλια. Ἐξ ὅτου 'γὼ ῥύπτομαι.] ἀντὶ τοῦ σμήχομαι. τουτέστι ζῶ, μεταφορικῶς. τῷ γὰρ ζῶντι ἔστι τὸ ῥύπτεσθαι. ῥύμματα γὰρ τὰ σμήγματα. καὶ Ὅμηρος. ῥύμματα πάντα κάθηρεν. ῥύπτεσθαι οὖν τὸ σμήχεσθαι. παρεμπλέκουσι τὸ τ. τὸν ῥύπον ἀποκρίνεσθαι. ὁ δὲ ῥύπος, κατὰ ἀφαίρεσιν τοῦ χ. ῥύπος γὰρ, ὁ τῷ χρωτὶ ὑπὼν πίλος.

C Οὕτως ἐδήχθην ὑπὸ κονίας τὰς ὀφρῦς,
Ὡς νῦν, ὁπότ' οὔσης κυρίας ἐκκλησίας
Ἑωθινῆς, ἔρημος ἡ Πνὺξ αὑτηί.
Οἱ δ' ἐν ἀγορᾷ λαλοῦσι, κἄνω καὶ κάτω
Τὸ σχοινίον φεύγουσι τὸ μεμιλτωμένον.
Οὐδ' οἱ Πρυτάνεις ἥκουσιν, ἀλλ' ἀωρίαν
Ἥκοντες, εἶτα δ' ὠστιοῦνται πῶς δοκεῖς,
D Ἐλθόντες ἀλλήλοισι, περὶ πρώτου ξύλου,
Ἀθρόοι καταρρέοντες. εἰρήνη δ' ὅπως
Ἔσται προτιμῶσ' οὐδέν. ὦ πόλις πόλις.
Ἐγὼ δ' ἀεὶ πρώτιστος εἰς ἐκκλησίαν
Νοστῶν κάθημαι, κᾆτ' ἐπειδὰν ὦ μόνος,
Στένω, κέχηνα, σκορδινῶμαι, πέρδομαι,
Ἀπορῶ, γράφω, παρατίλλομαι, λογίζομαι,
E Ἀποβλέπων εἰς τὸν ἀγρὸν, εἰρήνης ἐρῶν.
Στυγῶν μὲν ἄστυ, τὸν δ' ἐμὸν δῆμον ποθῶν,
Ὃς οὐδὲ πώποτ' εἶπεν, ἄνθρακας πρίω,
Οὐκ ὄξος, οὐκ ἔλαιον, οὐδ' ᾔδει πρίω.
Ἀλλ' αὐτὸς ἔφερε πάντα χὠ πρίων ἀπῆν.
Νῦν οὖν ἀτεχνῶς ἥκω παρεσκευασμένος
F Βοᾶν, ὑποκρούειν, λοιδορεῖν τοὺς ῥήτορας,
Ἐάν τις ἄλλο πλὴν περὶ εἰρήνης λέγῃ.
Ἀλλ' οἱ Πρυτάνεις γὰρ οὑτοιὶ, μεσημβρινοί,
Οὐκ ἠγόρευον τοῦτ' ἐκεῖν' οὐγὼ 'λεγον,
Εἰς τὴν προεδρίαν πᾶς ἀνὴρ ὠστίζεται;

Circa supercilia, ut nunc, dum stato die
Comitia aguntur hic primo diluculo:
Et tota Pnyx hominibus vacua est: interim
Isti loquuntur in foro: & minio illitum,
Funem sursum atque deorsum defugiunt: neque
Vrbis praefecti veniunt. At quando venient
Serius, ibi inuicem se trudent: qui putas!
Dum primam quisque sedem captabit sibi,
Confertimque omnes ingruent. sed de bona
Quid fiat pace, nihil quicquam pensi iam habent.
O ciuitas, ego semper primus in forum
Reuertor & desideo. at postquam solus hic
Sum: gemo, pandiculor, oscito, pedo, dubito,
Scribo, vulsuram patior, rem considero,
Dum pacis amore flagrans, intueor agrum:
Vrbémque exosus rus meum desidero:
Quod nunquam mihi dicit, carbones emtum abi,
Acetum, oleum: immo haud nôrat verbum, eme.
Sed ipsum proferebat omnia: quique emat,
Aberat. nunc igitur planè aduenio in hunc locum
Paratus clamare, obturbare, duriter
Conuitiari oratores: si quispiam
Verbum vnum, praeterquam de pace, dixerit.
Sed hi praefecti sunt vrbis, meridie
Venientes, nónne fore hoc praedixeram?
Nunc quisque ad primum truditur subsellium.

Σχόλια. Ὑπὸ κονίας.] παρ' ὑπόνοιαν. δέον γὰρ εἰπεῖν, ὑπὸ λύπης τὴν καρδίαν, ὡς καὶ ἐν ἀρχῇ ἔφη, ὑπὸ κονίας τὰς ὀφρῦς εἶπεν. ὅτι καὶ αἱ κονίαι ἤτοι ἄσβεστον ὀσμώμενοι, δάκνονται τὰς ὀφρῦς. ἄλλως. ὑπερβατόν. ἀλλ' οὐδεπώποτ' ἐξ ὅτου 'γὼ ῥύπτομαι, οὕτως ἐδήχθην ὑπὸ κονίας τὰς ὀφρῦς. Κυρίας ἐκκλησίας.] ἐν ᾗ ἐκύρουν τὰ ψηφίσματα. εἰσὶ δὲ νόμιμοι ἐκκλησίαι αἱ λεγόμεναι τρεῖς τοῦ μηνὸς Ἀθήνησιν. ἡ πρώτη καὶ ἡ δεκάτη καὶ ἡ τριακάς. εἰσὶ δὲ καὶ πρόσκλητοι ἐναγόμεναι κατά τινα ἐπείγοντα πράγματα. αἱ μὲν οὖν νόμιμοι καὶ ὡρισμέναι ἐκκλησίαι κύριαι λέγονται ὡς ἔφημεν. αἱ δὲ πρὸς τὸ κατεπεῖγον συναγόμεναι, σύγκλητοι. G

BISETVS. Σουίδας. κυρία ἐκκλησία. οἱ Πρυτάνεις συνῆγον τὴν βουλὴν, καὶ τὸν δῆμον. καὶ τὴν μὲν βουλὴν ὁσημέραι. τὸν δὲ δῆμον τετράκις τῆς Πρυτανείας ἑκάστης. ἐν δὲ τῇ κυρίᾳ ἐκκλησίᾳ ἔδει τὰς ἀρχὰς ἀποχειροτονεῖν, αἳ ἂν δοκῶσι μὴ καλῶς ἄρχειν. καὶ περὶ τῆς φυλακῆς τῆς χώρας, καὶ τῆς εἰσαγγελίας ἐν ταύτῃ τῇ ἐκκλησίᾳ οἱ βουλό-

μένοι λόγοι ἐποιοῦντο. κυρία δὲ ἡμέρα λέγεται ἡ ὡρισμένη, καὶ ἐμπρόθεσμος. Εὐριπίδης ἐν Ὀρέστῃ,

Κυρία δ᾽ ἤδη ἡμέρα,
Ἐν ᾗ διοίσει ψῆφον Ἀργείων πόλις.

τὸ αὐτὸ καὶ κύριον ἦμαρ καλεῖται. ὁ αὐτὸς ἐν Ἀλκήστιδι.

Καὶ μὴν τόδε δὴ κύριον ἦμαρ.

Σχόλια. Ἡ Πνὺξ αὑτηί.] ἡ ἐκκλησία παρὰ τὴν τῶν λίθων πυκνότητα. ἢ ἀπὸ τοῦ πυκνοῦσθαι τοὺς ἄνδρας ἐν τῇ ἐκκλησίᾳ. ὡς αὐτὸς ἐν Σφηξὶν ἔδοξέ μοι, περιποιῶν τὴν ὥραν ἐν τῇ Πυκνί. Οἳ δ᾽ ἐν ἀγορᾷ λαλοῦσι] διάφορα δηλοῖ λέξις. νῦν μὲν τὴν ἐκκλησίαν. ὅθεν ὁ Νέστωρ ἀγορητής. καὶ τὸν τόπον ἔνθα πιπράσκεται τὰ ὤνια, καὶ αὐτὰ τὰ ὤνια σημαίνει. Τὸ σχοινίον φεύγουσι.] ὑπὲρ τοῦ ἐξαναγκάσαι αὐτοὺς εἰς τὰς ἐκκλησίας συνιέναι, τοῦτο ἐμηχανῶντο, καὶ πολλὰ ἄλλα. ἀνεπετάννυσαν γὰρ τὰ γέρρα. καὶ ἀπέκλειον τὰς ὁδοὺς, τὰς μὴ φερούσας εἰς τὴν ἐκκλησίαν. καὶ τὰ ὤνια ἀνῄρουν ἐν ταῖς ἀγοραῖς ὅπως μὴ περὶ ταῦτα διατρίβοιεν, ἔτι μὴν καὶ μεμιλτωμένῳ σχοινίῳ περιβάλλοντες αὐτοὺς, συνήλαυνον εἰς τὰς ἐκκλησίας. τοῦτο δὲ ἐποίουν, ὑπὲρ τοῦ μὴ βραδύνειν. ἔδει γὰρ ἐχόμενον ζημίαν ἐκτίνειν. ἄλλως. ἐπεὶ ὀκνηρῶς εἶχον οἱ Ἀθηναῖοι πρὸς τὰς συνόδους, εἰώθασιν ὑπηρέται δύο μεμιλτωμένον, τουτέστι μίλτῳ ἤτοι βάμματι κοκκίνῳ σχοινίον ἐκτείνοντες διὰ τῆς ἀγορᾶς, διώκειν τὸν ὄχλον εἰς τὴν ἐκκλησίαν. ὥς φησι Πλάτων ὁ κωμικός. ἔδει δὲ ἐχόμενον ἐκτίνειν ζημίαν. Ἀλλ᾽ ἀωρίαν ἥκοντες.] ἀντὶ ἀωρεὶ καὶ μεθ᾽ ἡμέραν. καὶ ἐπὶ τούτου ὁ λόγος, ἀκαίρως καὶ παρὰ τὸν δέοντα καιρόν. ἄωρα γὰρ τὰ παρὰ καιρὸν γενόμενα. Ὠστιοῦνται.] διωθήσονται.] ἀπὸ ἐνεστῶτος τοῦ ὠστίζω. ὁ δὲ λόγος ὡς πρός τινα ἐπὶ λεγόμενος. ὡς καὶ Ὅμηρος. φαίης κ᾽ ἀκμῆτας καὶ ἀτειρέας καὶ ἰσθ᾽ἴα ἄν ὕβρει ἐοντα ἴσοις. Ἐλθόντες ἀλλήλοισι περὶ πρώτου.] περὶ τῆς προεδρίας. ὡς ξυλίνων οὐσῶν τῶν καθεδρῶν. ὅτι δὲ ἐκ λίθων, πανταχόθεν δῆλον. ὅταν λέγῃ, ἐπὶ τῆς πέτρας καθῆσθαι. Ἀθρόοι καταρρέοντες. ἀντὶ τοῦ ὁμοῦ. προπαροξύνειν δὲ δεῖ τὸ ὄνομα, καὶ δασύνειν τὴν πρώτην συλλαβὴν ἀττικῶς. καταρρέοντες δὲ, ἀντὶ τοῦ ἀθρόως ἐπερχόμενοι. ἡ μεταφορὰ ἀπὸ τῶν ποταμῶν ῥευμάτων. καὶ Ὅμηρος. τὰ δ᾽ ἐπιρρέει ἔθνεα πεζῶν. Νοστῶν κάθημαι.] ἁπλῶς ἐπὶ τοῦ ἐρχόμενος καὶ ἐπανερχόμενος. Στένω, κέχηνα.] πάλιν τὸ κέχηνα, ἀντὶ τοῦ προσδέχομαι. ἢ δέομαι τῆς εἰρήνης. ὥσπερ οἱ νεοσσοὶ κεχήνασι δεόμενοι τῆς τροφῆς. τὸ δὲ σκορδινῶμαι, ἀντὶ τοῦ κλῶμαι καὶ σπασμῷ συνέχομαι. οἱ γὰρ ἀπὸ πλησμονῆς σκορόδων ἐμοῦντες, διὰ τὴν δριμύτητα μᾶλλον σπῶνται. τὸ δὲ ἐμεῖν καὶ τὸ σπασμοῦ κινεῖσθαι. σκορδινᾶσθαι φασιν ἐπὶ τῶν κινούντων τῶν ἐξ ὕπνου ἀνισταμένων, ὅταν τὰ μέλη καὶ ὅλους αὐτοὺς διατείνωσι. σκορδινᾶσθαι οὖν ἐστι, τὸ ἀνακλᾶσθαι μετὰ χάσμης. γίνεται οὖν ἀπὸ ἀλογίας τὸ τοιοῦτον. Γράφω, παρατίλλομαι.] γράφω μὲν, καταγράφω. ἢ ζωγραφῶ. ἀπὸ τῆς γῆς ξύων τῷ δακτύλῳ. ὅ ἐστι τοιούτῳ παιδιᾶς τινος. παρατίλλομαι δὲ, τὰς ἐκ τῶν μυκτήρων τίλλω τρίχας. ἢ τῶν μασχαλῶν. ταῦτα δὲ πάντα ποιοῦσιν, οἱ προσδεχόμενοί μέν τι, τὸν δὲ χρόνον δαπανῶντες, εἰς ἀπορίαν καὶ ἀμηχανίαν μὴ τυγχάνοντες τοῦ προσδοκωμένου λογισμοῦ. ὅτι γὰρ αὐτοὶ ἐφ᾽ ἑαυτῶν τιθέντες ἀλύοντες καὶ ἐπὶ γῆς διαγράφουσιν. Ἀποβλέπων εἰς τὸν ἀγρόν.] οἱ γὰρ πολιορκούμενοι καὶ πολεμούμενοι, ἀεὶ ἐπὶ τὸν ἀγρὸν ἀποβλέπουσιν, ἐπιθυμοῦντες ἐν αὐτῷ εἶναι. Στυγῶν μὲν ἄστυ.] ὁ στίχος ἐκ τραγῳδίας. Ἄνθρακας πρίω.] τοῦτο Ἀχαρνέων ἴδιον τὸ λέγειν πρίω· ἴσασι ἴσως. ἦν γὰρ ὁ Δικαιόπολις, Ἀχαρνεύς. οὗτοι δὲ πολυάνθρακες. καὶ οὐ δεόμενοι παρ᾽ ἄλλων πρίασθαι. Οὐδ᾽ ᾔδει πρίω.] οὐδὲ ἐγίνωσκε τὸ πρίω ῥῆμα. οὐ γὰρ ἐδεῖτο ἀγοράζειν ἔχων οἴκοι.

Bisetus. Χὠ πρίων] ὁ πρίων ἤγουν ὁ ἀγοράζων, κατὰ τὸν Ἡσύχιον. ἔστι δὲ μετοχὴ ἄχρηστος ἀντὶ τοῦ πριάμενος, ὡς ἀπὸ τοῦ θέματος πρίω, τουτέστι πρίαμαι, ἀγοράζω. καὶ τοῦτο ἴσως τῶν Ἀχαρνέων ἴδιον.

Σχόλια. Ὑποκρούειν.] ἀντιθεῖν γίνεσθαι. ἀντιλέγειν ἁπλῶς καὶ ὡς ἔτυχε. τὸ δὲ ὑποκρούειν, ἐπὶ τῶν θορυβούντων λέγεται ὅπερ ἡμεῖς φαμὲν, ἐκκρούειν καὶ κωλύειν. τὸ δὲ λοιδορεῖν ἀμφότερον ῥητέον καὶ λοιδορεῖν καὶ λοιδορεῖσθαι. Οὑτοσί.] δεικτικῶς. μεσημβρινοὶ δὲ ἵνα ὀρθρίζοντες.

ΔΡΑΜΑΤΟΣ ΤΟΥ ΠΡΩΤΟΥ,

Σκηνὴ δευτέρα.

ΚΗΡΥΞ, ΑΜΦΙΘΕΟΣ, ΔΙΚΑΙΟΠΟΛΙΣ, ΠΡΕΣΒΕΙΣ.

Τρίμετροι.

Bisetus. Τῶν βουλευτῶν εἰς τὴν τοῦ θεάτρου σκηνὴν εἰσελθόντων ἦκεν κῆρυξ, ὃς ἑκάστους προτρέπει τὴν ἑαυτῶν γνώμην ἀποφαίνεσθαι. Ἀμφίθεος δὲ, ὅτι σπονδὰς πρὸς Λακεδαιμονίους ποιεῖσθαι ἔπειθεν, ἐκ τῆς βουλῆς ἐκβάλλεται τοῦ Δικαιοπόλιδος ἐναντιουμένου καὶ μάτην ἀντιλέγοντος.

Κη. Πάριτ᾽ εἰς τὸ πρόσθεν,
Πάριθ᾽ ὡς ἂν ἐντὸς ἦτε τοῦ καθάρματος.
Αμ. Ἤδη τις εἶπε; Κη. τίς ἀγορεύειν βούλεται;
Αμ. Ἐγώ. Κη. τίς ὤν; Αμ. Ἀμφίθεος. Κη. οὐκ ἄνθρωπος; Αμ. οὔκ.
Ἀλλ᾽ ἀθάνατος. ὁ γὰρ Ἀμφίθεος Δήμητρος ἦν
Καὶ Τριπτολέμου, τούτου δὲ Κελεὸς γίγνεται.
Γαμεῖ δὲ Κελεὸς Φαιναρέτην τήθην ἐμήν.
Ἐξ ἧς Λυκῖνος ἐγένετ᾽, ἐκ τούτου δ᾽ ἐγώ,
Ἀθάνατός εἰμ᾽, ἐμοὶ δ᾽ ἐπέτρεψαν οἱ θεοί,

ACTVS I. SCENA II.

Præco, Amphitheus, Dicæopolis, Legati.

Senarij.

PR. *Procedite vlterius:*
Procedite: vt intra lustratum sitis locum.
AM. *Quis iam dixit?* PR. *quis vult verba facere in foro?*
AM. *Ego volo.* PR. *tu quis es?* AM. *Amphitheus.* PR. *non tu homo es?*
AM. *Non: sed Deus. quoniam Amphitheus Cereris fuit*
Et Triptolemi filius: ex hoc pronatus est
Celeus, is Phanaretam duxit auiam meam:
Ex hac Lycinus prodiit: ex quo ortus sum ego.
Deus sum, nam Di mandârunt hoc mihi.

Ὡς ἀν.

Ως ἂν ἐντὸς ὦτε] εἰώθασιν οἱ Ἀθηναῖοι, σφάζειν δέλφακα καὶ ῥαίνειν τὰς καθέδρας τῷ αἵματι αὐτοῦ εἰς τιμὴν τῆς Δήμητρος. ἐπειδὴ τοὺς καρποὺς αὐτῆς βλάπτει. ἄλλως. ὅτι καθαίρονται οἱ ἐν τῇ ἐκκλησίᾳ χοίρου σφαζομένου. καὶ ὁ ῥήτωρ φησὶν, ἐπειδὰν τὸ καθάρσιον περιενεχθῇ, καὶ ὁ κήρυξ τὰς πατρίους εὔξηται, τότε δὴ κελεύει δημηγορεῖν. τὸ δὲ θυόμενον χοιρίδιον ἐπὶ καθάρσει τῶν τόπων, κάθαρμα ἐκαλεῖτο. ὁ δὲ περικαθαίρων, καθαρτής. Αἰσχίνης δὲ ἐν τῷ κατὰ Τιμάρχου, καθάρσιον καλεῖ. Ο γὰρ Ἀμφίθεος Δήμητρος ἦν.] ἱερεὺς Δήμητρος καὶ Τριπτολέμου ὁ Ἀμφίθεος. περιπαίζεται κωμικῶς ταῦτα. **B** Κελεοῦ γὰρ καὶ Τριπτολέμου. ταῦτα δὲ λέγει ἐν παιδιᾷ σκώπτων τὸν Εὐριπίδην, ἀεὶ ἡδέως ἐπαγγέλλοντα τὰ γένη. ἐν ἄλλοις τε καὶ κατ' ἀρχὰς τῆς ἐν Ταύροις Ἰφιγενείας.

A Πέλοψ ὁ Ταντάλειος εἰς Πῖσαν μολὼν Θοαῖσιν ἵπποις Οἰνομάου γαμεῖ κόρην. Ἐξ ἧς Ἀτρεὺς ἔβλαστεν. Ἀτρέως δὲ παῖς Μενέλαος Ἀγαμέμνων τε. τοῦ δ' ἔφυν ἐγώ. τοῦ δὲ Κελεοῦ μέμνηται Βακχυλίδης διὰ τῶν ὕμνων. ἄλλως. τὸν πρόπαππον αὐτοῦ λέγει, ὃς ἀπὸ Κελεοῦ ὁμωνύμως ἐκαλεῖτο. Τήθην ἐμήν.] τήθας ὀνομάζουσι τὰς μάμμας, καὶ τηθαλλάδας τὰς μαμμοθρέπτους.

Bisetus. Τήθην] Εὐστάθιος. τήθη, ἡ τοῦ πατρὸς, καὶ τῆς μητρὸς μήτηρ. καὶ ἁπλῶς ἡ πρεσβυτέρα γυνή. **B** καὶ τήθη ἡ τροφὸς ὁμωνύμως λέγεται παρὰ τὸ στῆθος, ἢ παρὰ τὸ τῶ, θηλάζειν λέγειν τῷ βρέφει. καὶ οἱ μὲν ὀξυτονοῦσι τηθὴ, οἱ δὲ (ὃ καὶ κοινότερον) βαρυτόνως ἐκφέρουσι τήθη. τηθία δὲ, καὶ τηθίδιος ταυτὸν ὅπερ ἡ τήθη.

Σπονδὰς ποιεῖσθαι πρὸς Λακεδαιμονίους μόνῳ.
Ἀλλ' ἀθάνατος ὢν ὦνδρες ἐφόδι' οὐκ ἔχω,
Οὐ γὰρ διδόασιν οἱ Πρυτάνεις. Κη. οἱ τοξόται.
Αμ. Ω Τριπτόλεμε καὶ Κελεὲ, περιόψεσθέ με;
Δι. Ὦνδρες Πρυτάνεις, ἀδικεῖτε τὴν ἐκκλησίαν, **C**
Τὸν ἄνδρ' ἀπάγοντες ὅστις ἡμῖν ἤθελε
Σπονδὰς ποιῆσαι, καὶ κρεμάσαι τὰς ἀσπίδας.
Κη. Κάθησο, σίγα. Δικαιοπ. μὰ τὸν Ἀπόλλω 'γὼ μὲν οὔ.
Ην μὴ περὶ εἰρήνης γε πρυτανεύσητέ μοι.
Κη. Οἱ παρὰ βασιλέως πρέσβεις.
Δι. Ποίου βασιλέως; ἄχθομαι 'γὼ πρέσβεσι,
Καὶ τοῖς ταῶσι, τοῖς τ' ἀλαζονεύμασι.
Κη. Σίγα. Δικαιοπ. βαβαιὰξ, ὦκβάτανα τοῦ σχήματος. **D**

Vt pacem cum Lacedæmonio faciam poplo.
Sed ô amici, Deus cùm sim, viaticum (mihi
Non habeo: neque enim vrbis præfecti dant
PR. Lorarij. AM. Triptoleme, Celee, méne vos
Negligetis? DI. hem viri, facitis iniuriam
Huic concioni: quòd virum hunc abducitis:
Qui pacem nobis facturus modo fuerat
Et scuta suspensurus ad postes sacros.
PR. Sede & tace. DI. ego non: ita me Apollo bene adamet:
Nisi iam de pace consilia agatis mihi.
PR. At sunt à Rege legati.
DI. Quo Rege? nam ego legatis, & pauonibus,
Et ostentationibus succenseo. (ua hac?
PR. Tace. DI. papæ ô Ecbatana, quæ species no-

Σχόλια. Σπονδὰς ποιεῖσθαι.] αὕτη γὰρ ὁ σκοπὸς τοῦ δράματος, ὥστε σπονδὰς ποιεῖσθαι πρὸς Λακεδαιμονίους. Ἐφόδι' οὐκ ἔχω.] ὅτι ἐκ τοῦ πολέμου πένης εἰμί, καὶ ἐφόδια οὐκ ἔχω. Οἱ τοξόται.] τοῦτό φησιν εἷς τῶν Πρυτανέων, κελεύων ἐκβαλεῖν τὸν Ἀμφίθεον ὡς ὑβριστήν. ἄλλως. τοῦτο ἐκ τῶν Πρυτανέων τίς φησι κελεύων ἀπελαύνειν τὸν Ἀμφίθεον. εἰσὶ δὲ οἱ τοξόται, δημόσιοι ὑπηρέται **E** φύλακες τοῦ ἄστεος τὸν ἀριθμὸν χίλιοι. οἵ τινες πρότερον μὲν ᾤκουν τὴν ἀγορὰν μέσην σκηνοποιησάμενοι. ὕστερον δὲ μετέβησαν εἰς Ἄρειον πάγον. ἐκαλοῦντο οὗτοι καὶ Σκύθαι καὶ Πευσίνιοι, Πευσίνου τινὸς τῶν πάλαι πολιτευομένων συντάξαντος τὰ περὶ αὐτούς. Ω Τριπτόλεμε.] τοὺς ἑαυτοῦ προγόνους, ἐπικούρους ὥσπερ καὶ συμμάχους ἐπικαλεῖται. ἀπάγοντες δὲ, ἀπαυθόντες, ἀπελαύνοντες. Καὶ κρεμάσαι.] ἐν γὰρ τῇ εἰρήνῃ κρέμανται αἱ ἀσπίδες. Ην μὴ περὶ εἰρήνης πρυτανεύσητε.] ἀντὶ τοῦ χρηματίσητε, πράξητε. πάντα γὰρ ἀπὸ τῶν Πρυτανέων διεπράττετο. ἐχρήσατο δὲ τῇ λέξει καὶ Δημοσθένης. Οἱ πρέσβεις.] οὕτως ὁ Περ- **F**

σῶν βασιλεὺς κατ' ἐξοχὴν. οὕτω δὲ καὶ ἄλλους ἔλεγον, προστιθέντες τὰ ἀρχόμενα τὰ ὀνόματα. οἷον βασιλεὺς Λακεδαιμονίων, βασιλεὺς Μακεδόνων. διαφορὰ δέ ἐστι βασιλέως καὶ τυράννου. βασιλεὺς μὲν γὰρ ἐκ προγόνων κατὰ διαδοχὴν ἔχει τὴν ἀρχὴν ἐπὶ ῥητοῖς λαβὼν πέρασι. τύραννος δὲ τὸ ἄρχειν βιαίως σφετερίζεται. χρῶνται δὲ ἀδιαφόρως ἔνιοι τοῖς ὀνόμασι. Ἱέρωνα μὲν βασιλέα Πίνδαρος καλεῖ, τὸν Συρακουσίων τύραννον. Εὔπολις δὲ ἐν Δήμοις εἰσάγει τὸν Πεισίστρατον, βασιλέα. ἀλλὰ καὶ τοὺς βασιλεῖς πολλάκις τυράννους λέγουσι. πρέσβεις δὲ οὗτοι εἰσὶν οἱ περὶ τὸν Μόρυχον ἐμπλησθέντες τρυφῆς. Καὶ τοῖς ταῶσι.] τοῖς κόλποις τοῖς πεποικιλμένοις. ἐπεὶ ὁ ταὼς ποικίλος. ἢ ὅτι πορφύρας ἔχουσι καὶ τιάρας ὡς αὐτός φησι. τιάραι δέ εἰσι, περικεφαλαῖαι Περσικαὶ, ταῶνος πτερὰ ἔχουσαι. ἢ ὅτι ἥκοντες ἀπὸ Περσίδος, ταὼν ἔχοντες ἐληλύθασιν. Ω 'κβάτανα.] ἐξίασι γὰρ οἱ πρέσβεις κεκαλλωπισμένοι ὡς ἀπὸ Ἐκβατάνων, ἥτις ἐστὶ Περσικὴ πόλις.

Bisetus. Τοῖς πρεσβευταῖς ἀπὸ τοῦ Περσῶν βασιλέως μετὰ Ψευδαρτάβα ἐπανελθοῦσι βουλὴ δίδοται,

καὶ ἀκούεται. οἱ δὲ τὰς ἑαυτῶν εὐωχίας, καὶ συμπόσια, καὶ τὰς Περσῶν τρυφὰς, καὶ τὸ ἁβροδίαιτον διηγοῦνται.

Πρ. Ἐπέμψαθ' ἡμᾶς ὡς βασιλέα τὸν μέγαν,
Μισθὸν φέροντας δύο δραχμὰς τῆς ἡμέρας
Ἐπ' Εὐθυμένους ἄρχοντος. Δι. οἴμοι τῶν δραχμῶν.
Πρ. Καὶ δῆτ' ἐτρυχόμεσθα διὰ τῶν Καϋστρίων
Πεδίων ὁδοιπλανοῦντες ἐσκηνημένοι, **G**
Ἐφ' ἁρμαμαξῶν μαλθακῶς κατακείμενοι,

LE. Misistis hinc nos ad Regē ter maximum,
Duabus instructos drachmis stipendio
Diurno. DI. væ duabus drachmis: væ mihi.
LE. Et nos magnis laboribus exhausti sumus,
Miserè palantes per campos Caystrios:
Illicq́ nostra figentes tentoria,
Et in carpentis accumbentes molliter.

Σχόλ. Μισθὸν φέροντας.] διὰ τούτων παρίστησι τὴν τῶν Ἀθηναίων μαλακίαν. ἄλλως ἀναλισκόντων τοὺς χρόνους ἕνεκα κέρδους. πρὸ ιϛ ἐτῶν ἦρχεν ὁ Εὐθυμένης Ἀθήνησι, καθάπερ γὰρ τῶν πρεσβευτῶν ὡς ἐπίτηδες χρονοτριβούντων ἐν ταῖς πρεσβείαις, ὑπὲρ τοῦ πλείονα μισθὸν λαμβάνειν. Ἐπ' Εὐθυμένους ἄρχοντος.] οὗτος ὁ ἄρχων ἐφ' οὗ κατε-

λύθη τὸ ψήφισμα, τὸ μὴ κωμῳδεῖν, γράφειν ἐπὶ Μορυχίδου. ἴσχυσεν ἑαυτόν τε τὸν ἐνιαυτὸν, καὶ δύο τοὺς ἑξῆς, ἐπί τε Γλαυκίνου καὶ Θεοδώρου, μεθ' οὓς ἐπ' Εὐθυμένους κατελύθη. Δία τῶν καΰστρίων.] Καΰστριος ποταμὸς τῆς Λυδίας ἐστὶ μᾶλλον πλησίον Λυδίας. παρ' ᾧ καὶ ὁ Ασιος λειμών.

A ἔνθα καὶ κύκνοι εἰσὶ διάφοροι. καὶ Ομηρος, κύκνων ἢ γεράνων ἢ κύκνων δουλιχοδείρων. Ασίῳ ἐν λειμῶνι Καϋστρίου ἀμφὶ ῥέεθρα. γίνεται δὲ ἐπὶ τὸ, ἀσίου. Εσκηνημένοι] κέκλιται τὸ ῥῆμα ἀπὸ τῆς πρώτης τῶν περισπωμένων. εἰ γὰρ ἦν ἀπὸ τῆς τρίτης ἦν ἂν διὰ τοῦ ω. ὡς κεχρυσωμένοι.

Απολλύμενοι. Δι. σφόδρα γὰρ ἐσωζόμην ἐγὼ,
Παρὰ τὴν ἔπαλξιν, ἐν φορυτῷ κατακείμενος.
Πρ. Ξενιζόμενοι δὲ, πρὸς βίαν ἐπίνομεν
Εξ ὑαλίνων ἐκπωμάτων, καὶ χρυσίδων
Ακρατον οἶνον ἡδύν. Δι. ὦ Κραναὰ πόλις.
Αρ' αἰσθάνει τὸν καταγέλων τῶν πρέσβεων;
Κη. Οἱ Βάρβαροι γὰρ ἄνδρας ἡγοῦνται μόνους
Τοὺς πλεῖστα δυναμένους καταφαγεῖν τε καὶ
    πιεῖν.
Δι. Ημεῖς δὲ λαικαστάς τε καὶ καταπύγονας.
Πρ. Ετει τετάρτῳ δ' εἰς τὰ βασίλει' ἤλθομεν,
Αλλ' εἰς ἀπόπατον ᾤχετο στρατιὰν λαβὼν,
Κἄχεζεν ὀκτὼ μῆνας ἐπὶ χρυσῶν ὀρῶν.
Δι. Πόσου δὲ τὸν πρωκτὸν χρόνου ξυνήγαγεν;
Πρ. Τῇ πανσελήνῳ, κᾆτ' ἀπῆλθεν οἴκαδε,
Εἶτ' ἐξένιζε, παρετίθει δ' ἡμῖν ὅλους
Εκ κριβάνου βοῦς. Δι. καὶ τίς εἶδε πώποτε
Βοῦς κριβανίτας, τῶν ἀλαζονευμάτων.

*Male perditi. DI. saluus igitur eram ego, cùm
    super
Virgulta retubarem sine propugnaculo.
LE. Excepti hospitio, vinum prædulce ac merum
B E poculis vitreis, & aureis scyphis
Bibimus pro viribus. DI. ô hirsuta ciuitas,
Non tu legatorum sentis ludibrium?
PR. Nam Barbari solos hos fortes iudicant,
Qui potare & vorare possunt plurimùm.
DI. At nos cinædos & pathicos præponimus.
LE. Anno demum quarto venimus in regiam.
Sed sumto exercitu in latrinam iuerat:
C Et octo mensibus cacabat aureos
Super montes. DI. & quando clausit podicem?
LE. In plenilunio: postea rediit domum:
Nósque hospitio excepit, bouésque è clibano
Apposuit integros. DI. & quisquam unquam
    audiit
De clibanario boue? quæ hæc iactantia est?*

Σχόλια. Σφόδρα γὰρ ἐσωζόμην.] ἐκ τοῦ ἐναντίου ἐπίτασιν ἀγανακτῶν. εἰ γὰρ ὑμεῖς ἀπόλλυσθε οὕτω διάγοντες, ἐσωζόμην ἄρα ἐγὼ πολιορκούμενος ὑπὸ Λακεδαιμονίων, κατακείμενος καὶ καθεύδων ἐν τῷ τείχει ἐπὶ φρυγανίων καὶ καλάμης καὶ συρφετῶν. τὸ οὖν ἐσωζόμην ἐν εἰρωνείᾳ λέγει.

BISETVS. Παρὰ τὴν ἔπαλξιν] ἐπάλξεις, οἱ τῶν τειχῶν, καὶ τῶν πύργων προμαχεῶνες, παρὰ τὸ ἀλκω, ἀλέξω, ὃ δηλοῖ τὸ βοηθῶ, καὶ τὸ ἀμύνω.

Σχόλια. Ξενιζόμενοι δὲ,] προτρεπόμενοι εἰς τὰ ξένια βρώματα τοῦ βασιλέως τῶν Περσῶν.

BISETVS. Πρὸς βίαν ἐπίνομεν] οὐ νοητέον ταῦτα ἀντὶ τοῦ, βιαζόμενοι, καὶ ἀναγκασθέντες ἐπίομεν. ἀλλὰ τὸ πρὸς βίαν πίνειν ἐνταῦθα οὐδὲν ἄλλο σημαίνει ἢ τὸ ἄδην, κατακόρως, δαψιλῶς πίνειν. ὡσαύτως καὶ ἐν τῷδε τοῦ Αλκαίου,

Νῦν χρὴ μεθύσκειν, καὶ τινα πρὸς βίαν ,, Πίνειν. καὶ τὰ ἑξῆς. τὸ πρὸς βίαν οὐ ληπτέον ἀντὶ τοῦ βιαίως, ἢ ἀκουσίως, ἀλλ' ἀντὶ τοῦ, κατ' ἰσχὺν, κατὰ δύναμιν, ὅσον σθένος.

Σχόλια. Ω Κραναὰ πόλις.] τοῦτο τίθεται ὑπὸ τῶν παλαιῶν. καὶ Αἰσχύλος γὰρ καὶ Σοφοκλῆς ἐχρήσατο τῇ λέξει. λέγει δὲ Κραναὰς, τὰς Αθήνας. ἐπεὶ τὰς τραχείας. λεπτόγεως γὰρ ἡ Αττική. ἢ ἀπὸ Κραναοῦ τινὸς, ὃς ἦν τῶν αὐτοχθόνων εἷς. Οἱ Βάρβαροι γὰρ ἄνδρας.] ἄνδρας νῦν ἀντὶ τοῦ ἀνδρείους καὶ γενναίους. Καταφαγεῖν.] ἐμφατικῶς ἢ κατὰ ὥσπερ καὶ τὸ ἐμφαγεῖν. Λαικαστάς.] τοὺς πόρνους. καὶ ἀλλαχοῦ, κάμπτει δὲ νέας ἀψῖδας ἐπῶν, τορνεύει καὶ λαικάζει. καὶ λαικάστρια ἡ πόρνη. Αλλ' εἰς ἀπόπατον.] ἀπόπατος λέγεται, τῆς ἀποκεκριμένης τροφῆς ἡ ἄφοδος. παρὰ τὸ ἐκτρέπεσθαι τῆς ὁδοῦ. πάτος γὰρ ἡ κοινὴ ὁδός, καὶ Ομηρος. πάτον ἀνθρώπων ἀλεείνων. ἀντὶ δὲ τοῦ εἰπεῖν ἐπὶ πόλεμον ᾤχετο, ἔφη εἰς ἀπόπατον ᾤχετο. Επὶ χρυσῶν ὀρῶν.] παρόσον ἱστορεῖται ὅτι ὁ Περσῶν βασιλεὺς ὑπὸ χρυσῆν πλάτανον καθεζόμενος. παίζων εἶπεν, ἐπὶ χρυσῶν ὀρῶν. ὄρος δὲ ἡ ἀμίς. ἢ διὰ τὰ ἐν Περσίδι χρυσοῦ μέταλλα. ἄλλως. διὸ ταῦτα ἐδήλωσε διὰ τοῦ εἰπεῖν ἐπὶ χρυσῶν ὀρῶν. τάττει οὖρος ὄχημα ἀγγεῖον, ἅ φασιν ἀμίδας. καὶ τὰ τῆς Περσίδος ὄρεα, ἐν οἷς φασὶ γίγνεσθαι τὸν χρυσόν. ὅθεν ἱστοροῦσι τὸν Ξέρξην ὑπὸ χρυσῆν πλάτανον καθεύδειν ὅτε κατὰ τῶν Αθηναίων ἐστράτευσεν. ἀντὶ δὲ τοῦ εἰπεῖν πόσου χρόνου συνήγαγε τὸν στρατὸν, τὸν πρωκτὸν εἶπε. Τῇ πανσελήνῳ.] οἱ γὰρ Ελληνες πάντα ἔπραττον πρὸς τὴν σελήνην ἀποβλέποντες, καὶ μάλιστα οἱ Λακεδαιμόνιοι. Δάτιδος γοῦν καὶ Αρταφέρνους τῶν στρατηγῶν τοῦ Περσῶν βασιλέως εἰς Μαραθῶνα ἐμβεβληκότων, περιμένον τὴν πανσέληνον ἐπὶ τῷ τότε ἐξελθεῖν ἐπὶ τὸν πόλεμον. πρὶν οὖν ἐκείνους παραγενέσθαι κατώρθωσαν οἱ Αθηναῖοι τὸν πόλεμον. παίζει οὖν πρὸς τὸ τοιοῦτον ἔθος. Εκ κριβάνου], οὐδετέρως λέγεται τὸ κρίβανον, ὡς μαρτυρεῖ Φερεκράτης. τουτὶ τί ἐστιν. ὡς ἂν ἕκαστῳ τὸ κρίβανον. οὕτω δὲ λέγεται οἱονεὶ κρίβανον, ἐν ᾧ αἱ κριθαὶ ὀπτῶνται, βαυκυσμὸς, ἔλεγον τὰς καμίνους. Αρμενός, οἱ δὲ ξένια ἔφερον θεωρούς ἐν κριβανίτισιν ὀπτούς. καὶ κριβανίτης ἄρτος ὁ ἐν κριβάνῳ ὠπτημένος. τὴν δὲ τῶν ἄρτων ἐν κριβάνῳ ὄπτησιν, Αρτος Αἰγύπτιος ἐπινενόηκεν. ὅθεν καὶ παροιμία, Αρτος κρίβανον, ἐπὶ τῶν καινόν τι εὑρηκότων. Καὶ τίς εἶδε πώποτε.] λείπει τὸ οὐδείς. ὡς καὶ παρ' Ομήρῳ. τίς ἂν τάδε γηθήσειεν ἰδών. προσυπακουστέον γὰρ τὸ οὐδείς.

BISETVS. Τῶν ἀλαζονευμάτων.] φεῦ ἕνεκα τῶν ἀλαζονευμάτων, φεῦ τῆς ἀλαζονείας. οὕτω καὶ ἀλλαχοῦ πολλάκις ἐν τοῖς ἄνω, ὦ ἄθλια τὰ τοῦ σχήματος. ἀντὶ τοῦ ἕνεκα τῶν φεῦ τοῦ σχήματος. ἀλαζονεία δὲ διαφέρει τοῦ ἀλαζονεύματος, ὡς ἡ αἰτία τοῦ αἰτιατοῦ, καὶ ἡ ἐνέργεια τοῦ ἐνεργήματος. ἡ γὰρ ἀλαζονεία ἐστὶν ἡ κακία, ἔστι κακὴ ἕξις ἡ πρὸς τὸ ἀλαζονεύεσθαι, καὶ πρὸς τοὺς λόγους. καὶ τὰς πράξεις ἀλαζονικὰς τοὺς ἀνθρώπους ἀποτρέπουσα. τὸ δὲ ἀλαζόνευμα, τὸν λόγον, ἢ τὴν πρᾶξιν, καὶ τὸ τῆς ἀλαζονείας ἔργον σημαίνει. οὕτω καὶ διαφέρει ἡ ἀσέβεια, καὶ τὸ ἀσέβημα. οὐ δεῖ μέντοι αὐτὴν διαφορὰ φυλάττεσθαι. ἀλλὰ πολλάκις τούτων σύγχυσις καὶ κατάχρησις γίνεται.

Πρ. Καὶ

Πρ. Καὶ ναὶ μὰ Δί' ὄρνιν τριπλάσιον Κλεωνύμου
Παρέθηκεν ἡμῖν, ὄνομα δ' ἦν αὐτῷ φέναξ.
Δι. Ταῦτ' ἄρ' ἐφενάκιζες σὺ δύο δραχμὰς φέρων.
Πρ. Καὶ νῦν ἄγοντες ἥκομεν Ψευδαρτάβαν
Τὸν βασιλέως ὀφθαλμόν. Δι. ἐκκόψειέ γε
Κόραξ πατάξας τόν γε σὸν τοῦ πρέσβεως.

A LE. Et, per Iouem, etiam autem Rex apposuit, triplo
Maiorem, quàm est Cleonymi: illi nomen est
Impostor. DI. hac tu impostura duas drachmas
Hinc abstulisti. LE. Et nunc vnà huc adducimus,
Pseudartabanum, Regis oculum. DI. vtinam oculum tui
B Legati coruus hic elidat ictibus.

Σχόλια. Τριπλάσιον Κλεωνύμου.] ὅτι ὡς μέγα ἔχων σῶμα καὶ δειλὸς διεβάλλετο ὁ Κλεώνυμος. ἑτέρωθι δὲ καὶ ἀδηφάγος εἴρηται. νῦν δὲ καὶ φενακιστὴν αὐτὸν καλεῖ χαριεντιζόμενος. Ταῦτ' ἄρ'.] ἀντὶ τοῦ διὰ ταῦτα. φέρων δὲ τουτέστι λαμβάνων. κομιζόμενος. Ψευδαρτάβαν.] γελοίως ἔπαιξε. παίζει δὲ, ὡς τοιούτων ὄντων ὀνομάτων παρὰ Πέρσαις, Ἀρταβάζου καὶ Ἀρταξέρξου. καὶ τὸ Ψευδαρτάβαν ἐποίησε, παρὰ τὴν ἀρτάβην τὸ μέτρον. Περσικὸν δὲ καὶ Αἰγύπτιον τὸ ὄνομα. Τὸν βασιλέως ὀφθαλμόν.] τὸν μέγα δυνάμενον παρὰ βασιλεῖ. οὕτω δὲ ἐκάλουν τοὺς στρατηγοὺς, δι' ὧν πάντα ὁ βασιλεὺς ἐπισκοπεῖ, ὡς βασιλέως ὦτα, οἱ ὠτακουσταὶ, δι' ὧν ἀκούει τὰ πραττόμενα ἑκάστῳ πανταχοῦ. οἷς ὡς συνάρχοις χρῆται, ὡς Ἀριστοτέλης πολιτικῶν γ κατὰ λέξιν οὕτω φησίν. ἄτοπον δ' ἴσως ἂν εἶναι δόξειεν εἰ βέλτιον ἴδοι τις δυοῖν ὄμμασι καὶ δυσὶν ἀκοαῖς κρίνων καὶ πράττων δυσὶ καὶ χερσὶν ἢ πολλοὶ πολλοῖς. ἐπεὶ καὶ νῦν ὀφθαλμοὺς πολλοὺς οἱ μόναρχοι ποιοῦσιν αὑτῶν καὶ ὦτα καὶ χεῖρας καὶ πόδας. τοὺς γὰρ τῇ ἀρχῇ καὶ αὐτοῖς φίλους, ποιοῦνται συνάρχους. Τοῦ πρέσβεως.] προπαροξυτόνως. ὡς μάντεως. ἀπὸ εὐθείας τῆς ὁ πρέσβεις δὲ, παροξυτόνως ὡς χαλκέως. ἀπὸ εὐθείας τῆς, ὁ πρεσβεύς. οἱ τινὲς ἁμαρτάνουσιν, οὐ γάρ ἐστιν ὁ πρεσβεύς.

C

ΔΡΑΜΑΤΟΣ ΤΟΥ ΠΡΩΤΟΥ, Σκηνὴ τρίτη.

ΚΗΡΥΞ, ΔΙΚΑΙΟΠΟΛΙΣ, ΨΕΥΔΑΡΤΑΒΑΣ, ΑΜΦΙΘΕΟΣ.

ACTVS I. SCENA III.

PRÆCO, DICÆOPOLIS, PSEVDARTABANVS, AMPHITHEVS.

D

Bisetus. Ψευδαρτάβας ὁ τοῦ βασιλέως ὀφθαλμὸς λεγόμενος, εἰς τὴν βουλὴν ὑπὸ τοῦ κήρυκος εἰσαχθεὶς Περσικῇ διαλέκτῳ τὰς τοῦ δεσπότου ἐντολὰς δηλοῖ. ὅτι δὲ κῆρυξ τοὺς λόγους τοῦ Ψευδαρτάβα ψευδόμενος ἑρμηνεύει, Δικαιόπολις ἀπιστῶν, καὶ ἀγανακτῶν ἐπὶ τούτοις αὐτὸς αὐτὸν μόνος μόνον βασανίζει, καὶ τὴν ἀλήθειαν ἐξ αὐτοῦ μανθάνει.

Κη. Ὁ βασιλέως ὀφθαλμός. Δι. ὦναξ Ἡράκλεις
Πρὸς τῶν θεῶν ἄνθρωπε ναύφρακτον βλέπεις.
E Ἢ περὶ ἄκραν κάμπτων, νεὼς οἶκον σκοπεῖς.
Ἀσκωμ' ἔχεις που περὶ τὸν ὀφθαλμὸν κάτω.
Κη. Ἄγε δὴ σὺ, βασιλεὺς ἅττα σ' ἀπέπεμψε φράσον
Λέξοντ' Ἀθηναίοισιν ὦ Ψευδαρτάβα.
Ψδ. Ἰαρταμὰν ἐξάρξαν ἀπισσονα σάτρα.
Κη. Ξυνήκαθ' ὃ λέγει; Δι. μὰ τὸν Ἀπόλλω 'γὼ μὲν οὔ.
Κη. Πέμψειν βασιλέα φησὶν ὑμῖν χρυσίον,
F Λέγε δὴ σὺ μεῖζον, καὶ σαφῶς τὸ χρυσίον.
Ψδ. Οὐ λῆψι χρυσό χαυνόπρωκτ' Ἰαοναῦ.
Κη. Οἴμοι κακοδαίμων ὡς σαφῶς. Δι. τί δ' αὖ λέγει;

PR. Regis ocule adesdum. DI. oh Hercales: tu per Deos
Mi homo quiddam obtuere toruū ac clasicum
Aut quasi qui promontorium circumeat, &
Naui stationem prospicias. Nam lorum alicubi
Quo scalmus munitur, subter oculum tenes.
PR. Age tu Pseudarsaba, dic quorum gratia
Rex huc te miserit: dic coram his ciuibus.
PS. Iartaman exarxan, apissonasatra.
PR. Intelligitis, quid dicat? DI. ego nō, per Deū.
PR. Dicit Regem esse missurum pecuniam:
Dic gratiùs de auro, & quiddam manifestius.
PS. Non auricapilati podices Iaonau.
PR. Me miserum, quàm perspicuè. DI. quid dixit iterum?

Σχόλια. Ὦ βασιλέως.] οὕτως ἐκάλουν οἱ κήρυκες ἐξ ὀνόματος. Πρὸς τῶν θεῶν] ἐξεπέπτωκε ὡς μέγαν ὀφθαλμὸν ἐσκευάσθαι ἔχων ὁ πρεσβευτής. ναύφρακτον δὲ, ἤτοι ναύσταθμον. ὥσπερ περιβλέποντος ἐν κύκλῳ τοῦ πρεσβευτοῦ, καὶ ἀξιωματικῶς εἰσιόντος. τινὲς δὲ ναύφρακτον, τὸν ἐν ναυσὶ στρατιάν. ἀντὶ τοῦ στρατιὰν βλέπεις ὅλην. ἐπειδὴ μεγάλοι ταῖς τριήρεσιν ὀφθαλμοὶ γίνονται, δι' ὧν τὰς κώπας ἐμβάλλοντες ἐκωπηλάτουν. ἐφράττοντο δὲ καὶ δερματίνοις τρόποις πρὸς τὸ μὴ τρίβεσθαι τὰ ἐνδώματα. ἄλλως. ὁ ναυτικὸς στρατὸς, ναύφρακτος καλεῖται. σκόπει τὸν αὐτὸν διὰ τὸ βάρος καὶ μόλις προσιέναι ταῦτά φησι. πότερον ἐν ὀφθαλμοῖς τὸ ναυτικὸν ἔχων οὕτω βαδίζεις, ἢ ναῦν. ἀκρωτήριον κάμπτεις. ἐπειδὴ δεδοικότες οἱ ἐμπλέοντες, ὅταν ὦσι πλησίον τῆς γῆς, ἠρέμα καὶ ἐπιστημόνως ἰθύνουσι, μὴ προσπταίσωσι τῇ γῇ. ἠσκωμένος δὲ ἦν ὁ Πέρσης, δέρμα ἔχων καθειμένον, ὡς τόπον τοῦ τε παίζοντος καὶ τοῦ στόματος, ὡς ἂν προσωπεῖον. ἄλλως. ἔξεστι τερατώδης τὶς γελοίως ἐσκευασμένος καὶ ὀφθαλμὸν ἔχων ἕνα ἐπὶ παντὸς τοῦ προσώπου.

G

Bisetus. Ναύφρακτον βλέπεις, ἐπειδὴ μεγάλοι ταῖς τριήρεσιν οἱ ὀφθαλμοὶ γίνονται, δι' ὧν τὰς κώπας ἐμβάλλοντες οἱ ἐρέται ἐκωπηλάτουν. ὥστε τὸ ναύφρακτον βλέπεις, σήμαινει ἐπὶ τοῦ, τρανὸς, καὶ πλατὺ, καὶ μέγα βλέπεις. Σ.

Σχόλια. Ἢ περὶ ἄκραν κάμπτων.] πλοιαρίου γὰρ μάλιστα ἔργον ἐστὶ προορᾶν καὶ φυλάττειν τὴν ναῦν, ὅταν ἄκραν τινὰ κάμπτωσι. γελοῖον οὖν φησι περιβλέποντος, ἐν ᾧ ἐφολκάσιν οἴκαδε ἐπιώσιν, ὁ καλοῦσιν ἀγκῶνα. ἢ μᾶλλον ἀποκρύφους τόπους διὰ τὸν ἄνεμον, ἔνθα ἀπὸ κείτην εἰσιν. Ἄσκωμ' ἔχεις.] ὡς τοῦ δέρματος ἐξηρτημένου τοῦ μύστακος αὐτοῦ καὶ τῆς ῥινός, καὶ οὕτω γελοίως ἐσκευασμένου. ἄσκωμα δ' ἐστὶν ὁ ἱμὰς ὁ συνέχων τὴν A κώπην, πρὸς τῷ σκαλμῷ. ἄλλως. ὁ τῆς κώπης ὀφθαλμός, ἔχει τὸ ἄσκωμα. κώπης δὲ ὀφθαλμὸς τὸ τρῆμα. Ἀπαρτιασάτης.] παίζει ὡς τῇ Περσικῇ διαλέκτῳ χρώμενος. Πέμψειν βασιλέα.] τοῦτό φησιν ὁ κῆρυξ ἢ οἱ πρέσβεις. Χαυνόπρωκτοι.] ἀντὶ τοῦ εὐλυτοι. Ἰαοναῦ δὲ ἀντὶ τοῦ Ἀθηναῖοι. Ἴωνες γὰρ οἱ Ἀθηναῖοι ἀπὸ Ἴωνος τοῦ Ξούθου. ὡς βάρβαρος δὲ τὸ αὖ ἔφη Δωρικῶς ἀντὶ Ἑλληνιζομένου.

Κη. Ὅτι χαυνοπρώκτους τοὺς Ἰάονας λέγει,
Εἰ προσδοκῶσι χρυσίον ἐκ τῶν βαρβάρων.
Δι. Οὐκ, ἀλλ' ἀχάνας ὅδε γε χρυσίου λέγει.
Κη. Ποίας ἀχάνας; σὺ μὲν ἀλαζὼν εἶ μέγας.
Δι. Ἀλλ' ἄπιθ', ἐγὼ δὲ βασανιῶ τουτονὶ μόνος.
Ἄγε δὴ σὺ φράσον ἐμοὶ σαφῶς πρὸς τουτονί,
Ἵνα μή σε βάψω βάμμα σαρδινιακόν.
Βασιλεὺς ὁ μέγας ἡμῖν ἀποπέμψει χρυσίον;
Ἀνανεύει. ἄλλως ἄρ' ἐξαπατώμεθ' ὑπὸ τῶν C πρέσβεων;
Ἐπινεύει. Ἑλληνικόν γ' ἐπένευσαν ἅνδρες οὑτοιί.
Οὐκ ἔσθ' ὅπως οὐκ εἰσὶν ἐνθένδ' αὐτόθεν,
Καὶ τοῖν μὲν εὐνούχοιν τὸν ἕτερον τουτονί,
Ἐγῷδ' ὅς ἐστι, Κλεισθένης ὁ Σιβυρτίου.
Ὦ θερμόβουλον πρωκτὸν ἐξυρημένε,
Τοιόνδε δ', ὦ πίθηκε, τὸν πώγων' ἔχων
Εὐνοῦχος ἡμῖν ἦλθες ἐσκευασμένος;
Ὁδὶ δὲ τίς ποτ' ἐστίν; οὐ δήπου Στράτων;
Κη. Σίγα, κάθιζε,
Τὸν βασιλέως ὀφθαλμὸν ἡ βουλὴ καλεῖ
Εἰς τὸ Πρυτανεῖον. Δι. ταῦτα δῆτ' οὐκ ἀγχόνη;
Κᾆτ' ἐγὼ δῆτ' ἐνθαδὶ στραγγεύομαι,
Τοὺς δὲ ξενίζειν, οὐδέποτέ γ' ἴσχει θύρα.
Ἀλλ' ἐργάσομαί τι δεινὸν ἔργον καὶ μέγα.
Ἀλλ' Ἀμφίθεός μοι ποῦ 'στιν; Αμ. οὑτοσὶ πάρα.

B PR. Iaones dicit laxi esse podicis,
Si aurum exspectent à barbaris. DI. non arbitror:
Quia auri modios nominat. PR. quales, cedò,
Modios? nam magnus tu quidem ostentator es.
DI. Abi tu, ego solus hunc examinabo. Agè
Dic tu mihi perspicuè soli, huic, inquam, mihi:
Ne fors te tingam tinctura Sardiniaca:
Mittétne nobis aurum Rex ille inclytus?
Renuit. Numquid legati nobis verba dant?
Annuit, & hi Græco more annuunt viri.
Non est, vt ex nobis non aliqui sint ibi.
Et certè ex his duobus Eunuchis ego
Noui alterum. Nam hic Clisthenes Sibyrtij est.
O tu, qui anum reperisti calidi consilij:
Quid? túne simiæ cum hac barba nobis venis
Subornatus, qui spado sis? hic autem quis est,
D Annon Strato? PR. tace, sede.
Regis oculum, senatus in Prytaneum hodie
Vocat. DI. annon hæc sunt, quæ me ad suspendium adigant?
Egóne deinceps hic militem: hos verò hospites
Nunquam arceant nostræ fores! agè facinus
Ego aggredior magnum, graue & memorabile. (desine.
Sed vbi mihi est Amphitheus? AM. præsto est,

E

Σχόλια. Ὅτι χαυνοπρώκτους.] ὅτι πάντας τοὺς Ἕλληνας Ἰάονας οἱ βάρβαροι ἐκάλουν. προείρηται καὶ Ὁμήρῳ, Ἰάονες ἑλκεχίτωνες. τὸ δὲ αὖ, ἀντὶ τοῦ βαρβαρίζων ἔφη. Οὐκ, ἀλλ' ἀχάνας.] ἀχάνη μέτρον ἐστὶ περσικόν, ὥσπερ ἡ ἀρτάβη παρ' Αἰγυπτίοις. χωρεῖ δὲ μεδίμνους ἀττικοὺς με', ὡς μαρτυρεῖ Ἀριστοτέλης. ἄλλοι δέ φασιν, ὅτι κίστη ἐστὶν εἰς ἣν κατετίθεντο τοὺς ἐπισιτισμούς, οἱ ἐπὶ τὰς θεωρίας στελλόμενοι. Ἄγε δὴ σὺ φράσον.] ἀντὶ τοῦ πρὸς ἐμαυτόν. ἀττικὸν δὲ τοιοῦτο σχῆμα. ὡς μὴ συνιέντος δὲ αὐτοῦ δείκνυσι τῷ δακτύλῳ. ἢ οἱ λέγοντες καὶ τουτονί. Βάμμα σαρδινιακόν.] ἀντὶ τοῦ ἐρυθρὸν φοινικοῦν. Σαρδὼ γὰρ νῆσός ἐστι τῆς Ἰταλίας, σταδίους ἑξήκοντα Κύρνου διέχουσα. ἐν ταύτῃ δὲ γίνονται πορφύραι διάφοροι καὶ ὀξύταται. ἢ ὅτι εἰς τὴν Σάρδεις τῆς Λυδίας πολλὰ βάμματα γίνεται. βούλεται οὖν δηλοῦν ὅτι εἰ μὴ εἴποις τἀληθῆ, μαστίζων ἐρυθρὸν ποιήσω τοῖς αἵμασι. τὸ δὲ ἀνανεύει καὶ ἐπινεύει παρεπιγραφὴ ὑπὲρ τῆς σαφηνείας, ὅτι ἀρνούμενος μὲν ἀνένευεν. ὁμολογῶν δὲ κατένευεν. F

BISETVS. Σαρδινιακόν.] Εἰ ἡ γραφὴ καλῶς ἔχει, ὁ τῶν ἐν τῶν παλαιῶν βιβλίων συγγραφεὺς ἐνταῦθα ἡμάρτηκεν. οὐ γὰρ ἀπὸ τῆς Σαρδοῦς, Σαρδινιακὸς παράγεται, ἀλλὰ Σαρδόνιος, ὅθεν παροιμία, Σαρδόνιος γέλως. Σάρδεις δὲ κατὰ τὸν Στέφανον περὶ πόλεων, πόλις ἐστὶ Λυδίας. ὁ πολίτης Σαρδιανός, καὶ Σαρδιανικὸν τὸ κτητικόν. Σαρδιανικός, ἡ, όν. ὅθεν καὶ τὸ Σαρδιανικὸν βάμμα. ταύτῃ δὲ τῇ λέξει καὶ ἐν τῇ Εἰρήνῃ Ἀριστοφάνης ἐχρήσατο λέγων, G

Ἣν ὄντως φησὶν εἶναι βάμμα Σαρδιανικόν.

Σχόλια. Ἄλλως ἄρ' ἐξαπατώμεθα.] ἠλιθίως καὶ ματαίως. καὶ Ὅμηρος, Σπερχεῖ' ἄλλως σοί γε πατὴρ ἠρήσατο Πηλεύς. οἱ δὲ Ἀττικοὶ εἰώθασι προστιθέναι τὴν τήν, λέγοντες τὴν ἄλλως. Ἑλληνικόν γ' ἐπένευσαν.] τὸ ἐπένευσεν, ὡς διαφέροντος καὶ τοῦ νεύματος τοῦ ἑλληνικοῦ. ἐπένευσε δὲ μετὰ τὸ ἐγείρειν τὴν κεφαλήν. χρὴ μέντοι εἰδέναι ὅτι ἕνα καλέσας μικρῷ πρότερον, νῦν ὡς περὶ δυεῖν τὸν λόγον ποιεῖται. δῆλον ὅτι δι' ἑνὸς τοῦ ἐνδοξοτέρου τοὺς δύο καλεῖ. αὐτόθεν δὲ ἀπὸ τῆς Ἀττικῆς, ἐντεῦθεν. Ἐγῷδ' ὅς ἐστι.] τὸ ἐγῷδα, ἀντὶ τοῦ ἐγὼ οἶδα. οὗτος δὲ ὁ Κλεισθένης ἀεὶ τὸ γένειον ἐξυρᾶτο πρὸς τὸ ἀεὶ φαίνεσθαι νέος. διὰ τοῦτο εὐνούχῳ αὐτὸν εἰκάζει. Ὦ θερμόβουλον.] παρῳδίᾳ χρῆται. ἔστι γὰρ ἐν τῇ Μηδείᾳ Εὐριπίδου, ὦ θερμόβουλον σπλάγχνον. ἀντὶ οὖν σκώπτων Εὐριπίδην, προσέθηκε πρωκτὸν παρὰ προσδοκίαν. Τοιόνδε δ' ὦ πίθηκε.] καὶ τοῦτο παρῴδηκεν ἐκ τῶν Ἀρχιλόχου ἐπῶν. τοιήνδε δ' ὦ πίθηκε τὴν πυγὴν ἔχων. Οὐ δήπου Στράτων.] καὶ οὗτος κωμῳδεῖται ὡς λειβόμενος τὸ γένειον καὶ λεαίνων τὸ σῶμα, ὡς Κλεισθένης. ὥς φησιν αὐτὸς Ἀριστοφάνης ἐν Ὁλκάσι. παῖδες ἀγένειοι Στράτων. Εἰς τὸ Πρυτανεῖον.] ὥστε ἐκεῖ εἶναι τοὺς πρέσβεις παρὰ Ἀθηναίοις. Ταῦτα δῆτ' οὐκ ἀγχόνη.] ἡ διαφορὰ τοῦ ὀνόματος ἐν τῷ τόνῳ. ὀξυτόνως μὲν γάρ, τὸ ἄλγος τοῦ πάθους. βαρυτόνως δὲ τὸ σχοινίον καὶ ὁ βρόχος.

BISETVS. Τούτων δὲ ὄντως ἐστί. ὡς ἄρα ταῦτα βρόχον ἡμῖν ἀπειλεῖ, εἰ μὴ στεργοῖμεν, καὶ εὐτακτοῖμεν.

Σχόλια

Σχ. Τὰς δὲ ξενίζειν] παροιμία ἐπὶ τῶν πολλοὺς ξένους ἀποδεχομένων, οὐδέποτ' ἴσχει ἡ θύρα. μέμνηται δὲ Εὔπολις ἐν φίλοις. ὑπὸ τοῦ Ποσειδῶ, οὐδέποτ' ἴσχει ἡ θύρα. καὶ Καλλίμαχος ἐν Ἑκάλῃ. τίον δέ ἑ πάντες ὁδῖται. ἦ ῥα φιλοξενίης ἔχε στέγος ἀκλήϊστον. καὶ Πίνδαρος. ἔνθ' ἄρα πεπταμέναι ξείνων ἕνεκεν ταὶ θύραι. λέγει δὲ περὶ τῶν A Πρυτανείων. διότι αὐτῶν μὲν ὑπὲρ τῆς πόλεως στρατευόμενον καὶ πονοῦντα οὐ δέχονται. τοὺς δὲ πρέσβεις ξένους ὄντας, καὶ ξενίζουσιν ἐν αὐτῷ. ἴσχει δὲ, ἀντὶ τοῦ κωλύει ἢ ἀποκλείει. ἄλλως. οὐδέποτε ἐκώλυσεν. ἢ ἀπέκλεισεν. ὁ δὲ λόγος, ἐπὶ τῶν Πρυτανείων, καθὸ ἐπὶ ξενίαν καλοῦσι τοὺς ἀφικνουμένους.

BISETVS. Δικαιόπολις τὸν δῆμον κεναῖς ἐλπίσι τρέφεσθαι, καὶ θωπεύεσθαι καταμαθὼν, αὐτὸς περὶ τῶν ἑαυτῷ συμφερόντων βουλευσάμενος, πάλιν ἔλαβε B βουλὴν, καὶ τὸν Ἀμφίθεον πρὸς τοὺς Λακεδαιμονίους ἐπρέσβευσε σπονδὰς ἑαυτῷ, καὶ τοῖς ἑαυτοῦ οἰκείοις πρὸς αὐτοὺς ποιήσοντα.

Δι. Ἐμοὶ σὺ ταυτασὶ λαβὼν ὀκτὼ δραχμὰς,
Σπονδὰς ποίησαι πρὸς Λακεδαιμονίους μόνῳ,
Καὶ τοῖσι παιδίοισι καὶ τῇ πλάτιδι,
Ὑμεῖς δὲ πρεσβεύεσθε, καὶ κεχήνατε.

DI. Cape has à me drachmas octo, & soli mihi
Puerísque meis, & coniugi meæ optimæ
Fœdus inito cum Lacedæmoniorum poplo:
Vos legatos mittite, hiate & stupescite.

Σχόλια. Καὶ τῇ πλάτιδι] τῇ γυναικί παρὰ τὸ πελάζειν τῷ ἀνδρὶ κατὰ τὴν κοίτην. Πρεσβεύεσθε.] C ἀντὶ τοῦ πρέσβεις πέμπετε. τὸ δὲ κεχήνατε ἐξαπατᾶσθε καὶ ἐστοὶ ἐστέ.

ΔΡΑΜΑΤΟΣ ΤΟΥ ΠΡΩΤΟΥ, Σκηνὴ τετάρτη.

ΚΗΡΥΞ, ΘΕΩΡΟΣ, ΔΙΚΑΙΟΠΟΛΙΣ.

ACTVS I. SCENA IV.

PRÆCO, THEORVS, DICÆOPOLIS.

BISETVS. Θέωρος εἰς τὴν βουλὴν ὑπὸ κήρυκος εἰσκηρύττεται, ἵνα τὴν περὶ Σιτάλκους τοῦ Θρακῶν βασιλέως περὶ συμμαχίας, καὶ βοηθείας ἀπόκρισιν ἀπο- D φήνῃ. ἀλλὰ καὶ οὗτος μεγαλοπρεπῶς τοῦ βασιλέως ὑποσχέσεις διηγούμενος ὁμοίως ταῖς κεναῖς ἐλπίσι κολακεύει τὸν δῆμον, ἐπιπλάζει, καὶ φενακίζει.

Κη. Προσίτω Θέωρος ὁ παρὰ Σιτάλκους. Θε. ὅδί. Κη. Θέωρ'.
Δι. Ἕτερος ἀλαζὼν οὗτος εἰσκηρύττεται.
Θεωρ. Χρόνον μὲν οὐκ ἂν ἦμεν ἐν Θρᾴκῃ πολύν.
Δικ. Μὰ Δί' οὐκ ἂν εἰ μισθόν γε μὴ φέρες πολύν. E
Θε. Εἰ μὴ κατένιψε χιόνι τὴν Θρᾴκην ὅλην,
Καὶ τοὺς ποταμοὺς ἔπηξ' ὑπ' αὐτὸν τὸν χρόνον.
Ὅτ' ἐνθαδὶ Θέογνις ἠγωνίζετο,
Τοῦτον μετὰ Σιτάλκους ἔπινον τὸν χρόνον.
Καὶ δῆτα φιλαθήναιος ἦν ὑπερφυῶς,
Ὑμῶν τ' ἐραστὴς ἦν ἀληθῶς, ὥστε καὶ
Ἐν τοῖσι τοίχοις ἔγραφεν, Ἀθηναῖοι καλοί.
Ὁ δ' υἱὸς, ὃν Ἀθηναῖον ἐπεποιήμεθα, F
Ἤρα φαγεῖν ἀλλᾶντας ἐξ Ἀπατουρίων,
Καὶ τὸν πατέρ' ἠντιβόλει βοηθεῖν τῇ πάτρᾳ.
Ὁ δ' ὤμοσε σπένδων, βοηθήσειν, ἔχων
Στρατιὰν τοσαύτην, ὥστ' Ἀθηναίους ἐρεῖν,

PR. Accedat & à Sithalce Theorus. TH. eccum. PR. agè.
DI. Alius hic est veterator, qui voce publica
In concionem prouocatur huc modò.
TH. Non essemus diu morati in Thracia.
DI. Non equidem, si non amplum auferres præmium.
TH. Si nix non obruisset totam Thraciam,
Et illo ipso tempore aquæ riguissent gelu:
Quando Theognis ibi pugnauit pro gloria,
Interea cum Sithalce potabam: quia
Supra modum est amans Atheniensium,
Et verè noster amicus, qui etiam ad parietes
Manu scripserit: Athenienses sunt boni.
At filius, quem ciuem nostrum fecimus,
Cupiebat farcimina edere ex Apaturijs:
Patrémque orabat, vt patriæ succurreret:
Iurauit is inter sacrificandum, sese opem
Laturum: habetq́ue tantos secum exercitus,

Σχόλια. Προσίτω Θέωρος.] οὗτος ἐπὶ κολακείᾳ κωμῳδεῖται. ὁ κήρυξ καλεῖ ἄλλον πρεσβευτὴν ἐλθόντα παρὰ Σιτάλκους τοῦ Θρακῶν βασιλέως, πρὸς ὃν ἦσαν ἀπεσταλκότες αὐτὸν Ἀθηναῖοι. οὕτω δὲ ἐκαλεῖτο Θέωρος. μέμνηται δὲ αὐτοῦ ποτὲ μὲν ὡς ἐν Νεφέλαις. φησὶ γάρ, G εἴπερ βάλλει τοὺς ἐπιόρκους, πῶς δῆτ' οὐχὶ Σίμων' ἐνέπρησεν, οὐδὲ Κλεώνυμον, οὐδὲ Θέωρον. καίτοι σφόδρα γ' ὄντ' ἐπιόρκους. ποτὲ δὲ, ὡς κόλακος. ὡς ἐν τοῖς Σφηξίν. εἰσκηρύττεται δὲ ἀντὶ τοῦ καλεῖται ὑπὸ τοῦ κήρυκος. Οὐκ ἄν γ' εἰ μισθόν γε μὴ ἔφερες.] τοῦτο διὰ μέσου ὁ Δικαιόπολις. οὐκ ἂν ἔτριψας τὸν χρόνον εἰ μὴ πολλὴν μισθὸν ἐλάμβανες. τὸ γὰρ ἔφερες, ἀντὶ τοῦ ἐλάμβανες. ἐβάσταζες. Ὅτ' ἐνθαδὶ Θέογνις.] οὗτος ὁ Θέογνις τραγῳδίας ποιητὴς ψυχρός. κωμῳδεῖ οὖν αὐτὸν, παρείσαγων ἡμῖν τὴν πολλὴν χιόνα, διὰ τὴν τούτου περὶ τὰ ποιήματα ψυχρότητα, τὸν ψυχρὸν οὖν τῷ ψυχρῷ παρέβαλεν. πάνυ δὲ χαριέντως ἔσκωψε. Καὶ δῆτα φιλαθήναιος.] τὸ φιλαθήναιος, προπαροξύνειν δεῖ, ἐπειδὴ τὰ εἰς ος λήγοντα προσλαμβανόμενα ἁπλᾶ, ἐν τῇ συνθέσει ἀναβιβάζει τὸν τόνον. οἷον δῆμος, Ἀριστόδημος. πῶλος

Ἐχέπωλος. καὶ Ὅμηρος. Θαλυσιάδην Ἐχέπωλον. κνισφαίος, ἀκροχνίφαιος, ὀμφαῖος, πανόμφαιος. ἀρχαῖος, φιλάρχαιος. οὕτω καὶ φιλαθηναῖος. Ἐν τοῖς τοίχοις.] ἴδιον ἐραστῶν ἦν, τὰ τῶν ἐρωμένων ὀνόματα γράφειν ἐν τοῖς τοίχοις, ἢ δένδροις, ἢ φύλλοις, οὕτως. ὁ δεῖνα καλός. καὶ παρὰ Καλλιμάχῳ.

Ἀλλ᾽ ἐνὶ δὴ φύλλοισι κεκομμένα τόσσα φέροιτε
Γράμματα, Κυδίππην ὡς ἐρέουσι καλήν.

καὶ ἐν τοῖς Σφηξίν. ἐὰν παρίγραφε κημὸς καλός. καὶ Λιβάνιος. φιλοῦσι γὰρ οἱ σφόδρα περί τι ἐρωτικῶς ἔχοντες, ἡδέως συνεῖναι καὶ τοῖς ὀνόμασι. Ὁ δ᾽ υἱὸς ὃν Ἀθηναῖον.] τοῦτον πολίτην ἐποίησαν Ἀθηναῖοι τὸν παρ᾽ αὐτοῖς παρεπίμποντα. ἐλέγετο δὲ ἕως, Τήρης, ἔνιοι δέ φασιν ὅτι ὁμώνυμος ἦν τῷ πατρὶ Σιτάλκει. Σύμμαχος Ἀθηναῖος μέμνηται. Θουκυδίδης προστίθησι καὶ τὸ ὄνομα λέγων οὕτως καὶ Σάδωκον τὸν υἱὸν αὐτοῦ Ἀθηναῖον. Ἦρα φαγεῖν.] χαριέντως ὡς ἐξαπατωμένων τῶν Ἀθηναίων. λέγει δὲ τὴν περὶ Ἀπατούρια, ἑορτῆς ἐπισήμου δημοτελοῦς ἀγομένης παρὰ τοῖς Ἀθηναίοις κατὰ τὸν Πυανεψιῶνα μῆνα, ἐπὶ τρεῖς ἡμέρας. καλοῦσι δὲ τὴν μὲν πρώτην δόρπειαν. ἐπειδὴ φράτορες ὀψίας συνελθόντες, εὐωχοῦντο. τὴν δὲ δευτέραν ἀνάρρυσιν ἀπὸ τοῦ θύειν. ἔθυον δὲ Διὶ φρατρίῳ καὶ Ἀθηνᾷ. τὴν δὲ τρίτην κουρεῶτιν ἀπὸ τοῦ τοὺς

A κούρους καὶ τὰς κόρας ἐγγράφειν εἰς τὰς φρατρίας. ἐν ᾗ ἐγράφη ἐν τῇ πολιτείᾳ ὁ υἱὸς Σιτάλκους. ἡ δὲ αἰτία, πόλεμος ἦν Ἀθηναίοις πρὸς Βοιωτοὺς περὶ Κελαινῶν. ὁ ἦν χωρίον ἐν μεθορίοις. Ξάνθιος δὲ Βοιωτὸς προεκαλέσατο τὸν Ἀθηναίων βασιλέα Θυμοίτην. ὁ δὲ ἐξαρνηθεὶς, Μελάνθιος ἀπὸ ἡμῶν Μεσσήνιος τὸ γένος ἀπὸ Περικλυμένου τοῦ Νηλέως ὑπέστη ἐπὶ τῇ βασιλείᾳ. μονομαχούντων δὲ, ἐφάνη τῷ Μελανθίῳ τις ὄπισθεν τοῦ Ξανθίου, τραγῆν τουτέστιν αἰγίδα μέλαιναν ἐνημμένος. ἔφη οὖν ἀδικεῖν αὐτὸν δεύτερον ἥκοντα. ὁ δὲ ἐπεστράφη. ὁ δὲ παίσας, ἀπέκτεινεν αὐτόν. ἐκ δὲ τούτου ἥ, τε ἑορτὴ Ἀπατούρια
B καὶ Διονύσου μελαναιγίδος ἱδρύσαντο. οἱ δέ φασιν ὅτι τῶν πατέρων ὁμοῦ συνερχομένων διὰ τὰς τῶν παίδων ἐγγραφὰς ἐπὶ ὁμοπατόρια λέγεσθαι τὴν ἑορτὴν. ὃν τρόπον λέγομεν ἄλοχον τὴν ὁμόλεκτρον, καὶ ἄκοιτιν τὴν ὁμόκοιτον, οὕτω καὶ ὁμοπατόρεια Ἀπατούρεια.

Bisetus. Ὁ Ξάνθιος ὁ στρατεύων.] Ἀλλ᾽ ἴσως τοῦτο διὰ τὸ τῆς ἀπάτης ὄνομα κατὰ παίγνιον οὕτως εἴρηται. ταῦτα δὲ ἐν Εἰρήνῃ ἄλλως πως ἔχει. οὓς γὰρ ἐνταῦθα ὁ ποιητὴς Ξάνθιον, καὶ Μέλανθον, ἐκεῖ
C Ξάνθον, καὶ Μελάνθιον καλεῖ. ἀλλ᾽ ἴσως ἀμφοτέρωθι ἢ Ξάνθος, καὶ Μέλανθος, ἢ Ξάνθιος, καὶ Μελάνθιος γραπτέον.

Ὅσον τὸ χρῆμα παρνόπων προσέρχεται.
Δι. Κάκιστ᾽ ἀπολοίμην, εἴ τι τούτων πείθομαι.
Θε. Καὶ νῦν ὅπερ μαχιμώτατον Θρᾳκῶν γένος,
Ἔπεμψεν ὑμῖν. Δι. τουτὶ μὲν γ᾽ ἤδη σαφές.

Vt Athenienses dicãt, huic quot aduolãt (duim.
Culices! DIC. *malè peream, si quidquam cre-*
TH. *Et nunc de gente Thracica fortissimos*
Ad nos huc misit. DIC. *apparet nunc scilicet.*

D

Σχόλια. Ὅσον τὸ χρῆμα.] ὡς πολλῶν ὄντων παρνόπων ἐν τῇ Ἀττικῇ. βούλεται δὲ πολὺ πλῆθος σημᾶναι. εἶδος δὲ ἀκρίδων οἱ πάρνοπες. εἰσὶ δὲ οὕτοι ἀττέλαβοι Ἀττικοὶ πάρνοπες. Τοῦτο μέν γ᾽ ἤδη σαφές.] τοῦτο ψεύδεται ὡς ἀσθενῶν ἢ ὀλίγων ὄντων.

Bisetus. Ὁ κῆρυξ τινὰς, οὓς Θέωρος ἤγαγε, προσέρχεσθαι κελεύει. οὗτοι δὲ ἔργα γέλωτος ἄξια ποιοῦσιν.

Κη. Οἱ Θρᾷκες, ἴτε δεῦρ᾽, οὓς Θέωρος ἤγαγε.
Δι. Τουτὶ τί ἐστι τὸ κακόν. Κη. Ὀδομάντων στρατός.
Δι. Ποίων Ὀδομάντων. εἰπέ μοι, τουτὶ τί ἦν;
Τίς τῶν Ὀδομάντων τὸ πέος ἀποτεθρίακεν αὖ.
Θε. Τούτοις ἐὰν δραχμὰς δύο τις μισθὸν διδῷ,
Καταπελτάσονται τὴν Βοιωτίαν ὅλην.
Δι. Τοισδὶ δύο δραχμὰς τοῖς ἀπεψωλημένοις;
Ὑποστένοι μέντ᾽ ἂν ὁ θρανίτης λεώς
Ὁ σωσίπολις. οἴμοι τάλας, ἀπόλλυμαι
Ὑπὸ τῶν Ὀδομάντων, τὰ σκόροδα πορθούμενος.

PR. *HEus Thraces, quis Speculator adduxit, agitè:*
E *Adeste.* DI. *quid hoc mali 'st?* PR. *Odomantum exercitus.*
DIC. *Quorumnám Odomantum? cedo, quid hoc erat rei?*
Quis quæso Odomantum præcidit genitalia?
TH. *His si quis det stipendium, drachmas duas,*
Peltis infestabunt totam Bœotiam.
DIC. *Duas drachmas bis recutitis? sanè ingemat*
F *Patriæ defensor, totus remigum poplus.*
Væ mihi pereo, quem Odomantes spoliant allijs.

Σχόλια. Ὀδομάντων.] ἔθνος Θρᾳκικόν. φασὶ δὲ αὐτοὺς Ἰουδαίους εἶναι. Ἀποτεθρίακεν.] ἀπέτιλε. κυρίως δὲ ἀπεφύλλισε συκᾶς. θρῖα γὰρ τὰ φύλλα τῆς συκῆς. ἐλέγοντο δὲ καὶ ἀπέτιλλον οἱ Θρᾷκες τὰ αἰδοῖα. καὶ ἀπεστυμμένα εἶχον αὐτά.

Bisetus. Σ. ἀποτεθρίακεν, ἀντὶ τοῦ ἔτιλεν, ψιλὸν εἰργάσατο. κυρίως δὲ, ἀπεφύλλισε συκᾶς. θρῖα γὰρ τὰ φύλλα τῆς συκῆς. Ὀδόμαντες δὲ, ἔθνος Θρᾳκικόν. ἐλέγοντο δὲ, καὶ ἀπετίλλοντο οἱ Θρᾷκες τὰ αἰδοῖα. καὶ ἀπεστυμμένα εἶχον αὐτά. φασὶ δὲ αὐτοὺς Ἰουδαίους εἶναι. ἀποθριάζειν οὖν κυρίως μὲν τὸ ἀποφυλλίζειν τὰς συκᾶς, μεταφορικῶς δὲ τὸ ἀποτίλλειν, καὶ ψιλοῦν τὰ ἀποτίλλεσθαι, καὶ ψιλοῦσθαι δυνάμενα.

Σχόλια. Καταπελτάσονται.] καταποντίσουσι. καταπολεμήσουσι. πέλτη γὰρ εἶδος μηχανῆς, ἀφ᾽ ἧς ἀκόντια καὶ
G ἄλλα τινὰ πέμπουσιν. ἢ κατὰ ἐρημώσονται. πέλτη γὰρ ἀσπὶς μικρὰ μὴ ἔχουσα ἱμάντα. ἐχθροὶ δὲ ἦσαν καὶ οἱ Βοιωτοὶ τοῖς Ἀθηναίοις. Ὁ θρανίτης λεώς.] ἀντὶ τοῦ ὁ ναυτικὸς, ἐκ μέρους δὲ τὸ πᾶν εἶπε. τῶν γὰρ ἐρεττόντων οἱ μὲν ἄνω ἐρέττοντες, θρανῖται λέγονται. οἱ δὲ μέσοι ζυγῖται,

ζευγῖται, οἱ δ' ἔσχατοι θαλάμιοι. ὁ δὲ λόγος, οἱ οἱ Ὀδόμαντες τοσαῦτα λαμβάνουσι, ὅσα τὸ παρ' ἡμῶν ναυτικὸν πλῆθος ἀγανακτήσει, πολλὰ μὲν ἐν τῇ τριήρει καμόντες, ὀλίγα δὲ λαμβάνοντες. Οἴμοι τάλας.] δεῖ νοεῖν ὅτι ἐκ τῆς ἀγορᾶς ἔρχεται ὁ Δικαιόπολις ἔχων φορτίον σκορόδων, καὶ ὑπηρπάζετο ὑπὸ τῶν ξένων ὡς ἐκείνων λυμαινόντων καὶ ἁρπαζόντων τὰ σκόροδα. τοῦτο δὲ ὅπως παρθεύμενος, παρέβη καὶ οἱ παρθεύμενοι ἀπόλλυνται, ἀρέσκονται δὲ τοῖς σκορόδοις οἱ Θρᾷκες. θερμὰ γὰρ τὰ σκόροδα φυσικῶς, οἱ δὲ Θρᾷκες, ψυχρὰν χώραν νέμονται.

A

Θε. Οὐ καταβαλεῖτε τὰ σκόροδ', ὦ μόχθηροι σὺ,
Οὐ μὴ πρόσει τούτοισιν ἐσκοροδισμένοις.
Δι. Ταυτὶ περιείδεθ' οἱ Πρυτάνεις πάσχοντά με
Ἐν τῇ πατρίδι, καὶ ταῦθ' ὑπ' ἀνδρῶν βαρβάρων;
Ἀλλ' ἀπαγορεύω μὴ ποιεῖν ἐκκλησίαν
Τοῖς Θραξὶ περὶ μισθοῦ, λέγω δ' ὑμῖν, ὅτι
Διοσημί' ἔστι, καὶ ῥανὶς βέβληκέ με.
Κη. Τοὺς Θρᾷκας ἀπιέναι, παρεῖναι δ' εἰς ἔνην.
Οἱ γὰρ Πρυτάνεις λύουσι τὴν ἐκκλησίαν.

PR. *Non abiicietis allia. hem sceleste, ne*
Accedas huc, alliatos hos viros.
B *Haccine pati me sinitis, urbis præsides,*
In patria, & à viris quidem tam barbaris?
Sed interdico ego vobis, ne stipendij
Causa conventum agatis hisce Thracibus:
Et dico vobis, quod malum signum obvenit:
Et iam gutta sinistræ pluviæ me perculit.
PR. *Abite Thraces: & adeste ad trigesimam;*
Nam concionem dimittunt nunc præsides.

Σχόλια. Οὐ μὴ πρόσει.] οὐ καταβαλεῖτε. ὁ Θεῶρος δὲ ἐπιπλήττει τοῖς βαρβάροις ἁρπάζουσι τὰ σκόροδα. καὶ τῷ Δικαιοπόλιδι ὁμοίως ἐπιπλήττει ἐρεθίζοντι αὐτούς. ἄλλως. ἀντὶ τοῦ σφοδροῖς οὖσι καὶ πικροῖς γενομένοις, μετειληφόσι τῆς σκοροδίας, ἀπὸ μεταφορᾶς τῶν ἀλεκτρυόνων τούτων. γὰρ ὅτε μέλλουσι μάχεσθαι σκόροδα διδόασιν ἐσθίειν, ἵνα θερμανθέντες ὀξύτεροι γένωνται. ὡς καὶ ἐν Ἱππεῦσι φησὶν ἵν' ἄμεινον ὦ 'τᾶν ἐσκοροδισμένος μάχῃ. Διοσημί' ἔστι.] παρεφυλάττοντο γὰρ οἱ Ἀθηναῖοι τὰς τοῦ Διὸς ἡμέρας καὶ διέλυον τὰς ἐκκλησίας διοσημίας γενομένης, ἢ ἄλλοτι μέλλοντες ἀνύειν. διοσημία δέ ἐστιν ὁ παρ' ἀλλὰ καιρὸν χειμών. Παρεῖναι δ' εἰς ἔνην.] ἤγουν εἰς τρίτην, μηδ' ἀναβάλλεσθαι ἐς αὔριον, ἐς ἔνηφι. τινὲς δὲ, εἰς τριακάδα. διαλυθείσης δὲ τῆς ἐκκλησίας, συνήγοντο πάλιν βουλόμενοι περὶ τῶν αὐτῶν. Ἀττικοὶ δὲ καλοῦσιν ἔνην καὶ τὴν παλαιάν. καὶ Δημοσθένης ἐν τῷ κατὰ Ἀριστογείτονος τὰς ἔνας ἀρχὰς, τῆς νέας ὑπεξεῖναι.

C

D

ΔΡΑΜΑΤΟΣ ΤΟΥ ΠΡΩΤΟΥ, Σκηνὴ πέμπτη.

ACTUS I. SCENA quinta.

ΔΙΚΑΙΟΠΟΛΙΣ, ΑΜΦΙΘΕΟΣ.

DICAEOPOLIS, AMPHITHEUS.

Δικ. Οἴμοι τάλας, μυττωτὸν ὅσον ἀπώλεσα.
Ἀλλ' ἐκ Λακεδαίμονος γὰρ Ἀμφίθεος ὁδί,
Χαῖρ' Ἀμφίθεε. Αμφιθ. μήπω γε πρὶν ἂν στῶ τρέχων.
Δεῖ γάρ με φεύγοντ' ἐκφυγεῖν Ἀχαρνέας.
Δικ. Τί δ' ἔστι. Αμφιθ. ἐγὼ μὲν δεῦρό σοι σπονδὰς φέρων
Ἔσπευδον, οἱ δ' ὤσφροντο πρεσβῦται τινὲς
Ἀχαρνικοί, στιπτοὶ γέροντες, πρίνινοι,
Ἀτεράμονες, Μαραθωνομάχαι, σφενδάμνινοι.
Ἔπειτ' ἀνέκραγον πάντες, ὦ μιαρώτατε,
Σπονδὰς φέρεις τῶν ἀμπέλων τετμημένων;
Κἀς τοὺς τρίβωνας ξυνελέγοντο τῶν λίθων.
Ἐγὼ δ' ἔφευγον, οἱ δ' ἐδίωκον κἀβόων.
Δικ. Οἱ δ' οὖν βοώντων, ἀλλὰ τὰς σπονδὰς φέρεις;
Αμ. Ἔγωγε φημὶ, τρία γε ταυτὶ γεύματα.

DI. *Ah me miserum, quantum alliati perdidi!*
E *Sed hic ne Amphitheus? redit huc è Lacedæmone.*
Salve Amphithee. AM. *nondum, priusquam cursum inhibeo,*
Nam Acharnenses fugientem effugere oportuit.
DI. *Quid est?* AM. *properabam huc, ut pacem afferrem tibi.*
Hoc continuò olfecerunt hic quidam senes:
F *Acharnici, duri senes, ilignei:*
Acerni, præliatores Marathonij,
Præfracti. hi clamabant omnes: heus perfide,
Pacémne fers, excisis nostris vitibus?
Mox lapides colligebant, in vestes suas;
Ego effugi; illi persequebantur procul
Cum vociferatione, & plurimis minis.
G DIC. *Sine, vociferentur. sed tu num fers fœdera?*
AM. *Ita loquor, & quidem tres gustus affero:*

Σχόλια. Μυττωτόν.] ἀντὶ τοῦ σκόροδα ἐξ ὧν ὁ μυττωτὸς γίνεται. κατασκευάζεται δὲ, ἀπὸ τυροῦ καὶ σκορόδου καὶ ἐλαίου. ἀπὸ τοῦ παντὸς οὖν κατασκευάσματος, τὸ μέρος ἐδήλωσε, τουτέστι τὰ σκόροδα. Μάσωσι]

γελοίου χάριν εἶπε πρὸς τὸ χαίρειν τῶν μύσωγε. Ὠσφροντο.] ἀντὶ τοῦ ᾔσθοντο, εἶπε τὸ ὤσφροντο, ὅτι δι' οἴνου εἰσὶν αἱ σπονδαί. ὡς ἐκ τῶν μετὰ ταῦτα δῆλον. δι' αἰσθήσεως δὲ, ἡ αἴσθησις τῆς ἀναφορᾶς τοῦ οἴνου. Στιπτοὶ γέροντες] ἀντὶ τοῦ πυκνοί. εἴρηται δὲ ἀπὸ τῶν ἐσθήτων, αἵτινες ὑφανθεῖσαι εἰς πυκνότητα συνάπτονται. ἢ ἀντὶ τοῦ στιβαροὶ καὶ πεπιλημένοι. ἀπὸ τοῦ στίβειν ὅ ἐστι πατεῖν. Πρίνινοι.] στερεοὶ καὶ σκληροί. ἰσχυρὸν γὰρ τὸ τῆς πρίνου ξύλον. καὶ Ἡσίοδος. πρίνου δὲ γύην. καὶ πάλιν. πρῖνον ἐς γὰρ βοῦσιν ἀροῦν ὀχυρώτατόν ἐστιν. ἀτεράμονες δὲ σκληροὶ, μὴ τειρόμενοι, ἀνένδοτοι. κυρίως δὲ τὰ μὴ ἑψόμενα τῶν ὀσπρείων ἀτεράμονα λέγεται, ὅσα οὐχ ἁπαλά. Σφενδάμνινοι.] ἰσχυροί. τοιοῦτον γὰρ τὸ τῆς σφενδάμνου ξύλον. ἀντὶ τοῦ σφενδόνιοι. ἄλλως. τὸ σφενδάμνινοι, ταυτόν ἐστι τῷ πρίνινοι. σφένδαμνος γὰρ, εἶδος ἰσχυροῦ ξύλου. ἔστι δὲ καὶ εἶδος κανθάρου ὡς ἡ σφένδαμνος. ἡ γὰρ σφενδόνη, ἀπὸ κανθάρεως γίνεται. Τῶν ἀμπέλων τετμημένων.] οἱ γὰρ Πελοποννήσιοι εἰσβάλλοντες εἰς τὴν Ἀττικὴν, ἔτεμνον τὴν γῆν τῶν Ἀχαρνέων. Κἀς τοὺς τρίβωνας.] Ἀττικὸν τὸ σχῆμα. ἀντὶ τοῦ ἐς τοὺς τρίβωνας ξυνελέγοντο τῶν λίθων. Τρία γε ταυτί.] ἔπαιξε παρὰ τὰς σπονδάς. ἐπεὶ οἴνῳ γίνονται αἱ δι' ὅρκων συνθῆκαι, ἀντὶ δὲ τοῦ εἰπεῖν ἀνάγνωθι, εἶπεν γεῦσαι.

Αὗται μέν εἰσι πεντέτεις, γεῦσαι λαβών.
Δα. Αἰβοῖ. Αμ. Τί ἐστιν; Δικ. οὐκ ἀρέσκουσί μ' ὅτι
Ὄζουσι πίττης καὶ παρασκευῆς νεῶν.
Αμ. Σὺ δ' ἀλλὰ τασδὶ τὰς δεκέτεις γεῦσαι λαβών.
Δικ. Ὄζουσι χ' αὗται πρέσβεων ἐς τὰς πόλεις.
Ὀξύτατον, ὥσπερ διατριβῆς τῶν συμμάχων.
Αμ. Ἀλλ' αὗται σπονδαὶ τριακοντούτιδες
Κατὰ γῆν τε καὶ θάλατταν. Δικ. ὦ Διονύσια,
Αὗται μὲν ὄζουσ' ἀμβροσίας καὶ νέκταρος,
Καὶ μὴ 'πιτηρεῖν σιτί' ἡμερῶν τριῶν.
Κἂν τῷ στόματι λέγουσι, βαῖν' ὅπη θέλεις.
Ταύτας δέχομαι, καὶ σπένδομαι, κἀκπίομαι.
Αμ. Χαίρειν κελεύω πολλὰ τοὺς Ἀχαρνέας.
Δικαι. Ἐγὼ δὲ πολέμου καὶ κακῶν ἀπαλλαγεὶς,
Ἄξω τὰ κατ' ἀγροὺς εἰσιὼν Διονύσια.
Αμ. Ἐγὼ δὲ φεύξομαί γε τοὺς Ἀχαρνέας.

Quinque annorum sunt hae: cape & gusta obsecro.
DI. *Æba.* AM. *quid est?* DI. *mihi non placent: quia redolent*
Picem hae, & apparatum quendam nauticum.
AM. *Cape, & gusta has: annorum nempe sunt decem.*
DI. *Et ista legatos ad urbes hic olent*
Acerrimum: quasi sociorum moram.
AM. *At hae fœdera triginta annorum sunt: rata*
Mari ac terra. DI. *ô Dionysia nuncias mihi.*
Hae ambrosiam & nectar redolent; neque me iubent
Nunc commeatum seruare dierum trium:
Sed liberè dicunt mihi: i quo lubet.
Hae fœdera accipio, hac libo, hac eadem ebibo.
AM. *Multùm valere Acharnenses ego iubeo.*
DI. *At ego iam liberatus è bello & malis,*
Domum ingressus, agam ruralia Dionysia.
AMP. *Ego verò Acharnenses fugiam, quantùm queo.*

Σχόλια. Ὄζουσι πίττης.] κοινὸν ἐπὶ οἴνου καὶ νεώς, τὸ πίττης ὄζειν. ἔστι γὰρ πιττίζων οἶνος. ὁ δὲ λόγος, ὄζουσιν αἱ σπονδαὶ αὗται κατασκευῆς τριήρων, διὰ τὸ ὀλιγοχρόνιον αὐτῶν. εἰς τὰς πόλεις δὲ τὰς τῶν συμμάχων. Ὀξύτατον ὥσπερ διατριβῆς.] ἀντὶ τοῦ ἀπωλείας καὶ συντριβῆς. ἢ ἀντὶ τοῦ μόναι πρεσβεῖαι γίνονται περὶ τῶν συμμάχων. ὥστε μένειν αὐτοὺς καὶ μὴ μεθίστασθαι. ἀλλὰ συμμαχεῖν τῇ πόλει. ἄλλως. ἀπὸ μεταφορᾶς τοῦ τραπέντος οἴνου εἰς ὄξος. καὶ τῶν οἴνων τὸ ὀξύτατον. Ὦ Διονύσια.] θαυμάζων ταῦτα λέγει. εἴρηται δὲ ἐπὶ τῶν ἀποδοχῆς ἀξίων. προσδοκῶν εἰρήνης οὔσης, τὴν τῶν Διονυσίων πανήγυριν ἔσεσθαι. ἀντὶ τοῦ ἥδισται, ἄξιαι τῶν Διονυσίων. Διονύσια δὲ ἑορτὴ Διονύσου ἣν ἦγον Ναυπάκτιοι. Καὶ μὴ 'πιτηρεῖν.] ὁπότε γὰρ ἔξοδος ἐπὶ στρατοῦ ἐγένετο, εἰώθεισαν οἱ στρατηγοὶ προλέγειν τοῖς στρατιώταις, ὥστε τριῶν ἡμερῶν παρασκευάζεσθαι σιτία. συνάπτει οὖν τοῦτο τὸ στρατηγικὸν παράγγελμα, ὡς ἀηδὲς καὶ βαρὺ ταῖς εἰρήναις ἐπιθυμοῦσι. Κἂν τῷ στόματι.] ὡς γυναῖκας εἰδωλοποιεῖ τὰς σπονδάς. στόμα γοῦν αὐτῶν προστίθησιν. ἢ ἐν τῷ ἡμετέρῳ στόματι γευσαμένων ἡμῶν, μονονουχὶ φωνὴν ἀφιᾶσιν. ἄλλως. λέγουσί φησιν αἱ σπονδαί, ἄπιθι ὅπη θέλεις. εἰκότως. ἐν γὰρ πολέμῳ διὰ τὰς ἐπιδρομὰς τῶν πολεμίων καὶ τῆς πολιορκίας, οὐκ ἔστιν ἀπελθεῖν ὅπου τις βούλεται.

BISETVS. Κἀκπίομαι.] παίζων τοῦτο λέγει. ὅτι γὰρ αἱ σπονδαὶ δι' ὅρκων γινόμεναι οἴνῳ ἐποιοῦντο, τὰς σπονδὰς ὡς οἶνος ἐκπιέσθαι ἔλεξεν. πίομαι δὲ καὶ πιοῦμαι, μέλλοντες ἀπὸ τοῦ πίω θέματος, ὥς φησιν Εὐστάθιος. τὸ δὲ πίω ταυτὸν τῷ πίνω.

Σχόλια. Χαίρειν κελεύω.] κατ' εὐφημισμὸν τὸ χαίρειν κελεύων. τὸν Ἀμφίθεον οἴονταί τινες. ἵνα γραφῇ τὸ κελεύω χωρὶς τοῦ ν. τὸ δὲ ἑξῆς ἐγὼ δὲ πολέμου, τὸν Δικαιόπολιν. Ἄξω κατ' ἀγρούς.] τὰ Λήναια λέγει ὅμοια. ἔνθεν τὰ Λήναια καὶ ὁ ἐπιλήναιος ἀγὼν τελεῖται τῷ Διονύσῳ. Λήναιον γάρ ἐστιν ἐν ἀγροῖς ἱερὸν τοῦ Διονύσου, διὰ τὸ πλεκτοὺς ἐνταῦθα γεγονέναι. ἢ διὰ τὸ πρῶτον ἐν τούτῳ τῷ τόπῳ ληνὸν τεθῆναι. Μένανδρος. τραγῳδὸς ἦν ἀγὼν, Διονύσια.

ΧΟΡΟΣ ΑΧΑΡΝΕΩΝ.

CHORVS ACHARNENSIVM.

BISETVS. Ὁ τῶν Ἀχαρνέων χορὸς τοὺς Λακεδαιμονίους μισῶν διὰ τὰς ἀμπέλους, καὶ τὰς ἀμπέλους ὑπ' αὐτῶν δηωθείσας, καὶ διαφθαρείσας, μεγίστην σπουδὴν, καὶ βίαν τὴν Ἀμφίθεον διώκει. ὁ δὲ μόγις ἐκφεύγει τὴν διωκόντων ὁρμήν.

Τῇδε πᾶς ἕπου, δίωκε, καὶ τὸν ἄνδρα πυνθάνου
Τῶν ὁδοιπόρων ἁπάντων. τῇ πόλει γὰρ ἄξιον.
Συλλαβεῖν τὸν ἄνδρα τοῦτον, ἀλλά μοι μηνύσατε,
Εἴ τις οἶδ᾽ ὅποι τέτραπται γῆς ὁ τὰς σπονδὰς φέρων.

A

Hac sequere me omnis, persequere, & de viro hoc ex omnibus
Scitare viatoribus. nam dignum ciuitate erit:
Vt virum prendamus istum: sed agite, mihi ostendite
Si quis nouit, quò sese iste cum fœderibus verterit.

Σχόλια. Τῇδε πᾶς ἕπου.] ἐντεῦθεν παρεισόδια γίνεται τοῦ χοροῦ ὃν συμπληροῦσιν οἱ Ἀχαρνεῖς. παράγονται δὲ σπουδῇ μετὰ σπουδῆς διώκοντες τὸν Ἀμφίθεον σπονδὰς ποιησάμενον πρὸς τοὺς Λακεδαιμονίους. γέγραπται δὲ τὸ μέτρον τροχαϊκὸν, πρόσφορον τῇ τῶν διωκόντων γερόντων σπουδῇ. ταῦτα δὲ ποιεῖν εἰώθασιν οἱ τῶν δραμάτων ποιηταὶ κωμικοὶ καὶ τραγικοὶ, ἐπειδὰν δρομαίως εἰσάγωσι τοὺς χορούς, ἵνα ὁ λόγος συντρέχῃ τῷ δράματι. τὸ δὲ τῇδε, τοπικόν ἐστιν ἐπίρρημα καὶ κεῖται ἐν ἴσῳ τῷ ἐνταῦθα. καὶ ἔχει παρὰ τῷ ποιητῇ Ιλ. ο.

Τῇ ἴμεν, ὅθεν δὴ συνελαύνεις ἠδ᾽ ἐκέλευες.
Σημαίνει δέ ποτε καὶ ῥῆμα προστακτικόν. Κέλευσμα, τῇ νῦν οἶνον. (BISETVS. τὸ δὲ τῇ ἀντὶ τοῦ λάβε, ἢ δέξαι, προστακτικόν ἐστιν ἀπὸ τοῦ τάω, ῥήματος θέματος, τάω, τᾷς, τᾷ, τῇ, κατὰ τροπὴν τοῦ α εἰς η. ἢ ἀπὸ τοῦ τῆμι ταυτοῦ ὄντος ἐν τῷ προστακτικῷ ὡς πίμπλημι, ἴσθι, ἀντὶ τοῦ πίμπλαθι, ἴσαθι, ὅπερ ἀπὸ τρίτου προσώπου τοῦ παρατατικοῦ γίνεται, κατ᾽ ἀφαίρεσιν τῆς αὐξήσεως. Ομηρος Ιλ. ω.

Τῇ, σπεῖσον Διὶ πατρὶ, καὶ εὔχεο οἴκαδ᾽ ἱκέσθαι.)

ἐχρῆν δὲ ἐν τῷ πληθυντικῷ ὁ συνοπτικὸς εἰπεῖν. τοῦτο τοί κορωνιαί εἰσιν. εἰσέρχεται γὰρ ὁ χορὸς διώκων τὸν Ἀμφίθεον. καὶ ἔστι μεταβολικὸν μέλος ἐκ δυοῖν μονάδων μονοστροφικῶν. ὧν ἡ μὲν πρώτη, ιζ. κώλων ἔχει τὰς περιόδους. ὧν δὴ μὲν ἐν εἰσθέσει εἰσὶ τροχαϊκὰ καταληκτικὰ τετράμετρα. εἶτα ἐν ἐκθέσει κῶλα παιωνικὰ ἕνδεκα κρητικοῖς

B

ἐπιμεμιγμένα, καὶ τὸ ἕκτον καὶ τὸ ὄγδοον καὶ δέκατον, δίρρυθμα. τὰ δ᾽ ἄλλα, τετράρρυθμα. Καὶ τὸν ἄνδρα πυνθάνου.] ἀντὶ τοῦ περὶ τοῦ ἀνδρός. ὅμοιον γάρ ἐστι τῷ, ἄνδρα μοι ἔννεπε μοῦσα.

BISETVS. Τὸν ἄνδρα πυνθάνου.] ἔστι τῷ πυνθάνου ἐκ τῶν παρὰ τῶν ὁδοιπόρων ἀπαιτεῖται περὶ τούτου τοῦ ἀνδρὸς ὅπου εἴη. ὁ δὲ τῶν παλαιῶν σχολίων παρατίθεται σχῆμα, τὸ ἔννεπε μοῦσα, λέγω, ὃ σημαίνει τὸ πυνθάνεσθαι, εἴτε τὸ ἱστορεῖν, καὶ ἐρωτᾷν, ἀλλὰ μᾶλλον τὸ ἀγορεύειν, καὶ λέγειν.

Σχόλια. Συλλαβεῖν τὸν ἄνδρα.] διπλῆ ἐστιν ἡ χρῆσις τοῦ συλλαβεῖν, παρὰ τοῖς ἀρχαίοις. C [illegible] γὰρ διάφορον κλίσιν διάφορος ἐστιν ἡ διάνοια. εἰ μὲν γὰρ πρὸς αἰτιατικὴν ἡ σύνταξις ἡ ἔχθραν καὶ συμφορὰν παρεισφέρει τοῦ συλλαμβάνοντος. καὶ κατ᾽ ἐκεῖνο δὲ τοῦ συλλαμβάνοντος ὥσπερ καὶ νῦν καὶ Δημοσθένης ἐν τῷ κατὰ Μειδίου, οὐχὶ συλληψόμεθα αὐτόν. ἐὰν δὲ πρὸς δοτικὴν, σημαίνει φιλίαν καὶ συμμαχίαν. ὡς Ἰσοκράτης ἐν τῷ Παναθηναϊκῷ. ὁρᾷ δὲ καὶ τὴν τύχην ἡμῖν συλλαμβάνουσαν ἴσον τῷ, συναγωνιζομένην. ἐπάγει γοῦν καὶ τὸ παρόντα καιρὸν συναγωνιζόμενον. καὶ Δημοσθένης ἐν πρώτῳ Φιλιππικῶν. D Εἴ τις οἶδ᾽ ὅποι τέτραπται.] ἀσαφὴς καὶ καθαρὰ εἰς ὑπερβολὴν ἡ σύνταξις, τὸ μὲν λέξιν ὡς εἰς ποῖαν γῆν τέτραπται, ἀλλὰ ποῦ γῆς. ἐξὸν γὰρ ποιαῖς συμβέβηκε παρασιωπῆσαι ἄλλως εἰπεῖν.

ΣΤΡΟΦΗ κώλων ιζ.

Ημι. Ἐκπέφευγ᾽ οἴχεται
Φροῦδος. οἴμοι τάλας,
Τῶν ἐτῶν τῶν ἐμῶν.
Οὐκ ἂν ἐπ᾽ ἐμῆς γε νεό-
τητος, ὅτ᾽ ἐγὼ φέρων
Ανθράκων φορτίον
Ηκολούθουν Φαΰλλῳ τρέχων,
Ωδε φαύλως ἂν ὁ
Σπονδοφόρος οὗτος ὑπ᾽ ἐμοῦ τότε δι-
ωκόμενος, ἐξέφυγεν.
Οὐδ᾽ ἂν ἐλαφρῶς ἀπεπλίξατο.

STROPHE.

E

Fugit, euanuit,
Transiit, væ mihi,
O meos hos dies.
Non hic ita me, viuum adhuc:
(Qui graue gerens onus
Ponè carbonibus
Consequebar Phayllum in fuga)
F Segniter cum suis
Fœderibus, in fugam agitatus, ita,
Inquio, me effugeret:
Non ita leui exiliret pede.

Σχόλια. Τῶν ἐτῶν τῶν ἐμῶν.] ὡς ἀποθάλλοντες οὐδὲ τοῦτό μοι δοκεῖ σφόδρα γὰρ Ἀττικὴ ἡ φράσις. λείπει γὰρ τὸ ἕνεκα. τὸ κατ᾽ ἔλλειψιν οὖν ῥηθὲν κοινὸν αὐτῷ πεπονθέναι, λέγοις ἂν ἡ τοῦ παρὰ τῆς ἡλικίας. οἴμοι τῆς τύχης. μακάριος τῆς ἐμῆς παιδείας. Οὐκ ἂν ἐπ᾽ ἐμῆς νεότητος.] ὁ μὲν χορὸς συνέστηκεν ἐξ ἀνδρῶν καλ. ἔστι δὲ νῦν γεροντικός. πάνυ οὖν ἐμμελῶς καὶ μετὰ πάσης ἀρετῆς ἐμιμήσατο γερόντων τρόπους καὶ λόγους. τρόπους μὲν ἐν τῇ ἀδολεσχίᾳ. λόγους δὲ ἐκ τῶν πάλαι ἔργων ἐπαινέσει φρονῶν. τοιοῦτος ἡμῖν καὶ ὁ Νέστωρ δεικνύεται. ἡ βῶν᾽ ὡς ὅτ᾽ ἐπ᾽ εὐρόῳ. καὶ πάλιν, εἴθ᾽ ὣς ἡβώοιμι. τῷ κε τάχ᾽ ἀντήσειε μάχης Κορυθαίολος Ἕκτωρ. ὁ μὲν οὖν Ὅμηρος, ἡρωικὸς ὢν ἡρωικῶν πράξεων μέμνηται. Ἀριστοφάνης δέ, ὡς μετελθεῖς ἀνδράσι καὶ βαναύσοις, παρείληφεν ἄνθρακας καὶ φορτία βαστάζομένα. Φαΰλλῳ.] ὁ Φάϋλλος, ἄριστος δρομεὺς Ὀλυμπιονίκης ὑπῆρχεν δρόμος ἐπώνυμος. ὃν ἐκάλουν ἀδόμενον. ὃς καὶ πένταθλος, ἐφ᾽ οὗ καὶ ἐπίγραμμα τοιόνδε. G

Πέντ᾽ ἐπὶ πεντήκοντα πόδας πήδησε Φάϋλλος.
Δίσκευσε δ᾽ ἑκατὸν πέντ᾽ ἀπολειπομένων.

ἐγένετο δὲ καὶ ἕτερος ἀθλητὴς ἀγδόην Ὀλυμπιάδα νικήσας καὶ τρίτος λακεδαίμων. Ωδε φαύλως ἄν.

ἀντὶ τοῦ εὐχερῶς μετὰ ῥᾳστώνης. δηλοῦται δὲ ἐκ τῆς λέξεως καὶ τὸ ἁπλοῦν καὶ τὸ κακόν. τὸ δὲ ἑξῆς ἐστιν οὐδὲ φαύλως. Ἀπεπλίξατο.] ἀπεσείσατο. ἀπέφυγεν. πλὶξ γὰρ τὸ βῆμα. καὶ πλίγματα τὰ πηδήματα. ὅθεν καὶ τὸ περιβαίνειν ἀμφιπλὶξ παρὰ Σοφοκλεῖ ἐν Τριπτολέμῳ. καὶ Ὅμηρος. αἱ δὲ εὖ μὲν τρώχων, εὖ δ' ἐπλίσσοντο πόδεσσιν. ἔλεγον δὲ πλὶξ καὶ τὸ ἀπὸ τῆς χειρὸς εἰς τὸν λιχανὸν δάκτυλον διάστημα. καὶ τὸ μεταξὺ τῶν μηρῶν ὁμοίως.

ΜΕΣΩΔΗ κώλων δ'.

Νῦν δ' ἐπειδὴ στερρὸν ἤδη τοὐμὸν ἀντικνήμιον,
Καὶ παλαιοῦ Λακρατίδῃ τὸ σκέλος βαρύνεται,
Οἴχεται, διωκτέος δέ. μὴ γὰρ ἐγχάνῃ ποτὲ,
Μηδέ περ γέροντας ὄντας ἐκφυγὼν Ἀχαρνέας.

MESODE.

Nunc postquam mihi hirsutæ sunt tibiæ mea:
Et seni Lacratidæ crura prægrauantur, hic
Abijt: sed mihi persequendus, ne me olim derideat:
Quòd manus effugerit Acharnensium, senum licet.

Σχόλια. Νῦν δ' ἐπεὶ στερρόν.] σκληρόν ἀντὶ τοῦ γεγηρακὸς καὶ αὖον. ὥσπερ κατ' ἀντίθεσιν ἐπὶ τῶν ἀκμαζόντων χλωρόν. Θεόκριτος. ποιεῖται δὲ λόγον χλωρῶν. ἀντὶ τοῦ ἀκμαίων, νέων. ἀπὸ μεταφορᾶς τῶν καλάμων. οἱ ὄντες μὲν χλωροὶ, ἁπαλοί εἰσι. ξηραινόμενοι δὲ ξηροὶ καὶ σκληροὶ γίνονται. εὐφήμως οὖν εἶπε στερρὸν, ἀντὶ τοῦ ξηρόν. Λακρατίδῃ] Λακρατίδης ἀρχαῖος ἄρχων Ἀθηνῶν. ὡς καὶ Φιλόχορος. ἦρξε δὲ ἐπὶ τῶν χρόνων Δαρείου. ἐφ' οὗ πλείστη χιὼν ἐγένετο καὶ ἀπέπηξε πάντα, ὡς μὴ δύνασθαι τινα προϊέναι. διόπερ τὰ ψυχρὰ πάντα Λακρατίδεια ἐκάλουν. δηλοῦται δὲ καὶ νῦν τὸ ψυχρὸν καὶ γεροντικόν. λέγει οὖν ὅτι διὰ τὸ γῆρας, οὐχ οἷός τέ εἰμι θᾶττον βαδίζειν.

ΑΝΤΙΣΤΡΟΦΗ κώλων ια'.

Ὅστις ὦ Ζεῦ πάτερ
Καὶ θεοὶ, τοῖσιν ἐ-
χθροῖσιν ἐσπείσατο,
Οἷσι παρ' ἐμοῦ πόλεμος,
Ἐχθοδοπὸς αὔξεται,
Τῶν ἐμῶν χωρίων.
Κοὐκ ἀνήσω, πρὶν ἂν σχοῖνος αὐ-
τοῖσιν ἀντεμπαγῶ,
Ὀξὺς, ὀδυνηρὸς, ἐπί-
κωπος, ἵνα μήποτε
Πατῶσιν ἔτι τὰς ἐμὰς ἀμπέλους.

ANTISTROPHE.

Quisquis ó Iuppiter
Et Dei, pactum init
Cum meis hostibus,
Bella quibus hic facio,
Armaq́ paro, ob soli
Limites Attici:
Non priùs desinam, quàm velut
Iuncus his congeler
Asper & acutus & a-
Cerbus uti nulla mala
Deinceps dare meis queant vitibus.

Σχόλια. Τῶν ἐμῶν χωρίων.] κατ' ἔλλειψιν λείπει τὸ ἕνεκα. Πρὶν ἂν σχοῖνος.] εἶδος φυτοῦ κατὰ τὸ ἄκρον ὀξέος καὶ πληκτικοῦ προσεοικότος βελόνῃ. παρατηρεῖν δὲ δεῖ ὅτι ἀρσενικῶς λέγουσι τὸν σχοῖνον. ὁ δὲ λόγος, πρὶν αὐτοὺς τρώσω ὡς σχοῖνος ὀξὺς καὶ ὀδυνηρός. Ἐπίκωπος.] ἀντὶ τοῦ διὰ ναῦς καὶ ναυτικὸς ὤν, ἐπίω αὐτοῖς. ναυτικοὶ δὲ οἱ Ἀθηναῖοι καὶ προσέχοντες τῷ ναυτικῷ. ἡ δὲ ὁμώνυμος λέξις ἐστὶ καὶ παρ' Ὁμήρῳ. οὐ γάρ μοι νῆες εἰσὶν ἐπήρετμοι. ἐπίκωπος οὖν ἤτοι ὅπερ ἔφην ναυτικὸς, ἢ ξιφήρης. κώπη γὰρ τοῦ ξίφους ἡ λαβὴ ἢ κόπτειν δημιουργοῦν. ἤγουν κωπήεις. Ἵνα μή ποτε πατῶσιν.] εἰώθασι γὰρ σκόλοπάς τινας ἐγκρύπτειν ἐν ταῖς ἀμπέλοις, ἵνα μηδεὶς ἐξ ἐπιδρομῆς καὶ εὐχερῶς κακουργῇ. ἐπεὶ οὖν προεῖπε σκόλοψ καὶ σχοῖνος αὐτοῖς ἀντεμπαγῶ, εἰκότως ἐπήνεγκε τοῦτο ἵνα μηκέτι πατῶσι τὰς ἐμὰς ἀμπέλους.

ΕΠΩΔΟΣ στίχων γ'.

Ἀλλὰ δεῖ ζητεῖν τὸν ἄνδρα, καὶ βλέπειν Παλληνάδε.
Καὶ διώκειν γῆν πρὸ γῆς, ἕως ἂν εὑρεθῇ ποτε.
Ὡς ἐγὼ βάλλων ἐκεῖνον οὐκ ἂν ἐμπλήμην λίθοις.

EPODVS.

Sed oportet me quærere & videre virum in Pallenicis:
Terram persequi pro terra, dum inueniatur vspiam,
Vt ego in opprimendo illo non plenus lapidibus siem.

Σχό-

Σχόλια. Παλληνάδε.] οἱ Παλληνεῖς δῆμός ἐστι τῆς Ἀττικῆς ἔνθα Πεισιστράτῳ βουλομένῳ τυραννεῖν, καὶ Ἀθηναίοις ἀμυνομένοις αὐτὸν, πόλεμος συνέστη. συγκέκοπται δὲ ἡ λέξις. τὸ γὰρ ὁλόκληρόν ἐστι, Παλληνάδε ὑπαλλάττεται δὲ ἡ κυριότης τῆς διανοίας. δέον γὰρ εἰπεῖν διώξειν τὸν ἄνδρα καὶ [illegible] Παλληνικὸν, τουτέστι φυγάδα, εἶπε Παλληνάδε. ὁ δὲ εἶπεν βούλεται, τοῦτό ἐστιν, ὁμοίως διακεῖσθαι καὶ τραχέως ἔχειν πρὸς τὸν σπεισάμενον Λακεδαιμονίοις. ὡς πάλαι πρὸς Πεισίστρατον τὸν τύραννον, ἡνίκα συνεστήσατο ἐν Παλλήνῃ τὴν μάχην. μέμνηται δὲ τούτου, καὶ Ἀνδροτίων καὶ Ἀριστοτέλης ἐν Ἀθηναίων πολιτείᾳ. ἄλλως. Παλλήνη δῆμος τῆς Ἀττικῆς. τοῦτο δὲ διὰ τοῦ β γραπτέον. κατὰ συγκοπὴν τοῦ β εἰς τὸ π. εἴρηται δὲ ἀπὸ τοῦ βάλλειν λίθοις. θέλει γὰρ εἰπεῖν, ὅτι διώξουσι τὸν ἄνδρα καὶ λιθολευστήσουσιν αὐτόν. Ἐμπλήμενοι λίθοις.] κωμῳδεῖται λυπηρῶς ἔχει. ἴσως τετύχηκε τοῦ ἐμπλείμην. ἔστι γὰρ ἐμπιπλῶ. ὁ μέλλων ἀναδιπλασιασθεὶς ἐμπλήσεται. ἀφ' οὗ [illegible] τὸ ἐμπίπλημι. ἀπὸ δὲ [illegible] γίνεται τὸ πιμπλᾶσι μυχοὺς λιμένος εὐόρμου. τὸ δὲ, ἑτέρα [illegible]. ἀφ' οὗ τὸ πλῆθος. ὡς ἀπὸ τοῦ νῶ νῆθος. ἀπὸ δὲ τοῦ πλῶ πλείμην, ὡς ἀπὸ τοῦ βλῶ βλείμην. οὗ τὸ δεύτερον, εἴπερ γάρ κε βλείω.

ΔΡΑΜΑΤΟΣ ΤΟΥ ΔΕΥΤΕΡΟΥ
Σκηνὴ πρώτη.

ΔΙΚΑΙΟΠΟΛΙΣ, ΧΟΡΟΣ, ΜΗΤΗΡ, ΘΥΓΑΤΗΡ.

Βισετυς. Δικαιόπολις τὰς παρ' Ἀμφιθέου σπονδὰς παραλαβὼν, οἴκαδ' ἐπαναχωρήσας θυσίαν μετὰ μητρὸς καὶ θυγατέρος ἐπιτελεῖ, καὶ τὴν ἑαυτοῦ χαρὰν, ὅτι σπονδὰς ἐποιήσατο πρὸς Λακεδαιμονίους, πᾶσι φανεροῖ ἐν ᾄσει.

Δι. Εὐφημεῖτε, εὐφημεῖτε.
Χο. Σῖγα πᾶς, ἠκούσατ' ἄνδρες ἆρα τῆς εὐφημίας;
Οὗτος αὐτός ἐστιν ὃν ζητοῦμεν. ἀλλὰ δεῦρο πᾶς
Ἐκποδών. θύσων γὰρ ἁνὴρ ὡς ἔοικ' ἐξέρχεται.
Δι. Εὐφημεῖτε, εὐφημεῖτε.
Πρόϊθ' ὡς τὸ πρόσθεν ὀλίγον ἡ κανηφόρος,
Ὁ Ξανθίας τὸν φαλλὸν ὀρθὸν στησάτω.
Μή. Κατάθου τὸ κανοῦν ὦ θύγατερ, ἵν' ἀπαρξώμεθα.
Θυ. Ὦ μῆτερ, ἀνάδος δεῦρο τὴν ἐτνήρυσιν,
Ἵν' ἔτνος καταχέω τοὐλατῆρος τουτουί.
Δικ. Καὶ μὴν καλόν γ' ἔστ' ὦ Διόνυσε δέσποτα,
Κεχαρισμένως σοι τήνδε τὴν πομπὴν ἐμὲ
Πέμψαντα καὶ θύσαντα μετὰ τῶν οἰκετῶν,
Ἀγαγεῖν τυχηρῶς τὰ κατ' ἀγροὺς Διονύσια,
Στρατιᾶς ἀπαλλαχθέντα. τὰς σπονδὰς δέ μοι
Καλῶς ξυνενεγκεῖν τὰς τριακοντούτιδας.
Μή. Ἄγ' ὦ θύγατερ ὅπως τὸ κανοῦν καλὴ καλῶς

ACTVS II. SCENA prima.

DICAEOPOLIS, CHORVS, MATER, FILIA.

DI. O Re fauete, ore fauete.
CH. Date silentium, an audistis plausum hic excitarier?
Hic est ipse, quem nos quærimus, agite huc omnes è via.
Rem sacram facturus, vt videtur, ille exit domo.
DI. Ore fauete, ore fauete.
Procede paulò vlteriùs, quæ cistam habes.
Tu serue Xanthia, oscillum rectum erige.
MA. Depone cistam filia, vt Dionysio
Soluamus primitias. FI. ô mater, cedò mihi
Coclear, vt pultem in hanc placentam reijciam.
DI. Sanè æquum nunc est Dionyse domine, vt animo
Grato hanc pompam tibi deducam; & sacra faciam
Cum seruulis: celebremque hodie feliciter
Dionysia ruralia: quandoquidem à miseriis
Sum liberatus militaribus: tum vt hæc
Bene confirmes triginta annorum fœdera.
MA. Age filia pulcra, pulcrè vt cistam deferas

Σχόλια. Εὐφημεῖτε.] τοῦτο ὁ Δικαιόπολις μέλλων ποιεῖν θυσίαν φησί. τοῦτο γὰρ ἦν ἔθος. Σῖγα πᾶς.] ἐπεὶ ἐπὶ τούτῳ δυσχεραίνουσι καὶ διώκουσι χαλεπῶς, ὅτι οὐ μόνον εἰρήνην ἐποίησεν, ἀλλὰ καὶ θυσίας ἐπιτελεῖ. Οὗτος αὐτός ἐστιν ὃν ζητοῦμεν.] τὸ δὶς τὸν αὐτὸν λόγον ἐπιφθέγξασθαι πολλάκις ἐκ μεταστροφῆς ἀλήθειαν βεβαιοῦσι. Ἀλλὰ δεῦρο πᾶς.] πρὸς ὀλίγον χρόνον ἀποστῆναι βούλονται. ἵνα μὴ προειδόμενος ὁ σπονδοφόρος φύγῃ. ἀλλὰ διαμείνῃ, ὥστε αὐτοῖς χειρωθῆναι. τοιοῦτοί εἰσι καὶ οἱ Ὀδυσσεὺς πρὸς Διομήδην παραινέσεις
Ἀλλ' ἤτοι μὲν πρῶτα παρεξελθεῖν πεδίοιο
Τυδείδη, ἔπειτα δὲ κατ' αὐτὸν ἀΐξαντες ἕλοιμεν.
Πρόϊθ' ὡς τὸ πρόσθεν.] κατὰ τὴν τῶν Διονυσίων ἑορτὴν παρὰ τοῖς Ἀθηναίοις, αἱ εὐγενεῖς παρθένοι ἐκανηφόρουν. ἦν δὲ ἐκ χρυσοῦ πεποιημένα τὰ κανᾶ. ἐφ' ὧν τὰς ἀπαρχὰς ἁπάντων ἐτίθεσαν. διπλῆ δὲ μετὰ κορωνίδος. ὅτι εἰσίασιν οἱ ὑποκριταὶ καὶ εἰσὶν ἰαμβεῖα. Ὁ Ξανθίας τὸν φαλλόν.] φαλλὸς ξύλον ἐπίμηκες, ἔχον ἐν τῷ ἄκρῳ σκύτινον αἰδοῖον ἐξηρτημένον. ἵστατο δὲ ὁ φαλλὸς τῷ Διονύσῳ, κατά τι μυστήριον. περὶ δὲ αὐτοῦ τοῦ φαλλοῦ τοιαῦτα λέγεται. Πήγασος ἐκ τῶν Ἐλευθερῶν, Ἐλευθεραὶ δὲ πόλις εἰσὶ Βοιωτίας, λαβὼν τοῦ Διονύσου τὰ ἀγάλματα ἧκεν εἰς τὴν Ἀττικήν. οἱ δὲ Ἀττικοὶ, οὐκ ἐδέξαντο μετὰ τιμῆς τὸν θεόν. ἀλλ' οὐκ ἀμισθί γε αὐτοῖς ταῦτα βουλευσαμένοις ἀπέβη. μηνίσαντος γὰρ τοῦ θεοῦ, νόσος κατέσκηψεν εἰς τὰ αἰδοῖα τῶν ἀνδρῶν. καὶ τὸ δεινὸν ἀνήκεστον ἦν. ὡς δὲ ἀπεῖπον πρὸς τὴν νόσον κρείττω γενομένην πάσης μαγγανείας καὶ τέχνης, ἀπεστάλησαν θεωροὶ μετὰ σπουδῆς. οἱ

δ' ἐπαναχθέντες, ἔφασαν ἴασιν εἶναι μόνην ταύτην, εἰ διὰ πάσης τιμῆς ἄγοιεν τὸν θεόν. πεισθέντες οὖν τοῖς ἠγγελμένοις οἱ Ἀθηναῖοι, φαλλοὺς ἰδίᾳ τε καὶ δημοσίᾳ κατεσκεύασαν. καὶ τούτοις ἐγέραιρον τὸν θεόν, ὑπόμνημα ποιούμενοι τοῦ πάθους. ἴσως δέ, καὶ ὅτι παίδων γενέσεως αἴτιος ὁ θεός. ἡδονὴν γὰρ καὶ ἀφροδίσια μέθη ἐξανίστησι. τοιγαροῦν καὶ ὁ Λάϊος ἐκδοὺς ἑαυτὸν μέθῃ, εἰς τὸ βακχεῦον πεσὼν, ἐφύτευσε παῖδα. φαλλὸς δὲ, τὸ αἰδοῖον. παίζει δὲ πρὸς τὴν οἰκίαν. Ξανθίας γὰρ οἰκετικὸν ὄνομα. κέχρηται δὲ αὐτῷ καὶ ἐν Βατράχοις ὁ Ξανθίας. τοῦ Ξανθίας. εἰσὶ δὲ καὶ ἐν τῇ κωμῳδίᾳ οἰκέται. Ξανθίας. Τίβιος. Σωσίας. Δᾶος. Πίτας. Τὴν ἐτνήρυσιν.] τὴν ζωμάρυστρον ἐν ᾗ τὸ ἔτνος ἀρύονται καθάπερ ἢ εἰς ὑπερβολὴν τὸ ὄνομα.

A ἔστι δὲ καὶ τοῦτο ἀστεῖον καὶ πεπαιγμένον, μὴ ἁρμόζον, μηδὲ τῶν κατὰ τὴν οἰκίαν σκευῶν τῆς καθημερινῆς χρείας, ἀγνοεῖν τὰ ὀνόματα. ἐτνήρυσιν οὖν ἐκάλεσε, παρὰ τὸ ἐν αὐτῇ ἀρύεσθαι τὸ ἔτνος. λέγομεν δὲ ἐτνήρυσιν πᾶν τὸ ταράσσον τὸ ἔτνος ἢ ἔλεγον, τὴν αἰθάραν, καὶ τὸ πίστιον ἀφέψημα. ὡς καὶ ἐν Βατράχοις. ἤδη ποτ' ἐπεθύμησας ἔτνους; Τοῦ ἐλατῆρος.] ἐλατήρ ἐστι πλακουντῶδες πέμμα πλατύ. ἔνθεν καὶ ἡ ἐτυμολογία, παρὰ τὸ ὑπὸ χειρῶν ἐλαύνεσθαι εἰς πλάτος. ἐλατῆρος οὖν τοῦ πέμματος. ἔστι δὲ ἄρτος πλατὺς ἐν ᾧ τὸ ἔτνος ἐτίθεσαν καὶ προσῆγον τῷ βωμῷ. ἐλατὴρ δὲ πᾶν τὸ πλατύ. εἰσὶ δὲ καὶ λαγαροὶ ὡς, παρὰ τὸ λαγαρόν. καὶ πιλανοὶ παρ' Εὐριπίδῃ.

Οἶσθ', βλέπουσα θυμβροφάγον. ὡς μακάριος
Ὅστις σ' ὀπύσει, κἀκποιήσεται γαλᾶς
Σοῦ μηδὲν ἧττον βδεῖν, ἐπειδὰν ὄρθρος ᾖ.
Πρόβαινε κἀν τῷ 'χλῳ φυλάττεσθαι σφόδρα,
Μή τις λαθών σου περιτράγῃ τὰ χρυσία.
Δι. Ὦ Ξανθία, σφῷν δ' ἐστὶν ὀρθὸς ἑκτέος
Ὁ φαλλὸς ἐξόπισθε τῆς κανηφόρου.
Ἐγὼ δ' ἀκολουθῶν, ᾄσομαι τὸ φαλλικόν.
Σὺ δ' ὦ γύναι θεῶ μ' ἀπὸ τοῦ τέγους, πρόβα.
Φαλῆς, ἑταῖρε Βακχίου
Συγκῶμε νυκτοπεριπλάνη-
τε, μοιχὲ, παιδεραστά.
Ἕκτῳ σ' ἔτει προσεῖπον ἐς
Τὸν δῆμον ἐλθὼν ἄσμενος
Σπονδὰς ποιησάμενος ἐμαυ-
τῷ πραγμάτων τε καὶ μαχῶν,
Καὶ λαμάχων ἀπαλλαγείς.
Πολλῶν γάρ ἐστιν ἥδιον, ὦ Φαλῆς, Φαλῆς.
Κλέπτουσαν εὑρόνθ' ὡραίαν ὑληφόρον,
Τὴν Στρυμοδώρου Θρᾷτταν ἐκ τοῦ Φελλέως,
Μέσην λαβόντ' ἄραντα κατα-
βαλόντα, καταγιγαρτίσ' ὦ
Φαλῆς, Φαλῆς.
Ἐὰν μεθ' ἡμῶν ξυμπίῃς ἐκ κραιπάλης,
Ἕωθεν εἰρήνης ῥοφήσεις τρύβλιον,
Ἡ δ' ἀσπὶς ἐν τῷ φεψάλῳ κρεμήσεται.

Vide, intuens humum sic liberaliter.
Beatum, qui te uxorem duxerit sibi,
Effeceritq́, vt non minùs pedat, ubi
Erat diluculum, quàm felis quapiam.
C *Progredere: & nequis in turba tibi clanculum*
Arrodat aurum filis, sedulò caue.
DI. Hem Xanthia, vobis rectus tenendus est
Penis, qui cistiferam sequitur à tergo. Ego
Ponè sequens cantilenam de pene accinam.
Tu mulier à tecto me spectato: prai.
Phales, amice Liberi
Congerro, adulter noctiuage,
Corruptor masculorum:
D *Sexto nunc anno te alloquor:*
Vt vicum adeas meum lubens.
Fœdúsque pacíscarus mihi,
Et ab hisce turbis, praeliis
Ac Lamacho me liberes.
Nam multò iucundius est ô Phales, Phales,
Hanc Strymodori ancillam nubilem,
In sylua ligna colligentem, è Phelleo
E *Corripere mediam, tollere,*
Prosternere, & permolere ibi. ô
Phales, Phales.
Si tu nobiscum compotabis ex crapula:
Pacis catinum sorbebis diluculo.
Et clypeus in pruna lucebit pendulus.

Σχόλια. Θυμβροφάγον.] ἤτοι ἀγροικικὸν καὶ ἐλεύθερον. παρόσον οἱ ἐν ἀγρῷ διατρίβοντες, ἀφελέστεροι καὶ ἁπλούστεροι. τὸ δὲ θύμβρον ἐν ἀγρῷ γίνεται. ἔστι δὲ καὶ τοῦτο ἄγριον φυτόν. ἢ πικρὸν καὶ δριμὺ κατὰ τὴν ἔχθραν. δριμὺ γὰρ τὸ φυτόν. οἱ δὲ ἀντὶ τοῦ δριμὺ καὶ ἱλαρόν. τινὲς δὲ τῷ θύμῳ παραγόμενον. ἢ ἁπαλόν. ἢ οὐ κωμικῶς δὲ ἐπαίξεν. Γαλᾶς.] ἀντὶ τοῦ παιδίας δριμυτάτους. τοῦτο δὲ σχῆμα καλεῖται παρὰ προσδοκίαν. ἔδει γὰρ ἐκφάναι, ἐκποιήσεται παῖδας νεανίας. Ἐπειδὰν ὄρθρος ᾖ.] παρόσον ἐν τῷ ὄρθρῳ δοκοῦσιν οἱ ἄνθρωποι συνεχῶς βδεῖν, διὰ τὸ τότε τὰς πέψεις γίνεσθαι. Πρόβαινε.] ὡς ἐπὶ ὄχλου πομπευόντων αὐτὸ λέγει, φυλάττεσθαι δὲ ἀντὶ τοῦ παρατηρεῖν φυλάττειν.

BISETVS. Ταῦτα οὕτω νοητέον. πρόβαινε, καὶ φυλάττου, εἴτε παρατήρει ἐν τῷ ὄχλῳ, καὶ τὰ ἑξῆς. ἢ, πρόβαινε, καὶ δεῖ σε φυλάττεσθαι. ἀλλὰ πιθανώτερον εἰ ταῦτα λάβοις οὕτω. πρόβαινε, καὶ μόνον φυλάττεσθαι. τοῦτο δὲ συντόμως, καὶ ἐλλειπτικῶς εἴρηται διὰ τὴν πρὸς ἄλλα μείζω σπουδήν.

Σχόλια. Ὀρθὸς ἑκτέος.] ὑμῖν δ' ἐστὶν ὁ φαλλὸς κατὰ ὀρθὸς βασταχθεὶς ἑπομένοις τῇ κανηφόρῳ. ἅμα δὲ καὶ πρὸς τὸ κακέμφατον ἐστὶν ὁ φαλλὸς, τὸ πρὸς μίμησιν τοῦ αἰδοίου. καὶ τοῦτο δὲ παίζει κωμικῶς λέγων, τὸν φαλλὸν ὀρθὸν κατέχειν ὄπισθεν τῆς παρθένου. Ἄσομαι τὸ φαλλικόν.] ᾄσματα λέγονται φαλλικὰ, τὰ ἐπὶ τῷ φαλλῷ ᾀδόμενα μέλη. ἔστι δὲ εἰς Διόνυσον ἢ ἄλλοτε εἰς Πελόπιον. Φαλῆς ἑταῖρε.] διπλῆ καὶ μέλος. οὗ ἡγεῖται περίοδος. ἡ περικοπὴ κώλων ιζ' τοῦ ὑποκειμένου. ὧν πρῶτα μέν εἰσιν η', ἃ ἐν εἰσθέσει ἰαμβικὰ δίμετρα ἀκατάληκτα μὲν β'. τὸ δὲ γ' καταληκτικόν. τὰ δὲ ἄλλα ε', καταληκτικά. περισπωμένως δὲ τὸ Φαλῆς ἀναγνωστέον ὡς Ἑρμῆς. οὕτω δὲ Ἀττικοί, παρὰ Δωριεῦσι δὲ βαρυτόνως. ὁδ' αὖ Φάλης κατακυπτάζει. οὕτω Σώφρων ἐχρήσατο. ὥσπερ δὲ Ὅμηρος ἥρμοσε καταπλῆξιν τῇ φυγῇ καὶ ἑταίραν αὐτὴν ἔφησεν εἶναι, θεσπεσίη ἔχε φύζα εἰπὼν φόβου κρυόεντος ἑταίρα. οὕτω καὶ ὁ κωμικὸς ἐντεῦθεν λαβὼν τὰς ἀφορμὰς, Διονύσου τὸν φαλλὸν ἑταῖρον εἶναί φησιν. ἀκόλουθα γὰρ Διονυσιακῷ ποτῷ τὰ ἀφροδίσια. μαρτυρεῖ δὲ

ὑμῶν καὶ Εὐριπίδης. ὁ δ' ἀλεκτρυὼν, εἰς τὸ βακχεῖον πιεῖν. Νυκτοπερίπλανα τε.] οἰκείας ἐντίθησι φωνὰς ψυχῇ ἀνειμένῃ καὶ ἤδη μεθυούσῃ. ὅθεν ἐστὶ τὴν σύνθεσιν τὴν τοῦ νυκτοπερίπλανα τε, ἡ περὶ πρόθεσις εἴργασται. Μοιχέ.] διὰ τὸ τοὺς μεθύοντας γίνεσθαι περὶ τὰ ἀφροδίσια. δεῖ δὲ νοεῖν, ὅτι ταῦτα οὐχ ὡς ἐν βλασφημίᾳ λέγεται τὸ μοιχὲ καὶ παιδεραστά. ἀλλὰ πρὸς διάχυσιν καὶ ἱλαρότητα τοῦ φαλλοῦ. ὡς καὶ παρ' Ὁμήρῳ πρὸς διάθεσιν ψυχῆς, Ἄρες ἄρες βροτολοιγέ. Ἕκτῳ σ' ἔτει προσεῖπον.] ἕκτον γὰρ ἦν λοιπὸν ἔτος ἀφ' οὗ ὁ πόλεμος Ἀθηναίοις πρὸς Πελοποννησίους συνέστη. δῆμον δὲ ἔφη τὴν κώμην οὐχ ὡς παρ' Ὁμήρῳ δῆμος Ἐρεχθῆος. Καὶ Λαμάχων.] ὁ Λάμαχος ἦν Ἀθηναίων στρατηγὸς υἱὸς Ξενοφάνους, ὃ ὅτε εἰς Σικελίαν ἔπλεον οἱ Ἀθηναῖοι ἐχειροτονήθη. ἦν δὲ μετὰ Ἀλκιβιάδου καὶ Νικίου ὡς ἱστορεῖ Θουκυδίδης. ἦν δὲ φιλοπόλεμος οὗτος.

Bisetus. Παίζει δὲ παρὰ τὸ ὁμοιόπτωτον, καὶ ὁμοιοτέλευτον τῶν δύο τῶν ὀνομάτων, μαχῶν, καὶ Λαμάχων.

Σχόλια. Ὡραίαν ὑληφόρον.] ἀντὶ τοῦ ὡραίαν καὶ ἀκμαίαν ὥρα γὰρ ἡ ἀκμή. καὶ ὡραῖόν φασιν οἱ τραγικοὶ τὸ ἀκμαῖον. κοινὰ δὲ τὰ τοιαῦτα ὀνόματα. οἰκεῖον δὲ μειράκιον καὶ κόρῃ. ὡς ἂν δαιδαλεύουσιν αὐτάς. ἡ δὲ λέξις ἀπόδεικτος. Τὴν Στρυμοδώρου Θρᾷτταν.] ὅτι κοινὸς δούλην ἡ οὕτω καλουμένην τὴν ἐκ Θρᾴκης. ὡς τὴν ἀπὸ Φρυγίας καὶ Παφλαγονίας. Φελλεὺς δέ ἐστιν ὄρος Ἀττικοὶ τοὺς πετρώδεις τόπους οἵ τινες κάτωθεν μέν εἰσι πετρώδεις, ἐπιπολῆς δὲ, ὀλίγην ἔχουσι γῆν. μέμνηται καὶ ἐν Νεφέλαις τοῦ Φελλέως. οἱ δὲ, ὅτι ὄρος Φελλεὺς οὕτω καλούμενον. Μίαν λαβόντ' ἀράντα.] ἐν ἐκθέσει κῶλα τρία ἰσάριθμα. ὧν τὰ δύο ἰαμβικὰ δίμετρα. τὸ δὲ ἓν, μονόμετρον. Καταγιγαρτίσαι.] ἀντὶ τοῦ κατὰ τὸ γεωργικὸν γίγαρτον βαλεῖν. καὶ διαμείσαι. γεωργικῶς δὲ παίζει. ἢ ὅτι τὸ ῥῆμα προσχαρὲς ἦν ἀπὸ τῶν γιγάρτων τὸ μέσον τῆς πιεζόμενον. οὐ γὰρ πάντως συνουσιάσαι δηλοῖ τὸ καταγιγαρτίσαι. γίγαρτα δὲ τὰ ἐντὸς τῆς σταφυλῆς. ἀπενεμῶν. ἢ ἀντὶ τοῦ συνουσιάσαι. γίγαρτον γὰρ τὸ αἰδοῖον. ἢ καταθλίψαι ἀπὸ μεταφορᾶς τῶν γιγάρτων. Ἐκ κραιπάλης.] ὁ ἐξ ἑωθινοῦ μέθη, κραιπάλη καλεῖται. ὁ ἀπὸ χθιζῆς οἰνοποσίας. Ἐν τῷ φεψάλῳ.] ἐν τῷ καπηλείῳ. ψάλοι γάρ εἰσιν οἱ σπινθῆρες ὡς Καλλίας δηλοῖ. ἀλλ' οὐδὲ μικροῦ καταλείπεται φεψάλυξ. καὶ παρὰ Ἀρχιλόχῳ δὲ εἴρηται. πυρὸς δὲ ὑπ' αὐτῷ φεψάλυξ. διὰ δὲ τὸ μὴ εἰωθέναι ἀσπίδας εἰρήνης γινομένης, ἔφη ἐν φεψάλῳ κρεμήσεται ἡ ἀσπίς. παρὰ τὸ Ἡσιόδειον, Ἔνθα καπνὸν ἄλιον μὲν ὑπὲρ καπνοῦ κατάθεο. καὶ τί δεῖ περὶ ἀσπίδος καὶ περὶ ἄλλου λέγειν. ὅπου γε καὶ περὶ ἀχρήστων βουλευμάτων ταύτην ἐξέθηκε τὴν γνώμην ὁ ποιητὴς εἰπών,

> Ἐν πυρὶ δὴ βουλαί τε γένοιατο μήδεά τ' ἀνδρῶν.
> περὶ δὲ ὅπλων ἐπιμελείας, ἀξιουμένων, τοὐναντίον ἔθηκεν,
> Ἐκ καπνοῦ κατέθηκ' ἐπεὶ οὐκέτι τοῖσιν ἐῴκει.

Bisetus. Ἐν τῷ φεψάλῳ.] φεψάλυξ κατὰ Εὐστάθιον γίνεται ἐκ τοῦ φέβω, φέψω, καὶ τοῦ ἅλλεσθαι, ἵν' ᾖ φέψαλος, οὗ φέβεταί τις τὸ ἅλμα. τουτέστιν οὗ τὸ ἅλμα φεύγει. φέψαλοι δέ εἰσιν οἱ ἐκ τῶν καιομένων ξύλων ἀναφερόμενοι σπινθῆρες.

ΔΡΑΜΑΤΟΣ ΤΟΥ ΔΕΥΤΕΡΟΥ Σκηνὴ δευτέρα.

ACTVS II. SCENA secunda.

ΧΟΡΟΣ, ΔΙΚΑΙΟΠΟΛΙΣ.

CHORVS, DICAEOPOLIS.

Bisetus. Ὁ χορὸς τὸν Δικαιόπολιν ἀντὶ τοῦ Ἀμφιθέου συλλαμβάνει, καὶ λίθοις καταχῶσαι θέλει, ὡσπερ θάνατον ἀπειλεῖ, καὶ οὐδεμίας ἀπολογίας, οὔτε παραιτήσεως προσδέχεσθαι βούλεται.

Χο. Οὗτος αὐτός ἐστιν οὗτος.
Βάλλε, βάλλε, βάλλε, βάλλε,
Παῖε, παῖε τὸν μιαρόν.
Οὐ βαλεῖς, οὐ βαλεῖς;

Δι. Ἡράκλεις, τουτὶ τί ἐστι; τὴν χύτραν συντρίψετε.

Χο. Σὲ μὲν οὖν καταλεύσομεν ὦ μιαρὰ κεφαλή.

Δι. Ἀντὶ ποίας αἰτίας ὦ 'Χαρνέων γεραίτατοι;

CH. Ipsus, ipsus hic est, ipsus.
Mitte, mitte, mitte saxa:
Tunde, tunde furciferum.
Non petes hunc, non petes?

DI. Proh Hercules, quid hoc? ollā atteretis hic.

CH. Te equidem scelerum caput hic lapide obruimus.

DI. At quamobrem Acharnenses obsecro vos, natu maximi?

Σχόλια. Ἡράκλεις.] βαλλόμενος λίθοις ὑπὸ τοῦ χοροῦ ὁ Δικαιόπολις, ὡς ἀλεξίκακον τὸν Ἡρακλέα καλεῖ. πάνυ δὲ κινεῖ γέλωτα τῆς μὲν κεφαλῆς αὐτοῦ ἀφροντιστῶν. τῆς δὲ χύτρας φροντιζόμενος ἐν ᾗ τὸ ἔτνος ἦν. τῷ δὲ συντριβῆναι, καὶ Μένανδρος κέχρηται ἐν Λευκαδίᾳ καὶ ἐν Ἀσπίδι. ἔχων τὴν ἀσπίδα ἧκεν τὸ συντετριμμένην. χυτρικὴ δὲ καὶ ἡ τοῦ Ἡρακλέους φωνή ἐστι γὰρ ὁ θεὸς εἰς ἀπομαχίαν ἐκαλεῖτο ὡς ἀλεξίκακος τοῖς δεινὰ πάσχουσιν. Ἡράκλεις.] ἀπολύεται ἔχεται δυάς μονοστροφικὴ ἀμοιβαία τοὺς περιόδους ἔχουσα ἀνακύκλως ἐκ στίχων δύο τροχαϊκῶν τετραμέτρων καταληκτικῶν καὶ κώλων ἑπτά. ὧν τοὺς μὲν στίχους ὁ ὑποκριτὴς λέγει. τὰ δὲ κῶλα ὁ χορός. πρῶτος ὑπάρχει ἐστὶν ἐν ἐκθέσει κατὰ τὸ ἴσον τοῖς χορικοῖς. ἀπὸ τοῦ δοχμίου συζυγίαι καὶ παίωνες τρεῖς, καὶ διαιρεῖται. τὸ δὲ δικώλῳ τούτῳ, τὸ μὲν πρῶτον ἐστὶν, ἀπολελυμένον ἄρα τὸ ἦλικα τοῦδε φιλοτραχεία. τὸ δὲ τὸ δευτέρας, ὅτι ἴσος χαμαί. ἕπεται δὲ τοῖς δυσὶ κώλοις στίχος τροχαῖος ὅδε, ἀντὶ ποίας αἰτίας. καὶ ἐν εἰσθέσει τὰ λοιπὰ κῶλα ς' παιωνικὰ διρρυθμα.

Bisetus. Ἡράκλεις.] Ὅστις τὰ παλαιὰ σχόλια ὡς ταῦτα τοὺς στίχους καὶ κῶλα συνέγραψεν, ἵνα ἀκριβῶς ἐξετάσαι δεικνύῃ τὴν τῶν μέτρων ποιότητα, τὸν ἀριθμόν, τὸ σχῆμα, καὶ τὴν διαίρεσιν. ὁ μὲν τοι τοιοῦτος οὐ καλῶς ἔχει.

Σχόλια. Ὦ μιαρὰ κεφαλή.] ἐκ τοῦ ἡγεμονικοῦ μέρους τοῦ σώματος, δηλοῖ τὸν ἄνδρα παραπλησίως Ὁμήρῳ. τοίην γὰρ κεφαλήν. καὶ παρὰ Δημοσθένει. ταῦτ', ὦ λῆρε καὶ μιαρὰ κεφαλή.

A

ΣΤΡΟΦΗ κώλων ϛ'.

Χο. Τοῦτ' ἐρωτᾷς; ἀναί-
σχυντος εἶ καὶ βδελυρός,
Ὦ προδότα τῆς πατρίδος,
Ὅστις ἡμῶν μόνος
Σπεισάμενος, εἶτα δύνα-
σαι πρὸς ἔμ' ἀποβλέπειν.
Δι. Ἀνθ' ὧν δ' ἐσπεισάμην, οὐκ ἴστε γ', ἀλλ' ἀκού-
σατε.

STROPHE.

CH. Quid rogas? impudens
Es, proteruus, scelestus,
Proditor agri patrij:
B Quippe soli tibi
Fœdera modo hic inita: an
Aspicere adhuc potes?
Di. At quamobrem fecerim nescitis: audite hoc
prius.

ΣΤΡΟΦΗ ἑτέρα κώλων η'.

Χο. Σοῦ γ' ἀκούσωμεν; ἀπολεῖ·
Κατά σε χώσομεν τοῖς λίθοις
Δι. Μηδαμῶς, πρὶν ἄν ἀκούσητέ γ', ἀλλ' ἀνά-
σχεσθ' ὦ 'γαθοί
Χο. Οὐκ ἀνασχήσομαι,
Μὴ δὲ λέγε δὴ σὺ λόγον,
Ὡς μεμίσηκά σε Κλέ-
ωνος ἔτι μᾶλλον, ὃν ἐ-
γὼ κατατεμῶ τοῖσιν ἱππεῦσί ποτε
Ἐς καττύματα.
Σοῦ δ' ἐγὼ λόγους λέγοντος οὐκ ἀκούσομαι
μακρούς,
Ὅστις ἐσπείσω Λάκωσιν, ἀλλὰ τιμωρήσομαι.
Δικ. Ὦ 'γαθοί, τοὺς μὲν Λάκωνας ἐκποδὼν ἐά-
σατε,
Τῶν δ' ἐμῶν σπονδῶν, ἀκούσατ' εἰ καλῶς ἐσπει-
σάμην.
Χο. Πῶς δέ γ' ἂν καλῶς λέγοις ἄν, εἴπερ ἐσπεί-
σω γ' ἅπαξ.
Οἷσιν οὔτε βωμός, οὔτε πίστις, οὔθ' ὅρκος μένει.
Δι. Οἶδ' ἐγὼ καὶ τοὺς Λάκωνας οὓς ἄγαν ἐγκεί-
μεθα,

STROPHE alia.

C CH. Te audiam? male peream:
Lapidibus petemus caput.
Di. Neutiquam, nisi me prius audiatis aquis
mentibus.
CH. Non feram: non sinam;
Verba facias, caue. Nam
Haud pare Cleonem odio
Oderim ego: quem dabo secandum equitum
D Gregi in soleas.
Te non audiam;
Præsertim si prolixa verba des.
Quoniam fœdus inisti cum Laconibus: at te pu-
niam.
Di. O boni, Lacones missos iam facite: & mea
fœdera
Quæso audite, qualia sint: an illa recte inierim.
CH. Quomodo recte te dicas inisse, si inieris se-
mel
E Cum his, quibus nec religio, nec iusiurandum
est, nec fides?
Di. Noui ego, quod Lacones, quibus hic admo-
dum infesti sumus,

Σχόλια. Χώσομεν τοῖς λίθοις.] τοιοῦτο καὶ τὸ Ὁμηρικόν, λάινον ἕσσο χιτῶνα. ἐν ἤθει γὰρ αὐτὸ μετεποίησεν. Ἀλέξανδρος μὲν οὖν, ἄξιος τῶν λίθων Λακεδαιμονίας ἐρασθεὶς γυναικὸς ἐπὶ συμφορᾷ τῆς πατρίδος. οὗτος δὲ εἰρήνης ἐρᾷ ἐπ' ἀγαθῷ τῆς πατρίδος.

F Bisetus. Κατά σε χώσομεν] τμῆσις, ἀντὶ τοῦ καταχώσομέν σε. καταχῶσαι δὲ λίθοις ἐστίν, ὅπερ ὁ Εὐριπίδης λέγει, καταφονεύειν πέτροις. ὁ δὲ τοῦτο πάσχων, ὑπ' αὐτοῦ λέγεται, λευσίμῳ πετρώματι θανεῖν. καὶ πετρούμενος θανεῖν, καὶ λευσθῆναι πέτροις.

Σχόλια. Μηδαμῶς πρὶν γ' ἀκούσητε.] μεγαλοφρόνως καὶ γενναίως οὐ παραιτεῖται τὸν θάνατον. ἀλλὰ πρῶτον εἰπεῖν ἀξιοῖ καὶ τότε ἀποθανεῖν ἐὰν ᾖ δίκαιον. Οὐκ ἀνασχήσομαι.] ὅτι τινὲς τὸ ἀνασχήσομαι, ὡς ἔκφυλον νομίζουσιν. ἐχρήσατο δὲ αὐτῷ Δημοσθένης ἐν τῷ κατὰ Τιμοκράτους. οὐδ' ἣν οὖν μόνον ἀνέξομαι. Ὃν ἐγὼ κατατεμῶ.] ἐνταῦθα πάλιν ἀφερμηνεύει τὸ ποτὲ διὰ τὴν μετροποιίαν καὶ ἔτι πρὸς τὴν λέξιν. ἦν ποτε τέμνει τὸν Κλέωνα Ἀριστοφάνης. ἀλλ' αἰεὶ, ὡς οὖν ἄνω τὰ νῦν περιττεύει, οὕτως ἐνταῦθα τὸ ποτέ. ἔστι γὰρ τὸ αὐτὸ μέτρον τὸ κῶλον. καττύματα δέ ἐστι δέρματά τινα ἰσχυρὰ καὶ συνεστραμμένα, ἅπερ τοῖς σανδαλίοις καὶ τοῖς ἄλλοις ὑποδήμασιν ὑποβάλλεται. οἰκεία δὲ ἡ ἀπειλὴ κατὰ τοῦ

Κλέωνος. βυρσοδέψης γὰρ ἦν. ὅτι δὲ τοῖς ἱππεῦσιν ἦν τις ἔχθρα πρὸς Κλέωνα, διὰ τῆς ἀρχῆς δεδήλωκε. καὶ φιλῶ τοὺς ἱππέας διὰ τοῦτο τοὔργον. Σοῦ δ' ἐγὼ λόγους λέγοντος.] ἔστι δὲ τὸ δυαδικὸν δίστιχον, ὃ τοῖς μέλεσιν ἐξ ἔθους ὑπάγουσιν. ὅπερ ἐστὶ τετράμετρον τροχαϊκὸν καταληκτικόν. οὐ λέγουσι δὲ ὅτι τοὺς μὲν μακροὺς οὐ προσήσομαι. ἀκούσομαι δὲ τοὺς διὰ συντομίας λεγομένους: ἀλλ' ὅτι πάντες οἱ λόγοι μακροὶ πεφύκασι κρινόμενοι πρὸς πρᾶξιν εἰ πέπρακται. Τῶν δ' ἐμῶν σπονδῶν] λείπει ἡ περί. οὐ βούλεται γὰρ αὐτοὺς τῶν Λακεδαιμονίων μνημονεύειν, διὰ τὸ ἐνθυμουμένους τὰ ὑπ' αὐτῶν γεγενημένα χαλεπαίνειν. Οὔτε πίστις, οὔθ' ὅρκος.] ἐπὶ ἀπιστίᾳ γὰρ διεβάλλοντο οἱ Λακεδαιμόνιοι. καὶ Εὐριπίδης ἐν Ἀνδρομάχῃ. Σπάρτης ἔνοικοι δόλια βουλευτήρια. τρία δὲ ἐγκλήματα κατὰ παραβασίας προσέθηκεν αὐταῖς. αἱ γὰρ συνθῆκαι διὰ τριῶν τελειοῦνται. λόγων. ἱερῶν. χειρῶν. λόγων μέν, οἷον δι' ὅρκων. ἱερῶν δέ, διὰ τῶν ἐν βωμοῖς θυσιῶν. χειρῶν δέ, ὅτι αἱ πίστεις διὰ τῆς δεξιῶν γίνονται. καὶ Ὅμηρος. δεξιαὶ ᾗς ἐπέπιθμεν. Οἶδ' ἐγὼ καὶ τοὺς Λάκωνας.] πάνυ δεινῶς καὶ τεθαρρηκότως ἐχρήσατο τῇ ἐπαναλήψει καὶ οὐ κατεσιώπησεν, οὐδὲ ηὐλαβήθη ἐν τοιούτοις ὑπὲρ τῶν ἐχθρῶν εἰπὼν ὅτι οὐ μόνοι εἰσὶν ἀδικοῦντες κατὰ πάντα, ἀλλ' ὅτι καὶ ἐν τοῖς ἀδικηθεῖσι ταχθεῖεν ἄν.

Οὐχ

Οὐχ ἁπάντων ὄντας ἡμῖν αἰτίους τῶν πραγμάτων.
Χο. Οὐχ ἁπάντων ὦ πανοῦργε; ταῦτα δὴ τολμᾷς λέγειν
Ἐμφανῶς ἤδη πρὸς ἡμᾶς; εἶτ' ἐγώ σου φείσομαι;
Δι. Οὐχ ἁπάντων, οὐχ ἁπάντων, ἀλλ' ἐγὼ λέγων ὁδὶ,
Πόλλ' ἂν ἀποφήναιμ' ἐκείνους ἔσθ' ἃ καὶ ἀδικουμένους.
Χο. Τοῦτο τοὔπος, δεινὸν ἤδη, καὶ ταραξικάρδιον,
Εἰ σὺ τολμήσεις ὑπὲρ τῶν πολεμίων ἡμῖν λέγειν.
Δι. Κἄν γε μὴ λέγω δίκαια, μηδὲ τῷ πλήθει δοκῶ,
Ὑπὲρ ἐπιξήνου θελήσω τὴν κεφαλὴν ἔχων, λέγειν.
Χο. Εἰπέ μοι τί φειδόμεσθα τῶν λίθων ὦ δημόται;
Μὴ οὐ καταξαίνειν τὸν ἄνδρα τοῦτον ἐς φοινικίδα;
Οἷος αὖ μέλας τις ὑμῖν θυμάλωψ ἐπέζεσεν;
Δι. Οὐδ' ἀκούσεσθ' ἀκούσεσθ' ἐτεὸν ὦ Ἀχαρνῆδαι;
Χο. Οὐκ ἀκουσόμεσθα δῆτα. Δι. δεινά γ' ἆρα πείσομαι.
Χο. Ἐξολοίμην ἢν ἀκούσω. Δι. μηδαμῶς ὦ Ἀχαρνικοί.
Χο. Ὡς τεθνήξων ἴσθι νυνί. Δι. δήξομαί γ' ἄρ' ὑμᾶς ἐγώ.
Ἀνταποκτενῶ γὰρ ὑμῶν τῶν φίλων σοὺς φιλτάτους,
Ὡς ἔχω γ' ὑμῶν ὁμήρους, οὓς ἀποσφάξω λαβών.
Χο. Εἰπέ μοι, τί τοῦτ' ἀπειλεῖ τοὔπος ἄνδρες δημόται,
Τοῖς Ἀχαρνικοῖσιν ὑμῶν; μῶν ἔχει του παιδίον

A *Non sint omnium turbarum autores. CH. quid? non omnium*
Turbarum, homo peruerse: tún' isthac audes iam dicere
Ad nos tam clarè? tibin' ego parcam? DI. non omnium;
Non, inquam, omnium autores sunt. immò ego, qui hæc vobis loquor,
B *Multas possim ostendere, quas illi accepêre iniurias.*
CH. Hoc graue est verbum, meumque animum perturbas plurimùm:
Si tu ad nos ausis loqui pro nostris perduellibus.
DI. At nisi ego, quæ iusta, dixero: & plebi huic probauero:
Tunc caput mensæ imponere volo coquinariæ, & loqui.
C *CH. Agedum, cur obsecro lapidibus, ô populares, parcimus*
Hunc cruentare hominem, & variare cutem, purpuræ modo?
Vt, cùm titio niger nobis in igne incanduit?
DI. Annon audietis Acharnenses? audite me obsecro.
CH. Non sanè audiemus. DI. ægrè igitur vobis persuasero.
D *CH. Peream, si audiam. DI. nequaquam sic facietis Acharnici.*
CH. Moriturum te iam scias. DI. at ego probè mordebo vos.
Nam vicissim interficiam, vobis amicos intimos,
Quos apud me habeo obsides: hos prendam & iugulabo illices.
E *CH. Dic mihi, quamobrem isthuc minatur verbum Acharnicis:*
Dicite ô populares, anne habet alicuius puerum sua

Σχόλια. Ταραξικάρδιον.] αὐξήσει κέχρηται εἰπὼν ταραξικάρδιον. ἔστι γὰρ δεινὸν, ὃ μὴ οὕτως ἐστὶ δεινὸν ὡς δάκνειν καὶ ταράττειν τὴν καρδίαν. ὅπερ δὲ τῇ καρδίᾳ ταραχὴν ἐμποιήσειεν ἄν, τοῦτο ἀναμφιβόλως δεινότατον νομίζοιτο ἄν. F Κἄν γε μὴ λέγω δίκαια.] τοῦτο δεινὸν καὶ προσκρουστικὸν, ἐπεὶ οἱ στρατηγοῦντες καὶ δημαγωγοῦντες, κωλυταὶ τῆς εἰρήνης ἐγένοντο. Ὑπὲρ ἐπιξήνου.] ἐπίξηνος καλεῖται ὁ μαγειρικὸς κορμὸς, ἐφ' οὗ τὰ κρέα συγκόπτουσιν.

Bisetus. Ἐπιξήνου.] Εὐστάθιος. ἐπίξηνον, ἐπικόρμιον, καὶ ἐπίκοπον καλεῖ. εἴρηται δὲ παρὰ τὸ ἐπιξαίνω, τὸ ἐπικόπτω. πρὸς δὲ τὴν λέξιν τοῦ ἐπιξήνου ὁ χορὸς παίζων ἐπιφέρει τὸ καταξαίνειν, ὅπερ τοῦ ἐπιξήνου ἔτυμον δηλοῖ. ξαίνειν δὲ παρὰ τοῖς Ἀττικοῖς ἐνίοτε τὸ τύπτειν σημαίνει. G

Σχόλια. Μὴ οὐ καταξαίνειν.] μὴ οὐχὶ λίθοις αὐτὸν αἱμάξομεν, ὥστε φοινικοῦν αὐτῷ ποιῆσαι τὸ σῶμα. τὸ δὲ καταξαίνειν, ὡς ἐπὶ ἐρίων ἔθηκε. διὸ καὶ φοινικίδα εἶπεν ὡς ἐπὶ ἱματίου. Ἀριστοτέλης δέ φησιν ἐν τῇ Λακεδαιμονίων πολιτείᾳ, χρῆσθαι Λακεδαιμονίους φοινικίδι πρὸς τοὺς πολέμους. τοῦτο μὲν, ὅτι τὸ τῆς χρόας ἀνδρεῖον. τοῦτο δὲ ὅτι τὸ τοῦ χρώματος αἱματῶδες τῆς τοῦ αἵματος ῥύσεως ἐθίζει καταφρονεῖν. τὸ οὖν ἐν φοινικίδι, ἀντὶ τοῦ ἐν τάξει πολεμίων ἀπὸ τοῦ φορήματος δηλώσειεν ἂν εἰκότως, ἐπεὶ τὸ φοινιχθῆναι αἱμαχθῆναι, δίκην φοινικοβαφοῦς ἐνδύματος. καὶ τὸ ξαίνειν ῥῆμα, καὶ παρὰ Δημοσθένει κεῖται ἐν τῷ κατ' Αἰσχίνου περὶ τῆς παραπρεσβείας. εἰ σπαράττει δὲ καὶ δακρύσασαν ἐκείνην, περιρρήξας τὸν χιτωνίσκον ὁ οἰκέτης, ξαίνει κατὰ τοῦ νώτου πολλάς. Θυμάλωψ.] ὁ διακεκαυμένος ἄνθραξ. ὁ ἀπολελειμμένος τοῦ θύμου ἄνθραξ ὁ ἡμίκαυτος. ξύλον καὶ συντεθρυμμένος διακεκαυμένος ἄνθραξ. χλευάζοντες δὲ εἶπεν. ἐπεὶ ἀνθρακεῖς εἰσιν οἱ Ἀχαρνεῖς. ἀντὶ γὰρ τοῦ εἰπεῖν οἷος ἐξεκαύθητε, θυμάλωψ ἐπέζεσεν. Ἀχαρνῆδαι.] Ὁμηρικὴν παράφρασιν ποιητικῶς μιμεῖται, ὦ υἱοὶ Ἀχαρνῶν. ἐν μιᾷ λέξει προσσυγκάμψας τὸ ὄνομα ὅλον. ὦ Ἀχαρνέων παῖδες. Ἀνταποκτενῶ.] ταῦτα λέγει τοὺς τῶν Ἀχαρνέων ἁρπάσας κόφινον γέμοντα, ἐν ᾧ τοὺς ἄνθρακας φέρουσιν. ὃν βούλεται ξίφει διαχρήσασθαι. σκώπτει δὲ τοὺς Ἀχαρνέας, ὡς ἀνθρακοκαυστάς. Ὁμήρους.] ὅμηρα ὀνομάζουσι τὰ ἐπὶ συνθήκαις διδόμενα ἐνέχυρα.

Τοὺς παρόντας ἔνδον εἶρξας; ἢ 'πὶ τῷ θρασύνεται;

Δι. Βάλλετ' εἰ βούλεσθ', ἐγὼ γὰρ τουτονὶ διαφθερῶ.

Εἴσομαι δ' ὑμῶν τάχ' ὅστις ἀνθράκων τι κήδεται.

Χο. Ὡς ἀπολόμεθ', ὁ λάρκος δημότης ὅδ' ἔστ' ἐμός.

Ἀλλὰ μὴ δράσῃς ὃ μέλλεις, μηδαμῶς ὦ μηδαμῶς.

Δι. Ὡς ἀποκτενῶ κέκραχθ', ἐγὼ γὰρ οὐκ ἀκούσομαι.

Χο. Ἀπολεῖς ἄρα τὸν ἥλικα τόνδε φιλανθρακέα.

Δι. Οὐδ' ἐμοῦ λέγοντος ἀρτίως ἠκούσατε.

Χο. Ἀλλὰ νῦν λέγ' εἴ σοι δοκεῖ, τόν τε Λακεδαιμόνιον αὐτὸν, ὅτῳ τρόπῳ σοῦ 'στι φίλον.

Ὡς τόδε τὸ λαρκίδιον οὐ προδώσω ποτέ.

Δι. Τοὺς νῦν μοι λίθους χαμᾶζε πρῶτον ἐξεράσατε.

Χο. Οὑτοιί σοι χαμαί, καὶ σὺ κατάθου πάλιν τὸ ξίφος,

Δι. Ἀλλ' ὅπως μὴ 'ν τοῖς τρίβωσιν ἐγκάθηνταί που λίθοι.

Χο. Ἐκσέσεισται χαμᾶζ', οὐχ ὁρᾷς σειόμενον;

Ἀλλὰ μή μοι πρόφασιν, ἀλλὰ κατάθου τὸ βέλος.

Ὡς ὅδε γε σειστὸς ἅμα τῇ στροφῇ γίνεται.

Δι. Ἐμέλλετ' ἄρα πάντες ἀνασείειν βοὴν,

Ὀλίγου τ' ἀπέθανον, ἄνθρακες Παρνάσιοι,

Καὶ ταῦτα διὰ τὴν ἀτοπίαν τῶν δημοτῶν.

Ὑπὸ τοῦ δέους δὲ τῇ μαρίλῃ μοι συχνὴν

Ὁ λάρκος ἐπετίλησεν ὥσπερ σηπία.

Δεινὸν γὰρ οὕτως ὀμφακίαν πεφυκέναι,

Τὸν θυμὸν ἀνδρῶν, ὥστε βάλλειν καὶ βοᾶν

Ἐθέλειν τ' ἀκοῦσαι μηδὲν ἴσον ἴσῳ φέρον,

Ἐμοῦ θέλοντος ὑπὲρ ἐπιξήνου λέγειν,

Ὑπὲρ Λακεδαιμονίων ἅπανθ' ὅσ' ἂν λέγω,

Καί τοι φιλῶ γε τὴν ἐμὴν ψυχὴν ἐγώ.

A Constrictum domi: aut quanam re tantopere effertur miser?

Di. Iacite, si lubet. nam ego hunc male perdam: & mox sciam cui

Vestrum aliquid carbonum sit curæ. CH. male occidimus viri,

Hic cophinus meus est popularis: ne faxis obsecro,

B Quod facere institutis: minime, minime isthuc feceris mali.

Di. Clamavi, quod interfecturus sim, non enim audiam.

CH. An coæqualem occidas amicũ carbonarium?

Di. Quia vos me dicentem iamdudum non audistis viri.

CH. At deinceps nunc dicito, tuos esse Lacedæmonas amicos: si tibi ita sit lubitum.

C Nã hũc tibi cophinulum ego haud volo prodere.

Di. Lapides nunc primum è sinibus eijcite in terram protenus.

CH. En iacent in terra: & tu quoque manu emoue cuspidem:

Di. At neque sub vestibus lateant lapides iam relliqui.

CH. Excussum est palliũ, non vides, ut quatiam?

D Nequid obtende mihi: sed reijcito gladium.

Vt simul & hic mulierum in stropha sit decor.

Di. Vocem omnes edituri eratis lugubrem:

Parumq; adeo abfuit, quin essent mortui

Hi carbones Parnasij, & popularium

Quidem ob summam insolentiam. Sed præ metu

Cophinus hic favillam quàm densissimam

Mihi incacavit, tanquam sepia. Nam grave est

Adeo immites esse hominũ animos, ut lapidibus

Petant, & clamitent, & nihil æqui & boni

E Audire velint, licet ego cum periculo

Dicturus sim omnia, quicquid dicam pro hostibus

Lacedæmonijs: equidem meã & ego vitã amo.

Σχόλια. Ἔνδον εἴρξας.] ἀποκλείσας. δασέως δὲ εἵρξας Ἀττικοί. τὸ μὲν γὰρ παρ' Ὁμήρῳ ἐρχθέντ' ἐν μεγάλῳ ποταμῷ, ψιλοῦσι. τὸ δὲ εἵρξας δασέως ἀναγινώσκομεν, ὅταν τὸ πράξας δηλοῖ. ἡ μὲν ἄρ' ὣς ἔρξασ' ἀπεβήσατο Δῖα θεάων. τὸ δὲ ἐπὶ τοῦ εἴργειν δασέως Ἀττικοί. Εἴσομαι δ' ὑμῶν] ψίαθον ἀνθράκων παρενήνοχεν, ὅν φασι παῖδα εἶναι τῶν Ἀχαρνέων. πάνυ κωμικῶς ταῦτα. τὰ δὲ μεγάλα πάθη, ὑποπαίζει τῆς τραγῳδίας. ἐπεὶ καὶ ὁ Τήλεφος κατὰ τὸν τραγῳδοποιὸν Αἰσχύλον ἵνα τύχῃ παρὰ τοῖς Ἕλλησι σωτηρίας, τὸν Ὀρέστην εἶχε συλλαβών. παραπλήσιον δέ τι καὶ ἐν ταῖς Θεσμοφοριαζούσαις ἐποίησεν. ὁ γὰρ Εὐριπίδου κηδεστὴς Μνησίλοχος ἐπιβουλευόμενος παρὰ τῶν γυναικῶν, ἀσκὸν ἁρπάσας παρά τινος γυναικὸς, ὡς ἂν παιδίον ἀποκτεῖναι βούλεται. τὸ δὲ εἴσομαι ἀντὶ τοῦ γνώσομαι. ὡς καὶ παρ' Ὁμήρῳ. εἴσομαι αἴ κεν ὁ Τυδεΐδης κρατερὸς Διομήδης. Ὁ λάρκος δημότης.] πλέγματι κοφινῶδες ἢ ψιαθῶδες, ἐν ᾧ φέρουσι τοὺς ἄνθρακας. Μηδαμῶς ὦ μηδαμῶς.] τὸ τοιοῦτον ἀποσιώπησις καλεῖται. ἔχεις καὶ παρὰ Δημοσθένει τὸ ὅμοιον. ἀλλ' ὅτι ἄν τις προστιθῇ, ὀρθῶς προστίθησι.

Ἀπολεῖς ἄρα τὸν ἥλικα.] ἤτοι τὸν λάρκον. ἢ διὰ τὸ τὸν αὐτὸν ἥλικα διὰ τὸ τὸν λάρκον σφαλτῆς. διπλαῖ δὲ δύο. ἢ ὅτι ἡ ἑτέρα ἔστι δυάς, ἢ ἀντιστρέφεται τῇ ἀποδεδομένῃ ὡς ἡ ἀρχὴ, ὡς ἀποκτενῶ κέκραχθε. τέλος δὲ τῆς πρώτης, οὐ προδώσω ποτέ. ἡ δὲ δευτέρας τῆς στροφῆς γίνεται. Ἀλλὰ νῦν λέγ' εἴ σοι.] ἐπιτρέπουσιν αὐτῷ λέγειν μόνον ἵνα σώσῃ τὸν λάρκον. Ὅτῳ τρόπῳ σοῦ 'στιν.] ἀντὶ τοῦ εἰπὲ τίνι τρόπῳ ὁ Λακεδαιμόνιός ἐστί σοι φίλος. ἢ οὕτως. εἰπὲ τί σου τῷ τρόπῳ φίλον ἐστὶ περὶ Λακεδαιμονίων. τὸ δὲ ἑνικὸν, ἀντὶ τοῦ πληθυντικοῦ παρείληπται. ἀντὶ τοῦ περὶ Λακεδαιμονίων. τὸ ὅμοιον καὶ παρὰ τῷ ῥήτορι ἐν τῷ πρώτῳ τῶν Φιλιππικῶν. ἀλλὰ νῦν γε Παίονας καὶ Ἰλλυριούς. Ἐξεράσατε.] ἀντὶ τοῦ ἐκκενώσατε. ἐκβάλετε. ἀπορρίψατε. ποιητικὴ δὲ ἡ λέξις ἀπὸ τοῦ ἔρας, τουτέστι τῆς γῆς. Οὑτοιί σοι χαμαί.] κωμῳδεῖ καὶ διασύρει τοὺς Ἀθηναίους, ὡς καὶ ταχέως θυμουμένους καὶ ταχέως παυομένους.

BISETUS. Ἀλλ' ὅπως.] ὑπακουστέον ὅρα, ἢ σκόπει.

Σχόλια. Ἐγκάθηνται που λίθοι.] ἐγκεκρυμμένοι ὑποκρυπτόμενοι ἐγκάθηνται. Ἐκσέσεισται.] ὁ κόλ-

πος

σιος. δ' ὁ τρίβων. Ἀλλὰ κατάθου τὸ βέλος.] σημειωτέον ὅτι ἐπὶ ξίφους τὸ βέλος τέθεικε. καὶ Ὅμηρος πᾶν τὸ βαλλόμενον. Ὡς ὅδε γε σεισμός.] χορεύουσιν ἅμα ἢ πάρθενοι καὶ ἐσ(είσθαι). τὸ λεγόμενον οὕτως ἐπὶ τῆς κωμικῆς ὀρχήσεως. ἀναστρεφόμενοι δ' ἢ ἀποτινάσσουσι τοὺς χιτῶνας, καὶ ἀποδεικνύντες ὡς μηδένα τῶν λίθων ἀποκεκρυμμένον ἔχουσι. λέγεται δὲ στροφὴ τῶν κώλων τὸ σύστημα. χαίρεται ἡ στρόφιγγι. Ἐμέλλετ' ἄρα.] ἠθικώτατα καὶ ἡδίστα πρὸς τοὺς ἐν τῷ λάρκῳ ἄνθρακας διαλέγεται, λέγων ὅτι ἐμέλλετε μετὰ βοῆς ἀναστῆναι, ὡς τῆς τοῦ λάρκου ῥήξεως μετὰ βοῆς μελλούσης γίνεσθαι. ἐμέλλετ' ἄρα πάντες. ἐφ' ὃ διπλῆ καὶ ἐν εἰσθέσει στίχοι ἰαμβικοὶ ια'. Ἄνθρακες Παρνάσιοι.] ἀντὶ τοῦ μεγάλοι. Πάρνης γὰρ ὄρος τῆς Ἀττικῆς χορηγίαν ἔχον πολλῶν ξύλων. ἔπαιξεν οὖν Παρνασίους εἰπών, ὡς ἀπὸ τόπου Παρνασοῦ τὴν λέξιν παραγαγών, ἵνα ὑποδηλώσῃ τοὺς ἱερούς. ὁ γὰρ Παρνασσός, ὄρος Φωκίδος ἐπὶ ἱερὸν Ἀπόλλωνος καὶ Διονύσου. Παρνάσιοι. ἀντὶ τοῦ μεγάλοι. τῆς γὰρ Παρνασοῦ ἀπὸ

A τῆς μεγάλης ἐπέθηκε. οἱ δὲ ὅτι ἀπὸ Πάρνηθος τοῦ ὄρους τῆς Ἀττικῆς ἄνθρακες. Τοῦ τῆς δ' ἄρ' τοῦ μαρίλης.] ἡ ἐξ ἀνθράκων τέφρα, μαρίλη λέγεται. μαρίλης οὖν, ταὐτὸ τῆς ἀπὸ τῶν ἀνθράκων σποδιᾶς, ὑπαφῆκεν ὁ λάρκος ὑπὸ ἀγωνίας, ὥσπερ ἡ σηπία τὸ μέλαν. θηρώμεναι γὰρ αἱ σηπίαι, ὑποφιάσιν ἐκ τοῦ προσόντος αὐτῇ μέλανος ταράττειν βουλόμεναι τὸν παρ' αὐτῇ τόπον ἵνα μὴ καταφανεῖς ὦσι τοῖς θηρῶσιν.

B Ὀμφακίαν.] ἀντὶ τοῦ ὠμόν, σκληρόν, μεταφορικῶς ἀπὸ τῆς ὀμφακος. οὕτω δὲ αἱ σταφυλαὶ δ' ἔτι ἀνώριμοι, καὶ οὔπω πέπειροι. ἐκ γὰρ τοῦ ἐναντίου, πέπειρον τὸ ἥμερον καὶ ἡδύ. θηλυκῶς δὲ καὶ τοὺς ὄμφακας λέγει. ἔχεις παρὰ Πλάτωνι, τῷ κωμικῷ ἐν δράματι ἑορτῆς καὶ τὰς ὀφρῦς χάλασον καὶ τὰς ὄμφακας. Μηδὲν ἴσον ἴσῳ.] ἀντὶ τοῦ δίκαιον καὶ ἴσον. ἀπὸ μεταφορᾶς τοῦ κεραμέως οἷον πρὸς ὕδωρ ἴσον. λέγει δὲ κατ' ἴσον εἶναι τοῦ δικαίου. Ἐμοῦ θέλοντος.] τὸ ἑξῆς οὕτως. ἐμοῦ θέλοντος ὑπὲρ ἐπιξήνου λέγειν πάντα ἃ ἂν λέγω ὑπὲρ Λακεδαιμονίων. C

ΣΤΡΟΦΗ κώλων ι'.

Χο. Τί οὖν οὐ λέγεις τοὐπίξηνον,
Ἐξενεγκὼν θύραζ',
Ὅ,τι ποτ' ὦ σχέτλιε,
Τὸ μέγα τοῦτ' ἔχεις;
Πόθος γὰρ πάνυ με
Ὅ,τι φρονεῖς ἔχει.
Ἀλλ' ἧπερ αὐτὸς τὴν δίκην διωρίσω,
Θεὶς δεῦρο τοὐπίξηνον, ἐγχείρει λέγειν.

STROPHE.

CH. Quid ergo habes, quod in mensa
Tu coquinaria
Miser homo proferas
D Commemorabile?
Nimis scire equidem,
Tua placita expeto.
Sed, vt tute ipse tibi pœnam decreueras,
Hac pone mensam, & aggredere verba facere.

Σχόλια. Τί οὖν οὐ λέγεις.] διπλῆ καὶ εἴσθεσις εἰς μέλος τοῦ χορικοῦ πεντάκωλον δόχμιον. ὧν διπλῶν μὲν τῶν δύο πρώτων. ἁπλῶν δὲ τριῶν τὸ λοιπόν. ἄλλως. εἴσθεσις χοροῦ στροφικὴ στροφῆς λόγον ἔχουσα. ἔχει γὰρ καὶ ἀντίστροφον τὴν τί ταῦτα στρέφεις. καὶ ἔστιν ἐκ κώλων παιωνικῶν ἕξ, ἐπιμεμιγμένων κρητικοῖς καὶ βακχείοις. ὧν τὸ πρῶτον τρίμετρον καταληκτικὸν ἐκ βακχείων. τὸ δεύτερον δίμετρον ἀκατάληκτον ἐκ κρητικῶν. τὸ τρίτον δίμετρον καταληκτικὸν ἤτοι ἑφθημιμερές. τὸ τέταρτον ἡμιόλιον ἤτοι δίμετρον βραχυκατάληκτον. τὸ δίμετρον καταληκτικὸν ἐκ βακχείου. τὸ ε' ἡμιόλιον ὅμοιον τῷ τετάρτῳ. ἐκ δὲ στίχοι ἰαμβικοὶ τρίμετροι ἀκατάληκτοι ὅμοιοι τοῖς ἑξῆς ιθ. ἐπὶ τῷ τέλει παράγραφος καὶ διπλῆ ἔσω νενευκυῖα. E Ἀλλ' ἧπερ.] τὸ ἧπερ ἀντὶ τοῦ ὥσπερ, καθάπερ.

ΣΥΣΤΗΜΑ κατὰ περικοπὴν στίχων ιθ.

Δι. Ἰδοὺ θεᾶσθε, τὸ μὲν ἐπίξηνον τοδί,
Ὁ δ' ἀνὴρ ὁ λέξων οὑτοσί, τυννουτοσί,
Ἀμέλει, μὰ τὸν Δί' οὐκ ἐνασπιδώσομαι.
Λέξω δ' ὑπὲρ Λακεδαιμονίων ἅ μοι δοκεῖ.
Καίτοι δέδοικα πολλά. τούς τε γὰρ τρόπους
Τοὺς τῶν ἀγροίκων οἶδα χαίροντας σφόδρα,
Ἐάν τις αὐτοὺς εὐλογῇ, καὶ τὴν πόλιν,
Ἀνὴρ ἀλαζὼν καὶ δίκαια κἄδικα,
Κἀνταῦθα λανθάνουσ' ἀπεμπολώμενοι,
Τῶν τ' αὖ γερόντων οἶδα τὰς ψυχὰς, ὅτι

SYSTEMA PER PERICOPEN,

DI. En spectate, hæc est mēsa coquinaria:
F Qui dicet hic est, vir tantillus: bono animo
Ego, per Iouem, nunc clypeo nō induar, (mo es.
Sed pro Lacedæmonijs dicam, vt mihi libet.
Licet admodum metuam mihi. Nā mores ego
Noui agricolarum, delectantur admodum,
Si quis eos laudet, & simul vrbem prædicet,
Homo arrogans, per fas atque nefas. Interim
His blanditijs non se aduertunt venundari.
Noui etiam horum senum qui sit animus. Nihil

Σχόλια. Ἰδοὺ θεᾶσθε.] ἐφ' ἑαυτοῦ ταῦτα ὁ Δικαιόπολις λέγει. διὰ δὲ τῶν λελεγμένων ὁ κωμικὸς ὑμᾶς παιδεύει, ὡς χρὴ τοὺς λέγοντας μὴ ἀπὸ τοῦ μεγέθους τῶν σκωμμάτων σκοπεῖν, ἀλλ' ἐπ' ἐκεῖνα ἐφ' ἃ λέγειν ἔμελλον. τὸ δὲ τυννουτοσί, δεικνὺς τὸν δάκτυλον τὸν μικρὸν λέγει. Οὐκ ἐνασπιδώσομαι.] ἀντὶ τοῦ οὐ καθοπλίζομαι. ἐν ἀσπίδι περιβαλοῦμαι σημειωσάμενος. ὁ

G σκεπασθήσομαι. ἐπεὶ βραχὺς εἶμι. βούλεται δὲ εἰπεῖν, ὅτι οὐ παρασκευάζομαι ἐπὶ πολύ. Ἀνὴρ ἀλαζών.] διαβάλλει τοὺς ῥήτορας. Ἀπεμπολώμενοι.] πιπρασκόμενοι διὰ τῆς κολακείας. τοῦτο δέ φησι. διὰ τὸ εὐχερῶς πείθεσθαι τοῖς ῥήτορσι τοὺς Ἀθηναίους, ἀπατῶσιν αὐτούς. Τῶν τ' αὖ γερόντων οἶδα.] ἔτι τε γερόντων φιλοδικίας, ἢ τὸ διὰ τὸ καταγινώσκειν ὑποκρίτου ἄλλη.

Οὐδὲν βλέπουσιν ἄλλο, πλὴν ψήφῳ δακεῖν,
Αὐτός τ' ἐμαυτὸν ὑπὸ Κλέωνος ἅπαθον,
Ἐπίσταμαι, διὰ τὴν πέρυσι κωμῳδίαν.
Εἰσελκύσας γάρ μ' εἰς τὸ βουλευτήριον
Διέβαλλε, καὶ ψευδῆ κατεγλώττιζέ μου,
Κἀκυκλοβόρει, κἄπλυνεν, ὥστ' ὀλίγου πάνυ
Ἀπωλόμην μολυνοπραγμονούμενος.
Νῦν οὖν με πρῶτον πρὶν λέγειν ἐάσατε,
Ἐνσκευάσασθαί μ' οἷον ἀθλιώτατον.

A *Aliud vident, quàm ut mordeant suffragio.*
Ego item noui ipsemet, quid passus sim mali
Ob exhibitam praeterito anno Comoediam.
Nam in me pertractum ad hoc senaculum, Cleo
Calumnijs multis, multis mendacijs
Deblaterauit, & magno strepitu obtudit,
Meq; maledictis proscidit: parum abfuit
Vt non perierim, hoc pollutus negocio.
B *Nunc priusquam faciam orationis initium*
Sinite me amiciri in modum hominis egentissimi.

Σχόλια. Ψήφῳ δακεῖν.] ἀντὶ τοῦ καταδικάζειν. πανταχοῦ ὡς φιλοδίκους καὶ πρὸς τὸ καταδικάζειν ἑτοίμους τοὺς Ἀθηναίους κωμῳδεῖ. Αὐτός τ' ἐμαυτόν.] ὡς ἀπὸ τοῦ προσώπου τοῦ ποιητοῦ ὁ λόγος ἐστί. Διὰ τὴν πέρυσι κωμῳδίαν.] τοὺς Βαβυλωνίους. τούτους γὰρ πρὸ τῶν Ἀχαρνέων Ἀριστοφάνης ἐδίδαξεν, ἐν οἷς πολλοὺς κακῶς εἶπεν. ἐκωμῴδησε γὰρ τάς τε κληρωτὰς καὶ χειροτονητὰς ἀρχάς, καὶ Κλέωνα παρόντων τῶν ξένων. ἐδίδαξε γὰρ τὸ δρᾶμα τοὺς Βαβυλωνίους τῇ τῶν Διονυσίων ἑορτῇ, ἥτις ἐν τῷ ἔαρι ἐπιτελεῖται, ἐν ᾗ ἔφερον τοὺς φόρους οἱ σύμμαχοι. καὶ διὰ τοῦτο ὀργισθεὶς ὁ Κλέων, ἐγράψατο αὐτὸν ἀδικίας εἰς τοὺς πολίτας, ὡς εἰς ὕβριν τοῦ δήμου ταῦτα πεποιηκότα. καὶ ξενίας δὲ αὐτὸν ἐγράψατο καὶ εἰς ἀγῶνα ἐνέβαλεν. τὰ δὲ Λήναια ἐν τῷ μετοπώρῳ ἤγετο. ἐν οἷς οὐ παρῆσαν οἱ ξένοι. ὅτε τὸ δρᾶμα τοῦτο οἱ Ἀχαρνεῖς ἐδιδάσκετο.

Bisetus. Κατεγλώττιζέ μου.] κατεγλωττίζειν, τὸ βλασφημεῖν. Σ.

Σχόλια. Κἀκυκλοβόρει.] ἐσοφίσατο κατέμιξε τὴν κωμῳδικὴν χάριν καὶ τὰ δικαστικὰ ῥήματα. τὸ μὲν γὰρ διαβάλλειν καὶ λέγειν ψευδῆ καὶ πλύνειν, εἴποι τις ἂν ἐπὶ τῶν δικαστηρίων ταῦτα λέγεσθαι. τὸ δὲ κυκλοβορεῖν καὶ καταγλωττίζειν, χαριεντισμοὶ τῆς κωμῳδίας. Κυκλόβορος δὲ ποταμὸς ἐν Ἀθήναις χειμάρρους ἄγαν ἠχῶν, ὡς ἐν τοῖς εἰς τοὺς Ἱππέας εἴρηται.
C
Bisetus. Μολυνοπραγμονούμενος.] αὕτη ἡ μετοχὴ διπλῆν ἔχει ἐξήγησιν. εἰ γὰρ παθητικῶς λαμβάνοιτο, ὁ πλύσει τὸ αἰσχρῶς καὶ ὑβριστικῶς μεταχειρισθείς. εἰ δὲ ἐνεργητικῶς, οὕτω νοηθήσεται· ὁ τοὺς ἄλλους πολυπραγμονῶν, καὶ μετὰ παρρησίας σκώπτων, καὶ διαβάλλων, ἅπερ Ἀριστοφάνης ἐποίησεν ἐν τοῖς Βαβυλωνίοις, ὡς καὶ αὐτὰ τὰ παλαιὰ σχόλια ἐν τούτοις λέγει.

Σχόλια. Ἐνσκευάσασθαί με.] ἀντὶ τοῦ πτωχικὴν ἀναλαβεῖν ἐσθῆτα, ὡς ἀπὸ τοῦ σχήματος ἐλεεινότατον καὶ ἀθλιώτατον εἶναί με δοκεῖν. τὰ γὰρ σεμνὰ τῶν σχημάτων, καὶ φθόνον ἐπάγει.
D

ΑΝΤΙΣΤΡΟΦΗ. κώλων ιά.

Χο. Τί ταῦτα στρέφει, τεχνάζεις τε,
Καὶ πορίζεις τριβάς;
Λαβὲ δ' ἐμοῦ γ' ἕνεκα
Παρ' Ἱερωνύμου,
Σκοτοδασυπυκνότριχα
Τὴν Ἄϊδος κυνῆν.
Εἶτ' ἐξάνοιγε μηχανὰς τὰς Σισύφου,
Ὡς σκῆψιν ἁγὼν οὗτος οὐκ εἰσδέξεται.

ANTISTROPHE.

CH. Quid hic tergiuersando nectis
Tam diu istas moras?
E *Cape meo nomine*
Ab Hieronymo,
Nigrorigidhirticomam
Galeam Auernicam:
Dein callidos deprome Sisiphi dolos:
Nā hoc certamen nullum praeceptum admiserit.

Σχόλια. Τί ταῦτα στρέφει.] ἀντὶ τοῦ τεχνάζῃ, μεταβάλλῃ, καὶ μετὰ τέχνης καὶ ποικιλίας προσφέρῃ. Παρ' Ἱερωνύμου.] οὗτος ὁ Ἱερώνυμος μελῶν ἦν ποιητής, καὶ τραγῳδοποιὸς ἀνώμαλος καὶ ἀνομοιόμητος, διὰ τὸ ἄγαν ἐμπαθέσι χρῆσθαι ὑποθέσεσι, καὶ φοβεροῖς προσωπείοις χρῆσθαι. ἐδόκει δὲ κροτεῖσθαι. ἐκωμῳδεῖτο δὲ ὡς πάνυ κομῶν. διό τὴν Ἄϊδος κυνῆν ἔφη αὐτοῦ, παίξας κωμικῶς τὸ κουρεῖον. Τὰς
F Σισύφου.] δεινόν τινα καὶ πανοῦργον παραδεδώκασιν οἱ ποιηταὶ τὸν Σίσυφον διὰ μιᾶς λέξεως παρ' Ὁμήρῳ δεδιδαγμένοι, Σίσυφος ὃς κέρδιστος ἐπιχθονίων γένετ' ἀνδρῶν.

ΔΡΑΜΑΤΟΣ ΤΟΥ ΔΕΥΤΕΡΟΥ Σκηνὴ τρίτη.

ΔΙΚΑΙΟΠΟΛΙΣ, ΚΗΦΙΣΟΦΩΝ.

Τρίμετροι.

ACTVS II. SCENA tertia.

G
DICAEOPOLIS, CEPHISOPHO.

Senarij.

Bisetus. Δικαιόπολις ὑπὸ χοροῦ λέγων διὰ τῶν τῆς πόλεως πραγμάτων ἐπιταχθείς, ὡς Εὐριπίδην βαδίζει, ἵνα τὰ παλαιὰ Τηλέφου ῥακώματα, καὶ πάλιν αὐτὰ κουλεὰ αἰτούμενος τὸ σχῆμα πτωχὸς ὢν δόξῃ. ἀστείως δὲ τὸν Εὐριπίδην οὕτω σκώπτει, ὅτι τοὺς ἥρωας καὶ βασιλεῖς ἐν τοῖς ἑαυτοῦ δράμασιν ὡς πτωχοὺς εἰσάγει. Δικαιόπολις δὲ οὐ μόνον τὴν ἐσθῆτα, καὶ πᾶν πτωχοῦ σχῆμα, ἀλλὰ καὶ τοὺς τρόπους, καὶ τὴν ἀναίδειαν ὑποδύεται, ὥστε ὑπὸ τοῦ Εὐριπίδου μόγις ἀπὸ τῆς οἰκίας ἀποστελλεσθῆναι δύναται.

Δι. Ὥρα 'στὶν ἤδη καρτερὰν ψυχὴν λαβεῖν,
Καί μοι βαδιστέ' ἐστὶν ὡς Εὐριπίδην.
Παῖ, παῖ. Κη. τίς οὗτος; Δι. ἔνδον ἔστ' Εὐριπίδης;
Κη. Οὐκ ἔνδον, ἔνδον ἐστὶν, εἰ γνώμην ἔχεις.
Δι. Πῶς ἔνδον, εἶτ' οὐκ ἔνδον; Κη. ὀρθῶς ὦ γέρον.
Ὁ νοῦς μὲν ἔξω συλλέγων ἐπύλλια,
Οὐκ ἔνδον, αὐτὸς δ' ἔνδον ἀναβάδην ποιεῖ
Τραγῳδίαν. Δι. ὦ τρισμακάρι' Εὐριπίδη.
Ὅθ' ὁ δοῦλος οὑτωσὶ σοφῶς ἀπεκρίνατο,
Ἐκκάλεσον αὐτόν. Κη. ἀλλ' ἀδύνατον. Δι. ἀλλ' ὅμως,
Οὐ γὰρ ἂν ἀπέλθοιμ', ἀλλὰ κόψω τὴν θύραν.
Εὐριπίδη, Εὐριπίδιον.
Ὑπάκουσον, εἴπερ δή ποτ' ἀνθρώπων τινί,
Δικαιόπολις καλεῖ σε, Χολλίδης ἐγώ.

Di. *Nunc tempus est, vti virilem capiam animum:*
Etenim mihi conueniendus est Euripides.
Puer, puer. CE. *quis hic?* DI. *intus ne est Euripides?*
CE. *Non intus, intus est: si recte intelligas.*
DI. *Quomodo fit intus, & non intus?* CE. *commode.*
Nam animus quidem foris versiculos colligens,
Non intus est ipse intus resupinus facit
Trygœdiam. DI. *ô ter beatum Euripidem.*
Quando tam perspicue respondit famulus hic:
Age euoca ipsum. CE. *at hoc fieri nequit.* DI. *attamen,*
Quippe haud discessero: sed pulsabo ostium.
Euripides, Euripidule.
Audi hominem quempiam paruumper, quæso te:
Dicæopolis te vocat, ego Chollidensis.

Σχόλια. Καί μοι βαδιστέ' ἐστί.] μεταβολὴ τῆς σκηνῆς ὡς ἐπὶ τὴν οἰκίαν Εὐριπίδου. βαδιστέα δὲ ἀντὶ τοῦ βαδιστέον. τὰ δὲ τοιαῦτα σχηματίζουσι πληθυντικῶς λεγόμενα. ἐν Πλάτωνι, συνεκτέα ἐστί σοι ἡ τὴν τρύγα. ἀντὶ τοῦ συνεκτέον. καὶ Θουκυδίδης πολεμιστέα τοῖς Ἀθηναίοις ἐστί. Τίς οὗτος] τοῦ Δικαιοπόλιδος προσκρούσαντος τῇ θύρᾳ, Κηφισοφῶν ὑπακούει. Οὐκ ἔνδον] ἐξέρχεται τὴν οἰκίαν τοῦ δεσπότου. διὰ δὲ τοῦ δεσπότου τὰ ἔνδον διαβάλλει τὸν Εὐριπίδην, ὅτι φιλοσοφῶν αἰνίγματα τοὺς δούλους καὶ ἐν ταῖς τραγῳδίαις … ἔχει. ἀντὶ τοῦ … φρόνιμος εἶ καὶ σοφός. Ὁ νοῦς μὲν ἔξω συλλέγων.] σκώπτει πάλιν τὸν Εὐριπίδην, διὰ τὸ ἐν τοῖς λόγοις … συλλογίζεσθαι … τὰ ἐναντία … ὁ δὲ φιλοσοφῶν … αὐτὸς μὲν ἔνδον ἐστὶν ὁ δὲ νοῦς αὐτοῦ συλλογίζεται τὰ ἔξω τι καὶ μετεωρίζεται. … ὅτι ὁ Εὐριπίδης ἐνταῦθα ποιεῖται τὸ μὲν αὐτός. ἐπύλλια δὲ …

… ἄλλως. Ὅμηρος … ψυχὰς … Πολλὰς δ' ἰφθίμους ψυχὰς Ἄϊδι προΐαψεν Ἡρώων, αὐτοὺς δὲ ἑλώρια τεῦχε κύνεσσιν. Οὕτω καὶ ὁ Ἀριστοφάνης … ὁ νοῦς μὲν ἔξω, αὐτὸς δὲ ἔνδον. τὸ δὲ ἀναβάδην, ἐπὶ ὑψηλοῦ τόπου καθήμενος. … τραγῳδίαν … διὰ … Ὦ τρισμακάρι'.] θαυμάζων τὴν … ὁ Δικαιόπολις … καὶ Ὅμηρος. Τρισμάκαρες Δαναοί. Ὅθ' ὁ δοῦλος οὑτωσί.] διὰ τοῦ δούλου … ἐπαίνου διαβάλλει τὸν Εὐριπίδην, ὅτι … τοὺς δούλους ἐν τῇ τραγῳδίᾳ. Εὐριπίδιον.] … μιμεῖται φωνάς. οἱ γὰρ ἐρῶντες εἰώθασι τοὺς ἐρωμένους … Χολλίδης ἐγώ.] δῆμος ὁ … φυλῆς. … συνάγειν.

ΔΡΑΜΑΤΟΣ ΤΟΥ ΔΕΥΤΕΡΟΥ

Σκηνὴ τετάρτη.

ΕΥΡΙΠΙΔΗΣ, ΔΙΚΑΙΟΠΟΛΙΣ, ΚΗΦΙΣΟΦΩΝ.

Τρίμετροι ἰαμβικοί.

Εὐ. Ἀλλ' οὐ σχολή. Δι. Ἀλλ' ἐκκυκλήθητ'. Εὐρ. ἀλλ' ἀδύνατον. Δι. ἀλλ' ὅμως.
Εὐ. Ἀλλ' ἐκκυκλήσομαι, καταβαίνειν δ' οὐ σχολή.
Δι. Εὐριπίδη. Εὐ. τί λέλακας; Δι. ἀναβάδην ποιεῖς
Ἐξὸν καταβάδην, οὐκ ἐτὸς χωλοὺς ποιεῖς.
Ἀτὰρ τί τὰ ῥάκι' ἐκ τραγῳδίας ἔχεις;
Ἐσθῆτ' ἐλεεινὴν, οὐκ ἐτὸς χωλοὺς ποιεῖς;
Ἀλλ' ἀντιβολῶ πρὸς τῶν γονάτων σ' Εὐριπίδη,

ACTVS II. SCENA IV.

EVRIPIDES, DICÆOPOLIS, CEPHISOPHO.

Senarij Iambici.

EV. *Non ocium est.*
DI. *At hoc euoluitor.* EV. *at fieri haud potest.* DI. *potest.*
EV. *Age euoluar: sed descendere non ocium est.*
DI. *Euripides.* EV. *quid latras?* DI. *vtrum ne pedibus*
Sursum porrectis, cōminiscere fabulam?
At tibi deorsum demissis idem licet.
Non temere est, quod clandos fingis homines.
Sed quorsum hæc trita vestimenta habes, sua ex
Tragœdia: amictum sane lamentabilem?
Non temere est, quod clandos fingis homines.
Verum oro te, per genua tua, mi Euripides,

Σχόλια. Οὐ σχολή.] ἐν ἐκθέσει μονόμετρον ἰαμβικὸν, μεθ' ὃ ἐκθέσεις εἰς στίχους ἰαμβικοὺς ἀκαταλήκτους τετραμέτρους. Ἀλλ' ἐκκυκλήθητι.] εἰ μὴ σχολὴν ἔχεις καταβῆναι, ἀλλ' ἐκκυκλήθητι. τουτέστι συστράφητι. ἐκκύκλημα δὲ λέγεται μηχάνημα ξύλινον τροχοὺς ἔχον ὅπερ περιστρεφόμενον, τὰ δοκοῦντα ἔνδον, ὡς ἐν οἰκίᾳ, διαπραττόμενα, καὶ τοῖς ἔξω ἐδείκνυε. λέγω δὴ τοῖς θεαταῖς. φύλαξ δὲ αὐτοῦ, ἵνα πᾶσι φανερὸς γένηται. διὸ ἐπιλέγει. ἀλλ' ἐκκυκλήσομαι. καταβαίνειν δ' οὐ σχολή. Τί λέλακας.] ἀντὶ τοῦ κέκραγας. λακεῖν γάρ ἐστι τὸ φωνεῖν. καὶ ὁ ποιητὴς λακεῖν δ' ἀμφὶς ὑπ' αὐτῆς. λακεῖν δ' ἐστίν. καὶ δ' αὐτὸν λελακυῖα. τραγικὴ δ' ἡ λέξις. Ἀναβάδην ποιεῖς.] φαίνεται γὰρ ἐπὶ τῆς σκηνῆς μετέωρος. τὸ δὲ ἀναβάδην ἀντὶ τοῦ ἄνω τοὺς πόδας ἔχων. Τὰ ῥάκια.] οὕτως αὐτὸν ἐσκευοποίησεν ἐν ῥακίοις καθεζόμενον καὶ ποιοῦντα τὰς τραγῳδίας. κωμῳδεῖ δὲ αὐτὸν ὡς πτωχοὺς καὶ ταπεινοὺς εἰσάγοντα τοὺς ἥρωας.

Δός μοι ῥάκιόν τι τοῦ παλαιοῦ δράματος,
Δεῖ γάρ με λέξαι τῷ χορῷ ῥῆσιν μακράν,
Αὕτη δὲ θάνατον ἢν κακῶς λέξω φέρει.
Εὐριπ. Τὰ ποῖα τρύχη, μῶν ἐν οἷς Οἰνεὺς ὁδὶ,
Ὁ δύσποτμος γεραιὸς ἠγωνίζετο;
Δι. Οὐκ Οἰνέως ἦν, ἀλλ' ἔτ' ἀθλιωτέρου.
Εὐριπ. Τὰ τοῦ τυφλοῦ Φοίνικος; Δι. οὐ Φοίνικος οὔ.
Ἀλλ' ἕτερος ἦν Φοίνικος ἀθλιώτερος.
Εὐριπ. Ποίας ποτ' ἀνὴρ λακίδας αἰτεῖται πέπλων.
Ἀλλ' ἢ Φιλοκτήτου τὰ τοῦ πτωχοῦ λέγεις;
Δικαιοπ. Οὔκ. ἀλλὰ τούτου πολὺ πολὺ πτωχιστέρου.
Εὐριπ. Ἀλλ' ἢ τὰ δυσπινῆ θέλεις πεπλώματα,
Ἃ Βελλεροφόντης εἶχ' ὁ χωλὸς οὑτοσί;
Δικαιοπ. Οὐ Βελλεροφόντης, ἀλλὰ κἀκεῖνος μὲν ἦν
Χωλὸς, προσαιτῶν, στωμύλος, δεινὸς λέγειν.
Εὐριπ. Οἶδ' ἄνδρα Μυσὸν Τήλεφον. Δικαι. ναὶ Τήλεφον.
Τούτου δὸς ἀντιβολῶ σέ μοι τὰ σπάργανα.
Εὐριπ. Ὦ παῖ, δὸς αὐτῷ Τηλέφου ῥακώματα.
Κεῖται δ' ἄνωθεν τῶν Θυεστείων ῥακῶν,
Μεταξὺ τῶν Ἰνοῦς. Κη. ἰδοὺ ταυτὶ λαβέ.
Δικαιοπ. Ὦ Ζεῦ διόπτα καὶ κατόπτα πανταχῆ.
Ἐνσκευάσασθαί μ' οἷον ἀθλιώτατον.
Εὐριπίδη ἐπειδήπερ ἐχαρίσω μοι ταδὶ,
Κἀκεῖνά μοι δὸς τἀκόλουθα τῶν ῥακῶν.

B *Da mihi pannosam vestem ex veteri fabula.*
Nam longam orationem recitare huic gregi
Me oportet: quam si male dixero, mortem afferet.
Ev. Quales vestes pannosas? utrum has, in quibus
Senex aerumnosus certauit Oenëus?
Di. Non Oenei erant: sed miserioris cuiuspiam.
C *Ev. Caecine Phoenicis? Di. Phoenicis non erant.*
Sed alius erat Phoenice illo aerumnosior.
Ev. Quae tandem hic expetis fragmenta vestium?
Vtrum Philoctetae mendici intelligis?
Di. Non, sed longe mendicioris hominis.
Ev. Fortasse sordida vis velamina,
D *Quae claudus hic Bellerophontes gestauerat?*
Di. Non Bellerophontis: sed & hic, cuius fragmina
Peto, claudus erat mendicus, garrulus, dicax.
Ev. Noui hominem, Mysum Telephum. Di. sic Telephum.
Huius da, quaeso mihi pannosa lintea.
E *Ev. Puer cedo huic laceratas vestes Telephi:*
Iacent hae supra Thyestae pannos reiiculos,
Media inter Inûs fragmenta. CE. Eccas has tibi.
Di. O Iuppiter, qui peruides & despicis omnia:
Sine me amiciri in modum hominis egestissimi.
Euripides, quia tu mihi gratificatus es
In hac re, etiam illa des, quae hunc comitantur
F *habitum,*

Σχόλια. Παλαιοῦ δράματος.] Τηλέφου. ἀμφίβολον δὲ εἰ τὸ παλαιὸν πῶς εἶπε. δηλοῖ γὰρ καὶ τὸ πρὸ πολλοῦ χρόνου, παρ' Ὁμήρῳ. ἢ ῥά νύ μοι ξεῖνος πατρώϊος ἐσσὶ παλαιός. δηλοῖ δὲ καὶ τὸ διερρυηκὸς ὡς τὸ πολλαὶ ἐν ἀμφιάλῳ Ἰθάκῃ νέοι ἠδὲ παλαιοί. Ῥῆσιν μακράν.] τὸ μακρὸν ἐκ ἀργῶς αὐτῷ λέλεκται. ἀλλ' ἐπειδὴ καὶ τοὺς ἀγγέλους καὶ τοὺς προλόγους μακρολογοῦντας εἰσάγει Εὐριπίδης, πρὸς αὐτὸν ὁ λόγος ἀποτείνεται. Τὰ ποῖα τρύχη.] γέγραπται τῷ Εὐριπίδῃ δρᾶμα Οἰνεύς. μετὰ δὲ τὸν θάνατον Τυδέως, καὶ ἐπὶ στράτευσιν Διομήδους κατὰ Θηβαίων, ἀφῃρέθη τὴν βασιλείαν Οἰνεὺς ὑπὸ τῶν Ἀγρίου παίδων. καὶ διέμεινε ταπεινὸς, ἄχρις οὗ ἐπανελθὼν Διομήδης, Ἄγριον μὲν ἀνεῖλε, τὴν βασιλείαν δὲ Οἰνεῖ παρέδωκε. τρύχη δὲ, τὰ ῥάκη τραγικῶς. Τὰ τοῦ τυφλοῦ Φοίνικος.] Φοίνικα λέγει τὸν Ἀμύντορος. Λακίδας δὲ, τὰ διερρωγότα ἱμάτια. Φιλοκτήτου.] εἰσήγαγε γὰρ τὸν Φιλοκτήτην ἐν τῇ Λήμνῳ πτωχεύοντα. Πτωχιστέρου.] συνήθως αὐτὸ παρεσχημάτισεν. ὡς γὰρ λαλίστερον, καὶ ψευδίστερον οὕτω καὶ πτωχίστερον. Τὰ δυσπινῆ.] τὰ ἐρρυπωμένα. τὰ ῥυπαρά. πῖνος γὰρ ὁ ῥύπος. εἰσήγαγε γὰρ καὶ τοῦτον καταβληθέντα ἐκ Πηγάσου, καὶ ἐρρυπωμένα ἱμάτια ἔχοντα. οὗτος δ' ἐστὶν, ἵκετο γὰρ πλησίον καὶ τοῦ Βελλεροφόντου. ἐπίτηδες δὲ ταῦτα ἐποίησεν ἵνα δείξῃ πάντας ὅσους ἐποίησε πτωχοὺς ῥάκια ἐνδεδυμένους. Προσαιτῶν.] ἐκ οἴκου αἰτῶν. ἀλλὰ προσαιτῶν. οὕτω γὰρ λέγεται. Τῶν Θυεστείων ῥακῶν.] ὅτι τὰ τῶν Κρησσῶν. ὅ ἐστι τοῦ Θυέστου. Ὦ Ζεῦ διόπτα.] ταῦτά φησιν ἐπεὶ πολύτρητα ἦν τὰ ῥάκια δι' ὧν ἦν πάντα ἐπισκοπεῖν. Ἐνσκευάσασθαί με.] λείπει τὸ πεῖσον. διαφορεῖ δὲ ὅτι ἐκ ἴσχυεν ταῦτα ἐπὶ σκηνῆς λέγειν.

Τὸ πιλί-

Τὸ πιλίδιον περὶ τὴν κεφαλὴν τὸ Μύσιον,
Δεῖ γάρ με δόξαι πτωχὸν εἶναι τήμερον,
Εἶναι μὲν ὅσπερ εἰμὶ, φαίνεσθαι δὲ μή.
Τοὺς μὲν θεατὰς εἰδέναι μ᾽ ὅς εἰμ᾽ ἐγώ·
Τοὺς δ᾽ αὖ χορευτὰς, ἠλιθίους παρεστάναι.
Ὅπως ἂν αὐτοὺς ῥηματίοις σκιμαλίσω.
Εὐριπ. Δώσω, πυκνῇ γὰρ λεπτὰ μηχανᾷ φρενί.
Δικαιοπ. Εὐδαιμονοίης, Τηλέφῳ δ᾽ ἁγὼ φρονῶ.
Εὖγ᾽ οἷον ἤδη ῥηματίων ἐμπίπλαμαι,
Ἀτὰρ δέομαί γε καὶ πτωχικοῦ βακτηρίου.
Εὐ. Τουτὶ λαβὼν ἄπελθε λαΐνων σταθμῶν.
Δικαιοπ. Ὦ θύμ᾽ ὁρᾷς γὰρ ὡς ἀπωθοῦμαι δόμων,
Πολλῶν δεόμενος σκευαρίων. νῦν δὴ γενοῦ,
Γλίσχρος, προσαιτῶν, λιπαρῶν τ᾽ Εὐριπίδην,
Δός μοι σπυρίδιον, διακεκαυμένον λύχνῳ.
Εὐριπιδ. Τί δ᾽ ὦ τάλας σε τοῦδ᾽ ἔχει πλέκους χρέος;
Δικαιοπ. Χρέος μὲν οὐδὲν, βούλομαι δ᾽ ὅμως λαβεῖν.
Εὐριπιδ. Λυπηρὸς ἴσθ᾽ ὢν, κἀποχώρησον δόμων.
Δικαιοπ. Φεῦ.
Εὐδαιμονοίης ὥσπερ ἡ μήτηρ ποτέ.
Εὐριπ. Ἄπελθέ νύν μοι. Δι. μή. ἀλλά μοι δὸς ἓν μόνον
Κυλίσκιον τὸ χεῖλος ἀποκεκρουσμένον.
Εὐριπ. Φθείρου λαβὼν τοῦτ᾽, ἴσθ᾽ ὀχληρὸς ὢν δόμοις.
Δικαιοπ. Οὔπω μὰ Δί᾽ οἶσθ᾽ οἷ᾽ αὐτὸς ἐργάζει κακά.
Ἀλλ᾽ ὦ γλυκύτατ᾽ Εὐριπίδη, τουτὶ μόνον
Δός μοι χυτρίδιον, σφογγίῳ βεβυσμένον.
Εὐριπιδ. Ἄνθρωπ᾽ ἀφαιρήσει με τὴν τραγῳδίαν.
Ἄπελθε ταυτηνὶ λαβών. Δι. ἀπέρχομαι.
Καίτοι τί δράσω; δεῖ γὰρ ἑνὸς, οὗ μὴ τυχὼν,
Ἀπόλωλ᾽. ἄκουσον ὦ γλυκύτατ᾽ Εὐριπίδη·
Τουτὶ λαβὼν ἄπειμι, κοὐ πρόσειμ᾽ ἔτι,

A *Pileolum nempe Mysium, circa caput.*
Nam oportet me videri hodie, quasi vir sim
Mendicus, esse autem, qui sum: verumtamen
Non apparere: tum spectatores item
Me nosse, qui sim: sed Acharnenses in choro
Stolidos adstare, vt iis oratiuncula
Mea medium intendam digitum. EV. *sane dabo.*
Nam tu prudenti animo subtilia cogitas.
B DIC. *Di te ament: nam eadem sapio cum Telepho.*
Euge, quibus ego redundo voculis bonis.
Sed opus est mihi etiam mendicantis pedo.
EVRIP. *Cape hoc: recede nunc à stabulis lapideis.*
DIC. *O anime mi, viden' vt reyciar hac domo?*
C *Multa supellectili egens: age fias mihi*
Humilis, mendicans, supplicans Euripidi.
Da sportulam mihi, perustam ellychnio.
EVR. *Quis sportulæ huius erit vsus tibi, homo miser?*
DIC. *Vsus quidem nullus: volo accipere tamen.*
EVRIP. *Scito te miserum esse: atque abscede ab hac domo.*
D DIC. *Di te perinde, vt matrem tuam felicitent.*
EVR. *Abscede iam mihi.* DIC. *non, sed vnicum mihi*
Da saltem pocillum, cui fractum sit labrum.
EV. *Cape hoc, & te scias molestum esse adibus.*
DIC. *Nondum scis, per Iouem, quid tu ipse agas mali.*
E *Sed ô suauissime mi Euripides, cedò*
Vnam offertam spongiolam mellis ollulam.
EVR. *Tu homo integram mihi auferes Tragœdiam.*
Cape hanc & abi. DI. *abeo. quanquam, quid agam? vno adhuc*
Opus est mihi: quod ni consequar, perij, occidi.
Audi ô Euripides suauissime: si vnicum
F *Hoc impetrem, abiero: non rediero amplius:*

Σχόλια. Τὸ πιλίδιον.] πρὸς τοὺς νῦν ὑποκριτὰς, ὅτι χωλεύοντα εἰσάγουσι τὸν Τήλεφον. τὸ δὲ τοῦ Τηλέφου πιλίδιον, τὸ νῦν καμηλαύκιον καλούμενον. Δεῖ γάρ με δόξαι.] οἱ δύο στίχοι οὗτοι, ἐκ Τηλέφου Εὐριπίδου. Φαίνεσθαι δὲ μή.] τουτέστι μὴ ἀλλάξαι τὴν φύσιν, ἀλλὰ τὴν μορφήν. Τοὺς μὲν θεατάς.] ἵν᾽ εἴπῃ, τῶν μὲν θεατῶν τὸ εὐπαίδευτον. τῶν δὲ χορευτῶν τὴν ἀμουσίαν. Τοὺς δ᾽ αὖ χορευτάς.] καὶ διὰ τούτων τὸν Εὐριπίδην διασύρει. οὗτος γὰρ εἰσάγει τοὺς χορούς, οὐ τὰ ἀκόλουθα φθεγγομένους τῇ ὑποθέσει, ἀλλ᾽ ἱστορίας τινὰς ἀπαγγέλλοντας, ὡς ἐν ταῖς φοινίσσαις. ὥστε ἠλιθίους ἀντιλαμβανομένους τῶν ἀδικουμένων, ἀλλὰ μεταξὺ ἀντιπίπτοντας. Σκιμαλίσω.] ἐξουθενίσω. ἢ χλευάσω. τῷ μικρῷ δακτυλίῳ ὡς τῶν γυναικείων σφυγμῶν ἅψομαι. εἴρηται δὲ ἡ λέξις καὶ ἐν Εἰρήνῃ. ἐλέγετο δὲ σκιμαλίζειν, τὸ τῷ μικρῷ δακτύλῳ τῶν ὀρνίθων ἀποπειρᾶσθαι εἰ ᾠοτοκοῦσιν. Εὐδαιμονοίης.] καὶ ταῦτα ἐκ Τηλέφου Εὐριπίδου. καλῶς ἔχοιμι. Τηλέφῳ δ᾽ ἁγὼ φρονῶ.

BISETVS. Λαΐνων σταθμῶν] τῶν παραστάδων τῆς θύρας· εἰσὶ γὰρ σταθμοὶ, ὥς φησι Πολυδεύκης ἐν τῷ α. τὰ ἑκατέρωθεν ξύλα κατὰ πλευρὰν τῶν θυρῶν, ἃ καὶ παραστάδας φασί. νῦν δὲ οὐ ξυλίνους, ἀλλὰ λαΐνους σταθμοὺς Ἀριστοφάνης λέγει.

G Σχόλια. Γλίσχρος] ἀντὶ τοῦ ταπεινὸς κόλαξ. προσαιτῶν δὲ ἀντὶ τοῦ πολλὰ αἰτῶν. τὸ δὲ λιπαρεῖν τὸ ἐκτείνεσθαι. ἔστι γὰρ τὸ λίαν παρεῖναί τισι. Διακεκαυμένον λύχνῳ] ὅτι οἱ πρεσβῦται διὰ τὸ μόλις βαδίζειν, ἐν σπυρίδι κρύπτουσι τὸν λύχνον ὥστε σώζειν τὸ πῦρ. Πλέκους χρέος.] τοῦ σπυριδίου πλέγματος. καὶ τοῦτο δὲ παρῴδηται ἐκ Τηλέφου Εὐριπίδου. τί δ᾽ ὦ τάλας σὺ τῷδε πρὸς θεοὺς μέλλεις. Βούλομαι δ᾽ ὅμως λαβεῖν.] μιμεῖται τὸν Εὐριπίδου χαρακτῆρα.

ρα τῷ λόγῳ. Εὐδαιμονοίης.] σκώπτει αὐτὸν ὡς λαχανόπωλιν ἔχοντα μητέρα τὴν Κλειτώ. κυλίσκιον δὲ ποτήριον. χάριται δὲ κυλίκειον. ἀποκεχρυσωμένον δὲ ἀποκεκλασμένον. Οὔπω μὰ Δί'.] ὅτι οὐκ οἶδα ὅπως βαρὺς εἶ ἐν τοῖς δράμασι καὶ ἀποκναίεις τοὺς θεατάς. Οὐ αὐτὸς ἐργάζει κακά.] ἐργάσῃ κακῶς αὐτὸς σεαυτόν, χαριζόμενός μοι ταῦτα δι' ὧν σε κακῶς λέγω. ἢ λύπῃ τὸ μὴ δούς. Δός μοι χυτρίδιον.] ἢ ὅτι χύτραν φέρουσιν ἐν ᾗ σπόγγος πεπληρωμένος μέλιτος. καὶ τιθέασιν ἐν τῷ στόματι τῶν παιδίων, ὅπως σιωπήσωσι ζητοῦντες τροφήν. ἢ ὅτι οἱ πάντες τὰ τρήματα τῆς χύτρας ἐφίμωσαν τοῖς σπόγγοις. ἢ τετρημένον πανταχοῦ ὥσπερ οἱ σπόγγοι. καὶ τοῦτο δὲ ὑπερβολὴ πενίας, τὸ κεχρῆσθαι τοῖς τετρημένοις. μεμίμηται δὲ Τήλεφον. βεβυσμένον δέ, κεκλεισμένον.

A

Bisetus. Καὶ ἐν Θεσμοφοριαζούσαις,

Τὸ δ' εἰσέφρει γραῦς ἐν χύτρᾳ τὸ παιδίον,

Ἵνα μὴ βοῴη κηρίῳ βεβυσμένον.

Σχόλια. Τὴν τραγῳδίαν.] ὅτι τὰ σκεύη τῆς τραγῳδίας. ταυτηνὶ δὲ ἤγουν τὴν χύτραν.

B

Ες τὸ σπυρίδιον, ἰσχνά μοι φυλλεῖα δός.

Εὐριπ. Απολεῖς μ'· ἰδού σοι φροῦδά μοι τὰ δράματα.

Δικαιόπ. Αλλ' οὐκέτ', ἀλλ' ἄπειμι, καὶ γάρ εἰμ' ἄγαν

Οχληρὸς οὐ δοκῶν με κοιράνους στυγεῖν.

Οἴμοι κακοδαίμων ὡς ἀπόλωλ'. Εὐ. ἐπελαθόμην

Εν ᾧπέρ ἐστι πάντα μοι τὰ πράγματα.

Εὐριπίδιον γλυκύτατον, ὦ φίλτατον,

Κάκιστ' ἀπολοίμην, εἴ τι σ' αἰτήσαιμ' ἔτι,

Πλὴν ἓν μόνον, τουτὶ μόνον, τουτὶ μόνον,

Σκάνδικά μοι δός, μητρόθεν δεδεγμένος.

Εὐριπ. Ανὴρ ὑβρίζει, κλεῖε πηκτὰ δωμάτων.

Δικαιόπ. Ω θύμ' ἄνευ σκάνδικος ἐμπορευτέα;

Αρ' οἶσθ' ὅσον τὸν ἀγῶν' ἀγωνιεῖ τάχα,

Μέλλων ὑπὲρ Λακεδαιμονίων ἀνδρῶν λέγειν;

Πρόβαινε νῦν ὦ θυμέ. γραμμὴ δ' αὑτηί,

Εστηκας; οὐκ εἶ καταπιὼν Εὐριπίδην;

Επῄνεσ'· ἄγε νῦν ὦ τάλαινα καρδία

Απελθ' ἐκεῖσε, κᾆτα τὴν κεφαλὴν ἐκεῖ

Παράσχες, εἰποῦσ' ἅττ' ἂν αὐτῇ σοι δοκῇ,

Τόλμησον, ἴθι, χώρησον, ἄγαμαι καρδίας.

Insportulam da mihi tenera folia olerum.

Evr. Perdes me: nam ad nihilum redigis fabulas meas.

Dic. Nihil addo, sed abeo: quoniam nimius ego sum

Molestus, qui non videor extimescere

Dominos. me miserum vt interiȳ! sed propemodum

C Oblitus eram, in quo omnis cardo negocij est.

Euripides dulcissime & amicissime:

Male peream si quid petam abs te hoc amplius,

Scandicem da mihi, à matre acceptum tua.

Evr. Facit hic conuicium: claude ostium domus.

Dic. Ah anime mi, mî sine scandice eundum erit?

D Scin' tu, quam pugnam pugnaturus sis modo:

Qui pro Lacedamonijs constitutis dicere?

Progredere tu, mi anime, hac meta est, hi carceres:

Numquid perstas: haud imbibisti totum Euripidem?

Laudo te. agè nunc ærumnosum cor, illo abi.

Prabe caput illic, & dic quæ lubent tibi:

E Aude, i, contende in hostem: hunc ego miror animum.

Σχόλια. Ισχνά μοι φυλλεῖα.] τὰ ἀπολεπίσματα τῶν λαχάνων. ἰσχνὰ δὲ ὅτι εὐτελῆ καὶ μεμαρασμένα τῶν λαχάνων φύλλα. τοιαῦτα γὰρ οἱ πτωχοὶ ἐσθίουσι. καὶ ἐν Πλούτῳ. ἀντὶ δὲ μάζης, φύλλ' ἰσχνῶν ῥαφανίδων. καλεῖται δὲ φυλλεῖα, καὶ τὰ τῆς θριδακίνης φύλλα. σκώπτει δὲ αὐτόν, ὡς λαχανοπώλιδος υἱόν. Οχληρὸς οὐ δοκῶν μὲν κοιράνους.] τοῦτο πεπαρῴδηται ἀσήμως ἐξ Οἰνέως Εὐριπίδου. ὁ δὲ Σύμμαχος, καὶ ἐκ Τηλέφου φησὶν αὐτό.

Bisetus. Κοιράνους στυγεῖν] κοίρανος, βασιλεύς, ἄρχων. Σ. καὶ Εὐστάθιος, κοιρανέειν, ἀντὶ τὸ βασιλεύειν, καὶ ἐπικρατεῖν, καὶ τὸ ἀρχικῶς διατάττειν.

Σχόλια. Σκάνδικά μοι δός.] καὶ ἐν τοῖς Ἱππεῦσι δεδήλωται ὅτι ἡ μήτηρ Εὐριπίδου πωλεῖν ἐλέγετο σκάνδικας. θηλυκῶς δὲ ἡ σκάνδιξ ἐλέγετο. ἔστι δὲ λάχανον ἄγριον εὐτελές. Πηκτὰ δωμάτων.] τὰς θύρας. Ομηρος. θύρας πυκινῶς ἀραρυίας. ἄλλως. πρὸς τὰς ἔμπροσθεν τῶν θυρῶν ἱσταμένας κιγκλίδας, πηκτὰς τὰς θύρας εἶπε. διὰ τὸ δι' ὅλου ἀσφαλίζειν καὶ ἀποκλείειν τὰς ὄψεις. καὶ μὴ ὁρᾶν τινα δύνασθαι τὰ ἔνδον, ὥσπερ ἀπὸ τῶν κιγκλίδων. Γραμμὴ δ' αὑτηί.] ἀρχή. ἀφετηρία. ἡ λεγομένη βαλβίς. ἐκ μεταφορᾶς τῶν δρομέων. Εστηκας] F ἐπὶ συννοίᾳ μένεις καὶ οὐκ εἶ, ὥσπερ Εὐριπίδην ὅλον μετασχηματιζόμενος καὶ ἀναλαβὼν ἐν σεαυτῷ. ἐκεῖ δὲ εἰς τὸ ἐπίξηνον. Εἰποῦσ' ἅττ' ἂν αὐτῇ σοι.] εἴτι δοκεῖ σοι αὐτῇ ὦ καρδία εἰπέ, παρέχουσα τὴν κεφαλὴν εἰς τὸ ἐπίξηνον.

ΔΡΑΜΑΤΟΣ ΤΟΥ ΔΕΥΤΕΡΟΥ Σκηνὴ πέμπτη.

ΧΟΡΟΣ, ΗΜΙΧΟΡΟΣ, ΔΙΚΑΙΟΠΟΛΙΣ.

ACTVS II. SCENA V.

G Chorvs, Semichorvs, Dicæopolis.

Χο. Τι δράσεις; τί φήσεις; Ισθι νῦν ἀναίσχυντος.

Ch. Qvid ages? quid tu dices? Scito te esse præfractum, &

Σχόλια. Τί δρᾶσεις.] διπλῆ καὶ τριὰς μονῳδική, ἧς αἱ μὲν ἑκατέρωθεν εἰσὶ δίκωλοι διπλῶν A δοχμίων, ἡ δὲ μέση δίστιχος ἰαμβικὴ τρίμετρος ἀκατάληκτος.

Ὦ σιδηρεοῦς τἀνήρ,
Ὅστις παρασχὼν τῇ πόλει τὸν αὐχένα
Ἅπασι μέλλεις εἷς λέγειν τἀναντία.
Ημ. Ἀνὴρ οὐ τρέμει τὸ πρᾶγμα.
Εἶά νυν ἐπειδήπερ
Αὐτὸς αἱρεῖ λέγειν.

Impudentem virum:
Qui ciuitati ceruicem praebes tuam:
Vnusq́; vis contradicere nunc omnibus.
SE. Homo hic non pauet periculum:
Mitte nunc loqui, quando
Ipsemet sic cupit.

B

Σχόλιον. Σιδηρεοῦς ἀνήρ.] στερρὸς ἀνὴρ καὶ ἀτρεμής. Εἷς λέγειν τἀναντία.] λείπει τὸ ὤν. ἀντὶ τοῦ εἷς ὤν.

BISETVS. Δικαιόπολις ἐν τῆς Εὐριπίδου οἰκίας ἐπαναχωρήσας μικρά, καλῶς τε ῥήσει ὑπὲρ τῆς τῶν Λακεδαιμονίων ἀπολογίας χρῆται, καὶ τὴν καλὴν αἰτίαν τῷ Περικλέους ἤδη θανόντος αὐθαδείᾳ, καὶ φιλονεικίᾳ, καὶ τῇ τῶν Μεγαρέων δυστυχίᾳ, καὶ κακοπαθείᾳ ἀνάπτει.

Δι. Μή μοι φθονήσητ' ἄνδρες οἱ θεώμενοι,
Εἰ πτωχὸς ὢν, ἔπειτ' ἐν Ἀθηναίοις λέγειν
Μέλλω περὶ τῆς πόλεως, τρυγῳδίαν ποιῶν.
Τὸ γὰρ δίκαιον οἶδε καὶ τρυγῳδία.
Ἐγὼ δὲ λέξω δεινὰ μέν, δίκαια δέ.
Οὐ γάρ με νῦν γε διαβαλεῖ Κλέων, ὅτι
Ξένων παρόντων, τὴν πόλιν κακῶς λέγω.
Αὐτοὶ γὰρ ἐσμέν, οὑπὶ Ληναίῳ τ' ἀγών.
Κοὔπω ξένοι πάρεισιν· οὔτε γὰρ φόροι
Ἥκουσιν, οὔτ' ἐκ τῶν πόλεων οἱ ξύμμαχοι.
Ἀλλ' ἐσμὲν αὐτοὶ νῦν γε περιεπτισμένοι.
Τοὺς γὰρ μετοίκους ἄχυρα τῶν ἀστῶν λέγω.
Ἐγὼ δὲ μισῶ μὲν Λακεδαιμονίους σφόδρα.
Κἀυτοῖς ὁ Ποσειδῶν, οὑπὶ Ταινάρῳ θεός,
Σείσας, ἅπασιν ἐμβάλοι τὰς οἰκίας.
Κἀμοὶ γάρ ἐστιν ἀμπέλια κεκομμένα.
Ἀτὰρ φίλοι γὰρ οἱ παρόντες ἐν λόγῳ,
Τί ταῦτα τοὺς Λάκωνας αἰτιώμεθα.
Ἡμῶν γὰρ ἄνδρες, οὐχὶ τὴν πόλιν λέγω,
Μέμνησθε τοῦθ' ὅτι οὐχὶ τὴν πόλιν λέγω,
Ἀλλ' ἀνδράρια μοχθηρὰ παρακεκομμένα,
Ἄτιμα, καὶ παράσημα, καὶ παράξενα,
Ἐσυκοφάντει Μεγαρέων τὰ χλανίσκια.
Κεἴπου σίκυον εἶδεν, ἢ λαγῴδιον,

DI. NE inuideatis mihi spectatores optimi,
Quòd mendicus cùm sim, apud Athenienses
C
Populum dicturus, de statu Reipublicae
Trygaediam facio. Nam iustum quid siet
Et fas homini nouit etiam Trygaedia,
Ego quidem grauia dicam, sed iusta hic tamen:
Neque enim Cleo me iam calumniabitur:
Quod peregrinis praesentibus malè ego loquar
D *De ciuitate, nam nos sumus: & Libero*
Ludus agitur: nulli adsunt peregrini: neque
Tributa veniunt, neque socij huc ex vrbibus.
Sed nos sumus, & quidem purgati ab exteris.
Quoniam incolas palearum similes iudico.
Igitur ego Lacedamonios odi admodum:
Atque vtinam Neptunus, qui in Taenaro Deus
Terram quatit, domos subuertat omnium,
E *Nam dudum etiam mihi excisae sunt vineae:*
Sed (quoniam amici estis, qui hic estis, & boni)
Cur quaeso de his accusamus Lacedamonas:
De nostra ciuitate non loquor viri.
Mementote hoc, quòd de ciuitate non loquar.
Sed homunciones pessimi, nota improba,
Inglorij, malè signati atque ignobiles,
Falsò accusauerunt penulas Megarensium:
Et sicubi videbant cucumerem, porculum,

F

Σχόλιον. Μή μοι φθονήσητ' ἄνδρες.] ἐκ Τηλέφου Εὐριπίδου. μή μοι φθονήσητ' ἄνδρες Ἑλλήνων ἄκροι, εἰ πτωχὸς ὢν τέτληκ' ἐν ἐσθλοῖσι λέγειν. Τρυγῳδίαν ποιῶν] κωμῳδίαν. ἤτοι διὰ τρύγα ἔπαθλον λαμβάνειν, τουτέστι νέον οἶνον. ἢ διὰ τὸ μὴ ὄντων προσωπείων τὴν ἀρχήν, τρυγὶ χρίεσθαι τὰς ὄψεις. Οὐ γάρ με νῦν γε] ὡς ἐκ τοῦ ποιητοῦ τοῦτο. προσείρηται δὲ τὸ περὶ τούτου. Ξένων παρόντων.] διὰ τὸ ἐν τοῖς Βαβυλωνίοις πολλῶν παρόντων ξένων, εἰρωνεῦσαι κατὰ πολλῶν τὴν Ἀριστοφάνην. διὸ καὶ μετεδιώχθη ὑπὸ τοῦ Κλέωνος. Αὐτοὶ γὰρ ἐσμέν.] οἱ μόνοι Ἀθηναῖοι, δίχα τῶν συμμάχων καὶ ξένων. χειμῶνος γὰρ λοιπὸν ὄντος, εἰς τὰ Λήναια καθῆκε τὸ δρᾶμα· εἰς δὲ τὰ Διονύσια ἐτέτακτο Ἀθήναζε κομίζειν τὰς πόλεις τοὺς φόρους, ὡς Εὔπολίς φησιν ἐν Πόλεσιν. Οὑπὶ Ληναίῳ τ' ἀγών.] ὁ τῶν Διονυσίων ἀγὼν ἐτελεῖτο δὶς τοῦ ἔτους, τὸ μὲν πρῶτον ἔαρος ἐν ἄστει, ὅτε οἱ φόροι Ἀθήναζε ἐφέροντο. τὸ δεύτερον ἐν ἀγροῖς, ὁ ἐπὶ Ληναίῳ λεγόμενος, ὅτε ξένοι οὐ παρῆσαν Ἀθήνησι. χειμὼν γὰρ λοιπὸν ἦν. Περιεπτισμένοι.] οἱ ξένων ἀπηλλαγμένοι καὶ καθαροὶ ἀστοί. κυρίως πτίσσειν ἐστὶ τὸ κριθὰς ἢ ἄλλο τι λεπίζειν καὶ καθαροποιεῖν. ἔνθεν καὶ πτισάνη. Οὑπὶ Ταινάρῳ] θεὸς ὁ αὐτὸς τῶν Λακεδαιμονίων. Ταίναρον γάρ ἐστι τῆς Λακωνικῆς ἀκρωτήριον. ἐν ᾧ στόμιον ἦν κατάγον εἰς ᾅδου. ἐνταῦθα δὲ ἦν καὶ Ποσειδῶνος ἱερὸν Ἀσφαλείου. ὁ ποιητὴς δὲ φησίν, ἐπειδὴ τοὺς Εἵλωτας ἱκέτας καθεσθέντας ἐν τῷ ἱερῷ τοῦ Ποσειδῶνος τοῦ Ταιναρίου, ὕστερον δ' εἵλοντες ἀνεῖλον Λακεδαιμόνιοι. καὶ διὰ τοῦτο σεισμὸν γενέσθαι. Παρακεκομμένα] μηδὲν ἐντελὲς ἔχοντα. ἀπὸ μεταφορᾶς τῶν ἀδοκίμων νομισμάτων. ἅπερ παράτυπα λέγεται καὶ παρακεκομμένα. καὶ νῦν δὲ εἰώθασι λέγειν παραχαράκτας τοὺς παραχαράττοντας. ὅθεν καὶ παρ' Ἀθηναίοις παράσημος ῥήτωρ. Μεγαρέων τὰ χλανίσκια.] εἴ που ἐξετίθεσαν αὐτοὺς παρ-

ραζυόμενοι. ἢ τοιοῦτό τι λέγει. ἐσυκοφάντουν οὐ μόνον Μεγαρέας ἀλλὰ καὶ τὰ χλανίσκια αὐτῶν. ἀντὶ τοῦ τὴν ὕπαρξιν αὐτῶν τὴν οὐσίαν. ἡ περίφρασις ἐκ τοὺς Μεγαρέας. Σίκυον.] ἀπὸ εὐθείας τῆς ὁ σίκυος. καὶ ἀλ-

A λαχοῦ. σικύους ἐνταῦθα ἤτοι φυομένους οὐδ' ἐπὶ κόσμον περιιόντες κατήσθιον. καὶ ἐν ἐπιγράμματι. Καὶ σίκυον χλοάοντα τὸν ἐν φύλλοις περιδοκεῖτε, τουτέστι πέπονα.

Η χοιρίδιον, ἢ σκόροδον, ἢ χόνδρους ἁλός,
Ταῦτ' ἦν Μεγαρικά. κἀπέπρατ' αὐθημερόν.
Καὶ ταῦτα μὲν δὴ, σμικρὰ κἀπιχώρια.
Πόρνην δὲ Σιμαίθαν ἰόντες Μεγαράδε
Νεανίαι κλέπτουσι μεθυσοκότταβοι.
Κᾆθ' οἱ Μεγαρῆς ὀδύναις πεφυσιγγωμένοι
Ἀντεξέκλεψαν Ἀσπασίας πόρνα δύο.
Κἀντεῦθεν ἀρχὴ τοῦ πολέμου κατερράγη
Ἕλλησι πᾶσιν ἐκ τριῶν λαικαστριῶν.
Ἐντεῦθεν ὀργῇ Περικλέης οὐλύμπιος
Ἤστραπτεν, ἐβρόντα, ξυνεκύκα τὴν Ἑλλάδα.
Ἐτίθει νόμους, ὥσπερ σκολιὰ γεγραμμένους.
Ὡς χρὴ Μεγαρέας μήτ' ἐν γῇ μήτ' ἐν ἀγορᾷ
Μήτ' ἐν θαλάττῃ, μήτ' ἐν ἠπείρῳ μένειν.
Ἐντεῦθεν οἱ Μεγαρῆς ὅτε δὴ 'πείνων βάδην
Λακεδαιμονίων ἐδέοντο, ψήφισμ' ὅπως
Μεταστραφείη τὸ διὰ τὰς λαικαστρίας.
Κοὐκ ἠθέλομεν ἡμεῖς δεομένων πολλάκις.
Κἀντεῦθεν ἤδη πάταγος ἦν τῶν ἀσπίδων.
Ἐρεῖ τις οὐ χρῆν, ἀλλὰ τί χρῆν; εἴπατε.
Φέρ' εἰ Λακεδαιμονίων τις ἐκπλεύσας σκάφει,
Ἀπέδοτο φήνας κυνίδιον Σεριφίων.
Καθῆσθ' ἂν ἐν δόμοισιν; ἢ πολλοῦ γε δεῖ.
Καὶ κάρτα μέντ' ἂν εὐθέως καθείλκετε
Τριακοσίας ναῦς. ἦν δ' ἂν ἡ πόλις πλέα
Θορύβου στρατιωτῶν. περὶ τριηράρχου βοῆς.
Μισθοῦ διδομένου. Παλλαδίων χρυσουμένων.
Στοᾶς στεναχούσης. σιτίων μετρουμένων.
Ἀσκῶν. τροπωτήρων. κάδους ὠνουμένων.
Σκορόδων. ἐλαῶν. κρομμύων ἐν δικτύοις.

Lepusculum, allium, aut etiam micam salis:
Omnia erant Megarica, & eodem statim die
Vendebantur, & hæc parua quidem & vulgaria.
B *Iuuenes profecti Megaram, cottabis adhuc*
Madidi, Simætham meretricem furtim auferunt:
Pòst Megarenses iusto dolore perciti
Vicissim Aspasiæ scorta eripuerunt duo.
Hinc belli initium erupit Græcis omnibus,
Trium causa meretricum: hinc ira Olympius
Pericles tonabat, fulgurabat, Græciam
C *Omnem miscebat: leges insuper dabat:*
Scriptas perinde, vt carmina conuiualia:
Quòd Megarenses, neque in terra, neque in foro,
Neque in mari, neque continente oporteat
Manere. Hinc Megarenses paulatim acti fame,
Lacedæmonios rogauerunt, decretum vt hoc
Subuerteretur, quod propter meretriculas
D *Latum fuerat: at nos nolebamus, diu*
Multúmque orantes, audire. Hinc belli furor,
Hinc armorum strepitus. Nunc dicat quispiam,
Non sic oportebat, quid oportebat? dicite.
Agè, si Lacedæmonius quis, aufugiens scapha,
Seriphiis catellam occisam redderet:
Vtrum sederetis domi, an verò secus?
Equidem triginta naues valdè celeriter
E *Produceretis: plenáque esset ciuitas*
Tumultu militum, ac magnis clamoribus
De præfecto triremium: plena vrbs dantibus
Stipendia, Palladiisque auratis: plena item
Gemente porticu, re frumentaria:
Plena scalmis, loris, ementibus cados:
Plena oleis, cepis, alliis intra retia,

Σχόλια. Η χόνδρους ἁλός.] οὕτως οἱ Ἀττικοί. πολλοὶ δὲ ἦσαν παρὰ Μεγαρεῦσιν ἅλες. Ταῦτ' ἦν Μεγαρικά.] ταῦτα λέγοντες ἦσαν Μεγαρικὰ πάντα διήρπαζον ὑπὸ τῶν συκοφαντούντων καὶ τῆς σμικρολογίας. Πόρνην δὲ Σιμαίθαν.] οἱ ἀπὸ τῶν Ἀθηναίων Μεγαρικὴν γυναῖκα ἥρπασαν Σιμαίθαν· δωρικώτερον δὲ εἶπε Σιμαίθαν. ταύτης δὲ καὶ Ἀλκιβιάδης ἠράσθη. ὃς καὶ δοκεῖ ἀναπεπεικέναι τινὰς, ἡρπακέναι τὴν πόρνην. Μεθυσοκότταβοι] λάταξ χαλκῆ φιάλη, ἣν μεταξὺ τοῦ δείπνου ἐτίθεσαν οἴνου πεπληρωμένην. εἶτα εἰς σμικρὰ ποτήρια ἐμβαλόντες ταύτην ἔρριπτον εἰς τὸ ψόφον ἐκτελέσαι, ὃς ἐκαλεῖτο κότταβος. ἐφιέντο δὲ ὡς μείζονα ψόφον ποιεῖν. Πεφυσιγγωμένοι.] φύσιγξ λέγεται τὸ ἐκτὸς λέπισμα τῶν σκορόδων ἢ φυσίττω. ἔπαιξεν οὖν τοῦτο εἰς Μεγαρέας ὅτι πολλὰ σκόροδα ἔχουσιν. ἢ πεφλεγμένοι. ἀπὸ μεταφορᾶς τῶν τὸν ἄνεμον δεχομένων ἀσκῶν ἢ φυσητῶν. ἢ ἐκκεκαυμένοι, οἰδοῦντες. Ἀσπασίας πόρνα δύο.] τῇ μιᾷ τούτων ἐχρήσατο ὁ Περικλῆς, δι' ἣν ὀργισθεὶς ἔγραψε τὸ κατὰ Μεγαρέων ψήφισμα

F ἀπαγορεῦον δέχεσθαι αὐτοὺς εἰς τὰς Ἀθήνας. ὅθεν ἐκεῖνοι εἰργόμενοι τῶν Ἀθηνῶν προσέφυγον τοῖς Λακεδαιμονίοις. ἡ δὲ Ἀσπασία, Περικλέους ἦν ἑταίρα, καὶ διδάσκαλος λόγων ῥητορικῶν. ὕστερον δὲ καὶ γαμετὴ γέγονε. Κἀντεῦθεν ἀρχὴ τοῦ πολέμου.] ἐνταῦθα εἰς τὸν Περικλέα βούλεται ἀγαγεῖν τὴν αἰτίαν τοῦ πολέμου, ὡς ἵνα εὐπρεπῆ αὐτῷ προσάπτων πρόφασιν. Περικλέης οὐλύμπιος] παρ' ὅσον ὀλύμπιος. ὅτι ὁ Ζεὺς ὀλύμπιος καλεῖται, ὑπάγει τὸ ἤστραπτεν, ἐβρόντα. Εὔπολις Δήμοις. κράτιστος οὗτος ἐγένετ' ἀνθρώπων λέγειν. ὁπότε παρέλθοι ὥσπερ οἱ ἀγαθοὶ δρομεῖς, ἐκ δέκα ποδῶν ᾕρει λέγων τοὺς ῥήτορας. ταχὺς λέγειν μὲν
G πρὸς δέ γ' αὐτοῦ τῷ τάχει Πειθώ τις ἐπεκάθιζεν ἐπὶ τοῖς χείλεσιν. οὕτως ἐκήλει, καὶ μόνος τῶν ῥητόρων τὸ κέντρον ἐγκατέλειπε τοῖς ἀκροωμένοις. Ἐτίθει νόμους.] μιμούμενος τὴν τῶν σκολιῶν ποίησιν. Τιμοκρέων δὲ ὁ Ῥόδιος μελοποιὸς, τοιοῦτον ἔγραψε σκολιὸν κατὰ τοῦ πλούτου. οὗ ἡ ἀρχή, Ὤφελες ὦ τυφλὲ Πλοῦτε, μήτ' ἐν γῇ μήτ' ἐν θαλάττῃ, μήτ' ἐν ἠπείρῳ φανήμεναι. ἀλλὰ Τάρταρόν τε ναίειν κ' Ἀχέροντα.

χίφισμα. διὰ σὲ γὰρ πάντ' ἐν ἀνθρώποις κακά. τούτοις ἔοικε καὶ τὸ ὑπὸ Περικλέους συντεθὲν ψήφισμα. ἐπεὶ ὁ Περικλῆς γράφων τὸ ψήφισμα οὕτω. Μεγαρέας μήτε ἀγορᾶς μήτε θαλάττης, μήτ' Ηπείρου μετέχειν. ἐπεὶ οὖν ὅμοια τοῖς Τιμοκρέοντος ἔγραψε, διὰ τοῦτο εἶπεν ἐτίθει νόμους ὡς σκολιὰ γεγραμμένους. ἐνεκάλεσε δὲ ὁ Περικλῆς τοῖς Μεγαρεῦσιν, ὅτι τὴν ἱερὰν γῆν τὴν ὀργάδα εἰργάσαντο. Οτε δὴ 'πείνων.] ἀντὶ τοῦ ἐλίμωττον. ὑπὸ λιμοῦ διεφθείροντο. λάδην δὲ, ἀντὶ τοῦ κατὰ βραχὺ αὐξανομένου τοῦ λιμοῦ καὶ ἐπίδοσιν λαμβάνοντος. Ερεῖ τις οὐ χρῆν.] καὶ τοῦτο ἀπὸ Τηλέφου Εὐριπίδου. ἐρεῖ τις ὅτι οὐκ ἐχρῆν πόλεμον κινῆσαι τοὺς Λακεδαιμονίους. τί οὖν ἐχρῆν αὐτοὺς ποιεῖν. εἴπατε. Φέρ' εἰ καὶ Λακεδαιμονίων.] ὡς συγγυμνάζων τὸ πρᾶγμά φησιν. εἴ τις τῶν Λακεδαιμονίων πλεύσας εἰς Σέριφον, καὶ τὸ τυχὸν αὐτοὺς ἀδικήσας καὶ λαβὼν παρ' αὐτῶν τοῦτο, ἀπέδοτο. εἶτα ἐκεῖνοι κατέφυγον πρὸς ὑμᾶς δεόμενοι βοηθείας, ἤγετε ἄρα ἡσυχίαν. λέγει ὅτι οὐδαμῶς. ἀλλὰ κατὰ τάχος ἐβοηθεῖτε ἄν. τοῦτ' αὐτὸ καὶ Λακεδαιμόνιοι ἐποίησαν ἀδικουμένων ὑπὸ τῶν Μεγαρέας. πικρῶς δὲ οὐκ εἶπεν εἴ τις συκοφαντήσας ἀπέδοτο ἀπὸ τῶν Αθηναίων λαβών. τοῦτο γὰρ οὐδὲν μέγα αὐτῶν τινα καὶ εἰς τὸ ἐλάχιστον ἀδικούμενον ἀμύνασθαι. ἀλλά φησιν ὅτι τῆς Σερίφου τῆς εὐτελεστάτης νήσου τῶν Αθηναίων. καὶ οὐχὶ εἰ ἔλαβέ τι ἄξιον λόγου κτῆμα, ἀλλὰ κυνίδιον, ἐβοηθεῖτε ἄν. Φήνας.] συκοφαντήσας. ὁ δὲ Σέριφος νῆσός ἐστιν εὐτελεστάτη πρὸς τῇ Θρᾴκῃ. Η πολλοῦ γε δεῖ.] ἀντὶ τοῦ οὐδ' ὅλως. καὶ τοῦτο ἐκ Τηλέφου. Θορύβου στρατιωτῶν.] τοῦ θορύβου τῶν στρατευόντων. τῶν βοώντων περὶ τοῦ δεῖν τριηράρχους εἶναι.

Bisetus. Τριηράρχου] τριήραρχος, τριήρους ἄρχων, ἤτοι πλοίου πολεμικοῦ. Ησύχιος.

Σχόλια. Μισθοῦ διδομένου.] μισθοῦ μὲν τοῦ διδομένου τοῖς ἐμβαίνουσιν εἰς τὰς ναῦς. Παλλάδια δὲ, ἐν ταῖς πρώραις τῶν τριήρων ἦν ἀγάλματα τινα ξύλινα τῆς Αθηνᾶς καθιδρυμένα. ὧν ἐπεμελοῦντο μέλλοντες πλεῖν. Στοᾶς στεναχούσης.] τῆς λεγομένης Αλφιτοπώλιδος ἣν ᾠκοδόμησε Περικλῆς. ὅπου καὶ σῖτος ἀπέκειτο τῆς πόλεως. ἦν δὲ περὶ τὸν Πειραιᾶ. στεναχούσης δὲ, διὰ τὸ πλῆθος τῶν συναγομένων ἐπισιτισμῶν. Τροπωτήρων.] τῶν ἱμάντων τῶν συνδεόντων τὸν πάτταλον. λέγω δὲ τὸν σκαλμὸν, τῇ κώπῃ. Ομηρος, τροποῖς ἐν δερματίνοισι, τουτέστι τοῖς τροπωτῆρσιν.

Bisetus. Εὐστάθιος. τροπὸς, ὁ καὶ τροπωτὴρ, ἱμὰς, ᾧ ἡ κώπη προσδεῖται τῷ σκαλμῷ. παρὰ τὸ τρέπεσθαι, τὸ στρέφεσθαι. ἀλλαχοῦ δὲ τροποὶ, αἱ συνοχαὶ τῶν κωπῶν πρὸς τοὺς σκαλμούς. λέγεται δὲ καὶ τροπωτὴρ, καὶ τροφωτήρ.

Σχόλια. Σκορόδων ἐλαιῶν.] οἱ γὰρ ἐπὶ πόλεμον ἐξιόντες, ταῦτα ὠνοῦντο καὶ ἐν λίνοις ἔβαλλον.

Στεφάνων, τριχίδων, αὐλητρίδων, ὑπωπίων,
Τὸ νεώριον δ' αὖ κωπέων πλατουμένων,
Τύλων ψοφούντων, θαλαμίων τροπουμένων,
Αὐλῶν, κελευστῶν, νιγλάρων, συριγμάτων.
Ταῦτ' οἶδ' ὅτι ἂν ἐδρᾶτε, τὸν δὲ Τήλεφον
Οὐκ οἰόμεσθα, νοῦς ἄρ' ὑμῖν οὐκ ἔνι.

Sertis, sardis, tibicinis, vibicibus:
Nauale plenum esset remigibus, palmulas
Mouentibus: plenum clauis sonantibus,
Et versis in fugam, qui subtus remigant:
Plenum celeusmate, tibiis & nauticis
Modis, ac sibilis. Et hæc fuisse vos
Facturos certò scio: sed hunc nos Telephum
Non arbitramur: nam mens vobis non inest.

Σχόλια. Στεφάνων τριχίδων] ταῦτα μὲν πάντα ὡς εὐωχουμένων τῶν μελλόντων ἐμβαίνειν εἰς τὰς ναῦς. τριχίδες δὲ εἶδος ἰχθύων. καὶ ἴσως οὓς ἡμεῖς καλοῦμεν θρίσσας. ἐπεὶ θριξὶν ὅμοια ἔχουσιν ὀστᾶ. Υπωπίων.] τῶν τύλων τῶν γινομένων ἐν ταῖς χερσὶν ἀπὸ τῆς τοῦ σιδήρου ἐργασίας. λέγεται δὲ καὶ ὑπώπια, καὶ τὰ ἀφ' οἱασδήποτε πληγῆς τραύματα. Κωπέων πλατουμένων.] τῶν εἰς κώπην ξύλων ἐπιτηδείων, καὶ κώπας ἁρμοζόντων. ἵνα ἴδωσιν εἰ συντρέχουσι τοῖς τρήμασι. Τύλων] τῶν ξυλίνων ἥλων. ἔστι δὲ τύλος νενεκρωμένη σὰρξ, ἀποσκίρωμα τῶν γονάτων. θαλαμίων δὲ τῶν ναυτῶν.

Bis. Κελευστῶν] Σ. κελευστὴς, τριήραρχος, πρωρεὺς. καὶ ὁ μὲν τριήραρχος ἄρχει τῆς νεὼς, καὶ τοῦ πληρώματος. ἔστι δὲ κατ' ἀναλογίαν πολιτικῶν ἀνδρῶν. ἄρχει δὲ ὁ πρωρεὺς καὶ τῶν κωπηλατῶν. οἱ δὲ κελευσταὶ τούτων αὐτῶν, καὶ τῆς ἐπιβατῶν. μεγίστην δὲ παρέχονται χρείαν οἱ κελευσταί. καὶ γὰρ ἵνα τοὺς ἄρτους δεόντως πέττωσι, καὶ συντελῶσι τὸ μέτρον ἐν τῷ δειπνεῖν οἱ κωπηλάται, τούτοις δεῖν ἐπιμελές. οἴνου, κρέως, ἐλαίου, πάντων τῶν τοιούτων. ἵνα ταῦτα τηροῦντες καθ' ἡμέραν τὸ ἐπιβάλλον ἔχωσι τοῦ διδομένου πρὸς χρείαν.

Σχόλια. Νιγλάρων.] ὁ νίγλαρος κροῦμά ἐστι καὶ μέλος μουσικὸν παρακελευστικόν.

Bisetus. Σ. Νίγλαροι, τερετίσματα, καὶ ποικίλα κρούματα.

Σχόλ. Τὸν δὲ Τήλεφον] καὶ ταῦτα ἐκ Τηλέφου Εὐριπίδου.

Bisetus. Ενταῦθα Χορὸς εἰς δύο μέρη διαιρεῖται. καὶ τὸ μὲν ὀργίζεται ἐφ' οἷς ὁ Δικαιόπολις λέγει. τὸ δὲ καὶ ἀποδέχεται. ἡ δὲ εἴσθεσις αὐτοῦ ἐστιν ἐκ στίχων ἰαμβικῶν τριμέτρων ἀκαταλήκτων θ'. καὶ ἐπὶ τῷ τέλει διπλῆ ἔξω νενευκυῖα. ἐν δὲ τοῖς παλαιοῖς σχολίοις ταῦτα ἐλλείπει.

Χο. Αληθες ὦ 'πίτριπτε, καὶ μιαρώτατε,
Ταυτὶ σὺ τολμᾷς πτωχὸς ὢν, ἡμᾶς λέγειν;
Καὶ συκοφάντης εἴ τις ἦν ὠνείδισας;
Ημ. Νὴ τὸν Ποσειδῶ, καὶ λέγει γ' ἅπερ λέγει,
Δίκαια πάντα, κοὐδὲν αὐτῶν ψεύδεται.

CH. *Itáne tu peruerse & sceleste homo: hæccine*
Audes cōtra nos dicere, qui mēdicus es? (nos
Tun' criminêris me, quasi sycophanta sim? (tam,
SE. *Ita per Neptunū: & loquitur, quæcūq; loqui-*
Æqua omnia, nec mentitur quidquam. CHO.
sint licet

Σχόλ. Αληθες ὦ 'πίτριπτε] ἐνταῦθα διαιρεῖται ὁ χορὸς εἰς δύο μέρη. καὶ τὸ μὲν ὀργίζεται ἐφ' οἷς λέγει ὁ Δικαιόπολις. τὸ δὲ καὶ ἀποδέχεται. ἐν εἰσθέσει δὲ ἰαμβικῶν η', ἄληθες ὦ 'πίτριπτε. Καὶ συκοφάντας.] καὶ εἰ ἔτυχέ τις ἡμῶν συκοφάντης ὤν, τοῦτον ἐτόλμησας καὶ ἀνειπεῖν. τοῦτο δὲ μετὰ ἤθους ἐρωτήσεως. ἔστι καὶ τὸ ἀμοιβαῖον. ἐπεὶ οὐ τοιαῦτα ποιεῖν. αἰνίσσεται. ὃ γὰρ ἂν Ατρείδης ναῦν ὕστερα λαμβάνει.

BISETVS. Ὁ γολιαστὴς ἐν τούτοις ἁμαρτάνει. A ἐπὶ γὰρ Ὁμήρου παράδειγμα τὸ λεγόμενον ὑπ᾽ αὐτοῦ οὐκ ἔστιν ἐν ἐρωτήσει, ἀλλ᾽ ἁπλῶς εἴρηται. Ιλ. α. ὅτι Ἀχιλλεὺς Ἀγαμέμνονα οὕτω προσφωνεῖ.

Δημοβόρος βασιλεύς, ἐπεὶ οὐτιδανοῖσιν ἀνάσσεις.

Ἦ γὰρ ἂν Ἀτρεΐδη νῦν ὕστατα λωβήσαιο.

Ἀλλὰ καὶ τὸ περὶ τῶν ἑξῆς μέτρων λεγόμενον εἰς τὸ Ἰὼ Λάμαχε, οὐ καλῶς ἔχειν δοκεῖ. πῶς γὰρ τὴν διπλῆν τιθέντες, ποῦ τῆς εἰσθέσεως ἀρχὴν εἰς τὴν ἑξάκωλον περίοδον; ποῦ δὲ καὶ ἡ λεγομένη μέτρων ποιότης; ταῦτα τῷ ὄντι δύσγνωστα, ἴσως δὲ καὶ ἐπανορθώσεως δεόμενα.

Χο. Εἶτ᾽ εἰ δίκαια, τοῦτον εἰπεῖν αὔτ᾽ ἐχρῆν;
Αλλ᾽ οὐδὲ χαίρων ταῦτα τολμήσει λέγειν.
Ημ. Οὗτος σὺ ποῖ θεῖς, οὐ μενεῖς; ὡς εἰ θενεῖς B
Τὸν ἄνδρα τοῦτον, αὐτὸς ἀρθήσει τάχα.
Χο. Ἰὼ Λάμαχ᾽ ἰὼ βλέπων ἀστραπὰς
Βοήθησον ὦ Γοργολόφα φανείς,
Ἰὼ Λάμαχ᾽, ὦ φίλε, ὦ φυλέτα,
Εἴτ᾽ ἐστί τις ταξίαρχος ἢ στρατηγός,
Εἰ τειχομάχος ἀνὴρ βοηθησάτω
Τὶς αὐτίκα· ἐγὼ γὰρ ἔχομαι μέσος. C

Æqua hac: an hunc oportebat ea proloqui?
At faxo, ne ausit prologui cum gaudio.
SEM. Heus tu, quò abis? non resistas? Quòd si virum
Hunc occidis: peribis tuteipse illicò.
CH. Iò Lamache, iò corruscante opem
Feras ore, Gorgoneis iubis.
Iò Lamache, optime tribulium.
Seu quispiam centurio sit, siue ductor,
Seu mœnium oppugnator: opem ferat
Præpropere: nam ego medius teneor, miser.

Σχόλια. Εἶτ᾽ εἰ δίκαια.] κατ᾽ ἐρώτησιν ὁ λόγος εἰ καὶ δίκαια φησὶν, ἐχρῆν τοῦτον αὐτὰ εἰπεῖν. ἀρθήσει δὲ καταφθίσῃ. Ἰὼ Λάμαχ᾽ ἰώ.] ὑφ᾽ ὃ διπλῆ καὶ εἴσθεσις εἰς περίοδον ὀκτάκωλον, ἧς τὸ μὲν ἄλλα ἐστὶ δόχμια. ἁπλοῦν δὲ τὸ δ. διπλοῦν δὲ τὸ ε. τὸ δὲ ς. ἰαμβικὸν δίμετρον ἀκατάληκτον. Γοργολόφα δὲ, φοβερώτατε. Ἔχομαι μέσος] ἀντὶ τοῦ πιέζομαι. ἔστι μεταφορὰ τῶν ἀθλητῶν τῶν τὰ μέσα ληφθέντων καὶ μὴ ἐχόντων εὐκόλως ἐκφυγεῖν τοὺς ἀντιπαλαίοντας.

ΔΡΑΜΑΤΟΣ ΤΟΥ ΔΕΥΤΕΡΟΥ, D
Σκηνὴ ἕκτη.

ΛΑΜΑΧΟΣ, ΔΙΚΑΙΟΠΟΛΙΣ,
ΧΟΡΟΣ.

ACTVS II. SCENA VI.

LAMACHVS, DICÆOPOLIS,
CHORVS.

BISETVS. Λάμαχος ταῖς διαρρηθείσαις καὶ ταραχθείσαις Χορῷ λαμπραῖς βοαῖς κινηθεὶς οἴκοθεν ὁρμᾶται, καὶ μεγαλοπρεπῶς ὡπλισμένος προστρέχει ζητῶν ποῖ βοηθεῖν δέῃ, ἀλλὰ τοῦτον ὁ Δικαιόπολις ὡς μαλακὸν, καὶ ἄνανδρον, καὶ κίνδυνον πικρῶς σκώπτει, καὶ αὐτὸν τὸν ὁπλισμὸν, καὶ πολεμικὴν παρασκευὴν καταγελᾷ. E

Λα. ΠΟθεν βοῆς ἤκουσα πολεμιστηρίας;
Ποῖ χρὴ βοηθεῖν; ποῖ κυδοιμὸν ἐμβαλεῖν;
Τίς Γοργόν᾽ ἐξήγειρεν ἐκ τοῦ σάγματος;
Δι. Ὦ Λάμαχ᾽ ἥρως, τῶν λόφων καὶ τῶν λόχων.
Χο. Ὦ Λάμαχ᾽, οὐ γὰρ οὗτος ἅνθρωπος πάλαι,
Ἅπασαν ἡμῶν τὴν πόλιν κακορροθεῖ; F
Λαμαχ. Οὗτος σὺ τολμᾷς πτωχὸς ὢν λέγειν τάδε;
Δι. Ὦ Λάμαχ᾽ ἥρως, ἀλλὰ συγγνώμην ἔχε,
Εἰ πτωχὸς ὢν εἶπόν τι, κἀστωμυλάμην.
Λαμ. Τί δ᾽ εἶπας ἡμᾶς; οὐκ ἐρεῖς; Δικ. οὐκ οἶδά πω,
Ὑπὸ τοῦ δέους γὰρ τῶν ὅπλων, ἰλιγγιῶ. G

LA. VNde hanc audiui vocem bellicam modò?
Vbi auxilio, vbinam tumultu facto opus est?
Quis Gorgonem exciuit mihi ex hoc sagmate?
DIC. O Lamache, heros cristarum & cohortium.
CH. O Lamache, annon hic homo iamdudum malis
Nostram omnem ciuitatem insectatur modis?
LA. Eho mendice, tun' audes hæc dicere?
DI. O Lamache heros, veniam da quæso mihi,
Si fortè quid mendicus ineptè dixerim.
LA. Quid dixisti in nos: non dices? DIC. ego nescio:
Nam præ metu armorum, misera circumrotor

Σχόλια. Τίς Γοργόν᾽ ἐξήγειρεν;] ὡς τοῦ Λαμάχου ἔχοντος ἐντετυπωμένην ἐν τῇ ἀσπίδι Γοργόνα. Ἐκ τοῦ σάγματος.] ἐκ τῆς θήκης τοῦ ὅπλου ὃ καλεῖται σάγμα. σάγη γὰρ τὸ ὅπλον. καὶ πανοπλία ἡ πανοπλία. ἀντὶ οὖν τῆς ἀσπίδα, ἐν δὲ τῇ ἀσπίδι ἐτετύπωτο ἡ Γοργών. Κἀστωμυλάμην.] ἐφλυάρησα ἀπρεπές τι τοῦ δέοντος ἐλάλησα ἢ παρεσόρχως ἐφθεγξάμην. Ἰλιγγιῶ.] σκοτοδινῶ. ὑπὸ τῆς γαστρὸς συνέχομαι. τοῦτο δὲ καὶ Συρακούσιοι, εἴλεον λέγουσιν. ὅταν δὲ περὶ τὴν καρδίαν στρόφος γίνηται, ἐπακολουθεῖ σκότος, καὶ τοῦτο τὸ πάθος καλοῦσιν ἴλιγγον. φασὶ δ᾽ ὅτι τὸ μὲν ῥῆμα διφθογγογραφεῖται, τὸ δ᾽ ὄνομα διὰ τοῦ ι ψιλοῦ ἴλιγγος.

Ἀλλ᾽

Ἀλλ᾽ ἀντιβολῶ σ᾽ ἀπένεγκέ μου τὴν Μορμόνα.

Λαμ. Ἰδού. Δι. παράθες νυν ὑπτίαν αὐτὴν ἐμοί.

Λαμ. Κεῖται. Δι. φέρε νυν ἀπὸ τοῦ κράνους μοι τὸ πτερόν.

Λαμ. Τουτὶ πτίλον σοι. Δι. τῆς κεφαλῆς νυν μου λαβοῦ,

Ἵν᾽ ἐξεμέσω, βδελύττομαι γὰρ τοὺς λόφους.

Λαμ. Οὗτος τί δράσεις, τῷ πτίλῳ μέλλεις ἐμεῖν;

Δικαιοπ. Πτίλον γάρ ἐστιν εἰπέ μοι τίνος ποτέ;

Λαμαχ. Ὀρνιθός ἐστιν. Δι. ἆρα κομπολακύθου;

Λαμαχ. Οἴμ᾽ ὡς τεθνήσει. Δι. μηδαμῶς ὦ Λάμαχε,

Οὐ κατ᾽ ἰσχύν ἐστιν, εἰ δ᾽ ἰσχυρὸς εἶ.

Τί μ᾽ οὐκ ἀπεψώλησας, εὔοπλος γὰρ εἶ.

Λαμαχ. Ταυτὶ λέγεις σὺ, τὸν στρατηγὸν, πτωχὸς ὤν;

Δικαιοπ. Ἐγὼ γάρ εἰμι πτωχός; Λα. ἀλλὰ τίς γὰρ εἶ;

Δικαιοπ. Ὅστις; πολίτης χρηστὸς, οὐ σπουδαρχίδης,

Ἀλλ᾽ ἐξότιπερ ὁ πόλεμος, στρατωνίδης.

Σὺ δ᾽ ἐξότιπερ ὁ πόλεμος, μισθαρχίδης.

Λαμαχ. Ἐχειροτόνησαν γάρ με. Δικαι. κόκκυγές γε τρεῖς.

Ταῦτ᾽ οὖν ἐγὼ βδελυττόμενος, ἐσπεισάμην,

Ὁρῶν πολιοὺς μὲν ἄνδρας ἐν ταῖς τάξεσι.

Νεανίας δ᾽ οἵους σὺ, διαδεδρακότας.

Τοὺς μὲν, ἐπὶ Θρᾴκης μισθοφοροῦντας τρεῖς δραχμὰς,

Τισαμενοφαινίππους, πανουργιππαρχίδας,

Ἑτέρους δὲ παρὰ Χάρητι, τοὺς δ᾽ ἐν Χάοσι

Γερητοθεοδώρους διομειαλαζόνας.

Τοὺς δ᾽ ἐν Καμαρίνῃ, κἀν Γέλᾳ κἀν Καταγέλᾳ.

Λαμαχ. Ἐχειροτονήθησαν γάρ. Δικαιο. αἴτιον δὲ τί,

A *Vertigine: sed oro, terriculum adimas mihi.*

LA. Ecce. DIC. amoue nunc resupinam istam galeam mihi.

LA. Mota'st. DIC. nunc aufer à galea pennam mihi.

LA. Eccam tibi hanc pennam. DI. tene meum caput,

B *Vt euomam. Nam cristas has abominor.*

LA. Ehem, quid agis, vin' tu in pennam vomere, trifur?

DIC. Cedo ergò mihi, cuius penna hac olim fuit?

LAM. Auicula. DIC. num gloriosa & tumida?

LA. Peribis illico. DI. nequaquam Lamache,

C *Neque enim in potestate tua 'st: sin adeò es potens,*

Cur non fecisti verpum? quippe armatus es.

LAMAC. Haccine tu mendicus dicas mihi duci?

DI. Egóne mendicus sim? LA. quis ergo es? DI. is sum ego,

Qui sum, bonus ciuis: non cupidus dominij:

D *Sed ex quo bellum durat, Militarchides:*

Tu verò toto bello eras Nummarchides.

LA. Suo creârunt me suffragio. DI. puto,

Tres cuculi: ac propterea, hac execratus, inij

Fœdus, quòd canos in acie video viros:

Et iuuenes, qualis tu es, tergum dare hostibus:

E *Et horum quosdam in Thrace, vbi tres drachmas merent,*

Tisamenophaenippos, Dolosipparchidas.

Alios apud Charetem, alios in Chaonia,

Geretotheodoros, Diomeoferoculos:

Alios ad Camarinam & Gelam, gelidos viros.

LA. At enim creati sunt Duces. DI. quid causæ erat?

F

Σχόλια. Τὴν Μορμόνα.] ἀντὶ τοῦ τὰ φοβερά. φοβερὰ γὰρ ὑπῆρχεν ἡ Μορμώ. ἐνταῦθα δὲ Μορμόνος ὡς γοργόνος. ἀλλαχοῦ δὲ Μορμοῦς ὡς Σαπφοῦς. Τὸ πτερόν.] πτερὸν αἰτεῖ ἵνα ἐξεμέσῃ. εἰώθασι γὰρ οἱ δυσεμεῖς, πτερῷ χρῆσθαι. Βδελύττομαι] ἀλληγορικῶς ἀπὸ τῶν ἐξεμούντων διὰ τὰς χολάς. ἐπεὶ δὲ ἐπὶ τοὺς λόφους. Ἆρα κομπολακύθου.] μεγαλοκόμπου καὶ κομπώδους ἐν τῇ καυχᾶσθαι. παρέπεισε δὲ καὶ παρέπλασεν ὀνόματα ὄρνιθος διὰ τὸ κομπαστὴν εἶναι τὸν Λάμαχον. ἄλλως. ἀπὸ τοῦ λακεῖν ἐν ἀλαζονεία γέγονε τὸ ληκύθιον. ληκυθίζειν γὰρ τὸ μεῖζον βοᾶν καὶ ψοφεῖν. ἦχον γὰρ ἀποτελεῖ καὶ ἡ λήκυθος. ἐπεὶ καὶ αὕτη πεφύσηται. πᾶν γὰρ τὸ πεφυσημένον κόμπον ποιεῖ. ἀπὸ οὖν τοῦ κόμπου καὶ τῆς ληκύθου, ὄνομα συνέθηκεν. Οἴμ᾽ ὡς τεθνήσει.] τὸ τέλειον ἐστὶν οἴμοι. Ἀττικοὶ δὲ, διὰ τοῦ ε φασὶ τεθνήσει. Οὐ σπουδαρχίδης] σπουδάζων περὶ ἀρχῆς. Αἰολέων ὁ εἶδος τὸ ἐπίθετον πατρώνυμικοῦ τύπου φράζειν. Στρατωνίδης] ἀντὶ τοῦ στρατευόμενος στρατιώτης. Μισθαρχίδης] μισθὸν λαμβάνων. ἢ ὅτι τοὺς τῶν στρατιωτῶν μισθοὺς ἤσθιεν. Κόκκυγες] ἀντὶ τοῦ ἄξεστοι καὶ ἀπαίδευτοι. καὶ γὰρ ὁ κόκκυξ τὸ ζῶον ἄμουσόν τι φθέγγεται. Τισαμενοφαινίππους] ὁ Τισαμενὸς, ὡς ξένος καὶ μαστιγίας κωμῳδεῖται. ὁ δὲ Φαίνιππος ὡς ὑβριστὴς καὶ ἑταιρικός. ὁ δὲ Χάρης, ἐπὶ ἀμαθίᾳ διεβάλλετο. Πανουργιππαρχίδας] τούτους κωμῳδεῖ ὡς πανούργους, τόν τε Τισαμενὸν καὶ τὸν G Φαίνιππον καὶ Ἱππαρχίδην, καὶ Γέρητα τὸν φαλακρόν. καὶ Θεόδωρον τὸν Διομεέα τοῦ δήμου ὄντα. οἱ ὠνόμασται οὕτως ἀπό τινος Διόμου. Τοὺς δ᾽ ἐν Χάοσι.] Χάονες μὲν ἔθνος ἠπειρωτικόν. πέπαικται δὲ παρὰ τὸ ἐν Ἰωνικοῖς. ὁ γραικός ἐστιν αὐτόσχημα ἐν Χάοσιν. ἐπειδὴ καὶ εἰς μαλακίαν διεβάλλετο Γέρης καὶ Θεόδωρος. καὶ ὅτι ἐκ δούλων ἦσαν. Κἀν Γέλᾳ] Καμαρίνα καὶ Γέλα πόλεις Σικελίας. ἐποίησε δὲ τὸ Καταγέλᾳ, ἀπὸ τοῦ καταγελᾶν αὐτῶν τοὺς στρατηγούς.

Χο. Δεῦρο Μοῦσ' ἐλθὲ φλεγυρὰ πυρὸς ἔ-
χουσα μένος, ἔντονος Ἀχαρνική,
Οἷον ἐξ ἀνθράκων πρινίνων,
Φέψαλος ἀνήλατ' ἐρε-
θιζόμενος οὐρίᾳ ῥιπίδι,
Ηνίκ' ἐπανθρακίδες ὦσι παρακείμεναι.
Οἱ δὲ Θασίαν ἀνακυκλῶσι λιπαράμπυκα,
Οἱ δὲ μάττωσιν, οὕ-
τω σοβαρὸν ἐλθὲ μέλος,
Εὔτονον ἀγροικότονον,
Ως ἐμὲ λαβοῦσα τὸν δημότην.

A CH. Huc ades Musa nitidis facibus
Lucida, sonora Dea, Acharnica,
Censauilla alta, carbonibus
Qua resilit, excita le-
Vi celeris aëris flamine:
Quando super igne fuerint posita fercula.
Pars ubi mero Thasio apuas rotant:
Pars cibos pinsitant.
B Sic rapidum ades melos, &
Quod bene & agreste sonet,
Tu modo prehende herum me tuum.

Σχόλια. Δεῦρο Μοῦσα] διπλῆ καὶ ἐπιῤῥηματικὴ συζυγία ἧς αἱ μὲν μελικαί εἰσι κῶλων ια' παιωνικῶν. ὧν τὰ μὲν πρῶτα γ, τετράρρυθμα. τὸ δὲ δ, δίρρυθμον. εἶτα ἐν εἰσθέσει τετράρρυθμα δύο. καὶ ἐν ἐκθέσει τρία μὲν δίρρυθμα, ἓν δὲ τετράρρυθμον. Φλεγυρὸν.] τὰ παλαιὰ σχόλια οὕτως πρότερον εἶχε, φλεγυρὰ, φέγγουσα, λάμπουσα, ἢ θερμὴ διὰ τοὺς ἄνθρακας. ἀλλὰ χαριέστερον, φλεγυρὸν, φέγγον, λάμπον, ἢ θερμὸν διὰ τοὺς ἄνθρακας. τὸ δὲ φλεγυρὸν πρὸς τὸ μένος συνακτέον. Πρινίνων.] ἀντὶ τοῦ ἀγροίκων στερεῶν. ὁ γὰρ πρῖνος ξύλον στερεόν. Οὐρίᾳ ῥιπίδι.] τῇ τοῦ ἀνέμου φορᾷ. λέγεται δὲ τὸ πρὸς κίνησιν πνεύματος ἐπιτήδειον, ὃ ἡμεῖς ῥιπίδιον καλοῦμεν. Ἐπανθρακίδες.] λεπτοί ἰχθύες οὗτοι. πάντα δὲ τὰ ἐπὶ ἀνθράκων ὀπτώμενα, ἀνθρακίδας ἐκάλουν. Οἱ δὲ Θασίαν ἀνακυκλῶσι.] οἱ μέν φασι λείπειν τὸ λάγυνον. ἐπεὶ ταριχεῖον πίνειν τὸ σῶμα οὐ πιθανὸν. οὐδέποτε γὰρ Θάσιος οἶνος ηὐδοκίμει παρ' Ἀθηναίοις. οἱ δὲ, ὅτι Θάσιαι τινὲς ῥαφανίδες λέγονται. λέγει δὲ τὴν ἠρτυμένην καὶ ἀρωματισμένην. οἱ δὲ, Θασίαν φασὶ βάμμα λέγεσθαι ἐκ τῶν ἀπὸ πυρὸς ἰχθύων. ἰδίως Θασίαν ἐκάλουν. κρατήσασι δὲ εἰς τὴν Θασίαν ἅλμην οἱ δὲ, τὴν λεγομένην θερμοποτίδα. Θασίας ζωμὸν ἅλμης. εἰς ὃν ἀπέβαπτον τὰ ἐξ ἀνθράκων ὀπτημένα τῶν ἰχθύων. Λιπαράμπυκα.] φιάλην Θασίου οἴνου πεπληρωμένην. ἄμπυξ δὲ λέγεται τὸ περιέχον. τουτέστι τὸ πῶμα τὸ ἀγγεῖον λέγει. ἢ λιπαρὸν μὲν διὰ τὸ ἡδὺ τοῦ οἴνου, ἄμπυκα δὲ παρὰ τὸ σκεπάζειν καὶ καλύπτειν τὸν οἶνον, καταχρηστικῶς.

BISETVS. Λιπαράμπυκα.] ἄμπυξ ἀρσενικοῦ γένους. διάδημα ποιὸν ἀναδετικὸν τῶν τριχῶν ὥσπερ Εὐστάθιος δηλοῖ. καὶ χαλινός, καὶ τροχὸς μεταφορικῶς, παρὰ τὸ ἀμπυκάζειν, τὸ ἀναδεῖν, στεφανοῦν, χαλινοῦσθαι. καὶ ἀμπυκίζειν, τὸ τὰς ἐμπροσθίας τρίχας ἀναδεῖν. ὅθεν χρυσάμπυκες ἵπποι.

D

ΕΠΙΡΡΗΜΑ στίχων ιϛ'.

Τετράμετροι τροχαϊκοί.

Χο. Οἱ γέροντες οἱ παλαιοὶ, μεμφόμεσθα τῇ πόλει.
Οὐ γὰρ ἀξίως ἐκείνων ὧν ἐναυμαχήσαμεν,
Γηροβοσκούμεθ' ὑφ' ὑμῶν, ἀλλὰ δεινὰ πάσχομεν.
Οἵτινες γέροντας ἄνδρας ἐμβαλόντες ἐς γραφὰς
Ὑπὸ νεανίσκων ἐᾶτε καταγελᾶσθαι ῥητόρων
Οὐδὲν ὄντας, ἀλλὰ κωφοὺς, καὶ παρεξηυλημένους,
Οἷς Ποσειδῶν ἀσφάλειός ἐστιν, ἡ βακτηρία.
Τονθορύζοντες δὲ γήρᾳ, τῷ λίθῳ προσέσταμεν,
Οὐχ ὁρῶντες οὐδὲν, εἰ μὴ τῆς δίκης τὴν ἠλύγην.
Ο δὲ νεανίας ἑαυτῷ σπουδάσας ξυνηγορεῖν,
Ες τάχος παίει, ξυνάπτων στρογγύλοις τοῖς ῥήμασι.
Κᾆτ' ἀνελκύσας ἐρωτᾷ, σκανδάληθρ' ἱστὰς ἐπῶν
Ανδρα Τιθωνὸν, σπαράττων καὶ ταράττων, καὶ κυκῶν.
Ο δ' ὑπὸ γήρως μασταρύζει, κᾆτ' ὄφλων ἀπέρχεται.

EPIRREMA versuum sedecim.

Septenarij Trochaici.

E CH. Nos senes vetusti ciuitatem hanc accusabimus.
Non enim dignè pro nauali pugna, quam fecimus,
Pascimur senecta ætate, sed patimur nefaria.
Quippe nos viros senes in ius permittitis rapi:
Atque à iunioribus deludier oratoribus,
F Tanquam homines neutros, nihili, nauci, prorsum'que euanidos:
Et quibus, Neptuni tutoris loco, sit scipio.
At nos murmurantes, cum senio constitimus, in Pnycis
Suggestu, nihil videntes præter vmbram iustitiæ.
Sed iuuenis, dum sibimetipsi patrocinarier studet:
G Expeditè agit omnia, & rotunda verba copulat;
Post seductos retrò interrogat, & laqueo verbi capit,
Grandæuum senem perturbans, vellicans & territans,
Ille labra mordet, & multatus cedit è foro,

Εἶτα λύζει καὶ δακρύει, καὶ λέγει πρὸς τοὺς φί- A
λους,
Οὗ μ' ἐχρῆν σορὸν πρίασθαι, τοῦτ' ὄφλων ἀπέρ-
χομαι.

A Singultit, lacrymat, queriturq́; amicis, & dicit
gemens:
Quo libitinam oportebat me emere, hoc multa-
tus abeo.

Σχόλια. Αγροικότερον.] πρόθυμοι γὰρ οἱ ἄγροικοι εἰς πᾶσαν πρᾶξιν καὶ εὔτονοι, εἰς γραφὰς δὲ εἰς δικαστήρια, εἰς κατηγορίας. Κωφούς.] ἀφώνους. Ομηρος. κύματι κωφῷ. Παρεξηυλημένους] ἐκ μεταφορᾶς τῶν παλαιῶν αὐλῶν καὶ ἀχρείων, κυρίως γὰρ παρεξηυλῆσθαι λέγομεν αὐλούς, τοὺς τὰς γλωττίδας διερρηγμένους. Ασφάλειος ἐστιν.] ἀσφάλειος Ποσειδῶν παρὰ Ἀθηναίοις τιμᾶται παρὰ τὸ καὶ αὐτὸν τελαίνη χρῆσθαι καὶ τοὺς γέροντας τῇ βακτηρίᾳ, τοῦτο ἔφη. παρὰ δὲ τὸ παντὶ φορτίῳ τὸ Ποσειδῶν ἐπισείει. τιμᾶται δὲ Ποσειδῶν ἀσφάλειος παρ' αὐτοῖς, ἵνα ἀσφαλῶς πλέωσι. Τονθορύζοντες.] λάθρα φθεγγόμενοι. ὑπότρομοι. τὰ χείλη κινοῦντες. λίθῳ δὲ τῷ βήματι τῷ ἐν τῇ Πυκνὶ δικαστηρίῳ. Τῆς δίκης τὴν ἠλύγην.] οἱ γέροντες ἡμεῖς δηλονότι οὐδὲν ὁρῶντες ἐν τῷ δικαστηρίῳ, εἰ μὴ τὴν σκιὰν τῆς δίκης. ἠλύγη γὰρ τὸ σκότος. καὶ ἠλυγισμένον τὸ ἐσκοτισμένον. βαρύνεται δέ. παρὰ τὴν λύγην γάρ, πλεονάζει τὸ ἠ. παρὰ προσδοκίαν δὲ εἶπε τῆς δίκης, δέον εἰπεῖν ἀνθρώπων.

B Bi[illegible]tus. Σ. ἠλύγη, τὸ σκότος τῆς νυκτός. καὶ ἠλυγισμένον, τὸ ἐσκιασμένον.

Σχόλια. Σποδήσας.] εἰς τὸ βλάψαι τὸν γέροντα. D

Ες τάχος παίει.] παίειν λέγουσι τὸ πᾶν ὁτιοῦν συντόμως ποιεῖν. στρογγύλοις δὲ πιθανοῖς καὶ πανούργοις. τὸ δὲ ἐς τάχος, ἀπὸ μεταφορᾶς τῶν ἐν τοῖς διδασκαλείοις παίδων, ἐφ' ὧν οὕτως ἐλέγετο. ἐς τάχος γράφε. ἐς κάλλος. Σκανδάληθρ' ἱστάς.] διχῶς ἀναγινώσκεται. ὑφ' ἕν. ἵν' ᾖ σκανδαληθριστάς. ἢ ἀπὸ στροφῆς ἐν τῷ ρ. ἵν' ᾖ σκανδάληθρα ἱστάς. καὶ ἡ μὲν λέξις πεποίηται. σημαίνει δὲ τὰ πέτευρα τῶν παγίδων ἀπὸ τοῦ σκάζοντα συμπίπτειν καὶ κρατεῖν τὸ ἐμπεσόν. ὁ δὲ νοῦς. ἀνελκύσας ἀπὸ τοῦ βήματος συνηγόρους ἑαυτῷ καὶ θηρεύσας τῶν λόγων, ἐρωτᾷ ἡμᾶς. ἄλλως. σκανδάληθρα λέγεται, τὰ ἐν ταῖς παγίσιν ἐπικαμπῆ ξύλα, εἰς ἃ ἐρείδει ὅπερ Ἀρχίλοχος λέγει ῥόπτρον. ἐνταῦθα συλλέγει ἐρείσματα λόγων καὶ βάρη. τὸ δὲ ὑπερβατὸν οὕτως. κατ' ἀνελκύσας σκανδαληθριστὰς ἐρωτᾷ ἡμᾶς. Ανδρα Τιθωνόν.] ὑπεράγαν γεγηρακότα. ἀπὸ Τιθωνοῦ τοῦ πανουργήσαντος καὶ μεταβληθέντος εἰς τέττιγα. Μαστρύζει.] συνέλκει καὶ συνάγει τὰ χείλη. ἀπὸ μεταφορᾶς τῶν ὑποτιτθίων παίδων. οἳ τὸν μαστὸν ἕλκοντα τῷ στόματι, συνάγει τὰ χείλη. Λύζει.] ἐὰν διὰ τοῦ ζ. ὀλολύζει. ἐὰν δὲ χωρὶς τοῦ ζ. ἀλύει. ἔστι δέ τι ἀδημονεῖ. λύζει, ποιὰν φωνὴν τραχεῖαν ἀφίησιν, ἢ λυγμοῦ συνέχεται.

C

ΑΝΤΩΔΗ ΚΑΙ ΑΝΤΙΣΤΡΟΦΗ κώλων ια'.

Χο. Ταῦτα πῶς εἰκότα γέροντ' ἀπολέ-
σθαι, πολιὸν ἄνδρα, περὶ κλεψύδραν,
Πολλὰ δὴ ξυμπονήσαντα καὶ
Θερμὸν ἀπομορξάμενον,
Ανδρικὸν ἱδρῶτα δὴ καὶ πολὺν,
Ανδρ' ἀγαθὸν ὄντα Μαραθῶνι περὶ τὴν πόλιν.
Εἶτα Μαραθῶνι μὲν ὅτ' ἦμεν, ἐδιώκομεν.
Νῦν δ' ὑπ' ἀνδρῶν πονη-
ρῶν σφόδρα διωκόμεθα,
Κᾆτα προσαλισκόμεθα,
Πρὸς τάδε τίς ἀντερεῖ Μαρψίας;

ANTODE ET ANTISTROPHE.

CH. HÆc decet prouidum abolere senem,
Vertice nitente, prope clepsydram:
Qui laborauit, & feruido
E Tersit aquam ab ore grauem
Sæpenumero, vt virum condecet:
Qui arma radiante Marathone tulit impiger.
Nos quidem alios priùs in orbe Marathonio
Persecuti sumus:
Nunc ab aliis premimur,
Et patimur, & capimur:
Et quis homo tentet his obloqui?

Σχόλια. Κλεψύδραν.] ἐν τῷ δικαστηρίῳ ἡ κλεψύδρα ἀγγεῖόν ἐστιν ἔχον μικροτάτην ὀπὴν περὶ τὸν πυθμένα. ὅπερ ἐν τῷ δικαστηρίῳ μεστὸν ὕδατος ἐτίθεντο. πρὸς ὃ ἔλεγον οἱ ῥήτορες. Μαραθῶνι.] λείπει ἡ ἐν, ἤγουν ἐν Μαραθῶνι. Μαραθῶνι μὲν ὅτ' ἦμεν.] ἐδιώκοντο γὰρ οἱ Ἀθηναῖοι Περσῶν, ὅτ' ἐμαχέσαντο πρὸς αὐτοὺς ἐν Μα- F ραθῶνι. Υπ' ἀνδρῶν.] τῶν νέων ῥητόρων. διωκόμεθα δὲ κατηγορούμεθα. Κᾆτα προσαλισκόμεθα.] ἀντὶ τοῦ πρὸς τούτοις καταδικαζόμεθα καὶ ζημιούμεθα. Μαρψίας.] οὗτος ὁ Μαρψίας, φιλόνεικος καὶ φλύαρος, καὶ θορυβώδης ῥήτωρ κωμῳδεῖται.

ΑΝΤΕΠΙΡΡΗΜΑ στίχων ιϛ'.

Τετράμετροι Τροχαϊκοί.

Τῷ γὰρ εἰκὸς ἄνδρα κυφὸν, ἡλίκον Θουκυ-
δίδην
Εξολέσθαι συμπλακέντα τῇ Σκυθῶν ἐρη-
μίᾳ,

ANTEPIRRHEMA versuum 16.

G Septenarij Trochaici.

IGitur æquum est, vt vir hic incuruus & coætaneus
Intereat Thucydides, in Scythica solitudine,

Ἐξ οὗ γε χορῶν ἐφέστηκε τρυγικοῖς ὁ διδάσκαλος ἡμῶν,
Οὔπω παρέβη πρὸς τὸ θέατρον λέξων, ὡς δεξιός ἐστιν.
Διαβαλλόμενος δ' ὑπὸ τῶν ἐχθρῶν ἐν Ἀθηναίοις ταχυβούλοις,
Ὡς κωμῳδεῖ τὴν πόλιν ἡμῶν καὶ τὸν δῆμον καθυβρίζει,
Ἀποκρίνασθαι δεῖται νυνὶ πρὸς Ἀθηναίους μεταβούλους.
Φασὶ δ' εἶναι πολλῶν ἀγαθῶν ἄξιος ὑμῖν ὁ ποιητής,
Παύσας ὑμᾶς ξενικοῖσι λόγοις μὴ λίαν ἐξαπατᾶσθαι,
Μήθ' ἥδεσθαι θωπευομένους, μήτ' εἶναι χαυνοπολίτας,
Πρότερον δ' ὑμᾶς οἱ πρέσβεις ἀπὸ τῶν πόλεων ἐξαπατῶντες,
Πρῶτον μὲν ἰοστεφάνους ἐκάλουν, κἀπειδὴ τοῦτό τις εἴπῃ,
Εὐθὺς διὰ τοὺς στεφάνους, ἐπ' ἄκρων τῶν πυγιδίων ἐκάθησθε.
Εἰ δέ τις ὑμᾶς ὑποθωπεύσας, λιπαρὰς καλέσειεν Ἀθήνας,
Εὕρετο πᾶν ἂν διὰ τὰς λιπαράς, ἀφύων τιμὴν περιάψας,
Ταῦτα ποιήσας, πολλῶν ἀγαθῶν αἴτιος ὑμῖν γεγένηται.
Καὶ τοὺς δήμους ἐν ταῖς πόλεσι δείξας ὡς δημοκρατοῦνται,
Τοιγάρτοι νῦν ἐκ τῶν πόλεων τὸν φόρον ὑμῖν ἀπάγοντες
Ἥξουσιν ἰδεῖν ἐπιθυμοῦντες τὸν ποιητὴν τὸν ἄριστον.
Ὅστις παρεκινδύνευσεν Ἀθηναίοις εἰπεῖν τὰ δίκαια.
Οὕτω δ' αὐτοῦ περὶ τῆς τόλμης ἤδη πόρρω κλέος ἥκει,
Ὅτε καὶ βασιλεὺς Λακεδαιμονίων πρεσβείαν βασανίζων,

A *Ex quo animum trygicis ritè choris praeceptor hic appulit aequum:*
Nondum in scenam transiit: ut quàm praestans sit, dixerit unquam.
Igitur ab inimicis apud instabiles traductus amicos
Quòd populũ atque urbem insectetur, per pulpita comica ludo:
B *Responso iam opus habet, apud vos praecipites consilij. Nam*
Magna à vobis praemia dicit se promeritum esse Poëta,
Quòd praecauit, ne pollicita vos decipiant peregrina:
Neu vobis lubeat falli, & ciuibus oscitantibus esse.
Ante quidem legati sociorum vobis verba de-
C *derunt,*
Violis vos redimitos dicentes: atque isthoc uti quisquam
Dixisset: ibi tum propter violas, summis natibus vos
Sedebatis: sin palpando pingues dixisset Athenas,
Pro isthoc uno verbo magnum apuarum erat indeptus honorem.
D *Haec qui fecit, fuit omnis vestrae fortunae utilis autor,*
Populúmque docuit populares moderarier urbis habenas.
Equidem, qui tributum vobis pendunt, ex urbibus istis,
Huc venient, studio visendi insignem pietate Poëtam:
E *Qui, quae aequissima sunt, cũ vita & capitis discrimine dixit.*
Adeò verò latè pro talibus ausis fama vagatur
Ut Rex Persarum, quando torquebat Lacedaemone missos,

Σχόλια. Οὔπω παρέβη.] ἀντὶ τοῦ ἐν τῇ παραβάσει οὕτω εἶπε. Ταχυβούλοις.] ταχέως μεταβαλλομένοις, προπετέσιν, ἀβεβαιοτάτοις. κωμῳδοῦνται δὲ οἱ Ἀθηναῖοι ὡς τοιοῦτοι. καὶ ὅτι ταχέως μετανοοῦσιν ἐν οἷς βουλεύονται.

F BISETVS. Ταχυβούλοις] Θουκυδίδης ἐν α. περὶ τῆς Ἀθηναίων φύσεως, καὶ τρόπων ταῦτα ἀξιομνημόνευτα γράφει. Οὐδ' ἐκλογίσασθαι πώποτε [δοκεῖτε] πρὸς οἵους ὑμῖν Ἀθηναίους ὄντας, καὶ ὅσον ὑμῶν, καὶ ὡς πᾶν διαφέροντας ὁ ἀγὼν ἔσται. Οἱ μέν γε νεωτεροποιοί, καὶ ἐπινοῆσαι ὀξεῖς, καὶ ἐπιτελέσαι ἔργῳ ὃ ἂν γνῶσιν. ὑμεῖς δὲ τὰ ὑπάρχοντά τε σώζειν, καὶ ἐπιγνῶναι μηδὲν, καὶ ἔργῳ οὐδὲ τἀναγκαῖα ἐξικέσθαι. αὖθις δὲ, οἱ μὲν καὶ παρὰ δύναμιν τολμηταί, καὶ παρὰ γνώμην κινδυνευταί, καὶ ἐν τοῖς δεινοῖς εὐέλπιδες.

G Σχόλια. Ξενικοῖσι λόγοις.] ἀντὶ τοῦ ἀλλοτρίοις καὶ μὴ προσήκουσιν. ὅτι εὐνοϊκεῖον Ἕλλησι τὸ ἐξαπατᾶσθαι. ἢ ξενικοῖς, τοῖς ἀπὸ τῶν ξένων πρέσβεων λεγομένοις. Χαυνοπολίτας.] κεχαυνωμένους περὶ τὴν πολιτείαν τὴν πόλιν. Ἰοστεφάνους.] παρὰ τὰ ἐκ τῶν Πινδάρου διθυράμβων. αἵ τε λιπαραὶ καὶ ἰοστέφανοι Ἀθῆναι. διασύρει δὲ ἄλλως, ὅτι οἱ προδόται τούτοις χρῶνται τοῖς λόγοις. Ἐπ' ἄκρων τῶν πυγιδίων.] παρὰ τὴν παροιμίαν. ἐπ' ἄκρων τῶν ὀνύχων. οἱ γὰρ ἡδέως τι ἀκούοντες, δοκοῦσιν ἐπάνω τῶν πυγῶν καθέζεσθαι. ἄλλως. παρὰ τὴν παροιμίαν τὸ ἐπ' ἄκρων τῶν ὀνύχων, ἔπαιξε τὸ ἐπ' ἄκρων τῶν πυγιδίων εἰπών. καὶ Σοφοκλῆς, ἔστω τραφεὶς ἂν μητρὸς εὐγενοῦς ἄπο, ὑψηλ' ἐκόμπεις, κἀπ' ἄκρων ὡδοιπόρεις. εἰώθασι γὰρ ἀλαζόνες ἐπ' ἄκρων ὀνύχων βαδίζειν. καὶ οἱ ἐπαίνων εἰς αὐτοὺς γινομένων ἀκούοντες, τὴν πυγὴν τῆς καθέδρας ἐξαίρειν. Ὑποθωπεύσας] κολακεύσας. παρὰ τὸ λιπαρὰς Ἀθήνας, τὸ λιπαρὰς ἀφύας. Εὕρετο πᾶν ἄν.] ἀντὶ τοῦ πᾶν πρᾶγμα κατορθοῖ. Ἀφύων τιμήν.] καὶ ἐνικῶς λέγεται ὡς ἐν Ταγηνισταῖς. ἅλις ἀφύης μοι, παρατέταμαι γὰρ ἐσθίων. Καὶ τοὺς δήμους ἐν ταῖς πόλεσι.] ἀντὶ τοῦ τὴν ἡμῶν αὐτῶν πολιτείαν, ἐπιδείξας ταῖς συμμάχοις πόλεσι. τουτέστι διδάξας τοὺς συμμάχους ὡς χρὴ δημοκρατεῖσθαι, εὔνους ὑμῖν αὐτοὺς ἐποίησεν. ἄλλως. ἐν ταῖς ἄλλαις πόλεσι τοὺς ἡμετέρους δείξας δήμους ὅτι δημοκρατοῦνται καὶ ἄνευ τυραννίδος ἀλλήλοις πειθόμενοι. Βασιλεύς] ὁ μέγας Περσῶν. Βασανίζων.] ἀκριβῶς ἐξετάζων.

Τῷ δὲ τῷ Κηφισοδήμῳ τῷ λάλῳ ξυνηγόρῳ.
Ὥστ' ἐγὼ μὲν ἠλέησα, κἀπομορξάμην ἰδὼν,
Ἄνδρα πρεσβύτην ὑπ' ἀνδρὸς τοξότου κυκώμενον.
Ὃς μὰ τὴν Δήμητρ' ἐκεῖνος ἡνίκ' ἦν Θουκυδίδης,
Οὐδ' ἂν αὐτὴν τὴν Ἀχαιὰν ῥᾳδίως ἠνέσχετο,
Ἀλλὰ κατεπάλαισε μὲν ἂν πρῶτον Εὐάθλους δέκα,
Κατεβόησε δ' ἂν κεκραγὼς, τοξότας τρισχιλίους,
Περιετόξευσε δ' ἂν αὐτοῦ τοῦ πατρὸς τοὺς ξυγγενεῖς.
Ἀλλ' ἐπειδὴ τοὺς γέροντας οὐκ ἐᾶθ' ὕπνου τυχεῖν,
Ψηφίσασθε χωρὶς εἶναι τὰς γραφὰς, ὅπως ἂν ᾖ
Τῷ γέροντι μὲν γέρων καὶ νωδὸς ὁ ξυνήγορος.
Τοῖς νέοισι δ' εὐρύπρωκτος καὶ λάλος χὠ Κλεινίου
Κἀξελαύνειν χρὴ τὸ λοιπὸν. κἂν φύγῃ τις, ζημιοῦν
Τὸν γέροντα τῷ γέροντι, τὸν νέον δὲ τῷ νέῳ.

A *Cum suo Cephisodemo causidico loquaculo.*
Ego certè misertus sum, & lacrymas abstersi: cùm virum
Grandaeuum viderem vexari à lictore pessimo;
Qui, quando ille adhuc erat Thucydides, ita me Ceres
Adamet, ne quidem ipsam Achaeam sustinuisset
B *commodè.*
Sed prima statim lucta vicisset Euathlos decem,
Et clamando superasset ter mille ministros publicos,
Tum patris cognatos fixisset sagittis undique.
Quia verò vos non sinitis dormire nos senes: age
Decernite, indictis ut seiungantur, & posthac
C *seni*
Patronus senex, edentulus, iuueni iuuenis fiet,
Garrulus, lati ani: qualis est hic gnatus Cliniae.
Quin etiam hinc expellere oportet, & si fugiat quispiam,
Multare: atque isthuc iuuenem à iuuene, & senem à sene perpeti.

Σχόλια. Τῷ γὰρ εἰκός.] πῶς δίκαιόν ἐστιν ἄνδρα γέροντα κυφὸν ἀντιπαλαίσαντά ποτε Περικλεῖ, ἀπολέσθαι συμπλακέντα ἀγριότητι. ἐπὶ τὸ γὰρ δηλοῖ ἡ Σκυθῶν ἐρημία, λέγει δὲ ἀγριότητα. ῥήτωρ δὲ ὁ Θουκυδίδης Μελησίου παῖς ἦν. γεγόνασι δὲ δ΄. ὁ Ἱστορικός. ὁ Γαργήττιος. ὁ Θετταλός. ὁ Μελησίου υἱός. Σκυθῶν ἐρημία.] ἐπεὶ θηριώδεις αἱ ἐρημίαι τῶν Σκυθῶν, ἀντὶ τοῦ ἐχθρῷ καὶ κακοῖς συμπλακέντα. τοῦτο δὲ λέγει ὅτι οἱ Σκύθαι ἄοικοι ὄντες, καὶ ἐπὶ τῶν ἁμαξῶν φερόμενοι, αἴτιοι ἑαυτοῖς ὀλέθρου γίνονται. ἔστι δὲ παροιμία ἡ Σκυθῶν ἐρημία, τουτέστιν ἔρημον ὄντα. Κηφισοδήμῳ.] ῥήτωρ θρασὺς καὶ δεινὸς πρὸς τὰς δίκας. Ἀθηναῖος δὲ καὶ οὗτος. Κἀπομορξάμην.] ἐκ τῶν παρακολουθούντων. παρέπεται γὰρ τοῦτο τοῖς δακρύουσιν.

BISETVS. Γέγραπται κἀπομορξάμην, καὶ κἀπεμορξάμην. ἀμφότερα δὲ καλῶς ἔχει. καὶ γὰρ τὸ μὲν πρότερον ἄνευ αὐξήσεως συλλαβικῆς, τὸ δὲ δεύτερον μετὰ συνήθους αὐξήσεως.

Σχόλια. Ὑπ' ἀνδρὸς τοξότου.] ἀντὶ τοῦ ὑπηρέτου δημοσίου τοξότου καλουμένου. Ὃς μὰ τὴν Δήμητρα.] ὅς τις πρεσβύτης ὑπὸ τοῦ τοξότου βλαπτόμενος, οὐδὲ τὴν Δήμητρος ἠνέσχετο ἡνίκα ἦν νέος. Ἀχαιὰν δὲ, τὴν Δήμητρα ἐκάλουν ἀπὸ τοῦ κτύπου τῶν κυμβάλων καὶ τυμπάνων, τοῦ γενομένου κατὰ ζήτησιν τῆς κόρης. ἢ ἀπὸ τοῦ ἄχους ὃν ἐποιήσατο ἐν τοῖς περὶ τὴν γέφυραν εἰς Ἀθήνας ἀπιοῦσιν. ἢ ἀπὸ τοῦ περὶ τὴν θυγατέρα ἄχους. ὁ δὲ νοῦς. ἡνίκα ἂν Θουκυδίδης, οὐχ ὅπως τοξότην ἠνέσχετο ἂν

D καταβοᾶν αὐτοῦ, ἀλλ' οὐδὲ τὴν Ἀχαιὰν αὐτήν. Εὐάθλους δέκα.] οὗτος ὁ Εὔαθλος ῥήτωρ πονηρός. Ἀριστοφάνης ἐν Ὁλκάσιν.

Ἔστι τις πονηρὸς ἡμῖν τοξότης,
Συνήγορος ὥσπερ παρ' ὑμῖν τοῖς νέοις.

ἦν δὲ καὶ εὐρύπρωκτος καὶ λάλος. εἴη δ' ἂν καὶ ἀγεννής. διὸ καὶ τοξότην αὐτὸν καλεῖ, ἀντὶ ὑπηρέτην. διεβάλλετο γὰρ ἡ τοξεία ὡς εὐτελής. καὶ Σοφοκλῆς,

Ὁ τοξότης ἔοικεν οὐ σμικρὰ φρονεῖν.

ἀλλ' ἐνδοξότατον δεῖξαι βουλόμενος φησιν. οὐ γὰρ βάναυσον τὴν τέχνην ἐπιστάμενον, αὐτοῦ δὲ τοῦ πατρὸς, τοῦ
E Εὐάθλου.

BISETVS. Εὐριπίδης ἐν Ἡρακλεῖ μαινομένῳ τὰ τόξα, καὶ τοὺς τοξότας οὕτω ψέγει,

Ὃς οὔποτ' ἀσπίδ' ἔσχε πρὸς λαιᾷ χερὶ,
Οὐδ' ἦλθε λόγχης ἐγγὺς, ἀλλὰ τόξ' ἔχων,
Κάκιστον ὅπλον, τῇ φυγῇ πρόχειρος ἦν.
Ἀνδρὸς δ' ἔλεγχος, οὐχὶ τόξ' εὐψυχίας,
Ἀλλ' ὃς μένων βλέπει τε κἀντιδέρκεται
Δορὸς ταχεῖαν ἄλοκα, τάξιν ἐμβεβώς.

Σχόλια. Ὅπως ἂν ᾖ τῷ γέροντι.] ἵνα παντελῶς οἱ
F νέοι τῶν γερόντων κεχωρισμένοι ὦσιν. νωδὸς δὲ, ὁ μὴ ἔχων ὀδόντας ὑπὸ γήρως. Χὠ Κλεινίου.] Ἀλκιβιάδην τὸν Κλεινίου ὡς καταπύγωνα κωμῳδοῦσιν. Κἀξελαύνειν χρή.] κἂν ἐξελαύνειν δέῃ. κἂν φύγῃ ζημιοῦν, ὑπὸ τοῦ γέροντος τοῦτο πάσχειν τὸν γέροντα.

G

ΔΡΑΜΑΤΟΣ ΤΟΥ ΤΡΙΤΟΥ

Σκηνὴ πρώτη.

ΔΙΚΑΙΟΠΟΛΙΣ ΜΟΝΟΣ.

ACTVS III. SCENA prima.

DICAEOPOLIS SOLVS.

Τρίμετροι ἰαμβικοί. A

Senarij Iambici.

BISETVS. Δικαιόπολις τοῖς Πελοποννησίοις, καὶ Μεγαρεῦσι, καὶ Βοιωτίοις ἐν τῇ ἑαυτοῦ ἀγορᾷ ἀνετῶς ἀγοράζειν, πωλεῖν, καὶ ὠνεῖσθαι ἐπιτρέπει, καὶ τοὺς τῆς ἀγορᾶς ὅρους, καὶ νόμους δηλοῖ.

BISETVS. Κορωνὶς ἐκ στίχων ις´.

ΔΙ. Ὅροι μὲν ἀγορᾶς εἰσιν οἵδε τῆς ἐμῆς,
Ἐνταῦθ' ἀγοράζειν πᾶσι Πελοποννησίοις B
Ἔξεστι, καὶ Μεγαρεῦσι, καὶ Βοιωτίοις,
Ἐφ' ᾧτε πωλεῖν πρὸς ἐμέ, Λαμάχῳ δὲ μή.
Ἀγορανόμους δὲ τῆς ἀγορᾶς καθίσταμαι
Τρεῖς τοὺς λαχόντας, τούσδ' ἱμάντας ἐκ Λεπρῶν.
Ἐνταῦθα μήτε συκοφάντης εἰσίτω,
Μήτ' ἄλλος ὅστις Φασιανός ἐστ' ἀνήρ.
Ἐγὼ δὲ τὴν στήλην καθ' ἣν ἐσπεισάμην,
Μέτειμ' ἵνα στήσω φανερὰν ἐν τῇ ἀγορᾷ.

DI. Hi limites statuti sunt fori mei,
In hoc negotiari Peloponnesiis,
Megarensibus & Bœotijs iam nunc licet:
Vt mihi venundent, quæ volunt, non Lamacho.
Annonæ verò præfectos hic ordino
Tres sorte lectos: lora capio de Lepris.
Huc ne quis ingrediatur Sycophanta, neu
Alius, quicunque Phasianus vir siet.
Ego ad columnam, iuxta quam fœdus inij,
C Transeo, vt illam in foro conspicuam collocem.

Σχόλια. Ὅροι μὲν ἀγορᾶς.] κορωνὶς ὅτι οἱ ὑποκριταὶ ἀπεισίασι. καὶ εἰσὶ στίχοι ἰαμβικοὶ ἀκατάληκτοι, ις´. Ἀγοράζειν.] ἐν ἀγορᾷ διατρίβειν, Ἀττικῶς ὅθεν καὶ ἡ κόρη ἀγοραία ἐστὶ τοῦ Πινδάρου Ἀθηναϊστί. ἐπεὶ καὶ ἐν τῷ πρώτῳ τῶν παρθενίων ἐχρήσατο τῇ λέξει. ἀγορανόμους δὲ τοὺς λογιστὰς καλοῦμεν. Τούσδ' ἱμάντας ἐκ Λεπρῶν.] οἱ μὲν ἀπὸ τοῦ λέπειν ὅ ἐστι τύπτειν. οἱ δὲ ἀπὸ Λεπρέου πολίσματος τῆς Πελοποννήσου. ἧς μέμνηται καὶ Καλλίμαχος ἐν ὕμνοις. Καυκώνων πτολίεθρον ὁ Λέπρειον πεφάτισται. οἱ δὲ ἐκ λεπρῶν βοῶν. φασὶ γὰρ τὰ τῶν λεπρῶν βοῶν δέρματα ἰσχυρὰ εἶναι. οἱ δὲ, ὅτι Μεγαρεῖς λεπροὶ τὸ σῶμα, πρὸς οὓς ἀποτείνεται. ἄμεινον δὲ λέγειν ὅτι τόπος ἔξω τοῦ ἄστεος καλούμενος, ἔνθα τὰ βυρσεῖα ἦν. οὗ καὶ ἐν Ὄρνισι μέμνηται. τί δῆτα οὐ τὸ πλεῖον Λεπρὸν οἰκίζετε. ἱμάντας δὲ, λώρους, φραγέλλια. τὸ γὰρ παλαιὸν φραγέλλοις ἔτυπτον οἱ D λογισταὶ τοὺς τῆς ἀγορᾶς. Φασιανός.] ἀντὶ τοῦ συκοφάντης παρὰ τὴν φάσιν ὅ ἐστι φαίνειν. ἔστι καὶ πόλις τῆς Σκυθίας Φᾶσις, ὁμώνυμος τῷ ποταμῷ.

ΔΡΑΜΑΤΟΣ ΤΟΥ ΤΡΙΤΟΥ Σκηνὴ δευτέρα.

ΜΕΓΑΡΕΥΣ, ΧΟΡΑΙ.

ΜΕ. Ἀγορὰ 'ν Ἀθάναις χαῖρε, Μεγαρεῦσιν φίλα. E
Ἐπόθουν τυ ναὶ τὸν φίλιον ἅπερ ματέρα,
Ἀλλ' ὦ πονηρὰ κόρια γ' ἀθλίω πατρὸς
Ἀμβᾶτε ποττὰν μᾶδδαν, αἴ χ' εὕρητέ πα.
Ἀκούετον δή, ποτέχετ' ἐμὶν τὰν γαστέρα.
Πότερα πεπρᾶσθαι χρῄδδετ' ἢ πεινῆν κακῶς; F
ΚΟ. Πεπρᾶσθαι, πεπρᾶσθαι.
ΜΕ. Ἐγώνγα καὐτός φαμι. τίς δ' οὕτως ἄνους,
Ὃς ὑμέων πρίαιτο φανερὰν ζαμίαν.
Ἀλλ' ἔστι γάρ μοι Μεγαρικά τις μαχανά.
Χοίρους γὰρ ὑμὲ σκευάσας, φασῶ φέρειν.
Περίθεσθε τάσδε τὰς ὁπλὰς τῶν χοιρίων,
Ὅπως δὲ δοξεῖτ' ἦμεν ἐξ ἀγαθᾶς ὑός. G
Ὡς ναὶ τὸν Ἑρμᾶν εἴπερ ἵξετ' οἴκαδις,
Τὰ πρᾶτα πειρασεῖσθε τᾶς λιμοῦ κακῶς.
Ἀλλ' ἀμφίθεσθε καὶ τασδὶ τὰ ῥυγχία,
Κἄπειτεν ἐς τὸν σάκκον ὧδ' ἐσβαίνετε.
Ὅπως δὲ γρυλλιξεῖτε καὶ κοΐξετε,

ACTVS III. SCENA secunda.

MEGARICVS, PVELLAE.

ME. Salue forum Atticum, optatum Megarensibus,
Ego te expetessebam mediusfidius, quasi
Matrem. ô puellæ misera pessimi patris,
Accedite ad placentam, sicubi se offerat:
Audite, ventrem mihi probè huc aduertite:
Venire, an esurire vultis postmodum?
PV. Venire, venire.
ME. Hoc idem & ego dico. sed quis ita bardus siet,
Qui vos emat, sibi damnum manifestarium?
Sed est Megaricum machinamentum nunc mihi.
Nam vos larua induam, & pro porcis afferam.
Age circundate manibus has porcorum vngulas,
Atque, vt videamini è bona scropha satæ,
Per Mercurium (si modò redieritis domum)
Primò famem experiemini malam malè.
Sed & suilla hæc applicate rostra, tum
In saccum hunc sic irrepite: grunnite, insuper

Χήσοῦτε

Χήσεῖτε φωνὰν χοιρείων μυστηρικᾶν.
Εγὼν δὲ καρυξῶ γα Δικαιόπολιν, ὅπα
Δικαιόπολις; ἦ λῇς πρίασθαι χοιρίας;

A Coissate, & porcarum vocem emittite,
Quasi mysticam: ego accersam Dicæopolin, ubi
Dicæopolis? an porcas tibi mercari lubet?

Σχόλια. Αγορὰν Αθάναις.] ἔρχεται Μεγαρεὺς τις. οἰκεία δὲ πάνυ ἔννοια, καὶ εἰκτικὴ μέση. πεινῶν γὰρ ἥκει, καὶ τὰς θυγατέρας πωλεῖ διὰ τὸν λιμὸν εἰς χοίρους αὐτὰς μεταχηματίσας. Επόθουν τυ ναὶ τὸν φίλιον.] νὴ τὸν φίλιον Δία, ἐπόθουν σε ὥσπερ μητέρα. Αμβᾶτε.] ἀνάβητε, ἐμφαντικῶς διὰ τὸν λιμὸν ἐδήλωσεν εἰπὼν, ἐμβᾶτε πρὸς τὴν μάζαν. οἱ Μεγαρεῖς δὲ τρέπουσι τὸ ζ, εἰς δύο δ.

B BISETVS. Ποτὰν] Μεγαρικῶς, καὶ Δωρικῶς, ἀντὶ τοῦ πρὸς τήν. ποτέχετε, προσέχετε. χρῄδετε, χρῄζετε, ἤγουν ἐθέλετε. τὸ πρέπον ἐνταῦθα τηρεῖται. καὶ γὰρ ὁ Μεγαρεὺς μεγαρικῶς, καὶ Δωριεὺς δωρικῶς λαλεῖ, καὶ τὰ τῶν πεινώντων, καὶ πτωχευόντων ἤθη καλῶς ἡμῖν χαρακτηρίζεται.

Σχόλια. Ακούετον δὴ ποτ'.] παρὰ προσδοκίαν. δέον γὰρ εἰπεῖν προσέχετε ἡμῖν τὸν νοῦν, ἔφη τὴν γαστέρα. ἐπὶ τῶν ἐκείνων. ταῦτα δὲ λέγει ὁ Μεγαρεὺς πρὸς τὰς ἑαυτοῦ θυγατέρας, ἃς ἤγαγεν ἐπὶ τὸ πωλῆσαι διὰ τὸν λιμόν. μικρὰ δὲ ἡ ἔννοια τοῦ ποιητοῦ. Εγώνγα καὐτός φαμι.] καὶ ἐγὼ αὐτὸς τοῦτο σύμφημι.

C BISETVS. Ος ὔμμε κα πρίαιτο.] ὑμᾶς ἂν πρίαιτο. τὸ γὰρ ὔμμε ἀντὶ τοῦ ὑμᾶς. τὸ δὲ κα, ἀντὶ τοῦ κε, εἴτε κεν, ἤγουν ἄν.

Σχόλια. Φανερὰν ζαμίαν.] ἐπεὶ κόραι ἦσαν καὶ οὐ χοῖροι. ἡ τούτων δὲ φροντὶς καὶ δαπάνη πολλή ἐστι. Μεγαρικά τις μαχανά.] ἀντὶ τοῦ πονηρὰ πανοῦργος μηχανή. διεβάλλοντο γὰρ ἐπὶ πονηρίᾳ οἱ Μεγαρεῖς. ἄλλα μὲν λέγοντες, ἄλλα δὲ ποιοῦντες. Χοίρους γὰρ ὔμμε σκευάσας.] τοὺς παρ' ὑμῖν νῦν λεγομένους δέλφακας. λέγω δὲ τοὺς μικροὺς σῦς. οὓς οἱ ἀρχαῖοι χοίρους ἐκάλουν. Ομηρος.

D
Εσθιε νῦν ὦ ξεῖνε τά τε δμώεσσι πάρεστι.
Χοίρε'. ἀτὰρ σιάλους γε σύας μνηστῆρες ἔδουσιν.

ἐκάλουν δὲ τοὺς μεγάλους χοίρους δέλφακας. ἐν γοῦν τοῖς ἑξῆς φησι. νεαρὰ γάρ ἐστιν. ἀλλὰ δελφακουμένα ἕξει μεγάλα.

E BISETVS. Χοίρως] Εὐστάθιος. τῶν συῶν τὰ ἁπαλά, καὶ νεογνά, χοῖροι λέγονται, καὶ τὴν θήλειαν σῦν, χοῖρον λέγουσιν οἱ Ιωνες. καὶ χοῖρος ὁμωνύμως τὸ γυναικεῖον αἰδοῖον. δέλφακες δὲ, οἱ νέοι χοῖροι. κατὰ δέ τινας οἱ ἄρρενες, καὶ ἤδη τέλειοι. κυρίως δὲ αἱ θήλειαι οὕτω λέγονται ὡς δελφύας, ἤγουν μήτρας ἔχουσαι.

Σχόλια. Τὰς ὁπλὰς τῶν χοιρίων.] οὐ μόνον Αριστοφάνης ἐπὶ τῶν χοίρων τὰς ὁπλὰς εἴρηκεν. ἀλλὰ καὶ Σιμωνίδης ὁμοίως ἐπὶ χοίρου. ὁπλὰς ἐκάλει τῶν ὀπισθίων ποδῶν. καὶ Ησίοδος ἐπὶ βοῶν. μήτ' ἄρ ὑπερβάλλων βοὸς ὁπλήν. καὶ τὸ ἐναντίον ἐπὶ τοῦ ἵππου, νέαν ὄντες χηλῆσιν. Εξ ἀγαθᾶς ὑός.] ἣν ἐπὶ θηλείας. σῦν δὲ ἐπὶ ἄρρενος. κέχρηται δὲ καὶ ἐπὶ ἄρρενος. Εἴπερ ἵξετ' οἴκαδις.] ἐκ δευτέρου εἰς τὸ εἶκεν ἀφίξεσθε, τὸ πρώτης πειραθήσεσθε λιμοῦ. Δωριεῖς δὲ, θῆλυ λέγουσι τὴν λιμόν. τὰ πρῶτα δὲ ἤγουν τὰς ἄκρας. Ρυγχία.] τὰ ῥυγχία κυρίως ἔφη. ἐπὶ γὰρ χοίρου λέγεται ῥύγχος. ἄμεινον δὲ ἀντὶ τοῦ γράφειν ταδί, τὰ δή. δωρίζει γὰρ συλλαβῶντι δὲ, δίκην χοίρων βοήσετε. κοΐ δὲ ποιὰ τῶν δελφακίων φωνή. Χοιρείων μυστηρικᾶν.] ὅτι ἐν τοῖς μυστηρίοις τῆς Δήμητρος χοῖρος θύεται. ἀνάκειται δὲ τὸ ζῶον τῇ θεᾷ. ἕκαστος δὲ τῶν θυομένων, ὑπὲρ ἑαυτοῦ ἔθυεν. ταῦτα δὲ καλεῖται μυστήρια.

BISETVS. Χοιρείων μυστηρικᾶν.] Αλλὰ νῦν ἀνάγκη ταῦτα τὰ δωρικὰ ῥήματα ἅπαξ δηλῶσαι, μὴ ἐν τοῖς ἑξῆς ταυτολογῶμεν. τὸ μὲν ουῦ ἦμεν, ἀντὶ τοῦ εἶναι. πρᾶτα, πρῶτα. κἤπειτα, καὶ ἔπειτα. χ' ἡσεῖτε, καὶ ᾔσετε. οἱ Δωριεῖς περισπᾶν εἰώθασι καὶ τοὺς προτέρους μέλλοντας. οὕτω γὰρ κοινῶς, τύψω, εις, ει, ετον. δωρικῶς δὲ, τυψῶ, εῖς, εῖ, εῖτον. καὶ οὕτως ἐν τοῖς λοιποῖς. τὰ δὲ πρῶτα πρόσωπα πληθυντικὰ τὰ κοινῶς εἰς μεν λήγοντα, διὰ τοῦ μες ἐκφέρουσιν, οἷον, ἤκομεν, ἤκομες, καὶ τὸ κοινὸν οἴκαδε, λέγουσιν οἴκαδις. τὸ δὲ καρυξῶ, ἀντὶ τοῦ κηρύξω. τὸ δὲ λῇς, ἀντὶ τοῦ ἐθέλεις. ποτὶ, πρὸς τὸ, οὕτω δὲ σχηματίζεται. πρός, προτί, ποτί. ποτὶ τὸ πῦρ, ποτὶ τὸ πῦρ, κατὰ συγκοπήν. ποτὶ τὸν Δία, πρὸς τὸν Δία. ὅκα δὲ, ὅτε, ἐπίρρημα χρονικόν. μέν γα, μέν γε. τηνῶθεν, ἐκεῖθεν. τήνως, ἐκεῖνος. ἐμπορευόμαν, ἐμπορευόμην.

ΔΡΑΜΑΤΟΣ ΤΟΥ ΤΡΙΤΟΥ
Σκηνὴ τρίτη.

ACTVS III. SCENA tertia.

ΔΙΚΑΙΟΠΟΛΙΣ. ΜΕΓΑΡΕΥΣ, ΚΟΡΑΙ.

F DICÆOPOLIS, MEGARICVS, PVELLÆ.

Δι. Τί ἀνὴρ Μεγαρικός; Με. ἀγοράσοντες ἥκομες.
Δι. Πῶς ἔχετε; Με. διαπεινᾶμες ἀεὶ ποτὶ τὸ πῦρ.
Δι. Αλλ' ἡδύ τοι νὴ τὸν Δί' ἢν αὐλὸς παρῇ.
Τί δ' ἄλλο πράττεθ' οἱ Μεγαρεῖς νῦν; Με. οἷα δή.
Αλλὰ γὰρ ὅκα μὲν γα τηνῶθεν ἐμπορευόμαν,
Ανδρες πρόβουλοι τοῦθ' ἔπρασσον τῇ πόλει,
Οπως τάχιστα καὶ κάκιστ' ἀπολοίμεθα.
Δι. Αὐτίκ' ἄρ' ἀπαλλάξεσθε πραγμάτων. Με. σαμαί.

DI. Quid Megaricus? ME. negociatum venimus.
DI. Quomodo valetis? ME. esurimus apud focos.
DI. At suaue hoc, si tibicen adsit, per Iouem.
Quid aliud geritis vos Megarenses? MEG. hoc quidem.
G Sed quando illinc discessimus, primarij
In urbe consules hoc faciebant, uti
Pereamus & celerrime, & deterrime.
DI. Citò ergo liberabimini à malis. MEG. cedo.

Τί δ' ἄλλο; Δι. Μεγαροῖ, πῶς ὁ σῖτος ὤνιος;
Με. Παρ' ἁμὲ πολυτίματος, ἇπερ τοὶ θεοί.
Δι. Ἅλας οὖν φέρεις; Με. Οὐχ ὑμὲς αὐτῶν ἄρχετε;
Δι. Οὐδὲ σκόροδα; Με. Ποῖα σκόροδ'; ὑμὲς τῶν ἀεὶ
Ὅκκ' ἐσβάλητε τὼς ἀρουραῖοι μύες,
Πάσσακι τὰς ἄγλιθας ἐξορύσσετε.
Δι. Τί δαὶ φέρεις; Με. Χοίρως ἐγώνγα μυστικάς.
Δι. Καλῶς λέγεις, ἐπίδειξον. Με. Ἀλλὰ μὰν καλαί.
Ἄντεινον αἰ λῇς ὡς παχεῖαι καὶ καλαί.
Δι. Τουτὶ τί ἦν τὸ πρᾶγμα. Μεγαρ. Χοῖρος ναὶ Δία.
Δι. Τί λέγεις σύ; ποδαπὴ δ' ἥδ' ἐστί; Με. Μεγαρικά.
Ἢ οὐ χοῖρός ἐσθ' ἅδ'. Δι. Οὐκ ἔμοιγε φαίνεται.
Με. Οὐ δεινά; θᾶσθε τῶδε τᾶς ἀπιστίας,
Οὔ φατι τάνδε χοῖρον ἦμεν, ἀλλὰ μάν
Αἰ λῇς, περίδου νῦν μοι περὶ θυμιτιδᾶν ἁλῶν,
Αἰ μή 'στιν οὗτος χοῖρος Ἑλλάνων νόμῳ.
Δι. Ἀλλ' ἔστιν ἀνθρώπου γε. Με. Ναὶ τὸν Διοκλέα,
Ἐμά γα. τὺ δ' εἶμεν αὐτὰν τίνος δοκεῖς;
Ἢ λῇς ἀκοῦσαι φθεγγομένας; Δι. Νὴ τοὺς θεούς
Ἔγωγε. Με. Φώνει δὴ τὺ ταχέως χοιρίδιον,
Οὐ χρῇσθα σιγῇς, ὦ κάκιστ' ἀπολουμένα,
Πάλιν τύ γ' ἀποισῶ, ναὶ μὰ τὸν Ἑρμᾶν οἴκαδις.
Κό. Κοΐ, κοΐ.

A *Quid enim aliud? Di. quanti frumentum venditur*
Megaris? ME. in magno pretio est, sicut & Dei.
Di. Salémne fers? ME. annon vos domini estis salis?
B *Di. Nulla allia? ME. quænam allia? quorum vos scilicet,*
Quoties velut mures terreni irrumpitis,
Capita paxillo effoditis. Di. quid mercimonij
Igitur fers? MEG. porcas mecum apporto mysticas.
Di. Pulcrè dicis, age ostende. ME. sunt certè admodum
Pulcræ sustolle, si placet, ut quàm corpore
C *Obeso & pulcro sint videas. Di. quid hoc rei?*
ME. Porca est, me Iuppiter. Di. quid ais? cuiâs est, cedo,
Hæc porca? ME. Megarica: annon porca est. Di. mihi secus
Apparet. ME. non indignum hoc est? videte qua
Sit hac incredulitas, porcam non esse ait.
D *At, si lubet, depone tu mecum sales*
Thymo tritos, an non porca hæc fiet, & quidem
Græcorum lege. Di. porca hominis? ME. per Dioclem
Mea est. tu cuius illam esse putas? an capis
Audire grunnientes? Di. ita volo, per Deos.
ME. Vocem porcella ede ocyus: caue sileas,
Male perdita, aut, per Hermē, referam te domū.
Pv. Coi, coi.

E

Σχόλια. Ἀγοράζοντες ἥκομες.] ἐν ἀγορᾷ διατρίβοντες ἤλθομεν, ἢ ὠνησόμενοί τι ἢ πωλήσοντες. Διαπεινᾶμες.] πινόμενοι ὤφειλεν εἰπεῖν πρὸς τὸ πῦρ καθήμενοι. χειμῶνος γὰρ οἱ πότοι πρὸς τὸ πῦρ γίνονται. ὁ δὲ πεινῶμεν εἶπε διὰ τὸν λιμόν. ἢ ἐσχάτως πεινῶμεν. ὥστε καὶ τὰ ἱμάτια ἀποδυόμενοι καθεζόμεθα πρὸς τῷ πυρὶ διὰ τὸ ψῦχος. ἢ διάπυροι καὶ ἐκτόπως πεινῶμεν. ὁ καὶ βέλτιον. Ἀλλ' ἡδύ τοι νὴ τὸν Δί' ἦν αὐλὸς παρῆν] ὡς ἐπὶ τῶν πινόντων τὸν αὐλόν. ὅτι τὸ πῦρ, εὐωχίας σημαντικόν. ὥστε ἡδὺ ἦν ἀκοῦσαι μετὰ αὐλῶν. Ὅπως τάχιστα.] καὶ τοῦτο παρ' ὑπόνοιαν. πικρῶς ἐπήγαγε τὸ ἀπολλύμεθα. ἔδει γὰρ εἰπεῖν ὅτι ὅπως σωθῶμεν. Αὐτίκ' ἄρ' ἀπαλλάξεσθε.] πρὸς τὸ ῥηθὲν παρὰ τοῦ Μεγαρέως ἀπεκρίνατο ὁ Δικαιόπολις ἀστείως. εἰ γὰρ ἀπόλλυσθε φησί, ἀπαλλάττεσθε ἂν πραγμάτων. σημαίνει δὲ ἀντὶ τοῦ τί μήν. τί γὰρ ἄλλο καταλείπεται ἢ τοῦτο. Ἅπερ τοὶ θεοί.] ἀντὶ τοῦ ὥσπερ οἱ θεοὶ πολυτίμητοί εἰσι καὶ τίμιοι, οὕτω καὶ ὁ σῖτος πολλῆς τιμῆς ἐστι. παίζει οὖν.

Bisetvs. Ἅπερ τοί.] Παρ' ἁμέ, παρ' ἡμᾶς, ἤγουν παρ' ἡμῖν, ὅπερ μᾶλλον ἐν χρήσει. τὸ δὲ ψιλοῦν τὰ δασέα, Αἰολέων ἐστίν. Ἴωνες μέντοι καὶ αὐτοὶ ταυτὸ ποιοῦσι. καὶ πάλιν Ἴωνες τὰ ψιλούμενα δασύνουσι, οἷον ἀντὶ τοῦ χιτών, κιθῶνα λέγουσι, καὶ βάθρακος, ἀντὶ τοῦ βατράχου.

Σχόλια. Ἅλας οὖν φέρεις.] ἐν Νισαίᾳ τῆς Μεγαρίδος ἅλες πήγνυνται ἦν δὲ ὁ τόπος ὑπήκοος τῶν Ἀθηναίων. Ὑμὲς αὐτῶν ἄρχετε.] διὰ τὸ θαλασσοκρατεῖν τοὺς Ἀθηναίους, ἔφη ὑμεῖς αὐτῶν ἄρχετε. Οὐκ ἐσβαλεῖτε.] ἐσβαλεῖν ἐστι τὸ τινὰς ἐν ἀγρῷ εἰσελθόντας ἐκκόψαι πάντα τὰ ἐν αὐτῷ. λέγει οὖν ὁ Μεγαρικὸς ὅτι ποῖα σκόροδα, ἅ τινα ὑμεῖς εἰσελθόντες τοῖς χωρίοις τῆς Μεγαρίδος, καθάπερ γήινοι μύες ἐξεκόπτετε. ἀπὸ δὲ τῶν σκορόδων ἐσήμανε καὶ τὰ ἄλλα πάντα. τούτων δὲ ἐμνήσθη ὡς μηδὲ τῶν οὕτως εὐτελῶν φειδομένων τῶν Ἀθηναίων.

F

Bisetvs. Ὅκκ' ἐσβάλητε] ὅτι, ὁπόταν ἐσβαλεῖτε, ὡς, ὥσπερ ἀρουραῖοι, καὶ ἄγριοι μύες. τὸ δὲ ὡς νῦν ἀντὶ τοῦ ὥσπερ λαμβάνεται. ἀλλαχοῦ δὲ ἀντὶ τοῦ οὕτως, ὅθεν καὶ τὸ ὡς ἀποβολὴ τοῦ τ. Ὅμηρος Ιλ. Γ.

Τὰς δὲ σ' ἀπεχθήρω, ὡς νῦν ἔκπαγλ' ἐφίλησα.

Σχόλια. Πάσσακι.] ὑποκοριστικῶς τῷ πασσάλῳ. ἀγλῖθας δὲ, τὰς κεφαλὰς τῶν σκορόδων. φησὶν οὖν, ὅτι ὥσπερ ἀρουραῖοι μύες, ὀρύσσετε τῷ πασσάλῳ τὰς ἀγλῖθας. Χοίρως ἐγώνγα μυστικάς.] διὰ τὸ ἐν τοῖς μυστηρίοις τῆς Δήμητρος θύεσθαι χοίρους. Ἄντεινον αἰ λῇς.] ἀνάτεινον εἰ βούλει. καὶ κρεμάσας ἐπίσκεψαι πόσου βαρεῖς εἰσιν. εἰώθασι δὲ οἱ τὰς ὄρνεις ὠνούμενοι ἀνατείνειν ταύτας καὶ

G

τὸ βάρος αὐτῶν σκοπεῖν, καὶ οὕτω καταλαμβάνειν εἰ παχεῖαι. ἀπὸ τούτου οὖν καὶ ἐπὶ τῶν χοίρων τοῦτο ποιῆσαι παρακελεύεται. Τουτὶ τί ἦν τὸ πρᾶγμα.] ὁ Ἀθηναῖος κρεμάσας τὴν παῖδα ὁρᾷ τὸ αἰδοῖον αὐτῆς. καὶ ἐρωτᾷ περὶ αὐτῆς ὅτι ποτέ ἐστιν. ἦν γὰρ ὅμοιον τῷ αἰδοίῳ τοῦ χοίρου.

Bisetvs. Ποδαπὴ δ' ἥδ' ἐστί;] ποδαπὴ δέ ἐστι, κατὰ κρᾶσιν ἢ καὶ χασμῳδίαν, ποδαπὴ δ' ἥ ἐστι, ποδαπὴ δ' ἥδ' ἐστι

ἐστὶ τὸ δὴ ἀντὶ τοῦ δέ, ἢ ἀντὶ τοῦ ἤδη.

Σχόλια. Ἢ οὐ χοῖρος ἄδ' ἀδέ] τὸ αἰδοῖον δείκνυσι τῆς παιδός. Θέσθε τοῦ δεῖ τὰς ἀπιστίας.] ὁ Μεγαρεὺς, θέσθε φησὶ τοῦ Δικαιοπόλιδος τὰς ἀπιστίας. Ἀλλὰ μὰν αἰ λῇς] ἀλλὰ μὴν ἐὰν θέλῃς. τὸ δὲ παρ' ἑοῦ μοι Ὅμηρος. δεῦρό γε ἐνῶ τελειπόδος περιδόμεθα. Περὶ θυμιτιδᾶν ἁλῶν.] εἰ βούλει φησὶ ποιησώμεθα συνθήκας περὶ θυμιτιδῶν ἁλῶν. ἤτοι μετὰ θύμου τετριμμένων. καὶ ἑτέρωθι. ἅλας θυμίτας δύο ἐμοὶ καὶ κρόμμυα. Αἱ μὴ 'στιν αὐτὰ χοῖρος.] τοῦτό φησιν, ἐπεὶ καὶ τὸ γυναικεῖον αἰδοῖον χοῖρον ἐκάλουν οἱ Ἕλληνες. διὰ τοῦτο γοῦν ὁ Ἀττικὸς ἐπιφέρει, ἀλλ' ἔστιν ἀνθρώπου. Ναὶ τὸν Διοκλέα) Διοκλῆς ἥρως τιμᾶται παρὰ Μεγαρεῦσιν, ᾧ καὶ ἀγῶνα τελοῦσι τὰ Διόκλεια. οὗ καὶ Θεόκριτος μέμνηται.

Νισαῖοι Μεγαρῆες ἀριστεύοντες ἐρετμοῖς,
Ὄλβιοι οἰκείοιτε τὸν Ἀττικὸν ὡς περίαλλα
Ξεῖνον τιμήσασθε Διοκλέα τὸν φιλόπαιδα.

ὃν δὴ ἐπὶ τῷ Διοκλεῖ ἔθηκεν ἀγῶνα, ἀλκάθους ὁ Πέλοπος, ἐπιτελοῦσιν οἱ Μεγαρεῖς. Οὐ χρῆσθα σιγῆς.] λεληθότως πρὸς τὰ χοιρίδια λέγει. οὐ χρῆσθα σιγᾶς.

Bis. Ἄλλως. ὁ Μεγαρεὺς μίαν τῶν θυγατέρων προσφωνεῖ, ὡς δῆλον ἐκ τοῦ τύ γ' ἀποισῶ. διὸ χρὴ ἀπτέον ἀπολυμένα, ἀντὶ τοῦ, ἀπολυμένη. ἡ δὲ τούτων ἔννοια αὕτη. ὦ θύγατερ κάκιστα ἀπολυμένη νῦν οὐκ ἔστι σοι χρεία σιγῆς, οὐ χρὴ νῦν σε σιγᾶν, ἀλλὰ φωνεῖν, καὶ χοῖ-

A ρον τῇ σου φωνῇ μιμεῖσθαι δεῖ. τὸ χρῆσθα ἐστὶ δεύτερον πρόσωπον τοῦ παρατατικοῦ, παρὰ τὸ χρῆ, ἐχρῆν, καὶ κατ' ἀφαίρεσιν χρῆν, χρῆς. καὶ Ἀττικῶς προστεθέντος τοῦ θα, κατὰ πλεονασμὸν, ὡς τὸ οἶδας, οἶδασθα, καὶ κατὰ συγκοπὴν οἶσθα. οὕτω καὶ ἦσθα, ἀπὸ τοῦ ἦς, ἤγουν ὑπῆρχες. σημειωτέον δὲ ὅτι τὸ χρὴ, ὅταν σημαίνηται τὸ δεῖ, καὶ χρείαν ἔχειν, μετὰ γενικῆς συντάσσεται, ὡς καὶ ἐνταῦθα. οὕτω καὶ παρ' Ὁμήρῳ. Ιλ. Η. —οὐδέ τί σε χρὴ

Ταύτης ἀφροσύνης.

ἀντὶ τοῦ, οὐ δεῖ σοι, οὐκ ἔστι σοι χρεία ταύτης ἀφροσύνης. οὐ

B δεῖ σε εἶναι οὕτως ἄφρονα. Καὶ Ὀδυσσ. γ.

Τηλέμαχ', οὐ μέν σε χρὴ ἔτ' αἰδοῦς οὐδ' ἠβαιόν.

Εὐστάθιος τοῦτο ἑρμηνεύων λέγει, ἀντίπτωσίς ἐστιν ἀρχαϊκὴ συνήθης. ἀντὶ τοῦ, οὐ μὴν σοι χρεία ἐστὶν αἰδοῦς. ἴσως δὲ τὸ χρὴ, ὅταν οὐ δηλοῖ τὸ πρέπει, ἀλλὰ τὸ δεῖ, γενικῇ χαίρει, ὅτι ἐκ τῇ χρήζω γίνεται, ὃ σημαίνει χρείαν ἔχειν. διὸ καὶ ἐν τῷ παρατατικῷ ὡς ἀπὸ τοῦ χρήζω σχηματισθὲν ἐν τῷ χρῆσθα κλίνεται ὡς τὰ ἄλλα ῥήματα τὰ διὰ τριῶν προσώπων κλινόμενα. τοῦτο μέντοι σαφέστερον. τὸ δὲ, πάλιν τύ γ' ἀποισῶ οἴκαδις, τοῦτο βούλεται δηλοῦν, ἐὰν νῦν

C σιωπήσῃς ἀκαίρως, ἐγώ σε πρὸς τὸν οἶκον, ἢ οἴκαδε ἀποίσω, ἵνα πάλιν πεινῇς.

Σχόλια. Πάλιν τύ γ' ἀποισῶ.] ἐὰν σιωπήσετε ἀποίσω πάλιν ὑμᾶς οἴκαδε λιμώξοντας. Κοΐ κοΐ.] αἱ παῖδες μιμοῦνται τὴν χοίρων φωνὴν κοΐ κοΐ λέγουσαι.

Με. Αὕτα 'στὶ χοῖρος. Δι. νῦν γε χοῖρος φαίνεται.
Ἀτὰρ ἐκτραφείς γε, κύσθος ἔσται πέντ' ἐτῶν.
Με. Σάφ' ἴσθι ποττὰν ματέρ' εἰκασθήσεται.
Δι. Ἀλλ' οὐδὲ θύσιμός ἐστιν αὑτηί. Με. σὰ μάν.
Πᾷ δ', οὐχὶ θύσιμός ἐστι; Δι. κέρκον οὐκ ἔχει.
Με. Νέα γάρ ἐστιν, ἀλλὰ δελφακουμένα,
Ἑξεῖ μεγάλαν τε καὶ παχεῖαν κἠρυθράν.
Ἀλλ' αἰ τράφεν λῇς, ἅδε τοι χοῖρος καλά.
Δι. Ὡς ξυγγενὴς ὁ κύσθος αὐτῆς θατέρᾳ.
Με. Ὁμομητρία γάρ ἐστι, κἠκ ταὐτοῦ πατρός.
Αἰ δ' ἀμπαχυνθῇ, κἀναχνοανθῇ γ' ἐν τρίχι,
Κάλλιστός ἐστι χοῖρος Ἀφροδίτᾳ θύειν.
Δι. Ἀλλ' οὐχὶ χοῖρος τἀφροδίτῃ θύεται.
Με. Οὐ χοῖρος; Ἀφροδίτᾳ μόνᾳ γα δαιμόνων,
Καὶ γίνεταί γα τᾶνδε τᾶν χοίρων τὸ κρῆς,
Ἅδιστον, ἂν τὸ ὀδελὸν ἐμπεπαρμένον.

ME. Hac porca est. DI. apparet nunc porca scilicet:
Sed adultus & quinque annorum cunnus mihi st.
D *ME. Certò scias, quòd matri hac exaquabitur.*
DI. At sacrificari isthac nequit. ME. qui dum nequit
Sacrificari? cedò. DI. quia caudam non habet.
ME. Iuvencula est: sed ubi perfecta atate erit,
Habebit ingentem, & satis crassam, & rubram.
Sed si educare voles, pulcra hac porca est tibi.
E *DI. Vt unus cunnus alteri cognatus est.*
ME. Quia ex eadem matre, & uno sunt patre.
At cùm pingues fuerint, & hirtis crinibus,
Tum Veneri sacrificare porcam erit optimum.
DI. At Veneri porca sacrificari non solet.
ME. Non porca? immò soli Veneri ex Dîs omnibus,
Et harum porcarum caro fit suauissima,

F

Σχόλια. Νῦν γε χοῖρος φαίνεται.] νῦν σαφῶς σημαίνει, ὅτι χοῖρος τὸ γυναικεῖον αἰδοῖον λέγεται. ἔτι δὲ καὶ κύσθος. ποτὰν ματέρα δὲ, πρὸς τὸ τῆς μητρὸς αἰδοῖον. Θύσιμος. διὰ τὸ εἶναι αὐτὴν γυναῖκα τοῦτο ἔφη. Κέρκον οὐκ ἔχει. τὰ γὰρ κόλοβα ἐν τῇ ἱερουργίᾳ οὐ θύεται, καὶ καθόλου ὅπερ ἂν ᾖ μὴ τέλειον τῶν ζῴων, οὐ θύεται τοῖς θεοῖς. Νέα γάρ ἐστι.] ἀντὶ τοῦ ἡβῶσα, καὶ αὐξομένη ἕξει παχεῖαν καὶ μεγάλην οὐράν. τοὺς γὰρ μείζονας λοιπὸν χοίρους δέλφακας ἐκάλουν. ἅμα δὲ καὶ ὡς ἐπὶ κόρης παίζει. ὅτι ἕξει μεγάλην οὐρὰν τὴν τοῦ ἀνδρὸς πόσθην. αἰνίττεται δὲ εἰς τὸ καυλὸν [illegible].

Bisetus. Κἠρυθράν.] καὶ ἐρυθράν. Τράφεν δὲ τρέφειν ἐθέλεις. τὸ ἐκ τοῦ δωρικοῦ ἔτραφεν, ὥσπερ ἐν τῷ εἶκα, ἀντὶ τοῦ εἶπε καὶ τὸ εἶ ἐξαμείβεται. οὕτω καὶ τύπτειν, τύπτεν.

Σχόλια. Ὡς ξυγγενὴς ὁ κύσθος.] τῇ ἑτέρᾳ φησὶ πό-

ρῃ ὅμοιός ἐστι. διὰ τὸ ἀδελφὰς εἶναι αὐτάς. Κἀναχνοανθῇ.] ἀντὶ τοῦ δασυνθῇ. χνοῦς γὰρ ἡ πρώτη θρὶξ καὶ λεπτή. τουτέστιν ἐὰν ἀκμάσῃ καὶ ἡβήσῃ. Κάλλιστός ἐστι χοῖρος.] κοινὴ ἡ ἔννοια ἐπί τε τοῦ ζώου τοῦ χοίρου, καὶ ἐπὶ τοῦ αἰδοίου τῆς κόρης. πάνυ δὲ μετὰ χάριτος ἔφη. ἅμα μὲν πρὸς θυσίαν. ἅμα δὲ καὶ πρὸς τὴν συνουσίαν. τυθῆναι δὲ αὐτὴν λέγει τῇ Ἀφροδίτῃ, τὸ φθαρῆναι αὐτήν. Ἀλλ' οὐχὶ χοῖρος.] πολλοὶ τῶν Ἑλλήνων οὐ θύ-

G ουσι χοίρους τῇ Ἀφροδίτῃ, ὡς βδελυττομένης διὰ τὸν Ἄδωνιν, αὐτόν. Μόνα γα δαιμόνων.] αὐτῇ μόνῃ μάλιστα ὁ χοῖρος θύεται, ὡς πρὸς τὸ αἰδοῖον.

Bisetus. Τὸ κρῆς] τὸ κρέας, κρέατος. οὕτω καὶ Θεόκριτος εἰδ. α.

Α χίμαρος. χιμάρῳ δὲ καλὸν κρῆς, ἔστε κ' ἀμέλξῃς.

Σχόλια. Τὸν ὀδελὸν ἐμπεπαρμένον.] Βοιωτοὶ τὸν ὀβελὸν, ὀδελὸν λέγουσι.

Bisetus. Ο δὲ νοῦς ἀπλ. ἀντὶ τοῦ ὀβολὸν ἐμπαρυθμόν. ἐν τῷ ὀβολῷ ἐμπεπαρμένον. τὸ δὲ ναὶ τὸν Ποτείδαν, ἀντὶ τοῦ, ναὶ τὸν Ποσειδῶνα. τὸ σ εἰς τ ἐτράπη, A καὶ μεταπλασμὸς τῆς κλίσεως γέγονεν, ὡς ἀπὸ τῆς εὐθείας ὁ Ποτείδας, τὸ δὲ κἄνευ γα, ἀντὶ τοῦ καὶ ἄνευ γε. τοῦ πατρὸς ἐσθίουσι δηλονότι.

Δι. Ἤδη δ' αὗται τῆς μητρὸς ἐσθίουσιν αὖ.
Με. Ναὶ τὸν Ποτείδαν. αἴ κἄνευ γα τῷ πατρός.
Δι. Τί δ' ἐσθίει μάλιστα; Με. πάνθ' ἅ κα διδῷς.
Αὐτὸς δ' ἐρώτη. Δι. χοῖρε, χοῖρε. Κό. κοΐ κοΐ.
Δι. Τρώγοις ἂν ἐρεβίνθους; Κό. κοΐ κοΐ.
Δι. Τί δαί; Φιβάλεως ἰσχάδας; Κό. κοΐ κοΐ.
Δι. Τί δαί, σῦκα τρώγοις αὐτὸς ἄν; Κό. κοΐ κοΐ.
Δι. Ὡς ὀξὺ πρὸς τὰς ἰσχάδας κεκράγατε.
Ἐνεγκάτω τις ἔνδοθεν τῶν ἰσχάδων,
Τοῖς χοιριδίοισιν. ἆρα τρώξονται; βαβαί,
Οἷον ῥοθιάζουσ' ὦ πολυτίμηθ' Ἡράκλεις,
Ποδαπὰ τὰ χοιρί', ὡς Τραγασαῖα φαίνεται,
Ἀλλ' οὐχὶ πάσας κατέτραγον τὰς ἰσχάδας.
Με. Ἐγὼ γὰρ αὐτῶν τάνδε μίαν ἀνειλόμαν.
Δι. Νὴ τὸν Δί', ἀστείω γε τὼ βοσκήματε,
Πόσου πρίωμαί σοι τὰ χοιρίδια λέγε.
Με. Τὸ μὲν ἕτερον τούτων, σκορόδων τροπαλίδος.
Τὸ δ' ἅτερον αὖ λῆς, χοίνικος μόνας ἁλῶν.
Δι. Ὠνήσομαί σοι, περίμεν' αὐτοῦ. Με. ταῦτα δή
Ἑρμᾶ 'μπολαῖε, τὰν γυναῖκα τὰν ἐμὰν
Οὕτω μ' ἀποδόσθαι, τάν τ' ἐμαυτῶ ματέρα.

Cùm figitur veru. Di. num sine matre comedunt?
ME. Per Neptunum, etiam sine patre. Di. quid potissimùm
Comedunt? ME. quidquid dederis. sed tute interroga.
B *Di. Porca, porca. PV. coî, coî.*
Di. Comedis ne ciceres & mentas? PV. coî, coî.
Di. Quid autem? an caricas comedis? PV. coî, coî.
Di. Quid ergo? an ficos deuoras? PV. coî, coî.
Di. Quàm clare ad caricas grunnistis, efferat
Huc aliquis caricas domo hisce porculis.
Nunquid eas comeditis? papæ, quanto vorant
Cum strepitu! proh magne Hercules: è quo solo
C *Sunt hæ porcellæ? quàm voraces succulæ?*
Atqui non omnes deuorarunt caricas.
ME. Ego hanc vnam illis subtraxi modò caricam.
Di. Vrbanæ & lepidæ sunt hæ pecudes per Iouem,
Quanti istas emero à te porcellas, cedo?
ME. Harum alteram alliorum manipulo, alteram
D *Vno salis chœnice: siquidem volueris.*
Di. Emam abs te, agè manedum istbic. ME. vtinam, ô Mercuri
Negociator, tantidem vxorem meam,
Meamq́; matrem vendere liceat mihi.

Σχόλια. Πάντ' ἃ διδῷς.] ἅ τινα ἂν παραβάλῃς αὐτοῖς ἐσθίουσιν. Τρώγοις ἐρεβίνθους] ἔπαιξε πρὸς τὸ αἰδοῖον τοῦ ἀνδρός. ἐπεὶ καὶ ἐρέβινθον αὐτὸ καλοῦσι. Τί δαὶ Φιβάλεως] τόπος Μεγαρίδιος. ἄλλοι Ἀττικῆς. ἀμφιβάλλεται γάρ. γένος δὲ συκῆς ἡ φίβαλις ἐπιτήδειον εἰς ξήρανσιν ἰσχάδων. ἐπεὶ ἀπὸ τοῦ ἰσχναίνεσθαι, ἰσχὰς καλεῖται. καὶ τοὺς ἰσχνοὺς τῶν ἀνθρώπων φιβάλεις καλοῦσι. ὁ δὲ τόνος φιβάλεως προπαροξυτόνως, ὡς κορώνεως συνήθως. Οἷον ῥοθιάζουσ'.] ἀθρόον καὶ μετὰ κτύπου φωνῆς ὁρμῶσι καὶ ἐσθίουσι. θαυμαστικῶς δὲ οἷον μετὰ ῥόθου καὶ ψόφου ἐσθίουσιν. Τραγασαῖα.] ἀπὸ τοῦ τρώγειν ἔπαιξεν. ἅμα δὲ καὶ ὡς ἀπὸ πόλεως. Τὰν δὲ μίαν ἀνειλόμαν.] τῶν ἰσχάδων δηλονότι μίαν ἔλαβον. Ἀστείω γε τὼ βοσκήματε.] ἀνθηρὰ καὶ καλὰ τὰ βοσκήματα. ὅτι χοίρων δὲ καλεῖται τὸ βόσκημα. Ξενοφῶν δὲ ἐν ἑβδόμῳ τῆς παιδείας καὶ ἐπὶ ἵππων τέθεικε τὴν λέξιν. Σκορόδων τροπαλίδος.] διαβάλλει τοὺς Μεγαρέας, ὅτι εἰς τοσοῦτον ἦλθον πενίας, ὥστε τὰ τέκνα πωλεῖν δεσμοῦ σκορόδων καὶ χοίνικος ἁλῶν. E τροπαλὶς δὲ, ἡ δέσμη τῶν σκορόδων. ἀστείως δὲ ὁ Μεγαρεὺς ἅμα καὶ πειραστικῶς ταῦτα παρὰ τοῦ Δικαιοπόλιδος ζητεῖ, ἃ πρότερον οἱ Μεγαρεῖς ἄλλοις παρεῖχον. Ἑρμᾶ ἐμπολαῖε.] τὸ πλῆρες Ἑρμᾶ. λείπει δὲ τὸ εἴθε. ἐμπολαῖε δὲ, ἐμπορικὲ πραγματευτικέ. ὁ Μεγαρικὸς δὲ πάνυ καλῶς ἐμφαίνει τὸν πολὺν λιμόν. ὡς εὐτυχῶς γὰρ πωλήσας τὴν θυγατέρα αὐτοῦ καὶ καλῶς, εὔχεται πάλιν οὕτως ἀποδόσθαι καὶ τὴν μητέρα. ἐμφαίνει δὲ τὸν μέγαν λιμόν.

F

ΔΡΑΜΑΤΟΣ ΤΟΥ ΤΡΙΤΟΥ
Σκηνὴ τετάρτη.
ΣΥΚΟΦΑΝΤΗΣ, ΜΕΓΑΡΕΥΣ, ΔΙΚΑΙΟΠΟΛΙΣ.

ACTVS III. SCENA quarta.
SYCOPHANTA, MEGARICVS, DICAEOPOLIS.

Bis. Νῦν ἥκει Συκοφάντης, ὃς ἐκ τοῦ Μεγαρέα, ἐκ τῶν αὐτοῦ χοιριδίων ὡς πολέμια φανεῖν ἀπειλεῖ. ἀλλὰ Δικαιόπο- G λις τὴν αὐτοῦ φάσιν καταγελᾷ, καὶ αὐτὸν ἀπωθοῦ, ἐκ τοῦ Μεγαρέα τοῦ συκοφαντίας, καὶ πραγμάτων ἀπαλλάττει.

Συ. Ἄνθρωπε, ποδαπός; Με. χοιροπώλας Μεγαρικός.
Συ. Τὰ χοιρίδια τοίνυν γ' ἐγὼ φανῶ ταδί

SY. *Heus tu, cuiâs es? ME. porculator Megaricus.*
SY. *At ego quadruplator sum, qui te iam deferã,*

Πολέμια

Πολέμια καὶ σύ. Με. τοῦτ' ἐκεῖν', ἥκει πάλιν
Ὅθεν περ ἀρχὰ τῶν κακῶν ἁμῖν ἔφυ.
Συ. Κλάων Μεγαρεῦς. οὐκ ἀφήσεις τὸν σάκον;
Με. Δικαιόπολι, Δικαιόπολι φαντάζομαι.
Δι. Ὑπὸ τοῦ; τίς ὁ φαίνων σ' ἐστίν; Με. οἱ δ' ἀγορανόμοι.
Δι. Τοὺς συκοφάντας οὐ θύραζ' ἐξείρξετε
Τί ἢ μαθὼν φαίνεις ἄνευ θρυαλλίδος;
Συ. Οὐ γὰρ φανῶ τοὺς πολεμίους; Δι. κλάων γε σὺ
Εἰ μὴ 'τέρωσε συκοφαντήσεις ἰών.
Με. Οἷον τὸ κακὸν ἐν ταῖς Ἀθάναις τοῦτ' ἔνι.
Δι. Θάρρει Μεγαρικ', ἀλλ' ἧς τὰ χοιρίδι' ἀπέδου
Τιμῆς, λαβὲ ταυτὶ τὰ σκόροδα καὶ τοὺς ἅλας.
Καὶ χαῖρε πολλά γ'. Με. ἀλλὰ μὰν οὐκ ἐπιχώρειον. (ἐμοί.
Δι. Πολυπραγμοσύνης νυν, ἐς κεφαλὴν τρέποιτ'
Με. Ὦ χοιρίδια πειρῆσθε κἄνις τῶ πατρὸς
Παίειν ἐφ' ἁλὶ τὰν μᾶδδαν, αἴκα τὶς διδῷ.

A *Cum porculis, quasi hostes. ME. hoc illud: redit*
Eódem: unde & prima mali labes extitit.
SY. Male Megarissabis. non mittes sacculum?
ME. Dicæopoli, Dicæopoli, accusor miser.
DI. A quo? quis ille quadruplator? ME. heus præsides
B *Fori. DI. cur Sycophantas non expellitis*
Forâs? quid tu quadruplare sine funalibus?
SY. Non deferam hostes? DI. male mulctaberis nisi
Abeas, & tua negotia alibi exerceas.
ME. Quale hoc in urbe Atheniensium malũ est?
DI. Bono animo es Megarice: & quo pretio porcalas
Mihi vendidisti, hoc cape, sales & allia.
C *Vale multũ. ME. hoc nostra nõ fert mos patria.*
DI. Vah curiositas hac, in meum caput
Illud vale redundet. ME. ô mea porcula
Nunc intus solicitamini etiam sine patre,
Vt panem cum sale edatis, siquis det modò.

Σχόλια. Ἐγὼ φανῶ.] ἀποδείξω. ἔστι δὲ φάσις ὄνομα δίκης οὕτω καλουμένης. Ὅθεν περ ἀρχά.] ἐκ τῶν συκοφαντιῶν δηλονότι. Κλάων Μεγαρεῦς.] ἐπὶ τῇ Μεγαρέων ἐχρήσατο φωνῇ, ἀντὶ τοῦ λιμώξεις, ἢ εἰς Μέγαρα ἀπελεύσῃ. ἢ τὰ Μεγαρέων φρονήσεις. ἢ τῇ Μεγαρέων διαλέκτῳ χρήσῃ. Οὐκ ἀφήσεις τὸν σάκον.] σάκος νῦν δι' ἑνὸς κ. ἀνωτέρω δὲ, διὰ δύο. Φαντάζομαι.] ἀντὶ τοῦ συκοφαντοῦμαι. καλεῖ δὲ τὸν Δικαιόπολιν πρὸς τὸ συμμαχῆσαι αὐτῷ. Φαίνεις ἄνευ] πρὸς τὴν ὁμωνυμίαν παίζει. Εἰ μὴ 'τέρωσε.] εἰ μὴ ἀλλαχοῦ ἀπελθὼν ἑτέροις συκοφαντήσεις. Οἷον τὸ κακόν.] τὸ τῶν συκοφαντῶν. διαβάλλει οὖν τοὺς Ἀθηναίους ὡς πολλοὺς συκοφάντας ἔχοντας. Ἀλλὰ μὰν οὐκ ἐπιχώρειον] τὸ χαίρειν διὰ τὰ κατέχοντα ἡμᾶς κακά. Πολυπραγμοσύνης] ὅτι προσετέθη ἐφ' ἑαυτῷ μὲν τὸ χαίρειν, εἰς κεφαλὴν μοι τρέποιτο. λείπει δὲ τὸ ἕνεκα. ἕνεκα τῆς πολυπραγμοσύνης. ὁ δὲ λόγος, ἀλλὰ τὸ χαίρειν ἔλθοι εἰς τὴν κεφαλήν μου. ὅτι πολυπραγμονῶ εἰπών σοι χαίρειν. οὕτω δὲ ἔλεγον οἱ Ἀττικοὶ ἐν κατηγορίᾳ τινός, εἰς κεφαλὴν τρέποιτο. τοῦτο δὲ ἐπὶ κακῶν λέγοντες. ἐπεὶ δὲ ὁ Μεγαρεὺς λέγει οὐκ ἔστιν αὐτοῖς ἐπιχώρειον τὸ χαίρειν, φησὶν ὁ Ἀττικὸς διὰ τὴν πολυπραγμοσύνην εἰς τὴν ἐμὴν κεφαλὴν τρέποιτο τὸ χαίρειν. ἀντὶ τοῦ ὅτι πολυπράγμων εἰμί, εἰπών σοι μὴ βουλομένῳ τὸ χαίρειν, γένοιτο τοῦτο εἰς τὴν ἐμὴν κεφαλὴν τραπῆναι. ἀστείως δὲ πάνυ. κἄνις δὲ ἀντὶ τοῦ καὶ χωρίς. Παίειν ἐφ' ἁλὶ τὰν μᾶδδαν.] ἐσθίειν μετὰ τῶν ἁλῶν τὸν ἄρτον διὰ τὸ ἀπορεῖν προσφαγίου.

E

ΣΤΡΟΦΗ κώλων κδ'.

STROPHE.

Χο. Εὐδαιμονεῖ γ' ἄνθρωπος. οὐκ ἤκουσας οἷ προβαίνει
Τὸ πρᾶγμα τοῦ βουλεύματος; καρπώσεται γὰρ ἀνήρ
Ἐν τῇ 'γορᾷ καθήμενος.
Κἂν εἰσίῃ τις Κτησίας,
Ἢ συκοφάντης ἄλλος, οἰ-
μώζων καθεδεῖται.
Οὐδ' ἄλλος ἀνθρώπων ὑποψωνῶν σε πημανεῖται.
Οὐδ' ἐξομόρξεται Πρέπις τὴν εὐρυπρωκτίαν σοι.

CH. *Beatus hic homo'st: non audisti quorsum institutum*
Euadat hoc negocium? fructum iste consequetur
F *Vir, in foro qui consideti*
Et si quis intret Ctesias,
Aut Sycophanta reprobus,
Mærens residebit:
Nec quisquam alius opsonando damnum tibi inferet: nec
Tibi insculpet suam Prepis Cinediam nefandam,

Σχόλια. Εὐδαιμονεῖ γ' ἄνθρωπος.] ἐξελθόντων τῶν ὑποκριτῶν καὶ μένοντος τοῦ χοροῦ, μονοστροφικὸν περίοδον ἑξάκωλον δὲ. ὧν ἡγοῦνται στίχοι ἰαμβικοὶ τετράμετροι καταληκτικοὶ δύο. μεθ' οὓς κῶλα δίμετρα ἀκατάληκτα. τὸ δ' αὐτὸ καὶ ἐπὶ τῶν ἑξῆς τεσσάρων περιόδων. καὶ αἱ μὲν πρῶται παραγράφῳ, ἡ δὲ τελευταία κορωνίδι σημειοῦται. Ἐν τῇ 'γορᾷ καθήμενος.] ἔν τισιν εὑρέθη, ἐν τῇ ἀγορᾷ καθήμενος, μόνους τοὺς καρποὺς G ἐξοίσεται. Κτησίας.] οὗτος ὡς συκοφάντης διαβάλλεται. Ὑποψωνῶν σε.] παραλείπων. ὅτι ὁ ὀψώνια κακῶς ἀγορεύων βλάψει. διότι αὐτὸς μόνος συναλλάττει τὰς ἀγοράς. ἄλλως. προσθεὶς τῷ ὀψωνίῳ. εἰσὶ γὰρ πολλοὶ διὰ μικρᾶς προσθήκης ἀνούμενοι. σημαίνεται δὲ τὸ βλάψει. λυπήσει, ὦ Δικαιόπολι. Ἐξομόρξεται.] ἐναποψήσεται, ἐναπομάξει. ὡς καταπύγων δὲ κωμῳδεῖται ὁ Πρέπις. ἀντὶ τοῦ οὐκ ἀνέξῃ τῆς κιναιδείας Πρέπιδος.

Οὐδ' ὠστιεῖ Κλεώνυμος.
Χλαῖναν δ' ἔχων φανὴν, δίει.
Κοὐ ξυντυχὼν Ὑπέρβολος
Δικῶν ἀναπλήσει.
Οὐδ' ἐντυχὼν ἐν τῇ ἀγορᾷ προσείσι σοι βαδίζων
Κρατῖνος. ἀεὶ κεκαρμένος μοιχὸν, μιᾷ μαχαίρᾳ.
Οὐδ' ὁ περιπόνηρος Ἀρτέμων
Ὁ ταχὺς ἄγαν τὴν μουσικὴν,
Ὄζων κακὸν τῶν μασχαλῶν,
Πατρὸς τραγασαίου.
Οὐδ' αὖθις αὖ σε σκώψεται Παύσων ὁ παμπόνηρος.
Λυσίστρατός τ' ἐν ἀγορᾷ Χολαργίων ὄνειδος.
Ὁ περιαλουργὸς τοῖς κακοῖς
Ῥιγῶν τε καὶ πεινῶν ἀεί.
Πλεῖν ἢ τριάκονθ' ἡμέρας
Τοῦ μηνὸς ἑκάστου.

A *Nec te premet Cleonymus:*
I, lana amictus splendida:
Nusquam incidens Hyperbolus
Te lite replebis.
Nec obuius tibi in foro occurret Cratinus ille,
Qui semper est cinadicè tonsus ab vna machara:
Nec conscleratus Artemo,
B *Arte expeditus Musica,*
Hircum sub alis malè qui olet,
Ex patre caprino.
Sed neque conuicijs incesset te Pauso scelestus,
Neque in foro Lysistratus opprobrium Cholargicorum:
Qui mala profundè cogitans,
Subinde friget & esurit,
Plusquam triginta per dies,
C *Quouis propè mense.*

Σχόλια. Οὐδ' ὠστιεῖ Κλεώνυμος] ὠθήσεις. ἀντὶ τοῦ οὐδὲ πιεσθήσῃ ὑπὸ Κλεωνύμου ἀναγκάζοντός σε κινεῖν. ἐστὶ δὲ Κλεώνυμος ὡς ἀδηφάγος καὶ ῥίψασπις κωμῳδεῖται. Ὑπέρβολος] τοῦτον ὡς φιλόνεικον διαβάλλει συνεχῶς Ἀριστοφάνης. ἦν δὲ στρατηγὸς Ἀθηναίων. φανὴν δὲ λαμπράν. δίει δὲ διελεύσῃ. Κρατῖνος.] οὗτος μελῶν ποιητὴς. κωμῳδεῖται δὲ ἐπὶ μοιχείᾳ καὶ ὡς ἄσεμνος κεκαρμένος. μοιχὸς δὲ εἶδος καὶ ὄνομα κουρᾶς ἀπρεποῦς κιναιδώδους. Οὐδ' ὁ περιπόνηρος.] ὥσπερ ἐλέγετο ὁ περιφόρητος Ἀρτέμων ἀπὸ τῆς παροιμίας. ἧς μέμνηται καὶ Ἀνακρέων ἐπιχθείσης ἐπὶ καλοῦ καὶ ἁρπαζομένου πρὸς πάντων παιδός. παρ' ὑπόνοιαν δὲ ἔφη, τὸ Ἀρτέμων. οὐ γὰρ τοῦτον ἀλλὰ τὸν Κρατῖνον βούλεται δηλῶσαι. συνεχρόνισε δὲ τῷ δικαίῳ Ἀριστείδῃ οὗτος ὁ Ἀρτέμων. ὃς ἦν ἄριστος μηχανητής. λέγεται δὲ τὸ χωλὸν αὐτὸν εἶναι, ὅπου ἂν καταλήφθει πόλεμος καὶ χρεία μηχανῆς ἦν ἐπὶ τὸ τεῖχος καταβληθῆναι ἢ τὸ τοιοῦτον μετεπέμποντο αὐτὸν φερόμενον. ἀπὸ τούτου οὖν ἡ παροιμία. καὶ πάντες οἱ σοφοὶ, περιφόρητοι καλοῦνται. Ὁ ταχὺς ἄγαν τὴν μουσικήν.] ὡς ἐπὶ τροχῷ ποιοῦντος αὐτοῦ ποιήματα. ἦν γὰρ καὶ μελοποιός. Ὄζων] ὡς δυσώδη διαβάλλει αὐτόν. τραγασαίου γὰρ διὰ τὴν τράγων δυσωδίαν εἶπε. Λυσίστρατος.] ἐπὶ μαλακίᾳ διεβάλλετο. ἐν ἐνίοις δὲ καὶ πένης ὁ αὐτὸς καὶ κυβευτής. ἐκαλεῖτο δὲ καὶ χηναλώπηξ. Χολαργίων] δῆμος Ἀττικῆς οἱ Χολαργεῖς τῆς Ἀκαμαντίδος φυλῆς. Ὁ περιαλουργός.] ὁ κακοῖς βεβαμμένος, ὁ βαθὺς τοῖς κακοῖς. μετενήνεκται δὲ ἡ λέξις ἀπὸ τῆς βαφῆς τῆς πορφυρᾶς τῆς θαλάσσης· ὅτι ἐμβάψας τὸ ὄστρακον εὑρίσκεται. ἁλουργὴς ἐσθὴς ἡ πορφυρᾶ. Πλεῖν ἢ τριάκονθ' ἡμέρας.] ἀντὶ τοῦ τριάκοντα ἡμέρας. ὁ γὰρ μὴν τριάκοντα ἡμέραις πληροῦται.

ΔΡΑΜΑΤΟΣ ΤΟΥ ΤΕΤΑΡΤΟΥ Σκηνὴ πρώτη.

ACTVS IIII. SCENA prima.

ΒΟΙΩΤΟΣ, ΔΙΚΑΙΟΠΟΛΙΣ.

BOEOTVS, DICAEOPOLIS.

Βις. Προσέρχεται Βοιωτὸς διάφορα διαφέρων βρωμάτων φορτία φέρων εἰς τὴν Ἀττικὴν ἀγορὰν, ταῦτα πωλήσων.

Κορωνὶς ἐκ στίχων ογ'.

Βοι. Ἴττω Ἡρακλῆς, ἔκαμόν γα τὰν τύλαν κακῶς.
Κατάθου τὺ τὰν γλάχων' ἀξίμας Ἰσμηνία.
Ὑμὲς δ' ὅσοι Θείβαθεν αὐληταὶ πάρα,
Τοῖς ὀστίνοις φυσῆτε τὸν πρωκτὸν κυνός.
Δι. Παῦ' ἐς κόρακας. οἱ σφῆκες οὐκ ἀπὸ τῶν θυρῶν;
Πόθεν προσέπτανθ' οἱ κακῶς ἀπολούμενοι
Ἐπὶ τὴν θύραν μοι χαιριδεῖς, βομβαύλιοι.
Βοι. Νὴ τὸν Ἰόλαον ἐπιχαρίτως γ' ὦ ξένε.
Θείβαθε γὰρ φυσᾶντες ἐξόπιθέ μου,
Καὶ τὰ ἄνθεα τᾶς γλάχωνος ἀπέκεξαν χαμαί.
Ἀλλ' εἴ τι βούλει πρίασθαι τῶν ἐγὼ φέρω,
Τῶν ὀρταλίχων ἢ τῶν τετραπτερυλλίδων.

F *BOE. Sciat Hercules: callum peperit mihi hic labor,*
Depone tu pulegium placide Ismenia:
At vos, qui adestis, Thebani tibicines,
Agite osseis inflate podicem canis.
DI. Abi in malam rem: non ibitis ab ostio.
Vos vespæ vnde aduolârunt hæ malè perditæ
Mihi ad ostium, bombisonæ volucres Charidis?
BOE. Per Iolaum, ex animi sententia, mi homo.
G *Nam ponè qui flant, Thebani tibicines*
Sunt, & flores pulegij abiecerunt humi;
At si lubet, aliquid istorum eme, quæ huc affero,
Aliquid gallinarum, aut cicadarum, mi homo.

Δι. Ὦ

Δι. Ὦ χαῖρε κολλικοφάγε Βοιωτίδιον.
τί φέρεις; Βοι. ὅσ' ἔστ' ἀγαθὰ Βοιωτοῖς ἁπλῶς,
Ὀρίγανον, γλαχώ, ψιάθους, θρυαλλίδας,
Νάσσας, κολοιούς, ἀτταγᾶς, φαλαρίδας,
Τροχίλους, κολύμβους. Δι. ὥσπερεὶ χειμὼν ἄρα
Ὀρνιθίας ἐς τὴν ἀγορὰν ἐλήλυθας;
Βοι. Καὶ μὰν φέρω χᾶνας, λαγώς, ἀλώπεκας,
Σκάλωπας, ἐχίνως, αἰελούρως, πικτίδας,
Ἰκτίδας, ἐνύδρεις, ἐγχέλεις Κωπαΐδας.
Δι. Ὦ τερπνότατον σὺ τέμαχος ἀνθρώποις φέρων,
Δός μοι προσειπεῖν, εἰ φέρεις τὰς ἐγχέλεις.
Βοι. Πρέσβειρα πεντήκοντα Κωπαΐδων κορᾶν,
Ἔκβαθι τῷδε κἠπιχάριττα τῷ ξένῳ.
Δι. Ὦ φιλτάτη σὺ καὶ πάλαι ποθουμένη,
Ἦλθες ποθεινὴ μὲν τρυγῳδικοῖς χοροῖς,
Φίλη δὲ Μορύχῳ. διάκονοι ἐξενέγκατε
Τὴν ἐσχάραν μοι δεῦρο καὶ τὴν ῥιπίδα.
Σκέψασθε παῖδες τὴν ἀρίστην ἐγχέλυν,
Ἥκουσαν ἕκτῳ μόλις ἔτει ποθουμένην.

A *DI. Di te saluum velint, amabo, Bœote mi,*
Bucellarum vorator: quid fers mercium?
BOE. Quicquid boni Bœoti simpliciter habent,
Storeas, pulegium, origanum, verbasculum,
Anates, phalarides, regulos, monedulas,
Colymbos, attagenas. DI. ergo tu, velut
Hybernus ad forum venisti ornithias.
BOE. Quin etiam lepores, vulpes, anseres fero,
B *Talpas, feles, pyctidas, erinaceos,*
Pluuiales ictidas, anguillas Copaicas.
DI. Euge mi homo qui tā dulce fers tomaculū:
Sine alloquar, siquas anguillas fers mihi.
BOE. Heus quinquaginta virginum Copaidum
Maxima natu, exi & gratificare huic hospiti.
DI. Carissima anguilla & dudum optatissima:
Grata aduenisti iam Trygœdicis choris,
Quàm cara Morycho. famuli efferte huc ilicet
C *Craticulā & follem mihi; videte hanc optimā*
Anguillam, quæ toties optata cùm foret:
Vix demum sexto anno aduenit: pueri mei

Σχ. Ἰττὼ Ἡρακλῆς] κορωνίς. εἰσίασι γὰρ οἱ ὑποκριταί, καὶ εἰσὶν ἰαμβικοὶ τρίμετροι ἀκατάληκτοι οϛ. πλὴν τοῦ οα', καὶ οϛ. τετραμέτρων καταληκτικῶν ὄντων. ἄλλως. ἔρχεταί τις ἀνὴρ Θηβαῖος καμὼν τὸν ὦμον ἐν τῷ βαστάζειν τὸ φορτίον ὃ ἔφερε καὶ φησίν. ἰττὼ Ἡρακλῆς, ἀντὶ τοῦ ἴστω. ἔκαμον τὸν ὦμον βαστάζων. τύλον δὲ ἀρσενικῶς ἔλεγον τὸν ὦμον τὸν τετυλωμένον, καὶ τετυλωμένον καὶ τετριμμένον ἐκ τῆς σαρκός. ὁποῖον πολλάκις ἐπὶ τοῦ ὤμου γίνεται τοῖς ἀχθοφόροις, ἐκ τοῦ βαστάζειν τι συνεχῶς. καὶ τὰ λευκολείδας τραχήλου τύλον ἔπιον.

Bisetus. σημείωσαι δὲ ὅτι ἐν τῷ πρώτῳ τούτου τοῦ στίχου ποδὶ κράσιν τοῦ ω καὶ η δεῖ ποιεῖσθαι, ἵν' ὁ σπονδεῖος ὅπερ σπανιώτατον δοκεῖ. ἴσως τοίνυν γραπτέον ἁπλῶς, ὦ Ἡρακλῆς. ἤ, ὦ Ἡράκλεις. ἤ, ὃ καὶ πιθανώτερον ἐστὶν ὁ στίχος ἐστὶ προκέφαλος, ὅτι ἐν τῇ ἀρχῇ πλεονάζει συλλαβῇ. ὡς καὶ τὸ παρ' Ὁμήρῳ,

Ἡ εἰ πέμψαι δ' μνηστῆρ' Ὀδυσσῆος θείοιο. καί,

Ἡ οὐχ ἅλις ὅτι γυναῖκας ἀνάλκιδας ἠπεροπεύεις. τίς δὲ στίχος προκέφαλος, ἢ ἀκέφαλος. τίς προκοίλιος, καὶ λαγαρός τις δολιχόουρος, εἴτε μακροσκελὴς, ἢ μείουρος, ὁ Ἡφαιστίων ἐν τῷ περὶ ποδῶν χωλῶν διδάσκει.

Σχόλια. Γλάχωνα] τὸ ὀρίγανον. κλίνεται καὶ γληχὼ ὡς σαπφώ. καὶ βληχώ. Αὐληταὶ παρὰ] ἀντὶ τοῦ πάρεστε. ἐσπούδαζον δὲ οἱ Θηβαῖοι περὶ τὸν αὐλόν. Τοῖς ὀστίνοις φυσῶντε] λείπει τὸ αὐλοῖς. ὀστίνοις δὲ ἔφη, ἐπεὶ τὸ παλαιὸν ἀπὸ τῶν ἐλαφείων ὀστῶν κατεσκεύαζον τοὺς αὐλούς. τὸ δὲ πρωκτὸν κυνός, κομματικόν ἐστιν ἀπὸ παροιμίας, ἣν τοῖς ὀφθαλμιῶσιν ἔλεγον. ἐς πρωκτὸν κυνὸς βλέπε. μέμνηται ἐν Ἐκκλησιαζούσαις τούτων μὲν εἰπών, ἐς πρωκτὸν κυνὸς βλέπει. Οἱ σφῆκες] ἀπὸ τοῦ ἠχεῖν τοὺς αὐλητὰς ὡς οἱ σφῆκες. μετὰ τοῦ βιβαίνει δέ, αὐληταὶ πολλοὶ ἦλθον εἰς τὰς θύρας τοῦ Δικαιοπόλιδος. Χαιριδεῖς βομβαύλιοι] τὰ τοῦ Χαιρίδος πεπαιδευμένοι ἢ αὐλητρίδες. Χαῖρις δέ, αὐλητὴς Θηβαῖος ἄμουσος. μέμνηται ἐν ἀρχῇ τοῦ δράματος. ὅτε δὴ παρέκυψε χαίρις ἐπὶ τὸν ὄρθιον. Ἀττικὴ δὲ ἡ συνήθεια τό, οὕτω λέγειν ἀπὸ τοῦ χαίρειος χαιρειδεῖς. καὶ ἀπὸ τοῦ Πειραιεὺς Πειραιεῖς. βομβαύλιοι αὐληταί. βομβαυλίους δὲ τοὺς αὐλητὰς ἐκάλουν [illegible] τὸν αὐλὸν. βομβύλιοι δὲ εἴδος μελισσῶν. καὶ εἴρηται παρὰ τὸ βομβεῖν. Νὴ τὸν Ἰόλαον] Ἰόλαος ἥρως Θηβαῖος [illegible] παρὰ Θηβαίοις. τὸ δὲ ὅτι ἐν μὲν φησὶ φυσᾶν ἐν τῷ πνεύματι αὐτῆς ἡ ὄρθη τὸ γλάχωνος ἀπέβαλεν. ἐβάσταζε γὰρ φορτίον τὸ γλάχωνος. τὸ δὲ ἐπιχαρίτως ἀντὶ τοῦ κεχαριτωμένως. καὶ κεχαρισμένως ἡμῖν ἀπόλοισθ' ἄν.

Bisetus. Ἀπέκιξαν] Ἡσύχιος ἀπέκιξαν λέγει, καὶ ἑρμηνεύει, φυσῶντες ἀποπιστεῖν [illegible] σημειῶσαι δὲ τοῦτο τὸ ῥῆμα ὅπως σοι ἂν γράψῃς, παρὰ τοῖς ἄλλοις οὐχ
D εὑρίσκεται, καὶ αὐτὸ τὸ θέμα οὐ δῆλον ἐστί. τινὲς λέγουσιν ἀπὸ τοῦ ἀποκιείω, ἀποκείσω γίνεται ἀόρ. α. ἀπέκισα κοινῶς, καὶ Βοιωτικῶς ἀπέκιξα, τραπέντος τοῦ σ εἰς ξ. ἀλλὰ τοῦτο μᾶλλον ἐστὶ τῶν παλαιῶν Ἀττικῶν, τῶν τρεπόντων τὸ σ εἰς ξ. οἷον σύν, ξύν, σύμμαχος, ξύμμαχος. καὶ τῶν Δωριέων, ὡς μετ' ὀλίγον ἔσται δῆλον. οἱ δὲ Βοιωτοὶ τὸ κ εἰς ξ. τρέπουσιν, οἷον, εἴκασιν, εἴξασιν. ἶκον. ἶξον. Ὀδ. ι. Εὐστάθ. κιω, τὸ χίζω, ἐκ τοῦ κίω, ἐπενθέσει τοῦ ι. ἴσως τοίνυν ἀποκίειν ἐνταῦθα καταχρηστικῶς σημαίνει τὸ ἀποφυσᾶν, καὶ φυσῶντα διασκεδᾶν. καθάπερ καὶ Ἡσύχιος δηλοῦν δοκεῖ. ἀπέκιξαν οὖν
E γραπτέον, καὶ κατὰ Δωρικὴν διάλεκτον ἀντὶ τοῦ ἀπέκισαν λεκτέον. ἀλλὰ τούτων οὐδένα βεβαιωτὴν τῶν παλαιῶν, καὶ δοκίμων ἀνδρῶν ἔχουσιν ὀνομάσαι. πιθανώτερον μέντοι λέγειν ὡς ἀπὸ τοῦ ἕω γίνεται τὸ ἕζω, ὅθεν ἵζω, καὶ καθίζω, τὸ κάθημαι, καὶ τὸ ἱδρύω, οὕτω καὶ ἀπὸ τοῦ ἀχρήστου κίω, γίνεσθαι κίζω ἄχρηστον, καὶ ἀποκίζω, ὁ μέλλων κοινῶς μὲν ἀποκίσω. δωρικῶς δὲ ἀποκιξῶ ὅθεν ἀόριστος α. ἀπέκιξα. καὶ γὰρ οἱ Δωριεῖς ἐν πλείστοις τὰ τοῦ μέλλοντος διὰ τοῦ σω λεγόμενα κοινῶς, προφέρουσι διὰ τοῦ ξῶ, καὶ τὸ ξ. ἐν τῷ
F ἀορίστῳ φυλάττουσιν. οἷον, καθίζω, καθίσω, ἐκάθισα κοινῶς. δωρικῶς δὲ καθιξῶ, ἐκάθιξα. Θεόκριτος εἰδύλ. α.

Λῆς ποτὶ τᾶν Νυμφᾶν, λῆς αἰπόλε τῇδε καθίξας.

ἀντὶ τοῦ καθίσας, ἤγουν καθήμενος. καί,

Φαλὶ πρὶν ἢ ἀκράτιστον ἐπὶ ξηροῖσι καθιξεῖ.

ἀντὶ τοῦ καθίσει. διὸ καὶ τὸ ἀπέκιξαν καλῶς ἔχει.

Σχόλια. Τετραπτερυλλίδων.] τῶν ἀκρίδων παρὰ τὸ δὲ ἔχειν πτερά. ὀρταλίχων δὲ τῶν ἀλεκτρυόνων κατὰ τὴν τῶν Βοιωτῶν διάλεκτον. Κολλικοφάγε.] κόλλιξ εἶδος ἄρτου πεφυρμένου. ὀρίγανον δὲ θηλυκῶς Ἀττικοί. Γλαχώ.] ἡ γλαχὼ τῆς γλαχοῦς, Ἀττικοὶ δὲ βληχώ φασιν.
Φαλαρίδας.] οἱ μὲν γένος ὀρνίθων. οἱ δὲ τὰς ἐν τῷ Φαληρεῖ γινομένας. Ὀρνιθίας.] οὕτως ὁ σφοδρὸς χειμὼν ἐν ᾧ καὶ τὰ ὄρνεα διαφθείρεται. οὕτω δὲ καὶ ἄνεμος ὀρνιθίας. ὁς ὑπὲρ τὴν γῆν τὰ ὄρνεα στορέννυσι [illegible] τοῦ ψύχους πνεῖ. ὁ δὲ Σύμμαχος χειμῶνα ὀρνιθίαν ἀποδίδωσι. διὰ τὸ χειμῶνος ταῦτα τὰ ὄρνεα ἐπιφαίνεσθαι. ὡς παρὰ Ἀράτῳ.

Σκάλωπας.] μύας τινὰς οὓς φαμὲν ἀσπάλακας. Ἰκτίδας] εἶδος ζώου ὡς οἱ καστόρες. ἢ ἐνυδρίδες. ἔστι δὲ ἰχθυοφάγον. Κωπαΐδας.] λίμνη ἐν Βοιωτίᾳ Κωπαΐς, ἐν ᾗ ἐγχέλεις πλεῖσται. ἔστι δὲ καὶ πόλις ὁμώνυμος. Δός μοι προσειπεῖν] ὁ Δικαιόπολις ἀκούσας περὶ ἐγχέλεως, πρὸς τὸ Μεγαρικὸν λέγει ἀσμένως. ὅτι ὦ τερπνὸν καὶ καλὸν ἥκεις τέμαχος κομίσας τὴν ἐγχέλυν, δός μοι αὐτὴν προσειπεῖν. Πρέσβειραν.] ὁ στίχος ἀπὸ δράματος Αἰσχύλου ὅπλων κρίσεως οὕτως ἐπιγεγραμμένου. ἐν ᾧ ἐπικαλεῖται τὰς Νηρηΐδας τὰς ἐξελθούσας εἶναι πρὸς τὴν Θέτιν λέγων. δέσποινα πεντήκοντα Νηρῄδων χορόν. Κά-

Δ τιχάρεσθε.] ἀντὶ τοῦ ἐπιχαίρετε ἐπελθόντι τῷ ξένῳ. Ω φίλτατη] ὁ Δικαιόπολις εἰληφὼς τὴν ἔγχελυν, λέγει αὐτὴν ἀσμένως ὁρῶν. Μορύχῳ.] ὁ Μόρυχος ἐπὶ ὀψοφαγίᾳ κωμῳδεῖται. ἦν δὲ καὶ τῶν ἡδέως βιούντων. τραγῳδίας δὲ ποιητὴς ἐστί. Τὴν ἐσχάραν μοι.] ἐσχάραν τὴν νῦν καλουμένην ἄρυλαν. ῥιπίδα δὲ, τὸ φυσητῆρα. Τὴν ἀρίστην ἔγχελυν.] Ἀττικῶς ἔγχελυν, Βοιωτικῶς ἔγχελυν. σκέψασθε δὲ, ἀντὶ τοῦ βλέψατε προσέχετε.

BISETVS. ὦ τάν.] ὦ φίλοι, ὦ ἑταῖροι. οὐ γὰρ πρὸς ἕνα μόνον, ἀλλὰ πληθυντικῶς τὸ ὦ τὰν, ἐνταῦθα λαμβάνεται.

Προσείπατ' αὐτὴν ὦ τέκν', ἀνθράκων δ' ἐγὼ
Ὑμῖν παρέξω τῆσδε τῆς ξένης χάριν.
Ἀλλ' ἔσφερ' αὐτήν, μηδὲ γὰρ θανών ποτε
Σοῦ χωρὶς εἴην ἐντετευτλανωμένης.
Βοι. Ἐμοὶ δὲ τιμὰ τᾶσδε πᾶ γενήσεται.
Δι. Ἀγορᾶς τέλος ταύτην γέ που δώσεις ἐμοί,
Ἀλλ' εἴ τι πωλεῖς τῶνδε τῶν ἄλλων λέγε.
Βοιω. Ἰῶγα ταῦτα πάντα. Δικ. φέρε πόσου λέγεις;
Ἢ φορτί' ἕτερ' ἐνθένδ' ἐκεῖσ' ἄξεις ἰών.
Βοιω. Ὅ τι γ' ἔστ' Ἀθάναις, ἐν Βοιωτοῖσι δὲ μή.
Δικ. Ἀφύας ἄρ' ἄξεις πριάμενος Φαληρικάς,
Ἢ κέραμον. Βοι. ἀφύας ἢ κέραμον, ἀλλ' ἔντ' ἐκεῖ.
Ἀλλ' ὅτι παρ' ἁμῖν μή, τάδε δ' αὖ πολύ.
Δι. Ἐγᾦδα, συκοφάντην ἐξάγειν,
Ὥσπερ κέραμον ἐνδησάμενος. Βοιω. νὴ τὼ Σιώ.
Λάβοιμι μέντ' ἂν κέρδος ἀγαθὸν, καὶ πολὺ
Ἄπερ πίθακον, ἀλιτρίας πολλᾶς πλέων.
Δι. Καὶ μὴν ὁδὶ Νίκαρχος ἔρχεται φανῶν.
Βοι. Μικκός γα μᾶκος οὗτος. Δι. ἀλλ' ἅπαν κακόν.

Alloquimini ipsam. ego prunas vobis porrigam,
Vel hospitalitatis causa huc duc eam.
Nam ne quidem abs te esse velim, mortuus licet,
Vbi tu probè cum betis assata fueris.
BOE. Sed pretium pro anguilla unde reddetur mihi?
DI. Hanc tu dabis nomine portorij mihi.
Sed an quid reliquarum venale est mercium?
BOE. Immò hæc omnia. DI. cedo, quanti singula æstimas?
Aut vin tu alias auferre hinc merces pro tuis?
BOE. Quidquid Athenis est, quod non sit Bœotijs.
DI. Tu igitur emere à nobis Phalericas,
Aut urceum. BOE. urceum, aut apuas: at sunt ibi
Et tamen quæ verò apud nos non sunt affatim,
Illorum magna hic copia est. DI. noui Hercule,
Age sycophantam expecta, & velut urceum
Constringe. BOE. per Iouem: quippe lucri plurimum
Hinc fecerim, si duxero pro simia,
Multis referta flagitijs & fraudibus.
DI. Quadruplator hic Nicarchus, commodè aduenit.
BOE. Parua statura hic est. DI. sed magna malitia.

Σχόλια. Τῆς ξένης χάριν] διὰ τὸ ἐπιξενίζεσθαι. παίζων δὲ ἔφη. Ἐντετευτλανωμένης] ἀντὶ τοῦ μετὰ τεύτλων ἑψηθείσης. μετὰ τεύτλων γὰρ ἤσθιον τὰς ἐγχέλεις. λέγονται γὰρ τεύτλοις συνεψόμεναι ἥδισται εἶναι. καὶ ἀλλαχοῦ φησὶ τὰς ἐν τεύτλοις λοχευομένας. Ἐμοὶ δὲ τιμά.] ἐμοὶ γὰρ τὸ τίμημα αὐτῆς πῶς ἐστιν. Ἀγορᾶς τέλος.] ἔθος ἦν τὸ παλαιὸν, ὡς καὶ μέχρι τοῦ νῦν, τοὺς ἐν τῇ ἀγορᾷ πιπράσκοντας τέλος διδόναι τοῖς λογισταῖς. λέγει οὖν ὁ Δικαιόπολις, ὅτι τέλος λαμβάνω ταύτην ὑπὲρ ὧν ἐπώλησας. Ἰῶγα] ἀντὶ τοῦ ἐγὼ ταῦτα πάντα. Κεῖσ' ἄξεις ἰών] γράφεται καὶ ἰὼ ἀντὶ τοῦ ἐγώ. ἡ δύο στιγμαὶ ἐν τῷ ἄξεις. εἶτα τὸ ἰώ. Ὅτι γ' ἔστ' Ἀθάναις] ταῦτα φησιν αἰτῶν ἀπὸ τῶν Ἀθηναίων, ἃ τοῖς Βοιωτοῖς οὐκ εἰσίν. Ἀφύας ἢ κέραμον.] καὶ ἀφύαι καὶ κέραμοι εἰσιν ἐν τῇ Βοιωτίᾳ.

BISET. Ἔντ' ἐκεῖ] ἐντὶ, ἐστὶν, ἢ εἰσί. ταῦτα γὰρ ἄμφω τοῦτο Δωρικῶς σημαίνει.

Σχόλια. Συκοφάντην ἐξάγειν.] διαβάλλει πάλιν τοὺς Ἀθηναίους ὡς πολλοὺς ἔχοντας συκοφάντας.

BISET. Νὴ τὼ Σιώ.] νὴ τὼ θεώ, τὼ Διοσκούρω δηλονότι. οὕτω γὰρ οἱ Δωριεῖς, καὶ μάλιστα οἱ Λάκωνες.

Σχόλια. Λάβοιμι μέντ' ἂν κέρδος.] εἰληφὼς τὸν συκοφάντην πεπληρωμένον ἁμαρτίας, καὶ πωλήσας ἅτε πίθηκον, εὑρήσω πολὺ κέρδος. ταῦτα δὲ εἰρωνευόμενος λέγει. Ἅπερ πίθακον.] ὥσπερ πίθηκον ἁμαρτίας καὶ ἀδικίας πεπληρωμένον. Νίκαρχος.] ὁ Νίκαρχος κωμῳδεῖται ὡς συκοφάντης. φανῶν δὲ, ἀντὶ τοῦ κατηγορήσων.

BISET. Μικκός γα μᾶκος] ἀντὶ τοῦ οὗτος μικρός γε ἐστὶ τὸ μῆκος. ἀπὸ δὲ τοῦ μᾶκος γίνεται τὸ μακρός.

ΔΡΑΜΑΤΟΣ ΤΟΥ ΤΕΤΑΡΤΟΥ

Σκηνὴ δευτέρα.

ΝΙΚΑΡΧΟΣ, ΒΟΙΩΤΟΣ, ΔΙΚΑΙΟΠΟΛΙΣ, ΧΟΡΟΣ.

Τρίμετροι.

ACTVS IIII. SCENA secunda.

NICARCHVS, BOEOTVS, DICAEOPOLIS, CHORVS.

Senarij.

Bisetus. Νίκαρχος συκοφάντης Βοιωτοῦ φόρτον ἀπολύσας ὑπὸ Βοιωτοῦ, καὶ Δικαιοπόλιδος κατὰ χειρὸς ὑποστῆναι, καὶ παραίνεσιν ζημιοῦται, καὶ ἀπολάζεται, καὶ φορτίων ἀλλαγῆς πειρωμένης, ὡς δούλου ὅμως ἐπιτεθεὶς εἰς Βοιωτίαν ἀποφέρεται.

Νι. Ταυτὶ τίνος τὰ φορτί' ἐστί; Βοι. τᾷδ' ἐμά,
Θείβαθεν ἴττω Ζεύς. Νικαρ. ἐγὼ τοίνυν γ' ὁδὶ
Φαίνω πολέμια ταῦτα. Βοι. τί δαὶ κακὸν παθών,
Ορναπετίοισι πόλεμον ἤρω καὶ μάχαν;
Νικαρ. Καὶ σέ γε φανῶ πρὸς τοῖσδε. Βοι. τί ἀδικειμένος;
Νικαρ. Ἐγὼ φράσω σοι τῶν θεατῶν χάριν,
Ἐκ τῶν πολεμίων εἰσάγεις θρυαλλίδας.
Δικαιοπ. Ἔπειτα φαίνεις δῆτα διὰ θρυαλλίδας;
Νι. Αὕτη γὰρ ἐμπρήσειεν ἂν τὸ νεώριον.
Δικ. Νεώριον θρυαλλίς; Νικ. οἶμαι. Δικ. τίνι τρόπῳ;
Νι. Ἐνθεὶς ἂν ἐς τίφην ἀνὴρ Βοιώτιος,
Ἅψας ἂν ἐσπέμψειεν ἐς τὸ νεώριον,
Δι' ὑδρορρόας βορέαν ἐπιτηρήσας μέγαν.
Κεἴπερ λάβοιτο τῶν νεῶν τὸ πῦρ ἅπαξ,
Σελαγοῖντ' ἂν αἱ νῆες. Δικ. ὦ κάκιστ' ἀπολούμενε,
Σελαγοῖντ' ἂν ὑπὸ τίφης τε καὶ θρυαλλίδος;
Νικ. Μαρτύρομαι. Δικ. ξυλλάμβαν' αὐτοῦ τὸ στόμα,
Δός μοι φορυτόν, ἵν' αὐτὸν ἐνδήσας φέρω,
Ὥσπερ κέραμον, ἵνα μὴ καταγῇ φορούμενος.
Χο. Ἔνδησον ὦ βέλτιστε τῷ ξένῳ καλῶς
Τὴν ἐμπολὴν οὕτως, ὅπως ἂν μὴ φέρων κατάξῃ.
Δικαιοπ. Ἐμοὶ μελήσει ταῦτ', ἐπεί τοι καὶ ψοφεῖ
Λάλον τι καὶ πυρορραγὲς, κἄλλως θεοῖσιν ἐχθρόν.
Χο. Τί χρήσεταί ποτ' αὐτῷ;
Δι. Πάγχρηστον ἄγγος ἔσται,

Ni. Cuius sunt mercimonia hæc? Boe. mea quippe sunt,
Aduecta Thebis, nôrit Iuppiter. Nic. bona hæc
B Hostilia sunt: ego quadruplor. Dic. quid hîc mali
Tibi obtigit, vt bellum suscipias contra aues?
Nic. Ego deferam te cum auibus. Boe. quid passus es iniuriæ?
Ni. Dicam tibi, horum spectatorum gratia,
Ex hostibus importas ad nos funalia.
Boe. Num deferas me propter hæc funalia?
C Ni. Hoc vnicum facile nauale incenderit.
Boe. Nauale ab vno funali? Ni. autumo. Boe. quomodo?
Nic. Quia si in frumentum ponat vir Bœotius,
Post apprehensum in nauale hûc immiserit,
Obseruato Aquilonis flatu, per aquæ tubos.
Tum si flamma ignis corripiat naues semel,
D Mox vniuersæ luceant. Di. male perdite,
An ex frumento & funali vno luceant?
Nic. Protestor hanc iniuriam. Dic. os ei comprime.
Da tortilem mihi funem, vt colligem, & velut
Quendam vrceum portem, ne rumpatur miser,
E Dum geritur. Ch. colliga hospiti mercem hanc bene,
Mi amice, ne confringat gestitans mercem malignam.
Dic. Hæc res mihi curæ erit: quandoquidem tinnit hic
Quiddam streperum, & igni ruptum, & alias crudele Dijs.
Ch. Quem cedet huic in vsum?
F Di. Ad omnia vtile hoc vas

Biset. Τᾷδ' ἐμά.] δεικτικῶς λέγεται. ἐμὰ τούτου, ἤγουν ἁπλῶς, ἐμοῦ τοῦ παρόντος. τὸ δὲ ἴττω δωρικῶς ἀντὶ τοῦ ἴστω, ἐκ τοῦ ἰσάτω, τρίτου προσώπου τοῦ προστακτικοῦ, παρὰ τὸ ἴσημι, τὸ ἐπίσταμαι. ἰσάτω, καὶ κατὰ συγκοπὴν ἴστω καὶ τὸ σ εἰς τ ἐτράπη. τοῦτο δὲ ἄνω.
Σχ. Θείβαθεν ἴττω Ζεύς.] ἐκ τῶν Θηβῶν ἴστω ὁ Ζεύς. Ορναπετίοισιν.] ἀντὶ τοῦ ὀρνέοις. ὡς ἐπὶ ἰθύων δὲ λέξις. διὰ τί ὀρνέοις πόλεμον ποιεῖς, ὡσεὶ ἔλεγε Βοιωτοῖς. ἢ ἁπλῶς ἄλλοις.
Bisetus. Τὸ δὲ ἤρω ἐστὶ β. πρόσωπον τοῦ α. ἀορίστου μέσου. αἴρω, ἀρῶ. ἦρα. ἠράμην ἤρω, ἤρατο. τὸ δὲ αἴρειν, ἔστι αἴρεσθαι, εἴτε ἄρασθαι πόλεμόν τινι ἀντὶ τοῦ κατά τινος πόλεμον ἀναδέχεσθαι, πόλεμον ἐπιφέρειν τινί. τὸ δὲ ἀδικειμένος βοιωτικόν ἐστιν ἀντὶ τοῦ ἠδικημένος, τοῦ η τραπέντος εἰς ει μακρόν, ἢ τὸ αὔξησεως ἠμελημένης τὸ ε βραχὺ, καὶ τῆς ει διφθόγγου τεθείσης ἀντὶ τοῦ η. οὕτω καὶ τὸ τέθεικα, ἀντὶ τοῦ τέθηκα βοιωτικῶς λέγεται.
Σχόλια. Τῶν θεατῶν χάριν] οὐκ εἰς τὴν χάριν, ἀλλὰ τῶν παρόντων ὡς φιλόπολις. εἰς τὸ αὐτὸ ἰδίως φησὶ φράσω διὰ τοὺς παρεστῶτας. Θρυαλλίδας] διὰ τὰ ἐλλύχνια. ὡς ἀπορρήτου δὲ ὄντος τούτου δεινοῦ, εἰσφέρειν θρυαλλίδας εἰς τὰς Ἀθήνας. Ἐνθεὶς ἂν ἐς τίφην.] οἱ Ἀθηναῖοι τίφην καλοῦσι τὴν καλουμένην αἴγλην ἐστὶ δὲ ζῷον κανθαρῶδες. λέγει δὲ, ὅτι ἐκ ταύτης δήσας τις τὴν
G θρυαλλίδα ἡμμένην, εἰσπέμπει εἰς τὰ νεώρια, ἐπιτηρήσας βορέαν πνέοντα. καὶ οὕτω καύσει τὰς ναῦς. νεώριον δὲ καλεῖται ὁ τόπος ὁ περιέχων τὰ πλοῖα, ἡνίκα ἂν ἐλκυσθῶσιν. Εἰς τὸ αὐτό.] ἐμβαλὼν δήσας τὴν θρυαλλίδα εἰς τὴν σίφωνα. Δι' ὑδρορρόας] διὰ στενοῦ τόπου. ὑδρορρόη καλεῖται τὸ μέρος τῆς στρατιᾶς δι' οὗ τὸ ἀπὸ τοῦ ὄμβρου ὕδωρ συναγόμενον καλέρχεται. Κεἴπερ λάβοιτο.]

δὰν ἅψηται φησὶ μόνον, εὐθὺς καίεται. Σελαγοῖντ' ἂν] αἱ Λικαιόπολις ὁ Δικαιόπολις τὸν συκοφάντην. Ταῦτα δὲ λέγει ἐκπληττόμενος ὁ Δικαιόπολις τὸν συκοφάντην. Ταῦτα δὲ εἰπὼν, τύπτει εὐθὺς τὸν Νίκαρχον. Μαρτύρομαι] ὁ Νίκαρχος τυπτόμενος ὑπὸ τοῦ Δικαιοπόλιδος τοῦτο λέγει. Φορυτόν.] φρύγανον. χοινίον. δέσμην χόρτου συμφιλωδοῦς. ἢ φρυγανῶδη ἀκαθαρσίαν. ὡς τὸ σινδὼν ἄμυδι φορυτόν τε καὶ ἴσνια λύματ' ἀστέρας. διὰ τοῦ μικροῦ. ἢ ψιαθῶδες πλέγμα ᾧ τοὺς στά- A χυας ἐμβάλλουσιν. ἢ τὴν ἐκ φρυγάνων στρωμνήν. Ὥσπερ κέραμον] οἱ γὰρ καλῶς δεσμούμενοι κέραμοι δυσθραυστοι καὶ μόλις κλῶνται. Ἐνδήσω δ' ὦ βέλτιστε] διπλῆ καὶ μετάβασις εἰς μονοστροφικὴν δυάδα διστιχεῖς ἔχουσαν τὰς περιόδους. Τὴν ἐμπολήν.] ἐμπολὴ τὸ ἀπὸ τῆς πραγματείας κέρδος. Πυρορραγὴς] πυρορραγὴς κέραμος, ὁ ἐν πυρὶ ῥηγνύμενος. ὁ δὲ κέραμος πυρορραγὴς γενόμενος, σαθρὸν ἠχεῖ.

Κρατὴρ κακῶν, τρίπτηρ δικῶν,
Φαίνειν ὑπευθύνους λυχνοῦχος, καὶ κύλιξ,
Τὰ πράγματ' ἐγκυκᾶσθαι.
Χο. Πῶς δ' ἂν πεποιθοίη τις ἀγ-
γείῳ τοιούτῳ χρώμενος κατ' οἰκίαν,
Τοσόνδ' ἀεὶ ψοφοῦντι;
Δι. Ἰσχυρόν ἐστιν ὦ 'γαθ', ὥσ-
τ' οὐκ ἂν καταγείη ποτ' εἴ-
περ ἐκ ποδῶν
Κατωκάρα κρέμαιτό γε.
Χο. Ἤδη καλῶς ἔχει σοι.
Βοι. Μέλλω γέ τοι θερίζδειν.
Χο. Ἀλλ' ὦ ξένων βέλτιστε συν-
θέριζε. καὶ τοῦτον λαβὼν,
Πρόσβαλλ' ὅπου βούλει φέρων
Πρὸς πάντα συκοφάντην.
Δικαιοπ. Μόλις γ' ἐνέδησα τὸν κακῶς ἀπολού-
μενον,
Αἴρου λαβὼν τὸν κέραμον ὦ Βοιώτιε.
Βοι. Ὑπόκυπτε τὰν τύλαν ὦ Ἰσμήνιχε,
Χ' ὅπως κατοίσεις αὐτὸν εὐλαβούμενος.
Πάντως μὲν οἰσεῖς οὐδὲν ὑγιές. ἀλλ' ὅμως
Κἂν τοῦτο κερδάνῃς ἄγων τὸ φορτίον,
Εὐδαιμονήσεις συκοφαντῶν γ' οὕνεκα.

B *Erit, malorum plurium*
Crater, trapetum litium:
Fax in reis quadruplandis, & calix in hac
Republ. obruenda.
CH. At quomodo fidat aliquis
Huiusmodi vasi, in domo
Sic perpetim strepenti?
DI. Satis validum 'st, ut ne citò
Frangatur, si modò capite
C *Misso deorsum,*
Suspenderetur in pedes.
BOE. Volo metere deinceps.
CH. Ah mi hospes hunc unà mete:
Prehende nequam: proyce:
Quocumque lubet, illum abripe,
Ad cuncta Sycophantam.
DI. Vix colligaui tandem hominem male per-
D *ditum,*
Sustolle & accipe urceum Bœotie.
BOE. Humerum huc inclina Ismeniche, & da
sedulò
Operam, ut asportes: nil prorsus boni feres:
Veruntamen hunc si mercem lucro apposueris:
Beatus eris, vel sycophantûm gratia.

BISETVS. Κρατὴρ κακῶν] Σουΐδας παροιμίαν εἶναι λέγει, καὶ ἀντὶ τοῦ δοχεῖον κακῶν λαμβάνεσθαι. κρατὴρ δὲ κατὰ τὸν Εὐστάθιον εἶδος ἀγγείου, παρὰ τὸ ἐν αὐτῷ συγκεράσθαι οἶνον, λεγόμενον οἱονεὶ κερατήρ. καὶ κρατῆρες εἶδός τι τριπόδων. καὶ κρατηρίζειν, τὸ συμπίνειν.

Σχόλια. Τρίπτηρ δικῶν.] δέον εἰπεῖν ἐλαιῶν, ὁ δὲ εἶπε δικῶν. διὰ τὸ ἐπιτρίβειν αὐτὸν τὰ πάντα δικάζοντα καὶ συκοφαντοῦντα. Φαίνειν ὑπευθύνους.] καὶ ἐπὶ τοῦ συκοφαντεῖν, τὸ φαίνειν νοεῖται. καὶ ἐπὶ τοῦ ποιεῖν φῶς διὰ τὸ λυχνοῦχον ἐπήγαγεν ὃν λέγομεν φανόν. ἢ λαμπτῆρα.

BISETVS. Καὶ κύλιξ] ὁ ποιητὴς ἐνταῦθα παίζει πρὸς τὸ τῆς κύλικος, καὶ τοῦ ἐγκυκᾶσθαι ὄνομα. καὶ τοῦτο παροιμιακῶς λέγεται, καὶ ταυτόν ἐστι τῷ παιδερῶς ὂν ἄγγος, ἐν ᾧ πάντα τὰ πράγματα ἐγκυκᾶται.

Σχόλια. Πῶς δ' ἂν πεποιθοίη.] διὰ τὸ κράζειν καὶ βοᾶν τὸν συκοφάντην λέγει ὁ χορός. ὅτι πῶς ἂν θαρροίη τοιούτῳ ἀγγείῳ ἄνθρωπός τις πολὺ τοιοῦτον ἦχον ποιοῦντι. καὶ οἱ ἄνθρωποι παραιτοῦνται ἐπὶ τοιούτων κεραμῶν ἀναγκαῖόν τι βαλεῖν φοβούμενοι τὸ σαθρὸν αὐτοῦ. ἄλλως. τῷ συκοφάντῃ λέγει πῶς ἂν θαρροίη τίς. διὰ E τὸ καὶ αὐτὸν κράζοντα, μέγαν ἦχον ποιεῖν. Κατωκάρα.] κατὰ κορυφήν. οὕτω δὲ οἱ Ἀττικοὶ ὑφ' ἓν λέγουσι. Ἤδη καλῶς ἔχει σοι.] ἤδη καλῶς ἐδεσμεύσατε. διπλῆ καὶ ἔστιν ὁμοία ἐκ τῶν ἐφθημιμερῶν τῇ πρώτῃ. Μέλλω γέ τοι θερίδδειν.] θερίδδειν. θερίζειν. καταβάλλειν. ἀπὸ μεταφορᾶς τῶν θεριζόντων. ὅτι τὰ δράγματα τιθέασιν. ἢ διότι πολλοὶ ἐθέριζον διὰ τὸν πόλεμον. τινὲς δέ φασι τὸν Δικαιόπολιν εἰρηκέναι, μέλλοντα λαβεῖν τὰ τοῦ Βοιωτοῦ φορτία. Ἀλλ' ὦ ξένων βέλτιστε.] διπλῆ καὶ ἄλλη περίοδος τοῦ χοροῦ ἰαμβικὴ καὶ αὕτη, ἐκ τριῶν μὲν διμέ- F τρων ἀκαταλήκτων καὶ τετάρτου καταληκτικοῦ. πρὸς πάντα δὲ συκοφάντην ἀντὶ τοῦ εἰπεῖν σαπρόν. Μόλις γ' ἐνέδησα.] ὁ Δικαιόπολις λέγει τὸν συκοφάντην. διπλῆ δὲ καὶ εἴσθεσις εἰς ἰάμβους δύο. Τὰν τύλαν] τὸν τύλον τὸν ἀπὸ τοῦ ἀχθοφορεῖν γεγενημένον. ἄλλως. τὴν ἀπὸ τοῦ ἀχθοφορεῖν ἐν τῷ τραχήλῳ γινομένην τοῦ τραχήλου σκληρότητα. ἐκ μεταφορᾶς τῶν ἀχθοφόρων ζώων. ὃν δὲ εἶπεν ἄνω Ἰσμηνίαν, νῦν Ἰσμήνιχον ὁ Θηβαῖος καλεῖ. Χ' ὅπως κατοίσεις αὐτόν.] ἐπεὶ οἱ βαστάζοντες κεράμους, εὐλαβῶς πάνυ καὶ προσέχοντες βαστάζουσι.

G

ΔΡΑΜΑΤΟΣ ΤΟΥ ΤΕΤΑΡΤΟΥ Σκηνὴ τρίτη.

ΑΓΓΕΛΟΣ ΤΟΥ ΛΑΜΑΧΟΥ, ΔΙΚΑΙΟΠΟΛΙΣ.

Τρίμετροι.

ACTVS IV. SCENA tertia.

NVNCIVS LAMACHI, DICÆOPOLIS,

Senarij.

BISETVS.

A Bisetus. Ὁ Λαμάχου θεράπων πρὸς Δικαιόπολιν ἔρχεται, καὶ κατὰ τὴν δεσπότου ἐντολὴν παρ' αὐτοῦ κίχλας, καὶ ἄλλα ἀβρότερα ἐδέσματα αἰτεῖ, ἀλλὰ πάντως ἀποτυχὼν ἀπαλλάττεται.

Αγγ. Δικαιόπολι. Δικ. τίς ἐστι; τί με βωστρεῖς; Αγ. ὅτι
Ἐκέλευσε Λάμαχός σε ταύτης τῆς δραχμῆς,
Εἰς τοὺς Χόας αὐτῷ μεταδοῦναι τῶν κιχλῶν,
Τειῶν δραχμῶν δ' ἐκέλευε Κωπαΐδ' ἐγχέλυν.
B Δικαιοπ. Ὁποῖος οὗτος Λάμαχος τὴν ἐγχέλυν;
Ἄγγελος. Ὁ δεινὸς, ὁ ταλαύρινος, ὃς τὴν Γοργόνα
Πάλλει κραδαίνων τρεῖς κατασκίους λόφους.
Δικαιοπ. Οὐκ ἂν μὰ Δί' εἰ δοίη γέ μοι τὴν ἀσπίδα,
C Ἀλλ' ἐπὶ ταρίχη τοὺς λόφους κραδαινέτω.
Ἢν δ' ἀπολιγαίνῃ, τοὺς ἀγορανόμους καλῶ.
Ἐγὼ δ' ἐμαυτῷ τόδε λαβὼν τὸ φορτίον,
Εἴσειμ' ὑπαὶ πτερύγων κιχλῶν καὶ κοψίχων.

Nv. Dicaeopoli. Di. quis est? cur me vocas? Nv. quia
Iussit te Lamachus pro isthac drachma ad Choas
Secum impertire turdos, & drachmis tribus
Venundari cupit anguillam Copaicam.
B *Dic. Quis ille Lamachus, qui anguillam postulat?*
Nvn. Vir terribilis, patiens aerumnae, Gorgona
Qui concutit, & tres umbrosas cristas vibrat.
Dic. Non, per Iouem, etiam si clypeum daret mihi:
Sed ille super salsamentis cristas vibret.
C *Sin turbas excitat, aediles voco illicet,*
Hanc ego mihi ipsi mercem accepi, & nunc sub his
*Turdorum & merularum alis ingredi**r** domum.*

Σχόλια. Δικαιόπολι.] ἔρχεται Λαμάχου ἄγγελος λέγων τῷ Δικαιοπόλιδι ὅτι ἔπεμψε Λάμαχος σὺν τεσσὶ δραχμαῖς καὶ ἑτέρᾳ μιᾷ. ὅπως εἰς τὴν ἑορτὴν τῶν Χοῶν δῷς μοι, τῶν μὲν μιᾶς δραχμῆς κίχλας. τῶν δὲ γ, ἐγχέλυν. Εἰς τοὺς Χόας.] εἰς τὴν ἑορτὴν τῶν Χοῶν. ἐπιτελεῖται δὲ Πυανεψιῶνος ὀγδόῃ. οἱ δὲ Ἀνθεστηριῶνος δεκάτῃ. φησὶ δὲ Ἀπολλόδωρος ἀνθεστήρια καλεῖσθαι κοινῶς τὴν ὅλην ἑορτὴν Διονύσῳ ἀγομένην. κατὰ μέρος δὲ πιθοιγίαν, χόας. χύτρας. καὶ αὖθις. ὅτι Ὀρέστης μετὰ τὸν φόνον εἰς Ἀθήνας ἀφικόμενος, ἦν δὲ ἑορτὴ Διονύσου Ληναία, ὡς μὴ γένοιτο σφίσιν ὁμόσπονδος ἀπεκτονὼς τὴν μητέρα, ἐμηχανήσατο τοιόνδε τι Πανδίων. χοᾶ στήσας τῶν δαιτυμόνων ἑκάστῳ παρέστησε, ἐξ αὐτοῦ πίνειν ἐκέλευσε μηδὲν ὑπομιγνύντας ἀλλήλοις, ὡς μήτε ἀπὸ τοῦ αὐτοῦ κρατῆρος πίοι Ὀρέστης, μήτε ἐκεῖνος ἄχθοιτο καθ' αὑτὸν πίνων μόνος. καὶ ἀπ' ἐκείνου Ἀθηναίοις ἑορτὴ ἐνομίσθη οἱ Χόες. τοῦτο δ' ἡμῖν καὶ ἐν τοῖς πρόσθεν εἴρηται. τὸ δὲ χοᾶς ὅτι ἐπὶ μέτρων τίθεται ἀποσπᾶται. ὡς τοὺς χοᾶς χωρήσεται. καὶ αὖθις τὴν ὑστάτην ἤκουσαν οἶνον τρεῖς χοᾶς ἡμῖν ἀπολισιν κἀρεβίνθων χοίνικα. μέτρον δέ ἐστιν ἀττικὸν χωροῦν κοτύλας δώδεκα. καὶ ἀλλαχοῦ Ἀριστοφάνης. ἐπὶ δεῖπνον ταχὺ βάδιζε τὴν κίστιν λαβών. οἱ γὰρ καλοῦντες ἐπὶ δεῖπνον στεφάνους καὶ μύρα καὶ τραγήματα καὶ ἄλλα τινὰ τοιαῦτα παρείχοντο. οἱ δὲ καλούμενοι ἔφερον ὄψα μετὰ

E
F

καὶ κίστιν καὶ χοᾶ. Ὅμηρος περὶ τὸ κιστοφόρον φησί. μήτηρ δ' ἐν κίστει ἐτίθει μενοεικέα δαῖτα. ὄψα τε οἷα ἔδουσι διοτρεφέες βασιλῆες χοὰς δὲ ὡς τιμὰς, ἐκχύσεις, ἐναγίσματα ἐπὶ νεκροῖς ἢ σπονδὰς τὰς ἐκπίνειν. δὲ ὁ νόμος δεῖν χοὰς τοῖς τεθνεῶσιν ἐπάγειν ἀνὰ πᾶν ἔτος, καὶ ἑορτὴν χοὰς ἄγειν. λέγονται καὶ θυσίαι νεκρῶν. Σοφοκλῆς. πρῶτον μὲν ἱερὰς ἐξ ἀειρρύτου χοὰς κρήνης ἐνέγκοι δι' ὁσίων χειρῶν θιγών. ὅταν δὲ χεῦμα τοῦτ' ἀκήρατον λάβῃς, κρατῆρές εἰσιν ἀνδρὸς εὔχειρος τέχνη. Ὁποῖος οὗτος.] διασύρει τὸν Λάμαχον ὡσανεὶ ἄσημον ὄντα. ταλαύρινος δὲ ὑπομενητικὸς καρτερικὸς ἐν τῇ μάχῃ. Κατασκίους λόφους.] δυναμένους σκιὰν τινὶ ποιῆσαι. ἀντὶ τοῦ ἐπιμήκεις μεγάλους. κραδαίνων δὲ, σείων, παρὰ τὴν κράδην, ὃ τῆς συκῆς φύλλον δηλοῖ. ὅθεν τὸ κραδᾷν, καὶ κραδαίνειν κυρίως τὸ τὰ τῆς συκῆς φύλλα σείειν, καὶ πάλλειν. Ἀλλ' ἐπὶ ταρίχη] ταρίχη ἐσθίων ὁπλιζέσθω. τοῦτο γὰρ ἐν τοῖς πολέμοις ἤσθιον. δέον δὲ εἰπεῖν ἐπὶ τείχη ἀνιστάτω, ἔφη ἐπὶ ταρίχη τοὺς λόφους κραδαινέτω διαπαίζων αὐτόν. Ἢν δ' ἀπολιγαίνῃ] ἐὰν δὲ θορυβῇ ἢ ὀξέως βοᾷ, παρὰ τὸ λιγὺ, καλέσω κατ' αὐτοῦ τοὺς ἀγορανόμους. λέγει δὲ τοὺς ἱμάντας οὓς ἀγορανόμους ἔδει κατιστάσιν ἄνω. Εἴσειμ' ὑπαὶ πτερύγων.] ἀντὶ τοῦ κατὰ πτερύγων καὶ κιχλῶν καὶ κοψίχων. ὁ δὲ τρόπος, ποιητικός. μιμεῖται δὲ τὸ μέλος.

ΣΤΡΟΦΗ Στίχων ιζ'.

Bisetus. Ὁ Χορὸς ἀγαθὴν ἡδίστης εἰρήνης ἐλπίδα συλλαβὼν, τὸν πόλεμον, πρὸς ὃν πάσῃ ψυχῆς σπουδῇ πρότερον ὥρμητο, μισεῖν, καὶ ἀπελαύνεσθαι νῦν ἄρχεται.

Χο. Εἶδες ὦ, εἶδες ὦ,
Πᾶσα πόλι τὸν φρόνιμον ἄνδρα τὸν ὑπέρσοφον,
G Σπεισάμενον, ἐμπορικὰ χρήματα διεμπολᾶν,
Ὧν τὰ μὲν ἐν οἰκίᾳ,
Χρήσιμα, τὰ δ' αὖ πρέπει χλιαρὰ κατεσθίειν;
Αὐτόματα πάντ' ἀγαθὰ τῷδέ γε ποείζεται.

STROPHE Vers. 17.

Ch. Omnis urbs, omnis urbs,
Quantum hic homo prouidus, & usque sapiens, vides,
Foedera parat, coëmit apta lucra mercium:
Quorum aliqua sunt domi
Vtilia: quaedam opus'st nos edere, dum
Sponte sua ad hunc modo hominem
Omnia bona affluunt.

Σχόλια. Εἴδες ὦ.] ὁ τρόπος ποιητικός. μιμεῖται δὲ τὸ μέλος, ἐφ' ὃ κορωνὶς ὑποχωρησάντων τῶν ὑποκριτῶν. καὶ ἔστι συζυγία κατὰ περικοπὴν ἀνομοιομερὴς φαντασίαν παρέχουσα ἐπιρρήματος, ὅτι τὰς στιχικὰς περιόδους οὐκ ἔχει ἐκ τῶν αὐτοῦ στίχων. ἀλλ' οὐδ' εἰσὶ παρεισβατικαὶ πρὸς τὸ θέατρον. αἱ μὲν προηγητικαί. καὶ αὐτοῖς περίοδοί εἰσιν ἑπτά, κῶλα παιωνικὰ ἐκ μονομέτρου καὶ τετρα- A μέτρου δὶς καὶ τριῶν μέτρων. διεμπολᾷς δὲ τὸ πρὸς πραγματείαν ἐπιτήδεια ἀγοράζειν. Ὧν τὰ μὲν ἐν οἰκίᾳ.] τῶν ὀρνέων τὰ μὲν χρήσιμα καὶ ἀνθηρά, κατὰ τοὺς οἴκους τρέφομεν. τὰ δὲ μὴ ἀνθηρά, ἐσθίομεν. ἄλλως. ἀντὶ τοῦ τῶν ὀρνέων τὰ μέν, ἐάσει νέμεσθαι ἐν τῇ οἰκίᾳ. τὰ δὲ νέμεται. ἔπαιξε δὲ εἰπὼν παρὰ προσδοκίαν τὰ χλιαρά.

Οὐδέποτ' ἐγὼ πόλεμον οἴκαδ' ὑποδέξομαι,
Οὐδὲ παρ' ἐμοί ποτε τὸν Ἁρμόδιον ᾄσεται,
Συγκατακλινείς, ὅτι παροίνιος ἀνὴρ ἔφυ,
Ὅστις ἐπὶ πάντ' ἀγάθ' ἔχοντας ἐπικωμάσας,
Εἰργάσατο πάντα κακά, κἀνέτρεπε, κἀξέχει,
Κἀμάχετο, καὶ προσέτι πολλὰ προκαλουμένου,
Πῖνε, κατάκεισο, λαβὲ τήνδε φιλοτησίαν,
Τὰς χάρακας ἧπτε πολὺ μᾶλλον ἐν τῷ πυρί,
Ἐξέχει θ' ἡμῶν βίᾳ τὸν οἶνον ἐκ τῶν ἀμπέλων,
Τᾶδ' ἐπὶ τὸ δεῖπνον ἅμα, καὶ μεγάλα γε φρονεῖ.
Τοῦ βίου δ' ἐξέβαλε δεῖγμα τὰ πτερὰ πρὸ τῶν θυρῶν.

Nunquam ego domum recipiam armicreperum Deum,
B *Nunquam apud Acharneas is Harmodion accinet,*
Inter bilares madidus, atque petulans scyphos.
Ille ubi mero grauidus incidit in optimos
Olim agricolas: nocuit, omnia bona eruit,
Arma tulit: & licet eum alloquerer: bem bibe,
Conside, animique cyathum beneuoli cape:
C *Ille tamen imposuit ignibus ridicas,*
Et merum effudit manu violenta è nostris vitibus.
Sed sapit hic ad genium, vt ad reliqua maximè.
Nam boni epuli specimen ala dat ad ostium.

Σχόλια. Οὐδέποτ' ἐγὼ πόλεμον] σωματοποιεῖ τὸν πόλεμον. διὸ ἔφη, οὐχ ὑποδέξομαι αὐτόν. ὡσανεὶ ἄνθρωπόν τινα. αἱ δὲ ἀκολουθητικαὶ περίοδοι, εἰσὶ δεκάκωλοι ἐξ ἐννέα παιωνικῶν τετραμέτρων καὶ ἑνὸς τετραμέτρου τροχαϊκοῦ καταληκτικοῦ. Τὸν Ἁρμόδιον ᾄσεται] ἐν ταῖς τῶν πότων συνόδοις, ᾖδέν τι μέλος Ἁρμοδίου καλούμενον. οὗ ἡ ἀρχή, φίλτατ' Ἁρμόδιε, οὔ τί που τέθνηκας. ᾆδον δὲ αὐτὸ εἰς Ἁρμόδιον καὶ Ἀριστογείτονα, ὡς καθῃρηκότας τὴν τῶν Πεισιστρατιδῶν τυραννίδα. ἐπέθεντο δ' αὐτοῖς τιμωρίας χάριν ἀλλ' οὐχ ὑπεροχῆς. ὡς Ἀριστοτέλης πολιτικῶν ἐν. διὰ τὸ προπηλακίσαι μὲν τὴν Ἁρμοδίου ἀδελφήν, ἐπηρεάσαι δ' Ἁρμόδιον. ὁ γὰρ Ἁρμόδιος διὰ τὴν ἀδελφήν. ὁ δ' Ἀριστογείτων διὰ τὸν Ἁρμόδιον. ἦν δὲ καὶ ἕτερα μέλη. τὸ μὲν Ἀδμήτου λεγόμενον. τὸ δὲ Λάμ- D E πωνος. ὁ δὲ λόγος. οὐδέποτε παρ' ἐμοὶ ἑστιαθήσεται ὁ πόλεμος. παροίνιος δέ, μέθυσος καὶ ὑβριστὴς δηλονότι ὁ πόλεμος. Ἐπὶ πάντ' ἀγάθ' ἔχοντας.] ἐφ' ἡμᾶς τοὺς γεωργούς, ἐπικωμάσας ἀντὶ τοῦ μετὰ φθορᾶς εἰσπεσών. Προσέτι πολλά] ἐν τῷ πίνειν πολλὰ ἐμοῦ προκαλουμένου αὐτὸν καὶ λέγοντος πῖνε καὶ ἀνάκεισο ἥσυχος. καὶ ἐκ λωίχιδος, ἀλλὰ καὶ μᾶλλον τὰ πράγματα συνῄτει καὶ ἠφάνιζε τὰς χώρας καὶ τὸν οἶνον ἐκ τῶν ἀμπέλων. φιλοτησίαν δὲ ἔλεγον τὴν φιάλην τὴν διδομένην ἐν τοῖς συμποσίοις. Χάρακας.] τοὺς πεπηγότας καλάμους ἐν τοῖς ἀμπέλοις ἔκαιεν. ἤγουν τὰς ἀμπέλους ἀπὸ μέρους. Ἐξέχει θ' ἡμῶν βίᾳ.] ὡς ἐπὶ πολέμου. ἔδει δὲ ἐκ τῶν πίθων εἰπεῖν ἀλλ' ἐκ τῶν ἀμπέλων. Τᾶδ' ἐπὶ τὸ δεῖπνον.] πρὸς τὰ ἄνω ἀπέδωκε περὶ τοῦ Δικαιοπόλιδος. τὰ γὰρ διὰ μέσου, περὶ τοῦ πολέμου εἴρηται. ὁ δὲ λόγος. Δικαιόπολις σπουδάζει περὶ τὸ δεῖπνον. Δεῖγμα] τὰ πτερά. ὅτι τῆς παρ' αὐτῷ ἔνδον τρυφῆς σημεῖον πρόκειται τῶν θυρῶν αὐτοῦ τὰ τῶν ὀρνίθων πτερά.

ΣΥΣΤΗΜΑ ΚΑΤΑ ΠΕΡΙΚΟΠΗΝ Στίχων κ'.

SYSTEMA PER PERICOPEN, Vers. 20.

Bisetus. Δικαιόπολις τὴν Εἰρήνην ἐπαινεῖ, καὶ ἑαυτῷ γυναῖκα ἔχειν ἐπιθυμεῖ.

Δι. Ὦ Κύπριδι τῇ καλῇ καὶ Χάρισι ταῖς φίλαις
Ξύντροφε Διαλλαγή,
Ὡς καλὸν ἔχουσα τὸ πρόσωπον ἄρ' ἐλάνθανες.
Πῶς ἂν ἐμὲ καὶ σέ τις Ἔρως ξυναγάγοι λαβών,
Ὥσπερ ὁ γεγραμμένος ἔχων στέφανον ἀνθέμων,
Ἢ πάνυ γερόντιον ἴσως νενόμικάς με σύ,
Ἀλλά σε λαβὼν τρία δοκῶ γ' ἂν ἔτι προσβαλεῖν.
Πρῶτα μὲν ἂν ἀμπελίδος ὄρχον ἐλάσαι μακρόν.
Εἶτα παρὰ τόνδε νέα μοσχίδια συκίδων,
Καὶ τὸ τρίτον, ἡμερίδος ὄρχον ὁ γέρων ὁδί,
Καὶ περὶ τὸ χωρίον ἅπαν ἐλαΐδας ἐν κύκλῳ,
Ὥστ' ἀλείφεσθαί σ' ἀπ' αὐτῶν κἀμὲ ταῖς νουμηνίαις.

F Di. *O Veneris atque Charitum socia: litium*
Compositio decens:
Quàm tibi venusta facies? quid ita tecta eras?
Quomodo Cupido me aliquis tibi iugauerit:
Qualis hic, in ade, roseo capite pictus est?
Méne ita vietum aliquod esse senium rata es?
Sed tria mihi his videor adicere commoda:
G *Inserere posse foueis capita vitium:*
Iungere nouas taleolas inibi ficuum:
Denique satiua quoque germina propaginum
Ponere, & in ordinem oleas serere toto agro:
Ambo vt vngamur oleo, Luna circa silentia.

Σχόλια.

Σχόλια. Ω Κύπριδι.] ἀντὶ τοῦ ὦ εἰρήνη. καλῶς δὲ ἡ εἰρήνη τῇ Ἀφροδίτῃ καὶ ταῖς Χάρισι φίλη, ὅτι οἱ γάμοι καὶ αἱ ἑορταὶ ἐν καιρῷ τῆς εἰρήνης ἄγονται. καὶ ὅτι ἡδίστη καὶ ἐπιχαρής ἐστιν. Ως καλὸν ἔχουσα.] σωματοποιεῖ τὴν εἰρήνην καὶ κάλλος αὐτῇ περιτίθησι καὶ ἔρωτα, αὐτῆς ἔχειν βούλεται. Ελάνθανες] ἐμὲ δηλονότι ὦ εἰρήνη. Ωσπερ ὁ γεγραμμένος.] Ζεῦξις ὁ ζωγράφος ἐν τῷ ναῷ τῆς Ἀφροδίτης ἐν ταῖς Ἀθήναις, ἔγραψε τὸν ἔρωτα ὡραιότατον ἐστεμμένον ῥόδοις. ὁ δὲ νοῦς ὑπερβατός. ἐλάνθανές με οὕτως εὐειδὴς οὖσα ὡς ὁ γεγραμμένος ἔρως. ἀνθέμων. ἀντὶ τοῦ ῥόδων. Η πάνυ γέροντιον.] εἰ καὶ γέροντά με δοκεῖς ὁρᾶν, ὅμως λαβών σε, ἰσχύσω συγγενέσθαι σοι τρεῖς καὶ

A πολλάκις. παίζει δὲ ἑξῆς. Αμπελίδος ὄρχον] ἀντὶ τοῦ εἰπεῖν σχῆμα συνουσίας, τοῦτο ἔφη ὡς γεωργός. παρὰ δὲ τὸν ὄρχατον φυτεῦσαι μοσχεύματα σύκων. οὕτω δὲ καλοῦνται αἱ νέαι συκαί. μοσχίδια δὲ τὰ νέα βλαστήματα. καὶ ἡ ἁπαλὴ καὶ νέα ῥάχις μόσχος. Ομηρος. μόσχοισι λύγοισιν. ὄρχον δὲ εἶπε ὄρχατον. κωμικῶς ὡς φιλογέωργος ἀλληγορεῖ ὡς ἐπὶ συνουσίας ἐμφαντικῶς κατὰ γεωργίαν τὸ μακρόν. ὄρχος δὲ καὶ ὄρχατος στίχος ἀμπέλων ἢ ἑτέρων φυτῶν. παρὰ τὸ ὀρχεῖσθαι διὰ αὐτῶν τὰς τάξεις τῶν φυτῶν. Ημερίδος.] ἡμερίς ἡ ἄμπελος ὥς φησιν Ομηρος. ἡμερὶς ἡβώωσα. εἴρηται δὲ διὰ τὸ ἡμερῶσαι τὸ τῶν ἀνθρώπων φῦλον.

B

ΔΡΑΜΑΤΟΣ ΤΟΥ ΤΕΤΑΡΤΟΥ
Σκηνὴ πέμπτη.

ΚΗΡΥΞ, ΔΙΚΑΙΟΠΟΛΙΣ, ΧΟΡΟΣ.

Τρίμετροι καὶ Δίμετροι τε καὶ Ἀνακρεόντειοι.

ACTVS IV. SCENA quarta.

C

PRÆCO, DICÆOPOLIS, CHORVS.

Senarij, & dimetri, itémque Anacreontij.

Bisetus. Κῆρυξ ἥκει, ὃς πάντα τὸν δῆμον κατὰ τὰ πάτρια τὰς χοὰς ὑπὸ τῆς σάλπιγγος πίνειν, καὶ κατὰ τοῦτον τῆς εἰρήνης χρόνον ἡδυπαθεῖν κελεύει.

Κη. Ακούετε λεῴ, κατὰ τὰ πάτρια τὰς χοὰς
Πίνειν ὑπὸ τῆς σάλπιγγος. ὃς δ' ἂν ἐκπίῃ
Πρώτιστος, ἀσκὸν Κτησιφῶντος λήψεται.
Δι. Ω παῖδες, ὦ γυναῖκες, οὐκ ἠκούσατε;
Τί δρᾶτε; τοῦ κήρυκος οὐκ ἀκούετε;
Αναβράττετ', ἐξοπτᾶτε, στρέφετ', ἀφέλκετε
Τὰ λαγῷα, ταχέως τοὺς στεφάνους ἀνείρετε.
Φέρε τοὺς ὀβελίσκους, ἵν' ἀναπείρω τὰς κίχλας.

PR. *Audite populi, congios more patrio*
Ebibite sub tuba sonum: qui congium
D *Ebiberit, primus Ctesiphontis utrem auferet.*
Di. O pueri, ô mulieres, non audiuistis hoc?
Quid agitis? non audiuistis praeconem? age
Lixate, assate, vertite, detrahite à veru
Lepores nunc illico: corollas nectite.
Verua tu affer mihi vt figam turdos, puer.

Σχόλια. Ασκὸν Κτησιφῶντος.] ὡς παχὺς καὶ προγάστωρ ὁ Κτησιφῶν κωμῳδεῖται. ἐτίθετο δὲ ἀσκὸς πεφυσημένος ἐν τῇ τῶν Χοῶν ἑορτῇ. ἐφ' οὗ ἔδει τοὺς πίνοντας πρὸς ἀγῶνα ἱστάναι, καὶ τὸν πρῶτον πιόντα ὡς νικήσαντα λαμβάνειν ἀσκόν. ἔπινον δὲ, μέτρον τι ὂν

E χοᾶ. Τοῦ κήρυκος οὐκ ἀκούετε.] καλοῦντος εἰς τὴν τῶν Χοῶν ἑορτὴν πάντας. ἐκάλουν δὲ οἱ κήρυκες, σάλπιγγας βαστάζοντες καὶ ἐσήμαινον. Αναβράττετε.] ἀναστρέψατε τὰ ὀπτώμενα κρέα. καὶ ὀπτηθέντα ἐξέλκετε.

ΣΤΡΟΦΗ
Κώλων ι.

Χο. Ζηλῶ σε τῆς εὐβουλίας,
Μᾶλλον δὲ τῆς εὐωχίας,
Ἄνθρωπε τῆς παρούσης.
Δι. Τί δῆτ' ἐπειδὰν τὰς κίχλας
Ὀπτωμένας ἴδητ';
Χο. Οἶμαί σε καὶ τοῦτ' εὖ λέγειν.
Δι. Τὸ πῦρ ὑποσκάλευε.
Χο. Ἤκουσας ὡς μαγειρικῶς,
Κομψῶς τε καὶ δειπνητικῶς,
Αὑτῷ γε διακονεῖται.

STROPHE
Vers. 10.

F
CH. *Miror tuam prudentiam,*
Conuiniique gratiam,
Heic instituti, amice.
Di. Quid si meas auiculas
Assas videre detur?
CH Et te hoc bene dicere arbitror.
Di. Exuscita focum igne.
G *CH. Audin' verba culinaria:*
Vt scite. vt cœnatorie
Inseruiat sibi ipse?

Σχόλια. Ζηλῶ σε τῆς εὐβουλίας.] θαυμάζω τὴν εὐβουλίαν σου ὦ Δικαιόπολι. δίπλη ἡ καὶ περίοδος δεκάκωλος ἀμοιβαία. τούτων δὲ τῶν δέκα κώλων τὰ μὲν

α. β. δ. ϛ. η. θ. ἰαμβικὰ δίμετρα ἀκατάληκτα. τὰ δὲ γ. ε. ζ. ι. δίμετρα καταληκτικά. Τὸ πῦρ ὑποσκάλευε] ἀνάφυσα. ζωπύρει. Σ.

A

ΔΡΑΜΑΤΟΣ ΤΟΥ ΤΕΤΑΡΤΟΥ, Σκηνὴ πέμπτη.

ΓΕΩΡΓΟΣ, ΔΙΚΑΙΟΠΟΛΙΣ, ΧΟΡΟΣ.

ΒΙΣΕΤΥΣ. Ἀνήρ τις Ἀθηναῖος, γεωργὸς ἀπολέσας τὰς αὐτοῦ βόας, ὑπὸ τῶν Βοιωτῶν ληφθείσας, ἔρχεται δεόμενος τοῦ Δικαιοπόλιδος λαβεῖν τῆς εἰρήνης πρὸς πέντε ἔτη.

B

Γεωρ. Οἴμοι τάλας. Δι. ὦ Ἡράκλεις τίς οὑτοσί;
Γεωρ. Ἀνὴρ κακοδαίμων. Δι. κατὰ σαυτὸν νῦν τρέπου.
Γε. Ὦ φίλτατε, σπονδαὶ γὰρ εἰσί σοι μόνῳ,
Μέτρησον εἰρήνης τί μοι κἂν πέντ' ἔτη.
Δι. Τί δ' ἔπαθες; Γεωρ. ἐπετρίβην ἀπολέσας τὼ βόε.
C
Δικαιοπ. Πόθεν γε; Γεωρ. ἀπὸ Φυλῆς ἔλαβον οἱ Βοιώτιοι.
Δικαιοπ. Ὦ τρισκακόδαιμον, εἶτα λευκὸν ἀμπέχει;
Γεωρ. Καὶ ταῦτα μέντοι νὴ Δί' ὥπερ μ' ἐξετρεφέτην
Ἐν πᾶσι βολίτοις. Δι. εἶτα νυνὶ τοῦ δέει;
D
Γεωρ. Ἀπόλωλα τὼ 'φθαλμὼ δακρύων τὼ βόε.
Ἀλλ' εἴ τι κήδει Δερκέτου Φυλασίου,
Ὑπάλειψον εἰρήνῃ με τὼ 'φθαλμὼ ταχύ.
Δικ. Ἀλλ' ὦ πόνηρ' οὐ δημοσιεύων τυγχάνω.
Γεωρ. Ἴθ' ἀντιβολῶ σ' ἤν πως κομίσωμαι τὼ βόε.
Δικαιοπ. Οὐκ ἔστιν, ἀλλὰ κλαῖε πρὸς τοὺς Πιττάλου.
E
Γεωρ. Σὺ δ' ἀλλά μοι σταλαγμὸν εἰρήνης ἕνα,
Εἰς τὸν καλαμίσκον ἐνστάλαξον τουτονί.
Δικαιοπ. Οὐδ' ἂν στριβιλικίγξ. ἀλλ' ἀπιὼν οἴμωζέ ποι.
Γεωρ. Οἴμοι κακοδαίμων, τοῖν γεωργοῖν βοιδίοιν.

ACTVS IV. SCENA quinta.

AGRICOLA, DICÆOPOLIS, CHORVS.

Vir quidam Atheniensis, agricola, amissis suis bobus a Bœotis abductis, venit ... (in Greek:) ...ας, ἔρχεται δεόμενος τοῦ Δικαιοπόλιδος λαβεῖν τῆς εἰρήνης πρὸς πέντε ἔτη.

AG. *Væ mihi misero.* DIC. *proh Hercules: quis hic?*
AGR. *Homo miser.* DI. *tu teipsum met hoc dictum puta.*
AG. *O carissime, quia soli tibi sunt fœdera:*
Metire aliquid pacis mihi in quinquennium.
DIC. *Quid accidit mali?* AGR. *amisso boum iugo*
Miserè affligor. DI. *quis ademit?* AG. *à Phyla modo*
Bœotij abduxère. DI. *ô te ter miserum, agè*
Vero, an tu propter hanc miseriam albatus es?
AG. *Et hi quidem erant, qui me nutribant, per Iouem,*
Omni fimo bubulo. DIC. *& qua re nunc indiges?*
AG. *Oculos elisi, dum amissos boues fleo.*
Sed si quid Dercetam curas Phylasium,
Agè inunge oculos mihi pace tua nunc illicet.
DI. *Homo miser, ego medicinam non exerceo*
Gratis. AG. *fac obsecro, vt recuperem meos boues.*
DI. *Fieri haud potest, verùm implora tu Pittalum.*
AG. *Age vnicam tantùm pacis stillam mihi*
In hoc specillum instilla, quæso. DI. *ne quidem*
Tantillum, sed abi hinc directè in malam crucem.
AGR. *Heu me miserum: heu aratores boues meos.*

Σχόλια. Οἴμοι τάλας:] ἔρχεται ἀνὴρ Ἀθηναῖος, γεωργός, ἀπολέσας αὐτοῦ τὰς βόας, ληφθείσας ὑπὸ τῶν Βοιωτῶν, δεόμενος τοῦ Δικαιοπόλιδος λαβεῖν τῆς εἰρήνης πρὸς πέντε ἔτη. Κατὰ σεαυτὸν νῦν τρέπου.] ἀντὶ τοῦ σεαυτῷ ἔχε τὴν κακοδαιμονίαν. μὴ ἐπιμίγνυε ἡμῖν κακοδαιμονῶν. Σπονδαὶ γὰρ εἰσί σοι μόνῳ] ἐπεὶ αὐτὸς ἐσπείσατο μόνος εἰρήνην πρὸς Λακεδαιμονίους. Κἂν πέντ' ἔτη.] ἀντὶ τοῦ εἰς πέντε ἔτη. τὸ δὲ μέτρησον, ἀντὶ τοῦ δάνεισον. καὶ Ἡσίοδος εὖ μὲν μετρεῖσθαι παρὰ γείτονος εὖ δ' ἀποδοῦναι. καὶ Θεόπομπος. καπήλισον ἢ μετάδος. ἢ μέτρησον. ἢ τίμησον ... Ἀπὸ Φυλῆς] ὄνομα δήμου καὶ Μένανδρος δυσκόλῳ νομίζετ' εἶναι τὸν τόπον Φυλήν. Λευκὸν ἀμπέχει.] ἀντὶ τοῦ λευχειμονεῖς. οἱ γὰρ φυλάσσοντες λευκὰ ἐφόρουν. καὶ ταῦτα μέντοι καὶ οὗτοι φησὶν ἦσαν, οἵπερ με ἔτρεφον καὶ ἐποίουν τρυφᾶν βόες. Βολίτοις.] βόλιτον οἱ Ἀττικοὶ οὕτως ἔλεγον ... τοῦ βοὸς ὅσπερ ἡμεῖς ... λέγει δὲ ἀντὶ τοῦ ἐν πᾶσι τρυφῇ ἢ ἐν πᾶσιν ἀγαθοῖς. βολίτοις δὲ, ὅτι ἀεὶ βοῶν ὁ λόγος αὐτῷ. ἄλλως. δέον εἰπεῖν ἐν πᾶσιν ἀγαθοῖς, βολίτοις εἶπε παρ' ὑπόνοιαν παίζων. ἢ ἐπειδὴ διὰ τῆς κόπρου τὰ σπέρματα θάλλειν ποιοῦσιν οἱ γεωργοὶ καὶ

F καρπὸν πλεῖστον ποιεῖν ἐξ οὗ τρέφονται τοῦτο εἴρηκε. Ἀπόλωλα τὼ 'φθαλμώ.] ἀπώλεσα τοὺς ὀφθαλμούς μου, κλαίων καὶ ὀδυρόμενος τοὺς βόας. Ὑπάλειψον] ἀντὶ τοῦ ἔγχρισον τοὺς ὀφθαλμούς μου ταχέως. Οὐ δημοσιεύων τυγχάνω.] δημόσιοι χειροτονούμενοι ἰατροὶ καὶ δημόσιοι προῖκα ἐθεράπευον. φησὶν οὖν καὶ τοῦτο ὅτι οὐ τῶν δημοσιευόντων ἰατρῶν τυγχάνω. ὅτι οὐ κοινῇ ἐπιστάμενον τοῖς ... σὺν τῇ πόλει, ἰδίᾳ δὲ καὶ ἐμαυτῷ ... Ἴθ' ἀντιβολῶ.] ἱκετεύω. δός μοι τῆς εἰρήνης ὅπως ἀπολάβω τοὺς βόας. Πρὸς Πιττάλου] ὁ Πίτταλος οὗτος ἰατρὸς

G παρὰ Ἀθηναίοις λέγει δὲ τοὺς μαθητάς. τοῦτο δὲ εἶπεν ἐπειδὴ ἐκεῖνος ἐστιν ὑπαλείψων τοὺς ὀφθαλμούς. ὥστε ἔλεγεν ἄπελθε ἐν χερσὶ παρὰ Πιττάλου. Εἰς τὸν καλαμίσκον.] τὸν χαλκοῦν ἢ τὸν ἀργυροῦν σωλῆνα οὓς ἔχουσιν οἱ ἰατροί. Στριβιλικίγξ] ἀντὶ τοῦ οὐδὲ ψιχίδα. στρεβλὸς γὰρ καλεῖται, ἡ λεπτὴ καὶ ὀξεῖα φωνή. λικίγξ δὲ ἡ ἐλαχίστη φωνὴ τοῦ ὀρνέου. λέγει δὲ, οὐδὲ τὸ ἐλάχιστον μέρος μεταδίδωμι. τοῖν γεωργοῖν δὲ τοῖν τὴν γῆν ἐργαζομένοιν.

ANTI-

A

ΑΝΤΙΣΤΡΟΦΗ κώλων ί.

Χο. Ανὴρ ἀνεύρηκέν τι ταῖς
Σπονδαῖσιν ἡδύ. κοὐκ ἔοι-
κεν οὐδενὶ μεταδώσειν.
Δι. Κατάχει σὺ τῆς χορδῆς τὸ μέλι.
Τὰς σηπίας στάθευε.
Χο. Ηκουσας ὀρθιασμάτων.
Δι. Οπτᾶτε τἀγχέλεια.
Χο. Αποκτενεῖς λιμῷ με καὶ
Τοὺς γείτονας, κνίσῃ τε καὶ
Φωνῇ τοιαῦτα λάσκων.

Σχόλια. Ανὴρ ἀνεύρηκεν] ἀντωδή. αὕτη γάρ ἐστιν ἡ περίοδος ὁμοίως τῇ ἀνωτέρᾳ ἰσόκωλος ἀντιστρέφουσα. Μεταδώσειν.] τῶν σπονδῶν δηλονότι. στάθευε] ὄπτα. Ορθιασμάτων.] ἀνατάσεως ῥημάτων. τῶν μετὰ βοῆς κόμπων, ἢ τῶν μελῶν. πρόσω ὄρθιος νόμος κιθαρῳδικός. Τἀγχέλεια.] ἢ λείπει τὰ κρέα ἵν᾽ ᾖ τὰ ἐγχέλεια κρέα, ἢ λέγει τὰς ἐγχέλεις. λάσκων δὲ φωνῶν βοῶν.

ANTISTROPHE Vers. 10.

CH. Aliquid vir hic commentus est,
Quod commodum sit fœderi:
Sed nil daturus ulli est.
DI. Infunde tu mel lactibus,
Et sepias probe assa.
B CH. Audisne verborum impetus?
DI. Anguillæ assentur istæ.
CH. Tu me atque vicinos fame
Nunc enecabis, de bono hoc
Nidore garriendo.

C

ΔΡΑΜΑΤΟΣ ΤΟΥ ΤΕΤΑΡΤΟΥ Σκηνὴ ἕκτη.

ΔΙΚΑΙΟΠΟΛΙΣ, ΠΑΡΑΝΥΜΦΟΣ, ΧΟΡΟΣ.

Δι. Οπτᾶτε ταυτὶ καὶ καλῶς ξανθίζετε.
Πα. Δικαιόπολι. Δι. τίς οὗτος; τίς οὑτοσί;
Πα. Επεμψέ τίς σοι νυμφίος ταυτὶ κρέα
Εκ τῶν γάμων. Δι. καλῶς ποιῶν ὅστις ἦν.
Πα. Εκέλευε δ᾽ ἐγχέαι σε τῶν κρεῶν χάριν,
Ινα μὴ στρατεύοιτ᾽, ἀλλὰ βινοίη μένων,
Ες τὸν ἀλάβαστρον κύαθον εἰρήνης ἕνα.
Δικαι. Απόφερ᾽, ἀπόφερε τὰ κρέα. καὶ μή μοι δίδου.
Ως οὐκ ἂν ἐγχέαιμι χιλίων δραχμῶν.
Αλλ᾽ αὑτηὶ τίς ἐστιν; Πα. ἡ νυμφεύτρια.
Δεῖται παρὰ τῆς νύμφης τί σοι λέξαι μόνῳ.
Δι. Φέρε δή, τί σὺ λέγεις; ὡς γέλοιον ὦ θεοί
Τὸ δέημα τῆς νύμφης. ὃ δεῖταί μου σφόδρα.
Οπως ἂν οἰκουρῇ τὸ πέος τοῦ νυμφίου.
Φέρε δεῦρο τὰς σπονδὰς ἵν᾽ αὐτῇ δῶ μόνῃ.
Οτι ἡ γυνή ᾽στι τοῦ πολέμου τ᾽ οὐκ ἀξία.
Υπεχ᾽ ὧδε δεῦρο τὸ ξάλειπτρον ὦ γύναι.
Οἶσθ᾽ ὡς ποιεῖται τοῦτο; τῇ νύμφῃ φράσον,
Οταν στρατιώτας καταλέγωσι, τουτῳὶ
Νύκτωρ ἀλειφέτω τὸ πέος τοῦ νυμφίου.
Απόφερε τὰς σπονδάς. φέρε τὴν οἰνήρυσιν.
Ιν᾽ οἶνον ἐγχέω λαβὼν ἐς τοὺς χόας.
Χορ. Καὶ μὴν ὁδί τις τὰς ὀφρῦς ἀνεσπακώς,
Ωσπερ τι δεινὸν ἀγγελῶν ἐπείγεται.

Σχόλ. Ξανθίζετε.] ἀντὶ τοῦ μᾶλλον χρίετε. ἡ πυρρὰ τὰ ἐπιπολῆς ποιεῖτε. ἢ ὅτι καλῶς ἔχει τὰ ἐπτημένα τῶν κρεῶν ὅτε ἐστὶν ὑπὸ πυρρὰ ἤ. Δικαιόπολι.] ὁ ἄγγελος ἐστὶν ὁ παρανυμφίος ὁ φέρων κρέα τῷ Δικαιοπόλιδι παρά τινος νυμφίου, καὶ αἰτεῖ αὐτὸν λαβεῖν ἐν βυσσῷ μικρὸν τῆς εἰρήνης, ὅπως μὴ ἐξέρχοιτο εἰς πόλεμον ὁ νυμφίος, ἀλλὰ μένοι τερπόμενος σὺν τῇ γυναικὶ αὐτοῦ. Εγχέαι] ἀντὶ τοῦ, ἐνσταλάξαι. τῶν κρεῶν δ᾽ ὧν ἔπεμψε σοι. ἐς τὸν ἀλάβαστρον, ἐστὶ τὸ μυροθήκιον

D DI. Assate vos hæc & probè rubefacite.
PA. Dicæopoli. DI. quis isthic est? quis isthic est?
PA. Has carnes ad te mittit sponsus quispiam
E nuptiis. DI. pulcrè facit iste, quisquis est.
PA. Pro his iussit te sibi in hunc alabastrum infundere
Cyathum unicum pacis: ut à turba bellica
Immunis sese cum sponsa oblectet domi.
E DI. Aufer carnes, aufer: neque des eas mihi.
Nam pro mille drachmis non infunderem tibi.
Sed quænam hæc est? PA. pronuba, quæ sponsæ nomine
Aliquid tibi soli dicere iam necesse habet.
DI. Age, su, quid dicis? quā ridicula, proh Deū,
Isthæc petitio sponsæ: quod me rogat,
Vt saltem sponsi mentula maneat domi.
Fer huc mihi fœdera puer, ut huic soli duim.
F Quoniam mulier est, & indigna bello: agè
Vas unguentarium tu suppone mulier,
Nostin' quomodo hoc utendum? dicito
Sponsæ, si quando conscribantur milites,
Vt hac re noctu sponsi inungat mentulam.
Aufer tu iterum fœdera, & urnam vinariam
Cedo, ut capiam vinum atque infundā congiis.
CH. Sed & hic superciliis elatis huc pedem
G Infert, quasi rem sit nunciaturus grauem.

A εἰρήνης ἵνα.] ὡσεὶ ἔλεγε κοχλιάριον ἕν. ἔστι δὲ λήκυθος ἣ οὐδὲν μὴ ἔχει. ἧς ἐὰν ἔστι λαβέσθαι. Ὡς ἐὰν ἐγχέαιμι] χαριεντεύεται ὁ Δικαιόπολις μεταδοῦναι τῆς εἰρήνης. Ἡ νυμφεύτρια] ἔρχεται νυμφεύτρια δεομένη Δικαιοπόλιδος καὶ λέγουσα, ὅτι ἔπεμψέ με τὶς νύμφη δεηθῆναί σου πρὸς τὸ λαβεῖν τῆς εἰρήνης. ὅπως ἀλείφηται τὸ αἰδοῖον τοῦ ἀνδρὸς αὐτῆς καὶ μὴ ἐξέρχοιτο εἰς πόλεμον. κωφὸν δὲ εἰσάγει τὸ πρόσωπον τῆς νυμφευτρίας. Φέρε δὴ τί σὺ λέγεις.] παραθεὶς τὸ ὡς ἤκουσεν ὁ Δικαιόπολις τῆς νυμφευτρίας. Ὡς γελοῖον] κράζων καὶ ἀστειευόμενος ὁ Δικαιόπολις ἐφ' οἷς ἤκουσε παρὰ τῆς νυμφευτρίας λέγει τό. ὡς γελοῖον ὦ B θεοὶ τὸ δέημα τῆς νύμφης. τὸ δὲ δέημα αὐτῆς ἦν, μικρὸν τῆς εἰρήνης λαβεῖν ὅπως ἀλείφοι ταύτῃ τὸ αἰδοῖον τοῦ ἀνδρὸς κατὰ τὰς νύκτας καὶ μὴ ἐς πόλεμον ἐξέρχοιτο.

A Ὅπως ἂν οἰκουρῇ τὸ πέος.] ἀντὶ τοῦ εἰπεῖν τὴν οἰκίαν, εἶπε τὸ πέος. Ὕπεχ' ὧδε δεῦρο] πρόσφερε τὸ ἀλάβαστρόν φησιν, ἐξ οὗ ἀλείφονται οἱ δειπνοῦντες, τὴν τοῦ μύρου λήκυθον. κατ' ἐρώτησιν δὲ τοῦτο ἀναγνωστέον. τὸ δὲ ἑξῆς ὡς συμβουλεύοντος καὶ ὑποτιθεμένου πῶς αὐτῷ δεῖ χρῆσθαι.

Bisetus. Φάσον] λέξον. παρὰ τὸ φάω, φῶ, φάσω, ἔφασα, φάσον, φασάτω. ταυτὸν τῷ φράσον, ὃ παρὰ τὸ φράζω, τὸ λέγω. ἀλλ' ἴσως χρηστότερον φράσον, ὅπερ μᾶλλον ἐν χρήσει.

B Σχόλια. Καταλέγουσι τουτωί.] τῷ ἀλείμματι. λέγει δὲ τῇ εἰρήνῃ. τὸ δὲ καταλέγουσιν, ἀντὶ τοῦ καταλείπουσιν. Οἰνήρυσιν] τὴν τοῦ οἴνου κοτύλην ᾗ ἀρύονται. Τὰς ὀφρῦς ἀνεσπακώς.] σκυθρωπάσας.

ΔΡΑΜΑΤΟΣ ΤΟΥ ΤΕΤΑΡΤΟΥ, Σκηνὴ ἑβδόμη.

ΑΓΓΕΛΟΣ, ΛΑΜΑΧΟΣ, ΔΙΚΑΙΟΠΟΛΙΣ, ἕτερος ΑΓΓΕΛΟΣ.

ACTVS IV. SCENA septima.

NVNCIVS, LAMACHVS, DICÆOPOLIS, alter NVNCIVS.

C Bisetus. Ἄγγελος αἰφνιδίας τῶν πολεμίων εἰσβολὰς Λαμάχῳ ἀγγέλλει, καὶ ταχέως ἐπεξιέναι κελεύει. κατὰ τὸν αὐτὸν χρόνον ἕτερος ἄγγελος Δικαιόπολιν ἐπὶ δεῖπνον καλεῖ, ὅπερ ὁ τοῦ Διονύσου ἱερεὺς παρασκευάζει. ἐντεῦθεν Δικαιόπολις καλὴν ἀφορμὴν λαβὼν τὸν Λάμαχον καταγελᾷ, καὶ τὸν αὐτοῦ ὁπλισμὸν ἐκσυρίττει, καὶ τῶν πολεμικῶν δυστυχιῶν τὰς εἰρήνης ὠφελείας, καὶ ἡδονὰς ἀστείως προτίθησι.

Αγ. Ἰὼ πόνοι τε καὶ μάχαι καὶ Λάμαχοι.
Λα. Τίς ἀμφιχαλκοφάλαρα δώματα
κτυπεῖ;
Αγ. Ἰέναι σ' ἐκέλευον οἱ στρατηγοὶ τήμερον,
Ταχέως λαβόντα σὺν λόχοις καὶ σὺν λόφους.
Κἄπειτα τηρεῖν νιφόμενον τὰς εἰσβολάς.
Ὑπὸ σὺν Χόας γὰρ καὶ Χύτρους αὐτοῖς τις
Ἤγγειλε λῃστὰς ἐμβαλεῖν Βοιωτίους.
Λα. Ἰὼ στρατηγοὶ πλείονες ἢ βελτίονες.
Δικαιοπ. Οὐ δεινὰ μὴ ξεῖναί με μηδ' ἑορτάσαι;
Ἰὼ στράτευμα πολεμολαμαχαϊκόν.
Λα. Οἴμοι κακοδαίμων. καταγελᾷς ἤδη σύ μου;
Δι. Βούλει μάχεσθαι Γηρυόνῃ τετραπτίλῳ;
Λα. Αἰαῖ. οἵαν ὁ κῆρυξ ἀγγελίαν ἤγγειλέ μοι.
Δικ. Αἰαῖ. τίνα δ' αὖ μοι προστρέχει τὶς ἀγγελῶν;
Αγ. Δικαιόπολι. Δι. τί ἐστιν; Αγ. ἐπὶ δεῖπνον ταχὺ

NV. EHò labores, pugna, lamæ & lamachi:
LA. Quis hic circa domum ære phaleratam strepit?
NV. Proficisci te iubent duces exercitus,
Cum cristis & cohortibus hodie illicò:
Et niue tectum cauere incursus hostium.
Nam sub Choas, & Chytros quidam modo retulit
Ipsis, latrones incurrere Bœotios.
LA. Vah plures, quàm meliores militum duces.
DI. Nõne hoc graue, ne licere antè quidẽ Choas
Agere? hei, militiam bellolamachaicam.
LA. Hei misero mihi, numquid tu me ludibrio habes?
DI. Vin' tu pugnare cum Geryone, quattuor
Pinnis cristato? LA. ah ah, quod nuncium mihi
Præco modo nunciauit. DI. ah ah, quis mihi
Accurrit nuncius, quidue affert huc rei?
NV. alt. Dicæopoli. DI. quid est? NV. N. ad cœnam celeriter

Σχόλ. Ἰὼ πόνοι τε] ἔρχεταί τις εἰς πόλεμον καλῶν τὸν Λάμαχον. Ἀμφιχαλκοφάλαρα] ἀντὶ τοῦ πολύχαλκα. τραγικώτερον δὲ λέγει, διὰ τὸ μεγαλορρήμον Λαμάχου. Λόχους.] ἔνιοι μὲν τὸ ἐξ ἀνδρῶν ὀκτὼ σύστημα. οἱ δὲ τὸ ἐξ ἀνδρῶν δώδεκα. οἱ δὲ τὸ ἀπὸ ἑκκαίδεκα ἀνδρῶν πλῆθος, ὃ καὶ τέλειόν φασι καὶ σύμμετρον. καὶ λοχαγὸς προστάτης καὶ ἡγεμών, ὁ αὐτός ἐστι πρῶτος καὶ ἄριστος τοῦ λόχου. παρὰ δὲ Λακεδαιμονίοις ὑπῆρχον τέσσαρες λόχοι οὓς ἐκέχρητο ὁ βασιλεύς, ὡς ἀλλαχοῦ Ἀριστοφάνης. Γνώσεσθ' ὅτι καὶ παρ' ἡμῖν εἰσι λόχοι τέσσαρες μαχίμων ἀνδρῶν ἔνδον ἐξωπλισμένων. καὶ καταλοχίζει τὸ εἰς λόχους καταμερίζει τὸ πλῆθος τοῦ στρατοῦ. λόφους δὲ περικεφαλαίας. λόφος γὰρ καὶ τὸ περικεφαλαίας ἄκρον. καὶ γῆς ἀνάστημα. Τὰς εἰσβολάς.] τὰς εἰσόδους τῶν πολεμίων στρατῶν. νιφόμενον δὲ, ὡς χιόνος οὔσης. Ὑπὸ τοὺς Χόας γάρ.] Θεόπομπός τοὺς διασωθέντας ἐκ τοῦ κατακλυσμοῦ ἑψῆσαι φησὶ χύτρας πανσπερμίας. ὅθεν οὕτω κληθῆναι τὴν ἑορτήν. καὶ θύειν τοῖς χουσὶν Ἑρμῇ χθονίῳ. τῶν δὲ χύτρας οὐδένα γεύσασθαι. τοῦτο δὲ ποιῆσαι τοὺς περισωθέντας ἱλασκομένους τὸν Ἑρμῆν, καὶ περὶ τῶν ἀποθανόντων. ἦγετο δὲ ἡ ἑορτὴ Ἀνθεστηριῶνος τρίτῃ ἐπὶ δέκα ὡς Φιλόχορος. ἄλλως. ἐν μιᾷ ἡμέρᾳ ἄγονται οἵ τε χύτροι καὶ οἱ χόες ἐν Ἀθήναις, τῷ Διονύσῳ καὶ Ἑρμῇ. οὕτω Δίδυμος. Ἐμβαλεῖν Βοιωτίους.] πολέμιοι γὰρ ἦσαν οἱ Βοιωτοί. ἐν τοῖς ἄνω οὖν ὁ γεωργὸς ἔφη, ὅτι Βοιωτοί τινες ἀφείλοντό μου τὸ ζεῦγος τῶν βοῶν. Οὐ δεινὰ μὴ ξεῖναί με.] ὁ Δικαιόπολις ὡς δεινόν φησι μὴ ἐξουσίαν ἔχειν με ἑορτάσαι ἴσως διὰ τὸν τῶν στρατιωτῶν θόρυβον. Πολεμολαμαχαϊκόν.] ἔμφασιν ἔχει ὡσεὶ ἔφη, ξενικὸν ἢ Κορινθιακόν. Καταγελᾷς ἤδη σύ μου] διὰ τὸ εἰπεῖν πολεμολαμαχαϊκόν. Βούλει μάχεσθαι Γηρυόνῃ] ἀντὶ τοῦ

ἀντὶ τοῦ τετρακεφάλου. αἰνίττεται δὲ εἰς τὴν Λαμάχου περικεφαλαίαν τρεῖς λόφους ἔχουσαν ἀπὸ τῆς περικειμένης αὐτῷ πήληκος. ὃ δὲ θέλει εἰπεῖν, τοῦτό ἐστι. βούλει πρὸς δυσκαταγώνιστόν τινα μάχεσθαι. ὁ γὰρ Γηρυόνης οὗ ἐμυθεύθη, τρικέφαλος ἦν καὶ πολὺν ἀγῶνα παρέσχε τῷ Ἡρακλεῖ. δείκνυσι δὲ αὐτῷ τι τῶν τετραπτερυλλίδων ἅμα τῷ λέγειν, ἀντὶ τοῦ εἰπεῖν Γηρυόνῃ τρισωμάτῳ, τετραπτίλῳ εἶπεν. Αἰ αἶ.] τούτων τινὲς τὸ μὲν πρῶτον, διὰ τοῦ αι διφθόγγου. θρηνητικὸν γάρ. τὸ δὲ δεύτερον, ψιλόν. θαυμαστικὸν γάρ.

BISETVS. Αἰ, αἶ.] οἱ μὲν περισπῶσιν, οἱ δὲ ὀξυτονοῦσιν, ὃ καὶ βέλτιον. Εὐστάθιος. αἶ εὐκτικὸν πολλαχοῦ παρ' Ὁμήρῳ, ἀντὶ τοῦ εἴθε. ἔστι καὶ μεμπτικόν, καὶ δυσφορικόν, ὡς τὰ πολλὰ δὲ θρηνητικόν. ὅθεν καὶ ὁ Αἴας, καὶ τὸ αἰάζειν, τὸ θρηνεῖν. Σοφ. ἐν Αἴαντι μαστιγοφόρῳ,

Αἰ, αἶ. τίς ἄν ποτ' ᾤεθ' ὧδ' ἐπώνυμον
Τοὐμὸν ξυνοίσειν ὄνομα τοῖς ἐμοῖς κακοῖς;
Νῦν γὰρ πάρεστι καὶ δὶς αἰάζειν ἐμοί.

Σχόλια. Οἴαν ἀγγελίαν.] τὸν πόλεμον δηλονότι. B Αἰ αἶ. τινὰ δ' αὖ μοι προσρήξει.] ἔρχεται ἄγγελος καλῶν τὸν Δικαιόπολιν εἰς δεῖπνον καί φησι.

Βάδιζε, τὴν κίστην λαβὼν καὶ τὸν χοᾶ.
Ὁ τοῦ Διονύσου γάρ σ' ἱερεὺς μεταπέμπεται.
Ἀλλ' ἐγκόνει. δειπνεῖν κατακωλύεις πάλαι.
Τὰ δ' ἄλλα πάντ' ἐστὶν παρεσκευασμένα.
Κλῖναι, τράπεζαι, προσκεφάλαια, στρώματα.
Στέφανοι. μύρον. τραγήμαθ', αἱ πόρναι πάρα.
Ἄμυλοι. πλακοῦντες. σησαμοῦντες. ἴτρια.
Ὀρχηστρίδες, τὰ φίλταθ' Ἁρμοδίου, καλαί.
Ἀλλ' ὡς τάχιστα σπεῦδε. Λα. κακοδαίμων ἐγώ.
Δι. Καὶ γὰρ σὺ μεγάλην ἐπεγράφου τὴν Γοργόνα.
Σύγκλειε, καὶ δεῖπνόν τις ἐνσκευαζέτω.
Λα. Παῖ παῖ. φέρ' ἔξω δεῦρο τὸν γύλιον ἐμοί.
Δι. Παῖ παῖ. φέρ' ἔξω δεῦρο τὴν κίστην ἐμοί.
Λα. Ἅλας θυμίτας οἶσε παῖ καὶ κρόμμυα.
Δι. Ἐμοὶ δὲ τεμάχη. κρομμύοις γὰρ ἄχθομαι.
Λα. Θεῖον ταρίχους οἶσε σαπροῦ δεῦρό μοι.
Δι. Κἀμοὶ δὲ δὴ σὺ παῖ θεῖον. ὀπτήσω δ' ἐκεῖ.
Λα. Ἔνεγκε δεῦρο τὼ πτερὼ τὼ 'κ τοῦ κράνους.
Δι. Ἐμοὶ δὲ τὰς φάττας γε φέρε καὶ τὰς κίχλας.
Λα. Καλόν γε καὶ λευκὸν τὸ τῆς στρουθοῦ πτερόν.
Δι. Καλόν γε καὶ ξανθὸν τὸ τῆς φάττης κρέας.
Λα. Ὤνθρωπε. παῦσαι καταγελῶν μου τῶν ὅπλων.
Δ. Ὤνθρωπε. βούλει μὴ βλέπειν εἰς τὰς κίχλας;
Λα. Τὸ λοφεῖον ἐξένεγκε τῶν τριῶν λόφων.
Δι. Κἀμοὶ λεκάνιον τῶν λαγῴων δὸς κρεῶν.
Λα. Ἀλλ' ἦ τριχόβρωτες σοῦ λόφους μου κατέφαγον.
Δι. Ἀλλ' ἦ πρὸ δείπνου τὴν μίμαρκυν κατέδομαι.
Λα. Ὤνθρωπε βούλει μὴ προσαγορεύειν ἐμέ;
Δι. Οὐκ. ἀλλ' ἐγὼ χὠ παῖς ἐρίζομεν πάλαι.

Abi, & cistam panariam fer, & choa,
Nam Liberi sacerdos te ad epulum vocat.
Sed propera, cœnaturu iamdudum in mora es.
Omnia parata sunt cætera, mensæ, tori,
Puluini, stragula, serta, vnguenta: sunt item
Præsto bellaria: præstò sunt meretriculæ,
C *Panes, placentæ, sesamontes, itria:*
Tum deliciæ Harmodij, pulcræ tibicinæ.
Sed agè propera ocyus. LA. me miserũ. DI. quippe tu
Magnam tibiipsi vendicabas Gorgona.
Occlude, & cœnam mihi alsquis nunc apparet.
LA. Puer, effer sportam militarẽ huc mihi forâs.
DI. Puer, huc cistam panariam mihi fer forâs.
LA. Sales thymo intritos, & cepas fer mihi.
D *DI. At mihi tomacula: nam cepas fastidio.*
LA. Salsamenti putris veterem adipem mihi.
DI. Et mihi da salsam adipẽ, ego assabo hic eã.
LA. Effer pennas è galea cristata mihi.
DI. Huc effer turtures & turdos tu mihi.
LA. Pulcra est & alba sanè penna passeris.
DI. Pulcra 'st & flaua isthac sanè caro turturis.
LA. Ah mi homo, cessa ridere armaturam meã.
E *DI. Ah mi homo, vin' tu vultum ad turdos non vertere?*
LA. Loculamentum trium cristarũ cedò mihi.
DI. Catinum leporinarum carnium mihi.
LA. Nisi criniuori cristas meas exederint.
DI. Nisi ante cœnam farcimen ego deuorem.
LA. Mi homo: vin' tu tandẽ cessare me alloqui?
DI. Nõ. sed ego & puer hic inter nos cõtẽdimus

Σχόλια. Βάδιζε τὴν κίστιν.] τότε γὰρ οἱ καλοῦντες ἐπὶ δεῖπνον στεφάνους καὶ μύρα καὶ τραγήματα καὶ ἄλλα τοιαῦτα παρετίθεσαν. οἱ δὲ καλούμενοι ἔφερον ὀψήματα. κίστιν δὲ τὴν ὀψοθήκην. Ὅμηρος. μήτηρ δ' ἐν κίστῃ ἐτίθει μενοεικέ' ἐδωδήν. ὄψα τ' οἷα ἔδουσι διοτρεφέες βασιλῆες. χοᾶ δὲ ἐπεφέροντο οἱ καλούμενοι, ἵνα μὴ κοινωνῶσιν ἄλλου ποτηρίου, διὰ τὴν ἐπὶ Ὀρέστῃ γενομένην αἰτίαν. Ἐγκόνει.] ἀντὶ τοῦ σπεῦδε. μέλλοντας γὰρ αὐτοὺς δειπνεῖν ἐπέχεις. Σησαμοῦντες.] ἄλλο σησαμοῦς, καὶ ἄλλο σησάμη. σησαμοῦς μὲν εἶδος πλακοῦντος. σησάμη δὲ ἣν ἡμεῖς καλοῦμεν σησαμίδα. ἴτρια δὲ τὰ πυρώδη πλάσματα. Ὀρχηστρίδες] ὑπερβατόν ἐστιν, G ὀρχηστρίδες πάρεισι καλαί. καὶ τὰ φίλτατα τοῦ Ἁρμοδίου. τοῦτ' ἔστι τὰ εἰς Ἁρμόδιον σκολιὰ ᾄσματα. ὅπερ ἀνωτέρω ἔφη, Ἁρμοδίου μέλος ᾄσεται. Ἐπεγράφου τὴν Γοργόνα.] ὅτι ἐζωγράφησεν ἐν τῇ ἀσπίδι μεγάλην Γοργόνα. Τὸ γύλιον.] γύλιος σπυριδῶδες πλέγμα. ἐν ᾧ τὰς τροφὰς ἔχοντες οἱ στρατιῶται ἐβάδιζον ἐπὶ πόλεμον. Θεῖον ταρίχους.] ἐπεὶ ἐπὶ φύλλων τὰ τεμάχη βαλλόμενα ἐβαστάζοντο. σαπροῦ F δέ, ἀντὶ τοῦ παλαιοῦ καὶ μὴ νέου. σκεύασμα δέ τι παρὰ Ἀθηναίοις τὸ θρῖον. ὅπερ λαμβάνει, ὕειον στέαρ ἢ ἐγκέφαλον, καὶ σεμίδαλιν, καὶ γάλα. καὶ οὕτως εἰς φύλλα συκῆς ἐμβαλλόμενον ἥδιστον ἀποτελεῖ βρῶμα. οὕτω Δίδυμος. ἐκαλεῖτο δὲ καὶ ἄλλη τις σκευασία, θρῖον. ἐγκέφαλος μετὰ γάρου καὶ τυροῦ κατασκευαζόμενος. καὶ ἑλιττόμενος ἐν φύλλῳ συκῆς καὶ ὀπτώμενος. Τὸ λοφεῖον] ἐὰν μὲν ὑποκοριστικόν, δηλοῖ ἐλάττονα τῶν τριῶν λόφων. ἐὰν δὲ διὰ τῆς ει διφθόγγου, προπερισπᾶται καὶ δηλοῖ τὴν θήκην. Λεκάνιον.] κρατῆρα πεπληρωμένον τῶν λαγῴων κρεῶν. λεκάνια δὲ καὶ λεκανίδας, τὰ μείζονα τῶν ὀξυβάφων καὶ ἐκπέταλα. Τριχόβρωτες] σῆτες. θρὶξ σκώληξ καὶ ἐσθίων τὰς τρίχας. καὶ προπερισπωμένως δὲ λέγεται τριχοβρῶτες. Ἀλλ' ἦ πρὸ δείπνου] κυρίως μὲν μίμαρκυς ἡ λαγῴα χορδὴ ἐκ τῶν ἐντέρων. λέγεται δὲ καὶ ἐπὶ χοίρου. ἄλλως. μίμαρκυς σκευασία τις τῆς κοιλίας ἢ τῶν ἐντέρων. οἱ δὲ τὴν ἐκ τοῦ λαγῴου αἵματος καὶ τῶν ἐντοσθίων σκευαζομένην καρύκην. Ἄνθρωπε βούλει.] κατ' ἐρώτησιν. δηλοῖ δὲ τὸ ἐν ἔχθρᾳ εἶναι.

Βούλει περὶ δόξης κἀπιτρέψαι Λαμάχῳ, A
Πότερον ἀκρίδες ἥδιόν ἐστιν ἢ κίχλαι;
Λα. Οἴμ' ὡς ὑβρίζεις. Δι. τὰς ἀκρίδας κρίνει πολύ.
Λα. Παῖ παῖ καθελών μοι τὸ δόρυ, δεῦρ' ἔξω φέρε.
Δι. Παῖ παῖ, σὺ δ' ἀφελὼν δεῦρο τὴν χορδὴν φέρε.
Λα. Φέρε, τοῦ δόρατος ἀφελκύσωμαι τοὔλυτρον.
Ἔχ' ἀντέχου παῖ. Δικ. καὶ σὺ παῖ τοῦδ' ἀντέχου. B
Λα. Τοὺς κιλλίβαντας οἶσε παῖ τῆς ἀσπίδος.
Δι. Κἀκ τῆς ἐμῆς τοὺς κριβανίτας ἔκφερε.
Λα. Φέρε δεῦρο Γοργόνωτον ἀσπίδος κύκλον.
Δι. Κἀμοὶ πλακοῦντος τυρόνωτον δὸς κύκλον.
Λα. Ταῦτ' οὐ κατάγελώς ἐστιν ἀνθρώποις πλατύς;
Δι. Ταῦτ' οὐ πλακοῦς δῆτ' ἐστὶν ἀνθρώποις γλυκύς;
Λα. Κατάχει σὺ παῖ τοὔλαιον ἐν τῷ χαλκίῳ. C
Ἐνορῶ γέροντα δειλίας φευξούμενον.
Δι. Κατάχει σὺ τὸ μέλι κἀνθάδ' ἔνδηλος γέρων
Κλάειν κελεύων Λάμαχον τὸν Γοργάσου.
Λα. Φέρε δεῦρο παῖ θώρακα πολεμιστήριον.
Δι. Ἔξαιρε παῖ θώρακα κἀμοὶ τὸν χοᾶ.
Λα. Ἐν τῷδε πρὸς τοὺς πολεμίους θωρήξομαι.
Δικαιοπ. Ἐν τῷδε πρὸς τοὺς συμπότας θωρήξομαι. D
Λα. Τὰ στρώματ' ὦ παῖ δῆσον ἐκ τῆς ἀσπίδος.
Ἐγὼ δ' ἐμαυτῷ τὸν γύλιον οἴσω λαβών.
Δι. Τὸ δεῖπνον ὦ παῖ δῆσον ἐκ τῆς κιστίδος.
Ἐγὼ δὲ θοιμάτιον λαβὼν, ἐξέρχομαι.
Λα. Τὴν ἀσπίδ' αἴρου. καὶ βάδιζ' ὦ παῖ λαβών. E
Νίφ. βαβαιάξ, χειμέρια τὰ πράγματα.
Δικ. Αἴρου τὸ δεῖπνον, συμποτικὰ τὰ πράγματα.

Dudum. age vin' Lamachi arbitrio permittere:
Vtrum locustæ, an turdi meliores sient?
LA. Ah quàm tu iniurius es. DI. locustas antefert.
LA. Puer, puer hastam deiice, & effer huc mihi.
DI. Puer, puer, intestinum adime: & effer mihi.
LA. Age, integumentum huic hastæ deripiam, puer
Tene, retine. DI. & tu isthuc cōtrà retine puer.
LA. Fer clypei fulcra puer. DI. fer clibanarios
Tu mihi panes, fulcrum ventris mei, puer.
LA. Fer huc mihi Gorgonitergum clypei circulum.
DI. Et mihi placenta caseitergum circulum.
LA. Non hæc coram hominibus lata est irrisio?
DI. Non hæc coram hominibus placenta dulcis est?
LA. Infunde tu puer oleum scuto æreo:
Intus video senem fugiturum præ metu.
DI. Infunde tu mel. nam manifestus hic senex:
Ego plorare iubeo Gorgonium Lamachum.
LA. Huc effer mihi puer loricam bellicam.
DI. Huc effer loricam mihi puer, meum choa.
LA. Hac ego contra hostes lorica armabor truces.
DI. Hoc ego contra conuiuas armabor choë.
LA. Puer clypeo meo alligato stragula:
Ego integumentum ipsius capiam & mecum feram.
DI. Puer cistæ panariæ cœnam alliga:
Ego pallio accepto, iam hinc egredior domo.
LA. Tolle clypeum tibi & accipe puer, atque abi.
Ningit. papæ, hyberna hæc nobis negocia.
DI. Cœnam tolle, hæc conuiuialia negocia.

Σχόλια. Κἀπιτρέψαι Λαμάχῳ.] ἐπιτρέψαι ὥστε κρῖναι. καὶ Μένανδρος ἐν Ἐπιτρέπουσιν. ἐπιτρέπουσί τινι περὶ τούτων. ταῦτα δὲ διαλέγεται πρὸς τὸν οἰκέτην διασύρων καὶ παίζων τὸν Λάμαχον. Πότερον ἀκρίδες.] διασύρει τὸν Λάμαχον ὡς ἀκρίδας ἐσθίοντα. ἢ ὅτι πρότερον εὐτελεῖ ἐχρῆτο τῇ διαίτῃ. Καθελών μοι τὸ δόρυ.] παρατηρητέον ὅπως ὁ μὲν φιλοπόλεμος ὤν, πάντα τὰ εἰς πόλεμον ζητεῖ. F ὁ δὲ ἀντιστρόφως τὰ εἰς εἰρήνην. Δεῦρο τὴν χορδήν.] χορδὴ καλεῖται, τὸ παχὺ ἔντερον τοῦ προβάτου. Τοὔλυτρον.] τὴν θήκην. τὸ ἔντελες, τὸ ἔλυτρον. Καὶ σὺ παῖ τοῦδ' ἀντέχου.] τοὺς ὀβελίσκους, ὥστε τὰ ἐμπεπαρμένα κρέα ἢ τὴν χορδὴν μὴ ἑλκύσαι. Τοὺς κιλλίβαντας.] τρισκελῆ τινα σκευάσματα, ἐφ' ἃ ἐπιτιθέασι τὰς ἀσπίδας ἐπειδὰν κάμωσι πολεμοῦντες. Καὶ τῆς ἐμῆς τοὺς κριβανίτας.] λείπει γαστρός. ἵν' ᾖ, καὶ τῆς ἐμῆς γαστρὸς τὴν ἀνάπαυσιν ἔκφερε τοὺς κριβανίτας ἄρτους. ἔπαιξε δὲ χαριέντως ὅτι καὶ οὗτοι περιφερεῖς ὡς αἱ ἀσπίδες. Γοργόνωτον.] περιφραστικῶς τὴν G ἀσπίδα. Γοργόνωτον δὲ τὴν ἔχουσαν Γοργόνα. Κατάχει σὺ παῖ.] εἰς τὸν ὀμφαλὸν τῆς ἀσπίδος ἵνα γένηται λαμπροτέρα. ὁ Λάμαχος δέ ἐστι παρακελευόμενος ἐπὶ τὸ μέρος τὸ χαλκοῦν τῆς ἀσπίδος, ἔλαιον καταχυθῆναι ἵνα στιλβῇ. εἰσὶ γάρ τινες οἱ ἐν ἐλαίῳ ὁρῶντες μαντεύονται. οὕτως ὁ Σύμμαχος. σμήχει οὖν τὴν ἀσπίδα καταχέων τὸ ἔλαιον ἐπὶ τῆς χαλκῆς πτυχός. εἶτα ὡς φαιδρυνθείσης αὐτῆς ἐνοπτριζόμενος πρὸς αὐτὸν λέγει. ὁρῶ ἐν αὐτῇ γέροντα ὑπὸ δειλίας φεύγοντα. οἷον μὴ δυνάμενον ὁρᾶν τὴν ἀσπίδα διὰ τὴν ἔλλαμψιν. Ὅμηρος. Ὄσσε δ' ἄμερδε. ταῦτα δὲ ὡς μαντευόμενος λέγει. Ἔξαιρε παῖ θώρακα.] πρὸς τὴν ὁμωνυμίαν ἔπαιξε. θωρήξασθαι γάρ ἐστι τὸ καθοπλισθῆναι. ἀλλὰ καὶ τὸ πίνειν καὶ μεθύειν οὕτω καλοῦσιν. ἐπειδὴ θώραξ καὶ τὸ στῆθος. διὰ τὸ θερμαίνειν οὖν τὸ στῆθος, θωρύσσειν ἔλεγον τὸ μεθύειν. καὶ θώρακας τοὺς ἀκρομεθύσους ἐκάλουν. κέχρηται δὲ τῇ λέξει καὶ Ἀνακρέων. ἔστι δὲ ἀττική. ἐξελεῖν οὖν φησι κἀμοὶ τὸν χοᾶ ὃν καλεῖ θώρακα. ὥστε θωρακισθῆναι τουτέστι τὸν θώρακα πληρῶσαι. Κιστίδος.] καὶ κίστη καὶ κιστὶς λέγεται. καὶ [illegible] τὸ δρᾶμα γνῶναι. Νίφει βαβαιάξ.] οἱ γὰρ ἐπὶ πόλεμον ἐξιόντες, ἐπετήρουν τὰς διοσημείας.

ΠΡΟΩΔΟΣ κώλων ζ.

CHORVS.

Χο. Ιτε δὴ χαίροντες ἐπὶ σεαυτῶν,
Ὡς αὐονομίαν ἔχετε θ᾽ ὁδόν.
Τῷ μὲν πίνειν στεφανωσαμένῳ,
Σοὶ δὲ ῥιγῶντι προφυλάττειν,
Τῷ δὲ καθεύδειν μετὰ παιδίσκης
Ὡραιοτάτης,
Ἀνατριβομένῳ τε τὸ δεῖνα.

ACH. Etite hinc læto pede militiam,
Disparem ita: i mox ambo viam.
Alter serto redimitus bibat:
Alter hyberna statione
Frigeat: alter meretricem pulcram
Complexu habeat,
Et conterat hic membrum illud.

Σχόλια. Ιτε δὴ χαίροντες.] κορωνὶς καὶ εἴσθεσις εἰς μέλος τοῦ χοροῦ προῳδικὸν, περιόδων τειῶν. ὧν ἐπὶ πρώτη ἀναπαιστική. τελὰς τετρακαίδεκάμετρος ὀκτάκωλος. τέλος δὲ αὐτῆς. ἀνατειβομένῳ τι τὸ δεῖνα. τουτέστι τὸ αἰδοῖον κατ᾽ εὐφημισμόν.

BISETVS. Ο σχολιαστὴς ἐνταῦθα τρεῖς περιόδους καλεῖ τὴν προῳδὸν, τὴν στροφὴν, καὶ τὴν ἀντιστροφήν. καὶ τοῦτο καλῶς. τῶν δὲ λοιπῶν τὸν νοῦν ἀβασάνιστως δηλοῦν οὐ ῥᾴδιον. οὕτω μέντοι ἐν ἀπιθάνως ταῦτα διορθοῖς ἐν λόγοις, Κορωνὶς. καὶ εἴσθεσις εἰς μέλος τοῦ Χοροῦ προῳδικὸν περιόδων τειῶν, ὧν ἡ πρώτη ἐστὶν

B ἑπτάκωλος ἀναπαιστική. τέλος δὲ αὐτῆς τὸ Ἀνατειβομένῳ τε τὸ δεῖνα. αἱ δὲ δύο λοιπαὶ εἰσι δωδεκάκωλοι ἀναμεμιγμέναι. Ῥιγῶντι] ἀττικῶς ἀντὶ τοῦ ῥιγοῦντι, τραπείσης τῆς ου διφθόγγου εἰς ω. ἡ ῥιγῶντι χαριέστερον, ὅ ἐστι πιθανώτερον, ὡς ἐκ τῶν προσῳδουμένων, καὶ τῶν ἑξῆς δῆλον. οὐδεὶς γὰρ ἐνταῦθα ὁ ὡς εἴζει. ῥιγοῦν δὲ ἐπὶ τοῦ ψυχρῶς ἔχειν δὲ, ἐπὶ φόβου. Εὐστάθιος. Τὸ δεῖνα] τουτέστι τὸ αἰδοῖον κατ᾽ εὐφημισμόν. ἐστὶ δὲ παρεπιτήδευμα καὶ γὰρ γέλωτος χάριν ἅμα τῷ λόγῳ τὸ αἰδοῖον ἐπιδεικνύουσι.

ΣΤΡΟΦΗ κώλων ιβ΄.

Ἀντίμαχον τὸν Ψακάδος,
Τὸν ξυγγραφῆ, τὸν μελέων, τὸν ποιητὴν,
Ὡς μὲν ἁπλῷ λόγῳ κακῶς
Ἐξολέσειεν ὁ Ζεύς.
Ὅς γ᾽ ἐμὲ τὸν τλήμονα
Λήναια χορηγῶν, ἀπέλυσ᾽ ἄδειπνον.
Ὅν γ᾽ ἔτ᾽ ἐπίδοιμι τευθίδος
Δεόμενον, ἡ δ᾽ ὠπτημένη
Σίζουσα πάραλος ἐπὶ τραπέζῃ κειμένη,
Ὀκέλλοι, κᾆτα μέλ-
λοντος λαβεῖν αὐτὴν κύων
Ἁρπάσασα φεύγοι.

C STROPHE Verſ. 12.

Antimachum illum Pſacadis
Verſificatorem, hominem vſque ineptũ,
Vt breuiter dicam, malè
Iuppiter ille perdat,
Qui cùm epulum grande daret,
Me miſerum ſiuit abire impranſum.
Hunc ego aliquando videro
Panis inopem: qui coctus &
D Iam nunc maritimus, vbi menſæ inditus,
Quaſi appulerit: & is
Admouerit manum: canis
Prendat, & fugam capeſſat.

Σχόλια. Ἀντίμαχοι] τῆς συγγραφίας. Ψακὰς δὲ οὗτος ἐκαλεῖτο. ἐπειδὴ προσέρραινε τοὺς συνομιλοῦντας διαλεγόμενος. ἦν δέ τις ὀλυμπιακὸς καλούμενος Ψακὰς διὰ τοῦτο. ἐδόκει δὲ ὁ Ἀντίμαχος οὗτος, ψήφισμα πεποιηκέναι, μὴ δεῖν κωμῳδεῖν ἐξ ὀνόματος. καὶ ἐπὶ τούτῳ πολλοὶ τῶν ποιητῶν οὐ προσῆλθον λαχόμενοι τὸν Χορόν. καὶ δῆλον ὅτι πολλοὶ τῶν χορευτῶν ἐκείνων. ἐχορήγει δὲ ὁ Ἀντίμαχος τότε, ὅτε εἰσήνεγκε τὸ ψήφισμα. οἱ δὲ λέγουσιν ὅτι ποιητὴς ὢν κακὸς, χορηγῶν ποτε μικρολόγως τοῖς χορευταῖς ἐχρήσατο.

BISETVS. Ψακὰς δὲ καὶ ψεκὰς ταυτόν, ὥς φησιν Εὐστάθιος, καὶ τὴν σταγόνα δηλοῖ. λέγεται δὲ παρὰ τὸ ψῶ, ὅπερ ἄχρηστον, καὶ τὸ λεπτύνειν, καὶ σμικρύνειν σημαίνει. τούτου τοῦ Ἀντιμάχου, ὃς Ψακὰς ἐκλήθη, μέμνηται καὶ Σουΐδας, καὶ τὸ πρᾶγμα ἀκριβέστερον ἐξηγεῖται. Τὸν ξυγγραφῆ] τινὲς μὲν οὕτω γράφουσι, „ Τὸν ξυγγραφῆ τὸν μελέων, τὸν ποιητὴν. Ἄλλοι δὲ οὕτω, „ Τὸν ξυγγραφῆ, τὸν μέλεων, τὸν ποιητὴν. ὧν οὗτος ἐστὶ νοῦς, τὸν Ἀντίμαχον τὸν ξυγγραφέα, τὸν μάταιον, τὸν ποιητὴν λέγω. ἀντὶ τοῦ, τῆς συγγραφίας, καὶ ποιητὴν κακὸν, καὶ δυστυχῆ. τὸ

E μὲν ξυγγραφῆ, γνωστικώτερον. τὸ δὲ ποιητὴν, εἰδικώτερον. τὸ δὲ μέλεων, ἀντὶ τοῦ μέλεον, ἀττικῶς, ὡς καὶ ἵλεων, ἵλεον.

Σχόλια. Ἀπέλυσεν ἄδειπνον.] ἀπέλυσε δεῖπνον ἀντὶ τοῦ ἀπεστέρησε τοὺς μισθοὺς, οὐδὲν μοι ἐχορήγησε. Σίζουσα] ἀντὶ τοῦ ζέουσα. ὡς ἐπὶ τηγανιζομένης. ὅθεν ἦχον ἀποτελοῦσα. καὶ Ὅμηρος. ὡς τοῦ σίζ᾽ ὀφθαλμός. πάραλος δὲ ἀντὶ τοῦ παραθαλασσία. ἡ ἡ παρὰ τοὺς ἅλας κειμένη. ἐπεὶ δὲ καὶ ἱερὰ ναῦς τῶν Ἀθηναίων πάραλος καλεῖται ἐπήνεγκε τὸ ὀκέλλοι ὃ ἐπὶ προσορμίζοι ὡς ἐπὶ νεώς.

ΑΝΤΙΣΤΡΟΦΗ κώλων ιβ΄.

Τοῦτο μὲν αὐτῷ κακὸν ἓν
Κᾆθ᾽ ἕτερον νυκτερινὸν γένοιτο.
Ἠπιαλῶν γὰρ οἴκαδ᾽ ἐξ
Ἱππασίας βαδίζων,
Εἶτα κατάξειέ τις αὐ-
τοῦ μεθύων τῆς κεφαλῆς Ὀρέστης,
Μαινόμενος. ὁ δὲ λίθον βαλεῖν
Βουλόμενος ἐν σκότῳ λάβοι
Τῇ χειρὶ πελεθὸν, ἀρτίως κεχεσμένον.
Ἐπαΐξειε δ᾽ ἔχων
Τὸν μάρμαρον, κᾆπειθ᾽ ἁμαρ-
τὼν, βάλοι Κρατῖνον.

F ANTISTROPHE Verſ. 12.

Hoc malum ei lux pariat,
Alterum ei nox execranda:
Febricitans vbi domum
Ex equitatione
Se referet: mox aliquis
Ei cerebrum comminuat Oreſtes,
Mentis inops: lapidem ibi volens
G Corripere nocte cæca, olens
Stercus rapiat, eò recens cacatum: & ir-
Ruat, lapidem ratus
Tenere: aberrans poſtea
Tangat hunc Cratinum.

Σχόλ. Ηπιαλῶν γάρ.] ἀντὶ τοῦ ῥιγοπυρέτῳ περιπεσών. ἠπίαλος γὰρ κυρίως ὁ μετὰ ῥίγους πυρετός. ἠπιαλῶν δὲ ὅπερ καὶ βαδίζων ἀντὶ τοῦ ἠπιαλῶντες καὶ βαδίζοντες, ἱππασίας δὲ, ἀντὶ τοῦ ἱππικῆς ὡς ὄντος αὐτοῦ ἱππέως. καὶ γὰρ τοὺς ἱππέας διατρίβουσιν ἐν τῇ δοκιμασίᾳ οἱ ἵπποι. Τῆς κεφαλῆς Ορέστης.] ἀντὶ τοῦ τὴν κεφαλὴν, ἀττικῶς. ὁ δὲ Ορέστης οὗτος προσποιούμενος μανίαν, τοὺς παριόντας ἀπέδυεν. ἦν γὰρ λωποδύτης. ἢ πρὸς τὴν ὁμωνυμίαν, ἀντὶ τοῦ ὁ μαινόμενος. πολεθὸν δὲ, βάλλεν. Βάλοι Κρατῖνον] παρ' ὑπόνοιαν λέγει. οὐ τὴν ποιητὴν ἀλλά τινα ἀλαζόνα καὶ θρασὺν, καὶ μαινόμενον καὶ μέθυσον. βάλοι οὖν φησὶ τοῦτον. ἵνα πλείοσι κακοῖς περιπέσῃ τυπτόμενος ὑπ' αὐτοῦ.

ΔΡΑΜΑΤΟΣ ΤΟΥ ΠΕΜΠΤΟΥ
Σκηνὴ πρώτη.
ΑΓΓΕΛΟΣ ΤΟΥ ΛΑΜΑΧΟΥ.

Bisetus. Ἄγγελος ἐκ στρατοπέδου ἐπιστρέψας τοῦ Λαμάχου διαπόντου πτῶσιν, τὰς πληγάς, τὰ τραύματα, καὶ δυστυχίαν ἀγγέλλει, καὶ πάντας τοὺς οἰκείους δούλους πρὸς τὴν τῶν τραυμάτων θεραπείαν θᾶσσον ὁρμᾶσθαι κελεύει.

Σύστημα κατὰ περικοπὴν ἐν στίχοις ιϛ'.

Ἄγγελ. Ὦ Δμῶες οἳ κατ' οἶκον ἐστὲ Λαμάχου,
Ὕδωρ ὕδωρ ἐν χυτριδίῳ θερμαίνετε,
Ὀθόνια, κηρωτὴν παρασκευάζετε,
Ἔρι' οἰσυπηρά, λαμπάδιον περὶ τὸ σφυρόν.
Ἀνὴρ τέτρωται χάρακι, διαπηδῶν τάφρον,
Καὶ τὸ σφυρὸν παλίνορρον ἐξεκόκκισεν,
Καὶ τῆς κεφαλῆς κατέαγε περὶ λίθον πεσὼν,
Καὶ Γοργόν' ἐξήγειρεν ἐκ τῆς ἀσπίδος.
Πτίλον δὲ τὸ μέγα κομπολακύθου πεσὸν
Πρὸς ταῖς πέτραισι, δεινὸν ἐξηύδα μέλος,
Ὦ κλεινὸν ὄμμα νῦν πανύστατόν σ' ἰδὼν,
Λείπω φάος γε τοὐμόν, οὐκέτ' εἴμ' ἐγώ.
Τοσαῦτα λέξας, εἰς ὑδρορρόαν πεσὼν,
Ἀνίσταταί τε καὶ ξυναντᾷ δραπέταις,
Λῃστὰς ἐλαύνων, καὶ κατασπέρχων δορί,
Ὁδὶ δὲ καὐτός, ἀλλ' ἄνοιγε τὴν θύραν.

ACTVS V. SCENA prima.
NVNCIVS LAMACHI.

NV. O Seruuli, qui Lamachi estis in domo,
Aquam hic, aquam famuli in olla calefacite,
Linteola, ceratum parate, succidas
Proferte lanas, & linamenta tenera,
Ad malleolum pedis. nam vt fossam transiit,
Sude vulneratus est, pedísque malleus,
Quasi granum corticis, luxatus est viro.
Caput item, lapidi impingens, fregit pessimè,
Et Gorgona excitauit è clypeo suo.
Tum penna gloriosa auicula grandior,
Scopulo incidens, horrendum carmen edidit:
O praeclare ocule hodie extremum te conspicor,
Meámque lucem desero: nulla, nulla sum.
Vbi hoc locuta est in canalem illabitur:
Mox consurgit, & in fugitiuos quosdam incidit.
Hos hastis impellit, & ad celerem gradũ incitat.
Sed eccum adest ipsus, aperi: pande ostium.

Σχόλια. Ὦ δμῶες.] κορωνίς. εἰσέρχεται γὰρ ὁ ὑποκριτής. καὶ ἔστιν ἰαμβεῖα τρίμετρα ἀκατάληκτα ιϛ. Ὀθόνια.] τὰ λεγόμενα παρὰ ἰατροῖς λυχνάματα. Ἔρι' οἰσυπηρά.] Σουίδας. οἰσυπηρός, ῥυπαρός· καὶ ἔρια οἰσυπηρά, ῥύπου πεπληρωμένα. ῥυπάσματα ἀπὸ τῆς κόπρου. οἰσύπη δὲ, τὸ διαχώρημα τῶν προβάτων. καὶ ἀλλαχοῦ, οἰσύπου, ὁ ῥύπος τῶν ἐρίων. Λαμπάδιον] οἱ μὲν τὸ λεπτὸν χειρίδιον. οἱ δὲ ἐπιδέσμου εἶδος. οἱ δὲ τὸν νάρθηκα τῶν ἰατρῶν, τὸν ναρθηκίζοντα τὸ σφυρόν. οἱ δὲ τὰ ἔμμοτα. περὶ τὸ σφυρὸν δὲ, περὶ τὸ ὀστοῦν τὸ κάτωθεν τοῦ γόνυος. Τέτρωται χάρακι] χάραξ ἐστὶ ξύλον, ἐν ᾧ τὰς ἀμπέλους δεσμοῦσιν, ὥστε ἵστασθαι, καὶ μὴ πίπτειν εἰς τὴν γῆν. Παλίνορρον ἐξεκόκκισεν] ἐξέκλασεν, ἐξέβαλεν. ἡ μεταφορὰ ἀπὸ τῶν κόκκων, οὓς οἱ λικμητῆρες πληγαῖς ἐκβάλλουσι. τὸ δὲ τῆς κεφαλῆς κατέαγε, τουτέστι μέρος τῆς κεφαλῆς. οὐχ ὅλην τὴν κεφαλήν. τοῦτο δὲ κατὰ τοὺς γραμματικοὺς κανόνας. τὸ δὲ κατέαγε, παρὰ τὸ καταγνύω, κατάγνυμι, κατάξω, ὡς παρὰ τὸ ῥηγνύω, τὸ ῥήγνυμι. ὁ μέλλων περικείμενος κατῆγα, καὶ διαλύσει κατέαγα, ἀντὶ τοῦ ἐρρήχθην, ἢ ἔρρηξα. καὶ ἐν Σφηξίν,

Ἀνὴρ Συβαρίτης ἐξέπεσεν ἐξ ἅρματος,
Καί πως κατεάγη τῆς κεφαλῆς μέγα σφόδρα.

Καὶ Γοργόν' ἐξήγειρε] παρ' ὑπόνοιαν. θέλων γὰρ εἰπεῖν ὅτι ἀπὸ τῆς πληγῆς κονδύλην ἐποίησεν αὐτὸς ὁ Λάμαχος, ἔφη Γοργόνα ἐξήγειρεν. ὥσπερ ἐλέγομεν. οἴδημα ἀνέστησεν ἐπὶ τῆς κεφαλῆς. Πτίλον δὲ τὸ μέγα] ἔπαιξε πλάσας ὄνομα ὄρνιθος. διὰ τὸ κομπηρὸν τοῦ Λαμάχου. γράφεται δὲ οὕτως. πτίλου δὲ τοῦ μεγάλου πεσόντος ἐς τὰς πέτρας, δεινὸν μέλος ἐξηύδα ὁ Λάμαχος. ἢ πεσὼν πρὸς ταῖς πέτραις, ἐθρήνει τὸ μέγα πτίλον. ἄλλως. πτίλον μέγα λέγει τὴν περικεφαλαίαν αὐτοῦ, ἀπὸ τοῦ ἐν αὐτῇ πτεροῦ. οὐ γὰρ τὸ πτερὸν πεσὸν εἰς πέτραν ἤχησεν, ἀλλὰ τὸ κράνος ἐκ χαλκοῦ κατεσκευασμένον. ὑδρορρόαν δὲ ὕφαλον πέτραν, ἢ τὸ μέρος τῆς στεφανίδος, δι' οὗ τὸ ἀπὸ τοῦ ὄμβρου ὕδωρ συναγόμενον κατέρχεται. ἢ ὁ στενὸς τόπος. λέγεται δὲ καὶ ὑδρόρροια. ὡς τό, οἱ δὲ εἰς τὰς ὑδρορροίας συνωθοῦντες αὐτούς, διὰ τούτων ἐσώζοντο εἰς τὰς ναῦς.

ΔΡΑΜΑΤΟΣ ΤΟΥ ΠΕΜΠΤΟΥ
Σκηνὴ δευτέρα.
ΛΑΜΑΧΟΣ, ΔΙΚΑΙΟΠΟΛΙΣ, ΧΟΡΟΣ.

ACTVS V. SCENA secunda.
LAMACHVS, DICÆOPOLIS, CHORVS.

BISET.

BISETVS. Λάμαχος τετραυματισμένος ἔρχεται, καὶ κατὰ τὸ προσδοκηθὲν ὑπὸ τοῦ ἀγγέλου ἀκουσθὲν, μετ' ἀλγηδόνος καὶ οἰκτρᾶς φωνῆς τὴν ἑαυτοῦ ἧτταν ὀδυρόμενος, καὶ τὸν πόλεμον, καὶ τὰς μάχας ἀπευκτούμενος· τοῦτον Δικαιόπολις πολλοῖς σαρκασμοῖς ἐνδεξάμενος μετὰ παῤῥησίας σκώπτει. αὐτὸς δὲ τοῦ χοροῦ συναινοῦντος, καὶ συγκροτοῦντος τὸν ἀσκὸν, νί-

A κης ἆθλον ὑπὸ τῶν Ἀχαρνέων διδόμενον λαμβάνει, ὅτι ἐν τῇ τοῦ Διονύσου ἑορτῇ οἶνον ἀνδρείως ἔπιεν. αὐτῷ δὲ νικήσαντι, καὶ ἤδη ἀπιόντι πάντες οἱ τοῦ χοροῦ μετὰ χαρᾶς ᾄδοντες ἕπονται, καὶ τῷ δράματι καλὸν τέλος οὕτως ἐπιτίθεται.

Λα. Ἀτταταττατᾶ,
Στυγερὰ τάδε γε κρυερὰ πάθεα.
Τάλας ἐγὼ διόλλυμαι
Δορὸς ὑπὸ πολεμίου τυπείς.
Ἐκεῖνο δ' οὖν αἰακτὸν ἂν
Οἰμωκτὸν ἂν γένοιτό μοι.
Δικαιόπολις γὰρ εἴ μ' ἴδοι τιτρωμένον,
Κατεγχάνοι γε ταῖς ἐμαῖσιν ἂν τύχαις.
Δι. Ἀτταλατταττᾶ,
Τῶν τιτθίων ὡς σκληρὰ καὶ κυδώνια.
Φιλήσατόν με μαλθακῶς ὦ χρυσίω,
Τὸ περιπέταστον κἀπιμανδαλωτὸν αὖ.
Τὸν γὰρ χοᾶ νῦν πρῶτος ἐκπέπωκά γε.
Λα. Ὦ συμφορὰ τάλαινα τῶν ἐμῶν κακῶν.
Ἰὼ ἰὼ τραυμάτων ἐπωδύνων.
Δι. Ἰὴ, ἰὴ, ὦ χαῖρε Λαμαχίππιον.
Λα. Στυγερὸς ἐγώ. Δι. μογερὸς ἐγώ.
Λα. Τί με σὺ κυνεῖς; Δι. τί με σὺ δάκνεις;
Λα. Τάλας ἐγὼ τῆς ἐν μάχῃ
Νῦν ξυμβολῆς βαρείας.
Δι. Τοῖς Χουσὶ γάρ τις ξυμβολὰς ἐπράττετο.
Λα. Ἰὼ ἰώ. Παιὰν Παιάν.
Δι. Ἀλλ' οὐχὶ νυνὶ τήμερον Παιώνια.
Λα. Λάβεσθέ μου, λάβεσθε τοῦ σκέλους. παπαῖ,
Προσλάβεσθε μ' ὦ φίλοι.
Δι. Ἐμοῦ δέ γε σφὼ τοῦ πέους ἄμφω μέσου.
Προσλάβεσθέ μ' ὦ φίλαι.
Λα. Ἰλιγγιῶ κάρα λίθῳ πεπληγμένος
Καὶ σκοτοδινιῶ.
Δι. Κἀγὼ καθεύδειν βούλομαι καὶ στύομαι
Καὶ σκοτοδινιῶ.
Λα. Θύραζέ μ' ἐξενέγκατ' ἐς τοῦ Πιττάλου,
Παιωνίαισι χερσίν.
Δι. Ὡς τοὺς κριτάς μ' ἐκφέρετε. ποῦ 'στιν ὁ βασιλεύς;
Ἀπόδοτέ μοι τὸν ἀσκόν.

B LA. Attapattatà,
Grauia, misera, rigida patior.
Perij, interij, occidi miser,
Percussus hostis lancea.
Hac hasta lamentabilis,
Et erit mihi plorabilis.
Nam si Dicaopolis me læsum viderit,
Meo insultabit latus infortunio.
DI. Attalattatà,
C Vt duræ sunt papillæ, vt sunt Cydonia?
O aureæ puellæ date mihi suauium,
Et morsiunculas, & labra labris iungite,
Nam primus omnium ego choa nunc ebibi.
LA. O miseras ærumnarum istarum miserias.
Ehei, ehei, vulnera excruciantia.
DI. Ehodùm, saluus sies Lamachippium.
LA. Ah me miserum. DI. ah me perditum.
D LA. Ludisne me? DI. mordésne me?
LA. Miser ego propter prælij
Conflictum inauspicatum.
DI. Quippe Choibus faciebat quidam symbolas.
LA. Eheu, Ehei, Paan, Paan.
DI. At hodie nunc haud celebrantur Pæonia.
LA. Prehendite, prehendite crus meum: papæ
O amicæ prehendite.
DI. At vos mihi mediam puellæ mentulam,
E O amicæ prehendite.
LA. Caput percussus agor vertigine: tenebræ
Ante oculos natant.
DI. Et ego dormiturio, & mæreo: quia tenebræ
Ante oculos natant.
LA. Efferte me forâs, in ædes Pittali,
Pæoniis sequelis.
F DI. Ad iudices me efferte, vbinam est rex Choum?
Date ctesiphontis vtrem.

Σχόλια. Ἀτταπατταταῖ.] θρηνῶν παρατραγῳδεῖ. κατεγχάνοι δὲ καταγελάσαι. παρατηρητέον δὲ ὅτι ἀντιτίθησιν αὖθις ὁ μὲν τὰ ἐκ τοῦ πολέμου δεινὰ ἅπερ ἔπαθεν. ὁ δὲ ἅπερ ἔχει ἐν εἰρήνῃ χαρμόσυνα. Ὦ χρυσίω] πρὸς τὰς δύο πόρνας λέγει. Τὸ περιπέταστον κἀπιμανδαλωτόν.] εἴδη φιλημάτων ἐρωτικῶν. ἐν ᾧ δεῖ τὴν γλῶτταν τῶν καταφιλούντων λείχειν. ἄλλως. μανδαλωτὸν εἶδος φιλήματος ποικίλον καὶ ἡδύ. θηλυδρῶδες καὶ κατεγλωττισμένον. Τί με σὺ κυνεῖς.] ἔνιοι ἐν τοῦ βούλονται εἶναι, ἵνα ᾖ ὁ Λάμαχος λέγων πρὸς τὸν Δικαιόπολιν τὸ τί με σὺ κυνεῖς, τί με σὺ δάκνεις. ἵνα ᾖ τὸ κυνεῖν ἀντὶ τοῦ σαίνειν. ὥσπερ ἔλεγε, τί με καταπαίζεις καὶ λυπεῖς με Δικαιόπολι. Τάλας ἐγώ.] δηλοῖ ἀπειδος δ' ἑπτάκωλος ἧς τὸ α' ὅμοιον τῷ πρὸ αὐτοῦ. δίμετρον ἀκατάληκτον. τὸ γ' ἰαμβικὸν ἐν εἰσθέσει ἰαμβικὸν ἡμιόλιον. τὸ δ' ἰαμβικὸς στίχος.

BISETVS. Τὰ παλαιὰ σχόλια οὐδὲ τὸν ἀριθμὸν, οὐδὲ τὴν ποιότητα, οὐδὲ τὴν ποσότητα τῶν μέτρων οὖν, G ἀμέμπτως δηλοῖ. τὰ δὲ μέτρα ποικίλα, καὶ διάφορα.

Σχόλια. Τοῖς Χουσὶ γάρ τις.] ἐπειδὴ ὁ Λάμαχος εἶπε ξυμβολῆς βαρείας ἐπιλέγει ὁ Δικαιόπολις συμβολὰς, παίζων πρὸς τὴν ὁμωνυμίαν τὸ ἐπὶ τὸ δεῖπνον λεγόμενον. λέγεται γὰρ συμβολὴ καὶ ἐπὶ δεῖπνα τὰ ἐκ κοινοῦ ἐπιτελούμενα. οὓς ἐράνους Ὅμηρός φησιν. εἰλαπίνη ἠὲ γάμος. ἐπεὶ οὐκ ἔρανος τάδε γ' ἐστίν. Ἀλλ' οὐχὶ νυνὶ

τήμερον.] ἐπεὶ ἔστι τὸ σήμερον ἡμέρα Παιωνία καὶ ὑγιεινή. ἕκαστον δὲ ὧν ὁ Λάμαχος λέγει, τρέπει εἰς παιδιάν. Παιᾶνα φησὶν ἐπικαλῇ, ὥσπερ ἐπεὶ εἰδὼς ὅτι σήμερον τὰ ἔστι Παιώνια. ἔστι δὲ ἑορτὴ Ἀθήνησιν, Ἀπόλλωνι ἴσως ἀνακειμένη. καὶ Παιώνειον ἰατρεῖον θεραπευτήριον. ἢ σωτήριον φάρμακον. καὶ Παιωνίοις τισὶ φαρμάκοις σωτηρίοις. ἰατρευτικοῖς θεραπευτικοῖς. καὶ παρακατιὼν ἐρεῖ Παιωνίαισι χερσί. Λάβεσθέ μου.] λάβεσθε δηλοῖ καὶ δυάδες τρεῖς δακτύλους ἔχουσαι τὰς περιόδους, ἐξ ἰάμβου τριμέτρου ἀκαταλήκτου ἐκκειμένου. τῷ μὲν οὖν πρώτης δυάδος τὸ πρῶτον Παιωνικὸν διρρυθμον. τὸ προσλάβεσθ' ὦ φίλαι. Ιλιγγιῶ.] ὅταν περὶ τὴν καρδίαν στρέφεσθαι, ἢ παρακολουθεῖ σκότος. καὶ τοῦτο καλοῦσι τὸ πάθος ἴλιγγον.

Bisetus. Στύομαι.] τὴν τοῦ αἰδοίου τάσιν, καὶ συνουσίας ἐπιθυμίαν τούτῳ τῷ ῥήματι ὑποσημαίνει. τί δὲ τὸ στύειν, καὶ στύεσθαι, ἐν τοῖς ἑξῆς διὰ πλειόνων ἐπιπεδέστερον εἰρήσεται.

Σχόλια. Ποῦ 'στιν ὁ βασιλεύς.] δηλοῖ ὡς ἄρα τὴν ἐπιμέλειαν ὁ βασιλεὺς εἶχε τῆς ἁμίλλης τῆς χοὸς καὶ τὸ ἆθλον ἐδίδου τῷ νικήσαντι, τὸν ἀσκόν. ὁ δὲ βασιλεὺς ἀρχή τις ἐστίν. ἦν δὲ καὶ τῶν μυστηρίων ἐπιμελητὴς τῶν πομπῶν, καὶ τῶν θυσιῶν διῆρχεν.

Λά. Λόγχη τις ἐμπέπηγέ μοι δι' ὀστέων ὀδυρτά.

Δι. Ὁρᾶτε τουτονὶ κενόν; Τήνελλα καλλίνικος.

Χο. Τήνελλα δῆτ', εἴπερ καλεῖς πρέσβυ καλλίνικος.

Δι. Καὶ πρός γ' ἄκρατον ἐγχέας ἄμυστιν ἐξέλαψα.

Χο. Τήνελλα νῦν ὦ γεννάδα χώρει λαβὼν τὸν ἀσκόν.

Δι. Ἕπεσθέ νυν ᾄδοντες, ὦ Τήνελλα καλλίνικος.

Χο. Ἀλλ' ἑψόμεσθα σὴν χάριν,
Τήνελλα καλλίνικον ᾄδοντές σε καὶ τὸν ἀσκόν.

LA. Per ossa quadam lancea hostilis mihi inuolauit.

DI. Videtis poculum hoc vacuum? Tenella egregia victrix.

CH. Tenella sanè si vocas, senex, egregia victrix.

DI. Et insuper meracum infudi, & hianti ore ingurgitaui.

CH. Tenella, nunc age generose, vtrem cape & recede.

DI. Sequimini me cantantes, ó Tenella egregia victrix.

CH. Tui sequemur gratia,
Tenella victrix inclytam
Cantabimus te, & vtrem.

Σχόλια. Ὀδυρτά.] κατ' ἐναλλαγὴν τοῦ σ ὀδυρτά, τουτέστι θρακική. ἢ ἀπὸ τοῦ ὀδύρεσθαι. τουτέστιν θρῆνον ἐμποιοῦντα καὶ ὀδυρμόν. Πρέσβυ.] ἑαυτὸν γὰρ ὑπετίθετο πρέσβυν, πρὸς τὴν γυναῖκα διαλεγόμενος ἐν ἀρχῇ τοῦ δράματος. Ἄμυστιν.] τὴν ἀθρόαν πόσιν οὕτως ἔλεγον. ἔστι δὲ εἶδος ποτηρίου φιαλώδους. ἄλλως. διὰ ὃ μετὰ καὶ ἀθρόως ἔπινον, ἢ παρὰ τὸ ἀπνευστὶ ἐκπίνειν, ἢ παρὰ τὸ μὴ μύειν. ἔστι δὲ καὶ εἶδος ποτηρίου.

Bisetus. Ἄμυστιν.] Εὐστάθιος. ἄμυστις, εἶδος ποτηρίου, παρὰ τὸ μὴ μύειν τοὺς ἐξ αὐτοῦ πίνοντας, διὰ τὸ εὔκολον τῆς πόσεως. καὶ ἄμυστις πόσις, ἣν τις πίνει μὴ μύσας. ὅθεν τὸ ἀμυστίζειν τὸ ἀθρόως, καὶ ἀπνευστὶ πίνειν. ὅπερ οἱ ποιοῦντες, ὥς φασιν οἱ παλαιοὶ κατὰ τὸν Πλούταρχον, ἥκιστα μέθαις περιπίπτουσιν.

Σχόλια. Τήνελλα.] μίμημα ἀποφθέγματος αὐλοῦ τὸ Τήνελλα. Ἀρχίλοχος.
Τήνελλα καλλίνικε χαῖρ' ἄναξ Ἡράκλεες,
Αὐτός τε καὶ Ἰόλαος αἰχμητὰ δύο.

Biset. Ἀγεννάδα.] γεννάδας παρὰ τῷ Ἡσυχίῳ, γενναῖος, ἀνδρεῖος, εὐγενής, μέγας. ἐν δὲ τῷ συνθέτῳ ἀγεννάδας, τὸ α οὐ στερητικόν ἐστιν, ἀλλὰ ἐπιτατικόν.

Σχόλια. Ἀλλ' ἑψόμεσθα σὴν χάριν.] λείπει ἡ ὡς πρόθεσις. ἵν' ᾖ εἰς σὴν χάριν.

Biset. Οὕτω καὶ Αἰσχύλος ἐν Πέρσαις,
Ἐρεαν', ἔρεατε, καὶ στενάζ' ἐμὴν χάριν.

ΑΡΙΣΤΟΦΑΝΟΥΣ ΑΧΑΡΝΕΩΝ ΤΕΛΟΣ.

ARISTOPHANIS ACHARNENSIVM FINIS.

ΣΦΗΚΩΝ ΥΠΟΘΕΣΙΣ.

ΦΙΛΟΚΛΕΩΝ Ἀθηναῖος φιλοδικαστὴς ὢν τὴν φύσιν, ἐφοίτα εἰς δικαστήρια συνεχῶς. Βδελυκλέων δὲ ὁ τούτου παῖς ἀχθόμενος ταύτῃ τῇ νόσῳ καὶ περιφερόμενος τὸν πατέρα παῦσαι, ἐγκαθείρξας τοῖς οἴκοις καὶ δίκτυα περιβαλὼν, ἐφύλαττε νύκτωρ καὶ μεθ' ἡμέραν. ὁ δὲ ἐξόδου αὐτῷ μὴ προκειμένης, ἔκραζεν. οἱ δὲ συνδικασταὶ σφηξὶν αὑτοὺς ἀφομοιώσαντες, παραγίνονται. βουλόμενοι διὰ ταύτης τῆς τέχνης ὑποκλέπτειν τὸν συνδικαστήν. ἐξ ὧν καὶ ὁ χορὸς συνέστηκε, καὶ τὸ δρᾶμα ἐπιγέγραπται. ἀλλ' οὐδὲν ἤνυσαν οὐδὲ οὗτοι. πέρας δὲ τοῦ νεανίσκου θαυμάζοντος, τίνος ἕνεκα ὁ πατὴρ οὕτως ἥττηται τοῦ πράγματος, ἔφη ὁ πρεσβύτης εἶναι τὸ πρᾶγμα σπουδαῖον καὶ σχεδὸν ἀρχῆς τὸ δικάζειν. ὁ δὲ παῖς ἐπειρᾶτο τὰς ὑποψίας ἐξαίρειν τοῦ πράγματος, νουθετῶν τὸν γέροντα. ὁ δὲ πρεσβύτης μηδαμῶς πειθούμενος, οὐ μεθίει τοῦ πράγματος. ἀλλ' ἀναγκάζεται ὁ νέος ἐπιτρέψαι αὐτῷ φιλοδικεῖν, καὶ ἐπὶ τῆς οἰκίας μόνον τοῦτο ποιεῖν, καὶ τοὺς κατὰ τὴν οἰκίαν δικάζειν. καὶ δύο κύνες παρεισάγονται παρ' αὐτῷ πολιτικῶς κρινόμενοι. καὶ κατὰ τοὺς φεύγοντας ἐκφέρειν συνεχῶς τὴν ψῆφον μέλλων, ἀπατηθεὶς ἄκων, τὴν καταδικάζουσαν ἅμα φέρει ψῆφον. περιέχει δὲ καὶ δικαιολογίαν τινὰ τοῦ χοροῦ ἐκ τοῦ ποιητικοῦ προσώπου διὰ τὸ σφηξὶν ἐμφερεῖς εἶναι τοὺς τοῦ χοροῦ. ἐξ ὧν καὶ τὸ δρᾶμα. οἱ ὅτε μὲν ἦσαν νέοι, πικρῶς ταῖς δίκαις ἐφήδρευον. ἐπεὶ δὲ γέροντες γεγόνασι κεντοῦσι τοῖς κέντροις. ἐπὶ τέλει τοῦ δράματος, ὁ γέρων ἐπὶ δεῖπνον καλεῖται καὶ ἐπὶ ὕβριν τρέπεται. καὶ κρίνει αὐτὸν ὕβρεως ἀρτόπωλις. ὁ δὲ γέρων, πρὸς αὐλὸν καὶ ὄρχησιν τρέπεται. καὶ γελοιοποιεῖ τὸ δρᾶμα. Τοῦτο τὸ δρᾶμα πεποίηται αὐτῷ οὐκ ἐξ ὑποκειμένης ὑποθέσεως, ἀλλ' ὡσανεὶ γενομένης. πέπλασται δὲ τὸ ὅλον. διαβάλλει δὲ Ἀθηναίους ὡς φιλοδικοῦντας. καὶ σωφρονίζει τὸν δῆμον ἀποστῆναι δικῶν. διὰ τοῦτο, καὶ τοὺς δικαστὰς σφηξὶν εἰκάζει κέντρα ἔχουσι. καὶ πλήττουσι δι' αὐτῶν χαιρόντας. Ἐδιδάχθη ἐπὶ ἄρχοντος Ἀμεινίου διὰ Φιλωνίδου ἐν τῇ πόλει Ὀλυμπιάδι μθ β εἰς Λήναια. καὶ ἐνίκα πρῶτος Φιλωνίδης προάγωνι Γλαύκων πρέσβεσι τρίτος.

ΑΡΙΣΤΟΦΑΝΟΥΣ ΓΡΑΜΜΑΤΙΚΟΥ
διὰ στίχων ἰάμβων.

Φιλοῦντα δικάζειν πατέρα, παῖς εἴρξας ἄφνω,
Αὐτὸς ἐφύλαττεν ἔνδον οἰκοῦντά γ' ὅπως
Μὴ λανθάνῃ, μὴ δ' ἐξίῃ, διὰ τὴν νόσον·
Ὁ δ' ἀντιμάχεται παντὶ τρόπῳ καὶ μηχανῇ.
Εἶθ' οἱ συνήθεις καὶ γέροντες λεγόμενοι
Σφῆκες, παραγίνονται βοηθοῦντες σφόδρα.
Ἐπὶ τῷ δ' ἰξύαδι κέντρον ἵεται τισὶ
Φρονοῦντες ἱκανόν. ὁ δὲ γέρων τηρούμενος,
Ξυμπείθεται ἔνδον διαδικάζειν καὶ βιοῦν.
Ἐπεὶ τὸ δικάζειν κἀκεῖνον ἐκ παντὸς τρόπου.

ΤΟΥ ΔΡΑΜΑΤΟΣ ΥΠΟΘΕΣΙΣ
δι' ἀκροστιχίδος.

Qu.Sept.Flo.Christiani.

Σ κληρὸν γέροντα καὶ λίαν δικορράφον
Φ ύλαξεν οἴκοι παῖς κατάκλειστον, πρὸς ὃν
Η κον γέροντες σφῆκες ὥστ' ἀμυνάθειν
Κ έντροις. λόγου δὲ κρείττονος γέρων ὕπο
Ε πειτα πεισθείς. κοὐδὲν ἀπορεῖν ἔχων
Σ τέργει δικάζειν τὰς δίκας τὰς οἴκοθεν.

ARGVMENTVM SIVE HYPOTHESIS, Crabronvm aut Vesparvm.

Auctore Sept. Flor. Christiano.

Per Acrostichidem.

C ùm indicandi amore vesanum patrem
R etrahere vellet natus, inclusum ædibus
A dseruat: ille obnititur, quantum potest,
B delycleonem vt fallat & custodiam:
R em rescientes aduolant macri senes
O pem vt ferant aculeis freti suis
N omenq; habentes inde Vesparum: inter hos
E x pacto initur fœdus: exercet domi
S enex forum omne, & iudicis partes agit.

Aliter.

V eterem parentem natus addictum foro
E liminare dum vetat, seruis dedit
S eruandum: at illum vindicare aculeis
P arant seniles vespæ: vtrinq; ardent manus:
A nimos sed acres lingua flexit, & senex
E uicit vt ius diceret saltem domi.

A

ΤΑ ΤΟΥ ΔΡΑΜΑΤΟΣ πρόσωπα.

Σωσίας οἰκέτης.
Ξανθίας, οἰκέτης.
Βδελυκλέων.
Φιλοκλέων.
Χορὸς γερόντων Σφηκῶν.
Παῖδες.
Κῆρυξ.
Θεσμοθέτης.
Κατήγορος.
Κύων Κυδαθηναιεύς.
Θεράπων Φιλοκλέωνος.
Αρτόπωλις γυνή.
Ευριπίδης.
Ετερος κατήγορος.

PERSONÆ DRAMATIS.

Sosias, seruus.
Xanthias, seruus.
Bdelycleon, filius senis.
B Philocleon, senex.
Chorus senum Crabronum.
Pueri.
Præco.
Thesmotheta.
Accusator.
Canis Cydathenæus.
Seruus Philocleonis.
C Artopola, mulier.
Euripides.
Alius accusator.

ΑΡΙΣΤΟΦΑΝΟΥΣ ΣΦΗΚΕΣ.

D

ARISTOPHANIS CRABRONES seu VESPÆ.

Ex versione Q. Sept. Florentis Christiani.

Ad quā accesserūt eiusdem obseruationes & castigationes in eandem fabulam.

ΣΩΣΙΑΣ, ΞΑΝΘΙΑΣ.

Bisetus. Σωσίας, καὶ Ξανθίας δοῦλοι τοῦ Φιλοκλέωνα φυλάττειν ἐπιταχθέντες τὸν τῆς φυλακῆς πόνον, καὶ βάρος δυσφοροῦντες ἀγανακτοῦσιν. εἶτα δὲ πρὸς τοὺς θεατὰς ἐπιγραφέντες τὴν τοῦ δράματος ὑπόθεσιν αὐτοῖς δηλοῦσι.

E

Οὗτος τί πάσχεις ὦ κακόδαιμον
Ξανθία;
Ξαν. Φυλακὴν καταλύειν νυκτερινὴν διδάσκομαι.
Κακὸν ἄρα ταῖς πλευραῖς τι προὐφειλες μέγα.
Ἆρ᾽ οἶσθα γ᾽ οἷον κνώδαλον φυλάττομεν;

SOSIAS, XANTHIAS.

Miserande Xanthia, ecquod hic malum anculas?
XA. Dissoluere huius noctis excubias paro.
SO. Fraudem lateribus nempe debebas tuis,
Sed scisne qualem nos tuemur belluam?

F

Σχόλια. Οὗτος τί πάσχεις.] προλογίζουσι δύο οἰκέται, ἀποδυσπετοῦντες πρὸς τὴν φυλακὴν τοῦ γέροντος δεσπότου. κατ᾽ αὐτὴν δὲ στίχοι ἴαμβοι τρίμετροι ἀκατάληκτοι. σκθ. ὧν τελευταῖος. πολλῶν δικαστῶν σφηκιὰν διασκεδᾷ. Φυλακὴν καταλύειν.] οὕτω λέγουσι τὸ ἐπινυστάζειν ἐπὶ τῆς φυλακῆς, φυλακὴν καταλύειν νυκτερινήν. ἤγουν καταλιπεῖν τὴν τάξιν βούλομαι καὶ μελετῶ καθεύδειν ἤγουν νυστάζω.

Christ. Φυλακὴν καταλύειν.] Vigiliæ nocturnæ labore fessus Xanthias seruus verna dum heri patrem cum Sosia custodit, oculis velut nictabat & dormituriebat, itaque ait se soporem meditari & custodiæ pausam. Sic apud Æschylum in principio Agamemnonis ille custos deos poscit vigiliarum missionem & φρουρᾶς ἐτείας ἀπαλλαγήν. Quo loco admonebo studiosos τὸ ἄγκαθεν pro ἀγκαθεν malè apud Hesychium legi ἀχίαθεν.

Σχόλια. Προὔφειλες.] οὐδὲν ἄλλο ἐστὶ τοῦ προὔφειλες ἐνδεικτικὸν ἢ μόνον τὸ ὤφειλες. ἐχρεώστεις τί μέγα κακὸν ταῖς πλευραῖς σου, καὶ θέλεις αὐτὸ ἀποδοῦναι.

Christ. Προὔφειλες.] Sic Latini ludibrium debere. Nam hoc loco verbum compositum non plus valet quàm simplex ὤφειλες, Quasi dicat, mu-

G

tuò magnum aliquod malum sumpseras à costis tuis quod bona fide reddere cupis, vt flagris scilicet illæ caleant vt loquitur Plautus.

Σχόλια. Κνώδαλον.] κυρίως ἐπὶ τοῦ θαλαττίου θηρίου. εἴρηται δὲ καὶ ἐπὶ τοῦ χερσαίου κνώδαλον παρὰ τὸ κνώειν ἀλίσκεσθαι.

Bisetus. Εὐστάθιος. κνώδαλον, τὸ χερσαῖον θη-

ειον, παρὰ τὸ ὑπὸ κυνῶν ἁλίσκεσθαι. καὶ τὸ θαλάσσιον A θηρίον ὁμωνύμως, παρὰ τὸ ἐν ἁλὶ κνώσσειν, τουτέστι καθεύδειν ὑπνοῦν. ἡ δὲ λέξις ἐκ πλεονασμοῦ τὸ δ. ἔχει. κνώδων δὲ ἡ ἀκμὴ τοῦ ξίφους, παρὰ τὸ χαίνειν τοῖς ὀδοῦσιν, ἤγουν τῇ ἀκμῇ κτείνειν. Σοφ. Ἀντιγόνῃ,

ξίφους ἕλκει διπλοῦς κνώδοντας. τὰ σχόλια, ἀμφὶ ... ὅλας ἀκμὰς, τὸ τοῦ ξίφους ἀμφήκους ὀξύ.

CHRIST. Κνώδαλον.] Propriè de bellua marina dici aiunt παρὰ τὸ κινεῖσθαι ἐν ἁλί. Tamen & de feris terrestribus dicitur, quia prædæ sint canum, quasi κυσὶν ἁλισκόμενα.

Ξαν. Οἶδ', ἀλλ' ἐπιθυμῶ σμικρὸν ἀπομερμηρίσαι.
Σω. Σὺ δ' αὖ παρακινδυνεύσειν; καὐτὸς γ' ἐμοῦ
Κατὰ τῶν κορῶν ἤδη τι καταχεῖται γλυκύ.
Ξαν. Ἀλλ' ἢ παραφρονεῖς ἐτεὸν, ἢ κορυβαντιᾷς;
Σω. Οὐκ, ἀλλ' ὕπνος μ' ἔχει τις ἐκ Σαβαζίου.
Ξαν. Τὸν αὐτὸν ἄρ' ἐμοὶ βουκολεῖς Σαβάζιον.
Κἀμοὶ γὰρ ἀρτίως τις ἐπεστρατεύσατο
Μῆδός τις ἐπὶ τὰ βλέφαρα νυστακτὴς ὕπνος. C
Καὶ δῆτ' ὄναρ θαυμαστὸν εἶδον ἀρτίως.
Σω. Κἄγωγ' ἀληθῶς οἷον οὐδεπώποτε.
Ἀτὰρ σὺ λέξον πρότερος. Ξαν. Ἐδόκουν αἰετὸν
Καταπτάμενον ἐς τὴν ἀγορὰν μέγαν πάνυ
Ἀναρπάσαντα τοῖς ὄνυξιν ἀσπίδα,
Φέρειν ἐπίχαλκον ἀνεκὰς εἰς τὸν οὐρανόν.
Κἄπειτα ταύτην ἀποβαλεῖν Κλεώνυμον. D

XA. Scio, at cupido polluli somni premit.
B *SO. Protenderis tu pellis in periculum.*
Nempe huic ocellis dulce quid suffunditur.
XA. At certò es aut cerritus aut oblucinans.
SO. Minimè, sopor me incessit ex Sabazio.
XAN. Mecum ergo eundem tu colis Sabum patrem:
Nam dormienti iammodò & Medus mihi
Obmilitauit lassa somnus lumina,
Mirúmque prorsus somnium aspexi modò.
SO. Etiam ipse vidi quale nunquam viderам.
At tu prior dic. XAN. visa grandis admodum
Aquila volatu præpeti forum petens
Grauem ære clypeum rapere aduncis unguibus
Raptúmque in æthram ferre sublimem procul,
Sed quem deinde abieceris Cleonymus.

Σχόλια. Ἀπομερμηρίσαι.] μέρμηρα ἡ εἰς ὕπνον καταφορὰ περὶ τὴν ἕω. λέγεται δὲ ἡ μέρμηρα καὶ φροντίς. ἐκ δὲ τούτου τὸ καθεύδειν. οἱ γὰρ καθεύδοντες, ἀποτίθενται τὰς φροντίδας. καὶ πρὸς τὸν ὄρθρον δὲ ἐγγίνεταί τις ὕπνος ἐν τῷ ἐπιστάσει ἐλαφρὸς, ὃν τούτῳ τῷ ὀνόματι καλοῦσι.

BISETVS. Εὐστάθιος μέρμηρα, ἡ φροντίς. καὶ μερμηρίζειν, τὸ φροντίζειν, καὶ εἰς διαφόρους βουλὰς μερίζεσθαι, παρὰ τὸ μερίζειν, τροπῇ τοῦ ι εἰς η. Ὅμηρος Ιλ. Β.

Ἄλλοι μέν ῥα θεοί τε, καὶ ἀνέρες ἱπποκορυσταὶ
Εὗδον παννύχιοι, Δία δ' οὐκ ἔχε νήδυμος ὕπνος,
Ἀλλ' ὅγε μερμήριζε κατὰ φρένα.

Ξανθίας τοίνυν παίζων λέγει ἑαυτὸν ἐπιθυμεῖν ἀπομερμηρίσαι, τουτέστι τὰς μερμήρας, καὶ φροντίδας ἀποτίθεσθαι καὶ ἀπωθεῖν, ἵνα καθεύδῃ.

CHRIST. Ἀπομερμηρίσαι.] Lapsus in soporem qui fit circiter Auroram dicitur μέρμηρα, quo nomine etiam dicitur cura, & inde μερμηρίζειν solicitum esse, & proinde dormire, nam qui somno sese dant, deponunt omnem curam.

Σχόλια. Παρακινδυνεύσειν.] παρ' ὑπόνοιαν εἶπε. δέον εἰπεῖν καταδαρθεῖν, εἶπε παρακινδυνεύσειν, ἐπεὶ ἤμελλε μαστίζεσθαι ἐὰν κοιμηθῇ, ἐκ τοῦ ἑπομένου εἶπε τὸ προηγούμενον.

CHRIST. Παρακινδυνεύσειν.] Hoc dixit παρ' ὑπόνοιαν, cùm dicendum esset potius Dormi, Nam etiam id voluit cùm ait Periclitare. Sanè eleganter (huc arbitror spectans) de anu dormituriente dixisse videtur Plautus apud Porphyrionem,

Anus hæc in pellis periculum protenditur:

Solebant autem in pellibus dormire, & ipsum dormire ἀπὸ τῶν δερμάτων dictum, facilè assentior doctiss. Ios. Scaligero in Coniectaneis ad Varronem.

Σχόλια. Κορυβαντιᾷς.] μαίνῃ. παρ' ὅσον οὗτοι οἱ δαίμονες μανίας καὶ ἐνθουσιασμοῦ εἰσιν ἐμποιητικοὶ, ὀνειδίζει δὲ αὐτῷ καὶ ὅτι, οἷς ἔλεγεν ὁρῶντο αὐτῷ, φάσκων κινδυνεύσειν ὑπνοῦν παραινοῦντα. Ἐκ Σαβαζίου.] πρὸς τὸ κορυβαντιᾷς, ἐπήγαγε τὸ Σαβάζιον. ἐκεῖνος δὲ ἐπὶ τοῦ παραφρονεῖν συμβουE λεύει, καὶ ἀποκοιμηθῆναι. Σαβάζιον δὲ τὸν Διόνυσον οἱ Θρᾷκες καλοῦσι, καὶ Σάβους τοὺς ἱερεὺς αὐτοῦ. παίζει δὲ, ὡσεὶ ἔλεγε βάρβαρός τις καὶ σκληρὸς ὕπνος. περὶ δὲ Σαβαζίου ἐν ταῖς τῶν ὀρνίθων σχολίοις διὰ πλειόνων εἴρηται. βουκολεῖς δὲ τρέφεις. Μῆδός τις.] πρὸς τὸ Σαβάζιος, εἶπε καὶ ὅτι τὸ Μῆδος, ἡ ἀντὶ τοῦ ἐχθρός. ἐπεὶ καὶ ἐστρατεύσατο εἶπε. πολέμιοι γὰρ Ἕλλησιν οὗτοι. Ἐπίχαλκον.] τὴν ἔξωθεν χαλκῆν. τὸ δὲ προσέθηκε, διὰ τὴν ὁμωνυμίαν τὴν πρὸς τὸ ἑρπετόν. δοκεῖ δέ μοι τὴν ἀσπίδα τὸ ὅπλον ἀπὸ τοῦ τοιούτου ὀνομάζεσθαι ζώου, διὰ τὸ εἰς κύκλους πολλοὺς ἐλαυνόμενον καθεύδειν. κυκλικαὶ γὰρ ἦσαν αἱ ἀσπίδες τῶν παλαιῶν. ὡς Αἰσχύλος.

Ἄλλω δὲ πολλὴν (ἀσπίδος κύκλον λέγω)
Ἔφριξα δινήσαντος.

οὕτω δὲ τὸ ζῶον ὀνόμασαι, ἀπὸ τοῦ α ἐπιτατικοῦ μορίου καὶ τοῦ σπίζω τὸ ἐκτείνω, διὰ τὸ ὀξὺ αὐτοῦ συνεχὲς μὲν, ἢ διὰ τὸ τοῦ σώματος αὐτοῦ μῆκος. ἀνεκὰς δὲ, ἀντὶ τοῦ ἄνω πάνυ ἑκὰς, καὶ εἰς ὕψος.

CHRIST. Μῆδός τις.] Pro hoste & aduersario G Medum dixit, quia Medi Græcis infestissimi. Hostem verò infestum vocat qui propter eum mortuos incussurus erit boues, tanquam Mastigia, vocat autem νυστακτὴν somnum, quia νυστάζειν capite est annuere, vt solent qui inuiti labuntur in soporem. Ἐπίχαλκον ἀσπίδα.] Æream aspidem dixit, ne quis de aspide serpente intelligeret, & tamen

men ſcutum, à figura animalis dictum eſt, quod flexum in multos orbes dormit. erũt aũt κυκλικαὶ veterum ἀσπίδες: vt dixit Æſchulus in Perſis, ἄλω δὲ πολλὴν (ἀσπίδος κύκλον λέγω) ἔφριξα δινήσας. Dictᵃ A autem ſerpens ἀσπὶς ab intẽtiua particula α & τείνω quod eſt extendo propter vehementem ſibi ũ-

Σχ. Ἀποβαλεῖν Κλεώνυμον] ὅτι μετὰ τῶν ἄλλων ὢν κωμῳδεῖ αὐτὸν δειλὸς καὶ ῥίψασπις. παρ᾽ ὑπόνοιαν δὲ κωμῳδεῖ αὐτὸν

Σω. Οὐδὲν ἄρα γρίφου διαφέρει Κλεώνυμος.
Πῶς δὴ προσερεῖ τις τοῖσι συμπόταις λέγων
Ὅ, τι ταὐτὸν θηρίον ἔστιν γῇ κἀν οὐρανῷ,
Κἀν τῇ θαλάττῃ γ᾽ ἀπέβαλε τὴν ἀσπίδα.
Ξαν. Οἴμοι. τί δῆτά μοι κακὸν γενήσεται;
Ἰδόντι τοιοῦτον ἐνύπνιον. Σω. μὴ φροντίσῃς
Οὐδὲν γὰρ ἔσται δεινόν. οὐ μὰ τοὺς θεούς.
Ξαν. Δεινόν γέ που 'στ᾽ ἄνθρωπος ἀποβαλὼν ὅπλα;
Ἀτὰρ σὺ τὸ σὸν αὖ λέξον. Σω. ἀλλ᾽ ἐστὶ μέγα.
Περὶ τῆς πόλεως γάρ ἐστι τοῦ σκάφους ὅλου.
Ξαν. Λέγε νυν ἀνύσας τι, τὴν τρόπιν τοῦ πράγματος.
Σω. Ἔδοξέ μοι περὶ πρῶτον ὕπνον ἐν τῇ Πνυκὶ
Ἐκκλησιάζειν πρόβατα συγκαθήμενα,
Βακτηρίας ἔχοντα καὶ τριβώνια.
Κἄπειτα τούτοις τοῖς προβάτοισι μοὐδόκει
Δημηγορεῖν φάλαινα πανδοκεύτρια.

SO. *Parem ergo gripho cenſeas Cleonymum.*
Nam quæſtio iſthæc digna conuiuis erit,
Vnam atque candem belluam eſſe quæ in mari
B *Cœloq́, terraq́ abÿcit ſcutum fugax.*
XA. Hei mi, timor me inceſſit vt ne quid mali
Apportet hoc inſomnium. SO. At iam per deos,
Securus eſto nil mali hinc portenditur.
XA. An non graue iſtud arma cùm vir proÿcit?
Tuũ ipſe iam nũc ſomniũ inſequę. SO. maximũ
Vt quod ſit vrbis vano de tota Attica.
XA. Age nunc ab ipſa rem carina perfice.
SO. Mihi viſa primũ eſt, circiter ſomnũ, in Pnyce
C *Pecudum ſedentium frequens conuentio*
Cum ſcipione pallium gerentium.
In quis habebat, vt videbatur mihi,
Omnirapa Priſtis concionem bellua.

Σχόλια. Οὐδὲν ἄρα γρίφου] ἀντὶ τοῦ, παροινίου ζητήματος. οὐ δύναταί τις γρῖφον ποιῆσαι. ἀπὸ τῆς Κλεωνύμου πράξεων. ἐπεὶ δὲ ἀναγκάζει αὐτὴν ἡμῖν ὁ Κλέαρχος ἐν τῷ περὶ γρίφων συντάγματι. γρῖφοι δὲ λέγονται, τὰ ἐν τοῖς συμποσίοις προβαλλόμενα αἰνιγματώδη ζητήματα.

CHR. Οὐδὲν ἄρα γρίφου] Propriè naſſa piſcatorũ Griphus, detortũ poſtea vt hic, vocabulũ ad quæſtiones Ænigmaticas & Problemata obſcura, quæ in lętis cõuiuiis agitari ſolebãt. Itaq; hic eſt ζήτημα παροίνιον. Proponi autem ea mos erat, vt ſoluerentur. vnde ille feſtiuè dixit, Quid ego Griphũ ſoluã qui vt ſoluatur negotium exhibet? Clearchus qui de Griphis librum ſcripſit ſeptẽ eorũ genera cõſtituit, de quib. lege, ſi operæ eſt pretium, Athenæũ Dipnoſoph. Cleonymum verò iſtum & hic & in Irena exagitat vt ignauũ & ῥιψάσπιδα. Cõparátq; aquilæ vndique circumuolanti, vt monſtrum dignum Thebano ænigmate oſtẽdat quod in cœlo, terra & mari ſcutum abiiciat. Nam ſuprema ignauia & imbellia, ex clypei amiſſione arguitur, vnde Lacænæ illius fortiſſimæ matris dictum ad filium ἢ τὰν, ἢ ἐπὶ τᾶς, putà ἀσπίδα, Aut, inquit, clypeũ hoc refer mactus adorea, aut ſuper hoc glorioſè funeratus referror. Hunc autem Cleonymum θηρίον propterea vocat quia μακρὸς erat & ἄρρυθμος. Notandum etiam hic in τῷ ὅ, τι ſuperuacaneum eſſe more Attico τὸ ὅ, Nam τί tantum & idem valet.

Σχ. Τοῖς συμπόταις] ἐν γὰρ τοῖς συμποσίοις, προβάλλονται οἱ γρῖφοι πρὸς λύσιν. ὅτι ταὐτὸν] ἐν τῷ ὅτι περισσὸν τὸ ὁ Ἀττικῶς. τὸ γὰρ σημαινόμενον ἀντὶ τοῦ τί ταὐτὸν ἐν τῇ ἐρωτήσει. καὶ ἔστιν ὁ λόγος οὕτω. τί τὸ αὐτὸ θηρίον ἐν παντὶ τόπῳ δυσυχεῖ τὰ πολεμικά. καὶ ἐν γῇ καὶ ἐν ναυμαχίᾳ. θηρίον δὲ ὁ αἰετὸς πανταχοῦ περιπτάμενος. ὡς περιβάλλει τὸν Κλεώνυμον. Θηρίον [ὡς ἀψύχως θηρίον αὐτὸν εἶπεν. ἐπεὶ μακρὸς καὶ ἄρρυθμος ὁ Κλεώνυμος. Δεινὸν γέ που 'στ᾽ ἄνθρωπος] τὸ φρονεῖν. οἶδα ὅτι ὁ ἐστὶ πρᾶγμα ἰδεῖν ἄνθρωπον ἀποβαλεῖν τὴν ἀσπίδα. Τοῦ σκάφους ὅλου.] ἀεὶ οἱ ποιηταὶ τὰς πόλεις πλοίοις παραβάλλουσι. ὡς Σοφοκλῆς.

Βισετ. Σοφοκλῆς. Τὸ τοῦ Σοφοκλέους παράδειγμα ἴσως ἐν τοῖς ἐν ἀπόλλυται δῆλον. ἐκ δὲ τοῦ Αἰσχύλου φανερόν, ὥσπερ ἐν τῷ προλόγῳ τῶν ἑπτὰ ἐπὶ Θήβαις οὕτω λέγει.

Κάδμου πολῖται χρὴ λέγειν τὰ καίρια,
Ὅστις φυλάσσει πρᾶγος ἐν πρύμνῃ πόλεως
Οἴακα νωμῶν, βλέφαρα μὴ κοιμῶν ὕπνῳ.

CHR. Τοῦ σκάφους ὅλου] Solẽs hoc eſt poetis vt ciD uitates nauibus cõparẽt, vt Sophocli & Æſchulo, apud quem habes πόλεως οἴακα νωμῶν, nã quod gubernator in naui, id eſt Princeps in ciuitate: itaq; ibidẽ Æſchulᵘˢ puta in ſeptẽ Thebana cùm dixit ὅστις φυλάσσει πρᾶγος ἐν πρύμνῃ, nihil aliud innuit quã ἐξουσίαν ἐν ἀρχῇ. Hic verò perſtat in Metaphora cùm ait τρόπιν τοῦ πράγματος quo vocabulo principium & radicem intelligit, quia omnium trabiũ prima carina conſtruitur.

Σχ. Λέγε νυν ἀνύσας] τὸ ἀνύσας, Ἀττικοὶ δ᾽ ἀσιῶσι.
E Τρόπιν δὲ φασιν ἔλεγε τὴν ῥίζαν. ἐπεὶ τῶν δρυόχων ἡ τρόπις ἔσται πρῶτον. ἄλλως, τρόπιν, ἀντὶ τοῦ τὸ μέρος, ἀπὸ μεταφορᾶς τοῦ σκάφους. οἱ δὲ τὴν ἀρχήν. ἐπάξει δὲ πρὸς τὸ σκάφος. Ἐκκλησιάζειν] εἰς ἐκκλησίαν συνάγειν. πρόβατα δὲ, τοὺς Ἀθηναίους φησί, διαβάλλων τὸ προβατῶδες αὐτῶν. παλαιὸν δὲ ἦν ἔθος, τοὺς ἐντίμους γέροντας τριβωνοφοροῦντας, ἐκκλησιάζειν μετὰ βακτηρίας.

CHRIST. Ἐκκλησιάζειν.] Non hic eſt concionem habere, ſed quod Romanè dicebatur, In liF cium vocare. vt autem hic & vbique ferè Cleonẽ acri aceto perfundit tãquam rapacem, ſpurcum, & lucri quantumuis olidi appetentem, Ita Athenienſium ſuggillat τὸ προβατῶδες & ingenium pecuinum. Erat autem priſci moris, vt honorati ſenes cũ pallio detrito, & ſcipione populũ conuocarent.

Σχόλια. Τοῖς προβάτοισι μοὐδόκει.] τὸ πλῆρες. τοῖς προβάτοισί μοι ἐδόκει. καὶ ἔκθλιψις καὶ κρᾶσις. φάλαινα δὲ, θηρίον θαλάττιον. πανδοκεύτρια δὲ, ἡ πάντα δεχομένη καὶ καταπίνουσα. ἢ πάντα ἐπιπορίουσα. κωμῳδεῖ δὲ πανταχοῦ τὸν Κλέωνα, σκώπτων ὡς ἅρπαγα καὶ
G πολλὰς μηχανὰς ἐπινοοῦντα εἰς τὸ κερδαίνειν. ἐμπεπρησμένης δὲ, ἀντὶ τοῦ ἐμπεφυσημένης καὶ παχείας. πρῆσαι γὰρ τὸ φυσῆσαι. καὶ τοῦτο δὲ, εἰς τὸ ἁρπακτικὸν τοῦ Κλέωνος. πολλαχοῦ γὰρ ὡς τοιοῦτον τὸν αὐτὸν διασύρει. φάσκων κυκλοβόρου φωνὴν ἔχων. καὶ Παφλαγόνα παρὰ τὸ παφλάζειν τῇ φωνῇ. Πανδοκεύτρια] ἡ πάντα δεχομένη. λέγει δὲ τὸν Κλέωνα.

Ἔχουσα φωνὴν ἐμπεπρησμένης ὑός.
Ξαν. Αἰβοῖ. Σω. τί ἔστι; Ξαν. παῦε παῦε μὴ λέγε.
Ὄζει κάκιστον τοὐνύπνιον βύρσης σαπρᾶς.
Σω. Εἶθ' ἡ μιαρὰ φάλαιν' ἔχουσα τρυτάνην,
Ἵστη βόειον δημόν. Ξαν. οἴμοι δείλαιος·
Τὸν δῆμον ἡμῶν βούλεται διιστάναι.
Σω. Ἐδόκει δέ μοι Θέωρος αὐτῆς πλησίον
Χαμαὶ καθῆσθαι, τὴν κεφαλὴν κόρακος ἔχων.
Εἶτ' Ἀλκιβιάδης εἶπε πρός με τραυλίσας
Ὁλᾷς Θέωλος τὴν κεφαλὴν κόλακος ἔχει.
Ξαν. Ὀρθῶς γε τοῦτ' Ἀλκιβιάδης ἐτραύλισεν.
Σω. Οὔκουν ἐκεῖν' ἀλλόκοτον, ὁ Θέωρος κόραξ
Γιγνόμενος. Ξαν. ἥκιστ' ἀλλ' ἄριστον. Σω. πῶς.
Ξαν. ὅπως;
Ἄνθρωπος ὤν, εἶτ' ἐγένετ' ἐξαίφνης κόραξ.
Οὔκουν ἐναργὲς τοῦτο ξυμβαλεῖν, ὅτι
Ἀρθεὶς ἀφ' ἡμῶν, ἐς κόρακας οἰχήσεται.
Σω. Εἶτ' οὐκ ἐγὼ δοὺς δύ' ὀβολὼ μισθώσομαι,
Οὕτως ὑποκρινόμενον σαφῶς ὀνείρατα.
Ξαν. Φέρε νυν κατείπω τοῖς θεαταῖς τὸν λόγον,
Ὀλίγ' ἄττα ὑπειπὼν πρῶτον αὐτοῖσι ταδί.
Μηδὲν παρ' ἡμῶν προσδοκᾶν λίαν μέγα.
Μηδ' αὖ γέλωτα Μεγαρόθεν κεκλεμμένον.
Ἡμῖν γὰρ οὐκ ἔστ' οὐδὲ κάρυ' ἐκ φορμίδος
Δούλω διαρριπτοῦντε τοῖς θεωμένοις.

A *Quae vocem obesae edebat in modum suis.*
XA. Fafa. SO. quid est? XA. narrare plura desine
Hoc somnium putorem olet corij malum.
SO. Ac tetra Pristis illa tum trutinam tenens
Ad hancce volgus exigebat bubulum.
XA. Hei mi ille populum credo nobis diuidet.
SO. Dein Theorus propter hanc humilis sedens
Visus Coracis est habere atrum caput,
B *Tunc Alcibiades infit ore blaesulo,*
Vides Theolus ut Colacis habet caput?
XA. Euge Alcibiadis verba blaesa recta sunt
SO. Non simile monstri est istud, ut coruus fiet.
Factus Theorus? XA. Quin bonum est. SO. Quare? XA. Rogas?
Coruum repente fieri homo antè qui fuit:
Ut certa res sit, quamque conijcias facul
Coruos abire istum quem in altum eueximus.
C *SO. Operam duobus nunc suam haud obolis locẽ,*
Quum sic apertè delicas insomnia.
XA. Nunc sensum age istis offeram spectantib.
Sed praemonebo pauca quaedam primitus
Grande atq; magnum ut ne quid exspectẽt nimis
Nec risum ineptum, siue Megarenses iocos
Nec serui habemus vel nuces ex sportula
Quas cogitemus iacere spectatoribus,

Σχόλια. Ἐμπεπρησμένης.] ἐμπεφυσημένης. παχείας· πρῆσαι γὰρ τὸ φυσῆσαι. ἔνθεν καὶ πρηστήρ. καὶ Ὅμηρος. ἐν δ' ἄνεμος πρῆσεν μέσον ἱστίον. Τὸν δῆμον ἡμῶν βούλεται] πρὸς τὸ δῆμον καὶ τὸ ἵστη τὸ διιστάναι ἐπελύνησεν. ἀντὶ τοῦ διαχωρίζειν. παρὰ τοὺς τόπους δὲ ἔπαιξε, μίξας πρὸς τὰ σημαινόμενα. ἄλλως τε καὶ ἀφ' ἱστορίας τοῦτό φασι. καὶ γὰρ πρὸ δύο ἐτῶν τῆς διδασκαλίας τούτου τοῦ δράματος, Λακεδαιμονίων περὶ εἰρήνης πρεσβευσαμένων, ὁ Κλέων ἀπήλασε τοὺς πρέσβεις.

CHR. Ἐμπεπρησμένης ὑός] i. crassae & obesae, nam πρῆσαι est φυσῆσαι unde πρηστήρ. & Homer. ἐν δ' ἄνεμος πρῆσεν μέσον ἱστίον. Puto autem nō solùm ab obesitate hic Cleonem exagitari, sed etiam à voce stridula quae suem imitetur. Propterea inter alia crimina vel vitia in scena fabula ipsum vocat Paphlagona, nō tam propter regionem, quàm quòd ἐπαφλάζει τῇ φωνῇ. Τὸν δῆμον ἡμῶν βούλεται διιστάναι] quia dixerat ἵστη βόειον δῆμον, addidit διιστάναι quod est διαχωρῆσαι, luditque in verbis miscens significata, Quin ex historia hoc dictum est. Nā duobus annis antequam hanc fabulam doceret hic Comicus, cùm de pace legatos misissent Lacedaemonij, eos Cleon expulit, & abire coegit.

Σχόλια. Ἐδόκει δέ μοι Θέωρος.] οὗτος ὡς κόλαξ κωμῳδεῖται. Κόρακος ἔχων] καὶ ὡς ἅρπαγα αὐτὸν σκώπτων, ἐπελύνησε τὸ, κόρακος κεφαλὴν ἔχει. ὁ αὐτὸς δὲ πονηρὸς καὶ μοιχὸς κωμῳδεῖται. Ἀλκιβιάδης] τοῦτον διαβάλλει ὡς τραυλὸν· οἱ δὲ τραυλοὶ τὸ λ ἀντὶ τοῦ ρ λέγουσιν.

BISETUS Ὁλᾷς] ἀντὶ τοῦ ὁρᾷς; Θέωλος τὴν κεφαλὴν κόρακος ἔχει. τοῦτο δὲ μετὰ παιδιᾶς γέλωτος χάριν εἴρηται.

Σχ. Ἐτραύλισεν] ὁ τραυλισμὸς τοῦ στίχου εἰς τὸ Θέωρος. διὸ προσείρηται κόλαξ. ὅτι δὲ Ἀλκιβιάδης τραυλὸς, δῆλος τὸ λ ἀντὶ τὸ ρ λέγων. Ἀλλόκοτον.] τερατῶδες. ξένον. ἄτοπον. ἀλλοφυές. ὁ δὲ λόγος. δεινὸν ἐστὶ τοῦτο τὸ ἐνύπνιον Θέωρος γινόμενος κόραξ.

BISETUS. Τινὲς οἴονται κατ' ἀντιστοιχίαν τοῦτο

D λέγεσθαι, ἀντὶ τοῦ ἀλλότοκον, ὅ ἐστι τὸ ἄλλοθί που γεγενημένον, ἢ τεχθὲν, τὸ ἀλλότριον, τὸ παρὰ φύσιν, τὸ ξένον, καὶ ἐξ ἄλλου τό, κ. καὶ εὐγνήσιον, οὐδ' ἐπιχώριον.

Σχ. Εἶτ' ἐγένετ' ἐξαίφνης] διὰ τοῦτό φησιν καλὸν, ὅτι ἄνθρωπος ὢν, κόραξ ἐγένετο. διὸ καὶ ἐπιφέρει. ἀρθεὶς ἀφ' ἡμῶν, ἐς κόρακας οἰχήσεται. ἐπιτηδὲς δὲ τοῦτο εἶπεν, ὅπως ἂν τὸ βλάσφημον εὐκαίρως κατ' αὐτοῦ δόξῃ λέγειν.

CHR. Ἐς κόρακας] Prouerbium est quo exitium alicui & perniciem minitabantur, Quale illud, Abi in malam crucem, vt si secundùm Callimachum dixeris ἐν' ὁ φθόρος ἔνθα νέεσο. Hic ergo Theorum E adulatorem & κόλακα iubet ire ἐς κόρακας, quasi ipse sit κόραξ aut corui caput habeat. Alcibiadis verò τραυλισμὸς satis celebris & notus. Ὑποκρινόμενον] Antiquè pro ἀποκρινόμενον, vt postea ὑπειπὼν est προειπὼν, sed κατείπω τὸν λόγον est simpliciter εἴπω, at λόγος est ὑπόθεσις, vt inferiùs paulò λογίδιον.

Σχ. Μεγαρόθεν] ἢ ὡς ποιητῶν ὄντων τινῶν ἀπὸ Μεγαρίδος ἀμούσων καὶ ἀφυῶς σκωπτομένων. ἢ ὡς τῶν Μεγαρέων γελώντων. καὶ ἄλλως φορτικῶς γελοιαζόντων. Εὔπολις Προσπαλτίοις. τὸ σκῶμμ' ἀσελγὲς καὶ Μεγαρικὸν σφόδρα.

F CHRIST. Μεγαρόθεν κεκλεμμένον] Inuehi videtur in Poetas quosdam ex Megaride ineptos & perperam dicaces, aut stultè ridentes, vt risu inepto nihil esse ineptius dixit Catullus. Megarenses autẽ hinc notat Eupolis προσπαλτίοις, hoc versu τὸ σκῶμμ' ἀσελγὲς καὶ Μεγαρικὸν σφόδρα. fortassis quia Megarica comoedia (vt est apud Sudam) ἐκωμάσθη ὕστερος & derisui fuit Atheniensibus. Quod verò ait κεκλεμμένον est ἀποσπασθέντα auulsum & abstractum. G Sed notant Glossographi variam lectionẽ & Doricam κεκλαμμένον vt dicitur κλαπεὶς & qua ratione à τρέφω, τραφεὶς, τεθραμμένος.

Σχ. Κεκλαμμένον] ἀποσπασθέντα. γράφεται δὲ κεκλαμμένον δωρικῶς, ἀπὸ μετοχῆς τοῦ κλαπεὶς. ὡς γραφεὶς. ὥσπερ οὖν τεθραμμένον, οὕτω κεκλαμμένον ἔφη.

Σχόλια. Ἐκ φορμίδος.] φορμὶς κυρίως ἡ ψίαθος. A νῦν δὲ ἡ ἀγγεῖον. ὡς τῶν ἄλλων ποιητῶν διὰ ψυχρότητα ποιούντων, δι' ἐκβολῆς καρύων ἐπισπωμένων τὴν κακίαν τοῦ δράματος.

Bisetvs. Ὁ τούτων νοῦς ἐστί. οἱ θεαταὶ ἐν τούτῳ τῷ δράματι οὐχ ἕξουσι γέλωτα Μεγαρόθεν κεκλεμμένον, οὐδὲ λέγομεν γὰρ οὐκ ἔστιν οὐδὲ κάρυα, ἅπερ κατ' ἔθος γελοίως χάριν οἱ δοῦλοι τοῖς θεαταῖς διαρριπτοῦντες παρέχουσι. B σημειωτέον δὲ ταῦτα σκληρότερον εἰρῆσθαι. καὶ παρὰ τοὺς κοινοὺς τῶν γραμματικῶν κανόνας. τινὲς μὲν τὸ φορμίδος στίζουσι, καὶ τὸ δούλω δοτικὴν ποιοῦσι, τὸ διαρριπτοῦντε χωρὶς φασιν. ἀλλ' ἴσως πιθανώτερον οὕτω ταῦτα ἀσυνδέτως νοεῖται, οὐ γὰρ ἡμῖν ἐστιν οὔτε κάρυα, οὔτε δούλω αὐτὰ τοῖς θεαταῖς διαρριπτοῦντε. τουτέστιν ἐν τούτῳ τῷ δράματι ὁ ποιητὴς γέλωτος χάριν εἰς τὸ θέατρον οὐ παρεισάγει δούλους κάρυα τοῖς θεαταῖς διαρριπτοῦντας. τὸ δὲ δυϊκὸν ἀντὶ τοῦ πληθυντικοῦ μέτρου χάριν ἐτέθη.

CHRIST. Ἐκ φορμίδος.] Poetas alios suggillat Comicos, qui diobolaribus nucibus fabularum suarum frigiditatem & vitium tegebant, & auram popularem spectatorum sic demereri studebant. In sportula autem nuces serebant quam hic φορμίδα vocat, quæ propriè est ψίαθος, sed vsurpat ἀντὶ τῆς ἀγγεῖδος.

Οὔθ' Ἡρακλῆς τὸ δεῖπνον ἐξαπατώμενος,
Οὐδ' αὖθις ἀνασελγαινόμενος Εὐριπίδης.
Οὐδ' εἰ Κλέων ἔλαμψε τῆς τύχης χάριν
Αὖθις τὸν αὐτὸν ἄνδρα μυττωτεύσομεν.
C Ἀλλ' ἔστιν ἡμῖν λογίδιον, γνώμην ἔχον,
Ὑμῶν μὲν αὐτῶν οὐχὶ δεξιώτερον,
Κωμῳδίας δὲ φορτικῆς σοφώτερον.
Ἔστιν γὰρ ἡμῖν δεσπότης ἐκεινοσί,
Ἄνω καθεύδων, ὁ μέγας οὑπὶ τοῦ τέγους.
Οὗτος φυλάττειν τὸν πατέρ' ἐπέταξεν νῷν,
Ἔνδον καθείρξας, ἵνα θύραζε μὴ 'ξίῃ.
Νόσον γὰρ ὁ πατὴρ ἀλλόκοτον αὐτοῦ νοσεῖ.
Ἣν οὐδ' ἂν εἷς γνοίη ποτ' οὐδ' ἂν ξυμβάλοι,

Nec Herculem ampla cœna quem fefellerit,
Euripides nec rursus infamabitur.
Nec si superbè sors Cleonis splendeat
Hominem interemus vt moreti poculum.
Sed frugi habemus & bonum dicterium
Virtute vestra non quidem concinnius
Melius inepta sed tamen comœdia.
Nam qui superno dormit in cœnaculo
Grauis atque magnus iste homo est nobis herus
Senemq; custodire nos iussit patrem
Coercitum intus ne foras eliminet.
Ægrotat hic mirabilem morbum pater.
Nec est vt vllus hunc scopum collineet.

Σχόλια. Οὔθ' Ἡρακλῆς τὸ δεῖπνον] ἐν τοῖς πρὸς τούτου δεδιδαγμένοις δράμασιν, εἰς τὴν Ἡρακλέος ἀπληστίαν, πολλὰ προείρηται. ποιοῦσι δὲ τὸν Ἡρακλέα γελοίως χάριν, κεκλημένον εἰς δεῖπνον καὶ δυσχεραίνοντα, διὰ τὸ βραδέως αὐτῷ παρατίθεσθαι τὰ ὄψα. Ἀνασελγαινόμενος] κατακωμῳδούμενος, ὑβριζόμενος. καὶ αὐτὸ γὰρ καθῆκε τὰς Θεσμοφοριαζούσας. φησὶν οὖν, οὐ δεύτερον ταυτολογήσω περὶ αὐτοῦ ὡς οἱ ἄλλοι. οὐ μόνον δὲ ἐν τούτῳ τῷ δράματι εἰσήχθη οὕτως Εὐριπίδης. ἀλλὰ καὶ ἐν τῷ πρὸ αὐτοῦ ὄντι ἐν Ἀχαρνεῦσιν.

Bisetvs. τοῦτο δὲ τὸ ῥῆμα σύγκειται ἐκ τῆς ἀνὰ προθέσεως, καὶ τοῦ ῥήματος ἀσελγαίνειν. Σχόλιον. ἀσέλγεια, πολυτέλεια, πορνεία, ἀκαθαρσία, μιαρία. E παρῆκται δὲ ὥς φασιν ἐξ αἰτίας ταύτης. Σέλγη, πόλις ἐστὶ Πισιδίας, ὅτι κακῶς ἔζων οἱ ἄνθρωποι, καὶ ἀλλήλοις ἐπολιτεύοντο. κατ' ἐπίτασιν δὲ τοῦ α. τὸ ἀσελγαίνειν, καὶ ἀσελγές. οὐ μόνον δὲ ἐπὶ τοῦ ἀκολάστου ἔταττον οἱ παλαιοί, ἀλλ' ἐστὶν ὅτι καὶ ἐπὶ τοῦ μεγάλου. καὶ γὰρ ἄνεμον ἀσελγῆ λέγουσι. καὶ ἀσελγόκερως τράγος, ὁ μέγας, καὶ ὁ κορυφῶν, εἴτε κεραΐζων. Ἀριστοφάνης ἐν Πλούτῳ φησί, πίονες ἀσελγῶς, ἀντὶ τοῦ μεγάλως, καὶ ἀσελγὴς ἄνεμος ὁ σφοδρῶς πνέων.

CHRIST. Οὔθ' Ἡρακλῆς] Multa hic noster Comicus in Herculis voracem insatietatem, dixit in aliis fabulis, plúmq; Herculem ridiculi gratia inducit ad cœnam vocatum & de tardius appositis ferculis conquerentem, vt diximus ad Lysistratā in prouerbio Ἡρακλῆς ξενίζεται. Omnino hęc dicūtur in poetas talia docentes. Ἀνασελγαινόμενος Εὐριπίδης] Comico aceto perfusus & subsannatus Euripides multum fuit in fabula θεσμοφοριαζουσῶν & in Acharnensib. Fortassis etiā ἀνασελγαινόμενος dixit pro ἐκ ἀσελγαινόμενος quia fuit μισόγυνος.

Σχόλια. Οὐδ' εἰ Κλέων γ' ἔλαμψεν] τοῦτό φησιν ὡς τοῦ Κλέωνος, ἀπὸ δυσγενείας ἐκλάμψαντος, ὃν ἐκωμῴδησεν ἐν τοῖς Ἱππεῦσι καθόλου κατ' αὐτοῦ τὸ δρᾶμα. καὶ φησίν, οὐ πάλιν αὐτὸν κωμῳδήσει ἑτέραν κωμῳδίαν ποιούμενος. μυττωτεύσομεν δὲ ἀντὶ τοῦ συντρίψομεν. ὁ τριμμὸς ὑμνοῦμεν. ἐπικρανοῦμεν. μυττωτὸς δὲ ἀπὸ τοῦ σκορόδου. μυττωτὸς γάρ D ἐστι κυρίως, τὸ ἐκ σκορόδου καὶ τυροῦ καὶ ὄξους τρίμμα. καὶ οὕτως ὠνομάσθη. ἀντὶ τοῦ μυσσωτὸν τι. παρὰ τὸ μύσος ἐξάζειν αὐτοῦ τὴν ὀσμήν. καὶ τροπῇ Ἀττικῇ τοῦ σ εἰς τ καὶ πλεονασμῷ μυττωτός. ὡς καὶ ὁ Καλλίμαχος φησίν. ἣν ἐπεψαντο μυσσωτόν.

CHR. Μυττωτεύσομεν] Interemus, & amarore inficiemus, sumpta ab alliis metaphora. Nā μυττωτὸς propriè intritū est ex alliato, caseo & aceto, & sic dictū ἀπὸ τοῦ μυσάττεσθαι αὐτοῦ τὴν ὀσμήν, & vt dixit Maro (si tamē is auctor) simo dānat sua prandia naso; nos Græcè vertebam' ὀσμὴν μυσάξατο δαιτός. vndè μυσσωτὸς dictus etiā à Callimacho ἐπείψαντο μυσσωτόν, E deinde τ verso in σ & duplicato, μυττωτόν. Nos olim ad Irenes Cōmentaria glossemata amplius diximus. Notādum aūt hic notari Cleonem vt qui illustris esse voluerit ex obscuritate sui generis, vt patet ex Equitum fabula, quam in ipsum scripsit.

Σχόλια. Ἀλλ' ἔστιν ἡμῖν λογίδιον] ὑπόθεσις ἔχουσα περιπέτειαν. λογίδιον δὲ εἶπε, μειουρίζων. διὸ ἐπιφέρει. ὑμῶν αὐτῶν οὐχὶ δεξιώτερον ἀντὶ τοῦ ἧττον τῆς ὑμῶν σοφίας.

CHR. Οὐχὶ δεξιώτερον] Huc vt arbitror, pertinēt q̄ apud Sudā legūtur voce ἀνασεσυρμένην κωμῳδίαν, ait F n. καλοῦσι δὲ τὴν μὲν σκωπτικὸν ἐπίχαριν, τὴν δὲ εὐτράπελον, ἐπιδέξιον, τὴν δὲ ἀνασεσυρμένην, ἄπλαστον καὶ ἁπλουστάτην. Sunt autem δεξιοί, εὐπαίδευτοι. Et hic valet οὐ δεξιώτερον οὐχ ἧττον τῆς ὑμῶν σοφίας.

Σχόλια. Φορτικῆς] ἀντὶ τοῦ οἰκτρᾶς τῆς ὑπ' ἄλλων λεγομένης. ἐν ᾗ φορτικά τινα εἰσάγουσιν. Ὁ μέγας.] οὐ τῇ ἡλικίᾳ. ἀλλὰ τῇ ἐξουσίᾳ καὶ τῇ σεμνότητι. τὸ δὲ ἄνω, δεικτικῶς φησιν ἐπὶ ὑπερῴου. ὁρᾶται γὰρ ὁ Βδελυκλέων ἐπὶ ὑπερῴου καθήμενος. Νόσον γὰρ ὁ πατὴρ ἀλλόκοτον] ξένην καὶ παρηλλαγμένην αὐτοῦ. παρόσον ὁ μέν, φιG λόδικος. ὁ δὲ τοῦτο διελυττόμενος.

CHR. Ξυμβάλοι] Etiam συμβάλλειν est ἐνύπνια ἐπιγνῶναι, vt Latini coniicere dicunt. Quod aūt ait τοπάζετε, est εἰκάζετε, ὑπονοεῖτε, cōiicite inquit & diuinate quo morbo ille teneatur. Hic Scholiastes Græc' scripsit, χαρίεντα δὲ καὶ ἀπροσώπως τοπάζετε, mēdosè, legēdū n. τοπάζεται & sic in Ve. ed.

Εἰ μὴ πύθοιθ' ἡμῶν. ἐπεὶ τοπάζετε.
Ἀμυνίας μὲν ὁ Προνάπου φήσ' οὑτοσὶ
Εἶναι φιλόκυβον αὐτόν. ἀλλ' οὐδὲν λέγει.
Σω. Μὰ Δί' ἀλλ' ἀφ' αὑτοῦ τὴν νόσον τεκμαίρεται.
Ξαν. Οὐκ. ἀλλὰ φιλο μέν ἐστιν ἀρχὴ τοῦ κακοῦ.
Ὁδὶ δέ φησι Σωσίας πρὸς Δερκύλον,
Εἶναι φιλοπότην αὐτόν. Σω. οὐδαμῶς γ' ἐπεὶ
Αὕτη γε χρηστῶν ἐστιν ἀνδρῶν ἡ νόσος.
Ξαν. Νικόστρατος δ' αὖ φησιν ὁ Σκαμβωνίδης,
Εἶναι φιλοθύτην αὐτόν, ἢ φιλόξενον.
Σω. Μὰ τὸν κύν' ὦ Νικόστρατ', οὐ φιλόξενος.
Ἐπεὶ καταπύγων ἐστὶν ὅ γε Φιλόξενος.
Ξαν. Ἄλλως φλυαρεῖτ'· οὐ γὰρ ἐξευρήσετε.
Εἰ δ' ἐπιθυμεῖτ' εἰδέναι, σιγᾶτε νῦν.
Φράσω γὰρ ἤδη τὴν νόσον τοῦ δεσπότου.
Φιληλιαστής ἐστιν ὡς οὐδεὶς ἀνήρ.
Ἐρᾷ τε τούτου τοῦ δικάζειν, καὶ στένει
Ἢν μὴ 'πὶ τοῦ πρώτου καθίζηται ξύλου.
Ὕπνου δ' ὁρᾷ τῆς νυκτὸς οὐδὲ πασπάλην.

A *Nisi admonemus, quisque conijciat licet,*
Eum Pronapi natus ille Ameinias
Amare dicit aleam, sed nil ait.
SO. Nempe ipse morbum de suo istum conijcit.
XA. Minimè: sed hoc amare, principiũ est mali.
At alter iste Dercylo inquit Sosias
Amare vini potionem. SO. Nil minus,
Morbus per homines iste grassatur probos.
B *XA. Nicostratus sed autumat Scambonides*
Sacrorum amantem aut hospitum esse forsitan.
SO. Haud per canẽ ô Nicostrate est Philoxenus
Scortum exoletum cùm sit hic Philoxenus.
XA. Nugas blatitis, nec potestis assequi.
At nunc tacete sultis illud noscere
Nam quo laborat morbo herus, nunc eloquar
Celebrat tribunal & forum quantum potest:
C *Tum iudicandi amore flagrat, ac gemit*
Si prima iudex non premit subsellia,
Noctuq; somni ne quidem ciccum videt:

Σχόλια. Τοπάζετε] εἰκάζετε. ὑπονοεῖτε φησὶ ποίῳ πάθει ἐστὶν. γράφεται δὲ καὶ ἀπροσώπως, τοπάζετε. Ἀμυνίας μέν.] ὧδε μὲν ὡς φιλόκυβος ὁ Ἀμυνίας κωμῳδεῖται, ἐν δὲ Σειρῆσιν ὡς ἀλαζὼν καὶ συκοφάντης καὶ κόλαξ. Ἀλλὰ φιλο μέν ἐστι] ἀντὶ τοῦ εἰπεῖν ἀρχὴν τοῦ ὀνόματός φησι τοῦ κακοῦ. τὸ φιλο δὲ εἶπε, παρόσον Φιλοκλέων ἐκαλεῖτο. πεποιημένον δὲ τοῦτο παρὰ τὸ φιλεῖν τὰς Κλέωνος πράξεις. φιλόδικος δὲ ἦν καὶ συκοφάντης.

CHRIST. Ἀμυνίας μὲν] Siue Amynias siue Ameinias scribas, Archon fuit cum docuit Nebulas Aristophanes, sed hic notatur ille, vt aleator, at in Σειρῆσι (sunt vt opinor virgines anus, Cratetis comœdia si verè hic scholiastes in Nubib⁹ autumat, qui falsò, vt puto, ἐν Σερίφοις ait, quãuis apud Sudã Cratetis duplicis Comici tabula hoc nomine non reperiatur,) tãquam Alazon & Sycophanta & Colax, ab Eupolide παρὰ πρεσβύτης. At in Veneta editione Sosia hæc loquitur, ἀλλ' οὐδέν. Ἀλλὰ φιλο μέν ἐστιν] Philo inquit principium est mali, quia Cleon pernicies & malũ est populi, vt velle videtur græc⁹ interpres, nam Philocleonis nomen fictũ quia amet Cleonis facta, qui fuit φιλόδικος & συκοφάντης.

Σχόλια. Πρὸς Δερκύλον] οὗτος ὡς κάπηλος ἢ μεθυστής. πρὸς ὃν Σωσίας τις διαλέγεται. ἄλλως. ὁ Δερκύλος κωμικὸς ὑποκριτής. δύο δὲ εἰσὶ Σωσίαι. ὁ μὲν, Πυθίδος. ὁ δὲ Παρμενίωνος.

CHR. Πρὸς Δερκύλον] Cauponẽ Derculũ faciũt vel μεθυστὴν cum quo Sosias loquitur, alij Comicũ histrionẽ. Sũt aũt Sosiæ duo, Pythidis ille, hic Parmenionis. Hic verò Sosias tãquam vinosus arguitur ebrietatis laudib⁹, atq; hunc morbũ propriũ tantũ esse boni viri. Itaq; de suis morib. Philocleona, arbitratur esse φιλοπότην. vt Nicostrat⁹. Scãbonides (sic vocatus à populo tribus Leõtidos) φιλοθύτην cẽset, puta quia ipse talis est, sic aũt vocãtur δεισιδαίμονες sẽper diis sacrificãtes, atq; ita sperãtes esse extra õnẽ noxã, quasi nulla res pariat ἀβλάβειαν.

Σχόλια. Αὕτη γε χρηστῶν ἀνδρῶν] ὡς μεθυστὴς ὁ οἰκέτης ἐπαινεῖ τὴν μέθην. Σκαμβωνίδης] ἀπὸ δήμου τῆς Λεοντίδος φυλῆς. Φιλοθύτην αὐτὸν] φιλοθύται εἰσὶν οἱ δεισιδαίμονες, καὶ θύουσιν ἀεὶ τοῖς θεοῖς. νομίζοντες ἐκ τούτου ἀβλαβεῖς ἔσεσθαι. Ἢ φιλόξενον] ὁ μὲν, πρὸς τὸ ἀγαθὸν τρόπον εἶπε τὸ φιλόξενον. ὁ δὲ, ὡς κύριον ἥρπασε. καὶ γὰρ ὁ Φιλόξενος ἐκωμῳδεῖτο ὡς πόρνος. Εὔπολις, πόλεσιν. ἔστι δέ τις θήλεια Φιλόξενος ἐκ Διομείων. καὶ Φρύνιχος Σατύροις.

CHRIST. Φιλόξενον] In bonam partẽ Xãthias dicit φιλόξενον quasi hospitalẽ, At Sosias excepit in malã & de nomine proprio intelligit, & ad Philoxenum refert qui πόρνος audiebat vt Phrynichus in Satyr.
D & Eupolis in vrbibus. qui sic de illo, ἔστι δέ τις θήλεια φιλόξενος ἐκ Διομείων.

Σχόλια. Μὰ τὸν κύν' ὦ Νικόστρατος] οὕτω διὰ δεισιδαιμονίαν ὤμνυον. ἢ τάχα μιμεῖται τοὺς φιλοσόφους εἰς κύνα καὶ χῆνα ὀμνύοντας.

CHR. Μὰ τὸν κύν' ὦ Νικόστρατος] lege Νικόστρατ' vt in Veneta edit. Iurare autem solebãt per canem διὰ δεισιδαιμονίαν vt ait scholiastes, aut fortassis imitari & ridere voluit philosophos (Socratem præcipuè) qui iurabant εἰς κύνα καὶ χῆνα, in canem &
E anserem. Quod verò ait ἄλλως φλυαρεῖτε. i. frustra nugis agitis, metaphora sumpta à lebete vel patina. Nã φλύειν cachinnare est & feruere cum spumante strepitu, vt Hom. dixit ἀνὰ δ' ἔφλυε καλὰ ῥέεθρα, atq; adeò vt Eubulus Comicus apud Athenæum λοπὰς παφλάζει βαρβάρῳ λαλήματι. Patina cachinnat bulliente murmure, vt elegantissimè vertit diuinus apud Varronem Coniector.

Σχ. Ἄλλως φλυαρεῖτε] ἀντὶ τοῦ μάτην φλυαρεῖτε. εἴρηται
F δὲ ἀπὸ μεταφορᾶς τῶν λεβήτων. ἀπὸ τοῦ φλύειν ὅ ἐστι καχλάζειν, καὶ ἐκ τούτου τὸν ἀφρὸν ἀποβάλλειν. καὶ Ὅμηρ. ἀνὰ δ' ἔφλυε καλὰ ῥέεθρα. Φιληλιαστὴς] ἀντὶ τοῦ φιλόδικος ἀπὸ τοῦ μεγίστου δικαστηρίου τῆς Ἡλιαίας. ὅπερ οὕτω καλεῖται, ἀπὸ τοῦ ἐν αἰθρίᾳ δημηγορεῖν καὶ ἐν ὑπαίθρῳ εἶναι καὶ ἡλίῳ βάλλεσθαι.

CHR. Φιληλιαστὴς] Sic vocat iudiciorum triconem & φιλόδικον. Præcipuum enim & maximum forum iudiciale erat Heliæa, sic dicta quia sub dio erat & Soli obnoxia, vt interius dicetur.

Σχόλια. Ἢν μὴ 'πὶ τοῦ πρώτου.] ὃ ἡμεῖς βάθρον. καὶ
G ἐν Ἀχαρνεῦσιν. ἐλθόντες ἤδη περὶ πρῶτον ξύλου.

CHR. Πρώτου ξύλου.) sic vocat prima subsellia etiam in Acharnensib. ἐλθόντες ἤδη περὶ πρῶτον ξύλου.

Σχ. Οὐδὲ πασπάλην] ἀντὶ τοῦ οὐδὲ βραχύ. πρὸς Λυκόφρονα δὲ ὅτι ἀδικεῖς ὡς ἀπέδωκεν ἐλάχιστόν τι. τινὲς δέ φασιν ὅτι μαγνῆτιν πίτυρον πασπάλην φασί.

CHR. Πασπάλην] Ne ciccum quidem (nam πάσπαλος granum milij) tamẽ πασπάλη vel παιπάλη est

est furfur vel farinę μέρος ἀμερές. Scholiast. ait censere nonnullos παιπάλην esse petram magnetida, quod mihi non fit verisimile. Quod aũt in farina

Ἢν δ' οὖν καταμύσῃ κἂν ἄχνην, ὅμως ἐκεῖ
Ὁ νοῦς πέτεται τὴν νύκτα περὶ τὴν κλεψύδραν.
Ὑπὸ τοῦ δὲ τὴν ψῆφον γ' ἔχειν εἰωθέναι,
Τοὺς τρεῖς ξυνέχων τῶν δακτύλων, ἀνίσταται,
Ὥσπερ λιβανωτὸν ἐπιτιθεὶς νουμηνίᾳ.
Καὶ νὴ Δί' ἢν ἴδῃ γέ που γεγραμμένον
Τὸν Πυριλάμπους ἐν θύρᾳ δῆμον καλὸν,
Ἰὼν παρέγραψε πλησίον κημὸς καλός.
Τὸν ἀλεκτρυόνα δ' ὃς ᾖδ' ἀφ' ἑσπέρας, ἔφη,
Ὡς ὀψ' ἐγείρειν αὐτὸν ἀναπεπεισμένον,
Παρὰ τῶν ὑπευθύνων ἔχοντα χρήματα.
Εὐθὺς δ' ἀπὸ δορπηστοῦ, κέκραγεν ἐμβάδας.
Κᾆπειτ' ἐκεῖσ' ἐλθὼν, προκαθεύδει πρῲ πάνυ
Ὥσπερ λεπὰς προσεχόμενος τῷ κίονι.

Σχ. Κἂν ἄχνην] τὸ λεπτομερὲς τοῦ στάχυος. καὶ Ὅμηρος. ὡς δ' ἄνεμος ἄχνας φορέει ἱερὰς κατ' ἀλωάς. Περὶ τὴν κλεψύδραν] ἀντὶ τοῦ περὶ τὸ δικαστήριον. κλεψύδρα γὰρ ἀγγεῖον τετρημένον ἐν ᾧ ὕδωρ ἔβαλλον καὶ εἴων ῥεῖν ἄχρι τῆς ὀπῆς. καὶ οὕτως ἔπαιον τὸν ῥήτορα. τοῦτο δὲ ἐποίουν διὰ τὸ φλυαρεῖν πλεῖστα καὶ ἐμποδίζειν ἄλλοις θέλουσι λέγειν. ἵνα τὰ προσδέοντα λέξας ἐξέλθῃ. Τοὺς τρεῖς ξυνέχων] τούτοις γὰρ κατέχουσι τὰς ψήφους οἱ δικασταί. τῷ μεγάλῳ. καὶ τῷ λιχανῷ. καὶ τῷ μέσῳ. Νουμηνίᾳ] κατὰ νουμηνίαν γὰρ ἔθος εἶχον, λιβανωτοὺς ἐντιθέναι τοῖς ἀγάλμασι.

CHRIST. Κλεψύδραν] Quia clepsydra in iudiciis statui solebat, & ad fluentis mensuram tẽporis spatiũ ad dicendum exigebant Rhetores. Erat enim vas pertusum quod aqua implebant, eáq; fluxa ad foramen vsq; finem facere cogebantur dicentes, aut si vltra res serias nugari lubebat, eadem aqua verberabãtur, nam id innuere videtur Scholiastes græcus, cùm ait καὶ οὕτως ἔπαιον τὸν ῥήτορα. si tamen mendosa non est lectio (quia hãc pœnã Rhetoribus præscriptã non recordor alibi me legisse) & non potiùs scribẽdum est ἔπαυον, quod ego malui emendare. Νουμηνίᾳ] In Nouilunio mos erat thura dare imaginibus & statuis, quod videtur tribus digitis factitarũ, puta pollice, indice & medio, quib. iudices solebãt continere calculos sententiarum.

Σχ. Τὸν Πυριλάμπους] μέμνηται τούτου καὶ ἐν πόλεσιν Εὔπολις. καὶ τῷ Πυριλάμπους δήμῳ ἆρα κυψέλη ἔνεστιν. ἦν δὲ καὶ εὔμορφος ὁ δῆμος. ἐπέγραφον δὲ οἱ Ἀθηναῖοι τὰ τῶν καλῶν ὀνόματα, οὕτως. ὁ δεῖνα καλός. ἔγραφον δὲ καὶ ἐν τοίχοις καὶ ἐν θύραις. καὶ ὅπου τύχῃ. καὶ οὗτός φησιν, ὡς ἰδὼν τὸν κημὸν ἔγραψε, κημὸς καλός. Κημὸς καλός] κημὸς καλεῖται τὸ τοῖς καδίσκοις ἐπιτιθέμενον, δι' οὗ τὰς ψήφους καθίεσαν, ἵνα μὴ ἐκ τῶν ἐγγὺς ἴδωσιν. ἔστι δὲ πλέγμα τι δικτυῶδες καὶ ἠθμοειδές, ἄνωθεν πλατύ, κάτωθεν στενόν.

CHR. Τὸν Πυριλάμπους] Pyrilampẽ quẽdam Periclis sodalem & amicum qui ὀρνιθοτροφίαις abundabat memorat in Pericle Plutarchus, & fortassis pauones illius. Formosus est hic populus, nam inter populorum tribus hic non est. Solebant quidẽ Athenienses in parietib. & forib. & vbiuis pingere nomina formosorũ, atq; vt trahit sua quemq; voluptas, cũ aliquis de Pyrilãpis populo appinxisset δῆμος καλός, ille cuius in foro & iudiciis erat mens motata litterula scripsit κημὸς καλός. videtúrq; fuisse κημὸς fiscum vel cophinus supra latus, infra angustus, cętera vitilis qua ex materia antiqui camos

A est παιπάλη, hoc in spica est ἄχνη. i. ἄχυρον & τὸ ὑπολειπόμενον καλάμης, quã etiam ἀθέρα vocant. Hom. ὡς δ' ἄνεμος ἄχνας φορέει.

Si fortè connivere cœpit, at volat
Huc animus vsque & totus est ad clepsydram
Tantùm tenendo calculo assuefactus est
Digitos vt excitatus hos tres contrahat
Ceu tus acerræ imponat in nouilunio.
B *Si fortè scripta vidit ad quasdam fores*
Hæc verba, Bellus Pyrilampis vicus est
Tum pro suo addet more, bellus fiscus est.
Aitq; gallum qui canebat vespere
Argento ab ipsis esse corruptum reis
Vt excitet se serius quàm vsus velit.
Cœnatus alta voce poscit baxeas
Illucq; pergit, atque cum nondum expetit
Multum antè manè: dormit & pilæ hæsitat

C & frenos equorũ & φιμοὺς instruebãt, vt vna & cõmunis origo sit τοῦ κημοῦ in quẽ calculos immittebãt iudices, vel potius cadus quẽ Cratinus ἐν νόμοις dicit χοίνικον ἠθμόν, nam similis erat τῇ χώνῃ vt & Sophocles testatur in Inacho, postea in iudiciis duo fuerunt cadi, vnus æneus, alter ligneus, hic κύριος, ille ἄκυρος. Cæterùm etiã Eupolis in vrbib. meminit illius populi, Ait enim καὶ τῷ (legerẽ κἀν) Πυριλάμπους δήμῳ ἆρα κυψέλη ἔνεστιν. Rectè autem hoc Comicus noster dixit παρέγραψε, nõ solùm quia
D propè, sed quia velut παρῳδικῶς, δῆμος, κημός, Nos quibus non licet esse tam disertis, exprimere voluimus, nec potuimus cùm diximus, vicus, fiscus.

Σχ. Ὀψ' ἐγείρειν] ἐν ὑπερβολῇ τοῦτο. ἐμέμφετο γὰρ τῷ ἀλεκτρυόνι φησί, καὶ ταῦτα ἑσπέρας κράζοντι, ὅτι βραδέως αὐτὸν ἐγείρει.

BIS. Παρὰ τῶν ὑπευθύνων] ὑπεύθυνοι, οἱ μήπω λογισμοὺς παρεσχηκότες, μηδὲ εὐθύνας τῆς ἀρχῆς, ἧς ἐπεστάτουν. Σ.

Σχόλια. Ἀπὸ δορπηστοῦ] Λυκόφρων ἀπὸ ἀρίστου. οἱ δὲ ἄλλοι πάντες δόρπα τὰ δεῖπνα.

BISET. Σ. δόρπιστον προπαροξυτόνως λέγει, καὶ τὴν τοῦ δείπνου ὥραν οὕτως ἑρμηνεύουσιν. οὕτω καὶ παρὰ τῷ Ἡσυχίῳ δόρπιστον λέγεται. δόρπος δὲ, καὶ δόρπον οὐδετέρως, τὸ ὀψὲ μετὰ δείλην ἔμβρωμα, οὐ μὴν τὸ νυκτερινὸν, παρὰ τὸ δόρυ παύεσθαι. κυκλολεκτεῖται τοίνυν περὶ τοῦ στρατιωτικοῦ ἐμβρώματος τοῦ κατὰ δείλην λαμβανομένου.
E
CHR. Ἀπὸ δορπηστοῦ] Nõ putem per η legendum, sed per ι. Nam δορπιστὸς apud omnes grãmaticos veteres est ὥρα τοῦ δείπνου, epuli vespertini tempus sic dictũ à laborum cessatione ἀπὸ τοῦ δόρυ παύεσθαι sic βουλυτὸς quia cessant & soluuntur boues. Miror
F aũt quod ait scholiastes græcus δόρπα esse τὰ δεῖπνα. Nã longè aliud est vocis ἔτυμον quia δεῖπνον videtur dictũ ab ὄντι δεῖ πονεῖν. Tamen Lycophron Grãmatic⁹ hoc loco δορπιστὸν accipit ἀντὶ τοῦ ἀρίστου.

Σχ. Ἐμβάδας] εἶδος ὑποδήματος. διὰ τὸ φιλοδικαστὴς εἶναι. οὐ καθεύδει φησὶν ἐν τῷ οἴκῳ αὐτοῦ μετὰ τὸ δειπνῆσαι. ἀλλ' εὐθὺς ἀναστὰς ἀπὸ τῆς τραπέζης καὶ ζητήσας τὰς ἐμβάδας καὶ ὑποδησάμενος, ἀπέρχεται ἐν τῷ δικαστηρίῳ καὶ καθεύδει. Πρῲ πάνυ] ἀντὶ τοῦ πρὸ τοῦ δέοντος καιροῦ
G ἀπιὼν, ἀπονυστάζει ἐπὶ πᾶσι τῷ κίονι. λεπὰς δὲ, κογχύλιόν τι ταῖς πέτραις προσπεπηγνύμενον.

CHRIST. Πρῲ πάνυ.] Summo mane & ante tempus forum petens dormitabat affixus columnæ vt conchylium petræ. λεπὰς latum cõchylium, vnde λοπὰς patina & patella:

Ὑπὸ δυσκολίας δ' ἅπασι τιμῶν τὴν μακράν,
Ὥσπερ μέλιττ' ἢ βομβυλιὸς εἰσέρχεται,
Ὑπὸ τοῖς ὄνυξι κηρὸν ὑποπεπλασμένος.
Ψήφων δὲ δείσας μὴ δεηθείη ποτὲ,
Ἵν' ἔχῃ δικάζειν, αἰγιαλὸν ἔνδον τρέφει.
Τοιαῦτ' ἀλύει. νουθετούμενος δ' ἀεὶ
Μᾶλλον δικάζει. τοῦτον οὖν φυλάττομεν,
Μοχλοῖσιν ἐνδήσαντες, ὡς ἂν μὴ 'ξίῃ.
Ὁ γὰρ υἱὸς αὐτοῦ τὴν νόσον βαρέως φέρει.
Καὶ πρῶτα μὲν λόγοισι παραμυθούμενος.
Ἀνέπειθεν αὐτὸν μὴ φορεῖν τριβώνιον,
Μὴ δ' ἐξιέναι θύραζ'. ὁ δ' οὐκ ἐπείθετο,
Εἶτ' αὐτὸν ἀπέλυ, κὴ κάθαιρε, κὴ μάλα
Μετὰ ταῦτ' ἐκορυβάντιζ'. ὁ δ' αὐτῷ τυμπάνῳ
Ἄξας, ἐδίκαζεν εἰς τὸ καινὸν ἐμπεσών.
Ὅτ' οὖν δὲ ταύταις ταῖς τελεταῖς οὐκ ὠφέλει,
Διέπλευσεν εἰς Αἴγιναν. εἶτα συλλαβὼν,
Νύκτωρ κατέκλινεν αὐτὸν εἰς Ἀσκληπιοῦ.
Ὁ δ' ἀνεφάνη κνεφαῖος ἐπὶ τῇ κιγκλίδι.
Ἐντεῦθεν, οὐκέτ' αὐτὸν ἐξεφρείομεν.
Ὁ δ' ἐξεδίδρασκε διά τε τῶν ὑδρορροῶν,
Καὶ τῶν ὀπῶν. ἡμεῖς δ' ὅσ' ἦν τετρημένα,
Ἐνεβύσαμεν ῥακίοισι, κἀπακτώσαμεν,

A *Vt concha petra, damnat omnes linea*
Longa seuerus: intrat vt tenax apis
Penitusq́, cera sublitos vngues refert.
Néue ad ferendas calculus sententias
Desit, dat intus operam alendo littori.
His gaudet ille, si admones, impensius
B *Iudicia celebrat, itaque custodimus hunc*
Seruiq́, vinctum claudimus ne huc exeat.
Nam morbus huius grauiter angit filium.
Primùm ergo dictis allocutus mollibus
Suadebat abstinere trito pallio
Neque egredi, at non persuasit quin eum
Lauitq́, purgauitq́, Corybantum sacra
Patrare cœpit: ille tympanum tenens
Vt iudicaret, illico ad forum venit:
C *Vbi his initijs is nec hilum proficit*
Æginam adusque venit, hunc secum accipit
Noctuq́, fano imponit Æsculapij.
Quum visus ecce est nocte pro foribus fori
Atq́, inde quamuis duceremus nusquam
Nos per foramina & per impluuium adiuus
Fefellit omnes: mox hiatus, ostia, &
Pertusa pannis omnia obsepiuimus.

D

Σχόλια. Τιμῶν τὴν μακράν.] προείρηται, ὑπὲρ τοῦ τοὺς δικαστὰς ἐν πινακίῳ, ἤτοι ἐπὶ σανίσι κηρῷ ἀληλιμμένης ὁπότε καταλαμβάνοιεν τινα τῷ ἐγκλήματι, ἕλκειν μακρὰν γραμμήν. ὁπότε ἀπολύοιεν, βραχεῖαν. καὶ ἑξῆς. διότι μοι ξίφος τάχιστα. ἢ πινάκιον τιμητικόν. τὸ δὲ ἐποίουν, μετὰ τὸ ἀποβλέψαι εἰς τὰς ψήφους τὰς ἐν τῇ κάλπιδι. εἰ γὰρ ἑώρων τὰς μελαίνας πλείους, ἐχάραττον τῷ ὄνυχι τὴν μακράν. εἰ δὲ τὰς λευκὰς, τὴν βραχεῖαν, ὅτι δὲ πλείους ἦσαν αἱ λευκαὶ. ὁ διώκων ἐνίκα. ὁ φεύγων δ' ἦν πλείους αἱ μέλαιναι κατεκρίνετο.

E CHRIST. Τιμῶν τὴν μακράν.] Hunc Philocleonem condemnatoriis calculis semper gauisum, neq; procliuem ad absoluendum fuisse, ex sequentibus magis patebit. erat autem γραμμὴ μακρὰ condemnantium, βραχεῖα verò absoluentium, vt nigri calculi cùm plures erant, reus morti dabatur & longam pendens litteram faciebat, Cùm verò albi, absoluebatur. verba Scholiastæ Græci non vera sunt, cùm ait, ὅτι πλείους ἦσαν αἱ λευκαὶ ψῆφοι ὁ διώκων ἐνίκα, potiùs enim ὁ φεύγων.

F Σχόλια. Ὁ βομβυλιός.] ζῶον μελίττῃ ὅμοιον. καὶ ἔτι κηρὸν ποιεῖ. Ὑποπεπλασμένος.] πεπληρωμένος τοὺς ὄνυχας κηροῦ ὑπὸ τῶν χαραγμάτων. γράφεται ἀναπεπλασμένος.

CHRIST. Ὑποπεπλασμένος.] Scribitur & ἀναπεπλασμένος, quod est πεπληρωμένος τοὺς ὄνυχας κηροῦ ὑπὸ τῶν χαραγμάτων. Quod autem ait αἰγιαλὸν ἔνδον τρέφει, hoc est, impleuit domū calculis eiusmodi condemnatoriis nigris puta & perforatis. Dixit τρέφει lepidè, tanquam de re animata.

G Σχόλια. Αἰγιαλὸν ἔνδον ἔχων.] ὡς ἐπὶ ζώου ἔφη τὸ τρέφει. ὅτι, ἐγέμισε τὴν οἰκίαν ψήφων.

CHRIST. Τοιαῦτ' ἀλύει] Parodia est (vt solens facit) ex Stenobæa Euripidæ qui dixit, τοιαῦτ' ἀλύει νουθετούμενος ἔρως. legerem tamen δ' ἔρως. Est autem ἀλύειν, gaudere & delectari, ἀπὸ τῆς ἄλης vel διαχύσεως vt volunt Grammatici. Nam sic Homerus in Vlyssea, ἢ ἀλύεις ὅτι Ἶρον ἐνίκησας τὸν ἀλήτην. Tamē sæpius significat δυσφορεῖν & ἀδημονεῖν ἀπὸ τῆς ἄλης. & tunc notatur leni accentu vt in illa significatione, denso, etsi sint qui vtrubique ψιλοῦσι dicant.

Σχ. Νουθετούμενος] παρὰ τὰ Εὐριπίδου ἐκ Σθενεβοίας. τοιαῦτ' ἀλύει νουθετούμενος ἔρως.

BISETVS. Ἀπέλυ] τὸ καὶ ἀποκοπὴν μέτρου χάριν εἴρηται, ἀντὶ τοῦ ἀπέλυε. παρὰ τὸ ἀπολύω. τὸ πλύνω, καὶ καθαρὸν ποιῶ. τὰ δὲ λοιπὰ τοῦ στίχου τινὲς οὕτω γράφουσι. καὶ κάθαιρε, καὶ μάλα. ἀλλ' οὐδὲν κινητέον ἐν τούτῳ. καὶ γὰρ ἡ ἐκτετυπωμένη γραφὴ καλῶς ἔχει καὶ κατὰ τὸν νοῦν, καὶ κατὰ τὸ μέτρον μετὰ ταύτην τὴν ἀπόλυσιν, καὶ κάθαρσιν, οὐχ οὕτως ἐμαίνετο, ὡς πρότερον. ἀλλὰ τὴν αὐτοῦ μανίαν καὶ κορυβαντισμὸν ἡ ἀπόλυσις, καὶ κάθαρσις αὕτη πολὺ ἐλαφροτέραν ἐποίησεν.

Σχ. Ἐκορυβάντιζεν] ὡς μαινόμενος καὶ κατεχόμενος ὑπὸ θεῶν. ἀντὶ τοῦ τὰ τῶν Κορυβάντων ἐποίει αὐτῷ μυστήρια, ἐπὶ καθαρμῷ τῆς μανίας. Εἰς τὸ καινὸν ἐμπεσών] τόπος ἐν τῷ δικαστηρίῳ οὕτω λεγόμενος. εἰσὶ δὲ δ'. παράβυστος. καινός. τρίγωνος. μέσος. τελούμενος οὖν φησὶ τὰ μυστήρια τῶν Κορυβάντων, παρὼν ἐν αὐτοῖς θέμενος κατέχων τὸ τύμπανον, ὥρμησεν εἰς τὸ δικαστήριον. Εἰς Ἀσκληπιοῦ] ἐκεῖ γὰρ ἱερὸν ἐστὶν. ὡς νοσοῦντα οὖν ἐκεῖ ἔφερεν. Ἐπὶ τῇ κιγκλίδι] ἀντὶ τοῦ ἐν τῷ δικαστηρίῳ ὁ πατήρ. κιγκλὶς γὰρ, ἡ θύρα τοῦ δικαστηρίου, ἣν καὶ καγκελλωτὴν καλοῦσι. κνεφαῖος δὲ ἔτι σκότους ὄντος, καὶ μήπω γινομένης ἡμέρας, ἀπῆλθεν ἐν τῷ δικαστηρίῳ. Ἐντεῦθεν οὐκ ἔτ' αὐτὸν] ἀπ' ἐκείνου τοῦ χρόνου, μετὰ ταῦτα.

CHRIST. Εἶτ' αὐτὸν ἀπέλυ] Purgabat, inquit, insaniam, & nihilominus Corybantū more insaniebat. In Veneta editione legitur καὶ κάθαιρε, καὶ μάλα, &c. quod melius puto. Nā ὁ δ' οὐ μάλα nihil ad rē, & priùs legebam ὁ δ' οὖν, sed præstat acquiescere Venetæ editioni. Ες τὸ καινόν.] Locum in iudicio & foco sic vocatum ait scholiastes Græcus, & quatuor facit Parabyston, Cænum, Trigonum, Medium. Tamen alij Heliæam & Melychium,

pro Cæno & Medio ponunt. Sed hic, nihil aliud intelligit quam Philocleonem, cùm operaretur, & patraret Sacra Corybãtum, statim ea spernentem arripuisse tympanum, irruisse in auditorium & forum iudiciale. Εἰς Ἀσκληπιοῦ] Strabo lib. 8. ait aduersa affectos valetudine, in Epidauriæ Æsculapij templo pernoctare solitos esse. ἐπὶ τῇ κιγκλίδι] Sic vocabantur fores fori iudicialis, καὶ κελλάθες aliter vocabant puta à cancellis, vnde cãcellare, & cancellaria, vocabula vltimæ antiquitatis & nouissimæ, quæ ad nos peruenerunt longo tempore varijta & diuersa facta quæ à doctissimo nostræ gentis Budæo explanãtur & enarrantur in Adnotationibus in Pandectas. ἐντεῦθεν] Ab illo tempore, inquit non extulimus ipsum, (ἐξε-

A φρόνουμεν est ἐξεφέρομεν,) sed ille fugiebat & effluebat per imbrices & caua loca quibus aqua pluuia fluit (hîc enim, arbitror, innuit per ὑδρορρόας & ὀπάς) est autem ἐσεβύσαμεν, impleuimus, vt dixit Homerus τάμακος ἀσκαῖτο βεβυσμένον. At ἐπακτώσαμεν est sepiuimus & cuneis armauimus; est enim πακτῶσαι, τὸ σφηνῶσαι.

Σχόλια. Ἐξεφρόνουμεν.] ἐξεφέρομεν. ὑδρορρόων. οἱ κοῖλοι τόποι δι' ὧν χωρεῖ τὸ ὕδωρ τὸ ἐξ ὑετοῦ.

B BISETVS. Φέρω, κατὰ μετάθεσιν φρέω, ὅθεν κατ' ἐπένθεσιν τοῦ ι φρείω, καὶ τὸ σύνθετον ἐκφρείω.

Σχόλια. Ἐσεβύσαμεν.] ἀπληρώσαμεν. Ὅμηρος, τάματος ἀσκαῖοιο βεβυσμένον. Κἀπακτώσαμεν.] ἐφράξαμεν. ἐπληρώσαμεν. πακτῶσαι γὰρ τὸ σφηνῶσαι.

Ὁ δ' ὥσπερεὶ κολοιὸς, αὑτῷ πατάλους
Ἐνέκρουεν εἰς τὸν τοῖχον, εἶτ' ἐξήλλετο.
Ἡμεῖς δὲ τὴν αὐλὴν ἅπασαν δικτύοις
Καταπετάσαντες ἐν κύκλῳ, φυλάττομεν.
Ἔστιν δ' ὄνομα τῷ μὲν γέροντι, Φιλοκλέων,
Ναὶ μὰ Δία. τῷ δ' υἱεῖ γε τῳδί. Βδελυκλέων,
Ἔχων τρόπους, ὀφρυαγμοσεμνακούστους.

At ille palos parieti affigens, statim
Leuis exsilit, se proripitque vt graculus.
Hinc vniuersum cassibus triclinium
C *Prætensum habemus, sicque seruamus senem.*
Ac nomen huius est senis Philocleon
Sed filio illi nomen est Bdelycleon
Mores habenti caperofrontiperuncos.

Σχόλια. Ὥσπερεὶ κολοιός.] τοῖς γὰρ ἐν τῷ οἴκῳ κολοιοῖς καὶ τοῖς ἄλλοις ὀρνέοις πηγνύουσι παττάλους ἵνα εἰς αὐτοὺς ἅλλωνται. Φιλοκλέων.] ἰδίως ἀπὸ τῆς φράσεως τῷ υἱῷ ὄνομα Βδελυκλέων. καὶ τῷ πατρὶ, ὄνομα Φιλοκλέων. Ἔχων τρόπους.] ἀντίπτωσίς ἐστιν, ἀντὶ δοτικῆς τῆς ἔχοντι συνήθως δὲ ὀφρύαγμος ἀπὸ τῆς ὀφρῦς ἢ φρύαγμα. καὶ σεμνὸν, ἀντὶ τοῦ ὑπερήφανον.

BISETVS. Τοῦτο σύγκειται ἐκ τοῦ ὀφρῦς, ὑφ᾽ ἧς, ὁ μεταφορικῶς τὴν ὑπερηφανίαν, καὶ ἀλαζονείαν δηλοῖ. ὅθεν ὀφρυάζειν, τὸ ὑπερηφανεῖν. καὶ τοῦ φρύαγμα. καὶ τοῦ σεμνὸν, καὶ τοῦ ἀκουστὸν. φρύαγμα δὲ, ἡ τῶν ἵππων, καὶ ἡμιόνων διὰ μυκτήρων ἠχὴ ἀγρίῳ φυσήματι ἐκπεμπομένη. ἀλλαχοῦ δὲ ἡ γαῦρος ὑψηλὰ πᾶσιν οὕτω καλεῖται. τὸ δὲ σεμνὸν νῦν τὸ τρυφερὸν, καὶ ἀλαζονικὸν σημαίνει. τὸ δὲ ἀκουστὸν κατ' ἐπένθεσιν τοῦ υ. Σ. ἀκοστῆσαι, κει-

θιάσαι. ἀκοσταὶ γὰρ αἱ κριθαὶ καλοῦνται. ἢ ἀκολαστῆσαι καὶ κατὰ συγκοπὴν ἀκοστῆσαι. ὁ ποιητὴς διὰ τούτου τοῦ συνθέτου ὑπερβολὴν ὑπερηφανίας, καὶ ἀλαζονείας δηλοῖ.

D FLOR. Ὥσπερ ὁ κολοιός] Nam graeculis & eiusmodi auitio palum fixum statuebant, ad quem insilientes volarent. ἔχων τρόπους ὀφρυαγμοσε.] Quare scholiastes ἀντίπτωσιν hic faciat, id est casum pro casu, vt ἔχων sit pro ἔχοντι, nescio. Quid ni enim ἔχων referas ad Φιλοκλέων; At epitheton illud ὀφρυαγ. mendosè legitur. cùm enim compositum sit ἐκ τῆς ὀφρύων vel φρυαγμάτων & τοῦ σεμνοῦ, id est, ὑπερηφάνου, corrigendum ὀφρυαγμοσεμνάνους
E τινας, vel (vt Suidas) φρυαγμο, &c.

ΒΔΕΛΥΚΛΕΩΝ, ΞΑΝΘΙΑΣ, ΣΩΣΙΑΣ, ΦΙΛΟΚΛΕΩΝ.

BDELYCLEON, XANT. SOSIAS, PHILOCL.

BISETVS. Βδελυκλέων τοὺς δούλους καθεύδοντας, καὶ ὀλιγώρως φυλακὴν ποιουμένους ἐπεγείρει. καὶ γὰρ Φιλοκλέων πάσῃ τέχνῃ τοὺς φύλακας ἐπειρᾶτο, καὶ ἐξαπατᾶν ἤθελε, ὅπως ἐκφύγῃ, ἀλλ' ὑπ' αὐτοῦ κωλύεται.

Βδ. Ὦ Ξανθία καὶ Σωσία καθεύδετε;
Ξαν. Οἴμοι. Σω. τί ἐστι; Ξαν. Βδελυκλέων ἀνίσταται.
Βδ. Οὐ περιδραμεῖται σφῶν ταχέως δεῦρ' ἅτερος;
Ὁ γὰρ πατὴρ εἰς τὸν ἰπνὸν εἰσελήλυθε,
Καὶ μυσπολεῖ τις ὥς τις καταδεδυκώς. ἀλλ' ἄθρει,
Κατὰ τῆς πυέλου τὸ τρῆμ' ὅπως μὴ κδύσεται.
Σὺ δὲ τῇ θύρᾳ πρόσκειτο. Οι. ταῦτ' ὦ δέσποτα
Ἄναξ Πόσειδον. τί ποτ' ἄρ' ἡ κάπνη ψοφεῖ;
Οὗτος τίς εἶ σύ. Φι. καπνὸς ἔγωγ' ἐξέρχομαι.
Βδ. Καπνός; φέρ' ἴδω τίνος ξύλου σύ. Φι. συκίνου.
Βδ. Νὴ τὸν Δί' ὅσπερ γ' ἐστὶ δριμύτατος καπνῶν.

F BDE. *O Xanthia atque Sosia obdormiscitis?*
XAN. Hei mi. So. quid est? XAN. exsurgit en Bdelycleon.
BDE. Non huc e curret alter ex vobis cito?
Ingressus est vt suspicor furnum pater
Ruspatur illic quisquis obrepsit, vide
Ne per foramen forsitan solij exeat,
Tu ianuæ autem incumbe. SERVVS. *Siccine*
G *est here?*
Pro Conse Rex! quid instrepit fumarium?
Eho quis es tu? PHILOCLEON. *fumus egressum aucupo.*
BDE. *Fumúsne? ligni cuius est?* PHIL. *ficulnei.*
BDE. *Sanè omnium qui fumus est acerrimus.*

Σχόλια. Καθεῦδ' ἔτι.] ὡς ἀπαλλακτικὴ φωνὴ τοῦ-το φησιν. Εἰς τὸν ἰπνόν.] ἰπνὸς κυρίως ἡ κάμινος. Αἰσχύλος. ἰπνούμενος ῥύζαισιν ἀγρίαις ὕπο. νῦν δὲ τὸ μαγειρεῖον φησιν ἐν ᾧ λαθὼν αὐτοὺς ὁ Φιλοκλέων εἰσῆλθεν, καὶ εἰς τρύπην ὑπέδυ. Μυσπολεῖν.] καθ' ὁ ὕσταται. ὡς μῦς φοιτᾷ. οὕτως Ἀττικοὶ ὑπὸ μίαν λέξιν. ἄλλως. πρὸς τὴν λέξιν ὅτι ἀπὸ τῶν μυῶν ἔοικεν ὀνοματοποιῆσθαι, τὸ διερευνᾶσθαι κρύφα. Κατὰ τῆς πυέλου.] αἱ γὰρ πύελοι τρώγλας εἶχον ἐπὶ τὴν ὁδόν, πρὸς τὸ ὕδωρ ἐξέρχεσθαι. ἄλλως ἡ πύελος ἔχει τρώγλην, δι' ἧς ἀπολουόμενοι, ἐκχέουσι τὸ θερμόν. παίζει δέ, καὶ τοῦτο ὡς ἐπὶ μυός. Κάπνη] ἡ καπνοδόχη. ἔστι δέ, σωληνοειδὴς ἐπὶ τῶν μαγειρείων. δι' οὗ ὁ καπνὸς ἐξέρχεται. ὡς οὖν τοῦ Φιλοκλέωνος πειρωμένου δι' αὐτῆς ἐξελθεῖν καὶ κτύπον ποιήσαντος, τοῦτό φησι. ταῦτα δὲ παίζει. κωμικὰ ἔστι τῆς γελοίου χάριν. Συκίνου] ὅτι καὶ οἱ δικασταὶ δριμεῖς εἰσι. καὶ ὁ γέρων. καπνοποιὸν γὰρ τὸ σύκινον ξύλον. καὶ ὅτι ὁ ἐκ τῶν συκίνων ξύλων καπνός, δριμύτατος. καὶ Ἀριστοτέλης φησὶν ἐν προβλήμασι.

CHR. ἰπνὸν] Propriè Caminus vnde Panis ἰπνίτης apud Galenum. Æschulus in Prometheo Desmota verbum hinc nouauit, ἰπνούμενος ῥίζαισιν ἀγρίαις ὕπο, quam nos fabulam etiã de Græco vertimus. Hoc loco culinam intelligit & τὸ μαγειρεῖον, quò clam subrepserat Philocleon, & murium more se insinuauerat, verbum hinc eleganter & facete finxit μυσπολεῖν quod est κρύφα διερευνᾶσθαι. Κατὰ τῆς πυέλου] Antiqui alueo vtebantur forato priusquam balnea inuenta essent, & loti per illud foramen emanabat calor. Hesychius ἐμβάτην videtur vocare, & vetus Glossarium Soliar, ἐμβάσις, (melius puto ἐμβάτης) hoc autem loco ludit tanquam sit muris cauum. Ἡ κάπνη ψοφεῖ] Putarem κάμινον dictam quasi κάπνινον, hic κάπνην vocat quam nos Franci cheminee, eas antiqui in coquina præcipuè faciebant in tubi speciem teretes & rotundas, & σωληνοειδεῖς. Συκίνου] innuit indices acres atque adeò ipsum senem: lignum autem ficulnum fumificum est maximè, & acerrimus est fumus ex ficulneis lignis, vel teste Aristotele in Problematis, & verò Theophrasto & Plutarcho in Sympoſiacis, quos auctores (ne id necesse habeam facere) recenset eruditiss. Brodæus, cap. 21. libri tertij Miscellaneorum.

Ἀτὰρ οὐκ ἰσῤῥήσεις γε; ποῦ 'σθ' ἡ τηλία.
Δῦθι πάλιν. φέρ' ἐπαναθῶ σοι καὶ ξύλον.
Ἐνταῦθα νυνὶ ζήτει τιν' ἄλλην μηχανήν.
Ἀτὰρ ἄθλιός γ' εἰμ' ὡς ἕτερος οὐδεὶς ἀνήρ.
Ὅστις πατρὸς νυνὶ καπνίου κεκλήσομαι.
Οἰ. Παῖ, τὴν θύραν ὤθει. πίεζ' εὖ νυν σφόδρα
Εὖ κἀνδρικῶς. κἀγὼ γὰρ ἐνταῦθ' ἔρχομαι
Καὶ τῆς κατακλεῖδος ἐπιμελοῦ καὶ τοῦ μοχλοῦ
Φύλαττέ θ' ὅπως μὴ τὴν βάλανον ἐκτρώξεται.
Φι. Τί δράσετ'; οὐκ ἐκφρήσετ', ὦ μιαρώτατοι.
Δικάσοντ' ἐμ' ἀλλ' ἐκφεύξεται Δρακοντίδης.
Βδ. Σὺ δὲ τοῦτο βαρέως ἂν φέροις. ὁ γὰρ θεὸς
Μαντευομένῳ μ' οὔχρησεν ἐν Δελφοῖς ποτε,
Ὅταν τις ἐκφύγῃ μ' ἀποσκλῆναι τότε.
Φι. Ἄπολλον ἀποτρόπαιε, τοῦ μαντεύματος.
Ἴθ' ἀντιβολῶ σ' ἐκφερέ με, μὴ διαρραγῶ.
Βδ. Μὰ τὸν Ποσειδῶ Φιλοκλέων οὐδέ ποτέ γε.

Introne abibis? alueum hunc cedo mihi.
Regredere, da lignum quod imponam super.
Aliam hîc require, si potes, solertiam,
Nullus tamen me viuit infelicior,
Mihi quippe fumus esse dicetur pater.
SER. *Occlude tu puer fores, validus preme*
Benè fortiterque, ego huc statim concessero.
Seram atque vectim diligenter inspice
Ne pessulorum claustra possit rodere.
PHIL. *Quid ô scelesti audebitis? quin me mittite*
Vt indicem, aut fugiet reus Dracontides.
BDE. *Non fiet, etsi sit graue hoc tibi, nam deus*
Mihi sciscitanti oraculum Delphis dedit
Fore vt alicuius è fuga mortem oppetam.
PHI. *Verrunce Apollo, diritatem oraculi!*
At me effer oro, sin, necesse est rumpier.
BDE. *Per Consi amicũ numen, hoc nullus velim.*

Σχόλια. Οὐκ ἰσῤῥήσεις γε] ὡς ἂν τῷ καπνῷ φησιν, οὐκ εἰσελεύσῃ μετὰ φθορᾶς. Ποῦ 'σθ' ἡ τηλία.] τῇ κάπνῃ βούλεται ἐπιθεῖναι πῶμα τὴν τηλίαν. τηλία δέ, σανὶς πλατεῖα, ἐν ᾗ τὰ ἄλφιτα ἐν τῇ ἀγορᾷ ἐπιπράσκετο. Φέρ' ἐπαναθῶ σοι καὶ ξύλον.] οὐ τῷ πατρὶ ταῦτα λέγει. ἀλλὰ τῇ κάπνῃ ἢ πρὸς τὴν τηλίαν. ἵνα ἐπιθῇ αὐτῇ ξύλον εἰς βάρος. διὰ τὰς τοῦ πατρὸς μηχανάς. Ἐνταῦθα νυνὶ.] ἀποκλείσας τὴν διέξοδον τοῦ μὴ δυνηθῆναι αὐτὸν εἰσελθεῖν ταῦτά φησι. Ὅστις πατρὸς νυνὶ καπνίου.] τὸν ὑπεκλυόμενον οἶνόν φασί τινες καπνίαν λέγεσθαι. ἐν δὲ ταῖς περὶ Κρατῖνον διώρισται. ἢ τὸ ἀπόθετον, ἢ καὶ παλαιόν. διὸ ἐκφατνίδην καπνίαν καλοῦσιν. ἄλλως. ἅμα καὶ τῷ καπνῷ εἰκάζει αὐτόν. ἔστι γὰρ καπνὸς ἰγνύς. ἅμα δὲ καὶ καπνίου εἶδος ἀμπέλου ξηρὸς ὅτι καὶ δριμύτατος οἶνον ποιοῦσιν. ὁμοίως καπνῷ ποιοῦντα δάκρυα. τινὲς δὲ καπνίαν οἶνον ἐν Βρεττανίᾳ τῆς Ἰταλίας γίνεσθαί φασι. καὶ καπνία ἡ ἄμπελος. Βάλανον] τὸν μοχλόν. κυρίως δὲ τὸ εἰς τὸν μοχλὸν σιδήρεον. ἐκαλοῦμεν μάγγανον. καὶ βάλανοι τὰ μάγγανα τῆς κλειδώσεως. καὶ βαλανοῦται ἀντὶ τοῦ κλειδοῦται. καὶ βαλανάγρα ἡ κλεὶς

τοῦ δῆθ τὸ ὀχεῦον τὴν βάλανον. Ἐκτρώξεται.] ἀντὶ τοῦ τὸν μοχλὸν φυλάττε. ὅπως μὴ τὸ κλεῖθρον φαγὼν ἐξέλθῃ.

BISETVS. Ἐκφρήσετε] ἀπὸ τοῦ φέρω βαρυτόνου γίνεται ἀττικῶς τὸ ἀπλούμενον φορῶ, φορῶ, καὶ τὸ σύνθετον ἐκφορῶ, ῶ καὶ κατὰ συγκοπὴν ἐκφρῶ, ῶ, ἤσω. τινὲς δὲ τὸ ἄνω ἐξεφρείομεν οὕτω σχηματίζεσθαι νομίζουσι. φέρω, φορέω, φορῶ, καὶ φορέω κατ' ἐπένθεσιν τοῦ ι, ἐκφρέω κατὰ συστολήν, ὅπερ οὐκ ἀπίθανον. ἀπὸ δὲ τοῦ φρῶ γίνεται καὶ τὸ φρῆμι, καὶ τὸ φρῆμι κατὰ συγκοπήν.

CHRIST. Ἀτὰρ οὐκ ἰσῤῥήσεις.] Lege, vt & Scholiastes & Veneta editio habent, ἰσῤῥήσεις, non inquit, directe abis? fumum autẽ alloquitur, conaturque imponere τῇ κάπνῃ operculum τὴν τηλίαν, nempe cæuam tabulam super qua vendebãt farinas in foro rerum venalium. Πατρὸς νυνὶ καπνίου] Vinum tenue & sublestum, καπνίαν, ἐξίτηλον καὶ ἐκφατνίδην vocabant, imò & vinum fugiẽs alij καπνίαν pro veteri & condito accipiunt, vt Horatius, Amphoræ fumum bibere institute Cõsule Tullo. sanè est οἶνος ἀπόθετος καὶ παλαιός. Tamẽ καπνία,

καπνίαν etiam potuit dicere quia comparat fumo patrem tugitanti. Sed & notandum καπνίαν & καπνίαν genus esse vitis quæ siccissimum & acerrimum vinum facit, sunt etiam qui vinũ Capniam vinum existiment quod in Beneuento Italico oppido gignitur. βάλανον ἐντρώξεται.] Tanquam de mure loquitur, ferrum rodente vt dixit Seneca in Claudij ludo (quem ἀποκολοκυντωσιν inscripsit quasi ἀπὸ τῆς κολοκυνθῶν ἀποθέωσιν, quasi id genus cibi eum letho dederit, quãuis boletum lethi causam fuisse constet inter omnes eius tempestatis historicos) Est autem βάλανος ferrum quod εἰς μοχλὸν ἐμβάλλεται, & propriè μάτλανον vocatur, vnde βαλανάγρα clauis dicitur παρὰ τὸ ἀγρεύειν τὴν βάλανον, vt βιβαλάνωται, est κεκλεῖσθαι.

Σχόλια. Δρακοντίδης.] πονηρὸς οὗτος ὁ πλείσταις καταδίκαις ἐνεχόμενος, ὡς Πλάτων σοφισταῖς. Καλλίστρατος δὲ ἕνα τῶν λ φησίν, εἰ μὴ ὁμώνυμος. ἔστι γὰρ οὗτος ὁ τὸ περὶ τῶν λ ψήφισμα περὶ ὀλιγαρχίας γράψας, ὡς Αριστοτέλης ἐν πολιτείαις.

Bisetus. Μ' οὐχ ἕξει] ἀντὶ τοῦ, μοὶ ἕξει. στν. ἀποσκλῆναι] σκλῆμι κατὰ τὸν Εὐστάθιον, ἀρχαῖον ἐστι ῥῆμα, ὃ παρὰ τὸ σκλῶ δοκεῖ γενέσθαι. τοῦτο δὲ ἐκ τοῦ σκέλλω, ὃ δηλοῖ τὸ ξηραίνω. σκλῆναι δὲ ὡς ἀπὸ τοῦ ἵστημι, στῆναι. καὶ τὸ σωῦσε τὸν ἀποσκλῆναι, ἀποξηρανθῆναι, καὶ ἀποθανεῖν, ὡς ἑρμηνεύει Σουίδας.

Christ. Δρακοντίδης] Scelestus fuit hic Dracontides & multis obnoxius damnationibus vt in Sophistis ait Plato. At Callistratus vnum putat esse è triginta tyrannis vel eiusdem nominis. Scripsit enim scitum de oligarchia illorum triginta vt Aristoteles autumat ἐν πολιτείαις. Cæterum quum hic me torqueat locus, neque sensum eliciam quem conticio, suspicor primum legendum ὦ μιαρώτατοι. Deinde διαβέβηκα μ' ἀλλ' &c. vt sit pro ἀλλά με δικάσεται ἐκφεύξεται Δρακοντίδης. Plutarchus in Pericle Dracontidæ meminit. Μ' οὐχ ἕξει] Pro μοι ἕξει. Fingit autem de industria Dei responsum vt patrem deterreat à fuga. Sed malè in Veneta editione habes ἀποσκλῆναί ποτε. legendum enim τότε. At cùm ait ὀδὰξ τὸ δίκτυον apparet supra ipsum esse in camino cui respondens filius, ait οὐκ ἔχεις ὀδόντας, Nam senex edentulus erat.

Φι. Διατρώξομαι τοίνυν γ' ὀδὰξ τὸ δίκτυον.	PH. Rete istud ergo mordicus corrosero.
Βδ. Ἀλλ' οὐκ ἔχεις ὀδόντας. Φιλοκ. οἴμοι δείλαιος.	BDE. Edentulus ne? PH. me missellum! quo cedò,
Πῶς ἄν σ' ἀποκτείναιμι; πῶς; δότε ξίφος	Iam te necare possiem pacto? ocyus
Ὅπως τάχιστ' ἢ πινάκιον τιμητικόν.	Ensem aut tabellam ferte damnatoriam.
Βδ. Ἄνθρωπος οὗτος μέγα τι δράσει κακόν.	BDE. Homo iste quoddã grande molitur malũ.
Φι. Μὰ τὸν Δί' οὐ δῆτ' ἀλλ' ἀποδόσθαι βούλομαι	PH. Minimè, Iouem ipsum testor, ac tantum velim
Τὸν ὄνον ἄγων αὐτοῖσι τοῖς κανθηλίοις.	Venum dare ipsis insimul cantherijs
Νουμηνία γάρ ἐστιν. Βδ. οὔκουν κἂν ἐγὼ	Deductum asellum, nam noua est luna. BDE. atqui ego
Αὐτὸν ἀποδοίμην δῆτ' ἄν. Φι. οὐχ ὥσπερ ἐγώ.	Venum dabo ipsum. PH. non quidem quanti darem.
Βδ. Μὰ Δί' ἀλλ' ἄμεινον. ἀλλὰ τὸν ὄνον ἔξαγε.	BD. Quin melius, at tu, verna, asellũ protrahe.
Οἰ. Οἵαν πρόφασιν καθῆκεν ὡς εἰρωνικῶς,	SER. Qualem ille fingens nẽpe prætextũ dedit
Ἵνα αὐτὸν ἐκπέμψειας. Βδ. ἀλλ' οὐκ ἔσπασεν.	Sperans remitti. BD. sed nihil traxit tamen.
Ταύτῃ γ' ἐγὼ γὰρ ᾐσθόμην τεχνωμένου.	Adeò hunc sagaci nare persensi dolum.
Ἀλλ' εἰσιών μοι τὸν ὄνον ἐξάξειν δοκῶ	Sed istum asellum ingressus educam, vt senex
Ὅπως ἂν ὁ γέρων μὴ δὲ παρακύψῃ πάλιν.	Ne possit iste rursus ocquiniscere.
Κάνθων. τί κλάεις; ὅτι πεπράσῃ τήμερον.	O mule, quia fles? an quod hac ductus die
Βάδιζε θᾶττον. τί στένεις; εἰ μὴ φέρεις	Venibis? i nunc ocyus, cur eiulas
Ὀδυσσέα τινά γ'. Οἰ. ἀλλὰ καὶ μὰ Δία φέρει	Si non Vlyssem post vehes? SO. at per Iouem
Κάτω γε τουτονί τιν' ὑποδεδυκότα.	Fert ecce quendam hunc subtus irreptitium.
Βδ. Ποῖ; ν φέρ' ἴδωμαι; Οἰ. τουτονί. Βδ. τουτὶ τί ἦν;	BD. Fac videam, vbi ille? SO. non vides? BD. quid hoc noui est?

Σχόλια. Ὀδὰξ τὸ δίκτυον.] νῦν πάλιν διὰ τὸ δίκτυον, φαίνεται ἄνω περὶ τὴν καπνοδόχην. Ἀλλ' οὐκ ἔχεις ὀδόντας.] ἔπαιξεν ἐπεὶ γέρων ἦν. οἱ δὲ γέροντες, ἀποβάλλουσι τοὺς ὀδόντας. Τιμητικόν.] καταδικαστικὸν ὅπου τὴν μακρὰν γράφοντες κατεδίκαζον ἢ τὴν μικρὸν ὁ ἀπέλυον. Αποδόσθαι.] πωλῆσαι. Κανθηλίοις.] ὄνοις μεγάλοις. Ξενοφῶν. ὅτι ἐν Βαβυλῶνι οἱ Φοίνικες οὐ μεῖον ἢ πλοῖα μεγέθος γίνονται. οἱ δὴ πιεζόμενοι ἀπὸ βάρους ἄνω κυρτοῦνται ὥσπερ ὄνοι κανθήλιοι. καὶ Πολύβιος. ἐν γὰρ τοῖς ἐπὶ τῶν ἐμψύχοις φορτίοις τὰ κανθήλια λαβόντας ἐκ τῶν ὄπισθεν, προσθέσθαι πρὸ αὐτῶν ἐκέλευσε τοὺς πεζούς. οὐ γνωσθὲν συνιδὼν περὶ πάντας χάρακας ἀσφαλέστατον γενέσθαι πρόβλημα.

Bisetus. Ἀλλ' ὑτακουστέον σοι, ὅτι, σοι αὐτὸν τοῖς κανθηλίοις. κανθήλια δὲ κατὰ τὸν Ησύχιον, τὰ τῶν ὄνων σάγματα, καὶ τὰ τούτοις ἐπιτιθέμενα λύγινα πλέγματα.

Σχόλια. Νουμηνία γάρ ἐστιν.] ἔθος ἦν Αθήνησιν ἐν νουμηνίᾳ πιπράσκειν. Τὸν ὄνον ἔξαγε.] πρὸς τὸν οἰκέτην φησί. Ἀλλ' οὐκ ἔσπασεν.] οὐκ ἔτυχε. παρὰ τὴν παροιμίαν. αὕτη μὲν ἡ μήρινθος οὐδὲν ἔσπασεν. ἐλέγετο δὲ ἐπὶ τῶν πείρᾳ καθιέντων ἄγκιστρον μετὰ χοίνου ὁ μὴ ἐπιτυγχανόντων ἰχθύος τινός. Κάνθων. τί κλάεις.] ὡς βαρυμένου τοῦ ὄνου. ἔφερε γὰρ τὸν γέροντα ὑποκρεμασθέντα λάθρα κατὰ μίμησιν τοῦ Ὀδυσσέως ἐπὶ τοῦ κριοῦ φερομένου ἐφ' ᾧ τε διαφυγεῖν τὸν Κύκλωπα ὅτι τὰ πρόβατα

ἐξῆγε τῷ σπηλαίῳ ἐφαπτόμενος αὐτῶν τῆς ῥάχεως πρὸς τῇ θύρᾳ τοῦ σπηλαίου καθήμενος, ἵνα μὴ λαθὼν ἐξέλθῃ κύπτων ὁ Ὀδυσσεύς. τοῦτο δὲ λαθὼν ἐποίησεν ὁ γέρων. διὸ πρὸς βαρυνόμενοι τὸν ὄνον φησίν.

CHRIST. Τιμητικὸν] Cenſorium & condemnatorium, nam vt ſupra diximus longam literam ſcribebant qui ſententiam ferebant mortis, paruam autem qui reum abſoluebant. Κανθηλίοις] Sic magnos aſinos vocant, teſtis Xenophō qui ſcripſit de Palmis in Babylone quas πλεθριαίους vocat (non auſim vertere iugerales quamuis B πλέθρον ſit iugerum, ſed grandes & latas ad ſpatium Plethri quæ ſexta pars eſt ſtadij) & preſſo pondere curuatis in ſublime velut aſini κανθήλιοι. Polybius, (vt etiam alij) vocat κανθήλια. Solebāt A autem in Nouilunio Athenis auctiones facere & rebus venalibus vacare. Ἀλλ' οὐκ ἔσπασε.] Nil attraxit, nil appetiit, Metaphora ſumpta à piſcatoribus qui hamum cum funiculo demittunt, neque piſcem capiunt, vnde Prouerbium αὕτη μὲν ἡ μήρινθος οὐδὲν ἔσπασεν. i. Nil iſte ſecum funis attractum tulit. κάνθων.] Hæc ait ad aſinum velut pondere preſſam, vectabat enim ſenem aſinus clanculum ſuſpenſum, ad exemplum Vlyſſis qui arieti inuehebatur, quò effugeret Cyclopa Polyphemum cum greges è ſpecu educeret, & pecudes omnes dorſo affectaret ſedens ad fores antri ne euaderet Vlyſſes, qui ſe Utin poſtea dixit, propterea hic habes Οὖτις νὴ Δία.

Τίς εἶ ποτ' ὤνθρωπ' ἐτεόν. Φι. Οὖτις νὴ Δία.
Βδ. Οὖτις σύ; ποδαπός; Φι. Ἰθακὸς ἀπὸ Δρασιπποίδου.
Βδ. Οὖτις μὰ τὸν Δί' οὔτι χαιρήσων γ' ἔσει.
C Ὕφελκε θᾶττον αὐτόν. ὦ μιαρώτατος,
Ἵν' ὑποδέδυκεν. ὥς γ' ἔμοιγ' ἰνδάλλεται
Ὁμοιότατος κλητῆρος εἶναι πωλίῳ.
Φι. Εἰ μή μ' ἐάσεθ' ἥσυχον, μαχούμεθα.
Βδ. Περὶ τοῦ μαχεῖ νῷν δῆτα; Φι. Περὶ ὄνου σκιᾶς.
Βδ. Πονηρὸς εἶ πόρρω τέχνης καὶ παράβολος.
D Φι. Ἐγὼ πονηρός; οὐ μὰ Δί', ἀλλ' οὐκ οἶσθα σὺ
Νῦν μ' ὄντ' ἄριστον· ἀλλ' ἴσως ὅταν φάγῃς
Ὑπογάστριον γέροντος ἡλιαστικοῦ.
Βδ. Ὤθει τὸν ὄνον καὶ σαυτὸν ἐς τὴν οἰκίαν.
Φι. Ὦ ξυνδικασταὶ καὶ Κλέων ἀμύνατε.
Βδ. Ἔνδον κέκραχθι τῆς θύρας κεκλεισμένης.
Ὤθει σὺ πολλοὺς τῶν λίθων πρὸς τὴν θύραν,
Καὶ τὴν βάλανον ἔμβαλλε πάλιν εἰς τὸν μοχλόν,
E Καὶ τῇ δοκῷ προσθεὶς τὸν ὅλμον τὸν μέγαν,
Ἀνύσας τι προσκύλιε. Οἰ. Ὤμοι δείλαιος.

Age fare qui ſis ô homo. PH. Nemo per Iouem.
BDE. Nemo ille cuias? PH. Ithacus ex Fugacia.
C *BD. At per Iouem ille faxo nullus gaudeas,*
Tu ſubtrahe illum protinam hem nequiſſimus
Quo clam ſubiuit? nempe ſubrumum putes
Pullum eſſe aſellæ qua viator inuehit.
PH. Ni me quietum mittitis, pugnabimus.
BD. Quæ cauſa pugnæ? PH. aſini vmbra, cauſa maxima.
BDE. Nequam, improbúſque es præter artem callidus.
D *PH. Mén improbum eſſe? túne ſolus neſcias*
Nunc me bonum eſſe? at noueris ſi fortè edas
Sumen forenſis pingue quod dederit ſenex.
BD. Agas tu aſellum, tu domi te contine.
PH. O cum Cleone iudices ſuccurrite.
BD. Quantum potes clama intus occluſa fore.
Tu ſaxa verò trude multa ad oſtium
Immitte clauam in peſſuli repagulum
E *Addenſque tigno grandius mortarium*
Aduolue cum labore. SO. me miſerum quid eſt?

Σχόλια. Οὖτις νὴ Δία.] ὅτι ὁ Ὀδυσσεὺς Οὖτις παρ' Ὁμήρῳ ἐκαλεῖτο. Ἀπὸ Δρασιππίδου.] πέπλακε τὸ ὄνομα ἀπὸ τοῦ ἀποδρᾶναι. ὥσπερ ἀπὸ φυλῆς ἢ ἀπὸ γένους φάσκων. Ἰνδάλλεται.] φαίνεταί μοι ὅμοιος εἶναι πώλῳ κλητῆρος. ἄλλως. οἱ γὰρ πῶλοι ὑποδύουσι τὰς μητέρας καὶ θηλάζουσιν. Πωλίῳ.] ἀντὶ τοῦ ὄνου ἢ ἡμιόνου, κλητῆρος εἶπε. πώλῳ ὑποκοριστικῶς. F κλητῆρες δὲ οἱ καλοῦντες εἰς τὸ δικαστήριον πάντας. σημαίνει δὲ ἡ λέξις καὶ τὸν μάρτυρα. Περὶ ὄνου σκιᾶς.] παροιμία ἐστὶν ἴσον τῷ περὶ μηδενός. ἔστι δὲ ἐπὶ τῶν τὰ ἀναίτια φιλονεικούντων. ἣν μετήνεγκε νῦν ὁ πρεσβύτης. ἔστι δὲ ἀπὸ τοιαύτης αἰτίας. φασί ποτε ἐν Ἀθήναις τινὰ δεηθέντα ὀνηλάτου, μισθώσασθαι ὄνον ἐπὶ τῷ τὰ φορτία βαστάσαι μόνον ἐπὶ τὰ Μέγαρα· τὸ δὴ οὕτω δόξαν αὐτοῖς ἐπιθέντες τὰ φορτία, ὥδευον. μεσημβρίας δὲ γενομένης, καὶ τῶν ὑπὸ καυμάτων σφοδρῶς αὐτοῖς ἐπικειμένων, οὐχ εὑρίσκοντες σκιάν, καθεῖλε τὰ φορτία ἀπὸ τοῦ ὄνου ὁ δεσπότης G αὐτῶν, καὶ δι' αὐτῶν ἑαυτῷ σκιὰν ἐποίησε. πρὸς ὃ μαχόμενος ὁ ὀνηλάτης, ἔλεγεν ὄνον μεμισθωκέναι ἐπὶ τῷ φορτία φορεῖν, οὐ σκιὰν παρέξειν. ὁ δὲ ἔλεγε μεμισθωκέναι ὅπως ἂν ὡς βούλοιτο χρῷτο. ἐκ δὲ ταύτης τῆς φιλονεικίας μηδὲν οὔσης, εἰς δίκας ἤδη κατηνέχθησαν. ὅθεν ἡ παροιμία. τῆς δὲ παροιμίας μέμνηται καὶ Μένανδρος ἐν τῷ Ἐγχειριδίῳ. λέγουσι δὲ ὅτι Δημοσθένης ὁ ῥήτωρ ἀπολογούμενος ὑπέρ τινος κινδυνεύοντος ἐν ἀντεχομένων τῶν δικαστῶν εἶπεν. ἀκούσατε ὦ ἄνδρες διηγήματος τερπνοῦ. νεανίσκος ποτὲ ὄνον ἐμισθώσατο, Ἀθήνηθεν Μέγαράδε. μεσημβρίας δὲ καταλαβούσης καὶ ἀναλύσας τὸν γόμον ὑπῆλθε τῇ σκιᾷ τοῦ ὄνου. ἐκβαλλόμενος δὲ ὑπὸ τοῦ ὀνηλάτου πρὸς βίαν, F διεφέρετο μεμισθῶσθαι καὶ τὴν σκιὰν λέγων. ἀντιλέγοντος δὲ τοῦ ὀνηλάτου καὶ φάσκοντος τὸν ὄνον μεμισθωκέναι, εἰς δικαστήριον ἦλθον ἀμφότεροι. εἰπὼν δὲ ταῦτα ὁ Δημοσθένης κατέβαινεν ἐκ τοῦ βήματος. ἀξιούντων δὲ τῶν δικαστῶν τῆς δίκης τὸ τέλος μαθεῖν, εἶπεν ἀναβάς· εἶτα ὑπὲρ μὲν ὄνου σκιᾶς ἀκούειν ὦ ἄνδρες ἐπιθυμεῖτε, ἀνθρώπου δὲ κινδυνεύοντος ὑπὲρ ψυχῆς οὐδὲ τὴν φωνὴν ἀνέχεσθε. ἄλλοι δὲ λέγουσιν ὅτι Ἀθήνηθεν εἰς Δελφοὺς τὸν ὄνον ἐμισθώσατο. ὅθεν φασὶ γενέσθαι G τὸν Δημοσθένην περὶ τῆς ἐν Δελφοῖς σκιᾶς εἰπεῖν. καὶ ὁ Πλάτων δὲ καὶ ἄλλοι πολλοί. καὶ Ἀρχίππου δὲ κωμῳδία γέγονεν ὄνου σκιά. τέτακται δὲ ἐπὶ τῶν περὶ μηδενὸς χρησίμου φιλοτιμουμένων.

CHRIST. Ἰθακὸς ἀπὸ Δρασιπποίδου] Fictitiū nomen ἀπὸ τοῦ ἀποδρᾶναι a fugiendo, tanquam à gente,

gente, populo aut tribu. Κλητῆρος ἐσ̓ πωλίῳ.] Pulli matrem equilam subeunt, & vbera sugunt, dixit autem πωλίῳ pro πώλῳ, ὑποκοριστικῶς, & κλητῆρα quem viatorem vel accensum dicimus, interdum vox testem designat, & quem licet antestari, vt ait Flaccus in Sermonibus. Περὶ ὄνου σκιᾶς] Historia de asini vmbra quæ iuit in Parœmiã satis est cognita; & eam habes apud Scholiastam Græcum latè descriptam, tum Demosthenis astutum inuentum super ea narratione, vt iudices audientes haberet in causa ciuis de vita periclitantis. Meminerunt huius Adagij Menander in Enchiridio, Demosthenes, Plato & alij. Scripsit & Archippus Comœdiã titulo ὄνου σκιᾶς. vsus verò Prouerbij venit in eos qui in re nihili ambitiosè certant. Hoc vno differunt scriptores in illa siue fabula siue historia, quòd ab agazone asinum iuueni mercede locatum aiũt cum sarcinis vt iter faceret ex Athenis in Megaridem, alij in Delphos.

Σχόλια. Πόῤῥω τέχνης.] ἀντὶ τῦ οὐκ ἀπὸ τέχνης τινὸς πονηρὸς εἶ. οὐδὲ ἀπὸ μελέτης. ἀλλὰ φύσει. παράσολος δὲ ἀντὶ τῦ οὐ γνήσιος. Ὅταν φάγῃς] ὅταν φησὶ τραφῇς ὑπ' ἐμοῦ ὑπογάστριον. ἀπὸ μέρους δὲ τὴν τροφὴν ἁπλῶς λέγει. ἢ ὅτι ὄνους ἤσθιον ἐν Ἀθήναις. καὶ τοὺς μισθοὺς λαμβάνοντες οἱ δικασταὶ ὠνοῦντο τὰ ὑπογάστρια. λείπει δὲ ἡ παρά. παρὰ γέροντα ἡλιαστικοῦ, ὅσα ἐκ τῆς ἡμετέρας σπουδῆς καὶ τέχνης. Ὑπογάστριον.] ἐπεὶ πωλάριον ἐμιμεῖτο ἐπὶ τῷ ὄνῳ, τὸ ὑπογάστριον πρὸς τοῦτο. ἐχρῶντο δὲ ἐν τοῖς ὀνείοις. ἀντὶ τῦ εἰπεῖν ὑπογάστριον ὄνου ἢ βοός, ἴσχεις γνῶναι ἄρεστόν με ὄντα εἰ καὶ μὴ νῦν με οἶδας. ἐπεὶ δικαστὴς ἦν, ἔστι γέροντος ἡλιαστικοῦ ἀντὶ τῦ ὄνου. Ὤθει τὸν ὄνον.] τὸ πρῶτον πρὸς τὸν οἰκέτην. τὸ δὲ δεύτερον πρὸς τὸν πατέρα. ὤθει σεαυτόν. Καὶ Κλέων] ἐπειδὴ δοκεῖ Κλέων μισθοὺς πορίζειν τοῖς δικασταῖς. Ὤθει σὺ πολλούς.] ἐπίθου ἐπίθες λίθους ἐπὶ τὴν θύραν ἵνα μὴ εὐκόλως ἀνοίγῃ.

CHRIST. Πονηρὸς εἶ] Haud, inquit, ab arte aut meditatione improbus es, sed natura. Est autẽ παράσολος, falsus, adulterinus, οὐ γνήσιος. Sed quum ait se ἄρεστον videtur adludere ad prandium. Ἀλλ' ἴσως ὅταν φάγῃς] Cùm, inquit, à me sene forensi, studioque & industria mea pastus fueris, tunc me non malum sed optimum censebis. Ludit autem in voce ὑπογάστριον quæ cibum omnem potissimum innuit, quia solebant vt plurimum Athenienses vesci visceribus asininis aut bouillis, sed quia senex ipse imitabatur pullum asinæ subrumum, propterea etiam ὑπογάστριον dixit. Notátque rectè Græcus Glossographus deesse particulam παρά, cum ait γέροντος ἡλιαστικοῦ, quod temerè dictum voluit pro ὄνου. Ὤθει τὸν ὄνον, καὶ σαυτόν] Existimat Græcus Scholiastes Bdelycleonem per hæc verba ὤθει τὸν ὄνον alloqui seruum vernam, & per illa, καὶ σαυτόν, alloqui patrem Philocleonem. Ego putem vtrunque rectè dirigi ad Philocleonem insidentem asino. Καὶ Κλέων ἀμύνατε] Iudices & Cleona in auxilium aduocat, tum quia φιλόδημος est, tũ quia Φιλοκλέων vocatur, quod videtur valere φιλόμισθος, quãdoquidẽ videtur Cleon iudicibus mercedem pendere solitus. Πολλοὺς τῶν λίθων] Multos, inquit, impone lapides ne possit ianuam facilè aperire, tum pessulum ferę obde, & trabi vel repagulo (δοκὸς est hic ἀντιβάτης) adiciens grande mortariũ, aduolue, nã vastitas mortarij arguitur ex verbo προσκυλίειν, vt scilicet quod baiulari nequit, sed deuolui.

Σχόλια. Καὶ τὴν βάλανον.] τὴν εἰς τὸν μοχλὸν βάλανον. ἔμβαλε εἰς τὸ πῆγμα. δηλονότι, κλεῖθρον τῷ κλειδίῳ. Καὶ τῇ δοκῷ.] ἐμβαλεῖν κελεύει τὴν δοκὸν τουτέστι τὸν ἀντιβάτην, πρὸς τὴν θύραν. αὐτῇ δὲ τῇ δοκῷ, τὸν ὅλμον. κατὰ φύσιν δὲ ἦν μᾶλλον εἰπεῖν, καὶ τὴν δοκὸν προσθείς. Προσκύλιε.] οὐκ εἶπε βάσταζε ἀλλὰ κύλιε, δηλῶν τὸ μέγεθος τοῦ ὅλμου, ὅν φησι κάτω πρὸς τῇ ἀρχῇ τῦ ἀντιβάτου προσθεῖναι.

Πόθεν ποτ' ἐμπέπτωκέ μοι τὸ βώλιον;
Οι. Ἴσως ἄνωθεν μῦς ἐνέβαλέ σοι ποθέν.
Οι. Μῦς οὐ μὰ Δί', ἀλλ' ὑποδυόμενός τις οὑτοσί,
Ὑπὸ τῶν κεραμίδων ἡλιαστὴς ὀροφίας.
Οι. Οἴμοι κακοδαίμων, στροῦθος ἀνὴρ γίγνεται.
Ἐκπτήσεται. ποῦ ποῦ 'στί μοι τὸ δίκτυον;
Σοῦ. σοῦ. πάλιν σοῦ. νὴ Δί' ἦ μοι κρεῖττον ἦν
Τηρεῖν Σκιώνην, ἀντὶ τούτου τοῦ πατρός.
Οι. Ἄγε νῦν ἐπειδὴ τουτονὶ σεσοβήκαμεν,
Κοὐκ ἔσθ' ὅπως διαδὺς ἂν ἡμᾶς ἔτι λάθοι,
Τί οὐκ ἀπεκοιμήθημεν ὅσον ὅσον στίλην;
Βδ. Ἀλλ' ὦ πόνηρ', ἥξουσιν ὀλίγον ὕστερον
Οἱ συνδικασταὶ παρακαλοῦντες τουτονὶ
Τὸν πατέρα. Οι. τί λέγεις; ἀλλὰ νῦν ὄρθρος βαθύς.
Βδ. Νὴ τὸν Δί' ὀψὲ γὰρ ἀνεστήκασι νῦν,
Ὡς ἀπὸ μέσων νυκτῶν παρακαλοῦντές γ' ἀεὶ
Λύχνους ἔχοντες, καὶ μινυρίζοντες μέλη,
Ἀρχαιομελησιδωνοφρυνιχήρατα.
Οἷς ἐκκαλοῦνται τοῦτον. Οι. οὐκοῦν ἢν δέῃ,
Ἤδη ποτ' αὐτοὺς τοῖς λίθοις βαλλήσομεν.
Βδ. Ἀλλ' ὦ πονηρέ. τὸ γένος ἦν τις ὀργίσῃ.

Vnde iste gleba decidit rudusculus?
XAN. Mus forsan aliquis è stega alta miserit.
SOS. Haud vllus est mus per Iouem, sed imbrices
Subsedit iste tegularis arbiter.
XAN. Hei mi misello, en factus hic passerculus
Homo auolabit, rectè quis dabit mihi?
Sus, apage, rursus, quàm velim seruarier
A me Scionam patris istius vicem.
SOS. Age ergo quando huic exitum impediuimus
Neque nos dolosè fallere euadens potest,
Quid nos vetabit paululum obdormiscere?
BD. Ast, ô scelesti, mox sodales iudices
Venient, & istum voce clamabunt senem.
SO. Quid aus? in alto nunc sumus diluculo.
BD. Ita me amet ille Iuppiter, nunc serius
Surgunt, sueti nocte de media prius
Me prouocare, cum lucernis carmina
Minurrientes Phrynicho Sidonia
Quibus hunc calabant. SO. ergo si necesse sit
Nos facilè in istos saxa coniecerimus.
BD. Atqui, ô scelesti, semper irritabile

Σχόλ. Τὸ βώλιον.] ἡ βῶλος ὑποκοριστικῶς. ἐν ὅσῳ δὲ ἕλκει ἐκ τῆς στέγης, ἔπεσε κατ᾽ αὐτοῦ μικρὸς λίθος. Οροφίας.] ἀντὶ τοῦ εἰπεῖν μῦς ὀροφίας. λέγονται μῦς ὀροφίαι καὶ ὄφεις, οἱ περὶ τὰς ὀροφὰς διάγοντες καὶ ταύτας κατατρώγοντες. Στρουθὸς ἀνὴρ γίνεται.] ἐπειδὴ ἀναπηδᾷ ὁ γέρων, ταῦτά φησιν ὁ οἰκέτης.

CHRIST. Ὀροφίας] Quia mures & serpentes dicuntur ὀροφίαι vel trabales quia nidulātur in trabium fastigiis, & eas rodere solent. στρουθὸς ἀνὴρ] Attractus è stega superiore senex, exultim ceciderat, propterea ait Verna, senem factum esse Passerem & velut euolasse, & voce abigenti passeres, ait σοῦ σοῦ. Nam sic aues solent σοβεῖσθαι.

Σχολια Σοῦ σοῦ.] ἀποσοβοῦσι τὸν γέροντα ὡς στρουθόν. ὡς εἰώθαμεν τὰ ὄρνεα σοβεῖν.

BISETVS Ἄλλως. σοῦ, σοῦ, φωναί, αἷς τὰ ὄρνεα ἀποσοβεῖν εἰώθαμεν ἴσως δὲ ἰσοδυναμοῦσι τῷ σεῦε. καὶ ἐν τῷ πληθυντικῷ σοῦσθε. σοῦ τοίνυν δηλοῖ τὸ σεῦε. καὶ μεθ᾽ ὁρμῆς ὅρμα, εἴτε ἄπελθε. Αἰσχύλος ἐν Ἑπτὰ ἐπὶ Θήβαις,

Ὁρμᾶσθε πάντες, σοῦσθε σὺν παντευχίᾳ.

ὁ δὲ νοῦς οὗτος. ὁ οἰκέτης τὸν γέροντα ἀποσοβεῖ, καὶ τῆς φυγῆς ἀποστρέφει. καὶ φεύγειν κωλύει. τὸ οὖν σοῦ, σημαίνει ἀφίστασο τῆς τοιαύτης πλήσεως, καὶ πλεονῆς φυγῆς· μὴ φεῦγε, ἀλλ᾽ ἐν τῇ ἡμετέρᾳ φυλακῇ μένε, καὶ ἀπὸ φυγῆς ἀπέχου. καὶ ἐν τούτῳ τῷ δράματι κάτω ὁ ποιητὴς λέγει,

Οὐχὶ σοῦσθ᾽ ἐς κόρακας; οὐκ ἄπιτε; παῖε τῷ ξύλῳ.

Σχόλια. Σκιώνην] Φιλόχορος ἐπὶ ἰσάρχου φησίν, πρὸ ἐνιαυτοῦ Βρασίδαν ἀποστῆναι Σκιωναίους τῶν Ἀθηναίων. Ἀθηναίους δέ φασι λ τριήρεις πρότερον πέμψαντας, Σκιώνην περιτειχίσαι ὕστερον δὲ μαθόντας ἀποστῆναι αὐτοὺς, ἀποστεῖλαι στρατὸν καὶ πολιορκῆσαι καὶ ἀποτειχίσαι αὖθις ὡς τὸ πρότερον. ἔστι δὲ χωρίον Θρᾴκης ποτὲ ὑπήκοον Ἀθηναίοις. ἣν ἐφρούρουν ἐπιεικῶς. ἣν πολιορκήσαντες ἀπετείχισαν. Αντὶ τούτου] ἀντὶ τοῦ πατρὸς τούτου. ἵνα ᾖ ὁ οἰκέτης λέγων περὶ τοῦ πατρὸς τοῦ Βδελυκλέωνος. Οὐδὲ στιλπνόν.] ὅτι σημαίνει τὸ ἐλάχιστον. Καλλίστρατος δὲ, νομισμάτιόν τι ἐλάχιστον. Ἀλλ᾽ ὦ πόνηροι] πρὸς τοὺς οἰκέτας τὸ, ὦ πόνηροι. Παρακαλοῦντες τουτονί.] ἀντὶ τοῦ ἐκκαλοῦντες. οὐχ ὡς ἐν τῇ συνηθείᾳ ἐπὶ τοῦ ἀξιοῦν. τοῦτο δέ φησιν εὐκαίρως βουλόμενος τὴν εἴσοδον τοῦ χοροῦ ποιῆσαι. ἐκ γὰρ φιλοδικῶν ἀνδρῶν συνέστηκεν.

BISETVS. Μινυρίζοντες] μινυὸν, τὸ μικρόν. μινυρίζειν, τὸ ὑφειμένως κλαίειν. νῦν δὲ μινυρίζοντες ἀντὶ τοῦ ᾄδοντες λαμβάνεται καταχρηστικώτερον. ἀλλὰ ταύτῃ τῇ λέξει ἴσως τὴν τῶν γερόντων ἀσθενείας ἔραν, καὶ οἱονεὶ στρηνητικὴν φωνὴν σημαίνει.

A CHRIST. Σκιώνην] Sciona vrbs in Thracia est è quinque illis quæ Pallenes sunt, vbi capto Ilio Achiui consedere cùm naues cremassēt (quod etiam fecerunt teste Plutarcho, cùm vento delatæ essent in Italiā circa Thybrim) Troades captiuę, vt memorat Stephanus. Eam vrbem muniuerant magno imposito præsidio Athenienses & magna cura custodiebant, sed belli Peloponnesiaci tempore, defectionem fecerunt Scionæi ad Brasidam ducem Lacedæmonium, qui tandē in eo bello di-

B micans cū Cleone interfectus est, mutua occisione, vt in irena fabula docuit Aristophanes. Scribit Philochorus Scioneam defectionē contigisse tēporibus Isarchi, quibus vt opinor, duces fuerunt Hippocrates & Demosthenes. Historiā de Scione habes sub finem lib. 4. Thucydidæ, præter quæ apud Melam reperies, de vrbis vetustate. Οὐδὲ στίλβην] Minutū nummi genus vult esse Callistratus στίλβην. Apud Sudam est πιλωτὸν puta lanæ titiul-

C litium vel floccum minusculum, latinè possumus efferre, ne floccum quidem vel potius ciccū, nam σίδιον est κόκκος ῥοιᾶς, imò & στίδιον si Hesychij codices nō sunt mendosi. Ἀλλ᾽ ὦ πόνηρ᾽ ἥξουσι] Scholiastes Græcus accipit pro ὦ πονηροὶ vt seruos suos alloquatur Bdelycleon. Sed legendū esset integrè, ὦ πονηροὶ ἥξουσιν vt collisio fieret τῆς οι diphtōgi & τοῦ η. Nam vt alterutrum elidatur, non puto ferri posse, & ne ad hoc cogamur melius puto, in singulari ὦ πονηρ᾽ pro ὦ πονηροὶ vt paulò post ait. Παρα-

D καλοῦντες] Pro ἐκκαλοῦντες dictum. Est autē hæc Parasceue ad chori ingressum quem cōponit ex senibus litigium amantibus & iudiciorum foriq; triconibus sub vesparum persona.

Σχόλια. Ἀρχαιομελησιδωνοφρυνιχήρατα.] παρὰ τὸ μέλι ὅπερ ἐστὶν ἡδὺ τὰ μέλη καὶ τὴν Σιδῶνα καὶ τοῦ Φρύνιχον. καὶ τὰ ἐρατὰ ἔμιξεν. ὅτι ἀρχαῖα μέλη Φρυνίχου ἐρατὰ καὶ ἡδέα. καθάπερ μέλι περιέχοντα τὸ τῆς Σιδῶνος ὄνομα. Φρύνιχος δὲ ἐγένετο τραγῳδίας ποιητής· ὃς ἔγρα-

E ψε δρᾶμα Φοινίσσας, ἐν ᾧ μέμνηται Σιδωνίων. τὰ δὲ μέλη εἶπε διὰ τὴν γλυκύτητα τοῦ ποιητοῦ. ἄλλως. ὅτι δι᾽ ὀνόματος ἣν καθόλου μὲν ὁ Φρύνιχος ἐπὶ μελοποιΐᾳ. μάλιστα δὲ τὸ ἐκ Φοινισσῶν αὐτοῦ τό· καὶ Σιδῶνος προλιπόντα τὸν ναόν. ἢ Σιδώνιον ἄστυ λιπόντα. πεποίηται δὲ ἡ λέξις, παρὰ τὸ ἀρχαῖον καὶ τὸ μέλος. καὶ τὸ σιδών. καὶ τὸ Φρύνιχος, καὶ τὸ ἐρατόν. Ἀρίσταρχος δέ φησι γεγενῆσθαι, ἀπὸ τοῦ μέλι καὶ τοῦ Σιδῶνος. καὶ τοῦ Φρυνίχου καὶ τοῦ ἐρατοῦ.

Τὸ τῶν γερόντων ἔθνος ὅμοιον σφηκιᾷ.
Ἔχουσι γὰρ καὶ κέντρον ἐκ τῆς ὀσφύος
Ὀξύτατον. ᾧ κεντοῦσι καὶ κεκραγότες
Πηδῶσι. καὶ βάλλουσιν ὥσπερ φέψαλοι.
Οἰ. Μὴ φροντίσῃς. ἐὰν ἐγὼ λίθους ἔχω.
Πολλῶν δικαστῶν σφηκιὰν διασκεδῶ.

F *Genus est senectæ, qualiter vespæ solent*
Nam strictum acumen pendulum è lūbis gerunt
Quo lancinant pungunt[q]; clangunt, saltitant
Ictúmque mittunt, vtque stricturæ micant.
So. Hanc pone curam, saxa sint modo, ilicet
Tot dissipabo iudicum vespariam.

Σχόλια. Ὅμοιον σφηκιᾷ.] ἀντὶ τοῦ σφηκώδεις εἰσὶ καὶ κεντρώδεις. ἐν σχήματι γὰρ σφηκῶν εἰσάγονται. Ἐκ τῆς ὀσφύος] ὅτι ἐν σχήματι σφηκῶν εἰσάγει τὸν χορὸν, προβαλλόμενα ἐκ τῆς ὀσφύος κέντρον τι ὀξύτατον. πεποίηκε δὲ τοῦτο διὰ τὸ τοὺς γέροντας καὶ τοὺς δικαστὰς ὀξυχόλους εἶναι καὶ δίκην σφηκῶν τιτρώσκειν τοῖς λόγοις.

CHRIST. Ἀρχαιομελησιδωνοφρυνιχήρατα] Verbū cōpositū ex quinque vocibus senariū integrū efficiēs, quo antiqua & amabilia, Sidoniaque carmina Phrynichi laudat qui Tragicus poeta fuit, fabulámque Phœnissarū nomine docuit, vbi Sidoniorū meminit, itaque ex ἀρχαίου μέλους (vel vt Aristarchus voluit μέλιτος) σιδῶνος, Φρυνίχου, & ἐρατοῦ facta vna dictio. Hinc autem videtur Euripides

G Phryxū. 2. inchoasse, σιδώνιον ποτ᾽ ἄστυ κάδμος ἐκλιπὼν Ἀγήνορος παῖς ἦλθ᾽ ἐς Θήβας πέδον, & trito velut Prouerbio ansam præbuisse γλυκερὰ σιδώνια. quod & recensuit Hesychius. Κέντρον ἐκ τῆς ὀσφύος] Aculeū in lūbis more vesparū fingit inesse senibus iudicibus, quia eorū natura est ὀξύχολος, difficilis & querula, vt ait Horatius, & quorum verba vulnerant.

ΧΟΡΟΣ

A

ΧΟΡΟΣ ΓΕΡΟΝΤΩΝ ΣΦΗΚΩΝ. ΠΑΙΔΕΣ.

Bisetus. Οἱ τοῦ χοροῦ σφηκῶν ἔχοντες σχῆμα τὴν πάροδον ποιοῦνται, καὶ ἀλλήλοις ἐγκελεύονται πρὸς τὸ σπεύδειν εἰς τὸ δικαστήριον.

B

Στροφὴ στίχων ιη.

Χο. Χώρει. πρόβαιν' ἐρρωμένως. ὦ Κωμία. βραδύνεις;
Μὰ τὸν Δί' οὐ μέντοι πρότερόν γ'. ἀλλ' ἦσθ' ἱμὰς κύνειος.
Νυνὶ δὲ κρείττων ἐστὶ σου Χαρινάδης βαδίζειν.
Ὦ Στρυμόδωρε Κονθυλεῦ. βέλτιστε συνδικαστῶν.
Εὐεργίδης ἆρ' ἐστὶ που 'νταῦθ' ἢ Χάβης ὁ Φλυεύς; C
Πάρεσθ' ὃ λοιπόν ἐστ' ἔτι, ἀππαπαῖ. παπαῖ. παπαιὰξ
Ἥβης ἐκείνης ἡνίκ' ἐν Βυζαντίῳ ξυνῆμεν,
Φρουροῦντ' ἐγώ τε καὶ σύ. κᾆτα περιπατοῦντε νύκτωρ
Τῆς ἀρτοπώλιδος λαθόντ' ἐκλέψαμεν τὸν ὅλμον.
Κᾆθ' ἥψαμεν τοῦ κορκόρου, κατασχίσαντες αὐτόν.
Ἀλλ' ἐγκονῶμεν ἄνδρες. ὡς ἔσται Λάχητι νυνί.
Σίμβλον δέ φασι χρημάτων ἔχειν ἅπαντες αὐτόν D
Χθὲς οὖν Κλέων ὁ κηδεμὼν ἡμῖν ἐφεῖτ' ἐν ὥρᾳ
Ἥκειν ἔχοντας ἡμερῶν ὀργὴν τριῶν πονηράν.
Ἐπ' αὐτὸν ὡς κολουμένους ὧν ἠδίκησεν. ἀλλὰ γὰρ
Σπεύδωμεν ὦνδρες ἥλικες, πρὶν ἡμέραν γενέσθαι.
Χωρῶμεν. ἅμα τε τῷ λύχνῳ πάντη διασκοπῶμεν. E
Μή που λαθών τις ἡμᾶς ἐμποδὼν κακόν τι δράσῃ.

Chorus senum crabronum. Pueri.

CH. *Procede firmo Comia gressu, quid usque lentus es?*
Atqui ante robur crudũ erat tibi, velut caninum
Lorum: ipse nunc te vicerit Charinades eundo
O Strumodore Conthuleu flos iudicum meorum.
Euergides hic verò ubi est? ubi & Chades Phluensis?
Quod restat ex nobis adest, calente qui iuventa
Byzantij olim contubernales eramus: euge
Custodias fraxantibus nobis, silente nocte
Dum fœminæ panaria furamur ambulantes
Pilam, & coquentes corchorum per frusta dissecamus.
Sed ô viri confestim eamus, namque ius Lacheti
Dicetur illi quem ferunt pecuniarum habere
Plenum alueum: Curator ergo nos Cleon ad illum
Maturè adesse iussit, atque iram trium dierum
Acerbam habere, ut illius delicta puniantur.
Verùm ô coæui actutùm eamus antequam dies sit.
Et undecunque cum lucerna perspicaciore
Cernamus, ut ne quis malum nobis paret latenter.

Σχόλια. Ὦ Κωμία βραδύνεις.] ἀντὶ τοῦ ἐβράδυνας εἰς τὸ δικαστήριον ἐλθεῖν. οἱ τοῦ χοροῦ δὲ ἀλλήλοις ἐγκελευόμενοι, τὴν πάροδον ποιοῦνται. ὄνομα δὲ γέροντος ὁ Κωμίας. καὶ ἴσως πεποίηται παρὰ τὴν κώμην. κυνέειος δὲ, εὔζωνος καὶ ἰσχυρός. Χαρινάδης δὲ ὄνομα γέροντος. Κονθυλεῦ.] Κονθύλη δῆμος Ἀττικῆς τῆς Πτολεμαΐδος φυλῆς, ἢ Πανδιονίδος. Χάβης.] οὕτως Ἡρωδιανὸς ἐν τῷ ... τῆς καθόλου παροξύνεται τὸ ὄνομα διὰ τοῦ β, Χάβης. τὸ δὲ, Φλυεὺς ἀπὸ δήμου. Πάρεσθ' ὃ δὴ λοιπόν.] ὃ ἔτι ὑπόλειπον ἡμῶν ἥκομεν. ἔστι τὸ λοιπὸν καὶ τὸ λείψανον τῆς ἥβης ἡμῶν πάρεστι. τοῦτο δ' ἐπειδὴ ... τὴν πορείαν ἐποιοῦντο. Τῆς ἀρτοπώλιδος.] παρ' ὑπόνοιαν τοῦ ἴδιον εἰπεῖν, τοὺς πολεμίους ἐχειρωσάμεθα ἢ λόχον τινὰ ἐπειρίσαμεν. Τὸν ὅλμον.] ξυλίνου ὄντος τοῦ ὅλμου. καὶ Ἡσίοδος. ὅλμον μὲν τριπόδην τάμνειν. G ἄλλως. ὅλμον τὸ μαγειρικὸν ἐργαλεῖον καὶ ὁ τρίπους τοῦ Ἀπόλλωνος. καὶ ὁλμειὸς στρογγύλος λίθος εἰς ὃν κόπτουσιν ὄσπρια καὶ ἄλλα τινά.

Christ. Χώρει] Hic chorus Senum Stropham facit quæ decem & octo versus Iambicos Tetrametros & Catalecticos continet, & vocatur Melos Choricum Proodicum. Est autem Comias, Comica persona & proprium senis nomen ut & Charinades, deducit Scholiastes ἀπὸ τῆς κώμης, sed possumus etiam ἀπὸ τοῦ κώμου. quasi veternosum innuat. Ἱμὰς κυνέειος] Fortè & robustum lorum vocat caninum, & constat caninas pelles in commendatione antiquitus fuisse, quibus F capitis tegimina & περικεφαλαίας faciebant, unde eas κυνέας dixerunt, proinde ut è felibus vel mustelis Galeas. Κονθυλεῦ] Conthyla populus vel vicus fuit Atticæ ex tribu Pandionide, quam videtur Scholiastes aliter vocare Ptolemaidem, sed hoc nomine non memini ullam tribum dictam. Ὅλμον] Ligneum vas, veluti tripes, vel mortarium, erat ὅλμος in quod tundebant olera & legumina. Dicitur etiam ὁλμειὸς lapis teres & rotundus, eundem præstans usum. Hesiodus dixit ὅλμον μὲν τριπόδην τάμνειν.

Σχόλ. Τοῦ κορκόρου.] πρὸς τὸν Λυκόφρονα, κόρκορον λέγοντα ἰχθύδιόν τι. ἢ πάτην) δὲ ὥς φησιν Ἐρατοσθένης. ἔστι γὰρ

λάχανόν τι ἄγριον καὶ εὐτελὲς ἐν Πελοποννήσῳ. ὡς καὶ ἡ παροιμία. καὶ κόρκορος ἐν λαχάνοις. τὸ δὲ κατασχίσαντες αὐτὸν τὸν ὅλμον δηλονότι. οὐ γὰρ τὸν κόρκορον. Ὡς ἔσται Λάχητι νυνί.] ἡ δίκη ἢ τιμωρία ἢ τοιοῦτόν τι. τοῦτο δέ φησιν ὡς τοῦ Κλέωνος εἰς δίκην ἐπαγαγόντος τὸν Λάχητα. στρατηγῆσαι δὲ αὐτόν φησι Δημήτριος πρὸ τριῶν ἐτῶν εἰς Σικελίαν πεμφθέντα μετὰ νεῶν Λεοντίνοις βοηθήσοντα. οἱ δὲ περὶ τὸν Φιλόχορον διαδέξασθαι αὐτόν φασι Σοφοκλέα καὶ Πυθόδωρον οὓς καὶ φυγῇ ζημιωθῆναι. εἰκὸς γοῦν μεταχληθῆναι αὐτὸν ἐπὶ τὴν κρίσιν, ἧς νῦν ὁ κωμικὸς μνημονεύει. Σίμβλον δὲ φασι.] σίμβλον κυρίως εἰσὶν αἱ θῆκαι ἔνθα αἱ μέλισσαι ἀποτίθενται τὸ μέλι. ὡς τοῦ Λάχητος δὲ τὰ δημόσια σφετερισαμένου, καὶ πλουτήσαντος. Χθὲς οὖν Κλέων.] καθ' ἐπιταγὴν δὲ τοῦ στρατηγοῦ καὶ οἱ δικασταὶ ἐκαλοῦντο. ὥρα δὲ νῦν, οὐχ ὁ καιρός. ἀλλὰ ταχέως. Ἡμερῶν ὀργὴν τριῶν.] παρὰ τὸ κηρύττεσθαι σιτία ἡμερῶν τριῶν τοῖς στρατιώταις ἔπαιξε, κολουμένους δὲ, κατ' αὐτοῦ κολάζοντας.

CHRIST. Κἀτ' ἥψαμεν τοῦ κορκόρου] Corchorus vile est genus oleris quem officinæ Seplasiorum autumant esse chamæpityn, me non astipulante. Lycophron Grammaticus aliique vile genus pisciculorum velut Hippurum hoc nomine notari censent, sed potior est sentẽtia Eratosthenis aliorúmque ad olus referentiũ. Nam Prouerbium est quod etiam recenset Hephæstion inter Anapæsticas Coronides κόρχορος ἐν λαχάνοισι de iis dictum qui in ordinem redigendi obrepunt tamen & se numero meliorum ascribunt. Meminit Erasmus Adagij, & hunc locum laudans exponit Attigimus corchorum, quam interpretationẽ nõ possum probare, nam ἅπτομαι potius quã ἅπτω est tango: itaque vel ἥψαμεν est vrere & accendere, vel ligare. Sanè enim ἱψάναι dicuntur αἱ διαιρεσεῖς τῶν λαχάνων. sed neque ἥψαμεν malè esset, vt si coximus Corchorũ quia ἕψω idẽ quod ἕψησα. Putem autẽ hic per κόρκορον allusum ad saucitatem quæ κόρος. sed id quod ait Scholiastes κατασχίσαντες αὐτὸν, intelligi de mortario nõ corchoro, nõ fit mihi verisimile, malimque de scisso corchoro & inter se partito intelligere, qua ratione dicitur scindere in mẽsa. Nam cui bono furari quod ruptum velis & scissũ? Λάχητι νυνί] Subaudiendum δίκη vel τιμωρία. Nam Lachetem in ius vocauit Cleõ. Notat autem Scholiastes Græcus ex Demetrio hunc Lachetem missum cum nauibus ducẽ ab Atheniẽsibus vt Leontinis quos Siculi opprimebãt, auxilium ferret, & successisse Lacheti Sophoclẽ & Pythodorum ait ex Philochoro, qui ambo tandẽ multati sunt exsilio. Sed præstat historiã ex Thucydide cognoscere qui lib. 3. & 4. Lachetẽ Melanopi & Charæadem Euphiletę duces missos cum imperio 20 nauium in Siciliam scribit, vbi occiso Charęada Laches solus fuit Imperator. Deinde Lachetis imperio successit Pythodorus Isolochi F. vide ergo illic Principem historicum. Σίμβλον] Metaphora sumpta à cellis apũ quæ parcę sunt. innuit Lachetẽ ex iniqua parsimonia, & peculatu publici æris inuidẽdas opes cõparasse. Sed interea non parcit Cleoni, qui pecuniarũ potius amore quã iuris & æqui Lachetẽ dãnatũ velit, vt dixit Satyricus, Quicquid in æquore magnum est, res fisci est. Hic autem dictũ ἐν ὥρᾳ pro ταχέως. Ἡμερῶν ὀργὴν.] Crudelitatem & vindictę atque adeo auaritię animũ notat in Cleone qui iudices sibi obnoxios acuat ad præiudiciũ, simul mores seniles depingit qui iram non facilè coquant neque αὐθήμαρ, sed tres integros dies cũ libidine nocendi litem præiudicãt. Alludit autem ad edicta Athenis proclamari solita, vt ituri in bellũ milites cibaria sibi pararent quæ satis essent ad tres dies. Notanda interim vox rara κολουμένους quæ hoc loco nihil aliud est quàm κολάζοντας vel ἐπικόπτοντας, atque haud scio an alibi reperiatur in hoc significatu.

Παῖ. Τὸν πηλὸν ὦ πάτερ πάτερ τουτονὶ φύλαξαι.
Χο. Κάρφος χαμᾶθεν νυν λαβὼν, τὸν λύχνον πρόβυσον.
Παῖ. Οὐκ. ἀλλὰ τῳδί μοι γ' ἐνυῶ δοκῶ τὸν λύχνον προβύσειν. (ὠθεῖς;
Χο. Τί δὴ μαθὼν, τῷ δακτύλῳ τὴν θρυαλλίδ'
Καὶ ταῦτα τοὐλαίου σπανίζοντος ὦ 'νόητε σύ.
Οὐ γὰρ δάκνει σ' ὅταν δέη τίμιον πρίασθαι.
Παῖ. Εἰ νὴ Δί' αὖθις κονδύλοις νουθετήσεθ' ἡμᾶς,
Ἀποσβέσαντες τοὺς λύχνους, ἄπιμεν οἴκαδ' αὐτοί.
Κἄπειτ' ἴσως ἐν τῷ σκότῳ τουτουὶ στερηθεὶς,
Τὸν πηλὸν ὥσπερ ἀτταγᾶς τυρβάσεις βαδίζων.
Χο. Ἦ μὴν ἐγὼ σοῦ χ' ἀτέρους μείζονας κολάζω.
Ἀλλ' οὑτοσί μοι βόρβορος φαίνεται πατοῦντι.
Κοὐκ ἔσθ' ὅπως οὐχ ἡμερῶν τεττάρων τὸ πλεῖστον
Ὕδωρ ἀναγκαίως ἔχει τὸν θεὸν ποιῆσαι.
Ἔπεισι γοῦν τοῖσι λύχνοις οὑτοιὶ μύκητες.
Φιλεῖ δ' ὅταν ᾖ τοῦτο, ποιεῖν ὑετὸν μάλιστα.

Pv. At istud ô pater pater iam lutum caueto.
CH. Quin stramine accepto leui præferas lucernam. (*lucernam.*
Pv. Non non, sed indice hoc facul præferam
CH. Quid hoc malum? digitum tuum trudis in lucernam?
Præsertim in ista, stulte tu, raritate olivi,
Parumque curas carius si mihi indicatur.
Pv. Si pergitis sic per Iouem nos monere pugnis
Exstinguimus lychnos statim, simul domum redimus
Deinde lucis indigus, forsan in tenebris (*dimus*
Lutum ambulans turbaueris Attagenis instar.
CH. Castigo sæpe plurimos téque grandiores.
Sed incitum gradum ferenti hoc lutum videtur.
Iam mira certè res fiet, ni Iouem necesse est
Per quattuor dies aquam plurimam supernè
Emittere, hinc fungi putres obsident lucernas,
Hoc cùm fit, imbres ingruunt largiter cadini:

Σχόλια. Ὦ πάτερ πάτερ] παρέπονται αὐτοῖς παῖδες καὶ πιθανῶς. ἵνα ἡ ὀρχήστρα πληρωθῇ. παῖς δέ τις προηγούμενος μετὰ λύχνου προεωρακὼς πηλόν. τὸ δὲ μέτρον ἐντεῦθεν ἤλλαξεν. ἔστι γὰρ μικτόν, συντεθὲν ἔκ τε ἰαμβικοῦ τριμέτρου ἀκαταλήκτου, καὶ ἰθυφαλλικοῦ, ὁ δὲ ἰθύφαλλος τροχαϊκὴν συζυγίαν ἔχει διμέτρου βραχυκατάληκτον. τουτέστι τρεῖς τροχαίους. Κάρφος χαμᾶθεν] ἐν κάρφει γὰρ ἠρέμα τις προμύσσει. πρὸς τοὺς παῖδας δέ φησι τοὺς προσιμῶντας αὐτόν. Ἀλλὰ τῳδί μοι.] δεικτικῶς τῷ λιχανῷ δακτύλῳ. προβύσσειν δὲ, εἰς τὸ ἔμπροσθεν βαλεῖν τὸ ἐλλύχνιον. Τί δὴ μα-

δὴ μαθών] ὡς τοῦ παιδὸς τῷ δακτύλῳ ἀνασπωμένου τὸ ἐλλύχνιον. καὶ ἐν τούτῳ ἐλαίου ἐκχυθέντος, εἰς τὸν πρεσβύτην. ὃς καὶ πατὴρ τοῦ παιδὸς ἀγανακτήσας, κονδύλους αὐτῷ δίδωσιν. Εἰς τὸ αὐτό.] ἀντὶ τοῦ εἰπεῖν δίδωσιν αὐτῷ κόνδυλον.

CHRIST. Τὸν πηλὸν ὦ πάτερ πάτερ] Inducuntur pueri senum vt orchestram pleniorem faciant, quorum vnus prælucet patri, & præuisum lutum monet cauere. Mutatur autem hic genus carminis superioris, in aliud carmen mixtum ex Dimetro (malè apud Scholiastā Græcum habes τριμέτρῳ) Iambico, & Ithyphallico, versus autem Ithyphallicus constat συζυγίᾳ Trochaica, id est tribus Trochæis & vocatur Dimetrum Brachycatalectum vt κάρφεται γὰρ ἤδη. Sic enim docet Hephæstion atque hoc genere versus habes sequētes viginti quinque. Κάρφος χαμάθεν.] Vel lege χαμαὶ vt sit Iambus non Anapæstus, vel dele τὸ σύ. Sed & in illis σὺ τουτὶ φύλαξαι, omnino expungēdum σὺ vt versibus istis suus adsit modulus. Nā superiores decem & octo omnes sunt Tetrametri Iambici Catalectici, reliqui 25. Iambo Trochæi. Οὐκ ἀλλὰ τωδί] Hoc inquit digito, facilè lychni fomitem producam vt clariùs luceat, προβύσειν Scholiastes ait esse εἰς τὸ ἔμπροσθεν βαρεῖν τὸ ἐλλύχνιον. sed & idem incertam facit lectionē cum ait ἠρέμα προμύσσειν, vt facile esse τὸ μ in β iamdudum monuimus. In vtrauis voce sensus hic quadrabit. nā προβύσειν erit τὴν μύξαν ὠθεῖν. Sed delendum putem μοί γε, vt constet versus. Τί δὴ μαθὼν τῷ δακτύλῳ τὴν θρυαλλίδ' ὠθεῖς] Ellychnium vocat θρυαλλίδα, quia antiqui ἐκ τοῦ θρύου faciebant ellychnia, est autem θρύον vt aiunt folium ficus, sed puto fuisse vel φλόμον, vel ϛυπεῖον. Fortassis autem cum ait δακτύλῳ, respexerit ad nomē ipsius herbæ quæ θρυαλλὶς vel λυχνὶς dicitur. Nam etiam vocatur Digitalis. Vetus Glossarium non ita pridem editum à doctiss. H. Stephano, testatur θρυαλλίδα esse Flomum, Hesychius verò Flomum herbam quæ vsum lychni præbebat. Sed vrit me pruritus emendandi, & nescio quo modo malim hic legere τί δὴ παθὼν non μαθών. Quin etiam versu sequenti ὦ 'νόητε σύ, audebo delere τὸ σὺ tanquam παρέλκον ad versus mensuram.

Σχόλια. Οὐ γὰρ δάκνει σ' ὅταν δέῃ] οὐ γὰρ λυπεῖ σε τὸ ἔλαιον πολλῆς τιμῆς πιπρασκόμενον. οὐ γὰρ αὐτὸς ἀγοράζεις. πατρὸς δὲ υἱὸς σμικρολογεῖ. Ὥσπερ ἀτταγᾶς] ὁ ἀτταγᾶς ὄρνεόν ἐστι τερπόμενον ἐν ἕλεσι, καὶ πηλώδεσι τόποις καὶ τέλμασιν. ὃν ἡμεῖς φαμὲν ἀτταγῆνα. Τυρβάσεις.] ἀντὶ τοῦ ταράξεις. ὁ δὲ ἀτταγᾶς, ὄρνεόν ἐστιν εὑρισκόμενον ἐν τοῖς ἕλεσι, καὶ τερπόμενον ἐν τοῖς πηλώδεσι τόποις. Οὗτοι μύκητες.] φασὶν ὅτι ὑετοῦ μέλλοντος γίνεσθαι, οἱ περὶ τὴν θρυαλλίδα τοῦ λύχνου σπινθῆρες ἀποπηδῶσιν. οὓς μύκητας νῦν λέγει. ὡς τοῦ λύχνου ἐναντιουμένου τῷ νοτερῷ ἀέρι. καὶ Ἄρατος. ἢ λύχνοιο μύκητες ἐγείρονται περὶ μύξαν, νύκτα κατὰ χειμερίην. τινὲς δέ φασι τὸν μύκητα ζωΰφιόν τι εἶναι λεπτότατον πάνυ σκνιπὶ ἐοικός. ὃ δι' ὑπερβολὴν λεπτότητος τὴν ψύξιν τὴν περὶ τὸν ἀέρα θᾶττον ἀντιλαμβανόμενον περὶ τὸν λύχνον ἵπταται θέρμης ἐπιθυμοῦν. καὶ προσκρούειν ἐν τῷ λύχνῳ ποιεῖ σπινθῆρας. ὅθεν τεκμαίρονται τὸν ὑετόν. καὶ Καλλίμαχος. ἄδδην ἐγένοντο μύκητες.

CHRIST. Ὥσπερ ἀτταγᾶς] Quia hæc auis in puluere volutatur, & palustria loca & cœnosa colit, neque altiuola est imò sæpè præ grauitate & alarum breuitate sua capitur, eam Aristoteles lib. 9. de Historia animalium κονιϛικὸν vocat cū Perdice, Phasiano, Gallina & Cassita, Athenæus Aristotelem recensens lib. 13. Dipnosoph. πολύτεκνον vocat & σπερμολόγον, & ἀτταγᾶν nō ἀτταγηνὸν dicendum censet. Cæterū suauissimum cibum esse ex Comici huius nostri Ciconiis Fabula probat, qui scripsit ἥδιστον ἐψεῖν ἀτταγηνῶν κρέας. Auis est paulò maior perdice, quam Itali Francolinā vocant. quidam putant eam esse quam nos dicimus Canepetiere, habet enim plumas multicolores, ita vt ansam dederit Erasmo Prouerbij tollendi quod ad seruina κατάϛικτα, & notis inusta ille retulit, præter aliud quod ex Suda affert Attagenum nouilunium. De Attaga meminit postea Aristophanes in Auibus, eūque vocat ποικιλόπτερον. Φιλεῖ δ' ὅταν ᾖ τουτί] vt versus cōstet legebā ὅτ' ᾖ, sed malo ὅταν τοῦτ' ᾖ, id est cum fungi vel potius (vt ait Plinius) imagines fūgorū scintillāt circa lychnos, vt dixit Maro, Scintillare oleū & putres concrescere fungos, quod vetus Glossarium explicat ψαφαρὰς κομμεῖναι quod verbū quid sit nescio, & fortassis ἀμανίτας legendū in illo glossario, quo nomine censentur fungi. Aiunt enim scintillas illas exsiliētes circum ignē lucernarum quas μύκητας vocant indicia esse ingruentis pluuiæ, quia lucernæ ignis reluctatur humido aëri, vnde Aratus in διοσημείοις ait ἢ λύχνοιο μύκητες ἀγείρονται περὶ μύξαν. & Callimachus αὐτ' ἂν λυχνοῦ δαιομένου ἄδδην ἐγένοντο μύκητες, vide Theonē in Aratū. Alij μύκητα accipiūt pro animalculo minutissimo quod σκὶψ vel σκνὶψ vocatur, quódque præ tenuitate extrema corpusculi statim ab aëris frigore oppressū volitat (est enim τετράπτερον) circū lychnos, & caloris est appetēs, facitque appulsu suo scintillas imbris scilicet præsagia. Agathias Scholasticus sic amatoriū Epigrāma orsus est μήποτε λύχνε μύκητα φέροις μηδ' ὄμβρον ἐγείροις. Hinc & Apuleius, 2. Milesia, Pamphilē sagam quæ ex vespertina lucerna imbrē prænuntiabat vocat grādē lucernæ Sibyllā. Cōtra autem tubera illa quæ μύκαι vel μύκητες vocātur ab imbre generātur, & nomen inde mutuantur τοῦ ὕδατος.

Δεῖται δὲ καὶ τῶν καρπίμων ἅττα μή 'στι πρώϊμα,
Ὕδωρ γενέσθαι κἀπιπνεῦσαι βόρειον αὐτοῖς.
Τί χρῆμ' ἄρ' οὐκ τῆς οἰκίας τῆσδε συνδικαστὴς
Πέπονθεν. ὡς οὐ φαίνεται δεῦρο πρὸς τὸ πλῆθος.
Οὐ μὴν πρὸ τοῦ γ' ἐφολκὸς ἦν. ἀλλὰ πρῶτος ἡμῶν
Ἡγεῖτ' ἀείδων Φρυνίχου. καὶ γάρ ἐστιν ἀνὴρ

Quin arborum fructus aquā primuli expetessūt
Mox inde sudum spiritum Borrealis aura.
Quid huius incola domus iudici sodali
Quid accidit? qui non adest densæ huic cohorti?
Praire nobis qui prius nō sequi solebat?
Cātāt mele quæ Phrynichus scripsit, est enim ille

Σχόλ. Δεῖται δέ.] ἐμφαίνει διὰ τούτων τὸ γεωργικὸν ἦθος τοῦ ὄχλου δεικνύων ὅτι μέλει αὐτοῖς τῶν καρπίμων.

CH. Ἅττα μή 'στι πρώϊμα] Dissyllabum oportet esse πρώϊμα, si quidem rationem volumus habere metri, vel potius elidendū est τὸ α propter sequentem vocalē πρώϊμ' ὕδωρ. Fructus autem primos sic vocat τὰ πρώϊμα vel τὰ πρῶτα τῶν καρπίμων. Neque putem aliūde accersendum Latinæ vocis etymon πρώϊμα Prima. Hic tamen intelligenda τὰ πρώτως πέπονα, & πρόωρα, primùm maturescentia,

Ἐφολκὸς ἦν.] ἐφολκὶς κυρίως λέγεται ἡ λέμβος, ἤτοι ἡ μικρὰ ναῦς ἡ ὑφ' ἑτέρας μεγίστης νεὼς ἑλκομένη, διὰ βραδυτῆτα. φησὶ γοῦν κἀνταῦθα. ὅτι οὐχ ὑπό τινος ἑλκόμενος ἐξήρχετο. ἀλλὰ πρῶτον ἡγεῖτο ἡμῶν. νυνὶ δὲ τί παθὼν οὐκ ἐξέρχεται.

CHRIST. Κἀπιτηδεῦσαι βόρειον] Boreali aſpectu gaudere arbores multas & lætiſſimas fieri traditum eſt ab antiquis, ſed quod Neoterici Philoſophi præceptum hoc generale fecerunt inter quos Cardanus, meritò pulſantur à magno Magiſtro Iul. Cæſ. Scaligero. Nam ſecũdum regionem & ſitum iuuant aut nocent venti. Hic ego censeã τὸ βόρειον Aquilonem eſſe ventum ſudificum, & lætum, non eum qui gelidas molitur niues vt dixit

A vetus poeta. Denique pro Zephyro, qui genitabilis eſt, accipiendum quique comite gaudet Chloride quę quia incrementa facit arborum, etiam Zephyritis dicitur. Ἐφολκὸς ἦν] Solebat inquit primus eſſe & ſedem in foro occupare, nõ autem vt nunc in poſtremis eſſe. Quod vitioſum & pudendũ fuiſſe vel ex ludo pueril patet, de quo Horat. dixit, occupet extremum ſcabies, vbi (vt & hoc obiter dicam) notanda ἀντίθεσις. occupare extremum, quaſi ſit φθάνει τὸ ἔσχατον. Sumpta verò tralatio eſt à lembo vel minori nauigio, quod ἐφολκίδα vocabant quia à tergo attrahebatur propter tarditatem, à maiore naui & celoce.

B

Φιλῳδός. ἀλλά μοι δοκεῖ, στάντας ἐνθάδ' ὦ ἄνδρες,
Ἄδοντας αὐτὸν ἐκβαλεῖν, ἦν πως ἀκούσας
Τοῦ μοῦ μέλους, ὑφ' ἡδονῆς ἐξερπύσῃ θύραζε.

Vir Muſicæ artis multum amans: cenſeo ergo vt hicce
Stantes canamus, ô viri. forſan ille cantum
Noſtrum audiens eliminet gaudio excitatus:

C

ΧΟΡΟΥ ΜΕΛΟΣ.

Τί ποτ' οὐ πρὸ θυρῶν φαίνετ' ἄρ' ἡμῖν
Ὁ γέρων. οὐδ' ὑπακούει. μῶν ἀπολώλεκε τὰς ἐμ-
βάδας, ἢ προσέκοψε ἐν τῷ σκότῳ τὸν δάκτυλόν που.
Εἶτ' ἐφλέγμηνεν αὐτῷ τὸ σφυρὸν γέροντος ὄντος.
Καὶ τάχ' ἂν βουβωνιῴη; ἦ μὴν πολὺ δριμύτατος
Γ' ἦν τῶν παρ' ἡμῖν. καὶ μόνος οὐκ ἂν ἐπείθετο.
Ἀλλ' ὁπότ' ἀντιβολοίη τις κάτω κύπτων ἂν οὕτω
Λίθον ἕψεις ἔλεγεν. τάχα δ' ἂν
Διὰ τὸν χθεσινὸν γ' ἄνθρωπον, ὃς ἡμᾶς διεδύετ'
Ἐξαπατῶν, καὶ λέγων ὡς φιλαθήναιος ἦν. καὶ
Τὰ ν Σάμῳ πρῶτος κατείποι. διὰ τοῦτ' ὀδυνηθεὶς,
Εἶτ' ἴσως κεῖται πυρέττων.
Ἐστὶ γὰρ τοιοῦτος ἀνήρ. ἀλλ' ὦ 'γάθ' ἀνίστασο,
μηδ' οὕτω
Σαυτὸν ἔσθιε, μηδ' ἀγανάκτει.
Καὶ γὰρ ἀνὴρ παχὺς ἥκει τῶν προδόντων
Τὰ 'πὶ Θρᾴκης. ὃν ὅπως ἀρχωνεῖς, ἐγχυτρεῖς.

CHORI MELOS STATARIVM.

Qvid ita ante fores ipſe ſenex nec
Reperitur nec inauditur? forſitan aut ſoleas per-
Diderit, digitum aut ſilẽte nocte impegerit quã
Et caſnari arſerit calcaneum in rubrum tumorem:

D *Aut dolet fortaſsis inguen, Sane ille longe acerrimus*
Noſtri ordinis vir, ſolus ad omnia pertinax.
Si quis eum obſecret ne indicet, tum reclini
Capite aiebat, Abi, lapidem
Coquis: an quia verò heſternus homo effugerit aſtu
Iudicium, & dixerit ſe vrbis amicum Atticæ, tum

E *Res Sami primus reuelet, ideo cruciat ſe*
Nunc cubans in febre forſan
Quippe ſic noui virum illũ: verùm ô bone, ſurge age, nec mæſtum
Sic tuum cor edas, neque te angas,
Namque opulentus homo en venit tibi qui
Thraciam prodidit, hunc quo modo multes, vide.

F

Σχ. Στάντας.] πρὸ τῶν θυρῶν τοῦ Φιλοκλέωνος στάντες οἱ τοῦ χοροῦ, τὸ στάσιμον ᾄδουσι μέλος. τῶν γὰρ χορικῶν μελῶν, τὰ μέν ἐστι παρῳδικά, ὡς τὸ δέκατον ἔτος... φίλαι ἀρθῶμεν φανεραί. καὶ τὸ προειρημένον ἐνταῦθα. χώρει πρόβαινε ἐρρωμένως. τὰ δὲ στάσιμα, ὡς τὸ παρόν. καὶ παρ' Αἰσχύλῳ στένω σε τᾶς οὐλομένας τύχας Προμηθεῦ. τὰ δὲ, προῳδικά. τὰ δὲ μεσῳδικά. τὰ δὲ ἐπῳδικά. περὶ ὧν προείρηται τίνος χάριν οὕτω καλοῦνται. τὰ δὲ ἐξῳδικά. ἢ ὑποχωρητικά, ἅπερ ἐπὶ τῇ ἐξόδῳ τοῦ δράματος ᾄδεται, ὡς ἐν τῷ Πλούτου δράματι. τὸ οὐκέτι νῦν γ' εἰκὸς μέλλειν οὐδ' ἡμᾶς ἀλλ' ἀναχωρεῖν εἰς τοὔπισθεν. δεῖ γὰρ κατόπιν τούτων ᾄδοντας ἕπεσθαι.

Καὶ κοινωνῶν τῶν ἀρχόντων ἑτέρῳ τινὶ τῶν μεθ' ἑαυτοῦ	*Et serior adsit: quòd si quis reus illi munera donet,*
Ἤν τις τι διδῷ τῶν φευγόντων ξυνθέντε τὸ πρᾶγμα δύ' ὄντε,	*Facit ex Archontibus vnum participem: sic res ab vtroq;*
Ἐσπουδάκατον. κᾆθ' ὡς πρίον' ὁ μὲν ἕλκει, ὁ δ' ἀντενέδωκεν.	E *Componitur omnis: & instar serræ reciprocat vnus & alter:*
Σὺ δὲ χασκάζεις τὸν κωλακρέτην. τὸ δὲ πραττόμενόν σε λέληθεν.	*At tu quæstori inhias. & clàm te sunt hæc putida facta.*
Φι. Ταυτί με ποιοῦσ'; οἴμοι τί λέγεις; ὥς μου τὸν θῖνα ταράττεις,	PH. *Ain' hæc illos facere? ah quid ais? hei mi, mea pectora turbas,*
Καὶ τὸν νοῦν μου προσάγεις μᾶλλον. κοὐκ οἶδ' ὅ, τι χρῆμά με ποιεῖς.	*Facis vt magis aduortam animum, exspecto quò me deniq; coges.*
Βδ. Σκέψαι τοίνυν γ' ὡς ἐξόν σοι πλουτεῖν καὶ τοῖσιν ἅπασιν	F BD. *Viden' ergo vt cum facile esset tibi & aliis ditescere vestris*
Ὑπὸ τῶν αἰεὶ δημιζόντων, οὐκ οἶδ' ὅποι ἐγκεκύκλησαι.	*Turba Oratorum plebiuorûm spacijs te includit iniquis:*
Ὅς τις πόλεων ἄρχων πλείστων, ἀπὸ τοῦ Πόντου μέχρι Σαρδοῦς	*Qui multis vrbibus imperitans, à Ponto Sardiniam vsq;*
Οὐκ ἀπολαύεις πλὴν τοῦθ' ὃ φέρεις ἀκαρῆ, καὶ τοῦτ' ἐρίῳ σοι	*Nihil emolumenti præter tres obolos fers, idq́; vt oliuum*

Σχόλια. Χαιρέου υἱός.] ὅτι οὐδὲ γνήσιος πολίτης. τὸν γὰρ Χαιρέαν Εὔπολις ἐν Βάπταις, ὡς ξένον κωμῳδεῖ. τρυφερανθεὶς ἀντὶ τοῦ μαλακῶς σταθεὶς τὸ τριώβολον οὐ κομιεῖται. ὡς ἔθους ὄντος, πρός σημεῖόν τι ἐγκείμενον, ἀθροίζεσθαι τοὺς δικαστάς. ἐν ἤθει δὲ ταῦτα. Αὐτὸς δὲ φέρει τὸ συνηγορικόν.] ὑπὲρ τοῦ συνηγορῆσαι. ἐλάμβανον γὰρ οἱ ῥήτορες δραχμὴν, ὅτε συνηγόρουν ὑπὲρ τοῦ πό- G λεως ἢ ὑπὲρ ἄλλου τινός. ἐκ τούτου δὲ φαίνεται ὅτι μισθοφόρος ἦν ἡ ἀρχή. κληρωτοὺς δὲ γενομένους δέκα συνηγόρους Ἀριστοτέλης φησίν. Κᾆθ' ὡς πρίονα.] ὡς οἱ πρίζοντες διαφειλονεικοῦσι τίς πρὸς ἑαυτὸν ἑλκύσει. Σὺ δὲ χασκάζεις.] ἀντὶ τοῦ ἐπιτηρεῖς πότε ἔλθῃ ὁ κωλακρέτης καὶ ἐνέγκῃ σοι τὸ τριώβολον, κωλακρέτης δὲ καλεῖται, ὁ κατέχων τὰ χρήματα τῆς πόλεως, ὁ ταμίας τοῦ δικα-

στικοῦ

ςικῦ μισθῦ ϗ τῆς εἰς θεοὺς ἀναλωμάτων. νόμος ᾗ ἦν τὸ ὑπολειπόμενα τῆς θυσίας τοὺς ἱερέας λαμβάνειν. α' ὑσπ ὅτι δέρματα ϗ κωλᾶ. ἐπιτηρεῖς φησὶ τὸ ταμίαν, πότε τὸ μισθὸν λήψῃ.

CHR. χαρέας υἱός] Chęreas Comica videtur fuisse persona (certè ex Eunucho Terentij apparet) hinc puto sumpta vel ex Eupolide qui in Βάπταις fabula Chæream vt inquilinum exagitat, cuius natus hic perstringitur non solùm vt illegitimus ciuis, sed vt puer meritorius & cinædus. Ceterùm B hinc constat signum olim fuisse datum, ad quod cogerentur iudices, post quod non licebat ingredi & merces non procedebat. Τὸ συνηγορικὸν] Patroni & causidici atque adeò Rhetores drachmā olim accipiebant pro stipendio diurno cùm patrociniū susceperant ciuitatis alicuius aut ciuis. Erat autem magistratus annuus & mercenarius τῶν συνηγόρων, qui decem erant sorte lecti vt docet Aristot. Hæc merces vel munus (sanè non castigandum vt apud Romanos postea factum est per legem munciale à C Cincio latam, deinde Traiani tempore animaduersum in Thuscillio Nominato, qui auctore Plinio in Epist. sex millia nummûm acceperat vt Veicetinorum legatis adesset, tum mille denarios vt abesset. Postremò nostris temporib. in quibusdam patronis me iudice vindicandum propter pretij immanitatem) dicebatur σύνηγορικόν, vt iudicantiū τριώβολον. i. semidrachma qui sunt duo Romani sestertij, quę pecunia ex publico tribuebatur. At verò quod vocabatur δικαστικὸν dabatur τοῖς ἡλιασταῖς qui D sedebant pro tribunali magni fori quod Heliæam (quia subdialis erat) dicebant. hoc ex veterib. Grāmaticis liquet, & inde vix maximus Budæus expiscatus est quæ ampliùs docuit in Poster. in Pand. Adnotationib. Legerem autem paulò post, ὁ μὲν ἀνέλκει non simpliciter ἕλκει. Non enim aliter pōt suis metris constare versus Aristophanicus. Festiuè autem vtitur similitudine ducta à fabris qui serrā grandiorem ducunt & reducunt infra sup à pe. vt E robur aliquod secent. Χασκάζεις τὸ Κωλακρέτην] Tu autem, inquit, interim inhians Quęstori stipendia iudicibus exsoluenti, non aduertis quę illi patrant. Κωλακρέτης dictus ἀπὸ τοῦ κώλης Quæstor nempe publicarum & diuinarum pecuniarum, etsi quidam tantùm præfuisse iudicialibus stipendiis volunt. Aristophanes Grammaticus scripsit eos non solùm quæstores fuisse τῦ δικαστικῦ μισθῦ, sed etiam quæ in cultum deorum necessariæ erant solitum impēsas facere. Interpres Græcus sub. Auiū Androtionem citat hæc scribentem, τοῖς δ' ἰοῦσι Πυθώδε θεωροῖς, τοὺς κωλακρέτας διδόναι ἐκ τῶν ναυκληρικῶν ἐφόδιον ἀργύρια, ϗ εἰς ἄλλο ὅτι ἂν δέῃ ἀναλῶσαι. i. Theoris Pythonem profecturis Colacretas dare (sub. iubet) in viaticum pecunias ex nautica re, tum vt necessarias alias facerent impensas. Quib' verbis colligitur, fuisse ipsos quæstores publici ærarij quādo etiam τὸ ναυκληρικὸν exigebant: dictos tamen verisimile ἀπὸ τῶν κωλῶν, quia quæ ex sacris victimis reliqua erant (pelles puta & κωλᾶ) ea illi accipiebant tanquā ἱερεῖς, & fortassis inde κωλακρέται quasi κωλαγρέται, collectores re i ipiarum.

Σχ. Τὸν θῖνα ταράξεις] ἐκ βάθους με κινεῖς, ἀντὶ τῦ τὴν καρδίαν. Εὐφρόνιος ᾗ ἐσημειῶσθαι φησιν, ὅτι τὸ θῖνα ἀρσενικῶς εἴρηκεν. παρέλαβε ϗ θὶς ἐν βάθει τὸ πελάγους κεῖται, ϗ τὸ θυμικὸν ἐν τῇ καρδίᾳ. Κοὐκ οἶδ' ὅτι χρῆμα] εἰς τί με διαθήσεις. τοῦτο δὲ φησιν ὡς ἤδη καὶ δεδοικὼς, ὅτι ἐπὶ ξίφος τὸ τῆς δημηγορίας ἦν αὐτῷ. Δημιζόντων] τῶν τὸν δῆμον ἀπατώντων. ἐγκυκλεῖται ᾗ μεταβάλλεται. Πλὴν τουθὶ ὁ φορεῖς] τοῦτο ὁ φορεῖς ἱμάτιον. τὸ ᾗ ἀκαρῆ ἐπίρρημα ἀντὶ τῦ βραχὺ ϗ ὀλίγον. Καὶ τοῦθ' ἐρίῳ] ἀπὸ μεταφορᾶς τῶν τὰ ὦτα ἀλγούντων, καὶ δι' ἐρίῳ ἐπιστάζομένων ἔλαιον κατὰ βραχύ. ἐκ γὰρ τῦ τριωβόλου φερόμενοι ϗ εἰς κατασκευὴν ἱματίου θησαυρίζοντες ὀλίγον, διὰ πολλῦ χρόνου μόλις συνάγουσι τὴν πλήρη τιμὴν τοῦ ἱματίου.

CHR. τὸν θῖνα ταράξεις.] i. penitus mihi animū turbas, & cor profundum mihi moues. θὶς vel θὶν à θείνω quod est pulso, non solū est littus, sed & τὸ βάθος τῆς θαλάσσης, vt dixit Plaut. Rud. Qui à fundamento mihi mouisti mare quod Hippocrates diceret πυθμενόθεν. Itaq; vt θὶν ἐν τῷ βάθει τῆς θαλάσσης, sic in corde situ est τὸ θυμικόν. Notat Euphron. vt ait Scholiast. hoc loco θῖνα in genere masculino cū fœminino soleat efferri, sed sciendum ipsū Homerum vsum sic esse, πολὺς δ' ἀμφ' ὀστεόφιν θὶς in Vlyss. lib. μ. Ceterū distingue post δημιζόντων non post ἅπασι. Hoc enim vult, Quum tibi & omnibus reliquis iudicibus facilè fuisset rem facere, tamen nescio quo modo, circūuentiris ab istis populi assentatoribus. Τουδὶ ὁ φέρεις ἀκαρῆ] Breue, inquit, quod geris & miserandum pallium vix habes reliqui è tuo lucello: Atque id illi paulatim tibi velut cum lana infundunt: Ducta hæc Metaphora est ab iis qui Parotidum malo laborant, & quibus cū minuto lanæ flocculo oleū in aures funditur. Sensus est, tātulam esse mercedem triū obolorū vt ad cōparādum amictum vix quicquā cōparare possit vel spatio tēporis q̄ sufficiat ad pretiū emptionis.

F

Ἐπάζουσι κατὰ μικρὸν ἀεὶ τὸ ζῆν ἕνεχ' ὥσπερ ἄλευρον.
Βούλονται γάρ σε πένητ' εἶναι. ϗ τούτων ἕνεχ' ἔρρωσο.
Ἵνα γινώσκῃς τὸν τιθασευτήν. κᾆθ' ὅταν οὗτός γ' ἐπισίζῃ,
Ἐπὶ τῶν ἐχθρῶν τιν' ἐπιρρύξας, ἀγρίως αὐτοῖς ἐπιπηδᾷς.
Εἰ γὰρ ἐβούλοντο βίον πορίσαι τῷ δήμῳ, ῥᾴδιον ἦν ἄν.

Paullatim instillant, ad victum vix sufficiente farina:
Te namque volunt inopem esse simulq; valentem: scilicet vt sic
Altorē gratis blādū agnoscas, qui si vocis acuta
Signo fortè maleuolos inimicos presseris, ilicet illis
G *Ferus insultas: Quin facilè erat his victum prabere popello:*

Σχόλια. Ὥσπερ ἄλευρον.] ἡ εἰκὼν ἀπὸ τῶν σφόδρα ἀσθενούντων. οἱ γὰρ κατὰ μικρὸν βουλόμενοι βάλλειν, ἐρίῳ ἐνστάζουσι. Τιθασευτήν.] ἐν σχήματι τὸ μέτριον. τὸ θεραπευσιδασον ϗ τρέφοντα καὶ κολακεύοντα. Ἐπισίζῃ] Αὐτὸ ζώων ϗ οἱ περὶ Ἐρατοσθένη τὸ ὑφαφιέναι τοὺς κυνάς, ἐπισίζειν. ἀπὸ τῆς ἐπιφθέγξεως σοῦ, ἐπισίζειν, καὶ τὸ ἐπιρρύξας ἐφορμῆσαι ὁμοίως τῇ φωνῇ.

Christ. Τούτων ἕνεχ' ἔρρωσο.] Non capio horum verborum sensum, sed neque numeri sibi cōstāt. lego (donec aliud quid meli' nouerim) ἀπέστ

ἐῤῥῶσθαι pro ἐῤῥῶσθαι. volunt inquit te pauperem esse & propterea valere, nisi mauis ἐῤῥῶσθαι pro οἰμώζειν vt dicitur ἐῤῥῶσθαι εἰπὼν, & Latini sic valere, vt Cat. Illus: Cum suis viuat valeátque mœchis. Sed quia in fab. Pluto: Paupertas ait facere se fortes & robustos, fortassis huc respexit cùm ait πίνητα εἶναι καὶ ἐῤῥῶσθαι. Τὸν τιθασευτὴν] Metri gratia vnicum est ε, nam vulgare est τιθασεύειν, Innuit aũt Cleonem Demagogum. Sunt autem verba ἐπισίζειν & A ἐπιῤῥύζειν incitationis & inuasionis, & ficta à duabus literis σ & ρ, vt apud Æschylum ἐπαΐζειν ab inclamatione ω Lycophron & Eratosthenes grãmatici veteres laudati à Scholiasta, dicunt ἐπισίζειν esse (puta cum sibilo) canes dimittere, & ἐπιῤῥύζειν irruere cum voce. Sic enim canes iritati & incitati ringunt primum, deinde latratu premunt hostem vel feram, & diriter insultant, propterea dixit ἀγρίως ἐπιπηδῶσι.

B

Εἰσὶν γε πόλεις χίλιαι, αἳ νῦν τὸν φόρον ἡμῖν ἀπάγουσι.
Sunt vrbes innumeræ quæ nobis nunc adferre tributa

Τούτων εἴκοσιν ἄνδρας βόσκειν εἴ τις προσέταξεν ἑκάστῃ,
Solitæ: si quis viginti hominum cuique alimenta imperet vni

Δύο μυριάδες τῶν δημοτικῶν ἔζων ἐν πᾶσι λαγῴοις.
Gemina ex nostro populo myrias potuisset viuere lautè

Καὶ στεφάνοισιν παντοδαποῖσιν, καὶ πύῳ, καὶ πυαρίτῃ.
Inter lepores & lac pressum omnigenis ornata coronis.

C Ἄξια τῆς γῆς ἀπολαύοντες, καὶ τοῦ 'ν Μαραθῶνι τροπαίου.
Regione velut dignum est ista, Marathoneisq. triumphis:

Νῦν δ' ὥσπερ ἐλαιολόγοι, χωρεῖθ' ἅμα τῷ τὸν μισθὸν ἔχοντι.
At nunc viles vt oliuilegæ ad mercedem curritis illam.

ΦΙ. Οἴμοι. τί ποθ' ὥσπερ νάρκη μου κατὰ τῆς χειρὸς καταχεῖται,
PH. Hei mi, quid hoc est? mea quod manus hæc veluti torpore ligatur

Καὶ τὸ ξίφος οὐ δύναμαι κατέχειν. ἀλλ' ἤδη μαλθακός εἰμι.
Iam nec gladium retinere queo, eneruatæ sunt mihi vires.

ΒΔ. Ἀλλ' ὁπόταν μὲν δείσωσ' αὐτοὶ, τὴν Εὔβοιαν διδόασιν
BD. Vbi verò istos timor accendit, tum non promittere parcunt D

Ὑμῖν, καὶ σῖτον ὑφίστανται κατὰ πεντήκοντα μεδίμνους.
Eubœam nobis, & quinquaginta spondere virium

Πορίσειν. ἔδοσαν δ' οὐ πώποτέ σοι, πλὴν πρώην πέντε μεδίμνους.
Modios frumenti, quamuis nunquam tibi nisi quinque dederunt.

Σχόλια. Πόλεις χίλιαι] ἀντὶ τοῦ πολλαί. τῷ ἀπηρτισμένῳ ἀριθμῷ δὲ ἐχρήσατο. ἢ καὶ ἀπὸ ἱστορίας τὸ τοσοῦτον ἔλαβεν. Δύο μυριάδες.] ἐκ τούτου φαίνεται ὅτι τοσοῦτον ἀριθμὸν τῶν Ἀθηναίων πλῆθος προΐσταται. καὶ Δημοσθένης γάρ φησιν, εἰσὶ δ' ὁμοῦ δισμύριοι πάντες Ἀθηναῖοι. Εν πᾶσι λαγῴοις] ἐν ἀγαθοῖς πᾶσι. τοῦτο γὰρ δηλοῖ τὸ ἐν πᾶσι λαγῴοις. ἀντὶ τοῦ ἐν τρυφῇ. Καὶ πύῳ καὶ πυαρίτῃ] πυαρίτης τὸ πυαρίφθον ὑπό τινων προσαγορευόμενον. ὃ κατασκευάζουσιν ἐκ τοῦ πρώτου γάλακτος μετὰ τὸν τόκον δαινύμενοι, καὶ ἐμπιπλάμενοι πυαρίτην. ὅθεν λιτὸν ἔδοξε, πύον μὲν εἶναι τὸ πρῶτον γάλα οὕτως λαμβανόμενον. πυριάτην δὲ τὸ ἑφθὸν γάλα. ὁ δὲ Παλαμήδης, τὸ αὐτὸ λέγων εἶναι γράφει. ἔθος δὲ τοῖς ποιηταῖς, ταῖς ἀλλήλαις λέξεσιν ἰδιωματικαῖς χρῆσθαι.

Bisetus. Εὐστάθιος δὲ πυὸν ὀξυτόνως, καὶ ἀρσενικῶς καλεῖ. πυός, φησιν, ὀξυτόνως καὶ ἀρσενικὸν γένος, καὶ πύαρ, ὅ ἐστι τὸ πιότατον τοῦ γάλακτος, ὅθεν καὶ πυαρίτης, τὸ καὶ πύριεφθον, ἐδώδιμόν τι, ὃ γίνεται ἐκ πρώτου γάλακτος. Ἀριστοφάνης ἐν Εἰρήνῃ, Ην δὲ πυός τις ἔνδον, καὶ λαγῷα λίπαρα. ἐκεῖ δὲ τὰ σχόλια ταύτην τὴν λέξιν οὕτως ἑρμηνεύει. τὸ πρῶτον γάλα, ὃ καὶ ὁ δόμενον πήγνυται. καὶ ἡμεῖς χυτείτην λέγομεν. τὸ μεταβεβληκὸς αἷμα, τὸ γαλακτῶδες ὑγρόν. γάλα νέον μετὰ χθεσινοῦ γάλακτος ἀμελχθέν. οἱ δὲ πύος παροξυτόνως γράφουσιν, ὡς καὶ ἐνταῦθα ὁρῶμεν. ἀπὸ δὲ τοῦ πύαρ δ' ἐστὶν ἐκ τοῦ πύαρ ταυτὸ σημαίνοντος τῷ πύος, γίνεται πυαρίτης. ὡς ἀπὸ τοῦ κρίβανος κριβανίτης ἄρτος καλούμενος. καὶ τοῦτο ἀναλογώτερον, καὶ πιθανώτερον ἢ τὸ πυριάτης. τὸ δὲ τῶν παλαιῶν σχόλιον ἐξάμετρον οὕτω χαπλέον δοκεῖ.

πύον δαινύμενοι, καὶ ἐμπιπλάμενοι πυαρίτην.

Christ. Πόλεις χίλιαι.] Putat Scholiastes mille positum pro multis. Non puto, Itaque potius amplector quod addit ἢ ἀπὸ ἱστορίας τὸ τοσοῦτον ἔλαβεν. Dixit autem propriè φόρον, sic enim vo- E cabatur tributum ciuitatibus indictum, quod ipsi ferre tenebantur, ἀπάγουσι positum pro ἐπάγουσι, quamuis ipsum ἀπάγειν rectum est & deportationem notet à loco ad locum. Δύο μυριάδες.] Rectè numerum subducit, atque hinc apparet τὸ χίλιαι in propria significatione accipiendum non pro πολλαί, Nam si mille ciuitatum vna quæque viginti populares alat, necesse est popularium numerum excurrere ad viginti mil- F le, quæ, vt arbitror, sunt duæ Myriades. Quem numerum, non esse verum videtur autumare Scholiastes, quia Demosthenes dixerit, εἰσὶ δ' ὁμοῦ δισμύριοι πάντες Ἀθηναῖοι, quod fortassis de vrbe ipsa Athenis intelligendum. Dixit autem ἐν πᾶσι λαγῴοις, pro in deliciis & bonis omnimodis, vt videatur inter quadrupedes lepus fuisse in prima commendatione, quod Martialis postea dixit.

G Καὶ πύῳ, καὶ πυριάτῃ.] Sunt qui distinguant hæc duo vt πύος sit τὸ πρῶτον γάλα, & vt ait Galenus, τὸ μετ' ἀποκύησιν ἀμελχθὲν, quod sic Martialis vocat quum scribit, De primo matrum lacte colostra damus, πυριάτης autem lac coctum quod & πυαρίεφθον dicitur. At Palamedes grammaticus hæc duo eadem facit & ἐν παραλλήλῳ.

Σχόλια.

Σχόλια. Τοῦ 'ν Μαραθῶνι] ἐκεῖ γὰρ οἱ Ἀθηναῖοι ἐνίκησαν τοὺς Μήδους. Ἐλαιολόγοι.] εὐτελεῖς γὰρ οἱ τὰς ἐλαίας μισθοῦ συνάγοντες. Καὶ τὸ ξίφος οὐ δύναμαι] ὥσπερ ὁ Μενέλαος. τοῦτον γάρ φασιν ὁρμήσαντα ἐπὶ τὴν Ἑλένην ἀποβαλεῖν τὸ ξίφος. ἡ δὲ ἱστορία, παρ' Ἰβύκῳ καὶ Εὐριπίδῃ. παίζει δέ, ὅτι τὸ ξίφος ἥττησε, καὶ ὁρᾷ ἑαυτὸν κατακρατηθέντα. Αὐτοῖ, τὴν Εὔβοιαν] οἱ ῥήτορες τῷ λόγῳ καὶ τὴν Εὔβοιαν διδόασιν. ἄλλως. τὴν Εὔβοιαν φασὶν αὐτοὶ κατανενεμηκέναι ἡμῖν. καὶ κλῆρον ἑκάστῳ μεδίμνων ἐν τοιούτῳ σχήματι εἴρηκεν.

CHRIST. Μαραθῶνι τρόπαιον.] Nam in Marathone magnus ille Medorum exercitus fusus est, & victores Athenienses trophæa sustulere. Καὶ τὸ ξίφος.] Menelaus cùm stricto gladio post captam Ilion Helenam vlcisci vellet, repressit impetum vbi nudatum pectus aspexit, & gladium posuit, imò aiunt illum visa nuda, vt ait poeta, periisse Lacæ... Historiam hanc scripserat olim Ibycus, deinde & Euripides in Andromacha, quod & ad illam

A Tragœdiam & ad huius Comici Lysistratam notauimus. Huc ergo respexit hic Comicus magnus adlusor & interpolator veterum Tragicorũ. Τὴν Εὔβοιαν διδόασιν] Similis modus loquendi vt apud Maronem in Bucolicis: Tum Phaetontiadas musco circundat amaræ Corticis, atq; solo proceras erigit alnos. i. canit erectas fuisse in alnos. Sic etiã hic ait illos δημαγωγοὺς Eubœam tribuere, quia promittunt insulam illam opulentis vrbibus nobilem præcipuè Carysto & Chalcide (vt ait Mela)

B sub ditione populi Atheniensis futuram, ita vt viritim vnicuiq; daturi sint quinquaginta medimnos; cùm tamen in frumenti inopia quinque tantum ordei medimnos tribuerint, idq; paulatim & κατὰ χοίνικα. Est autem Medimnus mensura siccorum quæ quadraginta octo continet modios. Chœnix autem est semodius, sextarium Gaza vertit, qui quatuor panes facit, toto die sufficientes vni viro.

Καὶ ταῦτα μόλις ξενίας φεύγων
Ἔλαβες κατὰ χοίνικα κριθῶν.
Ὧν εἵνεκ' ἐγώ σ' ἀποκλείων ἀεί,
Βόσκειν ἐθέλων καὶ μὴ τούτους
Ἐγχάσκειν σοι στομφάζοντας.
Καὶ νῦν ἀτεχνῶς ἐθέλω παρέχειν
Ὅ,τι βούλει σοι
Πλὴν κωλακρέτου γάλα πίνειν.

Atq; id per demensa pusilla
C *Vix persuasi te indigenam esse:*
Ideo inclusum semper ego habui
Ad hoc vt te alerem, neu ridiculus
Talibus esses vana professus.
Et nunc certum est præbere tibi
Quæcunq; petas
Nisi Quæstoris solitum lac.

Σχ. Ξενίας φεύγων] τοιοῦτον ἐστὶ παρόσον ἐν ταῖς διανομαῖς τῶν πυρῶν ἐξήταζον τὸ πικρῶς εἰ γνήσιοι πολῖται. ἢ μή. ὥστε δοκεῖν ξενίας φεύγειν εἰς κρίσιν καθισταμένους. φησὶν οὖν ὁ Φιλόχορος αὖθις ποτέ, τετρακισχιλίους ἑπτακοσίους ξ' ὀφθῆναι παρεγγράφους. καθάπερ ἐν τῇ προκειμένῃ λέξει δεδήλωται περὶ τὴν Εὔβοιαν. δύναται δὲ καὶ αὐτὰ συνάδειν ταῖς διδασκαλίαις. φέρουσι γὰρ ἐπὶ ἄρχοντος Ἰσάρχου ἐστρατεῦσαν ἐπ' αὐτὴν ὡς Φιλόχορος. μή ποτε δὲ περὶ τῆς Αἰγύπτου δωρεᾶς ὁ λόγος. ἣν Φιλόχορος Ψαμμήτιχον πέμψαι τῷ δήμῳ ἐπὶ Λυσιμαχίδου μυριάδας. πλὴν τὰ τοῦ ἀριθμοῦ, οὐδαμῶς συμφωνεῖ. ἑκάστῳ δὲ Ἀθηναίῳ πέντε μεδίμνους. τοὺς γὰρ λαβόντας, γενέσθαι μυρίους τετρακισχιλίους διακοσίους μ'. ἄλλως. σιτοδείας ποτὲ γενομένης ἐν τῇ Ἀττικῇ, Ψαμμήτιχος ὁ τῆς Λιβύης βασιλεύς, ἀπέστειλε σῖτον Ἀθηναίοις αἰτήσασιν αὐτόν. τῆς δὲ διανομῆς γενομένης τοῦ σίτου, ξενηλασίαν ἐποίησαν Ἀθηναῖοι καὶ ἐν τῷ διακρίνειν τοὺς αὐθιγενεῖς, εὗρον καὶ ἑτέρους τετρακισχιλίους ἑπτακοσίους ἑξήκοντα ξένους παρεγγεγραμμένους. τοῦτο οὖν φησί, καὶ ἐν τῷ ἐρευνᾶσθαι μόλις ἔλαβες πέντε μεδίμνους, ἐγκαλούμενος ὡς ξένος. καὶ τούτους οὐδ' ὑφ' ἓν ἐν συντομίᾳ, ἀλλὰ κατὰ μέρος, κατὰ χοίνικα, οὐδὲν διαφέροντος τοῦ σίτου κριθῶν ὡς κακοῦ σίτου διανεμηθέντος. ὡς λιμοῦ γενομένου, καὶ τῶν ξένων διακριθέντων, τουτέστι δοκιμαζομένων εἰ πολίτης ἐστὶν ἢ μή.

CHR. Ξενίας φεύγων.] Postulatus peregrinitatis tanquam ciuis non legitimus sed ascriptitius. Sunt qui putent hæc referri ad Ægypti donationem, nã teste Philochoro (scriptor hic vetustus fuit Cycni filius ἱεροσκόπος qui libros decem & septẽ scripserat de Attica) cùm caritas annonæ & frumẽti inopia Athenienses premeret, impetrarunt à Psammetico (qui rex fuit Libyæ, regnauitq; in Ægypto per 54. annos, & Syriæ vrbẽ Azotũ per 28. auctore Herodot. annos obsessam, tandẽ expugnauit & cepit) magnã frugum copiam, quúmq; numerum ciuiũ recenserent, coacti sunt recurrere ad ξενηλασίαν, nã peregrinorum numerus erat 4760. at ciuium & indigenarum qui singuli quinque medimnos ac-

D ceperunt, numerus recensetur 14240. Hic ergo Bdelycleon ait patri Philocleoni, vix ipsum euicisse vt ciuis censeretur. Existimo autem illis temporibus grassatam nobilem illam pestem de qua Thucydid. & Lucret. scribunt (sunt enim λοιμὸς & λιμὸς sæpè σύν τε δύ' ἐρχομένω) quæ ex Æthiopia vel Ægypti finib. primum orta (etsi Ægyptios omniũ hominum sanissimos fuisse Herodot. ait, quia illic tempora nõ mutãt, & auctore Hippocrate αἱ μεταβολαὶ τῶν ὡρέων τίκτουσι νοσήματα) inuasit Atticam

E regionem post Persas.

Σχ. Στομφάζοντας] ἐπ' ἔργῳ γελῶντας καὶ στομφάζοντας τὸ ἀλαζονεύεσθαι. σύνθετος δὲ ἡ λέξις ἀπὸ τοῦ στόματος καὶ τοῦ ὄμφακος. Κωλακρέτου] περιφραστικῶς τὸ δικαστικὸν μισθόν. παρ' ὑπόνοιαν δὲ δέον εἰπεῖν ζώου τινός.

CHR. Στομφάζοντας] i. durè & superbè ridẽtes, Dictio cõposita ab ore & vua immatura, quæ ὄμφαξ dicitur, quã vocẽ ad animi asperitatẽ & duritiã trãstulit Plato Comic' in fab. ἑορτ. ait. n. καὶ τὰς ὀφρῦς χάλασον καὶ τὰς ὄμφακας. vnde Prouerb. σικελὸς ὀμ-

F φακίζεται quod correptũ in Epist. Aristæneti; sic efferẽdũ puto, sed aliò tamẽ referẽdũ quã Adagiorũ scriptor voluerit, illic. n. agitur περὶ παιδίσκας εἰς ἀώρους & verè ὄμφακας. Nã omnia dura & αὐστηρὰ dicũtur ὄμφακες teste Hesy. qui σικελίζειν (vt hoc obiter dicã) dicit esse ἀπηρεύεσθαι, corrige αὐστηρεύεσθαι. sic. n. Epicharm' auctor illi' adagij vocat σικελίζειν. Æschylus ob verborum ampullas durámque compositionẽ dicitur in Nubib. huius Comici στόμφαξ

G & κρημνοποιός. Κωλακρέτου γάλα πίνειν] Beatũ, inquit, & felicẽ te præstabo, imò te lacte auium pascam. tantùm interdico Quæstoris lacte. Quibus verbis auertere patrem vult à frequentia iudiciorum & mercede triobolari, quam (vt diximus) accipiebant iudicantes à Colacreta, dixit autem γάλα quia triobolo solo isti alebantur vt lacte infantes.

ΣΤΡΟΦΗ στίχων ιά.

STROPHA.

Bisetvs. Ἐνταῦθα ὁ χορὸς, καὶ ὁ Βδελυκλέων τέλος συμφωνοῦσιν ἐν οἷς πρότερον ἀλλήλοις ἀντιλέγουσι. καὶ ὁ μὲν Βδελυκλέων τὸν πατέρα ποιεῖν πείθει, ἂν μάλιστα ἐπιθυμεῖ. ὁ δὲ πατὴρ τυχὼν τῶν ἐπιθυμουμένων, σφόδρα χαίρει, καὶ τὴν αὐτοῦ χαρὰν πᾶσι ποιεῖται φανεράν.

Χο. Ἡ που σοφὸς ἦν, ὅς τις ἔφασκε πρὶν ἂν ἀμφοῖν μῦθον ἀκούσῃς
Οὐκ ἂν δικάσαις. σὺ γὰρ οὖν νῦν μοι νικᾶν πολλῷ δεδόκησαι.
Ὥστ' ἤδη τὴν ὀργὴν χαλάσας, τοὺς σκίμπωνας καταβάλλω,
Ἀλλ' ὦ τῆς ἡλικίας ἡμῖν τῆς αὐτῆς συνθιασῶτα
Πιθοῦ, πιθοῦ λόγοισι. μηδ' ἄφρων γένῃ
Μηδ' ἀτενὴς ἄγαν γ' ἀτεράμων τ' ἀνήρ.
Εἴθ' ὤφελέ μοι κηδεμὼν ἢ ξυγγενὴς
Εἶναί τις, ὅς τις δὴ τοιαῦτ' ἐνουθέτει.
Σοὶ δὲ νῦν τις τῶν θεῶν παρὼν ἐμφανὴς
Ξυλλαμβάνει τοῦ πράγματος.
Καὶ δῆλός ἐστι ποιῶν, σὺ δ' αὖ παρὼν δέχου.
Βδ. Καὶ μὴν θρέψω γ' αὐτὸν παρέχων
Ὅσα πρεσβύτῃ ξύμφορα. χόνδρον
Λείχειν. χλαῖναν μαλακήν. σισύραν.

Ch. *Verè sapiens fuit is qui indiciam nos ferre vetauit*
Nisi vtrisque auditis: nunc etenim victor longè esse videris,
Propterea ira iam deposita, istos baculos abÿciemus.
Verùm agedum ô nostræ ætatis congerro & iucunde sodalis
Obtempera isti orationi si sapis,
Nec rigidus sies neque tam oblucinans.
O si mihi talis foret curator, aut
Affinis, & me commoneret talia.
Nunc tibi præsens deus nec obscurus hoc
Succurrit in negotio.
Clarum fauorem præbet, hunc præsens cape.
BD. Alere hunc penitus volo, sufficiens
Quæcunque seni commoda, lambet
Alicam, mollicula aderit lana,

Σχόλια. Πρὶν ἂν ἀμφοῖν.] κατὰ τὸ μηδὲ δίκην δικάσῃς πρὶν ἂν ἀμφοῖν μῦθον ἀκούσῃς. ὑγιῶς δὲ νῦν τὸ ἀμφοῖν κεῖται. τοὺς σκίμπωνας δὲ τὰς βακτηρίας. ἀτενὴς δὲ μανικός. διὰ τὸ ἀεὶ ἀτενὲς βλέπειν τοὺς μανίᾳ κατεχομένους. ἀτενῆ τὸν μανικὸν νῦν εἴρηκεν. ἠγριωμένοι γάρ εἰσι καὶ ὕφαιμοι τῶν τοιούτων οἱ ὀφθαλμοί. Ἀτεράμων.] εἰσὶ μὴ τεράμων. ἀλλὰ σκληρός. ἔνθεν δὲ καὶ ἀτέραμνα ὄσπρια φαμὲν, τὰ μὴ ἑψόμενα διὰ σκληρότητα, παρὰ τὸ, τείρειν καταδὴ ἄχρι χιοῦτα. καὶ Πλάτων κέχρηται τῇ λέξει. κερασβόλους καὶ ἀτεράμνους λέγων τοὺς σκληροὺς, διὰ τούτων. μή τις γένηται τῶν πολιτῶν κερασβόλος ἢ ἀτέραμνος. φασὶ γὰρ τὰ κατὰ τῶν κεράτων βληθέντα σπέρματα, ἀτέραμνα γίνεσθαι.

Bisetvs. Ἀτεράμων.] Εὐστάθιος. ἀτεράμων ἄνθρωπος ὁ σκληρὸς, καὶ ἄτεγκτος. ἐκ μεταφορᾶς τῶν ἀτεράμνων ὀσπρίων, ἃ καὶ ἀτεράμονα λέγεται, ἤγουν δυσέψητα. καὶ ἦθος ἀτέραμνον τὸ ὠμὸν, καὶ ἀνύπεικτον, παρὰ τὸ α στερητικὸν, καὶ τὸ τείρειν, τὸ μὴ τείρεσθαι, καὶ δαμάζεσθαι δυνάμενον. οἱ δὲ παρὰ τὸ α στερητικὸν, καὶ τὸ τέρην, τέρενος, ἀλλὰ καὶ τὸ παρὰ τὸ τείρεσθαι λέγεται.

Christ. Πρὶν ἂν ἀμφοῖν.] Versus vulgarius est ex Phocylide puto μήτε δίκην δικάσῃς πρὶν ἂν ἀμφοῖν μῦθον ἀκούσῃς. Qua sententia monentur iudices non prædamnare litem, nec quenquam iudicare indicta caussa. Μηδ' ἀτενής.] Furiosos ἀτενεῖς vocant quia fixis oculis intueri soleant, efferúsque est & sanguine velut suffusus eorum obtutus. At τὸ ἀτέραμνον nihil aliud est quàm durum & immite, quasi μὴ τέρεν sed σκληρόν. Sic ὄσπρια ἀτέραμνα dicuntur δυσέψητα & ad coquendum cõtumacia. Apud Sudam legitur ἃ συνεψόμενα τοῖς ὀσπρίοις οὐ τήκεται. Malè legendum enim συνεψόμενα. Quæ inquit cocta cum leguminibus non macerantur neque mollescunt. Plato vsus est ea voce pro ingenio barbaro & rudi & legibus non obtemperanti & tales ciues ἀτεράμνους & κερασβόλους vocat, ducta Metaphora à semine quod in boum aratorum cornua incidit neque vnquam maturescit. Ælianus etiam hęc duo iunxit ἀτεράμων καὶ βάρβαρος τὴν ψυχήν. Paulò post θεὸς ἐμφανὴς designat non qui oculis se cernendum præbuerit mortalibus, sed cuius auxilium & numen clarum & præsens fuerit, atque adeò ἐναργής.

Σχόλια. Ἐμφανής.] ἴσον τῷ ἐναργής. οὐχὶ τῷ φαινόμενος. Σισύραν.] σισύρα καλεῖται παρὰ μέν τισιν, ἡ βαίτη. ἔστι δὲ περιβόλαιον ἐκ δερμάτων συνερραμένων προβάτων ἐχόντων τὰ ἔρια. οἱ δὲ ἀκριβέστεροί φασι, χλαῖναν παλαιὰν εἶναι ἁπλοΐδα. τὴν αὐτὴν δὲ καὶ σισύραν καλοῦσι καὶ σισύρναν.

Christ. Σισύραν.] Amictum ex pellibus lanigeris esse autumat Scholiastes & aliter βαίτην vocat, & sanè credibile est esse διφθέραν & quem Cæsar cum Varrone dicit Renonem ab ouibus pellitis. Antiqui (vt notarunt alij) Tityrum vocabant τὸν κριόν, Inde ego putem σισύρας nomen. Tamen Hesychius eam componit ex pellibus caprinis, & contra hunc Scholiastem differre facit σισύραν à σισύρνᾳ, nam Sisyrnam à Lybicis pastoribus vocari ait vestem ex pellibus villosis consutam, at Sisyram stragulum potiùs esse & μηλωτήν. Neque consentiunt Grammatici inter se, nam alij σισύραν faciunt lęnam simplicem, alij duplicem. Non est facilè has controuersias cõciliare, nobis præsertim Gallis qui tantùm abest vt veterum vestes satis dignoscamus, vt nostras ipsi quotidie mutemus, lõgè dissimiles Philocleonis istius qui odio Laconum, baxeas quę Laconicę dictæ nunquam in animum inducere potuit vt indueret. Nos hodie non βαίτας sed Bæticas vestes induere gaudemus, exoticarum elegantiarum simioli.

Πόρνην ἥτις τὸ πέος ξύει καὶ τὴν ὀσφῦν.
Ἀλλ' ὅτι σιγᾷ, κοὐδὲν γρύζει,
Τοῦτ' οὐ δυνατόν μοι προσιδέσθαι.
Χο. Νενουθέτηκεν αὐτὸν ἐς τὰ πράγματα.
Οἷς ποτ' ἐπεμαίνετ'. ἔγνωκε γὰρ ἀρτίως ὅτι
Λογίζεται τ' ἐκεῖνα πάνθ' ἁμαρτίας,
Ἃ σοῦ παρακελεύοντος οὐκ ἐπείθετο.
Νῦν οὖν ἴσως τοῖς σοῖς λόγοισι πείθεται.
Καὶ φρονεῖ μέν τι μεθιστὰς ἐς τὸ λοιπὸν τὸν τρόπον.
Πειθόμενός τε σοί γ. Φι. ἰώ μοι μοι. Βδ. οὗτος τί μοι
βοᾷς;
Φι. Μή μοι τούτων μηδὲν ὑπίσχου.
Κείνων ἔραμαι, κεῖθι γενοίμαν,
Ἵν' ὁ κήρυξ φησὶ τίς ἀψήφιστος ἀνιστάσθω.
Κἀπισταίην ἐπὶ τοῖς κημοῖς,
Ψηφιζομένων ὁ τελευταῖος.
Σπεῦδ' ὦ ψυχή. ποῦ μοι ψυχή.
Πάρες ὦ σκιερά. μὰ τὸν Ἡρακλέα.
Μὴ νῦν ἔτ' ἐγὼ 'ν τοῖσι δικασταῖς,
Κλέπτοντα Κλέωνα λάβοιμι.
Βδ. Ἴθ' ὦ πάτερ πρὸς τῶν θεῶν ἐμοὶ πίθου.
Φι. Τί πείθομαί σοι; Βδ. λέγ' ὅτι βούλει πλὴν ἑνός.
Φι. Ποίου φέρ' ἴδω. Βδ. τοῦ μὴ δικάζειν. Φι. τοῦτο δὲ
Ἅδης διακρινεῖ πρότερον, ἢ 'γὼ πείσομαι.
Βδ. Σὺ δ' οὖν ἐπειδὴ τοῦτο κεχάρηκας ποιῶν,
Ἐκεῖσε μὲν μηκέτι βάδιζ'. ἀλλ' ἐνθάδε.
Αὐτοῦ μένων, δίκαζε τοῖσιν οἰκέταις.
Φι. Περὶ τοῦ; τί ληρεῖς; Βδ. ταῦθ' ἅπερ ἐκεῖ
πράττεται.

A *Rhenoq; & penitriba meretrix*
Lumbosq; fricans,
Sed quòd tacet, & nihilum mutit,
A proposito remouet me.
CH. Castigat ipse se, atque in his rebus monet
Quas antè multùm deperibat, nunc videt
B *Errata pristina, illa mente deputat*
Quæ te monente nullus auscultauerit.
Ac paret ille forsitan dictis tuis,
Et sapit, moresq; porrò pristinos mutare volt,
Nec refellit quæ suades. PH. hei mihi. BD. quid hei vocas?
PH. Auffer mihi tot promissa dare,
Illa ego quæro, illic sim, vbi præco
Clamet, Quis calculum adhuc non tulit?
C *Citus exsurgat.*
Nempe cadiscis me adstare iuuat
Suffragia postrema ferentem
Propera ô mea mens, vbi nunc animus?
Vmbra recede, haud Hercule sirim
Vt iudicum ab albo eximar, & non
Damnem improba furta Cleonis.
BD. Age, & volente cum deo, pare ô parens.
PH. Quid pareã? BD. dic præter vnũ, quod lubet.
D *PH. Quale illud? inque. BD. mitte iudicia & forũ.*
PH. Hoc cernet Orcus antequam persuadear.
BD. Ergo hæc agendo quãdo habes tantũ volup,
Modò in forum ire desinas, domi mane,
Et facta tantùm seruolorum iudica.
PH. Nugas agis, quid causa? BD. Idem quod in foro.

CHR. Μὴ προσίεσθαι] i. ἀφελκύσασθαι, & sic Ælianus dixit: ὁ δὲ οὐ προσεῖτο τὴν δόσιν, ἑταιρικὸν φάσκων εἶναι μίσθωμα, τὸ ἑαυτὴν παραβάλλειν ἀνδρὶ ἀγνῶτι, καὶ ὥσπερ ὤνιον τὸ κάλλος ἀποδόσθαι. i. At ille non accepit donum, meretricium dictitans esse quęstum, quod seipsam viro proiiceret ignoto, & tanquam venalem faceret pulcritudinem.

Σχ. Νενουθέτηκεν αὐτόν] ὁ χορὸς ἀναδέχεται τὸ πρόσωπον τοῦ Φιλοκλέωνος. μετέγνω φησὶν ἐπὶ τοῖς πεπραγμένοις πάλαι αὐτῷ. Μή μοι τούτων] ἐξ Ἱππολύτου Εὐριπίδου. Κεῖθι] ἐν τοῖς δικαστηρίοις. Τίς ἀψήφιστος] ἔνθα ἐν ταῖς δημοσίαις δίκαις εἰς ταὐτὸ συναγόμενοι οἱ δικασταὶ, τοῦ κήρυκος τὴν κληρωτίδα ἤτοι τὸν κάδον περιφέροντος, ἔβαλλον τὰς ψήφους. ἔνιοι δὲ ὑπὸ φιλανθίας κατεῖχον αὐτάς. ἄλλως. ἐνίοτε μὲν φησιν, ἕτερον στάμνον. καὶ ἐνέβαλον καθήμενοι οἱ δικασταὶ τὰς ψήφους. ἐνίοτε δὲ καὶ αὐτοὶ ἀπερχόμενοι ἔβαλλον. τοῦτο οὖν λέγει. ὁ μὴ ἐψηφοφορηκὼς, ἐγερθεὶς βαλλέτω.

CHR. Οἷς ποτ' ἐπεμαίνετ', ἔγνωκε γὰρ] vt sic Senarius, sic legerem, ἔγνω δ' ἀρτίως ὅτι, quamuis neque sic placet. nam in quinta sede spondæum non temerè reperias in senario, ne quidem apud liberrimos & licentiosos Comicos Grecos. Sed si Trochaicus est deest aliquid ad versum. Sic autẽ prior locutus est Sophocl. in Aiace lora tenente, ἐπίσταμαι δ' ἀρτίως ὅτι, &c. Μή μοι τούτων] admonet scholiast. hoc anapęstorum initium sumptum ex Hippolyto Euripid. Ἵν' ὁ κήρυξ φησὶ] In publicis iudiciis cùm coacti erant iudices prȩco proiicebat cadum qui sortes capiebat quas illi in illum immitterent,

E ac contingebat sæpè vt voluptatis grátia quidam ex iudicum calces suas retinerẽt. Itaq; clamare solebat præco, qui sententiæ suę calculum non tulit, surgat & mittat. sic autem lego & distinguo, ἵν' ὁ κήρυξ φησὶ, Τίς ἀψήφιστος; ἀνιστάσθω. Nã duo sunt versus anapęstici, prior dimeter, alter monometer duobus tantùm anapęstis cõstans, sed secatur prioris vltimum verbum cuius posterior syllaba, alterum versum monometrum adiuuat. Pronunciandum autem τίς per interrogationem.

Σχόλια. Πάρες ὦ σκιερά.] παρὰ τὰ ἐκ Βελλεροφόντου παίζει ταῦτα. πάρες ὦ σκιερὰ φυλλὰς, ὑπερβῶ κρηναῖα νάπη. τὸν ὑπὲρ κεφαλῆς αἰθέρ' ἰδέσθαι σπεύδω. F τίνα ἔχει στάσιν ἐνοδίας. Κλέπτοντα] ἀπειλεῖ καταδικάσειν τὸν Κλέωνα, εἰ λάβοι αὐτὸν ἐγκαλούμενον κλοπῆς. τὸ δὲ ὅλον βούλεται διαβάλλειν τὸν δικαστικὸν τρόπον ὡς σκληρὸν καὶ ἄπιστον. ὁπότε οὐδὲ τῷ Κλέωνι ἀφ' οὗ τὸ ὄνομα ἔχει ὁ Φιλοκλέων, πιστόν τι φυλάττει. Ἅδης διακρινεῖ.] ἐν Κρήσσαις Εὐριπίδου ὁ Ἀτρεὺς πρὸς τὴν Ἀερόπην κρινεῖ ταῦτα. Κεχάρηκας ποιῶν.] ἀπὸ ῥήματος περισπωμένου τοῦ χαιρῶ. ὁ παρακείμενος κεχάρηκα.

G Bisetvs. Κεχάρηκα] ἀπὸ τοῦ χαίρω γίνεται ἀβέβαιος ὁ. i. χαρεῖ. ὅθεν τὸ περισπώμενον ποιητικὸν χαρέω, ῶ, χαρήσω, κεχάρηκα. ἀπὸ δὲ τοῦ χαίρω οὐ μόνον τὸ χαρῶ μέλλων, ἀλλὰ καὶ χαιρήσω, ὡς ἀπὸ τοῦ χαιρέω, ῶ. παρακείμενος κεχαίρηκα λεκτέον ἂν εἶη κατὰ τὸν ἑπόμενον σχηματισμὸν, ἀλλὰ μᾶλλον ἐν χρήσει τὸ κέχαρκα, ὡς ἀπὸ τοῦ χαρῶ μέλλοντος, καὶ τὸ παθητικὸν κέχαρμαι, ὅθεν χάρμα, τος, καὶ χάρμη, ης, καὶ χαρμοσύνη, ης, τουτέστιν ἡ χαρά.

CHRIST. Πάρες ὦ σκιρὰ] Et hæc ludit per Parodiam sumpta ex eiusdem Tragici Bellerophonte, ex quo laudantur hi versus Anapæstici,

Πάρες ὦ σκιερὰ φυλλάς, ὑπερβῶ
Κρηναῖα νάπη, τὸν ὑπὲρ κεφαλῆς
Αἰθέρ' ἰδέσθαι σπεύδω, τίν' ἔχει
Στάσιν ἐνοδίας.

vbi rectius legas εὐοδίας propter metrum, sunt enim duo Anapæsti. Sed non dubito quin legendum sit εὐοδίας, id est, itineris facilis & peruij, qua voce vsus est Æschylus in Glauco Potnieo, & hic noster Comicus in Ranis per parodiam Æschuli. Quin & apud Esdram Prophetam Græca versio vetus habet ζητεῖτε εὐοδίαν. Sic autem locum illum ex Bellerophonte Euripidæ interpretor totidem anapæstis,

Nunc vmbrosæ cedite frondes,
Nemora & f. n cs ite, supremum
Cœlum visere cupio, sit ne
Iter hoc facile.

Ἀδης διακεσεῖς] Sic cernere dicunt Latini, & sic locutus est Atreus ad Aeropam in Cressis Euripidæ, vt notat Scholiastes. Nihil autem per hoc loquendi genus aliud ait quàm Moriar potiùs; vt vera sit

B illa sententia, Inuitum q i seruat, idem facit occidenti, εἰ σώζεις τὸν ἄκοντα, κανόντι σὺ ταυτὸ ἔδρασας.

Ὅτι τὴν θύραν ἀπέκλεισεν ἡ σηκὶς λάθρα.
Ταύτης ἐπιβολὴν ψηφιεῖ μίαν μόνην.
Πάντως δὲ κἀκεῖ ταῦτ' ἔδρας ἑκάστοτε.
Καὶ ταῦτα μὲν νῦν δὴ λόγως ἢν ἐξέχη,
Εἵλη κατ' ὄρθρον, ἡλιάσει πρὸς ἥλιον.
Ἐὰν δὲ νίφῃ, πρὸς τὸ πῦρ καθήμενος.
Ὕοντος εἴσει κἂν ἔγρη μεσημβρινός,
Οὐδείς σ' ἀποκλείσει θεσμοθέτης τῇ κιγκλίδι.
Φι. Τουτί μ' ἀρέσκει. Βδ. πρὸς δὲ τούτοις, ἢν δίκην
Λέγῃ μακρὰν τις, οὐχὶ πεινῶν ἀναμενεῖς,
Δάκνων σεαυτὸν καὶ τὸν ἀπολογούμενον.

Ancilla forsan abra reclusit forem.
Multam irrogabis propter hoc drachmā vnicā.
Nempe istud illic factitas, identidem,
Ac iure, si lux albicaßit primula,
Vt in Heliaa ad Solem ages pro indice,
C *Si nix vel imber decidat, tunc ad focum*
Sedebis, & si surgis ad Meridiem
Thesmotheta nullus ostium occludet tibi.
PH. *Placet quidē istud.* BD. *deinde si qua longior*
Sit caussa, & vrget te fames, nil est opus
Isthic moreris, labra mordens & reum.

Σχόλια. Η σηκίς.] σηκίδα τὴν κατ' οἶκον διάκονον ἢν θεράπαιναν λέγουσι. καὶ σεσημειῶσθαί τινας, ὡς ἀπὸ κυριολογουμένων τινῶν τὴν σηκίδα ὄνομα.

BISETVS. Σηκὶς] σηκίδος κατὰ τὸν Εὐστάθιον, ἡ οἰκογενὴς παιδίσκη, παρὰ τὸν σηκόν. σηκὸς δὲ παρ' Ὁμήρῳ, ἡ τῶν ἀρνῶν, καὶ ἐρίφων στάσις, ἔτι μάνδρα, οἱονεὶ σηκός, παρὰ τὸ ἵστασθαι. παρὰ δὲ τοῖς ὕστερον καὶ ἐπὶ ναοῦ τίθεται ἡ λέξις.

CHR. Σηκὶς] Malè putant quidam nomen esse proprium, nam σηκὶς vel σηκίλη verna est ancilla vel abra cui cura penum seruare antiquitus in agris, σηκὸς enim præter alia significata simpliciter domum significat, pro nido vsurpat Aristoteles. Apud Sudam habes de Lysia hæc verba, ὃς δύο ἔτη ἐγεώργησεν ὅτε ἰδίαν ἐλαίαν ὅτι μορίαν, ὅτε σηκόν. quæ tria de omni oliua interpretatur, diuersa tamen puto, & fortassis σῦκον legendum, vt de olea, moro, & fico arboribus intelligat.

Σχόλια. Ταύτης ἐπιβολήν.] ταύτης τῆς δίκης μίαν μόνην δραχμὴν ἐπιβολὴν ψηφιεῖ. ἐπιβολὴ δὲ, ἐπιτίμιον ζημίαν παρὰ τὸ ἐπιβάλλειν. ἄλλως ἣν οἱ ἄρχοντες ζημίαν ὁρίζουσι τοῖς ἁλοῦσιν ἐξημαρτηκέναι περὶ ὀρφανοὺς ἐπιτρόποις, ἢ καὶ ἄλλοις τισὶ τῶν τὰ δημόσια μὴ καλῶς διοικοῦσιν ἢ τῶν τοῖς κατέχουσι τὰ ἀλλότρια, ἢ μὴ εἰς ἐμφανεῖς καθιστᾶσιν, ἐπιβολὴ καλεῖται. καὶ τὸ ῥῆμα ἐπιβάλλειν. Εἵλη κατ' ὄρθρον] εἵλη ἡ τοῦ ἡλίου αὐγή. διὰ ψιλοῦ [illegible] δὲ διὰ τοῦ ι εἵλη. ψιλῶς. γεγράφεται δὲ καὶ κατ' ὄρθρον ἐν πολλοῖς. ἢ ἐξηγούμενος Καλλίστρατός φησι, κατὰ τὸ ὀρθὸς ἔχον. οὐχὶ ἐν τῷ δικαστηρίῳ τῷ δ. ἡλιάσεις. μήποτε δὲ ψιλῶς προστεκτέον, παρὰ τὴν Ἡλιαίαν, πρὸς ἥλιον δικάσεις. ψυχρῶς δὲ πέπαιχε, φησὶν ὁ Δίδυμος, πρὸς τοιοῦτον. ψυχρὸς δὲ εἴλη λέγεται ἡ τοῦ ἡλίου αὐγή, Ἡλιαία δὲ, τὸ δικαστήριον, παίζων ἔφησε πρὸς φιλόδικον, ὅτι ἐπειδὰν ἀνάσχῃ ὁ ἥλιος, ἡλιάζεσθαι ἐνίστασθαι. οὕτω δὲ οἱ Ἀττικοὶ διὰ τοῦ η τὴν ἥλην λέγουσιν. οὕτω Δίδυμος. δικάσεις, φησί, πρὸς τὸν ἥλιον καθήμενος. ἔπαιξε δὲ παρὰ τὴν Ἡλιαίαν, τὸ μέγιστον δικαστήριον, ὃ καὶ ταύτης ὀνομασίας ἔτυχε διὰ τὸ ἐν ὑπαίθρῳ αὐτὸ φέρεσθαι λαμβάνον [illegible] τῷ ἡλίῳ. ἥλη δὲ ἴσως παρὰ τὴν εἴλην, καὶ προπλὴν τὸν ε εἰς η. καὶ ὁ ἥλιος ἔνθεν κατὰ λίναις ὠνόμασθαι. καὶ ἡλίασις ἡ τοῦ ἡλίου θέρμη. καὶ Εὐστάθιος. ὅτι δὲ τὴν εἴλην οἱ παλαιοὶ καὶ ἕλην φασίν, ἐν ῥητορικοῖς δηλοῦται λεξικοῖς, ἔνθα κεῖται ὅτι εἴλη, καὶ ἕλη, ἡ τοῦ ἡλίου αὐγή. καὶ εἰληθερεῖν, τὸ ἡλιάζεσθαι. εἰλεῖν, τὸ ἐν ἡλίῳ ξηραίνειν, καὶ εὔειλον χωρίον, τὸ εὐήλιον. καὶ εἵλει προσειλεῖν, τὸ πρὸς μεσημβρίαν τετραμμένον. καὶ εἰληθερὲς ὕδωρ, τὸ ὑπὸ ἡλίου τεθερμασμένον.

D

CHR. Ἐπιβολὴν] Apud Rhetores sic vocatur mulcta, & pœna, & eam irrogare est ἐπιβάλλειν, huic pœnæ vel mulctæ obnoxij erant curatores qui pupillos defraudauerant, & qui rem publicam malè administrarant, aut rem alienam detinuerant neq; dū restituerāt. Ἢν ἐξέχη εἵλη] Adludit ad Prouerb. ἔξεχ' ὦ φίλε ἥλιε, vel potius dictū vulgariū, vt hic noster Comic⁹ in Insulis fabula dixit, λέξεις ἀρ' ἄπερ τὰ παιδία, ἔξεχ' ὦ φίλ' ἥλιε, de quo vide Sudā hunc locū laudantem, sed malè scribentē ὕλη pro εἵλη quo nomine dicitur Solis lumen, nā Attici ει pro η enūciāt: ludit aūt in Paronomasia quia Heliæa à subdiali sole dicta maximū erat forū iudiciale. alij tamē pro κατ' ὄρθρον legunt κατ' ὀρθὸν. i. (interpr. Callist.) κατὰ τὸ ὀρθῶς ἔχον quæ expositio placere mihi nō pōt Quod vero ait ὕοντος subaudiendū θεοῦ vel Διὸς vt dixit Alcæus ὕει μὲν ὁ Ζεύς, & sic Latinè dicimus impersonaliter, Pluit, tonat, ningit.

E

F

Σχόλια. Ὕοντος.] ὕοντος τοῦ θεοῦ καὶ νίφοντος γεύσῃ καθήμενος πρὸς τὸ πῦρ τὴν δίκην. Κἂν ἔγρῃ] κἂν βραδέως ἀπὸ τῆς κλίνης ἀναστῇς. οὐδεὶς ἀποκλείσει σε τοῦ δικαστηρίου ὡς βραδέως ἥκοντα. Θεσμοθέτης.] ὅτι θεσμοθέται καὶ δικασταὶ ὁ γραμματεὺς. κληροῦσι τοὺς δικαστὰς τοὺς τῆς αὐτῆς φυλῆς ἑκάστης. ἀρχῆς δὲ ὄνομα ὃν τοῖς ψηφίσμασιν ἐχειροτονοῦντο οἱ δικασταί, καὶ ἦρχον αὐτῶν οὕτως, ὡς καὶ δύνασθαι ἐκβαλεῖν καὶ μὴ ἐᾶν εἰσιέναι εἰς τὸ δικαστήριον. εἶχον δὲ καὶ ἑκάστη φυλὴ ἕνα θεσμοθέτην καὶ γραμματέα, εἰς τὸ τοὺς νόμους εἰσηγεῖσθαι. Δάκνων σεαυτόν.] ὅτι ἐνίοτε ἀπὸ πείνης ὁ δικαστὴς τὸν λέγοντα καταδικάζει.

G

CHR.

CHRIST. Θεσμοθέται] Nouem erât Athenis magiſtratus dicti Archontes, nempe Rex, Archon, Polemarchus & ſex Theſmothetæ ſic dicti quia curam legum & iudiciorum habebant, qui iudices è ſua quiſque tribu ſortiebantur (Scholiaſtes addit decimum qui ſcriba fuit, atque ſingulas tribus vnum habuiſſe Theſmothetam & vnum γραμματέα ad leges rogandas) in quos imperium habebant, ita vt ſi ad horam non veniſſent, eos excludere & conſeſſu interdicere poſſent. Sic Romę

A Prætores Iudiciis Centumuiralibus & publicis præerant.

Σχόλια. Δάκνων σεαυτόν.] ἐπειδὴ ἐνίοτε ἀπὸ πείνης ὁ δικαστὴς τὸν λέγοντα καταδικάζει.

CHRIST. Δάκνων σεαυτόν] Sæpè enim eſuriens iudex actorem cōdemnat. Ludit autem hic in voce τοῦ δάκνειν quæ & dentibus frendere & lædere aliquem ſignificat, proinde vt Latinum

B mordere, vt apud Terentium, Quod illam mordeat.

Φι. Πῶς οὖν διαγιγνώσκειν καλῶς δυνήσομαι,
Ὥσπερ πρότερον τὰ πράγματ' ἔτι μασώμενος;
Βδ. Πολλῷ γ' ἄμεινον. καὶ λέγεται γὰρ τουτογί,
Ὡς οἱ δικασταὶ ψευδομένων τῶν μαρτύρων,
Μόλις τὸ πρᾶγμ' ἔγνωσαν ἀναμασώμενοι.
Φι. Ἀνά τοι με πείθεις. ἀλλ' ἐκεῖν' οὔπω λέγεις·
Τὸν μισθὸν ὁπόθεν λήψομαι. Βδ. παρ' ἐμοῦ.
Φι. καλῶς,
Αἴσχιστα γάρ τοι μ' εἰργάσατο Λυσίστρατος
Ὁ σκωπτόλης. δραχμὴν μετ' ἐμοῦ πρώην λαβὼν
Ἐλθὼν διεκερμάτιζέ μ' ἐν τοῖς ἰχθύσιν.
Κἄπειτ' ἐπέθηκε τρεῖς λοπίδας μοι κεστρέων.
Κἀγὼ 'νέκαψ'. ὀβολοὺς γὰρ ᾤμην λαβεῖν.
Κᾆτα βδελυχθεὶς, ὀσφρόμενος ἐξέπτυσα.
Κᾆθ' εἷλκον αὐτόν. Βδ. ὁ δὲ τί πρὸς ταῦτ' εἶφ'.
Φι. ὅ τι;
Ἀλεκτρυόνος μ' ἔφασκε κοιλίαν ἔχειν,
Ταχὺ γοῦν καθεψεῖς τἀργύριον. ἦ δ' ὃς λέγων.
Βδ. Ὁρᾷς ὅσον τοι δῆτα τοῦτο κερδανεῖς;
Φι. Οὐ πάνυ τι μικρόν. ἀλλ' ὅπερ μέλλεις ποίει.

PH. Quî poſſim, vt antè (hic interim ſi manderem)
Pernoſſe ritè litium diſcrimina.
B D. Multò facilius, quippe vulgò dicitur,
Quando arguuntur falſa teſtimonia
Verum eruiſſe ruminantes iudices.
PH. Perſuaſum habes me, at vnde mercedem feram,
C *Nondum indicaſti. B D. à me feres. PH. dictum benè.*
Factum facetus turpe nam Lyſiſtratus
Admiſit in me, debitam qui ſumpſerat
Vtrique drachmam, quam minutam in piſcium
Secuit macello, tréſque ſquamas mugilum
Induxit, & quas truſi in os, nummos putans,
Odore ſed mox exſpui offenſus graui,
D *Illúmque traxi. B D. ad hæc quid ille? PH. aluum mihi*
Galli, inquiebat eſſe Gallinacei,
Statimque dixit, Tu quoque æra concoques.
B D. Vides lucellum quale procedat tibi?
PH. Sanè haud puſillum, tu tamen fac quod facis.

Σχόλια. Πῶς οὖν διαγιγνώσκειν.] ἐπειδὴ εἶπεν αὐτῷ ὁ Βδελυκλέων δεῦρο ἀδεῶς δικάζοντα ἐπὶ τῆς οἰκίας ἐσθίειν φησὶ, πῶς δυνήσομαι ἐσθίων δοκιμάζειν τὰ λεγόμενα.

CHRIST. Διαγιγνώσκειν] Id eſt ἀνακρίνειν & δοκιμάζειν, Latinè propriè cognitiones vocantur etiam de cauſis & litibus.

Σχόλια. Ἀναμασώμενοι.] ἀντὶ τοῦ διαλογιζόμενοι. νοούμενοι πρὸς τὸ χειρῶδες, ἐνταῦθα παρέλαβεν ἐπὶ τοῦ ἐσθίοντος. ἄλλως. ἐκ μεταφορᾶς τῶν ἀναπεμπαζόντων τὴν τροφὴν ζώων, καὶ αὖθις ἀναμασωμένων, τὸ ἀναμασώμενοι εἴρηκεν.

BISETVS. Ἀνά τοι με πείθεις] Τμῆσις, ἀντὶ τοῦ, ἀναπείθεις με. τὸ δὲ τοὶ νῦν ἐστὶ παραπληρωματικὸν μόριον. ἢ ἀντὶ τοῦ ἤτοι συνδέσμου τοῦ ἰσοδυναμοῦντος τῷ μὲν. ὃ δῆλον ἐκ τοῦ ἑξῆς ἀλλά. ὃ δὲ νοῦς ἐστι. ἀναπείθεις μὲν ἐμὲ, ἀλλ' ἐκεῖνο οὔπω λέγεις. Λυσίστρατος ὁ σκωπτόλης] σκωπτικός. σκωπτόλαι κατὰ τὸν Σουίδαν λέγονται οἱ φιλοσκώμμονες ὁ αὐτὸς λέγει σκώπτην τὸν λοίδορον, καὶ τὸν Λυσίστρατον σκωπτόλην καλεῖσθαι. ἐν δὲ τῇ κωμῳδίᾳ σκωπτόλην καλεῖσθαι τὸν ἐπίχαριν.

CHRIST. Ἀναμασώμενοι.] vt ruminare duo ſignificat, & reuocare cibum vt boues & oues, & animum recolere, ſic ἀναμασᾶσθαι & ἀναμηρυκάζειν. Fortaſſis autem de retractanda ſententia innuit. Propterea morē hunc fuiſſe Athenis vt reus damnatus interrogaretur quam pœnę æſtimatio-

E nem meruiſſe fateretur, quaſi ſecūdis legibus obſeruatum teſtatur, & diſertè docet M. Tullius ſub finem libri primi de oratore; vbi agit de Socratis damnatione & nobili illius ad Lyſiæ orationem reſponſo. Τὸν μισθὸν ὁπόθεν λήψομαι] Triobolū puta quam mercedulam vocat Cicero in lib. 1. de Oratore, eratque ſtipendium quotidianum. Ariſtoteles in libris de Repub. ait Ephialtem & Periclem minuiſſe auctoritatem Senatus Areopagitici & ſtudio auræ popularis, pauperes admiſiſſe in numerum Senatorum, denique feciſſe δικαστήρια μισθοφόρα.

F

Σχόλια. Λυσίστρατος.] σκωπτικός. καὶ ἐν Ἀχαρνεῦσι Λυσίστρατός ἐστιν ἐν ἀγορᾷ Χολαργεὺς ὄνειδος. ἔστι δὲ καὶ ἕτερος Λυσίστρατος, παῖς Μακαρέως, σκωπτόμενος εἰς κιναιδίαν. ἄλλως. δύο γὰρ δικασταῖς ἐδίδοτο δραχμὴ μία καὶ οὕτως ἐμερίζοντο πρὸς τρεῖς ὀβολούς. ὡς τοῦ Λυσιστράτου ἅμα αὐτῷ εἰληφότος δραχμὴν ὑπὲρ τοῦ δικαστικοῦ μισθοῦ, καὶ ἐμπεπιστευμένου κερματίσαι αὐτὴν ὥστε μερίσασθαι, καὶ παρασχόντος αὐτῷ ἀντὶ ἀργυρίου λεπίδας,

G ἀγαπητῶς ἔχει τὸ μόνος λαμβάνειν τοὺς μισθούς.

CHRIST. Λυσίστρατος] In Equitibus vt pauper perſtringitur. In Acharnēſibus mollis & cinædus, & aleator, & ῥιγῶν καὶ πεινῶν ἀεὶ, alibi dictus χλωαλώπηξ, vt diximus ad Lyſiſtratam, propterea hic σκωπτόλης quaſi dicas σκωπτικὸν ἀλώμενον. Illuſit enim huic Philocleoni, quum enim à Colacreta

drachmam pro vtriusque mercedula accepisset, & in piscium macello mutata drachma dimidiã partem, tres nempe obolos Philocleoni tribueret, pro obolis squamas mugilum tres dedit, quæ ita grandes sunt vt speciem præ se ferãt nummorum saltem obolorum.

Σχόλια. Δραχμὴν μετ' ἐμοῦ λαβών.] καθὸ εἰς δύο ἡ δραχμὴ ἐδίδοτο. καὶ αὐτοὶ διῃροῦντο κερματίζοντες, ἵνα μὴ οἱ κωλακρέται κέρμα εἰσφέρωσιν. Ἐν τοῖς ἰχθύσιν] ἐν τοῖς ἰχθυοπώλαις. ἀπὸ τῶν πωλουμένων τοὺς πωλοῦντας εἶπεν. λοπίδας δὲ, ἃς ἡμεῖς λεπίδας καλοῦμεν. Κεστρέων.] κεστρεὺς εἶδός ἐστιν ἰχθύος ὁ λεγόμενος κέφαλος μεγάλην λεπίδα ἔχον καὶ παχεῖαν, ὡς ὑπόνοιαν αὐτὴν ἔχειν ἀργυρείου. Κᾆγω 'νέκαμψα.] ἐνέκαψα. ἐνέθηκα τῷ στόματι. νομίζων εἶναι ἀργύρεον. πολλοῖς γὰρ ἐστιν ἔθος ἐν τῷ στόματι φυλάττειν τὸ ἀργύρεον.

Bisetus. Ἐγκάπτειν νῦν δηλοῖ τὸ ἐντιθέναι μεθ' ὁρμῆς, καὶ μεγάλης ἐπιθυμίας, οἵαν ἔχουσιν οἱ πεινῶντες. κάπτειν γὰρ κυρίως τὸ χανδὸν ἐσθίειν.

Christ. Κᾆγω 'νέκαμψα] Lege κᾆγω 'νέκαψα pro ἐνέκαψα, sed & non male κᾆγω 'νέκαψα simplici verbo. Quid sit κάπτειν abunde dictum nobis in Glossematis ad Irenam. Solebant autem plerique in os indere nummatam pecuniam, vt fortassis inde Prouerbiũ manarit, Bouem in lingua, etsi scio aliunde sensum & originem habere, & de tarda & impedita lingua dictũ, vt apud Æschylũ βοῦς ἐπὶ γλώσσῃ μέγας quũ liberè loqui non licet, & arcanum tacendum est. Bouem autem speciem nummi fuisse dicunt qui duas drachmas Atticas penderet. Fortassis autem ta'es boues in ore habuit Demosthenes cùm aduersus Milesios dicturus excusationem postulauit propter Synanchem, quam dixerunt ἀργυράγχην.

Σχόλια. Πέμπειν λαβεῖν.] ὅτι δηλοῖ τὸν λεπτὸν ὁποῖος τίς ἦν. ἦν δὲ ἀργυρᾶ νομίσματα. ὀσφραινόμενος δὲ τῆς δυσωδίας αἰσθόμενος. Ἀλεκτρυόνος μ' ἔφασαν.] ἐπεὶ πάντα πέττουσιν οἱ ἀλεκτρυόνες θερμοτάτην κοιλίαν ἔχοντες.

Ch. Ἀλεκτρυόνος κοιλίαν]. Est enim Gallinaceus edax animal, & cuius ingluuies præposita vẽtriculo est, vt etiam palumbis & perdicibus teste Aristot. lib. 2. de hist. Animalium. Hinc prouerbium sustulit Erasmus, Gallorum ventrem incusare.

Σχόλια. Ταχὺ γοῦν καθέψεις,] τοὺς ὀβολοὺς ἀργυροῦς εἴρηκεν, ὡς καὶ ἡμεῖς λέγομεν χαλκοῦς ἀργύρου ὄντος. ἢ καθότι τρεῖς ὀβολοὶ ὄντες, ἀργυροῦν τριώβολον ἐγένοντο. Ἦ δ' ὃς λέγων.] ἀντὶ τοῦ ἔφη. καὶ ἔστιν ἀπὸ τοῦ ἠμί. κέχρηται συνεχῶς αὐτῷ ὁ Πλάτων ἐπὶ μέλλοντος μόνου. οἱ δὲ κωμικοὶ καὶ ἐπὶ τῶν ἄλλων χρόνων.

Christ. Ἦ δ' ὃς λέγων] Phrasis Attica familiaris maximè Platoni Philosopho. Sed in futuro tempore vsurpat, Comici autem etiam in aliis temporibus. Vetus fuit verbum ἠμὶ pro φημὶ, vnde ἦ pro ἔφη.

ΒΔ. Ἀνάμενέ νυν. ἐγὼ δὲ ταῦθ' ἥξω φέρων.
ΦΙ. Ὅρα τὸ χρῆμα. τὰ λόγι' ὡς περαίνεται.
Ἠκηκόεις γὰρ ὡς Ἀθηναῖοί ποτε,
Δικάσοιεν ἐπὶ ταῖς οἰκίαισι τὰς δίκας.
Κἀν τοῖς προθύροις ἐνοικοδομήσοι πᾶς ἀνὴρ
Αὑτῷ δικαστηρίδιον μικρὸν πάνυ.
Ὥσπερ Ἑκάταιον πανταχοῦ πρὸ τῶν θυρῶν.
ΒΔ. Ἰδού, τί ἔτ' ἐρεῖς; ὡς ἅπαντ' ἐγὼ φέρω,
Ὅσαπερ γ' ἔφασκον κἄτι πολλῷ πλείονα.
Ἀμὶς μὲν ἦν οὐρητιάσῃς, αὑτηὶ
Παρά σοι κρεμήσετ' ἐγγὺς ἐπὶ τοῦ παττάλου.
ΦΙ. Σοφόν γε τουτὶ καὶ γέροντι πρόσφορον
Ἐξηῦρες ἀτεχνῶς φάρμακον στραγγουρίας.
ΒΔ. Καὶ πῦρ γε τουτὶ καὶ προσέστηκεν φακῆ,
Ῥοφεῖν ἐὰν δέῃ τι. ΦΙ. τοῦτ' αὖ δεξιόν.
Κἂν γὰρ πυρέττω, τόν γε μισθὸν λήψομαι.
Αὐτοῦ μένων γὰρ τὴν φακῆν ῥοφήσομαι.

D *BDE. Mane hic parumper, dum quod expedit fero.*
PH. Prisci, vide sis, stat fides oraculi.
Athenienses nam fore olim audiueras
Vt iura potius dicerent domi suæ.
Et vnus ante quisque causidicum fores
Strueret tribunal oppidò paruum, velut
Hecatæum vbique delubrum ad portas solent.
E *BD. Quid vis tibi aliud? ecce nunc tibi omnia*
Quæcunque dixi, & plura multò defero.
Prastò est matella appensa paxillo ad manum
Si forsan vsus poscit, & tu micturus.
PH. Cautum virisque commodum senilibus
Excogitasti pharmacum stranguriæ.
BD. Adest & ignis atque lentes insuper
Sorbere si quid est necesse. PH. hoc expedit,
F *Vel febre tactus capere mercedem velim,*
Manensque lentem in hoc loco deglutiam.

Σχόλια. Ταῦθ' ἥξω.] πρὸς τὸ χρῆμα τοῦ δικαστηρίου ἐπιτηδεύει. Ὅρα τὸ χρῆμα.] ταῦτα πρὸς ἑαυτὸν τοῦ υἱοῦ εἰσελθόντος. ὡς ἐπαληθεία δὲ ταῦτα φησὶν ὅτι χρησμὸς ἐδόθη, ἀλλὰ πρὸς τὸ φιλόδικον αὐτοῦ παίζει.

Christ. Τὰ λόγι' ὡς περαίνεται.] Homerus dicere· τὰ δὴ νῦν πάντα τελεῖται, & vetus poëta, quæ nunc matura videtis, vt videatur vnum esse περαίνεσθαι & ἐπαινεῖσθαι. Hæc autem verba absente filio secum loquitur Philocleon, & tãquam vera fingit, vt excuset τὸ φιλόδικον.

Σχόλια. Ἑκάταιον] ἱερὸν Ἑκάτης. ὡς τῶν Ἀθηναίων πανταχοῦ ἱδρυμένων αὐτὴν ὡς ἔφορον πάντων καὶ κουροτρόφον. Ἑκάταιον οὖν Ἑκάτης ἄγαλμα. τὸ Ἑκατήσιον λεγόμενον. τῇ προσῳδίᾳ Καλλίστρατος ὡς ἐπινίκιον. ἐν Ἰλίῳ γὰρ εὕρηται Ἑκατεῖον.

Christ. Ἑκάταιον] Templum est Hecates, aliter dictum ἑκατήσιον (malè enim apud Scholiastam habes κατήσιον.) Quo nomine fuisse olim Ephesi donarium vel templum factum à Thrasone vt reliqua à Praxitele testatur Strabo li. 14: aliúdque fuisse magnificum in regione Stratonicea eidem Hecatæ dicatum. vbique verò Athenienses Hecatem statuebant, vt quæ esset omnium ἔφορος & κουροτρόφος. Calistratus effert ἑκάταιον, vt ἐπινίκιον. alij ἑκατεῖον.

Σχόλια. Ἀμὶς μὲν.] οὐρητρίς. οὐρητρὸν ἀγγεῖον. οὐρητιάσῃς δὲ, οὐρῆσαι βουλήσῃ. ἡ στραγγουρίας βελτίους νοήματι. Στραγγουρίας.] φυσικῶς τοῦτο εἶπεν ὅτι συμβαίνει τοὺς ἐπέχοντας τὰ οὖρα στραγγουρεῖν. Προσέστηκεν φακῆ]

κῆ.] ὥσπερ τὸ συκῆ ἀπὸ συκέα συναιροῦσι, καὶ τὸ ἀμυγδαλῆ ἀπὸ τοῦ ἀμυγδαλέα, οὕτω καὶ φακῆ ἀπὸ τοῦ φακέα.

A Ῥοφήσομαι.] ὡς φακῆ ῥοφήματος ὄντος ὁμοίως τοῖς ἀσθενοῦσιν ἔπαιξεν, ἐπεὶ οἱ νοσοῦντες χυλὸν πτισάνης ῥοφοῦσι.

Ἀτὰρ, τί τὸν ὄρνιν ὡς ἔμ' ἐξηνέγκατε;
Βδ. Ἵνα γ' ἢν καθεύδῃς ἀπολογουμένου τινὸς,
Ἄδων ἄνωθεν ἐξεγείρῃ σ' οὑτοσί.
Φι. Ἓν ἔτι ποθῶ. τὰ δ' ἄλλ' ἀρέσκει μοι. Βδ. τὸ τί;
Φι. Θηρῷον εἴπως ἐκκομίσαις τὸ τοῦ Λύκου.
Βδ. Πάρεστι τουτί. καὐτὸς ὦναξ οὑτοσί.
Φι. Ὦ δέσποθ' ἥρως. ὡς χαλεπὸς ἄρ' ἦσθ' ἰδεῖν
Οἷός περ ἡμῖν φαίνεται Κλεώνυμος.
Οἰ. Οὔκουν ἔχει γ' οὐδ' αὐτὸς ἥρως ὢν ὅπλα;
Βδ. Εἰ θᾶττον ἐκαθίζου σὺ, θᾶττον ἂν δίκην
Ἐκάλουν. Φι. κάλει νυν. ὡς κάθημ' ἐγὼ πάλαι.
Βδ. Φέρε νυν, τίν' αὐτῷ πρῶτον εἰσαγάγω δίκην.
Τί τις κακὸν δέδρακεν τῶν ἐν τῇ οἰκίᾳ;
Ἡ Θρᾷττα προσκαύσασα πρώην τὴν χύτραν.
Φι. Ἐπίσχες οὗτος. ὡς ὀλίγου μ' ἀπώλεσας.
Ἄνευ δρυφάκτου τὴν δίκην μέλλεις καλεῖν,
Ὃ πρῶτον ἡμῖν τῶν ἱερῶν κατεφαίνετο;
Βδ. Μὰ τὸν Δί' οὐ πάρεστιν. ἀλλ' ἐγὼ δραμὼν
Αὐτὸς κομιοῦμαι, τό γε παραυτίκ' ἔνδοθεν.
Τί ποτε τὸ χρῆμ' ὡς δεινὸν ἡ φιλοχωρία.

Sed curtulistis huncce cristatam alitem?
BD. Vt dormientem dum reus defenditur
(Si fortè) ab alto te canens exsuscitet.
PH. Vnum est quod optem, cætera arrident. BD. quid est?
PH. Imaginem sicunde deportes Lyci.
B *BD. Habes & illam, en Rex adest heros Lycus.*
PH. O Rex Lyce heros, quàm molestum est cernere
Qualem videre possumus Cleonymum.
SER. An arma & ipse cùm sit heros non habet?
BD. Si sedem inisses pro tribunali, illico
Caussam vocarem. PH. Iamdiu sedeo, voca.
C *BD. Ecquam inferemus ergo litem primitus?*
Ecquid quis intus in domo admisit mali?
Threissa nuper ollam adussit futilem.
PH. Siste hic amabo, perdidisti penè me,
Ne lis vocetur absque clathrata fore,
Quæ prima visa est in secandis victimis.
BD. Hoc desit vnum, at ipse cursim deferam
Statimque sistam quod quidem intus eruam:
D *Quàm vix suêta cura sedis ponitur.*

Σχόλια. Τί τὸν ὄρνιν.] ὡς ἀλεκτρυόνα ἐξαγαγόντος τοῦ Βδελυκλέωνος. Ἄδων.] κυρίως τὸ ᾄδειν ἐπὶ τοῦ ἀλεκτρυόνος. κοκκύζειν δὲ ἐπὶ τοῦ κόκκυγος. Θηρῷον.] τὸ ἱερὸν τοῦ ἥρωος Λύκου. πάλιν δὲ καὶ τοῦτο ὡς φιλόδικος.

BISETVS. Θηρῷον, τὸ ἡρῷον, ἀττικὸν σχῆμα. ὡς τὸ θοιμάτιον, τὸ ἱμάτιον. καὶ τὸ τοῦ Λύκου λέγει, δικαστήριον αἰνιττόμενος, ὅπερ ὁ Πολυδεύκης ἐπὶ Λύκῳ φησὶ καλεῖσθαι.

CHRIST. Θηρῷον εἴπως] Tabulam poscit in qua picta sit Lyci Herois effigies, vt in foro iudiciali visitur, neque iste φιλόδικος aliter putaret se in foro versari, nisi præsens esset talis imago. De Lyco diximus supra & Prouerbio λύκου δεκάς, quod ad sycophantas pertinet.

Σχόλια. Πάρεστι τουτί.] πινάκιον κομίζει ἐν ᾧ γεγραμμένος ἦν ὁ λύκος. Χαλεπὸς ἄρ' ἦσθ' ἰδεῖν.] ὡς δυσμόρφου γεγραμμένου τοῦ ἥρωος.

CHRIST. Χαλεπὸς ἄρ' ἦσθ' ἰδεῖν] Puto hunc esse horum verborum sensum. O Lyce Heros, difficile est vt te videamus similem Cleonymi, Nam ille scutum abiecit, Tu verò vt heros habes πανοπλίαν.

Σχόλια. Οἷός περ ἡμῖν.] ἄρρυθμος καὶ μακρός. προείρηται γὰρ ὅτι φαῦλος ἦν τὴν ὄψιν καὶ κακοσύνθετος τὸ σῶμα ὁ Κλεώνυμος. τοῦτο δὲ εἶπε καθὸ καὶ χαλεπὸς ἦν δημαγωγός. ῥίψασπις δὲ ἦν. Οὐδ' αὐτός.] ἐπειδὴ ῥίψασπις ὁ Κλεώνυμος. εἶχον δὲ καὶ οἱ ἥρωες πανοπλίαν. καὶ δῆλον ἐκ τῶν Δαιταλέων.

CHRIST. Ἡ Θρᾷττα προσκαύσασα] Vt Scytha & Scythæna nomina seruorum & seruarum, sic Θρᾷττα nomen ancillæ à regione deuicta mancipium, Nam nomen esse proprium non putem.

Fuit autem cùm putarem προσθραύσασα legendum quia fregisse ollam lateritiã latior est culpa quàm adussisse, quod sæpè necesse est contingere ad ignem. Sed quia Sudas προσκαύσασα agnoscit etiam, non tanti mihi erit mea coniectura quin ea facilè ponam.

Σχόλια. Ἄνευ δρυφάκτου.] δρύφακτος τὸ περιτεινόμενον ὡς εἴρηται ξύλον τοῖς δικασταῖς. Ὁ πρῶτον ἡμῖν.] ἀπὸ τῶν θυόντων. ἐκεῖ μοι γὰρ πρῶτον τὸ ἧπαρ ἐπισκοποῦνται. εἶτα σπλάγχνα καὶ τὰ λοιπά.
E
CHRIST. Ὁ πρῶτον ἡμῖν] Legendum ὃ vt & in Veneta editione, & ad δρύφακτον refertur, quod sedile est iudicum, vel septum cancellatum. Quia verò ait ἱερῶν, & antequam sederent sacris operabantur, ideò Scholiastes ait Metaphoram sumptã à sacrificantibus, vbi primum hepatis specimen spicitur, deinde splenis & cæterarum partium, vt
F procliue sit iudicare in voce δρυφάκτου intelligendum διάφραγμα & præcordia. Scholiastes etiam legit ὃ non ὁ.

Σχόλια. Τό γε παραυτίκ' ἔνδον.] τὸ παρ' αὐτὰ εὑρισκόμενον ἀντὶ τοῦ δρυφάκτου. Τί ποτε τὸ χρῆμα.] τοῦτο ὁ νεανίσκος. φιλοχωρία δὲ ὡσεὶ ἔλεγε τὸ ἐπιχωριάζειν. δεινόν φησι τὰ ἐπιχώρια φιλεῖν, ὅπου καὶ διὰ τὰ ἐν δικαστηρίῳ φιλεῖ πάντα.

CHRIST. Ἡ φιλοχωρία.] Adeò à teneris
G assuescere multum est. τὸ δεινὸν vt sæpe apud Tragicos, admirantis est, vt illud adeò multum est ex Marone. vocat autem φιλοχωρίαν amorem assueti loci in iudicio, Quin postea videtur vocare χωρίον tabulas & γραφεῖον.

ΟΙΚΕΤΗΣ, ΒΔΕΛΥΚΛΕΩΝ, ΦΙΛΟΚΛΕΩΝ.

SERVVS, BDELYCLEON, PHILOCLEON.

BISETVS. Οἰκέτης προσέρχεται, ὃς κυνὸς τροφαλίδα τυροῦ κατεδηδοκότος κατηγορεῖ.

Οἰ. Βάλλ' ἐς κόρακας. τοιουτονὶ τρέφειν κύνα.
B Βδ. Τί δ' ἐστὶν ἑτεόν; Οἰ. οὐ γὰρ ὁ Λάβης ἀρτίως
Ὁ κύων παρᾴξας εἰς τὸν ἰπνὸν ἁρπάσας
Τροφαλίδα τυροῦ Σικελὴν κατεδήδοκε;
Βδ. Τοῦτ' ἄρα πρῶτον τἀδίκημα τῷ πατρὶ
Εἰσακτέον μοι. σὺ δὲ κατηγόρει παρών.
Οἰ. Μὰ Δί' οὐκ ἔγωγ'. ἀλλ' ἅτερός φησι κύων
CHR. Εἰς τὰ Πιττάλου] Vel pharmaca intellige̅dũ, vel τοῦ legendũ vt intelligas domum. In Acharn. dixit πρὸς τὰς Πιττάλου, vbi schol. subaudiit μαθητάς. Fuisse aũt aiũt Pittalum Athenis medicum nobilẽ, de quo nihil alibi memoratum memini. Sed si recta est lectio Πιττάλου (quod ego opinor) mendũ nõ ferendum ex littera exuberãte inrepsit in sudæ codices qui spittalum nobis medicum inuehit & locum illum ex Acharnensium fabula laudat, vt videatur illic malè legisse τοῦ σπιττάλου pro τοῦ Πιττάλου cohere̅te finali articuli littera principio nominis sequentis. Κατέαξ' ἐχῖνον] Vas fuit in iudiciis æneum vel figlinum hoc nomine in quod litis instrumenta & testimoniorum tabulas olim coniiciebant quod fregisse criminis erat loco. Hic autem accusator Euripides de hoc intelligit, Sed Sybaritica illa fœmina ollam testaceam, vel vas coculum fregerat. Nam echinum dictum etiam πλατύ χύτραν μεγαλοςόμον vel auctore Hippocrate testatur Erotianus, & sic postea vsurpatum ab Eupolide & Philemone in Myrmidonib. & Menãder τρέφοντι (malè enim apud Erotianum legi puto ἐπιτρέποντι, cũ Comicus ille non ἐπιτρέποντας fabulã docuerit, sed τρέφοντας aut ἐπιτρόπους diuersas fabulas) sed Echinus ille apud Hippocratẽ operculũ habet pertusũ, ait. n. li. 2. τῶν γυναικ. εἰς ἐχῖνον ἐνθεὶς, ὦ τὸ ἐπίθεμα ἐπὶ ὀπὴν ἔχῃ. vt, pfectò existimẽ primit' hoc genus vasis dictũ ἐγχυτῶν, quia infundatur, deinde pronunciationis corruptela ἐχῖνον. Iudicent eruditiores de coniecturis nostris, non enim pono tanquam κυρίας δόξας. Ἔχων τιν' ἐπεμαρτύρατο] Non arbitror hæc legẽda cum interrogatione, sed simpliciter ait, Ergo Echinus cùm illi aliquis adesset, antestatus est, & iniuriæ actionem intendit.

(Margin letters in commentary: E, F, G)

Σχόλια. Ναὶ τὴν κόρην.] τὴν Περσεφόνην. τουτέστι τὴν κόρον. τὴν πρὸς τὸ τρέφεσθαι μέχρι κόρου ὕλην. τινὲς δὲ περὶ Σικελίαν τὸ κατὰ κόρης ὀμνύειν ἐπιφιλοχώρει. ἐντεῦθεν γὰρ ὁ ᾅδης αὐτὴν ἁρπάσαι μυθεύεται, ὡς οἱ τὰ τοιαῦτα εἰς ἀλληγορίαν λέγοντες, διὰ τὴν γινομένην ἐπὶ χρόνον τινὰ τῶν σπερμάτων κατὰ γῆς ἀφανισμόν. ἐμφαίνει δὲ ἐπιτηδείως. ἐπίδεσμον δὲ τὸν ἐπὶ τῇ πληγῇ δεσμόν. Κλητῆρες ἐπιλείψουσι.] ἐπιλείψουσι μάρτυρες τοὺς καλουμένους ἀγορεύοντας. Αἴσωπον οἱ Δελφοί.] ὁ μὲν Βδελυκλέων ἀπαγορεύων(?) τὸν πατέρα αὐτοῦ φιλοκλέωνα, ἴσως κομίζει. ὁ δὲ ... τὸν πατέρα αὐτοῦ φιλοκλέωνα ... φερόμενος πλάττει μῦθον. διηγεῖται γὰρ τὸ περὶ Αἰσώπου λόγον. ὅτι φασὶν ἐλθόντα ποτὲ εἰς τοὺς Δελφοὺς ἀποσκώψαι αὐτούς, ὅτι μὴ ἔχοιεν γῆν ἀφ' ἧς ἐργαζόμενοι διατρέφοιντο, ἀλλὰ περιμένοιεν ἀπὸ τῶν θεῶν θυμάτων διαζῆν. οἱ Δελφοὶ χαλεπήναντες φιάλην ἱερὰν τοῖς Αἰσώπου σκεύεσιν ὑπέβαλον. ὁ μὲν δὴ οὐκ εἰδὼς τὴν Φωκίδα φέρουσαν ὥρμησεν ὁδόν. οἱ δὲ ἐπιδραμόντες καὶ φωράσαντες, ἱεροσυλίας αὐτοῦ κατηγόρουν. ὁ δ' ἐπιπέτρας οὔσης ἄνω τόρρω(?) τοῦ ἱεροῦ καὶ τῆς πόλεως ἀγόμενος ἀφ' ἧς νόμιμον ἦν τοὺς ἱεροσύλους ῥιπτεῖσθαι, τὸ περὶ τῆς κανθάρου μῦθον αὐτοῖς διηγήσατο. οὗτος καὶ ἐν τρίτῳ μέμνηται ὡς τούτων ὁ ποιητής. ἐν Ἰσίων(?) Αἰσώπου λόγοις ἐξευρέθη, μόνος πετεινῶν εἰς θεοὺς ἀφιγμένος. ἐπεὶ δὲ τὰ εἰκότα λεχθήσεται.

Christ. Νὴ τὴν κόρην.] Notat Scholiastes sic dictam Proserpinam, à saturitate propter Cerealia munera quæ alimoniam dant & satiant. Solitos autem in Sicilia iurare per κόρην, Quia Orcus illinc dicitur viraginem rapuisse Persephonem, Quæ fabula in Allegoriam versa, ostendit seminũ in terra occultationem, atque adeò conciliationem genitalis fœturæ, vt eruditissimus scriptor Arnobius ex Ethnicorum rationibus quibus falsorum numinum crimina excusant, scriptum reliquit, lib. 5. Aduersus Gentes. Cæterùm ἐπίδεσμον ait fasciam ligando vulneri, respiciens scilicet suũ accusatorem. Quod autem ait νοῦν ἂν εἶχες πλείονα. Sic Theocritus dixit, τάχ' ἂν πολὺ μᾶλλον ἔχοις νοῦν.

ΣΤΡΟΦΗ κώλων ια΄.

Χο. Ζηλῶ σε τῆς εὐτυχίας
Τὸν πρέσβυν οἷ μετέστη
Ξηρῶν τρόπων καὶ βιοτῶν.
Ἕτερα δὲ νῦν ἀντιμαθὼν,
Ἦ μέγα πείσεται ἐπὶ
Τὸ τρυφερὸν καὶ μαλακόν.
Τάχα δ' ἂν ἴσως οὐκ ἐθέλοι.
Τὸ γὰρ ἀποστῆναι χαλεπὸν
Φύσεως ἣν ἔχει τις ἀεί.
Καίτοι πολλοὶ ταῦτ' ἔπαθον,
Ξυνόντες γνώμαις ἑτέρων
Μετεβάλοντο τοὺς τρόπους.

STROPHA Col. xij.

CH. Felix quidem est ille senex,
Si desinat mores suos
Victumq; siccum atq; rudem,
Aliaq; si doctus erit
Atq; animum applicet ad
Mollitiam & delicias.
Vereor vt ad se redeat,
Adeo naturam atque habitum
Facile vertere haud poteris.
Quamuis multis accidit hoc,
Suos vt mores moniti
Ab amicis reliquerint.

Σχόλια. Ζηλῶ σε τῆς εὐτυχίας.] τὰ τοιαῦτα εἴδη καλεῖται κατὰ χίασιν. ἔστι γὰρ ἡ παροῦσα στροφὴ κώλων χοριαμβικῶν ἐπιμεμιγμένων ἐπιτρίτοις, διτροχαίοις, διϊάμβοις, δισπονδείοις, ἰωνικοῖς καὶ παίωσι ιβ΄. καὶ ἡ ἀντιστροφὴ τοσούτων. ὧν τὸ μὲν δεύτερον καταληκτικὸν ἤτοι ἐφθημιμερές. τὰ δὲ λοιπὰ πάντα δίμετρα ἀκατάληκτα, τὰ μὲν τετρασυλλάβους ἔχοντα πόδας, τὰ δὲ πεντασυλλάβους. διαλύονται γὰρ αἱ μακραὶ συλλαβαὶ ὥσπερ ἐπὶ τῶν ἰάμβων καὶ τροχαίων εἰς εὕρηται εἰς δύο βραχείας, οὕτω καὶ ἐπὶ τῶν τετρασυλλάβων ποδῶν. εὕρηται γὰρ καὶ χορίαμβος πεντασύλλαβος καὶ δίϊαμβος καὶ διτρόχαιος καὶ ἰωνικὸς καὶ παίων. ἐπὶ τῷ τέλει τῆς μὲν στροφῆς παράγραφος. τῆς δὲ ἀντιστροφῆς κορωνίς. Ἐπὶ τὸ τρυφερόν.] ἀντὶ τὸ τρυφερὸν μαλακῶς. Γνώμαις ἑτέρων.] ἀντὶ μεταπεισθέντες ἐκ παραινέσεως ἑτέρων.

CHR. Ζηλῶ σε τῆς] Hæc carminis species tam in Stropha quã in Antistropha dicitur κατὰ χίασιν, quia inter se respondent & numero versuum & similitudine. Constat vna quęque duodecim colis choriambicis mixtis Epitritis, Ditrochæis, Diiambis, Dispondæis Ionicis & Pæonibus. secundus versus est Dimeter catalecticus, vel vt vocant ἐφθημιμερὴς similis Anacreonticis multis. Reliqui omnes sunt Dimetri Acatalecti, aut quadrisyllabis constantes pedibus aut Quinque-syllabicis. Longæ enim syllabę etiam hic soluuntur in duas breues, proinde vt in disyllabis Iambo & Trochæo, Sic inuenias choriambum hic quinque syllabarum, cum duplici Iambo & Ditrochęo & Ionico & Pæone. Τὸ γὰρ ἀποστῆναι.] Exstat apud Athen. historia de Tirynthiis quę Horatianam sententiam cõfirmat, Naturã expellas furca, tamẽ vsque recurret.

ΑΝΤΙΣΤΡΟΦΗ κώλων ιβ΄.

Πολλοῦ δ' ἐπαίνου παρ' ἐμοὶ
Καὶ τοῖσιν εὖ φρονοῦσι,

ANTISTROPHA Col. xij.

Multam ergo laudem inueniens
Me iudice & prudentibus

Τυχὼν ἄπεισι διὰ τὴν
Φιλοπατρείαν καὶ σοφίαν,
Πῶς ὁ Φιλοκλέωνος. οὐ-
δενὶ γὰρ οὕτως ἀγανῷ
Ξυνεγενόμην. οὐδὲ τρόποις
Ἐπεμάνην. οὐδ' ἐξεχύθην.
Τί γὰρ ἐκεῖνος ἀντιλέγων,
Οὐ κρείττων ἦν, βουλόμενος
Τοὺς φύσαντας σεμνοτέροις
Κατακοσμῆσαι πράγμασιν;

A Philocleonis soboles
Patris ob amorem sapiens
Nunc domum abit: nec vllum enim
Adeò honestum atque bonum
Iuuenem ego noui, neque quem
Magis amarim insano animo.
Vbi etenim ille contra alium
B Dixit, nec vicit melior?
Nunc vult patrem ornare suum
Magis & cultum reddere.

Σχόλια. Φιλοπατρείαν] διὰ τὸ ὑπὲρ τῆς πατρίδος ἀγωνίζεσθαι ἢ τοῦ πατρός. Ἀγανῷ.] ἱλαρῷ καλῷ ἀγαθῷ. οἱ δὲ ἀθανάτῳ. ἔνθεν καὶ ἀγανοφροσύνη προσηνεία, πραότης. Ὅμηρος σοῖς ἀγανοῖς ἐπέεσσιν.

ΟΙΚΕΤΗΣ, ΕΙΤΕ ΘΕΡΑΠΩΝ ΦΙΛΟΚΛΕΩΝΟΣ. ΦΙΛΟΚΛΕΩΝ. ΒΔΕΛΥΚΛΕΩΝ.

SERVVS SIVE FAMVLVS PHILOCLEONIS, PHILOCLEON, BDELYCLEON.

C

Bisetus. Ὁ Φιλοκλέωνος θεράπων θαυμάζει ἑαυτὸν βίου γέμος, ὅπερ ὁ δεσπότης αὐτοῦ πάλαι ... καινοῦ.

Οἰ. Νὴ τὸν Διόνυσον ἄπορά γ' ἡμῖν πράγματα
Δαίμων τὶς εἰσκέκληκεν εἰς τὴν οἰκίαν.
Ὁ γὰρ γέρων ὡς ἔπιε διὰ πολλοῦ χρόνου
Ἤκουσέ τ' αὐλοῦ, περιχαρὴς τῷ πράγματι
Ὀρχούμενος τῆς νυκτὸς οὐδὲν παύεται.
Τἀρχαῖ' ἐκεῖν' οἷς Θέσπις ἠγωνίζετο
Καὶ τοὺς τραγῳδούς φησιν ἀποδείξειν κρόνους
Τοὺς νῦν, διορχησόμενος ὀλίγον ὕστερον.
Φι. Τίς ἐπ' αὐλείοισι θύραις θάσσει.
Οἰ. Τουτὶ καὶ δὴ χωρεῖ τὸ κακόν.
Φι. Κλῇθρα χαλάσθω τάδε. Οἰ. καὶ γὰρ δὴ
Σχήματος ἀρχὴ
Μᾶλλον δέ γ' ἴσως μανίας ἀρχή.
Φι. Πλευρὰν λυγίσαντος ὑπὸ ῥώμης.

SER. NOstras in ædes, Liberum testor patrem,
Inuexit aliquis nunc deus res turbidas,
D Nam potus iste tempore à multo senex
Vt tibiam audit, volupe ducens gaudium
Saltare tota nocte nunquam desinet.
Quin & Tragœdos autumat probassere
Stulta esse mentis, quum breui saltus dabit.
PH. Quis vestibuli sedet in foribus?
SER. En hocce malum quò procedit.
PH. Age laxentur claustra hac. SER. Etenim
E Schema Tragœdi
Incipit aut insani potius.
PH. Quod subnexum torquet latera,

Σχόλια. Εἰσκεκύκληκεν] εἰσήγαγεν.

Bisetus. Εἰσκύκληκεν, ἀντὶ τοῦ εἰσεκύκληκεν, εἰσήγαγεν, εἰσελήλυθεν, παρὰ τὸ εἰσκυκλεῖν, τὸ κυκλοῦντα εἰσάγειν, εἰσφέρειν, ὡς τοὺς τροχούς, καὶ τὰ στρογγύλα, καὶ τὰ σφαιροειδῆ ὠθοῦντες, καὶ κυκλοῦντες εἰς τὰς οἰκίας εἰσφέρομεν.

Christ. Ἔπιε διὰ πολλοῦ χρόνου] Dixerat enim Philocleon prius cùm ad conuiuium iret cū Symbola, ἵνα μεθυσθῶμεν διὰ χρόνου. Videntur enim facilius inebriari qui contra morem suum & frugalis victus rationem, inuitant sese in cœna plusculum, deinde tibiarum acroasima vt animum reficit, ita perturbationes capitis incalescentis mero adiuuat. Legendum autem procul dubio ἤκουσέ τ' αὐλοῦ non αὐτοῦ. Et sic inuenio scriptum in Veneto codice, qui tamen sæpe infanum quantum mendosus reperitur. Cæterum dixit οὐδὲν παύεται pro οὐ παύεται, vt Homerus libr. primo Iliad. ὅτ' ἄριστον ἀχαιῶν οὐδὲν ἔτισεν.

Σχόλια. Οὐδὲν παύεται.] ὅμοιον τῷ παρ' Ὁμήρῳ, ὅτ' ἄριστον Ἀχαιῶν οὐδὲν ἔτισεν. ἀντὶ τοῦ οὐκ ἔτισεν. Θέσπις] ὁ κιθαρῳδός. οὐ γὰρ ὁ τραγικός.

Christ. Θέσπις ἠγωνίζετο] Thespis hic citharœdus erat, ne quis de Tragico dictum existimet. Quòd verò ait κρόνους τοὺς νῦν, fatuos & stolidos intelligit & verè ὄνους vt de Diodoro dixit Laertius, qui cùm propositas à Stilpone quæstiones Dialecticas non intelligeret, dictus est ioculari scommate κρόνος, vnde si priores duas litteras F aufferas, manebit ὄνος. Nam & tarda & ἀναίσθητα ingenia sic vocabant. Catullus. Mule nihil sentis. Saturnus antiquiss. deus multis prouerbiis occasionem dedit, vt κρόνου πυγή, κρόνιαι λῆμαι, de quibus vide Adagiorum scriptores. Sic Comicus noster dixit κρονίων & ἀρχαίων ὄζειν, & κρόνον magnum nugatorem & delirum.

Σχόλια. Κρόνους.] ἀρχαίους. μωρούς. λήρους. ἀναισθήτους. G Τίς ἐπ' αὐλείοισι] ἐρχόμενος ὁ γέρων σχηματίζεται τραγικώτερον, χήματος γὰρ τοῦ τραγικοῦ. λυγίσαντος, συστρέψαντος, περικαμψάντος. ἡ μεταφορὰ ἀπὸ τῶν παλαιόντων. Θεόκριτος.

Κάκχεν τύ θην τὸν ἔρωτα κατεύχεο Δάφνι λυγιξεῖν,
Ἆρ' οὐκ αὐτὸς ἔρωτος ὑπ' ἀργαλέω ἐλυγίχθης;

Christ. Λυγίσαντος] Rectè sentit, me iu-

dice, Scholiastes qui à luctatoribus translatū hoc verbum scripsit, qui velut nexis manibus solent aduersarium prehensum deiicere, Quamuis primigenia notione λύγος sit vimen & λυγίζειν liga-

A re, vnde Latinum ligo & nostrum *Lier*. Theocritus in primo Idyllio pro superare vsurpauit, τὰ θλῶ τὸν ἔρωτα κατεύχεο δ᾽ ἄφνι λυγιξεῖν &c.

Οἷον μυκτὴρ μυκᾶται. καὶ
Σφόνδυλος ἀχεῖ. Οἰ. πῖθ᾽ ἐλλέβορον.
Φι. Πτήσσει Φρύνιχος ὥς τις ἀλέκτωρ.
Οἰ. Τάχα βαλλήσεις.
Φι. Σκέλος οὐράνιόν γ᾽ ἐκλακτίζων
Πρωκτὸς χάσκει. Οἰ. κατὰ σαυτὸν ὅρα.
Φι. Νῦν γὰρ ἐν ἄρθροις τοῖς ἡμετέροις
Στρέφεται χαλαρὰ κοτυληδών.
Βδ. Οὐκ εὖ μὰ Δί᾽ οὐ δῆτ᾽ ἀλλὰ μανικὰ πράγματα.
Φι. Φέρε νῦν, ἀνείπω, κἀνταγωνιστὰς καλῶ.
Εἴ τις τραγῳδός φησιν ὀρχεῖσθαι καλῶς,
Ἐμοὶ διορχησόμενος ἐνθάδ᾽ εἰσίτω.
Φησίν τις; ἢ οὐδείς; Βδ. εἷς γ᾽ ἐκεινοσὶ μόνος.
Φι. Τίς ὁ κακοδαίμων ἐστίν. Βδ. υἱὸς Καρκίνου
Ὁ μέσατος. Φι. ἀλλ᾽ οὗτός γε καταποθήσεται.
Ἀπολῶ γὰρ αὐτὸν ἐμμελείᾳ κονδύλου.
Ἐν τῷ ῥυθμῷ γὰρ οὐδέν ἐστ᾽. Βδ. ἀλλ᾽ ὦ ᾽ζυρὲ
Ἕτερος τραγῳδὸς Καρκινίτης ἔρχεται,
Ἀδελφὸς αὐτοῦ. Φι. νὴ Δί᾽ ὠψώνηκ᾽ ἄρα.
Βδ. Μὰ τὸν Δί᾽ οὐδέν γ᾽ ἄλλο, πλήν γε Καρκίνους.
Προσέρχεται γὰρ ἕτερος αὖ τῶν Καρκίνου.
Φι. Τουτὶ τί ἦν τὸ προσέρπον. ὀξὶς ἢ φάλαγξ;
Βδ. Ὁ Πιννοτήρης οὗτός ἐστι τοῦ γένους,
Ὁ σμικρότατος, ὃς τὴν τραγῳδίαν ποιεῖ.
Χι. Ὦ Καρκίν᾽ ὦ μακάριε τῆς εὐπαιδίας.
Ὅσον τὸ πλῆθος κατέπεσεν τῶν ὀρχίλων.
Ἀτὰρ καταβατέον γ᾽ ἐπ᾽ αὐτοὺς ὦ ᾽ζυρέ.
Ἅλμην κύκα τούτοισιν, ἢν ἐγὼ κρατῶ.

En quale patens mugit naris,
Vertebra sonat. SER. *Pota elleborum.*
PH. *Trepidat galli Phrynichus instar.*
SER. *Num saxa iacis?*
B PH. *Crus sublime sub athera vibrans*
Hiscis podex. SER. *at respice te.*
PH. *Nunc in nostris facilè articulis*
Natis en resoluta mouetur.
BD. *Non hac agilitas sed mera est insania.*
PH. *Age amulos nunc prouoco aduersarios*
Si quis Tragœdus esse saltator bonus
Ait, huc adesto exercitor salisubsulus,
C *Nemon' loquetur?* BD. *solus en ille vnicus.*
PH. *Quis tam misellus ille?* BD. *Cancrifilius,*
Medius trium. PH. *sed illicò absorbebitur,*
Quia alapa saltatione occiderem
Vt qui imperitus sit modorum. BD. *ast ô miser*
Alter Tragœdus proximat Cancro satus
D *Et frater huius.* PH. *hic, puto, obsonatus est.*
BD. *Nil ergo cancros prater esitauerit:*
Cancri ecce rursus natus alter huc venit.
PH. *Quid est? araneúsne vel acetabulum?*
BD. *Hic Pinnoteres dicitur, gentis sua*
Pumillimus, qui scriptor est Tragœdia.
PH. *O Cancer alma prole felix liberûm*
Quanta Orchilorum multitudo decidit!
E *Facienda in illos, ô bone, est, escensio,*
Si forsan illos capio, salsuram para.

Σχόλια. Σφόνδυλος] ἴσως αἰσχρόν τι πεποίηκε.

CHRIST. Σφόνδυλος ἀχεῖ] Fortassis senex ita constrictus & sublatus à filio crepitum ventris emiserat, aut aliud quid turpe designauit quod famulū coegit imprecari, πῖθ᾽ ἐλλέβορον, Id insanis dici solet. Sed fortassis quia Veratrum nigrum, foliis est Sphondylij proximum, & ventrem mouet, F propterea fortassis ludit in voce σφονδύλῳ & ἐλλεβόρῳ quod σφονδυλίῳ est simile. Scholiastes hoc loco litteram decussatam apponit, quasi culpę notam, quia πῖθι inquit, de Pharmacis sumendis dicitur, πῖε de potionibus quotidianis & quibuslibet, & laudat hunc Senarium λαγὼν ταράξας πῖθι τὸν θαλάσσιον, id est Leporem marinū sume quum turbaueris. Sed neque vera est hæc obseruatio, nā & Prouerbium vincit πῖθι ἢ ἄπιθι, neque secum consentanea scripsit hic Grammaticus, nam si de Pharmacis πῖθι propriè dicitur, rectè ergo hic G vsurpat hoc verbi noster Comicus, nullum enim certius est Pharmacum quam Ellebori, cuius natura ea est (vt sapiens Democritus ab Hippocrate ἐλλεβορισθησόμενος ad eundem scripsit) vt sanitatē pariter & insaniam purget, támque sanis noceat quàm insanis prodest. Eo Præti filias purgatas à

furore scribit Dioscorides, ideóque vocatū Melampodion putat.

Σχόλια. Πῖθ᾽ ἐλλέβορον.] ἐπιτιμᾶται τὴν λέξιν κἀνταῦθα τὸ χ. ὅτι τὸ μὲν πῖθι, ἐπὶ φαρμάκου λέγουσι. λαγὼν ταράξας πῖθι τὸν θαλάσσιον. τὸ δὲ πῖε ἐπὶ τοῦ ποτοῦ. ἐκ τοῦ ἐλλεβόρου καὶ ἐλλεβοριᾶν, τὸ ἐλλεβόρου δεῖσθαι. ὡς Καλλίας φησί. καὶ ἐλλεβορίζειν. Πτήσσει Φρύνιχος] παροιμία ἐπὶ τῶν κακόν τι παθόντων. ἀπὸ Φρυνίχου τοῦ τραγικοῦ. ὃν Ἀθηναῖοι χιλίαις ἐζημίωσαν, ἅλωσιν Μιλησίων τραγῳδήσαντα. ὁ δὲ Φρύνιχος οὗτος Ἀθηναῖος ἦν υἱὸς Μελανθᾶ. ἔστι δὲ τῶν δραμάτων αὐτοῦ Ταντάλος, Ἀνδρομέδα, Ἠριγόνη. ἐποίησε καὶ Πυρρίχας. πτήσσειν δὲ κυρίως τὸ φεύγειν καὶ φοβεῖσθαι. λέγεται δὲ ἐπὶ τῶν ὀρνίθων.

BISETVS. Εὐστάθιος. πτήσσω, τὸ μὲν φόβῳ συστέλλομαι, παρὰ τὸ πτῶ, ὃ ἐκ τοῦ πέτω συγκέκοπται. ἀλλαχοῦ δὲ πτήσσειν παρ᾽ Ὁμήρῳ, ἀντὶ τοῦ πτοεῖν, καὶ ἐκφοβεῖν μεταβατικῶς. πτήσσειν δὲ τὸ φοβεῖσθαι, ὅθεν πτὼξ, καὶ ὁ πτωχός.

CHRIST. Πτήσσει Φρύνιχος ὥστις ἀλέκτωρ] Iuit in Prouerbium Phrynichi poetæ (vt volunt) Tragici trepidatio, quem Atheniēses filium Melanthæ multarunt mille drachmis, quod Milesiorum excidium repræsentasset in Tragœdia, neque

puto

puto eundem esse qui mortuus proditionis damnatus est, vt scribit Plutarchus in Alcibiade. apud quem integrum habes Senarium poetæ cuiusdã, vnde hic versus nostri Comici de Phrynicho sumptus videtur, saltem qui huc pertinet, est autem de domito à Socratis disciplina Alcibiadis ingenio, ἔπτηξ' ἀλέκτωρ δοῦλος ὡς κλίνας πτερόν, id est Obnoxium alam flexit vt gallus tremens.

Σχόλια. Τάχα βαλλήσεις.] ῥίψεις λίθους δηλονότι ὀρχούμενος. Σκέλος οὐράνιον.] ὡς αὐτοῦ ἐπάραντος τὸ σκέλος καὶ ἐπιδείξαντος τὸν πρωκτόν.

CHRIST. Ἐκλακτίζων] Muliebris saltatio & velut ἐμμέλεια exarmata, dicebatur ἐκλάκτισμα, mollisque erat fracta & obscæna, (vt scitè notat in lib. Poetices Princeps literatorum Cæsar Scaliger) quia calce humerus erat superandus & retegendæ partes pudendæ, similes ferè ei quæ apud Laconas βίβασις dicebatur, in qua nates calcibus impetebatur, vt diximus ad Lysistratam, saltuumque numerus recensebatur, vt cuidam saltationi inscriptum olim fuerit, & cani deinde in laudē solitũ χίλια πόκα βιβάντες. Hesychius nõ ἐκλάκτισμα sed ἐκλακτισμὸν vocat, aitque esse Choricum schema, & ὄρχησιν σύντονον. Herodotus in Eratone, genus illud saltationis propter quod Hippoclides excidit spe matrimonij, & (vt ipse ait scriptor) ἀπωρχήσατο τὸν γάμον, vocat Emmeliam, &, vt arbitror, ἐκλάκτισμα fuit, nam vtitur his verbis, σκέλεσι ἐχειρονόμει. Quod cùm vidisset speratus socer Clisthenes alium asciuit sibi generũ, spretus verò ille fastidioso dicterio eum vltus Prouerbium peperit οὐ φροντὶς Ἱπποκλείδῃ.

Σχόλια. Κοτυληδόν.] συγκινοῦντες ἢ κοτυλήδων σφίγγεται. Ἀλλὰ μανικὰ πράγματα.] εἰπόντος αὐτῷ ὅτι νῦν δὴ λέλυμαι χαλαρὰς γενομένας τὰς κοτύλας, ἐπάγει ὁ παῖς ὅτι οὐκ ἐκλύσεως ἀλλὰ μανίας ἐστὶ πράγματα.

CHRIST. Μανικὰ πράγματα] Quia pater dixerat de laxitate κοτυληδόνος, & mobilem velut ἔκλυσιν commendarat Filius inquit, non est ἔκλυσις sed verè ἔκστασις & μανία. Sic enim Μανίαν etiã vocat Hippocrates. Paulò post ἀνέπτυ dicit, id est ἀνακηρύξω & ἀναχρεύσω.

Σχόλια. Ὁ μέσατος] ὁ τραγικὸν λέγει μέσατον. ἄλλως. ἀντὶ τοῦ μέσος. καὶ Μένανδρος Καρχηδονίοις. ἀκριβῶς δὲ ἔοικεν ἔχειν. τέσσαρες μὲν δή εἰσιν. ἀλλ' οἱ τρεῖς χορευταί. Ξενοκλῆς δὲ ποιητής. καταλέγει αὐτοὺς ὡς Φερεκράτης. τῶν τριῶν οὖν μέσος.

BISETVS. Καταποθήσεται] καταπίνω, μέλλων ἀόριστος, καταπίσω, παρὰ τὸ καταπίω. καὶ καταπώσω, παρὰ τὸ καταπώω ἄχρηστον, ἀνθ' οὗ καταπίομαι ἐν χρήσει. ὁ παρακείμενος καταπέπωκα, ὡς παρὰ τὸ πώω. καὶ καταπέποκα, ὡς παρὰ τὸ πόω, ἄμφω ἄχρηστα. ἐκ τούτων μὲν οὖν γίνεται ποτὲ μὲν τὸ καταπίνομαι, ὅθεν τὸ αἰολικὸν πῶμα, πώματος. ποτὲ δὲ, τὸ καταπέπομαι, ὅθεν τὸ πόμα, καὶ πόσις, καὶ ὁ πότος, ου. καὶ ποτὸς, ἡ, όν. ὅθεν ὁ μέλλων πρότερος παθητικὸς καταποθήσομαι. ὁ δὲ ἀόριστος β. ἐνεργητικὸς, ἔπιον, παρὰ τὸ πίω. ὅθεν ὁ μ. β. πίομαι, ἀντὶ τοῦ πίωμαι, περὶ δὲ τούτων ἐν τοῖς ἄνω.

CHRIST. Ὁ μέσατος] Quattuor habuit filios Carcinus, sed de tribus tantum agit, qui erant χορευταί, nam quartus Xenocles poeta erat. Dixit autem μέσατος pro μέσος vt sæpè apud bonos auctores. Ἀπολῶ γὰρ αὐτόν] Malim αὐτός, & sic puto melius, festiuè autem ἐμμελείας κονδύλων dixit quia χειρονόμος & manus ictum daret desultoriũ. Sic videtur Euripides de Cyclope dixisse qui so-

A cios Vlyssis mandebat ῥυθμῷ τινι. Propriè autem ῥυθμὸς dicitur illa ἄρσις & θέσις eorum qui pede & manu plaudunt, vnde translatum ad pedes metricos. Ostendit autem quàm fuerint pusilli & tenues homunciones isti Carcinitæ, sed & tacitè innuit malum choreutem illum medium, cum ait ἐν τῷ ῥυθμῷ γὰρ οὐδὲν puta οἶδεν voluisse addere.

Σχόλια. Ἐμμελείᾳ κονδύλου] ἐμμέλεια τραγικὴ ὄρχησις, ὡς εἰ ἔλεγεν ἐμμέλεια μὲν οὐ, ἔσται δὲ κονδύλοις, δηλονότι κονδύλοις αὐτὸν καὶ ἀπολῶ αὐτόν. μικρὸς γὰρ ἐστὶ

B καὶ λεπτός. Ἐν τῷ ῥυθμῷ γὰρ.] ἀντὶ τοῦ οὐδὲν οἶδε τοῦ ῥυθμοῦ. Καρκινίτης δὲ ἐκ Καρκίνου. ἀφωνος δὲ εἶπεν ὡς ὀψοφάγου αὐτὸν διαβάλλων, πλὴν γε Καρκίνους παρὰ τοὺς καρκίνους τοὺς λεγομένους πάγουρους.

BISETVS. Ἀλλ' ὦ ζυρὲ] τὸ πλῆρες, ἀλλ' ὦ οἰζυρέ. οἰζύω, τὸ θρηνῶ, καὶ κακοπαθῶ, παρὰ τὸ οἶ θρηνητικὸν ἐπίρρημα γίνεται οἴζω ὅθεν οἰζύω, καὶ διαλύσει ἰζύω, ὅθεν οἰζὺς, καὶ οἰζυρὸς ὄνομα. τὰ οἰζὺς, ἡ κακοπάθεια θρήνων ποιοῦσα. καὶ οἰζυρὸς, ὁ κακοπαθῶν, καὶ ἄθλιος.

C Σχόλια. Ὀξὶς ἡ φάλαγξ.] εἶδος ἀγγείου ὀξηροῦ ἡ ὀξίς. ἄλλως. εἰς μικρὸν τὸν Φιλοκλέα καὶ Φαλάγγιον. δῆλον δὲ ἐκ τῶν Φερεκράτους ἀγρίων. καὶ Καρκῖνος μέν τις ἦν ὁ Θωρυκίου υἱός. ἦσαν δὲ αὐτῷ τρεῖς τινες. μικροὶ. κομῆται τότε καὶ νῦν εἰσὶ μικροὶ κομῆται. φίλαρχοι τότε παῖδες ἦσαν ὄντες νῦν φιλαρχικώτεροι. μὰ τὸν Δί' οὐ τρεῖς τι ἐκεῖνοι εἰσιν οἱ τέτταρες. Ὁ πιννοτήρης.] περὶ Ξενοκλέους ὁ λόγος πιννοτήρης δὲ καὶ ἄλλως ἀλλ' ἐπεὶ Καρκίνιόν τι ἐστι σύντομον καὶ ἀεὶ ταύτῃ προσεχόμενον. Σοφοκλῆς Ἀμφιαράῳ ὁ πιννοτήρης τοῦ δὲ μάντεως χωρὶς.

D ἄλλως. πίννα ὄστρεόν ἐστι. τὸ τούτου ἔχεται Καρκῖνος. καὶ ὅταν εἰσέλθῃ μικρὸν ἰχθύδιον δάκνει τὴν πίνναν καὶ συγκλείει τὸ ὄστρακον καὶ ἀποκλείει τὸ ἰχθύδιον. ἄλλως. οἱ μὲν ζῷόν τι λέγουσι σύντομον τῷ Καρκίνῳ τὸ πιννοτήρην. οἱ δὲ αὐτὸν τὸν Καρκῖνον ὡς ἐπιτηροῦντα τὴν πίνναν. φασὶ γὰρ ὅτι ἡ μὲν πίννα πρὸς τὰς ἀκτῖνας ἀνοίξασα τοῦ ἡλίου ἀνοίγνυσι τὸ ὄστρακον, καὶ τὴν θέρμην εἰσδέχεται. ὁ δὲ ἐπιτηρῶν εἰσέρχεται καὶ δάκνει αὐτήν. ἡ δὲ συγκλείει τὸ ὄστρακον καὶ βιβρώσκεται ὑπ' αὐτοῦ.

BISETVS. Ἀθήναιος ἐν τῷ γ. τῶν Δειπνοσοφ.

E αἱ πίνναι ὀρθαὶ φύονται ἐκ τοῦ βυθοῦ, ἔχουσί τι ἐν ἑαυταῖς τὸν πιννοφύλακα, αἱ μὲν καρίδιον, αἱ δὲ καρκίνιον. οὗ στερόμεναι θᾶττον διαφθείρονται. καὶ ἡ μὲν πίννα ὄστρεόν ἐστιν, ὁ δὲ πιννοτήρης, καρκῖνος μικρός. καὶ ἡ πίννα διαστήσασα τὸ ὄστρακον, ἡσυχάζει τηροῦσα τὰ ἐπεισιόντα ἰχθύδια. ὁ δὲ πιννοτήρης παρεστὼς ὅταν εἰσέλθῃ τι, δάκνει αὐτὴν ὥσπερ σημαίνων. ἡ δὲ δηχθεῖσα συμμύει. καὶ οὕτω τὸ ἀποληφθὲν ἔνδον κατεσθίουσι κοινῇ.

CHRIST. Ὁ πιννοτήρης] Sic vocat minimũ natorum Carcini qui fortassis est Xenocles scri-

F ptor Tragœdiarum quem quartum præter tres alios esse diximus. Tamen Scholiastes Philoclem scribit & testem laudat Pherecratē ex fabula ἀγρίων (nescio an verus hic titulus fabulæ Pherecrateæ, nisi legas ἀγρίων, nam eam fabulã docuit) vt lucem nullam dispiciam in ista nomenclatura. Nos ad Irenam satis multa congessimus de istis Carcinomatis. sed quibus fides non est astruenda vt iuratis testibus, nihil statuimus iure perpetuo sed arbitrario tantum. Cæterum cum ait hic no-

G ster ὀξὶς ἡ φάλαγξ, certè λοπάδα vel Patellam de genere concharum ὀξίδα, (vt puto) vocauit per φάλαγγα Cancrorum genus qui Μαῖαι dicuntur & nos vocamus Maris Araneum: fortassis autē Pinnoterem ab acumine dixit ὀξίδα.

Σχόλια. Τῶν ὀρχίλων.] ὀρχίλος εἶδος ὀρνίθου μι-

κρόν. ἐκ τούτου βραχὺ καὶ κατωφερὲς, ἅμα μὲν πρὸς τὴν A λαγνείαν, ἅμα δὲ πρὸς τὴν ὄρχησιν. ἐμφαίνει δὲ αὐτοὺς καὶ μεγάλα αἰδοῖα ἔχοντας. Ἁλμὴν κύκα.] ὡς πρὸς ἰχθῦς ὁ λόγος, ὅτι ἅλμη ὅτι πάντως ζωμός. καὶ τὸ πρὸς τὸ πολυφάγον αὐτῶν. ἵνα γὰρ τὰ κρέα μὴ σήπηται, πάττεται τῇ ἅλμῃ. ἄλλως. ἐπειδὴ ἅλμην παρασκευάζουσιν ἐπὶ τῷ φαγεῖν ἰχθύδια ἢ καρκίνους, ὡς καρκίνοις οὖν αὐτοῖς χλευαστικῶς φησιν ὅτι παρεσκεύασε ἅλμην, ἵνα ἐὰν αὐτοὺς νικήσῃ ὀπτήσῃ αὐτοὺς καὶ φάγῃ.

CHRIST. Ἢν ἐγὼ κρατῶ] Non dubito quin legendum sit ἣν pro ἐὰν quod videtur placuisse Scholiastæ. Si inquit victor fuero, vide vt salsuram & muriam tuis filiis pares quò facilius eos obsonem. Versu sequenti, vt integrum sit metrum Aristophanicum lego αὐτοῖς ὀλίγον.

B

ΧΟΡΟΣ, ΗΜΙΧΟΡΙΟΝ.

CHORVS, SEMICHORVS.

BISETVS. Ὁ χορὸς εἰς δύο μέρη διαιρεθεὶς ᾄδει, καὶ ὀρχεῖται, καὶ τῷ δράματι τέλος οὕτως ἐπιτίθησι.

Χο. Φέρε νῦν, ἡμεῖς αὐτοῖς ὀλίγον ξυγχωρήσωμεν ἅπαντες
Ἵν᾽ ἐφ᾽ ἡσυχίας ἡμῶν πρόσθεν βεμβηκίζωσιν ἑαυτούς.

CH. Agedum nunc nos pauxillum concedamus temporis ipsis
Tranquillè vt coram nobis sese versent turbinis instar.

C

Σχόλια. Βεμβηκίζωσιν.] διακινήσωσιν. βέμβηξ δὲ ὁ ξύλινος στρόμβος. ἐν ἐπιγράμματι,

Οἱ δ᾽ ἄρ᾽ ὑπὸ πληγῇσι θοὰς βέμβηκας ἔχοντες
Ἔστρεφον εὐρείῃ παῖδες ἐνὶ τριόδῳ.

καὶ ἀλλαχοῦ Ἀριστοφάνης. βέμβικος οὐδὲν διαφέρειν δεῖ. ἀντὶ τοῦ εὐκινήτου καὶ εὐστρόφου εἶναι δεῖ. ἔστι δὲ ὁ βέμβηξ ὀργαλεῖον ὃν μάστιγι στρέφουσιν οἱ παῖδες. ἢ παίγνιον τῶν παίδων, ὡς τροχὸς ὃ μάστιγι κομβέως στρέφεται· τὸ βεμβηκίζειν τὸ περιστρέφεσθαι, ὡς καρκίνοις δὲ ὁ χορὸς αὐτοῖς διαλέγεται. D

CHRIST. Βεμβηκίζωσιν] Id est circumagant se & versent, vt à pueris solet turbo, vnde in Auibus dixit βέμβικος οὐδὲν διαφέρεις, quibus verbis notatur τὸ εὔστροφον καὶ εὐκίνητον horum Salisubsulorum. Neque alia ratione in Irena hos Carcini filios Strobilos vocat propter orbiculatam ὄρχησιν, tum quia στρόβιλοι dicantur limaces & ceryces turbinati, Quæ ideò hic addita voluimus præter quæ ad Irenam notata à nobis, Quia illic, perperam diximus nescio quæ de nucleis pineis qui & Strobili dicti, sed (vt arbitror) ἄπορος διονύσως. Ludit autẽ Comicus ad nomen στροβίλων, cùm paulò post ait στρόβει, παράβαινε κύκλῳ. &c. Propriè autem καρίδων mentionem facit, quod est Squillæ & Cancri genus quod nos à saltatione capreolas dicimus.

ΣΤΡΟΦΗ κώλων ι.

STROPHA Col. x.

Ημι. Ἄγ᾽ ὦ μεγαλώνυμα
Τέκνα τοῦ θαλασσίου,
Πηδᾶτε παρὰ ψάμαθον
Καὶ θῖν᾽ ἁλὸς ἀτρυγέτοιο.
Καρίδων ἀδελφοί.
Ταχὺν πόδα κύκλῳ σοβεῖτε.
Καὶ τὸ Φρυνίχειον
Ἐκλακτισάτω τις ὅπως
Ἰδόντες ἄνω σκέλος,
Ὤζωσιν οἱ θεαταί.

E

SEM. Age inclyta nomina
O maris propagines,
Saltate prope pelagi
Littus, steriles & arenas:
Caridum ite fratres
Citos pedes mouete in orbem,
Tum recalcitrans quis
Alto pede Phrynichium
In schema eat, accinens
Miretur vt theatrum.

F

Σχόλια. Καὶ τὸ Φρυνίχειον.] δῆλον ὡς σημειῶδές τι ἦν τὸ Φρυνίχειον. τὸ εἰς ὕψος ἐν τῇ ὀρχήσει ἐκλακτίζειν. τὸ δὲ ὤζωσιν. ἀντὶ τοῦ θαυμαστικόν τι λέγωσι. συνέθηκε δὲ ὥσπερ τὸ οἰμώζειν καὶ κλαίζειν, ἀπὸ τοῦ ὢ θαυμαστικοῦ.

CHRIST. Ὤζωσιν οἱ θεαταὶ] Id est Admiratione perculsi spectatores clament & vociferentur, cùm videris arduos secundum Phrynichum saltus, crure scilicet in sublime extenso. Puto verò legendum per o magnum ὤζωσιν, Fictum verbum à particulis ὢ ὢ quo etiam vsus est Æschulus in Dictis, proinde vt ab αἶ αἶ verbum αἰάζειν, ab οἴμοι verbum οἰμώζειν, & à φεῦ φεῦ fecit etiam idem Æschylus nouum verbum φεύζειν in Agamemnone, vbi cùm Cassandra dixisset φεῦ φεῦ, respondet Chorus τί τοῦτ᾽ ἔφευξας; Ego verò arbitror etiam ab ἒ ἒ manasse ἐλέγους eadem ratione vel potius ἀναλογίᾳ. G

ΣΤΡΟΦΗ ἑτέρα στίχων ι.

STROPHA altera ver.10.

Ημ. Στρόβει, παράβαινε κύκλῳ, καὶ γάστριζε σεαυτόν

SEM. Procede, choréámque moue, pectus tuum retundens

CHRIS.

Christ. Στρόβει, περιδίνει] Stropha hæc notatur decem versuum numero, quãuis septem tantum habeat, vt necesse sit tres desiderari, aut aliter digerendos istos. Quod genus sit hoc carminis, non est mihi procliue affirmare, tamen prout distincti sunt existimo metrum esse λογαοιδὸν ex Anapæstis constans & συζυγίᾳ Iambica ἑφθημιμερεῖ, quamuis ad λογαοιδοὺς versus sciam προχαιμίαν ἀποδίαν pertinere. Fortassis etiam Archebuleum carmen est de quo consulendus Hephæstion. Γάστριζ᾽ αὑτόν] Verbera pectus tuũ, hoc enim est γαστρίζεσθαι, est etiam lautè viuere & inuitare se plusculum in cœna.

Ῥίπτε σκέλος οὐράνιον. βέμβικες ἐγγενέσθων.	*Crus erige in aëra, fiant turbines rotati:*
Καὐτὸς γὰρ ὁ ποντομέδων ἄναξ πατὴρ προσέρπει,	*Namque ipse maris dominator huc pater propinquat*
Ἡσθεὶς ἐπὶ τοῖσιν ἑαυτοῦ παισὶ, τοῖσι τριόρχαις.	*Latus sobole propria, tribus puta Triorchis:*
Ἀλλ᾽ ἐξάγετ᾽ εἴτι φιλεῖτ᾽ ὀρχούμενοι, θύραζε	*Verùm ite foras Salisubsuli ite, si quid hæc ars*
Ἡμᾶς ταχύ. τοῦτο γὰρ οὐδείς πω πάρος δέδρακεν,	*Vobis placet, hoc etenim nondum accidit cuiquam*
Ὀρχούμενον ὅς τις ἀπήλλαξεν χορὸν τρυγῳδῶν.	*Quicunque chorum salientem emiserit Tragœdus.*

Σχόλια. Ῥίπτε σκέλος.] Εὐφρόνιος οὕτω φησὶν ὀνομάζεσθαι σχῆμά τι τραγῳδικῆς ὀρχήσεως. βέμβικες δὲ περιφοραί. περιαγωγαὶ ὡς ἀνωτέρω εἴρηται.

Christ. Ῥίπτε σκέλος] Euphronius sic vocari censet genus Tragœdicæ saltationis. Sed puto referendum ad superiora quæ dixit περὶ ἐκλακτισμοῦ Nam σκέλος οὐράνιον nihil aliud est quàm crus sublime. Sunt autem hic βέμβικες, circumactus & rotationes, περιφοραὶ δὲ περιαγωγαὶ vt diximus.

Σχόλια. Καὐτὸς γάρ.] ὁ Καρκῖνος φησὶ προσέρχεται. πρὸς τοῦτο γὰρ καὶ τὸ ποντομέδων.

Christ. Ποντομέδων] Sic Carcinum vocat propter filios, quos antè dixit τέκνα τοῦ θαλασσίου. Legendum verò versu sequenti propter metrum τοῖς τριόρχαις non τοῖσι vbi ludit in voce propter τρεῖς ὄρχεις.

Σχόλια. Τοῖσι τριόρχαις.] ἔπαιξε διὰ τὸ τρεῖς εἶναι. ἔστι δὲ ὁ τριόρχης ὄρνεον. Ἐξάγετ᾽ εἴτι φιλεῖτε] ἐξάγετε ἑαυτούς φησιν ἔξω. Οὐδείς πω πάρος.] εἰσέρχεται γὰρ ὁ χορὸς ὀρχούμενος. οὐδαμῶς δὲ ἐξέρχεται.

Christ. Οὐδείς πω πάρος] Chorus enim ingrediens saltus edebat, nunquam egrediens. Et tamen in exodiis saltabant, Firmicus libr. 6. Qui veterum fabularum exitus in scenis saltantes imitentur. Vocat enim τὰ ἐξόδια exitus fabularum.

FINIS CRABRONVM, SEV VESPARVM.

ΟΡΝΙΘΩΝ ΥΠΟΘΕΣΙΣ.

ΔΥΟ πρεσβῦται Ἀθηναίων Πεισθέταιρος καὶ Εὐέλπις τὴν συκοφαντίαν φεύγοντες τὴν Ἀθήνησι, μεταναστάσεις δοκιμάζουσι. καὶ κολοιὸν καὶ κορώνην πριάμενοι, παραγίνονται πρὸς ὄρνιθας τῆς παρ' αὐτοῖς ἐπιθυμοῦντες διαγωγῆς. οἱ δὲ ὄρνιθες τὸ μὲν πρῶτον ἀρνεῖσθαί φασιν, εἰ μὴ ἀνθρώπων πολεμίων ὄντων οἰκήσουσι. μαθόντες δὲ ὕστερον ὠφεληθήσεσθαι, συγχωροῦσι μένειν αὐτούς. οἱ δὲ, πόλιν κτίσαντες ἐν τῷ ἀέρι, νεφελοκοκκυγίαν ὠνόμασαν. ἀλλ' οὐδὲ ταύτην ἀνενόχλητον ἐῶσιν οἱ Ἀθηναῖοι. μάντεις γὰρ καὶ χρησμολόγοι φοιτῶσι, λαβεῖν τι βουλόμενοι· ἐν οἷς καὶ Μέτων. οὗτοι δὲ πάντες, ἀποπέμπονται ἄπρακτοι. τελευταῖον δὲ καὶ θεοὶ διὰ τὸ μὴ ἐᾶσθαι τὸν καπνὸν τῶν ἱερείων ἀνιέναι, λιμῷ φθειρόμενοι πρεσβεύονται πρὸς τοὺς ὄρνιθας. ὁ δὲ σκοπὸς τοῦ δράματος, διασῦραι πάλιν τοὺς Ἀθηναίους ὡς φιλοδίκους. ἡ δὲ σκηνὴ ἐν πέτραις καὶ ὀρνέοις. ἐγράφη δὲ μετὰ τὸν Ἀλκιβιάδην ὑπὸ τῆς σαλαμινίας νεὼς μεταπεμφθῆναι διὰ τὴν περικοπὴν τῶν ἑρμῶν καὶ φυγεῖν εἰς λακεδαίμονα.

ΑΛΛΩΣ.

Δύο εἰσὶν ἀθήνηθεν ἐκκεχωρηκότες πρεσβῦται διὰ τὰς δίκας. πορεύονται δὲ πρὸς τὸν τηρέα ἔποπα γενόμενον, πευσόμενοι παρ' αὐτοῦ, ποία πόλις ἐστὶν εἰς κατοικισμὸν βελτίστη. χρῶνται δὲ τοῖς ὁδοῦ καθηγεμόσιν, ὀρνέοις. ὁ μὲν, κορώνῃ. ὁ δὲ, κολοιῷ. ὀνομάζονται δὲ, ὁ μὲν πεισθέταιρος. ὁ δὲ εὐελπίδης. ὃς καὶ πρότερος ἄρχεται. Η σκηνὴ ἐν ἀθήναις. τὸ δρᾶμα τοῦτο, τῶν ἄγαν δυνατῶς πεποιημένων. ἐδιδάχθη ἐπὶ χαβρίου ἄρχοντος εἰς ἄστυ, διὰ καλλιστράτου. ὃς ἦν δεύτερος τοῖς ὄρνισι. πρῶτος, ἀμειψίας κωμασταῖς. τρίτος, φρύνιχος μονοτρόπῳ. ἔστι δὲ λε. φοβερὰ δὲ τότε τοῖς Ἀθηναίοις τὰ πράγματα. τότε γὰρ ναυτικὸν ἀπώλετο περὶ σικελίαν. λάμαχος, οὐκέτι ἦν. νικίας ἐτεθνήκει. δεκέλειαν ἤδη ἐτείχισαν λακεδαιμόνιοι. ἆγις ὁ λακεδαιμονίων στρατηγὸς, παρεκάθητο τὴν ἀττικήν. ἀλκιβιάδης, τὰ λακεδαιμονίων ἐφρόνει. καὶ ἐκκλησιάζων, συνεβούλευσε τὰ χρηστὰ λακεδαιμονίοις. διὰ ταῦτα αἱ Ἀθηναίων φυγαί. καὶ ὅμως οὐκ ἀπείχοντο τοῦ κακοπραγμονεῖν καὶ συκοφαντεῖν.

ΑΛΛΩΣ.

Τῆς τῶν Ἀθηναίων πολιτείας τὸ μέγιστον ἦν κλέος, αὐτόχθοσι γενέσθαι φιλοτιμία πρόσεστι, τῆς μηδαμοῦ πόλεως φανείσης ἀπὸ τὴν πρῶτον ἀναβλαστῆσαι ἀλλὰ τῷ χρόνῳ ὑπὸ πονηροτάτων ποιηρῶν καὶ πολιτῶν δυσχερῶν, ἀνετέτραπτο καὶ διωρθοῦτο πάλιν ἐπεὶ οὖν τοῦ σικελικοῦ πολέμου πονηρῶν τινῶν τὰ πράγματα ἐγχειρισθέντων, ἐπισφαλὴς γέγονεν ἡ παρ' ἑαυτοῖς κατάστασις. καὶ ἐν μὲν ἄλλοις δράμασι, διὰ τῆς κωμικῆς ἀδείας ἤλεγχεν Ἀριστοφάνης τοὺς κακῶς πολιτευομένους. φανερῶς μὲν, οὐδαμῶς. οὐ γὰρ ἐπὶ τούτου ἦν ἐκκλησία. λεληθότως δὲ ὅσον ἀνῆκεν ἀπὸ κωμῳδίας παρεσκεύαζεν. ἐν δὲ τοῖς ὄρνισι καὶ μέγα τι διανοεῖται. ὡς γὰρ ἀδιόρθωτον ἤδη νόσον τῆς πολιτείας νοσούσης, καὶ διεφθαρμένης ὑπὸ τῶν πονηροτάτων, ἄλλην τινὰ πολιτείαν αἰνίττεται, καὶ πονηροτάτας ἑτέρους, ὥσανεὶ τῶν ὄντων κακῶν καθεστώτων οὐ μόνον δὲ τοῦτο ἀλλὰ καὶ τὸ σχῆμα ὅλον καὶ τὴν φύσιν εἰ δέοι, συμβουλεύει μετατίθεσθαι πρὸς τὸ ἠρεμαίως βιοῦν. καὶ ἡ μὲν ὑπόστασις αὕτη. τὰ δὲ κατὰ θεῶν βλάσφημα, ἐπιτηδείως ᾠκονόμηται. καπνῶν γάρ φησι τὴν πόλιν προσδεῖσθαι θεῶν, ἀφεστηκυιῶν τῆς κατοικίας τῶν Ἀθηναίων τῶν ὄντων, καὶ παντελῶς ἠλλοτριωκότων ἑαυτοὺς τῆς χώρας. ἀλλ' ὁ μὲν καθόλου στίχος, τοιοῦτος. ἕκαστος δὲ τῶν κατὰ μέρος, οὐκ εἰκῇ. ἀλλ' ἄντικρυς Ἀθηναίων καὶ τῶν παρ' αὐτοῖς ἐγχειριζομένων τὰ κοινὰ, ἐλέγχει τὴν φαύλην διάθεσιν, ἐπιθυμίαν ἐγκαταστείρων τοῖς ἀκούουσιν, ἀπαλλαγῆναι τῆς ἐνεστώσης μοχθηρᾶς πολιτείας. ὑποτίθεται γὰρ περὶ τὸν ἀέρα πόλιν τῆς γῆς ἁπάσης ἀπαλλάττων. ἀλλὰ καὶ βουλὰς καὶ συνόδους ὀρνίθων, ταῖς Ἀθηναίων δυσχεραίνων. ἀλλὰ καὶ ὅσα παίζει, ἐπίσκοπον, ἢ ψηφισματογράφον, ἢ τοὺς λοιποὺς εἰσάγων οὐχ ἁπλῶς. ἀλλὰ γυμνοῦντας ἁπάντων περιαιρέτας, ὡς ἀρχεκαρδίας ἕνεκεν χρηματίζοντας. εἶθ' ὕστερον καὶ τοὺς θεοὺς, εἰς ὑπόνοιαν κωμῳδεῖ. τὰ δὲ ὀνόματα τῶν γερόντων πεποίηται. ὡς εἰ πεπεισθείη ἕτερος τῷ ἑτέρῳ, καὶ ἐλπίζοι, ἔσεσθαι ἐν βελτίοσι. τινὲς δέ φασι τὸν ποιητὴν, τὰς ἐν ταῖς τραγῳδίαις τερατολογίας διελέγχειν. ἐν δὲ τοῖς νῦν, τὴν τῆς γιγαντομαχίας συμπλοκὴν ὅλον ἀποφαίνων, ὄρνισιν ἔδωκε διαφέρεσθαι πρὸς θεοὺς περὶ τῆς ἀρχῆς. Ἐπὶ χαβρίου τὸ δρᾶμα καθῆκεν εἰς ἄστυ, διὰ καλλίου. εἰς δὲ λήναια, τὸν ἀμφιάραον ἐδίδαξε διὰ φιλωνίδου. λάβοι δ' ἄν τις τοὺς χρόνους, ἐκ τῶν πέρυσι γενομένων ἐπὶ ἀριμνήστου τοῦ πρὸ χαβρίου. Ἀθηναῖοι γὰρ πέμπουσι τὴν σαλαμινίαν, ἀλκιβιάδην μεταστελλόμενοι ἐπὶ κρίσει τῆς τῶν μυστηρίων ἐκμιμήσεως. ὁ δὲ ἄχρι μὲν θουρίων εἵπετο τοῖς μεθήκουσιν. ἐκεῖθεν δὲ δρασμὸν ποιησάμενος εἰς πελοπόννησον ἐπεραιώθη. τῆς δὲ μετακλήσεως, μέμνηται καὶ Ἀριστοφάνης, ἀποκρύπτων μὲν τὸ ὄνομα. τὸ δὲ πρᾶγμα δηλῶν, ἐν οἷς γέ φησι, μηδαμῶς ἡμῖν παρὰ θάλασσαν, ἵν' ἀνακύψεται κλητῆρ' ἄγουσα ἕωθεν ἡ σαλαμινία.

ΑΡΙΣΤΟ-

ΑΡΙΣΤΟΦΑΝΟΥΣ ΓΡΑΜΜΑΤΙΚΟΥ ΟΡΝΙΘΩΝ ΥΠΟΘΕΣΙΣ ΔΙΑ ΣΤΙΧΩΝ ΙΑΜΒΩΝ.

Διὰ τὰς δίκας φεύγουσιν Ἀθήνας δύο τινές.
Οἳ πρὸς τὸν Ἔποπα τὸν λεγόμενον Τηρέα
Ἐλθόντες ἠρόντων ἀπραγμόνων πόλιν.
Εἷς δ' ὄρνις Ἔποπι συμπαρὼν μετὰ πλειόνων.
Πτηνῶν διδάσκει τί δύναιτ' ὀρνίθων γένος.
Καὶ πῶς ἐάνπερ κατὰ μέσον τὸν ἀέρα
Πόλιν κτίσωσι, τῶν θεῶν τὰ πράγματα
Αὐτοὶ παραλήψοντ', ἐκ δὲ τοῦδε τοῦ φαρμάκου
Πτέρυγας τ' ἐποίουν. ἠξίωσαν δ' οἱ θεοί,
Ἐπίθεσιν οὐ μικρὰν ὁρῶντες γενομένην.

ARISTOPHANIS AVIVM ARGVMENTVM.

EX INTERPRETATIONE ANDREÆ DIVI IVSTINOPOLITANI.

DVO sunt ex Athenis discedentes senes propter iudicia, eunt autem ad Tereum Epopa factũ, interrogaturi ab ipso, quæ ciuitas est in habitationem optima. Vtũtur autem viæ ducibus auibus, ille quidem cornice, ille autem graculo. nominantur autem, hic quidem Pistheteros, ille autem Euelpides, qui & prior incipit. Scena in Athenis, Actus hic illorum valde potenter factorum. Doctus est autem Chabria imperãte in ciuitate per Callistratum, qui fuit secundus auibus, primus Amipsas Bacchanalibus, tertius Phrynichus monotropo; sũt autẽ trigintaquinque. Terribilia autẽ tunc Atheniensibus negocia, tunc enim nauale perditũ est circa Sicelia. Lamachus non amplius erat, Nicias mortuus erat. Deceliam erant ædificãtes Lacedæmonij, Agis Lacedæmoniorũ dux obsidebat Atticam. Alcibiades illa Lacedæmoniorum sapiebat, & concionans consultauit optima Lacedæmoniis. Hæ Atheniensium calamitates, propter hæc Atheniensium fugæ, & tamen non abstinuerunt à malefaciendo & calumniando.

ΤΑ ΤΟΥ ΔΡΑΜΑΤΟΣ ΠΡΟΣΩΠΑ.	PERSONÆ DRAMATIS.
Εὐέλπης, ὃς καὶ Εὐελπίδης.	Euelpis.
Πεισθέταιρος.	Pistheterus.
Τροχίλος θεράπων Ἔποπος.	Trochilus seruus Epopis.
Ἔποψ.	Epops.
Ὄρνις τις ἄλλος.	Alia auis.
Χορὸς ὀρνίθων.	Chorus auium.
Ἱερεύς.	Sacerdos.
Ποιητής.	Poëta.
Χρησμολόγος.	Fatidicus.
Γεωμέτρης.	Geometra.
Ἐπίσκοπος.	Explorator.
Ψηφισματογράφος.	Legislator.
Ἄγγελος.	Nuntius.
Ἕτερος ἄγγελος.	Alter nuntius.
Ἶρις.	Iris.
Κῆρυξ.	Præco.
Πατραλοίας.	Parricida.
Κινησίας διθυραμβοποιός.	Cynesias Dithyrambicus.
Πένης συκοφάντης.	Pauper sycophanta.
Προμηθεύς.	Prometheus.
Ποσειδῶν.	Neptunus.
Τριβαλλός.	Tribalus.
Ἡρακλῆς.	Hercules.
Ἕτερος ἄγγελος, ἢ οἰκέτης Πεισθεταίρου.	Seruus Pistheteri.

A

ΑΡΙΣΤΟΦΑΝΟΥΣ ΟΡΝΙΘΕΣ.

ΕΥΕΛΠΙΣ, ΠΕΙΣΘΕΤΑΙΡΟΣ.

ΟΡΘΗΝ κελεύεις ᾗ τὸ δένδρον φαίνεται; B
Πει. Διαῤῥαγείης· ἥδε δ' αὖ κρώζει πάλιν.
Ευ. Τί ὦ πονήρ' ἄνω κάτω πλανύττομεν;
Απολούμεθ' ἄλλως τὴν ὁδὸν προφορουμένω.
Πε. Τὸ δ' ἐμὲ κορώνῃ πειθόμενον τὸν ἄθλιον,
Ὁδοῦ περιελθεῖν στάδια πλεῖν ἢ χίλια.
Ευ. Τὸ δ' ἐμὲ κολοιῷ πειθόμενον τὸν δύσμορον C
Αποσποδῆσαι τοὺς ὄνυχας τῶν δακτύλων.
Πε. Αλλ' οὐδ' ὅπου γῆς ἐσμὲν οἶδ' ἔγωγ' ἔτι.
Ευ. Εντευθενὶ τὴν πατρίδ' ἂν ἐξεύροις σύ που;
Πε. Οὐδ' ἂν μὰ Δία γ' ἐντεῦθεν Ἐξηκεστίδης.
Ευ. Οἴμοι. Πε. σὺ μὲν ὦ τᾶν τὴν ὁδὸν ταύτην ἴθι. D
Ευ. Η δεινὰ νὼ δέδρακεν οὐκ τῶν ὀρνέων,
Ὁ πινακοπώλης Φιλοκράτης μελαγχολῶν,
Ὃς τώδ' ἔφασκε νῷν φράσειν τὸν Τηρέα
Τὸν Ἔποφ' ὃς ὄρνις ἐγένετ' ἐκ τῶν ὀρνέων.

ARISTOPHANIS AVES.

EX INTERPRETATIONE ANDREAE DIVI.

EVELPIS, PISTHETERVS.

B RECTAM iubes vbi arbor appares?
PI. *Rumparis. hac autem rursus clamitat iterum.*
EV. *Quid ô agricola sursum deorsùm erramus?*
PI. *Perimus, aliter viam proferentes.*
Hoc me cornici persuasum miserum,
C *Viam transire stadia plus quàm mille?*
EV. *Hoc me graculo persuasum infelicem,*
Delere vngues digitorum.
PI. *Sed neque vbi terra sumus scio ego amplius.*
EV. *Hinc patriam inuenias tu alicubi?*
PI. *Neque per Iouem hinc Execestides.*
EV. *Heu mihi.* PI. *tu quidem ô amice, viam hanc veni.* D
EV. *Certè grauia nobis fecit ex auibus*
Scutellarum venditor Philocrates furens,
Qui hos dicebat nobis dicere Tereum
Epopa, qui auis factus est ex auibus,

Σχόλια. Ὀρθὴν κελεύεις.] ἡ εἰσθεσις τοῦ παρόντος δράματος εὐθὺς ἐξ ἀμοιβαίων ἄρχεται προσώπων. οἱ δὲ στίχοι εἰσὶν ἰαμβικοὶ τρίμετροι ἀκατάληκτοι. ἐν ὧν τελευταῖος, ἔσβαινε κἀνέγειρε τὴν ἀηδόνα. ἐν εἰσθέσει δὲ μετὰ τὸν ρξά στίχον κῶλον ἰαμβικὸν μονόμετρον βραχυκατάληκτον, καὶ μετὰ τὸν ρλγ. ἕτερον ὅμοιον μονόμετρον ἀκατάληκτον. ἐπὶ τῷ τέλει διπλῆ ἔξω νενευκυῖα. τοῦτο δὲ λέγει, ὁ τὸν κολοιὸν φέρων ὡς ἐν ἀπόπτῳ τινὶ δένδρου ὄντες καὶ τοῦ κολοιοῦ σημαίνοντας κατ' ἐκεῖνο πορεύεσθαι. πεποίηται δὲ τὰ ὀνόματα τῶν πρεσβυτέρων. τὸ μὲν παρὰ τὸ πείθεσθαι. τὸ δὲ, παρὰ τὸ εὖ ἔχειν τὴν ἐλπίδα. Ἥδε δ' αὖ κρώζει.] τοῦτο ὁ τὴν κορώνην φέρων, ὡς εἰς τοὐναντίον τῷ κολοιῷ παρακελευομένης. τὸ γὰρ πάλιν, ἀντὶ τοῦ εἰς τοὐπίσω. κρώζει γὰρ εἰς τοὐπίσω ἀπελθεῖν. πλανύττομεν, πλανώμεθα. Ἀττικῶς δὲ παρῆκται. Προφορουμένω.] δεῦρο κἀκεῖσε πορευόμενοι εἰς τἀναντία. προφορεῖσθαι γὰρ λέγεται, τὸ παραφέρειν τὴν στήμονα τοῖς διαζομένοις. Πλεῖν ἢ χίλια.] Ἀττικὴ ἡ κρᾶσις τοῦ πλέον πλεῖν. ἢ ἐκ τοῦ πλεῖον κατὰ συγκοπὴν εἴρηται. Τὸ δ' ἐμὲ κολοιῷ.] ὅτι ὁ μὲν κολοιὸν ἐκράτει, ὥστε δεῖξαι αὐτοῖς δῆθεν τὴν πρὸς τὰ ὄρνεα ὁδόν. ὁ δὲ κορώνην διὰ τὴν χρείαν. διὸ καὶ μέμφονται ἑαυτοῖς, ὅτι δὴ τοῖς ὀρνέοις πιστεύσαντες μακρὰν ὥδευσαν καὶ οὔπω τὸ ζητούμενον εὗρον. Ἀττικῷ δὲ ἔθει εἴρηται ταῦτα ἀναπόδοτα. ὡς καὶ ἐν Νεφέλαις. τὸ δὲ μὴ κυνὴν οἴκοθεν ἐλθεῖν ἐμὲ τὸν κακοδαίμον' ἔχοντα. νοεῖται γὰρ ἔξωθεν τὸ ὡς εὐήθης, ἢ οὐ μανίας πλέον, ὅτι τοιοῦτο. Ἀποσποδῆσαι.] ἀφανίσαι ἀπὸ τῆς σποδοῦ, αὕτη γὰρ ἀφανίζει τὴν προυπάρξασαν ὕλην τῶν ξύλων. ἢ ἀποτρίψασαι ἀφανίσαι, τεταλαιπωρημένον ἐκβαλεῖν. Ἐντευθενὶ τὴν πατρίδ'.] ἐρωτηματικῶς. δύναιο δ' ἂν ἐντεῦθεν τὴν πατρίδα ἰδεῖν, τουτέστι τὰς Ἀθήνας. ὡς πολὺ δὲ ἀφεστηκότων ταῦτα φησίν. Ἐξηκεστίδης.] ἐπὶ τῶν ἀμηχάνων. τοῦτον γὰρ ὡς ξένον διαβάλλουσι, καὶ πλάνον. οἱ δὲ ξένοι μᾶλλον ἴσασι τὰς ὁδούς. Σ. ἀποπλανηθέντες οὖν, καὶ τῆς ὁδοῦ ἀποπλανηθέντες εἶπον, οὐδ' ἂν Ἐξηκεστίδης εὕροι τὴν εὐθεῖαν ὁδόν. εἴρηται οὖν ἐπὶ τῶν ὁδοῦ ἀποπλανηθέντων. τοῦτο δ' ἂν εἴη μεμιαμμένος καὶ ἐν τοῖς ἔπεσι, διὰ τούτων. εἰ δὲ δοῦλός ἐστι καὶ Κὰρ ὥσπερ Ἐξηκεστίδης. ἔστι δὲ καὶ ἕτερος ἔχων λύραν ἔργον Εὐδόξου τεταμένην τετράθυρον συνήθη νόμον. μέμνηται δὲ αὐτοῦ καὶ Πολέμων ἐν τῷ δευτέρῳ περὶ τῆς Ἀθήνῃσιν Ἐρατοσθένους ἐπιδημίας λέγων. ὁ δὲ Ἐξηκεστίδης, κιθαρῳδὸς πυθιονίκης. νικᾷ δὲ καὶ τὸν τῶν Καρνείων ἀγῶνα, τὸν ἐν Λακεδαίμονι. καὶ Παναθήναια δίς. ἄλλως. ὁ Ἐξηκεστίδης ὡς ξένος κωμῳδεῖται καὶ Φρυνίχῳ μονοτρόπῳ. μεγάλους πιθήκους. οἱ δὲ ἑτέρους τινὰς λέγειν. Λυκέαν. Μελέαν. Πείσανδρον. Ἐξηκεστίδην. ἀνομάλους ὄντας πιθήκους. ὁ μὲν γε δειλός. ὁ δὲ κόλαξ. ὁ δὲ. νόθος. Σὺ μὲν ὦ τᾶν] παίζων φησί. τουτέστιν εἰς τὴν ὅμοιον ὁδὸν βάδιζε. Οὐκ τῶν ὀρνέων.] ἀντὶ τοῦ ὀρνεοπώλων. Δίδυμος δὲ, διὰ τὸ φάσκειν αὐτοὺς ἐκ τῶν ὀρνέων πεπονθέναι. ἐπεὶ Ὀρνέαι, τῆς Λακωνικῆς εἰσι. πρὸ δὲ ἐτῶν δύο, κακῶς περὶ Μαντίνειαν ἀπήλλαξαν, ὡς καὶ τοὺς στρατηγοὺς ἀποβαλεῖν Λάχητα καὶ Νικόστρατον, καθά φησιν Ἀνδροτίων φησίν. ἄλλως. ὅτι οὕτως ἔλεγον ἐπὶ τῶν τόπων, ἀντὶ τοῦ ὀρνεοπωλείων. ὡς τὰ χυτρῶν, ἀντὶ τῶν χυτροπωλείων. ἡ δὲ ἀναφορὰ πρὸς τὸ Οἰωνεικόν. δύο τόπος σύνεστι παρήμενον. τοῖς συμφυέσι. ἐξῆς οὖν ἐστὶ (αἱ δὲ γάμοι) παρακόρακος νόμος.

Ο πινα-

Ο πινακοπώλης] ὁ ὀρνεοπώλης. ὅτι τὰ πολλὰ τῶν ὀρνέων, ἐπὶ πινάκων τιθέντες ἐπώλουν. ὁ πίναξ εἶδος ὀρνέου. Ος τὼ δ' ἔφασκε νῷν] οἱ μὲν φασὶν αὐτὸν διαστρέφειν τὸν αἰσώπειον λόγον. καὶ δέον εἰπεῖν τῶν ἀνθρώπων, λέγει ἐκ τῶν ὀρνέων. οἱ δὲ, οὕτως. ὃς ἔφασκε μᾶλλον τῶν ἄλλων ὀρνέων δύνασθαι φρασθῆναι τῆς ὁδοῦ. καὶ δεῖξαι ἡμῖν αὐτὴν ἐκ τῶν ὀρνέων. ἀπὸ ἐκ τοῦ συστήματος τῶν ὀρνέων ἐν ταυτῷ ὄντων. ἄλλως. ἔφασκεν ὁ Φιλοκράτης. τὸ

A δὲ νῷν. τουτέστιν ἡμῖν δυϊκῶς. σημαίνει ἡμῖν ἐκ τῶν ὀρνέων. τουτέστι διὰ τῶν ὀρνέων. ὅπου τὸν Ἔποπα εὑρήσομεν. γράφεται καὶ ὡς τώδε, καὶ διαιροῦσί τινες. τὸ προσυθίασι τὸ ἑξῆς. τὸ ἐκ τῶν ὀρνέων ἀπὸ [illegible]. ἐκ τῶν ὀρνέων, τὸν κολοιὸν καὶ τὴν κορώνην. βιαίως γὰρ πρὸς τοῦτο εὑρῆσθαι σημαίνειν ἡμῖν τὸν Ἔποπα ὃς ἐστὶ δεῖξαι τὰ ἐκ τῶν ὀρνέων. παρ' ὑπόνοιαν δὲ εἴρηκε τὸ, ὃς ὄρνις ἐγένετο ἐκ τῶν ὀρνέων. ἔδει γὰρ ἐκ τῶν ἀνθρώπων.

Κἀπέδοτο τὸν μὲν, Θαρρελείδου τουτονὶ
Κολοιὸν, ὀβολοῦ. τηνδὶ δὲ τριωβόλου.
Τὼ δ' οὐκ ἄρ' ᾔστην οὐδὲν ἄλλο, πλὴν δάκνειν.
Καὶ νῦν τί κέχηνας; ἔσθ' ὅποι κατὰ τῶν πετρῶν
Ἡμᾶς ἔτ' ἄξεις, οὐ γάρ ἐστ' ἐνταῦθά τις
Ὁδός. Πει. οὐδὲ μὰ Δί' ἐνταῦθά γ' ἀτραπὸς οὐδαμοῦ.
Ευ. Οὐδ' ἡ κορώνη τῆς ὁδοῦ τι λέγει πέρι.
Πει. Οὐ ταὐτὰ κρώζει μὰ Δία νῦν τε καὶ τότε.
Ευ. Τί δὴ λέγει περὶ τῆς ὁδοῦ. Πει. τί δ' ἄλλο γ' ἢ,
Βρύκουσ' ἀπέδεσθαί φησί μου τοὺς δακτύλους.
Ευ. Οὐ δεινὸν οὖν δῆτ' ἐστὶν ἡμᾶς δεομένους
Ες κόρακας ἐλθεῖν καὶ παρεσκευασμένους,
Ἔπειτα μὴ 'ξευρεῖν δύνασθαι τὴν ὁδόν;
Ἡμεῖς γὰρ ὦ 'νδρες οἱ παρόντες ἐν λόγῳ
Νόσον νοσοῦμεν τὴν ἐναντίαν Σάκᾳ.
Ὁ μὲν γὰρ ὢν οὐκ ἀστὸς, εἰσβιάζεται.
Ἡμεῖς δὲ φυλῇ καὶ γένει τιμώμενοι,
Ἀστοὶ μετ' ἀστῶν, οὐ σοβοῦντος οὐδενὸς,
Ἀνεπτόμεσθ' ἐκ τῆς πατρίδος ἀμφοῖν ποδοῖν.
Αὐτὴν μὲν οὐ μισοῦντ' ἐκείνην τὴν πόλιν.
Τὸ μὴ οὐ μεγάλην εἶναι φύσει κεὐδαίμονα.
Καὶ πᾶσι κοινὴν ἐναποτῖσαι χρήματα.

B *Et vendidit quidem Tharrhelida: hunc*
Graculum obolo, hanc autem triobolo.
Hi autem non sciunt nihil aliud præter mordere,
Et nunc quid oscitas? est ubi in petris
Nos adhuc duces, non enim est hic aliqua
Via. PI. *Neque per Iouem hic via nullo modo.*
EV. *Neque cornix viam quid dicit circa.*
C PI. *Non eadem clamitat per Iouem núncque & tunc.*
EV. *Quid iam dicis de via?* PI. *quid aliud, nisi*
Mordens exedere dicit mei digitos.
EV. *Non graue igitur est nos indigentes*
Ad coruos venire, & apparatos,
Postea non inuenire posse viam?
D *Nos enim ô viri præsentes in sermone*
Ægrotationem ægrotamus contrariam Sacæ?
Hic quidem enim existens non ciuis cogitur,
Nos autem tribu & genere honorati,
Ciues cum ciuibus non expellente nullo,
Volamus ex patria ambobus pedibus.
Ipsam quidem non odio habentes illam ciuitatem,
Hoc non magnam esse natura, & fortunatam,
E *Et omnibus communem soluere res.*

Σχόλια. Τὸν μὲν Θαρρελείδου.] Σύμμαχος, Ἀσωπόδωρον. καὶ γὰρ οὗτος ἐπὶ σμικρότητι, ὑπὸ Τηλεκλείδου κωμῳδεῖται. καὶ ὁ κολοιὸς μικρὸς ὢν, ἐκ τῶν πτερῶν τὴν κωμῳδίαν ἔχει. ἄλλως. ἄδηλον εἰ Ἀσωπόδωρον λέγει ὃς εἰς ὕστερον ἔχει. ἄλλως. ἄδηλον εἰ Ἀσωπόδωρον λέγει ὃς κωμῳδεῖται ἐπὶ σμικρότητι σώματος. ἦν δὲ καὶ ὁ Θαρρελείδου μικρός. ἄλλως. οἱ μὲν πλείους ὑπειλήφασιν υἱὸν τινα εἶναι Θαρρελείδου βραχὺν καὶ παραπλήσιον κολοιῷ κωμῳδεῖσθαι. οὐκ ἔχομεν δὲ υἱὸν αὐτοῦ διὰ τῆς κωμῳδίας. μήποτε οὖν ὄντι κατὰ περίφρασιν εἴρηκεν Θαρρελείδου κολοιόν. ἐν ἴσῳ τῷ Θαρρελείδης, ὅς ἐστι κολοιώδης. ὁ τοῦ ὡς κολοιὸν αὐτὸν παλουμένα διαβάλλει. ἄλλως. ὁ τοῦ Θαρρελείδου υἱὸς ἐγένετο κολοιός. Τὼ δ' οὐκ ἄρ' ᾔστην.] διὰ τοῦ ι γραπτέον ᾔστην ἀντὶ τοῦ ᾔδειν. τουτέστιν ᾔδεισαν ἔξω τοῦ δάκνειν. ἢ ἀντὶ τοῦ ᾔδειν, τουτέστιν οὐδὲν ἄλλο ᾔδειν ἢ δάκνειν.

BISETVS. Ἤστην] Εὐστάθιος λέγει εἶναι τρίτον πρόσωπον τῶν δυϊκῶν τοῦ παρατατικοῦ χρόνου, καὶ τὸ σ ἐν πλεονασμῷ ἔχειν.

Σχόλια. Καὶ νῦν τί κέχηνας.] ὡς τοῦ κολοιοῦ κεχηνότος. κατὰ τῶν πετρῶν δὲ ὅτι ἐπὶ τόπους πετρώδεις. Οὐ δὲ μὰ Δί' ἐνταῦθα.] ὑπονοοῦσιν ὡς ἀποκεκλημένης παντελῶς τῆς ὁδοῦ. ἄλλοι δὲ ὀνόματι κέχρηνται. Οὐδ' ἡ κορώνη.] ὡς ἤδη φθέγξαμένης αὐτῆς. δύναται καὶ ἐρωτηματικῶς καὶ

F ἀποφαντικῶς. τινὲς γράφουσιν, οὐδὲ ἡ κορώνη. βρύκουσα δὲ δάκνουσα παρὰ τὴν βορὰν οἱονεὶ βορύκουσα. Ες κόρακας ἐλθεῖν.] παίζει. ἐπεὶ εἰς τὰ ὄρνεα βούλεται ἀπελθεῖν. ἐν λόγῳ δὲ ἐν τῷ ὑποθέσει. Τὴν ἐναντίαν Σάκα.] οὗτός ἐστιν Ἀκέστωρ τραγῳδίας ποιητής. ἐκαλεῖτο δὲ Σάκας, διὰ τὸ ξένος εἶναι. Σάκαι γὰρ, Θρᾷκες εἰσί. Θεόπομπος δὲ, καὶ τὸν πατέρα αὐτοῦ Σάκα προσαγορεύσει Τιβαμένον. ὁ δὲ αὐτὸς καὶ Μυσὸν ἐκάλεσεν. εἰς δὲ τὴν ξενίαν αὐτὸν κεχλευάκασι. Καλλίας μὲν, ἐν Πεδήταις. καὶ Σάκαν οἱ χοροὶ μισοῦσι. Κρατῖνος ἐν Κλεοβουλίναις. Ἀκέστορα γὰρ ὅμως εἰκὸς λαβεῖν πληγὰς, ἐὰν μὴ συστρέψῃ τὰ πράγματα. Οὐ σοβοῦντος.] ὡς ἐπὶ ὀρνέων τοῦτό φησι. πάντες γὰρ σοβοῦσι τὰ ὄρνεα. Ανεπτόμεσθ' ἐκ τῆς πατρίδος.] τὸ μὲν ἀνεπτόμεσθα, ἀπὸ μεταφορᾶς τῶν ὀρνέων. τὸ δὲ ἀμφοῖν ποδοῖν, ἐκ τῶν ὀρνέων, ἀντὶ τοῦ ἀμφοῖν τοῖν πτεροῖν. ἢ ἐκ τῶν ναυτῶν, οἳ οὐριοδρομοῦντες ἀμφοῖν τοῖν ποδοῖν πλέουσιν. ὁ δὲ νοῦς,

G παντὶ σθένει ὅ ἐστι τελείως. προληπτικῶς δὲ τῇ τῶν ὀρνέων χρῶνται μεταφορᾷ. ὡς καὶ αὐτοὶ ὀλίγον ὕστερον ὀρνιθωθησόμενοι. Ἐναποτῖσαι χρήματα.] παρ' ὑπόνοιαν ἀντὶ τοῦ ἐμβιῶναι καὶ ἐνοικεῖν, εἶπεν ἐναποτῖσαι χρήματα. εἰς τὸ φιλόδικον τῶν Ἀθηναίων, ὅτι συκοφαντούμενοι οἱ πολλοὶ ἀπέτισον χρήματα.

Οἱ μὲν γὰρ οὖν τέττιγες, ἕνα μῆν' ἢ δύο
Ἐπὶ τῶν κραδῶν ᾄδουσιν, Ἀθηναῖοι δ' ἀεὶ
Ἐπὶ τῶν δικῶν ᾄδουσι πάντα τὸν βίον.
Διὰ ταῦτα τόνδε τὸν βάδον βαδίζομεν.
Κανοῦν δ' ἔχοντε καὶ χύτραν, καὶ μυρρίνας,
Πλανώμεθα, ζητοῦντε τόπον ἀπράγμονα,
Ὅποι καθιδρυθέντε διαγενοίμεθ' ἄν.
Ὁ δὲ στόλος νῷν ἐστι παρὰ τὸν Τηρέα
Τὸν Ἔποπα παρ' ἐκείνου πυθέσθαι δεομένω.
Εἴπου τοιαύτην οἶδε πόλιν ᾗ πέπταται.
Πει. Οὗτος. Ευ. τί ἐστιν. Πει. ἡ κορώνη μοι πάλαι
Ἄνω τι φράζει. Ευ. χὠ κολοιὸς οὑτοσὶ
Ἄνω κέχηνεν ὥσπερεὶ δεικνύς τί μοι.
Κοὐκ ἔσθ' ὅπως οὐκ ἔστιν ἐνταῦθ' ὄρνεα.
Εἰσόμεθα δ' αὐτίκ' ἂν ποιήσωμεν ψόφον.
Ἀλλ' οἶσθ' ὃ δρᾶσον, τῷ σκέλει θένε τὴν πέτραν.
Πι. Σὺ δὲ τῇ κεφαλῇ γ' ἵν' ᾖ διπλάσιος ψόφος.
Ευ. Σὺ δ' οὖν λίθῳ κόψον λαβών. Πει. πάνυ γ' εἰ δοκεῖ.
Ευ. Παῖ παῖ. Πει. τί λέγεις, οὗτος; τὸν Ἔποπα παῖ καλεῖς;
Οὐκ ἀντὶ τοῦ παιδὸς γ' ἐχρῆν ἐποποῖ καλεῖν;
Ευ. Ἐποποῖ. ποιήσεις τί με κόπτειν αὖθις αὖ.

A Hæ quidem enim igitur cicadæ unum mensem vel duos
In vicis canunt. Athenai autem semper
In iudiciis canunt omnem vitam,
Propter hæc hoc iter imus.
Canistrum autem habētes & ollam & myrtos,
Erramus, quærentes locum ociosum,
B Vbi firmantes perseueremus.
Hic autem exercitus nobis est ad Tereum.
Epopa ab illo audire indigentes,
Sicubi talem scit ciuitatem ubi volatur.
Pi. Hic. Ev. quid est? Pi. Cornix mihi diu
Superius quid dicit. Ev. & graculus hic
Superius, oscitat tanquam ostendens aliquid mihi.
C Et non est quomodo non sint hic aues.
Sciemus autem statim si faciemus strepitum.
Sed scis faciens? crure verbera petram.
Pi. Tu autem capite, vt sit duplex strepitus.
Ev. Tu autem lapide verbera capiens. Pi. valde si videtur.
Ev. Puer puer. Pi. quid dicis? hic epopa puer vocas?
Non pro filio oportebat ad Epopem vocare.
D Ev. Epops. SER. Facies quid me verberare rursus iterum.

Σχόλια. Οἱ μὲν γὰρ οὖν τέττιγες] παρὰ τὸ τοῦ καὶ ὁ Φιλήμων. ἡ μὲν χελιδὼν, αὐτὸ θέρος ὦ γύναι λαλεῖ. τὸ δὲ ἐπὶ τῶν κραδῶν, ὅτι ἀπὸ ἑνὸς τὰ ἄλλα πάντα δένδρα ἐμφαίνει. κράδη δὲ ἡ συκῆ.

Bisetus. Κράδη κατ' Εὐστάθιον, τὸ τῆς συκῆς φύλλον. συνεκδοχικῶς δὲ καὶ αὐτὴν τὴν συκῆν δηλῶσαι δυνάται.

Σχόλια. Τόνδε τὸν βάδον.] ἐν παιδιᾷ παρεσχηματίσαι. ὡς ἀπὸ τοῦ πατεῖν πάτος. οὕτως ἀπὸ τοῦ βαδίζειν βάδος. Ὅμηρος. πάτον ἀνθρώπων ἀλεείνων. ἄλλως. εἴρηται μὲν ὁ βάδος ὅμως γε μὴν οἱ κωμικοὶ, παίζειν εἰώθασι τὰ τοιαῦτα. ὡς Εὔπολις, χρυσοῦ φέρει. τί ταῦτα ὦ ῥαψῳδέ. Κανοῦν δ' ἔχοντε] τὰ πρὸς θυσίαν κομίζουσιν, ἵνα οἰκήσαντες ἐν τῇ ἱδρύσει θύσωσιν. ὅτι δὲ χύτραις ἵδρυον, καὶ ἐν εἰρήνῃ. Δίδυμος δέ φησιν ἀμφοτέρα τῶν ὀρνέων αὐτὰ βαστάζειν. ἀντὶ ὅπλου μὲν τὸ κανοῦν. περικεφαλαίας δὲ τὴν χύτραν. ἵνα μὴ ἐμπτύσωσι τὰ ὄρνεα τύπτῃ αὐτούς. τὰς δὲ μυρρίνας πρὸς τὸ ἀποτρέπειν. Ὅποι καθιδρυθέντε.] τοῦτο πρὸς τὰ ἔμπροσθεν, ἀνεπτόμεθα δὲ ἐκ τῆς πατρίδος σοβοῦντε ποδοῖν. εἶτα ἑξῆς. κανοῦν δ' ἔχοντε καὶ τὰ ἑξῆς. τὰ δ' ἄλλα, μεταξὺ εἴρηται. Ἄνω τι φράζει.] ὡς ἄνω αὐτῆς νευούσης ἐπί τινα τόπον ὑψηλόν. Τῷ σκέλει θένε τὴν πέτραν.] πρὸς τὴν τῶν παίδων συνήθειαν τοῦτο λέγει. φασὶ γὰρ ὁ ἐκεῖνοι πρὸς ἀλλήλους ἰδόντες ὄρνεα. δὸς τὸ σκέλος τῇ πέτρᾳ καὶ πετῶνται τὰ ὄρνεα. τὸ δὲ ἀλλ' οἶσθ' ὃ δρᾶσον ἀττικὴ φράσις. πρὸς δὲ τὸ εἰρημένον παίζων αὖθις εἶπε σὺ δὲ τῇ κεφαλῇ. Τὸν Ἔποπα παῖ καλεῖς.] οὐ πιθανόν φησιν ἐπὶ ὀρνέων οἰκίαν ἐλθόντα παῖ παῖ καλεῖν. οὐ γάρ εἰσιν ἄνθρωποι, ὥστε καὶ παῖδας ἔχειν. Ἐποποῖ.] Σύμμαχος καὶ Δίδυμος προπαροξύνουσιν. εἰ δὲ, περισπῶσιν. ἵν' ᾖ ἐπίρρημα. ἀντὶ τοῦ ἰωοπισί. εἰ δὲ προπαροξύνοιτο, δῆλον ὅτι ἐσχημάτισαι ἀπὸ εὐθείας τῆς ἔποπος.

F

ΤΡΟΧΙΛΟΣ ΘΕΡΑΠΩΝ, ΕΠΟΠΟΣ, ΕΥΕΛΠΙΣ, ΠΕΙΣΘΕΤΑΙΡΟΣ.

Ευ. Ἐποποῖ. Θε. τίνες οὗτοι. τίς ὁ βοῶν τὸν δεσπότην;
Ευ. Ἄπολλον ἀποτρόπαιε, τοῦ χασμήματος.
Θε. Οἴμοι τάλας, ὀρνιθοθήρα τουτωΐ.
Ευ. Οὕτως ἐστι δεινὸν, οὐδὲ κάλλιον λέγειν.
Θε. Ἀπολεῖσθον. Ευ. ἀλλ' οὐκ ἐσμὲν ἀνθρώπω.
Θε. τί δαί;

TROCHILVS SERVVS, EPOPVS, EVELPIS, PISTHETERVS.

Ev. Epopi. SER. qui hi? quis clamans dominum?
Ev. Apollo euersor malorum oscitatione.
SER. Heu mihi misero aucupes hi.
Ev. Sic est graue, neque melius dicere.
G SER. Pereatis. Ev. sed non sumus homines.
SER. quid autem?

Σχόλια. Τίνες οὗτοι.] Τροχίλος τὶς τῶν ὀρνέων ἀκούει οἰκέτης τοῦ Ἔποπος. Τοῦ χασμήματος.] ἐπεὶ πρόσωπον ὀρνέου ἐποίησεν ὁ σκευοποιὸς, ἔχοντος τὸ ῥάμφος κεχηνὸς, διὰ τοῦτο εἶπεν χασμήματος. Ὀρνιθοθήρα] νομίζει τοὺς ἄνδρας διὰ τὸ θηρεῦσαι τὰ ὄρνεα ἐληλυθέναι. Οὕτως ἐστι δεινόν.] τὸ κάλλιον. ἀντὶ τοῦ ἀπολύτου κεῖται. ἀντὶ τοῦ οὐδὲ καλὸν λέγειν, τὸ ἡμᾶς ὑποπτεύεσθαι τοιούτους εἶναι. ἐωρα-

ση. ἑωρακὼς δὲ αὐτὸν φοβούμενον τὸ ὄφεσιν. οὕτω δεινὸν πρᾶγμά ἐστιν οἱ ὀρνιθοθῆραι. ἢ ὤφειλες οὐδὲ ἡμῖν εἰπεῖν. εἰ δὲ, ἐν ἤθει τὸν λόγον ἀκούουσιν οὕτω. οὑτωσί τι δεῖ. A τὸν δὲ κάλλιον λέγειν, τουτέστιν οὕτω δεινὸν ἔχομεν ἐκ τῆς ὄψεως, ὥστε ὀρνιθοθήρας νομίζεσθαι. οὐδὲ λέγει σε τὸ πρό ἐστι κάλλιον, ὅτι ἐσμὲν ὀρνιθοθῆραι.

Ευ. Ὑποδεδιὼς ἔγωγε Λιβυκὸν ὄρνεον.
Θε. Οὐδὲν λέγεις. ευ. καὶ μὴν ἐροῦ τὰ πρὸς ποδῶν.
Θε. Ὁδὶ δὲ δὴ τίς ἐστιν ὄρνις; οὐκ ἐρεῖς;
Πει. Ἐπικεχοδὼς ἔγωγε φασιανικός.
ευ. Ἀλλὰ σὺ τί θηρίον ποτ' εἶ πρὸς τῶν θεῶν;
Θε. Ὄρνις ἔγωγε δοῦλος. ευ. ἡττήθης τινὸς
Ἀλεκτρυόνος; Θε. οὐκ. ἀλλ' ὅτε περ ὁ δεσπότης
Ἔποψ ἐγένετο, τότε γενέσθαι μ' εὔξατο
Ὄρνιν. ἵν' ἀκόλουθον διάκονόν τ' ἔχῃ.
ευ. Δεῖται γὰρ ὄρνις καὶ διακόνου τινός;
Θε. Οὗτός γ' ἅτ' οἶμαι πρότερον ἄνθρωπός ποτ' ὤν,
Τότε μὲν ἐρᾷ φαγεῖν ἀφύας φαληρικάς,
Τρέχω 'π' ἀφύας ἐγὼ λαβὼν τὸ τρύβλιον.
Ἔτνους δ' ἐπιθυμεῖ, δεῖ τορύνης καὶ χύτρας,
Τρέχω 'πὶ τορύνην. ευ. τροχίλος ὄρνις οὑτοσί.
Οἶσθ' οὖν ὃ δρᾶσον, ὦ τροχίλε; τὸν δεσπότην
Ἡμῖν κάλεσον. τρ. ἀλλ' ἀρτίως νὴ τὸν Δία
Εὕδει καταφαγὼν μύρτα καὶ σέρφους τινάς.
ευ. Ὅμως ἐπέγειρον. τρ. οἶδα μὲν σαφῶς,
Ὅτι ἀχθέσεται. σφῷν δ' αὐτὸν εἵνεκ' ἐπεγερῶ.
Πει. Κακῶς σύ γ' ἀπόλοι. ὥς μ' ἀπέκτεινας δέει.
Ευ. Οἴμοι κακοδαίμων. χ' ὠ κολοιός μ' οἴχεται
Ὑπὸ τοῦ δέους. Πει. ὦ δειλότατον σὺ θηρίον
Δείσας ἀφῆκας τὸν κολοιόν; ευ. εἰπέ μοι.
Σὺ δὲ τὴν κορώνην οὐκ ἀφῆκας καταπεσών;
Πει. Μὰ Δί' οὐκ ἔγωγε. ευ. ποῦ γάρ ἐστιν; Πει. ἀπέπτατο.
ευ. Οὐκ ἄρ' ἀφῆκας ὦ 'γάθ' ὡς ἀνδρεῖος εἶ.

Ev. *Timens ego Lybica auis.*
SER. *Nihil dicis.* Ev. *Et certè interroga hæc ad pedes.*
SER. *Hæc autem iam quæ est auis, non dices?*
B Pi. *Oscitans ego phasianica.*
Ev. *Sed tu quæ fera vnquam es per deos?*
SER. *Auu ego seruus.* Ev. *victus es quo Gallo?* SER. *non, sed quando dominus,*
Epops factus est, tunc fieri me precatus est,
Auem, vt comitem ministrum haberet.
Ev. *Indiget enim auis & seruo aliquo?*
SER. *Hic enim puto prius homo quondam existens,*
C *Tunc quidem amat comedere pisciculos phalericos,*
Curro in pisciculos ego capiens catinum.
Pulmentarium cupit, opus est cochleari & olla.
Curro in cocbleare. Ev. *Trochilus auis hic.*
Scis igitur quod faciens ô Trochile? dominum
Nobis voca. Tro. *sed nuper per Iouem*
D *Dormit, deuorans myrta & serphos aliquos.*
Ev. *Tamen suscita.* Tro. *scimus manifestè*
Quòd ægre feret, vestri autem ipsum gratia excitabo.
Pi. *Malè tu pereas, quod me perdidisti timore.*
Ev. *Heu mihi infelix & graculus mihi is*
Præ timore. Pi. *ô timidissima tu fera,*
Timens dimisisti graculum? Ev. *dic mihi,*
E *Tu autem cornicem non dimisisti decidens?*
Pi. *Per Iouem non ego.* Ev. *vbi enim est?* Pi. *auolauit.*
Ev. *Non igitur dimisisti ô bone, valde virilis es.*

Σχόλια. Ὑποδεδιώς.] ὄνομα ἔπλασεν ὄρνιθι Ὑποδεδιώς. Λιβυκὸν δὲ, ἐπεὶ οἱ Λίβυες βάρβαροι καὶ δειλοί. ἢ ἐπεὶ πολύορνις ἡ Λιβύη. Τὰ πρὸς ποδῶν.] ὑπὸ τοῦ φόβου ἀδιαχώρητα ἐφθέγξατο. ὅ φησιν ἐρώτα τὰ πρὸς ποδῶν τὰ ὄρνεα εἰ βούλει περὶ ἐμοῦ. ἢ ἀπὸ τῶν ποδῶν ἡμῶν, ὅτι ὄρνεα ἐσμὲν, μάνθανε. ἄλλως. γράφεται ἐρώτα τὰ πρὸς ποδῶν, ὅτι σαφέστερον. καὶ τάχα ἂν εἴη κατὰ τὴν παλαιὰν σημασίαν τοῦ ἑτέρου, μετεβλήθη δὲ εἰς τὸ ω. ἔν τισι δὲ γράφεται. καὶ μὴν ἐρώτα πρὸς τίνων. ἔστι δὲ καὶ τὸ ὅλον λόγον ἐκ ἴχνον καὶ ἔτι τὸ καὶ μὴν ἀκαίρως ἐστὶ λεγόμενον. κάλλιον οὖν τὰ πρὸς ποδῶν. πυνθάνου τῶν ποδῶν ὅτι ὄρνεα ἐσμέν. λέγει δὲ ὡς ὑπὸ τοῦ δέους ἐναφεικώς. Ἐπικεχοδώς.] καὶ τοῦτο ὡς ὄρνιθος ἔπαιξε παρὰ τὸ φαίνεσθαι αὐτῷ τὸ σκῶρ. φασιανὸς δὲ συκοφάντης, παρὰ G τὸ φαίνειν μετὰ φασιανῶν εὑρισκόμενος. Τί θηρίον ποτ' εἶ,] ἴσον εἰπεῖν ὄρνεον πρὸς τὸ τερατικὸν τοῦ σώματος θηρίον εἶπεν. Ὄρνις ἔγωγε δοῦλος.] σημειωτέον ὅτι καὶ τὴν εὐθεῖαν τοῦ ὄρνις ἐκτείνουσιν Ἀττικοί. Ἀλεκτρυόνος.] φυσικὸν τοῦτο ἐν ταῖς συμβολαῖς τῶν ἀλεκτρυόνων, τοὺς ἡττηθέντας ἕπεσθαι τοῖς νενικηκόσι. καὶ Θεόκριτος ὀρνίθων φοινικολόφων τοιοίδε κυδοιμοί. Φαληρικὰς ἀφύας.] ὅτι πληθυντικῶς λέγουσι τὰς ἀφύας. Ἀρίσταρχος δὲ ἐκ τοῦ δέχεσθαι πληθυντικῶς διὰ τοῦ χ. Φαληρεὺς δὲ, λιμὴν τῆς Ἀττικῆς. Ἔτνους δ' ἐπιθυμεῖ.] ἀθάρας. F τορύνη δὲ λέγεται, τὸ κινητήριον τῆς χύτρας. σημειωτέον δὲ, ὅτι τορύνη παροξυτόνως εἴρηται παρ' Εὐπόλιδι ὡς εἴρηται. Τροχίλος ὄρνις οὑτοσί.] ἐπεὶ συνεχῶς προσεῖπε τὸ τρέχω, παρὰ τὸ τρέχω Τροχίλον εἶπεν. ἔστι δὲ καὶ ὄρνεον τροχίλος. καὶ λέγεται δειμύ. ἀξιοῦσι δέ τινες, τὴν μέσην ὀξύνειν. Μύρτα καὶ σέρφους.] σέρφος σκωληκῶδες ζωΰφιον. ἢ μυρμηκῶδες. ταῦτα δὲ νέμονται τὰ ὄρνεα. καὶ ἡ παροιμία, ἔνεστι μύρμηκι κἂν σέρφῳ χολή. Νικοφῶν ἐν Ἀφροδίτης γοναῖς. ἅπερ ἐσθίει ταυτὶ τὰ πονηρὰ ὀρνίθια. σέρφους ἴσως G σκώληκας. ἀκρίδας. πάρνοπας. μύρτα δὲ, ὁ τῆς μυρσίνης καλεῖται καρπός. ὅς ἐστιν οἰκεῖος ὄρνισιν εἰς τὸ ἐσθίειν. Κακῶς σύ γ' ἀπόλοιο.] πρὸς τὸν θεράποντα Ἔποπος λέγει εἰσελθόντα καὶ κεχηνότα. Ὑπὸ τοῦ δέους.] ἰδὼν γὰρ τὸν δοῦλον κεχηνότα ἐφοβήθη. Ἀπέπτατο.] εἰς τὸ αὐτὸ καταλύουσι τοῦ γελοίου χάριν. Ὡς ἀνδρεῖος εἶ.] ὡς πολὺ ἐν εἰρωνείᾳ δέ.

ΕΠΟΨ, ΕΥΕΛΠΙΣ, ΠΕΙΣΘΕΤΑΙΡΟΣ.

Επ. Ἄνοιγε τὴν ὕλην, ἵν' ἐξέλθω ποτέ.
Ευ. Ὦ Ἡράκλεις. τουτὶ τί ποτ' ἐστὶ θηρίον;
Τίς ἡ πτέρωσις. τίς ὁ τρόπος τῆς τριλοφίας; B
Επ. Τίνες εἰσί με οἱ ζητοῦντες; Ευ. οἱ δώδεκα θεοὶ
Εἴξασιν ἐπιτρῖψαί σε. Επ. μῶν με σκώπτετον,
Ὁρῶντε τὴν πτέρωσιν; ἦν γὰρ ὦ ξένοι (τοῦ;
Ἄνθρωπος. Ευ. οὐ σοῦ καταγελῶμεν. Επ. ἀλλὰ
Ευ. Τὸ ῥάμφος ἡμῖν σου γέλοιον φαίνεται.
Επ. Τοιαῦτα μέντοι Σοφοκλέης λυμαίνεται
Ἐν ταῖς τραγῳδίαισιν ἐμὲ τὸν Τηρέα.
Ευ. Τηρεὺς γὰρ εἶ σύ; πότερον ὄρνις ἢ ταώς. C
Επ. Ὄρνις ἔγωγε. Ευ. κᾆτά σοι ποῦ τὰ πτερά.
Επ. Ἐξερρύηκε. Ευ. πότερον ὑπὸ νόσου τινός;
Επ. Οὐκ. ἀλλὰ τὸν χειμῶνα πάντα τ' ὄρνεα
Πτερορρυεῖ τε, κᾆθις ἕτερα φύομεν.
Ἀλλ' εἴπατόν μοι σφὼ τίν' ἐστόν. Ευ. νὼ, βροτώ.
Επ. Ποδαπὼ τὸ γένος. Ευ. ὅθεν αἱ τριήρεις αἱ καλαί.
Επ. Μῶν ἡλιαστά. Ευ. μή. ἀλλὰ θατέρου τρόπου. D
Ἀπηλιαστά. Επ. σπείρεται γὰρ τοῦτ' ἐκεῖ
Τὸ σπέρμ'. Ευ. ὀλίγον ζητῶν ἂν ἐξ ἀγροῦ λάβοις.
Επ. Πράγους δὲ δὴ τοῦ δεομένω δεῦρ' ἤλθετον.
Ευ. Σοὶ ξυγγενέσθαι βουλομένω. Επ. τίνος πέρι.
Ευ. Ὅτι πρῶτα μὲν ἦσθ' ἄνθρωπος, ὥσπερ νώ ποτε.
Κἀργύριον ὠφείλησας ὥσπερ νώ ποτε. E
Κοὐκ ἀποδιδοὺς ἔχαιρες ὥσπερ νώ ποτε,
Εἶτ' αὖθις ὀρνίθων μεταλλάξας φύσιν,
Καὶ γῆν ἐπέτου καὶ τὴν θάλατταν ἐν κύκλῳ.
Καὶ πάνθ' ὅσα περ ἄνθρωπος ὅσα τ' ὄρνις φρονεῖς.
Ταῦτ' οὖν ἱκέται νὼ πρὸς σὲ δεῦρ' ἀφίγμεθα,

EPOPS, EVELPIS, PISTHETERVS.

Ep. Aperi syluam, vt exeam aliquando.
Ev. O Hercules, hæc quænam est fera?
Quæ pennatio? qui modus tricristæ?
Pi. Qui sunt me quærentes? Ev. duodecim dei
Venient conterere te. Ep. nũquid me deridetis,
Videntes pennationem? eram enim ô aduenæ
Homo. Ev. Non te deridemus. Ep. sed quem?
Ev. Rostrum nobis tui ridiculum apparet.
Ep. Talia quidem Sophocles lædit
In Tragœdiis me Tereum.
Ev. Tereus enim es tu? vtrum auis, an pauo?
Ep. Auis ego. Ev. & postea tibi vbi pennæ?
Ep. Defluxerunt. Ev. vtrum à morbo aliquo?
Ep. Non, sed hyeme omnes aues
Detrahunt, pennásque rursus alias emittimus:
Sed dicite mihi, vos qui estis? Ev. nos? homines.
Ep. Cuiates genere? Ev. vnde triremes bonæ.
Ep. Nunquid heliastæ? Ev. ne, sed alterius moris,
Apeliastæ. Ep. seminatur enim hoc illic
Semen? Ev. parum quærens ex agro capies.
Ep. Rei autem iam cuius indigentes huc venistis?
Ev. Tibi conuersari volentes. Ep. Quo de?
Ev. Quod primùm quidem eras homo, quemadmodum nos aliquando.
Et argentum debuisti, sicut nos aliquando,
Et non reddens gaudebas, sicut nos aliquando:
Postea rursus auibus mutans naturam,
Et terram volabas, & mare in circuitu,
Et omnia quæcunque homo, quæcunque auis sapis.
Hæc igitur supplices nos ad te huc abiuimus.

Σχόλια. Ἄνοιγε τὴν ὕλην.] δέον εἰπεῖν τὴν θύραν. ἀλλ' ἐν ὕλαις διάγουσιν οἱ ὄρνιθες. Τίς ἡ πτέρωσις] ἐπειδὴ ὁρῶσι ξένην ὄψιν τοῦ Ἔποπος καταπλήττονται. ἔστι γὰρ τῇ πτερώσει τὸ ὄρνεον κατάπυκνον, καὶ τρεῖς ἔχον ἄκρας ἐν τῷ λόφῳ. Τίνες εἰσί με οἱ ζητοῦντες.] εὐθὺς οἰωνιζόμενοι εἰώθασι λέγειν πρὸς τὸ, τίς ὁ ζητῶν θεοῦ τινὸς ὄνομα. ἢ ὑγείαν. ἢ τὶ τοιοῦτον. καὶ νῦν οὖν ἔφη τίνες οἱ ζητοῦντές με. πρὸς ὃ ἐπάγει, οἱ δώδεκα θεοί. τὸ δὲ ἑξῆς παρ' ὑπόνοιαν. ἐπεὶ ἐσκευος αὐτοῖς φαίνεται. Εἴξασιν ἐπιτρῖψαί σε.] δύναται μὲν ἐπὶ τοῦ Ἔποπος λέγειν, οὗτοι ζητοῦσί σε ἐπιτρῖψαι διὰ τὴν ὄψιν. δύναται δὲ, ἐφ' ἑαυτῶν λέγειν. ἐοίκασιν οὗτοι ἡμᾶς ἐπιτετριφέναι ὧδε ἐλθόντας, οἱ ἐφόδοι αὐτοὺς τὸ προσωπεῖον. τὸ δὲ εἴξασιν, ἢ ἐοίκασιν ἢ παρεγένοντο. Τοιαῦτα μέντοι.] ἐν γὰρ τῷ Τηρεῖ Σοφοκλῆς ἐποίησεν αὐτὸν ἀπορνιθούμενον καὶ τὴν Πρόκνην. ἐν ᾧ ἔσκωψε πολλὰ τὸν Τηρέα. Πότερον ὄρνις] ἔπαιξε. δέον εἰπεῖν ἄνθρωπος ἢ ταῶς. ὀξύνεται δὲ καὶ περισπᾶται. ὁ μῦθος δὲ, λέγει τὸν Ἄργον εἰς ταῶνα μεταβληθῆναι. διὰ τοῦτο φησὶ, πότερον ὄρνις εἶ σὺ ὁ λεγόμενος Τηρεὺς παρὰ τὸ τηρεῖν τὴν ἰώ, ἢ ταῶς. ἢ ἔπαιξε τὸ γενικὸν εἰπὼν, εἶτα ἐπαγαγὼν τὸ εἰδικόν. τὸ δὲ ὄνομα περισπῶσιν οἱ Ἀττικοί. Ἐξερρύηκε.] παρόσον ἄνθρωπος ἐξελήλυθε, μὴ ἔχων πτερὰ πλὴν τῆς κεφαλῆς ἐπτερωμένης ὄρνιθες. Νὼ βροτώ.] πρὸς τὴν σύνθεσιν τῶν λέξεων, ὅτι ἐκ παραλλήλου ἡ διαφορὰ δηλοῦται. τὸ δὲ χ, πρὸς τὸ συνεχὲς τῶν δυϊκῶν. Ὅθεν αἱ τριήρεις αἱ καλαί] ἀντὶ τοῦ ἐξ Ἀθηνῶν. μέγα γὰρ ἐφρόνουν Ἀθηναῖοι ἐπὶ ναυμαχίᾳ. Ἡλιαστά.] δικασταί. ἀπὸ τοῦ μεγάλου δικαστηρίου τῆς Ἡλιαίας. οὕτω δὲ ἐκλήθη. διὰ τὸ ἐν ὑπαίθρῳ εἶναι καὶ ἐν ἡλίῳ βάλλεσθαι. Μὴ ἀλλὰ θατέρου τρόπου] πέπονθε. κεῖται δὲ ἀντὶ τοῦ οὐκ. ἀλλὰ θατέρου τρόπου. τουτέστι μισόδικοι.

BISETVS. Ἀπηλιαστά.] ἰωνικῶς, ἀντὶ τοῦ ἀφηλιαστά, πόρρω τῶν ἡλιαστῶν, καὶ δικαστῶν ἀφεστηκότες, καὶ μισόδικοι.

Σχόλια. Ολίγον ζητῶ.] τοῦτο λέγει ὅτι ἀγχοῖκοι μόνοι εἰσὶν οἱ μισθοδικασταὶ, ὡς ὀλίγων ὄντων τῶν μισθοδικῶν καὶ τῶν ἀρχείων. ἀεὶ δὲ τοὺς τε ἱππεῖς ἐνεχυροῦ ἅμα, καὶ ὅτι τοὺς σπανίζοντας τῶν χρημάτων, μᾶλλον πάντας τοῖς ἀγχοίκοις εὑρίσκονται.

Εἴ τινα πόλιν φράσαις ἡμῖν εὔερον,
Ὥσπερ σισύραν ἐγκατακλιθῆναι μαλθακήν.
Επ. Ἔπειτα μείζω τῶν κραναῶν ζητεῖς πόλιν;
Εὐ. Μείζω μὲν οὐδὲν, προσφορωτέραν δὲ νῷν.
Επ. Ἀριστοκρατεῖσθαι δῆλος εἶ ζητῶν. Εὐ. ἐγώ;
Ἥκιστα. καὶ τὸν Σκελλίου βδελύττομαι.
Επ. Ποίαν τιν' οὖν ἥδιστ' ἂν οἰκοῖτ' ἂν πόλιν.
Εὐ. Ὅπου τὰ μέγιστα πράγματ' εἴη τοιάδε.
Ἐπὶ τὴν θύραν μου πρῴ τις ἐλθὼν τῶν φίλων,
Λέγοι μοι ταδί. πρὸς τοῦ Διὸς τοὐλυμπίου
Ὅπως παρέσει μοι καὶ σὺ καὶ τὰ παιδία,
Λουσάμενα πρῴ. μέλλω γὰρ ἑστιᾶν γάμους
Καὶ μηδαμῶς ἄλλως ποιήσῃς. εἰ δὲ μὴ,
Μή μοι τότ' ἔλθῃς ὅταν ἐγὼ πράττω κακῶς.
Επ. Νὴ Δία ταλαιπώρων γε πραγμάτων ἐρᾷς.
Τί δαὶ σύ; Πει. τοιούτων ἐρῶ κἀγώ. Επ. τίνων;
Πει. Ὅπου ξυνάντων μοι ταδί τις μέμψεται.
Ὥσπερ ἀδικηθεὶς παιδὸς ὡραίου πατὴρ,
Καλῶς γέ μοι τὸν υἱὸν ὦ Στιλβωνίδη
Εὑρὼν ἀπιόντ' ἀπὸ γυμνασίου λελουμένον,
Οὐκ ἔκυσας, οὐ προσεῖπας, οὐ προσηγάγου.
Οὐκ ὠρχιπέδισας, ὢν ἐμοὶ πατρικὸς φίλος.
Επ. Ὦ δειλακρίων σὺ, τῶν κακῶν οἵων ἐρᾷς.
Ἀτὰρ, ἔστι γ' ὁποίαν λέγετον εὐδαίμων πόλις,
Παρὰ τὴν ἐρυθρὰν θάλατταν. Εὐ. οἴμοι. μηδαμῶς
Ἡμῖν παρὰ τὴν θάλατταν, ἵν' ἀνακύψεται
Κλητῆρ' ἄγουσ' ἕωθεν ἡ Σαλαμινία.
Ἑλληνικὴν δὲ πόλιν ἔχεις ἡμῖν φράσαι;

A *Si quam ciuitatem diceres nobis bene lanatam,*
Tanquam pelliceam inclinari mollem.
Ep. Postea maiorem asperis quaeris ciuitatem?
B *EV. Maiorem nihil, commodiorem autem nobis.*
Ep. Optimè imperare manifestus es quaerens. EV. Ego?
Minimè, & hunc Scellij odi.
EP. Qualem igitur suauissimè habitabitis ciuitatem?
EV. Vbi maxima res essent tales.
Ad ianuam meam ante veniens aliquis amicorum
C *Dicat haec per Iouem Olympicum,*
Vt adsis mihi & tu & filioli
Loti manè: curo enim comedere nuptias,
Et nullo modo aliter facies. si autem non,
Ne mihi tunc venias quando ego facio malè.
Ep. Per Iouem miseras res amas,
Quid autem tu? PI. Tales amo ego. Ep. Quas?
PI. Vbi obuiantium mihi haec aliquis accusabit,
D *Tanquam iniustitia affectus filij pulchri pater:*
Benè mihi filium ô Stilbonide,
Inueniens abeuntem à gymnasio lotum,
Non osculatus es, non salutasti, non adduxisti,
Non testiculos tetigisti, existens mihi patrius amicus.
Ep. O miserrime, tu mala qualia amas?
At est qualem dicitis fortunata ciuitas
E *Apud rubrum mare. EV. Heu mihi nullo modo,*
Nobis apud mare vbi reflectitur,
Vocatum ducens manè Salaminia.
Graecam autem ciuitatem potes nobis dicere?

Σχόλια. Εὔερον.] ἀντὶ μαλακὴν ὥσπερ σισύραν εὐέριον. Πλάτων. καὶ τῆς αὐτῆς εὐτελείας ἀπολέλαυκεν ὁ Υπέρβολος, ὥστε αὐχμώδεις ἐστί. Κρατῖνος. γλῶτταν εὔερον βοτῶν. λέγει δὲ περὶ τῶν προβάτων. Σισύραν.] διαφέρουσι σισύρνα καὶ σισύρα καὶ σίσυς. σισύρα μέν ἐστι, τὸ ἐξ αἰγείων δερμάτων ἔχον ἔτι τὰς τρίχας σκέπασμα. τὴν δὲ σισύρναν οἱ κατὰ Λιβύην λέγουσι τὸ ἐκ τῶν κωδίων ῥαπτόμενον ἀμπεχόνιον. σίσυς δέ ἐστι παχὺ ἱμάτιον εὐτελὲς, μικρὸν, ἐπιτήδειον εἰς ἐν ᾧ στιβάδι ἐξωμίδιον. Ἐρατοσθένης δέ φησιν ὅτι καθάπερ τὸ δένδρον τὸ αὐτὸ καὶ ἄνδραχνον καὶ ἀνδράχνην καλοῦμεν, οὕτως οὕτω σισύραν καὶ σίσυν ἐπὶ τοῦ αὐτοῦ μετέχεσθαι. καὶ τρίτην προσλαμβάνουσι σισύρναν οἱ κατὰ Λιβύην τὸ ἐκ τῶν κωδίων τὸ ἀμπεχόνιον καλούμενον. Ἐγκατακλιθῆναι.] οὕτως Ἀττικοί. ὡς ἐν Νεφέλαις. ἀλλ' ἐγκατακλινεὶς ἐδαεί. τὸ δὲ ἀλλόκοτον τουτέστι τὸ ἐγκατακλιθῆναι. Τῶν κραναῶν.] τῶν Ἀθηνῶν. διὰ τὸ τραχὺ καὶ λεπτόγεων. ἢ ἀπὸ Κραναοῦ βασιλέως. Προσφορωτέραν δὲ νῷν.] ἀντὶ τοῦ ἡμῖν ἐπιτηδείαν, ἄλλην ζητοῦμεν. Ἀριστοκρατεῖσθαι.] ἀντὶ τοῦ ὀλιγαρχεῖσθαι. Ἀριστοκράτης δὲ Σκελλίου υἱὸς, ἐπεβούλευσεν εἰς κατάλυσιν τοῦ δήμου. ἄλλως. ἀρίστους κεκριμένους θέλεις ἔχειν ἄρχοντας τοῦ δήμου καὶ τῆς πόλεως. οἵα ἡ παρὰ Λακεδαιμονίοις πολιτεία ἦν. ἡ γὰρ τῶν Ἀθηναίων δημοκρατία ἦν. Καὶ τὸν Σκελλίου.] παρὰ τὸ ὄνομα πέπαιχεν. ἐπεὶ Ἀριστοκράτης Σκελλίου υἱὸς ἦν. ὃν ὁ ῥήτωρ Δημοσθένης ἔγραψεν. ἀριστοκρατία δὲ, ἡ ὀλιγαρχία. οὕτως οὖν φησι μισῶ τὴν ἀριστοκρατίαν, ὅτι καὶ τὸν ἀριστοκράτην, ὅτι κέκληται τῷ ὀνόματι τούτῳ. Ἐπὶ τὴν θύραν μου πρῴ.] πρῴ νῦν οὐ τὴν πρωΐαν. ἀλλὰ εἶδεν τῷ, ἐν ὥρᾳ πρωΐ. οὕτω γάρ ἐστι τὸ πρῴ. διὸ ὀξύνεται. τὸ δὲ πρῶ περισπᾶται.

G Bisetus. Εὐσταθὲς, πρῴ μονοσυλλάβως ὂν ἴσον τῷ πρωΐ, ὅ ἐστι πρὸ καιροῦ. τὸ δ' ἐπὶ πρωΐ ὀξύτερον εἴρηται ὡς τὸ νώ, κατ' ἀποκοπὴν τοῦ ι, ἀντὶ τοῦ νῶϊ, καὶ πρωΐ, εἴτε πρωΐ. τὸ δὲ νώ, σφώ, καὶ πρώ δίχα τὴν συναίρεσιν οὕτω γράφεται, εἴπερ εὑρίσκεται, ὡς τὸ νῶϊν, σφῶϊν.

Σχόλια. Λουσάμενα πρῴ.] οὕτως Ἀττικοὶ λέγουσι. τὸ δὲ τὸ ι ἔχει ἀπὸ τοῦ πρωΐ γινόμενον. ὡς ἀπὸ βαρείας καὶ

ὀξείας ὅτ' ὡς τὸ ἰσαὼς, ἰσώς. Μή μοι τότ' ἔλθῃς] παροιμία ἐπὶ μὴ συμπαρερχομένων τοῖς φίλοις ἐν κινδύνοις. παίζει δὲ, εἰς τὸ ἐναντίον. ἡ γὰρ παροιμία, μή μοι τότ' ἔλθῃς, ὅταν ᾖ ὁ πρᾶγμα καλῶς. Ταλαιπωρῶν.] ἐν εὐρωτίᾳ. Ω Στιλβωνίδη.] ὦ λαμπρὲ, ὦ ἀπὸ βαλαντίων κεκαλλωπισμένε. ἡ Στίλβωνος παιδία. διασύρει δὲ τοῦτον ὡς παιδία ἔχοντα. Οὐκ ἔκυψας. οὐ προσείπας.] ὁ μὲν, διὰ τῆς γαστρὸς τρυφὰς ἐβούλετο. ὁ δὲ διὰ τὰς αἰσχρὰς ἡδονάς. προσηγάγου δὲ, ἀντὶ τοῦ πρὸς ἑαυτὸν ἔλαβες εἰς A συνουσίαν. Ωρχιπίδη(ς)] ἀντὶ τοῦ τῶν ὄρχεων ἧψω καὶ κατέχεις αἰσχρῶς. δειλακρίων δὲ ἐστὶ ὦ τι κακόδαιμον. ἐν ἤθει δὲ ἢ ἄλλως λέγει. Παρὰ τὴν ἐρυθρὰν θάλασσαν] ἡ ἐρυθρὰ θάλασσα, παρὰ τὸν ἀνατολικὸν ὠκεανόν. κατὰ δὲ ἄλλους τὴν εὐδαίμονα Ἀραβίαν λέγει. Η Σαλαμινία] δύο εἰσὶ νῆες ὑπηρέτιδες παρὰ τοῖς Ἀθηναίοις ἡ Πάραλος καὶ ἡ Σαλαμινία. ὧν ἡ μὲν Σαλαμινία τοὺς ἐγκαλουμένους εἰς κρίσιν ἦγεν, ἡ δὲ Πάραλος τὰς θεωρίας. ἀπῆγεν τελέσοντας εἰς θυσίαν πομπεύουσα.

Επ. Τί οὐ τὸ Ἠλεῖον Λέπρεον οἰκίζετον;
Ἐλθόντ'. Ευ. ὁτιὴ νὴ τοὺς θεοὺς ὃς οὐκ ἰδὼν
Βδελύττομαι τὸ Λέπρεον ἀπὸ Μελανθίου.
Επ. Ἀλλ' εἰσὶν ἕτεροι τῆς Λοκρίδος Ὀπούντιοι,
Ἵνα χρὴ κατοικεῖν. Ευ. ἀλλ' ἔγωγ' Ὀπούντιος
Οὐκ ἂν γενοίμην ἐπὶ ταλάντῳ χρυσίου.
Οὗτος δὲ δὴ τίς ἐσθ' ὁ μετ' ὀρνίθων βίος;
Σὺ γὰρ οἶσθ' ἀκριβῶς. Επ. οὐκ ἄχαρις ἐς τὴν τριβήν.
Οὗ πρῶτα μὲν δεῖ ζῆν ἄνευ βαλαντίου.
Ευ. Πολλήν γ' ἀφεῖλες τοῦ βίου κιβδηλίαν.
Επ. Νεμόμεσθα δ' ἐν κήποις τὰ λευκὰ σήσαμα.
Καὶ μύρτα, καὶ μήκωνα, καὶ σισύμβρια.
Ευ. Ὑμεῖς μὲν ἄρα ζῆτε νυμφίων βίον.
Πει. Φεῦ φεῦ.
Ἦ μέγ' ἐνορῶ βούλευμ' ἐν ὀρνίθων γένει,
Καὶ δύναμιν ἣ γένοιτ' ἂν εἰ πίθοισθέ μοι.
Επ. τί σοι πιθώμεσθ'; Πει. ὅ,τι πίθησθε; πρῶτα μὲν,
Μὴ περιπέτεσθε πανταχῇ κεχηνότες.
Ὡς τοῦτ' ἄτιμον τοὔργον ἐστὶν αὐτίκα.
Ἐκεῖ παρ' ἡμῖν τοὺς πετομένους ἢν ἔρῃ,
Τίς οὗτος ὄρνις; ὁ Τελέας ἐρεῖ ταδί,
Ἄνθρωπος ὄρνις ἀστάθμητος πετόμενος.
Ἀτέκμαρτος. οὐδὲν οὐδέποτ' ἐν ταὐτῷ μένων.
Επ. Νὴ τὸν Διόνυσον εὖ γε μωμᾷ ταυταγί.
Τί ἂν οὖν ποιῶμεν; Πει. οἰκίσατε μίαν πόλιν.
Επ. Ποίαν δ' ἂν οἰκίσαιμεν ὄρνιθες πόλιν;

B *EP. Quid non Elium Lepreum habitatis*
Venientes? EV. Quid per Deos, qui non videns
Odi Lepreum è Melanthio.
EP. Sed sunt alij Locridis Opuntij,
Vbi decet habitare. Eu. Sed ego Opuntius
Non fiam pro talento auri.
Hæc autem iam quæ est cum auibus vita?
C *Tu enim scis diligenter. EP. non ingrata in exercitium,*
Quo primùm quidem decet viuere sine crumena.
EV. Multam abstulisti vitæ immunditiam.
EP. Pascimur autem in hortis alba sesama,
Et myrta, & papauera, & sisymbria.
EV. Vos quidem igitur quæritis sponsorum vitam?
D *PI. Heu, heu.*
Certè magnum inspicio consilium in auium genere,
Et potentiam, quæ fiet si persuadebimini mihi.
EP. Quid tibi persuadebimur? PI. Quid persuadebimini? primùm quidem
Non volate, vbiq; hiantes,
Quod hoc inhonoratum opus est statim.
E *Illic apud nos volantes, si interrogauerit*
Quis hic auis, Teleas dicit hæc.
Homo auis instabilis volans,
Sine signo, nihil vnquam in eodem manens.
EP. Per Dionysium, bene reprehendis hæc.
Quid igitur faciemus? PI. Habitate vnam ciuitatem.
EP. Qualem autem habitabimus aues ciuitatem?
F

Σχόλια. Τί οὐ τὸ Ἠλεῖον Λέπρεον.] καθ' ὕφεσιν τοῦ ἰ. τὸ Λέπρεον εἶπεν. ἔστι δὲ τῆς τριφυλλίας, πλησίον πολὺ τῆς Πελοποννήσου. Δίδυμος δέ φησι Λέπρεον ὠνομάσθαι. ἢ διὰ τὸ τὴν χώραν αὐτὸ λέπειν. διαφαίνονται γὰρ ἐκ τῆς ἐρείνης. πέτρας γὰρ εἶναι αὐτόθι ποικίλας χρώματι καὶ διαλεύκους, ὁμοίας τοῖς τὰς ὄψεις λεπρώσι. καὶ διὰ τοῦτο οὕτως ὠνομάσθαι ἐκ τοῦ πάθους. ἢ διὰ τὸ τοὺς πρώτους οἰκήσαντας τὴν πόλιν, ταύτῃ τῇ νόσῳ κατεσχῆσθαι. G τοὺς οὖν πλησιοχώρους λεπριῶντας αὐτοὺς καλεῖν. τοὺς δὲ, μὴ βουλομένους δοκεῖν ὀχθεῖσθαι τῷ ὀνόματι, Λέπρεον τὴν πόλιν καλέσαι. οὐδετέρως γὰρ λέγεται ἡ πόλις τὸ Λέπρεον. ὁ δὲ ἀρσενικῶς εἶπεν. Ος οὐκ ἰδών.] ἀλλ' ἐξ ἀκοῆς μαθών. πλεονάζει δὲ τὸ ος. Ἀπὸ Μελανθίου.] Μελάνθιος ὁ τραγικὸς κωμῳδεῖται λεπρὸς καὶ κακοπράγμων. κωμῳδεῖται γὰρ εἰς μαλακίαν καὶ ὀψοφαγίαν. Πλάτων δὲ αὐτὸν ἐν Σκύθαις ὡς λάλον σκώπτει. Καλλίας Παιδήταις. τίς ἄρα τοὺς Μελανθίους τῷ γνώσομαι. οὓς ἂν μάλιστα λευκοπρώκτους εἰσίδῃς. εἶχε δὲ Μελάνθιος λέπραν. ἐκωμῳδεῖτο δὲ καὶ εἰς μαλακίαν. Αλλ' εἰσὶν ἕτεροι.] λείπει τόποι. Ὀποῦς δὲ πόλις Λοκρίδος. ἧς μέμνηται Ὅμηρος ἐν τῷ καταλόγῳ. Ὀπόεντά τε Καλλίαρόν τε. Αλλ' ἔγωγ' Ὀπούντιος.] οὗτος ὀκνηρὸς καὶ μονόφθαλμος. ἔπαιξεν οὖν ὅτι οὐκ ἂν γενοίμην τυφλός. ἄλλως. ὅτι ἑτερόφθαλμός τις ἦν ὅθεν οὕτω τοὺς τυφλοὺς φασίν. Ες τὴν τριβήν.] ἀπὸ μεταφορᾶς τῶν εὐαφων ἱματίων, τῶν ὑπουργούντων εἰς τρῖψιν καὶ φόρησιν πολλοῦ χρόνου. ἄλλως. ὡς ἐπὶ ἐσθῆτος ἡ μεταφορὰ ἀντὶ τοῦ εἰς τὴν διατριβήν. Ανευ βαλαντίου.] ἀντὶ τοῦ ἄνευ ἀργυρείου καὶ δαπάνης. Κιβδηλίαν.] τὸν ἐκ τοῦ ἀργύρου ῥύπον. μοχθηρίαν καὶ ζηλοτυπίαν. ἅμα δὲ καὶ ὅτι τὰ νομίσματα

σματα κίβδηλα λέγεται διὰ τὸ ὑπὸ Χίων διεδηλῆσθαι. ἄλλως. κίβδηλα ἐλέγετο νομίσματα τὰ ὑπὸ Χίων διαδεδηλημένα, ἤτοι βεβλαμμένα. κατὰ τροπὴν τοῦ χ εἰς κ. Ἀθηναῖοι γὰρ καὶ Χῖοι ἀλλήλοις ἐμάχοντο. διὸ τὰ Χίων νομίσματα μετὰ τοῦ χ στοιχείου Ἀθηναῖοι ἐγχαράξαντες ἀπεστρέφοντο. καὶ ἐκάλουν αὐτὰ χίβδηλα, ὡς διὰ τοῦ χ στοιχείου δῆλα ὄντα. παραλαβοῦσα δὲ ἡ συνήθεια τὴν φωνὴν τὸ δεδολωμένον νόμισμα κίβδηλον ὠνόμασεν, ἐναλλάξασα τὰ στοιχεῖα πρὸς τὸ εὐγλωττότερον. μήκων δὲ ὄνομα φυτοῦ ἢ σπέρματος οὐκ ἄδηλον. ἔστι δὲ καὶ μέρος τι τῶν ἐντοσθίων τοῦ πολύποδος τοῦ ἰχθύος, ὃς κεῖται ἐπάνω τῆς κοιλίας οἱονεὶ κύστις ἐν ἑαυτῇ ἔχουσα τὸν θολόν. ὥς φησιν Αἰλιανὸς ἐν τοῖς περὶ ζώων. Σισύμβρια.] σισύμβρια φύλλα οἷς ἐστεφανοῦντο οἱ νυμφίοι. Νυμφίων βίον.] ἢ ὅτι οἱ γαμοῦντες στεφανοῦνται. ἢ ὅτι ἡδυπαθοῦσι πρὸς τὰς τῶν γάμων ἡμέρας. Φεῦ φεῦ.] ἔστι μὲν σχετλιαστικόν. νῦν δὲ θαυμαστικόν. Περιπέτεσθαι.]

A ἀντὶ τοῦ ἵνα τόπον ἔχητε. Κεχηνότες.] οἱ μωροί. τὸ γὰρ κεχηνέναι ἐπὶ τῶν ἀσκόπων λαμβάνεται. Αὐτίκα.] ἤγουν εὐθέως. ἅμα τῷ πυθέσθαι, ὅτι τίς ἄστατος, εὐθέως ἄτιμον νομίζουσιν. Τοὺς πετομένους ἢν ἔρῃ] ἀντὶ τοῦ περὶ τῶν πετομένων. ἔστι δὲ Ὁμηρικὸν τὸ σχῆμα. εἰρόμεναι παῖδάς τε κασιγνήτους τε. ὁ δὲ Τελέας, σκωπτικῶς. λέγει οὖν ὅτι ἐάν τις ἐρωτήσῃ περὶ τῶν πετομένων τίς οὗτος ὄρνις, ὁ Τελέας ἐρεῖ ταῦτα. οὗτος δὲ διαβάλλεται ὡς μεταβάλλων τοὺς τρόπους. πρὸς γὰρ τῇ ἀπαιδείᾳ καὶ δειλίᾳ καὶ ὀψοφαγίᾳ καὶ νεωτερισμῷ καὶ πονηρίᾳ, ὀνειδίζουσι τὸν Τελέαν.
B Τίς ὄρνις οὗτος ὁ Τελέας.] Πλάτων σύρφακι τὸν Τελέαν. νοεῖ μὲν ἕτερα. ἕτερα δὲ τῇ γλώττῃ λέγει. κωμῳδεῖται δὲ εἰς πολλά. Σύμμαχος δὲ πρὸς οὐδὲν, ἢ ὅτι Τελέας ὄρνεον. ἐπεὶ καὶ ἐν τοῖς ἑξῆς ὀρνεόν τι καταλέγεται. τελέᾳ καὶ τετράδι καὶ ταῶνι καὶ βασιλίσκῳ. Ἀτέκμαρτος.] ἤγουν ἀσήμαντος διὰ τὸ πτήσεως ἐμφαίνειν. μωμᾷ δὲ ψέγεις. Μίαν πόλιν.] καλεῖ πόλιν νῦν τὸ περιέχον ἅπαν.

Πει. Ἀληθὲς ὦ σκαιότατον εἰρηκὼς ἔπος.
C Βλέψον κάτω. Επ. καὶ δὴ βλέπω. Πει. βλέπε νῦν ἄνω.
Επ. Βλέπω. Πει. περίαγε τὸν τράχηλον. Επ. νὴ Δία
Ἀπολαύσομαί γ᾽ εἰ διαστραφήσομαι.
Πει. Εἶδές τι; Επ. τὰς νεφέλας γε καὶ τὸν οὐρανόν.
Πει. Οὐχ οὗτος οὖν δήπου 'στὶν ὀρνίθων πόλος;
Επ. Πόλος; Πει. τίνα τρόπον. ὥσπερ εἴποι τις, τόπος.
D Ὅτι δὲ πολεῖται τοῦτο καὶ διέρχεται
Ἅπαντα, διὰ τοῦτο γε καλεῖται νῦν πόλος.
Ἢν δ᾽ οἰκίσητε τοῦτο καὶ φράξηθ᾽ ἅπαξ,
Ἐκ τοῦ πόλου τούτου κεκλήσεται πόλις.
Ὥστ᾽ ἄρξετ᾽ ἀνθρώπων μὲν ὥσπερ παρνόπων.
Τοὺς δ᾽ αὖ θεοὺς ἀπολεῖτε λιμῷ μηλίῳ.
Επ. Πῶς; Πει. ἐν μέσῳ δήπουθεν ἀήρ ἐστι γῆς.
E Εἶθ᾽ ὥσπερ ἡμεῖς, ἢν ἰέναι βουλώμεθα
Πυθῶδε, Βοιωτοὺς δίοδον αἰτούμεθα,
Οὕτως ὅταν θύσωσιν ἄνθρωποι θεοῖς,
Ἢν μὴ φόρον φέρωσιν ὑμῖν οἱ θεοί,
Διὰ τῆς πόλεως ἀλλοτρίας καὶ τοῦ χάους
Τῶν μηρίων τὴν κνῖσαν οὐ διαφρήσετε.
Επ. Ἰοὺ ἰού.

PI. *Verum ô ineruditissimum dicens verbum,*
Vide deorsum. EP. *Et iam video.* PI. *vide nunc superius.*
EP. *Video.* PI. *Circumage ceruicem.* EP. *per Iouem*
Accipiam, quid si vertar?
PI. *Vidisti aliquid?* EP *Nebulas & cælum.*
PI. *Non hic igitur est auium polus?*
EP. *Polus?* PI. *Quomodo tanquam diceret aliquis locus.*
Quod autem vertitur hoc, & discurrit
Omnis, propter hoc vocatur nunc polus.
Si autem habitabitis hoc & sepietis semel,
Ex polo hoc vocabitur ciuitas.
Quare dominabimini hominibus quidem tanquam parnopibus.
Hoc autem rursus deos perdes fame melia.
EP. *Quomodo?* PI. *in medio iam aer est terra.*
Postea quemadmodum nos si ire volumus
Pythonem, Bœotos transitum petimus.
Sic quando sacrificabunt homines deis,
Si non tributum ferant vobis, hi
Propter ciuitatem alienam & chaos,
Crurium nidorem non transferetis.
EP. *Heu, heu.*

Σχόλια. Βλέπε νῦν ἄνω.] ὡς καὶ τὰ ἐν κύκλῳ ἰδεῖν. διαστραφήσομαι δὲ τὸν τράχηλον κλάσω. Ὀρνίθων πόλος.] τὸ μέν τι παραφράζει τὴν προειρημένην τῶν ὀρνίθων, ὅτι ἔστι τόπος τις αὐτῶν ἐν ᾧ διατρίβουσι. τὸ δὲ, καὶ πρὸς τὸν σχηματισμὸν τοῦ ὀνόματος παίζει. καὶ ἴσως καὶ πόλος. ἑξῆς ἐτυμολογεῖ αὐτὸ ἀπὸ τοῦ πολεῖσθαι. πόλον γὰρ οἱ παλαιοὶ οὐχ ὡς οἱ νεώτεροι σημεῖόν τι καὶ πέρας ἄξονος, ἀλλὰ τὸ περιέχον ἅπαν. Εὐριπίδης Πειρίθῳ. καὶ τὸν Ἀτλάντειον φρουρεῖ πόλον, ὡς αὐτοῦ τε περιπολουμένου, καὶ δι᾽ αὐτοῦ πάντων ἐρχομένων. Ὅτι δὲ πολεῖται.] ὑφετυμολογεῖν βούλεται τὴν πόλιν. Ἢν δ᾽ οἰκίσητε τοῦτο.] ἤγουν εἰ τὸ μέσον τοῦ οὐρανοῦ καὶ τῆς γῆς ἐὰν περιτειχίσητε. Κεκλήσεται πόλις.] ἔπαιξεν ἐκ τοῦ πόλου σχηματίσας τὴν πόλιν. Ὥσπερ παρνόπων.] εὐχείρωτοι γὰρ οἱ πάρνοπες. ἔστι δὲ εἶδος ἀκρίδων. οἱ δὲ κανώπων. Τοὺς δ᾽ αὖ θεούς.] ἐν τοῖς Πελοποννησιακοῖς κατὰ πάντων Μηλίων

F Νικίαν πέμψαντες Ἀθηναῖοι, ἐπὶ τοσοῦτον ἐπολιόρκησαν αὐτούς, ὥστε λιμῷ διαφθεῖραι. τῷ δὲ πρώτῳ ἔτει Νικίας Μῆλον παρεστήσατο, οὐ μόνον μηχανῶν προσβολῇ, ἀλλὰ καὶ λιμῷ, διὰ τὸ ἀποστῆναι αὐτῶν, πρὶν ὑποτελεῖς οὔσας. Λιμῷ μηλίῳ] ἀντὶ τοῦ μεγίστῳ. Μῆλος δὲ ἐστὶ πόλις Θετταλίας. καὶ οἱ Μήλιοι πολιορκούμενοι ὑπὸ Ἀθηναίων λιμῷ ἐπιέσθησαν καὶ παραδεδώκασιν ἑαυτούς. ὡς Θουκυδίδης ἐν τῇ πέμπτῃ. Βοιωτοὺς δίοδον αἰτούμεθα.] πολέμιοι ἦσαν οἱ Βοιωτοὶ τῶν
G Ἀθηναίων, συμβαλόντες Λακεδαιμονίοις διὰ Δεκέλειαν μαχομένοις. ὅτε οὖν θέλουσιν Ἀθηναῖοι εἰς Πυθὼ ἀπελθεῖν, δηλοῦσι Βοιωτοῖς παρακαλοῦντες ὑποχωρῆσαι τῆς ὁδοῦ. ἄλλως. τινές φασι μεταξὺ Πυθοῦς καὶ Ἀττικῆς εἶναι τὴν Βοιωτίαν, καὶ οὐχ οἷόν τε εἶναι ἀπελθεῖν Ἀθηναίους εἰς Πυθώ, εἰ μὴ παρέλθωσι Βοιωτίαν. παίζει δέ, τότε γὰρ μόνον δίοδον ζητοῦσιν, ὅταν στράτευμα

διάγη. ὅτ' ἂν δ' ὀλίγοι καὶ εἰρωνικοὶ ἢ καθ' ἕνα ἕκαστοι. Καὶ τ χάους.] χάος ἀντὶ τ ἀέρος νῦν, ὡς Ἴβυκος. ποτᾶ-

A ται δ' ἐν ἀλλοτρίῳ χάει. διαφράσσετε δ', διαφερέσσετε διακόμψετε.

Μὰ γῆν, μὰ παγίδας, μὰ νεφέλας, μὰ δίκτυα,
Μὴ 'γὼ νόημα κομψότερον ἤκουσά πω.
Ὥς' ἂν κατοικίζοιμι μετὰ σοῦ τὴν πόλιν,
Εἰ ξυνδοκοίη τοῖσιν ἄλλοις ὀρνέοις.
Πει. Τίς ἂν οὖν τὸ πρᾶγμ' αὐτοῖς διηγήσαιτο. Επ. σύ.
Ἐγὼ γὰρ αὐτοὺς βαρβάρους ὄντας πρὸ τοῦ
Ἐδίδαξα τὴν φωνὴν, ξυνὼν πολὺν χρόνον.
Πει. Πῶς δῆτ' ἂν αὐτοὺς ξυγκαλέσειας; Επ. ῥᾳδίως.
Δευρὶ γὰρ ἐμβὰς αὐτίκα μάλ' ἐς τὴν λόχμην,
Ἔπειτ' ἀνεγείρας τὴν ἐμὴν ἀηδόνα,
Καλοῦμεν αὐτούς. οἱ δὲ νῷιν τοῦ φθέγματος
Ἐάν περ ἐπακούσωσι, θεύσονται δρόμῳ.
Πει. Ὦ φίλτατ' ὀρνίθων σὺ, μή νυν ἕσταθι
Ἀλλ' ἀντιβολῶ σ' ἄγ' ὡς τάχιστ' ἐς τὴν λόχμην
Ἐσβαινε κἀνέγειρε τὴν ἀηδόνα.

Per terram, per laqueos, per nebulas, per retia.
Non ego intelligentiam superbiorem audiui dum.
Quare habitabo tecum ciuitatem,
B Si apparebit alijs auibus.
PI. Quis igitur rem ipsis narrabit? EP. Tu.
Ego enim ipsos barbaros existentes antea
Docui vocem, coexistens multo tempore.
PI. Quomodo igitur ipsos conuocabis? EP. Facile.
Huc enim iniens statim valde in syluam,
Postea suscitabis meam lusciniam.
Vocamus ipsos, hi autem nostrum vocem
C Si audierint, current cursu.
PI. O amicissime auium tu, non nunc sta.
Sed precor te, age quàm citissime in syluam
Ingredere, & suscita lusciniam.

Σχόλια. Μὰ νεφέλας.] νεφέλη οὐ μόνον ἡ καπνώδης τ γῆς ἀναθυμίασις, ἀλλὰ καὶ εἶδος δικτύου θηρευτικοῦ. οὕτω δὲ τὰ προςτυχόντα ὄμνυον. μὰ κρίὸν, μὰ γῆν. μὰ παγίδας. Κομψότερον.] κομψὸν πανοῦργον. πεποικιλμένον. πανοῦργον. ἀπατητικόν. πιθανὸν τεχνικόν. καὶ κομψεία ἐλαφρία. ἀστειότης. πιθανολογία. ἀλαζονεία. Βαρβάρους ὄντας.] ἀντὶ τ ἀφώνους ἢ ἀνοήτους ἀνθρώπων

D καὶ μὴ εἰδότας αὐτῶν φωνήν. ἵνα δὲ μὴ θαυμάσῃ ἀκούσας, ὅτι αὐτοῖς διηγήσῃ ὀρνέοις οὖσι, φησὶν ὅτι νοοῦσιν ἐξ ἐμοῦ διδαχθέντες. Ἐς τὴν λόχμην.] λόχμη δασὺς τόπος. πλάγια σύμφυτος καὶ λοχμώδης. Ἀηδόνα.] τὴν Πρόκνην γαμετὴν οὖσαν, ἥτις εἰς ἀηδόνα μετεβλήθη. Καλοῦμεν ἂν αὐτούς.] ἐν σχήματι εἴρηκεν ἀπὸ ἑνικοῦ εἰς τὸ πληθυντικὸν καὶ πρὸς τὸ σχῆμα τὸ χ.

ΕΠΟΨ, ΕΥΕΛΠΙΣ, ΠΕΙΣΘΕΤΑΙΡΟΣ, Ὄρνις τὶς ἄλλος.

E EPOPS, EVELPIS, PISTHETERVS, ALIA QVÆdam Auis.

BISETVS. Ἔποψ τὴν ἀηδόνα προσφωνεῖ, καὶ τοὺς λοιποὺς ὄρνιθας ἐκείνων φωνὴν μιμούμενος συγκαλεῖ. ἐκ δὲ τούτων ἤδη συγκληθέντων ὁ χορὸς συνίσταται.

Ὠδὴ κώλων ιδ'.

Επ. Ἄγε σύννομέ μοι, παῦσαι μὲν ὕπνου.
Χύσον δὲ νόμους ἱερῶν ὕμνων
Οὓς διὰ θείου στόματος θρηνεῖς,
Τὸν ἐμὸν καὶ σὸν πολύδακρυν Ἴτυν
Ἐλελιζομένη διεροῖς μέλεσιν.
Γίνυος ξουθῆς καθαρὰ χωρεῖ
Διὰ φυλλοκόμου σμίλακος ἠχὼ,
Πρὸς Διὸς ἕδρας. ἵν' ὁ χρυσοκόμας
Φοῖβος ἀκούων, τοῖς σοῖς ἐλέγοις
Ἀντιψάλλων ἐλεφαντόδετον
Φόρμιγγα, θεῶν ἵστησι χορούς·
Διὰ δ' ἀθανάτων στομάτων χωρεῖ
Ξύμφωνος ὁμοῦ
Θεία μακάρων ὀλολυγή.
Αὐλεῖ τίς.

Cantus membrorum quatuordecim.

EP. Age, conniua mihi, cessa quidem somno.
Funde autem leges sacrorum hymnorum,
F Quos per diuinum os luges,
Meum & tuum per lachrymabilem Ityn.
Plorans humidis cantibus,
Barbæ flauæ pura it
Per comosam smilacem vox
Ad Iouis sedes, vbi auricomus
Phœbus audiens tuis elegis
Contra canens eburneam
G Citharam deorum statuis choros.
Per autem immortalia ora it,
Consonans simul
Diuinus beatorum luctus.
Canit quis?

Σχόλια. Ἄγε σύννομέ μοι] ὡς μετέχουσα τοῦ αὐτοῦ βίου καὶ τ αὐτ νομῆς. τὸ δὲ, ὡς ἐπὶ ὀρνέων. μελικῶς δὲ ἀρχο-

ἄρχεται. τὸ δὲ μέτρον ἐστὶ καταληκτικὸν ἀναπαιστικὸν δίμετρον. κώλων ιδ΄. ὧν τὰ ιβ΄. δίμετρα ἀκατάληκτα. τὸ ιγ΄ ἀναπαιστικὴ βάσις, ἤτοι μονόμετρον ἀκατάληκτον ἀναπαιστικόν. τὸ δὲ τελευταῖον ἑφθημιμερές, ὑφ' ὃ αἱ συνήθεις διπλαῖ. ἑξῆς δὲ κῶλον ἰαμβικὸν μονόμετρον καταληκτικὸν μεθ' ὃ τρίμετρα ἀκατάληκτα ὧν ἐπὶ τῷ τέλει παράγραφος. Πολυδάκρυν Ἴτυν.] τὸν Ἴτυν διακόψασα παρέθηκε τῷ πατρὶ πρὸ τῆς ἀπορνεώσεως. ἄλλως. οὗτος ὁ Ἴτυς υἱὸς ἦν Τηρέως καὶ Πρόκνης τῆς αὐτοῦ γαμετῆς. Πανδίων γὰρ ὁ τῶν Ἀθηναίων βασιλεὺς Πρόκνην τὴν ἑαυτοῦ θυγατέρα εἰς γάμον ἐκδίδωσι τῷ Τηρεῖ Θρᾳκὶ δυναστεύοντι. ὁ δὲ μετὰ τοὺς γάμους ἀφικνεῖται πρὸς Θρᾴκην μετὰ Πρόκνης ἐξ ἧς ἔσχεν Ἴτυν. μετὰ δὲ χρόνον συχνὸν ποθούσης τὴν ἀδελφὴν Φιλομήλαν τῆς Πρόκνης ἰδεῖν, ὁ Τηρεὺς Ἀθήναζε ἀπελθὼν καὶ λαβών, καθ' ὁδὸν αὐτὴν διεκόρευσε, καὶ τὴν γλῶτταν αὐτῆς ἀπέτεμεν ἵνα μὴ δῆλα θείη τὰ πραχθέντα τῇ Πρόκνῃ. οὐ μὴν ἀλλ' ὑφαίνουσα διὰ γραμμάτων ἐδήλωσε τὸ συμβάν. Πρόκνη μὲν οὖν

A μαθοῦσα τὴν συμφοράν, σφάξασα τὸν υἱὸν Ἴτυν εἰς βρῶσιν παρέθηκε τῷ Τηρεῖ. ὁ δὲ γνοὺς, ἐδίωκεν αὐτὰς ξίφει ποῦ ποῦ φθεγγόμενος. Φιλομήλα μὲν δὴ ἡ Τηρέως ἦν βοῶσα τῷ φόβῳ. Πρόκνη δὲ τὸν Ἴτυν θρηνοῦσα, ἴτυ ἴτυ ἐλεεινῶς ἐφθέγγετο. τοῦ δὲ Διὸς ἐλεήσαντος ἡ μὲν Πρόκνη εἰς ἀηδόνα, ἡ δὲ Φιλομήλα εἰς χελιδόνα μεταβληθῆναι, ὅτε γε μὴν καὶ ὁ Τηρεὺς εἰς ἔποπα. ταῦτα φθέγγονται μέχρι καὶ νῦν ἕκαστος, ἅγε συνέβη μετὰ τὴν συμφορὰν πρὸ τῆς ἀπορνεώσεως. ἐλελιζομένη δέ, θρηνοῦσα. διεροῖς δέ, διύγροις διὰ τῶν δακρύων. σμῖλαξ δὲ εἶδος βοτάνης.
B Ἠχώ.] ἡ ἱερὰ ἠχὼ ἀνέρχεται. τὸ δὲ χωρεῖ, ἀντὶ τοῦ χωρήσει. Τοῖς σοῖς ἐλέγοις.] ἀντὶ τοῦ τοῖς θρήνοις. εἴρηται δέ, παρὰ τοῦ ἒ ἒ λέγειν. Δίδυμος δέ φησιν, ὅτι οἱ πρὸς αὐλὸν ᾀδόμενοι θρῆνοι. τὸν γὰρ αὐλὸν ἐπιθρηνεῖν ὑπειλῆφθαι. Ἀντιψάλλων] ἀντὶ τοῦ ἀνακρούων. ψαλμὸς δέ ἐστιν ὁ τῆς κιθάρας ἦχος. Αὐλεῖ.] τοῦτο παρεπιγέγραπται δηλοῦν, ὅτι μιμεῖταί τις τὴν ἀηδόνα ὡς ὅτι ἔνδον οὖσαν ἐν τῇ λόχμῃ. κατεμελίτωσεν. ἡδύτητος ἐπλήρωσεν.

C

ΣΥΣΤΗΜΑ κατὰ περικοπήν.

Εὐ. Ὦ Ζεῦ βασιλεῦ τοῦ φθέγματος τοὐρνιθίου.
Οἷον κατεμελίτωσε τὴν λόχμην ὅλην.
Πισ. Οὗτος. Εὐ. τί ἐστιν; Πισ. οὐ σιωπήσει; Εὐ. τί δαί;
Πισ. Οὔποψ μελῳδεῖν αὖ παρασκευάζεται.

Constitutio per circuncisionem.

EV. O Iupiter rex voce auis,
Qualiter dulcificauit syluam totam.
PI. *Hic.* EV. *Quid est?* PI. *Non tacebis?* EV. *Quid autem?*
PI. *Epops canere rursus praeparatur.*

D

Σχόλια. Οὐ σιωπήσει.] πρὸς ἀλλήλους διαλέγονται.

ΩΔΗ κώλων ι΄.

Επ. Ἐποποῖ. ποποῖ. ποποῖ. ποποῖ.
Ἰὼ ἰώ. ἰτώ. ἰτώ. ἰτώ. ἰτώ.
Ἴτω τις ὧδε τῶν ἐμῶν ὁμοπτέρων.
Ὅσοι τ' εὐσπόρους ἀγρῶν γύας
Νέμεσθε, φῦλα μυρία κριθοτράγων
Σπερμολόγων τε γένη ταχὺ πετόμενα.
Μαλθακὴν ἱέντα γῆρυν.
Ὅσα τ' ἐν ἄλοκι θαμὰ βῶλον,
Ἀμφιτιττυβίζεθ' ὧδε
Λεπτὸν ἡδομένα φωνᾷ.

Cantus membrorum decem.

EP. *Popoe, popopo, popoe, popoe,*
Io, io, ito, ito, ito, ito:
E *Eat aliquis huc meorum simul volatilium.*
Quique bene seminatas agrorum vias
Pascitis tribus multa hordiphagorum,
Seminilegorumque genera cito volantia
Mollem mittentia vocem.
Quique in sulco frequenter glebas
Circumcanitis huc
Subtile latantes voce.

F

Σχόλια. Ἐποποῖ ποποποῖ] ἔκθεσις μέλους ἑτέρου περιοδική. εἰς τέσσαρας στροφὰς διαιροῦσα τὰς περιόδους. ὧν ἡ πρώτη στροφὴ κώλων ι΄. ὧν τὸ α΄ ἰαμβικὸν δίμετρον ἀκατάληκτον ἔχον τὸν α΄ πόδα ἀνάπαιστον. τὸ δὲ β΄ τετράβραχυ. ὧν ἑξῆς δύο καὶ τὸ ε΄ τρίμετρα ἀκατάληκτα. τὸ δὲ δίμετρον. τὸ ς΄ ἀναπαιστικὸν ὁμοίως κατὰ τὴν τετάρτην χώραν προκελευσματικὸν ἔχον. τὰ ἑξῆς τροχαϊκὰ δίμετρα πλὴν τοῦ τελευταίου καταληκτικά. τὸ δὲ ἐποποῖ, καὶ τὰ τοιαῦτα δεῖ ὀξυτόνως προφέρεσθαι ὥστε ἔχον ὀρ- G νέου προφέρεσθαι κατὰ μίμησιν. Ἰὼ ἰτὼ ἰτώ.] προσκαλεῖται τοὺς ὄρνιθας, ἵνα συμβουλεύσῃ τὴν πόλιν κτίσαι. τὸ δὲ ὅλον εὐκαίρως ὁ ποιητὴς βούλεται τὸν χορὸν εἰσάξαι τῶν ὀρνίων. Κριθοτράγων.] κριθοφάγων. καίτοι δὲ ἐπεὶ οὐ πᾶν ὄρνεον κριθὰς ἐσθίει. Ὅσα τ' ἐν ἄλοκι.] ἐν τῇ τομῇ τοῦ ἀρότρου. ἀντὶ τοῦ περὶ τὴν βῶλον τῆς αὔλακος. Ἀμφιτιττυβίζετε.] ποιὸν μέλος ἀποτελεῖτε.

ΕΤΕΡΑ ΣΤΡΟΦΗ ΚΑΙ ΩΔΗ κώλων ιγ΄.

Τιό. τιό. τιό. τιό. τιό. τιό. τιό. τιό.

Altera versio et cantus *membrorum tredecim.*

Tio, tio, tio, tio, tio, tio, tio, tio,

Ὅσα θ' ὑμῶν κατὰ κήπους ἐπὶ κισ-
σοῦ κλάδεσι νομὸν ἔχει. τά, τι κατ' ὄρεα,
τά τε κοτινοτράγα, τά, τι κομαροφά-
γα.
Ἀνύσατε πετόμενα πρὸς ἐμαὶ αὐδάν.
Τριοτό. τριοτό. τριοτό. τοβρίξ.
Ὅσα θ' ἑλείας παρ' αὐλῶνας.
Τὰς ὀξυστόμους ἐμπίδας
Κάπτεθ' ὅσα τ' εὐδρόσους τε
Γῆς τόπους ἔχετε. καὶ λειμῶ-
να τ' ἐρόεντα Μαραθῶνος.
Ὄρνις τε πτεροποίκιλος
Ἀτταγᾶς ἀτταγᾶς.

A *Quiq́ vestrûm in hortis in he-*
Dera ramis pascuum habent, quique in mon-
tibus,
Quiq́ oleiphagi, quiq́ comarophagi,
Festinate volantes ad meum cantum.
Trioto, trioto, trioto, tobrix.
Quacunq́ Heleas apud aulonas
B *Acutioris culices*
Flectitis, quiq́ bene roscidosq́
Terra locos habitatis, & pra-
Tum desiderabilem Marathonis,
Auisq́ variè pennata
Attagas, attagas.

Σχόλια. Τιὸ τιό.] ἡ δευτέρα στροφὴ κώλων ιγ. ὧν τὸ πρῶτον ἀναπαιστικὸν δίμετρον ἀκατάληκτον ἐκ τετραβραχέων. τὸ β. ὅμοιον καθαρόν. τὸ τρίτον ὅμοιον ἔχον τὸν τρίτον καὶ τέταρτον πόδα τε- C τράβραχυν. τὸν δὲ τέταρτον τρίβραχυν. τὸ ε' ὅμοιον. τὸν α' καὶ β. ἔχον πόδα τετράβραχυν. τὸ ἕκτον ὅμοιον, τὸν τρίτον ἔχον πόδα τετράβραχυν. τὰ ἑξῆς ἓξ τροχαϊκὰ δίμετρα ἀκατάληκτα ἐπιμεμιγμένα τριβραχέσιν. τὸ δὲ ιγ. τὸ ἀτταγᾶς ἀτταγᾶς, τροχαϊκὸν δίμετρον βραχυκατάληκτον. εἰ δὲ βούλει παιωνικὸν ἐκ κρητικῶν. μιμούμενος δὲ πάλιν τὴν φωνὴν τῶν ὀρνέων, καλεῖ αὐτὰ ὁ Ἔποψ. Ἐπὶ κισσοῦ κλάδεσιν.] ἀντὶ τοῦ τοῖς κλάδοις. ἀπ' εὐθείας δὲ τοῦ κλάδος, ὡς τὸ τεῖχος. Κοτινοτράγα.] κότινον ἐσθίοντα. τουτέστιν ἀγριέλαιον. Κομαροφάγα.] κόμαρον ἐσθίοντα. Ὅσα θ' ἑλείας] ἑλώδεις τόπους στενούς. τοὺς ἑλείους στενοὺς τόπους. ἀπὸ τοῦ ὁ ἕλειος. τὰς ὀξυστόμους δέ, τὰς ὀξυκαρδούσας. Ἐμπίδας. [ζῶόν ἐστιν ἐν ὕδασι γινόμενον ὅμοιον τῷ κώνωπι C μεῖζον δὲ τῇ ὑπεροχῇ κατὰ τὸ μέσον λευκοῖς περιεζωσμένον. Κάπτετε,] καταβάλλετε, ἐσθίετε. (ΒΙΣΕΤ. κάπτειν δὲ κατὰ τὸν Εὐστάθιον, χανδὸν ἐσθίειν.) ἐρόεντα δὲ ἀντὶ τοῦ ἐπιθυμητικόν. ὡς χαρίεντα. Μαραθῶνος δὲ ὅτι ἐν Μαραθῶνι πολὺ τὸ ὄρνεον. Ἀτταγᾶς.] ὁ ἀτταγᾶς ὁ ἔχων τὸν λειμῶνα τοῦ Μαραθῶνος. τὰ γὰρ λιμνώδη καὶ ἑλεῖα χωρία καταβόσκεται ὁ ἀτταγᾶς. ἡ τρίτη στροφὴ κώλων ὀκτὼ δακτυλικῶν τετραμέτρων, πλὴν τοῦ ζ. τοῦτο γὰρ δακτυλικὴ βάσις.

D

ΕΤΕΡΑ ΣΤΡΟΦΗ ΚΑΙ ΩΔΗ κώλων η'.

Ὧν τ' ἐπὶ πόντιον οἶδμα θαλάσσης
Φῦλα μετ' ἀλκυόνεσσι ποτᾶται,
Δεῦρ' ἴτε, πευσόμενοι τὰ νεώτερα.
Πάντα γὰρ ἐνθάδε φῦλ' ἀθροΐζομεν
Οἰωνῶν τῶν ταναοδείρων.
Ἥκει γάρ τις δριμὺς πρέσβυς
Καινὸς γνώμην,
Καινῶν ἔργων τ' ἐγχειρητής.

ALTERA VERSIO ET CANTVS membrorum octo.

Quorumq́ in pontium tumorem maris
Tribus cum alcyonibus volatis,
E *Huc venite audituri iuniora:*
Omnes enim hic tribus congregamus,
Auium extensarum colla.
Venit enim aliquis asper legatus,
Nouus sententia,
Nouorum operumq́ conator.

Σχόλια. Ὧν τ' ἐπὶ πόντιον] ἡ τρίτη στροφὴ κώλων ὀκτὼ δακτυλικῶν τετραμέτρων, πλὴν τοῦ ζ. τοῦτο γὰρ δακτυλικὴ βάσις. ὧν τε, ὅτε περιττός. ἔστι δὲ παρὰ τὰ Ἀλκμᾶνος ὅς τ' ἐπὶ κύματος ἄνθος ἅμ' ἀλκυόνεσσι ποτᾶται. διὸ καὶ δωρικῶς εἴρηται. τὸ δὲ ἑξῆς, ὧν τε φῦλα ἐπὶ πόντιον οἶδμα θαλάσσης ἅμ' ἀλκυόνεσσι ποτᾶται. ἡ δὲ ἀλκυών, θαλάσσιόν ἐστιν ὄρνεον. καὶ ἱστορίαν δὲ τοιαύτην περὶ αὐτῆς φασιν. ὡς ἀπ' ἀνθρώπων ἀπωρνεώθη. ἔστι δὲ ἡ Κήυκος τοῦ Τραχινίων βασιλέως γυνή. οἳ ὄλβῳ μεγίστῳ ἐπαρθέντες, εἰς τοσοῦτον ἦλθον φρυάγματος, ὡς ἀπαξιοῦν τοῖς ἰδίοις ὀνόμασι καλεῖσθαι. καὶ ὁ μέν, ἐκάλεσεν αὑτ. Δία. ἡ δέ, Ἥραν. καί ποτε ἐν θαλάσσῃ, αὐτοῦ πλέοντος F ὁ Ζεὺς ὀργισθείς, αὐτόν τε διέφθειρε καὶ τὴν ναῦν. ἡ δὲ ἄγαν περιπαθῶς ὠδύρετο τὸν τοῦ ἀνδρὸς θάνατον περὶ τὸ σίλλυ, ἣν ἐλεήσας ὁ Ζεὺς ἀπωρνέωσε. καὶ ἐκεῖνον δὲ εἰς ὄρνεον μετέβαλεν, ὃν κηρύλον καλοῦσιν. ἐθρήνει δὲ τὴν αὐτοῦ ἐν τῇ θαλάσσῃ κλωμένην. διὸ κατὰ Διὸς οἶκτον, ἑπτὰ ἡμέρας ἁλκυονίτιδας καλουμένας εὐδιεινὰς ἔχει τὰ ἐν αὐτοῖς, ἐν αἷς τίκτουσα ἐκβάλλει τοὺς νεοττούς. Τὰ νεώτερα.] πράγματα δηλονότι. Ταναοδείρων] μακροτραχήλων. τὸ μετρικὸν δέ, ἐπὶ πάντων ἔταξαν. οὐ γὰρ πάντα ταναόδειρα τὰ ὄρνεα. Καινὸς γνώμην.] νέαν γνώμην ἐξηγούμενος.

ΕΠΩΔΗ κώλων ε'.

Ἀλλ' ἴτ' ἐς λόγους ἅπαντα

INCANTATIO membrorum quinque.

Sed venite in sermones omnes

Δεῦρο.

Σχόλια. Ἀλλ' ἴτ' ἐς λόγους.] ταῦτα τὰ κῶλα ἔοικεν ἰωδοῦ. καὶ εἰσὶ τὰ μὲν δύο τροχαϊκὰ δίμετρα ἀκατάληκτα, τὸ τρίτον ἰαμβικὸν ἐκ τετραβράχεων. τὸ A δ' παιωνικὸν ἐκ κρητικῶν διαῤῥύθμων. τὸ πέμπτον ἰαμβικὸν ἐφθημιμερὲς ἐκ τετραβράχεων, ἐφ' ἑκάστης στροφῆς παράγραφος. ἐπὶ δὲ τῷ τέλει κορωνίς.

Δεῦρο. δεῦρο. δεῦρο. δεῦρο.
Τοροτοροτοροτοροτίγξ.
Κικκαβαῦ. κικκαβαῦ.
Τοροτοροτοροτορολιλιλίγξ.

Huc, huc, huc, huc.
Toro toro, toro toro, toro tinx
Cicabau, ciccabau.
Toro toro, toro tolililinx.

Σχόλια. Κικκαβαῦ.] τὰς γλαῦκας οὕτω φασὶν λέγουσιν. ὅθεν καὶ κικκάβας αὐτὰς λέγουσιν. ἔστι δὲ ἱερὰ τῆς Ἀθηνᾶς. οἱ δὲ, κικυμίδας ὡς Καλλίμαχος. χαῖρ' ἀγαθὴ κικυμίς. καὶ Ὅμηρος δὲ, χαλκίδα κικλήσκουσι θεοί, ἄνδρες δὲ κύμινδιν. τὴν γλαῦκα ἀπὸ τῆς μορφῆς χαλκίδα. ὅτι χαλκίζει τῷ χρώματι. ἄλλως B μίμημα τῆς τοιᾶς φωνῆς τῆς γλαυκός. ἔστι δὲ ἱερὰ τῆς Ἀθηνᾶς. διὸ καὶ εἶδος αὐτῆς πολὺ ἐν τῇ Ἀττικῇ καὶ εἰς τιμὴν τῆς θεοῦ ἐν τοῖς νομίσμασιν ἐχαράσσετο γλαῦκα. διὰ τὸ χαλκῶδες δὲ ἔχειν τὸ πτερὸν λέγεται καὶ χαλκίς, λέγεται καὶ κύμινδις.

ΣΥΣΤΗΜΑ ΚΑΤΑ ΠΕΡΙΚΟΠΗΝ.

C CONSTITVTIO PER circuncisionem.

Πι. Ὁρᾷς τιν' ὄρνιν; Ευ. Οὐ μὰ τὸν Ἀπόλλω 'γὼ μὲν οὔ.
Καίτοι κέχηνά γ' εἰς τὸν οὐρανὸν βλέπων.
Ἄλλως ἄρ' οὔποψ, ὡς ἔοικ', εἰς τὴν λόχμην
Ἐμβὰς, ἐπῶζε, χαραδριὸν μιμούμενος.
Επ. Τοροτίγξ. τοροτίγξ.
Πι. Ὦ 'γάθ', ἀλλ' οὑτοσὶ καὶ δή τις ὄρνις ἔρχεται.
Ευ. Νὴ Δί' ὄρνις δῆτα. τίς ποτ' ἐστίν; οὐ δήπου ταώς;
Πει. Οὗτος αὐτὸς νῷν φράσει, τίς ἐστιν ὄρνις οὑτοσί;
Επ. Οὗτος οὐ τῶν ἠθάδων τῶνδ', ὧν ὁρᾶθ' ὑμεῖς ἀεί.
Ἀλλὰ λιμναῖος. Πει. βαβαί. καλός γε καὶ φοινικιοῦς.
Επ. Εἰκότως. καὶ γὰρ ὄνομ' αὐτῷ γ' ἐστὶ φοινικόπτερος.
Πι. Οὗτος, ὦ σέ τοι. Επ. τί βωστρεῖς. Πει. ἕτερος ὄρνις οὑτοσί.
Επ. Νὴ Δί', ἕτερος δῆτα χοὖτος ἔξεδρον χώραν ἔχων.

PI. Vides quem auem? EV. Per Apollinem ego quidem non,
Tamen oscitaui in cælum aspiciens.
Aliter igitur epops, vt videtur, in syluam
Ingrediens cecinit charadrium imitans.
D *EP. Torotinx, torotinx.*
PI. O bone, sed hic & iam aliquis auis venit.
EV. Per Iouem auis certè, qui vnquam, non iam dum pauo?
PI. Hic ipse nobis dicet qui est auis hic.
EP. Hic non consuetorum horum quos videtis vos semper,
E *Sed paludosus. PI. Papæ, pulcher & phœnicius.*
EP. Decenter etenim nomen ipsi est phœnicopterus.
PI. Hic ô te. EP. Quid clamas? PI. Alter auis hic.
EP. Per Iouem, alter iam fortè hic aduenam locum habens.

Σχόλια. Ἐμβὰς ἐπῶζε.] ἐπώζειν ἐπὶ τὸ ἐπὶ τοῖς ᾠοῖς καθέζεσθαι τὰ ὄρνεα κράζειν. ἐτέθη δὲ ἀντὶ τοῦ ἐφύ- F στιτο. χαραδριὸς δέ ἐστιν, εἶδος ὀρνέου μεταβαλλομένου εἰς τὰ χρώματα. διχῶς δὲ ἐπὶ μὲν τοῦ ὀρνέου, χαραδριὸν ὀξυτονητέον. εἰ δὲ ἐπὶ τῆς χαράδρας βαρυτονεῖται. ἐπεὶ φασὶν αἱ χαράδραι τρόπον τινὰ διὰ τῶν ῥευμάτων μελῳδίας ποιεῖν.

BISETVS. Παρὰ τῷ Σουίδᾳ ἐπώαζε γέγραπται. ἐπωάζειν δὲ, φησι, τὸ ἐπὶ τοῖς ᾠοῖς καθέζεσθαι τὰ ὄρνεα. καὶ ἐπωάζουσιν, ἐπὶ τοῖς ᾠοῖς ᾄδουσι, βοῶσι. τὰ δὲ ὄρνια ἐν τῷ ἐπωάζειν λάλα εἰσίν. εἰ δὲ τὸ ἐπῶζε καλῶς ἔχει, [illegible] ἀποβληθὲν λέξεις.

Σχόλια. Χαραδριὸν μιμούμενος] Εὐφρόνιος ἐκ τοῦ χαραδριοῦ [illegible] ἄξιοι δοκεῖσθαι ἀποκρυμμένους. ἐπεὶ γὰρ τοὺς ἰκτερικοὺς ὠφελεῖ ὁ χαραδριὸς ὀφθείς, οἱ πωλοῦντες αὐτοὶ φασι κρύπτουσιν, ἵνα μὴ πρὸ τοῦ ἀνάβασθαί τις ἰαθῇ παρέργως. Ἀνδρέας δὲ φασι τῶν ἰκτερικῶν οὐ τοὺς ἰδόντας, ἀλλὰ τοὺς φαγόντας ἀπαλλάσσεσθαι τοῦ πάθους. Τοροτίγξ.] οἱ μὲν καὶ τοῦτο τοῦ Ἔποπος λέγουσιν εἶναι, οἱ δὲ ὀρνιθός τινος ἀπειπλαμένου. καὶ τοῦτο δὲ τῶν εἰρημένων ὀρνέων. Ὦγάθ' ἀλλ' οὑτοσί.] χοροὺς αὖθις ἑτέρα εἰσιόντων τῶν [illegible]. οἱ δὲ στίχοι τροχαϊκοὶ τετράμετροι καταληκτικοὶ μ. ὧν τελευταῖος καὶ βλέπουσιν εἰς σὲ κἀμέ. τοῦτο μὲν κἀμοὶ δοκεῖ. ἐν εἰσθέσει δὲ μετὰ τὸν λζ στίχον κῶλα ἰαμβικὰ δίμετρα ἀκατάληκτα δύο, ἐπὶ τῷ τέλει κορωνίς. Καὶ δή τις ὄρνις.] τοῦτο ἀποδίδωσι πρὸς τὰ ἄνω ἃ εἶπεν ὁ ἕτερος. ἄλλως ἄρ' οὔποψ. ταῶς δὲ Ἀθηναῖς περισπᾶται. G Οὗτος αὐτός.] ἀντὶ τοῦ ὁ ἔποψ ἐρεῖ ἡμῖν. Καλός γε καὶ φοινικιοῦς.] καὶ γὰρ φοινικόπτερος. λέγει οὖν ὅτι αὐτὸς τοῦ πυῤῥός. περισπᾶται δὲ τῷ λόγῳ τῶν εἰς ους ἁπλῶν, καὶ ἔστι [illegible] φοίνικος [illegible]. φοινικόεις καὶ φοινίκεος ἐν ὑπερθέσει, καὶ φοινικοῦς ἐν συναιρέσει.

BISET. Βωστρεῖς] Εὐστάθιος. βωστρεῖν, τὸ ἀναβοᾶσθαι, ἤγουν ἐπικαλεῖσθαι. παρὰ τὸ βοῶ, βοήσω, βοητὸς. καὶ κατὰ κρᾶσιν βωτὸς, καὶ πλεονασμῷ τοῦ σ, καὶ τοῦ ρ, βωστρῶ.

Σχόλια. Εξεδρον χώραν ἔχων.] ἐκ τοῦ Σοφοκλέους δευτέρας Τηρεὺς. ἀρχή. τίς ὄρνις οὗτος ἔξεδρον χώραν ἔχων. ὡς οἱ εἴπῃ χροιάν. ἔξεδρον δὲ παρηλλαγμένην. Σοφοκλῆς. οὐκ ἔξεδρος ἀλλ' ἔντοπος ἀνήρ.

Πει. Τίς ποθ' ὁ μουσόμαντις ἄτοπος ὄρνις ὀρειβάτης.

Επ. Ονομα τούτῳ Μῆδός ἐστι. Πει. Μῆδος, ὦ 'ναξ Ἡράκλεις

Εἶτα πῶς ἄνευ καμήλου Μῆδος ὢν εἰσέπτατο.

Ευ. Ετερος αὖ λόφον κατειληφώς τις ὄρνις οὑτοσί;

Πι. Τί τὸ τέρας τουτί ποτ' ἐστίν. οὐ σὺ μόνος ἄρ' ἦσθ' ἔποψ;

Αλλὰ χ' οὗτος ἕτερος. Επ. οὗτος ἐστὶ μὲν Φιλοκλέους

Εξ ἔποπος. ἐγὼ δὲ τούτου πάππος, ὥσπερ εἰ λέγοις

Ιππόνικος Καλλίου, κἀξ Ιππονίκου Καλλίας.

Πι. Καλλίας ἄρ' οὗτος οὕρνις ἐστίν; ὡς πτερορρυεῖ.

Επ. Ατε γὰρ ὢν γενναῖος, ὑπὸ τῶν συκοφαντῶν τίλλεται.

Αἵ τε θήλειαι προσεκτίλλουσιν αὐτοῦ τὰ πτερά.

Πι. Ω Πόσειδον. ὡς ἕτερος αὖ τις βαπτὸς ὄρνις οὑτοσί.

Τίς ὀνομάζεται ποθ' οὗτος; Επ. οὑτοσὶ κατωφαγᾶς.

Πι. Εστι γὰρ κατωφαγᾶς τις ἄλλος ἢ Κλεώνυμος;

Πῶς ἂν οὖν Κλεώνυμός γ' ὢν, οὐκ ἀπέβαλε τὸν λόφον.

Ευ. Αλλὰ μέντοι τίς ποθ' ἡ λόφωσις ἡ τῶν ὀρνέων

Η 'πὶ τὸν δίαυλον ἦλθον; Επ. ὥσπερ οἱ Κᾶρες μὲν οὖν

Επὶ τῶν λόφων οἰκοῦσιν ὦγαθ' ἀσφαλείας οὕνεκα.

A Pi. Qui unquam superbus sine loco auis in monte iens.

Ep. Nomen huic Medus est. Pi. Medus, ô Rex Hercules,

B Postea quomodo sine camelo Medus existens volauit.

Ev. Alter rursus cristam capiens aliquis auis hic.

Pi. Quod monstrum hoc unquam est? non tu solus igitur eras epops?

Sed hic alter? Epo. Hic est quidem Philoclei

Ex epope, ego autem huius auus. quemadmodum si diceres

C Hipponicus Calliæ, & ex Hipponico Callias.

Pi. Callias igitur hic auis est? valde pennas deijcit.

Ep. Tanquam enim existens generosus à sycophantis vellitur,

Hæc, fœminæ euellunt ipsius pennas.

D Pi. O Neptune, valde alter rursus tinctus auis hic:

Qui nominatur unquam hic? Ep. Hic deuorator:

Pi. Est enim deuorator aliquis alius quàm Cleonymus?

Quomodo igitur Cleonymus existens non abiecit cristam?

Ev. Sed tamen quæ unquam cristatio in auibus.

E An in duellum venerunt? Ep. Quemadmodum cares quidem igitur

In cristam habitant, ô bone securitatis gratia.

Σχόλια. Ο μουσόμαντις.] ὁ κομπώδης. τοιοῦτοι γὰρ οἱ μάντεις καὶ οἱ ποιηταί. Ατοπος ὄρνις] τοῦτο εἶπεν, εἰς τὸ ἰερατικὸν τοῦ ὄρνιθος ἀφορῶν οὐδὲν πρὸς τὸ προκείμενον. ταῦτα ἐξ Ηδωνῶν Αἰσχύλου. τίς ποτ' ἔσται ὁ μουσόμαντις. ἄλαλος. ἀβρατὼς ὃν σθένει. Μῆδός ἐστιν.] ὡς τῶν Μήδων ὡς ἐπὶ τὸ πολὺ ἐπὶ τῶν καμήλων ὀχουμένων ἐπὶ τῇ τῶν πολέμων ἐξόδῳ. τοὺς Εκβατάνων ὄρνις Περσικοὺς φασὶ πρὸς τὸ ξένον τῆς θέας. ζητεῖται δὲ, εἰ δ' ὄντως καλεῖταί τις ὄρνις μῆδος. Λόφον κατειληφώς.] ἀντὶ τοῦ λόφον ἔχων. ἀπὸ τῶν ἐν τοῖς πολέμοις. τοῦτο δέ φησιν ἐπεὶ ἕτερός τις ὄρνις ἀναφαίνεται λόφον ἔχων ὡς Εποψ. διαβάλλει δὲ τὸν Φιλοκλέα, ὡς ὀξυκέφαλον. Οὗτος μέν ἐστι Φιλοκλέους.] οὗτος ὁ Φιλοκλῆς, Εποπα κατεσκεύασεν ἐν τῇ Πανδιονίδι τετραλογίᾳ. οὗ ἡ ἀρχή. σὲ τὸν πάντων δηλονότι λέγω. ἄλλως. Φιλοκλεῖ ἐστὶ δρᾶμα Τηρεὺς ἢ Εποψ. ὁ Σοφοκλῆς πρῶτον τὸν Τηρέα ἐποίησεν. εἶτα Φιλοκλῆς. διὰ τοῦτο δὲ εἶπεν. ἐγὼ δ' Εποπος. ἀντὶ τοῦ ἀπὸ αὐτοῦ ἐγράφη. τοῦτο δὲ θέλων κωμῳδῆσαι Καλλίαν ὡς ἀπολέσαντα πάντα τὰ χρήματα. ἐν ἐνίοις δὲ ὑπομνήμασιν, ὅτι

F G ὀξυκέφαλός ἐστιν ὁ Φιλοκλῆς ὡς ὁ Εποψ. ἀλλ' οὐδαμοῦ κεκωμῴδηται. εἴη ἂν οὖν τὸν Εποπα κατεσκευακώς, τῇ Πανδιονίδι τετραλογίᾳ. ἣν καὶ Αριστοτέλης ἐν ταῖς διδασκαλίαις ἀναγράφει. ἐστὶ δὲ ὁ Φιλοκλῆς κωμῳδίας ποιητὴς, καὶ Φιλοπείθους υἱὸς, ἐξ Αἰσχύλου ἀδελφῆς. ὅτι δὲ Αλμίωνος αὐτόν φασιν, ἀντιθετικῶς λέγουσι διὰ τὸ πικρὸν εἶναι. ἅλμη γὰρ ἡ πικρία. γεγόνασι δὲ Φιλοκλεῖς δύο τραγῳδιῶν ποιηταί. εἷς μὲν ὁ Φιλοκλέους ἀπόγονος. ἐκείνου μὲν γὰρ Αρης μόρσιμος. ἐκ τούτου δὲ, Αστυδάμας. ἐκ τούτου δὲ Φιλοκλῆς. καὶ ἕτερος ὁ κατὰ τὴν αὐτὴν ἡλικίαν πρεσβύτερος τοῦ νεωτέρου Φιλοκλεῖ. Ιππόνικος Καλλίου. ὁ Ιππονίκου Καλλίας ἐδόκει τὰ πατρῷα διαπορεῦσαι εἰς ἀσέλγειαν, ὡς ληφθεὶς μοιχῶν καὶ ἀποτίσας χρήματα. κεκωμῴδηται δὲ αὐτοῦ ἱκανῶς Εὔπολις ἐν τοῖς Κόλαξι. λέγεται δὲ καταψευδῶς τῶν ὑπομνημάτων. ὅτι οἱ Ιππόνικοι καὶ οἱ Καλλίαι, ἄνωθεν ἐκ διαδοχῆς ἀπὸ πατέρων ἐπὶ παῖδας καθήκουσιν. ὅπερ ἐστὶ ψεῦδος. ὁ πρῶτος γοῦν Καλλίας Φαινίππου πατρός ἐστι, ὁ νενικηκὼς ἵππῳ τὴν τετάρτην καὶ πεντηκοστὴν ὀλυμπιάδα.

Τίλ-

Τίλλεται.] ὃ τίλλεται ἀπὸ τῶν ὀρνέων. νῦν δὲ, ἴσον τῷ πλούσιος ὁ γυναῖος. καὶ πρὸς τὴν πορνοκοπίαν τοῦ Καλλίου, καὶ ὅτι μοιχεύων χρήματα ἐδίδου. Κατωφαγᾶς.] ὅτι βαρύνεται, ἐπίθετον. ὅτι δὲ περισπᾶται, κύριον. ἴσως δὲ ἀπὸ τοῦ καταφαγεῖν τὸ ὄνομα πεποίηκε, διὰ τὴν τοῦ Κλεωνύμου πολυφαγίαν. Οὐκ ἀπέβαλε τὸν λόφον.] τῆς περικεφαλαίας. ὡς ῥίψασπις καὶ δειλὸς διαβάλλεται Κλεώνυμος. Επὶ τὸν δίαυλον ἦλθον.] ἐπεὶ οἱ διαυλοδρομοῦντες, μεθ' ὅπλων τρέχουσιν ἔχοντες λόφον ἐπὶ τῆς κεφαλῆς. ἄλλως. δίαυλος ὁ διπλοῦν ἔχον τὸν δρόμον ἐν τῇ πορείᾳ τὸ πληρῶσαι τὸ στάδιον καὶ ὑποστρέψαι. δολιχόδρομοι δὲ οἱ ἑπτὰ τρέχοντες, διὸ καὶ δολιχόδρομοι. οἱ γὰρ σταδιοδρόμοι δι- A πλοῦν ποιοῦνται τὸν δρόμον. ἄλλως. ὁπλίτην δρόμον. μετὰ ὅπλων γὰρ ἠγωνίζοντο. ἄλλως. δίαυλος. ὁ δὶς στάδιος τόπος ἢ μέτρον πήχεων ς. δίαυλος καὶ ἡ μακρὰ περίοδος. ὀκτὼ δέ εἰσιν ἀγωνίσματα. στάδιον. δίαυλος. δόλιχος. ὁπλίτης. πυγμή. παγκράτιον. πάλη καὶ ἅλμα. Ωσπερ οἱ Κᾶρες μὲν οὖν.] ὡς τῶν Καρῶν τὰ ἰσχυρὰ καταλαμβανόντων, διὰ τὸ στρατιωτικοὺς εἶναι. ἢ ὅτι ἐν πέτραις ᾤκουν ὑπὲρ ἀσφαλείας. ἢ ὅτι λόφον ἔχουσιν ἐπὶ τῶν κρανῶν. γενναιότατοι δὲ οἱ Κᾶρες τὰ πολεμικά. καὶ τοὺς λόφους B καταλαμβάνοντες ἐν τοῖς πολέμοις. θαλασσοκρατήσαντές τε πολλὰ μέρη τῆς οἰκουμένης κατέλαβον. καὶ τοὺς λόφους ᾤκουν, ὡς ἂν ἰσχυροτέρους, ὅθεν καὶ καρασόλακες ἐλέγοντο αἱ οἰκήσεις.

Πει. Ω Πόσειδον. οὐχ ὁρᾷς ὅσον συνείλεκται κακὸν
Ορνέων; Ευ. ὦ ναξ Απολλον, τῶν νέφους. ἰοὺ ἰού.
C Οὐδ' ἰδεῖν ἔτ' ἔσθ' ὑπ' αὐτῶν πετομένων τὴν εἴσοδον.
Πει. Οὑτοσὶ Πέρδιξ. ἐκεινοσί γε νὴ Δί' Ατταγᾶς.
Ευ. Οὗτοσὶ δὲ Πηνέλοψ. ἐκεινοσί δέ γ' Αλκυών.
Τίς γάρ ἐσθ' οὔπισθεν αὐτῆς; Πει. ὅστις ἐστί; Κηρύλος.
Ευ. Κηρύλος γάρ ἐστιν ὄρνις; Πει. οὐ γάρ ἐστι
D Σπόργιλος.
Χ' αὑτηΐ γε Γλαύξ. Ευ. τί φῄς; τίς γλαῦκ' Αθήναζ' ἤγαγε;
Κίττα. Τρυγών. Κορυδός. Ελεᾶς. Υποθυμίς. Περιστερά.
Νέρτος. Ιέραξ. Φάττα. Κόκκυξ. Ερυθρόπους. Κεβλήπυρις.
Πορφυρίς. Κερχνῄς. Κολυμβίς. Αμπελίς. Φήνη. Δρύοψ.
E Πει. Ιοὺ ἰοὺ τῶν ὀρνέων,
Ιοὺ ἰοὺ τῶν κοψίχων.
Οἷα πιππίζουσι καὶ τρέχουσι διακεκραγότες.
Αρ' ἀπειλοῦσί γε νῷν, οἴμοι κεχήνασί γέ τοι.
Καὶ βλέπουσιν εἰς σὲ κἀμέ. Ευ. τοῦτο μὲν κἀμοὶ δοκεῖ.

PI. O Neptune, non vides, quantum congregatum est malum
Auium? EV. O Rex Apollo, nebula, heu heu.
Neque videre amplius est ab ipsis volantibus viam.
PI. Hæc perdix, ille per Iouem attagas:
Hic autem penelops, ille autem alcyon.
EV. Quæ enim est illa à tergo ipsius. PI. Qui est? corylus.
EV. Corylus enim est auis? PI. Non enim est sporgilus,
Et hæc glaux. EV. Quid dicis? quis noctuam Athenas duxit?
Citta, turtur, corydus, eleas, hypothymis, columba,
Nertus, accipiter, palumbus, cuculus, erythropus, ceblepyres,
Prophyris, cerchneus, colymbis, ampelis, phene, driops.
PI. Heu, heu, auibus,
Heu, heu, copsichus,
Qualia canunt & currunt clamitantes.
Nunquid minantur nobis? heu mihi, oscitarunt,
Et aspiciunt ad te & me. EV. Hoc quidem & mihi videtur.

F

Σχόλια. Πετομένων τὴν εἴσοδον.] τὸν οὐρανὸν ἢ τὸν ἀέρα. εἴσοδος δὲ λέγεται, ᾗ ὁ χορὸς εἰσῄεσαν ἐν τῇ σκηνῇ, καὶ ἐν ταῖς νεφέλαις. τί σὺ λέγεις. εἰσὶ δέ που αἱ δὶ κατ' αὐτὴν ἣν βλέπεις τὴν εἴσοδον. Οὑτοσὶ Πέρδιξ.] ἀπὸ τούτου ἡ καταρίθμησις τῶν εἰς τὸν χορὸν συντελούντων προσώπων καὶ ἐν προτέρῳ ληφθέντων τῶν προκατειλεγμένων. ὁ δὲ τραγικὸς κδ΄. πρόσωπα ἔχει. ἐνταῦθα δὲ εὑρήσεις ἀριθμοῦντας, τὰ εἰκοσιτέσσαρα πρόσωπα ἐξ ὧν ὁ κωμικὸς χορὸς συνίσταται. Ος τίς G ἐστι Κηρύλος.] Εὐφρόνιος φησὶ τοὺς Δωριεῖς λέγειν. βάλλε δὴ βάλλε Κηρύλος εἴην. τοὺς δὲ Αθηναίους, κείρυλον. φησὶ δὲ Δίδυμος, τὸ κατὰ φύσιν ὄνομα κήρυλος λέγεσθαι. Αντίγονος δέ φησι τοὺς ἄρσενας τῶν ἀλκυόνων, κηρύλους λέγεσθαι. οὓς γηράσκοντας, αἱ θήλειαι βαστάζουσι τοῖς πτεροῖς. μήποτε δὲ παρὰ τὸ κείρειν ἐχρηματικεν. ὁ δὲ Σποργίλος, ἦν κουρεύς. μνημονεύει αὐτοῦ Πλάτων ἐν Σοφισταῖς. τὸ Σποργίλου κουρεῖον ἔχθιστον τέγος. τοῦτο οὖν ἔσται σημεῖον, τοῦ καὶ τὸν κηρύλον ἴσως παρὰ τὸ κείρειν ἐτυμολογηκέναι τὸν Αριστοφάνην. ἀντέθηκεν οὖν αὐτῷ κουρέα. ἄλλως. ὁ ἄρσην ἀλκυὼν, Κηρύλος λέγεται. ἐν δὲ ταῖς συνουσίαις ἀποθνήσκει. ὁ δὲ Σποργίλος, κουρεὺς ἦν. διαβάλλει δὲ αὐτὸν ὡς εὐτελῆ. Τίς γλαῦκ' Αθήναζε.] τὸ χ, ὅτι ἤλλαξε τὸ τοπικόν. ἔδει γὰρ ἐξ Αθηνῶν, ἢ εἰς Αθήνας εἰπεῖν. οὐ προσποιεῖται δὲ, ὅτι καὶ ἐν Αθήναις τὰ πράγματα. παροιμία δέ ἐστιν ἐπὶ τῶν μάτην ἐμπορευόντων τινὰ ἐπὶ τοῖς προϋπάρχουσιν. ὡς εἴ τις ἐν Αἰγύπτῳ σῖτον ἐπαγάγῃ. ἢ ἐν Κιλικίᾳ κρόκον. ἐνταῦθα οὖν, ἐπεὶ Αθήνησιν ἐστὶν ἡ γλαὺξ, κατὰ τὴν παροιμίαν λέγει. τίς εἰς Αθήνας γλαῦκ' ἐκόμισεν. δήμων δέ φησιν, ὅτι καὶ τὸ ζῶον

μόνον πληθυνόντων ἐν τῇ πόλει, ἀλλὰ καὶ ὅτι τὸ νόμισμα τοῦτο, καὶ ὅτι οὐκ ἐν ἀργυρίῳ μόνῳ, ἀλλὰ καὶ ἐν χαλκῷ χαράττουσι τὴν γλαῦκα. διὸ τὴν παροιμίαν εἰρῆσθαι. μήποτε δὲ ἐπὶ τοῦ ζώου εἰκός ἐστι λεχθῆναι μόνου. Κορυδὸς, Ἐλεᾶς.] ὁ Κορυδὸς παρὰ Ἀριστοτέλει Κορυδαλὸς λέγεται, εἰ μὴ ἕτερός ἐστι. ποικίλα γὰρ τὰ ὀνόματα. ὁ δὲ Ἐλεᾶς, μήποτε ἐλεία ἐστὶν ἐν τοῖς Καλλιμάχου ἀναγραφομένοις. φησὶ γὰρ, ἔλεια μικρὸν φωνῇ ἀγαθόν. ἀναγέγραπται δὲ καὶ ἡ Ὑποθυμὶς, καὶ ὁ Νέρτος. καὶ ὁ Ἐρυθρόπους καὶ ἡ Πορφυρίς. καὶ ὁ Δρυόψ. καὶ ἡ Ἀμπελίς. Κεβλήπυρις.] μήποτε οὐχ ἕν ἐστιν, ἀλλὰ δύο φησὶν ὁ Σύμμαχος. καὶ ἐν τοῖς Καλλιμάχου γὰρ ἀναγέγραπται κέβλη. εἶτα μύρμηξ Ἑρμίππου τετραμέτροις. καὶ Θεμιστοκλέους τὸ στρατηγοῦ τις ὢν κεβλὴ πυρίς τις ὀνομάζεται. ὥστε ἐνθάδε ἢ ἐκεῖ ἡμάρτηται τὸ ἓν

A παρὰ τῇ γραφῇ. ἄλλως. ὁ διαιρεῖται δύο εἶναι, διὰ τὸν ἀριθμὸν τῶν εἰκοσιτεσσάρων. Πορφυρίς.] ἡ πορφυρὶς ἀναγέγραπται. κερχνὶς δὲ, οὐ. ἀλλὰ κερχνή. καὶ ἡ κολυμβὶς δὲ φαίνεται καὶ ὁ δρύοψ. καὶ ἡ ἀμπελίς. Δίδυμος δὲ, τὸν μικρὸν ἱέρακά φησι.

B BISETVS. Φλέω] παρὰ τῷ Σουΐδᾳ φλέων, εἶδος ὀρνέου, ἴσον αἰγυπιῷ. καὶ παρὰ τῷ Ἡσυχίῳ, φλέων, εἶδος αἰετοῦ. ὁ αὐτὸς, δρύοψ, ὄρνεόν τι διάφορον τοῦ δρυοκολάπτου. ἵνα δὲ ὁ τῶν σχολίων ἀριθμὸς τῶν κδʹ. τὸν χοροῦ προσώπων μὴ ὑπερβάλλῃ, τινὲς ταῦτα δύο ὀνόματα, φλέων καὶ δρύοψ, συνεζευγμένως οὕτως ἐκφέρουσι, φλεωδρύοψ, ὅπερ καλῶς ἔχειν δοκεῖ.

Σχόλια. Οἷα πιππίζουσιν.] κατὰ μίμησιν τῶν ὀρνέων πεποίηται ἡ λέξις. λέγεται δὲ τοῦτο καὶ τὸ ποτίζειν πιππύζειν.

ΧΟΡΟΣ, ΕΠΟΨ.

CHORVS, EPOPS.

BISETVS. Ἔποψ τῷ τῶν ὀρνίθων χορῷ τὴν τοῦ

C Εὐελπίδου καὶ Πεισθεταίρου παρουσίαν δηλοῖ.

Χο. Ποποποποποποποποποί.
Ποῦ μ' ἄρ' ὃς ἐκάλεσε;
Τίνα τόπον ἄρα νέμεται;

Επ. Οὑτοσὶ πάλαι πάρειμι, κοὐκ ἀποστατῶ φίλων.

Χο. Τιτιτιτιτιτιτιτιτιτί ἐγώ.
Τίνα λόγον ἄρα ποτὲ
Πρὸς ἐμὲ φίλον ἔχων;

Επ. Κοινόν. ἀσφαλῆ. δίκαιον. ἡδύν. ὠφελήσιμον.

Ἄνδρε γὰρ λεπτολογιστὰ δεῦρ' ἀφῖχθον ὡς ἐμέ.

Χο. Πῦ. πᾶ. πῶς φῄς;

Επ. Φήμ' ἀπ' ἀνθρώπων ἀφῖχθαι δεῦρο πρέσβυτα δύο.

Ἥκετον δ' ἔχοντε πρέμνον πράγματος πελωρίου.

Χο. Ὦ μέγιστον ἐξαμαρτὼν, ἐξ ὅτου τράφην ἐγώ,

Πῶς λέγεις. Επ. μήπω φοβηθῇς τὸν λόγον. Χο. τί μ' εἰργάσω;

Επ. Ἄνδρ' ἐδεξάμην ἐραστὰ τῆσδε τῆς συνουσίας.

Χο. Καὶ δέδρακας τοῦτο τοὔργον; Επ. καὶ δεδρακώς γ' ἥδομαι.

Χο. Κἄστον ἤδη ποῦ; Επ. παρ' ἡμῖν, εἰ παρ' ὑμῖν εἴμ' ἐγώ.

CH. PO,po,po,po,po,po,po,po,po,poe.
Vbi me igitur qui vocauit?
Quem locum igitur pascit?

EP. *Hic, diu adsum, & non absum amicis.*

CH. *Ti,ti,ti,ti,timptru.*

D *Quem sermonem igitur vnquam*
Ad me amicum habens?

EP. *Communem, securum, iustum, suauem, vtilem:*

Viri enim subtiles rationatiui huc venerunt ad me.

CH. *Vbi? quò? quomodo dicis?*

EP. *Dico ab hominibus venisse huc legatos duos.*

E *Venerunt autem habentes radicem rei magnæ.*

CH. *O maxime peccator, ex quo nutritus sum ego.*

Quomodo dicis? EP. *Nondum timuisti sermonem?* CH. *Quid mihi fecisti?*

EP. *Viros suscepi amatores huius conuersationis.*

F CHO. *Et fecisti hoc opus?* EP. *Et faciens lætor.*

CH. *Et sunt iam vbi?* EP. *Apud nos, si apud vos sum ego.*

Σχόλια. Ποποποποποποί.] ἔκθεσις περιόδου ἀμοιβαίας τοῦ χοροῦ καὶ τοῦ ὑποκριτοῦ κώλων καὶ στίχων ιζ. ὧν τὰ πρῶτα τρία κῶλα τοῦ χοροῦ ἀναπαιστικὰ προσθέσει μιμούμενα ἐπιμεμιγμένα τετραβράχεσιν. ὁ δὲ τροχαϊκὸς τετράμετρος καταληκτικός. τὰ ἑξῆς πάλιν τρία κῶλα τοῦ χοροῦ ἀναπαιστικὴ βάσις ἕκαστον τούτων. ἐπιμεμιγμένα καὶ ταῦτα τετραβράχεσιν. οἱ ἑξῆς πάλιν δύο τροχαϊκοὶ τετράμετροι καταληκτικοί. τὸ ἑξῆς τοῦ χοροῦ κῶλον ἀναπαιστικὴ βάσις, οἱ δὲ ἑξῆς ζ τροχαϊκοὶ τετράμετροι καταληκτικοί. ὧν τελευταῖος. κἄστον ἤδη που παρ' ἡμῖν εἰ παρ' ὑμῖν εἴμ' ἐγώ. Τίνα λόγον.] ἀντὶ τοῦ τὸ πάρεστι

Κοινὸν ὠφελήσιμον.] ἀντὶ τοῦ κοινωφελῆ. ἀσφαλῆ δὲ, τουτέστιν ἀληθῆ καὶ σφαλῆναι μὴ δυνάμενον. Λεπτολογιστά.] λεπτοὶ εἰς τὸ λογίζεσθαι. Ποῦ. πᾶ.] διαταράττονται οἱ ὄρνιθες ἀκηκοότες ἄνδρας παρεῖναι. ὑποπτεύουσι γὰρ αὐτοὺς εἶναι ὀρνιθοθήρας.

G Ἔχοντε πρέμνον] στέλεχος καὶ ῥίζαν. πράγματος δὲ πελωρίου, ὅ ἐστι χρήσιμόν τι εἰσηγούμενοι. Ὦ μέγιστον ἐξαμαρτών.] ὅτι ἀνθρώπους ἐδέξατο θρεπτὰς τῶν ὀρνίθων. ἄλλως. τὸ ἐξημαρτηκὼς ἐξ ὅτου ἐτέχθην. Τῆς συνουσίας] τῆς ἡμῶν τῶν ὀρνέων κοινωνίας καὶ διαγωγῆς. εἰ παρ' ὑμῖν εἴμ' ἐγώ. εἰ ἐγὼ παρ' ὑμῖν εἰμι, καὶ ἐκεῖνοι παρ' ἐμοί εἰσιν.

ΣΤΡΟ-

A

ΣΤΡΟΦΗ κώλων η'.

Χο. ΕΑ. ἔα. προδεδόμεθ', ἀνόσιά τ' ἐπάθομεν.
Ὃς γὰρ φίλος ἦν, ὁμότροφά θ' ἡμῖν
Ἐνέμετο πεδία παρ' ἡμῖν,
Παρέβη μὲν θεσμοὺς ἀρχαίους.
Παρέβη δ' ὅρκους ὀρνίθων.
Ἐς δὲ δόλον ἐκάλεσεν, παρέβαλέν τ' ἐμὲ παρὰ
Γένος ἀνόσιον. ὅπερ ἐξότ' ἐγένετό γ' ἐπ' ἐμοὶ
Πολέμιον τ' ἐτράφη.

VERSIO membrorum octo.

CH. HEu, heu, tradimur, iniustáque passi sumus.
Qui enim amicus erat simul nutritú, que nobis,
B Pascebat campos apud nos,
Præteriuit quidem leges antiquas,
Præteriuit autem iuramenta auium.
In autem dolum vocauit, adiecit que me apud
Genus iniustum, quod ex quando factum est in me,
Hostile nutritum est.

Σχόλια. Ἔα ἔα.] εἴσθεσις ἑτέρα μέλους χοροῦ στροφῆς λόγον ἔχουσα. ἔχει γὰρ καὶ ἀντίστροφον τὴν ἰὼ ἰὼ ἔα κώλων ἀναπαιστικῶν καὶ παιωνικῶν ὀκτώ. ὧν τὸ πρῶτον κῶλον ἰαμβικὸν ἤτοι ἰαμβικὴ βάσις. εἰσὶ δὲ τὰ μὲν ἀναπαιστικὰ μεμιγμένα προκελευσματικοῖς, τὰ δὲ παιωνικὰ πεντασυλλάβοις. διαλύονται γὰρ καὶ τῶν παιώνων εἰς βραχείας αἱ μακραί. τὸ μὲν οὖν πρῶτον καὶ τρίτον ἀναπαιστικὰ δίμετρα βραχυκατάληκτα. τὸ δὲ δεύτερον καὶ τέταρτον ὅμοια τῷ δευτέρῳ. τὸ πέμπτον ἑφθημιμερές. τὸ ἕκτον καὶ ζ παιωνικὰ τετράμετρα καταληκτικά. τὸ δὲ ὄγδοον ὅμοιον ἑφθημιμερές. ἐν ἐκθέσει δὲ στίχοι τροχαϊκοὶ τετράμετροι καταληκτικοὶ τρεῖς. ὁ τρίτος δὲ C ἀναπληροῖ τὸ ἑξῆς προσώπου εἰσερχομένου. ἑξῆς δὲ σύστημα ἐν εἰσθέσει τροχαϊκῶν τετραμέτρων καταληκτικῶν δ. ἐπὶ τῷ τέλει τῆς μὲν στροφῆς παράγραφος καὶ διπλῆ ἔσω νενευκυῖα. τοῦ δὲ συστήματος μόνη παράγραφος. Ὁμότροφα.] ὅτι τὴν αὐτὴν ἡμῖν καταενεμήθη νενομισμένα. Παρέβη μὲν θεσμούς.] ὡς τούτου νενομοθετημένου αὐτοῖς τὸ μὴ συνεῖναι ἀνθρώποις.

D

ΣΥΣΤΗΜΑ κατὰ περικοπήν.

BISETVS. Ὁ τῶν ὀρνίθων χορὸς τὸν Ἔποπα μὲν, καὶ τὸν Πεισθέταιρον θανάτῳ ζημιωτέους, καὶ τοῖς ὄνυξι, καὶ τῷ ῥάμφει διασπαστέους, καὶ διαφορητέους λέγει.

Πρὸς μὲν οὖν τὸν ὄρνιν ἡμῖν ἐστιν ὕστερος λόγος.
Τὼ δὲ πρεσβύτα δοκεῖ μοι τώδε δοῦναι τὴν δίκην.
Διαφορηθῆναί θ' ὑφ' ἡμῶν. Πει. ὡς ἀπολούμεθ' ἄρα.
Εὔ. Αἴτιος μέντοι σὺ νῷν εἶ τῶν κακῶν τούτων μόνος.
Ἐπὶ τί γάρ μ' ἐκεῖθεν ἦγες; Πει. ἵν' ἀκολουθοίης ἐμοί.
Εὔ. Ἵνα μὲν οὖν κλάοιμι μεγάλα. Πει. τοῦτο μὲν ληρεῖς ἔχων
Κάρτα. Εὔ. πῶς; Πει. κλαύσει γὰρ ἢν ἅπαξ γε τὠφθαλμὼ 'κκοπῇς.

AD quidem igitur auem nobis est vltimus sermo,
E Horum autem senes videtur mihi huic dare pœnam,
Dilacerarique à nobis. PI. Valde perimus certè,
EV. Causa quidem tu nobis es malorum horum solus.
In quid me illinc duxisti? PI. Vt sequereris me.
F EV. Vt quidem igitur fleam valde. PI. Hoc quidem nugaris habens
Valde. EV. Quomodo? flebis enim si semel oculos verberaberis.

Σχόλια. Ὕστερος λόγος.] ὅτι ὕστερον αὐτῷ μαχεσόμεθα ὡς παρ' Ὁμήρῳ. ἀλλ' ἤτοι μὲν ταῦτα μεταφρασόμεσθα καὶ αὖθις. Διαφορηθῆναι.] διασπασθῆναι. Αἴτιος μέντοι σύ.] ἀλλήλοις ἀντεγκαλοῦσιν οἱ πρεσβῦται ἀμηχανοῦντες ἐκφυγεῖν πως τὸ παρὸν κακόν.

G

ΑΝΤΙΣΤΡΟΦΗ κώλων θ'.

Χο. ΙΩ. ἰώ. ἔπαγ' ἔπελθ' ἐπίφερε πολέμιον
Ὁρμὰν φονίαν. πτέρυγά τε παντᾷ γε

INVERSIO membrorum nouem.

CH. HEu, heu, induc, adeas, infer hostile,
Incursionem cadilem, alam omnino

Επίβαλε περίττε κύκλωσαι.
Ως δεῖ τώδ᾽ οἰμώζειν ἄμφω.
Καὶ δοῦναι ῥύγχει φορβάν.
Οὔτε γὰρ ὄρος σκιερὸν, οὔτε νέφος αἰθέριον,
Οὔτε πολιὸν πέλαγος ἐστὶν, ὅτι δέξε)
Τώδ᾽ ἀποφυγόντε με.
Αλλὰ μὴ μέλλωμεν ἤδη τώδε τίλλειν καὶ δά-
κνειν.
Ποῦ ᾿σθ᾽ ὁ ταξίαρχος; ἐπαγέτω τὸ δεξιὸν κέρας.
Ευ. Τοῦτ᾽ ἐκεῖνο. ποῖ φύγω δύστηνος. Πει. οὗτος, οὐ
μενεῖς;
Ευ. Ιν᾽ ὑπὸ τούτων διαφορηθῶ; Πει. πῶς γὰρ ἂν
τούτους δοκῇς,
Εκφυγεῖν; Ευ. οὐκ οἶδ᾽ ὅπως ἄν. Πει. ἀλλ᾽ ἐγώ τί
σοι λέγω.
Ότι μένοντε δεῖ μάχεσθαι λαμβάνειν τε τῶν
χυτρῶν.
Ευ. Τί δὲ, χύτρα νῷ γ᾽ ὠφελήσει; Πει. γλαὺξ μὲν
οὐ πρόσεισι νῷν.
Τοῖς δὲ γαμψώνυξι τοισδὶ τὸν ὀβελίσκον ἁρπά-
σας,
Εἶτα κατάπηξον πρὸς αὐτόν. Ευ. τοῖσι δ᾽ ὀφθαλ-
μοῖσι τί;
Πι. Οξύβαφον ἐντευθενὶ προθοῦ λαβὼν, ἢ
τρύβλιον.
Ευ. Ω σοφώτατε σύ γ᾽ ἀνεῦρες αὐτὸ, καὶ στρατηγι-
κῶς.
Υπερακοντίζεις σύ γ᾽ ἤδη Νικίαν ταῖς μηχα-
ναῖς.

A Iniyce, circundáque:
Quòd oportet hos lugere ambos,
Et dare rostro nutrimentum.
Neque enim mons vmbrosus, neque nebula æ-
theria,
Neque album pelagus est, quod suscipiat
Hos aufugientes me.
Sed non trademus iam hos vellere & morde-
re.
B Vbi est princeps? inducatur dextrum cor-
nu.
Eu. Hoc illud quò fugiam infelix? Pi. Hic non
manebis?
Eu. Vt ab his dilanier. Pi. Quomodo enim hos
putas
Effugere? Eu. non scio quomodo. Pi. Sed aliquid
tibi dico,
C Quòd quidem oportet pugnare, capereque ol-
las.
Eu. Quid autem olla nos iuuabit? Pi. Glaux qui-
dem non procedit nobis,
His autem curuis vngues hic, veru rapiens,
Postea defige ad ipsum. Eu. His autem oculis
quid?
Pi. Vas acetorium illinc appone capiens, vel ca-
tinum.
D Eu. O sapientissime, bene inuenisti ipsum, &
militariè,
Superas tu iam Niciam inuentionibus.

Σχόλια. Ιὼ ἰώ.] ἐπίθεσις χοροῦ ἑτέρα ἀντίστροφος τῆς ἤδη ῥηθείσης στροφῆς. ἐκ κώλων ὁμοίων καὶ στίχων ή. εἰσὶ δὲ τὰ μὲν ἀναπαιστικὰ ἀναλόγως τοῖς τῆς στροφῆς. τὰ δὲ τρία παιωνικὰ ὡς καὶ τὰ τῆς στροφῆς. ἐν εἰσθέσει δὲ στίχοι δύο τροχαϊκοὶ τετράμετροι ἀκατάληκτοι ὅμοιοι τοῖς ἑξῆς. ἐπὶ τῷ τέλει διπλαῖ ἔξω νενεύκασι. ἄλλως. ἴσως ἐπεὶ πολεμικῇ παρατάξει παρακελεύονται ἑαυτοῖς ὡς ἐν πολεμικῇ παρατάξει, βουλόμενοι κατ᾽ αὐτῶν ὁρμῆσαι. Επίβαλε περίττε κύκλωσαι.] ὡς ὅπλον πανταχοῦ. τοῦτο γὰρ πάντα γε τὴν πτῆσιν τὴν ἐπὶ φόνῳ γινομένην περίαγε. Καὶ δοῦναι ῥύγχει φορβάν.] Ασκληπιάδης φησὶν, ἀπὸ Ανδρομέδας ἐστὶ. ὡς καὶ τὸ τὰ γὰρ ταῦτα πάντα, καὶ ἐκεῖσε δεῦρο κεῖται. ὡς καὶ τὸ ῥάμφος φησὶ. ὅτι βέλτιον. ῥάμφος γὰρ ἐπὶ ὀρνέου. ἐπὶ δὲ χοίρου ῥύγχος ἄλλως. παρὰ τὸ Εὐριπίδου ἐξ Ανδρομέδας. ἐκθεῖναι κήτει φορβάν. ὡς Ασκληπιάδης, τὰ μὴ ἐν διδαχθείσης τῆς τραγῳδίας παρατιθέμενος. καὶ τὰ, τὰ γὰρ ταῦτα πάντα. καὶ τὸ, τῇδε καὶ τὸ κεῖσε, παρὰ τὰ ἐκ τῶν μηδέπω διδαχθεισῶν Φοινισσῶν φησιν. καὶ ἐκεῖσε καὶ δεῦρο μηδέλως τίαστα. καὶ ὅλως παραπλήσιον πολὺ τὸ τοιοῦτον. Οὔτε γὰρ ὄρος.] εἰς ἃ μάλιστα ἀποφυγή τις ἐστὶν ἀσφαλής. Επαγέτω τὸ δεξιὸν κέρας.] ἀντὶ τοῦ προσαγέσθω κατὰ τὸ δεξιὸν μέρος. ὡς ἐπὶ πολέμου δὲ τοῦτο φησί. τῶν γὰρ ταγμάτων, τὸ μὲν μέσον, μέτωπον, ὃ ἐκ πολλοῦ πλήθους συνίσταται. τῶν δὲ ἑκατέρωθεν, τὸ μὲν δεξιόν. τὸ δ᾽ ἀριστερὸν ὀνομάζεται.
E Ότι μένοντε.] ἐπεὶ μὴ δυνάμεθα φυγεῖν, κἂν μαχεσάμεθα μένοντες. Λαμβάνειν τι τῶν χυτρῶν.] φοβεῖται γὰρ τὴν χύτραν τὰ ὄρνεα διὰ τὸ μέλος αὐτῶν. Γλαὺξ μὲν οὐ πρόσεισι νῷν.] οὐ διὰ τὴν χύτραν οὐ πρόσεισιν ὡς καὶ Εὐφρόνιος. τοῦτο γὰρ κοινῶς πάντα τὰ ὄρνεα φοβεῖ. ἀλλὰ διὰ τὸ ἀττικὸν εἶναι τὸ ζῶον. Αττικοὶ δὲ καὶ αὐτοί. Τοῖς δὲ γαμψώνυξι.] τοῖς ἐπικύφους ἔχουσιν ὄνυχας. Τὸν ὀβελίσκον ἁρπάσας.] πῆξον αὐτὸν πρὸς τὴν χύτραν. Η τρύβλιον.] ὅτι τὸ τρύβλιον μεῖζον τοῦ ὀξυβάφου. Υπερακοντίζεις σύ γ᾽
F ἤδη.] νικᾷς ἐκ μεταφορᾶς τῶν τοῖς ἀκοντίοις ἀγωνιζομένων. Νικίαν.] φρονιμώτατα γὰρ λιμῷ Μηλίους ἀνεῖλεν.

Bisetus. Ο τῶν ὀρνίθων χορὸς τὸ πολεμικὸν κατὰ τοῦ Εὐελπίδος, καὶ Πεισθεταίρου ᾄδει, καὶ πάντας πρὸς τὴν τούτων διαφόρησιν, καὶ διασπασμὸν ἐξεγείρει. ἀλλ᾽ ὕστερον ἐπιπειθεὶς τῇ αὐτοῦ παρουσίᾳ, καὶ ἐπιτιμήσει τὴν αὐτῶν ὁρμὴν καταπραΰνει, καὶ παύει.
G

Χο. Ελελελεῦ. χώρει. κάθες τὸ ῥύγχος. οὐ
μέλλειν ἐχρῆν.

CH. Elelelen, procede, depone rostrum, non
tardare oportet.

Σχόλια.

Σχόλια. Ἐλελελεῦ.] ἐπίφθεγμα πολεμικόν. οἱ προσιόντες γὰρ εἰς πόλεμον, τὸ ἐλελελεῦ ἐφώνουν μετά τινος ἐμμελοῦς κινήσεως. καθὸ καὶ Ἀχαιὸς Ἐρετριεὺς ἐν A τῷ Φιλοκτήτῃ, ποιεῖ τὸν Ἀγαμέμνονα προσαγγέλλοντα τοῖς Ἀχαιοῖς.

Ἕλκε. τίλλε. παῖε. δεῖρε. κόπτε πρώτην τὴν χύτραν.	*Trahe, velle, verbera, decoria, frange primam ollam.*
Επ. Εἰπέ μοι τί μέλλετ᾽ ὦ πάντων κάκιστα θηρίων,	Ep. *Dic mihi, quid cogitatis omnium pessima ferarum*
Ἀπολέσαι, παθόντες οὐδὲν, ἄνδρε καὶ διασπάσαι,	B *Perdere patientes nihil, viros & divellere,*
Τῆς ἐμῆς γυναικὸς ὄντε ξυγγενεῖ καὶ φυλέτα.	*Mea vxoris existentes cognatos & contribules?*
Χο. Φεισόμεσθα γάρ τι τῶνδε μᾶλλον ἡμεῖς, ἢ λύκων;	Cho. *Parcemus enim aliquid his magis nos quàm lupis,*
Ἢ τίνας τισαίμεθ᾽ ἄλλους, τῶνδ᾽ ἂν ἐχθίους ἔτι;	*An aliquos puniemus alios his inimiciores amplius?*
Επ. Εἰ δὲ τὴν φύσιν μὲν ἐχθροὶ, τὸν δὲ νοῦν εἰσὶ φίλοι,	Ep. *Si autem natura quidem inimici, mēte autem sunt amici,*
Καὶ διδάξοντές τι δεῦρ᾽ ἥκουσιν ὑμᾶς χρήσιμον;	C *Et docturi aliquid huc venerunt vos vtile.*
Χο. Πῶς δ᾽ ἂν οἵγ᾽ ἡμᾶς τι χρήσιμον διδάξειαν ποτε	Cho. *Quomodo autem hi nos aliquid vtile docebunt vnquam,*
Ἢ φράσειαν, ὄντες ἐχθροὶ τοῖσι πάπποις τοῖς ἐμοῖς.	*An dicent existentes inimici illis auis meis?*
Επ. Ἀλλ᾽ ἀπ᾽ ἐχθρῶν δῆτα πολλὰ μανθάνουσιν οἱ σοφοί.	Ep. *Sed ab inimicis certè multa discunt sapientes,*
Ἡ γὰρ εὐλάβεια σώζει πάντα. παρὰ μὲν οὖν φίλου,	D *Hic enim metus saluat omnia: à quidem igitur amico*
Οὐ μάθοις ἂν οὐδέν. ὁ δ᾽ ἐχθρὸς αὐτὸς ἐξηνάγκασεν.	*Non discas nihil, hic autem inimicus ipse cogit.*
Αὐτίχ᾽ αἱ πόλεις παρ᾽ ἀνδρῶν γ᾽ ἔμαθον ἐχθρῶν κοὐ φίλων,	*Statim ciuitates à viris didicerunt inimicis, & non amicis,*
Ἐκπονεῖν θ᾽ ὑψηλὰ τείχη. ναῦς τε κεκτῆσθαι μακράς.	*Facereque altos muros, nauesque fabricare longas.*
Τὸ δὲ μάθημα τοῦτο, σώζει παῖδας. οἶκον. χρήματα.	E *Hac autem doctrina hac saluat filios, domum, pecunias.*
Χο. Ἔστι μὲν λόγων ἀκοῦσαι πρῶτον, ὡς ἡμῖν δοκεῖ,	Cho. *Est quidem sermonum audire primùm, vt mihi videtur*
Χρήσιμον. μάθοι γὰρ ἄν τις κἀπὸ τῶν ἐχθρῶν σοφόν.	*Vtile, discas enim aliquis & ab inimicis sapiens.*
Πει. Οἵδε τῆς ὀργῆς χαλᾶν εἴξασιν. ἄναγ᾽ ἐπὶ σκέλος.	Pi. *Hi autem iram deprimere videntur, reduc in crus.*
Επ. Καὶ δίκαιόν γ᾽ ἐστί. κἀμοὶ δεῖ νέμειν ὑμᾶς χάριν.	Ep. *Et iustum est, & mihi oportet dare vos gratiam.*
Χο. Ἀλλὰ μὴν οὐδ᾽ ἄλλο σοί πω πρᾶγμ᾽ ἠναντιώμεθα.	F Cho. *Sed quidem neque alia tibi re aduersamur.*

Σχόλια. Ἕλκε. τίλλε.] καὶ Κρατῖνος. σφάττε. δαῖρε. κόπτε. τὴν χύτραν δὲ εἰς τὴν ἐτέραν ὄντα πανταχοῦ ἐσκευασμένα ὡς, ὅτι κατατροχοῦσιν αὐτῆς. Καὶ φυλέτα.] ξυμπατριώτας. ὅτι καὶ ἡ Πρόκνη Ἀττικὴ ἦν Πανδίονος θυγάτηρ. Μᾶλλον αὖθις ἢ λύκων.] μᾶλλον λύκων φεισόμεθα ἤπερ τούτων. ἔστι καὶ παροιμιῶδες. ἐπεὶ τοὺς λύκους ἀπέκτεινον τὸ παλαιὸν ἐν τῇ Ἀττικῇ. καὶ νόμος ἦν λυκοκτονεῖν. διὸ G ὁ μὲν φονεύσας λύκου τέκνον, τάλαντον ἐλάμβανεν. ὁ δὲ τὸν μέγαν, δύο. ὅθεν καὶ τὸν Ἀπόλλωνα λύκειον καὶ λυκοκτόνον φασίν. Τοῖσι πάπποις τοῖς ἐμοῖς.] ὅπερ ἐστὶν ἐκ προγόνων ἡμῖν ἐχθροὶ ὄντες. καὶ Μένανδρος. οὐχ ὅθεν ἀπολλύμεθα σώζεσθαι μὲν ἔτι. Ἀλλ᾽ ἀπ᾽ ἐχθρῶν δὴ πολλά.] φοβούμενος γάρ τις τοὺς ἐχθροὺς ὠφελεῖται παρ᾽ αὐτῶν. ὁ γὰρ τῶν ἐχθρῶν φόβος, πολλὰ χρήσιμα ἐστιν ὅτι διδάσκει πρὸς φυλακὴν καὶ πρόνοιαν. καὶ ὑπ᾽ ἀνάγκης ἐχθρῶν συνωθούμενοι μηχανάς τινας ποιοῦντες εἰς ἑαυτῶν φυλακὴν ἐπινοοῦσιν οἱ ἄνθρωποι. Ναῦς τε κεκτῆσθαι μακράς.] τὰς τριήρεις. ταῦτα εἰς Συρακουσίους αἰνίττεται. οὓς ἐνίκησαν Ἀθηναῖοι, διὰ τὸ ταπεινοὺς ἔχειν τοὺς G πύργους. Ἔστι μὲν λόγων ἀκοῦσαι] τὸ ἑξῆς. ἔστι μὲν χρήσιμον, τὸ ἀκοῦσαι πρὸς τὸ ἐφ᾽ ὅτῳ ἐληλύθασιν. Ἀναγ᾽ ἐπὶ σκέλος.] ἀντὶ τοῦ ἀναχώρει ὀλίγον ὑπὸ πόδα. παρὰ τὸ γόνυ γωνὸς ἀμείβων. τοῦτο δὲ, ὡς ὑποδεισάντων αὐτῶν ὑπὸ τοῦ δέους. Καὶ δίκαιόν γ᾽ ἐστί.] τοῦτο ὁ ἔποψ πρὸς τοὺς ὄρνιθας. ἐπειδὴ ὑφεῖσαν εἰς λόγους βούλεσθαι ἐλθεῖν τοῖς ἀνθρώποις.

A

Ἔκθεσις τῆς διπλῆς ἐκ κώλων ιϛ.

Πι. Μᾶλλον εἰρήνην ἄγουσιν
Ἡμῖν. ὥστε τὴν χύτραν
Ταύτην ξυβλίῳ καθίει,
Καὶ τὸ δόρυ χρὴ τὸν ὀβελίσκον,
Περιπατεῖν ἔχοντας ἡμᾶς
Τῶν ὅπλων ἐντός, παρ᾽ αὐτὴν τὴν χύ-
Τραν ἄκραν αὐτὴν ὁρῶντας
Ἐγγὺς, ὡς οὐ φευκτέον νῷν.
Εὐ. Ἐτεὸν, ἢν δ᾽ ἄρ᾽ ἀποθάνωμεν,
Κατορυχθησόμεσθα ποῦ γῆς;
Πι. Ὁ Κεραμεικὸς δέξεται νώ.
Δημοσίᾳ γὰρ ἵνα ταφῶμεν,
Φήσομεν πρὸς τοὺς στρατηγοὺς
Μαχομένω τοῖσι πολεμίοις,
Ἀποθανεῖν ἐν Ὀρνεαῖς.

Pi. Magis pacem ducunt
Nobis, quare ollam
Catino depone.
Et lanceam oportet veru
Deambulare habentes nos
Arma intra apud ol-
B Lam extremam ipsam videntes
Prope, quòd non fugiendum nobis.
Ev. Verùm, si autem igitur morimur,
Defodiemur vbi terræ?
Pi. Ceramicus suscipiet nos.
Publicè enim vt sepeliamur,
Dicemus ad milites
Pugnantes inimicis
Mori in Orneis.

C

Σχόλια. Μᾶλλον εἰρήνην ἄγουσιν.] ἔκθεσις τῆς διπλῆς ἐκ κώλων ὁμοίων τροχαϊκῶν ἐπιμεμιγμένων ἀναπαίστοις καὶ χορείοις πεντεκαίδεκα διμέτρων πλὴν τοῦ τελευταίου ἀκαταλήκτων, ὑφ᾽ ὃ αἱ συνήθεις δύο διπλαῖ. Τὴν χύτραν.] ἔξωθεν τὴν συν. σὺν τῷ τρυβλίῳ. τῷ δὲ ὀβελίσκῳ ἐχρῶντο ἀντὶ δόρατος καὶ τὸν ὀβελίσκον δέ φησιν ὅς τις ἐστὶν ἡμῖν δόρυ. ἐντὸς τῶν ὅπλων χρὴ λοιπὸν ἔχειν. λέγει δὲ, ἀντὶ τοῦ τῶν χυτρῶν. ἔθος γὰρ εἶχον, ἔσω τῶν ἀσπίδων ἔχειν τὰ δόρατα. Καὶ τὸ δόρυ χρὴ τὸν ὀβελίσκον.] τὸν ὀβελίσκον ὅς τις ἐστὶν ἡμῖν δόρυ, χρὴ περιπατεῖν ἔχοντας ἐντός. Τῶν ὅπλων ἐντός.] κέχρηται τῇ λέξει ἀντὶ τῶν ἱματίων ὥσπερ εἶπε. καὶ ἔχειν τὸ δόρυ παρὰ τὴν ἀσπίδα. οὕτω γὰρ ποιοῦσιν οἱ πολέμιοι τοῦ μὴ ἔξω ὅπλων εἶναι, ἀλλὰ καθοπλίζεσθαι. Παρὰ τὴν χύτραν] τουτέστι δεῖ καὶ μὴ φοροῦντας ἐγγύθεν αὐτὴν ἔχειν. παραινεῖ οὖν μήτε παντάπασιν ἀμελεῖν μήτι φανερῶς πολεμεῖν. Ὡς οὐ φευκτέον νῷν] ὡς οὔτε ἀπαρασκεύαστοι ἐσμέν. Κατορυχθησόμεσθα] ἔπαιξεν εἰς τὴν χύτραν ἀντὶ τοῦ ἐνταῦθα ὀρυχθησόμεθα. ἐπεὶ οἱ ἐν τῷ πολέμῳ ἀναιρούμενοι ἐν τῷ Κεραμεικῷ ἐθάπτοντο. Ὁ κεραμεικὸς δέξεται.] οἱ ἐν τῷ πολέμῳ ἀναιρούμενοι ἐν τῷ Κεραμεικῷ ἐθάπτοντο, ὡς Μενεκλῆς καὶ Καλλίστρατος ἐν τοῖς περὶ Ἀθηνῶν συγγράμμασί φασι. καλεῖται δὲ καὶ ὁ τόπος οὗτος Κεραμεικός. ἔστι γὰρ ὁ αὐτὸς δῆμος. βαδίζουσι δὲ ἔνθεν καὶ ἐντεῦθεν εἰσὶ στῆλαι ἐπὶ τοῖς δημοσίᾳ τεθαμμένοις. εἰσὶ δὲ οὗτοι ὑπὸ τοῦ δήμου πεμφθέντες. οἳ ἐν αὐτῇ τῇ χώρᾳ ὑπὲρ τῆς πόλεως τετελευτήκασιν. ἔχουσι δὲ καὶ αἱ στῆλαι ἐπιγραφὰς ποῦ ἕκαστος ἀπέθανεν. Ὀρνεαῖς] παρὰ τὰ Ὄρνεα ἔπαιξεν. ἔστι δέ τις ἐν Ἄργει πόλις, ἧς Ὅμηρος μνημονεύει, Ὀρνειάς τ᾽ ἐνέμοντο. ἴσως δὲ, ὅτι ἐν Ὀρνεαῖς μάχη ἐγένετο Λακεδαιμονίων καὶ Ἀργείων. γελοῖον δὲ τὸ φήσομεν ἀποθανεῖν.

E

ΣΤΡΟΦΗ κώλων ζʹ.

VERSIO MEMBRORVM septem.

Χο. Ἄναγ᾽ ἐς τάξιν πάλιν ἐς ταυτόν.
Καὶ τὸν θυμὸν κάτθου κύψας
Παρὰ τὴν ὀργὴν ὥσπερ ὁπλίτης.
Κἀναπυθώμεθα τούσδε τίνες ποτὲ,
Καὶ πόθεν ἔμολον.
Ἐπὶ τίνα τ᾽ ἐπίνοιαν.
Ἰὼ ἔποψ, σέ τοι καλῶ.

CHO. Educ in ordinem iterum in idem,
Et animum depone, inclinans
Apud iram sicut armatus.
Et reinterrogemus hos qui vnquam,
Et vnde venerunt.
F In quam sententiam,
Heus epops te voco.

Σχόλια. Ἄναγ᾽ ἐς τάξιν.] εἴσθεσις μέλους χοροῦ ἐπῳδικὴ εἴρηται διὰ τὸ μὴ τὴν διπλῆν τίθεσθαι, προῳδικὴ δὲ διὰ τὸ προτίθεσθαι ἑτέρας περιόδου κώλων ἀναπαιστικῶν ζ. ὧν τὰ μὲν τέσσαρα δίμετρα ἀκατάληκτα. τὸ ε ἀναπαιστικὴ βάσις, τὸ ϛ ἑφθημιμερές. ἐν ἐκθέσει δὲ κῶλον ἰαμβικὸν δίμετρον ἀκατάληκτον ὅμοιον τοῖς ἑξῆς. ὑφ᾽ ὃ κορωνίς. Καὶ τὸν θυμὸν κάτθου] ὡς εἰ ὁπλίτῃ ἐγκελεύων τὸ δόρυ καταθεῖναι παρὰ τὴν ἀσπίδα. Παρὰ τὴν ὀργήν.] παρὰ τὰ ὅπλα. ἀσπίσι κεκλιμένοι. παρὰ δ᾽ ἔγχεα μακρὰ πέπηγεν. οἱ ὅπλα μὴ ἔχοντες, θυμῷ πολεμεῖ μόνῳ.

G

Εἴσθεσις περιόδου ἀμοιβαίας ἐκ κώλων κζ.

Επ. Καλεῖς δὲ τοῦ κλύειν θέλων;
Χο. Τίνες ποθ᾽ οἵδε, καὶ πόθεν;

Ep. Vocas autem, quid audire volens?
CH. Qui vnquam hi, & vnde?

Σχόλια.

Σχόλια. Καλεῖς ἢ τὸ κλύειν θέλων.] ἐκθεσις στιχῶν ἡ ἀναπαιστικῶν κώλων καὶ ἰαμβικῶν διμέτρων μὲν πλὴν τὸ πέμπτον καὶ τὸ τρίμετρον ὄντων, ἀκαταλήκτων ἢ πλὴν τὸ τελευταῖον. τὸ γὰρ ἐφθημιμερές ἐστι γὰρ μὴν τῶν δ' ε ιε ζ ή. ἀντισπαστικῶν διμέτρων ἀπλ ἀμῶς A ἐπιτρίτος ἐφθημιμερῶν καὶ ἀποδείξεις πλὴν τοῦ ζ ἀκαταλήκτων. τοῦτο γὰρ ὑπερκατάλεκτον. ὅτι τῶν κα καὶ κγ. παιωνικῶν ἐφθημιμερῶν. τὰ ἢ ταῦτα δῆλον ὡς ἀσυνάρτητα. ἐπὶ τῷ τέλει παράγραφος.

Επ. Ξείνω σοφῆς ἀφ' Ἑλλάδος.
Χο. Τύχη ἢ ποία κομίζει,
Ποτ' αὐτὼ, πρὸς ὄρνις ἐλθεῖν.
Επ. Ἔρως βίου, διαίτης τε,
Καὶ σοῦ ξυνοικεῖν τέ σοι.
Καὶ ξυνεῖναι τὸ πᾶν. Χο. τί φῄς.
Λέγουσι ἢ δὴ τίνας λόγους;
Επ. Ἄπιστα καὶ πέρα κλύειν.
Χο. Ὁρᾷ τι κέρδος ἐνθάδ' ἄξιον μονῆς.
Ὅτῳ πέποιθέ μοι ξυνών.
Κρατεῖν ἂν ἢ τὸν ἐχθρὸν, ἢ
Φίλοισιν ὠφελεῖν ἔχειν;
Επ. Λέγει μέγαν τιν' ὄλβον. οὔ-
Τε λεκτὸν, οὔτε πιστὸν. ὡς
Σὰ ταῦτα γὰρ δὴ πάντα καὶ
Τὸ τῇδε καὶ τὸ κεῖσε καὶ
Τὸ δεῦρο προσβιβᾷ λέγων.
Χο. Πότερα μαινόμενος;
Επ. Ἄφατον ὡς φρόνιμος.
Χο. Ἔνι σοφόν τι φρενί;
Επ. Πυκνότατον, κίναδος.
Σόφισμα, κύρμα, τρῖμμα, παιπάλημ' ὅλον.
Χο. Λέγειν λέγε μοι λέγειν.
Κλύων γὰρ ὧν σύ μοι λέγεις,
Λόγων ἀνεπτέρωμαι.

Ep. *Hospites sapienti à Græcia.*
Cho. *Fortuna autem qualis portat*
Aliquando ipsos ad aues venire.
B Ep. *Amor vitæ, diætaque,*
Et tui, cohabitareque tibi,
Et simul esse semper. Cho. *quid dicis?*
Dicunt autem iam quos sermones?
Ep. *Incredibilia & vltrà audire.*
Cho. *Vides quod lucrum hic dignum mansione,*
Quo persuasus est mihi coexistens
C *Vincere an inimicum, an*
Amicis prodesse posse?
Ep. *Dicit magnam quandam opulentiam, neque dicibilem, neque credibilem, quòd*
Tua hæc enim iam omnia, &
Hic & illic, &
Huc accedit dicens.
Cho. *Vtrum furens?*
D Ep. *Ineffabile valde prudens.*
Ch. *Est sapiens aliquid menti?*
Ep. *Prudens vulpes,*
Sophisma, inuentum, tritauum, flos totum.
Ch. *Dicere iube mihi dicere.*
Audiens enim quæ tu mihi dicis,
Verbis superuolo.

Σχόλια. Σοφῆς ἀφ' Ἑλλάδος.] ἤτοι σοφῶν οἰκησάντων ἢ Ἀττικὴ, ἢ καθὸ οἱ βάρβαροι ἐφρόνουν τῶν Ἑλλήνων ὡς περιττότερον. Ὁρᾷ τι κέρδος.] χρῶνται ἢ χωρὶς τὸ ἵνα ὁ ἀπροσωπικῶς. γράφεται ἢ καὶ μὴ τὸ ὁρᾷ ἐρωτηματικὸν, ὡς ὁ λόγος, ὁρᾷ τι ἐν αὐτῷ ἀξίολογον ἢ μέλλον παρ' ἡμῖν εὑρεῖν, ἢ τὸ κρατεῖν ἐχθρῶν, ἢ φίλους ὠφελεῖν. ἐν οἷς μάλιστα ἥδονται οἱ ἄνθρωποι. σημειωτέον ἢ, ὅτι ἐνικὸν εἶπεν ἐπὶ τῶν δύο, καὶ τὸ κρατεῖν συνέζευξεν αἰτιατικῇ. τὸ ἢ ταῦτα πάντα ἐν τῷ κόσμῳ εἰσί. Τὸ τῇδε καὶ τὸ κεῖσε ἐστι] ἤγουν τὸν οὐρανὸν καὶ τὴν γῆν. τὸ ἐν τῷ μηδ' εἶπε διδαχθεισῶν φειττιαρῶν φασὶ, καὶ τὸ κεῖσε καὶ τὸ δεῦρο, καὶ ὅλως πολὺ περὶ πᾶσι E τοιοῦτος. προσβιβᾷ ἢ συναρμόζει. Ἄφατον ὡς φρόνιμος.] ὡς ἄφατόν φησι καὶ μεγίστως φρονῶν ἐστὶ ταῦτα. ἢ ἀντὶ τὸ μεγάλως. Κίναδος.] ἀπὸ κοινοῦ τὸ ἐστι αὐτοῖς. τὸ ἢ κύρμα, ἀντὶ τὸ ἐπιτυγχάνοντος ἐν πᾶσιν. ἄλλως. κίναδος, ἀντὶ τὸ πάνυ φρόνιμος. κίναδος γὰρ ἡ ἀλώπηξ. Σόφισμα. κύρμα] ἐπιθετικῶς τὸ εὑρὼν. ἄλλως. ἐπιτυχία. παράσημα τὸ τριβόμενος ἢ διατετριμμένος ἐν τοῖς πράγμασιν. ἢ κύρμα πολλοῖς ἐγκεκυρηκὼς πράγμασι. παιπάλημα ἢ, πολλὰς ἔχον τροπὰς καὶ διεξόδους ἔχων. τυχεῖν ἢ τὸ λεπτὸν ἄλευρον. Ἀνεπτέρωμαι] οἰκεῖον ὄρνισι τὸ ἀνεπτέρωμαι ἀντὶ τὸ μετεωρίζομαι. F

ΣΥΣΤΗΜΑ ΚΑΤΑ ΠΕΡΙ-
κοπὴν ἐν στίχων ιζ'.

Επ. Ἄγε δὴ σὺ καὶ σὺ τὴν πανοπλίαν πάλιν
Ταύτην λαβόντε, κρεμάσατον τύχῃ 'γαθῇ
Εἰς τὸν ἰπνὸν εἴσω, πλησίον τοῦ 'πιστάτου.
Σὺ δὲ τούσδ' ἐφ' οἷσπερ τοῖς λόγοις ξυνέλεξ' ἐγὼ,
Φράσον δίδαξον. Πει. μὰ τὸν Ἀπόλλω 'γὼ μὲν οὔ.
Ἢν μὴ διάθωνταί γ' οἵδε διαθήκην ἐμοὶ

Constitutio Per
circuncisionem.

Ep. *Age, iam tu & tu armaturam rursus*
G *Hanc capientes, suspendite fortuna bona*
In coquinam intro prope clauum.
Tu autem hos in quibus sermonibus condixi ego,
Dic, doce. Pi. *per Apollinem ego quidem non,*
Si non disponant hi testamentum mihi,

Σχόλια. Ἄγε δὴ σὺ καὶ σύ.] πρὸς τὸν Εὐελπίδην φησὶν ὁ Ἔποψ. ἄμεινον δὲ πρὸς τοὺς θεράποντας ὡς ἐν τοῖς ἑξῆς. ἄγε δὴ, Ξανθία καὶ Μανόδωρε. ἔκθεσις δὲ ἑτέρας περιόδου στίχων ἰαμβικῶν τριμέτρων ἀκαταλήκτων ιζ. ὧν ἐπὶ τῷ τέλει παράγραφος. Εἰς τὸν ἰπνὸν εἴσω πλησίον.] ἰπνὸς μὲν, ἡ κάμινος. κατάχρηστικῶς δὲ, ἡ ἐσχάρα. ἐπιστάτω δὲ θηλυκῶς χαλκοῦς τρίπους χυτρόποδος ἐκτελῶν χρείαν. οἱ δὲ πήλινον Ἥφαιστον πρὸς ταῖς ἐσχάραις ἱδρυμένον ὡς ἔφορον τοῦ πυρός. ἔνιοι δὲ καὶ ξύλον
A ἐπίμηκες πεπασσαλωμένον, ὅθεν ἐξαρτῶσι τὰ μαγειρικὰ σκεύη. Καλλίστρατος ἐπιστάτην τὸ, τῇ ἐσχάρᾳ ἐπιτιθέμενον ξύλον. ἐν ταῖς ἐσχάραις ὥσπερ ἐν ταῖς καμίνοις τὸν Ἥφαιστον ἀνεπλάττοντο. ἄλλως. ὁ ἐπιστάτης, ξύλον ἐπὶ κόρακας ἔχον. ἐξ οὗ κρεμῶσι τὰ μαγειρικὰ ἐργαλεῖα. οἱ δὲ, τρίποδα χαλκοῦν, ᾧ ἐπιτιθέασι λέβητα ὑποχεόμενον. οἱ δὲ, ἀνδριάντα πήλινον πρὸς ταῖς ἐσχάραις. Σὺ δὲ
B τούσδε ἐφ' οἷς.] σὺ τοὺς λόγους δίδαξον καὶ φράσον ἐφ' οἷς τούτους ἤγειρα ἐγώ. τοῦτο δὲ πρὸς τὸν ἕτερον τοῖν ἀνδροῖν.

Ἥνπερ ὁ Πίθηκος τῇ γυναικὶ διέθετο,
Ὁ μαχαιροποιὸς, μήτε δάκνειν τούτους ἐμὲ,
Μήτ' ὀρχίπεδ' ἕλκειν, μήτ' ὀρύττειν. Χο. οὔτι που
Τὸν, οὐδαμῶς. Πε. οὐκ, ἀλλὰ τὼ 'φθαλμὼ λέγω.
Χο. Διατίθεμ' ἔγωγε. Πε. κατόμοσόν νυν ταῦτά μοι.
C Χο. Ὄμνυμ' ἐπὶ τούτοις πᾶσι νικᾶν τοῖς κριταῖς,
Καὶ τοῖς θεαταῖς πᾶσιν. Πε. ἔσται ταυταγί.
Χο. Εἰ δὲ παραβαίην, ἑνὶ κριτῇ νικᾶν μόνον.
Πε. Ἀκούετε λεῴ. τοὺς ὁπλίτας νυνμενὶ
Ἀνελομένους θ' ὅπλ' ἀπιέναι πάλιν οἴκαδε,
Σκοπεῖν δ', ὅ,τι ἂν προγράφωμεν ἐν τοῖς πινακίοις.

Quod Pithecus uxori disposuit,
Gladiorum factor, neque mordere hos me,
Neque testiculos trahere, neque fodere. CHO. non quid
Hunc nullo modo. PI. non, sed oculos dico.
CH. Dispono ego. PI. iura nunc hæc mihi.
CH. Iuro in his omnibus vincere iudicibus,
Et spectatoribus omnibus. PI. erunt hæc.
CH. Si autem transgrediar uno iudice vincere solum.
PI. Audite populi, hos armatos nunc quidem,
Capientésque arma abire retrò domum,
Considerare autem quod præscribimus in tabellis.

Σχόλια. Ἥνπερ ὁ πίθηκος τῇ γυναικὶ διέθετο.] Σύμ-
D μαχος Αἰσωπείου λόγου ἢ τοιούτου τινὸς ἔοικε μεμνῆσθαι. Καλλίστρατος δὲ, τοιοῦτόν φησιν, ἐκ δίκης ἱματίου τινὲς συνελκύσθαι. καὶ Δίδυμος, ὅτι αἰσχρός τις τὴν ὄψιν συνελθὼν τῇ γυναικὶ πλησιαζόμενος, συνέθετο ἐπὶ φίλων, μήτε τύπτειν, μήτε τύπτεσθαι, μήτε δάκνειν φιλοῦντα, μήτε δάκνεσθαι. οἷον, σὺ μὲν οὐχ ἑλκύσεις τῶν ὀρχιπέδων, οὐδὲ ἐγὼ τῶν τριχῶν. ἔοικε δὲ Παναίτιον κωμῳδεῖν, ὃν καὶ ἐν νήσοις καταλιπὼν Παναίτιον πίθηκον. ἔνθα τὸ μάγειρε πατρὸς αὐτὸν λέγει. πίθηκον δὲ αὐτὸν εἶπε διὰ τὸ πανοῦργον. Ὁ μαχαιροποιός.] ὁ Παναίτιος μάγειρος καὶ μικροφυὴς ἦν. διαβάλλει δὲ αὐτὸν, ὡς καταλαβόντα τὴν
E γυναῖκα ἑαυτοῦ μοιχευομένην. ἰδυνάστευε γὰρ ὑπ' αὐτῆς μεγάλης οὔσης μικροφυὴς αὐτὸς ὤν. Μήτ' ὀρχίπεδ' ἕλκειν.] μὴ διασπᾶν τοὺς ὄρχεις, μὴ ὀρύττειν τὸν πρωκτὸν δεικνύς φησιν. οὔτι που τόν. τὸν ἀντὶ τοῦ. τοῦτον τὸν πρωκτὸν οὐδαμῶς ὀρύττειν. Διατίθεμ' ἐγώ.] ὑπισχνοῦμαι. συντίθεμαι. Ὄμνυμ' ἐπὶ τούτοις πᾶσιν.] ἀντὶ τοῦ εὔχομαι. οὐκ ὄμνυσι γὰρ, ἀλλ' εὔχεται. ὄμνυμι μὲν οὖν ἐν τούτοις. χαριέντως δὲ εὐχόμενος ὑπὲρ τῆς νίκης, ὄμνυμί φησι τὸ νικᾶν. ἄλλως. ἐκεῖνοι οἱ κριταὶ τοὺς κωμικούς. οἱ δὲ λαμβάνοντες τὰς ψήφους εὐδαιμόνουν. Ἔσται ταυταγί.] ἐπειδὴ περὶ νίκης εὔχεται, ποιεῖ αὐτὸν ὁ ποιητὴς εὐφημοῦντα. ἔσται ταυταγί. Εἰ δὲ παραβαίην.] πιθανῶς ὡς ἔλαττόν τι ἕξων εἰ μὴ πᾶσι νικῴη. ὑποσιωπιζόμενος δὲ αὐτῷ τὴν νίκην, ταῦτα λέγει. Ἀκούετε λεῴ.] κῆρυξ ἐστὶν ὁ Πεισθέταιρος. ὁ λόγος ὡς ἐπὶ πολεμίων συντεταγμένων. κήρυγμα εἰρήνης κηρύσσει. παίζει τοὺς χυτροφόρους ὁπλίτας φάσκων. τὸ δὲ νυνμενὶ, ἀντὶ τοῦ νῦν μέν. πολλαχοῦ δὲ τούτῳ χρῶνται. Ὅτι ἂν προγράφωμεν.] ἡ μεταφορὰ ἀπὸ τῶν βουλευτῶν, οἵτινες προγράφουσι τοὺς στρατευσίμους, ἐν πίναξι. Ἐν τοῖς πινακίοις.] ἐπεὶ ἔθος ἦν τοὺς ταξιάρχους διὰ κήρυκος ἀπαγγέλλειν τοῖς ἑαυτῶν στρατιώταις τὰ δεδογμένα. οἷον ποῖ δεῖ πορεύεσθαι. καὶ πόσων ἡμερῶν δεῖ σιτία προνοεῖσθαι.

ΣΤΡΟΦΗ ΚΩΛΩΝ ια'.

Χο. Δολερὸν μὲν ἀεὶ κατὰ πάντα δὴ τρόπον
Πέφυκεν ἄνθρωπος. σὺ δ' ὅμως λέγε μοι.
Τάχα γὰρ τύχοις ἂν
Χρηστὸν ἐξειπὼν ὅτι μοι παρορᾷς, ἢ
Δύναμίν τινα μείζω
Παραλειπομένην ὑπ' ἐμῆς φρενὸς
Ἀξυνέτου. σὺ δὲ τόθ' ὁρᾷς. λέγ' εἰς κοινόν.
Ὃ γὰρ ἂν σὺ τύχῃς μοι
Ἀγαθὸν πορίσας, τοῦτο κοινὸν ἔσται.
Ἀλλ' ἐφ' ὅτῳ περ ἂν ἥκεις τὴν σὴν πράγματι γνώμην ἀναπείσας

F
VERSIO MEMBRORVM vndecim.

CH. Dolosum quidem semper secundum omnem iam modum
Natus est homo. tu autem tamen dic mihi
(Citò enim adipisceris
Bonum edicens) quod mihi admones, vel
Potentiam aliquam maiorem,
G *Derelictam à mea mente*
Ignara: tu autem hoc vides, dic in commune.
Quod enim tu adipisceris mihi
Bonum præbens, hoc commune erit.
Sed in quo venis tuam re sententiam persuadens,

Σχόλια.

Σχόλια. Δολερὸν μὲν ἀεί.] ἔκθεσις μέλους χοροῦ λόγον στροφῆς ἔχουσα. ἔχει γὰρ καὶ ἀντίστροφον τὴν πολὺ δὴ πολὺ δή. ἔστι δὲ ἡ ἐπῳδικὴ μὲν διὰ τὸ μὴ τὴν περίοδον τίθεσθαι. προσῳδικὴ δὲ διὰ τὸ προτίθεσθαι ἑτέρας διπλῆς κώλων καὶ στίχων θ. ὧν ὁ πρῶτος ἀσυνάρτητος ἐξ ἀναπαιστικῶν διμέτρων βραχυκαταλήκτων, καὶ ἰαμβικῆς βάσεως διὰ τὸ ἀδιάφορον. ὁ δεύτερος ἀσυνάρτητος ἐξ ἰαμβικοῦ διμέτρου βραχυκαταλήκτου καὶ ἀναπαιστικῆς βάσεως. ὁ τρίτος ἀναπαιστικὸς πενθημιμερής. ὁ τέταρτος ἀσυνάρτητος ἐκ τροχαϊκοῦ πενθημιμεροῦς καὶ ἀναπαιστικοῦ ὁμοίου. ὁ πέμπτος ὅμοιος τῷ τρίτῳ. ὁ A ἕκτος ἀναπαιστικὸς δίμετρος βραχυκατάληκτος. ὁ ἕβδομος ἀσυνάρτητος ἐξ ἀναπαιστικῆς βάσεως καὶ τροχαϊκοῦ ἰθυφαλλικοῦ. ἐν εἰσθέσει δὲ στίχοι ἀναπαιστικοὶ τετράμετροι καταληκτικοὶ δύο ὅμοιοι τοῖς ἐπὶ τῆς ἑξῆς ἐκθέσεως ξα. ὀφείλει δὲ εἶναι καὶ ἐν τοῖς εἰρημένοις κώλοις διάλειμμα μικρὸν ἵνα δοκῶσιν ἐκ δύο κώλων συγκεῖσθαι, συνάπτονται δὲ εἰς ἕνα στίχον. ἐπὶ τῷ τέλει τῆς μὲν στροφῆς παράγραφος ἔσω νενευκυῖα. ἐπὶ δὲ τῆς ἐκθέσεως ἔξω διπλῆ. Παρορᾷς.] παρεπινοεῖς ἢ εὑρίσκεις. Παραλειπομένην ὑπ' ἐμῆς φρενός.] καταλειπομένην τὴν ἡμᾶς ὁ νοῦ- B μεν. ἐν τισι δ' οὐ κεῖται ἡ φρενός. ἀξυνέτου δὲ ἀνοήτου.

Λέγε θαρρήσας· ὡς τὰς σπονδὰς οὐ μὴ πρότεροι παραβῶμεν.

Πι. Καὶ μὴν ὀργῶ νὴ τὸν Δία καὶ προπεφύραται λόγος εἷς μοι,

Ὃν διαμάττειν οὐ κωλύει. φέρε παῖ στέφανον. καταχεῖσθε.

C Κατὰ χειρὸς ὕδωρ φερέτω ταχύ τις. Χο. δειπνήσειν μέλλομεν ἤ τι;

Πι. Μὰ Δί' ἀλλὰ λέγειν ζητῶ τι πάλαι μέγα καὶ λαρινὸν ἔπος τι,

Ὅτι τὴν τούτων θραύσει ψυχήν. οὕτως ὑμῶν ὑπεραλγῶ,

Οἵτινες ὄντες πρότεροι βασιλῆς. Χο. ἡμεῖς βασιλῆς; τίνος; Πι. ὑμεῖς

D Πάντων ὁπόσ' ἐστίν, ἐμοῦ πρῶτον, τουδί, καὶ τοῦ Διὸς αὐτοῦ

Ἀρχαιότεροι, πρότεροί τε Κρόνου, καὶ Τιτάνων ἐγένεσθε.

Καὶ γῆς. Χο. καὶ γῆς; Πι. νὴ τὸν Ἀπόλλω. Χο. τουτὶ μὰ Δί' οὐκ ἐπεπύσμην.

Πι. Ἀμαθὴς γὰρ ἔφυς κοὐ πολυπράγμων. οὐδ' Αἴσωπον πεπάτηκας,

Ὃς ἔφασκε λέγων κορυδὸν πάντων πρώτην ὄρνιθα γενέσθαι.

E Προτέραν τῆς γῆς. κἄπειτα νόσῳ τὸν πατέρ' αὐτῆς ἀποθνήσκειν.

Γῆν δ' οὐκ εἶναι. τὸν δὲ, προκεῖσθαι πεμπταῖον. τὴν δ' ἀποροῦσαν

Ὑπ' ἀμηχανίας, τὸν πατέρ' αὐτῆς ἐν τῇ κεφαλῇ κατορύξαι.

Dic confidens quòd pacta non prius praeteribimus.

PI. Et quidem concupisco per Iouem, & praeparatus est sermo vnus mihi,

Quem praeparare non prohibet. fer puer coronam, defundite.

In manu aquam ferat citò aliquis. CH. coenare volumus, an quid?

PI. Per Iouem, sed dicere quaero quid diu magnum & dulce verbum aliquod,

Quod horum franget animam: sic vobis super doleo,

Qui existentes prius reges. CH. nos reges cuius? PI. vos,

Omnium quaecunque sunt, me primùm hoc & Ioue ipso

Antiquiores, prioresque Saturno & Titanibus nati estis

Et terra. CH. & terra? PI. per Apollinem. CH. hoc per Iouem non audiui.

PI. Ineruditus enim natus es, & non negociosus, neque Aesopum exercuisti:

Qui dicebat narrans corydum omnium primam auem genitam esse,

Priorem terra, & postea morbo patrem ipsius mori.

Terram autem non esse, hunc autem praiacere mittendum, hanc autem impotentem

Ab inuentione patrem ipsius in capite defodisse.

Σχόλια. Ὡς τὰς σπονδάς.] ὅτι πρὸ καταγνώσεως φησὶν οὐ παραβησόμεθα. Καὶ μὴν ὀργῶ νὴ τὸν Δία.] ἐπιθυμητικῶς ἔχω. ἀπὸ τῶν ἀλφίτων. ὁμοῦ γὰρ ἔφυρον. F εἶτα εἰς μάκτρας διενέμοντο. τὸ δὲ ἑξῆς παίζει, ὡς περὶ δείπνου λέγων, καὶ τοῦ μέλλοντος λόγου αὐτοὺς εὐωχεῖν. Καὶ προπεφύραται.] εὐτρέπισται. ἡ μεταφορὰ ἀπὸ τῶν ἄλευρα φυρώντων, εἶτα μάζας ποιούντων. διαμάττειν δὲ, διαπλάττειν. Φέρε παῖ τὸν στέφανον.] τοῖς γὰρ εὐωχουμένοις παρέκειντο οἱ στέφανοι, καταψύχοντες τὸ κρανίον ἀπὸ τοῦ οἴνου θέρμης. Μέγα καὶ λαρινόν.] διὰ τούτου πολλὴν τὴν τράπεζαν ἐπέμφαινε τῆς εὐωχίας. ὡς ἐπὶ βοὸς δὲ τοῦτό φησιν ὡς ἐν Λαρίνῃ μεγάλων βοῶν γινομένων. ἔστι δὲ πόλις G Θεσπρωτίας. ἄλλως. λαρινὸν λιπαρόν. ἐκ μεταφορᾶς τῶν βοῶν. λέγονται γάρ τινες λαρινοὶ βόες οἱ λιπαροὶ ἢ μεγάλοι ἀπὸ Λαρινοῦ τινος νομέως εὐμεγέθεις, νέμονται δὲ τὴν ἤπειρον, ὄντες τῶν Γηρυόνος βοῶν ἀπόγονοι. θραύσει δὲ θραύσει. Οὐδ' Αἴσωπον πεπάτηκας.] ὅτι τὸν λογοποιὸν Αἴσωπον διὰ στόματος εἶχον. ἦν δὲ ὁ Αἴσωπος Θρᾷξ. ἠλευθερώθη δὲ ὑπὸ Ἰάδμονος τοῦ σοφοῦ. ἐγένετο δὲ πρῶτον τοῦ Ξάνθου δοῦλος. ὁ δὲ κωμικὸς Πλάτων καὶ ἀναβιοῦν αὐτόν φησιν ἐν τοῖς Λάκωσιν οὕτως. καὶ μὴν ἔφασκόν μοι μὴ τεθνάναι. ψυχὴν δ' ἀνήκειν ὥσπερ Αἰσώπου ποτέ. τῶν δὲ μύθων οἱ μὲν περὶ ἀλόγων ζώων εἰσὶν Αἰσώπειοι. οἱ δὲ περὶ ἀνθρώπων, Συβαριτικοί. εἰσὶ δέ τινες οἱ τοὺς βραχεῖς καὶ συντόμως λέγουσι συβαρίτιδας. καθάπερ Μνησίλοχος ἐν Φαρμακοπώλῃ. διὰ σπουδῆς εἶχον τὸν Αἴσωπον, Ἀριστοτέλης οὖν ἐν τῇ Σαμίων πολιτείᾳ εἰπόντα φησὶν αὐτὸν μῦθον εὐδοκιμηκέναι. περὶ δ' Αἰσώπου καὶ ἐν Σφηξί. τὸ δὲ πεπάτηκας, ἀντὶ τοῦ ἀνέγνως. ταῦτα μὲν κωμικώτερον παίζει. τὸν δὲ κορυδὸν ἔνιοι κορυδαλὸν λέγουσι. γῆς δὲ ἱερὸν ὄρνεον νομίζουσιν εἶναι. φαίνονται δὲ τοιοῦτον ἅπαν Αἰσώπῳ ἀνατιθέντες. τὸ δὲ πεμπταῖον ἀπὸ τοῦ ἐκδιατεθῆναι τὸ ἀφιέσθαι τοῦ λεγομένου. Ἐν τῇ κεφαλῇ κατορύξαι.] ἐπεὶ λόφον ἔχει ὁ κορυδός. θηλυκῶς δὲ εἴρηκε τὴν κορυδόν. Πλάτων δὲ ἀρσενικῶς.

Χο. Ὁ πατὴρ ἄρα τῆς κορυδοῦ, νυνὶ κεῖται τεθνεὼς κεφαλῆσιν.
Επ. Οὐκοῦν δῆτ' εἰ πρότεροι μὲν γῆς, πρότεροι δὲ θεῶν ἐγένοντο,
Ὡς πρεσβυτάτων αὐτῶν ὄντων, ὀρθῶς ἐσθ' ἡ βασιλεία.
Εὐ. Νὴ τὸν Ἀπόλλω. πάνυ τοίνυν χρὴ ῥύγχος βόσκειν σε τὸ λοιπόν.
Επ. Οὐκ ἀποδώσει ταχέως ὁ Ζεὺς τὸ σκῆπτρον τῷ δρυκολάπτῃ;
Πισ. Ὡς δ' οὐχὶ θεοὶ τοίνυν τῶν ἀνθρώπων ἦρχον τὸ παλαιὸν
Ἀλλ' ὄρνιθες, κἀβασίλευον, πολλ' ἐστὶ τεκμήρια τούτων.
Αὐτίκα δ' ὑμῖν πρῶτ' ἐπιδείξω τὸν ἀλεκτρυόν' ὡς ἐτυράννει.
Ἦρχέ τε Περσῶν πρῶτον, Δαρείου καὶ Μεγαβύζου.
Ὥστε καλεῖται περσικὸς ὄρνις, ἀπὸ τῆς ἀρχῆς ἔτ' ἐκείνης.
Επ. Διὰ ταῦτ' ἄρ' ἔχων καὶ νῦν ὥσπερ βασιλεὺς ὁ μέγας διαβάσκει
Ἐπὶ τῆς κεφαλῆς τὴν κυρβασίαν, τῶν ὀρνίθων μόνος ὀρθήν.
Πισ. Οὕτω δ' ἴσχυσέ τε, καὶ μέγας ἦν τότε καὶ πολὺς, ὥστ' ἔτι καὶ νῦν
Ὑπὸ τῆς ῥώμης τῆς τότ' ἐκείνης, ὁπόταν μόνον ὄρθριον ᾄσῃ,
Ἀναπηδῶσι πάντες ἐπ' ἔργον. χαλκῆς. κεραμῆς. σκυτοδέψαι.
Σκυτῆς, βαλανῆς. ἀλφιταμοιβοί. τορνευτασπιδολυροπηγοί.
Οἱ δὲ βαδίζουσ' ὑποδησάμενοι νύκτωρ. Εὐ. ἐμὲ τοῦτό γ' ἐρώτα.
Χλαῖναν γὰρ ἀπώλεσ' ὁ μόχθηρος, Φρυγίων ἐρίων διὰ τοῦτον.
Ἐς δεκάτην γάρ ποτε παιδαρίου κληθεὶς, ὑπέπινον ἐν ἄστει,
Κἄρτι 'καθηῦδον· καὶ πρὶν δειπνεῖν τοὺς ἄλλους, οὗτος ἄρ' ᾖσεν.
Κἀγὼ νομίσας ὄρθρον, ἐχώρουν Ἁλιμοῦντάδε, κἄρτι προκύπτω, (ναῖ τὸν.
Ἔξω τείχους, καὶ λωποδύτης παίει ῥοπάλῳ μετὰ

A CHO. Pater igitur corydi nunc iacet mortuus capitibus.
EP. Igitur certè, si priores quidem terra, priores autem deis nati sunt.
Tanquam annosissimorum ipsorum existẽtium rectè est regnum.
EV. Per Apollinem. valdè igitur oportet rostrũ pascere te in futurum.
B EP. Non reddet citò Iupiter sceptrum drycolaptæ?
PI. Quòd autem non dei igitur hominibus imperarunt antiquitus,
Sed aues & regnabant, multa sunt signa horum.
Statim autem vobis primùm ostendam gallum quòd regnabat,
C Imperabátque Persis primùm omnibus, Dario & Megabizo,
Quare vocatur Persicus auis à dominatione adhuc illa.
EP. Propter hæc habens & nunc tanquam rex magnus discurrit,
In capite cassidem auium solus rectam.
PI. Sic autem potuit, & magnus erat tunc & multus. quare etiam nunc
D Præ robore hoc tunc illo, quando solum diluculo cecinit,
Resaltant omnes ad opus fabri ferrarij, figuli, pellium tinctores,
Coriarij, balnearij, farinæ venditores, tornoscuta, & lyras facientes.
Hi autem vadunt calceati nocte. EV. me hoc interroga,
E Chlænam enim perdidi ignarus Phrygiarũ lanarum propter hunc.
In decimam enim quandoque puerulo vocatus ebibebam in ciuitate,
Et nuper dormiueram, & ante cœnare alios hic cantabat.
Et ego putans diluculum, ibam alimũta, & item inclino
Extra murum, & fur verberat baculo me dorso:

F

Σχόλια. Τεθνεὼς κεφαλῆσι.] προσέπαιξε τὸν δῆμον. Κεφαλῆς γὰρ δῆμος τῆς Ἀκαμαντίδος φυλῆς. Ῥύγχος βόσκειν σε.] δεῖ μωρὸν εἶναι μάτην ῥύγχος ἔχοντα. ἢ ὡς ἐν κωμῳδίᾳ φησὶ μεῖζόν τι ὀφείλεις ἔχειν ῥύγχος. πάλιν δὲ, ἀντὶ τοῦ ῥάμφος. Τῷ δρυκολάπτῃ.] ἔπαιξε παρὰ τὴν δρῦν ἥτις ἐστὶν ἱερὰ τοῦ Διός. ἢ ἐπεὶ ἐκ ξύλου τὸ σκῆπτρον, δρῦς δὲ παρὰ τοῖς ἀρχαίοις πᾶν ξύλον, δρυκολάπτης δὲ, ὄρνεον ἐν τοῖς δρυσὶν εὑρισκόμενον ζητοῦν σκώληκας, ὃ καὶ πολλάκις αὐτοφύτως καταβάλλει. ἐπεὶ οὖν ἡ δρῦς τοῦ Διὸς ἐστὶν ἔπαιξε παρὰ τὴν δρῦν.

BICETVS. Εὐστάθιος. δρυκολάπτης, τὸ τὰς δρῦς, καὶ ἁπλῶς πᾶν δένδρον τῷ ῥάμφει κολάπτον ὄρνεον. καὶ δρυκολάπτης τετρασυλλάβως παρὰ τῷ Κωμικῷ.

Σχόλια. Δαρείου καὶ Μεγαβύζου.] Δαρεῖος βασιλεὺς ἦν. Μεγάβυζος δὲ στρατηλάτης πορθήσας Μέμφιδα. οὗτος στρατηγὸς Δαρείου ὁ τὴν Αἴγυπτον ἑλών. οὗ μνημονεύει Θουκυδίδης ἐν τῷ πρώτῳ γράφων οὕτως Μεγάβυζον τὸν Ζωπύρου πέμπει ἄνδρα Πέρσην μετὰ πολλῆς στρατιᾶς. ὃς ἀφικόμενος κατὰ γῆν, τούς τε Αἰγυπτίους καὶ τοὺς συμμάχους ἐκράτησε καὶ ἐκ Μέμφιδος ἤλασεν τοὺς Ἕλληνας. Ὥστε καλεῖται Περσικός.] μήποτε δὲ ἐν τοῖς πρόσθεν τὸν ἀλεκτρυόνα Μῆδον ὄρνιν καλεῖ, ἐπεὶ καὶ τοὺς Πέρσας Μήδους ἔλεγον. Τὴν κυρβασίαν.] τοῦτο ἐξ ἱστορίας εἴληφε. πᾶσι γὰρ Πέρσαις ἐξῆν τὴν τιάραν φορεῖν, ἀλλ' οὐκ ὀρθήν, ὡς Κλέαρχος ἐν τῇ δεκάτῃ. μόνοι δὲ οἱ τῶν Περσῶν βασιλεῖς ὀρθαῖς ἐχρῶντο. ἔστι δὲ αὕτη καθὰ προείρηται τιάρα. τοῖς μὲν ἄλλοις ἔθος καὶ ἐπτυγμένην καὶ προβάλλουσαν εἰς τὸ μέτωπον ἔχειν, τοῖς δὲ βασιλεῦσιν ὀρθήν. Ὄρθριον ᾄσῃ.] κοκκύζειν γὰρ ἐκείνους, ὅτ' ἂν παρ' ἑαυτοῦ μετὰ νίκην τῆς μάχης ᾄσῃ. Τορνευτασπιδο.] οἱ ποιοῦντες τὰς λύ-

τελλύνας καὶ ἀσπίδας. Φρυγίων ἐρίων.] ἡ ἀπὸ Φρυγίας, ἡ ἀπὸ δήμου. ἐκεῖ γὰρ ἁπαλὰ καὶ καλὰ ἔρια. Ες δεκάτην γάρ ποτε.] ὅτι τὴν δεκάτην ἡμέραν ἐπὶ τοῖς γεννηθεῖσι, καὶ ἐν αὐτῇ τὰ ὀνόματα ἐτίθεντο τοῖς παισί. καθάπερ Εὐριπίδης ἐν Αἰγεῖ. τίς σε μάτηρ ἐν δεκάτᾳ τόκου ὠνόμαζεν. ὁ δὲ Αριστοτέλης ἐν ταῖς ἑβδόμαις φησὶν ἐπιτίθεσθαι τὰ ὀνόματα γράφων οὕτω τὰ πλεῖστα δὲ ἀναιρεῖται πρὸ τῆς ἑβδόμης, διὸ καὶ τὰ ὀνόματα τότε τίθενται, ὡς πιστεύοντες μᾶλλον ἤδη τῇ σωτηρίᾳ. τοῦ δὲ ὑστέρου ἀφεῖλεν ἡ ὑπό. Αλιμουσίων.] δῆμος τῆς Λεοντίδος φυλῆς.

Κἀγὼ πίπτω. μέλλων τε βοᾶν. ὁ δ' ἀπέβλισε θοιμάτιόν μου.	B	Et ego cado, volóque clamare, hic autem abstulit pallium mei.
Πι. Ικτῖνος οὖν τῶν Ἑλλήνων ἦρχε τότε, κἀβασίλευεν.		Pi. Miluius igitur Græcis imperabat tunc & regnabat.
Επ. Τῶν Ἑλλήνων; Πι. καὶ κατέδειξέν γ' οὗτος πρῶτος βασιλεύων		Ep. Græcis? Pi. Et ostendit hic primus regnans,
Προκυλινδεῖσθαι τοῖς ἰκτίνοις. Ευ. νὴ τὸν Διόνυσον. ἐγὼ γ' οὖν		Prauolui miluijs. Ev. Per Dionysium ego igitur
Ἐκυλινδούμην ἰκτῖνον ἰδών. κᾆθ' ὕπτιος ὢν ἀναχάσκων	C	Volutus sum miluium videns, & postea supinus existens oscitans
Ὀβολὸν κατεβρόχθισα. κᾆτα κενὸν τὸν θύλακον οἴκαδ' ἀφεῖλκον.		Obolum deuorans, & postea vacuum sacculum domum abstraxi.
Πι. Αἰγύπτου δ' αὖ καὶ Φοινίκης πάσης, κόκκυξ βασιλεὺς ἦν.		Pi. Ægypti autem rursus & Phœnices omnis cuculus rexerat,
Χ' ὁπόθ' ὁ κόκκυξ εἴποι κόκκυ, τόθ' οἱ Φοίνικες ἅπαντες		Et quando cuculus dixisset cucu, tunc Phœnices omnes
Τοὺς πυροὺς ἂν καὶ τὰς κριθὰς ἐν τοῖς πεδίοις ἐθέριζον.		Frumenta & ordea in campis metebant.
Επ. Τοῦτ' ἄρ' ἐκεῖν' ἦν τοὔπος ἀληθῶς, κόκκυ ψωλοὶ πεδίονδε.	D	Ep. Hoc illud erat verbum verè cucu, herniosi in campum.
Πι. Ηρχον δ' οὕτω σφόδρα τὴν ἀρχήν, ὥστ' εἴτις καὶ βασιλεύοι,		Pi. Regnarunt autem sic vehementer à principio, vt si quis & regnaret
Εν ταῖς πόλεσι τῶν Ἑλλήνων, Αγαμέμνων ἢ Μενέλαος,		In ciuitatibus Græcorum Agamēnon vel Menelaus,
Επὶ τῶν σκήπτρων ἐκάθητ' ὄρνις, μετέχων ὅτι δωροδοκοίη.		In sceptris sedit auis participans, quod dona susciperet.
Ευ. Τουτὶ τοίνυν γ' οὐκ ᾔδειν 'γώ. καὶ δῆτά μ' ἐλάμβανε θαῦμα.		Ev. Hoc igitur non sciueram ego, & igitur me cœpit admiratio.
Οπότ' ἐξέλθοι Πρίαμός τις ἔχων ὄρνιν ἐν τοῖσι τραγῳδοῖς.	E	Quando exiuit Priamus aliquis habens auem in tragœdijs,
Ο δ' ἄρ' εἱστήκει τὸν Λυσικράτη περιορῶν ὅτι δωροδοκοίη.		Hic autem constituit Lysicratem, obseruās quòd dona susciperet.
Πι. Ο δὲ δεινότατόν γ' ἐστὶν ἁπάντων. ὁ Ζεὺς γὰρ ὁ νῦν βασιλεύων,		Pi. Quod grauissimum est omnium, Iupiter enim ille nunc regnans,
Αἰετὸν ἕστηκ' ὄρνιν ἔχων ἐπὶ τῆς κεφαλῆς βασιλεὺς ὤν.		Aquilam statuit, auem habens in capite rex existens.

F

Σχόλια. Ο δ' ἀπέβλισε θοιμάτιον.] ἀντὶ τοῦ ἀφείλετο. ἡ μεταφορὰ ἀπὸ τῶν κηρίων ἢ ἀπὸ τῶν γάλα ἀμελγομένων. Προκυλινδεῖσθαι.] ἔαρος ἀρχομένου ἰκτῖνος φαίνεται εἰς τὴν Ἑλλάδα, ἐφ' ᾧ καὶ ὁμήρως κυλινδοῦνται ὡς ἐπὶ γόνυ. παίζεις οὖν ὡς βασιλεῖ φησὶ τὸ κυλινδεῖσθαι ὑπὸ ἀνθρώπων. ἄλλως. τοὺς ἀνθρώπους δηλοῖ ὅτι τὸ διὰ μεταβολὴν δὲ καιροῦ γινόμενον εἰς βασιλικὴν ἔτι ἔχειν τιμήν. οἱ γὰρ ἰκτῖνοι τὸ παλαιὸν ἔαρ ἐσήμαινον. οἱ τίνες οὖν ἀπαλλαγέντες τοῦ χειμῶνος ἐκυλινδοῦντο καὶ προσεκύνουν αὐτούς. Οβολὸν κατεβρόχθισα.] κατέπιον φησὶν ὃν εἶχον ἐν τῷ στόματι ὀβολόν, ἵνα ὠνήσωμαι ἄλφιτα. προσκυλινδούμενος τῇ τοῦ ἰκτίνου ἐπιφανείᾳ. Κόκκυ.] ποιὰ φωνὴ καὶ τὸ κόκκυ. ἡ ἀντὶ τοῦ ὀλίγον. ἔστι δὲ ὡς ἐνος παροξυτόνως. πρὸ θερισμοῦ δὲ φαίνεται ὁ κόκκυξ ἐν τῇ Φοινίκῃ. Ησίοδος. ἦμος κόκκυξ κοκκύζει. Κόκκυ, ψωλοί.] ἀπὸ τῆς παροιμίας. ὅτε ἐπὶ τῶν Αἰγυπτίων ἦσαν ψωλοὶ πολλοί. καὶ ὅτ' ἂν ὁ κόκκυξ εἴπῃ κόκκυ, τότε ὅλοι ψωλοὶ ἤρχοντο εἰς τὸ πεδίον. ἄλλως. τὸ αἰδοῖον. ἐπὶ τοῦδε δὲ συνήγαγε τὰς δύο λέξεις ἵνα εἴπῃ αἰσχρῶς καὶ γέλωτα κινήσῃ. ἔστι δὲ παροιμία κόκκυ ψωλοὶ πεδίονδε. ἀντὶ τοῦ κόκκυγος κράζοντος τὰ πεδία θερίζομεν. Επὶ τῶν σκήπτρων.] ἐπεὶ εἰώθασιν ἐν τοῖς σκήπτροις ἐπὶ τοῦ ἄκρου ἐντυποῦν ὄρνιθας εἰς κόσμον. Μετέχων ὅτι δωροδοκοίη.] ἵνα μετέχοι τῆς αὐτῆς δωροδοκίας. ἐν γὰρ τοῖς σκήπτροις τῶν βασιλέων ἦν αὐτός. ἔστι δὲ δῶρα μὲν τὰ ἐπὶ δωροδοκίᾳ διδόμενα. δωρεὰ δὲ ἐπὶ τιμῆς. Οπότ' ἐξέλθοι Πρίαμος.] ἐν ταῖς τραγῳδίαις φησὶν ὑποκρίνεταί τις τὸ τοῦ Πριάμου βασιλικὸν πρόσωπον, ἔχων ὄρνιν ἐπὶ τοῦ σκήπτρου, τὸν Λυσικράτην τηρῶν μὴ δωροδοκοίη. οὗτος δὲ στρατηγὸς ἐγένετο Αθηναίων, κλέπτης τε καὶ πανοῦργος. διεβάλλετο δὲ ὡς δωροδόκος. ὅθεν δὲ τραγικὸν αὐτόν φασι καλ-

πλέω, καὶ σφόδρα ἄσημον. Ἐν τοῖς τραγῳδοῖς.] ὅτι καὶ νῦν τὸν χορὸν τῶν τραγικῶν. ἐποίουν δὲ ἐπὶ τῶν σκήπτρων, εἰς ἐπίπταν αὐτούς. Ὄρνιν ἔχων ἐπὶ τῆς κεφαλῆς.] δέον εἰπεῖν ἐπὶ τοῦ σκήπτρου. οὕτω γὰρ ὁ Πίνδαρος. εὕδει γ' ἀνὰ σκάπτῳ Διὸς αἰετὸς [illegible]

A τὰ ἀφιερωμένα ἑκάστῳ θεῷ ὄρνεα, ἐπὶ κεφαλῆς ἱδρύοντο. τῆς δὲ Ἀρχηγέτιδος Ἀθηνᾶς τὸ ἄγαλμα, γλαῦκα ἔχει ἐν τῇ χειρί. ὁ δὲ Ἀπόλλων τὸν ἱέρακα ὡς μαντικὸν ὄρνεον. ὡς θεράπων δὲ τοῦ Διός. ἐπεὶ μικρότερος τοῦ αἰετοῦ ὁ ἱέραξ.

Ἡ δ' αὖ θυγάτηρ, γλαῦχ'. ὁ δ' Ἀπόλλων ὥ-
 σπερ θεράπων ἱέρακα.
Ευ. Νὴ τὴν Δήμητρ' εὖ ταῦτα λέγεις. τίνος οὖν
 ἕνεκα ταῦτ' ἄρ' ἔχουσιν;
Πι. Ἵν' ὅταν θύων τις, ἔπειτ' αὐτοῖς εἰς τὴν χεῖρ' ὡς
 νόμος ἐστὶ,
Τὰ σπλάγχνα διδοῖ, τοῦ Διὸς αὐτοὶ πρότεροι τὰ
 σπλάγχνα λάβωσιν.
Ὤμνυέ τ' οὐδεὶς τότ' ἀνθρώπων θεόν. ἀλλ' ὄρ-
 νιθας ἅπαντες.
Λάμπων δ' ὄμνυσι ἔτι καὶ νυνὶ τὸν χῆν'. ὅταν
 ἐξαπατᾷ τις τι.
Οὕτως ὑμᾶς πάντες πρότερον μεγάλους ἁγίους
 τ' ἐνόμιζον.
Νῦν δ' ἀνδράποδ' ἠλιθίους μανᾶς.
Ὥσπερ δ' ἤδη τοὺς μαινομένους,
Βάλλουσ' ὑμᾶς. κἀν τοῖς ἱεροῖς
Πᾶς τις ἐφ' ὑμῖν ὀρνιθευτὴς,
Ἵστησι βρόχους, παγίδας, ῥάβδους,
Ἕρκη, νεφέλας, δίκτυα, πηκτάς.
Εἶτα λαβόντες πωλοῦσ' ἀθρόους.
Οἱ δ' ὠνοῦνται βλιμάζοντες.
Κοὐδ' οὖν εἴπερ ταῦτα δοκεῖ δρᾶν,
Ὀπτησάμενοι παρέθενθ' ὑμᾶς.
Ἀλλ' ἐπικνῶσιν τυρὸν. ἔλαιον.
Σίλφιον. ὄξος. καὶ τρίψαντες,
Κατάχυσμ' ἕτερον γλυκὺ καὶ λιπαρὸν,
Κἄπειτα κατεσκέδασαν θερμὸν
Τοῦτο καθ' ὑμῶν
Αὐτῶν, ὥσπερ κενεβρείων.

Hæc autem rursus filia glaucam, hic autē Apollo
 tanquam medicus accipitrem.
B *Ev. Per Cererem bene hæc dicis, cuius igitur*
 gratia hæc habent?
Pi. Vt quando sacrificans, postea ipsis in manum
 ut lex est,
Viscera dat, Ioue ipsi priores viscera capiant.
Iurabatque nullus tunc hominum Deum, sed a-
 ues omnes.
Lampon autem iurat etiam & nunc anserem,
 quando decipit aliquis aliquid.
C *Sic vos omnes prius magnos sanctósque puta-*
 bant,
Nunc autem mancipia, stolidos, insanos.
Tanquam autem iam furiosos
Percutiunt vos, & in sacris
Omnis aliquis in vos auceps
Statuit laqueos, reticula, virgas,
Septa, nebulas, retia, conglutinationes.
Postea capientes vendunt congregatos,
D *Hi autem emunt palpantes.*
Et neque igitur (si quidem hæc videtur face-
 re)
Assantes apponunt vos:
Sed supraiaciunt caseum, oleum,
Radicem lassaris, acetum, & tenentes
Defusionem alteram dulcem & pinguem,
Et postea dispersĕrunt calidam
Hanc in vos
E *Ipsos, tanquam carnes putidas.*

Σχόλια. Λάμπων δ' ὄμνυσι.] τῶν εἰκῇ δαιμόνων. ὅτι πρῶτοι οἱ Σωκρατικοὶ οὕτως ἐπετήδευσαν ὀμνύναι. Σωκράτης γὰρ ἐν τῷ δυοδεκάτῳ τῶν κρητικῶν οὕτως φησί. Ῥαδάμανθυς δοκεῖ διαδεξάμενος τὴν βασιλείαν δικαιότατος γεγενῆσθαι πάντων ἀνθρώπων. λέγεται δὲ αὐτὸν πρῶτον, οὐδένα ἐᾶν ὅρκους ποιεῖσθαι κατὰ τῶν θεῶν, ἀλλ' ὀμνύναι κελεῦσαι χῆνα καὶ κύνα καὶ κριὸν καὶ τὰ ὅμοια. ὁ δὲ Λάμπων, θύτης ἦν καὶ χρησμολόγος καὶ μάντις. ᾧ καὶ τὴν εἰς Σύβαριν τῶν Ἀθηναίων ἀποικίαν ἔνιοι ἀνατιθέασιν, αὐτὸν ἡγεμόνα λέγοντες Ἀθηναῖοι ὄντα σὺν ἄλλοις θ. ὄμνυε δὲ κατὰ τοῦ χηνὸς, ὡς μαντικοῦ ὀρνέου. ἔτυχε δὲ καὶ τῆς ἐν Πρυτανείῳ σιτήσεως. ἄλλως. ὅτι οὗτος χρησμολόγος. ἔζη δὲ ἐπὶ τῆς τῶν ὀρνίθων διδασκαλίας, οὐχ ὥς τινες ἐτεθνήκει. πολλοῦ γὰρ ὕστερον. Κρατῖνος ἐν τῇ Νεμέσει οἶδεν αὐτὸν ζῶντα, ἢ ταῦτα πολλῷ ὕστερον. Μανᾶς.] ἀπὸ τοῦ Μάνης. πρὸς δὲ τὰ ἀνδράποδα. καὶ ὄνομα ἐστὶ δουλικόν. ὥστε ἔλεγε τοὺς δούλους Μανᾶς. οὕτω γὰρ ἐκάλουν τοὺς οἰκέτας πολλάκις. F Ῥάβδους.] γράφεται σταυρούς. ἔστι δὲ εἶδος δικτύου, ὃ χρίουσιν ἰξῷ. Δίκτυα.] ἀντὶ τοῦ θηρευτικὰ δίκτυα, καὶ αἱ πηκταὶ δὲ, εἶδος δικτύου. G Βλιμάζοντες.] ὅτι ποιητικὴ ἡ λέξις. Καλλίστρατος ἀντὶ τοῦ ψηλαφᾶν. ἔοικε δὲ πλεῖόν τι σημαίνειν τὸ μετὰ συντομίας. βλιμάζειν δὲ κυρίως, τὸ τοῦ ὑπογαστρίου καὶ τοῦ στήθους ἅπτεσθαι. ὅπερ ἐποίουν οἱ τοὺς ὄρνιθας ὠνούμενοι οἱονεὶ θλιβομάζειν. Δίδυμος δὲ βλιμάζοντες, ἀντὶ τοῦ κακοῦντες. ἀποτίλλουσι γὰρ καὶ κατεσθίουσιν.

• Bisetvs. Σουίδας. βλιμάζειν κυρίως τὸ τοῦ ὑπογαστρίου, καὶ τοῦ στήθους ἅπτεσθαι, ὅπερ ἐποίουν οἱ τὰς ὄρνιθας ὠνούμενοι, οἱονεὶ θλιμάζειν. ὁ αὐτὸς, βλιμάζειν, τὸ ταῖς χερσὶ διαθλίβειν, καὶ τὸ τὰ κηρία θλίψαι, βλίσαι λέγεται. καὶ βλιμάζων, ἀποστάζων τὸ μέλι τοῦ κηρίου.

Σχόλια. Ἀλλ' ἐπικνῶσιν.] ἐπιβάλλουσι συντρίψαντες, παρὰ τὸ κναίειν τὸ διαφθείρειν. σίλφιον δὲ, ῥίζα ἡδύοσμος, προσαρτυτική. Σίλφιον.] τὸ ἐν Λιβύῃ γινόμενον. θεραπεύει δὲ πολλά. ἔστι δὲ καὶ πολυτίμητον. καὶ ἐν Πλούτῳ φησίν. οὐδ' ἂν εἰ δοίης γέ μοι τὸν πλοῦτον αὐτὸν καὶ τὸ Βάττου σίλφιον. Κατάχυσμα.] ζωμὸν παρὰ τὸ χέεσθαι. γλυκὺ δὲ μέλιτι δεδευμένον. ἄλλως. οὐδὲν πλέον ἢ κατάχυσμα, ὥς τε ἀπὸ τούτου καὶ τὰ καταχύσματα λέγεσθαι. Ὥσπερ κενεβρείων.] κατὰ μεταφορὰν στοιχείου ἀντὶ τοῦ νεκριμαίων. ὡς τῶν θνησιμαίων κρεῶν ποικιλωτέρας ἀρτύσεως δεομένων. ἄλλως. τὰ θνησιμαῖα κρέα οὕτως ἐκάλουν. ἐξίσταται κενέβρειον ὅταν θύσῃ.

ANTI-

A

ΑΝΤΙΣΤΡΟΦΗ κώλων ια'.

Πολὺ δὴ πολὺ δὴ χαλεπωτάτους λόγους
Ηνεγκας ἄνθρωφ', ὡς
Εδάκρυσά γ' ἐμῶν
Πατέρων κάκιω, οἳ
Τάσδε τὰς τιμὰς προγόνων παραδόντων,
Επ' ἐμοῦ κατέλυσαν.
Σὺ δέ μοι κατὰ δαίμονα καὶ
Συντυχίαν ἀγαθὴν ἥκεις ἐμοὶ σωτήρ.
Αναθεὶς γὰρ ἐγώ σοι
Τὰ νεόττια κἀμαυτὸν οἰκήσω δή.
Αλλὰ τί χρὴ δρᾶν, σὺ δίδασκε παρών, ὡς ζῆν οὐκ ἄξιον ἡμῖν,
Εἰ μὴ κομιούμεθα παντὶ τρόπῳ τὴν ἡμετέραν βασιλείαν.

Inversio membrorum vndecim.

Mvltum iam, multum iam difficillimos sermones
Portasti homo, valde
B Lachrymaui meorum
Patrum timiditatem, qui
Hos honores progenitorum præbentium
In me destruxerunt.
Tu autem mihi secundum fortunam &
Conuersationem bonam venis mihi saluator.
Dedicans enim ego tibi
Pullos & me ipsum, habitabo iam.
C Sed quid oportet facere, tu doce præsens, quod viuere non dignum nobis,
Nisi capiamus omni modo nostram dominationem.

Σχόλια. Πολὺ δή.] ἔκθεσις μέλους χοροῦ ἑπτάδικον μὲν διὰ τὸ μὴ τὴν διπλῆν τίθεσθαι. προῳδικὴ δὲ διὰ τὸ προτίθεσθαι ἑτέρας διπλῆς. ἔστι δὲ καὶ ἀντίστροφος τῆς προῤῥηθείσης στροφῆς διὰ τὸ καὶ αὐτὴν ἐν κώλοις συγκεῖσθαι καὶ στίχων ἀσυναρτήτων ὁμοίων ἐκείνῃ. ἔχει δὲ καὶ ἐν ἐκθέσει τὰς συνήθεις δύο στίχους ἀναπαιστικοὺς D ὁμοίως τοῖς ἑξῆς ξα, διπλῆ ἔξω νενευκυῖα περατουμένους. ἐπὶ τῷ τέλει δύο διπλαῖ ἔξω νενευκυῖαι. Χαλεπωτάτους λόγους.] λυπηροὺς χαλεπῶς δυναμένους. Εμῶν πατέρων.] ἐρεθισθέντες ὑπὸ τῶν πρεσβυτῶν καταβοῶσι τῶν πατέρων ὡς ἀπολεσάντων τὴν βασιλείαν. Επ' ἐμοῦ.] εἰς ὅσον αὐτοὺς ἐν τῷ χρόνῳ διαδεχόμενον. Τὰ νεόττια] ὡς εἰ εἶπεν ἀνατίθημί σοι ἐμαυτὸν ὥστε διοικεῖν. ταῦτα δὲ εἰώθασι πρὸς τοὺς εὐνοῦς τῶν ἀνθρώπων λέγειν.

Bisetvs. Πεισθέταιρος διδάσκει πόθεν ἔσται τὸ τῶν ὀρνίθων ἀξίωμα, καὶ δόξα, εἰ πόλιν ἐν ἀέρι καλῶς περιτειχισθεῖσαν οἰκοδομοῦσι.

Πι. Καὶ δὴ τοίνυν πρῶτα διδάσκω μίαν ὀρνίθων πόλιν εἶναι,
E Κἄπειτα τὸν ἀέρα πάντα κύκλῳ καὶ πᾶν τουτὶ τὸ μεταξὺ
Περιτειχίζειν μεγάλαις πλίνθοις ὀπταῖς, ὥσπερ Βαβυλῶνα.
Επ. Ω Κεβριόνα, καὶ Πορφυρίων, ὡς σμερδαλέον τὸ πόλισμα.
Πι. Κἄπειτ' ἂν τοῦτ' ἐπανασταθῇ, τὴν ἀρχὴν τὸν Δί' ἀπαιτεῖν.
F Κἂν μὲν μὴ 'φῇ μηδ' ἐθελήσῃ, μηδ' εὐθὺς γνωσιμαχήσῃ,
Ιερὸν πόλεμον προαυδᾶν αὐτῷ, καὶ τοῖσι θεοῖσιν ἀπειπεῖν
Διὰ τῆς χώρας τῆς ὑμετέρας ἐστυκόσι μὴ διαφοιτᾶν.
Ωσπερ πρότερον μοιχεύσοντες τὰς Αλκμήνας κατέβαινον.

Pi. Etiam igitur primùm doceo vnā auium ciuitatem esse.
Et postea aërem omnem in circuitu, & omne hoc in medio
Circummurare magnis lateribus coctis tāquam Babylona.
Ep. O Cebriona & Porphyriō, valde terribilem ciuitatem.
Pi. Et postea si hoc instat, dominationē Iouem petere,
Et si quidem non sinat, neque velit, neque statim sciat bellare.
Sacrum bellum proclamare ipsi & deis negare,
Per locum nostrum stantibus non deambulare,
Sicut prius adulterantes Alcmenas descenderunt,

Σχόλ. Πλίνθοις ὀπταῖς.] φασὶ γὰρ τὴν Βαβυλῶνα, ἀπὸ ὀπτῶν πλίνθων οἰκοδομηθῆναι. καὶ ἀντὶ γύψου ἀσφάλτῳ συνδεθῆναι τὰς πλίνθους ἡ Σεμίραμις δὲ ἔκτισεν τὴν Βαβυλῶνα. Ω Κεβριόνα.] ὄρνεόν τι φασὶ τὴν κεβριόνην. ὤμοξε δέ, ὥσπερ ἔλεγον, ὦ θεοὶ σμερδαλέον τὸ πόλισμα. ἀπὸ τοῦ δὲ εἶναι δὲ τῆς πορφυρίωνα παρέλαβεν. καὶ ὅτι ὄρνις καὶ ὅτι εἷς τῶν γιγάντων ὥσπερ καὶ Κεβριόνης, ὃν ἐχειρώσατο ἡ Αφροδίτη. ἐπιτηδείως οὖν τῶν θεομάχων ἐμνήσθη, ἐπεὶ καὶ αὐτοὶ θεομαχοῦσιν. Γνωσιμαχήσῃ.] γνωσιμαχῆσαι ἐστὶ τό, γνόντα ὅτι πρὸς κρείττονας αὐτῷ ἡ μάχη, G ἡσυχάσαι. Ιερὸν πόλεμον.] ἱερὸς πόλεμος, ἐγένετο Αθηναίοις πρὸς Βοιωτοὺς βουλομένοις ἀφελέσθαι Φωκέων τὸ μαντεῖον. νικήσαντες δέ, Φωκεῦσι πάλιν ἀπέδωκαν. ὡς Φιλόχορος ἐν τῇ τετάρτῃ. δύο δὲ πόλεμοι γεγόνασιν. ὁ τότε. καὶ ὕστερον Φωκεῦσιν ἐπέθεντο Λακεδαιμόνιοι. ἐν ἐνίοις δὲ τῶν ὑπομνημάτων ταῦτα λέγεται. ἱερὸν πόλεμον λέγει, καθὸ πρὸς θεοὺς ἔσται. ἅμα δὲ τοῦ ἱεροῦ πολέμου

μνημονεύει, γινομένου Ἀθηναίοις πρὸς Φωκέας ὑπὲρ τοῦ A ἐν Δελφοῖς ἱεροῦ. ἐσχεδίασαι δὲ ὑπ' αὐτοῦ, οὐ γὰρ πρὸς Φωκέας ὑπὲρ τούτου ἐπολέμησαν, ἀλλ' ὑπὲρ Φωκέων, διὰ τὸ πρὸς Λακεδαιμονίους ἔχθος. γεγόνασι δὲ δύο πόλεμοι ἱεροί. πρότερος μὲν Λακεδαιμονίοις πρὸς Φωκέας ὑπὲρ Δελφῶν. καὶ κρατήσαντες τοῦ ἱεροῦ Λακεδαιμόνιοι τὴν προμαντείαν παρὰ Δελφῶν ἔλαβον. ὕστερον δὲ τρίτῳ ἔτει τοῦ πρώτου πολέμου, Ἀθηναίοις πρὸς Λακεδαιμονίους ὑπὲρ Φωκέων. καὶ τὸ ἱερὸν ἀπέδωκαν Φωκεῦσι. καθάπερ καὶ Φιλόχορος ἐν τῇ τετάρτῃ λέγει. καλεῖται δὲ ἱερός, ὅτι περὶ τοῦ ἐν Δελφοῖς ἱεροῦ ἐγένετο. ἱστορεῖ περὶ αὐτοῦ καὶ Θουκυδίδης καὶ Ἐρατοσθένης ἐν τῷ ἐνάτῳ, καὶ Θεόπομπος ἐν τῷ κά. Μοιχεύοντες.] διὰ τοῦ πληθυντικοῦ αὔξησε τὴν διαβολήν.

Καὶ τὰς Ἀλόπας, καὶ τὰς Σεμέλας, ἤνπερ δ' ἐπίωσι βάλλειν
B Σφραγῖδ' αὐτοῖς ἐπὶ τὴν ψωλὴν ἵνα μὴ βινῶσ' ἔτι κείνας.
Τοῖς δ' ἀνθρώποις ὄρνιν ἕτερον πέμψαι κήρυκα κελεύω,
Ὡς ὀρνίθων βασιλευόντων, θύειν ὄρνισι τὸ λοιπόν.
Κἄπειτα θεοῖς ὕστερον αὖθις. προσνείμασθαι δὲ πρεπόντως
C Τοῖσι θεοῖσι τῶν ὀρνίθων, ὃς ἂν ἁρμόζῃ καθ' ἕκαστον.
Ἢν Ἀφροδίτῃ θύῃ πυροὺς ὄρνιθι φαληρίδι θύειν.
Ἢν δὲ Ποσειδῶνί τις οἶν θύῃ, νήττῃ πυροὺς καταγίζειν.
Ἢν δ' Ἡρακλεῖ τις βοῦν, λάρῳ ναστοὺς θύειν μελιτοῦντας.
D Κἂν Διὶ θύῃ βασιλεῖ κριόν, βασιλεύς ἐστ' ὀρχίλος ὄρνις,
Ὧι προτέρῳ δεῖ τοῦ Διὸς αὐτοῦ σέρφον ἔνορχιν σφαγιάζειν.
Ευ. Ἥσθην σέρφῳ σφαγιαζομένῳ. βροντάτω νῦν ὁ μέγας Ζάν.
Επ. Καὶ πῶς ἡμᾶς νομιοῦσι θεοὺς ἄνθρωποι, κοὐχὶ κολοιούς,
Οἳ πετόμεσθα, πτέρυγάς τ' ἔχομεν. Πι. ληρεῖς. καὶ νὴ Δί' ὅ γ' Ἑρμῆς
E Πέτεται, θεὸς ὤν, πτέρυγάς τε φορεῖ, κἄλλοι γε θεοὶ πάνυ πολλοί.
Αὐτίκα Νίκη πέτεται πτερύγοιν χρυσαῖν. καὶ νὴ Δί' Ἔρως γε.
Ἶριν δέ γ' Ὅμηρος ἔφασκ' ἰκέλην εἶναι τρήρωνι πελείῃ.
Επ. Ὁ Ζεὺς δ' ὑμῖν οὐ βροντήσας, πέμψει πτερόεντα κεραυνόν.
F Πι. Ἢν δ' οὖν ὑμᾶς μὲν ὑπ' ἀγνοίας εἶναι νομίσωσι τὸ μηδέν.
Τούτους δὲ θεοὺς τοὺς ἐν Ὀλύμπῳ, τότε χρὴ στρουθῶν νέφος ἀρθὲν,

Et alopas, & semelas. si autem inuadunt iacere,
Sigillum ipsis in crue ut non coëant amplius illas.
Hominibus autem alterum mittere praeconem iubeo,
Tanquam auibus regnantibus sacrificare auibus in futurum,
Et postea deis nouissimè iterum. attribuere autem decenter
Deis auium, quod congruat unicuique.
Si Veneri sacrificet, frumenta aui phaleridi sacrificare.
Si autem Neptuno quis suem sacrificet, † noctua († anati) sacrificare.
Si autem Herculi quis bouem, laro placētas sacrificare mellitas,
Et si Ioui sacrificet regi arietem, rex est orchilus auis:
Cui priori decet Ioue ipso, serphum marem mactare.
Ev. Laetatus sum serpho mactato, tonet nūc magnus Iupiter.
EP. Et quomodo nos putant deos homines, & non graculos,
Qui volamus, alisque habemus? Pi. nugaris. & per Iouem Mercurius
Volat deus existens, alasque fert, & alij dei valde multi.
Statim victoria volat alis aureis, & per Iouem amor.
Irim autem Homerus dixit similem esse timidae columbae.
EP. Iupiter autem vobis non tonans mittet alatum fulmen?
Pi. Si autem igitur vos quidem prae ignorantia esse putabunt nihil.
Hos autem deos illos in Olympo, tūc oportet passerum nubem eleuatam,

Σχόλια. Καὶ τὰς Ἀλόπας.] Ἀλόπη Κερκυόνος θυγάτηρ, ᾗ καὶ Ποσειδῶνος υἱὸς Ἱππόθοων συνῆν. Θύειν ὄρνισι πρὸ τῶν θεῶν. τὸ λοιπὸν δὲ εἰς τὸ μετέπειτα. προσνείμασθαι δὲ μερίσασθαι καὶ προσνείμασθαι ἑκάστῳ ὄρνιν ἑκάστῳ θεῷ.

G Bisetus. Ὁ δὲ τούτων νοῦς οὗτος. εἰς τὸν λοιπὸν χρόνον δεῖ τοὺς ἀνθρώπους πρότερον μὲν τοῖς ὄρνισι θύειν, ὡς ἄρτι τὴν βασιλείαν ἔχουσιν, ὕστερον δὲ τοῖς θεοῖς, ὡς τῶν ὀρνίθων βασιλευόντων πολλῷ ὑποδεεστέροις.

Σχόλια. Ἢν Ἀφροδίτῃ θύῃ πυρούς.] πυροὺς λέγει τῇ Ἀφροδίτῃ θύειν, ἐπειδὴ ἐφθοὶ πυροὶ πρὸς συνουσίαν ὀρεκτικοί. ἡ δὲ φαληρίς, ὄρνεόν τι λιμναῖον εὔμορφον. ἐσχημάτισε δὲ παρὰ τὸν φαλλόν. Ἢν δὲ Ποσειδῶνι.) χάριεν, φησὶ Ποσειδῶνι μὲν οἶν τις θύῃ. ταῦτα δὲ παρὰ τὸ ἰχθῦς. ἐπεὶ ἔνυδρον τὸ ζῷον. τῷ Ποσειδῶνι δὲ, ἐν ὑγρῷ ἡ δίαιτα. Ἢν δ' Ἡρακλεῖ θύῃ τις.] τὸν λάρον διὰ τὸ ἀδηφάγον παραλεί προσέταξε. ναστὸς δὲ, μέγας πλακοῦς ὥς φησιν Ἀσκληπιάδης ὁ δὲ εὐτελῆ πλακοῦντα. μελιτοῦντας δὲ μέλιτι δεδευμένας. τὸ δὲ πλῆρες ναστὸς καὶ μελιτοῦς. λέγει γὰρ ὁ σέρφος μικρὸς. Ὀρχίλος ὄρνις.] διὰ τὰς μοιχείας τοῦ Διός, τὸν ὄρνιν παρέλαβεν. ἔλαβε τὸ δὲ τὸ ὄνομα τοῦ ὀρνέου, ὅτι καταφωρὰς ὁ

Ζεὺς καὶ

ζοῦς καὶ μοιχὸς, διὰ τοῦτο ἐγχείρησιν παρέλαβε διὰ τοὺς ὄρχεις. τὸ δὲ στρουθὸν ἐνεργεῖν ὡς κρεῖον οἱ ἀρχαῖοι ... ἐντεῦθεν, ὅτι οὐχ ὡς οἴονταί τινες σπέρμα τὸ στρουθός. ζῶον γάρ ἐστι μυρμηκῶδες. Ἡ πτῆνα στρουθόν.] ὡς καταφρονῶν αὐτοῦ φησι. καὶ γὰρ ὀνειδίζουσι πολλάκις ἐπὶ τοῦ ... σιν. Αὐτίκα Νίκη πέτεται.] χαριεντισμὸν τὸ τὴν Νίκην καὶ τὸν Ἔρωτα ἐπτερῶσθαι. Ἀρχέννους γάρ φησι, καὶ τὸν Βούπαλον καὶ Ἀθήνιδος πατέρα, οἱ δὲ Ἀγλαοφῶντα τὸν Θάσιον ζωγράφον, πτηνὴν ἐργάσασθαι τὴν Νίκην. ὡς οἱ περὶ Καρύστιον τὸν Περγαμηνόν φασιν. Ἴριν δέ γ' Ὅμηρος.] ὅτι ψεύδεται παίζων. οὐ γὰρ ἐπὶ Ἴριδος. ἀλλ' ἐπὶ Ἀθηνᾶς καὶ Ἥρας. αἱ δὲ βάτην τρήρωσι πελείασιν ἴθμαθ' ὁμοῖαι. οἱ δὲ ἐν ἑτέροις φασὶ ποιήμασιν Ὁμήρου τοῦτο φέρεσθαι. εἰσὶ γὰρ καὶ ὕμνοι.

Καὶ σπερμολόγων, ἐκ τῶν ἀγρῶν τὸ σπέρμ' αὐτῶν ἀνακάψαι, (τρείτω.
Κἄπειτ' αὐτοῖς ἡ Δημήτηρ πυροὺς πεινῶσι με-
Επ. Οὐκ ἐθελήσει μὰ Δί' ἀλλ' ὄψει προφάσεις αὐτὴν παρέχουσαν.
Πι. Οἱ δ' αὖ κόρακες τὰς ζευγαρίας οἷσι τὴν γῆν καταροῦσι,
Καὶ τὰ πρόβατα τοὺς ὀφθαλμοὺς ἐκκοψάντων ἐπὶ πείρᾳ.
Εἶθ' ὁ γ' Ἀπόλλων ἰατρὸς ὢν, ἰάσθω, μισθοφορεῖ δέ.
Ευ. Μὴ πρίν γ' ἂν ἐγὼ τὼ βοιδαρίω τὼ 'μὼ πρῶτ' ἀποδῶμαι.
Πι. Ἢν δ' ἡγῶνταί σε θεόν. σὲ βίον. σὲ δὲ γῆν. σὲ Κρόνον. σὲ Ποσειδῶ,
Ἀγάθ' αὐτοῖσιν πάντα παρέσται. Χο. λέγε δή μοι τῶν ἀγαθῶν ἕν.
Πι. Πρῶτα μὲν αὐτῶν τὰς οἰνάνθας οἱ πάρνοπες οὐ κατέδονται.
Ἀλλὰ γλαυκῶν λόχος εἷς αὐτοὺς, καὶ κερχνήδων, ἐπιτρίψει.
Εἶθ' οἱ κνῖπες καὶ ψῆνες ἀεὶ τὰς συκᾶς οὐ κατέδονται.
Ἀλλ' ἀναλέξει πάντας καθαρῶς αὐτοὺς ἀγέλη μία κιχλῶν.
Επ. Πλουτεῖν δὲ πόθεν δώσομεν αὐτοῖς; καὶ γὰρ τούτου σφόδρ' ἐρῶσιν.
Πι. Τὰ μέταλλ' αὐτοῖς μαντευομένοις, οὗτοι δώσουσι τὰ χρηστά.
Τάς τ' ἐμπορίας τὰς κερδαλέας, πρὸς τὸν μάντιν κατεροῦσιν.
Ὡς οὐκ ἀπολεῖται τῶν ναυκλήρων οὐδείς. Χο. πῶς οὐκ ἀπολεῖται;
Πι. Προερεῖ τις ἀεὶ τῶν ὀρνίθων μαντευομένῳ περὶ τοῦ πλοῦ. (ἔσται.
Νυνὶ μὴ πλεῖ, χειμὼν ἔσται. νυνὶ πλεῖ, κέρδος

B *Et seminum lectorum ex agris semen ipsorum deuorare,*
Et postea ipsis Ceres frumenta famescentibus mensuret.
EP. Non volet per Iouem, sed videbis excusationes ipsam praebentem.
PI. Hi autem rursus corui iugalium quibus terram arant,
C *Et ouium oculos eiiciant in tentatione,*
Postea Apollo medicus existens sanet, mercedem sumat autem.
EV. Nō antequam ego boues bos meos primum vendam.
PI. Si autem putant te deum, te vitam, te autem terram, te Saturnum, te Neptunum,
Bona ipsis omnia aderunt. CH. Dic iam mihi horum bonorum vnum.
D *PI. Primum quidem ipsorum vineas parnopes non edunt,*
Sed noctuarum insidia in ipsos & cerchneidum inuehet.
Postea culices & aniculae semper ficos non edunt,
Sed expellet omnes apertè ipsos armentum vnum turdorum.
EP. Ditescere autem vnde dabimus ipsis? etenim hoc valde amant.
E *Metalla ipsis inquirentibus, hi dabunt bona,*
Hásque mercaturas vtiles, ad vatem dicent:
Quare non peribit nauicularius nullus. CHO. Quomodo non peribit?
PI. Praedicet aliquis semper auium, inquirenti circa nauigationem,
F *Nunc non nauiga, hyems erit: nunc nauiga, lucrum inerit.*

Σχόλια. Σπερμολόγων.] ὄνομα ὀρνέων ἃ ἐκ τοῦ ὀρύττειν τὰ σπέρματα καὶ ἐσθίειν οὕτως ὠνομάσθησαν.

BISETVS. Εὐστάθιος. σπερμολόγος, ὄρνεον λυμαινόμενον τοῖς σπορίμοις, ὃ καὶ σπερμονόμος λέγεται. καὶ σπερμολόγους ἐκάλουν οἱ Ἀττικοὶ τοὺς περὶ τὰ ἐμπόρια, καὶ τὰς ἀγορὰς διατρίβοντας, καὶ τὰ ἐκ φορτίων διαπίπτοντα ἀναλεγομένους. καὶ σπερμολόγοι τροπικῶς οἱ ἐπὶ συλλεκτοῖς μαθήμασιν ἀλαζονευόμενοι, καὶ οἱ μηδενὸς λόγου ἄξιοι. ὅθεν καὶ σπερμολογεῖν ῥῆμα.

G Σχόλια. Οὐκ ἐθελήσει.] ἀντὶ τοῦ οὐ δυνήσεται. Ὅμηρος. οὐδ' ἐθέλει προφέρειν. Οἱ δ' αὖ κόρακες.] ἐπιβουλεύοντί φησι τοῖς ἀνθρώποις ἐὰν μὴ τιμήσωσιν ὑμᾶς. τοὺς γὰρ βοῦς ἐπὶ γεωργίαν ζευγνύντες ὄντας ἀνθρώποις τυφλώσει καὶ τὰ πρόβατα ἐξ ὧν τὴν ἐσθῆτα ἔχουσι. Ἐπὶ πείρα.] ἐπὶ βλάβῃ, ἵνα πειραθῶσιν ἡμῶν οἱ θεοὶ ἰσχύν. Μισθοφορεῖ δέ.] ὁ δὲ ἀντὶ τοῦ γάρ. τοῦτο δὲ εἶπεν, ἐπεὶ Λαομέδοντα τῆς τειχοδομίας μισθὸν ᾔτησεν.

BISETVS. Ὅμηρος Ιλ. Φ.

Μῆνος νῶϊ θεῶν ὅτ' ἀγήνορι Λαομέδοντι
Πὰρ Διὸς ἐλθόντες θητεύσαμεν εἰς ἐνιαυτὸν
Μισθῷ ἐπὶ ῥητῷ, ὁ δὲ σημαίνων ἐπέτελλεν.
Ἤτοι ἐγὼ Τρώεσσι πόλιν καὶ τεῖχος ἔδειμα
Εὐρύ τε, καὶ μάλα καλὸν, ἵν' ἄρρηκτος πόλις εἴη.
Φοῖβε σὺ δ' εἰλίποδας ἕλικας βοῦς βουκολέεσκες.

Σχόλια. Τὰς οἰνάνθας.] οἰνάνθη ἡ πρώτη ἔκφυσις τῆς σταφυλῆς. καὶ Εὐριπίδης. οἰνάνθ' ἃ καθαμέριον στάζουσα καὶ τὸ πολύκαρπον οἰνάνθας ἱεῖσα βότρυν. Γλαυκῶν λόχος.] γλαῦξ εἶδος ὀρνέου. λόχος δὲ τὸ σύστημα. ὥσπερ ἀνωτέρω ἔφη.

Καὶ κερχνηΐδων.] μή ποτε καὶ ἐν τοῖς ἀρσενικοῖς, οὐχὶ κερχνὴς χαριέστερον, ἀλλὰ κερχνηὶς σὺν τῷ ι, ὡς Νηρηΐς. A νῦν γὰρ κερχνηΐδων εἶπεν. κνῖπες δὲ εἶδη ζωυφίων μικρά.

Ευ. Γαῦλον κέκτημαι καὶ ναυκληρῶ, κοὐκ ἂν μείναιμι παρ' ὑμῖν.

Πε. Τοὺς θησαυροὺς τ' αὐτοῖς δείξουσ' οὓς οἱ πρότεροι κατέθεντο,

Τῶν ἀργυρίων. οὗτοι γὰρ ἴσασι. λέγουσι δέ τοι τάδε πάντες,

B Οὐδεὶς οἶδε τὸν θησαυρὸν τὸν ἐμὸν, πλὴν εἴ τις ἄρ' ὄρνις.

Ευ. Πωλῶ γαῦλον, κτῶμαι σμινύην, καὶ τὰς ὑδρίας ἀνορύττω.

Επ. Πῶς δ' ὑγίειαν δώσουσ' αὐτοῖς, οὖσαν παρὰ τοῖσι θεοῖσιν.

Πε. Ην εὖ πράττωσ' οὐχ ὑγίεια μεγάλη τοῦτ' ἐστί; σάφ' ἴσθι.

C Ως ἄνθρωπός γε κακῶς πράττων, ἀτεχνῶς οὐδεὶς ὑγιαίνει.

Χο. Πῶς δ' ἐς γῆρας πότ' ἀφίξονται; καὶ γὰρ τοῦτ' ἔστ' ἐν Ὀλύμπῳ.

Η παιδάριον τ' ἀποθνήσκειν δεῖ. Πε. μὰ Δί' ἀλλὰ τριακόσι' αὐτοῖς

Ἐπιπροσθήσουσ' ὄρνιθες ἔτη. Χο. παρὰ τοῦ; Πει. παρὰ τοῦ; παρ' ἑαυτῶν,

D Οὐκ οἶσθ' ὅτι πέντε γενεὰς ἀνδρῶν ζώει λακέρυζα κορώνη;

Ευ. Αἰβοῖ, ὡς πολλῷ κρείττους οὗτοι τοῦ Διὸς ἡμῖν βασιλεύειν.

Πε. Οὐ γὰρ πολλῷ. πρῶτον μὲν οὐχὶ νεὼς ἡμᾶς οἰκοδομεῖν δεῖ
Λιθίνους αὐτοῖς, οὐδὲ θυρῶσαι
Χρυσαῖσι θύραις, ἀλλ' ὑπὸ θάμνοις
E Καὶ πρινιδίοις οἰκήσουσιν.
Τοῖς δ' αὖ σεμνοῖς τῶν ὀρνίθων,
Δένδρον ἐλαίας ὁ νεὼς ἔσται.
Κοὐδ' εἰς Δελφοὺς, οὐδ' εἰς Ἄμμωνα ἐλθόντες, ἐκεῖ θύσομεν· ἀλλ' ἐν
Τοῖσι κομάροις καὶ τοῖς κοτίνοις
Στάντες ἔχοντες κριθὰς, πυροὺς,
Εὐξόμεθ' ἑαυτοῖς ἀνατείνοντες
F Τὼ χεῖρ' ἀγαθῶν διδόναι τι μέρος.
Καὶ ταῦθ' ἡμῖν παραχρῆμ' ἔσται,
Πυροὺς ὀλίγους προβαλοῦσιν.

Ev. *Nauigium possideo, & nauem guberno, & non manebo apud vos.*

Pi. *Thesauros ipsis ostendent, quos priores deposuerunt*

Argentorum. hi enim sciunt, dicunt hæc omnes.

B *Nullus scit thesaurum meum, præter si quis auis.*

Ev. *Multo nauigium, possideo ligonem, & hydrias defodio.*

Ep. *Quomodo autem sanitatem dabunt ipsis existentem apud deos?*

Pi. *Si bene agant, non sanitas magna hoc est? manifeste scias,*

C *Quòd homo male agens apertè, nullus sanus est.*

Ch. *Quomodo autem in senectutem aliquando abibunt? etenim hoc est in Olympo,*

Vel puerulum mori oportet. Pi. *Per Iouem, sed trecentos ipsis*

Adhuc apponunt aues annos. Ch. *A quo? à se ipsis?*

D *Non scis quòd quinque generationes virorum viuit garrula cornix.*

Ev. *Papæ, valde multo potentiores hi Ioue nobis regnare.*

Pi. *Non enim multo: primùm quidem no-*
N altaria nos ædificare oportet
Lapidea ipsis, neque claudere
Aureis ianuis, sed sub arbustis
E *Et fruticulis habitant.*
His autem rursus prudentibus auium,
Arbor olea altare erit.
Et neque in Delphos, neque in Ammo-
Ne euntes, illic sacrificabimus, sed in
Moris & oleastris
Stantes, habentes ordea, frumenta,
Supplicabimus, sibi ipsis extendentes
F *Manus bonorum dare aliquam partem.*
Et hæc nobis statim erunt,
Frumenta pauca proponentibus.

Σχόλια. Γαῦλον κτῶμαι.] γαῦλος φοινικικὸν σκάφος, καὶ νῦν προσδιεστειλάμεθα. ἐπὶ δὲ τῆς ἀγγείου, ὀξυτόνως. Καλλίμαχος, Κυπρόθεν Σιδώνιος με κατήγαγεν ἐνθάδε γαῦλος. ἄλλως. Γαῦλος, πλοῖόν τι φορτικὸν, ὡς τὸ σκάφη ἀπὸ τῆς σκευῆς. Ὅμηρος, γαυλοί τε σκαφίδες τε. ὡς ἀρχαιοτέρου δὲ ὄντος καὶ ἀκινδυνότερου τῶν ἄλλων πάντων τὸ φησι.

Bisetus. Γαῦλον] Εὐστάθιος, γαυλὸς, σκεῦος ποιμενικὸν εἰς τὸ ἀμέλγειν χρήσιμον. παρὰ τὸ γάλα λέγεται, πλεονασμῷ τοῦ υ. καὶ ὀξυτόνως προφέρεται. γαῦλος δὲ βαρυτόνως εἶδός τι πλοίου, καὶ ἡ ἀντλία ὁμωνύμως.

Σχόλια. Πλὴν εἴ τις ὄρνις.] παροιμία ἐστίν. οὐδ' εἰς με θεωρεῖ πλὴν ὁ παρακείμενος ὄρνις. ἄλλως. παροιμιακῶς τοῦτο. οὐδεὶς οἶδε τί ποιεῖ, πλὴν εἴ τις ὄρνις. τοῦτο ἐλέγετο, ἐπὶ τῶν ἀγνώστων. Τὰς ὑδρίας] ἐν ὑδρίαις γὰρ ἔκειντο οἱ θησαυροί. Πῶς δ' εἰς γῆρας.] ἀντὶ τοῦ εἰς πολυχρονιότητα προκόψουσιν. Οὐκ οἶσθ' ὅτι πέντε γενεάς.] κακῶς καὶ τοῦτο παρὰ τὸ Ἡσιόδειον παίζει. ἐννέα γὰρ ζώει γενεὰς λακέρυζα κορώνη. G Οὐδὲ θυρῶσαι.] τοὺς ναοὺς ὡς τοῖς θεοῖς. θάμνοις δὲ συμφύτοις τόποις. σεμνοῖς δὲ τοῖς τιμίοις. Δένδρον ἐλαίας.] ὅτι εὕρημα θεῶν. Ἀθηνᾶς γάρ. Κοὐδ' εἰς Δελφοὺς] ἔνθα μαντεῖά εἰσιν. ἐν μὲν Δελφοῖς τὰ τοῦ Ἀπόλλωνος, ἐν δὲ Λιβύῃ τὰ τοῦ Ἄμμωνος. Τοῖσι κομάροις.] ὅτι τὰς μὲν κομάρους, θηλυκῶς φασί. τοὺς δὲ κοτίνους ἀρσενικῶς. εἴδη δὲ δένδρων ταῦτα.

ΣΤΡΟ-

A

ΣΤΡΟΦΗ κώλων ιβ'.

Χο. Ω φίλτατ' ἐμοὶ πολὺ πρεσβυτῶν ἐξ ἐχθίστου μεταπίπτων.
Οὐκ ἔστιν ὅπως ἂν ἐγὼ ποθ' ἑκὼν τῆς σῆς γνώμης ἔτ' ἀφείμην.
Επαυχήσας δ' τοῖσι σοῖς λόγοις,
Επηπείλησα καὶ κατώμοσα.
Ην σὺ παρ' ἐμὲ θέμενος
Ομόφρονας λόγους δικαίους
Αδόλους, ὁσίους,
Επὶ θεοὺς ἴοις, ἐμοὶ
Φρονῶν ξυνωδά, μὴ πολὺν χρόνον
Θεοὺς ἔτι σκῆπτρα τἀμὰ τρίψειν.
Αλλ' ὅσα μὲν δεῖ ῥώμη προσθεῖν, ἐπὶ ταῦτα τεταξόμεθ' ἡμεῖς.
Οσα δὲ γνώμη δεῖ βουλεύειν, ἐπὶ σοὶ τάδε πάντ' ἀνάκειται.

INVERSIO membrorum duodecim.

CH. O Amicissime mihi multo senum ex inimicissimo incidens.
Non est vt ego volens tuam sententiam amplius dimittam.

B

Glorians autem tuis verbis,
Minatus sum & iniuraui,
Si tu apud me ponens
Concordes sermones iustos,
Non dolosos, sanctos,
In Deos ibis mihi,
Sapiens eosdem cantus non multo tempore,
Deos adhuc sceptra mea terere:
Sed quæcunque quidem oportet fortitudine facere, in hac ordinabimus nos,

C

Quæcunque quidem sententia oportet consultare, in te hæc omnia incumbunt.

Σχόλια. Ω φίλτατ' ἐμοί.] κορωνὶς καὶ εἴσθεσις χοροῦ, ἐν ᾗ ἡ ᾠδὴ διὰ τὸ μὴ τὴν διπλῆν τίθεσθαι, προσκεῖται δὲ διὰ τὸ προτίθεσθαι ἑτέρας περιόδου στίχων, ἡ κώλων δυοκαίδεκα. ὧν ὁ πρῶτος καὶ δεύτερος καὶ ἑνδέκατος καὶ δυοδέκατος, ἀναπαιστικοὶ τετράμετροι καταληκτικοί. ὁ τρίτος ἀσυνάρτητος ἐξ ἀναπαιστικῶν πενθημιμερῶν ἐξ ἀναπαιστικοῦ πενθημιμεροῦς αἰολικοῦ διὰ τὸ ἔχειν τὸν πρῶτον πόδα ἴαμβον καὶ τροχαϊκοῦ ὁμοίου πενθημιμεροῦς. ὁ τέταρτος ὅμοιος. τὸ πέμπτον ἀναπαιστικὸν πενθημιμερὲς τὸ δεύτερον ἔχον πόδα τετράβραχυν. τὸ ἕκτον τροχαϊκὸν δίμετρον ἀκατάληκτον τὸν πρῶτον ἔχον πόδα τετράβραχυν. τὸ ἕβδομον, ἀναπαιστικὸν βάσις. τὸ ὄγδοον τροχαϊκὸν ἑφθημιμερὲς τὸν πρῶτον ἔχον πόδα τρίβραχυν. τὸ ἔνατον ἰαμβικὸν τετράμετρον βραχυκατάληκτον. ὁ δέκατος ἀσυνάρτητος ἐξ ἰαμβικῆς βάσεως καὶ τροχαϊκοῦ ἰθυφαλλικοῦ. ἐπὶ τῷ τέλει κορωνίς. ἐξ ἐχθίστου] ἀπὸ τῆς ἔχθρας εἰς φιλίαν μεταπίπτων. Επαυχήσας] μεγαλοφρονήσας διὰ τῶν σῶν λόγων. Επηπείλησα] ἐπηγγειλάμην ὅμως. Τἀμὰ τρίψειν.] χρήσεσθαι ἔτι τρίψειν καὶ ἐνεργοῦντος.

D

Καὶ μὴν μὰ τὸν Δία.] εἴσθεσις διπλῆ ἀμοιβαίας ἐκ στίχων ἰαμβικῶν τριμέτρων ἀκαταλήκτων εἴκοσι. ὧν τελευταῖος καὶ Μανόδωρε λαμβάνει τὰ σχήματα. ἐν εἴσθεσι δὲ στίχοι ἀναπαιστικοὶ τετράμετροι. ἐπὶ τῇ ἀποθέσει παράγραφος.

E

ΣΥΣΤΗΜΑ κατὰ περικοπήν. ἐκ στίχων κ'.

Επ. Καὶ μὴν μὰ τὸν Δί' οὐχὶ νυστάζειν ἔτι Ωρα 'στιν ἡμῖν, οὐδὲ μελλονικιᾶν,
Αλλ' ὡς τάχιστα δεῖ τι δρᾶν, πρῶτον δέ τι
Εσέλθετ' εἰς νεοττιάν γε τὴν ἐμήν.
Καὶ τὰ γε κάρφη, καὶ τὰ παρόντα φρύγανα.
Καὶ τοὔνομ' ἡμῖν φράσατον, ἀλλὰ ῥᾴδιον.
Πι. Εμοὶ μὲν ὄνομα Πισθέταιρος. Επ. τῷδε δὲ τί;
Πι. Εὐελπίδης Θριῆθεν. Επ. ἀλλὰ χαίρετον.
Πι. Αμφω δεχόμεθα. Επ. δεῦρο τοίνυν εἴσιτον.
Πι. Ιωμεν. εἰσηγοῦ σὺ λαβὼν ἡμᾶς. Επ. ἴθι.
Πι. Ατὰρ τὸ δεῖν' ἐπανάκρουσαι πάλιν. Επ. φέρ' ἴδω.
Πι. Φράσον γε νῷν, ὅπως ἐγώ τε χ' οὑτοσὶ
Ξυνεσόμεθ' ὑμῖν πετομένοις οὐ πετόμενοι;

CONSTITVTIO per circuncisionem.

EP. ET quidem per Iouem non dormitare amplius
Hora est nobis, neque tarde vincere,
Sed quam citissime oportet aliquid facere, primum autem
Intrare in nidum meum;

F

Et meas festucas, & præsentia sarmenta,
Et nomen nobis dic, sed facile.
PI. Mihi quidem nomen Pisthetærus. EP. Huic autem quod?
PI. Euelpides ex Thracia. EP. Sed gaudete.
PI. Ambo suscepimus. EP. Hac igitur intrate.
PI. Eamus, introduc tu capiens nos. EP. Veni.
PI. Sed illud reuoca rursus. EP. Age, videam.

G

PI. Dic nobis, quomodo ego & hic
Coerimus vobis volantibus, non volantes?

Σχόλια. Οὐδὲ μελλονικιᾶν.] ὅτι βραδὺς ἦν ὁ Νικίας εἰς τὰς ἐξόδους. καὶ ὡς οἱ διαβάλλοντες, οὐχὶ προνοητικὸς ἦν, ἀλλὰ μελητής. τινὲς δέ φασι διὰ τὸ προνοητικὸν καὶ μὴ προστίθεσθαι τοσοῦτον αὐτὸν εἶναι. Αλλ' ὡς τάχιστα δεῖ τι δρᾶν.] ὁ Εποψ προσκελεύεται αὐτοῖς εἰς τὴν νεοττιὰν εἰσελθεῖν, ἵνα αὐτοὺς ἐπιτηδείους ποιήσῃ πρὸς τὴν χρείαν.

ῥάξασις. τὸ δὲ κάρφη καὶ φρύγανα ἐκ τῶν ἀλλήλου. Κειριάδαι.] Κειριάδαι δῆμος τῆς Αντιοχίδος φυλῆς, ἀπὸ Κειριάδου τινὲς ὀνομασμένος. ἀναγράφει δὲ τοὺς ἐπωνύμους τῶν δήμων ὁ φυλῶν Πολέμων. γράφεται δὲ καὶ Θειᾶθεν τῶν ἀπὸ δήμου τῆς Οἰνηΐδος φυλῆς. Επανάκρουσαι.] ἐπανάκμασε. ἡ μεταφορὰ ἀπὸ τῶν τὰς λαίας ἀνακρου- A σμένων ἢ τὰς ναῦς. ἄλλως. ἀνάστρεψον ἐπανάβηθι. ἐπανάκρουσις δὲ ἐστι κυρίως τὸ ἐπισχεῖν τὴν ἐπερχομένην ναῦν καὶ μεθορμίσαι εἰς τὸν ὅρμον, ἵνα μὴ προσελθοῦσα θραυσθῇ. καὶ νῦν δ' ἐστὶ τὸ πάλιν ἐπὶ τὸ ὀπίσω ἀπὸ τῶν εἰς τοὔμπροσθεν ἰρεανόντων. ἢ ἀντὶ τοῦ ἐὰν ἦλθες πρὸ τούτου, πάλιν ἐς τὸν ἐπαναλαβέ.

ΕΠ. Καλῶς. ΠΙ. ὅρα νυν. ὡς ἐν Αἰσώπου λόγοις
Ἐστὶν λεγόμενον δή τι, τὴν ἀλώπεχ' ὡς
Φλαύρως ἐκοινώνησεν αἰετῷ ποτέ.
ΕΠ. Μηδὲν φοβηθῇς, ἔστι γάρ τι ῥίζιον
Ὃ διατραγόντ', ἔσεσθον ἐπτερωμένω.
ΠΙ. Οὕτω μὲν εἰσίωμεν. ἄγε δὴ Ξανθία
Καὶ Μανόδωρε. λαμβάνετε τὰ στρώματα.
ΧΟ. Οὗτος σὲ καλῶ. σὲ λέγων. ΕΠ. τί καλεῖς; ΧΟ. τούτους μὲν ἄγων μετὰ σεαυτοῦ
Ἀρίστισον. τὴν δ' ἡδυμελῆ ξύμφωνον ἀηδόνα μούσαις,
Κατάλειφ' ἡμῖν, δεῦρ' ἐκβιβάσας, ἵνα παίσωμεν μετ' ἐκείνης.

EP. Bene. PI. Vide nunc quod in Æsopi verbis
B *Est dictum iam aliquid, vulpem quòd*
Malè communicauit aquila aliquando.
EP. Nihil timeas: est enim aquila radicula,
Qualem edentes eritis alati.
PI. Sic quidem introeamus. age iam Xanthia,
Et Manodore accipite lectos.
CH. Hic te voco, te dicens. EP. Quid vocas? CH. Hos quidem ducens tecum,
C *Cœna. hanc autem dulce consonantem lusciniam Musa*
Derelinque nobis, huc exiens ut ludamus cum illa.

Σχόλιον. Ορα νυν ὡς ἐν Αἰσώπου λόγοις.] ὅτι σαφῶς ἀντιτίθεται Αἰσώπῳ τοὺς λόγους, ἢ τοῦτον τὸν παρὰ τῷ Ἀρχιλόχῳ λεγόμενον καί τοι πρεσβυτέρῳ ὄντι. Μηδὲν φοβηθῇς.] ὅτι μὴ ὀρνίθων ὄντες ἀπορνιθωθῆναι ἔμελλον, προκατασκευάζει δι' ὧν ἔμελλον τούτου τυχεῖν. Οὕτω.] ἀντὶ τοῦ ἐπὶ τούτοις ταῖς συνθήκαις. Παίσωμεν δέ.] χορεύσωμεν.

D

Εἴσθεσις ἑτέρας περιόδου ἐκ στίχων ια.

ΠΙ. Ω τοῦτο μέν τοι νὴ Δί' αὐτοῖσιν πιθοῦ.
Ἐκβίβασον ἐκ τοῦ βουτόμου τοὐρνίθιον.
Ἐκβίβασον αὐτὴν πρὸς θεῶν αὐτήν, ἵνα
Καὶ νὼ θεασώμεσθα τὴν ἀηδόνα.
ΕΠ. Ἀλλ' εἰ δοκεῖ σφῷν, ταῦτα χρὴ δρᾶν. ἡ Πρόκνη
Ἔκβαινε. καὶ σαυτὴν ἐπιδείκνυ τοῖς ξένοις.
ΠΕΙ. Ω Ζεῦ πολυτίμηθ' ὡς καλὸν τοὐρνίθιον.
Ὡς δ' ἁπαλόν. ὡς δὲ λευκόν. ΕΥ. ἆρά γ' οἶσθ' ὅτι,
Ἐγὼ διαμηρίζοιμ' ἂν αὐτὴν ἡδέως;
Ὅσον δ' ἔχει τὸν χρυσὸν ὥσπερ παρθένος.
ΠΕΙ. Ἐγὼ μὲν αὐτὴν καὶ φιλῆσαί μοι δοκῶ.
ΕΥ. Ἀλλ' ὦ κακόδαιμον ῥύγχος ὀβελίσκοιν ἔχει.
ΠΕΙ. Ἀλλ' ὥσπερ ὠὸν νὴ Δί' ἀπολέψαντα χρὴ
Ἀπὸ τῆς κεφαλῆς τὸ λέμμα, κᾆθ' οὕτω φιλεῖν.
ΕΠ. Ἴωμεν. ΠΕΙ. ἡγοῦ δὴ σὺ νῷν, ἀγαθῇ τύχῃ.

PI. O Hoc quidem per Iouem ipsis persuade.
Exi ex butomo auiculam,
Exire facias huc per deos ipsam, ut
Et nos videamus lusciniam.
E *EP. Sed si videtur vobis, hæc oportet facere, Progne*
Exi, & teipsam ostende hospitibus.
PI. O Iupiter multum honorate, valde pulchra hæc auicula,
Valde autem tenera, valde autem alba. EV. Nunquid scis, quod
Ego subagitarem ipsam suauiter?
F *Quantum autem habet aurum tanquam virgo?*
PI. Ego quidem ipsam & oscularer puto?
EV. Sed ò infelix rostrum verubus habet.
PI. Sed tanquam ouum per Iouem decorticantem oportet
A capite squammam, & postea sic osculari.
EV. Eamus. PI. Dux sis tu iam nobis bona fortuna.
G

Σχόλιον. Ω τοῦτο μέν τοι.] εἴσθεσις ὁμοίας ἑτέρας περιόδου ἐκ στίχων ἰαμβικῶν τριμέτρων ἀκαταλήκτων ια. ἐπὶ τῷ τέλει κορωνίς, ἐξιόντων τῶν ὑποκριτῶν. ἐκβίβασον δέ, ἔκβαλε, ἐξάγαγε. Εκ τοῦ βουτόμου.] φυτεῖον παραπλήσιον καλάμῳ, ὃ ἐσθίουσιν αἱ βόες. ἄλλως. φυτεῖον παρατεταμένον, ὃ ταῖς βουσὶ παρασκευάζουσι. τοῦτο δὲ λέγει ὡς τῆς Πρόκνης ἐγκρυπτομένης τῇ ὕλῃ. αὐτὴν δέ, αὐτόθι, ἐν τῷ θεάτρῳ. Ω Ζεῦ πολυτίμηθ'.] ἑταιρίδιον προσῆλθε τὰ ἄλλα μὲν κεκαλλωπισμένον. τὴν δὲ κεφαλὴν ὄρνιθος ἔχον ὡς ἀηδόνος. Ως δ' ἁπαλόν.] ἅμα

μα

μα λέγων ἐπὶ λαφᾶν αὐτήν. διαμπείζειν ἄν, σύνευνε. Αὔφαλη ὡς ὀβελίσκος. Ἀπολέψαντα χρή.] ἀντὶ τοῦ ἀφελόντα τὸ προσωπεῖον. ἐπὶ ὡς ἐν θυμέλῃ γὰρ προσωπεῖον ἐξῆλθεν ἔχουσα. τῇ τροπῇ δὲ ἐχρήσατο. δεῖν δὲ αὐτὸν φαγεῖν, ἀντὶ τοῦ φιλεῖν.

Ομαι. Οἷον δ' ἔχει τὸ χρυσίον.] ἅμα πρὸς τὸ ποικιλόδειρον τοῦ ὀρνίθου, καὶ πρὸς τὸν πολὺν κόσμον τῆς ἑταίρας. Ῥύγχος ὀβελίσκοιν ἔχει.] εἰς ὀξὺ λήγει ἡ κα-

KOMMATION κώλων θ'.

Χο. Ὦ φίλη, ὦ ξουθή, ὦ
Φίλτατον ὀρνέων,
Πάντων ξύννομε τῶν ἐμῶν
Ὕμνων ξύντροφ' ἀηδοῖ.
Ἦλθες ἦλθες, ὤφθης
Ἡδὺν φθόγγον ἐμοὶ φέρου-
σ', ἀλλ' ὦ καλλιβόαν κρέκου-
σ' αὐλὸν, φθέγμασιν ἠρινοῖς
Ἄρχου τῶν ἀναπαίστων.

PARTICVLA membrorum nouem.

B CH. *O Dilecta, ô flaua, ô*
Dilectissima auium,
Omnium compascua meorum
Hymnorum, connutrix luscinia
Venisti, venisti, visa es
Dulcem sonum mihi fe-
Rens, sed ô bene vocalem, so-
Nans tibiam sonis vernis,
C *Incipe anapæsta.*

Σχόλια. Ὦ φίλη, ὦ ξουθή.] τὸ πρὸ τῆς παραβάσεως, τοῦτο κομμάτιον κώλων ἐστὶν ἀσυναρτήτων θ' ὧν τὸ α'. χοριαμβικὸν ἑφθημιμερές. τὸ β'. ἡμιόλιον. τὰ γ' ς' ζ' η'. ἀντισπαστικὰ γλυκώνεια. τὰ δ' θ' ἑφθημιμερῆ. τὸ ε'. ἡμιόλιον. ἐπὶ τῷ τέλει παράγραφος. ἐλυσε δὲ τελείως φωνὰς τὸ ζήτημα. εἰ ἡ ὄρνις προσηγορία ἐστὶ τοῦ ἄρρενος, ἢ ὁ ἄρρην τῆς ὄρνιθος. ὡς πρὸς τὴν ἀηδόνα ἢ δοκεῖ λέγειν. φυσικώτερον δέ τινες πρὸς τὴν μοῦσαν, ἀπὸ τῆς μουσικῆς ὀρνέου. Ἀλλ' ὦ καλλιβόαν κρέκουσα] ὡς αὐλὸς γάρ ἐστι φθεγγομένη. ἢ ἐξῆλθεν ἔχουσα αὐλὸν. κρέκουσα τοῦ, ἀντὶ τοῦ λαλοῦσα. κυρίως δὲ τὸ τὴν κιθάραν κρούειν. πολλάκις γὰρ πρὸς αὐλὸν λέγουσι τὰς παραβάσεις. Ἠρινοῖς] ἐαρινοῖς εἶπε, παρόσον τῷ ἔαρι ἐν τῇ Ἀττικῇ φαίνονται αἱ ἀηδόνες. τὸ ὅλον πάλιν πρὸς τὴν μοῦσαν. ὅτι τῷ ἔαρι ἐν ἄστει τελοῦσι τὰ Διονύσια.

D

ΠΑΡΑΒΑΣΙΣ στίχων λη'. καὶ κώλων ιδ'.

Χο. Ἄγε δὴ φύσιν ἄνδρες ἀμαυρόβιοι.
φύλλων γενεᾷ προσόμοιοι.
Ὀλιγοδρανέες. πλάσματα πηλοῦ. σκιοειδέα
φῦλ' ἀμενηνά.
Ἀπτῆνες. ἐφημέριοι. ταλαοὶ βροτοί. ἀνέρες εἰκελόνειροι.
Πρόσχετε τὸν νοῦν τοῖς ἀθανάτοις ἡμῖν τοῖς αἰὲν ἐοῦσι.
τοῖς αἰθερίοις. τοῖσιν ἀγήρῳς. τοῖσιν ἄφθιτα μηδομένοισιν.
Ἵν' ἀκούσαντες πάντα παρ' ἡμῶν ὀρθῶς, περὶ τῶν μετεώρων,
Φύσιν οἰωνῶν, γένεσίν τε θεῶν. ποταμῶν τ' ἐρέβους τε χάους τε.
Εἰδότες ὀρθῶς, Προδίκῳ παρ' ἐμοῦ κλάειν εἴπητε τὸ λοιπόν.
Χάος ἦν καὶ νὺξ, ἔρεβός τε μέλαν πρῶτον, καὶ τάρταρος εὐρύς.
Γῆ δ' οὐδ' ἀὴρ, οὐδ' οὐρανὸς ἦν. ἐρέβους δ' ἐν ἀπείροσι κόλποις

TRANSGRESSIO versuum triginta octo, & membrorum quatuordecim.

CH. *Age iam natura viri obscuri vita foliorum generatione assimiles,*
Pauca facientes, formationes luti, vmbrosæ tribus impotentes,
E *Inuolucres, diurni, miseri homines, viri similes insomnijs,*
Adhibete mentem immortalibus, nobis semper existentibus
Æthereis, insenescentibus, incorruptibilia curantibus:
Vt audientes omnia à nobis rectè de altis,
F *Naturam auium, generationemq́ deorum, fluuiorumq́ erebiq́, chaiq́,*
Scientes rectè Prodico à me flere dicatis in futurum.
Chaos erat, & nox, erebusq́ niger primùm & tartarus latus.
Terra autem neq́ aer, neq́ cœlum erat. erebi autem in infinitis sinibus

Σχόλια. Ἄγε δὴ φύσιν.] ἡ παροῦσα παράβασις ἐκ στίχων ἐστὶ λη' ἀναπαιστικῶν τετραμέτρων καταληκτικῶν. ἐπὶ τῷ τέλει παράγραφος. Ἀμαυρόβιοι.] γράφεται καὶ μινυνθάδιοι. Φύλλων γενεᾷ προσόμοιοι.] μεταβάσης ἀπὸ τῶν ἴσων πρὸς τὸ θέατρον, ὡς θεοὶ μεῖζον ἢ ἴσοι κατευτελίζουσι τοὺς ἀνθρώπους. περὶ τὸ Ὁμηρικόν. οἵη περ φύλλων γενεὴ, τοιήδε καὶ ἀνδρῶν.

G BISETVS. Ὀλιγοδρανέες.] Σ. ὀλιγοδρανέων, καὶ ὀλιγοδρανής, ὀλίγα ἰσχύων. Ἀμενηνά.] ἀμενηνοὺς, ἀσθενὲς, παρὰ τὸ μένος, καὶ τὸ στερητικὸν α, ἀμενὸς, καὶ κατ' ἐπένθεσιν τῆς νη συλλαβῆς ἀμενηνοὺς, καὶ παρ' Ὁμήρῳ ἀμενηνοὶ ὄνειροι, οἱ μὴ στερεμνίως φαντασιοῦντες

τὰ βλοσυρόμενα. καὶ ἀμβλύνουσιν, ἀμβλὸν ἐποίησεν, ἐχρήσατο. A

Σχόλια. Ταλαοί.] ὡς τλητοπαθεῖς καὶ τὰ καθημερινὰ εἰδότες, μὴ προορώμενοι δὲ τὰ μέλλοντα. ἔνιοι δὲ, τὸ ταλαοὶ διαιροῦσιν ὡς τε εἶναι ἀλαοί.

BISETUS. Εἰκελόνειροι.] τοῖς ὀνείροις εἴκελοι, τουτέστιν ὅμοιοι. Σοφ. Ἠλέκτρᾳ.

Ὁρῶ γὰρ ἡμᾶς οὐδὲν ὄντας ἄλλο πλὴν
Εἴδωλ' ὅσοιπερ ζῶμεν, ἢ κούφην σκιάν.

Πίνδαρος ἐν Πυθίοις ᾠδῇ η'.

Ἐπάμεροι, τί δέ τις; τί δ' οὔ τις;
Σκιᾶς ὄναρ ἄνθρωποι.

Σχόλια. Φύσιν] καλῶς εἶπε φύσιν οἰωνῶν. γένεσιν δὲ θεῶν. Προδίκῳ παρ' ἐμοῦ] μέμνηται τοῦ Προδίκου καὶ ἐν Νεφέλαις. οὐκ ὀρθῶς δὲ Καλλίμαχος ἐν τοῖς ῥήτορσι καταλέγει αὐτόν. ἔστι γὰρ ἐν τούτοις φιλόσοφος. Χάος ἦν καὶ νύξ.] ταῦτα οὐκ ἀναγκαῖον ἀπευθύνειν, πρὸς τὰ Ἡσιόδου ἢ πρός τινα ἄλλου τινὸς γενεαλογίαν.

B Τίκτει πρώτιστον ὑπηνέμιον νὺξ ἡ μελανόπτερος ᾠόν.
Ἐξ οὗ περιτελλομέναις ὥραις ἔβλαστεν Ἔρως ὁ ποθεινός,
Στίλβων νῶτον πτερύγοιν χρυσαῖν. εἰκὼς ἀνεμώκεσι δίναις.
Οὗτος δὲ χάει πτερόεντι μιγεὶς νυχίῳ, κατὰ τάρταρον εὐρὺν,
C Ἐνεόττευσε γένος ἡμέτερον, καὶ πρῶτον ἀνήγαγεν ἐς φῶς.
Πρότερον δ' οὐκ ἦν γένος ἀθανάτων, πρὶν Ἔρως συνέμιξεν ἅπαντα.
Ξυμμιγνυμένων δ' ἑτέρων ἑτέροις, γένετ' οὐρανὸς ὠκεανός τε.
Καὶ γῆ πάντων τε θεῶν μακάρων γένος ἄφθιτον. ὧδε μέν ἐσμεν
D Πολὺ πρεσβύτατοι πάντων μακάρων. ἡμεῖς δ' ὡς ἐσμὲν Ἔρωτος
Πολλοῖς δῆλον. πετόμεσθα γὰρ καὶ τοῖσιν ἐρῶσι σύνεσμεν.
Πολλοὺς δὲ καλοὺς ἀπομωμοκότας παῖδας, πρὸς τέρμασιν ὥρας
Διὰ τὴν ἰσχὺν τὴν ἡμετέραν, διεμήνεισαν ἄνδρες ἐρασταί.
E Ὁ μὲν ὄρτυγα δούς, ὁ δὲ πορφυρίων', ὁ δὲ χῆν', ὁ δὲ περσικὸν ὄρνιν.
Πάντα δὲ θνητοῖς ἐστιν ἀφ' ἡμῶν τῶν ὀρνίθων τὰ μέγιστα.
Πρῶτα μὲν ὥρας φαίνομεν ἡμεῖς ἦρος, χειμῶνος, ὀπώρας.
Σπείρειν μέν, ὅταν γέρανος κρώζουσ' ἐς τὴν Λιβύην μεταχωρῇ,
F Καὶ πηδάλιον τότε ναυκλήρῳ φράζει κρεμάσαντι καθεύδειν.
Εἶτα δ' Ὀρέστῃ χλαῖναν ὑφαίνειν, ἵνα μὴ ῥιγῶν ἀποδύῃ.
Ἰκτῖνος αὖ μετὰ ταῦτα φανεὶς ἑτέραν ὥραν ἀποφαίνει,
Ἡνίκα πεκτεῖν ὥρα προβάτων πόκον ἠρινόν. εἶτα χελιδών,

Parit primùm ventosum nox nigra pennas ouum,
Ex quo perfectis temporibus pullulauit amor desiderabilis,
Splendidus humero, alis aureis, similis ventosis velociter volutionibus.
Hic autem chao alato mixtus, nocturno in tartaro lato
Fecit genus nostrum, & primùm reduxit in lucem.
Prius autem non erat immortalium, antequam amor commiscuit omnia.
Commixtis autem alteris alteris, factum est cælum, oceanusq́,
Et terra, omniumq́, deorum beatorum genus incorruptibile, sic quidem sumus
Multo antiquissimi omnium beatorum: nos autem quòd sumus amoris,
Multis manifestum, volamus, & amantibus consumus.
Multos autem bonos abiuratos pueros ad fines temporis
Per potentiam nostram, diuiserunt viri amatores.
Hic quidē coturnicē dās, ille autē porphyrionem: alius autem anserem, alius autem persicum.
Omnia autem mortalibus sunt à nobis auibus maxima.
Primùm quidem tempora ostendimus nos veris, hyemis, autumni.
Seminare quidem quando grus crocitans in Libyam decedit,
Et temonem tunc nauclero dicis suspendenti dormire.
Postea autem Oresti chlanam texere, vt non frigens spoliet.
Miluius iterum post hæc apparens, aliud tempus ostendit,
Quando tondere tempus ouium vellus vernum. postea hirundo

Σχόλια. Τίκτει πρώτιστον ὑπηνέμιον] ὑπηνέμια καλεῖται τὰ δίχα συνουσίας καὶ μίξεως, καὶ τοῦτο δὲ οὐχ ὡς ἔτυχεν αὐτῷ προσέρριπται, ἀλλὰ ἀπὸ ἱστορίας τῆς κατὰ τοὺς Διοσκούρους. φασὶ γὰρ αὐτοὺς ἐξ ᾠοῦ γεγονέναι. καὶ ὅτι συνήθες αὐτοῖς μᾶλλον ἀνεμιαῖον λέγειν, καὶ Πλάτων ἐν Θεαιτήτῳ, γόνιμον ἀνεμιαῖον τυγχάνει. Εἰκὼς ἀνεμώκεσι δίναις] τοῦ ἀνέμου ὠκείαις συστροφαῖς ἐοικὼς κατὰ τάχος. ἡ δὲ ὅλη σύστασις, ὅτι ἐκ τοῦ πτεροῦ τοῦ ἔρωτος G τὰ ὄρνεα ἐστίν. ἀτόπως δὲ καὶ ἀπιθάνως τῇ γενεαλογίᾳ κέχρηται. Ἐσμὲν ἔρωτος] λείπει υἱοί. Καὶ τοῖσιν ἐρῶσι] σύμμαχοι εἰσὶ τοῖς ἐρασταῖς, ὄρνιθας εὐγενεῖς χαρίζεσθαι τοῖς ἐρωμένοις. Δίδυμος δὲ, οἰωνοὶ εἰσί. καὶ ὅτι τοιοῦτον ὄρνιον δεξιὰ πρὸς ἔρωτας φαίνεται. ἐγὼ μὲν ὡς Λευκίππῳ, δεξιὰ εἴπῃ. Πολλοὺς δὲ καλούς.] μετὰ τὴν νεότητα τὴν ἐγκαλλωπισμὸν αἰσχρῶς ἑταιρεῖν. ἀπομωμοκότας δὲ ἀποταξαμένους. διεμήνεισαν δὲ συνουσίασαν. Ὁ μὲν πορ-

περσικὸν ὄρνεον.] τὰ πολυτελῆ πάντα, οἷς μόνος βασιλεὺς ἐχρῆτο, ἐκαλεῖτο περσικά. καὶ νῦν ἰδίως τὰς ὄρνις περσικάς, τινὲς δὲ τὴν ἀλεκτρυόνα. εἰ γὰρ ἦσαν. Πρῶτα μὲν ὥρας.] ἔλαβε παρὰ Ἡσιόδου. φράζεσθαι δ' εὖτ' ἂν γεράνου φωνὴν ἐπακούσῃς ὑψόθεν ἐκ νεφέων ἐνιαύσια κεκληγυίης. ἥτ' ἀρότοιό τε σῆμα φέρει καὶ χείματος ὥρην. Καὶ πηδάλιον τότε.] καὶ τοῦτο παρὰ τὸ Ἡσιόδειον, αὐτίκα πη-

A δάλιον μὲν ὑπὲρ καπνοῦ καταθεῖο. καὶ πηδάλιον δὲ εὔεργὲς ὕπερ καπνοῦ κρεμάσασθαι. Εἶτα δ' Ὀρέστῃ.] Ὀρέστης μανίαν ὑποκρινόμενος ἐν τῷ σκότει τοὺς ἀνθρώπους ἀπέδυεν. Ἰκτῖνος αὖ μετὰ ταῦτα.] ἐν τῇ Ἑλλάδι ἔαρος φαίνεται ἰκτῖνος, ὅτε κυριεύονται τὰ θρέμματα. οἶμαι δὲ ποκάζειν.

B
Ὅτε χρὴ χλαῖναν πωλεῖν ἤδη, καὶ ληδάριόν τι πρίασθαι.
Ἐσμὲν δ' ὑμῖν Ἄμμων, Δελφοί, Δωδώνη, Φοῖβος Ἀπόλλων.
Ἐλθόντες γὰρ πρῶτον ἐπ' ὄρνεις, οὕτω πρὸς ἅπαντα τρέπεσθε.
Πρός τ' ἐμπορίαν καὶ πρὸς βιότου κτῆσιν, καὶ πρὸς γάμον ἀνδρός,
Ὄρνιν τε νομίζετε πάνθ' ὅσαπερ περὶ μαντείας διακρίνει.
C
Φήμη γ' ὑμῖν ὄρνις ἐστί, πταρμόν τ' ὄρνιθα καλεῖτε.
Ξύμβολον, ὄρνιν. φωνήν, ὄρνιν. θεράποντ' ὄρνιν. ὄνον, ὄρνιν.
Ἆρ' οὐ φανερῶς ἡμεῖς ὑμῖν ἐσμὲν μαντεῖος Ἀπόλλων;
Ἢν οὖν ἡμᾶς νομίσητε θεούς,
Ἕξετε χρῆσθαι μάντεσι μούσαις.
D
Αὔραις, ὥραις, χειμῶνι, θέρει.
Μετρίῳ πνίγει. κοὐκ ἀποδράντες
Καθεδούμεθ' ἄνω σεμνυνόμενοι,
Παρὰ ταῖς νεφέλαις ὥσπερ χ' ὁ Ζεύς.
Ἀλλὰ παρόντες, δώσομεν ὑμῖν
Αὐτοῖς, παισί, παίδων παισίν,
Πλουθυγίειαν. εὐδαιμονίαν.
Βίον. εἰρήνην. νεότητα. γέλω-
E
τα. χορούς. θαλίας. γάλα τ' ὀρνίθων.
Ὥστε παρέσται κοπιᾶν ὑμῖν
Ὑπὸ τῶν ἀγαθῶν,
Οὕτω πλουτήσετε πάντες.

B *Quando oportet chlanam vendere, iam astiuam vestem aliquam emere.*
Sumus autem vobis Ammon, Delphi, Dodona, Phœbus Apollo.
Venientes enim primum in aues, sic ad omnia vertimini,
Adq́; mercaturam, & ad victus possessionem, & ad nuptias viri,
Auemq́; putate omnia quacunque circa diuinationem diuidit.
C *Fama vobis auis est, sternutationemq́; auem vocate,*
Symbolum auem, vocem auem, seruum auem, asinum auem.
An non manifestè nos vobis sumus vaticinator Apollo?
Si igitur nos putabitis Deos,
Poteritis uti vatibus, Musis,
D *Auris, horis, hyeme, æstate,*
Mensurato æstu: & non aufugientes,
Sedemus super gloriati
Apud nebulas, tanquam Iupiter.
Sed præsentes dabimus vobis
Ipsis filijs, filiorum filijs,
Diuitem sanitatem, bonam fortunam,
Victum, pacem, iuuentutem, ri-
E *sum, choros, conuiuia, lacq́; auium.*
Quare aderit laborare vobis
A bonis,
Sic ditescetis omnes.

Σχόλια. Ληδάριον.] θερίστριον ἢ εὐτελὲς ἱμάτιον θερινόν. σημειωτέον δὲ ὅτι ἐν συστολῇ τὸ πρίασθαι. Ἐλθόντες γὰρ πρῶτον.] μαντευσάμενοι γὰρ πρῶτον ἐκ τῶν ὀρνιθομαντειῶν, οὕτως ἐπὶ τὰ ἔργα χωρεῖτε. ὄρνιν τε νομίζετε. πάντα γὰρ οἰωνοὺς καλοῦσι καὶ τὰ μὴ ὄρνεα. Ξύμβολον ὄρνιν.] ξύμβολον ὄρνιν φασίν, ἐπεὶ συμβόλους ἐποιοῦντο τοὺς πρῶτα ξυναντῶντας, καὶ ἐξ ἀπαντήσεώς τι
F προσημαίνοντας. ξυμβόλους δὲ καὶ τοὺς διὰ τῶν πταρμῶν οἰωνισμοὺς ἔλεγον. ἀνετίθετο δὲ οὗτος Δήμητρι, ὥς φησι Φιλόχορος. καὶ σύμβολον, οἰώνισμα, σημεῖον, μάντευμα. λέγεται καὶ ἀρσενικῶς ὁ σύμβολος. οὕτω παρὰ τῷ Σουίδᾳ γράφεται. Θεράποντ' ὄρνιν.] ἐπεὶ πολλάκις οἰωνιζόμενοι τινὰς τῶν θεραπόντων καλῶς ὁδεύσαντας λέγειν καὶ καλοιωνίστους. Ὄνον ὄρνιν.] λέγεται γάρ τι τοιοῦτον. ὡς συμβολικὸς ἐρωτώμενος περὶ ἀφροσύνου, εἴδεν ὄνον ἐκ στόματος ἀναστάντα, ἀκήκοε δὲ ἑτέρου λέγοντος. βλέπε πῶς
G ὄνος ὢν αἰσχύνει, ἐπειδὴ ἔφη ὁ τοσοῦτον ἀναστήσεται. Ἢν οὖν.]

ἔκθεσις τοῦ μακροῦ ἐκ κώλων ὁμοίων ἀναπαιστικῶν ιδ. ὧν τὰ μὲν ιβ΄ δίμετρα ἀκατάληκτα. τὸ ιγ΄ ἐν αναπαιστικῇ βάσει, ὃ καὶ προτέλευτον ὀνομάζεται. τὸ τελευταῖον ἑφθημιμερὲς ὑφ' ὃ παράγραφος. Μάντεσι.] μούσαις. ἔσται χρῆσθαι ἡμῖν καὶ εἰς μουσικὴν καὶ εἰς μαντείαν. πολλὰ γὰρ τῶν ὀρνέων μουσικά. Χειμῶνι.] ὅτι καὶ ἀνέμους καὶ καιροὺς προσημαίνουσι. μετρίῳ δὲ πνίγει συμμέτρῳ καύματι. λέγει δὲ τὸ ἔαρ. ὥσπερ ὁ Ζεύς] νεφεληγερέτας γάρ. Παίδων παισίν.] ἐμιξε τὰ δύο. διὸ δὴ μάλιστα οἱ ἄνθρωποι χαίρουσι, καὶ δοκοῦσι τὸν βίον ἐπανορθοῦσθαι, ἐκ τούτου ἔκφασιν εὐδαιμονίας ἐμφαίνει. Γάλα τ' ὀρνίθων.] τοῦτο καὶ ἐν Σφηξίν. ἐν παροιμίᾳ δὲ ἐπὶ τῶν λίαν εὐδαιμονούντων καὶ πάντα κεκτημένων. ἄλλως. τοῦτο τῶν σπανίων. τὰ σπάνια οὖν φησὶ καὶ δυσεύρετα τῶν ἀγαθῶν παρέξομεν. Κοπιᾶν.] ἐν πλησμονῇ γενόμενοι τῶν ἀγαθῶν ἀπειρηκέναι φέρεται.

A

ΩΔΗ ΚΑΙ ΣΤΡΟΦΗ κώλων ιϛ΄.

Μοῦσα λοχμαία,
Τιοτιοτιοτίγξ.
Ποικίλη, μεθ' ἧς ἐγὼ
Νάπαισι κορυφαῖς τ' ἐν ὀρείαις
Τιοτιοτιοτίγξ.
Δι' ἐμῆς γένυος ξουθῆς μελέων,
Ἱζόμενος μελίας ἐπὶ φυλλοκόμου
Τιὸ τιὸ τιὸ τιὸ
Πανὶ νόμους ἱεροὺς ἀναφαίνω
Σεμνά τε μητρὶ χορεύματ' ὀρείᾳ,
Τοτοτοτοτοτοτοτοτίγξ.
Ἔνθεν ὥσπερ ἡ μέλιττα
Φρύνιχος ἀμβροσίων
Μελέων ἀπεβόσκετο καρπὸν ἀεὶ,
Φέρων γλυκεῖαν ᾠδήν.
Τιοτιοτιοτίγξ.

CANTVS ET VERSIO membrorum sexdecim.

Musa syluosa,
Tio tio tio tinx,
Varia, cum qua ego
B *Saltibus, cacuminibúsque in montanis,*
Tio tio tio tio tinx,
Per meæ barbæ flauæ cantus
Sedens fraxino in foliis comata,
Tio tio tio tio,
Pani leges sacras ostendo.
Castaque matri saltationes montanas
To to to to to to to to to to tinx.
Hinc tanquam apes
C *Phrynichus immortalibus*
Cantibus depascebatur, fructum semper
Ferens dulcem cantum,
Tio tio tio tinx.

Σχ. Μοῦσα λοχμαία] ἡ στροφὴ καὶ ᾠδὴ αὕτη κώλων ἐστὶ διαφόρων καὶ ἀσυναρτήτων ιϛ. ὧν τὸ πρῶτον πενθημιμερές. τὸ β΄ ἑφθημιμερὲς τοῦ α΄ ποδὸς ἑξαβράχεος. τὸ γ΄ τροχαϊκὸν ἑφθημιμερές. τὸ δ΄ ἀσυνάρτητον προσοδιακὸν καλούμενον ἐπιώνικον. περὶ οὗ εἴρηται ἐν τῇ παραβάσει τοῦ Νεφελῶν δράματος. τὸ ε΄ ὅμοιον τῷ β΄. τὸ ϛ΄, ὅμοιον τῷ δ΄, ἀλλ' ἐκ παίωνος δευτέρου ἀρχόμενον ὡς ἐκεῖνο ἀλλ' ἐκ δακτύλου. τὸ ζ΄. ὅμοιον τῷ ϛ΄, πλὴν βραχυκατάληκτον. τὸ η΄ ἀναπαιστικὸν δίμετρον ἀκατάληκτον, καὶ τὸ ιδ΄. τὸ θ΄ ἀσυνάρτητον ὅμοιον τοῖς ῥηθεῖσι. τὸ ι΄ ὅμοιον. τὸ ια΄. χοριαμβικὸν δίμετρον ἀκατάληκτον, ἐκ διαλελυμένων χοριάμβων. τοῦ α΄. ἑξασυλλάβου. τοῦ δὲ δευτέρου πεντασυλλάβου. τὸ ιβ΄ τροχαϊκὸν δίμετρον ἀκατάληκτον. τὸ ιγ΄ δακτυλικὸν ἑφθημιμερές. τὸ ιε΄ ἰαμβικὸν ἑφθημιμερές, τὸ ιϛ΄ ὅμοιον τῷ πρώτῳ πενθημιμερὲς ἐκ διαλελυμένου χοριάμβου. ἐπὶ τῷ τέλει διπλῆ ἔσω νενευκυῖα διὰ τὴν ἀνταπόδοσιν. εἰσὶ δὲ καὶ ταῦτα πολυσχημάτιστα. μοῦσαν δὲ λοχμαίαν τὴν ἑαυτῶν λέγει. Δίδυμος ὅτι ἐγκεκρυμμένοι ἐν ταῖς λόχμαις φωνεῖν εἰώθασιν. ὁ λόγος δὲ ἀπὸ τοῦ ποιητοῦ. μοῦσα λοχμαία. μέλος ὡς ὀρνίθων, οἰκείως λοχμαίαν μοῦσαν καλοῦσι. διὰ μέσου τὸ τῆς φωνῆς μίμημα καὶ ἐπιμίγνυσι τῷ τῆς ἀνθρωπείας. ἔστι δὲ τὸ ἑξῆς οὕτως. μοῦσα λοχμαία ποικίλη, μεθ' ἧς ἐγὼ νόμους ἱεροὺς ἀναφαίνω. ξουθῆς δὲ ἀντὶ ποικίλης. τὰ πλεῖστα τῶν ὀρνέων ξουθὰ φαίνεται. Πανὶ νόμους. ἐπεὶ νόμιος ὁ θεὸς καὶ ὄρειος, καὶ τῶν ὀρνέων δὲ ἐν ὄρεσιν αἱ διατριβαί. σεμνά δὲ μητρὶ τῇ Ῥέᾳ. Ἔνθεν] ἀπὸ τῶν ἐμῶν ποιημάτων ὥσπερ μέλιττα ἀπεβόσκετο. Φρύνιχος ἀμβροσίων.] ὃς ἐπὶ μελοποιίαις ἐθαυμάζετο. δ΄ δὲ ἐγένοντο Φρύνιχοι. ὁ μὲν εἷς οὗ νῦν μνημονεύει, Πολυφράδμονος παῖς, ποιητὴς ἡδὺς ἐν τοῖς μέλεσιν. ὁ ἕτερος, Χοροκλέους παῖς ὑποκριτής. τρίτος, Φρύνιχος ὁ κωμικός. οὗ μέμνηται Ἕρμιππος ἐν Φορμοφόροις ὡς ἀλλότρια ὑποβαλλομένου ποιήματα. τέταρτος δὲ ἐστιν, Ἀθηναῖος τὸ γένος. ὁ στρατηγήσας τὰ περὶ Σάμον, καὶ Ἀστυόχῳ προσθέμενος. ἐπιχειρήσας γ΄ ἐπὶ δῆμον καταλῦσαι. περὶ ὧν ἐν τοῖς Βατράχοις ἱκανῶς εἰρήκαμεν.

D

E

ΕΠΙΡΡΗΜΑ στίχων ιϛ΄.

Χο. Εἰ μετ' ὀρνίθων τις ὑμῶν ὦ θεαταὶ βούλεται
Διαπλέκειν, ζῶν ἡδέως τολοιπὸν, ὡς ἡμᾶς ἴτω.
Ὅσα γάρ ἐστιν ἐνθάδ' αἰσχρὰ τῷ νόμῳ κρατούμενα,
Ταῦτα πάντ' ἐστὶ παρ' ἡμῖν τοῖσιν ὄρνισι, καλά.
Εἰ γὰρ ἐνθαδ' ἐστὶν αἰσχρὸν τὸν πατέρα τύπτειν νόμῳ,
Τοῦτ' ἐκεῖνο καλὸν παρ' ἡμῖν ἐστι. ἢν τις τῷ πατρὶ
Προσδραμὼν εἴπῃ πατάξας αἶρε πλῆκτρον εἰ μάχει.

F

ADVERBIVM versuum sexdecim.

CH. Si cum auibus aliquis vestrûm ô spectatores, vult
Degere, viuens suauiter in futurum, ad nos eat.
Quæcunque enim sunt hic turpia lege detenta,
Hæc omnia sunt apud nos aues, bona.
G *Si enim hic est turpe patrem verberare lege,*
Hoc illud bonum apud nos est: si quis patri
Incurrens dicat, verberans eleua plectrum si pugnas.

Σχόλ.

Σχόλια. Εἰ μετ᾽ ὀρνίθων] εἰ μετ᾽ ὀρνίθων τις διάγειν βούλεται ἡδέως, τὸ λοιπὸν ὡς ἡμᾶς ἐλθέτω. Διαπλέκειν.] ἢ διαποικίλλειν ἢ διάγειν. Τῷ νόμῳ.] νόμον νῦν οὐ πάντα τὸν γεγραμμένον φησὶν ἀλλὰ τὸ ἔθος. Αἶρε πλῆκτρον εἰ μάχει.] πλῆκτρον ὅπλον ἀμυντήA ριον. ἡ μεταφορὰ ἀπὸ τῶν ἀλεκτρυόνων. κἀκεῖνοι γὰρ ἔχουσι πλῆκτρα ἐν οἷς μάχονται. ἃ ἡμεῖς κέντρα λέγομεν τῶν ὀρνίθων, ἐκεῖνοι πλῆκτρα, πλῆκτρα δέ εἰσιν ἔμβολα χαλκᾶ τὰ ἐμβαλλόμενα τοῖς πλήκτροις τῶν ἀλεκτρυόνων.

Εἰ δὲ τυγχάνει τις ὑμῶν δραπέτης ἐστιγμένος,
Ἀτταγᾶς οὗτος παρ᾽ ἡμῖν ποικίλος κεκλήσεται.
Εἰ δὲ τυγχάνει τις ὢν Φρὺξ μηδὲν ἧττον Σπινθάρου,
Φρυγίλος ὄρνις ἐνθάδ᾽ ἔσται, τοῦ Φιλήμονος γένους.
Εἰ δὲ δοῦλός ἐστι Κάρ, ὥσπερ Ἐξηκεστίδης,
Φυσάτω πάππους παρ᾽ ἡμῖν, καὶ φανοῦνται φράτορες.
Εἰ δ᾽ ὁ Πισίου προδοῦναι τοῖς ἀτίμοις τὰς πύλας
Βούλεται, πέρδιξ γενέσθω τοῦ πατρὸς νεόττιον.
Ὡς παρ᾽ ἡμῖν οὐδὲν αἰσχρόν ἐστιν ἐκπερδικίσαι.

Si autem contingit aliquis vestrûm fugitiuus, signatus,
Attagas hic apud nos varius vocabitur,
B *si autem contingit aliquis existens Phryx, nihil minus Spintharo.*
Phregilus auis hic erit Philemone genere.
Si autem seruus est & Car, sicut Execestides,
Generet auos apud nos, & ostendentur consanguinei.
Si autem hic Pisii prodere inhonoratis portas
Vult, perdix fiat patris pullus,
Quòd apud nos nihil turpe est experdicissare.

C

Σχόλια. Ἀτταγᾶς.] ὁ ἀτταγᾶς γὰρ κατάστικτός ἐστι ποικίλοις πτεροῖς. Σπινθάρου.] οὗτος κωμῳδεῖται ὡς βάρβαρος καὶ Φρύξ, ἔτι δὲ καὶ ὁ Φιλήμων. Ἐξηκεστίδης.] πολλαχοῦ προείπομεν ὅτι ξένος ἐστί. πολλαχοῦ δὲ καὶ παρὰ τοῖς ἄλλοις κωμῳδεῖται, νῦν δὲ ὅτι Κάρ. Φυσάτω πάππους.] Εὐφρόνιός φησι πάππον ὄρνεόν τι εἶναι. πρὸς τὸ ὄνομα οὖν παίζει, ὅτι εἰ ἀναβάς τις πρὸς ἡμᾶς γενήσεται πάππος, ἕξει ἀποδεικνύναι φράτορας. ὅ ἐστι συγγενεῖς. οἱ γὰρ εὐθυνόμενοι ὡς ξένοι, ὀφείλουσι τοὺς ἰδίους πάππους ἐπιδεικνύναι, ὅτι τῆς φρατρίας ἄνωθεν ὄντας. Καλλίμαχος ἐὰν ἀναγράφῃ τὸν πάππον. τρίτη δὲ μοῖρά ἐστι τῆς φυλῆς ἡ φρατρία οὕς τινας τριττὺν λέγει.

Bisetus. Εὐστάθιος. Φράτορες, οἱ τῆς αὐτῆς φρατρίας, τουτέστι συγγενεῖς, καὶ συμφυλέται. ἀλλαχοῦ δὲ φράτορες σύστημα ἐν Ἀθήναις τοὺς τικτομένους πολίτας ἀπογραφόμενον. φρατρία δὲ ἐλέγετο τὸ τρίτον μέρος τῆς φυλῆς παρ᾽ Ἀθηναίοις. ἡ πατριὰ ἐλέγετο παρ᾽ Ἴωσι. παρ᾽ Ὁμήρῳ δὲ φρήτρη. φρατρίζειν καὶ φρατριάζειν, τὸ εἰς φρατρίαν συνιέναι. φρατρίαι δὲ κατὰ Πολυδεύκην ἦσαν ιβ. καὶ ἐν ἑκάστῃ γένη τριάκοντα ἕκαστον ἐκ λ. ἀνδρῶν. φράτορες δὲ κατά τινας ἐλέχθησαν κυρίως οἱ τῆς αὐτῆς φρατρίας κοινωνοῦντες, οἱονεὶ φρατέρες, καὶ κατὰ συγκοπὴν φράτορες.

Σχόλια. Εἰ δ᾽ ὁ Πισίου προδοῦναι] οὐδὲν σαφὲς ἔχομεν τίς ὁ Πισίου, οὔτε περὶ τῆς προδοσίας. ὅτι δὲ τῶν λίαν πονηρῶν ἐστι, δηλοῖ Κρατῖνος ἐν χείροσι πυλαίαις ὥραις. εἴη δ᾽ ἄν τι συμπεπραχὼς τοῖς Ἑρμοκοπίδαις ὁ Πισίου. εἴ τινες, ὥς Φιλόχορός φησιν, ἐπὶ χαλβείου θανάτῳ τὸ καταγνωσθέντες, καὶ τὰ ὀνόματα αὐτῶν ἐστηλιτεύθησαν. καὶ τῷ κλείναντι κατ᾽ ἄνδρα ἐκηρύχθη τάλαντον. ἄλλως. οἱ μὲν, τὸν Πισίαν ἵνα τῶν Ἑρμοκοπιδῶν εἶναι, οἱ δὲ τὸν υἱὸν αὐτοῦ. ἐπορούντο δὲ οὗτοι ὅπως ἂν δεῖεν τὸ περὶ τῆς τιμωρίας. εἰ οὖν φησιν ὁ υἱὸς αὐτοῦ τοῦ Πισίου ὅμοιος βούλεται εἶναι τῷ πατρί, γενέσθω πέρδιξ πανοῦργος. Κρατῖνος χείροσι. καὶ πρῶτα μὲν περὶ ταυτοδικῶν ἀνδρῶν, τρία κατὰ δ᾽ ἄλλα ἀναιδῆ. Πισίας Ὀσφρύωνα. Διιτρεφῆ. Τοῦ πατρὸς νεόττιον] ὡς καὶ τοῦ αὐτοῦ τοιούτου ὄντος, ἀποδρᾶναι ἀπὸ τῆς τοῦ πατρὸς πανουργίας. ἄλ-
D λως. ὁ πέρδιξ ὄρνεον πανοῦργον ὅπερ ἐξαπατᾷ τοὺς θηρεύοντας αὐτό. εἰ οὖν φησι καὶ ὁ υἱὸς αὐτοῦ τοιοῦτος βούλεται γενέσθαι, πέρδιξ γενέσθω ὅμοιος τῷ πατρί. Ἐκπερδικίσαι, διὰ τὸ πέρδικα αὐτὸν γενέσθαι. εἴρηται δὲ ἀπὸ τοῦ τοὺς πέρδικας καταλαμβανομένους ὑπ᾽ ἀνθρώπων, μηχανᾶσθαι τοιαύτην σωτηρίαν. λαμβάνοντες γὰρ κάρφη τοῖς ποσίν, ὑπτίους ἑαυτοὺς ῥίπτουσι καὶ οὕτως ἐπικαλύπτουσι καὶ ἐκκλίνουσι. εἰς τὸ αὐτό. ἀντὶ τοῦ φυγεῖν. διαβάλλει δὲ ὡς κατεγνωσμένον καὶ φυγῇ ζημιωθέντα. οἱ δὲ πέρδικες πανοῦργοι ὄντες εὐχερῶς διαδιδράσκουσι τοὺς θηρευτάς. πολλάκις ὕπτιοι γενό-
E μενοι καὶ ἐπιβάλλοντες ἑαυτοῖς κάρφη. φησὶν οὖν ὅτι καὶ παρ᾽ ἡμῖν γενόμενος, δυνήσεται πάλιν φεύγειν. ἄλλως. ἐξαίφνης τῆς νεοσσιᾶς ὁ πέρδιξ εἰς πλανωμένην ἐπὰν ἄνθρωπον ἴδῃ, συρίζει. οἱ δὲ ὕπτιοι ἑαυτοὺς τιθέασιν, ὡς μὴ δὲ ψηλαφῶντά τινα ἐπιγνῶναι. εἶτα ὀλίγον προελθόντος τοῦ ἀνδρὸς, πάλιν συρίζει ὁ πατήρ. οἱ δὲ ἐξίπτανται. τοῦτο οὖν ἐστι τὸ ἐκπερδικίσαι. εἰς τὸ αὐτό. Δίδυμος ἐν τῷ περὶ διεφθορυίας λέξεως, οὕτως. ἐπὰν ἴδῃ τὸν θηρευτὴν ἡ πέρδιξ, προκυλινδεῖται αὐτοῦ ἐπιπλασσομένη πρὸς ἑαυτὴν ὡς δὲ γίνεται περὶ τὸ ἀγρεῦσαι αὐτὴν, οἱ νεοσσοὶ
F φεύγουσιν, εἶτα καὶ αὐτὴ διαδρᾶσα, ὕστερον αὐτοὺς συνάγει.

ΑΝΤΩΔΗ ΚΑΙ ΑΝΤΙΣΤΡΟΦΗ κώλων ιϛ΄.

Χο. Τοιάδε κύκνοι,
Τιοτιοτιοτιοτίγξ.
Συμμιγῆ βοὴν ὁμοῦ
Πτεροῖσι κρέκοντες, ἴακχον Ἀπόλλω
Τιοτιοτιοτιοτίγξ.

RECANTATIO ET INVERSIO membrorum sexdecim.

G
CH. Talem autem cygni,
Tio tio tio tio tinx,
Commixtione vocem simul
Alis strepentes sonuerant Apollinem,
Tio tio tio tio tinx,

Σχόλια. Τοιάδε] ἡ ἀντῳδὴ καὶ ἀντιστροφὴ ὁμοία καθ᾽ ἕκαστόν ἐστι τῇ στροφῇ καὶ ἀντιστροφῇ. ἐπὶ τῷ τέλει αἱ συνήθεις δύο διπλαῖ. Κρέκοντες.] ἠχοῦντες. διὰ τῆς τῶν πτερύγων κινήσεως ὕμνουν τὸν Ἀπόλλωνα.

Ὄχθῳ ἐφεζόμενοι παρ' Ἕβρον ποταμόν.
Τιὸ τιὸ τιὸ τιό.
Διὰ δ' αἰθέριον νέφος ἦλθε βοά.
Πτῆξε δὲ ποικίλα τε φῦλα θηρῶν,
Κύματά τ' ἔσβεσε νήνεμος αἴθρη
Τοτοτοτοτοτοτοτοτοτίγξ.
Πᾶς δ' ἐπεκτύπησ' Ὄλυμπος.
Εἷλε δὲ θάμβος ἄνακτας.
Ὀλυμπιάδες δὲ μέλος Χάριτες
Μοῦσαί τ' ἐπωλόλυξαν
Τιοτιοτιοτίγξ.

A *Ripa insedentes apud Hebrum fluuium.*
Tio tio tio tio,
Per autem aetheream nebulam venit vox.
Stupefecit autem, variasque tribus ferarum.
Vndasque extinxit quieta tranquillitas.
To to to to to to to to to totinx.
Omnis autem instrepuit Olympus,
Coepit autem stupor reges:
B *Olympiades autem cantum Gratiae*
Musaeque vlularunt,
Tio tio tio tinx.

Σχόλια. Παρ' Ἕβρον.] ποταμὸν Θρᾴκης τὰ ῥεύματα ἔχοντα ἐκ Ροδόπης τοῦ Θρᾳκικοῦ ὄρους. Νήνεμος αἴθρη.] ἐπεὶ ὑπὸ τῆς εὐαερείας λῆξις κυμάτων ἐγένετο. τοῦ γὰρ ἀέρος εὐδιεινοῦ ὄντος καὶ ἡ θάλασσα ἡσύχασεν. Ἄνακτας.] τοὺς θεούς. ἔνθεν καὶ ἀνάκτορα τὰ ἱερά.

ΑΝΤΕΠΙΡΡΗΜΑ στίχων ις'.

C

ADVERBIVM versuum sexdecim.

Χο. Οὐδὲν ἔστ' ἄμεινον, οὐδ' ἥδιον, ἢ φῦσαι πτερά.
Αὐτίχ' ὑμῶν τῶν θεατῶν εἴ τις ἦν ὑπόπτερος
Εἶτα πεινῶν τοῖς χοροῖσι τῶν τραγῳδῶν ἤχθετο,
Ἐκπτόμενος ἂν οὗτος ἠρίστησεν ἐλθὼν οἴκαδε,
Κᾆτ' ἂν ἐμπλησθεὶς, ἐφ' ἡμᾶς αὖθις αὖ κατέπτατο.
Εἴ τε Πατροκλείδης τις ὑμῶν τυγχάνει χεζητιῶν,
Οὐκ ἂν ἐξίδισεν ἐς θοἰμάτιον, ἀλλ' ἀνέπτατο.
Κἀποπαρδὼν, κἀναπνεύσας, αὖθις αὖ κατέπτατο.
Εἴ τε μοιχεύων τις ὑμῶν ἐστὶν, ὅστις τυγχάνει,
Κᾆθ' ὁρᾷ ἄνδρα τῆς γυναικὸς ἐν βουλευτικῷ,
Οὗτος ἂν πάλιν παρ' ὑμῶν πτερυγίσας ἀνέπτατο.
Εἶτα βινήσας, ἐκεῖθεν αὖθις αὖ καθίζετο.
Ἆρ' ὑπόπτερον γενέσθαι παντός ἐστιν ἄξιον;
Ὡς Διιτρέφης γε πυτιναῖα μόνον ἔχων πτερὰ,
Ἡρέθη φύλαρχος. εἶθ' ἵππαρχος. εἶτ' ἐξ οὐδενὸς
Μεγάλα πράττει. κἄστι νυνὶ ξουθὸς ἱππαλεκτρυών.

CH. *Nihil est melius neque suauius: quàm generare pennas.*
Statim vestrûm spectatorum si quis esset pennatus,
Postea esuriens choris tragoedorum tristaretur,
Euolans hic, optimè agat iens domum,
D *Et postea satiatus ad nos rursus deuolet.*
Siue Patroclides aliquis vestrûm contingeret cacaturiens,
Non cacabit in vestem, sed reuolabit.
Et pedens & respirans rursus deuolabit,
Siue adulterans aliquis vestrûm est quicunque contingit.
Et postea vides virum mulieris in consilio,
Hic iterum apud vos habens alas, reuolabit.
Postea subagitans, illinc rursus desedet.
E *An alatum fieri vnoquoque est dignum?*
Sicut Dytrephes vinales solum habens pennas,
Electus est tribus princeps, postea equorum princeps. postea ex nullo
Magna facit, & est nunc flauus equorum gallus.

Σχόλια. Οὐδέν ἐστ' ἄμεινον.] τὸ ἀντεπίρρημα ὅμοιον τῷ ἐπιρρήματι. ἐπὶ τῷ τέλει διπλῆ ἔξω νενευκυῖα. Χοροῖσι τῶν τραγῳδῶν.] ὡς μακρῶν ὄντων τούτων. Ἐφ' ἡμᾶς.] ἐπὶ τὸ θέατρον. Εἴτε Πατροκλείδης.] δοκεῖ μὲν Πατροκλείδης πολιτικὸς εἶναι καὶ λόγιος, ἀλλὰ καταχημονῶν τῶν σωμάτων, διὸ καὶ χεσᾶς ἐλέγετο, ἐξίδισε δὲ ἐξετίλησεν ἀπεπάτησεν.

BISETVS. Εὐστάθιος τούτου μνημονεύει. κάκη οὐ μόνον ἡ κακία κατὰ τοὺς περὶ Πλάτωνα, ἀλλὰ καὶ ἡ δειλία, ἐξ οὗ κακὸς, ὁ δειλός. καὶ κακίζεσθαι, τὸ δειλιᾶν. ἐξ αὐτοῦ δὲ τὸ κακκᾶν (ἢ κακκᾶν, ἢ καὶ κακᾶν ἐστὶ παιδίων, ἐπεὶ καὶ τοῖς δειλιῶσιν ἕπεται) τοιοῦτόν τι πάσχειν. ὃ καὶ ἐξιδίειν σεμνῶς ἡ κωμῳδία φησὶν, ἀρχὴν λαβοῦσα ἐξ Ὁμηρικοῦ χωρίου,
Ἴδιον ὡς ἐνόησα, ἤγουν ἵδρωσα ἐξ ἀγωνίας.

Σχόλια. Ἐν βουλευτικῷ.] ἐστὶ τόπος τοῦ θεάτρου, ὁ ἀπονενεμημένος τοῖς βουλευταῖς, ὡς καὶ ὁ τοῖς ἐφήβοις Ἐφηβικός. παρ' ὑμῶν δὲ ἀντὶ ἀπὸ τοῦ θεάτρου. Ὡς Διιτρέφης γε.] Εὐφρόνιος τὸ περὶ τῷ τραχήλῳ τῆς πυτίνης κρεμάμενα ἱμαντάρια ἑκατέρωθεν πτερά φησι καλεῖσθαι. ἢ ὅτι ἐστὶ πιτινίας ἔπλεκεν. ἀμάρτυρα δὲ ἀμφότερα. τινὲς εἰς πέντα εἰρῆσθαι διὰ τὸ ἀνυπόκειτον. ὥσπερ ἐφη. μηδὲν ἔχων ἄλλο. ἢ τίθης πόδας ἢ χύτρας ὀμφαλ... ὅτι δὲ ἦν νεόπλουτος ἐστὶ, ἐνεφαίνετο καὶ ἐν τοῖς ἥρωσι. καὶ λέγεται ὁ διιτρεφὴς τραπέζης. εἰ μὴ ἐν εἰρωνείᾳ καὶ πανταχοῦ ἅρπαξ καὶ πονηρός. Πλάτων δὲ ἐν ἑορτῇ καὶ ξένον τὸν μαινόμενον, τὸν κρῆτα, τὸν μόγις Ἀθηναῖον. εἰς τὸ αὐτό. ἐστὶ θαλλεῖα ποιῶν ἀγγεῖα, ἐπλούτησε καὶ ἱππάρχησε καὶ ἐφυλάρχησεν. Εἶτ' ἐξ οὐδενὸς μεγάλα πράττει.] παρὰ τὰ γραφέντα ἐκ μυρμιδόνων Αἰσχύλου. λέγει δὲ ὅτι οὐδὲ ἡμεῖς ὡς ὄρνις γέγονε καὶ οὐχ ὁ τυχών. Ἱππαλεκτρυών.] βουλευτής. ὁ γὰρ ἀλεκτρυὼν ἐν τοῖς ὄρνισι τιμιώτερος.

F

G

BISET. Κορωνὶς ἐκ στίχων ι'. πλὴν τοῦ κ', ὅ ἐστι κῶλον ἰαμβικὸν μονόμετρον ἀκατάληκτον.

Ταυτὶ

Πει. Ταυτὶ τοιαυτὶ μὰ Δί᾽ ἐγὼ μὲν πρᾶγμά πω
Γελοιότερον οὐκ εἶδον οὐδεπώποτε.
Ευ. Ἐπὶ τῷ γελᾷς. Πει. ἐπὶ τοῖσι σοῖς ὠκυπτέροις.
Οἶδ᾽ ᾧ μάλιστ᾽ ἔοικας ἐπτερωμένος,
Ἐς εὐτέλειαν χηνὶ συγγεγραμμένῳ.
Ευ. Σὺ κοψίχῳ γε σκάφιον ἀποτετιλμένῳ.
Πει. Ταυτὶ μὲν ᾐκάσμεσθα κατὰ τὸν Αἰσχύλον,
Τάδ᾽ οὐχ ὑπ᾽ ἄλλων, ἀλλὰ τοῖς αὑτῶν πτεροῖς.
Επ. Ἄγε δή, τί χρὴ δρᾶν; Πει. πρῶτον ὄνομα τῇ πόλει
Θέσθαι τι μέγα καὶ κλεινόν· εἶτα τοῖς θεοῖς
Θῦσαι μετὰ τοῦτο. Επ. ταῦτα κἀμοὶ συνδοκεῖ.
Πει. Φέρ᾽ ἴδω, τί δ᾽ ἡμῖν οὔνομ᾽ ἔσται τῇ πόλει.
Βούλεσθε τὸ μέγα τοῦτο τοὐκ Λακεδαίμονος,
Σπάρτην ὄνομα καλῶμεν αὐτήν. Επ. Ἡράκλεις.
Σπάρτην γὰρ ἂν θείμην ἐγὼ τῇ ᾽μῇ πόλει,
Οὐδ᾽ ἂν χαμεύνῃ πάνυ γε κειρίαν ἔχων.
Πει. Τί δῆτ᾽ ὄνομ᾽ αὐτῇ θησόμεσθ᾽. Επ. ἐντευθενὶ
Ἐκ τῶν νεφελῶν καὶ τῶν μετεώρων χωρίων.
Πει. Χαῦνόν τι πάνυ βούλει Νεφελοκοκκυγίαν.
Επ. Ἰοὺ ἰού.
Καλόν γ᾽ ἀτεχνῶς καὶ μέγ᾽ εὗρες τοὔνομα.
Ἆρ᾽ ἐστὶν αὕτη γ᾽ ἡ Νεφελοκοκκυγία.
Ἵνα καὶ τὰ Θεαγένους τὰ πολλὰ χρήματα.
Τά τ᾽ Αἰσχίνου γ᾽ ἅπαντα. Πει. καὶ λῷστον μὲν οὖν
Τὸ Φλέγρας πεδίον· ἵν᾽ οἱ θεοὶ τοὺς γηγενεῖς

A Pi. Haec talia per Iouem ego quidem rem dum
Ridiculosiorem non vidi unquam.
EV. Cur rides? PI. Propter tuas veloces alas.
Scis cui maxime similis es alatus?
In paruitatem anseri depicto.
EV. Tu Copsicho scaphio euulso.
PI. Hac quidem assimulamur secundùm Æschy-
B lum.
Hac autem non ab alijs, sed suis ipsorum pennis.
EP. Age iam quid oportet facere? PI. Primum nomen ciuitati
Ponere aliquod magnum & inclytum, postea deis
Sacrificare post hoc. EP. Hac & mihi simul videntur.
C PI. Age videam, quod autem nobis nomen erit ciuitati?
Vultis magnum hoc ex Lacedemone?
Spartam nomen vocemus ipsam. EP. Hercules.
Spartam enim ponam ego meæ ciuitati,
Neque humi dormientem valde vinculū habēs.
PI. Quod igitur nomen ipsi ponemus? EP. Illinc
Ex nebulis & altis locis.
D PI. Latum aliquod valde vis Nephelococcygiā.
EP. Euge euge,
Bonum manifestè & magnum inuenisti nomen.
An est hæc Nephelococcygia?
Vbi & Theagenis multa res,
Quæque Æschini omnia. PI. Et lostum quidem, vel
Phlegra campum, vbi dei terrigenas

Σχόλια. Ταυτὶ τοιαυτί.] χερωνὶς εἰπόντων αὖθις τῶν ὑποκειτῶν. οἱ δὲ στίχοι ἰαμβικοὶ τρίμετροι ἀκατάληκτοι ιθ. μετὰ δὲ τὸν ιθ στίχον, κῶλον ἰαμβικὸν μονόμετρον ἀκατάληκτον. ἐπὶ τῷ τέλει κορωνίς. ἐξῆλθον δὲ οἱ δύο ἐπτερωμένοι καὶ ἀλλήλους χλευάζοντες τὰ σχήματα. Ὠκυπτέροις.] τῶν πτερῶν τὰ μὲν καλοῦνται πτίλα. τὰ δὲ, πτερά. τὰ δὲ, ὠκύπτερα. Εἰς εὐτέλειαν.] εὐτελῶς γεγραμμένῳ χηνί. Ἀποτετιλμένῳ.] ἀποκεκομμένῳ. δύο δὲ εἴδη κουρᾶς. σκάφιον καὶ κῆπος. τὸ μὲν οὖν σκάφιον, τὸ ἐν χρῷ. ὁ δὲ κῆπος τὸ περὶ μετώπου κεκοσμῆσθαι. Ταυτὶ μὲν ᾐκάσμεσθα.] διεσκέμμεθα. Κατὰ τὸν Αἰσχύλον.] ἐκεῖνος γὰρ Λιβυστικὴν αὐτὴν καλεῖ παροιμίαν.

Ὡς δ᾽ ἐστὶ μύθων τῶν Λιβυστικῶν λόγος.
Πληγέντ᾽ ἀτράκτῳ τοξικῷ τὸν αἰετὸν,
Εἰπεῖν ἰδόντα μηχανὴν πτερώματος.
Τάδ᾽ οὐχ ὑπ᾽ ἄλλων, ἀλλὰ τοῖς αὑτῶν πτεροῖς
Ἁλισκόμεσθα.

πεποίηκε γὰρ ὁ Αἰσχύλος ἀετὸν τρωθέντα, καὶ λέγοντα ταῦτα. ἐπεὶ εἶδε τὸ βέλος ἐπτερωμένον καὶ ἡρμοσμένον αὐτῷ. καὶ ἡμεῖς οὖν φησιν οὐχ ὑπ᾽ ἄλλων πάσχομεν ταῦτα, ἀλλὰ τῇ ἑαυτῶν γνώμῃ. Τοῖς αὑτῶν πτεροῖς.] ὅλον τοῦτο ἐκ Μυρμιδόνων Αἰσχύλου. τὸ δὲ οὐχ ὑπ᾽ ἄλλων ἀλλὰ τοῖς αὑτῶν πτεροῖς ἁλισκόμεσθα, ἀντὶ τοῦ ἑαυτοῖς ταῦτα πεποιήκαμεν. Ἄγε δὴ τί χρὴ δρᾶν.] ἐν τισιν ὅλον ἐν. ἐν ἐνίοις δὲ τὸ ἄγε δὴ τοῦτο, Ἔποπος. Μέγα.] περίδοξον, ὃ οὐκ ὠνόμασαν αἱ πόλεις. Τοῖς θεοῖς.] τοῖς E ὀρνέοις δηλονότι. Οὐδ᾽ ἂν χαμεύνῃ] Δίδυμός φησιν, οὐδ᾽ ἂν σπάρτον ᾧ χρῆσθαι μέλλω οὕτω μισῶ τὴν Σπάρτην. χαμεύνη δὲ, ταπεινὴ κλίνη. ὅθεν καὶ τὸ ὄνομα εἴληφεν. εἰς τὸ αὐτό. οὐδ᾽ ἂν τὴν χαμεύνην ὀνομάζοιμι Σπάρτην, εἰ γε κειρίας ἔχοιμι, καὶ μὴ σπάρτιον ἐνείραιμι αὐτῇ ἐντεῖναι. ἡ δὲ χαμεύνη εὐτελής ἐστιν. ἡ δὲ κειρία, εἶδος ζώνης ἐκ σχοινίων παρεοικὸς ἱμάντι, ᾗ δεσμοῦσι τὰς κλίνας. Νεφελοκοκκυγίαν.] παρὰ τὰς νεφέλας καὶ τὸν κόκκυγα. ἔστι δὲ εἶδος ὀρνέου. χαῦνον δὲ ἀντὶ τοῦ F πλατὺ καὶ μέγιστον. τὰ γὰρ χαῦνα εἰς πλάτος ἁπλοῦται. Ἵνα καὶ τὰ Θεαγένους.] προείρηκεν ὅτι πένης ἐστὶ, ἔλεγε δὲ αὑτὸν πλούσιον. εἰσὶ δὲ ἄλλοι δύο Θεαγένεις. εἷς μὲν ὁ περὶ Ὁμήρου γράψας. ἕτερος δὲ, ὁ ἐπὶ μαλακίᾳ σκωπτόμενος. εἰς τὸ αὐτὸ λέγεται ὅτι μεγαλέμπορος τις ἐβούλετο εἶναι. περαίτης ἀλαζών. ψευδόπλουτος. ἐκαλεῖτο δὲ καπνὸς, ὅτι πολλὰ ὑπισχνούμενος οὐδὲν ἐτέλει. Εὔπολις ἐν δήμοις. Τά τ᾽ Αἰσχίνου γε ἅπαντα.] ἐστὶ πένης θρυπτόμενος καὶ αὐτὸς ἐπὶ πλούτῳ, καὶ λέγων ἑαυτὸν πλούσιον. ἦν δὲ Αἰσχίνης Σελλοῦ. ἔλεγον δὲ ἐκ μεταφο- G ρᾶς τοὺς τοιούτους, Σελλούς. καὶ τὸ ἀλαζονεύεσθαι δὲ σελλίζειν. Τὸ Φλέγρας πεδίον] ἔξωθεν ὑπακουστέον τὸν ἢ διαζευκτικὸν σύνδεσμον. βέλτιόν φησι πιστεύειν τὰ χρήματα τούτων ἐν Νεφελοκοκκυγίᾳ ἀποκεῖσθαι, ἢ εἰς τὸ Φλέγρας πεδίον. διαβάλλει δὲ αὐτὸ ὡς κἀκεῖνο πεπλασμένον ὑπὸ τῶν ποιητῶν. ἔστι δὲ τῆς Θρᾴκης πεδίον. Δίδυμος δέ φησι, διὰ τὴν ὁμοιότητα τῶν ὀνομάτων τῆς Φλέγρας καὶ τῆς Νεφελοκοκκυγίας.

BISETVS. Εὐστάθιος Φλέγρα, πόλις Θρᾴκης, ἣ καὶ Παλλήνη, περὶ ἣν Ἡρακλῆς τοὺς γίγαντας κατεπολέμησε. τοὺς δὲ γηγενεῖς καλεῖ γίγαντας. Καλλίμαχος δὲ τούτους πηλογόνους ὀνομάζει, διὰ τὸ ἐκ τοῦ πηλοῦ, A τουτέστι τῆς γῆς γενέσθαι. ὡς καὶ Ὀρφεὺς ἐν ὕμνοις μαρτυρεῖ οὕτως ᾄδων,

Οὓς καλέουσι γίγαντας ἐπώνυμον ἐν μακάρεσσιν,
Οὕνεκα γῆς ἐγένοντο, καὶ αἵματος οὐρανίοιο.

Ἀλαζονευόμενοι καθυπερηκόντισαν.
Επ. Λιπαρὸν τὸ χρῆμα τῆς πόλεως. τίς δαὶ θεὸς
Πολιοῦχος ἔσται; τῷ ξανοῦμεν τὸν πέπλον;
Πει. Τί δ' οὐκ Ἀθηναίαν ἐῶμεν πολιάδα.
Επ. Καὶ πῶς ἂν ἔτι γένοιτ' ἂν εὔτακτος πόλις,
Ὅπου θεὸς γυνὴ γεγονυῖα πανοπλίαν
Ἕστηκ' ἔχουσα, Κλεισθένης δὲ κερκίδα.
Πει. Τίς δ' αὖ καθέξει τῆς πόλεως τὸ πελαργικόν;
Επ. Ὄρνις ἀφ' ἡμῶν τοῦ γένους τοῦ περσικοῦ,
Ὥσπερ λέγεται δεινότατος εἶναι πανταχοῦ.
Ἄρεως νεοττός. Πει. ὦ νεοττὲ δέσποτα.
Επ. Ὡς δ' ὁ θεὸς ἐπιτήδειος οἰκεῖν ἐπὶ πετρῶν.
Πει. Ἄγε νυν σὺ μὲν βάδιζε πρὸς τὸν ἀέρα.
Καὶ τοῖσι τειχίζουσι παραδιακόνει.
Χάλικας παραφόρει. πηλὸν ἀποδὺς ὄργασον.
Λεκάνην ἀνένεγκε. κατάπεσ' ἀπὸ τῆς κλίμακος.
Φύλακας κατάστησαι. τὸ πῦρ ἔγκρυπτ' ἀεί.
Κωδωνοφορῶν περίτρεχε καὶ κάθευδ' ἐκεῖ.
Κήρυκα δὲ πέμψον. τὸν μὲν εἰς θεοὺς ἄνω.
Ἕτερον δ' ἄνωθεν αὖ παρ' ἀνθρώπους κάτω.
Κἀκεῖθεν αὖθις παρ' ἐμέ. Επ. σὺ δέ γ' αὐτοῦ μένων
Οἴμωζε παρ' ἐμ'. Πε. ἴθ' ὦ 'γάθ' οἷ πέμπω σ' ἐγώ.
Οὐδὲν γὰρ ἄνευ σοῦ τῶνδ' ἃ λέγω πεπράξεται.
Ἐγὼ δ' ἵνα θύσω τοῖσι καινοῖσι θεοῖς,
Τὸν ἱερέα πέμψοντα τὴν πομπὴν καλῶ.
Παῖ, παῖ, τὸ κανοῦν αἴρεσθε καὶ τὴν χέρνιβα.

Superbientes, & postea iaculati sunt.
EP. Formosa res ciuitatis, quis autem Deus
B *Ciuitatem habens erit, cui diuidemus vestem?*
PI. Quid autem non Mineruam sinamus ciuitatem habens?
EP. Et quomodo adhuc fiet bene ordinata ciuitas,
Vbi Deus mulier facta, armaturam
Stetit habens, Clisthenis autem naniculam?
PI. Quis autem habebit ciuitatis pelargicum?
EP. Auis à nobis genere Persico,
Qui dicitur grauissimus esse vbiq.
C *Martis pullus. PI. O pulle domine.*
EP. Valde autem facilis habitare in petris.
PI. Age, tu quidem vade ad aerem,
Et facientibus murum administra,
Lapillos affer, lutum spoliatus concita,
Peluim porta, descende à scala,
Custodes constitue, ignem absconde semper.
Tintinabulum ferens circumcurre, & dormi illic.
Praeconem autem mitte, hunc quidem in deos
D *supra,*
Alterum autem desuper rursus ad homines deorsum,
Et illinc rursus ad me. EP. Tu autem hic manens,
Lugebis apud me. PI. Vade ô bone, quò mitto te ego.
Nihil enim sine te horum quae dico fiet.
Ego autem vt sacrificem nouis deis,
E *Sacerdotem mittentem pompam voco,*
Famule famule, canistrum eleua & vas.

Σχόλια. Καθυπερηκόντισαν] ἴσον εἰπεῖν κατεπολέμησαν, φησὶ τοῖς ἀλαζονεύμασιν ὑπερέβαλον αὐτούς.

BISETVS. Σουίδας ταῦτα οὕτως ἑρμηνεύει, καθυπερηκόντισαν, ὑπερεβάλοντο. ἡ δὲ τούτων ἔννοια, αὕτη. ἵνα, εἴτε ὅπου οἱ θεοὶ τοὺς γίγαντας ἄγαν ἀλαζονευομένους, καὶ ἀσεβοῦντας ὑπερέβαλον, ἐνίκησαν, κατεπολέμησαν. ἀλλ' ἴσως ἀντὶ τοῦ ἀλαζονευόμενοι χαριέστερον ἀλαζονευομένους. εἰ δὲ ἡ τοῦ στίχου γραφὴ καλῶς ἔχει. F τοῦτο παρ' ὑπόνοιαν κωμικῶς εἴρηται, οἱ θεοὶ τῇ ἑαυτῶν ἀλαζονείᾳ τοὺς γίγαντας ὑπερέβαλον.

Σχόλια. Τῷ ξανοῦμεν τὸν πέπλον.] τῇ Ἀθηνᾷ πολιάδι οὔσῃ, πέπλος ἐγίνετο παμποίκιλος, ὃν ἀνέφερον ἐν τῇ πομπῇ τῶν Ἀθηναίων. Τί οὐκ Ἀθηναίαν.] ὅτι τὴν θεὸν οὕτως ἔλεγον Ἀθηναίαν. διὸ καὶ τὴν πολῖτιν, οὐκ Ἀθηναίαν, φεύγοντες τὴν ὁμωνυμίαν, ἀλλ' ἀστὴν. G φαίνονται μέντοι καὶ τὴν πολῖτιν Ἀθηναίαν λέγοντες πανταχοῦ. Καὶ πῶς ἂν ἔτι γένοιτο.] ἐὰν τὴν Ἀθηνᾶν στήσωμεν πολιοῦχον γυναῖκα οὖσαν. Τῆς πόλεως τὸ πελαργικόν] ὅτι Ἀθήνησι τὸ πελαργικὸν τεῖχος ἐν τῇ ἀκροπόλει, οὗ μέμνηται Καλλίμαχος. Τυρσηνῶν τείχισμα Πελαργικόν.

BISET. Διονύσιος Ἁλικαρνασσεὺς ἐν τῇ ῥωμαϊκῆς ἀρχαιολογίας πρώτῳ, τούτου τοῦ τείχους μέμνηται. Μυρσίλος φησὶ τοὺς Τυρρηνοὺς, ἐπεὶ τῆς ἑαυτῶν ἐξέλιπον, ἐν τῇ πλάνῃ μετονομασθῆναι Πελαργοὺς, τῶν ὀρνέων τοῖς καλουμένοις πελαργοῖς εἰκασθέντας, ὡς κατ' ἀγέλας ἐφοίτων εἴς τε τὴν Ἑλλάδα, καὶ τὴν βάρβαρον. καὶ τοῖς Ἀθηναίοις τὸ τεῖχος τὸ περὶ τὴν ἀκρόπολιν, τὸ Πελασγικὸν καλούμενον, τούτους περιβαλεῖν.

Σχόλια. Ὄρνις ἀφ' ἡμῶν.] μήποτε νῦν τὸν ἀλεκτρυόνα λέγει. Μῆδος γὰρ λέγεται. Ἄρεως δὲ νεοττὸς, ἐπεὶ ἄλκιμος καὶ μάχιμος. Ἄρεως νεοττός.] νεοττοί τινες ἀλεκτρυόνες λέγονται ὡς καὶ μηδικοί. ἴσως δέ τισι καλὸς παῖς νεοττὸς τοὔνομα, πρὸς ὃν παίζει. ὦ νεοττὲ δέσποτα. οὕτω Δίδυμος. εἰς τὸ αὐτό. ἐπεὶ μάχιμος ὁ ἀλεκτρυών. φασὶ δὲ αὐτὸν ἄνθρωπον ὄντα κατασταθῆναι ὑπὲρ Ἄρεως ἐν τῷ οἴκῳ Ἡφαίστου, τηρεῖν αὐτοῦ τὴν ἄφιξιν διὰ τὴν μοιχείαν τῆς Ἀφροδίτης. ὁ δὲ ἀπεκοιμήθη. φωραθεὶς οὖν ὁ Ἄρης, εἰς τὸ ὄρνεον αὐτὸν μετέβαλεν. ὁ δὲ μεμνημένος, τὴν ὥραν ἐκείνην ἄρχεται ᾄδειν, τὴν τοῦ ἡλίου προσαισθόμενος ἄνοδον καθ' ἣν ὁ Ἥφαιστος εἰώθει ἐπανήκειν οἴκαδε. Ὡς δ' ὁ θεὸς ἐπιτήδειος.] Δίδυμός φησι τὸ πελαργικὸν τεῖχος ἐπὶ πετρῶν κεῖσθαι. ἄλλως. τὸ πελαργικὸν καὶ αὐτὸ τραχύ. ἀλλὰ διὰ τί ἐπιτήδειος ἐπὶ πετρῶν οἰκεῖν εἴπερ ἀλεκτρυών ἐστιν. εἰ μὴ τὸν πελαργὸν, ἅμα παίζων καὶ πρὸς τὸ ὄνομα, ἀλλὰ διατί περσικὸν, ἢ Ἄρεος νεοττός.

Ἀπο-

Απεδ[ι]δες ὀργ[ι]ασον.] κυρίως πίστωσαι. ὄργια γὰρ παρ' Ἴωσιν ἡ πίστις. σημαίνει δὲ καὶ τὸ σπαργᾶν ὀργίζεσθαι. νῦν δὲ ἀντὶ τοῦ μάλαξον. Εὔπολις Προσπαλτίοις. ἢ πηλὸν ὀργιάζειν τινά. Καταβαίνε ἀπὸ τῆς κλίμακος.] τοῦτο ἐκθλίψιν πέπονθε τῆς καταβαίνειν δευτέρου ἀορίστου. οἱ γὰρ ἐν χρήσει τοῦτο ἐποίουν, ἵνα καὶ τὸ πίθον.

Bisetus. Δέον εἰπεῖν ἀνάβαινε, καὶ καταβαίνε, ἢ τι, κατάπεσε, ἵνα ἐκτραχηλισθῇς. τοῦτο δὲ παιδιᾶς, καὶ γέλωτος χάριν εἴρηται.

Σχόλια. Τὸ πῦρ ἐγκρυπτ' ἀεί.] ἵνα ᾖ αὐτό, εἰ χρεία γένοιτο, φυλακῆς. εἰώθασι γὰρ ἐν ταῖς φυλακαῖς πυρσεύειν. Κωδωνοφορῶν.] οἱ περίπολοι τὰς φυλακὰς περισκοποῦντες ἐρχόμενοι ἐπὶ τοὺς φύλακας, κώδωνας εἶχον. καὶ διὰ τούτων ἐψόφουν πειράζοντες τὸ καθεύδοντας, ἵνα οἱ φυλάττοντες ἀντιφθέγγωνται. μήποτε δὲ παρακωμῳδεῖ τὸν Εὐριπίδου Παλαμήδην οὐ πρὸ πολλοῦ

A δεδιδαγμένον. Εἰς θεοὺς ἄνω.] ἐπεὶ μεταξὺ γῆς καὶ οὐρανοῦ ὁ ἀήρ. Οἰμώζετε παρ' ἐμοί.] παίζων τὸ τό θαστιν, ἀντὶ τοῦ αὐτοῦ παρ' ἐμοί. Τὴν χέρνιβα.] τὸ ὕδωρ. Δημοσθένης καὶ χερνίβων καὶ κανῶν ἀψάμενον. εἴη δ' ἂν ἀπὸ εὐθείας τῆς χέρνιψ.

Bisetus. Χέρνιψ, παρὰ τὸ χερνίπτεσθαι, τουτέστι τὰς χεῖρας, εἴτε χεῖρας νίπτεσθαι. λέγεται δὲ καὶ χέρνιψ παροξυτόνως, ὡς παρὰ Σοφοκλεῖ ἐν Οἰδίποδι Τυράννῳ,

Κοινὸν ποιεῖσθε, μήτε χέρνιβας νέμειν.

B καὶ ὀξυτόνως χερνίψ, ὡς φησὶν Εὐστάθιος. χέρνιβον δὲ τὸ ἐν συνηθείᾳ χειρόνιπτρον, ἤγουν τὸ ὑποδεκτικὸν τοῦ ὑγροῦ ἀγγεῖον. ὅπερ Ὅμηρος λέβητα εἴωθε καλεῖν. παρ' ὃ καὶ χέρνιβα τὸ κατὰ χειρῶν διδόμενον ὕδωρ λέγεται. ἐν τοῖς κάτω ὁ ποιητὴς τὴν χέρνιβα παροξυτόνως πολλάκις λέγει, εἴπερ ἡ γραφὴ καλῶς ἔχει.

ΣΤΡΟΦΗ κώλων ζ.

Χο. Ὁμορροθῶ, συνθέλω.
Συμπαραινέσας ἔχω,
Προσόδια μεγάλα
Σεμνὰ προσιέναι θεοῖσιν,
Ἅμα δὲ προσέτι χάριτος ἕνεκα,
Πρόβατόν τι θύειν.
Ἴτω ἴτω δὲ Πυθιὰς βοὰ τῷ θεῷ.
Συναυλείτω δὲ Χαῖρις ᾠδάν.

C

VERSIO membrorum septem.

CH. Simul remigo, simul volo,
Simul admonens habeo
Introitus magnos
Castos adire deis.
Simul autem adhuc gratiæ causa,
Ouem aliquam sacrificare.
Eat eat autem, Pythias clamat Deo,
D Simul cantet autem Charis cantum.

ΑΛΛΟΙΟΣΤΡΟΦΑ.

ΠΕΙΣΘΕΤΑΙΡΟΣ, ΕΠΟΨ, ΙΕΡΕΥΣ.

Πε. Παῦσαι σὺ φυσῶν. Ἡράκλεις, τουτὶ τί ἦν;
Τουτὶ μὰ Δί' ἐγὼ πολλὰ δὴ καὶ δείν' ἰδών,
Οὔπω κόρακ' εἶδον ἐμπεφορβιωμένον.
Επ. Ἱερεῦ, σὸν ἔργον, θῦε τοῖς καινοῖς θεοῖς.

ALIA VERSIO.

PISTHETERUS, EPOPS, SACERDOS.

E PI. Cessa tu flans, Hercules, hoc quid erat?
Hoc per Iouem ego multa iam & grauia videns,
Nondum coruum vidi frenatum.
EP. sacerdos, tuum opus, sacrifica nouis deis.

Σχόλια. Ὁμορροθῶ.] κορωνὶς καὶ εἴσθεσις μετὰ χοροῦ καὶ στροφὴ κώλων διαφόρων θ. ὧν τὸ α΄ περίοδος ἐξ ἰαμβικῆς βάσεως καὶ τροχαϊκῆς καταληκτικῆς, τὰ ἑξῆς τρία τροχαϊκά. τὸ μὲν ἑφθημιμερές, τὸ δὲ πενθημιμερές. τὸ δ' ἀκατάληκτον δίμετρον ὡς καὶ τὸ ή. τὸ ς ἀναπαιστικὴ βάσις. τὸ ζ ἰαμβικὸν ἑφθημιμερὲς καὶ τὸ θ. τινὲς δὲ προστιθέασι καὶ ᾠδὰν ὑφ' ὃ κορωνίς.

Bisetus. Ἐν τούτῳ τῷ στίχων ἀριθμῷ, διαιρέσει, καὶ μετρήσει τὰ σχόλια οὐ συνᾴδει τοῖς τοῦ ποιητοῦ μέτροις. ἴσως δὲ καὶ ταῦτα τὰ μέτρα, καὶ τὰ σχόλια οὕτω γραπτέον.

Ὁμορροθῶ, συνθέλω.
Συμπαραινέσας ἔχω,
Προσόδια μεγάλα
Σεμνὰ προσιέναι θεοῖσιν.
Ἅμα δὲ προσέτι χάριτος ἕνεκα
Πρόβατόν τι θύειν.
Ἴτω, ἴτω δὲ Πυθιὰς
Βοὰ τῷ θεῷ.
Συναυλείτω δὲ Χαῖρις ᾠδάν.

Ὁμορροθῶ.] κορωνὶς καὶ εἴσθεσις μετὰ χοροῦ, καὶ στροφὴ κώλων διαφόρων ἐννέα. ὧν τὸ α. περίοδος ἐξ ἰαμβικῆς βάσεως, καὶ τροχαϊκῆς καταληκτικῆς. τὰ ἑξῆς δύο, τροχαϊκά, τὸ μὲν, ἑφθημιμερές. τὸ δὲ, πενθημιμερές. τὸ δ. ἀκατάληκτον δίμετρον, ὡς καὶ τὸ ε. τὸ ς, ἀναπαιστικὴ βάσις, ὡς καὶ τὸ ή. τὸ ζ. ἰαμβικὸν ἑφθημιμερές. καὶ τὸ θ. τινὲς δὲ προστιθέασι καὶ ᾠδὰν, ὑφ' ὃ κορωνίς.

Σχόλια. Ὁμορροθῶ.] Σοφοκλέους ἐκ Πηλέως, ἀντὶ τοῦ τὸ αὐτὸ φρονῶ. ὁμορροθεῖν δὲ κυρίως, τὸ ἅμα καὶ συμφώνως ἐρέττειν. νῦν δὲ. ἀντὶ τοῦ συνεργῶ τῇ εἰς θεοὺς θυσίᾳ. Συμπαραινέσας ἔχω.] ἀντὶ τοῦ συμπαρῄνεσα. G Προσόδια μεγάλα.] ἀπὸ τῶν προσόδων, οὕτω δὲ ἔλεγον τὰς προσαγομένας τοῖς θεοῖς θυσίας. καὶ προσόδια τὰ εἰς ταύτην ὑμνοῦς τῶν θεῶν ποιήματα παρὰ τῶν λυρικῶν λεγόμενα. Πυθιὰς βοᾷ.] χοραύλης, αὐλητὰς, εἴρηται ὅτι καὶ ἐπὶ ταῖς θυσίαις ηὔλουν. (Bisetus. Τὰ παλαιὰ σχόλια οὕτω γραπτέον δοκεῖ. Πυθιὰς βοᾷ.] πυθιάδες βοαὶ. καὶ αὐλήσεις. αὐλήσεις δὲ, αἱ μετ' αὐλοῦ γινόμεναι καὶ ᾠδαὶ ᾠδαί.) ἄλλως

ἡ μετ' αὐλοῦ γινομένη βοή. τὸ πύθιον μέλος. ἔνθεν καὶ πυθαυλὴς γίνεται. οὕτω δὲ ἔλεγον τὸν παιᾶνα, καὶ τὸ ἐπὶ νικίαις. Χαῖρις φυσᾶν.] ὡς αὐτομάτως ἐπιόντος αὐτοῦ τῇ εὐωχίαις, ἦν δὲ ὁ Χαῖρις ἐπὶ ψιθαρῳδὸς καὶ γέγονεν αὐλητής. μνημονεύει δὲ αὐτοῦ καὶ Φερεκράτης ἐν Ἀγρίοις. φὺρ' ἴδ' ὡ κιθαρῳδὸς Χαῖρις κάκιστος ἐγένετο Πεισίου, Μέλης. μετὰ Μέλητα ἦν, εἰχ' ἀτρέμας ἐγ' ᾠδὰ Χαῖρις. ἔστι καὶ ἕτερος αὐλητὴς οὗ μνημονεύει Κρατῖνος ἐν Νεμέσει. Παῦσαι σύ.] ἐκθέσεις συστηματικὴ ἀμοιβαίας ἐξ περιόδους ἔχουσα. A οἱ δὲ πρῶτος στίχοι τρεῖς ἰαμβικοὶ ἀκατάληκτοι, καὶ ἐν ἐκθέσει ἕτερος ὅμοιος. ὑφ' ὃν παράγραφος. ἔξεισι δὲ ἱερεὺς καὶ αὐλητὴν ἔχων. Οὔπω κόραχ' εἶδον.] ἴσως ὡς μέλανα σκώπτει. ἐοικε δ' ὁ αὐλητὴς διεσκευάσθαι ὡς κόρακα. φορβεῖον δὲ ἐστι, τὸ περικείμενον τῷ στόματι τοῦ αὐλητοῦ δέρμα, ἵνα μὴ σχισθῇ τὸ χεῖλος αὐτοῦ. Εμπεφορβειωμένον.] φορβειὰ ἐστιν ὁ χαλινός. Ἡρωδιανὸς ἐν τῇ βίβλῳ φησὶν τῆς Ὀλυμπιακῆς προσῳδίας, τὸ φορβειὰ διὰ τῆς ει διφθόγγου γράφεται καὶ ὀξυτόνως.

B

ΣΤΡΟΦΗ κώλων ί.

Ιερ. Δράσω ταῦτ'. ἀλλὰ ποῦ 'σθ' ὁ τὸ κανοῦν ἔχων;
Εὔχεσθε τῇ Ἑστίᾳ τῇ ὀρνιθείῳ
Καὶ τῷ ἰκτίνῳ τῷ ἑστιούχῳ
Καὶ ὄρνισιν ὀλυμπίοις καὶ ὀλυμπίῃσιν,
Πᾶσι καὶ πάσῃσιν.
Ω Σουνιέρακε χαῖρ' ἄναξ πελαργικέ.
Καὶ κύκνῳ πυθίῳ καὶ δηλίῳ.
Καὶ Λητοῖ ὀρτυγομήτρᾳ.
Καὶ Ἀρτέμιδι Ἀκαλανθίδι.
Οὐκέτι κολαινίς, ἀλλ' ἀκαλανθὶς Ἄρτεμις.

VERSIO membrorum decem.

SA. Faciam hæc. sed ubi canistrum habens?
Supplicate Vestæ auili,
Et milno vestem habenti
Et auibus Olympijs, & Olympijs,
C Omnibus & omnibus.
O Sunierace salue rex Pelasgice.
Et cygno Pythio & Delio,
Et Latonæ perdicis matri,
Et Dianæ Acalanthidi.
PI. Non amplius colenis, sed acanthis Diana.

Σχόλια. Δράσω ταῦτ' ἀλλά.] ἡ δευτέρα περίοδος κώλων καὶ στίχων ἐστὶ δέκα. ὧν ὁ πρῶτος ἰαμβικὸς τρίμετρος ἀκατάληκτος. τὸ β ἀντισπαστικὸν τρίμετρον ἀκατάληκτον ἐξ ἐπιτρίτων καὶ σπονδείου. τὸ γ ὅμοιον ἐξ ἐπιτρίτων καὶ αὐτὸ τρίμετρον βραχυκατάληκτον. τὸ τέταρτον ὅμοιον δίμετρον ἀκατάληκτον. τὸ ε καὶ ς δίμετρα βραχυκατάληκτα τροχαϊκά. ὁ ζ ὅμοιος τῷ α', τὸ β ἔχων πόδα χορεῖον. τὸ η ὅμοιον τῷ γ. τὸ θ ἀναπαιστικὸν ἑφθημιμερές. τὸ ι ἰωνικὸν ἀπὸ μείζονος τρίμετρον βραχυκατάληκτον. ἐν εἰσθέσει δὲ ἰαμβικὸς τῷ πρώτῳ ὅμοιος ὑφ' ὃν παράγραφος. Τῇ Ἑστίᾳ τῇ ὀρνιθείᾳ.] μιμεῖται τὰ τῶν ἀνθρώπων ἤθη. καὶ γὰρ ἔθος ἀπὸ τῆς Ἑστίας ἀπάρχεσθαι ἐν ταῖς θυσίαις. ἔμιξε δὲ τὰ ἐπίθετα τῶν θεῶν τοῖς ὀρνίθοις. Ἑστίᾳ ὀρνιθείῳ καὶ ἰκτίνῳ ἑστιούχῳ. Ω Σουνιέρακε] ὁ περὶ ὀρνίθων ὁ λόγος, ἀντὶ τοῦ Σουνιάρατε. φαίνεται δὲ ὁ Ποσειδῶνος τὸ ἐπίθετον. καὶ Ἱππίου. ὦ Δελφίνιαν Μεδέων Σουνιάρατε. περὶ τὸ ἐν Σουνίῳ ἄκρῳ τῆς Ἀττικῆς τὰς εὐχὰς καὶ τὰς ἀρὰς δέχεσθαι. πελαργικὲ δὲ, ἀντὶ τοῦ D πελασγικέ. ἅμα δὲ ἴσως καὶ παρὰ τὸν πελαργόν. καὶ ὅτι ὁ Ποσειδῶν πελάγους ἔφορος. Οὐκέτι κολαινίς] παρὰ τὴν τῆς φωνῆς ὁμοιότητα Ἀρτέμιδι ἐπώνυμον ἡ κολαινίς. Μεταγένης δὲ ἐν Αὔραις ἡ κολαινὶς Ἄρτεμις. ἱερεὺς γὰρ ὤν, τετύχηκα τῆς κολαινίδος. φησὶ δὲ Ἑλλάνικος. Κόλαινον Ἑρμοῦ ἀπόγονον, ἐκ μαντείου ἱερὸν αὐτῆς ἱδρύσασθαι κολαινίδος, καὶ Φανόδημος ἐν τῇ δ. Εὐφρόνιος δέ φησιν ὅτι ἐν Ἀμαρύνθῳ ἡ κολαινίς. διὰ τὸ τὸν Ἀγαμέμνονα θῦσαι αὐτῇ ἐκ τοῦ κριοῦ κόλον. ἐπὶ ταύτης δὲ Καλλίμαχος λέγει. τῇ ὑπ' Ἀγαμέμνων, ὡς ὁ μῦθος εἴσατο. τῇ καὶ λέπυρα καὶ μόνορα θύεται. ἔτι δὲ μήποτε ἐγκαθίσασαι, οἱ δὲ Μυρρινούσιοι, κολαινίδα ἐπονομάζουσι τὴν Ἄρτεμιν. ὥσπερ Πειραιεῖς ἐπὶ τὴν μουνυχίαν. Φιλιάται δὲ τὴν Βραυρωνίαν. Ἀκαλανθὶς Ἄρτεμις.] ἡ κύων. παρὰ τὸ ἀκάλλειν ἴσως E τοὺς γνωρίμους, ὑλακτεῖν δὲ τοὺς ξένους. ὅθεν κυνὶ προσαγορεύει αὐτὴν Ἀριστοφάνης ἐν Εἰρήνῃ ἀπειργομένην τυφλὰ τίκτειν. ἔστι δὲ καὶ εἶδος ὀρνέου ἡ ἀκαλανθίς.

ΣΤΡΟΦΗ κώλων ζ'.

Ιερ. Καὶ φρυγίλῳ Σαβαζίῳ.
Καὶ στρουθῷ μεγάλῃ,
Μητρὶ θεῶν καὶ ἀνθρώπων.
Δέσποινα Κυβέλη, στρουθέ, μῆτερ Κλεοκρίτου.
Διδόναι Νεφελοκοκκυγιεῦσιν,
Ὑγίειαν, καὶ σωτηρίαν,
Αὐτοῖσι καὶ Χίοισιν.
Πει. Χίοισιν ἥσθην πανταχοῦ προσκειμένοις.

VERSIO membrorum septem.

F SA. Et phrygilo Sabazio,
At passeri magnæ
Matri deorum & hominum;
Regina Cybele passer mater Cleocrinthi.
Dare illis auibus
sanitatem & salutem,
Ipsis & Chijs.
G PI. Chijs lætatus sum ubiq; adiacentibus.

Σχόλια. Καὶ φρυγίλῳ.] ἡ γ περίοδος κώλων καὶ στίχων ἐστὶν ἑπτά. ὧν τὸ α' χοριαμβικὸν δίμετρον ἀκατάληκτον. τὸ β δακτυλικὸν πενθημιμερές. τὸ γ ἑφθημιμερές. τὸ δ ἰαμβικὸν τρίμετρον ἀκατάληκτον. τὸ ε ἀναπαιστικὸν δίμετρον ὑπερκατάληκτον ἔχον τὸν β πόδα τρίβραχυν. εἰ δὲ βούλει ἰωνικὸν ἀπ' ἐλάττονος, τρίμετρον καταληκτικὸν ἐκ παίωνος. τὸ ς ἀναπαιστικὸν δίμετρον ἀκατάληκτον. τὸ ζ ἰαμβικὸν ἑφθημιμερές. ἐν εἰσθέσει ἰαμ-

ἴαμβος τρίμετρος ἀκατάληκτος, ὑφ' ὃν παράγραφος. Καὶ φρυγίλῳ σαβαζίῳ] παίζει πρὸς τὸ ὄνομα ἐπεὶ οἱ Φρύγες τὸν Σαβάζιον τιμῶσι. τίς δ' ἐστιν οὗτος ὁ θεὸς ὁ Ἡρακλεώτης περὶ Ἡρακλείας ἐν τῷ ιβ φησί. φαίνεται γὰρ ἐξ ὧν εὑρίσκομεν συλλογιζόμενοι πολλαχόθεν ὅτι Διόνυσος καὶ Σαβάζιος εἷς ἐστι θεός. τυχεῖν δὲ τῆς προσηγορίας ταύτης παρὰ τὸν γινόμενον περὶ αὐτὸν θειασμόν. τὸ γὰρ εὐάζειν, οἱ βάρβαροι σαβάζειν φασίν. ὅθεν καὶ τῶν Ἑλλήνων τινὲς ἀκολουθοῦντες τὸν εὐασμὸν σαβασμὸν λέγουσιν. εἰς τὸ αὐτό. παίζει πρὸς τὸ ὄνομα. ἐπεὶ Φρύγες τὸ εὐάζειν σαβάζειν φασίν. ἐκ τούτου Σαβάζιον τὸν Διόνυσον. σάβους δὲ ἔλεγον, καὶ τοὺς ἀφιερωμένους αὐτῷ τόπους. καὶ τοὺς βάκχους τοῦ θεοῦ. ὁ αὐτὸς δὲ Ὕας καὶ Εὔιμος καλεῖται. ἔστι δὲ καὶ εἶδος ὄρνεου, ὃ καλεῖται φρυγίλος. παρὰ τοῦτο οὖν ἔπαιξε τὸν Διόνυσον ὀρνίθειον φάσκων τιμᾶσθαι. ἄλλως. ἐπεὶ Φρυγῶν ὁ θεός, καὶ ἐν ὄρνεις τὸν Φρύγα, τὸν αὐλητῆρα, τὸν Σαβάζιον. Καὶ στρουθῷ μεγάλῃ.] ὅτι καὶ ἐπὶ τῆς στρουθοκαμήλου τὸ μεγάλη προστιθέασιν. ἔπαιξε δὲ διὰ τὸ μέγεθος τῇ Ῥέᾳ ταύτην προσεικάσας. Κυβέλη.] Κυβέλην φασὶ τὴν Ῥέαν, παρὰ τὰ Κύβελα ὄρη. ὀρεία γὰρ ἡ θεός. διὸ καὶ ἐποχεῖται λεόντων ζεύγει. τὸ δὲ μῆτερ Κλεοκρίτου, παρ' ὑπόνοιαν ἐπήγαγεν, βουλόμενος αὐτὸν διαβάλλειν ὡς στρουθόποδα, τουτέστι μεγαλόπουν. ἐκωμῳδεῖτο δὲ ὡς

A ξένος, καὶ τάχα ὑποκριτής. νῦν δὲ ἐμφαίνεται, ὅτι καὶ τὴν ὄψιν στρουθώδης. ὁ δὲ Δίδυμος μητέρα Κλεοκρίτου, ὅτι ὡς γυναικίας καὶ κίναιδος κωμῳδεῖται. ἐν δὲ τοῖς μυστηρίοις τῆς Ῥέας μαλακοὶ πάρεισι. καὶ ἴσως ἕτερος ἂν εἴη τοῦ παρ' Εὐπόλιδος ἐν δήμοις καὶ κόλαξι. Στρουθὲ μῆτερ] Ἡρωδιανός ἐν τῷ, βάσκ' ἴθι ἶρι ταχεῖα τόνδ' εἰπεῖν μῦθον ἐνίσπε, ἐπιμερισμοῖς φησὶ τὸ χαίρειν λέγειν βαρυνόμενον Ἀττικὴν στροῦθος, ὁμοίως καὶ ἐν τῷ ἑκκαιδεκάτῳ τῆς καθόλου λέγων καὶ τρυγόνα μεμνῆσθαι ἐν δευτέρῳ περὶ Ἀττικῆς προσῳδίας. Χίοισιν ἅμα] καὶ τοῦτο ἀφ' ἱστορίας B εἴληφεν. ηὔχοντο γὰρ Ἀθηναῖοι κοινῇ ἐπὶ τῶν θυσιῶν ἑαυτοῖς τε καὶ Χίοις, καθάπερ Θεόπομπος ἐν τῷ δωδεκάτῳ τῶν Φιλιππικῶν φησὶν οὕτως. οἱ δὲ πολλοὶ τοῦ ταῦτα πράττειν ἀπεῖχον. ὡς τὰς εὐχὰς καὶ περὶ ἐκείνων καὶ σφῶν αὐτῶν ποιοῦντο. καὶ ποιοῦντες ἐπὶ ταῖς θυσίαις ταῖς δημοτελέσιν ηὔχοντο τοῖς θεοῖς Χίοις διδόναι τ' ἀγαθὰ καὶ σφίσιν αὐτοῖς. λέγει δὲ περὶ τῆς Χίου καὶ Εὔπολις ἐν πόλεσιν. αὕτη Χίος. καλὴ πόλις. πέμπει γὰρ ὑμῖν. ναῦς μακράς. ἄνδρας τε ὅταν δεήσῃ. καὶ τἄλλα πειθαρχεῖ καλῶς. ἄπληκτος ὥσπερ ἵππος. τὰ αὐτὰ C τοῖς Θεοπόμπου καὶ Θρασύμαχός φησιν. ἐν τῇ μεγάλῃ τέχνῃ. ὁ δὲ Ὑπερείδης, ἐν τῷ χαλκῷ. καὶ ὅτι Χῖοι ηὔχοντο Ἀθηναίοις, δεδήλωκεν.

ΣΤΡΟΦΗ, κώλων η'.

Ἱερ. Καὶ ἥρωσι καὶ ὄρνισι καὶ ἡρώων παισὶν D
Καὶ πορφυρίωνι. καὶ πελεκᾶντι.
Καὶ πελεκίνῳ. καὶ φλέξιδι.
Καὶ τέτρακι. καὶ ταῷνι.
Καὶ ἐλεᾷ. καὶ βάσκᾳ.
Καὶ ἐλασᾷ. καὶ ἐρῳδιῷ.
Καὶ καταρράκτῃ καὶ μελαγκορύφῳ,
Καὶ αἰγιθάλλῳ.

VERSIO MEMBRORUM octo.

SAC. *Et heroibus & auibus, & heroum filijs,*
Et porphyrioni & pelecanti,
Et pelecinio & phlexidi,
Et tetraci & pauoni,
Et elea & basca,
Et elasa & erodio,
Et cataracta & melanchorypho,
Et agithallo.

E

Σχόλια. Καὶ ἥρωσι καὶ ὄρνισι.] ἡ τετάρτη περίοδος, κώλων καὶ στίχων ὀκτώ. ὁ πρῶτος ἀντισπαστικὸς τετράμετρος βραχυκατάληκτος. ὁ δεύτερος ἰωνικὸς ἀπὸ μείζονος τρίμετρος καταληκτικός. τὸ γ' ὅμοιον δίμετρον ὑπερκατάληκτον ἐκ παίωνος. τὸ δὲ ὅμοιον δίμετρον ἀκατάληκτον. τὸ πέμπτον χοριαμβικὸν δίμετρον καταληκτικόν. εἰ δὲ βούλει δακτυλικὸν τετράμετρον. τὸ ἕκτον ὅμοιον δακτυλικὸν ἑφθημιμερές. τὸ ἕβδομον χοριαμβικὸν τετράμετρον καταληκτικόν. τὸ ὄγδοον, ἰαμβικὸν πενθημιμερές. ὑφ' ὃ παράγραφος. Καὶ πελεκᾶντι.] μήποτε πελέκας προσεκτέον ὡς ἄλιβας. ὁ δὲ πελεκῖνος τῷ πελεκᾶντι προσερρίπτεται. πελεκᾶν μὲν τοῦ πελεκᾶνος κοινῶς. πελεκᾶς δὲ πελεκᾶντος, Ἀττικῶς. πελεκᾶς πελεκᾶ δωρικῶς. Καὶ φλέξιδι] ἐπισκεπτέον περὶ τούτων ἐκ τῆς τῶν ζῴων ἱστορίας. τίς ὁ τέτραξ καὶ φλέξις, καὶ ἐλασᾶς. ὁ γὰρ βάσκα καὶ καταρράκται εἰσὶ παρὰ Καλλιμάχῳ ἀναγεγραμμένοι. καὶ ἀντὶ ἐπιφωλέου, ἐπιφώλιος. ὁ δὲ αἰγίθαλος, οὔτ' ἐπὶ τρεῖς ἀλπιγξ. ἔστι δὲ ὑπὸ τὸν ἱέρακα. οὕτω δὲ ὠνομάσθη ὥς τινες, παρὰ τὸ ἐξ αἰγὸς τεθηλακέναι.

F

ΣΤΡΟΦΗ στίχων ϛ'.

Ἱε. Παῦ' ἐς κόρακας. παῦσαι καλῶν. ἰοὺ ἰού.
Ἐπὶ ποῖον ὦ κακόδαιμον ἱερεῖον καλεῖς
Ἁλιαιέτους καὶ γῦπας; οὐχ ὁρᾷς ὅτι
Ἰκτῖνος εἷς ἂν τουτογὶ οἴχοιθ' ἁρπάσας;
Ἄπελθ' ἀφ' ἡμῶν καὶ σὺ καὶ τὰ στέμματα.
Ἐγὼ γὰρ αὐτὸς τουτονὶ θύσω μόνος.

VERSIO MEMBRORUM sex.

PI. *Cessa ad coruos, cessa vocans, heu, heu.*
In quale ô infelix sacrificium vocas?
G *Aquilas & vultures? non vides quòd*
Miluius vnus hoc abiret rapiens?
Abi à nobis & tu & corona,
Ego enim ipse hoc sacrificabo solus.

Σχόλια. Παῦ' ἐς κόρακας] ἡ ε' περίοδος ἐκ στίχων ἐστὶν ἰαμβικῶν τριμέτρων ἀκαταλήκτων ϛ', ἐπὶ τῷ τέλει

παράγραφος. Εἰ ποῖον] τῆς εἰς διαβολὴν τοῦ χορηγοῦ, ὅτι μικρὸν ἔδωκεν ἱερεῖον. Αλιαιέτος] εἶδος ἀετοῦ ὁ ἁλιαίετος ἐν θαλάσσῃ διαιτώμενος. Απελθ' ἀφ' ἡμῶν καὶ

A σὺ καὶ τὰ στέμματα.] πρὸς τὸν ἱερέα λέγει, ὡς μικροῦ ὄντος τοῦ ἱερείου, καὶ δυναμένου καὶ αὐτοῦ πρὸς τὴν θυσίαν λειτουργῆσαι.

ΣΤΡΟΦΗ κώλων η.

Ιερ. Εἶτ' αὖθις αὖτ' ἄρα σοι
Δεῖ με δεύτερον μέλος
Χερνίβι θεοσεβὲς
Οσιον ἐπιβοᾶν. καλεῖν δὲ
Μάκαρας ἕνα τινὰ μόνον. εἴπερ
Ικανὸν ἕξετ' ὄψον.
Τὰ γὰρ παρόντα θύματ' οὐδὲν ἄλλο πλὴν
Γένειόν τ' ἐστί, καὶ κέρατα.

VERSIO MEMBRORUM OCTO.

B SAC. Postea rursus iterum igitur tibi,
Oportet me secundum cantum
Gutturnio diuinum
Sanctum inuocare: vocare autem
Beatos vnum quendam solum, siquidem
Sufficiens habebitis obsonium.
Hæc enim præsentia sacrificia, nihil aliud præter
Barbáque sunt & cornua.

Σχόλια. Εἶτ' αὖθις αὖτ' ἄρα σοι.] ἡ ς περίοδος ἐν ἐκθέσει κώλων ἐστὶν ὀκτώ. τὸ α χοριαμβικὸν δίμετρον καταληκτικόν. τὸ β τροχαϊκὸν ἑφθημιμερές. τὸ γ, δακτυλικὸν δίμετρον τοῦ α ποδὸς προκελευσματικοῦ. τὸ δ τροχαϊκὸν δίμετρον ἀκατάληκτον τῶν α ποδῶν χορείων. τὸ ε ὅμοιον ἐκ χορείων. τὸ ς τροχαϊκὸν ἰθυφαλλικὸν τοῦ α

C ποδὸς χορείου. ὁ ζ ἰαμβικὸς τρίμετρος ἀκατάληκτος. τὸ η ἰωνικὸν ἀπ' ἐλάττονος δίμετρον ὑπερκατάληκτον. ἐπὶ τῷ τέλει αἱ συνήθεις δύο διπλαῖ. Μάκαρας ἕνα τινά.] εἰπὼν πληθυντικῶς ἔλαβε τὸ ἰσον τοῦ λέγειν ἕνα. Γένειόν ἐστι καὶ κέρατα] ἐπὶ τῶν ἱερείων τῶν μὴ ἐχόντων σάρκα τοῦτό φησιν. ἀπὸ παροιμίας οὖν, ὥς τις ἔλεγε, τρίχας καὶ κέρατα.

Εἴσθεσις ἑτέρας περιόδου ἀμοιβαίας κώλων, καὶ στίχων ιζ.

D

BISETVS. Ερχεται ποιητής τις ἐγκώμια τῆς νεοκτίστου πόλεως λέξων.

Πεισ. Θύοντες εὐξώμεθα τοῖς πτερινοῖσι θεοῖς.
Ποι. Νεφελοκοκκυγίαν ταὶ εὐδαίμονα,
Κλῆσον ὦ μοῦσα
Τεαῖς ἐν ὕμνων ἀοιδαῖς.
Πεισ. Τουτὶ τί τὸ πρᾶγμα; ποδαπὸς εἶπέ μοι
τίς εἶ;
Ποι. Εγὼ μελιγλώσσων ἐπέων ἱεὶς ἀοιδὰς,
Μουσάων θεράπων
Οτρηρὸς κατὰ τὸν Ομηρον.
Πεισ. Επειτα δῆτα δοῦλος ὢν κόμην ἔχεις;
Ποι. Οὔκ. ἀλλὰ πάντες ἐσμὲν οἱ διδάσκαλοι,
Μουσάων θεράποντες,
Οτρηροὶ κατὰ τὸν Ομηρον.
Πεισ. Οὐκ ἐτὸς ὀτρηρὸν καὶ τὸ ληδάριον ἔχεις.
Απὰρ ὦ ποιητὰ κατὰ τί δεῦρ' ἀνεφθάρης;
Ποι. Μέλη πεποίηκ' ἐς τὰς Νεφελοκοκκυγίας,
Τὰς ὑμετέρας κύκλιά τε πολλὰ καὶ καλά.
Καὶ παρθένεια, καὶ κατὰ τὰ Σιμωνίδου.

PI. Sacrificantes supplicabimus alatis deis:
Pœ. Nephelococcygiam hanc felicem
Lauda ô Musa,
Tuis in hymnorum cantibus.
PI. Hanc rem cuias dic mihi, quis es?
E Pœ. Ego dulcium lingua verborum mittens cantum,
Musarum seruus,
Velox secundum Homerum.
PI. Postea igitur seruus existens comam habes?
Pœ. Non, sed omnes sumus præceptores
Musarum serui,
Veloces secundum Homerum.
PI. Non vane, velocem & vestem habes.
F At ô poëta secundum quid hic corruptus es?
Pœ. Cantus feci in nephelococcygias
Illas vestras, cantúsque multos & pulchros,
Et virginalia, & secundum illa Simonidi.

Σχόλια. Θύοντες εὐξώμεθα] εἴσθεσις ἑτέρας περιόδου ἀμοιβαίας κώλων καὶ στίχων ιζ. ὧν οἱ α ἕως ε. καὶ οἱ τελευταῖοι πέντε ἴαμβοι, ἤτοι μὲν ἀκατάληκτοι τρίμετροι. ὁ δὲ ἑφθημιμερής. ὁ β χοριαμβικὸς τρίμετρος καταληκτικὸς τὸν α ἔχων πόδα πεντασύλλαβον, τὸ γ τροχαϊκὸν πενθημιμερές. ὁ ς ἰωνικὸς τετράμετρος βραχυκατάληκτος. τὰ ζ ι α δακτυλικά. τὸ μὲν πενθημιμερές, τὸ δὲ τετράμετρον καταληκτικὸν εἰς δισυλλαβίαν. τὰ η, ιβ ἀναπαιστικὰ ἑφθημιμερῆ. ἐπὶ τῷ τέλει παράγραφος. Νεφελοκοκκυγίαν τὰν εὐδαίμονα.] ἔρχεταί τις ποιητὴς ὡς ἐπὶ νεοκτίστου πόλεως, ἐγκώμια λέξων. Δοῦλος ὢν κόμην ἔχεις;] διὰ τὸ θεράπων, δοῦλος εἶπεν. ἦν δὲ τῶν ἐλευθέρων τὸ

κομᾶν.

BISETVS. Κόμην ἔχεις] τὸ κομᾶν τῆς ἐλευθερίας ἦν σημεῖον. διὸ τοὺς Αχαιοὺς Ομηρος πολλαχοῦ καρηκομόωντας καλεῖ. τὸ δὲ κεκαρμένον εἶναι, δουλείας τεκμήριον παρὰ τοῖς παλαιοῖς ἐνομίζετο.

G Σχόλια. Θεράποντες ὀτρηροί.] ἐπειδὴ ὀτρηροὶ ἐπὶ τῶν θεραπόντων λέγεται. ἐπεπίστευτο δὲ καὶ ὁ Μαργίτης τοῦ Ομήρου εἶναι. ἐν ᾧ εἴρηται μουσάων θεράπων καὶ ἑκηβόλου Απόλλωνος. Οὐκ ἐτὸς ὀτρηρόν.] παίζει παρὰ τὸ ὀτρηροί. ὅτι τετρημένον ἦν αὐτοῦ καὶ τὸ ἱμάτιον.

BISETVS. Δεῦρ' ἀνεφθάρης] ἔν τισι τῶν ἀντιγράφων μιᾷ λέξει γράφεται, ἀνεφθάρης. ἀλλὰ βέλτιον

διῃρημένως

διηρπασμένως ἂν ἐφθάρης γράφεται. ὁ δὲ νοῦς οὗτος. κατὰ τί ὦ πονηρὲ ὁ οὗτος ἀπρεπῶς, καὶ ἀναιδῶς προσῆλθες; ἄκλητος δηλονότι. οὕτω καὶ Πλούταρχος, „ Καὶ βασιλέων γυναῖκες ἡμιλλῶντο δωρεαῖς πρὸς ἀλλήλας, καὶ κάλλεσιν, ἐφθείροντο πρὸς αὐτόν. καὶ Δημοσθένης κατὰ Μειδίου. „ Ἀλλὰ δ᾽ οὗτοι τινές εἰσιν, ὦ ἄνδρες Ἀθηναῖοι, φθειρόμενοι πρὸς τοὺς πλουσίους, καὶ παρεῖναι, καὶ μαρτυρεῖν. καὶ τὸ σύνηθες ἐκφθείρεσθαι, τὸ ἐπὶ κακῷ ἐξέρχεσθαι που, ὥς φασι τὰ σχόλια ἐν Εἰρήνῃ.

A Ἐχθὲς δὲ μετὰ ταῦτ᾽ ἐκφθαρεὶς, οὐκ οἶδ᾽ ὅποι.

Σχόλια. Κύκλιά τε πολλά.] τὰ τὴν κυκλικὴν ὑπόθεσιν ἔχοντα, ταῦτα κύκλια ἔλεγον. παρθένεια δὲ ἀντὶ τοῦ ἃ αἱ παρθένοι ᾖδον. κύκλια δὲ καλοῦνται μέλη, τὰ ἐπὶ κύκλον ᾀδόμενα. ἔστι δὲ διηγηματικόν. ἄλλως. ἀντὶ τοῦ κατὰ τέχνα, πολλά. διὰ ὕμνους. παιᾶνας. προσῳδία. καὶ τὰ λοιπὰ τούτοις παραπλήσια. προσαγορευομένως δὲ τὸ ὄνομα, τὰ παρθένεια, ἔστι δὲ τὰ εἰς παρθένους ᾀδόμενα.

B

ΣΥΣΤΗΜΑ ΣΤΙΧΩΝ δ′.

Πισ. Ταυτὶ σύ ποτ᾽ ἐποίησας, ἀπὸ ποίου χρόνου;
Ποι. Πάλαι πάλαι δὴ τήνδ᾽ ἐγὼ κλῄζω πόλιν.
Πισ. Οὐκ ἄρτι θύω τὴν δεκάτην ταύτης ἐγώ;
Καὶ τοὔνομ᾽ ὥσπερ παιδίῳ νῦν δὴ θέμην.

CONSTITVTIO VERSUUM QUATUOR.

PI. *Hæc tu aliquando fecisti, à quali tempore?*
Pæ. Diu diu, iam hanc ego laudo ciuitatem.
PI. *Non nunc sacrifico decimam huius ego?*
C *Et nomen tanquam puero nunc iam posui.*

Σχόλια. Ταυτὶ σύ.] ἐντεῦθεν διαιρεῖται τὰ πρόσωπα εἰς συστηματικὰς περιόδους ἀμοιβαίας η. καὶ ἔστιν ἡ πρώτη περίοδος στίχων ἰαμβικῶν τριμέτρων τεσσάρων. ἡ β στίχων καὶ κώλων ἑπτά, ὧν ὁ πρῶτος χοριαμβικὸς τρίμετρος καταληκτικός. τὸ β ὅμοιον δίμετρον ἀκατάληκτον τὸ δεύτερον ἔχων πόδα παντὸς τύπου. τὸ γ περίοδος ἐξ ἰαμβικῆς, καὶ τροχαϊκῆς βάσεως. τὸ δ᾽ ἀσυνάρτητον ἐξ ἀναπαιστικῆς καὶ ἰαμβικῆς βάσεως. τὸ ε τροχαϊκὴ βάσις ἐκ χορείων. τὸ ς ἰαμβικὸν δίμετρον βραχυκατάληκτον. εἰ δὲ βούλει ἰωνικὸν ἐφθημιμερές. τὸ ζ ἰωνικὸν δίμετρον ἀκατάληκτον, ὑφ᾽ ὃ παράγραφος.

BISETVS. Κλῄζω] ὑμνῶ, κλέος, τὸ κῦδος, ἡ δόξα. κλεΐζειν, τὸ ὑμνεῖν. καὶ κατὰ τροπὴν τοῦ ι εἰς η, κλῄζειν. καὶ κατὰ συναίρεσιν ἀττικὴν κλῄζειν. ὅθεν καὶ τὸ ἄνω, Κλῄζουσα Μοῦσα.

Σχόλια. Οὐκ ἄρτι θύω.] πρὸς τὸ ἔθος. εἴρηται δὲ πρότερον, ὅτι ἐπὶ ἐστι αὐτός. ἄλλως. σαφὲς ὅτι τὰ ὀνόματα τῶν παίδων ἐτίθεσαν τῇ δεκάτῃ.

BISETVS. Τίς δ᾽ ἂν εἴη ὁ τούτων νοῦς; Σουίδας δηλοῖ οὕτω λέγων, „ Ἔθος ἦν παίδων γεννωμένων D τοῖς Ἀθηναίοις ἀστοῖς, τῇ δεκάτῃ τῶν νυκτῶν ἀπὸ τῆς γενέσεως, συγκαλεῖσθαι τοὺς πρὸς πατρὸς καὶ μητρὸς οἰκείους, καὶ τοὺς ἐγγύτατα φίλους, καὶ παρόντων ἐκείνων τὰ ὀνόματα τοῖς παισὶ τίθεσθαι καὶ καλλιερεῖσθαι τοῖς θεοῖς. ἔπειτα εὐωχεῖσθαι τοὺς συνεληλυθότας. καὶ τοῦτο ἦν ἡ δεκάτη.

ΩΙΔΗ ΚΑΙ ΣΤΡΟΦΗ ΚΩΛΩΝ ζ′.

Ποι. Ἀλλά τις ὠκεῖα Μουσάων φάτις,
Οἵαπερ ἵππων ἀμαρυγά.
Σὺ δ᾽ ὦ πάτερ κτίστορ Αἴτνας,
Ζαθέων ἱερῶν ὁμώνυμε,
Δὸς ἐμὶν ὅτιπερ
Τεᾷ κεφαλᾷ θέλῃς
Πρόφρων δόμεν ἐμὶν τεΐν.

E CANTVS ET VERSIO MEMBRORUM SEPTEM.

Pæ. Sed aliqua velox Musarum fama, e
Qualis equorum velocitas.
Tu autem ô pater ædificator Ætnæ,
Diuinis sacrificiis cognominus,
Da mihi quodcunque
Tuo capiti vis,
F *Promptus dare mihi tibi.*

Σχόλια. Ἀλλά τις ὠκεῖα Μουσάων.] ἡ τῶν Μουσῶν φάτις, ταχεῖά ἐστιν, ὡς ἵππος ὠκεῖα. οὗτοι δὲ καθολικὸν λέγει, ἐπεὶ πτερόεντα τὰ ἔπη καὶ ταχέως διαγγέλλοντα τὰ πράγματα. ἢ πρὸς ἑαυτὸν ταχέως γράφοντα τὰ ποιήματα. Σὺ δ᾽ ὦ πάτερ κτίστορ] ἐκ τῶν Πινδάρου ὑπορχημάτων. ξυνὲς ὅτι λέγω ζαθέων ἱερῶν ἐπώνυμε πάτερ κτίστορ Αἴτνας. ἐπειδὴ ὁ Ἱέρων ἔκτισεν αὐτήν. Ἐμὶν τεΐν] χλευάζει τῶν διθυραμβοποιῶν τὴν συνοχὴν τοῖς τοιούτοις διωρισμόν. καὶ μάλιστα τὸν Πίνδαρον συνεχῶς λέγοντα ἐν τῇ αἰτήσει τὸ ἐμίν.

G

ΣΥΣΤΗΜΑ ΣΤΙΧΩΝ ε′.

Πισ. Τουτὶ παρέξει τὸ κακὸν ἡμῖν πράγματα,
Εἰ μή τι τούτῳ δόντες ἀποφευξούμεθα.

CONSTITVTIO VERSUUM QUINQUE.

PI. *Hæc præbebit malum nobis negotia,*
Si non huic dantes fugerimus.

Σχόλια. Τουτὶ παρέξει.] ὁ τρίτος δεύτερος στίχων A αδιάγραφος. ἐπὶ ἰαμβικῶν τριμέτρων ἀκαταλήκτων ε. ἐπὶ τῷ τέλει

Οὗτος. σὺ μὲν τοι σπολάδα καὶ χιτῶν᾽ ἔχεις.
Απόδυθι, καὶ δὸς τῷ ποιητῇ τῷ σοφῷ.
Εχε τὴν σπολάδα. πάντως δέ μοι ῥιγῶν δο-
κεῖς.

Hic tu quidem vestem & interulam habes,
Spoliare, & da poetæ sapienti.
Habe vestem, omnino autem mihi frigens vi-
deris.

B

Σχόλια. Σὺ μὲν τοι σπολάδα] πρὸς τὴν σπολάδα ὅτι διφθέρα ὁμοιωτῶ. Σοφοκλῆς Αἴαντι Λοκρῷ. καταστίκτου κυνὸς σπολὰς ἢ βύρσα. παρδαληφόρον δέρος. Καλλίστρατος δὲ, ἀντὶ ἔφαπτον δερμάτινον. Εὐφρόνιος δὲ χιτῶνα δερμάτινον. παρήχθη δὲ ἴσως ἐκ τοῦ ἐπιφέρεσθαι, ἐπ᾽ ἐξὸν ἐνεζῶσθαι διφθέραν. τὸ δὲ Σοφόκλειον ἐπὶ τοῦ δέρματος εἴρηται τοῦ κρεμαμένου πρὸς τῇ τοῦ Αντιλώχου οἰκίᾳ. Πάντως δέ μοι ῥιγῶν] ὡς μὴ ἀρκουμένου αὐτοῦ μόνῃ τῇ σπολάδι ὁ Πεισθέταιρός φησι, μετὰ τὸ ἀποδύσασθαι τὸν ἱερέα. τὸ ῥιγῶν δὲ, δασυντέον ἐπὶ κατὰ τροπὴν τοῦ ο εἰς ω, ῥιγοῶν ῥιγῶν.

C

ΩΔΗ ΚΑΙ ΣΤΡΟΦΗ ΕΤΕΡΑ κώλων. δ΄.

Ποι. Τόδε μὲν οὐκ ἀέκουσα φίλα
Μοῦσα τόδε δῶρον δέχεται.
Τὺ δὲ, τεᾷ φρενὶ μάθε
Πινδάρειον ἔπος.
Πε. Ανθρωπος ἡμῶν οὐκ ἀπαλλαχθήσεται.

CANTVS ET VERSIO ALTERA membrorum quatuor.

Pæ. *Hoc quidem non nolens dilecta,*
Musa donum suscipit.
Tu autem tua mente disce
Pindarium verbum.
PI. *Homo nobis non discedet.*

Σχόλια. Τόδε μὲν οὐκ ἀέκουσα] ἡ δ΄ δεύτερος κώλων ἐπὶ παιωνικῶν μεμιγμένων κρητικοῖς καὶ παλιμβακχείοις τεσσάρων. ὧν τὸ α΄ τρίμετρον καταληκτικόν. τὸ β τρίμετρον βραχυκατάληκτον, τοῦ β ποδὸς παλιμβάκχου. τὸ γ δίμετρον ἀκατάληκτον διὰ τὴν ἀδιάφορον. ἐν ἐκθέσει δὲ στίχος ἰαμβικὸς τρίμετρος ἀκατάληκτος.

D ἐπὶ τῷ τέλει ἀδιάγραφος. ἑξῆς δὲ ἡ ε΄ δεύτερος κώλων ἀναπαιστικῶν ε. ὧν τὸ α΄ δίμετρον καταληκτικὸν τοῦ δ΄ ποδὸς πεντασυλλάβου. τὸ β πενθημιμερὲς, ὃ καλεῖται δοχμαϊκόν. τὸ γ ἰωνικὸν τρίμετρον ἀκατάληκτον, τοῦ α΄ ποδὸς πεντασυλλάβου. τὸ δ΄ ὅμοιον. τὸ ε δίμετρον βραχυκατάληκτον παιωνικόν. ἐπὶ τῷ τέλει ἀδιάγραφος.

ΩΔΗ ΚΑΙ ΣΤΡΟΦΗ ΕΤΕΡΑ κώλων ε΄.

Ποι. Νομάδεσσι γὰρ ἐν Σκύθαις
Αλᾶται Στράτων.
Ος ὑφαντοδόνητον ἔσθος οὐ πέπαται.
Ακλεὴς δ᾽ ἔβα σπολὰς, ἄνευ χιτῶνος.
Ξύνες ὅτι λέγω.

CANTVS ET VERSIO ALTERA membrorum quinque.

E

Pæ. *Pastoribus enim in Scythiis*
Errat Straton,
Qui textum indumentum non possidet.
Ingloria autem init vestis sine interula.
Intellige quid dico.

Σχόλια. Νομάδεσσι γὰρ ἐν Σκύθαις. καὶ ταῦτα παρὰ τὰ ἐκ Πινδάρου. ἔχει δὲ οὕτως. Νομάδεσσι γὰρ ἐν Σκύθαις ἀλᾶται στρατῶν. ὃς ἀμαξοφόρητον οἶκον οὐ πέπαται. ἀκλεὴς ἔβα τοῦ δε. λαβὼν ἡμιόνους παρ᾽ Ἱέρωνος, καὶ ἦττεν αὐτὸν καὶ ἁρμάτιον. δῆλον δὲ, ὅτι χιτῶνα αἰτεῖ τῇ σπολάδι. Αλᾶται Στράτων] ἀλᾶται ἔφη. ἐπειδὴ οἱ Σκύθαι τῷ χειμῶνι διὰ τὸ φέρειν αὐτοὺς ἐπὶ ἁμαξῶν τὰ πράγματα βάλλοντες ἑαυτοὺς, αἴρουσιν ἄλλην χώραν. ὁ μὴ ἔχων δὲ ἐκεῖσε ἅμαξαν, ἄτιμος παρ᾽ αὐτοῖς κεῖται. Πέπαται.] κέκτηται. Ακλεὴς ἔβα σπολάς.] δῆλον ὅτι χιτῶνα αἰτεῖ πρὸς τῇ σπολάδι. ἀκλεής φησιν ἡ σπολὰς ἄνευ χιτῶνος οὖσα. ἀτιμότερος ἀνήρ.

F

ΣΥΣΤΗΜΑ ΣΤΙΧΩΝ δ΄.

CONSTITVTIO VERSUUM quatuor.

Bisetus. Ταῦτα ὁ Πεισθέταιρος οὐ πρὸς τὸν ποιητὴν, ἀλλὰ πρὸς τινὰ ἄλλον ἐν τῷ προσκηνίῳ παρόντα λέγει. ἔστι δὲ παρεπιγραφή. ὁ γὰρ Πεισθέταιρος ἅμα τῷ

G

τὸ λέγειν, καὶ ποιεῖ τὸ λεγόμενον, καὶ λαμβάνει τὸν χιτωνίσκον παρὰ τοῦ ἀποδύσαντος τὸν κεντημένον δίδωσι τῷ ποιητῇ. ὁ δὲ τοῦτο λαβὼν μετὰ χαρᾶς ἀπέρχεται.

Πε. Ξύνημ᾽ ὅτι βούλει τὸν χιτωνίσκον λαβεῖν.

PI. *Intelligo quod vis interulam capere,*

Σχόλια.

A Σχόλια. Σκυθίαισι ὅτι βάλλει.] ἡ ἕκτη περίοδος ἡνωμένη ὁμοία κώλων καὶ στίχων ἐστὶν ή. ὧν αἱ πρῶτοι τέσσαρες ἰαμβικοὶ τρίμετροι ἀκατάληκτοι. μίαν γὰρ τὰ δύο πρόσωπα τὴν τοιαύτην ποιεῖ περίοδον. τὰ δὲ ἑξῆς τέσσαρα ἀναπαιστικὰ κῶλα. ὧν τὸ α΄. ἑφθημιμερές. τὸ β΄. ἀναπαιστικὴ βάσις. τὸ γ΄ δίμετρον βραχυκατάληκτον. τῶν πρώτων δύο ποδῶν ὄντων προκελευσματικῶν. τὸ δὲ ὅμοιον τῷ β΄ ὑφ᾽ ὃ παράγραφος. Χιτωνίσκον] τὸ ὑποκοριστικὸν τοῦ χιτῶνος. ἐπεὶ ἀρσενικῶς μόνον χιτών, χιτῶνος λέγεται. ἐπὶ δὲ οὐδετέρου χιτώνιον.

Ἀπόδυθι, δεῖ γὰρ τὸν ποιητὴν ὠφελεῖν.
Ἄπελθε τουτονὶ λαβών. Ποι. ἀπέρχομαι·
Κἀς τὴν πόλιν γ᾽ ἐλθὼν ποιήσω δὴ τάδε.

Spoliare. oportet enim poetam adiuuare,
Abi hanc capiens. Pœ. Abeo,
Et in ciuitatem iens, faciam iam hæc.

Σχόλια. Κἀς τὴν πόλιν.] ἀπελθὼν ποιήσω τὰ B ποιήματα εἰς τὴν πόλιν.

ΩΔΗ ΚΑΙ ΣΤΡΟΦΗ κώλων δ΄.

Κλῇσον ὦ χρυσόθρονε τὰν
Τρομερὰν κρυεράν,
Νιφοβόλα πεδία πολύπορα
Τ᾽ ἤλυθον ἀλαλάν.

CANTVS ET VERSIO MEMBRORUM QUATUOR.

C
Lauda ô aurea sedis
Tremorem frigidum,
Niue percussos campos multum, seminabilésque campos euge.

Σχόλια. Τρεμεράν, κρυεράν.] ἐπειδὴ ἐν τῷ ἀέρι τὸ πλάσμα τῆς οἰκοδομῆς ὑποτίθεται. παίζων φησί. τὸ τρομερὰν μὲν, διὰ τὸ ἀστήρικτον. κρυερὰν δὲ, τὴν κρύους μεταλαμβάνουσαν, διὰ τὸ ἐπ᾽ αὐτὴν καταφθάνειν τὴν δρόσον καὶ τὴν ψυχρότητα. Νιφοβόλα πεδία.] ἀντὶ τοῦ νιφοβόλον καὶ πολύπορον ὁδὸν κατὰ μεταπλασμόν. μεταπλασμῷ δὲ ἐχρήσατο εἰπὼν νιφοβόλα ὡς ἀπὸ τῆς D νιφοβόλος εὐθείας. ἐπειδὴ δοκεῖ ἐν τῷ ἀέρι οἰκοδομεῖσθαι, παρὰ τὸ βάλλεσθαι ὑπὸ νιφετοῦ ἔπαιξεν. ἐπὶ τινὸς δὲ ἀδιανοήτως λέγει. ὅπως διὰ τοῦ ὄγκου τῆς λέξεως ἀπατῶντας, μηδὲν δὲ λέγοντας διαβάλλῃ τοὺς ποιητάς.

BISETVS. Ἀλαλάν.] ἀλαλὴ, ῆς. καὶ δωρικῶς ἀλαλὰ, ᾶς. ὁ στρατιωτικὸς θόρυβος, καὶ ἀλαλαγμός. παρὰ τὸ α ἐπιτατικὸν, καὶ τὸ λαλεῖν, τὸ φωνεῖν. καὶ τὴν σφοδρὰν πρὸ μάχης βοὴν κυρίως σημαίνει. ταῦτα δὲ σύντακτέον οὕτως, ἤλυθον πεδία νιφοβόλα, πολύσπορά τε ἀλαλάν. ἀντὶ τοῦ εἰς πεδία νιφόβλητα, τοῖς νιφετοῖς βαλλόμενα. καὶ πολύσπορα, πολλὴν σπόρον δεχόμενα, καὶ τρέφοντα. ἤλυθον λέγω ἀλαλὰν, ἤγουν κατ᾽ ἀλαλὰν, μετ᾽ ἀλαλῆς, μετὰ βοῆς.

ΣΥΣΤΗΜΑ ΣΤΙΧΩΝ έ.

CONSTITVTIO VERSUUM QUINQUE.

BISETVS. τοῦ ποιητοῦ ἀπερχομένου ὁ Πεισθέταιρος ταῦτα μόνος ἐφ᾽ ἑαυτοῦ λέγει. εἶτα πρὸς τὸν E ἱερέα στραφεὶς τὴν θυσίαν, ἧς κατῆρξατο, ἐπιτελεῖν κελεύει.

Πι. Νὴ τὸν Δί᾽. ἀλλὰ γὰρ πέφευγε ταυταγὶ
Τὰ κρυερά, τονδὶ τὸν χιτωνίσκον λαβών.
Τουτὶ μὰ Δί᾽ ἐγὼ τὸ κακὸν οὐδέποτ᾽ ἤλπισα
Οὕτω ταχέως τοῦτον πεπύσθαι τὴν πόλιν.
Αὖθις σὺ περιχώρει λαβὼν τὴν χέρνιβα.

Pœ. Per Iouem, sed enim fugi hæc
Frigida, hanc interulam capiens.
Pi. Hoc per Iouem ego malum nunquam speraui,
Sic citò hunc didicisse ciuitatem.
Rursus tu circum, capiens gutturnium.

Σχόλια. Νὴ τὸν Δία.] ἡ ζ΄ περίοδος ἐν ἐκθέσει στίχων ἐστὶν ἰαμβικῶν τριμέτρων έ. ἐπὶ τῷ τέλει δύο διπλαῖ F ἔξω νενευκυῖαι. τὸ δὲ περιχώρει πρὸς τὸν ἱερέα φησίν ἀντὶ τοῦ περίελθε καὶ πέραινε.

ΙΕΡΕΥΣ, ΧΡΗΣΜΟΛΟΓΟΣ, ΠΕΙΣΘΕΤΑΙΡΟΣ.

SACERDOS, FATIDICVS, Pisthetterus.

Εἴσθεσις περιόδου ἀμοιβαίας G στίχων λγ΄.

BISETVS. Τοῦ ἱερέως τὴν ἐπιχειρηθεῖσαν θυσίαν ἐπιτελεῖν ὁρμωμένου, ἰδοὺ χρησμολόγος ἐπελθὼν ἀκαίρως αὐτὸν καὶ νῦν ἐνοχλεῖ, καὶ τὴν θυσίαν ἐπιτελεῖσθαι κωλύει.

Ἱερ. Ἐτοιμία ἔσω. Χρ. Μὴ κατάρξῃ τοῦ τράγου.

Sac. Laudes canantur. Fat. Ne incipias hirco.

Σχόλια. Εὐφημία 'στω.] εἴθισται περιόδου ἀμοιβαίας στίχων λϛ. ὧν οἱ πρῶτοι ὀκτὼ ἰαμβικοὶ τρίμετροι, οἱ ἑξῆς δύο ἀσυνάρτητοι παντελῶς καὶ πολυσχημάτιστοι, ἀτάκτως τοὺς πόδας κειμένους ἔχοντες. μι- A μεῖται γὰρ τὸ ἀσυνάρτητον τῶν χρησμῶν. οἱ δ' ἄλλοι ὡς οἱ πρῶτοι οἱ μὲν ἴσοι χρησμοὶ ἐπικοί. ἐπὶ ἴσης ἀποθέσεσι καὶ τῷ τέλει παράγραφος. ἔπαιξε δὲ πρὸς τὸ εὐφημία, εἰπὼν τὸ μύ.

Πει. Σὺ δ' εἶ τίς; Χρη. ὅς τις; χρησμολόγος. Πει. οἴμωζέ νυν.

Χρη. Ὦ δαιμόνιε τὰ θεῖα μὴ φαύλως φέρε.

Ὡς ἔστι Βάκιδος χρησμὸς ἄντικρυς λέγων

Εἰς τὰς νεφελοκοκκυγίας. Πει. κᾆπειτα πῶς

Ταῦτ' οὐκ ἐχρησμολόγεις σὺ, πρὶν ἐμὲ τὴν πόλιν

Τήνδ' οἰκίσαι. Χρη. τὸ θεῖον ἐνεπόδιζέ με.

Πει. Ἀλλ' οὐδὲν οἷον ἔστ' ἀκοῦσαι τῶν ἐπῶν.

Χρη. Ἀλλ' ὅταν οἰκήσωσι λύκοι πολιαί τε κορῶναι

Ἐν ταυτῷ τὸ μεταξὺ Κορίνθου καὶ Σικυῶνος.

Πει. Τί οὖν προσήκει δῆτ' ἐμοὶ Κορινθίων;

Χρη. Ἠνίξαθ' ὁ Βάκις τοῦτο, πρὸς τὸν ἀέρα

Πρῶτον Πανδώρα θῦσαι λευκότριχα κριόν,

Ὃς δέ κ' ἐμῶν ἐπέων ἔλθῃ πρώτιστα προφήτης,

Τῷ δόμεν ἱμάτιον καθαρὸν, καὶ καινὰ πέδιλα.

Πει. Ἔνεστι καὶ τὰ πέδιλα; Χρη. λαβὲ τὸ βυβλίον,

Καὶ φιάλην δοῦναι καὶ σπλάγχνων χεῖρ' ἐπιπλῆσαι.

Πει. Καὶ σπλάγχνα διδόν' ἔνεστι. Χρη. λαβὲ τὸ βυβλίον.

Κἂν μὲν θέσπιε κοῦρε ποιῇς ταῦθ' ὡς ἐπιτέλλω,

Αἰετὸς ἐν νεφέλῃσι γενήσεαι. αἰ δέ κε μὴ δῷς,

Οὐκ ἔσει οὐ τρυγὼν, οὐδ' αἰετὸς, οὐ δρυκολάπτης.

Πει. Καὶ ταῦτ' ἔνεστ' ἐνταῦθα; Χρη. λαβὲ τὸ βυβλίον.

Πει. Οὐδὲν ἄρ' ὅμοιος ἔσθ' ὁ χρησμὸς τουτῳί.

Ὃν ἐγὼ παρὰ τ' Ἀπόλλωνος ἐξεγραψάμην.

Αὐτὰρ ἐπὴν ἄκλητος ἰὼν ἄνθρωπος ἀλαζὼν

Λυπῇ θύοντας καὶ σπλαγχνεύειν ἐπιθυμῇ,

Δὴ τότε χρὴ τύπτειν αὐτὸν πλευρῶν τὸ μεταξύ.

Χρη. Οὐδὲν λέγειν οἶμαί σε. Πει. λαβὲ τὸ βυβλίον.

Καὶ φείδου μηδὲν, μηδ' αἰετοῦ ἐν νεφέλῃσι.

Μήτ' ἢν Λάμπων ᾖ, μήτ' ἢν ὁ μέγας Διοπείθης.

Pi. Tu autem es quis? FAT. quis? Fatidicus. Pi. Luge nunc.

FAT. O felix, diuina ne agrè feras,

Quòd est Bacidis oraculum, manifestè dicens

B In nephelococcygias. Pi. Et postea quomodo

Hæc non vaticinabaris tu, ante me ciuitatem

Hanc habitasse? FAT. Diuinum impediuit me.

Pi. Sed nihil potens est audire verba.

FAT. Sed quando habitabunt lupi, albaque cornices

In eodem in medio Corinthi & Sicyonis?

C Pi. Quid igitur conuenit certè mihi Corinthiorum?

FAT. Ænigmaticè dixit Bacis hoc ad aërem,

Primùm terræ sacrificare albuntricas arietem.

Qui autem meorum verborũ venerit primùm propheta,

Huic dare vestem puram & noua calceamenta.

Pi. Insunt & calceamenta? FAT. accipe librum,

D Et phialam dare, & visceribus manum implere.

Pi. Et viscera dare insunt. FAT. accipe librũ.

Et siquidem diuine fili facis hæc, sicut iubeo,

Aquila in nebulis fies, si autem non dabis,

Non eris, non turtur, non aquila, non drycolaptes.

E Pi. Et hæc insunt hic. FAT. accipe librum.

Pi. Nihil certè simile est vaticinio huic,

Quod ego apud Apollinem exscripsi.

At postquam homo veniens inglorius, superbus,

Tristificet sacrificantes, & capere viscera cupiat,

Iam tunc oportet verberare ipsum laterum in medio.

FAT. Nihil dicere puto te. Pi. accipe librum,

Et parce nihil, neque aquilæ in nebulis,

F Neque si Lampo esset, neque si magnus Diopithes.

Σχόλια. Μὴ φαύλως φέρε.] ἀντὶ τοῦ μὴ ἀηδίζου τοῖς χρησμοῖς. Ὡς ἔστι Βάκιδος.] ὡς Φιλήτας ὁ Ἐφέσιός φησιν, οὕτως. Σίβυλλαι δὲ τρεῖς ἐγένοντο. αὕτη μὲν ἐστὶν ὡς διὰ τῆς ποιήσεως φησὶν, Ἀπόλλωνος ἀδελφή. β δὲ, Ἐρυθραία. γ δὲ, ἡ Σαρδιανή. καὶ Βάκιδας ὁμοίως τρεῖς. ὁ μὲν, ἐξ Ἐλεῶνος τῆς Βοιωτίας. ὁ δὲ, Ἀθηναῖος. ὁ δὲ, Ἀρκάς. Θεόπομπος δὲ ἐν τῇ θ τῶν Φιλιππικῶν τά τε ἄλλα πολλὰ περὶ τοῦ Βοιωτοῦ Βάκιδος ἱστορεῖ παράδοξα, καὶ ὅτι ποτὲ τῶν Λακεδαιμονίων μανείσας τὰς γυναῖκας ἐκάθηρεν, Ἀπόλλωνος αὐτοῖς τοῦτον καθαρτὴν δόντος. Ἀλλ' οὐδὲν οἷόν ἐστ' ἀκοῦσαι.] ἀλλ' οὐδὲν κωλύει ἐστὶ, νῦν ἀκοῦσαι τῶν χρησμῶν. οὕτω γὰρ ἔλεγον τὸ λυσιτελοῦν. οὐδὲν οἷον ἀντὶ τοῦ οὐδὲν κωλύον. Τὸ μεταξὺ Κορίνθου.] παρὰ τὸν λεγόμενον χρησμὸν, εἰς τὸ μέσον κτίσαι Κορίνθου καὶ Σι- G κυῶνος. ἐπεὶ καὶ ἡ πόλις μεταξὺ οὐρανοῦ καὶ γῆς ἵδρυται. ἄλλως. Αἰσώπῳ τῷ μυθογράφῳ χρωμένῳ περὶ πλούτου ὁ θεὸς εἶπεν, εἰς τὸ μέσον κτίσαι Κορίνθου καὶ Σικυῶνος. Εὔφορος γὰρ αὕτη ἡ χώρα. τὸ δὲ ὅλον παίζει. Πανδώρᾳ.] τῇ γῇ, ἐπειδὴ πάντα κατὰ τὸ ζῆν δωρεῖται. ἀφ' οὗ καὶ ζείδωρος καὶ ἀνησιδώρα. Αἰετὸς ἐν νεφέλῃσιν.] οὐχ ἁπλῶς τοῦτό φησιν. ἀλλ' ὅτι χρησμὸς ἦν τοῖς Ἀθηναίοις δεδομένος τοιοῦτον αὐξηθήσεσθαι, ὥσπερ αἰετὸς τῶν ἄλλων ὀρνέων ἐν ταῖς νεφέλαις προὔχει. τοῦτον καὶ αὐτὸν εἰς τὸν Πεισθέταιρον πλάττεται, ὅπως ἄν τι λάβῃ. τούτου δὲ καὶ ἐν τοῖς Ἱππεῦσι μέμνηται, ὡς εἰς τὴν πόλιν δοκοῦντος εἰρῆσθαι ἐν τοῖς Βάκιδος. Αὐτὰρ ἐπὴν ἄκλητος.] τῷ αὐτῷ μέτρῳ ἀναπλάττεται καὶ αὐτὸς χρησμόν. Σπλαγχνεύειν] σπλάγχνων μεταλαβεῖν. Μήτ' ἢν Λάμπων ᾖ] χρησμολό-

A χρησμολόγος ὁ Λάμπων. μήτε φησὶν ἐὰν αὐτὸς ᾖ ὁ Λάμπων φείδου αὐτοῦ ἐὰν λέγῃ, ὅτι καὶ ὡς αἰετὸς γένηται. ὁ δὲ Διοπείθης νῦν μὲν ὡς χρησμολόγος, ἑτέρωθι δὲ, ὡς κυλλὸς καὶ δωροδόκος. Σύμμαχος δὲ, καὶ μανιώδη φησὶ τὸν Διοπείθη τὸν ῥήτορα. ὡς καὶ Τηλεκλείδης ἐν Ἀμφικτύοσι δῆλον ποιεῖ. παρακεῖται δὲ καὶ τὰ Φρυνίχου ἔμπροσθεν ἐν Κρόνῳ. ἀνὴρ χορεύει κατὰ τοῦ θεοῦ καλά. βούλει Διοπείθη μετὰ ῥαμμ..., καὶ τυμπανα. καὶ Ἀμειψίας ἐν Κόννῳ. ὥστε ποιοῦντες χρησμοὺς αὐτοῖς ᾄδουσι δεῖν Διοπείθει τῷ παραμαινομένῳ.

Χρη. Καὶ ταῦτ' ἔνεστ' ἐνταῦθα; Πε. λαβὲ τὸ βυβλίον.

B Οὐκ εἶ θύραζ' ἐς κόρακας; Χρη. οἴμοι δείλαιος.

Πε. Οὔκουν ἑτέρωσε χρησμολογήσεις ἐκτρέχων;

Fat. Et hac insunt hic. PI. *accipe librum:*

Non vadis foras ad cornos? Fat. hei mihi miser.

PI. *Non alibi vaticinaberis excurrens?*

ΓΕΩΜΕΤΡΗΣ, ΠΕΙΣΘΕΤΑΙΡΟΣ.

GEOMETRA, PISTHETERVS.

C Εἴσθεσις ἑτέρας περιόδου ἐκ στίχων ξ'.

BISETVS. Τοῦ χρησμολόγου ἀπελαθέντος προσέρχεται γεωμέτρης, ἀλλὰ καὶ τοῦτον ὁ Πεισθέταιρος ὁμοίως ἀπελαύνει.

Γε. Ἥκω παρ' ὑμᾶς. Πει. ἕτερον αὖ τουτὶ κακόν.

Τί δ' αὖ σὺ δράσων; τίς ἰδέα βουλήματος;

Τίς ἡ 'πίνοια; τίς ὁ κόθορνος τῆς ὁδοῦ;

Γε. Γεωμετρῆσαι βούλομαι τὸν ἀέρα

D Ὑμῖν, διελεῖν τε κατ' ἀγυιάς. Πει. πρὸς τῶν θεῶν

Σὺ δ' εἶ τίς ἀνδρῶν; Γε. ὅστις εἴμ' ἐγώ; Μέτων.

Ὃν οἶδεν Ἑλλὰς χὠ Κολωνός. Πε. εἰπέ μοι

Ταυτὶ δέ σοι τί ἐστι; Γε. κανόνες ἀέρος.

Αὐτίκα γὰρ ἀὴρ ἐστὶ τὴν ἰδέαν ὅλος,

Κατὰ πνιγέα μάλιστα. προσθεὶς οὖν ἐγὼ

Τὸν κανόν' ἄνωθεν τουτονὶ τὸν καμπύλον,

E Ἐνθεὶς διαβήτην. μανθάνεις; Πει. οὐ μανθάνω.

Γεωμετ. Ὀρθῷ μετρήσω κανόνι, προστιθεὶς ἵνα

GEO. *Venio ad vos.* PI. *alterum rursus hoc malum.*

Quid autem tu faciens, que autem forma voluntatis,

Que sententia, qui cothurnus via?

Geo. Mensurare volo aërem,

Vobis diuidereque vias. PI. *per deos,*

Tu autem es quis virorum? Geo. qui sum ego? Meton,

Quem vidit Gracia & colonus. PI. *dic mihi,*

Hac autem tibi quid sunt? Geo. Canones aëris:

Statim enim aër est specie totus,

Secundum furnum maxime apponens igitur ego

Canonem desuper hunc curuum,

Imponens circinum, intelligis? PI. *non intelligo.*

Geo. Recto mensurabo canone, apponens vt

Σχόλια. Ἥκω παρ' ὑμᾶς.] εἴσθεσις ὁμοίας ἑτέρας περιόδου ἐκ στίχων ἰαμβικῶν τριμέτρων ἀκαταλήκτων ξ. ὧν τελευταῖος, θύοντες εἴσω τοῖς θεοῖσι τὸν τράγον. μετὰ μὲν τοι τὸν μθ κῶλον ἰαμβικὸν μονόμετρον βραχυκατάληκτον καὶ μετὰ τὸν νβ ἀσυνάρτητοι δύο. ὧν ὁ πρῶτος σύγκειται ἐξ ἀναπαιστικῆς βάσεως καὶ τροχαϊκῆς ὁμοίας βάσεως. ὁ δ' ἕτερος σύγκειται ἐξ ἰαμβικοῦ ἑφθημιμεροῦς καὶ τροχαϊκῆς βάσεως. ὁ δὲ νέξ ἰαμβικοῦ πενθημιμεροῦς καὶ ἀναπαιστικῆς βάσεως. ἐπὶ τῷ τέλει κορωνὶς ἐξιόντων τῶν ὑποκριτῶν. Τίς ὁ κόθορνος.] ὅτι, τί ὑποδησάμενος πάρει; οὕτω Σύμμαχος πρὸς τὸ τί ὑποδέδεσαι τῷ δεξιῷ. Μέτων.] Μέτων ἄριστος ἀστρονόμος καὶ γεωμέτρης. τούτου ἐστὶν ὁ ἐνιαυτὸς ὁ λεγόμενος Μέτωνος. φησὶ δὲ Καλλίστρατος ἐν Κολωνῷ ἀνάθημά τι εἶναι αὐτοῦ ἀστρολογικόν. Εὐφρόνιος δὲ, ὅτι τῶν δήμων ἦν ἐκ Κολωνοῦ. τοῦτο δὲ ψεῦδος. Φιλόχορος δὲ, Λευκονιέα φησὶν αὐτὸν τὸ δὲ τοῦ Καλλιστράτου δῆλον. ἴσως γὰρ ἦν τι καὶ ἐν Κολωνῷ. ὁ δὲ Φιλόχορος ἐν Κολωνῷ μὲν αὐτὸν οὐδὲν λέγει θεῖναι. ψευδῶς δὲ πρὸ Πυθοδώρου ἡλιοτρόπιον ἐν τῇ νῦν οὔσῃ ἐκκλησίᾳ. πρὸς τῷ τείχει τῷ ἐν τῇ Πυκνί. μήποτε οὖν τὸ χωρίον φασί τινες ἐκεῖνο ἐσχάτῳ F περιλαμβάνεται καὶ ἡ Πνύξ. Κολωνός ἐστιν ὁ ἕτερος ὁ μισθὸς λεγόμενος. οὕτω μέρος τι νῦν σύνηθες γέγονε τὸ Κολωνὸν καλεῖν τὸ ὄπισθεν τῆς μακρᾶς στοᾶς. ἀλλ' οὐκ ἔστι. Μελίτη γὰρ ἅπαν ἐκεῖνο ὡς ἐν τοῖς ὁρισμοῖς γέγραπται τῆς πόλεως. ἴσως δὲ ὁ ἐν Κολωνῷ κρήνην τινὰ κατεσκευάσατο. φησὶν ὁ Φρύνιχος Μονοτρόπῳ. τίς δ' ἐστὶν ὁ μετὰ ταῦτα ταύτης φροντίζων; Μέτων ὁ Λευκονιεύς. οἶδα ὁ τὰς κρήνας ἄγων. καθεῖται δὲ καὶ ὁ Μονότροπος ἐπὶ τοῦ αὐτοῦ χωρίου. εἴονται ἄλλως. ἴσως ἐν τῷ Κολωνῷ κρήνην τινὰ κατὰ μηχανὴν τίνος οὖσαν. ἢ ἄγαλμα ἢ ἀνάθημα ἀστρολογικὸν κατεσκευάσατο αὐτῷ. ὅτι δὲ Κολωνὸς ἦν τῷ δήμῳ, ψεῦδος. Φιλόχορος δὲ, Λευκονιέα φησὶν αὐτόν. ἐπεὶ δέ ἐστιν Μέτων οὗ ὁ ἐνιαυτὸς ὁ λεγόμενος Μέτωνος. G Κατὰ πνιγέα μάλιστα] ὥσπερ φησὶ πνιγεὺς περίκειται τῇ γῇ. τὰ δὲ ἑξῆς ἀδιανόητα. πνιγεὺς δὲ οὗτος, ὁ κρίβανος ἢ ἡ κάμινος. Προσθεὶς οὖν.] Δίδυμος. τοιοῦτος ἀήρ ἐστι τῇ γῇ περικείμενος, ὅμοιος πνιγεῖ, καθάπερεὶ σῶμά τι περικείμενος. τὰ δὲ ἑξῆς φησὶν ὁ Σύμμαχος ἀδιανόητα.

Ο κύκλος γένηται τετράγωνος. κἀν μέσῳ A
Ἀγορὰ· φέρουσαι δ' ὦσιν εἰς αὐτὴν ὁδοὶ
Ὀρθαὶ, πρὸς αὐτὸ τὸ μέσον. ὥσπερ δ' ἀστέρες
Αὐτοῦ κυκλοτεροῦς ὄντος, ὀρθαὶ πανταχῇ
Ἀκτῖνες ἀπολάμπωσιν. Πεισ. ἄνθρωπος Θαλῆς.
Μέτων. Γε. τί ἐστιν. Πεισ. οἶσθ' ὁτιὴ φιλῶ σ' ἐγώ;
Κἀμοὶ γε πειθόμενος, ὑποκίνει τῆς ὁδοῦ.
Γε. τί δ' ἐστὶ δεινόν; Πεισ. ὥσπερ ἐν Λακεδαίμονι
Ξενηλατοῦνται, καὶ κεκίνηνταί τινες. B
Πληγαὶ συχναὶ κατ' ἄστυ. Γε. μῶν στασιάζετε;
Πεισ. Μὰ τὸν Δί' οὐ δῆτ'. Γε. ἀλλὰ πῶς; Πεισ. ὁμοθυμαδὸν
Σποδεῖν ἅπαντας τοὺς ἀλαζόνας δοκεῖ.
Γε. Ὑπάγοιμι γὰρ ἂν γε νὴ Δί'. Πει. ὡς οὐκ οἶδ' ἂν εἰ
Φθαίης ἄν, ἐπίκεινται γὰρ ἐγγὺς αὑταί. C
Γε. Οἴμοι κακοδαίμων. Πεισ. οὐκ ἔλεγον ἐγὼ πάλαι;
Οὐκ ἀναμετρήσεις σαυτὸν ἀπιὼν ἀλλαχῇ;
Επί. Ποῦ πρόξενοι. Πεισ. τίς ὁ Σαρδανάπαλος οὑτοσί;

Circulus fiat quadrangulus, & in medio
Forum, ferentes autem sint in ipsum via
Recta ad ipsum medium: tanquam autem stella
Ipsius circularis existentis, recti vbique
Radij resplendeant. Pi. *homo Thales.*
Meton. Geo. quid est? Pi. *scis quòd diligo te ego,*
Et mihi persuasus discede viâ.
Geo. Quid est graue? Pi. *quemadmodum in Lacedamone*
Hospitibus impelluntur & mouentur aliqui
Plaga densa in ciuitate. Geo. nunquid seditionem agitis?
Pi. *Per Iouem non certè. Geo. sed quomodo?* Pi. *simul*
Calcitrare omnes superbos videtur.
Geo. Discedam enim per Iouem. Pi. *valde non scio, si*
Praeuenies, incumbunt enim propè ha.
Geo. Hei infelix. Pi. *te non dixi ego diu?*
Non remensurabis te ipsum abiens aliò?
Exp. Vbi hospites? Pi. *quis Sardanapalus huc?*

Σχόλια. Ο κύκλος.] παίζει. ἀδύνατον γὰρ τὸν κύκλον τετράγωνον γενέσθαι. Αὐτοῦ κυκλοτεροῦς.] ἵνα τοῦ μέσου κυκλοτεροῦς ὄντος, αἱ ὁδοὶ αὐτῷ παρακαθῶσιν ὡς D ἀκτῖνες ἀστέρων.

Bisetus. Ο τούτων νοῦς ἐστι, ἵνα αἱ ὁδοὶ καθ' ὁμοιότητα τοῦ τροχοῦ, καὶ τῶν αὐτοῦ ἀκτίνων πάλιν ἐκ τῆς περιφερείας εἰς τὸ μέσον τοῦ ἀέρος, καὶ εἰς τὸ κέντρον πάντοθεν ἴσας εἰς ἐν συντρέχουσαι ἀπαρτίζωσι.

Σχόλια. Ἄνθρωπος Θαλῆς] ἐν εἰρωνείᾳ φησίν. ἐστι δὲ ὁ Θαλῆς εἷς τῶν ἑπτὰ φιλοσόφων εἷς, ἐπὶ γεωμετρίᾳ διαβεβοημένος. Ἀθηναῖοι διαπειθέσιν ἢ δὲ κοινὴ βαρβάρωσις, καὶ ὅτι μὲν ὁ ἀπατᾶται, Θαλῆ δὲ ἀεὶ τιμηθείς, ὅτε δὲ βαρβαροῦται, Θάλητος. Κἀμοὶ πειθόμενος.] ὡς φίλος τι συμβουλεύω ὑπαναχωρῆσαι ἐντεῦθεν. Ξενηλατοῦνται] περὶ τῆς ἐν Λακεδαίμονι ξενηλασίας Θεόπομπός φησιν ἐν τῇ γ' καὶ τριακοστῇ. ποτὲ γὰρ ἐκεῖσε ἀπὸ διαδοχῆς ὁμομορφίας, ξενηλασία γίνεται ὡς Θεόπομπός φησιν. Μῶν στασιάζετε] ἆρα μὴ εἰς ἀλλήλους μάχεσθε. Οὐκ οἶδ' ἂν εἰ φθαίης] ἵν' οἶδα εἰ φθαίης ἀπιέναι, πρὶν ἐπὶ τὸ τυμπανισθῆναι. ἅμα δὲ ἐτύπτε αὐτόν. Εγγὺς αὗται.] αἱ πληγαί. ἅμα δὲ τύπτει αὐτόν. Οὐκ ἀναμετρήσει] ὅτι ὁ γεωμετρήσεις. ἅμα δὲ, ὅτι οὐ μέτρια φρονήσεις ἀλλά τινα ἀρχὴν χαμηλήν. οὐδὲ μία γὰρ ἀθλίωσι. Ποῦ πρόξενοι] προξένους ἐκάλουν, τοὺς τεταγμένους εἰς τὸ ὑποδέχεσθαι τοὺς F

ξένους τοὺς ἐξ ἄλλων πόλεων ἥκοντας. Τίς ὁ Σαρδανάπαλος.] οὗτος υἱὸς Ἀνακυνδαράξου βασιλεὺς Νίνου Περσικῆς χώρας, ὃς ἐν μιᾷ ἡμέρᾳ Ταρσὸν καὶ Ἀγχιάλην ἐκτίσεν. ἐκτράπελος ταῖς τρυφαῖς. φασὶ γὰρ αἰσχρῶς αὐτὸν καλλωπίζεσθαι ὥστε οἰκέτας μὴ ὁρᾶσθαι εἰ μὴ εὐνούχους καὶ κόρας. πεπυρωμένος γὰρ τοῦ οἴκου, ἐνδον εὑρεθεὶς, ἀπέθανεν. Ἀπολλόδωρος δὲ ταῦτα φησὶν ἐπιγεγράφθαι ἐπὶ τῷ τάφῳ αὐτοῦ Ἀσσυρίοις γράμμασιν. Σαρδανάπαλος Ανακυνδαράξου παῖς. Ταρσὸν τε καὶ Ἀγχιάλην ἔδειμεν ἐν ἡμέρᾳ μιᾷ ... ὡς τἆλλα οὐδενός ἐστιν ἄξια ... ἐν τοῖς Περσικοῖς, δύο φασὶ Σαρδαναπάλους γεγονέναι. εἰς τὸ αὐτὸ. Περσῶν βασιλεύς, ὃς ἐν τρυφῇ ἐνέζετο τὴν εὐδαιμονίαν. λέγει δὲ περὶ αὐτοῦ, ὅτι ἐν μιᾷ ἡμέρᾳ β' πόλεις ἔκτισε τῆς Κιλικίας, Ταρσὸν καὶ Ἀγχιάλην ἦν δὲ τῷ βίῳ τρυφαλέος. καὶ τῷ εἴδει ἐκτράπελος. καὶ τῷ χρήματι ἀλλόκοτος. διὸ λέγουσιν ἐν τῷ τάφῳ αὐτοῦ ἐπιγεγράφθαι τοῦτο τὸ ἐπίγραμμα. E

Εὖ δὲ δαεὶς ὅτι θνητὸς ἔφυς, σὸν θυμὸν ἄεξε
Τερπόμενος θαλίῃσι. θανόντι τοι οὔτις ὄνησις.
Καὶ γὰρ ἐγὼ σποδός εἰμι Νίνου μεγάλης βασιλεύσας
Ταῦτ' ἔχω, ὅσσ' ἔφαγον καὶ ἐφύβρισα, καὶ μετ' ἐρώτων
Τερπν' ἔπαθον. τὰ δὲ πολλὰ καὶ ὄλβια κεῖνα λέλειπται.
Ἡ δὲ σοφὴ βιότοιο παραίνεσις οὔ ποτ' ἐμὴ λῆ,
Κτησάσθω δ' ὁ θέλων σοφίης τὸν ἀπείρονα πλοῦτον.

ΕΠΙΣΚΟΠΟΣ, ΠΕΙΣΘΕΤΑΙΡΟΣ.

Explorator, Pistheterus.

Bis. Ηκει καὶ Ἐπίσκοπος, ἀλλὰ καὶ τοῦτον ὑπὸ Πεισθεταίρου τυπτόμενος ἀπελθεῖν ἀναγκάζεται.

Επί. Ἐπίσκοπος ἥκω δεῦρο, τῷ κυάμῳ λαχών. G
Ες τὰς Νεφελοκοκκυγίας. Πει. ἐπίσκοπος;
Επεμψε δὲ τίς σε δεῦρο; Επί. φαῦλον βιβλίον

Exp. *Explorator venio huc, faba sortitus*
In nephelococcygias. Pi. *explorator?*
Misit autem quis te huc? Exp. malus liber

Σχόλια. Ἐπίσκοπος ἥκω] πλάττει κενὴν ἀρχήν. οὐ γὰρ ἦν Ἀθήνησι. λαχὼν δὲ, ἀντὶ τοῦ κληρωθεὶς ταύτην τὴν ἀρχήν. ἄλλως. οἱ παρ' Ἀθηναίων εἰς τὰς ὑπηκόους πόλεις ἐπισκέψασθαι τὰ παρ' ἑκάστοις πεμπόμενοι ἐπίσκοποι καὶ φύλακες ἐκαλοῦντο, οὓς οἱ Λάκωνες ἁρμοστὰς ἔλεγον.

Τέλειον.

Τελέου. Πει. τί βούλει δῆτα, τὸν μισθὸν λαβών;
Μὴ πράγματ' ἔχειν, ἀλλ' ἀπιέναι; Επί. νὴ τοὺς θεούς.
Εκκλησιάσαι δ' οὖν ἐδεόμην οἴκοι μένων.
Εστι γὰρ ἃ δι' ἐμοῦ πέπρακται Φαρνάκῃ.
Πε. Απιθι λαβών. ἔστι δ' ὁ μισθὸς οὑτοσί.
Επί. Τουτὶ, τί ἦν. Πε. ἐκκλησία περὶ Φαρνάκου.
Επί. Μαρτύρομαι τυπτόμενος ὢν ἐπίσκοπος.
Πε. Οὐκ ἀποσοβήσεις, οὐκ ἀποίσεις τὼ κάδω.
Οὐ δεινά; καὶ πέμπουσιν ἤδη ἐπισκόπους
Εἰς τὴν πόλιν, πρὶν καὶ τεθύσθαι τοῖς θεοῖς.

A Tributi. Pi. Quid vis igitur mercedem capiens
Non molestias habere, sed abire? Exp. per deos.
Concionari autem igitur indigebam domi manens,
Sunt enim quæ per me facta sunt Pharnace.
Pi. Abi capiens, est autem merces hæc.
B Exp. Hoc quid sit? Pi. Cõciliũ circa Pharnacẽ.
Exp. Testificor verberatus existens explorator.
Pi. Non expellens non auferes cados.
Non grauia? & mittunt iam exploratores
In ciuitatem ante & sacrificare deis?

Σχόλια. Φαρνάκῃ.] στρατηγὸς Περσῶν ὁ Φαρνάκης Φαρναβάζου. ἀλαζονικῶς οὖν σκώπτεται κοινωνίαν ἔχειν μετ' ἐκείνου. Τὼ κάδω] τοὺς κάδους τοὺς ἀμφορεικοὺς εἰς οὓς τὰς ψήφους καθιᾶσιν.

C Bisetus. Τὸ βυβλίον] τινὲς τὸ μὲν βυβλίον λέγουσι τὸν χάρτην ἄγραφον. τὸ δὲ βιβλίον διὰ τοῦ ι χάρτην ἔγγραφον. ἡ δὲ βύβλος, ὁ πάπυρος λέγεται. ἀλλὰ ταύτην τὴν διαφορὰν οὐκ ἀεὶ φυλάττουσιν. καὶ γὰρ θάτερον ἀντὶ θατέρου πολλάκις λαμβάνομεν.

ΨΗΦΙΣΜΑΤΟΓΡΑΦΟΣ, ΠΕΙΣΘΕΤΑΙΡΟΣ, ΕΠΙΣΚΟΠΟΣ, ΙΕΡΕΥΣ.

Legislator, Pistheterus, Explorator, Sacerdos.

Bisetus. Θεσμοθέτης τις προσέρχεται. ἀλλὰ πολλῶν ἀμφοτέρωθεν λεχθέντων τέλος ἅπαντες ἐκ τῆς σκηνῆς ἀπέρχονται. ἀλλ' ἱερεὺς τὸν Πεισθέταιρον, καὶ τοὺς λοιποὺς φίλους τοῖς θεοῖς εἴσω θύοντας ἀπιέναι κελεύει.

D Ψη. Εὰν δ' ὁ Νεφελοκοκκυγιεὺς, τὸν Αθηναῖον ἀδικῇ.
Πε. Τουτὶ τί ἐστιν αὖ κακὸν τὸ βυβλίον.
Ψη. Ψηφισματοπώλης εἰμί. καὶ νόμους νέους
Ηκω παρ' ὑμᾶς δεῦρο πωλήσων. Πε. τὸ τί;
Ψη. Χρῆσθαι Νεφελοκοκκυγιᾶς τοῖσδε τοῖς
Μέτροισι, καὶ σταθμοῖσι καὶ ψηφίσμασι.
Καθάπερ Ολοφύξιοι,
Πε. Σὺ δέ γ' οἷσιπερ ὀτοτύξιοι χρήσει τάχα.
E Ψη. Οὗτος τί πάσχεις; Πε. οὐκ ἀποίσεις τοὺς νόμους;
Πικροὺς ἐγώ σοι τήμερον δείξω νόμους.
Επί. Καλοῦμαι Πεισθέταιρον ὕβρεως,
Ες τὸν Μουνυχιῶνα μῆνα.
Πε. Αληθες οὗτος. ἔτι γὰρ ἐνταῦθ' ἦσθα σύ;
Ψη. Εὰν δέ τις ἐξελαύνῃ τοὺς ἄρχοντας,
Καὶ μὴ δέχηται κατὰ τὴν στήλην.
Πε. Οἴμοι κακοδαίμων. καὶ σὺ γὰρ ἐνταῦθ' ἦσθ' ἔτι;
F Επί. Απολῶ σε. καὶ γράφω σε μυρίας δραχμάς.
Πε. Εγὼ δέ σου γε τὼ κάδω διασκεδῶ.
Επί. Μέμνησ' ὅτε τῆς στήλης κατέτιλας ἑσπέρας;
Πε. Αἰβοῖ λαβέτω τις αὐτόν. οὗτος, οὐ μενεῖς;
Ιερ. Απίωμεν ἡμεῖς ὡς τάχιστ' ἐντευθενὶ
Θύσοντες εἴσω τοῖσι θεοῖσι τὸν τράγον.

Leg. Si autem nephelococcygiensis Athenaũ iniustitia afficit.
Pi. Hoc quid est rursus malus liber?
Leg. Psephisinatopola sum, & leges nouas,
Venio ad vos huc venditurus. Pi. Hoc quid?
Leg. Uti nephelococcygeos his
Metris & stateris & decretis,
Quemadmodum Olophyxÿ.
Pi. Tu autem quibus ototyxÿ uteris citò.
Leg. Hic quid pateris? Pi. non auferes leges
Amaras? ego tibi hodie ostendam leges.
Exp. Accuso Pisthetærum iniuriæ
In Ianuarium mensem.
Pi. Verè hic, adhuc enim hic es tu?
Leg. Si autem aliquis expellet principes,
Et non suscipit secundum legem?
Pi. Hei infelix, & tu enim hic es adhuc?
Exp. Perdã te, & accuso te mille drachmarum.
Pi. Ego autem tuos cados despergam.
Exp. Recordare quando legem cacasti vespere.
Pi. Papæ, capiat aliquis ipsum, hic nõ manebis?
Sac. Abeamus nos quàm citissimè hinc,
Sacrificaturi intus deis tragum.

Σχόλια. Οτοτύξιοι] ἀπὸ τοῦ ὀτοτύζειν ἐσχημάτισεν. Καλοῦμαι] γράφομαι εἰς τὸ δικαστήριον καλῶ. Ες τὸν Μουνυχιῶνα.] ἐς τὸν Μαιμακτηριῶνα γάρ εἰσιν αἱ κρίσεις. Κατὰ τὴν στήλην] κατὰ τὴν δημοσίαν ἀναγραφήν. Διασκεδῶ] ἀποσκεδάσω. ἀπαλλάττεται τοῦ συκοφάντου.

G Bisetus. Διασκεδῶ] διασκεδάσω. διαθρύψω. διαρρήξω. κατέτιλας δὲ κατὰ τὴν διαλεκτικὴν συγκοπὴν εἴρηται, ἀντὶ τοῦ κατατετίληκας, ἡ καὶ καθ' ἁπλῆν ἐκ παρακειμένου μέσου κατατέτιλας, κατέτιλας. καὶ γὰρ ὁ μέλλων ἐκ τοῦ ἐνεργητικοῦ κατὰ συγκοπὴν σχηματίζεται ἐν πλείστοις τῶν ῥημάτων, οἷον βεβόληκα παρὰ τὸ βολεῖν, τὸ βάλλειν, βέβολα. ἐκ τοῦ μεμένηκα, μέμηνα. τὸ δὲ κατέτιλας ἐν τοῖς ἄνω ἑρμηνεύθη εἰδώμεν.

Σχόλια. Θύσοντες εἴσω] σκώπτεται ποιοῦν εἴσω τὴν θυσίαν. ἵνα μὴ σφάζῃ τὸ πρόβατον.

A

ΩΔΗ ΚΑΙ ΣΤΡΟΦΗ κώλων ιδʹ. Χορός.

Bisetus. Ὁ χορὸς μὲν ἐστὶ χαρᾶς ἐμπλήρης, καὶ ἀγαλλόμενος καυχᾶται εὐχὰς, καὶ θυσίας αὐτῷ ὑπ' ἀνθρώπων ποιεῖσθαι ὡς τῆς γῆς καρπῶν σωτῆρι.

Χο. Ἤδη μοι τῷ παντόπτᾳ
Καὶ παντάρχᾳ θνητοὶ πάντες
Θύσουσ' εὐκταίαις εὐχαῖς.
Πᾶσαν μὲν γὰρ γᾶν ὀπτεύω.
Σώζω δ' εὐθαλλεῖς καρπούς,
Κτείνων παμφύλων γένναν
Θηρῶν. οἳ πάντ' ἐν γαίᾳ
Ἐκ κάλυκος αὐξανόμενα γένυσι πολυφάγοις,
Δένδρεσί τ' ἐφεζόμενα καρπὸν ἀποβόσκεται.
Κτείνω δ' οἳ κήπους εὐώδεις
Φθείρουσι λύμαις ἐχθίσταις.
Ἑρπετά τε καὶ δάκεθ' ὁπόσα περ αὖ
Ἐστιν, ὑπ' ἐμᾶς πτέρυγος
Ἐν φοναῖς ὄλλυται.

Cantus et versio membrorum quatuordecim Chorus.

CHO. *Iam mihi omnia videnti,*
Et omnibus imperāti, mortales omnes
B *Sacrificabunt optatis precibus:*
Omnem quidem enim terram video.
Saluo autem pullulantes fructus,
Interficiens omnium tribuum generationem
Ferarum, quae omnia in terra
Ex germine aucta gulis deuorantibus,
Arboribúsque insidentes fructum deuorant.
Interficio autem qua hortos odoriferos
C *Corrumpunt nocumentis pessimis.*
Serpiliáque & mordacia quaecunque
Sunt à mea ala,
In cadis pereunt.

Σχόλια. Ἤδη μοι τῷ παντόπτᾳ] εἰώθασι μετὰ τὴν τελείαν παράβασιν, ἐπιρρηματικὴν ποιεῖσθαι συζυγίαν, ὥσπερ καὶ ἐν Ἱππεῦσι πεποίηκεν. ἄλλως. δευτέρα παράβασις ὡς ἐν Ἱππεῦσιν. ἄλλως. ἡ παράβασις αὕτη οὐκ ἔχει πάντα τὰ μέρη, ἀλλὰ μόνα τέσσαρα. τὴν ᾠδὴν καὶ στροφήν. καὶ ἐπίρρημα. τὸ αὐτὸ ἦν καὶ τὸ ἀντεπίρρημα. ἔστι γοῦν ἡ ᾠδὴ καὶ στροφὴ κώλων καὶ στίχων δακτυλικῶν καὶ παιωνικῶν ιδ. τὸ α. δ. ε. ζ. δακτυλικὰ ἑφθημιμερῆ. τὰ β γ δ ι ια τετράμετρα, τὰ δ' ἄλλα παιωνικὰ τετράμετρα καὶ ἀκατάληκτα, τὰ η θ. τὸ δὲ ιβ. τρίμετρον. τὸ δὲ ιγ δίμετρον. τὸ δὲ ιδ ἑφθημιμερὲς ἐκ κρητικῶν. ὑφ' ὃ παράγραφος, καὶ διπλῆ ἔσω νενευμένη. Κτείνων παμφύλων] καὶ θηρίοις γὰρ πολέμιοι ὄρνιθες ὡς λαγωοῖς αἰετός. Ἑρπετὰ καὶ δάκετα.] καὶ τὰ ἄλλα δάκετα ὥσπερ εἰ τύχοι ὁ σκορπιός. δάκετα δὲ θηρία ἰοβόλα.

D

ΕΠΙΡΡΗΜΑ ΣΤΙΧΩΝ ιϛ.

Χο. Τῇδε μέντοι θ' ἡμέρᾳ μάλιστ' ἐπαναγορεύεται.
Ἢν ἀποκτείνῃ τις ὑμῶν Διαγόραν τὸν Μήλιον,
Λαμβάνειν τάλαντον. ἤν τέ τις τῶν τυράννων τις τινὰ
Τῶν τεθνηκότων ἀποκτείνῃ, τάλαντον λαμβάνειν.
Βουλόμεσθ' οὖν νῦν ἀνειπεῖν ταῦτα χ' ἡμεῖς ἐνθάδε.
Ἢν ἀποκτείνῃ τις ὑμῶν Φιλοκράτη τὸν Στρούθιον,
Λήψεται τάλαντον. ἢν δὲ ζῶντ' ἀγάγῃ, τέτταρα.
Ὅτι συνείρων τοὺς σπίνους, πωλεῖ καθ' ἑπτὰ τοὐβολοῦ.
Εἶτα φυσῶν, τὰς κίχλας δείκνυσι καὶ λυμαίνεται.
Τοῖς τε κοψίχοισιν εἰς τὰς ῥῖνας ἐγχεῖ τὰ πτερά.
Τὰς περιστερὰς θ' ὁμοίως ξυλλαβὼν, εἵρξας ἔχει,

Adverbium versuum sexdecim.

CHO. *Hac quidem die maximè gaudet,*
Si interficiat aliquis vestrûm Diagoram Melium,
E *Accipere talentum, si autem tyrannorum aliquis aliquem*
Mortuorum interficiat, talentum accipere.
Volumus igitur nunc clamare hac & nos hic.
Si interficiat aliquis vestrûm Philocratem passerinum,
Accipiet talētū, si autem viuum ducat, quatuor:
Quòd congregans passeres, vendit per septem obolo,
F *Postea inflans turdos ostendunt & laedunt,*
Hísque copsichis in nares infundit pennas.
Colūbásque similiter colligens impediēs habet,

Σχόλ. Διαγόραν τὸν Μήλιον.] μετὰ τὴν ἅλωσιν Μήλου, ἐν Ἀθήναις ᾤκει. οὗτος δὲ μυστήρια εὐτέλιζεν, ὡς πολλοὺς ἐκτρέπειν τῆς τελετῆς. τοῦτον οὖν ἐκήρυξαν κατ' αὐτοῦ Ἀθηναῖοι. καὶ ἐν χαλκῇ στήλῃ ἔγραψαν, ὥς φησι Μελάνθιος ἐν τῷ περὶ μυστηρίων. εἰς τὸ αὐτὸ. ταῦτα ἐκ τοῦ ψηφίσματος ἀνέλαβεν. οὕτω γὰρ ἐκήρυξαν. τῷ μὲν ἀποκτείναντι αὐτὸν τάλαντον λαμβάνειν. τῷ δὲ ἀγαγόντι δύο. ἐκηρύχθη δὲ τοῦτο διὰ τὸ ἀσεβὲς αὐτοῦ, ἐπειδὴ τὰ μυστήρια πᾶσι διηγεῖτο κοινοποιῶν αὐτὰ, καὶ τοὺς βουλομένους μυεῖσθαι ἀποτρέπων καθάπερ Κρατερὸς ἱστορεῖ. ἐκηρύχθη δὲ μάλιστα ὑπὸ τὴν ἅλωσιν τῆς Μήλου. οὐδὲν γὰρ κωλύει καὶ πρότερον. Μελάνθιος δὲ ἐν τῷ περὶ μυστηρίων προφέρει τὴν χαλκῆς στήλης ἀντίγραφον. ἐν ᾗ ἐπεκήρυξαν καὶ αὐτὸν καὶ τοὺς ἐκδιδόντας Πελληνεῖς. γέγραπται καὶ ταῦτα. ἐὰν δέ τις ἀποκτείνῃ Διαγόραν τὸν Μήλιον, λαμβάνειν ἀργυρίου τάλαντον. ἐὰν δέ τις ἀγάγῃ λαβεῖν δύο. Ἤν τε τῶν τυράννων τις] τινές, τινά. περὶ ἐλέγχου τινα τῶν ἀνελόντων αὐτῶν ὃς ἐὰν φονεύσῃ. Τῶν τεθνηκότων.] τῶν ἐπὶ θανάτῳ φευγόντων. ἐν δὲ τοῖς ὑπομνήμασιν, οὕτω γέγραπται. ἐν ὑπερβολῇ καὶ τοὺς τεθνηκότας

G

κύκλας ἀποκτείνειν. ὡς τι μέλλ' ἐν - - - - - πλεονάζονται δὲ τῇ ἀμφιβολίᾳ. λέγει γὰρ, ἐάν τις τινὰ τῶν τοῖς τυράννοις προσηκόντων ἀποκτείνῃ, τάλαντον λήψεται. οἷον γυναῖκα. τέκνον. ἀδελφόν. τοὺς συνωμοσίας καὶ συμπράξαντας τῇ τυραννίδι.

Bisetus. Ανειπεῖν] ἀνακηρύττειν, ἀναγορεύειν. Σ.

Σχόλια. Τὸν Στρούθιον.] ἄνω εἶπεν ἕνα τῶν ὀρνέων. Στρούθιον δὲ εἶπεν, ὡς Μήλιον. διὸ καὶ οὕτω προσεικτέον. συνείρων δὲ εἰς ὁρμαθὸν συντιθείς. Σπίννους.] εἶδος ὀρνέου. τρία δὲ αὐτοὺς λυπεῖ, ὅτι θηρεύει. ὅτι πωλεῖ. ὅτι ζῶντας ἐκδύει ὡς ὑπτιλίζων αὐτούς. Τοῖς τε κοψίχοισιν] οἱ κόψιχοι γὰρ ὠοτοκοῦντες, κεντοῦσι τὰ ᾠά. οἱ οὖν ὀρνιθοθῆραι πτερὰ αὐτοῖς ἐμβάλλουσι πρὸς τὸ ἀμβλῦναι τὰ ῥάμφη τῇ μαλακότητι τῶν πτερῶν. ἢ ἵνα μὴ κορύζωσιν, ἢ μετὰ τὸ σφάξαι πτερὰ ἐπιβάλλουσιν. ὥστε ἐξ αὐτῶν αὐτοὺς κρεμαμένους, φράζει λέγειν. ἐμφαντικὸν δὲ πλήθους, τὸ ἐγχεῖ. βιαίως δὲ τὸ ἐγχεῖ, πείροντες γὰρ διὰ τῶν ῥινῶν, καὶ κρεμοντες ἐπώλουν.

Καὶ παναγκάζει πάλλευειν, δεδεμένας ἐν δικτύῳ.
Ταῦτα βουλόμεσθ' ἀνειπεῖν. κεἴ τις ὄρνιθας τρέφει,
Εἰργμένους ὑμῶν ἐν αὐλῇ, φράζομεν μεθιέναι.
Ην δὲ μὴ πείθησθε, συλληφθέντες ὑπὸ τῶν ὀρνέων,
Αὖθις ὑμεῖς αὖ παρ' ἡμῖν δεδεμένοι, παλλεύσετε.

Et cogit aucupari ligatas in rete.
Hac volumus clamare, & si quis aues nutrit,
Impeditos vestrûm in aula, dicimus dimittere.
Si autem non persuademini concepti ab auibus,
Rursus vos iterum à nobis ligati, aucupabimini.

Σχόλια. Παλεύειν] θηρεύειν. προκαλεῖσθαι. εἰώθασιν οἱ ἀκτυφλοῦντες τινὰ τῶν ὀρνέων ἱστάναι ἐν δικτύῳ, ὅπως τῇ φωνῇ προσκαλοῖτο τὰ ὁμοιογενῆ. καὶ τοῦτο γλωσσηματικὸν παλεύειν ἔλεγον. ἄλλως. θηρεύειν. προσκαλεῖσθαι βοσκόμενα ἐν μέσῳ τῶν κοψίχων δὲ τοῦτο. ἐπεὶ δεδεμένους ἂν εἶπεν. ἀλλὰ μετιέναι ἐπὶ περιστεράς, ἢ φάττας.

ΑΝΤΩΔΗ ΚΑΙ ΑΝΤΙΣΤΡΟΦΗ κώλων ιδ'.

Χο. Εὔδαιμον φῦλον πτηνῶν
Οἰωνῶν. οἳ χειμῶνος μὲν
Χλαίνας οὐκ ἀμπισχνοῦνται.
Οὐδ' αὖ θερμὴ πνῖγος ἡμᾶς
Ακτὶς τηλαυγὴς θάλπει.
Αλλ' ἀνθηρῶν λειμώνων
Φύλλων ἐν κόλποις ἐνναίω.
Ηνίκ' ἂν ὁ θεσπέσιος ὀξυμελὴς ἀχέτας,
Θάλπεσι μεσημβρινοῖς ἡλιομανὴς βοᾷ.
Χειμάζω δ' ἐν κοίλοις ἄντροις
Νύμφαις οὐρείαις ξυμπαίζων.
Ηρινά τε βοσκόμεσθα παρθένια
Λευκότροφα μύρτα Χαρί-
Των τε κηπεύματα.

RECANTATIO ET REVERSIO membrorum quatuordecim.

Cho. *Felix tribus volatilium*
Auium, quæ hyeme quidem
Chlænas non induuntur.
Neque rursus calor feruoris nos
Radius longè splendens calefacit,
Sed floridorum pratorum,
Foliorum in sinibus Ennai,
Quando diuina acutè canens cicada,
Caloribus meridianis à sole furens clamat.
Hyeme autem in concauis speluncis,
Nymphis montanis colludens,
Vernáque pascimur virginalia,
Alba nutrimento myrta, Gra-
Tiarúmque fructus.

Σχόλια. Εὔδαιμον φῦλον] ἡ ἀντῳδὴ καὶ ἀντιστροφὴ, ὁμοία ἐστὶ τῇ ᾠδῇ καὶ στροφῇ, καὶ αὕτη γὰρ κώλων καὶ στίχων ἐστὶ ιδ'. καὶ τὰ μὲν ἔχει δακτυλικὰ ἰσόμετρα τοῖς ἐκείνοις, τὰ δὲ παιωνικὰ ἐπιμεμιγμένα κρητικοῖς. ἐπὶ τοῦ τέλους αἱ συνήθεις δύο διπλαῖ ἔξω νενευκυῖαι. ἐν σχήματι δὲ εἴρηται ὁ λόγος. εὔδαιμον φῦλον ὁ χειμῶνος. πρὸς γὰρ τὸ σημαινόμενον τοῦ φύλου πληθυντικὸν ὂν ἔφη τὸ οἱ. Οὐδ' αὖ θερμή.] τινὲς τοῦ πνίγους κατ' ἔνστασιν φασίν. ἵνα ᾖ οὐδὲ θέρους θερμασία ἐπίκειται ἡμῖν. Φύλλων ἐν κόλποις.] ὥστε εἶναι ὑπὸ τὰ φύλλα.

Bisetus. Αχέτας] δωρικῶς, ἀντὶ τοῦ ἠχέτης. Σ. ἀχέτας, ὡς εἶδος τέττιγος, ἀλλ' ἐπίθετον τέττιγος. ὥσπερ καὶ ὁ ἀκανθίας, ὑπὸ τοῦ ἠχεῖν ἐν ἀκάνθαις. νῦν μέντοι τὸ ἐπίθετον ἀντὶ τοῦ ὀνόματος κυρίου τοῦ τέττιγος λαμβάνεται κατ' ἀντονομασίαν. ὥσπερ καὶ Ολύμπιος, ἀντὶ τοῦ ὁ Ζεύς. κατ' ἐξοχὴν δέ τινα ὁ τέττιξ ἠχέτης καλεῖται διὰ τὸ ἦχον, ὃν ἐν θέρους ὥρᾳ καθ' ἡμέραν, καὶ νύκτωρ ποιεῖται.

Σχόλια. Υφ' ἡλίῳ μανείς.] τέρπεται γὰρ καὶ ἐπιμαίνεται τῷ ἡλίῳ ὁ τέττιξ.

Bisetus. Γράφεται καὶ μιᾷ λέξει, ὑφηλιομανής.

Σχόλια. Παρθένια.] διὰ τὸ ἐπιμελῶς τὰς γυναῖκας καὶ τὰς παρθένους τὰ μύρτα ἐσθίειν. λευκότροφα δὲ, ἀντὶ τοῦ λευκὰ καὶ τρυφερά. τοιαῦτα γάρ εἰσι μήπω πεπανθέντα.

ΑΝΤΕΠΙΡΡΗΜΑ στίχων ιϛ'.

Χο. Τοῖς κριταῖς εἰπεῖν τι βουλόμεσθα, τῆς νίκης πέρι.
Οἷς ἀγάθ' ἢν κρίνωσιν ἡμᾶς, πᾶσιν αὐτοῖς δώσομεν.

IN ADVERBIVM VERSUUM SEXDECIM.

Cho. *Iudicibus dicere aliquid volumus victoriam circa,*
Quibus bona si iudicent, nos omnibus ipsis dabimus,

Σχόλια. Τοῖς κριταῖς] πολλάκις ἐν ταῖς παραβάσεσι, καὶ οἱ ποιηταὶ λέγουσι τινὰ εἰς τὰ ἑαυτῶν χρήσιμα, A διὰ τοῦ χορικοῦ προσώπου, ὡς νῦν πρὸς τοὺς κριτὰς ἀποτείνει τὸν λόγον, ὅπως ἂν αὐτοῖς ψηφίσωνται τὴν νίκην.

Ὡς τὰ πρέποντα δῶρα πολλῷ τῶν Ἀλεξάνδρου λαβεῖν.
Πρῶτον μὲν γὰρ οὗ μάλιστα πᾶς κριτὴς ἐφίεται,
Γλαῦκες ὑμᾶς οὔποτ' ἐπιλείψουσι Λαυρειωτικαί.
Ἀλλ' ἐνοικήσουσιν ἔνδον ἔν τε τοῖς βαλαντίοις
Ἐννεοττεύσουσι, κἀκλέψουσι μικρὰ κέρματα.
Εἶτα πρὸς τούτοισιν, ὥσπερ ἐν ἱεροῖς οἰκήσετε.
Τὰς γὰρ ὑμῶν οἰκίας, ἐρέψομεν πρὸς αἰετόν.
Κἂν λαχόντες ἀρχίδιον, εἶθ' ἁρπάσαι βούλησθέ τι
Ὀξὺν ἱερακίσκον ἐς τὰς χεῖρας ὑμῖν δώσομεν.
Ἢν δέ που δειπνῆτε, πρηγορεῶνας ὑμῖν πέμψομεν.
Ἢν δὲ μὴ κρίνητε, χαλκεύεσθε μηνίσκους φορεῖν,
Ὥσπερ ἀνδριάντες. ὡς ὑμῶν ὃς ἂν μὴ μηνίσκον ἔχῃ,
Ὅταν ἔχητε χλανίδα λευκὴν, τότε μάλισθ' οὕτω δίκην
Δώσεθ' ἡμῖν πᾶσι τοῖς ὄρνισι καταχεζόμενοι.

Ad meliora dona multo illis Alexandri capere.
Primùm quidem enim (quo maximè omnis index desiderat)
Noctua vos nunquam relinquent Lauriotica.
Sed inhabitabunt intus, inq; arcis
B *Nidificabunt, & decorticabunt parua lucra,*
Postea ad hac, tanquam in sacris habitabitis.
Has enim vestrûm domos cooperiemus ad aquilam.
Etsi sortiti dominatiunculam, postea rapere vultis aliquid,
Acutum accipiterculum in manus vobis dabimus.
Si autem cœnatis, guttura vobis mittemus.
C *Si autem non indicatis, aramini coopercula ferre,*
Tanquam statua, sic vestrum qui non coperimentum habeat.
Quando habetis chlanulam albam, tunc maximè sic pœnam
Dabitis nobis omnibus auibus euulsi.

Σχόλια. Πολλῷ τῶν Ἀλεξάνδρου.] τοῦ Πάριδος ὃν ἔλαβε παρὰ Ἀφροδίτης. ἀπὸ κοινοῦ δὲ τὸ δώσομεν. Γλαῦκες ὑμᾶς.] ἀντὶ τοῦ νομίσματα. ἡ γὰρ γλαῦξ, ὄρνεόν ἐστιν Ἀθηνᾶς. ὅπερ πάνυ τιμῶντες Ἀθηναῖοι διὰ τὴν θεὸν ἐν τοῖς τετραδράχμοις ἐνεχάραξαν νομίσμασιν. αἰνίττεται δὲ καὶ εἰς τὸ φιλάργυρον τῶν Ἀθηναίων. ἄλλως. ἡ γλαῦξ ἐπὶ χαράγματος ἦν τετραδράχμου, ὡς Φιλόχορος. ἐκλήθη δὲ τὸ νόμισμα τὸ τετράδραχμον τότε ἡ γλαῦξ. ἦν γὰρ γλαῦξ, ἐπίσημον, καὶ πρόσωπον Ἀθηνᾶς. τῶν προτέρων διδράχμων ὄντων. ἐπίσημόν τε βοῦν ἐχόντων.

E Bisetvs. Καὶ παροιμία. γλαῦκες Λαυρειωτικαὶ, ἐπὶ τῶν πολλὰ χρήματα ἐχόντων, παρόσον ἐν Λαυρείῳ τῆς Ἀττικῆς γίνονται χρύσεια μέταλλα. ἐνεχάραττον δὲ γλαῦκας ἐν τοῖς χρυσοῖς νομίσμασι. Σ.

Σχόλια. Κἀκλέψουσι.] δέον εἰπεῖν καὶ λεπιοῦσι. λεπίζουσι γὰρ τὸ ᾠὸν ἐκφέρουσι τὰ νεόττια. Ἐρέψομεν] διὰ τὰ ἐν τοῖς ναοῖς ἀετώματα. ἀντὶ τοῦ στεγάσομεν πρὸς ἀε-D τώματα. τὰς γὰρ τῶν ἱερῶν στέγας, πτερὰ καὶ ἀετοὺς καλοῦσιν. ὡς φησιν Ἴων ἐν Ἀγαμέμνονι. Κἂν λαχόντες ἀρχίδιον. ὑποκοριστικῶς τὴν ἀρχήν. διαβάλλει δὲ αὐτοὺς ὡς ἅρπαγας. Ὀξὺν ἱερακίσκον.] ἀντὶ τοῦ ἁρπαγὴν ὀξεῖαν. δίδομεν τάχος ὡς ἱέρακος. ἵνα ταχέως φύγῃ. Πρηγορεῶνας] κυρίως τῶν ὀρνίθων ὁ λεγόμενος πρόλοβος. ἑκάτεροι δὲ, ἀπὸ τοῦ συναθροίζειν ἐκεῖ τὴν τροφήν. Δίδυμος δὲ, τοὺς βρόγχους τῶν ὀρνέων τοὺς λεγομένους προλόβους, ὅτι συλλέγεται ἐν αὐτοῖς τὰ σιτία. λέγεται δὲ, καὶ ἐπὶ ἀνθρώπων πρηγορεὼν πάλιν ὁ βρόγχος. ἑκάτερον δὲ, E ἀπὸ τοῦ συναθροίζειν ἐκεῖ τὴν τροφήν. Ἢν δὲ μὴ κρίνητε.] ἐὰν δὲ μὴ ἡμᾶς κρίνητε νικᾶν, τίθεσθε ὥσπερ οἱ ἀνδριάντες μηνίσκους ἐπὶ ταῖς κεφαλαῖς. ποιοῦσι γὰρ ἔνιοι ὥστε μὴ ἐφάπτεσθαι τὰ ὄρνεα. εἰς τὸ αὐτό. μηνίσκους σκεπάσματα τῶν ἀνδριάντων, διὰ τὸ μὴ ἀποπατεῖν κατ' αὐτῶν τὰ ὄρνεα. φησὶν οὖν, ὅτι μέλλομεν ὑμῶν καταπατεῖν. Μήνην.] μηνίσκον μήνῃ γὰρ ἔοικε.

ΠΕΙΣΘΕΤΑΙΡΟΣ, ΑΓΓΕΛΟΣ.

F PISTHETERVS, NVNCIVS.

Κορωνὶς δεστίχων ὁ.

Bisetvs. Ὁ Πεισθέταιρος ἔσω θύσας εἰς τὴν σκηνὴν πάλιν ἔρχεται. ἔρχεται καὶ ἄγγελός τις ἐκ τῆς κτίσεως πόλεως ἥκων. δς τὴν πόλεως οἰκοδομὴν τὴν ποιότητα, καὶ μέγεθος, καὶ τὰ ἐν αὐτῇ συμβάντα δηλοῖ ἔσται.

Πε. Τὰ μὲν ἱέρ' ἡμῖν ἐστιν ὦ ὄρνιθες καλά.
Ἀλλ' ὡς ἀπὸ τοῦ τείχους πάρεστιν ἄγγελος
Οὐδεὶς, ὅτου πευσόμεθα τἀκεῖ πράγματα.
Ἀλλ' οὑτοσὶ τρέχει τις Ἀλφειὸν πνέων.
Αγγ. Ποῦ ποῦ 'στι, ποῦ ποῦ ποῦ 'στι, ποῦ ποῦ ποῦ 'στι ποῦ,
Ποῦ Πεισθέταιρός ἐστιν ἄρχων; Πε. οὑτοσί.
Αγ. Ἐξῳκοδόμηταί σοι τὸ τεῖχος. Πε. εὖ λέγεις.
Αγ. Κάλλιστον ἔργον καὶ μεγαλοπρεπέστατον.

Pi. *Hac quidē sacra nobis sunt ô aues bona,*
Sed tanquam à muro adest nuncius
Nullus, quem interrogabimus illic res.
G *Sed hic currit aliquis Alpheū spirans. (est? ubi*
Nvn. *Vbi ubi est? ubi ubi ubi est? ubi ubi ubi*
Vbi Pisthetarus est princeps? Pi. *hic.*
Nvn. *Ædificatus est tibi murus?* Pi. *bene dicis.*
Nvn. *Optimum opus & honorandum,*

Σχόλια.

Σχόλια. Τὰ μὲν ἱερ' ὑμῖν.] κορωνὶς εἰσιόντων αὖθις τῶν ὑποκριτῶν. οἱ δὲ στίχοι ἰαμβικοὶ τρίμετροι ἀκατάληκτοι ὀκτὼ τελευταῖος. τέξεται παῖς τις. σφενδονῆται μοι δ' ἔστω. ἐπὶ τῷ τέλει κορωνίς. Ἀλλ' οὑτοσὶ τρέχει] Σύμμαχος. οὕτω σπουδαίως τρέχει, ὥστε ὀλυμπιακὸς

Ὥσθ' ὑπεραίω μὲν Προξενίδης ὁ Κομπασεὺς,
Καὶ Θεαγένης, ἐναντίω δύ' ἅρματε,
Ἵππων ὑπόντων μέγεθος ὅσον ὁ δούρειος.
Ὑπὸ τοῦ πλάτους ἂν παρελασαίτην. Πει. Ἡράκλεις.
Αγγ. Τὸ δὲ μῆκός ἐστι, καὶ γὰρ ἐμέτρησ' αὐτ' ἐγὼ,
Ἑκατοντόργυιον. Πι. ὦ Πόσειδον τοῦ μάκρους.
Τίνες ᾠκοδόμησαν αὐτὸ τηλικουτονί;
Αγγ. Ὄρνιθες, οὐδεὶς ἄλλος, οὐκ Αἰγύπτιος
Πλινθοφόρος, οὐ λιθουργὸς, οὐ τέκτων παρῆν:
Ἀλλ' αὐτόχειρες, ὥστε θαυμάζειν ἐμέ.
Ἐκ μέν γε Λιβύης ἧκον ὡς τρισμύριαι
Γέρανοι, θεμελίους καταπεπωκυῖαι λίθους.
Τούτους δ' ἐτύκιζον αἱ κρέκες τοῖς ῥύγχεσιν.
Ἕτεροι δ' ἐπλινθοφόρουν πελαργοὶ μύριοι.
Ὕδωρ δ' ἐφόρουν κάτωθεν ἐς τὸν ἀέρα
Οἱ χαραδριοὶ, καὶ τἄλλα ποτάμι' ὄρνεα.
Πει. Ἐπηλοφόρουν δ' αὐτοῖσι τίνες; Αγγ. Ἐρωδιοὶ
Λεκάναισι. Πει. τὸν δὲ πηλὸν ἐνεβάλλοντο πῶς;
Αγγ. Τοῦτ' ὦ 'γάθ' ἐξηύρητο καὶ σοφώτατα.
Οἱ χῆνες ὑποτύπτοντες ὥσπερ ταῖς ἄμαις
Ἐς τὰς λεκάνας ἐνέβαλλον αὐτοῖς τοῖν ποδοῖν.
Πει. Τί δῆτα πόδες ἂν οὐκ ἂν ἐργασαίατο;
Αγγ. Καὶ νὴ Δί' αἱ νῆτται γε περιεζωσμέναι,
Ἐπλινθοφόρουν. ἄνω δὲ τὸν ὑπαγωγέα
Ἐπέτοντ' ἔχουσαι κατόπιν ὥσπερ παιδία
Τὸν πηλὸν ἐν τοῖς στόμασιν αἱ χελιδόνες.
Πει. Τί δῆτα μισθωτοὺς ἂν ἔτι μισθοῖτό τις;
Φέρ' ἴδω. τί δαί; τὰ ξύλινα τοῦ τείχους, τίνες
Ἀπηργάσαντ'. Αγγ. ὄρνιθες ἦσαν τέκτονες.

Σχόλια. Προξενίδης καὶ Θεαγένης.] ἐκ τούτων πιστοῦται τὸ ἀνυπόστατον τοῦ τείχους. ἐπεὶ καπνοὶ ἦσαν καὶ κομπασταί. καὶ μόνον ὑπόσχεσις. τοιαύτη δὲ καὶ ἡ τοῦ τείχους οἰκοδομή. Ὁ Κομπασεύς.] ἔπαιξε παρὰ τὸν κόμπον. προσείρηται δὲ ἀεὶ αὐτῶν ἀμφοτέρων ὅτι κομπασταί. Τηλεκλείδης δὲ ἐν Ἡσιόδοις, ὡς παραμύθιον τῷ εἶναι κωμῳδεῖ αὐτόν. Ὅσον ὁ δούρειος.] οὐ πιθανὸν κοινῶς λέγειν αὐτόν. ἀλλὰ ἀεὶ τοῦ χαλκοῦ τοῦ ἐν ἀκροπόλει. ἀνέκειτο γὰρ ἐν ἀκροπόλει δούρειος ἵππος ἐπιγραφὴν ἔχων. Χαιρέδημος εὐαγγέλου ἐκ κοίλης ἀνέθηκε. δοκεῖ δὲ ὁ ἐν Ἰλίῳ λαμβάνεσθαι. ἐν ἀκροπόλει δὲ χαλκοῦς ἵππος ἀνέκειτο κατὰ μίμησιν τοῦ Ἰλιακοῦ.

Βισετυς. Περὶ τοῦ δὲ τοῦ δουρείου ἵππου Εὐριπίδης ἐν Τρῳάσι ταῦτα διδάσκει,

Φωκεὺς Ἐπειὸς μηχαναῖσι Παλλάδος
Ἐγκύμον' ἵππον τευχέων ξυναρμόσας
Πύργων ἔπεμψεν ἐντὸς ὀλέθριον βάρος.
Ὅθεν πρὸς ἀνδρῶν ὕστερον κληθήσεται
Δούρειος ἵππος, κρυπτὸν ἀμπίσχων δόρυ.

Σχόλια. Τοῦ μάκρους.] σημείωσαι ὅτι τὸ μάκρος λέγει.

Βισετυς. Τὸ μάκρος, ἀντὶ τοῦ μῆκος, ἀρχαιότερον.

Σχόλια. Αἰγύπτιος πλινθοφόρος.] οἱ Αἰγύπτιοι ἐκωμῳδοῦντο ὡς ἀχθοφόροι. καὶ ἐν Βατράχοις. οὓς οὐκ ἂν ἄραιντ' ἂν οὐδ' ἂν Αἰγύπτιοι. εἰς τὸ αὐτὸ. ὅτι ἴδιον Αἰγυπτίων τὸ ἀχθοφορεῖν. Γέρανοι θεμελίους] διὰ τὸ ἐν ὕψει πέτεσθαι. καὶ τῇ εἰς εὐθὺ ὁρμῇ τὴν ἐπὶ τὰ κάτω θέαν ἐμποδίζεσθαι, λίθους βαστάζουσιν, ὅπως κάμνουσαι τῇ πλάσει ῥίπτωσιν, καὶ αἰσθάνωνται πότερον ἐπὶ γῆς ἢ ἐπὶ θαλάσσης φέρονται. καὶ εἰ μὲν ἐπὶ θαλάσσης ἧκοι ὁ λίθος, ἀνύουσι τὴν ὁδόν. εἰ δὲ ἐπὶ γῆς, ἀναπαύονται. Καταπεπωκυῖαι λίθους.] ἐπεὶ αἱ γέρανοι λίθους καταπίνουσι καὶ ἐπὶ τὴν Αἴγυπτον παραγίνονται. Τούτους δ' ἐτύκιζον.] λίθους ἐργαλείοις τοὺς λίθους περιτύκους καὶ ξέειν ἐλέγετο. τὸ δὲ ἔργον τὸ μακρὸν ἐχούσαις ῥύγχος. κρὲξ δὲ, εἶδος

A Vt desuper quidem Proxenides ille superbus,
Et Theagenes è contrario duos currus
B Equorum subexistentibus magnitudine quanta equus Troianus
In latitudine agitauit. Pi. Hercules.
NV. Hac autem longitudo est (etenim mensuraui ipsam ego)
Centum passuum. Pi. O Neptune longitudine,
Qui ædificauerunt ipsam tantum?
NV. Aues, nullus alius, non Ægyptius
Lateriger, non petrarum factor, non faber affuit,
C Sed propria manu, ad admirari me.
Ex quidem Lbya venerunt ferè ter mille
Grues, fundamentales deuorantes lapides:
Hos autem polierunt ibides rostris,
Alij autem lapides ferebant pelargi mille.
Aquam autem ferebant inferi in aerem,
Charadrij, & aliæ fluuiales aues.
Pi. Lutum autem ferebant ipsis qui? NVN. Erodij
D Peluibus. Pi. Hoc autem lutum iniecerunt quomodo?
NVN. Hoc ò bone inuentum est, & sapientissime,
Anseres subuolantes tanquam sarculis,
In peluis iniecerunt ipsis pedibus.
Pi. Quid certè pedes non operabantur?
NV. Et per Iouem anates circuncinctæ,
E Lateres ferebant, supra autem rastrum
Volabant, habentes à tergo tanquam pueros,
Lutum in oribus hirundines.
Pi. Quid certè mercenarios item conduxit quis?
Age videam. quid autem? lignea muri qui
Operati sunt. NV. Aues erant fabri

(Margin letters F and G stand beside the commentary at left and right.)

ὀρνέω, διὰ τὸ ἄνω τὸ ῥύγχος ἢ πριονώδες ἔχειν. Πελαργοὶ μυρίοι.] διὰ τὸ πελαργικὸν τεῖχος τοὺς ἀπὸ Τυρρηνίας ἥκοντας ἀναστῆσαι. Οἱ χαραδριοὶ] ὀνοματοποιεῖται τὸ ὄρνεον παρὰ τὸ ἐν ταῖς χαράδραις διατρίβειν. Ερωδιοὶ λεκάναισι.] παρὰ τὴν ἔρας περιεῖχον ἐπεὶ πηλὸς ἐκ τῆς ἔρας. τουτέστι τῆς γῆς. ταῦτα δὲ ὡς ἐν κωμῳδίᾳ ἐσχημάτισαι. λεκάνη δὲ τὸ κοινὸν παρὰ τὸ λάγηνον ταλικὸν καὶ τὸ χαίρω. τὸ δὲ Ἀττικὸν λακάνη. Οἱ χῆνες ὑποτύπτοντες.] διὰ τὸ πλατύποδας τῶν ἄλλων μᾶλλον εἶναι τοὺς χῆνας. Τί δῆτα πόδες.] παρὰ τὴν παροιμίαν. τί δῆτα χεῖρες οὐκ ἂν ἐργάσαιντο. καὶ νὴ Δί᾽ αἱ νῆτται. ἡ νῆττα εἶδος ὀρνέου ἔχον τὴν περιοχὴν ἐκ φύσεως, ὥσπερ ζώνην λευκήν. τοῦτο οὖν ἔπαιξεν ὡς ἂν ἐζωσμένην εἰρηνικῶς αὐτήν. ὑπαγωγέα δέ, τὸ ξυστῆρα. πλατὺ δέ ἐστι σίδηρον ᾧ ξύουσι τὸν πηλόν. ἄλλως. τινὲς τῶν νηττῶν ἔχουσιν ὡς ζώνην ἐν κύκλῳ λευκήν. Εχουσαι κατόπιν.] ὥσπερ παιδία βαστάζουσαι αὐτόν. ὡς εἰώθασι βαστάζειν τὰ παιδία. ἀσαφῶς δὲ λέγει. λέγει γὰρ τὰς χελιδόνας τὸν ὑπαγωγέα ἐπὶ τῶν ὤμων αὐτὰς κομίζειν. τὸν δὲ πηλὸν ἐν τοῖς στόμασι. καὶ ποιοῦσι τοῦτο, ὅταν τὰς νεοττιὰς κατασκευάζωσιν. ὁ δὲ ὑπαγωγεὺς ὥς τινες σιδηροῦν τι ἐστὶ πλινθίον. ᾧ ἐχρῶντο οἱ κονιαταί. οἱ δέ, ἐργαλεῖον οἰκοδομικὸν ᾧ ἀπευθύνουσι τὰς πλίνθους πρὸς ἀλλήλας. τινὲς δὲ αὐτὸ παρὰ ξυστὸν καλοῦσιν. οἱ μὲν ἄρα πηλόν τινα ὑπαγωγέα καλοῦσι, τοιοῦτον γάρ τι καὶ Ἑρμιππος ἐν τοῖς Τριμέτροις ἐμφανίζει.

A

B

Σοφώτατοι, Πελεκᾶντες, οἳ τοῖς ῥύγχεσιν
Ἀπεπελέκησαν τὰς πύλας. ἦν δ᾽ ὁ κτύπος
Αὐτῶν πελεκώντων, ὥσπερ ἐν ναυπηγίῳ.
Καὶ νῦν ἅπαντ᾽ ἐκεῖνα πεπύλωται πύλαις
Καὶ βεβαλάνωται. καὶ φυλάττεται κύκλῳ.
Ἐφοδεύεται. κωδωνοφορεῖται. πανταχῇ
Φυλακαὶ καθεστήκασι, καὶ φρυκτωρίαι
Ἐν τοῖσι πύργοις. ἀλλ᾽ ἐγὼ μὲν ἀποτρέχων,
Ἀπονίψομαι. σὺ δ᾽ αὐτὸς ἤδη τἄλλα δρᾶ.

Sapientissimi, Pelecantes, qui rostris
Dolauerunt ianuas. erat autem strepitus
Ipsorum Pelecantium tanquam in naui factione.
C *Et nunc omnes illi facti sunt ianuis,*
Et clausi sunt, & custodiuntur circumcirca.
Transeuntur, tintinabulo feritur undiq;.
Custodiae statutae sunt, & lamina
In turris. sed ego quidem currens
Abluar, tu autem ipse iam alia fac.

Σχόλια. Πελεκᾶντες] παρὰ τὸ πελεκᾶν τὰ ξύλα, τῷ ὀνόματι τοῦ ὄρνιθος πιθανῶς ἐχρήσατο παίζων. καὶ ὅτι ῥάμφος ἔχει μέγα. Καὶ βεβαλάνωται.] ὥσπερ εἰσὶ κεκλείδωται, ὅτι βάλανοι λέγονται τὰ μάγγανα τῆς κλειδώσεως. Ἐφοδεύεται.] διοδεύεται. τὸ δὲ κωδωνοφορεῖται, ἀντὶ τοῦ δοκιμάζεται ἡ τῶν φυλάκων φρουρά. Φρυκτωρίαι.] αἱ τῶν πύργων φυλακαί. παρὰ τὸν πυρσὸν καὶ τὸ ὠρεύειν.

D

Bisetus. φρυκτοί, λαμπάδες τινὲς ἀπὸ ξύλων γινόμεναι, ἅς τινας βαστάζοντες ἄνω τῶν τειχῶν ἐσήμαινον τοῖς πλησιοχώροις, ἢ τοῖς συμμάχοις, ὅταν τινὰς ἑώρων πολεμίους ἐπιόντας, ὡς δεῖ προφυλάξασθαι. οὐ μόνον δὲ ἐπὶ πολεμίων τοῦτο ἐποίουν, ἀλλὰ καὶ ἐπὶ φίλων, ὅταν ἑώρων βοήθειαν ἐρχομένην, ἐσήμαινον πάλιν διὰ τῶν φρυκτῶν, ὡς οὐ δεῖ θορυβεῖσθαι. καὶ ὅτι μὲν φίλους ἐδήλουν, ἐβάσταζον τοὺς φρυκτοὺς ἠρεμοῦντας, ὅταν δὲ πολεμίους, ἐκίνουν. διὸ καὶ τῶν φρυκτῶν, οἱ μὲν φίλιοι, οἱ δέ, πολέμιοι. καὶ οἱ μὲν φίλιοι, ἀκίνητοι. οἱ δὲ πολέμιοι, πολυκίνητοι. ἐκ δὲ τῶν φρυκτῶν, καὶ τοῦ ὁρᾶν, τοῦ φροντίζειν καὶ φυλάττειν σημαίνοντος, τὸ σύνθετον φρυκτωρεῖν, καὶ ἡ φρυκτωρία, ἡ διὰ τῶν φρυκτῶν. τουτέστι πυρσῶν, καὶ λαμπάδων παραφυλακὴ νυκτερινή. ἢ καὶ σημασία ἢ τῶν φίλων, ἢ τῶν πολεμίων παρουσίας.

Σχόλια. Ἀπονίψομαι.] ἦν γὰρ ἀπὸ πηλοῦ ἢ κονίας ὡς ἀπὸ τῶν ἔργων. Τἄλλα δρᾶ.] ἀντὶ τοῦ πράττε

E προστακτικῶς.

Bisetus. Ἐσθεῖ] εἰστρέχει πρὸς ἡμᾶς.

ΧΟΡΟΣ, ΠΕΙΣΘΕΤΑΙΡΟΣ, Ἕτερος ἄγγελος.

CHORUS, PISTHETERUS, Alter nuntius.

F

Bisetus. Τοῦ ἀγγέλου ἤδη ἀποχωρήσαντος ὁ χορὸς τὸν Πεισθέταιρον προσφωνεῖ, ὃς τὴν ταχεῖαν καὶ παράδοξον νεοκτίστου πόλεως οἰκοδομὴν ἐθαύμαζεν. ἐν δὲ τούτῳ ἕτερος ἄγγελος προσέρχεται δηλώσων ὅτι θεός τις τοὺς φύλακας λαθὼν εἰς τὴν πόλιν εἰσῆλθεν.

Χο. Οὗτος τί ποιεῖς; ἆρα θαυμάζεις ὅτι
Οὕτω τὸ τεῖχος ἐκτετείχισται ταχύ;
Πει. Νὴ τοὺς θεοὺς ἔγωγε. καὶ γὰρ ἄξιον.
Ἴσα γὰρ ἀληθῶς φαίνεταί μοι ψεύδεσιν.
Ἀλλ᾽ ὡδί, φύλαξ γὰρ τῶν ἐκεῖθεν ἄγγελος
Ἐσθεῖ πρὸς ἡμᾶς δεῦρο, πυρρίχην βλέπων.
Αγγ. Ἰοὺ ἰού. ἰοὺ ἰού. ἰοὺ ἰού.

CH. Hic quid facis? nunquid admiraris, quod
Sic murus fabricatus est citò?
PI. Per deos ego, etenim dignum.
Aequalia enim verè apparent mihi mendacijs,
G *Sed sic, custos enim illinc nuncius*
Incurrit ad nos huc, saltanter aspiciens.
NV. Heu, heu, heu, heu, heu, heu,

Σχόλια. Πυρρίχην βλέπων.] ἔνοπλον καὶ πολεμικόν τι. ἐνόπλιος γὰρ ὄρχησις ἡ πυρρίχη.

Πει.

A Πει. τί τὸ πρᾶγμα τουτί; Αγγ. δεινότατα πεπόνθαμεν.
Τῶν γὰρ θεῶν τις ἄρτι τῶν παρὰ τοῦ Διός,
Διὰ τῶν πυλῶν εἰσέπτατ' εἰς τὸν ἀέρα.
Λαθὼν κολοιοὺς φύλακας ἡμεροσκόπους.
Πει. Ὦ δεινὸν ἔργον καὶ σχέτλιον εἰργασμένος.
Τίς τῶν θεῶν; Αγγ. οὐκ ἴσμεν, ὅτι δ' εἶχε πτερά,
B Τοῦτ' ἴσμεν. Χο. οὔκουν δῆτα περιπόλους ἐχρῆν
Πέμψαι κατ' αὐτὸν εὐθύς. Αγγ. ἀλλ' ἐπέμψαμεν
Τρισμυρίους ἱέρακας ἱπποτοξότας.
Χωρεῖ δὲ πᾶς τις ὄνυχας ἠγκυλωμένος.
Κερχνῇς. τριόρχης. γύψ. κύμινδις. αἰετός.
Ῥύμῃ τε καὶ πτεροῖσι καὶ ῥοιζήμασιν
Αἰθὴρ δονεῖται, τοῦ θεοῦ ζητουμένου.
C Κἄστ' οὐ μακρὰν ἀπωτέρω. ἀλλ' ἐνταῦθά που
Ἤδη 'στι. Χο. οὐκοῦν σφενδόνας δεῖ λαμβάνειν,
Καὶ τόξα. Αγγ. χώρει δεῦρο πᾶς ὑπηρέτης.
Τόξευε πᾶς τις. σφενδόνην τίς μοι δότω.

Pi. *Quæ res hæc?* Nv. *Grauissima passi sumus.*
Horum enim deorum aliquis nuper illorum apud Iouem
Per portas inuolauit in aerem,
Latens graculos custodes diei speculatores.
Pi. *O graue opus, & miserabile operans.*
Quis deorum? Nv. *Non scimus, quòd autem haberet pennas,*
Hoc scimus. CH. *Non igitur vagatores oportebat*
Mittere in ipsum statim. Nv. *Sed misimus*
Ter mille accipitres arcigeros.
Ibat autem omnis vngues curuatus,
Cerchneus, triorchnes, vultur, cymindis, aquila.
Impetuq́; & alis, & strepitibus
Æther mouebatur, cùm Deus quæreretur.
Et est non longè ab hinc, sed hic
Iam est. CH. *Igitur fundas oportet capere,*
Et arcus. Nv. *Veni huc omnis serue,*
Sagittam omnis aliquis, fundam aliquis mihi det.

Σχόλια. Εἰς τὸν ἀέρα.] δέον εἰπεῖν εἰς τὴν πόλιν. Ἡμεροσκόπους.] τοὺς ἐν ἡμέρᾳ φρουροῦντας. Τοῦτ' ἴσμεν.] πρὸς τὴν ἐν Ἰλιάδι γραφὴν, χθιζὸς ἔβη μετὰ δαῖτα. οὕτως ἀξιοῦσιν Ἀρίσταρχον γράφειν. Περιπόλους.] τοὺς φυλακὰς ἢ ζητητὰς ἀπὸ τοῦ περιπολεῖν. τὸ δὲ ἑξῆς, οὐκ ἐχρῆν περιπόλους πέμψαι. Ἱπποτοξότας.] ἀπὸ τοῦ ἵππου τὴν ὀξεῖαν αὐτῶν πτῆσιν δηλοῖ. ἀπὸ δὲ τοῦ τόξου τὸ ἐπικαμπὲς τῶν ὀνύχων. Ἠγκυλωμένος.] ἀγκύλη εἶδος ἀκοντίου. Κύμινδις.] τὴν D κύμινδιν ἀνέγραψεν ὁ Καλλίμαχος, μήποτε κίμινδις γραπτέον. ὁ δὲ τριόρχης, εἶδος ἱέρακος. Ῥύμῃ.] φορᾷ βιαίᾳ.

ΣΤΡΟΦΗ κώλων ια.

Χο. Πόλεμος αἴρεται
Πόλεμος οὐ φατός,
Πρὸς ἐμὲ καὶ θεούς.
Ἀλλὰ φύλαττε πᾶς
Ἀέρα περινέφελον,
Ὃν Ἔρεβος ἐτέκετο.
Μή σε λάθῃ θεῶν
Τις ταύτῃ περῶν.
Ἄθρει δὲ πᾶς κύκλῳ σκοπῶν,
Ὡς ἐγγὺς ἤδη δαίμονος πεδαρσίου
Δίνης πτερωτὸς φθόγγος ἐξακούεται.

INVERSIO membrorum vndecim.

CH. *Bellum erigitur,*
Bellum indicibile,
E *Ad me & deos.*
Sed serua omnis
Aerem circumnebulatum,
Quem erebus peperit,
Ne te lateat deorum
Aliquis hac transiens.
Vide autem omnis circuitu speculans
Quòd propè iam dæmonis alti,
F *Reuolutionis volatilis vox exauditur.*

Σχόλια. Πόλεμος αἴρεται.] ἔκθεσις χοροῦ ἰσοστρόφου κώλων τροχαϊκῶν ἐπιμεμιγμένων χορείοις ἤτοι τριβράχεσι καὶ δακτύλοις, πενθημιμερῶν ια, ὧν τὰ μὲν πρῶτα τρία καὶ παιωνικὰ εἰ βούλει ποιήσει ἡμιόλια. τὸ δὲ τροχαϊκὸν ἐκ δακτύλου πενθημιμερές. τὸ ε καὶ ς ἰθυφαλικά. τὸ ζ καὶ η τροχαϊκὰ πενθημιμερῆ. ἐν ἐκθέσει δὲ ἰαμβικὰ τρία, ὧν τὸ α' δίμετρον ἀκατάληκτον. οἱ δὲ δύο τρίμετροι ἀκατάληκτοι. ἐπὶ τῷ τέλει κορωνίς. Πόλεμος αἴρεται. διὰ τὴν ὑπερβολὴν ἀντὶ τοῦ ἐγείρεται καὶ μετεωρίζεται. Ἀέρα περινέφελον.] ἀέρα λέγει, τὴν ἀορασίαν. τὸ σκότος. Πεδαρσίου.] μετεώρου πετομένου. παρὰ τὸ ἐκ τοῦ πέδου αἴρεσθαι.

G

ΠΕΙΣΘΕΤΑΙΡΟΣ,
ΙΡΙΣ.

PISTHETERVS,
IRIS.

BISETVS. ☉ Πεισθέταιρος τὴν Ἶριν διὰ τῆς νεοκτίστου πόλεως πετομένην καταμαθὼν ξυλλαμβάνεσθαι κελεύει, καὶ αὐτὴν ἀκριβῶς ἀνακρίνει, τό τε ὄνομα, τὴν πα- A τρίδα, τοὺς πέμψαντας, καὶ τὴν τῆς παρουσίας αἰτίαν ἐρωτῶν. Τέλος δὲ πάντα γνοὺς αὐτὴν ὑβριστικῶς ἀπειλεῖ, καὶ ἀπαγορεύει μηκέτι τὴν ἑαυτοῦ πόλιν διαπέτεσθαι.

Πει. Αὕτη σὺ, ποῖ ποῖ ποῖ πέτει; μέν᾽ ἥσυχος,
Ἔχ᾽ ἀτρέμας. αὐτοῦ στῆθ᾽. ἐπίσχες τοῦ δρόμου.
Τίς εἶ; ποδαπή; λέγειν ἐχρῆν ὁπόθεν ποτ᾽ εἶ.
Ιρ. Παρὰ τῶν θεῶν ἔγωγε τῶν ὀλυμπίων.
Πι. Ὄνομα δέ σοι τί ἐστι; πλοῖον, ἢ κυνῆ;
Ιρ. Ἶρις ταχεῖα. Πει. Πάραλος ἢ Σαλαμινία;
Ιρ. Τί δὲ τοῦτο; Πει. τουτηνί τις οὐ ξυλλήψεται,
Ἀναπτάμενος τριόρχος. Ιρ. ἐμὲ ξυλλήψεται;
Τί ποτ᾽ ἐστὶ τουτὶ τὸ κακόν; Πει. οἰμώξει μακρά.
Ιρ. Ἄτοπόν γε τουτὶ τὸ πρᾶγμα. Πει. κατὰ ποίας πύλας
Εἰσῆλθες εἰς τὸ τεῖχος, ὦ μιαρωτάτη;
Ιρ. Οὐκ οἶδα μὰ Δί᾽ ἔγωγε κατὰ ποίας πύλας.
Πει. Ἤκουσας αὐτῆς οἷον εἰρωνεύεται;
Πρὸς τοὺς κολοιάρχας προσῆλθες; οὐ λέγεις;
Σφραγῖδ᾽ ἔχεις παρὰ τῶν πελαργῶν; Ιρ. τί τὸ κακόν;
Πει. Οὐκ ἔλαβες; Ιρ. ὑγιαίνεις μέν; Πι. οὐδὲ σύμβολον
Ἐπέβαλεν ὀρνίθαρχος οὐδείς σοι παρών;
Ιρ. Μὰ Δί᾽ οὐκ ἔμοιγ᾽ ἐπέβαλεν οὐδείς, ὦ μέλε.
Πι. Κἄπειτα δῆθ᾽ οὕτω σιωπῇ διαπέτει,
Διὰ τῆς πόλεως τῆς ἀλλοτρίας καὶ τοῦ χάους;
Ιρ. Ποίᾳ γὰρ ἄλλῃ χρὴ πέτεσθαι τοὺς θεούς;
Πι. Οὐκ οἶδα μὰ Δί᾽ ἔγωγε· τῇδε μὲν γὰρ οὔ.
Ἀδικεῖς δὲ καὶ νῦν. ἆρά γ᾽ οἶσθα τοῦθ᾽ ὅτι
Δικαιότατ᾽ ἂν ληφθεῖσα πασῶν ἰρίδων
Ἀπέθανες, εἰ τῆς ἀξίας ἐτύγχανες.
Ιρ. Ἀλλ᾽ ἀθάνατός εἰμ᾽. Πι. ἀλλ᾽ ὅμως ἂν ἀπέθανες.
Δεινότατα γάρ τοι πεισόμεσθ᾽ ἐμοὶ δοκεῖ,
Εἰ τῶν μὲν ἄλλων ἄρχομεν, ὑμεῖς δ᾽ οἱ θεοὶ
Ἀκολασανεῖτε, κοὐδέπω γνώσεσθ᾽ ὅτι
Ἀκροατέον ὑμῖν ἐν μέρει τῶν κρειττόνων.
Φράσον δέ μοι τὼ πτέρυγε ποῖ ναυστολεῖς;
Ιρ. Ἐγώ; πρὸς ἀνθρώπους πέτομαι παρὰ τοῦ πατρὸς
Φράσουσα θύειν τοῖς ὀλυμπίοις θεοῖς,
Μηλοσφαγεῖν τε, βουθύτοις ἐπ᾽ ἐσχάραις
Κνισᾶν τ᾽ ἀγυιάς. Πι. τί σὺ λέγεις; ποίοις θεοῖς;
Ιρ. Ποίοισιν; ἡμῖν τοῖς ἐν οὐρανῷ θεοῖς.

PI. Hæc tu, quò quò quò volas? mane tacitus,
Habe quietè, illic sta, tene cursum.
Quæ es? cuias? dicere oportet, unde unde es.
B IR. A deis ego cælestibus.
PI. Nomen autem tibi quod est? nauigium an galea?
IR. Iris velox. PI. Maritima vel Salaminia?
Ir. Quid autem hoc? PI. Hanc aliquis non comprehendet
Reuolans triorchus. IR. Me comprehendet?
Quid unquam est hoc malum? PI. Lugebit valde.
C IR. Absurda haec res. PI. per quas portas
Intrasti in murum ô scelestissima?
IR. Non scio per Iouem ego per quas portas.
PI. Audisti ipsam qualiter ironicè loquitur?
Ad graculos principes aduenisti? non dicis?
Signum habes ciconijs? IR. Quid malum?
PI. Non accepisti? IR. Sanus es quidem. PI. neque symbolum
Iniecit auium rex nullus tibi præsens?
D IR. Per Iouem non mihi iniecit nullus, ô miser.
PI. Et postea certè sic silentio peruolas
Per ciuitatem alienam & chaos.
IR. Quali enim alia oportet volare Deos?
PI. Non scio per Iouem ego, hac quidem enim non.
Iniustitia autem afficis & nunc. nunquid scis hoc? quod
E Iniustissime capta omnium iridum
Mortua sis, si dignam assecuta fueris?
IR. Sed immortalis sum. PI. sed tamen potuisses mori.
Grauissima enim patiemur (mihi videtur)
Siquidem alijs imperamus, vos autem dei
Malefacitis, & nondum cognoscitis quòd
Audiendum vobis in parte meliores.
Dic autem mihi, alis quò nauigas?
F IR. Ego ad homines volo à patre,
Dicens sacrificare cælestibus deis
Oues, iugulareq; bobus sacrificalibus in coquinis,
Sacrificareque vias. PI. Quid tu dicis? quibus deis?
IR. Quibus? nobis in cælo deis.

Σχόλια. Αὕτη σύ.] κεραυνὶς εἰσιόντων αὖθις τῶν ὑποκειμένων οἱ δὲ στίχοι ἰαμβικοὶ τρίμετροι ἀκατάληκτοι ... καταιθαλώσεις τῶν νεωτέρων τινά. ... Πλοῖον ἢ κυνῆ.] πλοῖον μὲν καθὸ πτέρωται, καὶ τὰ πλεῖστα διατίθεται ὡς κύων. κυνῆ δὲ, ὅτι ἔχει περικεφαλαίαν τὸ πέτασον. ὡς Ἑρμῆς ἄγγελος ὢν παρὰ Σοφοκλεῖ ἐν Ἰνάχῳ ἐπὶ τῆς Ἴριδος. γυνὴ τίς ἥδε G κυνῆν Ἀρκάδος κυνῆ. φασὶ δὲ τὴν κυνῆν τὸ πέτασον λέγεσθαι ἐν Πελοποννήσῳ, πέτασον γὰρ ἐπὶ τῆς κεφαλῆς φορεῖ ὁ Ἑρμῆς πρὸς ἓν τὴν κυνῆν εἶναι. καὶ Πελοποννήσιοι δὲ τὸ πέτασον κυνῆν καλοῦσι. πλοῖον δὲ διὰ τὸν δρόμον αὐτῆς κυκλοῦσθαι τὴν χεῖρα, ἢ ἐπεὶ πτερωτός ἐστι. αἱ δὲ νῆες ἀντὶ πτερῶν τὰς κώπας ἔχουσι. Πάραλος ἢ Σαλαμινία.] αὗται ἱεραὶ τριήρεις δημόσιαι, ἐπὶ τὰς τῆς πόλεως

θ.ιως χρείας πεμπόμεναι ἐ ταχυναυτοῦσαι. ἄλλως. ἐπεὶ ταχεῖαν αὐτὴν εἶπεν. αὗται δὲ αἱ τριήρεις ὡς ἂν ὑπηρετίδες οὖσαι, ταχεῖαι ἦσαν Πάραλος καὶ Σαλαμινία. ἐὰν δὲ δασέως ἐν ἄρθρου μέρει ἔσται ἡ αὐτὴ Πάραλος καὶ Σαλαμινία. Αναπτάμενος τριόρχου.] ἐπεὶ ἑταίρα ἦν ἔπαιξε τὸ τριόρχος. Σφραγῖδ' ἔχεις παρὰ τῶν πελαργῶν] ὅτι σύμβολον ἐπὶ τῷ συγχωρηθῆναι παρελθεῖν. Υγιαίνεις μέν.] ὑγιαίνεις φησὶ καὶ οὐ μαίνῃ τοιαῦτα ἐρωτῶν. Επέβαλεν ὀρνίθαρχος.] πρὸς τὸ ἐπέβαλεν. ὅτι καὶ νῦν ἐπὶ τῆς συνουσίας, ὃ καὶ ἐνόμισε λέγειν ἡ Ιρις διὸ παραιτεῖται. Τῆς ἀλλοτρίας ἐ τοῦ χάους.] χάους τοῦ ἀέρος διὰ τὸ κεχύσθαι εἰς ἄπλωμα. Πασῶν Ιρίδων.] ἢ ὡς τοῦ ἀέρος ποικίλας Ιρίδας ποιοῦντος. ἢ ἀντὶ τοῦ εἰπεῖν θεαινῶν. Τῆς ἀξίας] λείπει τιμωρίας. Ακολαστανεῖτε] ἀκόλαστα ἐ ἄτακτα πράξετε.

Bisetvs. Ακολαστανεῖτε.] ἀκόλαστον, τὸ ἀκρατὲς, τὸ θρασὺ, τὸ ὑβριστικὸν, τὸ ἐλμηρόν. καὶ ἀκόλαστος ἄνθρωπος κατὰ τὸν Σουΐδαν, ὁ κολάσεως ἄξιος. κυρίως δὲ ἀκόλαστος καλεῖται ὁ μηδεμιᾷ κολάσει, ἐ τιμωρίᾳ σωφρονίζεσθαι δυνάμενος. ὅθεν τὸ ἀκολασταίνειν, ὃ σημαίνει τοιαῦτα πράγματα, καὶ παρανομίας ποιεῖσθαι, ἅπερ ἐστὶν ἀκολασίας, καὶ ἀκολάστων ἀνθρώπων. γενικῶς δὲ τὸ ἀτακτεῖν, καὶ ἀκοσμεῖν, ἐ ἀσχημονεῖν δηλοῖ.

Σχόλια. Εν μέρει τῶν κρειττόνων.] κατά τι μέρος ἡμῖν ὑποταγῆναι ὀφείλετε. Τὼ πτέρυγε ποῖ ναυστολεῖς] ἔπαιξεν ὡς ἐπὶ νεῶν. ποῦ παρασκευάζῃ. καὶ ἐπὶ ποίαν ὁδὸν τὴν πτῆσιν ἔχεις.

Bisetvs. Κνισᾶν.] κνίσα, τὸ λίπος, καὶ ἡ ἀπὸ τῶν ὀπτωμένων κρεῶν, ἤγουν καιομένης πιμελῆς ἀνάδοσις, ὅτι κοινότερον μὲν ἐν δυσὶ σ γράφεται. κατὰ τὸν Ηρωδιανὸν δὲ δι' ἑνός, ὡς ἀπὸ τοῦ κνίζω, κνίσω, κατ' ἔκτασιν τῆς ἀρχούσης. ὅθεν τὸ κνισσοῦν, ἐ τὸ κνισᾶν, τὴν κνίσαν ποιεῖν, ἐ κνίσαν ἀναθυμιᾶσαι.

Πει. Θεοὶ γὰρ ὑμεῖς; Ιρ. τίς γάρ ἐστ' ἄλλος θεός;

Πισ. Ὄρνιθες ἀνθρώποισι νῦν εἰσι θεοί.

Οἷς θυτέον αὐτοῖς. ἀλλὰ μὰ Δί' οὐ τῷ Διί.

Ιρ. Ὦ μῶρε, μῶρε μὴ θεῶν κίνει φρένας

Δεινάς. ὅπως μή σου γένος πανώλεθρον,

Διὸς μακέλλῃ πᾶν ἀναστρέψῃ δίκη,

Λιγνὺς δὲ σῶμα, καὶ δόμων περιπτυχάς,

Καταιθαλώσῃ σου λικυμνίαις βολαῖς.

Πισ. Ἄκουσον. αὕτη παῦε τῶν παφλασμάτων.

Ἔχ' ἀτρέμας. φέρ' ἴδω. πότερα Λυδὸν, ἢ Φρύγα

Ταυτὶ λέγουσα, μορμολύττεσθαι δοκεῖς.

Ἆρ' οἶσθ' ὅτι Ζεὺς εἴ με λυπήσει πέρα,

Μέλαθρα μὲν αὐτοῦ, καὶ δόμους Ἀμφίονος

Καταιθαλώσω πυρφόροισιν αἰετοῖς.

Πέμψω δὲ πορφυρίωνας ἐς τὸν οὐρανὸν,

Ὄρνις ἐπ' αὐτὸν παρδαλᾶς ἐνημμένους,

Πλεῖν ἑξακοσίους τὸν ἀριθμόν. καὶ δή ποτε

Εἷς Πορφυρίων αὐτῷ παρέσχε πράγματα.

Σὺ δ' εἴ με λυπήσεις τι, τῆς διακόνου

Πρώτης ἀνατείνας τὼ σκέλη, διαμηριῶ

Τὴν Ἶριν αὐτήν. ὥστε θαυμάζειν ὅπως,

Οὕτω γέρων ὢν στύομαι τριέμβολον.

Ιρ. Διαρραγείης ὦ μέλ' αὐτοῖς ῥήμασι.

Πισ. Οὐκ ἀποσοβήσεις; οὐ ταχέως; εὖρὰξ, πατάξ;

Ιρ. Ἦ μήν σε παύσει τῆς ὕβρεως οὑμὸς πατήρ.

Πισ. Οἴμοι, τάλας. οὐκοῦν ἑτέρωσε πετομένη

Καταιθαλώσεις τῶν νεωτέρων τινά.

PI. *Dei enim vos?* IR. *Quis enim est alius Deus?*

PI. *Aues hominibus nunc sunt dei,*

Quibus sacrificandum ipsis, sed per Iouem non Ioui.

IR. *O stolide stolide, ne deorum moue mentes*

Graues, ut non tui genus totaliter perniciosum,

Iouis ligo omne peruertat iure:

Comburens autem corpus & domuum per ordines,

Comburet tui licymnijs percussionibus.

PI. *Audi, hac cessa æstuationibus,*

Habe quiete. age videam, vtrum Lydum, an Phrygem

Hæc dicens, terrere videris.

Nunquid scis, quòd Iupiter, si me dolorificabit, præter modum

Ædes quidem ipsius, & domos Amphionis

Comburam, ignem ferentibus aquilis?

Mittam autem Porphyriones in cælum,

Aues in ipsum pardi pelle indutas

Amplius sexcentos numero, & iam

Vnus Porphyrion ipsi præbebit molestias.

Tu autem si me dolorificabis quid, ministra

Primæ extendes crura, diuidam

Irin ipsam vsque ad admirari quomodo,

Sic senex existens, quatio triembolum,

IR. *Disrumparis ô miser ipsis verbis.*

PI. *Non expelles, non citò latè verberando,*

IR. *Si non te sedabit iniuria meus pater.*

PI. *Hei mihi miser, igitur aliò volans*

Combures iuuenem aliquem.

Σχόλια. Αλλὰ μὰ Δί' οὐ τῷ Διί.] ἔπαιξε πάλιν μετὰ Δία εἰπών. ὡς ἐν κωμῳδίᾳ. Διὸς μακέλλῃ] τοῦτό φασι παρὰ τὸ Σοφόκλειον. χρυσῇ μακέλλῃ Ζηνὸς ἐξαναστραφῇ.

Bisetvs. Λιγνύς.] Σουΐδας τούτων μεμνημένος τὸ λιγνὺς ἑρμηνεύει, ἡ τοῦ καπνοῦ ἀνάδοσις. καὶ λιγνὺς καθ' Ησύχιον ἡ τοῦ λύχνου ἀτμίς, καπνὸς, κάμινος, φλόξ. Περιπτυχὰς] Ησύχιος. περιπτυχαὶ, περίβολοι.

Σχόλια. Λικυμνίαις βολαῖς.] ὁ μὲν Καλλίμαχος γράφων οὕτως. λικυμνίαις βολαῖς φησὶ, ταύτης τῆς διδασκαλίας οὐ μέμνηται. ἐν δὲ ἐνίοις τῶν σχολικῶν ὑπομνήματα ταυτὶ γέγραπται. ἴσως ὁ Λικύμνιος ἐνέπρησέ τινων οἰκίας. ἐν δὲ τοῖς ἐπιγεγραμμένοις Ἀπολλωνίου ταῦτα γέγραπται. ὅτι ἠμίφλεκτον τινὰ εἰσάγει ὡς τοιοῦτό τι

κεκεραυνωμένον ἀπὸ τῆς περιστάσεως ἐκείνης. εἴη δ' ἂν τοῦ Εὐριπίδου μεμνημένος ἀγγέλου τοῦ ἐν τῷ Λικυμνίῳ. λέγει γὰρ ἐπὶ τελευτῇ ἐκεῖνος. ἐν Λικυμνίοις δὲ, δράματι Εὐριπίδου, εἰσήχθη τὶς κεραυνοβολούμενος. Τῶν παφλασμάτων.] ἐκβρασμῶν. ἀναζεμάτων.

BISETVS. Παφλάζειν, ἢ καχλάζειν λέγεται τὸ ἐπιτεταμένως ζέον ὕδωρ· καὶ κύματα παφλάζοντα, τὰ ποιὸν ἦχον ἀποτελοῦνται. παφλάζειν γὰρ κυρίως σημαίνει τὴν θάλασσαν κυμαινομένην ἠχεῖν. αὕτη δὲ ἡ λέξις παρ' Ὁμήρῳ πεποίηται πρὸς ἤχου μίμησιν, ὃν ὁ τῶν B κυμάτων βρασμὸς ἀποτελεῖ. παφλάζειν δὲ μεταφορικῶς ταράττεσθαι, καὶ τινὰ λαλοῦντα κρατεῖσθαι, καὶ ἀνακόπτεσθαι. οὕτω δὲ σχηματίζεται, φλέω, ὃ καὶ φλύω, τὸ ἀναπίμπλω, καὶ ἀναδίδωμι. κατὰ συγκοπὴν, ἢ κατὰ κρᾶσιν φλῶ, τὸ παράγωγον, φλάζω, ὡς ῥιπτῶ, ῥιπτάζω, ἐνθουσιῶ, ἐνθουσιάζω. καὶ κατ' ἀναδιπλασιασμὸν φαφλάζω, εὐφωνίας δὲ χάριν τὸ φ εἰς π τρέπεται, καὶ γίνεται παφλάζω.

Σχόλια. Εἴ με λυπήσει πέρα] ἀντὶ τοῦ πέρα τοῦ δέοντος. παρατραγῳδεῖ καὶ αὐτός. Καὶ δόμους Ἀμφίονος. C ἐκ Νιόβης Αἰσχύλου ἐξείρηται διὰ τ' Ἀμφίονος ἐκ μονῳδίας. Παρδαλᾶς.] παρδάλεων δορὰς. ἔπαιξε πρὸς τὴν πτέρωσιν αὐτῶν. κυάνεοι γάρ. Εἰς Πορφυρίων.] ὁ A γίγας τῷ Διὶ πολεμήσας. ὃν ἐχειρώσατο Ἀφροδίτη. Τριέμβολον] πολλάκις ἐμβαλεῖν δυνάμενον. μή ποτε δὲ καὶ πλοίου τις ἐστὶ κατασκευή. καὶ γὰρ δεκέμβολον Αἰσχύλος εἶπε τὴν τοῦ Νέστορος ναῦν ἐν Μυρμιδόσιν.

BISETVS. Σιύειν, καὶ σεύεσθαι, τὸ παρακινεῖν, καὶ παρορμᾶν. τριέμβολον δὲ δηλοῖ τὴν τῆς νεὼς ἔμβολον, τὸ χάλκωμα τὸ προστιθέμενον κατὰ τὴν πρῷραν, ὥς φησιν Ἡσύχιος. τριέμβολον δὲ λέγεται παρὰ τὸ τρεῖς ἐμβόλους, ἢ χαλκώματα ἔχειν. οὕτω δὲ αἰνίττεται τὸ ἀνδρεῖον αἰ- B δοῖον, ἀλλὰ κατ' εὐφημισμόν. γελοίως οὖν λέγει σεύεσθαι τριέμβολον, ἀντὶ τοῦ μεθ' ὁρμῆς εἰς ἀφροδίσια φέρεσθαι, καὶ ἰσχυρῶς ἐν τῇ συνουσίᾳ τὰς ὀσφῦς κρούειν. σεύω δὲ (ὅθεν τὸ σεύομαι Ἀττικῶς τὸ παθητικὸν, ἢ μέσον ἀντὶ τοῦ ἐνεργητικοῦ) τὸ ὁρμῶ, παρὰ τὸ σέω, σῶ, ὅθεν καὶ τὸ σείω. παρὰ δὲ τῷ Σουΐδᾳ ἐν τῷ τριέμβολον, γράφεται σύομαι. εὑρίσκεται καὶ τρίτη γραφὴ, σύομαι.

Σχόλια. Εὐρὰξ πατάξ.] ἐπιῤῥήματά τινα ἀνέπλασεν εἰς τὸ κακέμφατον παρὰ τὸ εὐρέως συμμιγῆναι καὶ τὸ πατάξαι. ὅθεν καὶ χαμαιτύπαι, αἱ πόρναι. καὶ Μένανδρος. πρώτην Ἄρης ἐπάταξα. Καταιθαλώσεις τινά.] πρὸς τὴν Ἶριν λέγει ὡς ἑταιρίδιον. καταιθαλώσεις οὖν τῷ ἔρωτι.

<table>
<tr>
<td>

ΣΤΡΟΦΗ

κώλων ζ'.

Χο. Ἀποκεκλῄκαμεν
Διογενεῖς θεοὺς,
Μηκέτι γε τὴν ἐμὴν
Διαπερᾶν πόλιν.
Μηδέ τιν' ἱερόθυ-
τον ἀνὰ δάπεδον ἔτι
τῇδε βροτῶν, θεοῖσι πέμπειν αὖ καπνόν.

</td>
<td>

VERSIO membrorum septem.

D CH. Clausimus
A Ioue genitos Deos
Non amplius meam
Transire ciuitatem,
Neque aliquem sacer-
Dotem in pauimento adhuc
Hic hominem deis mittere fumum.

</td>
</tr>
</table>

Σχ. Ἀποκεκλῄκαμεν.] ἀπηγορεύσαμεν. κορωνὶς δὲ καὶ ἔκθεσις μέλους χοροῦ μεσῳδικὴ κώλων παιωνικῶν ζ. ὧν τὸ α' καὶ β. δίμετρα βραχυκατάληκτα, ἤτοι ἡμιόλια. τὸ γ δίμετρον καταληκτικὸν, ἤτοι ἑφθημιμερές. τὸ δὲ ὅμοιον L τῷ α. τὸ ε' ὅμοιον τῷ γ. τὸ δὲ ς δίμετρον ἀκατάληκτον διὰ τὴν ἀδιάφορον. ἔστι δὲ β κῶλα συνάπτεται ταῦτα. ἐν ἐκθέσει δὲ στίχος ἰαμβικὸς τρίμετρος ἀκατάληκτος ὅμοιος τοῖς ἑξῆς. ἐπὶ τῷ τέλει κορωνίς.

<table>
<tr>
<td>

ΠΕΙΣΘΕΤΑΙΡΟΣ, ΚΗΡΥΞ.

BISET. Εἴσθεσις διπλῆς ἀμοιβαίας

Πει. Δεινόν γε τὸν κήρυκα τὸν παρὰ τοὺς βροτοὺς
Οἰχόμενον, εἰ μηδέποτε νοστήσει πάλιν.
Κηρ. Ὦ Πεισθέταιρ', ὦ μακάρι', ὦ σοφώτατε,
Ὦ κλεινότατ', ὦ σοφώτατ', ὦ γλαφυρώτατε,
Ὦ τρισμακάρι', ὦ κατακέλευσον. Πει. τί σὺ λέγεις;
Κηρ. Στεφάνῳ σε χρυσῷ τῷδε σοφίας οὕνεκα
Στεφανοῦσι καὶ τιμῶσιν οἱ πάντες λεῴ.
Πει. Δέχομαι. τί δ' οὕτως οἱ λεῲ τιμῶσί με;

</td>
<td>

PISTHETERVS, PRÆCO.

F ἐκ στίχων μδ'.

PI. Graue praeconem ad homines
Euntem, si nunquam redibit iterum.
PR. O Pisthetera, ô beate, ô sapientissime,
O gloriosissime, ô sapientissime, ô splendidissime,
O ter beate, ô iube. PI. *Quid tu dicis?*
G PR. *Corona te aurea hac sapientiæ gratia,*
Coronant & honorant omnes populi.
PI. *Suscipio. quid autem sic populi honorant me?*

</td>
</tr>
</table>

Σχόλια. Δεινόν γε τὸν κήρυκα.] τοῦτο Ἀττικὸν τὸ σχῆμα. ἔστι γὰρ αἰτιατικὴ, ἀντὶ εὐθείας. ἀντὶ τοῦ ὁ κῆρυξ. ἐν

δὲ οὖν τὸ σχῆμα. ἔδει γὰρ εἰπεῖν ὁ κήρυξ εἰ μὴ νοσήσει. εἴθεσις δὲ τῆς διπλῆς ἀμοιβαίας τῶν ὑποκειτῶν. οἱ δὲ στίχοι ἰαμβικοὶ τρίμετροι ἀκατάληκτοι μή. ὧν τελευταῖος. ἐγὼ δ' ἐκείνων τοὺς προσιόντας δέξομαι. ἐπὶ τῷ τέλει διπλῆ ἔξω νενευκυῖα. Ω Πεισθέταιρ'.] ἄγγελος πεμφθεὶς εἰς ἀνθρώπους ἐξ ὀρνίθων ὑποστρέφει λέγων, ὅτι πάντες ἥδονται οἱ ἄνθρωποι ὄρνιθας κρατεῖν. Ω κα-

A τακέλευσον.] οἱονεὶ σιωπὴν κήρυξον. οἱ γὰρ κελευσταὶ πολλάκις σιωπὴν καταγγέλλειν εἰώθασιν. σιώπα λέγοντες καὶ ἄκουε. καὶ τὰ ὅμοια. οὕτω Δίδυμος. ἐπεὶ πολλάκις εἴρηται ὦ, καὶ οὐκ ἐπέχει αὐτὸν ὁ Πεισθέταιρος, ὁ ἄγγελος φησὶ κατακέλευσον. ὥσπερ τοῖς ἐρέσσουσι. καὶ οὐ λέγει παύσασθαι κατακέλευσαί μοι.

Κήρ. Ω κλεινοτάτην αἰθέριον οἰκίσας πόλιν.
Οὐκ οἶσθ' ὅσην τιμὴν παρ' ἀνθρώποις φέρεις;
Ὅσους τ' ἐραστὰς τῆσδε τῆς χώρας ἔχεις.
Πρὶν μὲν γὰρ οἰκίσαι σε τήνδε τὴν πόλιν,
Ἐλακωνομάνουν πάντες ἄνθρωποι τότε.
Ἐκόμων. ἐπείνων. ἐρρύπων. ἐσωκράτων.
Σκυτάλι' ἐφόρουν. νυνὶ δ' ὑποστρέψαντες αὖ
Ὀρνιθομανοῦσι. πάντα δ' ὑπὸ τῆς ἡδονῆς
Ποιοῦσιν ἅπερ ὄρνιθες, ἐκμιμούμενοι.
Πρῶτον μὲν εὐθὺς, πάντες ἐξ εὐνῆς ἅμα
Ἐπέτονθ' ἕωθεν ὥσπερ ἡμεῖς ἐπὶ νομόν.
Κἄπειτ' ἂν, ἅμα κατῆραν ἐς τὰ βυβλία.
Εἶτ' ἀπενέμοντ' ἐνταῦθα τὰ ψηφίσματα.
Ὀρνιθομάνουν δ' οὕτω περιφανῶς, ὥστε καὶ
Πολλοῖσιν ὀρνίθων ὀνόματ' ἦν κείμενα.
Πέρδιξ μὲν εἷς κάπηλος ὠνομάζετο,
Χωλός. Μενίππῳ δ' ἦν χελιδὼν τοὔνομα.
Ὀπουντίῳ δ' ὀφθαλμὸν οὐκ ἔχων κόραξ.
Κορυδὸς Φιλοκλεῖ. χηναλώπηξ, Θεαγένει.

PR. O gloriosissimam aetheream habitans ciuitatem,
B *Non scis quantum honorem ab hominibus fers,*
Quotq́; amatores huius ciuitatis habes?
Antè quidem enim habitare te hanc ciuitatem,
Laconicè furebant omnes homines: tunc
Habebant comas, esuriebant, sordebant, socratisabant,
Baculos ferebant. nunc autem subuertentes rursus
C *More auium furiunt. Omnia autem à voluptate*
Faciunt, quae aues imitantes
Primùm quidem statim omnes ex lecto simul
Volabant manè, sicut nos in pabulum.
Et postea simul eleuabant in libros,
Postea pascebantur hic calculos.
More auium furebantur sic manifestè, ut &
Multis auium nomina sint ponentia.
D *Perdix quidem una, capelus nominatus est*
Claudus, Menippo autem fuit hirundo nomen
Opuntio autem oculum non habens, coruus
Corydus Philocli, chenalopex Theageni,

Σχόλια. Ἐλακωνομάνουν] τῆς τῶν Λακώνων ἤρων πολιτείας. τοῦτο δὲ εἶπε διὰ τὸ ὑπερέχειν τοὺς Λάκωνας τῷ πολέμῳ τότε. ἄρχεται δὲ διαβάλλειν. διαβάλλει δὲ καὶ τὸν Σωκράτην ὡς λιπαρὸν καὶ ὡς πένητα. Ἐκόμων, ἐπείνων.] εἰπὼν τὸ ἐκόμων καὶ τὰ ἑξῆς, ἐπὶ τηδείως ἐπάγει τὸ ἐσωκράτουν. τοιοῦτοι γὰρ οἱ φιλόσοφοι. ἐκόμων δὲ καὶ οἱ Λάκωνες ὡς τρυφῶντες. Σκυτάλι' ἐφόρουν] σκυτάλη ἤτοι Λακωνικὴ ἐπιστολὴ ἢ βακτηρία. ἐφόρουν γὰρ βαρείας βακτηρίας οἱ Λάκωνες. τὸ δὲ σκυτάλιον τὸ α ἐκτείνεται. ὡς ἐν ὁλκάσιν. ἔνθα καὶ τὸ Νικοφῶντος, ἐξ Ἀφροδίτης γόνων παρείθη. ἐς κόρακας τὼ χεῖρ' ἀποίσεις ἐκποδὼν ἀπὸ τῆς σκυτάλης καὶ τῆς διφθέρας. οὕτω Σύμμαχος. ὁ δὲ Δίδυμος σκυτάλια τὰς βακτηρίας. εἰς τὰ σκυτάλα τύπτουσιν ὁ ἐπὶ τοὺς τραχήλους. ἢ παύσει βάκτρῳ καλίνῳ σκυτάλα Φρὺξ ἀνήρ. ἄλλως. σκυτάλη Λακωνικὴ ἐπιστολή. οὗτοι γὰρ μέλλοντες πέμπειν στρατηγὸν εἰς τὸν πόλεμον, ἐποίουν δύο ῥάβδους ἰσομήκεις. καὶ τὴν μὲν τῷ στρατηγῷ μέλλοντι ἐξιέναι εἰς πόλεμον, ἐδίδουν, τὴν δὲ παρ' αὐτοῖς εἶχον. καὶ ὅτε βούλοιντο ἀπόρρητόν τι σημαίνειν τῷ ἀπόντι στρατηγῷ, ταύτῃ λευκὸν δέρμα περιελίξαντες, ἔγραφον εἰς αὐτὸ, καὶ ἀνελίξαντες παρεῖχον τῷ μέλλοντι ἀποφέροντι. τοῦτο δὲ ἐποίουν ἵνα μὴ μανθάνωσιν οἱ ἀποφέροντες τὸ δηλούμενον ἐν αὐτῷ. ὁ δὲ στρατηγὸς λαβὼν αὐτὸ, καὶ περιελίξας τῇ παρ' αὐτῷ ῥάβδῳ ἀνεγίνωσκε. λέγεται οὖν καὶ ἡ ἐπιστολὴ καὶ αὐτὸ τὸ ξύλον. Διονυσόδωρος δ' ἐν τοῖς περὶ νομίμων, τοὺς δανείζοντας ἐν Σπάρτῃ διαιρεῖν σκυτάλην δύο παρόντων μαρτύρων. καὶ γράφειν τὸ συμβόλαιον ἐν ἑκατέρῳ τμήματι. καὶ τὸ μὲν ἑνὶ τῶν μαρτύρων διδόναι. τὸ δὲ δι' ἑαυτοῦ ἔχειν. ἐχρῶντο δ' αὐτῷ καὶ ἄλλοι. ὡς Ἀριστοτέλης ἐν τῇ Ἰθακησίων πολιτείᾳ φησί. Σκυτάλι' ἐφόρουν] πάλιν ἀντὶ τοῦ ἐλακώνιζον. καὶ ὅτι Λακωνικὸν τὸ τῆς σκυτάλης. ἔγραφον δὲ οὐ μόνῃ τῇ σκυτάλῃ ἰδίᾳ

χαράσσοντες τὰς ἐπιστολὰς, ἀλλὰ καὶ βακτηρίαις. Κατῆραν εἰς τὰ βιβλία] ὡς ἐπὶ ὀρνίθων καθεζομένων. δέον δὲ εἰπεῖν εἰς τὰς λιβάδας. ἔπαιξε δὲ εἰς τὸ φιλόδικον, εἰπὼν εἰς τὰ βιβλία, τουτέστιν εἰς τὰ ψηφίσματα. Εἶτ' ἀπενέμοντ' ἐνταῦθα] ἐνταῦθα συνεκλελιμμένον ἀμφίβολόν ἐστιν. ὃ καὶ ἐπιτήδευκε. δηλόντι δὲ τὸ μὲν ἐστιν ἐνέμοντο. τὸ δὲ, ἀπενέμοντο. τουτέστιν ἀνεγίνωσκον. Πέρδιξ μὲν εἷς κάπηλος] ὁ μὲν Πέρδιξ σαφῶς ὄνομα κύριον. Μενίππῳ δὲ, ἐπώνυμον ἦν χελιδών. τὸ δὲ ἑξῆς, κεῖται τὸ οἰκεῖον εἴληπται, τῷ Ὀπουντίῳ λείπει τὸ κόραξ. ὅτι ἅρπαξ καὶ ἀηδής. ὅτι δὲ καὶ μονόφθαλμος ἐστι, προείρηται. οὐ πάντως δὲ ὡς ἐπώνυμον. κάπηλος δὲ ἀντὶ τοῦ μάγειρος. ἔσκωψε δὲ ἐστι. εἴρηται δὲ ἐν τοῖς πρόσθεν, ὅτι χωλὸς ἐστὶν ὁ Πέρδιξ. ἀφ' οὗ φασὶ τὴν παροιμίαν Πέρδικος σκέλος, ἐπὶ τῶν λεπτοπόδων. ἄλλως. ὁ Πέρδιξ ὄνομα καπήλου. χωλὸς δὲ ἦν ἐστι. μνημονεύει δὲ αὐτοῦ καὶ ἐν Ἀναγύρῳ. καὶ μὴν χθὲς γὰρ ἦν Πέρδιξ χωλός. τούτου δὲ πολλοὶ μέμνηνται. ἀπὸ τούτου δέ φασι τὴν παροιμίαν Πέρδικος σκέλος. ἧς καὶ Ἀριστοφάνης ἐν τῇ ἀμέτροις παροιμίαις μνημονεύει. Μενίππῳ δ' ἦν χελιδών.] διὰ τὸ ἱπποτρόφον εἶναι καὶ καυτηρίᾳ τοῦτον χρῆσθαι, οὕτως ὠνομάσθη. Ὀπουντίῳ δ' ὀφθαλμόν] Δίδυμος ὡς τοιοῦτον τὴν ὄψιν ὄντος μνημονεύει αὐτοῦ καὶ μέγα ῥύγχος ἔχοντος, καὶ ὁ τὰς Ἀταλάντας γράψας καὶ Εὔπολις ἐν Ταξιάρχαις. Σύμμαχος. φαίνονται τὸν Λυκοῦργον Αἰγύπτιον εἶναι νομίζοντες, ἢ τὸ γένος, ἢ τοὺς τρόπους. Φερεκράτης ἀγρίοις. οἶμαι δὲ αὐτὸν κινδυνεύειν εἰς τὴν Αἴγυπτον φέροντα οἰκείας λέξεις, ἵνα μὴ συνέχῃ τοῖσι Λυκούργου πατρῴοις. μήποτε καὶ εἰς τὸ αὐτὸ καὶ Κρατῖνος Δηλιάσι. τούτοις δὲ ὄπισθεν ἴτω φέρων δίφρον Λυκοῦργος ἔχων καλάσιριν. ὁ δὲ καλάσιρις, χιτὼν πλατύσημος. φησὶ δὲ Κηφισόδημος ὅτι Αἰγυπτίων ἡ λέξις. διαβάλλει δὲ αὐτὸν, ἢ ὡς ξένον ἢ ὡς πονηρόν.

Κορυδός.] μήποτε ἐξυκέφαλος ἦν ἐν τῷ ἄνω καὶ ὀρνιθώδης τὴν κεφαλήν. ὅτι δὲ καὶ αἰσχρὸς ἦν ἐν Θεσμοφοριαζούσαις δηλοῖ. Χηναλώπηξ.] πανοῦργος ἦν. διὸ

A ἀλώπηξ. καὶ ὅτι οὐ μόνον ἀναίσθητον, τὸ γὰρ ἢ φανερὸν ἀλλὰ καὶ πονηρόν. ὁ δὲ Δίδυμος θρασὺν καὶ φιλοκαλία φησίν, ὀρνιθώδεις εἶναι.

Ἶβις Λυκούργῳ. Χαιρεφῶντι νυκτερίς.
Συρακοσίῳ δὲ, κίττα. Μειδίας δ' ἐκεῖ,
Ὄρτυξ ἐκαλεῖτο. καὶ γὰρ εἴκει ὄρτυγι
Ὑπὸ στυφοκόμπου τὴν κεφαλὴν πεπληγμένῳ.
B Ἦδον δ' ὑπὸ φιλορνιθίας πάντες μέλη.
Ὅπου χελιδὼν ἦν τις ἐμπεποιημένη,
Ἢ πηνέλοψ, ἢ χήν τις, ἢ περιστερά.
Ἢ πτέρυγες, ἢ πτεροῦ τι καὶ μικρὸν προσῆν.
Τοιαῦτα μὲν τἀκεῖθεν. ἓν δέ σοι λέγω.
Ἥξουσ' ἐκεῖθεν δεῦρο, πλεῖν ἢ μύριοι,
Πτερῶν δεόμενοι, καὶ τρόπων γαμψωνύχων,
C Ὥστε πτερῶν σοι τοῖς ἐποίκοις δεῖ ποθεν.
Πι. Οὐκ ἄρα μὰ Δί' ἡμῖν ἔτ' ἔργον ἑστάναι.
Ἀλλ' ὡς τάχιστα σὺ μὲν ἰὼν, τὰς ἀρρίχους
Καὶ τοὺς κοφίνους ἅπαντας ἐμπίπλη πτερῶν.
Μανῆς δὲ φερέτω μοι θύραζε τὰ πτερά.
Ἐγὼ δ' ἐκείνων τοὺς προσιόντας δέξομαι.

Ibis Lycurgo, Cherephonti vespertilio,
Syracusio autem citta. Medias autem illic
Coturnix vocabatur: etenim similis erat coturnici
A styphocompo capite percusso.
Canebant autem omnes ab amicitia auium omnes cantilenas.
Vbi hirundo erat aliqua depicta.
Vel penelops, vel anser aliquis, vel columba,
Vel ala, vel penna quid & paruum adesset.
Talia quidem illinc, vnum autem tibi dico,
Venient illinc huc plusquàm mille,
Alis indigentes, & moribus curuis vngues,
Vt alarum tibi inhabitantibus opus sit alicunde.
PI. *Non igitur per Iouem nobis amplius opus stare,*
sed quàm citissimè tu quidem iens, cistas
Et cophinos omnes imple pennis.
Manens autem portet mihi foras alas,
Ego autem illis accedentes suscipiam.

Σχόλια. Ἶβις Λυκούργῳ] ἢ ὡς Αἰγυπτίῳ, ἢ ὡς μακροσκελεῖ. ἶβις δὲ ὄρνεον πλεονάζον ἐν Αἰγύπτῳ. Χαιρεφῶντι.] ὁ Χαιρεφῶν, μέγας τε ἰσχνὸς προείρηται. νυκτερὶς δὲ καὶ παρὰ τοῖς ἄλλοις. οὗτος ἂν εἴη Χαιρεφῶν ὁ Σωκρατικός. Συρακοσίῳ δὲ κίττα.] οὗτος γὰρ τῶν περὶ τὸ βῆμα. καὶ Εὔπολις ὡς λάλον ἐν πόλεσι διασύρει. Συρακόσιος δὲ ἔοικεν ἠχεῖν ἐν λόγῳ τοῖς ἐπὶ τῶν τειχῶν. ἀναβὰς γὰρ ἐπὶ βῆμα ὑλακτεῖ περιτρέχων. δοκεῖ δὲ τὸ ψήφισμα μὴ κωμῳδεῖσθαι ὀνομαστί τινα, ὡς Φρύνιχος ἐν Μονοτρόπῳ φησί. ψώρ᾽ ἔχοι Συρακόσιον. ἐπιφανὴς γὰρ αὐτῷ καὶ μέγα λάχοι, ἀφείλετο γὰρ κωμῳδεῖν οὓς ἐπεθύμουν. διὸ πικρότερον αὐτῷ προσφέρονται. Μειδίας δ' ἐκεῖ ὄρτυξ.] ὁ μὲν Δίδυμος οὕτως. ὁ δὲ Ἀμμώνιος ἐν ἤθει ἐξ ἐπιθέτου Μειδίαν ὄρτυγα καλεῖσθαι. Γελοίως διὰ τὸ κυβευτὴν εἶναι, καὶ ἐν πυρῷ τοὺς ὄρτυγας κόπτειν. οὕτως αὐτὸν νῦν Ἀριστοφάνης προσεῖπε. δηλοῖ δὲ τοῦτο Ἀριστοφάνης ἐν Πελαργοῖς. χρηστὸν μὴ κατὰ Μειδίαν ὀρτυγοκόπον. λέγει δὲ ἐν Πολεμιαῖς ὁ αὐτὸς, ὡς καὶ περὶ ἀλεκτορας αὐτοῦ ἐσπουδακότος. διαβάλλεται δὲ εἴς τε πονηρίαν ὡς Πλάτων ἐν νίκαις. καὶ κλοπῆς δημοσίων, ὡς Μεταγένης ἐν Ὁμήρῳ, καὶ συκοφαντία. κόβαλός τε εἶναι ἐλέγετο, καὶ πλουχαλαζῶν, ὡς Φρύνιχος ἐν Ἐφιάλτῃ, ὁ δὲ Σύμμαχος ἧττον ἐώκει. ὄρτυγα δὲ λέγει, ὅτι ὀρτυγοκόπος ἦν. περὶ οὗ προείρηται. φέρεται δὲ ἐν τοῖς πλείστοις, ὑπὸ στυφοκόμπου. καὶ σαφὲς οὐδὲν ἔστιν εὑρεῖν. Διονύσιος δὲ

D ὁ Ζώπυρος γράφει ὑπ' ὀρτυγοκόπου. καὶ ἐξηγεῖτο, ἔτι ἐγκεῖται τὸ μ. θέλει γὰρ εἰπεῖν τῶν ὀρτυγοκόμπων. ἐπὶ τὸ αὐτὸ τῶν ὀρτυγοκόμπων. Ὑπὸ στυφοκόμπου.] ὁ μάχιμος ὄρτυξ. παρὰ τὸ στερεῶς κόπτειν. ὄνομα ὄρνεου ἔπλασε παρὰ τὸ κολάπτειν τὴν κεφαλὴν, ὃ συμβαίνει τοῖς ὄρτυξιν. Ὅπου χελιδών.] εἰς τὰ Σιμωνίδου μέλη αἰνίττεται κυανέα χελιδών. Ἢ πηνέλοψ.] ὁ πηνέλοψ νήσσῃ μὲν ὅμοιον, περιστερᾶς δὲ μέγεθος. μέμνηται δὲ αὐτοῦ, Στησίχορος καὶ Ἴβυκος. εἰς τὸ αὐτό. τὰ μὲν ἄλλα ἐν συμπληρώμασι. ὁ δὲ πηνέλοψ, μείζων μὲν ἢ κατὰ νῆτταν ὅμοιον. Ἢ πτέρυγες ἢ
E πτεροῦ τι] ὅπου μέρος τι πτεροῦ ἢ μόριον ὑπῆρχεν ἐν ποιήματι, ᾖδον αὐτό. Τὰς ἀρρίχους. τὸ χ διὰ τὸ θηλυκὸν εἰπεῖν, τὰς ἀρρίχους ἡ ἄρριχος. ἐξηγοῦνται δέ τινες κόφινον. ἡγητέον οὖν ἓν μὲν τοῦ αὐτοῦ γένους εἶναι. διαφέρει δέ τι. λέγουσι δὲ καὶ νῦν Συρακούσιοι τοὺς ἀρρίχους. Ἐμπίπλη πτερῶν.] πρὸς τὸ χορηγεῖν τοὺς βουλομένους ὀρνιθωθῆναι τῶν ἀνθρώπων εἴρηται ταῦτα. ἄλλως. ἐμπίπλη. Ἀττικόν. ἦν γὰρ τὸ κοινὸν, ἀπὸ τοῦ πίπλημι, πίμπλαθι, ὡς
F ἵσταθι. ὅμοιον δέ ἐστι καὶ τὸ, Κύκλωψ τῆ πίε οἶνον ἐπεὶ φάγες ἀνδρόμεα κρέα, παρὰ τῷ ποιητῇ. Ἀττικοὶ γὰρ οἱ τρέπουσι ἐπὶ τῶν εἰς μι τὸ μι εἰς τὸ θ ἐν τοῖς προστακτικοῖς, καὶ συστέλλουσι τὴν παραλήγουσαν ὡς ἡ κοινή. ἵστημι. ἵσταθι, καὶ πίμπλημι πίμπλαθι. ἀλλὰ τελείαν ἀποβολὴν τοῦ νι ποιούμενοι πίμπλη καὶ ἵστη λέγουσιν, ὥσπερ καὶ ἀπὸ τοῦ τίθημι, τίθει.

Πεισθέταιρος κήλωνις.
G

Χο. ΤΑχὺ δ' ἂν, πολυάνορα τάνδε πόλιν
Καλεῖ τις ἀνθρώπων ἄν.
Πι. Τύχη μόνον προσείη.

CH. *Citò autem multorum virorum hanc ciuitatem*
Vocabit aliquis hominum.
PI. *Fortuna solùm adsit.*

Σχόλια. Ταχὺ δ' ἂν πολυάνορα.] ἡ ἀμοιβαία αὕτη περίοδος ἔοικεν ἐκθέσει διπλῆς κώλων οὔσα ἀνα-

ἀναπαιστικῶν καὶ ἰαμβικῶν ιζ. ὧν τὸ πρῶτον ἀναπαιστικὸν δίμετρον ἀκατάληκτον. τὸ β ἰαμβικὸν δίμετρον καταληκτικὸν, ἤτοι ἑφθημιμερὲς ὃ καλεῖται ἀνακρεόντειον. τὸ γ ὅμοιον. τὸ δ ὅμοιον τῷ α. τὸ ε ὅμοιον τῷ β. τὸ ς καὶ τὸ A ζ. ἀναπαιστικὰ πενθημιμερῆ. τὰ η θ ι γ ὅμοια τῷ α. τὰ δ' ἄλλα τῷ β. ἐπὶ τῷ τέλει αἱ συνήθεις διπλαῖ.

Bisetvs. Ταχὺ δὲ, ἀντὶ τοῦ ταχέως, ἐν τάχει, κατὰ τάχος.

Χο. Κατέχουσι δ' ἔρωτες ἐμᾶς πόλεως.
Πι. Θᾶττον φέρειν κελεύω.
Χο. Τί γὰρ οὐκ ἔνι ταύτῃ
Καλὸν ἀνδρὶ μετοικεῖν.
Σοφία, πόθος, ἀμβροσία, χάριτες.
Τό, τε τῆς ἀγανόφρονος ἡσυχίας
Εὐήμερον πρόσωπον.
Πι. Ὡς βλακικῶς διακονεῖς.
Οὐ θᾶττον ἐγκονήσεις;
Χο. Φερέτω κάλαθον ταχύ τις πτερῶν.
Σὺ δ' αὖθις αὖ γ' ἐξόρμα,
Τύπτων γε τουτονὶ ὡδί.
Πάνυ γὰρ βραδύς τις ἐστιν ὥσπερ ὄνος.
Πι. Μανῆς γάρ ἐστι δειλός.

CH. Detinent autem amores mea ciuitatis.
PI. Citò ferre iubeo.
B CH. Quid enim non inest huic,
(Bonum viro transmigrare)
sapientia, desiderium, immortalitas, gratia.
Hacque valde prudentis quietis
Mansueta persona.
PI. Valde ignauè ministras,
Non citò festinabis?
CH. Ferat calathum citò aliquis alarum.
Tu autem rursus iterum irrue,
Verberans hunc sic:
C Valde enim tardus quidem est tanquam asinus.
PI. Manes enim est timidus.

Σχόλια. Ἐμᾶς πόλεως.] λείπει ἀνθρώπους. ἕνεκα τῆς πόλεως τῆς ἐμῆς φησὶ πλέκουσιν οἱ ἔρωτες τοὺς ἀνθρώπους ἀντὶ τοῦ ἐρῶσιν ἄνθρωποι τῆς ἐμῆς πόλεως. Θᾶττον φέρειν.] τοὺς κοφίνους τῶν πτερῶν. δῆλον δὲ ὅτι ταῦτα πρὸς τὸν Μανῆν. Ὡς βλακικῶς.] ἀντὶ τοῦ βραδέως. Πεισθέταιρος πρὸς τὸν Μανῆν. Σὺ δ' αὖθις ἐξόρμα] ἀποστρέφει τὸν λόγον ὁ χορὸς πρὸς τὸν Πεισθέταιρον εἰσιόντα ἐπεῖξαι τὸν οἰκέτην ὡδί. Μανῆς γάρ ἐστι δειλός.] ἀποφαντικῶς ἀντὶ τοῦ δείλαιος. πρὸς ἄλλον δὲ λέγει τύπτων τὸν Μανῆν. εἴσθεσις δὲ χοροῦ ἐπῳδικὴ μετὰ διπλῆς τὸ μὲν κατὰ τὴν διπλῆν τίθεται, προῳδικὴ δὲ διὰ τὸ προτίθεσθαι ἑτέρας περιόδου. κώλων ἀναπαιστικῶν ε. ὧν τὰ α β πενθημιμερῆ. τὰ γ δ δίμετρα ἀκατάληκτα. τὸ ε ἰαμβικὸν ἑφθημιμερές. D ἐν ἐκθέσει δὲ τετράμετρα δύο. ἐπὶ τῷ τέλει κορωνίς.

ΣΤΡΟΦΗ

κώλων ε.

Χο. Σὺ δὲ τὰ πτερὰ πρῶτον
Διάθες τάδε κόσμῳ.
Τά τε μουσικὰ ὁμοῦ, τά τε μαντικὰ καὶ
Τὰ θαλάσσια. ἔπειτα δ' ὅπως φρονίμως
Πρὸς ἄνδρ' ὁρῶν πτεροῖς.
Πι. Οὔτοι μὰ τὰς κερχνῄδας ἔτι σοῦ σχήσομαι,
Οὕτως ὁρῶν σε δειλὸν ὄντα καὶ βραδύν.

VERSIO membrorum quinque.

CH. TV autem alas primum
Dispone has ornatu,
E Hasque musicas simul, hasque vaticinatorias, &
Marinas. postea autem quomodo sapienter
Ad virum aspiciens alabis?
PI. Non aliquid per cerchneidas amplius tolerabo,
sic videns te timidum existentem & tardum.

Σχόλια. Διάθες τάδε κόσμῳ.] ἀντὶ τοῦ διάκρινον τὰ πτερὰ κατὰ τάξιν ἑκάστῳ ἀνδρὶ προσήκοντας. μουσικὰ δὲ λέγει, κύκνων καὶ ἀηδόνων, ὅτι μάλιστα εὔφωνά ἐστι. μαντικὰ δὲ κοράκων καὶ αἰγυπιῶν καὶ τῶν λοιπῶν, ὅσοις οἰωνίζεται. θαλάττια δὲ, λάρων καὶ αἰθυιῶν καὶ τῶν ὁμοίων. Οὔτοι μὰ τὰς κερχνῄδας.] τύπτων F τὸν δοῦλον τὸν Μανῆν ταῦτα λέγει ὁ Πεισθέταιρος.

ΠΑΤΡΑΛΟΙΑΣ, ΠΕΙΣΘΕΤΑΙΡΟΣ.

PARRICIDA, PISTHETERVS.

Εἴσθεσις περιόδου κώλων καὶ στίχων λς.

Bisetvs. Πατραλοίας πρὸς τὴν ὀρνίθων πόλιν G ἥκει, ἐπιθυμῶν τὸν βίον, καὶ τοὺς νόμους ἐπαινῶν.

Πα. ΓΕνοίμαν αἰετὸς ὑψιπέτας,
Ὡς ἂν ποταθείην ἀτρυγέτου.

PA. FIam aquila altiuolans,
Vt volarem indomita

Σχόλια. Γενοίμαν αἰετός.] εἴσθεσις ἑτέρας περιόδου κώλων καὶ στίχων λς. ὧν τὰ α' δύο ἀναπαιστικὰ δίμετρα ἀκατάληκτα. τὸ τρίτον ἰαμβικὸν ἑφθημιμερές. τὸ δ κῶλον μονόμετρον βραχυκατάληκτον. οἱ δ' ἄλλοι

τέτραμετροι. ἐπὶ τῆς ἀποθέσεως καὶ τῷ τέλει παράγραφος. ἐν τοῖς Καλλιστράτου δὲ τὰ ἐξ Οἰνομάου τῆς Σοφοκλέους. πρόσεισι πατραλοίας ἀκηκοὼς τὰ ἐν ὄρνισι νόμιμα, ὅτι ἐξὸν τὸν πατέρα τύπτειν.

Γλαυκᾶς ἐπ' οἶδμα λίμνας.
Πει. Ἔοικεν οὐ ψευδαγγελὴς εἶν' ἄγγελος.
Ἄδων γὰρ ὅδε τις αἰετοὺς, προσέρχεται.
Πα. Αἰβοῖ.
Οὐκ ἔστιν οὐδὲν τοῦ πέτεσθαι γλυκύτερον.
Ἐρῶ δ' ἔγωγε τῶν ἐν ὄρνισι νομῶν.
Ὀρνιθομανῶ γάρ. καὶ πέτομαι. καὶ βούλομαι
Οἰκεῖν μεθ' ὑμῶν κἀπιθυμῶ τῶν νομῶν.
Πει. Ποίων νομῶν; πολλοὶ γὰρ ὀρνίθων νόμοι.
Πα. Πάντων. μάλιστα δ' ὅτι καλὸν νομίζεται,
Τὸν πατέρα τοῖς ὄρνισιν ἄγχειν καὶ δάκνειν.
Πει. Καὶ νὴ Δί' ἀνδρεῖόν γε πάνυ νομίζομεν
Ὃς ἂν πεπλήγῃ τὸν πατέρα νεοττὸς ὤν.
Πα. Διὰ ταῦτα μέντοι, δεῦρ' ἀνοικισθεὶς ἐγὼ
Ἄγχειν ἐπιθυμῶ τὸν πατέρα, καὶ πάντ' ἔχειν.
Πει. Ἀλλ' ἔστιν ἡμῖν τοῖσιν ὄρνισιν νόμος
Παλαιὸς, ἐν ταῖς τῶν πελαργῶν κύρβεσιν.
Ἐπὴν, ὁ πατὴρ ὁ πελαργὸς ἐκπετησίμους
Πάντας ποιήσῃ τοὺς πελαργιδεῖς τρέφων,
Δεῖ τοὺς νεοττοὺς τὸν πατέρα πάλιν τρέφειν.
Πα. Ἀπέλαυσα γὰρ νὴ τὸν Δί' ἐλθὼν ἐνθαδὶ,
Εἴπερ γέ μοι καὶ τὸν πατέρα βοσκητέον.
Πει. Οὐδέν γ' ἐπειδή περ γὰρ ἦλθες, ὦ μέλε
Εὔνους, πτερώσω σ' ὥσπερ ὄρνιν ὀρφανόν.
Σοὶ δ' ὦ νεανίσκ' οὐ κακῶς ὑποθήσομαι.
Ἀλλ' οἷά περ αὐτὸς ἔμαθον ὅτε παῖς ἦ. σὺ γὰρ
Τὸν μὲν πατέρα μὴ τύπτε. ταύτην δέ γε λαβὼν,
Τὴν πτέρυγα, καὶ τουτὶ τὸ πλῆκτρον θητέρᾳ,
Νομίσας ἀλεκτρυόνος ἔχειν γε τὸν λόφον.
Φρούρει, στράτευε, μισθοφορῶν σαυτὸν τρέφε.
Τὸν πατέρ' ἔα ζῆν ἀλλ' ἐπειδὴ μάχιμος εἶ,
Εἰς τἀπὶ Θρᾴκης ἀποπέτου, κἀκεῖ μάχου.
Πα. Νὴ τὸν Διόνυσον εὖ γέ μοι δοκεῖς λέγειν.
Καὶ πείσομαί σοι. Πει. νοῦν ἄρ' ἕξεις νὴ Δία.

Alba in vndam paludis.
P1. *Apparet non mendax nunciator esse nuncius,*
Canens hic aliquis aquila aduenit.
PA. *Papa, non est nihil volare dulcius,*
B *Amo autem ego has in auibus leges.*
Auium more insanio enim, & volo, & uolo
Habitare vobiscum, & cupio leges.
P1. *Quales leges? multæ enim auium leges.*
PA. *Omnes maximè quod bonum putatur,*
Patrem auibus suffocare & mordere.
P1. *Et per Iouem virilem valde putamus,*
Qui percussit patrem pullus existens.
PA. *Propter hæc quidem huc habitans, ego*
C *Suffocare cupio patrem & omnia habere.*
P1. *Sed est nobis auibus lex*
Antiqua, in ciconiarum tabellis.
Postquam pater pelargus euolabiles
Omnes faciet, pelargides nutriens,
Oportet pullos patrem rursus nutrire.
PA. *Accepi enim per Iouem veniens huc,*
Siquidem mihi & patrem pascendum.
P1. *Nihil. quoniam enim venisti ô miser*
D *Beneuolus, alabo te tanquam auem orphanam.*
Tibi autem ô adolescentule non male suggeram,
sed qualia ipse didici quando puer eram. tu enim
Patrem quidem ne verbera, hanc autem capiens
Alam, & hoc plectrum altera,
E *Putans galli habere cristam,*
Custodi, milita, mercedem ferens, te ipsum nutri,
Hunc patrem sine viuere. sed quoniam pugnatores,
In hæc in Thracia auola, & illic pugna.
PA. *Per Dionysium, benè mihi videris dicere,*
Et parebo tibi. P1. *Mentem igitur habebis per*
F *Iouem.*

Σχόλια. Λίμνας] καὶ Ὅμηρος λίμνην τὴν θάλασσαν εἴρηκεν.

Bisetus. Λίμνας, λίμνης. λίμνη δὲ ἡ θάλασσα ἐνίοτε παρ' Ὁμήρῳ, λέγεται παρὰ τὸ λίαν μένειν. καταχρηστικώτερον δὲ καὶ περὶ τῶν ποταμῶν καὶ περὶ τῆς θαλάσσης λέγεται.

Σχόλια. Οὐ ψευδαγγελής.] οὐ ψευδῆ ἀπαγγέλλει. Αἰβοῖ.] τὸ αἰβοῖ οὐ μόνον ἐπὶ χλευασμοῦ ἐστιν, ἀλλὰ καὶ ἐπὶ ἡδονῆς ὡς καὶ νῦν. Οὐκ ἔστιν οὐδὲν τοῦ πέτεσθαι] μετὰ τὸν ἑνὸς στίχου φέρουσί τινες διάλειμμα καὶ Ἀριστοφάνης πλήρωμα, οὕτως ἐρῶ δ' ἔγωγε τῶν ἐν ὄρνισι νομῶν. Πολλοὶ γὰρ ὀρνίθων] γύπες καὶ κόρακες περὶ νεκροὺς νέμονται, οἱ δὲ λάροι τὴν θάλασσαν. ποίας οὖν νομῆς ἐπιθυμεῖς.

Bisetus. Γράφεται νόμοι, καὶ νομοί. νομὸς δὲ, ἡ νομὴ ταύτη, παρὰ τὸ νέμεσθαι, τὸ βόσκεσθαι, καὶ τρέφεσθαι. οἱ δὲ νόμοι παροξυτόνως γράφεις, τοὺς θεσμοὺς τοιούτους. ὁ δὲ τόνος, καὶ προσῳδία διάφορος τὴν ἀμφιβολίαν αἴρει. τάχα δὲ παιδιᾶς χάριν τῇ τόνου ἀμφιβολίᾳ ἐν τῇ τῆς φωνῆς προφορᾷ ἐχρήσατο.

Σχόλια. Ἐν ταῖς τῶν πελαργῶν κύρβεσιν.] κύρβεις χαλκαῖ σανίδες ἔνθα τοὺς νόμους γράφουσι. καὶ δὲ ἐνίους, ἄξονες τετράγωνοι ἐν οἷς ἦσαν οἱ τῶν πόλεων νόμοι γεγραμμένοι καὶ αἱ δημόσιαι ἱεροποιίαι. καθάπερ καὶ Ἀριστοτέλης ἐν τῇ τῶν Ἀθηναίων πολιτείᾳ φησὶ καὶ
G Ἀπολλόδωρος. κύρβεις δὲ, ἤτοι παρὰ τὸ κεκορυφῶσθαι εἰς ὕψος ἀνατεταμένας. ἢ ἀπὸ τῶν κορυβάντων. ἐκείνων γὰρ εὕρημα ὥς φησι Θεόπομπος ἐν τῷ περὶ εὐσεβείας. φησὶ δὲ Ἀριστοτέλης, ἀληθὲς εἶναι τὸ περὶ τῶν πελαργῶν λόγον, ὁμοίως δὲ αὐτοῖς ποιεῖν καὶ τοὺς αἴροπας. διὸ ἐν τοῖς σκήπτροις ἀνωτέρω μὲν πελαργὸν τυποῦσι, κατωτέρω δὲ ποτάμιον ἵππον. δηλοῦντες ὡς ὑποτέτακται ἡ βία τῇ δι-

τῇ δικαιοπραγίᾳ. οἱ γὰρ πελαργοὶ, δικαιοπραγεῖς ὄντες, ἐπὶ πτερῶν βαδίζουσι τοὺς πατέρας γεγηρακότας βαστάζοντες. οἱ δὲ ἱπποπόταμοι, ζώων ἀδικώτατοι. περὶ μὲν οὖν τοῦ τοὺς πελαργοὺς ἀντιτρέφειν τὸν πατέρα, Αριστοτέλης ἱστορεῖ προσθεὶς αὐτοῖς καὶ τοὺς ἀέροπας λέγων οὕτως. περὶ μὲν οὖν τῶν πελαργῶν ὅτι ἀντιτρέφονται, θρυλλεῖται παρὰ πολλοῖς. φασὶ δὲ καὶ τοὺς ἀέροπας τοῦτο ποιεῖν. Ωσπερ ὄρνιν ὀρφανὸν] ὡς μὴ ἔχοντα πατέρα. θάῤῥει οὖν. σὺ γὰρ θρέψεις τὸν πατέρα. ἢ ὅτι καὶ οὕτως ἐστὶν ὄρνις καλούμενος. Εμαθον ὅτε παῖς ἦ.] ἀντὶ τοῦ ἦν ἀττικῶς. Σύμμαχος. καθοπλίζει αὐτὸν τῇ πτέρυγι ὡς ἀσπίδι. τῷ δὲ πλήκτρῳ ὡς ξίφει. τῷ δὲ λόφῳ ὡς περικεφαλαίᾳ. Δίδυμος δὲ ἀντὶ τῆς πτέρυγος ἀσπίδα δίδωσιν αὐτῷ. ἀντὶ δὲ τοῦ πλήκτρου, ξίφος. ἦλθε γὰρ ὡς

A ἀλεκτρυὼν πτερωθεὶς ἀμύνεσθαι, ἐπεὶ ἐκεῖνοι τοὺς πατέρας τύπτουσι. Πλῆκτρον] ὅπερ περιτίθεσιν τοῖς ἀλεκτρυόσι χαλκοῦν ἐν τῇ μάχῃ θέσθαι. καὶ παροιμία. αἶρε πλῆκτρον ἀμυντήριον. καὶ ἐκεῖνοι γὰρ ἔχουσι πλῆκτρα οἷς μάχονται.

Bisetvs. Θατέρα] τῇ ἑτέρᾳ χειρί.

Σχόλια. Φρούρει. στρατεύου] συμβουλεύει αὐτῷ ποιεῖν ἃ πρέπει νέους ἐργάζεσθαι, καὶ μὴ μάτην ἐκ τοῦ δημοσίου τρέφεσθαι. ἄλλως. παρακελεύεται αὐτῷ στρατεύεσθαι καὶ μισθὸν λαμβάνειν. καὶ ἐκ τούτου ἀποτρέφεσθαι. μισθοῦ γὰρ στρατεύονται ὑπὲρ ἄλλων πολέμων. κωμῳδεῖ δὲ Αθηναίους ὡς μὴ στρατευομένους. Εἰς τἀπὶ Θρᾴκης.] ἐπεὶ σύνεχες ἦν ἐν τούτῳ στρατεύεσθαι ἐπὶ Θρᾴκης τοῖς Αθηναίοις. ἢ ὅτι ἱερὸν ἐπὶ τοῦ Αρεως χωρίον ἡ Θρᾴκη.

ΚΙΝΗΣΙΑΣ, ΠΕΙΣΘΕΤΑΙΡΟΣ.

Cynesias, Pisthetervs.

Σύστημα κατὰ περικοπὴν ἑτερόστροφον, κώλων καὶ στίχων ί.

C Constitutio per circuncisionem aliter versa.

Bisetvs. Ερχεται καὶ Κινησίας, ὃς ὄρνις γενέσθαι βούλεται, ὅπως μετάρσιος φέρηται διθύραμβος ὤν.

Κι. Αναπέτομαι δὴ πρὸς Ολυμπον
Πτερύγεσσι κούφαις. πέτομαι δ᾽ ὁδὸν
Αλλοτ᾽ ἐπ᾽ ἄλλαν μελέων.
Πε. Τουτὶ τὸ πρᾶγμα, φορτίου δεῖται πτερῶν.
Κι. Αφόβῳ φρενὶ,
Σώματι γενεὰν ἐφέπων.
Πε. Ασπαζόμεσθα φιλύρινον Κινησίαν.
Τί δεῦρο πόδα σὺ κυλλὸν ἀνὰ κύκλον κυκλεῖς;
Κι. Ορνις γενέσθαι βούλομαι,
Λιγύφθογγος ἀηδών.

CI. Sum pravolo iam ad Olympum
Alis lenibus, volo autem viam
Aliquando in aliam cantuum.
PI. Hæc respondere indiget alarum.
D CI. Intrepida mente
Corpori generationem narrans.
PI. Saluto tilianum Cinesiam.
Quid huc pedem tu claudum in circulo circundas?
CI. Auis fieri volo
Stridula luscinia.

Σχόλια. Αναπέτομαι δή.] ἡ ὁμοιότης αὐτὴ περιεδέετο προῳδῷ χοροῦ ἔοικε κώλων καὶ στίχων οὖσα ἀναπαιστικῶν καὶ ἰαμβικῶν ί. ὧν μέρη ι. ὧν τετράβραχεισιν ἐν τῷ α΄. ἀναπαιστικὸν πενθημιμερὲς τοῦ α΄ ποδὸς τετραβράχεως. τὸ β΄ δίμετρον καταληκτικὸν εἰς δισύλλαβον. τὸ τρίτον δίμετρον βραχυκατάληκτον. οἱ δὲ ζ΄ ἡ ἰαμβικοὶ τετράμετροι ἀκατάληκτοι. τὸ ί ἀναπαιστικὴ βάσις καταληκτικὴ εἰς δισύλλαβον. τὸ ς΄ ὅμοιον τῷ γ΄. τὸ θ΄ ἰαμβικὸν δίμετρον ἀκατάληκτον. τὸ ί ἀναπαιστικὸν πενθημιμερές. ταῦτα δὲ παρὰ τὰ Ανακρέοντος. ἀναπέτομαι πρὸς Ολυμπον πτερύγεσσι κούφαις διὰ τὸν ἔρωτα. οὐ γάρ ἐμοὶ θέλει συνηβᾶν. διὸ καὶ τὸ χ. ἔχουσι δύο στίχοι. Αλλοτ᾽ ἐπ᾽ ἄλλαν.] ἀπ᾽ ἄλλων εἰς ἄλλα μέλη πρέπεται βούλεται διελεῖν. Τουτὶ τὸ πρᾶγμα φορτίου.] διὰ τὸ συνεχῶς αὐτὸν λέγειν πέτομαι καὶ πτερύγεσσι. Σώματι γενεὰν ἐφέπων] τινὲς ἐπίων. ὑπὸ τινὲς ἀδιανοητεύονται, ἐξ ὧν παρελαβεῖν τὰ Κινησίου ποιήματα. ἀσυνάρτητον δὲ τοῦτο τὸ κῶλον προσερρίφθαι. ἔδει γὰρ εἰπεῖν ἀφόβῳ σώματι πέτομαι γενεὰν ὀρνίθων ἐφέπων, ἀντὶ τοῦ μετιών. Φιλύρινον Κινησίαν.] Καλλίστρατος χλωρὸν. ἡ γὰρ φιλύρα χλωρόν. ἢ καὶ ὅτι. Εὐφρόνιος. κοῦφον ὡς ἐν διθυράμβῳ ποιὸν εὐτελῆ. καὶ κοῦφα ποιοῦντα. τοιοῦτον γὰρ τὸ ξύλον κοῦφον. καὶ ἐλαφρόν. διαβάλλει δὲ αὐτὸν ὡς καὶ χωλόν. διὰ τοῦ, πόδα σὺ κυλλόν.

E Bisetvs. Καλῶς δὲ, καὶ κατὰ τὸν τοῦ μέτρου νόμον Σούδας φιλύρινον διὰ τοῦ ι γράφει. φιλύρα δὲ εἶδος δένδρου ἔχον φλοιὸν βύβλῳ παπύρῳ ὅμοιον. καὶ φιλύρινον κατὰ τὸν Ησύχιον, ἀσθενές. ἀσπαζόμεσθα δὲ, μέτρου χάριν γεγραμμένον.

Σχόλια. Τί δεῦρο πόδα σὺ κυλλὸν] ὅτι πολλάκις τὸ μὲν κυλλὸν ἐπὶ τοῦ ποδὸς ἔταττον, ὥστε κυλλοπόδιον. τὸ δὲ χωλὸν ἐπὶ τῆς χειρὸς ὡς Εὔπολις, ὅτι χωλὸς ἐστὶ τὴν
F ἑτέραν χεῖρα ὡς λέγεις. καὶ Εὐφρόνιος μὲν χωλὸν εἶναι τὸν Κινησίαν φησίν. ἢ τάχα, ἐπεὶ πολλάκις ἐστὶ παρ᾽ αὐτοῖς ποδὶ κούφῳ. ἢ ποδὶ λευκῷ, ἢ πόδα τιθεὶς ἤ τι τοιοῦτον, τὸ κυλλὸν προσέθηκεν. ἄλλως. Δίδυμος μὲν κύκλον. ἐπεὶ κυκλίων ᾀσμάτων ποιητής ἐστι. κυλλὸν δὲ, ἐπεὶ χωλὸς ἦν. εἴρηται δὲ περὶ αὐτοῦ ἐν Βατράχοις. ὁ δὲ Αριστοτέλης ἐν ταῖς Διδασκαλίαις δύο φησὶν γεγονέναι. Σύμμαχος οὕτως. Εὐφρόνιος. ἐπεὶ κυλλὸς ἦν ὁ Κινησίας. τοῦτο δὲ οὐκ ἔστιν εὑρεῖν. ἀλλ᾽ ἐπεὶ πολὺ παρ᾽ αὐτοῖς ἐστι τὸ ποδὶ λευκῷ, καὶ
G ποδὶ κούφῳ. καὶ πόδα τιθείς. ἤ τι τοιοῦτον, τὸ κυλλὸν προσέθηκεν. Λιγύφθογγος ἀηδὼν] λιγύφθογγος εἶπε διὰ τὸν μόχθον. ἢ τὸν θρῆνον τὸν ἐκ δυνάμεως ἐξ αὐτοῦ εἰς τὸν παῖδα γενόμενον. γράφεται λιγυμυθος, ἢ λιγύμοχθος.

Biset. Εἴσθεσις περιόδου ἀμοιβαίας στίχων καὶ κώλων κα.

Πε. Παῦσαι μελῳδῶν· ἀλλ' ὅ,τι λέγεις εἰπέ μοι.
Κι. Ὑπὸ σοῦ πτερωθεὶς, βούλομαι μετάρσιος
Ἀναπτόμενος ἐκ τῶν νεφελῶν καινὰς λαβεῖν
Ἀεροδινήτους καὶ νιφοβόλους ἀναβολάς...
Πει. Ἐκ τῶν νεφελῶν γὰρ ἄν τις ἀναβολὰς λάβοι;
Κι. Κρέμαται μὲν οὖν ἐντεῦθεν ἡμῶν ἡ τέχνη.
Τῶν διθυράμβων γὰρ τὰ λαμπρὰ γίνεται.
Ἀέρια καὶ σκοτιά γε καὶ κυαναυγέα.
Καὶ πτεροδόνητα. σὺ δὲ κλύων, εἴσει τάχα.
Πει. Οὐ δῆτ' ἔγωγε. Κι. Νὴ τὸν Ἡρακλέα σύ γε.
Ἅπαντα γὰρ δίειμί σοι τὸν ἀέρα.
Εἴδωλα πετηνῶν αἰθεροδρόμων.
Οἰωνῶν ταναοδείρων.
Πει. Ὠόπ. Κι. Τὸν ἁλαδρόμον ἁλάμενος
Ἅμ' ἀνέμων πνοιαῖσι βαίην.
Πει. Νὴ Δί' ἐγώ σου καταπαύσω τὰς πνοάς.
Κι. Τοτὲ μὲν νοτίαν στείχων πρὸς ὁδόν.
Τοτὲ δ' αὖ βορέᾳ σῶμα πελάζων.
Ἀλίμενον αἰθέρος αὔλακα τέμνων.
Χαρίεντά γ' ὦ πρεσβῦτ' ἐσοφίσω καὶ σοφά.
Πε. Οὐ γὰρ σὺ χαίρεις πτεροδόνητος γενόμενος;
Κι. Ταυτὶ πεποίηκας τὸν κυκλιοδιδάσκαλον.
Ὃς ταῖσι φυλαῖς περιμάχητός εἰμ' ἀεί;
Πε. Βούλει διδάσκειν καὶ παρ' ἡμῖν οὖν μένων, D
Λεωτροφίδῃ χορὸν πετομένων ὀρνέων;
Κεκροπίδα φυλήν. Κι. Καταγελᾷς μου δῆλος εἶ.
Ἀλλ' οὖν ἔγωγ' οὐ παύσομαι τοῦτ' ἴσθ' ὅτι,
Πρὶν ἂν πτερωθεὶς διαδράμω τὸν ἀέρα.

A PI. *Cessa cantans, sed quodcunque dicis, dic mihi.*
CI. *A te alatus, volo altius*
Supra volans, ex nebulis nouas capere
Aere motas, niue tactas scalas.
PI. *Ex nebulis enim aliquis scalas capiat.*
Suspenditur quidem igitur nobis ars.
Dithyramborum enim splendida fiunt
B *Aeria & tenebrosa, & nigrè splendentia,*
Et alis mota: tu autem audiens scies cito.
PI. *Non certè ego.* CI. *Per Herculem tu.*
Omnem enim narro tibi aerem,
Simulacra volatilium æthere currentium,
Auium extensarum collo.
PI. *Oop.* CI. *Marinum cursum errans,*
Cum ventorum flatibus irem.
PI. *Per Iouem ego tui sedabo flatus.*
C CI. *Aliquando australem iens ad viam,*
Aliquando autem rursus Borea corpus appropinquans,
Marinum ætheris sulcum scindens:
Gratiosa ô senex, sapiuisti & sapientia.
PI. *Non enim tu gaudes alæ mobilis factus.*
CI. *Hæc fecisti circulari præceptori,*
Qui generationibus pugnator sum semper.
PI. *Vis docere & apud nos igitur manens,*
Leotrophide chorum volantium auium
Cecropidam tribum? CI. *Derides me, manifestus es.*
Sed igitur ego non cessabo: hoc scias, quòd
Ante alatus discurri aerem.

Σχόλια. Παῦσαι μελῳδῶν.] ἔκθεσις περιόδου ἀμοιβαίας στίχων καὶ κώλων κη. ὧν οἱ μὲν πρῶτοι ια', ἰαμβικοὶ τρίμετροι ἀκατάληκτοι, τὰ ἑξῆς ὀκτὼ κῶλα ἀναπαιστικὰ ἐπιμεμιγμένα χορείοις ἢ τριβράχεσι καὶ προκελευσματικοῖς ἤτοι τετραβράχεσιν. ὧν τὰ δ. δίμετρα ἀκατάληκτα. τὸ ε' τρίμετρον βραχυκατάληκτον. τὰ δὲ ἑξῆς τρία δίμετρα ἀκατάληκτα. οἱ ἑξῆς δὲ τούτων θ. στίχοι ἰαμβικοὶ τρίμετροι ἀκατάληκτοι. ἐπὶ τῷ τέλει κορωνίς. Ὑπὸ σοῦ πτερωθείς.] βούλομαί φησι πτερωθῆναι ὑπὸ σοῦ, ἵνα διὰ τοῦ ἀέρος πετόμενος, ἐξεύρω εἰς τὰ προοίμια λέξεις νιφοβόλους, καὶ ἀεροδινήτους. παίζει δὲ πρὸς τὰ ποιήματα τῶν διθυραμβοποιῶν. ἔθος γὰρ αὐτοῖς τοιαῦτα ἐπίθετα λέγειν. ἅμα δὲ καὶ πρὸς τὸ κοῦφον αὐτῶν. Κρέμαται μὲν οὖν.] ἡ ὕλη κατὰ τῶν ποιημάτων ἡμῶν, ἡ τῶν νεφελῶν σύστασις. Καὶ πτεροδόνητα.] ἀντὶ τοῦ ταχέα. ταῦτα δὲ συμβαίνει τῷ ἀέρι. ὅθεν φησὶ τὰς λέξεις αὐτοῦ θηρᾶσθαι. Ἅπαντα γὰρ δίειμί σοι.] πάντα γάρ σοι τὰ περὶ τοῦ ἀέρος διεξέρχομαι. πλείστη γὰρ αὐτῶν ἡ λέξις τοιαύτη. ὁ δὲ νοῦς ἐλάχιστος. ὡς ἡ παροιμία, καὶ διθυραμβοποιῶν νοῦν ἔχεις ἐλάττονα. Ὠόπ.] παρακελεύεται αὐτῷ παύσασθαι τοῦ ᾄδειν. ὡς οἱ ἐρέσσοντες. κέλευσμα γὰρ τῶν ἐρεσσόντων τὸ ὠόπ. καταπαῦον τὴν κωπηλασίαν. Τὸν ἁλαδρόμον.] τὸν εἰς ἅλα δρόμον. λείπει γὰρ ἡ εἰς. ἔνια δὲ τῇ συνθέσει ἀδιανόητα. ταῦτα δὲ ὑπὸ τῆς λέξεως σύνηπται. χλευάζει δὲ τοὺς διθυραμβοποιούς.

Bisetus. ἀλάμμος] ἄλλομαι, τὸ παθητικὸν. ὁ μέλλων, ἀλοῦμαι, ὁ δὲ ἀόριστος α. ἡλάμην, ὅθεν ἡ μετοχὴ ἀλάμενος, ἀντὶ τοῦ πηδήσας.

Σχόλια. Καταπαύσω.] τοῦτο ἅμα λέγων ὁ Πεισθέταιρος παίει αὐτόν. Ἀλίμενον.] τὴν τέλος οὐκ ἔχουσαν, οὐδὲ ὅρμον, ἀπὸ μεταφορᾶς τῶν νεῶν. τρόπον γὰρ πελάγους δοκοῦσι διανήχεσθαι τὸν ἀέρα οἱ ὄρνεις. Χαρίεντά γ' ὦ πρεσβῦτα.] ἔτι Κινησίας φησὶ τοῦτο πρὸς τὸν γέροντα τὸν Πεισθέταιρον τὸν τύψαντα αὐτόν. ἐπειδὴ κινεῖ αὐτὸν ὡς ἰσχνὸν τῷ σώματι. λέγει δὲ ὅτι χαρίεντως ἐσοφίσω, ἵνα τῷ κινεῖσθαι δοκῇς ἔχειν πτερά. Πτεροδόνητος γενόμενος.] πτεροῖς πληχθείς. παίζει δὲ πρὸς τὰ εἰρημένα. Τὸν κυκλιοδιδάσκαλον.] ἀντὶ τοῦ διθυραμβοποιόν. εἴρηται δὲ ὅτι ἐγκύκλια διδάσκουσιν. Ἀντίπατρος δὲ καὶ Εὐφρόνιος ἐν τοῖς ὑπομνήμασί φασι τοὺς κυκλίους χοροὺς στῆσαι πρῶτον Λᾶσον τὸν Ἑρμιονέα, οἱ δὲ ἀρχαιότεροι Ἑλλάνικος καὶ Δικαίαρχος, Ἀρίονα τὸν Μηθυμναῖον. Δικαίαρχος μὲν ἐν τῷ περὶ Διονυσιακῶν ἀγώνων. Ἑλλάνικος δὲ, ἐν τοῖς Κραναϊκοῖς. Ὡς ταῖσι φυλαῖς.] ἑκάστη γὰρ φυλὴ Διονύσου, τρέφει διθυραμβοποιόν. Λεωτροφίδῃ.] ἐπειδὴ καὶ οὗτος τῶν σφόδρα λεπτῶν. ἢ καὶ οὗτος διθυραμβοποιὸς κοῦφος. φησὶν οὖν, βούλει τῷ Λεωτροφίδῃ τὴν Κεκροπίδα φυλὴν διδάσκειν. ἀπὸ γὰρ ταύτης ἦν Λεωτροφίδης. τινὲς δὲ ὅτι κοῦφος καὶ χλωρὸς ἦν, ὡς ἐοικέναι ὄρνισι. Θεόπομπος δὲ ἐν τῷ Καπηλίσι. Λεωτροφίδης ὁ τρίμετρος ὡς Λεόντινος, εὔχρως τε φαίνεται καὶ χαρίεις ὥσπερ νεκρός. ἄλλως. ἐπειδὴ καὶ οὗτος τῶν σφόδρα λεπτῶν. καὶ ὁ Κινησίας δέ. Ἑρμῆ τοῖς Κέρκωψιν. ἀνάθημα σοι θύουσιν ὥσπερ βοΐδια, Λεωτροφίδου λεπτότερα καὶ Θουμαντίδος. θέλεις οὖν καὶ τῷ Λεωτροφίδῃ χορὸν ὀρνέων διδάξαι.

ΣΥΚΟ-

ΣΥΚΟΦΑΝΤΗΣ, ΠΕΙΣΘΕΤΑΙΡΟΣ.

BISETVS. Συκοφάντης τὶς πενόμενος ἔρχεται, ὃν Πεισθέταιρος ὀνειδίζει, καὶ λοιδορεῖ.

Συ. Ὄρνιθες τίνες οἵδ'
Οὐδὲν ἔχοντες πτεροποίκιλοι.
Τανυσίπτερε ποικίλα χελιδοῖ;
Πι. Τουτὶ τὸ κακὸν οὐ φαῦλον ἐξεγρήγορεν.
Ὅδ' αὖ μινυρίζων δεῦρό τις προσέρχεται.
Συ. Τανυσίπτερε ποικίλα μάλ' αὖθις.
Πι. Ἐς θοἰμάτιον τὸ σκολιὸν ᾄδειν μοι δοκεῖ.
Δεῖσθαι δ' ἔοικεν οὐκ ὀλίγων χελιδόνων.
Συ. Τίς ὁ πτερῶν δεῦρ' ἐστὶ τοὺς ἀφικνουμένους.
Πι. Ὁδὶ πάρεστιν. ἀλλ' ὅτου χρή, δεῖ λέγειν.
Συ. Πτερῶν. πτερῶν δεῖ. μὴ πύθῃ τὸ δεύτερον.
Πι. Μῶν εὐθὺ Πελλήνης πέτεσθαι διανοεῖ;
Συ. Μὰ Δία ἀλλὰ κλητήρ εἰμι νησιωτικός.
Καὶ συκοφάντης. Πι. ὦ μακάριε τῆς τέχνης.
Συ. Καὶ πραγματοδίφης. εἶτα δέομαι πτερὰ λαβὼν
Κύκλῳ περισοβεῖν τὰς πόλεις καλούμενος.
Πι. Ὑπὸ πτερύγων τι προσκαλεῖν σοφώτερον;
Συ. Μὰ Δί' ἀλλ' ἵν' οἱ λῃσταί γε μὴ λυπῶσί με.
Μετὰ τῶν γεράνων τ' ἐκεῖθεν ἀναχωρῶ πάλιν,
Ἀνθ' ἕρματος πολλὰς καταπεπωκὼς δίκας.
Πι. Τουτὶ γὰρ ἐργάζει σὺ τοὔργον εἰπέ μοι.
Νεανίας ὢν, συκοφαντεῖς τοὺς ξένους;
Συ. Τί γὰρ πάθω; σκάπτειν γὰρ οὐκ ἐπίσταμαι.
Πι. Ἀλλ' ἔστιν ἕτερα νὴ Δί' ἔργα σώφρονα,
Ἀφ' ὧν διαζῆν ἄνδρα χρῆν τοσουτονί,
Ἐκ τοῦ δικαίου μᾶλλον, ἢ δικορραφεῖν.
Συ. Ὦ δαιμόνιε. μὴ νουθέτει μ', ἀλλὰ πτέρου.
Πι. Νῦν ταῦτα λέγων πτερῶ σε. Συ. καὶ πῶς αὖ λόγοις
Ἄνδρα πτερώσειας σύ; Πει. πάντες τοῖς λόγοις
Ἀναπτεροῦνται. Συ. πάντες; Πει. οὐκ ἀκήκοας,
Ὅταν λέγωσιν οἱ πατέρες ἑκάστοτε
Τοῖς μειρακίοις ἐν τοῖσι κουρείοις ταδί;

SYCOPHANTA, PISTHETERVS.

A Cal. Aves qui hi, nihil habentes alis varij,
B Extensis alis varia hirundines.
Pi. Hoc malum non malum euigilauit?
Hic autem rursus lugens, huc aliquis aduenit.
Cal. Extense alis varia valde iterum.
Pi. In pallium malignum cantare mihi videtur,
Indigere autem apparet non paucarum hirundinum.
C Cal. Quis alans hic est aduenientes?
Pi. Hic adest, sed quo opus est oportet debere.
Cal. Alis, alis opus est, ne interroga secundò.
Pi. Nunquid rectà Pellenem volare cogitas?
Cal. Per Iouem, sed vocator sum insularis,
Et calumniator. Pi. O beate arte.
Cal. Et molestiarum inquisitor. postea indigeo alas capiens.
Circulo circuire ciuitates vocans.
D Pi. Ab alis quid aduocare sapientius?
Cal. Per Iouem, sed vt latrones non tristificent me,
Cum gruibúsque illinc recedo iterum,
Pro lapide multas bibens pœnas.
Pi. Quod enim operaris tu opus dic mihi?
Iuuenis existens calumniaris hospites?
Cal. Quid enim patiar? fodere non scio.
E Pi. Sed sunt alia per Iouem opera modesta,
A quibus degere virum oportebat tantum,
Ex iusto magis quàm pœnas suere.
Cal. O felix, ne admone me, sed ala.
Pi. Nunc hæc dicens alo te. Cal. & quomodo verbis
Virum alabis tu? Pi. omnes verbis
Alantur. Sy. omnes? Pi. non audiuisti?
Quando dicunt patres semper
Adolescentulis, in apothecis tonsoriis hæc,
F

Σχόλια. Ὄρνιθες τίνες οἵδε.] συκοφάντης τὶς πενόμενος καὶ εἰς τὴν αὐτοῦ πενίαν ᾄδων ἐπειδὴ μηδὲν εἶχεν, ἐκ πρώτων λόγων, συκοφαντεῖ τοὺς ὄρνιθας, ὡς ἐναντίως ἐχόντων τὸ σχῆμα τῆς τῶν ὀρνέων φύσεως. εἴη δ' ἂν εἰς τὸ σχῆμα τοῦ πρεσβυτέρου ἀφορῶν. τινὲς δὲ παρὰ τὰ Ἀλκαίου. ὄρνιθες τίνες οἵδε, ὠκεανοῦ γὰρ ἀπὸ περάτων ἦλθον, πανέλοπες ποικιλόδειροι τανυσίπτεροι καὶ παρὰ τὰ Σιμωνίδου, ὅτ' ἀγγέλε κλυτὰ ἔαρος καὶ ἁδυόδμου κυανέα
G χελιδοῖ. Ποικίλα μάλ' αὖθις.] τὸ φησι πρὸς τὸ ῥυπαρὸν καὶ ποικίλον τοῦ ἱματίου αὐτοῦ. Οὐκ ὀλίγων χελιδόνων] ἐπειδὴ συνεχῶς χελιδόνας λέγει, τοιοῦτόν τι φησίν. ἔαρος χρῄζει. παλαιὸν γὰρ χιτῶνα ἔχει. τὸν νοῦν δὲ τῆς παροιμίας μετείληφε τό, μία χελιδὼν ἔαρ οὐ ποιεῖ. Τίς ὁ πτερῶν.] πρὸς τὸ σχῆμα ᾧ χρῶνται συνεχῶς οἱ νέοι συγγραφεῖς. τίς ὁ πτερῶν, ἀντὶ τοῦ τίς πτεροῖ.

BISETVS. Ὅτου χρὴ] οὗ τινος, οὗ χρῄζει, οὗ χρείαν ἔχει, οὗ δεῖ. περὶ δὲ τούτου ἄνω ἐν τῷ χρῆσθαι, διὰ πλειόνων εἴρηται.

Σχόλια. Πτερῶν πτερῶν δεῖ.] παρὰ τὸ Αἰσχύλου ἐκ Μυρμιδόνων. ὅπλων, ὅπλων δεῖ. Μῶν εὐθὺ Πελλήνης] ἐπεὶ ἐν Πελλήνῃ ἐν τοῖς Ἡραίοις, ἆθλον ἐτίθετο χλαῖνα. χλαῖναι δὲ διαφέρουσαι ἐν Πελλήνῃ γίνονται. οἱ δέ, ὅτι Ἑρμαῖα ἄγεται ἐν Πελλήνῃ τῆς Ἀχαΐας καὶ τοῦτο ἔπαθλον τίθεται. Κλητήρ εἰμι] κλητὴρ λέγεται, ὁ καλῶν εἰς τὸ δικαστήριον πάντας. σημαίνει δὲ ἡ λέξις καὶ τὸν μάρτυρα. νησιωτικὸς δὲ ὁ τοὺς τὰς νήσους οἰκοῦντας συκοφαντῶν καὶ εἰς δικαστήριον ἄγων.

BISETVS. Πραγματοδίφης] Σ. ὁ δικολόγος. δ

διφῶν, τουτέστιν ἐρευνῶν, καὶ ζητῶν τὰ πράγματα. ὁ δικοῤῥαφῶν. ὁ δικοῤῥάφος. δικοῤῥαφεῖν δὲ, δίκας συῤῥάπτειν, ἐν τοῖς δικαστηρίοις ἀναστρέφεσθαι.

Σχόλια. Περιβεβεῖν.] περιίπτασθαι καὶ εἰς δικαστήριον καλεῖν. Υπαὶ πτερύγων τί.] ἀντὶ τοῦ μετὰ πτερύγων. Ησίοδος. τοί γε μὲν γελόωντες ὑπ' αὐλητῆρος ἕκαστος. Αρχίλοχος ᾄδων ὑπ' αὐλητῆρος. ἄλλως. ἀντὶ τοῦ ὑφαί-

A νειν φησὶ τὸ μετὰ πτερύγων καλεῖν. Ληστα[ί] οἱ πειραταί. καὶ Ομηρος. οἷά τε ληϊστῆρες. Ανθ' ἕρματος.] ἀντὶ τοῦ λίθου. ἐπεὶ αἱ γέρανοι ἐν τοῖς στόμασι ψήφους ἐν τῷ πέτεσθαι ἔχουσιν. ἄλλως. πολλάκις καὶ στηρίγματος ἕνεκα περιφέρουσι τοὺς λίθους αἱ γέρανοι πρὸς τὸ μὴ περιφέρεσθαι ἀνέμοις. Οὐκ ἐπίσταμαι] ἀντὶ τοῦ οὐ δύναμαι. εἴρηται δὲ κατὰ τὴν παροιμίαν. πεζῇ βαδίζων σκάπτειν οὐκ ἐπίσταμαι.

Δεινῶς τέ μου τὸ μειράκιον ὁ Διϊτρέφης
Λέγων ἀνεπτέρωκεν ὥσθ' ἱππηλατεῖν.
B Ο δέ τις τὸν αὑτοῦ φησιν ἐπὶ τραγῳδίᾳ
Ανεπτερῶσθαι, καὶ πεποτῆσθαι τὰς φρένας.
Συ. Λόγοισι τ' ἄρα καὶ πτεροῦνται; Πει. φήμ' ἐγώ.
Υπὸ γὰρ λόγων ὁ νοῦς τε μετεωρίζεται.
Επαίρεταί τ' ἄνθρωπος. οὕτω καί σ' ἐγὼ
Αναπτερώσας βούλομαι χρηστοῖς λόγοις,
Τρέψαι πρὸς ἔργον νόμιμον. Συ. ἀλλ' οὐ βούλομαι.
C Πι. Τί δαὶ ποιήσεις. Συ. τὸ γένος οὐ καταισχυνῶ.
Παππῷος ὁ βίος συκοφαντεῖν ἐστί μοι.
Αλλὰ πτέρου με, ταχέσι καὶ κούφοις πτεροῖς
Ιέρακος, ἢ κερχνῇδος, ὡς ἂν τοὺς ξένους
Καλεσάμενος, κἆτ' ἐγκεκληκὼς ἐνθαδὶ,
Κἆτ' αὖ πέτωμαι πάλιν ἐκεῖσε. Πει. μανθάνω.
D Ωδὶ λέγεις. ὅπως ἂν ὠφλήκῃ δίκην
Ενθάδε πρὶν ἥκειν ὁ ξένος. Συ. πάνυ μανθάνεις.
Πι. Κἄπειθ' ὁ μὲν πλεῖ δεῦρο, σὺ δ' ἐκεῖσ' αὖ πέτει
Αρπασόμενος τὰ χρήματ' αὐτοῦ. Συ. πάντ' ἔχεις.
Βέμβικος οὐδὲν διαφέρειν δεῖ. Πι. μανθάνω
Βέμβικα. καὶ μὴν ἐστί μοι νὴ τὸν Δία
Κάλλιστα κερκυραῖα τοιαυτὶ πτερά.
E Συ. Οἴμοι τάλας μάστιγ' ἔχεις; Πι. πτερὼ μὲν οὖν.
Οἷσί σε ποιήσω τήμερον βεμβικιᾶν.
Συ. Οἴμοι τάλας. οἱ πτερυγιεῖς ἐντευθενί;
Πι. Οὐκ ἀπολιβάξεις ὦ κάκιστ' ἀπολούμενος;
Πικρὰν τάχ' ὄψει στρεψοδικοπανουργίαν.
Απίωμεν ἡμεῖς ξυλλαβόντες τὰ πτερά.

Grauiterque mei adolescentulum Dijtrephes,
Dicens realauit ad equitare.
Hic autem aliquis hunc ipsius dicit in tragœdia,
Realare & volare mentes?
SY. Verbisque igitur & alantur? PI. dico ego.
Ab enim verbis mensq; eleuatur,
Attolliturq; homo: sic & te ego
Realans, volo bonis verbis
Vertere ad opus legitimum. SY. sed non volo.
PI. Quid autem facies? SY. genus non deturpabo,
Auita vita calumniandi est mihi.
Sed ala me velocibus & leuibus alis,
Accipitris, vel cercbneidis, vt hospites
Vocans, & postea vocans hic,
Et postea rursus volem rursus illuc. PI. intelligo.
Sic dicis, vt debeat pœnam
Hic ante ire hospes. SY. valde intelligis.
PI. Et postea hic quidem nauigat huc, tu autem illuc rursus vola,
Rapiens res ipsius. SY. omnia tenes.
Trocho nihil differre oportet. PI. intelligo
Trochum, & quidem sunt mihi per Iouem
Optima cercyrea tales alæ.
Sy. Hei mihi miser, lorum habes. PI. alas quidem igitur
Quibus te faciam hodie trochare.
Sy. Hei miser, non alabis hic?
PI. Non discedes ô pessime periturus?
Amaram citò videbis versionem pœnæ malitia.
Abeamus nos colligentes alas.

Σχόλια. Ο Διϊτρέφης.] ἐπεὶ πλούσιος, καὶ δυνάμενος ἱπποτροφεῖν ἐστί. εἴρηται δὲ περὶ αὐτοῦ ἀνωτέρω, ὅτι ὁ Διϊτρέφης πιτυνοπλόκος ὢν, ἐγένετο φύλαρχος καὶ ἵππαρχος. εἰς τὸ αὐτό. ἵππαρχος γὰρ γενόμενος καὶ εὐτυχήσας συνεβούλευσε καὶ ἄλλοις ἱππαρχεῖν.

BISETUS. Πεποτῆσθαι τὰς φρένας] οὕτω καὶ Θεόκριτος εἰδ. B.

Θέστυλι δειλαία πᾶ τὰς φρένας ἐκπεπότασαι

Σχόλια. Κἆτ' ἐγκεκληκώς.] ἔγκλημα κατ' αὐτοῦ γραψάμενος παρ' αὐτοῦ. ἐνθαδὶ δὲ ἤγουν εἰς τὸ δικαστήριον. Κἆτ' αὖ πέτωμαι πάλιν.] ἵνα πάλιν πετασθεὶς ἐν ταῖς νήσοις ἑτέρους ἄλλους προσκαλέσωμαι. Οπως ἂν ὠφλήκῃ.] ἀντὶ τοῦ δικασθείη, πρὶν φθάσαι ἐν τῇ Αττικῇ. τοιοῦτον δ' ἐστὶ τὸ λεγόμενον. ἵνα καλεσάμενός τινα εἰς δίκην σὺ μὲν ὡς ἂν πετόμενος φθάσῃς πρὸ αὐτοῦ. εἶτα καταδικάσας αὐτὸν ἐξ ἐρήμου, πάλιν ἐπὶ τὰ αὐτοῦ πέτῃ, ἐν

F ὅσῳ ἐκεῖνος πλέων, ἐνθάδε παραγίνεται. Κἄπειθ' ὁ μὲν πλεῖ.] ἵνα ὁ μὲν ἐκεῖσε ὢν, ὑπεύθυνος καὶ ἑτέρας δίκης γένηται ὑπὸ τοῦ θράσους, σοῦ φθάσαντος αὐτὸν ἐνθάδε. Βέμβικος οὐδὲν διαφέρειν] εὐστροφον καὶ εὐκίνητον δεῖ εἶναι. ὁ δὲ βέμβιξ ἐργαλεῖόν ἐστιν ὃ μάστιγι στρέφουσιν οἱ παῖδες. ἢ παίγνιον τῶν παίδων ὃς τροχὸς ὃς μάστιγι δερόμενος στρέφεται. Κερκυραῖα] λέγεταί τις Κερκυραία μάστιξ. συνεχῶς κερκυραίοις ἀταξίαι γίνονται. διὰ τὸ στασιάζειν οὖν, ἐπεπόλασε παρ' αὐτοῖς ἡ μάστιξ, ὥστε διπλαῖς χρῆσθαι μεγάλαις καὶ ἐλεφαντοκώπαις. ἄλλως. λέγεταί τις
G κερκυραία μάστιξ. Φρύνιχος Σατύροις. κερκυραῖαι δὲ οὐδὲν ἀποβάλλουσι μάστιγες. ὥστε καὶ παροιμίαν ἤδη ἐλθεῖν. Αριστοφάνης δὲ τὸ κερκυραία μάστιξ. λέγων φησὶν οὕτως. ἐλεφαντίνας ἐποιήσαντο, καὶ τῷ μεγέθει διπλᾶς. ὅθεν ἡ κερκυραία ἐπεπόλασε μάστιξ, καὶ εἰς παροιμίαν ἦλθε. ταῦτα δὲ λέγων τύπτει αὐτόν. Πτερὼ μὲν οὖν] δυϊκῶς ἀντὶ τοῦ

ἀντὶ τοῦ πτερὰ τῷ μάστιγι παρέλαβεν. ἴσως δὲ διπλῆ ἐστιν. Οὐκ ἀπολιβάξεις] συντόμως ἀναχωρήσεις. λιβὰς γὰρ ἡ σταγών. ἧς οὐδὲν ταχύτερον ἐν τῷ πίπτειν. ἢ ἐκ ἐς κόρακας εἰς λιβύην ἀποφθερῇ. Στρεψοδικοπανουργίαν.] δι-

A χῶς. στρευθοδικοπανουργίαν. ἀναχωρήσαντος δὲ αὐτοῦ τοῦτό φησι. συνέθηκε δὲ τὴν λέξιν παρὰ τὸ στριβλὸν ἦθος καὶ συκοφαντικὸν καὶ τὴν δίκην καὶ τὴν πανουργίαν.

ΣΤΡΟΦΗ κώλων ιγ'.

Χο. Πολλὰ δὴ καὶ καινὰ καὶ θαυ-
Μάστ' ἐπετόμεσθα.
Καὶ δεινὰ πράγματ' εἴδομεν.
Ἔστι γὰρ δένδρον πεφυκὸς
Ἔκτοπόν τι καρδίας
Ἀπωτέρω Κλεώνυμος.
Χρήσιμον μὲν οὐδὲν, ἄλ-
λως δὲ δειλὸν, καὶ μέγα.
Τοῦτο μὲν ἦρος ἀεὶ
Βλαστάνει καὶ συκοφαντεῖ.
Τοῦ δὲ χειμῶνος πάλιν
Τὰς ἀσπίδας φυλλορροεῖ.

VERSIO membrorum tredecim.

B

Cho. Multa iam & noua & admi-
Rabilia volabamus,
Et graues res vidimus.
Est enim arbor nata,
Magna quaedam cardia
Longè Cleonymus.
Vtilis quidem nihil, a-
Liter autem timida & magna,
C Haec quidem vere semper
Pullulat
Et calumniatur,
Hyeme autem iterum
Scuta folijs fluere facit.

Σχόλια. Πολλὰ δὴ καὶ καινά.] ἡ στροφὴ αὕτη κώλων ἐστὶ τροχαϊκῶν καὶ ἰαμβικῶν ιβ. καὶ ἡ ἀντιστροφὴ τοσούτων. καὶ ἰαμβικὰ μὲν δίμετρα τὰ ς ιβ. τὰ δὲ ἄλλα τροχαϊκά. τῇ μὲν δίμετρα, τῇ δὲ Εὐριπίδεια. ἐπὶ τῷ τέλει τῆς μὲν στροφῆς παράγραφος, τῆς δὲ ἀντιστροφῆς κορωνίς. τὸ δὲ ἑξῆς ἐπτήμεθα εἰς πολλά. καὶ παράδοξα εἴδομεν καὶ θαυμάσια. βούλεται δὲ κωμῳδῆσαί τινας. Ἔστι γὰρ δένδρον πεφυκός.] δένδρῳ αὐτὸν ἀπεικάζει. ἢ ὡς μέγαν. ἢ ὡς ἀναίσθητον καὶ ξύλινον. ὡς ὁ ποιητής. ἀλλ' ὥστε στήλη καὶ δένδρον ὑψιπέτηλον. ἔπαιξε δὲ ὡς ἐπὶ ὀρνίθων πετομένων τὰ δένδρα. εἶτα διηγούμενος ποῖον ἔκτοπον εἶδεν ὄρνιν, ἐπάγει τὸν Κλεώνυμον. καρδίας δὲ ἀπωτέρω, ὡς ἄν τις εἴποι μικρὸν ἀπωτέρω πόλεως. ἅμα δὲ εἰς τὸ ἀκάρ-

διον καὶ ἀνόητον αὐτοῦ. Καρδίας ἀπωτέρω] διὰ τὸ μακρὸν εἶναι καὶ δειλόν. ἅμα δὲ Καρδία ἐστὶν ὄνομα πόλεως. μιμεῖται
D οὖν τὴν ὑπόθεσιν. ἢ καὶ ὡς ξένον αὐτὸν κωμῳδεῖ. Καρδία γὰρ πόλις Θρᾴκης. ἧς οἱ πολῖται Καρδιανοί. εἰς τὸ αὐτό. καρδίας ἀπωτέρω. διὰ τὸ μακρὸν εἶναι καὶ δειλόν. ὅτι ἐν μὲν τῇ εἰρήνῃ μέγας καὶ λαμπρός. ἐν δὲ τῷ πολέμῳ ῥίψασπις. διὸ καὶ καρδίας αὐτὸν εἶπεν ἀπωτέρω. τουτέστιν οὐκ ἔχει καρδίαν. Τοῦτο μὲν ἦρος] τῷ γὰρ Μουνυχιῶνι μηνὶ τοῦ ἔαρος δικάζονται αἱ πρὸς τοὺς ξένους δίκαι. Τοῦ δὲ χειμῶνος] ὅτι ἔν τισι τὰ δύο κῶλα ἕν ἐστι. λέγω ἀπὸ τοῦ τοῦ δὲ χειμῶνος, ἕως τοῦ φυλλορροεῖ. ἐπεὶ δὲ ῥίψασπις ἦν ὁ Κλεώνυμος, ἔπαιξε πάλιν. ἐπεὶ καὶ δένδρα φυλλορ-
E ροοῦσιν.

ΑΝΤΙΣΤΡΟΦΗ κώλων ιβ'.

Ἔστι δ' αὖ χώρα πρὸς αὐτῷ
Τῷ σκότῳ πόρρω τις ἐν
Τῇ λύχνων ἐρημίᾳ.
Ἔνθα τοῖς ἥρωσιν ἄνθρω-
Ποι συναριστῶσι καὶ
Ξυνεισι, πλὴν τῆς ἑσπέρας.
Τηνικαῦτα δ' οὐκέτ' ἦν
Ἀσφαλὲς ξυντυγχάνειν.
Εἰ γὰρ ἐντύχη τις ἥρῳ
Τῶν βροτῶν νύκτωρ Ὀρέστῃ,
Γυμνὸς ἦν πληγεὶς ὑπ' αὐ-
τοῦ πάντα τὰ πιδέξια.

Conversio membrorum duodecim.

Est autem rursus regio ad ipsam
Tenebram, longè aliqua in
F Lucernarum solitudine,
Vbi heroibus, homini-
Bus cùm coenant, &
Simul sunt praeter vesperam.
Tunc autem non amplius erat
Tutum simul obuiare,
Si enim obuiasset aliquis heroi
Hominum nocte Oresti,
G Nudus erat percussus ab i-
Pso omnibus aptis.

Σχόλια. Ἔνθα τοῖς ἥρωσι.] διὰ τὸ ὄνομα αὐτόν φησι τοῖς ἥρωσι συνδιάγειν. Ξυνεισι πλὴν τῆς ἑσπέρας.] ἀντὶ τοῦ τῇ σκοτίᾳ, πέπαικται ἀπὸ τῶν Σκυθῶν ἐρημίᾳ. χαριέντως δὲ τοῦτο ὅτι σκότους, Ὀρέστης ὁ Τιμοκράτους λωποδυτεῖ τοὺς προστυγχάνοντας. τὰς νύκτας γὰρ μόνας ἐλή-

στευεν Ὀρέστης. Εἰ γὰρ ἐντύχοι τις ἥρῳ] ἥρωα αὐτὸν φησι διὰ τὴν ὁμωνυμίαν τὴν πρὸς τὸν Ἀγαμέμνονος υἱὸν Ὀρέστην. ἥρωες δὲ δύσοργοι καὶ χαλεποὶ τοῖς ἐμπελάζουσι γίνονται, καθάπερ Μένανδρος ἐν Συνειδόσι. ὅτι ἀγαθὸν γάμον χειμῶνος ὁ θεὸς δίδωσιν. οἱ δ' ἥρωες καὶ τοῦ-

τὸ δ' αὐαίνεται. ἀλλ' ἀπόπληκτους μὲν ποιεῖν δύναται. τὸ A δ' ὠφελὲς οὐ κέκτηνται, διόπερ δοκοῦσι καὶ οἱ τὰ ἥρωα παριόντες σιγὴν ἔχειν. ὡς Μυρτίλος ἐν τῇ Τιτανοπανί φησιν. ὁ δ' Ορέστης λωποδύτης. Πάντα τὰ ἐπιδέξια.] ὀφθαλμούς. κεφαλήν. ὅτι τὰ δεξιὰ τῆς φύσεως. ἐπλήττοντο γὰρ οἱ συντυγχάνοντες αὐτῷ. ἅμα δ', ἐπεὶ οἱ ἐντυγχάνοντες νυκτὸς ἥρωσι διέστρεφον τὰς ὄψεις.

ΠΡΟΜΗΘΕΥΣ, ΠΕΙΣΘΕΤΑΙΡΟΣ.

B

Κορωνὶς ἐκ στίχων ἰαμβικῶν τριμέτρων ἀκαταλήκτων. πλὴν τοῦ ιζ΄. κῶλον ἰαμβικοῦ μονομέτρου ἀκαταλήκτου ὄντος.

Bisetus. Ὁ Προμηθεὺς τῷ Πεισθεταίρῳ λάθρα σημαίνει πῶς Ζεὺς τὴν νεόκτιστον τῶν ὀρνίθων πόλιν ἰδὼν, καὶ τὴν δυναστείαν φοβούμενος ἐν βραχεῖ πρέσβεις περὶ διαλλαγῶν πρὸς τοὺς ὄρνιθας πέμπειν ἀναγκασθήσεται. ἐπὶ τίσι δὲ δικαίοις αὐτὸν διαλλαγὰς πρὸς τὸν Δία, καὶ τοὺς λοιποὺς ἄνω θεοὺς ποιεῖσθαι δεῖ, διὰ πλειόνων συμβουλεύει. C

Πρ. Οἴμοι τάλας γ' ὁ Ζεὺς ὅπως μή μ' ὄψεται
Ποῦ Πεισθέταιρός ἐστιν. Πι. ἔα τουτὶ τί ἦν;
Τίς ὁ συγκαλυμμός. Πρ. τῶν θεῶν ὁρᾷς τινα
Ἐμοῦ κατόπιν ἐνταῦθα; Πει. μὰ τὸν Δί' ἐγὼ μὲν οὔ.
Τίς δ' εἶ σύ. Πρ. πηνίκ' ἐστὶν ἄρα τῆς ἡμέρας;
Πι. Ὁπηνίκα; σμικρόν τι μετὰ μεσημβρίαν,
Ἀλλὰ σὺ τίς εἶ. Πρ. βουλυτὸς ἢ περαιτέρω. D
Πι. Οἴμ' ὡς βδελύττομαί σε. Πρ. τί γὰρ ὁ Ζεὺς ποιεῖ;
Ὑπαιθριάζει τὰς νεφέλας, ἢ ξυννεφεῖ;
Πι. Οἴμωζε μεγάλ'. Πρ. οὕτω μὲν ἐκκαλύψομαι.
Πι. Ὦ φίλε Προμηθεῦ. Πρ. παῦε παῦε μὴ βόα.
Πι. Τί γάρ ἐστι. Πρ. σίγα, μὴ κάλει μου τοὔνομα.
Ἀπὸ γὰρ ὀλεῖς, εἴ μ' ἐνθάδ' ὁ Ζεὺς ὄψεται.
Ἀλλ' ἵνα φράσω σοι πάντα τἄνω πράγματα, E
Τουτὶ λαβών μου τὸ σκιάδειον ὑπέρεχε
Ἄνωθεν, ὡς ἂν μή μ' ὁρῶσιν οἱ θεοί.
Πι. Ἰοὺ ἰού.
Εὖ γ' ἐπενόησας αὐτὸ καὶ προμηθικῶς.
Ὑπόδυθι ταχὺ δή, κᾆτα θαρρήσας λέγε.
Πρ. Ἄκουε δὴ νῦν. Πι. ὡς ἀκούοντος λέγε.
Πρ. Ἀπόλωλεν ὁ Ζεύς. Πι. πηνίκ' ἄττ' ἀπώλετο; F
Πρ. Ἐξ οὗπερ ὑμεῖς ᾠκίσατε τὸν ἀέρα.
Θύει γὰρ οὐδεὶς οὐδὲν ἀνθρώπων ἔτι

PROMETHEVS, PISTHETERVS.

PRO. *Heu mihi misero, Iupiter ut non me videat.*
Vbi Pisthetarus est? PI. *Papae, hoc quidem est?*
Quis coopertus? PRO. *Deorum vides aliquem*
Mei à tergo hic? PI. *Per Iouem ego quidem non.*
Quis autem es tu? PRO. *Quando est utique diei?*
PI. *Quando? paruum quid post meridiem.*
Sed tu quis es? PRO. *Buletus, vel Peratero.*
PI. *Heu mihi valde odite.* PRO. *quid enim Iupiter facit?*
Serenat nebulas, an congregat nebulas?
PI. *Luge valde.* PRO. *sic quidem discooperiar.*
PI. *Dilecte Promethen.* PRO. *cessa cessa, ne clama.*
PI. *Quid enim est?* PRO. *tace, ne voca mei nomen:*
Valde enim peribis, si me hic Iupiter videbit.
Sed ut dicam tibi omnes superius res,
Hunc capiens me pileolum super tene
Desuper, ut non me videant dei.
PI. *Euge euge, bene excogitasti ipsum, & Promethice,*
Inducere citò iam, & postea fidens dic.
PRO. *Audi iam nunc.* PI. *valde audiente dic.*
PRO. *Periit Iupiter?* PI. *quando quae periit?*
PRO. *Ex quo vos habitastis aërem.*
Sacrificat enim nullus nihil hominum amplius

Σχόλια. Οἴμοι τάλας.] κορωνὶς εἰσιόντων αὖθις τῆς ὑποκειμένης. οἱ δὲ στίχοι ἰαμβικοὶ τρίμετροι ἀκατάληκτοι, τὸ μὲν τοι ιζ΄. κῶλον ἐστὶν ἰαμβικὸν μονόμετρον ἀκατάληκτον. ἐπὶ τῆς ἀποθέσεως περὶ ἔχοντος. ἐπὶ δὲ τῷ τέλει κορωνίς. ὁ Προμηθεὺς δ' ἀπαγγέλλει αὐτῷ τινά. συγκεκαλυμμένος. Πηνίκ' ἐστιν ἄρα] ἀντὶ τοῦ ποία ἐστὶν ὥρα τῆς ἡμέρας. τοῦτο δὲ, ἐπὶ ὥρας ἐξήταζον εὐκαίρως.

Bisetus. Βουλυτός.] βουλυτὸς κατὰ τὸν Σουΐδαν, ἡ δειλινὴ ὀψία, ὅτε οἱ βόες ἀπολύονται τῶν ἔργων. Εὐστάθιος δέ φησι, βουλυτὸς τὸ μετὰ μεσημβρίαν μέρος τῆς ἡμέρας, ἤγουν ὁ δειλινὸς καιρὸς, ὁ πρὸς ἑσπέραν, καθ' ὃν οἱ βόες λύονται τοῦ κάμνειν. Ὅμηρος ἐν τῷ Π. τῆς Ιλιάδος, Ἦμος δ' ἠέλιος μετενίσσετο βουλυτόνδε.

Σχόλια. Ὑπαιθριάζει.] σκορπίζει. εὐδίαν ἄγει. συννεφεῖ δὲ, συνάγει τὰ νέφη. οὐχ ὁρᾷ γὰρ αὐτὸν ὁ Ζεὺς νεφῶν ὄντων. Οὕτω μὲν ἐκκαλύψομαι.] κεκαλυμμένος ὢν, ἐκκεκάλυπται. καὶ ὁρᾷ αὐτὸν ὁ πρεσβύτερος. ἔπαιξε δὲ, ὡς γὰρ ἐκείνου εἰρηκότος ὅτι ξυννεφεῖ τὰς νεφέλας, καὶ οὐκ ὄψεταί σε, φησὶν ἐκκεκαλύψομαι. ἢ ὡς ἐν κωμῳδίᾳ, ὡς καλόν τι ἀκούσας τὸ οἴμωζε, ἀποκαλύπτεται φανερὸν αὐτὸν ποιῶν. Ὦ φίλε Προμηθεῦ] γνωρίζει αὐτὸν ἀποκαλυφθέντα. Τουτὶ λαβών μου τὸ σκιάδειον] κατεσκεύασμαί τι ὅπερ ἔχουσιν αἱ κανηφόροι ἀπιοῦσαι εἰς τὰ Ἐλευσίνια ὑπὲρ τοῦ μὴ καίεσθαι ὑπὸ τοῦ ἡλίου. δίδωσι δὲ αὐτῷ τοῦτο, ἵνα καλύψῃ G

λύψῃ αὐτὸν καὶ μὴ ὁραθῇ ὑπὸ τοῦ Διός. Πλωϊκ' ἄττ' ἀπώλετο] ὅτι οὐκ ἀττικὸν τὸ πλωϊκ' ἄττ' ἀπώλετο, οὐδὲ ἀρχαϊκόν. οὐδὲ ἀκριβές. ἔστι δὲ ἀντὶ τοῦ πότε δῆτα.

A παρέλκει γὰρ τὸ ἄττα νῦν. ἀλόγως γὰρ κεῖται, οὔτε γὰρ τό, τινὰ σημαίνει. οὔτε τό, ἅ τινα. οὐδὲν γὰρ τούτων ἁρμόζει τῷ πλωϊκα.

Θεοῖσιν. οὐδὲ κνίσα μηρίων ἄπο
Ἀνῆλθεν ὡς ἡμᾶς ἀπ' ἐκείνου τοῦ χρόνου.
Ἀλλ' ὥσπερεὶ Θεσμοφορίοις, νηστεύομεν
Ἄνευ θυηλῶν. οἱ δὲ βάρβαροι θεοί,
Πεινῶντες ὥσπερ Ἰλλυριοί, κεκριγότες
Ἐπιστρατεύσειν φασ' ἄνωθεν τῷ Διΐ,
Εἰ μὴ παρέξει τἀμπόρι' ἀνεῳγμένα.
Ἵν' εἰσάγοιντο σπλάγχνα κατατετμημένα.
Πι. Εἰσὶν γὰρ ἕτεροι βάρβαροι θεοί τινες,
Ἄνωθεν ὑμῶν; Πρ. οὐ γάρ εἰσι βάρβαροι,
Ὅθεν ὁ πατρῷός ἐστιν Ἐξηκεστίδης;
Πι. Ὄνομα δὲ τούτοις τοῖς θεοῖς τοῖς βαρβάροις
Τί ἐστιν; Πρ. ὅ,τι ἐστί; Τριβαλλοί. Πι. μανθάνω.
Ἐντεῦθεν ἄρα τοὐπιτριβείης ἐγένετο.
Πρ. Μάλιστα πάντων. ἓν δέ σοι λέγω σαφές.
Ἥξουσι πρέσβεις δεῦρο περὶ διαλλαγῶν
Παρὰ τοῦ Διός, καὶ τῶν Τριβαλλῶν τῶν ἄνω.
Ὑμεῖς δὲ μὴ σπένδεσθ', ἐὰν μὴ παραδιδῷ
Τὸ σκῆπτρον ὁ Ζεὺς τοῖσιν ὄρνισιν πάλιν,
Καὶ τὴν Βασιλείαν σοι γυναῖκ' ἔχειν διδῷ.
Πι. Τίς ἐστιν ἡ Βασιλεία; Πρ. καλλίστη κόρη.
Ἥπερ ταμιεύει τὸν κεραυνὸν τοῦ Διός.
Καὶ τἄλλα ἁπαξάπαντα, τὴν εὐβουλίαν.
Τὴν εὐνομίαν. τὴν σωφροσύνην. τὰ νεώρια.
Τὴν λοιδορίαν. τὸν κωλακρέτην. τὰ τριώβολα.
Πει. Ἅπαντα γ' ἆρ' αὐτῷ ταμιεύει; Πρ. φήμ' ἐγώ,
Ἣν γ' ἢν σὺ παρ' ἐκείνου λάβῃς, ἅπαντ' ἔχεις.
Τούτων ἕνεκα δεῦρ' ἦλθον, ἵνα φράσαιμί σοι.
Αἰεί ποτ' ἀνθρώποις γὰρ εὔνους εἴμ' ἐγώ.
Πι. Μόνον θεῶν γὰρ διὰ σ' ἀπανθρακίζομεν.
Πρ. Μισῶ δ' ἅπαντας τοὺς θεούς, ὡς οἶσθα σύ.
Πι. Νὴ τὸν Δί' αἰεὶ δῆτα θεομισὴς ἔφυς.
Πρ. Τίμων καθαρός. ἀλλ' ὡς ἂν ἀποτρέχω πάλιν,
Φέρε μοι σκιάδειον, ἵνα με κἂν ὁ Ζεὺς ἴδῃ
Ἄνωθεν, ἀκολουθεῖν δοκῶ κανηφόρῳ,
Πι. Καὶ τὸν δίφρον φόρει τονδὶ λαβών.

Deis, neque nidor cruribus
Ascendit ad nos ab illo tempore.
Sed tanquam festis ieiunamus
Sine sacrificijs. hi autem barbari dei
Esurientes, tanquam Illyrij frementes,
B *Contra militare dicunt superius Ioui,*
Si non prabebit fora aperta,
Vt inducantur viscera incisa.
PI. Sunt alteri barbari dei aliqui
Supra vos? PRO. non enim sunt barbari
Vnde patrius est Apollo.
PI. Nomen autem deis barbaris
Quod est? PRO. quod est? Triballi. PI. intelligo,
C *Hinc igitur conteraris factum est.*
PRO. Maximè omnium. vnum autem tibi dico apertè,
Venient legati huc de pacibus,
A Ioue & triballis superius.
Vos autem ne sacrificetis, si non tradiderit
Sceptrum Iupiter auibus iterum,
Et dominationem tibi fœminam habere dederit.
D *PI. Quæ est dominatio? PRO. optima puella,*
Quæ format fulmen Iouis,
Et alia omnia: bonum consilium,
Bonam legem, modestiam, nanalia,
Obiurgationem, gubernatorem ciuilem triobola.
PI. Omnia igitur ipse gubernat? PRO. dico ego,
Quam si tu ab illo ceperis, omnia habes.
Horum gratia huc veni, vt dicerem tibi
E *Semper quondam, hominibus enim beneuolus sum ego.*
PI. Solum deorū enim propter te sacrificamus.
PRO. Odi autem omnes Deos, vt scis tu.
PI. Per Iouem semper certè deorum odiosus natus es.
PRO. Timon purus. sed valde reuertar retrò.
Fer mihi pileolum, vt me si Iupiter viderit,
Desuper sequi videar, canistra portantes.
F *PI. Et sedem fer hanc capiens.*

BISETVS. Κνίσα μηρίων ἄπο] τοῦτο κατὰ τὸ Ὁμηρικὸν τοῦ Α. τῆς Ἰλιάδος,

Ἔρδον δ' Ἀπόλλωνι τεληέσσας ἑκατόμβας
Ταύρων, ἠδ' αἰγῶν παρὰ θῖν' ἁλὸς ἀτρυγέτοιο.
Κνίση δ' οὐρανὸν ἷκεν ἑλισσομένη περὶ καπνῷ.

Σχόλια. Πεινῶντες ὥσπερ Ἰλλυριοί.] Δίδυμος ὥσπερ βάρβαροι. ἀνέπλασε δέ τι γένος θεῶν βαρβάρων Τριβαλλῶν ἀνώτατον. ἐπεὶ ὥσπερ ἐπὶ τῶν ἀνθρώπων βάρβαρα ἔθνη περιφανέστατα καθεστήκασι. περὶ δὲ Θρᾴκην εἰσὶν οἱ Ἰλλυριοί. τινὲς δὲ Περσίδος φασὶν αὐτούς. οἱ γεωργεῖν μὲν οὐκ ἴσχυσι γῆν. λῃστεύοντες δὲ τρέφονται. τὸ δὲ κεκριγότες, μίμησίς ἐστιν οὐκ εἰς τὸν ἦχον, ἀλλ' εἰς τὴν ἀσάφειαν τῆς βαρβαρικῆς διαλέκτου. Κεκριγότες.] ἐπεὶ ποιὰν φωνὴν ἀποτελοῦντες ἀπὸ λιμοῦ, οἱ Τριβαλλοὶ θεοὶ, ἢ τὸ

κεκριγότες, εἰς τὴν ἀσάφειαν τῆς φωνῆς αὐτῶν. κεῖται γὰρ ὁ τῶν ἀποθνησκόντων τρισμὸς τοῖς ὀδοῦσι γινόμενος. ἀνωτέρω δέ φησιν αὐτοὺς οἰκεῖν, ὡς τῶν Ἑλλήνων ἀνωτέρω οἰκοῦσι καὶ πορρωτέρω οἱ βάρβαροι. Ἐπιστρατεύσειν φασίν.] ἔφασάν φησιν οἱ Τριβαλλοί, πολεμεῖν πρὸς τὸν Δία, ἵνα παρέξῃ αὐτοῖς τὴν εἴσοδον τῶν ἐμπορείων. παίζει δὲ εἰς τὸν νομιζόμενον τετειχίσθαι ἀέρα μεταξύ, ὡς ἐκείνων ἀποκεκλεισμένων. Ὅθεν ὁ πατρῷος.] ὅτι κατ' ἔλλειψίν ἐστι τοῦ
G Ἀπόλλωνος. δέον γὰρ εἰπεῖν ὁ πατρῷος Ἀπόλλων ἢ ἄλλος τις τῶν θεῶν. πατρῷον δὲ τιμῶσιν Ἀπόλλωνα Ἀθηναῖοι, ἐπεὶ Ἴων ὁ πολέμαρχος Ἀθηναίων, ἐξ Ἀπόλλωνος καὶ Κρεούσης τῆς Ξούθου ἐγένετο.

BISETVS. Τριβαλλοί] Ἡσύχιος. Τριβαλλοί, συκοφάνται. οἱ δὲ τοὺς θεραπευτικοὺς ἐν τοῖς βαλανείοις

διατείβοντας, καὶ ἐπὶ τὰ δεῖπνα ἰατροὺς καλοῦντας.

Σχόλια. Τὼ πιτρεβείνς] παρὰ τὸ τριβαλλός φησι παίζων γεγονέναι τὸ ἐπὶ τῇ ὕβρει ἐπιτριβείης. Καὶ τὴν Βασιλείαν σοι γυναῖκ᾽ ἔχειν] σωματοποιεῖ τὴν Βασιλείαν αὐτὸ τὸ πρᾶγμα ὡς γυναῖκα. Εὐφρόνιος ὅτι Διὸς θυγάτηρ ἡ Βασιλεία. καὶ δοκεῖ τὸ κατὰ τὴν ἀθανασίαν αὐτῇ οἰκονομεῖν. ἣν ἔχει καὶ παρὰ Βακχυλίδῃ ἡ Ἀθηνᾶ τῷ Τυδεῖ δοῦναι τὴν ἀθανασίαν. ἔτι δὲ καὶ παρὰ Κρατίνῳ ἡ Βασιλεία. ἔνιοι δὲ τὴν ἀθανασίαν καλοῦσι. τὴν λοιδορίαν. ὡς καὶ τοῦτο ἐν τῶν πολλῶν. εἰς αὔξησιν δὲ τῆς κωμῳδίας τοῦτό φησι. Τὸν κωλακρέτην.] τὸν ταμίαν τῶν πολιτικῶν χρημάτων. Ἀριστοφάνης ὁ γραμματικὸς, τούτους ταμίας εἶναί φησι τοῦ δικαστικοῦ μισθοῦ. οὐ μόνον δὲ τούτου τὴν ἐπιμέλειαν ἐποιοῦντο ὥς φησιν, ἀλλὰ καὶ τὰ εἰς θεοὺς ἀναλισκόμενα, διὰ τούτων ἀνηλίσκετο. ὡς Ἀνδροτίων γράφει οὕτως. τοῖς δὲ ἰοῦσι Πυθῶδε θεωροῖς, τοὺς κωλακρέτας διδόναι ἐκ τῶν ναυκληρικῶν ἐφόδιον ἀργύρια. καὶ εἰς ἄλλο ὅτι ἂν δέῃ ἀναλῶσαι. ταμίαι δὲ ἦσαν. καὶ προεστῶτες τῆς δημοσίας σιτήσεως. Τὰ τριώβολα.] μήνυσι καὶ ἐκ τῶν ὄντων παρὰ τοῖς Ἀττικοῖς. οὐχ εἰστήκει δὲ αὐτοῖς τὸ τριώβολον. πολλαχοῦ γὰρ καὶ δύο ὀβολοὺς εἰλήφασιν. Ἐπανθρακιζόμεθα.] ἀντὶ τοῦ ἀνθρακίδας ἐσθίομεν. ἔστι δὲ εἶδος ἰχθύος λεπτὸν, ὃ παροπτῶντες ἐσθίουσιν. ἄλλως. ὀπτὰς ἐσθίομεν. ἢ ἄνθρακας ζωπυροῦμεν. ὡς ἐν κωμῳδίᾳ δὲ τοῦ εὐτελοῦς ἔργου ἐμνήσθη, ἐπὶ ἄλλων μέγιστα ἰσχύοντος τοῦ πυρός.

Bisetvs. Σουίδας. ἀνθρακίδες, λεπτοὶ ἰχθύες ὀπτοί. καὶ πάντα τὰ ὑπ᾽ ἀνθράκων ὀπτώμενα οὕτω λέγονται. Καὶ Ἡσύχιος. ἐπανθρακίδες, τὰ ὑπ᾽ ἀνθράκων ὀπτώμενα ἰχθύδια. καὶ τῇδε τῇ λέξει Ἀριστοφάνης ἐχρήσατο καὶ ἐν τοῖς Ἀχαρνεῦσιν οὕτω λέγων,

Ἠνίκ᾽ ἐπανθρακίδες ὦσι παρακείμεναι.

ἐντεῦθεν τὸ ῥῆμα τὸ ἐπανθρακίζειν παράγεται, τὸ ὑπ᾽ ἀνθράκων ὀπτᾶν. καὶ Εὐστάθιος λέγει τοῦτο τὸ ῥῆμα παρὰ τοῖς Ἀττικοῖς σημαίνειν ὀπτᾶν. ἀλλ᾽ ἐκεῖ, ὡς καὶ ἐνταῦθα προτοῦ ἦν. διεφθαρμένως γράφεται ἀπανθρακιζόμεθα παρὰ τὴν ἐτυμολογίαν. ἀλλ᾽ ὁ ποιητὴς ταῦτα νῦν ἔοικε λέγειν ὅτι ὁ Προμηθεὺς κατὰ τοὺς μύθους τὸ πῦρ τοῖς θεοῖς κλέψας τοῖς ἀνθρώποις ἔδωκεν, ὡς μαρτυρεῖ καὶ Αἰσχύλος ἐν Προμηθεῖ δεσμώτῃ,

παντέχνου πυρὸς σέλας
Θνητοῖσι κλέψας ὤπασεν. τοιᾶσδέ τοι
Ἁμαρτίας σφε δεῖ θεοῖς δοῦναι δίκην.

Μισῶ δ᾽ ἅπαντας] Αἰσχύλος ἐν τῷ αὐτῷ δράματι τὸν Προμηθέα οὕτω λαλοῦντα εἰσάγει,

Ἁπλῷ λόγῳ τοὺς πάντας ἐχθαίρω θεοὺς,
Ὅσοι παθόντες εὖ, κακοῦσί μ᾽ ἐκδίκως.

Σχόλια. Θεομισὴς ἔφυς.] ὁ μὲν φησι τῷ Προμηθεῖ ὅτι τι τῶν ὑπὸ θεῶν μισούμενος. διὸ καὶ ὀξυτόνως ἀναγνωστέον. ὁ δὲ τὸ ἕτερον δέχεται μισῶν θεοὺς, ὡς ὁ Τίμων ἀνθρώπους. Δοκῶ κανηφόρος] ταῖς γὰρ κανηφόροις σκιάδειον καὶ δίφρον ἀκολουθεῖ τις ἔχουσα. Ἕρμιππος Θεοῖς. ὥσπερ αἱ κανηφόροι λευκοῖσιν ἀλφίτοισιν ἐντετριμμέναις. ἐγὼ δ᾽ ἕνεκα ψαλάθων τὴν διφροφόρον. Νικοφῶν δὲ ἐν Χειρογάστορσιν γυναῖκα. αὐτὸς ὀλίγον ἄναγε ἀπὸ τῆς διφροφόρου. χρυσὸς εἶ καὶ κόσμιος. Καὶ τὸν δίφρον] ὡς διφροφόρει. ἐπειδὴ εἶπεν, ἵνα δόξω ἀκολουθεῖν κανηφόρῳ, λέγει παίζων καὶ δίφρον βάσταζε.

ΣΤΡΟΦΗ
κώλων ϛʹ.

Χο. Πρὸς δὲ τοῖσι σκιάποσι λί-
μνη τις ἔστ᾽ ἄλουτος, οὗ
Ψυχαγωγεῖ Σωκράτης.
Ἔνθα καὶ Πείσανδρος ἦλθε
Δεόμενος ψυχὴν ἰδεῖν ἣ
Ζῶντ᾽ ἐκεῖνον προὔλιπεν.

VERSIO membrorum
sex.

Cho. Ad autem hac, sciepodibus pa-
Lus quadam est illauatina, quò
Animas ducit Socrates,
Quo & Pisandrus venit,
Rogans animam videre, vel
Vincatem illum prareliquit.

Σχόλια. Πρὸς δὲ τοῖσι σκιάποσιν.] ἡ παροῦσα στροφὴ κώλων ἐστὶ τροχαϊκῶν ἐπιμεμιγμένων χορείοις καὶ σπονδείοις ϛ. καὶ ἡ ἀντιστροφὴ τοιαύτη. ἐπὶ τῷ τέλει τῆς μὲν στροφῆς παράγραφος. τῆς δ᾽ ἀντιστροφῆς κορωνίς. ταῦτα δὲ ἑξῆς ποιεῖ ἐπὶ τῶν ἀνωτέρων. γένος δέ ἐστι τῶν περὶ τὸν δυτικὸν ὠκεανὸν πρὸς τῇ κεκαυμένῃ ζώνῃ. ὡς ἀψύχους δὲ διασύρει τοὺς φιλοσόφους. καὶ ὡς ἐπὶ σκιᾶς βαδίζοντας. τούτους δὲ ἔχειν βήματα φασὶ τοῦ παντὸς μείζονα. διὰ δὲ τὸ μὴ ἔχειν σῶμαι ἀλλ᾽ ὑπὸ τοῦ καύματος ἀναλίσκεσθαι. οὔσης τῆς γῆς αὐτῶν καὶ τραχείας καὶ καταδύσεις ἐχούσας εἰς ἀποφυγὴν τοῦ καύματος. Ψυχαγωγεῖ Σωκράτης.] ἐπειδὴ λιτοί εἰσιν οἱ φιλόσοφοι καὶ ἄτροφοι, διὰ τοῦτο τοὺς σκιάποδας παρέλαβεν. μυθευόμενον δέ τι καὶ τοῦτο τὸ γένος ἐστίν. ἄλουτον δὲ εἶπε τὴν λίμνην, καθὸ ἀλουτοῦντες καὶ ῥυποφοροῦντες, ἐφιλοσόφουν οἱ περὶ τὸν Σωκράτη. Ἔνθα καὶ Πείσανδρος.] ἐπεὶ δειλὸς ἦν. ἦλθεν οὖν ψυχὴν ἰδεῖν θέλων. ἐπεὶ οὐκ εἶχεν. ὡς Εὔπολις ἐν Ἀστρατεύτοις. Πείσανδρος εἰς Πακτωλὸν ἐστρατεύετο. κἀνταῦθα τῆς σῆς στρατείας κάκιστος ἦν ἀνήρ. πανταχοῦ δὲ ἦν δειλός. ἦν δὲ τὸ σῶμα εὐεκτὴς ὡς Ἕρμιππος ἐν Ἀρτοπώλισιν. ἐνέβαινε στιγῇ Πείσανδρος μέγας αὐτὸς ὥσπερ Διονυσίοισιν ὃς ἐπὶ τῶν ξύλων ἐλαίας ὀξεῖσιν ὄνος κανθήλιος. καὶ δωροδοκῆσαί φησιν Ἀριστοφάνης Βαβυλωνίοις. διὰ τούτων οἱ δὲ αὖ αἰτιοῦντες ἀρχὴν πολέμου πορίσειν μετὰ Πεισάνδρου. δύο δέ εἰσι Πείσανδροι, καθάπερ Εὔπολις ἐν Μαρικᾷ φησιν. Ἄκουε νῦν Πείσανδρος ὡς ἀπόλλυται, ὁ στρεβλὸς, οὔ. ἀλλ᾽ ὁ μέγας Ὀνοκίνδιος. καὶ Πλάτων ἐν Πεισάνδρῳ περὶ ἀμφοτέρων λέγει.

Bisetvs. Οὐνοκίνδιος. τὸ πλῆρες, ὁ ὀνοκίνδιος. ἔστι δὲ κατὰ τὸν Σουΐδαν ὀνηλάτης, ἀστραβηλάτης. καὶ Ἡσύχιος, ὀνοκίνδιος, καὶ ὀνοκίνδας, ἀστραβηλάτης, ὀνηλάτας. ὁ δὲ Πολυδεύκης δωρικὴν λέξιν εἶναι λέγει. Σουΐδας τούτου τοῦ τόπου, καὶ στίχου μνημονεύων, Πεισάνδρου δειλότερος, παροιμιακῶς λέγεσθαί φησιν, ὅτι ἦν καθ᾽ ὑπερβολὴν δειλὸς ἦν. φιλοπόλεμος μὲν ὅτι, καὶ πολεμοποιὸς κερδῶν ἰδίων ἕνεκα, μέγας δὲ, καὶ ἐκαλεῖτο ὀνοκίνδιος. τὸ δὲ ἐπὶ Πεισάνδρου λεγόμενον, ὅτι ἦλθε δεόμενος ἰδεῖν ψυχὴν, ἣ ζῶντ᾽ ἐκεῖνον προὔλιπεν, ἔχει δύναμιν παροιμίας εἰς τοὺς καθ᾽ ὑπερβολὴν δειλούς. ἐπεὶ γὰρ οὕτω δειλὸς γενέσθαι φέρεται, ὥστε ἀεὶ φοβεῖσθαι μὴ τὴν ἑαυτοῦ ψυχὴν ἑαυτὸν ἔν τινι τόπῳ προλιποῦσαν, καὶ προσδοκῶντα ἴδῃ. τοῦτο δὲ οὐ μόνον δειλίας, ἀλλὰ καὶ μωρίας, καὶ ἀναισθησίας μεγίστης σαφέστατον ἦν τεκμήριον.

A

ΑΝΤΙΣΤΡΟΦΗ κώλων ϛʹ.

Ζφάγι' ἔχων κάμηλον,
Αμνόν τιν', ἧς λαιμοὺς τεμὼν
Ωσπερ Οδυσσεὺς ἀπῆλθεν,
Κᾆτ' ἀνῆλθεν αὐτῷ κάτωθεν,
Πρὸς τὸ λαῖμα τῆς καμήλου,
Χαιρεφῶν ἡ νυκτερίς.

INVERSIO membrorum sex.

Vlctimas habens, camelum,
Agnam aliquam, cuius coll : ii. s u. ni,
Sicut Vlysses abiuit,
B *Et postea ascendit ipsi deorsum*
Ad guttur cameli
Charephon noctua.

Σχόλια. Σφάγι' ἔχων] ταῦτά φησιν ὡς ἐπὶ τῶν ἀνακαλουμένων τὰς ψυχὰς ἐξ ᾅδου. Κάμηλον ἀμνόν τιν'] ἔπαιξεν εἰς τὸ ὀνοκίνδιον αὐτοῦ εἰπὼν ἀμνὸν καμήλου. ἔστι γὰρ εὐμεγέθης. δέον εἰπεῖν ἢ ἀρνειοῦ ἢ ἄλλου τινός. Κᾆτ' ἀνῆλθ' αὐτῷ.] ἐκ τῶν χθονίων ἀνῆλθεν. ὡς αὐτοτελῶς δὲ παραβάλλοντα αὐτὸν εἰς τὰ δεῖπνα διαβάλλει. Πρὸς τὸ λαῖμα τῆς καμήλου.] Εὐφρόνιος, τὸν λαιμόν. καὶ γὰρ C προείρηκεν εἰς λαιμοὺς τεμών. οἱ δὲ, ὅτι τὸ αἷμα. παραπεποίηκε δὲ παρὰ τὸ λαιμόν. ἔστι καὶ παρὰ Μενάνδρῳ ἐν Δαρδάνῳ, καὶ λαῖμα βακχεῦον λαβεῖν [illegible] γράφεται τὸ δέρμα. εἴρηται δὲ ἐκείνοις οὐδὲν ταφεὶς, τοῖς γράφουσι τὸ δέρμα, οἱ δὲ ὅρμημα τὸ λαῖμα. ἔτι μέν τοι τῶν περὶ Ασίαν τινὲς, ἐπὶ τοῦ ἀναιδῶν, καὶ εὐτόλμων οὕτω λέγουσιν. ὅπερ συμφωνότερόν ἐστι τῷ παρὰ Μενάνδρῳ. Χαιρεφῶν ἡ νυκτερίς.] ἐπεὶ οὔτε νυκτερὶς ἡμέρας οὔτε οἱ φιλόσοφοι φαίνονται. καταδεδυκότες γὰρ φιλοσοφοῦσι.

ΠΟΣΕΙΔΩΝ, ΤΡΙΒΑΛΛΟΣ, ΗΡΑΚΛΗΣ, ΠΕΙΣΘΕΤΑΙΡΟΣ.

NEPTVNVS, TRIBALVS, Hercules, Pisthererus.

Κορωνὶς στίχων ρκγʹ. ἐν γὰρ μὲν τὸν ϟϛʹ. κῶλά ἐστι ἐξ.

D

Βισετυς. Ποσειδῶν, Τριβαλλὸς, καὶ Ηρακλῆς πρέσβεις παρὰ Διὸς ἥκουσι, καὶ πολλῶν ἀμφοτέρωθεν εἰρημένων, τέλος τὸν Πεισθέταιρον πείθουσι, καὶ διαλλαγὰς πρὸς αὐτὸν ποιοῦνται.

Πο. Τὸ μὲν πόλισμα τῆς Νεφελοκοκκυγίας
Ορᾷς τοδὶ πάρεστιν, ἣ πρεσβεύομεν.
Οὗτος τί δρᾷς ἐπ' ἀριστέρ' οὕτως ἀμπέχῃ;
Οὐ μεταβαλεῖς θοἰμάτιον ὡς ἐπιδέξιά;
Τί ὦ κακόδαιμον λαισποδίας εἶ τὴν φύσιν.
Ω δημοκρατία. ποῖ προβιβᾷς ἡμᾶς ποτε.
Εἰ τουτονί γ' ἐχειροτόνησαν οἱ θεοί.
Τρ. Ἐξεις ἀτρέμας. Πο. οἴμωζε. πολὺ γὰρ δή σ' ἐγὼ
Εώρακα πάντων βαρβαρώτατον θεῶν.
Αγε δὴ τί δρῶμεν Ηράκλεις. Ηρ. ἀκήκοας
Ἐμοῦ γ' ὅτι τὸν ἄνθρωπον ἄγχειν βούλομαι.
Ος τίς ποτ' ἐσθ' ὁ τοὺς θεοὺς ἀποτειχίσας.
Πο. Αλλ' ὦ 'γάθ' ᾑρήμεσθα περὶ διαλλαγῶν
Πρέσβεις. Ηρ. διπλασίως μᾶλλον ἄγχειν μοι δοκεῖ.
Πει. Τὴν τυρόκνηστιν τίς δότω. φέρε σίλφιον.
Τυρὸν φερέτω τις. πυρπόλει τοὺς ἄνθρακας.
Ηρ. Τὸν ἄνδρα χαίρειν οἱ θεοὶ κελεύομεν,
Τρεῖς ὄντες ἡμεῖς. Πε. ἀλλ' ἐπικνῶ τὸ σίλφιον.
Ηρ. Τὰ κρέα δὲ τοῦ ταῦτ' ἐστίν; Πε. ὄρνιθές τινες,

NEP. *Hæc quidem ciuitatula nephelococcygia,*
Vides hæc adest, quò legati sumus.
Hic quid facis, in sinistras sic indueris?
Non mutas pallium tanquam in dexteras?
E *Quid ô infelix laspodias es natura.*
O popularis dominatio, quò ire facis nos aliquando,
Si hunc sic confirmarunt dei.
TRY. *Habebis tacitè.* PO. *luge. multum enim iam te ego*
Vidi omnium barbarissimum deorum.
Age iam quid facimus Hercules? HER. *audisti*
F *Me quòd hunc virum suffocare volo,*
Quicunque vnquam est Deus extra murans.
PO. *Sed ô bene electi sumus de pacibus*
Legati. HER. *dupliciter magis suffocare mihi videris.*
PI. *Casiteram aliquis det, fer silphium,*
Caseum ferat aliquis, verte carbones.
HER. *Virum gaudere dei iubemus*
Tres existentes nos. PI. *sed inijce silphium.*
G HER. *Carnes autē cuius hæ sunt?* PI. *aues aliqua*

Σχόλια. Τὸ μὲν πόλισμα.] κορωνὶς εἰσιόντων αὖθις τῶν ὑποκριτῶν. οἱ δὲ στίχοι ἰαμβικοὶ τρίμετροι ἀκατάληκτοι ρκγ. ὧν τελευταῖος Γαμικὴν χλαμίδα διδότω τις δεῦρό μοι. μετὰ δὲ τὸν ϟϛ. στίχον κῶλά ἐστιν ἀντιστασικὰ ϛ. ἐπιμεμιγμένα διϊάμβοις διασπονδείοις καὶ ἐπιτρίτοις, ἑφθημιμερῆ, πλὴν τοῦ πρώτου. ἐπὶ ταῖς ἀποθέσεσι παράγραφος. ἐπὶ δὲ τῷ τέλει κορωνίς. προ-

σβεις δὲ παρὰ τῶν θεῶν Ποσειδῶν καὶ Ἡρακλῆς καὶ εἷς A ἐκ τῶν βαρβάρων θεῶν ἦλθον. Οὗτος τί δρᾷς.] τοῦτο λέγει τῷ βαρβάρῳ τῷ συμπαρόντι αὐτῷ εἰς τὴν πρεσβείαν ὁ Ποσειδῶν, ὡς οὐκ ἐπιτηδείως στελλομένῳ τὴν ἐσθῆτα. ἀλλ' ἐπ' ἀριστερὰ περιβαλλομένῳ, ὥσπερ οἱ Θρᾷκες. Λαισποδίας εἶ τὴν φύσιν.] ὅτι τὴν κνήμην εἶχε σαπρὰν ὁ Λαισποδίας. καὶ μέχρι τῶν κάτω περιεβάλλετο. καὶ οἱ βάρβαροι δὲ τὰ σκέλη περιβέβληνται. Λαισποδίας δὲ καὶ Δαμασίας, ὡς κακόκνημοι διαβάλλονται. μνημονεύει δὲ αὐτῶν καὶ Εὔπολις ἐν Δήμοις. ταδὶ δὲ τὰ δένδρα Λαισποδίας καὶ Δαμασίας αὐταῖσι ταῖς κνήμαισιν ἀκολουθοῦσι μοι. τοῦτον δὲ τὸν Λαισποδίαν καὶ στρατηγῆσαί φησι Θουκυδίδης ἐν τῇ ή. μέμνηται δὲ αὐτοῦ Φρύνιχος ἐν Κωμασταῖς, ὡς πολεμικοῦ γεγονότος. Φιλύλλιος δ' ἐν ταῖς Πλυντρίαις ὡς φιλοδίκου. ἔχει δὲ καὶ περὶ τὰς κνήμας τινὰς αἰτίας ὥς φησι Στράττις ἐν Κινησίᾳ. διὸ καὶ κατὰ σκελῶν ἐφόρει τὸ ἱμάτιον, ὡς Θεόπομπος ἐν Παισί. Δημήτριος δὲ καὶ πάντες τὸν Ἰξίονα λέγουσιν ἐν ταῖς Ἀττικαῖς λέξεσιν, ὡς γλῶσσαν ἐξηγεῖσθαι. ὅτι Λαισποδίας ἐστὶν, ὁ ἀκρατὴς περὶ τὰ ἀφροδίσια. ὥς τε καὶ κτείνειν αὐτὸν εἶπεν. Ω δημοκρατία.] ἔμιξεν ὡς ἐπὶ Ἀθηναίων. ἐπεὶ ἰσοτιμίας οὔσης, συμβαίνει δημώδεις ἅμα τοῖς ἀξιοπίστοις ἀποστέλλεσθαι. ὥσπερ B καὶ νῦν ὁ βάρβαρος εἰς μηδὲν χρήσιμον σὺν Ποσειδῶνι καὶ Ἡρακλεῖ ἀπεστάλη. φησὶν οὖν ποῖ προάγεις ἡμᾶς ὦ δημοκρατία, ὅτι τοῦτον ἐχειροτόνησαν οἱ θεοί. Ηρήμεθα.] ἐχειροτονήθημεν. Διπλασίας.] τοσοῦτον οὐ φροντίζω διαλλαγῶν. Επικνῶ.] ἐπίβαλλε. Σίλφιον.] εἶδος βοτάνης ἡδυόσμου. καὶ μάλιστα τὸ Κυρηναϊκόν. τὸ δὲ ὅλον πρόσκνισμα τοῦ Ἡρακλέους ποιεῖ ὁ Πεισθέταιρος, δοκεῖ πρὸς μάγειρον οἰκεῖον διαλέγεσθαι ἐπὶ τῷ εὐτρεπίζειν δεῖπνον.

C Ἐπανιστάμενοι τοῖς δημοτικοῖσιν ὀρνέοις,
Ἔδοξαν ἀδικεῖν. Ηρ. εἶτα δῆτα σίλφιον
Ἐπικνᾷς πρότερον αὐτοῖσιν. Πι. ὦ χαῖρ' Ἡράκλεις.
Τί ἐστι. Ηρ. πρεσβεύοντες ἐνθάδ' ἥκομεν
Παρὰ τῶν θεῶν, περὶ πολέμου καταλλαγῆς.
Πι. Ἔλαιον οὐκ ἔνεστιν ἐν τῇ ληκύθῳ.
Ηρ. Καὶ μὴν τά γ' ὀρνίθεια λιπαρὰ γ' εἶναι πρέπει.
Πο. Ἡμεῖς τε γὰρ πολεμοῦντες οὐ κερδαίνομεν.
D Ὑμεῖς τ' αὖ, ἡμῖν τοῖς θεοῖς ὄντες φίλοι,
Ὄμβριον ὕδωρ ἂν εἴχετ' ἐν τοῖς τέλμασιν.
Ἀλκυονίδας τ' ἂν ἤγεθ' ἡμέρας ἀεί.
Τούτων περὶ πάντων αὐτοκράτορες ἥκομεν.
Πι. Ἀλλ' οὔτε πρότερον πώποθ' ἡμεῖς ἤρξαμεν
Πολέμου πρὸς ὑμᾶς, νῦν τ' ἐθέλομεν εἰ δοκεῖ
Ἐάν τι δίκαιον ἀλλὰ νῦν ἐθέλητε δρᾶν
Σπονδὰς ποιεῖσθαι. τὰ δὲ δίκαι' ἐστὶν ταδί.
Τὸ σκῆπτρον ἡμῖν τοῖσιν ὄρνισιν πάλιν
Τὸν Δί' ἀποδοῦναι, κἂν διαλλαττώμεθα.
E Ἐπὶ τοῖσδε, τοὺς πρέσβεις ἐπ' ἄριστον καλῶ.
Ηρ. Ἐμοὶ μὲν ἀπόχρη ταῦτα, καὶ ψηφίζομαι.
Πο. Τί ὦ κακόδαιμον ἠλίθιος καὶ γάστρις εἶ,
Ἀποστερεῖς τὸν πατέρα τῆς τυραννίδος;
Πι. Ἀληθες. οὐ γὰρ μεῖζον ὑμεῖς οἱ θεοὶ
Ἰσχύσετ' ἢν ὄρνιθες ἄρξωσι κάτω.
Νῦν μέν γ' ὑπὸ ταῖς νεφέλαισιν κεκρυμμένοι
Κύψαντες ἐπιορκοῦσιν ὑμᾶς οἱ βροτοί.
F Ἐὰν δὲ τοὺς ὄρνις ἔχητε συμμάχους
Ὅταν ὀμνύῃ τις τὸν κόρακα καὶ τὸν Δία,
Ὁ κόραξ παρελθὼν τοὐπιορκοῦντος λάθρα
Προσπτάμενος ἐκκόψει τὸν ὀφθαλμὸν θενών.

Insurgentes ciuilibus auibus,
Apparuerunt iniusta facere. HER. *postea certè*
silphium
Inijce prius ipsis. PI. *ô gaude Hercules,*
Quid est? HER. *legationem facientes huc venimus à deis de belli pace.*
PI. *Oleum non est in lucerna.*
HER. *Et quidem auiculas pingues esse decet.*
NEP. *Nosq; enim bellantes non lucramur,*
Volq; nobis deis existentes amici
Hyemalem aquam habebitis in cœnis,
Tranquillosq; ducetis dies semper.
His de omnibus potentes venimus.
PI. *Sed neque prius vnquam nos incepimus*
Bellum ad vos, nuncq; volumus (si videtur
Si quid iustum aliud nunc vultis facere)
Inducias facere. hæc autem iusta sunt hæc,
Sceptrum nobis auibus iterum
Iouem reddere, & inducias facimus,
In his legatos ad cœnam voco.
HER. *Mihi quidem sufficiunt hæc, & confirmo.*
Quid ô infelix stolidus, & gulosus es,
Priuas patrem tyrannide?
PI. *Verum. non enim maius vos dei*
Poteritis, si aues dominabuntur inferius,
Nunc quidem à nebulis cooperti,
Inclinati peierant vos homines.
Si autem aues habebitis auxiliatores,
Quando iurabit aliquis coruum & Iouem.
Coruus adueniens peierante clam,
Aduolans eiiciet oculum verberans.

Σχόλια. Επανιστάμενοι.] ἐπανάστασιν ποιησάμενοι ὡς ἀρχαίων ὀρνίθων ἐπὶ θεωρίαν τυραννίδι καὶ εἰς κόρακα περιῆσαν ὀμβρίων. αὐτοῖσι δὲ ἐν γοῦν τοῖς κρέασιν. Ελαιον οὐκ ἔνεστιν.] ἀντὶ τοῦ οὐκ ἀλείφομεν. οὐ πειθόμεθα. Λιπαρὰ γ' εἶναι πρέπει.] δοκεῖ ἴσως. τοῦτο δὲ ὁ Ἡρακλῆς λέγει ἔξωθεν τοῦ λόγου οἰκείως τῇ γαστριμαργίᾳ. Ημεῖς τε γὰρ] G εἰσῆκται ὁ Ποσειδῶν, ὡς οὐκ ἀγαθὸν ἐστι τὸ πολεμεῖν ἀποφαίνων. Εν τοῖς τέλμασιν.] ἀντὶ τοῦ ἐν τοῖς φρέασι μυείως δὲ τὸ πηλῶδες καὶ μὴ ἔχον ὕδωρ.

BISETVS. Σ. τέλματα, τὰ πηλώδη, καὶ τελευταῖα τοῦ ὕδατος. ἴδιος δὲ οὗτοι τὰ γεωργήσιμα χωρία.

Σχόλια. Αλκυονίδας.] ἀντὶ τοῦ εὔδιον ὅλον τὸν χειμῶνα. οὐχ ὡς νῦν ἑπτὰ τοῦ χειμῶνος ὥς φασί τινες εἰσὶν αἱ ἀλκυονίδες. Αὐτοκράτορες] τούτων τῶν δογμάτων κρατοῦντες. Νῦν τ' ἐθέλομεν εἰ δοκεῖ. μιμεῖται τοὺς Ἀθηναίους οἷα πρὸς τοὺς βασιλεῖς λέγουσι. τὸ δὲ ἑξῆς οὕτω. νῦν ἐθέλομεν εἰ δοκεῖ σπονδὰς ποιεῖσθαι. Εάν τι δίκαιον.] εἰ ὅλως καὶ νῦν ἐπιγνώσεσθε τὸ δίκαιον. Εμοὶ μὲν ἀπόχρη ταῦτα] ἐπαρκεῖ καὶ καλῶς ἔχει τὰ σκῆπτρα λαβεῖν ὑμᾶς. τοῦτο δὲ ὁ Ἡρακλῆς λέγει πεπεισμένος διὰ τὸ ἄριστον. Τί ὦ κακόδαιμον] ἐπιπλήττει αὐτῷ ὁ Ποσειδῶν ὡς διὰ τὴν γαστριμαργίαν προδιδόντα τὸν Δία. Κάτω.] κάτω τοῦ οὐρανοῦ ὄντας, καὶ λίαν πῶς. Τὸν κόρακα καὶ τὸν Δία] τοὺς ὄρνιθας καὶ τοὺς θεούς. ἀφ' ἑνὸς δὲ τοὺς πάντας δηλοῖ.

Πι. Ναὶ

Πο. Νὴ τὸν Ποσειδῶ ταῦτά γε σὺ καλῶς λέγεις. A
Κἀμοὶ δοκεῖ. Πει. τί δαὶ σὺ φῄς. Τρ. ναβαισατρεῦ.
Πει. Ὁρᾷς, ἐπαινεῖ χοὗτος. ἕτερον νῦν ἔτι
Ἀκούσαθ' ὅσον ὑμᾶς ἀγαθὸν ποιήσομεν.
Ἐάν τις ἀνθρώπων ἱερεῖον τῷ θεῷ
Εὐξάμενος, εἶτα διασοφίζηται λέγων,
Μενετοὶ θεοί. καὶ μὴ ποδιδῷ, μισητίαν
Ἀναπράξομεν καὶ ταῦτα. Πο. φέρ' ἴδω τῷ τρόπῳ; B
Πειθ. Ὅταν διαριθμῶν ἀργυρίδιον τύχῃ
Ἄνθρωπος οὗτος ἢ κάθηται λούμενος.
Καταπτάμενος ἴκτινος ἁρπάσας λάθρα
Προβάτοιν δυοῖν τιμὴν ἀνοίσει τῷ θεῷ.
Ηρακλ. Τὸ σκῆπτρον ἀποδοῦναι πάλιν ψηφίζομαι
τούτοις ἐγώ. Πο. τὸν Τριβαλλόν γε νῦν ἔρου.
Ηρακλ. Ὁ Τριβαλλός, οἰμώζειν δοκεῖ σοι; Τρ. σαυνάκα C
Βακταρικροῦσα. Ηρακλ. φησὶν εὖ λέγειν πάνυ.
Πο. Εἴ τοι δοκεῖ σφῷν, ταῦτα κἀμοὶ συνδοκεῖ.
Ηρακλ. Οὗτος. δοκεῖ δρᾶν ταῦτα τοῦ σκήπτρου πέρι.
Πει. Καὶ νὴ Δί' ἕτερόν γ' ἐστὶν, οὗ μνήσθην ἐγώ.
Τὴν μὲν γὰρ Ἥραν παραδίδωμι τῷ Διΐ,
Τὴν δὲ Βασίλειαν τὴν κόρην γυναῖκ' ἐμοὶ
Ἐκδοτέον ἐστίν. Πο. οὐ διαλλαγῶν ἐρᾷς, D
Ἀπίωμεν οἴκαδ' αὖθις. Πει. ὀλίγον μοι μέλει.
Μάγειρε, τὸ κατάχυσμα χρὴ ποιεῖν γλυκύ.
Ηρα. Ὦ δαιμόνι' ἀνθρώπων Πόσειδον. ποῖ φέρει,
Ἡμεῖς περὶ γυναικὸς μιᾶς πολεμήσομεν;
Ποσ. Τί δαὶ ποιῶμεν; Ηρακλ. ὅ, τι; διαλλαττώμεθα.
Ποσ. Τί ὦ 'ζυρ' οὐκ οἶσθ' ἐξαπατώμενος πάλαι; E
Βλάπτεις δέ τοι σὺ σαυτόν. ἢν γὰρ ἀποθάνῃ
Ὁ Ζεὺς παραδοὺς τούτοισι τὴν τυραννίδα,
Πένης ἔσει σύ. σοῦ γὰρ ἅπαντα γίγνεται
Τὰ χρήμαθ' ὅσ' ἂν ὁ Ζεὺς ἀποθνήσκων καταλίπῃ.
Πειθ. Οἴμοι τάλας γ' οἷόν σε περισοφίζεται.
Δεῦρ' ὡς ἔμ' ἀποχώρησον, ἵνα τί σοι φράσω.

NEP. Per Neptunum, hæc bene dicis.
Et mihi videtur. PI. Quid autẽ tu dicis? TRI. nane satreu,
PI. Vides: laudat hic alterum nunc adhuc,
Audite quantum nobis bonum faciemus.
Si quis hominum sacrum Deo ouem post
Vouens, postea sophisticas dicens,
Tardi dei, & non soluam peccatum,
Recompensemus & hæc. NEP. age videam quomodo.
PI. Quando dinumerans argentulum contigerit,
Homo hic vel sedet lotus,
Aduolans Ictinus rapiens clàm,
Ouium duarum precium referet Deo.
HER. Sceptrum reddere iterum confirmo
His ego. NEP. Triballum nunc interroga.
HER. Triballus lugere videtur tibi. TRI. bene
Confirmo. HER. dicit bene dicere valde.
NEP. Si cui apparent vestrûm hæc, & mihi simul apparent.
HER. Hic videtur facere hæc sceptri gratia.
PI. Et per Iouem alterum est, cuius memini ego.
Hanc quid enim Iunonem trado Ioui,
Illam autem reginam puellam mulierem mihi
Dandum est. NEP. non paces amas,
Abeamus domum iterum. PI. parum mihi cura est,
Coque infusionem oportet facere dulcem.
HER. O felix hominum Neptune quò portaris.
Nos de muliere vna pugnabimus?
NEP. Quid autem faciemus? HER. Quòd faciemus pacem.
NEP. Quod ô praue non scis deceptus diu?
Lędis autem tu teipsum, si antẽ mortuus fuerit
Iupiter, tradens his tyrannidem,
Pauper eris tu. tui enim omnes fiunt
Res quæscunque Iupiter moriens reliquerit.
PI. Hei mihi miser, qualiter te circumuenit,
Huc ad me accede, vt aliquid tibi dicam.

Σχόλ. Νὴ τὸν Ποσειδῶ.] τοῦτο ὁ Ποσειδῶν λέγει μηδέπω ἐμφανίσας ἑαυτόν. καὶ γελοίως καθ' ἑαυτοῦ ὄμνυσι. Ναβαισατρεῦ.] βαρβαρίζων συγκατίθεται ὁ βάρβαρος θεός. αἱ γὰρ ἄσημοι φωναὶ, ἀντὶ συγκαταθέσεως. Μενετοὶ θεοί.] ἀνεξίκακοι καὶ οὐκ εὐθέως τιμωρούμενοι. ἄλλως. μενετοὶ θεοὶ, οὐκ ἀπατηλοί. ἀλλὰ μόνιμοι καὶ βέβαιοι, οὐκ εὐεξαπάτητοι. μισητίαν δὲ, οἱ μὲν περὶ Λεπτοφάνη, τὴν εἰς τὰ ἀφροδίσια ἀκρασίαν. καὶ τὸ περὶ σφυρὸν παχεῖα καὶ μισητὴ γυνὴ, οὕτως ἐξηγοῦνται. μήποτε μέντοι γενικώτερόν ἐστιν, ἀπληστία ὃ καὶ νῦν ἐμφαίνεται. F

BISETVS. Ὁ τούτων νοῦς ὅδε. καὶ ἐὰν ὁ εὐξάμενος μὴ ἀποδιδῷ τὸ ἱερεῖον, μισητίαν, καὶ ταῦτα ἀναπραξόμεθα. μέτρου δὲ χάριν μισητίαν, ἀντὶ τοῦ μισητείαν ἔγραψεν. Ἴωνες μέντοι τὰ κοινῶς διὰ τοῦ ει ἐκφέρουσι διὰ τοῦ ι. οἷον ἀληθίη, δουλίη, ἀντὶ τοῦ ἀλήθεια, δουλεία. μισήτην δὲ ἔλεγον τὴν καταφερῆ, οὐ παρὰ τὸ μῖσος, ἀλλὰ παρὰ τὸ μίσγεσθαι. τὸ γὰρ μῖσος ἄπωθεν ἐστὶ τοῦ μιαίνεσθαι. ὁ γὰρ μισεῖται, μεμόνωται, καὶ ἄμικτός ἐστιν. ἀλλ' οἱονεὶ μισγήτην τινὰ οὖσαν, ὃ καὶ βέλτιον. καὶ τὸ ἐν παροιμίας δὲ μέρει λεγόμενον. περὶ σφυρὰν παχεῖα μισήτη γυνὴ κατὰ τοῦτο εἰρῆσθαι δοκεῖ. μισητεία δὲ ἡ πορνεία. ἐν Πλούτῳ,

Καὶ ταῦτα τοίνυν οὐχ ἕνεκεν μισητείας
Αἰτεῖν μ' ἔφασκεν, ἀλλὰ φιλίας οὕνεκα.

καὶ μισητίας ὁ εἰς τὰς συνουσίας εὐεπίφορος. μεταφορικῶς δὲ καὶ μισητία περὶ τῆς ἀπληστίας λέγεται. G

Σχόλια. Ὁ Τριβαλλός.] ἀντὶ τοῦ ὦ Τριβαλλέ. καὶ ἐρώτησις δὲ ὁ λόγος. δέον δὲ εἰπεῖν, δοκεῖ σοι συνθέσθαι. ὁ Τριβαλλὸς δὲ, ἔοικε τοῦ Ποσειδῶνος εἶναι τοῦτο. πιθανῶς δὲ εἰώθασι καὶ τοῖς βαρβάροις διαλεγόμενοι τῷ σχήματι ἐπισυνδεσμένως λοιδορεῖν ἢ καταρᾶσθαι.

τὸ κατάχυσμα χρὴ ποιεῖν γλυκύ. τὸν ζωμὸν διὰ μέλιτος A ποιεῖ. πάλιν δὲ ἐρεθίζει τὸν Ηρακλέα. Ανθρώπων Πόσειδον] παίζει δέον εἰπεῖν τῶν θεῶν. περὶ δὲ γυναικὸς μιᾶς, ἤγουν τῆς Βασιλείας. Δεῦρ' ὡς ἔμ' ἀποχώρησον.] ὅτι ὅμοιον τῷ τόπῳ ἐκείνῳ. δεῦρ' ἴθι σοὶ τὰ ἄλλα βούλομαι φράσαι.

Διαβάλλεταί σ' ὁ θεῖος, ὦ πόνηρε σύ.
Τῶν γὰρ πατρῴων οὐδ' ἀκαρῆ μέτεστί σοι
Κατὰ τοὺς νόμους. νόθος γὰρ εἶ κοὐ γνήσιος.
Ηρ. Εγὼ νόθος; τί λέγεις; Πει. σὺ μέντοι νὴ Δία.
Ων γε ξένης γυναικός. ἢ πῶς ἄν ποτε
Επίκληρον εἶναι τὴν Αθηναίαν δοκεῖς.
Οὖσαν θυγατέρ' ὄντων ἀδελφῶν γνησίων.
Ηρ. Τί δ' ἢν ὁ πατὴρ ἐμοὶ διδῷ τὰ χρήματα
Τὰ νοθεῖ' ἀποθνήσκων. Πει. ὁ νόμος αὐτὸν οὐκ ἐᾷ.
Οὗτος ὁ Ποσειδῶν πρῶτος ὃς ἐπαίρει σε νῦν
Ανθέξεταί σου τῶν πατρῴων χρημάτων,
Φάσκων ἀδελφὸς αὐτὸς εἶναι γνήσιος.
Ερῶ δὲ δὴ καὶ τὸν Σόλωνός σοι νόμον.
Νόθῳ δὲ μὴ εἶναι ἀγχι-
στείαν, παίδων ὄντων γνη-
σίων. ἐὰν δὲ παῖδες
Μὴ ὦσι γνήσιοι, τοῖς
Εγγυτάτω τοῦ γένους,
Μετεῖναι τῶν χρημάτων.
Ηρ. Εμοὶ δ' ἄρ' οὐδὲν τῶν πατρῴων χρημάτων
Μέτεστιν; Πει. οὐ μέντοι νὴ Δία. λέξον δέ μοι
Ηδη σ' ὁ πατὴρ εἰσήγαγ' ἐς τοὺς φράτερας;
Ηρ. Οὐ δῆτ' ἐμέγε. καὶ δῆτ' ἐθαύμαζον πάλαι.
Πει. Τί δῆτ' ἄνω κέχηνας αἰκίαν βλέπων;
Αλλ' ἢν μεθ' ἡμῶν ᾖς, καταστήσω σ' ἐγὼ
Τύραννον. ὀρνίθων παρέξω σοι γάλα.
Ηρ. Δίκαι' ἔμοιγε καὶ πάλαι δοκεῖς λέγειν.
Περὶ τῆς κόρης. κἄγωγε παραδίδωμί σοι.
Πει. Τί δαὶ σὺ φῄς. Πο. τἀναντία ψηφίζομαι.
Πει. Εν τῷ Τριβαλλῷ πᾶν τὸ πρᾶγμα. τί σὺ λέγεις;

Criminatur te patruus ô ignare tu,
Horum enim paternorum neque paululum participatur tibi
Secundũ leges. spurius enim es & nõ legitimus.
HER. Ego spurius? quid dicis? PI. tu quidem
B per Iouem (quam
Existens aduena mulieris, an aliquo modo vnHeredem esse Mineruam putas, (timis?
Existentem filiam existentibus fratribus legi-
HER. Quid autem si pater mihi dat res
Spurio moriens? PI. lex ipsum non sinit.
Hic Neptunus primus qui extollit te, nunc
Vsurpabit tui paternas res,
C Dicens frater ipse esse legitimus.
Dico autem iam & Solonis tibi legem,
Spurio autem non esse affi-
Nitatem filijs existentibus legi-
Timis. si autem filij
Non sunt legitimi, his
Propissime genere
Participationem esse rerum.
HER. Mihi autem igitur nihil paternarũ rerum
D Est in participatione? PI. non quidem per Iouem. dic autem,
Iam te pater induxit in custodes?
HER. Non certè me, & certè admirabar diu.
PI. Cur certè supra oscitasti, causam aspiciens:
Sed si nobiscum eris, constituam te ego
Regem, autum prabebo tibi lac.
HER. Iusta mihi & diu videris dicere
Circa puellam, & ego trado tibi.
E PI. Quid autem tu dicis. NEP. contraria delibero.
PI. In tribalo omnis res, quid tu dicis?

Σχόλια. Διαβάλλεταί σ' ὁ θεῖος] ὅτι τῷ διαβάλλεται, χρῆται ἐπὶ τοῦ ἐξαπατᾶν, ὡς καὶ Αρχιππος ἐν Πλούτῳ, ἔστι δέ μοι καλῶς πρόφασις εἰρημένη. τὸν γὰρ γέροντα διαβαλοῦμαι τήμερον παρόμοιον δὲ καὶ τὸ ὁμηρικόν. παραβλήδην ἀγορεύων, καὶ παρ' Αλκαίῳ, παραβάλλεταί σε. Επίκληρον εἶναι τὴν Αθηναίαν] ἐμὲ μὴ γνησιωτέρα. ἐπίκληρος δὲ ἐστιν ἡ μὴ ἔχουσα ἀδελφοὺς ἑτέρους συγκληρονόμους, ἀλλὰ μονοκληρονόμος. νόμος δὲ ἦν Αθηναίοις γνησίας μὲν οὔσης θυγατρὸς νόθου δὲ υἱοῦ, μὴ κληρονομεῖν τὸν νόθον τὰ πατρῷα. καὶ νῦν οὖν φησὶν εἰ μὴ σὺ νόθος ἦς, οὐκ ἂν ἡ Αθηνᾶ ἐπίκληρος. παίζει δέ. τοὐναντίον γάρ. υἱῶν ὄντων γνησίων, οὐκ ἂν εἴη θυγάτηρ ἐπίκληρος. εἰσὶ δὲ καὶ τῷ Διὶ γνήσιοι υἱοί. Αρης καὶ Ηφαιστος. ἀλλὰ ἐπαίνῳ τῆς Αθηνᾶς καὶ τῆς πόλεως τοῦτο φησὶν ὡ προσποιούμενος περὶ τῶν γνησίων.
F
Τὰ νοθεῖ' ἀποθνήσκων.] γράφεται νοθεῖα ὡς πρεσβεῖα. εἰ τὰ μὲν χρήματα ἐκεῖ φησιν ὡς νόθῳ καταλείψει, τὴν δὲ ἀρχὴν τοῖς γνησίοις. νόμος δὲ ἦν Αττικός, τοῖς νόθοις μέχρι πέντε μνῶν καταλιμπάνειν. ἢν οὖν ἐμοὶ τὰ χρήματα ἐάσῃ, ἐκείνοις δὲ τὴν ἀρχήν. προσθετέον ὡς μένων δὲ ἀναγκαστέον τὸ νοθεῖα. ὡς ἀργύριον δὲ τοῖς νόθοις διὰ χειρὸς ἐδίδοσαν, ἐπειδὴ οὐκ ἐξῆν αὐτοῖς κληρονομεῖν.
G
Bisetvs. Τούτου δὲ τοῦ Σόλωνος νόμου μέμνηται καὶ Δημοσθένης ἐν τῷ πρὸς Μακάρτατον λόγῳ. τί δ' ἦν τὰ νοθεῖα, δῆλον ἐκ τοῦ Αρποκρατίωνος. ὃς ἐν τῷ τῶν δέκα ῥητόρων λεξικῷ οὕτω γράφει, Νοθεῖα, τὰ τοῖς νόθοις ἐκ τῶν πατρῴων διδόμενα, οὕτω καλεῖται. ἦν δὲ μέχρι χιλίων δραχμῶν. καὶ μετ' ὀλίγον, Αριστοφάνης ἐν ὄρνισι,

Τί δ' ἢν ὁ πατὴρ ἐμοὶ διδῷ τὰ χρήματα
Τὰ νοθεῖ' ἀποθνήσκων; Πει. ὁ νόμος οὐκ ἐᾷ.

Καὶ Πολυδεύκης βιβλίῳ γ. Αριστοφάνης, φησί, νοθεῖα, τὰ χρήματα καλεῖ, τὰ τοῖς νόθοις διδόμενα, τὰ δὲ τὸν τόπον ἀποδυλεῖον. καὶ Σουίδας, νοθεία ἡ λαθραία γονή, καὶ πορνεία. καὶ τὰ τοῖς νόθοις ἐκ τῶν πατρῴων διδόμενα οὕτω καλεῖται.

Σχόλια. Αγχιστείαν.] μετουσίαν τῆς οὐσίας. δοκεῖ δὲ πλάττεσθαι. Ες τοὺς φράτορας.] πάλιν ὡς ἐν κωμῳδίᾳ μετῆγε τὰ Αθηναίων ἔθη ἐπὶ τοὺς θεούς. διὰ γὰρ τῆς ἐγγραφῆναι εἰς τοὺς φράτορας, σύμβολον εἶχον τῆς εὐγενείας. ἄλλως. εἰς τοὺς τῆς ἡλικίας νόμους. ἢ εἰς τοὺς φυλέτας. ἐπειδὴ τὰ ὀνόματα τῶν ξένων, γράφεται εἰς τοὺς πίνακας. Τί δῆτ' ἄνω κέχηνας] ὡς τοῦ Ηρακλέους ἀναβλέψαντος εἰς τὸν οὐρανὸν μετ' ὀργῆς τοῦτό φησι. τί δῆτ' ἄνω βλέπεις, ὡς τυπτήσων τινά. τινὲς δὲ οὕτως, τί δῆτα εἰς τὰ ἄνω πράγματα ἀποβλέπεις αἰκισθησόμενος ἐάν τι πάθῃ ὁ πατὴρ ὑπὸ τῶν γνησίων.

Τρι. Καλλίω κόραν καὶ μεγάλην, βασίλειαν
Ὄρνισι παραδίδωμι. Ηρ. παραδοῦναι λέγεις;
Πο. Μὰ τὸν Δί' οὐχ οὗτός γε παραδοῦναι λέγει,
Εἰ μὴ βαδίζειν ὥσπερ αἱ χελιδόνες.
Πεί. Οὐκοῦν παραδοῦναι ταῖς χελιδόσι λέγει.
Πο. Σφὼ νῦν διαλλάττεσθε, καὶ ξυμβαίνετε.
Ἐγὼ δ', ἐπειδὴ σφῷν δοκεῖ, σιγήσομαι.
Ηρ. Ἡμῖν ἃ λέγεις σὺ, πάντα συγχωρεῖν δοκεῖ.
Ἀλλ' ἴθι μεθ' ἡμῶν αὐτὸς ἐς τὸν οὐρανὸν,
Ἵνα τὴν Βασίλειαν καὶ τὰ πάντ' ἐκεῖ λάβῃς.
Πεί. Ἐς καιρὸν ἄρα κατεκόπησαν οὗτοι,
Ἐς τοὺς γάμους. Ηρ. βούλεσθε δῆτ' ἐγὼ τέως
Ὀπτῶ τὰ κρέα ταυτὶ μένων; ὑμεῖς δ' ἴτε.
Πο. Ὀπτᾷς σὺ κρέα; πολλήν γε τενθείαν λέγεις.
Οὐκ εἶ μεθ' ἡμῶν; Ηρ. εὖ γε μέντ' ἂν διετέθην.
Πεί. Γαμικὴν χλανίδα δότω τις δεῦρό μοι.

A *Pulchram puellam & valde reginam*
Auis trado. HER. tradere dicis?
NEP. *Per Iouem non hic tradere dicit,*
Nisi ire quemadmodum hirundines.
PI. *Igitur tradere hirundinibus dicit.*
NEP. *Vos nunc pacem facite & conuenite,*
B *Ego autem, postquam vobis videtur, tacebo.*
Her. Nobis quae dicis tu, omnia cōuenire vi-
Sed veni nobiscum ipse in caelum, (detur.
Vt reginam & omnia illic capias.
PI. *In tempus igitur decisa sunt haec*
Ad nuptias? HER. vultis igitur ego interea
Assem carnes has, manens? vos autem ite.
NEP. *Asses tu carnes? multam gulositatē dicis.*
Nō es nobiscū? HER. bene quidē sū dispositus,
C *Nuptialem vestem det aliquis huc mihi.*

Σχόλια. Καὶ μεγάλα] τὴν καλὴν καὶ μεγάλην Βασίλειαν γαμεῖν. οὕτω Δίδυμος. τοῦτο δέ φησι βαρβάρως καὶ δυσφράστως. Μὰ τὸν Δί' οὐχ οὗτός γε] μὰ τὸν Δία φησὶν, οὐ λέγει παραδοῦναι. ἀλλὰ βαδίζειν καὶ ἀναχωρεῖν. οὕτω δὲ αὐτό φησι βαρβάρως καὶ δυσφράστως. Ὥσπερ αἱ χελιδόνες] Σύμμαχος. οὐκ ἔστιν ὁ τούτου νοῦς φανερός. οὐδέν τι δύναται ἴδιον τῶν χελιδόνων ἡ βάδισις. αἱ γε μὴν διὰ πορείας χρῶνται ὡς τὰ ἄλλα τῶν ὀρνέων, καὶ μάλιστα τὰ μὴ πτητικά. ὁ δὲ Δίδυμος οὕτω. κατ' ἀλλήλους εἶχεν εἰ ἔλιγεν ὡς τὰς χελιδόνας. θέλει δὲ λέγειν εἰ μὴ βαδίζειν πρὸς τὰς χελιδόνας. διὸ καὶ ὑποίσει. οὐκοῦν παραδοῦναι ταῖς χελιδόσι λέγει. ἐπειδὴ καὶ αὐτὸς πρὸς αὐτὰς βαδίζει εἰς Νεφελοκοκκυγίαν. καὶ Αἰσχύλος τὸ βαρβαρίζειν, χελιδονίζειν. φησὶ καὶ Ἴων ἐν Ὀμφάλῃ τοὺς βαρβάρους, χελιδόνας. ἀρσενικῶς φησὶν ὡς Ἡρωδιανὸς ἐν τῷ πρώτῳ τῆς καθόλου φησίν. τὸ δὲ βασίλειαν, εἰς τὸ βασίλειαν μετέβαλεν ὁ Ποσειδῶν. παρόντων τὴν δευτέραν ἐζήτεινε, τὸ τελευταῖον κρατήσας ὁ Ἡρακλῆς, ἐξ αὐτοῦ κελεύει αὐτὸν, θέλειν παραδοῦναι αὐτὴν τὴν Βασίλειαν τοῖς ὄρνισιν. Οὗτοι] οἱ ὄρνιθες. εὐκαίρως φησὶν κατεκόπησαν οἱ ὄρνιθες οὗτοι διὰ τὸ ἄριστον τῶν παρόντων γάμων.

D BISETUS. Πολλήν γε τενθείαν] Σ. τενθεία, οἰναμιστεία, λιχνότης, ἡ γαστριμαργία. καὶ τένθης ὁ γαστρίμαργος.

ΣΤΡΟΦΗ

κώλων ι'.

Χο. Ἔστι δ' ἐν Φαναῖσι, πρὸς τῇ
Κλεψύδρᾳ πανοῦργον ἐγ-
Γλωττογαστόρων γένος.
Οἳ θερίζουσίν τε καὶ σπεί-
Ρουσι καὶ τρυγῶσι ταῖς γλώτ-
Ταισι, συκάζουσί τε.
Βάρβαροι δ' εἰσὶν γένος
Γοργίαι τε καὶ Φίλιπποι.
Κἀπὸ τῶν ἐγγλωττογαστόρων ἐκείνων τῶν Φιλίππων
Πανταχοῦ τῆς Ἀττικῆς, ἡ γλῶττα χωρὶς τέμνεται.

VERSIO membrorum decem.

CHO. *Est autem in Phanis ad*
Clepsydram prauum gulo-
E *sorum genus,*
Qui metúntque & semi-
Nant, & vindemiant lin-
Guis, siccant ficósque.
Barbari autem sunt genus,
Gorgiaq́ & Philippi.
Et à ventrosis illis Philippis
Vbiq́ Attica lingua sine mulcetur.

Σχόλια. Ἔστι δ' ἐν Φαναῖσιν] εἴσθεσις χοροῦ περιοδικὴ κώλων τροχαϊκῶν ὀκτὼ ὧν τὰ μὲν α. δ. ε. καὶ η. δίμετρα ἀκατάληκτα, τὰ δὲ β. γ. ϛ. καὶ ζ. καταληκτικὰ ἑφθημιμερῆ. καὶ μετὰ ταῦτα στίχοι δύο τετράμετροι τροχαϊκοὶ καταληκτικοί. ἐπὶ τῷ τέλει κορωνίς. ἐν τῇ ἐκκλησίαις νῦν φησιν εἰσί. παίζει δὲ διασύρων τῶν Ἀθηναίων τοὺς συκοφάντας. παρὰ τὸ φαίνειν καὶ συκοφαντεῖν αὐτοὺς περὶ τὰ δικαστήρια. καὶ ἄλλως δὲ φαναὶ τῆς Χίου χωρίον. καὶ κλεψύδρα κρήνη ἐν Ἄργει. παρὰ τοὺς ἐγχειρογάστορας δὲ πεποίηται. ἄλλως. κρήνη ἐν ἀκροπόλει ἡ κλεψύδρα, ἧς Ἴστρος ἐν τῇ ιϛ μέμνηται. τὰ παρὰ τοῖς συγγραφεῦσιν ἀναλεγόμενος. οὕτως δὲ ὠνόμασται, ἐπειδὴ ἀρχομένων τῶν Ἐτησίων πληροῦται. παυομένων δὲ, λήγει. ὁμοίως τῷ Νείλῳ, ὥσπερ καὶ τὴν ἐν Δήλῳ κρήνην. εἰς ταύτην δέ φησιν ἐμπεσοῦσαν φιάλην πεσοῦσαν, ἐφθῆναι ἐν τῷ Φαληρικῷ ἀπέχοντι σταδίους εἴκοσι. φασὶ δὲ αὐτὴν ἀπέραντον βάθος ἔχειν. τὸ δὲ

F ὕδωρ ἁλμυρόν. ἔπαιξε δὲ πάλιν διασύρων τοὺς Ἀθηναίους ὡς φιλοδίκους. ἐπεὶ καὶ ἐν τῷ δικαστηρίῳ ἐστὶ κλεψύδρα κατασκεύασμά τι ὥσπερ εἰρονομένον. Ἐγγλωττογαστόρων.] παρὰ τοὺς ἐγχειρογάστορας πέπαικται. Συκάζουσί τε] ὡς ἐπὶ γεωργῶν. συκάζειν γὰρ τὸ σῦκα ἐκλέγειν ἀπὸ τῶν συκῶν καὶ τὸ συκοφαντεῖν. ἐνέμεινε δὲ τῇ τροπῇ. Ἡ γλῶττα χωρίς.] Σύμμαχος πρὸς τὸ ἔθος. ὅτι μετὰ τῶν σπλάγχνων ἔτεμνον τὴν γλῶτταν καὶ παρ' Ὁμήρῳ. ἐπεὶ δὲ διὰ τὴν πονηρίαν τῶν δημηγορούντων φησὶν ἐκβεβλῆσθαι χωρὶς τὴν
G γλῶτταν. Δίδυμος δὲ, ἐν ταῖς θυσίαις. χωρὶς ἡ γλῶττα ἐτέμνετο ἢ μετὰ τῶν ἄλλων σπλάγχνων. καὶ Ὅμηρος. ἀλλ' ἄγε τάμνετε μὲν γλώσσας. ἐγένετο δὲ τοῦτο δι' ἄλλην αἰτίαν. οὕτως δὲ βούλεται λέγειν. ὅτι ἐξεβλήθη ἐκ τῶν σπλάγχνων διὰ τοὺς ῥήτορας ἡ γλῶττα. ἐπεὶ ταύτῃ τοὺς ἄλλους κακοποιοῦσιν. εἰς τὸ αὐτό. ἀντὶ τοῦ ὀφείλει τέμνεσθαι ἡ γλῶσσα καὶ χωρίζεσθαι τοῦ λοιποῦ σώματος.

A

ΣΥΣΤΗΜΑ ΚΑΤΑ ΠΕΡΙΚΟΠΗΝ ΕΚ ΣΤΙΧΩΝ ιδ΄.

Ἄγγελος, ὁ οἰκέτης Πεισθεταίρου. Χορὸς εἰς δύο μέρη, ἤγουν εἰς δύο ἡμιχόρια διαιρεθείς.

Bisetus. Ἄγγελός ἐστιν, ὃς Πεισθεταίρου ἦν θεράπων, καὶ μετ' αὐτὸν ὁ Χορὸς εἰς δύο μέρη διαιρεθεὶς τὸν Πεισθεταίρου γάμον ὑμνεῖ, καὶ τὸ τῶν ὀρνίθων γένος, τύ- B
χην, καὶ πόλιν μακαρίζει, ὅτι παράδοξον εὐδαιμονίας διὰ τὴν ἀνδρὸς τοιούτου σοφίαν ἔτυχε.

ΑΓ. Ὦ Πάντ' ἀγαθὰ πράττοντες. ὦ μείζω λόγου.
Ὦ τρισμακάριον πτηνὸν ὀρνίθων γένος.
Δέχεσθε τὸν τύραννον ὀλβίοις δόμοις.
Προσέρχεται γὰρ οἷος οὔτε παμφαὴς
Ἀστὴρ ἰδεῖν ἔλαμψε χρυσαυγεῖ δόμῳ.
Οὔθ' ἡλίου τηλαυγὲς ἀκτίνων σέλας
C Τοιοῦτον ἐξέλαμψεν. οἷον δ' ἔρχεται
Ἔχων γυναικὸς κάλλος, οὐ φατὸν λέγειν.
Πάλλων κεραυνὸν πτεροφόρον Διὸς βέλος.
Ὀσμὴ δ' ἀνωνόμαστος ἐς βάθος κύκλου
Χωρεῖ, καλὸν θέαμα θυμιαμάτων.
Αὖραι διαψαίρουσι πλεκτάνην καπνοῦ.
Ὁδὶ δὲ καὐτός ἐστιν. ἀλλὰ χρὴ θεᾶς
D Μούσης ἀνοίγειν ἱερὸν εὔφημον στόμα.

Compositio per circuncisionem.

NVN. O omnia bona facientes, ô maiora sermone,
O ter beatum volabile auium genus,
Suscipite regem beatis domibus.
Aduenit enim qualis neque vndique lucens
Stella videre splenduit aureaque splendida domo,
Neque solis longè splendens radiorum splendor
C *Talis splenduit: qualem autem venit*
Habens mulieris pulchritudinem non dicibile dicere.
Mouens fulmen, alas ferens Iouis telum.
Odor autem innominabilis in profundum circuli
Procedit. pulcher aspectus sacrificiorum,
Auræ mouent volutionem fumi.
Hic autem & ipse est, sed oportet deæ
D *Musæ aperire, sacrum benedicens os.*

Σχόλια. Ὦ πάντ' ἀγαθὰ] ἡ συστηματικὴ αὕτη εἴσθεσις ἐξ ἰάμβων ἐστὶ τριμέτρων ιδ΄. ἐπὶ τῷ τέλει παράγραφος. εἶτα δ' ἄν ἐστιν ὁ ἄγγελος θεράπων συναναβεβηκὼς τῷ Πεισθεταίρῳ. Διὸς βέλος.] τῆς βασιλείας. λαβὼν γὰρ τὸν ταμίαν τοῦ κεραυνοῦ καὶ αὐτὸν ἄγει. εἰώθασι γὰρ τῷ κεραυνῷ ἐξ ἑκατέρου μέρους πτερὰ προσφύειν. Ὀσμὴ δ' ἀνωνόμαστος ἐς βάθος] εἰς τὸ ὕψος τοῦ οὐρανοῦ. ἀνωνόμαστος δὲ ἀντὶ τοῦ πολλή. καὶ λόγῳ οὐ δυναμένη ὀνομασθῆναι. Διαψαίρουσι] πρὸς τὸ τῆς λέξεως διαίρεσιν. διαψαίρειν δέ, τὸ ἡσυχῇ διακινεῖσθαι καὶ ψοφεῖν· καὶ ψαίρειν ἱστίον λέγομεν. πλεκτάνην δὲ τὴν εἴλησιν. αἱ δὲ αὖραι, διακινοῦσι τὴν πλεκτάνην τοῦ καπνοῦ τῶν θυμιαμάτων. λείπει δέ, τὸ πνέουσι.

E

ΩΔΗ ΚΑΙ ΣΤΡΟΦΗ κώλων ιβ΄.

Ἡμι. Ἄναγε. δίεχε. δίαγε. πάραγε. πάρεχε.
Περιπέτεσθε τὸν μάκαρα
Μάκαρι σὺν τύχᾳ.
F Ὢ φεῦ φεῦ. τῆς ὥρας
Τοῦ κάλλους.
Ὦ μακαριστὸν σὺ γάμον
Τῇδε τῇ πόλει γήμας.
Ἡμι. Μεγάλαι κατέχουσι τύχαι
Γένος ὀρνίθων
Διὰ τόνδε τὸν ἄνδρα.
Ἀλλ' ὑμεναίοισι καὶ νυμφιδίοις
Δέχεσθ' ᾠδαῖς
G Αὐτὸν καὶ τὴν Βασιλείαν.

Cantus et versio membrorum duodecim.

Semi. Educ, diuide, diduc, adduc, præbe,
Circumuola beatum
Beata cum fortuna.
F *O papæ papæ tempore*
Pulchritudinis,
O beatissimas tu nuptias
Hac ciuitate nubens.
ALT. SEMI. *Magnæ detinent fortunæ*
Genus auium
Propter hunc virum,
Sed laudatiuis & sponsalibus
G *Suscipite cantibus ipsum, & reginam.*

Σχόλ. Ἀνάγε δίεχε] εἴσθεσις μέλους χοροῦ εἰς δύο περιόδους διῃρημένη κώλων ιβ΄. εἰσὶ δὲ τῆς μὲν πρώτης τροχαϊκὰ ϛ΄ ἐπιμεμιγμένα χορείοις καὶ ἰάμβοις. ὧν τὰ α΄ β΄ δὲ δίμετρα ἀκατάληκτα. τὸ γ΄ πενθημιμερές. τὸ ϛ΄ ἑφθημιμερές. τῆς δὲ β΄ ἐξ ἀναπαιστικῶν, τὰ μὲν α΄ δ΄ δίμετρα ἀκατάληκτα. τὰ δὲ β΄ ὁ ἀναπαιστικὴ βάσις. τὸ γ΄ πενθημιμερές. τὸ ϛ΄ ἑφθημιμερές. ἐπὶ τῇ ἀποθέσει παράγραφος. τὸ δὲ ἑξῆς ἄνεχε δίεχε, ἀντὶ τοῦ ὑμεῖς αὐτόν. χλευάζει δέ, παρὰ τὰ ἐκ Τρῳάδων Εὐριπίδου. ἄνεχε πάρεχε. φῶς φέρε.

Bis. Ἡ τῶν μέτρων ἀπαρίθμησις, ἡ ποιότης, καὶ τὸ σχῆμα ἐν τοῖς παλαιοῖς σχολίοις οὐ καλῶς ἔχειν ἔοικεν. ἀλλὰ ταῦτα διὰ τὸ ἀσαφὲς οὐ ῥᾴδιον ἐπανορθοῦσθαι δύναται.

A

ΣΤΡΟΦΗ ΕΤΕΡΑ κώλων έ.

Χο. Ἥρα ποτ' ὀλυμπία
Τῶν ἠλιβάτων θρόνων
Ἄρχοντα θεοῖς μέγαν
Μοῖραι ξυνεκόμισαν
Ἐν τοιῷδ' ὑμεναίῳ.

VERSIO altera membrorum quinque.

CH. Iunoni quondam cælestis
Altarum sedium,
B *Dominantem deis magnum*
Parcæ comportauerunt
In his nuptijs.

Σχόλια. Ἥρα ποτ' ὀλυμπία.] Τὰ τοιαῦτα ἤδη καλοῦνται τελὰς ἐπῳδική. καὶ εἰσὶ τῆς μὲν στροφῆς τὰ κῶλα έ, καὶ τὰ τῆς ἀντιστροφῆς τοιαῦτα. εἰσὶ δὲ πάντα ἰωνικὰ ἀπὸ μείζονος ἑφθημιμερῆ παντοίοις σύμμικτα ποσί. τῆς δ' ἐπῳδοῦ κῶλα ς ἀναπαιστικὰ δίμετρα πλὴν τῆς τελευταίας ἀκατάληκτα. ἐπὶ τῷ τέλει τῆς μὲν στροφῆς καὶ ἀντιστροφῆς παράγραφος, τῆς δὲ ἐπῳδῆς κορωνίς.

ΑΝΤΙΣΤΡΟΦΗ C κώλων έ.

Ὁ δ' ἀμφιθαλὴς Ἔρως
Χρυσόπτερος ἡνίας
Εὔθυνε παλιντόνους,
Ζηνὸς πάροχος γάμων.
Τῆς τ' εὐδαίμονος Ἥρας.

INVERSIO membrorum quinque.

Hic circum pullulans amor,
Auro alatus habenas
Dirige retrò extensas,
Iouis præbitor nuptiarum,
Huius felicis Iunonis.

Σχόλια. Ὁ δ' ἀμφιθαλής.] ἀμφοτέροις τοῖς γονεῦσι θάλλων. καὶ μηδενὸς ὀρφανισμένος. ἄλλως. ὁ ἔρως φησί, παράνυμφος ἦν τοῦ Διὸς καὶ τῆς Ἥρας. πάρο- D χοι γὰρ λέγονται, οἱ παράνυμφοι, παρὰ τὸ παρέχεσθαι τοῖς νυμφίοις. ἐπ' ὀχήματος γὰρ τὰς νύμφας ἄγουσιν.

ΕΠΩΔΗ κώλων ς'.

Ὑμὴν ὦ ὑμέναι', ὦ ὑμήν.
Πει. Ἐχάρην ὕμνοις. ἐχάρην ᾠδαῖς.
Ἄγαμαι δὲ λόγων. ἄγε νυν αὐτοῦ
Καὶ τὰς χθονίας κλήσατε βροντάς.
Τάς τε πυρώδεις Διὸς ἀστεροπάς.
Δεινόν τ' ἀργῆτα κεραυνόν.

INCANTATIO membrorum sex.

E *PI. Hymen ô hymenæe, ô hymen,*
Gaudebam laudibus, gaudebam cantibus,
Gaudeo autem sermonibus. age nunc ipsius
Et cælestia vocate tonitrua,
Hac ignea Iouis fulgura,
Graueq́ albumq́ fulmen.

Σχόλια. Ὑμὴν ὦ ὑμέναι' ὦ.] ᾔδετο τοῦτο ἐν τοῖς γά- F μοις. εἴρηται δὲ περὶ τοῦτο, ἐν τοῖς Μενανδρείοις.

BISETVS. Εὐστάθιος. Ὑμέναιος, γαμήλιος ᾠδή. γίνεται ἡ λέξις ἢ παρὰ τὸ ὑμνεῖν, οἱονεὶ ὑμναιός τις. ἢ παρὰ τὸ ὁμοῦ ναίειν τοὺς νυμφίους, οἱονεὶ ὁμόναιος. ἢ παρὰ τὸν παρθένειον ὑμένα. ἔστι δὲ ὑμὴν, ὑμένος, τὸ λεπτότατον δέρμα, οὗ χρῆσις καὶ παρὰ τῷ Δειπνοσοφιστῇ ἐν τῷ ἐξήλασαν τινὲς τὸν ἄργυρον εἰς ὑμένας ἰδέαν, ἤγουν ἀργὸν ἐλαύνοντες, λεπτότατον ἐποίουν ὑμένος δίκην. Ἄλλως. ὑμέναιος ἀπὸ Ὑμεναίου νεανίου τινὸς Ἀργείου, ὃς G παραπλέων εἰς Ἀθήνας ἔπαυσε βίαν, ἣν λῃσταὶ Πελασγοὶ ἐπῆγον παρθένοις Ἀττικαῖς. αἳ γάμῳ νομίμῳ ὕστερον ἐκδοθεῖσαι, ᾠδὴν ἦσαν ἐπ' αὐτῷ, ἣν ὁμωνύμως ἐκάλουν ὑμέναιον. καὶ ἐξ αὐτοῦ πᾶς ὁ ἐν γάμῳ ὕμνος, ὑμέναιος ἐκαλεῖτο. ἕτεροι δὲ παρὰ καλλῆ τινα νεανίαν ἱστοροῦσιν Ὑμέναιον πρὸ ὥρας θανόντα, καὶ εἶναί τινα λόγον αὐτοῦ ἐν τοῖς γάμοις, ὃν καλεῖσθαι ὑμέναιον.

Σχόλια. Καὶ τὰς χθονίας κλήσατε.] Εὐφρόνιος τὰς φοβεράς. πάντα γὰρ τὰ δεινὰ γῆς παραλογοῦσιν, οἱ δὲ τὰς μέγαν ἦχον ἀποτελούσας. ἢ τὰς ἀπὸ τῆς γῆς γινομένας. ὅτι γὰρ ἠχεῖ ἡ γῆ, ἀναπέμπει τὸν ἦχον εἰς τὸν οὐρανὸν, καὶ δοκοῦσιν οἱ ἄνθρωποι ἐξ οὐρανοῦ γίνεσθαι τὰς τοιαύτας βροντάς, ἢ τὰς μέχρι γῆς ἀκουομένας. ἢ τὰς τὴν γῆν κινούσας.

BISETVS. Βροντὴ δὲ κατὰ Σουίδαν, νεφῶν ψόφος ἐκ παρατρίψεως, ἢ ῥήξεως. Διὸς ἀστεροπάς] ἀστεροπή, καὶ κατὰ συγκοπὴν ἀστραπή. ταύτην τὴν λέξιν Ἀριστοτέλης ἐν τῷ περὶ κόσμου οὕτως ἑρμηνεύει. κατὰ δὲ τὴν τοῦ νέφους ἔκρηξιν, πυρωθὲν τὸ πνεῦμα, καὶ λάμψαν ἀστραπὴ λέγεται. Ἀργῆτα κεραυνόν] τουτέστι λαμπρὸν, ἢ ταχὺν, καὶ κλίνεται. ἀργής, ἦτος. Ἄργης δὲ παροξύτονον, ὄνομα κύριον, εἷς τῶν Κυκλώπων ὁ σκευάζων τοὺς κεραυνοὺς τῷ Διὶ μυθευόμενος, καὶ ἄργης ὁ ὄφις κατὰ γλῶσσαν. ὅθεν ἀργειφόντης κατά τινας, ὁ ὀφιοκτόνος.

ΣΤΡΟΦΗ ΕΤΕΡΑ ΚΑΙ ΩΔΗ κώλων ιη.

Χο. Ω μέγα χρύσεον ἀστεροπῆς φάος.
Ω Διὸς ἄμβροτον ἔγχος πυρφόρον.
Βαρυαχέες ὀμβροφόροι θ' ἅμα
Βρονταὶ, αἷς ὅδε νῦν χθόνα σείει,
Διὰ σὲ πάντα κρατήσας, καὶ
Πάρεδρον βασιλείαν ἔχει Διός.
Ημι. Υμὴν ὦ, ὑμέναι' ὦ.
Επεσθε νῦν γάμοισιν ὦ
Φῦλα πάντα συννόμων
Πτεροφόρ' ἐπὶ πέδον Διός.
Καὶ λέχος γαμήλιον.
Ορεξον ὦ μάκαιρα σὴν
Χεῖρα, καὶ πτερῶν ἐμῶν
Λαβοῦσα, συγχόρευσον.
Αἴρων δὲ κουφιῶ σ' ἐγώ.
Αλαλαὶ, ἰὴ παιών
Τήνελλα καλλίνικος ὦ
Δαιμόνων ὑπέρτατε.

VERSIO ALTERA ET CANTVS membrorum decem & octo.

CH. O Magnum aureum fulguris lumen,
O Iouis immortalis ensis ignifer,
Grauisonantia imbriferaq́; simul
Tonitrua, quibus hic nunc terram concutit,
B *Propter te omnibus dominans, &*
Consessilem reginam habere Iouis.
SE. Hymenae ô hymenae, ô
Sequimini nunc nuptias, ô
Tribus omnes simul pascentium
Alata in pauimentum Iouis,
Et lectum nuptialem.
Prabe ô beata tuam
Manum, & alas meas
C *Capiens, simul salta:*
Eleuans autem leuem faciam te ego.
Sed euge euge paon,
Euge pulcher in victoria ô
Felix supreme.

Σχόλια. Ω μέγα χρύσεον.] ἐκθέσις ἑτέρα μέλους χοροῦ εἰς δύο διῃρημένη περιόδους κώλων ιη. ὧν τῆς πρώτης περιόδου ἀναπαιστικὰ ς. πλὴν τοῦ γ καὶ τελευταίου ἀκαταλήκτων. τῆς δευτέρας κῶλα ιβ τὸ α' δακτυλικὸν τρίμετρον ἀκατάληκτον. τὰ β ς θ ια' ἰαμβικὰ καταληκτικὰ δίμετρα. τὰ γ δ ε' ζ ι ιβ τροχαϊκὰ ἑφθημιμερῆ. τὸ η ἰαμβικὸν ἑφθημιμερές. ἐπὶ τῷ τέλει κορωνὶς ἣ καὶ τὸ δρᾶμα περατοῦται. D

Bisetus. Αμβροτον ἔγχος] ἄμβροτος, ἄφθαρτος, θεῖος, ἀθάνατος.

Σχόλια. Αἷς ὅδε νῦν χθόνα σείει] ὁ Ζεὺς δηλονότι ἢ ὁ Πεισθέταιρος λαβὼν τὴν Βασιλείαν.

Bisetus. Πάρεδρον βασιλείαν] πάρεδρος, ἀρχή τις πολιτείας. Πολυδεύκης, Πάρεδροι δ' ὀνομάζονται, οὓς αἱρεῖται ἄρχων, καὶ βασιλεὺς, καὶ πολέμαρχος, δύο ἕκαστος, οὓς βούλεται. ἀλλὰ νῦν ἐπιθετικῶς λαμβάνεται, ἀντὶ τοῦ παρακαθήμενος, παραμένων, σύνθρονος. Βασιλεία δὲ παροξυτόνως κατὰ τὸν Σουίδαν λέγεται ἀρχὴ ἀνυπεύθυνος, τὸ ἀξίωμα, καὶ τὸ ἔθνος βασιλευόμενον. οἷον Περσῶν, Ινδῶν, Αράβων, ἢ ἄλλων τοιούτων. βασίλεια δὲ προπαροξυτόνως, ἡ τοῦ βασιλέως γυνὴ, ἡ βασιλὶς, ἰδίως, ἡ βασίλισσα, καὶ κατὰ Μένανδρον βασίλιννα. E

Σχόλια. Ορεξον ὦ μάκαιρα.] πρὸς τὴν βασιλείαν φησίν. εὐκαίρως δὲ τὴν κωμικὴν ὄρχησιν ποιεῖται. Καὶ πτερῶν ἐμῶν.] οἱ γὰρ ὄρνιθες πτεροῖς ἀντὶ χειρῶν ἐχρῶντο. F

Bisetus. Αλαλαὶ ἰὴ Παιών] ὁ Σουίδας ταῦτα λέγεσθαι χοροῦ ἐπιφώνημα. Εὐστάθιος. ἰὴ, ἐπιφώνημα λεγόμενον ἐν τόποις, ὅπου τὸ θεῖον τιμᾶται. ὅθεν τὸ ἰὴ παιάν. καὶ ἰὴ ἐπίρρημα ἐνθεαστικὸν ἐπιφωνούμενον τῷ Απόλλωνι, ἐν τῷ ἰὴ παιάν. καὶ ἰὴ παιάν, ἐπῳδός ἐστι τοῦ παιανικοῦ ὕμνου. Παιήων δὲ παρ' Ομήρῳ λέγεται ἐν τῷ, Καλὸν ἀείδοντες παιήονα. Ιλ. Α. καὶ κατὰ συστολὴν Παιάων, ὁ καὶ Παιὼν, Παιῶνος παρὰ τοῖς μεθ' Ομηρον ὕμνος εἰς Απόλλωνα, ὁ καὶ Παιὰν λεγόμενος. καὶ αὐτοῦ Απόλλωνος ἐπίθετόν ἐστιν, ὅθεν τὸ ῥῆμα παιωνίζειν, καὶ παιανίζειν, τὸ ᾄδειν παιᾶνι φοίβῳ ὕμνον παιᾶνα. ἀλαλαὶ δὲ, εἴπερ ἡ γραφὴ καλῶς ἔχει, ἀντὶ τοῦ ἀλαλὴ, ἢ δωρικῶς, ἀλαλά. ἐπίρρημα παρακελεύσεως, καὶ χαρᾶς φωνὴν σημαῖνον. καὶ τὸ ἀλαλάζειν, ἐπινικίως ἠχεῖν, ὥς φησιν Ησύχιος. καὶ ἀλαλαγμὸς ἐπινίκιος ὕμνος, ἢ εὔφημος βοή. σημείωσαι δὲ ταύτην τὴν λέξιν, ἀλαλαὶ, παρὰ τοῖς ἄλλοις ποιηταῖς ἐν χρήσει οὐκ οὖσαν. ἀλλὰ διὰ τί, καὶ πότε ταῦτα, ἰὴ Παιὰν, εἰς τὸν Απόλλωνα ὑμνεῖσθαι ἤρξατο, Καλλίμαχος οὕτω δηλοῖ,

Ιὴ, ἰὴ Παιῆον, ἀκούομεν, οὕνεκα τοῦτο
Δελφός τοι πρώτιστον ἐφύμνιον εὕρετο λαὸς,
Ημος ἑκηβολίην χρυσέων ἐπεδείκνυσο τόξων.
Πυθώ τοι κατιόντι συνήντετο δαιμόνιος θὴρ,
Αἰνὸς ὄφις, τὸν μὲν σὺ κατήναρες, ἄλλον ἐπ' ἄλλῳ
Βάλλων ὠκὺν ὀϊστὸν, ἐπηύτησε δὲ λαὸς
Ιὴ, ἰὴ Παιῆον, ἵει βέλος.

F Σχόλια. Τήνελλα.] τὸ τήνελλα μίμησίς ἐστι φωνῆς κρούματος αὐλοῦ ποιᾶς. ἀπὸ τοῦ ἐφυμνίου ὃ εἶπεν Αρχίλοχος εἰς τὸν Ηρακλέα μετὰ τὸν ἆθλον Αὐγέου,

Τήνελλα καλλίνικε χαῖρε ἄναξ Ηρακλεῦ.
Αὐτός τε καὶ Ιόλαος αἰχμητὰ δύω.

δοκεῖ δὲ πρῶτος Αρχίλοχος ἐν Πάρῳ νικήσας τὸν Δήμητρος ὕμνον ἑαυτῷ τοῦτο ἐπιπεφωνηκέναι.

Αριστοφάνους κωμῳδιῶν ἑπτὰ καὶ τῶν εἰς αὐτὰς σχολίων ἀρχαίοις συντεθέντων γραμματικοῖς, ἃ δὴ ἀποσάθρως ἐν ἀντιγράφοις κείμενα διαφόροις καὶ πεφυρμένως, συνείλεκταί τε καὶ ὡς οἷόν τ' ἦν ἐπιμελέστατα διώρθωται παρὰ Μάρκου Μουσούρου τοῦ Κρητός.

ΤΕΛΟΣ.

Finis.

ΕΙΡΗΝΗ

ΕΙΡΗΝΗΣ ΥΠΟΘΕΣΙΣ.

Ἤδη τῷ Πελοποννησιακῷ πολέμῳ κεκμηκότας τοὺς Ἀθηναίους καὶ τοὺς σύμπαντας Ἕλληνας Ἀριστοφάνης ἰδών, ἱκανὸς γὰρ διϊπτώκει πολεμούντων αὐτῶν χρόνος, τὸ δρᾶμα συνέγραψε τοῦτο, προτρέπων τὰς πόλεις, καταθέσθαι μὲν τὴν πρὸς ἀλλήλους φιλονεικίαν, ὁμόνοιαν δὲ καὶ εἰρήνην ἀντὶ τῆς προτέρας ἔχθρας ἑλέσθαι. παρεισάγει τοίνυν γεωργόν τινα Τρυγαῖον τοὔνομα, μάλιστα τῆς εἰρήνης ἀντιποιούμενον· ὃς ἀγανακτῶν ἐπὶ τῷ πολέμῳ, εἰς οὐρανὸν ἀνελθεῖν ἐβουλεύσατο πρὸς τὸν Δία πευσόμενος παρ' αὐτοῦ, δι' ἣν αἰτίαν οὕτως ἐκτρέχει τὰ τῶν Ἑλλήνων πράγματα τοῦτον ποιήσαντα πόλεμον αὐτοῖς. ὃν δὴ διαποροῦντα τίνα τρόπον τὴν εἰς οὐρανὸν πορείαν ποιήσοι, παρεισάγει τρέφοντα κάνθαρον ὡς ἀναπτησόμενον εἰς οὐρανὸν δι' αὐτοῦ, Βελλεροφόντου δίκην. προλογίζουσι δὲ οἱ δύο θεράποντες αὐτοῦ, οἷς καὶ ἐκτρέφειν προστέτακται τὸν κάνθαρον, δυσφοροῦντες ἐπὶ τοῖς αὐτοῦ σιτίοις. Ἡ δὲ σκηνὴ τοῦ δράματος ἐν μέρει μὲν ἐπὶ τῆς γῆς. ἐν μέρει δὲ ἐπὶ τοῦ οὐρανοῦ. ὁ δὲ χορὸς συνέστηκεν ἔκ τινων ἀνδρῶν Ἀττικῶν γεωργῶν.

ΑΛΛΩΣ.

Φέρεται ἐν ταῖς διδασκαλίαις, ὅτι καὶ ἑτέραν ἐδίδαξεν ὁμοίως Ἀριστοφάνης εἰρήνην. ἄδηλον οὖν φησὶν Ἐρατοσθένης, πότερον τὴν αὐτὴν ἀνεδίδαξεν, ἢ ἑτέραν καθῆκεν, ἥτις οὐ σώζεται. Κράτης μέντοι δύο οἶδε δράματα γράφων οὕτως. ἀλλ' οὖν γε ἐπὶ τοῖς Ἀχαρνεῦσιν ἢ Βαβυλωνίοις ἢ ἐν τῇ ἑτέρᾳ Εἰρήνῃ. καὶ σποράδην δέ τινα ποιήματα παρατίθεται, ἅπερ ἐν τῇ νῦν φερομένῃ οὐκ ἔστιν.

ΑΛΛΩΣ.

Τρυγαῖος ἀγροῖκος πρεσβύτης Ἀθήνησιν, ὀχούμενος ἐπὶ τοῦ κανθάρου, ὑπὲρ τῆς Ἑλλάδος εἰς τὸν οὐρανὸν ἀναφέρεται. γενόμενος δὲ κατὰ τὴν τοῦ Διὸς οἰκίαν, ἐντυγχάνει τῷ Ἑρμῇ, καὶ ἀκούει ὅτι μετῳκισμένων τῶν θεῶν εἰς τὰ τοῦ οὐρανοῦ ἀνώτατα διὰ τὴν τῶν Ἑλλήνων ἀλληλοκτονίαν, ἐνοικίσας ὁ πόλεμος εἰς ἄντρον τι τὴν εἰρήνην καὶ καθείρξας λίθοις ἐπεφόρησε, καὶ νῦν μέλλει τὰς πόλεις ἐμβαλὼν ἐν θυείᾳ τρίβειν. μέχρι μὲν οὖν τινος ἐπὶ ξυροῦ φασὶν ἀκμῆς εἶναι τὰ τῶν Ἑλλήνων κινδυνεῦσαι πράγματα· ἔπειτα μεταπεμπόμενος παρ' Ἀθηναίων τοῦ πολέμου δοίδυκα καὶ παρὰ Λακεδαιμονίων, κἀκείνων μὲν τὸν Κλέωνα, τῶν δὲ Λακεδαιμονίων ἐν Θρᾴκῃ τὸν Βρασίδαν ἀπολωλέναι φασκόντων, οὓς ὁ ποιητὴς ὡς κυκῶντας τὴν Ἑλλάδα δοίδυξιν εἴκασεν, ἔσω μὲν εἰσέρχεται δοίδυκα ποιήσων αὐτοχειρεί. ἐν τούτῳ δὲ μηχαναῖς τῶν περὶ Τρυγαῖον γεωργῶν τὴν εἰρήνην ἀνελκυσάντων, οὐκ ἄνευ τῆς Ἑρμοῦ συνεργίας, τῶν χειροτεχνῶν ὅσοι μὲν ἢ λόφους ἢ ἀσπίδας ἢ ἄλλο τι τῶν κατὰ πόλεμον χρησίμων κατασκευάζοντες διέζων, κατηφείᾳ συνείχοντο, τῶν ὅπλων ἤδη διὰ τὴν εἰρήνην γινομένων ἀχρείων. ὅσοι δὲ βίον εἶχον ἐκ τῶν εἰρηνικῶν ἀσκουμένων ἐπιτηδευμάτων, οἷον εἰπεῖν δρεπανουργοῖς, καὶ χαλκεῖς σμινυῶν, καὶ ὅλως γεωργοῖς, Τρυγαίῳ συγχαίροντες παραγίνονται. μεθ' οὗ κρεοσφαγήσαντες ὡς ἐπὶ δεῖπνον καὶ γάμον κωμάζουσιν.

ΦΛΩΡ. ΧΡΙΣΤΙΑΝΟΥ ΥΠΟΘΕΣΙΣ ΔΙ' ΙΑΜΒΩΝ.

Κλέων Ἀθηναῖός τε καὶ Βρασίδας Λάκων
Κυκῶντε πᾶσαν διὰ χρόνου τὴν Ἑλλάδα
Πόλεμον ἐνῶρσαν. δεινὰ δ' οὖν πεπονθότων
Δήμων, Τρυγαῖος ἀμπελουργὸς Ἀθμονεὺς
Ὤκτειρεν αὐτούς, καὶ λαβὼν τὸν κάνθαρον
Ἱππηδὸν ἐς τοὺς τοῦ Διὸς βαίνει δόμους,
Ζητῶν πρόσωπον καρπὸν Εἰρήνης θεᾶς,
Τὴν πόλεμος ἄντρον ἐν μυχοῖς ἐκρύψατο:
Ἑρμῇ πυλωρῷ δ' ἐντυχὼν ἕλκει θεὰν
Λαῷ ξυνεργῷ τῶν ἀγροίκων χρώμενος,
Ἁρμοῖ θανόντων Ἑλλάδος ταρακτόρων
Κλέωνι καὶ Βρασίδᾳ ὑπ' ἀλλήλων φόνῳ
Μόλις δ' Ἀθήνας τὴν δ' ἄγων κατήλυθε.

Vobis benignisq́ utier. velut Laco
Athenienses esse fortes fassus est,
Sed in tabella: Pace sic tantùm licet
Picta fruisci, quamq́ nolint Pictores.
Ergo in poësi siue pictura modò
Aucti eritis isto Pacis infortunio.
Pacem reapse quam putatis in malis
Dare nec potis sim, siue possim, non duim.
Qui seruat inuitum, quasi occidat facit:
Quòd si in duello sit salus, ô Pax vale.
Non sum poëta Pacis, at versor magis.
Quid rursus ora auertitis? non fecimus
Vorsuram, vt isti bella qui crepant nimis.
Irena Aristophani vetus Comœdia est,
FLORENS *recentat atq́ vortit barbarè:*
Hoc est Latinè quantum & vt potuit, neque
Vanos latratus assis istorum facit,
Qui docta in hisce vellicant conamina,
Nostrate lingua postulantes scribere,
Vt ne quod ipsis non adest & nesciunt
Nobis sit, etsi non abest quòd tantùm habent.
Vorsura vobis si placebit, plaudite,
Vel si nihil sapit vetusti, claudite.
Non acta non exacta certe fabula est.
Nec ciccum vt illa stet cadátve, interduim.
Placet hoc, in ipsis casibus laus publica est,
Tantum est, valete: Nolui hoc nescire vos.

ΤΑ ΤΟΥ ΔΡΑΜΑΤΟΣ πρόσωπα.	DRAMATIS *Personæ.*
Οἰκέτης.	Verna,
Ετερος οἰκέτης.	Alter verna,
Τρυγαῖος.	Trygæus,
Παῖδες Τρυγαίου.	Liberi tryg.
Ερμῆς.	Mercurius,
Πόλεμος.	Bellum,
Κυδοιμός.	tumultus,
Χορὸς γεωργῶν Αθηναίων.	Chorus agricol. Athmon,
Θεράπων Τρυγαίου.	Famulus trygæi,
Ιεροκλῆς.	Hierocles,
Δρεπανουργός.	Falcarius,
Λοφοποιός.	Cristarius,
Θωρακοπώλης.	Loricarius,
Σαλπιγγοποιός.	tubifex,
Κρανοπώλης.	Galearum propola,
Δορυξόος.	Hastarius,
Παῖς Λαμάχου.	Puer Lamachi,
Παῖς Κλεωνύμου.	Puer Cleonymi.

A

ΑΡΙΣΤΟΦΑΝΟΥΣ ΕΙΡΗΝΗ.

ARISTOPHANIS IRENA, vel PAX.

Ex versione Q. Sept. Florentis Christiani.

Ad quam accesserunt eiusdem obseruationes & castigationes in eãdem fabulam.

B

ΟΙΚΕΤΗΣ, ΕΤΕΡΟΣ ΟΙΚΕΤΗΣ.

Αἶρ' αἶρε μᾶζαν ὡς τάχιστα κανθάρῳ.
Ετ. Ἰδού. Οἰ. Δὸς αὐτῷ τῷ κάκιστ' ἀπολουμένῳ.
Ετ. Καὶ μήποτ' αὐτῆς μᾶζαν ἡδίω φάγοι.
Οἰ. Δὸς μᾶζαν ἑτέραν ἐξ ὀνίδων πεπλασμένην.
Ετ. Ἰδοὺ μάλ' αὖθις. Οἰ. Ποῦ γὰρ ἣν νυνδὴ 'φερες;
Οὐ κατέφαγεν; Ετ. Μὰ τὸν Δί', ἀλλ' ἐξαρπάσας
Ὅλην ἐνέκαψε περικυλίσας τοῖν ποδοῖν.
Οἰ. Ἀλλ' ὡς τάχιστα τρῖβε πολλὰς καὶ πυκνάς.
Ετ. Ἄνδρες κοπρολόγοι προσλάβεσθε πρὸς θεῶν,
Εἰ μή με βούλεσθ' ἀποπνιγέντα περιιδεῖν.
Οἰ. Ἑτέραν ἑτέραν δὸς παιδὸς ἡταιρηκότος.
Τετριμμένης γάρ φησιν ἐπιθυμεῖν. Ετ. Ἰδού.

VERNA, ALTER VERNA.

AGE numerò offer huic turundam Canthаro.
AL. *Ellam.* VE. *Ergo prabe perditè illi pessimo.*
C AL. *Nunquam turundam dulciorem edet quidem.*
VE. *Cedo alteram fictam ex asellistercore.*
AL. *En rursus.* VE. *An non belluauit alteram*
Quam modo ferebas? AL. *Imò per Iouem suis*
Pedibus reuoluens deuorauit integram.
VE. *Plenas crebrasq́; quàm citissimè tere.*
AL. *Vos sterquilinilega innoco, fite adiuui,*
D *Ni strangulandum habetis despicatui.*
VE. *Da consueti pusionis alteram,*
Nam cupere tritam dicit. ALT. *Eccillam: ô viri*

Σχόλια. Αἶρ' αἶρε.] ἡ εἴσθεσις τοῦ δράματος ἐξ ἰαμβείων τ' συνάφειαν ἐν μέτρῳ τριμέτρῳ μονόμετρον ἀκατάληκτον. ἐπὶ τῆς ἀποθέσει καὶ τῷ τέλει παράγραφος. δύο δέ εἰσιν οἰκέται ὧν ὁ μὲν τρίβει τὸν κάνθαρον. ὁ δὲ ἕτερος μάττει. ὁ τρίβων οὖν λέγει τῷ μάττοντι. Μᾶζαν.] μᾶζα κυρίως ἡ τροφὴ, ἡ ἀπὸ γάλακτος καὶ σίτου παρὰ τὸ μάττεσθαι. προσφερομένας τούτῳ δὲ καταχρηστικῶς ἐστὶ οὐ τὴν ἐξ ἀλφίτων φυραθεῖσαν. ἀλλὰ τὸ ἀποπάτημα λέγει. πίτυρα δέ τινα ῥυπαρὰ μάττουσιν οἱ οἰκέται. κόπρον γὰρ φυρᾶν, ἀδύνατον.

CHR. Αἶρ' αἶρε μᾶζαν.] Duos inducit famulos vel potius vernas, quorum alter Scarabæo prębet, alter præparat τὰς ὀνίδας pro cibo: proprius enim huic animalculo cibus, stercus est asininum, & inde nomen indeptum est, παρὰ τ κάνθωνα, qui asinus, & ὄρος vel θορὸν quod est σπέρμα, vnde θορίζειν seminare vel generare, quod Æschulus Amymona dixit θρώσκειν. Nam & nascitur & viuit è stercore, vt meritò κοπρεῖον vocauerit Hippocrates. Est autem insecti genus non grandius Tipulla quam τίφην vel σίλφην faciunt. Dixit αἴρειν pro προσφέρειν. vt & inferiùs. Nam alias contrarium habet sensum, & est ἀφαιρεῖσθαι. Cæterùm qui versum hunc inter prouerbia recensuerũt, næ illi prouerbiorum nomine verba omnia & sententias comprehendunt. Μᾶζαν.] Pinsere solent farinas, quod μάττειν & φυρᾶσαι vocant, vnde μᾶζα quæ propriè offa est vel cibus ex lacte & frugibus, vt offa illa quæ apud Maronem Cerbero paratur. Hesychius farinam vult esse mixtam & subactam aqua & oleo. Galenus in de Alimentis postponit μᾶζαν pani ordeaceo, eáque multum habere πιτυρώδες & κοπρώδες significat, & ab Athieniensibus dictam esse τελετὴν, quo modo vocauit Praxagoras Philotimi præceptor. Turundam vertendum putaui

E

quæ à terendo dicta, & qua ratione olim merendam & præbendam dicebant: Quod ita etiam visum esse Magno Scaligero in Notis ad Varronem de re Rustica magnopere gaudeo. Sed quòd apud Varronem doctissimus Tornebus rutundam legebat, hic locum fortassis habeat quia rutundæ istæ turundæ. Abusiuè autem vocat μᾶζαν τὸ ἀποπάτημα Pinsi enim stercus credibile non est.

F

Σχόλια. Ὡς τάχιστα.] ἡ τάχος. ἡ διὰ ταχίως. κάνθαρος δὲ εἶδος ζώου παρὰ τὰς τέφρας τὸ μέγεθος. Ἰδού.] παρεπιγραφή. ὁ γὰρ ἕτερος τῶν οἰκετῶν, τὸ σκευασθὲν πάλιν αὐτῷ παραφέρει καὶ ἐπιδίδουσι τροφήν. Τῷ κάκιστ' ἀπολουμένῳ.] ἀπεχθάνεται τὸν κάνθαρον διὰ τὸ ἅπτεσθαι τῆς κόπρου. Μήποτ' αὐτῆς μᾶζαν.] πρὸς τὸ μυθούμενον ἔπαιξεν. οὐ γὰρ ὄντως ἤσθιεν. Ἐξ ὀνίδων.] ὡς ἐπιτηδείους γὰρ πεπλασμένας εἰσάγεται τὰ τῶν ὄνων ἀποπατήματα.

BISETUS. Σ. ὀνίδες, τὰ τῶν ὄνων ἀποπατήματα. ὀνίδια ἐστὶ τοῦ ἵππου τὸ ἀφόδευμα.

G

Σχόλια. Ἣν νυνδὴ 'φερες.] οὕτως Ἀττικοὶ ἀντὶ τοῦ ἀρτίως. ἐν ἐρωτήσει δέ. ἐκεῖνον γὰρ αἰτήσαντος μᾶζαν ἑτέραν, φησὶν αὐτός. ἣν γὰρ νυνὶ προσέφερες οὐ κατέφαγεν; ἄλλο δὲ φαγεῖν. καὶ ἄλλο καταφαγεῖν. φαγεῖν μὲν γὰρ τὸ τάξει. καταφαγεῖν ἐστὶ τὸ ἀθρόως. τὸ οὖν ἀδηφάγον τοῦ ζώου δεικνὺς λέγει. Περικυλίσας.] περικυλίσας καὶ περι-

ουελ-

συνείλας. ἔθος δὲ τοῖς κανθάροις, τὰς ὀνίδας περικυλίειν. λέγεται δὲ ὁ κάνθαρος εἰς ὄνθον ἀποσπερματίζειν καὶ οὕτω περισφαιροῦν τοῖς ποσὶν, ὡς ἂν τὸ σπέρμα ἐγγυμνασθὲν, ἀποτεθὲν τε ἐγγεννήσῃ. θῆλυς γὰρ κάνθαρος οὐ γίνεται, ἀλλὰ πάντες ἄῤῥενες. Τοῖν ποδοῖν.] πρὸς τὴν τάξιν τῶν ποδῶν ἀκολούθως τὸ δυϊκόν. Κοπρολόγοι.] τοῦτο δὲ πρὸς τοὺς ῥήτορας ἀποτείνεται, διαβάλλων αὐτοὺς ὡς μυσαροὺς καὶ λοιδόρους, ἢ τοὺς συνεργοὺς τῶν ὁμοδούλων εἰς ἐπικουρίαν καλεῖ. Προσλάβεσθε] βοηθήσατε. ἐπεῖχε γὰρ τῇ μιᾷ τὴν ῥῖνα, τῇ δὲ ἑτέρᾳ μάττει. ζητεῖ οὖν τοὺς διαδεξομένους. Αποπνιγῶμαι] ἀποκλειομένων τῶν ῥινῶν τῇ θλίψει τῶν δακτύλων, ἀνάγκη στενοχωρουμένου τοῦ πνεύματος, πνίγεσθαι αὐτόν. Ετέραν ἑτέραν] οἱ Αττικοὶ καὶ ἐπὶ πολλῶν λέγουσι, ἑτέραν. ἡμεῖς δὲ ἐπὶ δευτέρας μόνης. ἐπὶ τρίτης οὖν ἑτέραν εἶπεν. ὅλως δὲ ἡ τετηρημένη ἐπί τε τοῦ ἑτέρου καὶ ἄλλου διαφορὰ παρ' Αττικοῖς οὐκ ἔστιν. Ηταιρηκότος] ὅτι ἐκείνων δοκεῖ ὁ κόπρος τετρῖφθαι ὡς ἡταιρηκότων. ἐκ δὲ τοῦ ἑτοίμως προσενεγκεῖν, διαβάλλει τοὺς Αθηναίους, ὡς καὶ ποιοῦντας τὰ τοιαῦτα καὶ πάσχοντας.

BISETVS. Εταιρεῖν, δ', ἐπὶ συνουσίαις μισθαρνεῖν, ὡς Αθήναιος βιβλίῳ ιγ. λέγει. καὶ ἡταιρηκέναι, μεμισθαρνηκέναι ἐπὶ τῷ σώματι, ἢ πεπορνευκέναι. ὅθεν ἡταιρηκὼς, ὁ τὸ σῶμα τὸ ἑαυτοῦ ἐφ' ὕβριν πεπρακώς.

CHR. Ηι νυνὶ δὴ 'φερες.] Attico interrogandi more νυνὶ dixit pro ἀρτίως. καταφαγεῖν autem est heluonum more deuorare (vnde καταφαγᾶς heluo) non simpliciter ἐσθίειν, sed ἀγρίως, & confertim, vt indicet voracissimum esse animalculum. sed quod sequitur ἐγκάψας, videtur esse ita auidè vorare vt sorbere videaris. Vsus est Alexis Comicus in lebete, ὁ δ' ἐγκάψας τὸ κέρμ' εἰς τὴν γνάθον. sanè κάπτειν antiquis est edere, & κάπη dictum præsepe quia inde cibum sumant iumenta. Hinc βουκάπαι boum præsepia, & καπάνη κτηνῶν τροφὴ, ne putemus κάπηλον dictum à vino, sed à cibo. Teleclides etiam dixit, ὦ δέσποθ' ἡμῶν κάπτε τῶν θυλημάτων. Quid si inde Capere nostrum. Inde

A verò compositum ἐγκάπτειν, id est, exedere, vt dictum de Moreto: Tute tibi intriti tibi exedendendum est. Ab ea mente ἔγκαφος est ἐλάχιστον ψωμίον, quasi quod plenè edendo non sufficiat. Fortassis autem κάπτειν dictum per contractionem τοῦ καταφαγεῖν. sed miror quod Sudas ἐγκαμψά exponit ἐμπιοῦσα, nisi legis ἐξέπιεν. Nam Hesychium τὸ ἐγκάπτειν scribentem esse ἐκπιεῖν, potius audio, cùm κάπος sit eodem auctore πνεῦμα, & in
B sorbendo flatu opus sit. Videndum etiam apud Athenæum libro 9. doctorum Conuiuarum, cùm Porphyrionem ait ἐκάπτοντα πίνειν, num κάπτοντα potiùs legendum. Nam Plinius scripsit solum eum morsu bibere, neque enim audio Gesnerum qui legit δάκνοντα. Κοπρολόγοι.] Videtur, inquit Glossographus Græcus, hæc oratio respicere Rhetoras quos vt sordidos & spurcidicos notat, aut cooperarios conseruos aduocare in auxilium. Nã cùm manu altera nares premat, altera intritum illud non alliatum faciat, quærit eos qui stercori-
C bus consueti sunt olfaciendis. Ετέραν] Vt Latinè alter de duobus, sic ἕτερος Græcè vulgò dicitur. Hic tamen de pluribus Attico more, neque obseruata communi differentia. Quòd autem ait ἡταιρηκότος, non est consulendus Apollo Pythius super vocis huius interpretatione, quæ ἐπὶ πορνείας ferè semper vsurpatur, vnde ἑταίρα. Latini verò consuetos vel flagitatos vocant τὰ παιδικά. sic postea Ganymedis oletum vocat Ambrosiam. vi-
D detur autem poeta noster insimulare Athenienses huius nefandæ libidinis quam soleant & patrare & pati. Imo arbitror rusticatim hic tangi quendam, (cleonem puta) quem scarabæi similem faciat Aristophanes, & qui stercoris triti consuetudine fructum, vt ait ille, fullonium incitet. Nam Canthari pedibus conuoluentes τὰς ὀνίδας ἀποσπερματίζουσι.

Ενός μὲν ἀνδρὸς ἀπολελύσθαί μοι δοκῶ.
Οὐδεὶς γὰρ ἂν φαίη με μάττοντ' ἐσθίειν.
Οι. Αἰβοῖ. φέρ' ἄλλην. χἀτέραν μοι χἀτέραν,
Καὶ τρῖβ' ἑτέρας γε. Ετ. Μὰ τὸν Απόλλω 'γὼ μὲν οὔ.
Οὐ γὰρ ἔθ' οἷός τ' εἰμὶ 'περιέχειν τῆς ἀντλίας.
Αὐτὴν ἄρ' οἴσω περιλαβὼν τὴν ἀντλίαν.
Οι. Νὴ τὸν Δί' ἐς κόρακάς γε, καὶ σαυτόν γε πρός.

Lucro apposisse spero saltem hoc vnicum,
E *Intrita quòd me exesse nullus autumet.*
VER. vah fer aliam atque aliam atque rursus mihi aliam,
Aliasq; rursus intere. ALT. Haud ego pol quidem
sentina odorem ferre non vltra queo:
Sed vase sumpto nunc & illam deferam.
F *VER. Apage, directè hinc, abi in malam crucem.*

Σχόλια. Ενὸς μὲν ἀνδρὸς ἀπολελύσθαι.] τοῦ τρίβειν καὶ φυρᾶν τὴν κόπρον. ἐκ ἑτέρου φησὶ δὲ τὸ μὴ ἴσως χλεύζειν ὅτι τοιαύτης κόπρου ἐπὶ τῶν ἡταιρηκότων κόπρου. Οὐδεὶς φαίη.] οὐ γὰρ ἄν τις ὑποπτεύσειε δῆθεν τὸ φύρειν ἐμὲ, ἤδη καὶ τὴν κόπρον ἐσθίειν. οὐδένα γὰρ πιστεύσειν οἴομαι ὅτι ἐπιμάττων καὶ φυρῶν, ἤδη καὶ ἐσθίω. εἰώθασι γὰρ ἅμα τῷ μάττειν, ἐσθίειν.

CHR. Χ' ἁτέραν.] Post ἄλλην dixit καὶ ἑτέραν pro καὶ ἄλλην, quod, vt diximus, Atticum est. Notandum est autem antiquos tres tantum numeros præcipuos habuisse, ἓν, δύο, τρία, postea dixisse χ' ἅτερον pro καὶ ἕτερον, vnde Latinum quatuor, & quinque καὶ ἓν καί. Hæc ego iamdudum didici à magno Dictatore Iulio Cæsare ex eius libris de Caussis linguæ Latinæ, & mihi visus dixisse nobilissimus senex, I puer atque tuo citus hæc subscribe libello. Sed & hoc addam, vocem Latinam cætera, detortam videri à Græco χ' ἅτερα.

Σχόλια. Περιέχειν.] ἀντὶ τοῦ ἀντέχειν καὶ ὑπερέχειν τῆς ὀσμῆς. ἀπὸ μεταφορᾶς τῶν πλοίων, οἷς προσφέρεται ἡ ἀντλία. καὶ τὸ ἀγγεῖον. ἢ λέγει ἐν ᾧ τρίβει. ἀντλία δὲ ἡ τοῦ πλοίου ὑπορροή. καὶ Πισίδης. ἐκ τῶν ἰχώρων τὰς δυσώδεις ἀντλίας.
G CHR. Περιέχειν τῆς ἀντλίας.] Ferre, inquit, nequeo odorem, translatione à nauigiis pondere aquarum gemẽtibus sumpta, & eorum sentina quæ dici haustrum potest. sic enim vas illud vocat in quo terit pinsitque τὸ ἀποπάτημα. sunt autem graueolentes ἀντλίαι vel ex Pisida, ἐκ τῶν ἰχώρων δυσώδεις ἀντλίας, citante Suda.

Ετ. Υμῶν δέ γ' εἴτις οἶδ' ἐμοὶ κατειπάτω, A

Πόθεν ἂν πριαίμην ῥῖνα μὴ τετρημένην.
Οὐδὲν γὰρ ἔργον ἦν ἄρ' ἀθλιώτερον,
Η κανθάρῳ μάττοντα παρέχειν ἐσθίειν.
Υς μὲν γὰρ ὥσπερ ἂν χέσῃ τις, ἢ κύων,
Φαύλως ἐρείδει. τοῦτο δ' ὑπὸ φρονήματος
Βρενθύεταί τε καὶ φαγεῖν οὐκ ἀξιοῖ,
Ην μὴ παραθῶ τρίψας δι' ἡμέρας ὅλης,
Ωσπερ γυναικὶ γογγύλην μεμαγμένην.
Αλλ' εἰ πέπαυται τῆς ἐδωδῆς, σκέψομαι,
Τηδὶ παροίξας τῆς θύρας, ἵνα μή μ' ἴδῃ.
Ερειδε, μὴ παύσαιο μήποτ' ἐσθίων
Τέως, ἕως σαυτὸν λάθῃς διαρραγείς.
Οἷον δὲ κύψας ὁ κατάρατος ἐσθίει,
Ωσπερ παλαιστὴς παραβαλὼν τοὺς γομφίους.
Καὶ ταῦτα τὴν κεφαλήν τε καὶ τὼ χεῖρέ πως
Ωδὶ περιάγων, ὥσπερ οἱ τὰ σχοινία C
Τὰ παχέα συμβάλλοντες εἰς τὰς ὁλκάδας.
Μιαρὸν τὸ χρῆμα καὶ κάκοσμον καὶ βορόν.
Χ' ὤτου ποτ' ἐστὶ δαιμόνων ἡ προσβολή
Οι. Οὐκ οἶδ'. Αφροδίτης μὲν γὰρ οὔ μοι φαίνεται,
Οὐ μὴν Χαρίτων γε. τοῦ γάρ ἐστ'; οὐκ οἶδ' ὅπως
Τοῦ τ' ἐστι τὸ τέρας οὐ Διὸς καταιβάτου. D

AL. Potis ne vestrum est indicare quispiam,
Quanti haud vacinas prastinem ades narium,
Namque esse nullum censeo infelicius,
Quàm terere qua mox Cantharus voret rapax.
Iam sus canísue quale stercus egeras
Statim expedibit: Hic nimis superbiens
B *Altùm sapit, nec postulat se mandere,*
Ni trita totam per diem apposuero
Velut subactam feminis rapam solent.
Sed aucupabo num famem compresserit
Forem recludam paululùm, ne videris.
Incumbe naviter esui, nec desine
Disruptus vsq; donicùm fefelleris.
En exsecrandus quale cernuans vorat,
Laxans molares ceu solet quinquertio:
Ad hæc capútque motat & versat manus,
C *Velut rudentum & funium serilia*
Qui crassa torquent ad rates onerarias.
Vorax, scelestum, putidum spectaculum:
Quis hoc deorum iratus inuexit malum?
VER. Nescio, neque esse Veneris apparet dea
Nec Gratiarum, tale mirum ni fuat
D *Monstrum expiandum prorsus Eliciÿ Iouis.*

Σχόλια. Υμῶν δέ γ' εἴτις.] πρὸς τοὺς ἀκροατὰς τὸν λόγον ὁ ποιητὴς ἄγαν εὐφυῶς ποιεῖται. Μὴ τετρημένην.] διὰ τὸ μὴ ὀσφραίνεσθαι τῆς κόπρου τῶν μυκτήρων ἀποκλειομένων. Ωσπερ ἂν χέσῃ τίς.] ἄνθρωπος δηλονότι. ὥσπερ ἂν χέσῃ τις φησιν, οὕτως ἐσθίει τό, τε ἀποπάτημα καὶ ὗς καὶ κύων, μὴ δεόμενοι τοῦ μάττεσθαι. Φαύλως ἐρείδει.] συντόνως ἐσθίει. οὕτω γάρ φασιν οἱ Αττικοὶ πᾶν ὁτιοῦν σύντονως γινόμενον. ἡ δὲ μεταφορὰ ἀπὸ τῶν ἐρεσσόντων, καὶ ὑπερειδομένων ταῖς κώπαις. τὸ δὲ βρενθύεται, ἀντὶ τοῦ μέγα φρονεῖ.

BISETVS. Βρενθύεσθαι, ὥς φησιν Εὐστάθιος, κατατρυφᾶν ἀλαζονικῶς. παρὰ τὸ βρένθος, ὃ τὴν ὑπερηφανίαν, καὶ ἀλαζονείαν σημαίνει.

CHR. Φαύλως ἐρείδει.] Quod Latini miserè, id est, valdè, φαύλως dixit. Scholiastes Græcus exponit συντόμως. Sed si vehementiam vox illa indicat συντόνως potius legerem apud illum Scholiastem. Nam & sic puto Euripidem de Polyphemo Cyclope dixisse φαγεῖν ῥυθμῷ τινί. Neque sudas id negare videtur, qui ait ἐρείδειν apud Atticos dici cùm aliquid magno nisu & vehementia fit. Aliàs φαῦλον apud Græcos multa significat. Nam & rude & impolitum sæpè, & μοχθηρὸν & magnum, vt sophocles in captiueis, εἰ μικρὸς ὢν τὰ φαῦλα νικήσας ἔχω. Quin contrà pro paruo, vili & abiecto. Demosthenes contra Cononem, φαύλας πληγὰς dixit. Est etiam ῥᾴδιον εὔκολον & εὔχερὲς, qua notione hic accipi potest, vt & idem comicus dixit οὔθ' ἂν φαύλως ἐκβάλοις τὴν ἔνθεσιν. id est, facilè & sine nisu aut labore. Est ergo hic φαύλως ἐρείδει, quod aliter dixerimus ἁπλῶς καὶ ἀπεριέργως μάττεται. est autem Metaphora à remigantibus qui remis innituntur. Itaque siue συντόμως siue συντόνως exponas τὸ φαύλως, nihil interest. Nam vel statim & facilè erit, vel σφόδρα & πάνυ. Hesychius emendandus ἔρειδε, συντόμως ἐσθιε, lege ἔσθιε, neque dubito quin respexerit ille Grammaticus ad ea quæ sequuntur, ἔρειδε μὴ παύσαιο. Sed & sudas ipsum ἐρείδειν dicit esse συντόνως ἐσθίειν. Suspicor ergo alludere Aristophanem per verbum ἐρείδειν (quod etiam est συνουσιάζειν) ad nefandam libidinem, & notari incestos mores Cleonis, de quo in- E ferius plura. Τοῦτο δ' ὑπό.] Pro τοῦτο legendum putabam οὗτος ὑπὸ, vt ad Scarabeũ referatur. Quod autem ait βρενθύεται, intolerandam superbiam & arrogantiam Cleonis notat, quem præterea Scarabęum facit & παιδεραστήν. Sic in Nubibus hoc verbi vsurpat de socrate, βρενθύεσαι ἐν ταῖς ὁδοῖς, quod citatur etiam à Laertio.

Σχ. Ωσπερ γυναικὶ γογγύλην.] αἱ γὰρ γυναῖκες, ἵνα μὴ δοκῶσι πολυφάγοι εἶναι, ἐκ τῆς πυκνότητος τῆς μάζης μικρᾶς εἶναι δοκούσης ὀλιγοφαγίας δόξαν ἐμφαίνουσι, στρογ- F γύλας ποιοῦσι τὰς μάζας ὡς γογγύλας, αἵ εἰσιν εἶδος λαχάνου. τὸ γογγυλίζειν τὸ μεταστρέφειν. ἔστι δὲ καὶ γογγύλος λίθος. Αλλ' εἰ πέπαυται] εἰ ἐπαύσατο δηλονότι κορεσθεὶς ὤν, αὐτός. Παροίξας] ἠρέμα ἀνοίξας τὴν θύραν. ὥστε ἰδεῖν μὲν τὰ ὑπ' αὐτοῦ πραττόμενα. μὴ ὁραθῆναι δὲ ὑπ' αὐτοῦ. ἀνοίγει δὲ ἠρέμα, καὶ βλέπει εἴτε ἐσθίει, εἴτε πέπαυται.

CHR. Γογγύλην μεμαγμένην] Mulieres enim, ne videãtur edaciores, turũdas rotũdas faciunt instar raparũ, quæ quia rotũdæ γογγύλαι & στρογγύλαι di- G cũtur, vnde γογγυλίδες Theophrasto, & verbum γογγυλίζειν quod est μεταστρέφειν, vt in Θεσμοφοριαζούσαις ait γογγυλίσας καὶ συστρέψας τουτὶ τὸ πέος. Apud Hesych. in multis optimũ Grãmaticũ vsurpatur pro γογγύζειν & γρυλίζειν, i. grunnire, nisi codices sunt mendosi. Nam putem legendum γογγρυλίζειν pro γογγυλίζειν. Quorsum enim rotũditas ad grunnitũ?

BISET.

BISETUS. Ἐρείδειν] ἐρείδειν μεταφορικῶς, οὐχ ἁπλῶς τὸ ἐσθίειν, ἀλλὰ τὸ συντόνως, καὶ μεθ' ὁρμῆς, καὶ βίας, καὶ μεγάλης ἐπιθυμίας ἐσθίειν. ἀπὸ τῶν ἐρειδόντων, καὶ ὑπερειδομένων τὰς κώπας. καὶ ἐρείδειν φασὶν οἱ Ἀττικοὶ πᾶν τὸ συντόνως γινόμενον. Σουίδας. ἀλλαχοῦ δὲ τὸ πρὸς ἰσχὺν ἀντιβαίνειν, καὶ ἀνθίστασθαι, καὶ ὠθεῖν. καὶ τὸ στοιβάζειν. καὶ τὸ ἑδραιοῦν. παρὰ δὲ τοῖς Κωμικοῖς, ἐρείδειν γυναῖκα, ἀντὶ τοῦ βινεῖν, ὁμωνύμως λαμβάνεται. Εὐστάθιος.

Σχόλια. Οἷον δὲ κύψας.] διὰ τοῦ σχήματος τὴν ἀδηφαγίαν αὐτοῦ δηλοῖ. Ὥσπερ παλαιστής.] διὰ τὸ τοὺς παλαιστὰς μιμεῖσθαι διαιρουμένους ἐν τῷ κυλίειν τὴν κόπρον. παραβαλὼν δὲ ἀντὶ τοῦ χαλάσας τοὺς προσθίους ὀδόντας. Ὥσπερ οἱ τὰ χοινία.] οὕτως φησὶν κινούμενος, ὥσπερ οἱ τὰ μεγάλα χοινία ἐργαζόμενοι τῶν πλοίων ὅλῳ τῷ σώματι καὶ δυνάμει ἐργάζονται. Συμβάλλοντες] συμπλέκοντες, τούτους δὲ ἐκάλουν καὶ χοινιοσυμβόλους. καὶ κάκοσμον. δικαίως τὰ τοιαῦτα ἐσθιόμενα, κάκοσμά ἐστι. χὤτου ποτ' ἐστίν. ἐπεὶ ἕκαστον τῶν ὀρνίων ἀνάκειται θεῶν τινὶ, ὡς αἰετὸς τῷ Διΐ, τίνος ἂν εἴη ἐστίν. οὐκ ἔστιν οὖν τῆς Ἀφροδίτης φησίν. ἐπεὶ αὕτη μὲν μύροις χαίρει, ὁ δὲ δυσώδης ἐστί. Προσβολή.] ἡ ζημία ἡ τοῦ δαίμονος ὀργή. σεμνὸν δὲ τὸ εἰπεῖν ζῶον. ζημίαν εἶπε καταρώμενος ἑαυτῷ. Διὸς καταιβάτου.] καταιβάτης τιμᾶται Ζεὺς, διὰ τὸ καταιβάζειν τοὺς κεραυνούς. ἢ ἀπὸ τοῦ καταβαίνειν δι' ἔρωτα τῶν γυναικῶν. παίζει δὲ καταιβάτην καλῶν, ἐπεὶ κόπροις τρέφεται ὁ κάνθαρος.

CHR. Παραβαλὼν τοὺς γομφίους.] Laxans anteriores dentes: Non vulgare est in hoc significatu hoc verbum. Sed ex veteribus Grammaticis

A docemur παραβάλλεσθαι esse παύεσθαι, translatúmque esse à remis. Ait enim Suidas παραβαλεῖν esse remum laxare: paulò post ne discedat à metaphora dixit συμβάλλοντες & προσβολὴ, vbi συμβάλλειν est connectere, & qui funes illos nectebant dicti sunt χοινιοσύμβολοι. Omnino innuit corporis incuruationem quam pandiculationem possumus vocare. Sic συμβαλεῖν ἔπη κακὰ dixit Sophocles pro λοιδορεῖν, quia verba conseruntur, imò differuntur & mutantur. At verò προσβολὴν dixit pro
B pœna vel dira dearum ira & verè ζημίᾳ. Nam & antiquum prouerbium habemus (puta ὀνειροκριτικὸν) quod sic habet, κόπρῳ καθεσθεὶς ζημίας ἕξεις τρόπους. Sanè mihi videtur respexisse ad illud παλαιστὴς παραβαλὼν, est enim προσβολὴ athletarum iunctura & cohæsio. Χ' ὅτου ποτ' ἐστὶ] Malè hæc distincta sunt, illud enim, ὡς οἶδα quod sequitur, distinguendum ὑποστιγμῇ & ad priora referendum, vt dicat: Neque scio quis deorum nobis hoc monstri inuexit, Neq; enim Veneris est aut Gra-
C tiarum. Itaque verba hæc adhuc sunt, alterius famuli, quæ continuanda etiam videntur ad illa vsque, ἐγὼ δὲ τὸν λόγον. Διὸς καταιβάτου] Iupiter καταιβάτης & descensor indigitabatur, siue quia fulmina de cęlo in terras mittat, siue quia descendat in amores mulierum. Fuit autem ara dicata Ioui καταιβάτῃ, teste Pausania in Eliacis prioribus. Romulus Amazæus Elicium vertit. Sanè ludit poeta in voce καταιβάτου propter Scarabęum qui infimis simis & spurcis oletis vescitur.
D

Ετ. Οὐκοῦν ἂν ἤδη τῶν θεατῶν τις λέγοι
Νεανίας δοκησίσοφος, τὸ δὲ πρᾶγμα τί;
Ὁ κάνθαρος δὲ πρὸς τί; κᾆτ' αὐτῷ γ' ἀνὴρ
Ἰωνικός τις φησὶ παρακαθήμενος,
Δοκέω μὲν ἐς Κλέωνα τοῦτ' αἰνίττεται,
Ὡς κεῖνος ἀναιδέως τὴν σπατίλην ἐσθίει.
Ἀλλ' εἰσιὼν τῷ κανθάρῳ δώσω πιεῖν.
Οι. Ἐγὼ δὲ τὸν λόγον γε τοῖσι παιδίοις,
Καὶ τοῖσιν ἀνδρίοισι, καὶ τοῖς ἀνδράσι,
Καὶ τοῖς ὑπὲρ τούτοισιν ἀνδράσι φράσω.
Καὶ τοῖς ὑπερηνορέουσιν ἔτι τούτοις μάλα.
Ὁ δεσπότης μου μαίνεται καινὸν τρόπον,
Οὐχ ὅνπερ ὑμεῖς, ἀλλ' ἕτερον καινὸν πάνυ.
Δι' ἡμέρας γὰρ εἰς τὸν οὐρανὸν βλέπων,
Ὡδὶ κεχηνὼς, λοιδορεῖται τῷ Διΐ.
Καί φησιν, ὦ Ζεῦ, τί ποτε βουλεύει ποιεῖν.
Κατάθου τὸ κόρημα, μὴ κόρει τὴν Ἑλλάδα.
Ἔα ἔα,
Σιγήσαθ' ὡς φωνῆς ἀκούειν μοι δοκῶ.

ALT. *Hoc nempe si quis spectet adolescentulus*
Et falsi sapiens, inquiet, Quid hoc rei est?
Quorsum iste Scarabæus? dein vir suggeret
Assessor illi tale quiddam Ionicus,
Hoc in Cleonem ritè coniectum reor,
Vt qui impudenter vesceretur stercore.
E *Sed introibo & Cantharo potum dabo.*
VER. *Ego verò homullis pumilis puellulis*
Virisq́; & aliis grandioribus viris,
Adultioribusq́; sermonem volo
Conserere: Herus solennia insanit meus,
Non more vestro, verùm inaudito & nouo.
Namq; ore hianti interdiu cælum tuens
Incusat vsq; & pipulo differt Iouem.
F *Atque, Quid molire: scopas Iuppiter*
Depone, & auffer Græciam peruertere.
Manete vos,
Tacete, vocem audire visus sum mihi.

Σχόλια. Οὐκοῦν ἂν εἴδη τῶν θεατῶν.] ἐνταῦθα θέλων τὴν ὑπόθεσιν δηλῶσαι, σκώπτει τοὺς Ἀθηναίους ὡς φιλοκερδεῖς καὶ φιλοδίκους καὶ φιλολοιδόρους. φύσει γὰρ πάντως εἷς τῶν θεωμένων βλέπων τὸν κάνθαρον πρὸς τί τὸν κάνθαρον πεποίηκεν Ἀριστοφάνης. εἶτα ἄλλως ἐλλόγιμος ὁ σκώπτων εἴη, λέγει πάντως τὸν Κλέωνα θέλει σκῶψαι ὁμοίως ὄζοντα αὐτῷ. ταῦτα δὲ λέγει τοὺς θεατὰς διαλέγεσθαι πρὸς ἀλλήλους πρὶν μαθεῖν τὴν ὑπόθεσιν. ἰστέον δὲ, ὡς βυρσοπώλης ἦν ὁ Κλέων, αἱ δὲ βύρσαι δυσώδεις. Τὴν σπατίλην ἐσθίει.] ἀντὶ τοῦ ἤσθιεν. ἀποθανὼν γὰρ ἦν ὁ Κλέων. σπατίλη δὲ, ἡ ἀνθρωπίνη κόπρος. ἢ τὸ ἀπόξυσμα τῶν βυρσῶν τὸ μακρὸν, ὃ ἐκβάλλεται ὑπὸ τῶν σκυτέων. Οὐχ ὅνπερ ὑμεῖς] διαβάλλει αὐτοὺς ὡς μαινομένους μανίαν δικανικήν. Τὸ κόρημα] τὸ κόσμητρον. τὸ σάρον. ᾧ εἰώθασιν ἀποκαθαίρειν τοὺς ῥύπους τῶν οἴκων. τὸ δὲ μὴ κόρει, ἀντὶ τοῦ ἔρημον οἰκητόρων μὴ ποίει διὰ τὸν πόλεμον.

G CHR. Οὐκοῦν ἂν εἴδη.] Hic habes Protasin. Nam accingit se ad narrationem, sed interim notat Athenienses tanquam auaros, litigiosos & derisores, & occurrit obiectioni quam fingit fieri à spectatoribus, inter quos iuuenes insimulat arrogantiæ & δοκησισοφίας. Eò tamen properat semper vt Cleonem quem Attico melle (quod est λοιδορεῖν) perlinit, non à se, sed à quibusuis potius ac-

stendat vituperari. Profecto mira est huius Comici in fabulis suis Oeconomia. Ἰωνικός τις.] Ionicum dixit non pro Græco solùm, sed Atheniense, qualis erat Cleon. Sic apud Thucydidem (principem historicum in orationis structura qui bellũ Peloponnesiacum verè, vt puto depinxit, Demegorias fortassis finxit) lib. 5. ait Brasidas Græcorum ille alter pistillus ad Lacedæmonios, καὶ ὅτι Δωριεῖς μέλλετε Ἴωσι μάχεσθαι. id est, Atheniensibus. Τὴν βυρσίνην ἰσθίει.] Putat Scholiastes ἐσθίει dictum pro ἤσθιεν, quia tunc cùm hęc scriberet Aristophanes mortuus erat Cleon, vt apparet ex sequentibus. Neque sanè noua est hæc temporis mutatio apud poetas, præsertim quum sæpè vt & apud Æschulum videas ἀναχρονισμούς, quæ non sunt errata memoriæ, sed præcepta Oeconomiæ. At σπατίλην dixit quia Cleon βυρσοδέψης & σκατοφάγος. Nam coria & pelles apparabantur non sine humano stercore, estque σπατίλη id ipsum σπίλωθος vel Σπίλος, sordes & abiecta coriorum, dicta ἀπὸ τοῦ σπᾶσθαι quia trahantur & eradantur. Hesychius rectè exponit σπάθος corium, δέρμα & σκύτος, vt ab eadem mente σπαθητὰς ἐσθῆτας paueratas vestes dictas existimem, idémque etymon. Interim emendandum puto Scholiastem Græcum qui σπατίλην ait esse τὸ ἀπόξυσμα τῆς βυρσῶν τὸ μικρὸν ὃ ἐκβάλλεται, quasi dicas ramentum tergorum taurinorum spurcum quod ablegitur. Nam legendum arbitror τὸ μιαρὸν ὃ ἐκβάλλεται. Etiam apud Sudam pro μικρὰ δέρματα reponendum fortean μιαρά, etsi scio posse excusari lectionem τῆς μικρῶν. Dico tamen quod sentio, neque me adhuc sententię pœnitet. Ὑπερλακωνίζουσι.] Pro ὑπερακμάζουσι dictum puto, id est, ætate prouectioribus: alias valet superbis & supra hominem sapientibus. Οὐχ ὁ-

A πιρ ὑμεῖς.] Legerem ὑμᾶς. & notat Athenienses tanquam litigiosos fori tricones, & qui iudicandi insania laborent, vt ille in Vespis Philocleon. Τὸ κόρημα.] Translatio ab euerriculis vel scopis quibus vestimentorum vel ædium sordes purgantur. scribendum autem puto μὴ κκόρει geminato κ, vt sit pro μὴ ἐκκόρει: & sic videtur legisse sudas: Nam si simpliciter κόρει dixisset ambigua esset significatio, quia κορεῖν est etiam ἐπιμελεῖσθαι, vnde κόροι & κόραι pueri & puellæ, quòd magna cura & studio
B indigent. & νεωκόροι dicti non qui templa vel ædes verrunt & purgant, sed qui tuentur & custodiunt, fortassis ἀπὸ τῆς ὤρας, id est, cura, interposito κ. Quáquam non me latet κόρην deriuari secundùm Grāmaticos vel ἀπὸ τοῦ καθαίρειν. & pupillam sic vocari quasi χόρην, vt per quam fluat facultas videndi. Sed hoc loco ἐκκορεῖν dixit pro vacuefacere & desolare, vel funditus perdere, vt dixit Menander, ἐκκορηθείης, id est, ἄρδην ἀπολοιθείης. Aliquando est
C abigere, vt in illo ἐκκόρει κόρη κορώνην, quod in nuptiis olim accini solitum testatur Orus Apollo. videtur aliud esse κόρημα, aliud σάρον, etsi à Grammaticis confunduntur sæpè. Nam illud verriculum est quod nos vocamus *Balay*, hoc autem (σάρον puta) scopæ id est virgulæ purgatoriæ, Byzantii vocabant καλλυντρον. Apud Hesychium nescio quid sit ἀσάρον. Et redeo ad imperitorum querelam, Corruptus est locus. Ait enim Hesychius Ionem Argiuis dixisse, ὡς παλαιὸν ἀσλασαρον, fortas-
D se scripserat ὡς παλαιὸν ἀλειὲς σάρον, id est infirmus, vt veteres & dissolutæ scopæ, scilicet senium debile significans. Ἐα ἐα.] Hæc separatim legenda, neque versum adiuuant, Parepigraphe vocatur, vt apud Ausonium Hui, & sępè apud Tragicos. Nos plura ad Æschyli Prometheum.

ΤΡΥΓΑΙΟΣ, ΟΙΚΕΤΗΣ.

Τρ. Ὦ Ζεῦ, τί δρασείεις ποθ' ἡμῖν τὸν λεών.
Λήσεις σεαυτὸν τὰς πόλεις ἐκκοκκίσας;
Οἰ. Τοῦτ' ἐστὶ τοῦτο τὸ κακὸν αὐθ' ὃ 'γὼ 'λεγον.
Τὸ γὰρ παράδειγμα τῆς μανιῶν ἀκούετε.
Ἃ δ' εἶπε πρῶτον ἡνίκ' ἤρχεθ' ἡ χολή,
Πεύσεσθ'. ἔφασκε γὰρ πρὸς αὐτὸν ἐνθαδί.
Πῶς ἄν ποτ' ἀφικοίμην ἂν εὐθὺ τοῦ Διός.
Ἔπειτα λεπτὰ κλιμάκια ποιούμενος.
Πρὸς ταῦτ' ἀνερριχᾶτ' ἂν εἰς τὸν οὐρανόν,
Ἕως ξυνετρίβη τῆς κεφαλῆς καταρρυείς.

E

TRYGÆVS, VERNA.

TRY. *Quid huic popello facturus ô Iuppiter?*
Vrbésne falles ipsas excæcans tuas?
VER. *Pol illud ecce quod modò aiebam malum.*
Insaniarum specimen en spicitur nouum.
Ac qua ille dixit, ira cùm ferueseret,
Scribitis: apud se quippe sic locutus est,
F *Qui rectà adire regiam Iouis queam?*
Deinde tenues scalularum machinas
Faciens in altum se trahebat æthera,
Donec relapsus præcipe illisit caput.

CHR. Ὦ Ζεῦ.] Incipit loqui Trygæus, vinitori conueniens nomen, est enim τρυγητὸς vindemia. βυλεύς autem Atticè pro βυλεύῃ. vt in Ranis ἴχει μίσος, pro ἴχῃ, & μάχει pro μάχῃ. Et alibi sic sæpè.

Σχόλια. Τί δρασείεις] ἄρα τί διανοῇ ποιεῖν; ἡ ταῦτα φησιν ὁ Τρυγαῖος. Τὸ δὲ ὄνομα κύριον ὁ μὲν Ἡρωδιανὸς προπερισπᾷ. οἱ δὲ λοιποί, ὡς τὸ Τίμαιος προπαροξύνουσι. Λήσεις σεαυτὸν] ἀντὶ τοῦ ἀγνοεῖς τέλεον ἀπολέσας τὰς πόλεις. ἐκκοκκίσας δὲ, ἐρημώσας. ἀπὸ μεταφορᾶς τῆς ῥοιῶν τῆς τοὺς κόκκους καθαιρομένων. Τρυγαῖος δὲ ταῦτα λέγει.

CHR. Ἐκκοκκίσας.] Pro ἐρημώσας dictum, translatúmque à granis mali Punici, exacinare dicerem vel potius excæcare: nam κόκκος ciccus mutato o paruo in i. Nos Franci propriè *egrainer*.

G Σχόλια. Τῶν μανιῶν] ἀντὶ τῆς μανίας. λέγεται δὲ ἑνικῶς ἡ μανία καὶ πληθυντικῶς, ὡς ἐπὶ τῆς ἐπιστήμης τὸ πληθυντικῶς. Εὐθὺ τοῦ Διός.] καὶ διὰ τούτου ὑπερηφανίαν αὐτοῦ δηλοῖ. τὸ θέλειν κατ' εὐθὺ εἰς τὰς τοῦ Διὸς ἐλθεῖν αὐλάς. Ἀνερριχᾶτο] τὸ πρὸς τοίχους ἀναβαίνειν καὶ χερσὶ καὶ ποσίν, ἀναρριχᾶσθαι φασί. ἡ λέξις δὲ, ἐκ τοῦ ἀράχνης, ἀραχνιῶ. καὶ ἐν ὑπερβιβασμῷ, ἀναρριχῶ.

CHR.

CHR. Τῶν μανιῶν.] Pro singulari τῆς μανίας, sed sæpè plurali numero vtuntur Attici. Mox vbi legitur πρὸς αὐτ᾽, malim αὑτ᾽ spiritu denso. Ἕως ξυντρίψω τὴν κεφαλῆς.] Etiam Atticam phrasin accipiunt genitiuum sic positum, & sic Sudas: sed non malè iungatur cum καταρρυείς. Ἀναρριχᾶται.] Pe-

A dibus & manibus reptare per parietes vocat ἀναρριχᾶσθαι vel ab araneis quasi ἀραχνιᾶν, nam ἀραχνιοὺς per ὑπερβιβασμὸν aut litterarum transpositionem ἀναρριχᾶν: vel translatum à genere illo Cophinorũ qui ἄρριχοι dicuntur, quique funibus trahi & duci solent: sunt autem vasa viminea.

Ἐχθὲς δ᾽ μετὰ ταῦτ᾽ ἐκφθαρεὶς, οὐκ οἶδ᾽ ὅποι,
Εἰσήγαγ᾽ Αἰτναῖον μέγιστον κάνθαρον,
Κἄπειτα τοῦτον ἱπποκομεῖν μ᾽ ἠνάγκασε.
Κἀυτὸς καταψῶν αὐτὸν ὥσπερ πωλίον,
Ὦ πηγάσιόν μοι φησὶ γενναῖον πτερόν,
Ὅπως πετήσῃ μ᾽ εὐθὺ τοῦ Διὸς λαβών.
Ἀλλ᾽, ὅ,τι ποιεῖ, τηδὶ διακύψας ὄψομαι.
Οἴμοι τάλας. ἴτε δεῦρο δεῦρ᾽ ὦ γείτονες.
Ὁ δεσπότης γάρ μου μετέωρος αἴρεται
Ἱππηδὸν εἰς τὸν ἀέρ᾽ ἐπὶ τοῦ κανθάρου.

Heriq́; post hæc nescio quò eliminans
Inuexit Ætnæum scarabæum maximum,
B *Cui nunc equiso cogor esse ingratijs:*
Quemq́; ipse blandis plausibus pullum velut
Mulcens, ô ales fortis, inquit, Pegase
Ecquid volatu me ad Iouem duces tuo?
Sed aucupabo clanculùm quam rem gerat.
Me miserum, adeste, adeste vicini insimul
Omnes, herus sublimis in cælum meus
Fertur equitansq́; Canthare inuehitur suo:

Σχόλια. Ἐκφθαρεὶς ἐξελθών. οὕτω γὰρ λέγεται, τὸ ἐπὶ κακῷ ἐξελθεῖν πυ. Αἰτναῖον μέγιστον κάνθαρον.] ὑπερμεγέθη μέγιστον γὰρ ὄρος ἡ Αἴτνη, ἢ ὅτι διάφοροι κάνθαροι εὑρίσκονται, ἢ ἀντὶ τοῦ μέγαν ὡς ἡ Αἴτνη. ἢ ὅτι οἱ Αἰτναῖοι ἵπποι, ταχεῖς καὶ διαβόητοι πρὸς τὸν δρόμον. ἢ ὅτι μεγάλοι οἱ Αἰτναῖοι κάνθαροι.

BISETVS. Ἱπποκομεῖν.] παίζων τοῦτο λέγει, ἀντὶ τοῦ τὸν κάνθαρον, ὡς τιν᾽ ἵππον κομεῖν, τοῦ κανθάρου ὡς ἵππου ἐπιμελεῖσθαι, φροντίζειν, καὶ αὐτὸν καλῶς τρέφειν.

CHR. Ἐκφθαρείς.] Abire cum infortunio est D ἐκφθαρῆναι, & vt ait Callimachus ἐν ὁ φθόρος ἔνθα νέεσθαι, vel ἔρρειν vt dictum in Ranis de Oedipo, ait enim illic Scholiastes esse μετὰ φθορᾶς ἐλθεῖν. Contra εἰσφθαρῆναι est intrare directa, vt loquitur Plautus. Sic videtur Æschylus in Septemthebana dixisse ἐκ εἰς φθόρον σιγῶν ἀναχύσῃ τάδε; Hic simpliciter est egredi; Tamen videtur id verbi dixisse, quia in capite vulnus acceperat. Αἰτναῖον.] Ætna mons celsissimus. Itaque aut Ætnæum pro E grandi intelligit, vel cantharos Ætneos maximos fuisse verum est, proinde vt equos Ætnæos quos ad cursum pernices fuisse aiunt. Sic Asinos Antronios magnos interpretor. Hesychium obiter emendans, ἀντρώνιος ὄγκος, lege ὄνος. Nam vicem equi vtitur scarabæo Trygæus. Sanè Sophocles πῶλον Αἰτναῖαν dixit, id est ὑπερμεγέθη. Apud Oppianum habes lib. 1. de Piscibus, inter Pisces cantharos & Aetneos. Nescio an illic præstet pro magnis accipere, nam si pisces sunt Aetnæi, fortassis F ἰτναίους scribendum esset. Quid sit ἴτνος non obscurum est, vt docet Hesychius, qui ὄψημα θηρῶδες vocat, vbi lego ἀθηρώδες. nam ἀθὴρ vel ἀθάρα genus pultis. Ego in re ignorata assensionem cohibeo. Sed illi canthari pisces, & ab hoc magno cantharo sic dicti sunt, & colore eodem sunt

C ad castaneum accedente, ingratóque, vt ait Ouidius, sunt succo.

Σχόλια. Καταψῶν.] κατὰ τρυφῶν ὥσπερ πῶλον καταψῶντες τῇ χειρὶν ὁμαλίζομεν. Πωλίον.] πῶλος δὲ ἵππος. πῶλοι δὲ κυρίως τὰ γεννήματα τῶν ἵππων καὶ τῶν ἄλλων κτηνῶν. ἀπὸ ἤθους ἐχόμενα κολακεύειν. Ὦ πηγάσιον.] ἀπὸ τὸ ἐκ Βελλεροφόντου. ἐκεῖνος γὰρ διὰ τοῦ Πηγάσου τοῦ πτερωτοῦ ἐπεθύμει καὶ εἰς τὸν οὐρανὸν ἀνελθεῖν. ἄγ᾽ ὦ φίλον μοι Πήγασον πτερόν.

CHR. Καταψῶν] Blanda manus attrectatione aliquem mulcere, & velut adulari vocabant καταψᾶν & καταψῆσαι. Vsus est Polybius in pueris quorum caput blandè expansa & aperta manu percurrimus cùm Indolem laudamus, aut indicium amoris facimus & beneuolentiæ. Philostratus de equis dixit καταψῆσαι ὦτα καὶ χαίτην. sic Virgilius, Et plausæ sonitum ceruicis amare. Quamquam καταψᾶν non est ille plausus, sed potius χειρῶν ὁμαλισις, quam plausus sequitur. Inde ψῆκτρα strigilis. venustè autem & facetè comicus Trygæum inuehentem facit scarabæo ceu equo, quem ὑποκοριστικῶς & pullum & Pegasillum vocat, πωλίον & πηγάσιον. Notus cum Pegaso suo Bellerophôtes cæli adfectator, tum sine Pegasi alis non lustrat cęlum & terram Aurora. Videtur autem imitatus hoc versu Euripidis ex Bellerophonte versum, ἄγ᾽ ὦ φίλον μοι Πήγασον πτερόν. Nam fabulam eo titulo docuit Euripides. Et sanè ad huius Tragici versus sæpius alludit Aristophanes quam cęterorum. Ὅπως] Deest ὅρα vel quid simile: & Attica est eiusmodi ἔλλειψις etiam in pedestri oratione.

Σχόλια. Διακύψας ὄψομαι] ἐν λόγῳ διακύψας καὶ θεάσομαι. δῆλον δὲ ὅτι ἐκ τοῦ παρακύψαι καὶ ἰδεῖν, τὸ λοιπὸν μετέωρον αἰρόμενον τὸν δεσπότην, ταῦτα φησιν ὡς φοβούμενος. Ἐπὶ τοῦ κανθάρου] ἰδ᾽ εἰς τὸ γελοῖον καὶ ἀπίθανον. οὐ γὰρ ἴσον τι ἱππεύειν ἐπὶ κανθάρου.

G ΣΥΣΤΗΜΑ κατὰ περικοπὴν ἀνομοιομερές.

ΤΡ. Ἥσυχος ἥσυχος ἠρέμα κάνθων.
Μή μοι σοβαρῶς χώρει λίαν.

Σχ. Ἥσυχος.] τὰ ἑξῆς εὐθὺ μῶλα ἀναπαιστικὰ πλὴν

SYSTEMA.

TR. *Lenius incipe Canthare, sensim:*
Gradibus nimium parce superbis

τοῦ ἰ. δίμετρα ἀκατάληκτα. ἐπὶ τῷ τέλει παρακέχρηται.

ὁ δὲ Τρυγαῖος ἐπιβεβηκὼς τῷ κανθάρῳ ταῦτά φησιν. Ἠρέμα κάν θαν.] ἀτρέμας μοι πέτου, ὦ κάνθαρε. ταῦτα δὲ λέγει, ἐπιβεβηκὼς ἤδη ὁ Τρυγαῖος τῷ κανθάρῳ, καὶ μετέωρος ἀρθεὶς καὶ ὁ ἱππεύς.

BISETVS. Ἠρέμα δέ τινες δασύνουσιν ἠρέμα γράφοντες, ὡς δῆλον ἐκ τοῦ ἠρεμεῖν, καὶ ἠρεμίζειν παρὰ τῷ Εὐσταθίῳ. Σουΐδας δὲ ψιλοῖ, ἠρέμα, ἡσύχως. καὶ ἠρεμαίως, ἀτρέμας. ὅπερ καὶ πιθανώτερον διὰ τὸ ἔτυμον. καὶ γὰρ ὁ Σουΐδας φησὶν ἠρεμίαν λέγεσθαι οἱονεὶ ἀτρεμίαν, κατὰ στέρησιν τοῦ τρέμειν. ἀξιόπιστον οὖν ψιλοῦσθαι τὴν λέξιν, ὅτι σύγκειται ἐκ τοῦ α στερητικοῦ, καὶ τοῦ τρέμειν. διὸ ἠρέμα, καὶ ἠρεμεῖν, οἱονεὶ ἀτρέμα, καὶ ἀτρεμεῖν, λεχθείη. τὸ δὲ α ἐν τῇ συνθέσει εἰς η ἐτράπη, καὶ τὸ τ ἐξεβλήθη.

CHR. Ἡσυχος.] Systema sequitur Anapæsticis constans decem & nouem, quod clauditur Catalectico, quæ Coronis est Anapæstica, & ἀπόθεσις παράγραφος. Est autem systema in Choris Comicis quod Epodos in Lyricis. Hæc aliaque similia qui certius & clarius intelligere volet, Hephæstionem

A eruditissimum Grammaticum legat, vel potius Iulij Cæsaris Scaligeri libros de Poetica. Sanè enim maximi illius herois ingenium vetustatem æquat, polieritatem & nouitatem omnem superat: sed quod miserum est pauci sunt adhuc qui eius scripta aut legant aut intelligant. Eum ego quotidie miror & miror magis: imò erit ille mihi semper deus: Quidni enim hoc autumem de clarissimo viro cùm Philosophus ille σκοτεινὸς de humili & obscuro loco dixerit, Etiam hîc sunt Dij?

B Σχ. Κάνθων.] κυρίως ὁ ὄνος. νῦν δὲ ὑποκοριστικῶς ὦ κάνθαρε. κάνθαρος δὲ εἴρηται, παρὰ τὸ κάνθωνα τὸν ὄνον, καὶ τὸν θορόν. τουτέστι τὸ σπέρμα. φασὶ γὰρ ὅτι κάνθαρος οὕτω τίκτεται. ἐπὰν εὕρῃ ὄνου κόπρον στρογγύλην, μιγεὶς κυλίων τοῖς ποσὶν αὐτὴν καὶ τῷ κυλίειν ἀποσπερμαίνει. καὶ ἐκεῖθεν οἱ κάνθαροι. Μή μοι σοβαρῶς] μὴ ἐνθύμως ἄγαν μηδὲ σπουδαίως. τὰ δὲ τῶν ἵππων πλεονεκτήματα περιτίθησι τῷ κανθάρῳ, ἁβρύνεσθαι καὶ γαυριᾶν αὐτόν. ὃ μάλιστα τοῖς καλλιστεύουσι τῶν ἵππων ἔθος ἐστίν.

Εὐθὺς ἀπ' ἀρχῆς ῥώμῃ πίσυνος.
Πρὶν ἂν ἰδίῃς καὶ διαλύσῃς
Ἄρθρων ἶνας πτερύγων ῥύμῃ.
Καὶ μὴ πνεῖ μοι κακὸν ἀντιβολῶ·
Σ. εἰ δὲ ποιήσεις τοῦτο κατ' οἴκους
Αὐτοῦ μένων τοὺς ἡμετέρους.
Οἰ. Ὦ δέσποτ' ἄναξ ὡς παραπαίεις.
Τρ. Σίγα σίγα.
Οἰ. Ποῖ δῆτ' ἄλλως μετεωροκοπεῖς;
Τρ. Ὑπὲρ Ἑλλήνων πάντων πέτομαι,
Τόλμημα νέον παλαμησάμενος.
Οἰ. Τί πέτει; τί μάτην οὐχ ὑγιαίνεις;
Τρ. Εὐφημεῖν χρὴ καὶ μὴ φλαῦρον
Μηδὲν γρύζειν, ἀλλ' ὀλολύζειν.
Τοῖς τ' ἀνθρώποισι φράζειν σιγᾶν,
Τούς τε κοπρῶνας καὶ τὰς λαύρας,
Καινᾶις πλίνθοισιν ἀνοικοδομεῖν,
Καὶ τοὺς πρωκτοὺς ἐπικλείειν.

C *Primo incedere robore fretus.*
sudandum prius, & prius ala
Præpete neruos dissoluendum
Nec quid, mihi, sis, olidum spires:
Sin facturus es, optem vt potius
Hisce in nostris maneas ædibus.
VE. O rex here quàm miserè oblucinas.
TR. Comprime linguam.
D *VE. Quò sic temerè sublimis abis?*
TR. Pro tota propero volans Græcia
Facinus q; audax ausus & insolens.
VE. Quid volucris es, incassùm insaniens?
TR. Augusta est adhibenda fauentia
Spernenda ore obscœna, age, iubela:
Hominesq; tuos vt sileant iube,
Vtq; latrinas atq; fimeta
E *Augusta nouo latere hic obstruant,*
Atq; obliment sibi culos.

Σχόλια. Πρὶν ἂν ἰδίῃς] πρὶν ἱδρώσῃς. οἱ γὰρ ἵπποι ἐκ πόνων ὀξεῖς ἐν τῇ ἀρχῇ εἰς τὸν δρόμον. καμόντες δὲ καὶ ἱδρώσαντες ὀξύτεροι γίνονται. Καὶ μὴ πνεῖ μοι.] ἐκ γὰρ τοῦ ἀνασπνεῖν καὶ τοῦ ἀέρος ἡ δυσωδία μᾶλλον ηὔξετο τοῦ κανθάρου. δῆλον δὲ ὅτι καὶ αὐτὸ πρὸς τὰς τροφὰς αἰνίττεται. Ὦ δέσποτ' ἄναξ.] διὰ τὸ μετάρσιον αὐτὸν ἦρθαι, καὶ πρὸς δοκεῖν ἐπιβήσεσθαι τοῦ οὐρανοῦ θειοτέρᾳ αὐτὸν ἐτίμησε F φωνῇ ἄνακτα εἰπών.

CHR. Ἰδίῃς] ἶδος & ἱδρὼς eadem, inde ἰδίειν. Noli, inquit, statim te addere in spatia, sed pedetentim incede. Tribuit Scarabæo virtutes generosi equi qui gloriosè mollia crura reponit, vt ait Maro, quique post sudorem & laborem incitatur ad cursum. Præcipuè verò timet sibi ab anhelitu. Nam odor in auras diditus vehementior est & graueolentior. Hoc autem ait propter σκατοφαγίαν, vt inde fortassis hodiéque in Græcia vulgus G Cantharum appellet σκαλαβὸ, corrupta quidem voce, sed olidi animalculi & σκατοφάγῳ moribus conueniente. Ὦ δέσποτ' ἄναξ.] Augustiori appellatione herum suum iam sublimem & volantem afficit famulus (ait Scholiastes) vocans ἄνακτα, quasi Diis iam sit proximus. Sed ἄναξ Dominus rectè dicitur, vt Horatius terrarum Dominos. i. Reges. & Virgilius, cùm ait, Dominam Ditis thalamo &c. Reginam notat. Quin recentior antiquitas Latinum Græcè dixit δόμνα, id est, Regina.

Σχόλια. Μετεωροκοπεῖς] ποῦ δὴ περὶ τὰ μετέωρα πέτῃ, καὶ μάτην ὡς ἔτυχε κάμνεις. μετεωροκοπεῖν δέ ἐστι κυρίως τὸ, πλάτῃ τῆς κώπης ματαίως τὴν θάλασσαν συγκόπτειν. Παλαμησάμενος] μηχανησάμενος καὶ ἰσχυρίσας ἀπὸ τῆς παλάμης, ᾗ τὰ πολλὰ κατασκευαζόμεθα. Τί πέτει] παρὰ προσδοκίαν ὡσανεὶ ἔλεγε τί κάμνεις. ἀπὸ κοινοῦ δὲ τὸ μάτην, ἵν' ᾖ τί μάτην πέτῃ. Φλαῦρον] ἀναιδές. δύσφημον. φλύαρον. Ὀλολύζειν.] τὸ μετὰ κραυγῆς εὔχεσθαι. Καὶ τὰς λαύρας.] λαύρας ἐκάλουν τὰς στενὰς ῥύμας ἔνθα πᾶσα ἀκαθαρσία ἦν. τοὺς ῥυπαροὺς οὖν τόπους ἀποφράξαι παρακελεύεται καὶ τοὺς κοπρῶνας, ἵνα μὴ ἐρεθίσωσι τὸν κάνθαρον καὶ κατασπάσωσι κάτω δυσωδίαν πνέοντα. μετέωρος δὲ ὢν ἐπὶ τοῦ κανθάρου ταῦτα λέγει.

CHR. Μετεωροκοπεῖς.] Translatio à remis sumpta qui mare frustra & suspensa manu secant. Sic secatur aër alarum remigio. Ὀλολύζειν.] Est iubilare & cum acclamatione precari. Hoc solent fœminæ fana celebrantes: Rectè autem iungit cum εὐφημεῖν, hoc enim ipsum est. & Æschylus Agamemnone dixit δόμοις ὀλολυγμὸν εὐφημοῦντα τῇ δὲ

τῇδε λαμπάδι ἐπορθιάζειν, id est, vitulante tecta repleat fauentia. Etiam pro eodem dicebant παιανίζειν, quanquam scio differre: Nam bellatrici Mineruæ ὀλολύζουσι, cæteris diis παιανίζουσι, quod est proprie, vocem intendere & remittere. Καὶ τὰς λαύρας] Angusti secessus ad sordes ablegendas & retrimenta egerenda vocantur λαῦραι, quasi δι' ὧν λαοὶ ῥέουσι. Vult ergo Trygæus λαύρας claudi & muniri, ne odor difflatus Cantharū eliciat. Sed sic tāgit ciuium suorū mores sordidos & vrbē fœdam, de qua possit dici quod de Corcyra, ἐλευθέρα κόρκυρα χέζ' ὅπου θέλεις. i. In ciuitate libera es, caca vbi voles.

ΣΥΣΤΗΜΑ ΕΤΕΡΟΝ.

Οἰ. Οὐκ ἔσθ' ὅπως σιγήσομαι ἣν μή μοι φράσῃς,
Ὅποι πέτεσθαι διανοεῖ. Τρ. τί δ' ἄλλο γ' ἢ
Ὡς τὸν Δί' ἐς τὸν οὐρανόν. Οἰ. τίνα νοῦν ἔχων;
Τρ. Ερησόμενος ἐκεῖνον Ἑλλήνων πέρι
Ἁπαξαπάντων ὅτι ποιεῖν βουλεύεται.
Οἰ. Ἐὰν δὲ μὴ καταγορεύσῃ. Τρ. γράψομαι
Μήδοισιν αὐτὸν προδιδόναι τὴν Ἑλλάδα.
Οἰ. Μὰ τὸν Διόνυσον οὐδέποτε ζῶντός γ' ἐμοῦ.
Τρ. Οὐκ ἔστι παρὰ ταῦτ' ἄλλ'. Οἰ. Ἰοὺ ἰοὺ ἰοὺ ἰού.
Ὦ παιδί' ὁ πατὴρ ἀπολιπὼν ἀπέρχεται
Ὑμᾶς ἐρήμους εἰς τὸν οὐρανὸν λάθρα.
Ἀλλ' ἀντιβολεῖτε τὸν πατέρ' ὦ κακοδαίμονα.

ALIVD SYSTEMA.

VER. *At non tacebo ni mihi expedis priùs*
Quò iam volatum destinas. TRY. *Cælum Iouis*
Adire tantùm cogito. VER. *quid expetens?*
TR. *Opere rogare meditor illum maximo*
Quid de vniuersa Græcia statuit semel.
VER. *Quid si nihil respondet?* Try. *inscribam dicam*
Medísque dicam prodere illum Græciam. (me.
VER. *Per Liberum ista haud accident viuente*
TRY. *Nō est vt aliter accidāt.* VER. *hui hui.*
Pater facessens vester, ô puellula,
Affectat astra, nósque furtim deserit.
Sed supplicate vos patri ô miserrumæ.

Σχόλια. Οὐκ ἔσθ' ὅπως.] Τὸ ἑξῆς οἱ ἴαμβοι εἰσὶν ἐπὶ τῷ τέλει παράγραφος. Γράψομαι.] κατηγορήσω. παίζει δὲ διὰ τὸ φιλόδικον τῶν Ἀθηναίων λέγων, καὶ τοῦ Διὸς κατηγορήσω, ὡς προδιδόντος τὴν Ἑλλάδα τοῖς Πέρσαις. τοῦτο δὲ λέγει, ὅτι Λακεδαιμονίοις ἐβοήθουν οἱ Πέρσαι, ἐν τῷ πολέμῳ τῷ Πελοποννησιακῷ. Μήδοισιν αὐτὸν] λεληθότως καὶ τῶν Ἑλλήνων καθάπτεται, ὡς συνορώντων μὲν τὴν βλάβην. καὶ ὅτι ὑπὲρ τῶν πόλεων ἐστι. διαφθείρεσθαι δὲ αὐτοὺς ἐῶντων. ἄλλως τε καὶ φοβεῖν αὐτοὺς βούλεται. δεικνὺς ὅτι ἐφεδρεύοντας ἔχουσι πολεμίους τοὺς βαρβάρους. Οὐδέποτε ζῶντος ἐμοῦ] οὔτε πορεύσῃ, οὔτε γράψῃ ζῶντος ἐμοῦ. Οὐκ ἔστι παρὰ ταῦτα] οὐκ ἔστιν ἄλλως γενέσθαι, εἰ μὴ ἀνελθεῖν εἰς οὐρανούς. Ὦ παιδία.] ἁπλῆ καὶ εἴσθεσις εἰς διάλογον. Ἀπέρχεται] δηλονότι ἀπέπτη. ὁ δὲ οἰκέτης πρὸς τοὺς παῖδας ἐκείνου λέγει, πῶς καὶ αὐτοὶ δυνηθεῖεν πεῖσαι τὸν πατέρα μὴ ἀναπτῆναι.

CHRIST. Γράψομαι] Minatur inscripturum dicam ipsi Ioui quòd Græciam Medis prodiderit. Quod ideo dicit quia bello Peloponesiaco Persæ in auxilium Lacedæmoniis venerunt. Interim & Athenienses notat vt φιλοδίκους, quique vel Iouis securi sunt, & Græcos in genere admonet, qui (quod de Atheniensibus olim dictum est) sciunt quæ recta sunt, sed facere nolunt: admonet inquam vt caueant sibi ab illis barbaris, qui dum auxiliantur partibus speculatores agunt, & insidiantur libertati publicæ Græcorum. Profectò hodie vniuersam Galliam, vt olim Græciam, Nemesis punit, & facit ludos. Nam & nos Gallo-Franci omnem his temporibus mouemus lapidem vt externum & barbarum ferrum in intestina nostra condamus. Adeo nobis mens læua est, nisi potius φρένας ἐξέλετο Ζεύς. Bella quærimus non necessaria dum Gallici nominis hostes aut æmulos accersimus ad perdendos ciues. O dira tempora & fatis obnoxia! Ecquis erit nunc Ciuicarum coronarum vsus, si ciuem perdere vincere est? Sed vrgent nos fata, & sane appetit tempus cùm luenda sunt maiorum delicta, neque immeritò: nam templa destruximus quæ triduano spatio refici nequeunt. Itaque π δξ. Ἡμᾶς ἐρήμους] Puto melius legi ὑμᾶς, vt ad puellulas referatur, neque verò te turbet generis Enallage, nā Attica est. Sic Pindarus ἐρήμας αἰθέρος. Tamen si quis pertendat ἡμᾶς retinendum, non habebit me ἀντιτείνοντα.

ΠΑΙΔΕΣ ΤΡΥΓΑΙΟΥ, ΤΡΥΓΑΙΟΣ.

Σύστημα ἕτερον ἀνομοιομερές.

BISETVS. Αἱ Τρυγαίου παῖδες τὸν πατέρα ἀπὸ τῆς γνώμης, καὶ τῆς εἰς οὐρανὸν πορείας ἀποτρέπειν πειρῶνται.

LIBERI. TRYGÆI, Trygæus.

Systema aliud partium dissimilium.

Παι. Ὦ πάτερ, ὦ πάτερ, ἆρ' ἔτυμός γε δόμοισιν
Δώμασιν ἡμετέροις φάτις ἥκει.
Ὡς σὺ μετ' ὀρνίθων προλιπὼν ἐμὲ

PVE. *O pater, ô pater, ædibus ergo,*
Fama venit verissima nostris
Te cum auibus cælum temerè arduum

Σχόλια. Ω πάτερ.] σύστημα ἕτερον εἰς δύο διῃρημένον περιόδους. καὶ εἰσὶ τῆς μὲν πρώτης περιόδου δακτυλικὰ τετράμετρα τέτταρα καὶ ἐν ἐκθέσει ἐπικὸν ἕν, μεθ' ὃ τὰ τῆς δευτέρας περιόδου ὅμοια πέντε. ἐπὶ ταῖς ἀπο- A θέσεσι παράγραφος. τὰ τοιαῦτα δὲ παραχωρήματα καλοῦσιν. οἷα νῦν τὰ τοιαῦτα παιδία ποιεῖ καλοῦντα τὸν πατέρα. εἶτα πρὸς οὐδὲν ἐν τούτοις χρήσεται.

Ες κόρακας βαδιεῖν μεταμώνιος.
Εστι τι τῶνδ' ἐτύμως; εἴπ' ὦ πάτερ ὅ τι φιλεῖς με.
Τρ. Δοξάσαι ἔστι κόραι. τὸ δ' ἐτήτυμον ἄχθομαι ὑμῖν,
Ηνίκ' ἂν αἰτίζητ' ἄρτον πάππαν με καλοῦσαι.
Ενδον δ' ἀργυρίου μηδὲ ψακὰς ᾖ πάνυ πάμπαν.
Ην δ' ἐγὼ εὖ πράξας ἔλθω πάλιν, ἕξετ' ἐν ὥρᾳ
Κολλύραν μεγάλην, καὶ κόνδυλον ὄψον ἐπ' αὐτῇ.
Παι. Καὶ τίς πόρος σοι τῆς ὁδοῦ γενήσεται;
Ναῦς μὲν γὰρ οὐκ ἄξει σε ταύτην τὴν ὁδόν.
Τρ. Πτηνὸς πορεύσει πῶλος· οὐ ναυσθλώσομαι.
Παι. Τίς δ' ἡ 'πίνοια σοῦ 'στιν, ὥστε κάνθαρον
Ζεύξαντ' ἐλαύνειν εἰς θεούς, ὦ παππία.
Τρ. Εν τοῖσιν Αἰσώπου λόγοις ἐξηυρέθη,
Μόνος πετεινῶν εἰς θεοὺς ἀφιγμένος.
Παι. Απιστον εἶπας μῦθον ὦ πάτερ, πάτερ,
Οπως κάκοσμον ζῶον ἦλθεν εἰς θεούς.
Τρ. Ηλθεν κατ' ἔχθραν αἰετοῦ πάλαι ποτὲ
Ω' ἐκκυλίνδων, κἀντιτιμωρούμενος.
Παι. Οὐκοῦν ἐχρῆν σε Πηγάσου ζεῦξαι πτερὸν,
Οπως ἐφαίνου τοῖς θεοῖς τραγικώτερος.
Τρ. Αλλ' ὦ μέλε, μοι σιτίων διπλῶν ἔδει.
Νῦν δ' ἅττ' ἂν αὐτὸς καταφάγω τὰ σιτία,
Τούτοισι τοῖς αὐτοῖσι τοῦτον χορτάσω.
Παι. Τί δ' ἢν ἐς ὑγρὸν πόντιον πέσῃ βάθος,
Πῶς ἐξολισθεῖν πτηνὸς ὢν δυνήσεται.
Τρ. Επίτηδες εἶχον πηδάλιον, ᾧ χρήσομαι,
Τὸ πλοῖον δ' ἔσται, Ναξιουργὴς κάνθαρος.
Παι. Λιμὴν δὲ τίς σε δέξεται φορούμενον;
Τρ. Εν Πειραιεῖ δήπου 'στὶ κανθάρου λιμήν.
Παι. Εκεῖνο τήρει, μὴ σφαλεὶς καταρρυῇς
Εντεῦθεν. εἶτα χωλὸς ὢν, Εὐριπίδῃ
Λόγον παράσχῃς, καὶ τραγῳδία γένῃ.
Τρ. Εμοὶ μελήσει ταῦτά γ'. ἀλλὰ χαίρετε.

Velle capessere méque relinquere:
Veráne fama fuit genitor? dic si quid amas me.
TRY. O natæ veri simile est, veréque dolebam,
Cùm patrem panis peteretis frustra vocantes,
B *Nec tamen vlla domi argenti scintilla niteret:*
Sin rebus redeo gestis feliciter, ingens
Panis erit semper pugnísque obsonia vobis.
PV. *Qui posse speras itiner hoc insistere?*
Neque enim vehet te nauis hûc stlataria.
TRY. Volucris vehet me pullus, haud nauis feret.
PV. *Quid cogitatio est tibi ô Patercule?*
Quæ mens, inigere cantharum ad cœli polos?
C *TRY. Reperitur ille in fabulis Æsopicis*
Solus volucres inter iuisse ad deos.
PV. *Credenda non est fabula, ô pater, pater,*
Visisse olentem bestiam vsque ad cœlites.
TRY. Aquilam perosus venit olim, & illius
Deiecit oua, & vltus aduersarium est.
PV. *Præstabat ergo iungere alas Pegasi,*
Mirandus vt diis amplius faceres fidem.
D *TRY. At ô misellæ duplici cibo mihi*
Opus fuisset, nam quibus vescor cibis
Iisdem volucrem post satullo cantharum.
PV. *Quid si in profundum decidat forsan mare?*
Qui poterit æquor verrere ales insolens?
TRY. Clauo lubenter vtar hocce industrio,
Eritq́; nauis facta Naxi cantharus.
PV. *Quis applicante portus accipiet ratem?*
E *TRY. Piræus ingens canthari portu cluet.*
PV. *At hoc caue sis, ne ruens temerario*
Fallare casu, tum catax Euripidi
Occasionem præbeas Tragœdiæ.
TRY. Satis hoc cauebo: cæterum valete vos,

Σχόλια. Ες κόρακας] δέον εἰπεῖν εἰς οὐρανόν. οἱ δὲ, ἀντὶ τοῦ μετ' ὀρνέων. ἅμα δὲ ἐφ' ὕβρει. ἐδόκει γὰρ ἀνωφελῶς ἀπιέναι, ὥσπερ οἱ εἰς τὸ σκότος ἀπιόντες. Δοξάσαι.] ἀντὶ τοῦ ὑπονοῆσαι. εἰκάσαι.

BISETVS. Πάππαν] πάππας, ὥς φησι Σουίδας παρὰ τοῖς Συρακουσίοις ὁ πατὴρ λέγεται, καὶ κατ' ἀναδιπλασιασμὸν τοῦ π. πάππας. ὅθεν τὸ παππάζειν, τὸ πάππα καλεῖν. λέγει δὲ φωνὴν εἶναι σεπτικὴν οὐ μόνον πρὸς τοὺς πατέρας, ἀλλὰ καὶ πρὸς τοὺς τροφεῖς, καὶ ἄππα πολλάκις ἀντὶ τοῦ πάππα λέγεσθαι. ἀλλὰ τὸ ἄππα ἴσως παρὰ τὸ Συριακὸν ἀββά, ὃ δηλοῖ τὸ πατήρ. Εὐστάθιος δέ. πάπας, ὁ πατήρ. καὶ ὁ Ζεὺς παρὰ Βιθυνοῖς, ἐκ τοῦ πᾶ μονοσυλλάβου, κατ' ἀναδιπλασιασμόν, ὡς ἐκ τοῦ μᾶ τὸ μάμμα, καὶ παπίας. ὁ πατὴρ ὑποκοριστικῶς, καὶ πατρίδιον. καὶ πάππα προσφώνημα παιδίων πρὸς τοὺς πατέρας. Ομηρος Οδυσσείας Ζ.

Πάππα φίλ', οὐκ ἂν δή μοι ἐφοπλίσσειας ἀπήνην

καὶ παππάζειν, τὸ βρεφικῶς προσφθέγγεσθαι τὸν πατέρα.

CHRIS. Ω πάτερ] Alterum Systema dissimilium partium diuisum in duas Periodos: Prior quinque versibus cõstat, quatuor Tetrametris dactylicis, & vno Epico, quæ est ἔκθεσις. Altera quinque similibus Epicis. Hæc verò vocantur παραχωρήματα. Nam puellæ istæ inducuntur hoc tantum loco, patrémque vocant, postea in tota fabula non parent. Primo versu legitur ἔτυμός γε ἄρ. Sed legẽdum censui (si censendi mihi ius est) ἄρ ἔτυμός γε, vt Dactylicus sit Tetrameter cum tribus sequentibus. Αχθομαι ἡμῖν] Potius legerem ὑμεῖς, distinguerémque post ἄχθομαι. Sensus est. Non absque ratione suspicamini de discessu ad Iouẽ meo. Re-uera enim tristitia vehementi angor, quoties petitis à me patre vestro panem, & nulla interim est argenti gutta domi nostræ. Quòd si rebus benè gestis reuertero, habebitis in tempore panẽ quoque grandem, & insuper colaphum pro opsonio. Ludit autem ad vulgarium dictum, εἰ δ' οἶνον αἰτεῖ κόνδυλον αὐτῷ δός, scilicet vt ne assuescãt pueri superfluis

perfluis petēdis. Sic miserias quas bellum inuehit satis ostendit. Quid enim miserius quàm carere pane & argento: ψακὰς vel ψαικὰς vel ψεκὰς stilla est è gutta, ῥανὶς & σταγών.

Σχόλια. Ψακάς.] τὸ μικρότατον, ὃ καὶ ψιφὰς καλεῖται. ἀντὶ τοῦ μηδ᾽ ὀβολοῦ ὄντος ἡμῖν διὰ τὸν πόλεμον. Κολλύραν] κολλύρα τὸ ἔλαττον τοῦ ἄρτου. τινὲς δὲ τὴν κολλύραν εἶδος ἄρτου, ὃ τοῖς παιδίοις διδόασιν. ἔπαιξε δὲ παρὰ τὸ λεγόμενον. εἰ δ᾽ οὖν αἰτεῖ, κόνδυλον αὐτῷ δός. ὑπὲρ τοῦ ἐθίζειν τοὺς παῖδας μηδέν τι περιττὸν ζητεῖν. Καὶ τίς πόρος ἐστί.] εὐθεῖας διπλῆς ἀμοιβαίας ἰαμβεῖον λ διπλῆ ἔξω νενευκυῖα περατουμένων. Ναῦς μὲν γάρ.] ἀμηχανοῦμεν φησίν, ἐνθυμούμεναι πῶς εἰς οὐρανὸν ἀνελευσόμεθα. οὐ γὰρ ναῦς ἐπιβὰς, εἰς οὐρανὸν ἀνέλθῃς.

Bisetvs. Πορεύσει] ἄξει. πῶλος δὲ πτηνός, ὁ κάνθαρος.

Σχόλια. Οὐ ναυστολήσομαι] οὐ ναὸς ἐπιβήσομαι. κυρίως δὲ τὸ ναῦς μισθώσασθαι. λέγεται δὲ καὶ πετεινὸν καὶ πτηνόν. πῶλον δὲ λέγει τὸν κάνθαρον.

Christ. Κολλύραν] Collyra genus panis est quod pueris præbebatur. Apud Athenæum habes hunc versum ἢ κολύραν μεγάλην vnico λ. Ex hac fabula etiam Aristophanē citat in ὁλκάσι qui κολύρας meminit. Sed nō dissimulabo legi etiā apud eundem Athenæum καὶ κάνδυλον, nō autem κόνδυλον: est autē κάνδυλος cibus ex lacte & melle, quibus addunt quidam oleum & caseum: velut ἄβυρτάκη quod est intritum barbaricū è porro, nasturtio & punici granis, vt Theopompus Theseo & Menander κεκρυφάλῳ meminere. Corrigēdúsque Sudas voce ἀκρόδρυα & σκοτιάζω. ait enim ἐπιρρίπτον δὲ αὐτοῖς οἱ μὲν κάνδυλ οἱ δὲ ἀκρόδρυα, lege κάνδυλον meo periculo. Tum in ipsa voce κάνδυλος habēs apud eundem Grāmaticum, ὡς ἀβυρτάκη ἐρύκων βρῶμα. Putaui pro ἐρύκων legendū βαρβαρικόν, nisi melius ἐρεικτῶν. i. è leguminibus fresis. Sed βαρβαρικὸν malo. Miror autē etiam à doctissimo Dalechampio varietatem lectionis nō notari cùm in vulgaribus editionibus Athenæi habeamus κονδύλον, quæ lectio videtur alteri præferēda, vel ex Eustathio qui versum hunc laudat, δὸς ἄρτον πλυχὸν ἢ κόνδυλον ὄψον ἐπ᾽ αὐτῷ. Quæ obseruationes leues sunt, sed faciunt tamen caput integrū in variis lectionibus disertissimi Mureti, cuius scrinia non cōpilo, haberem enim acerrimū reposconem. Ὦ παππία] Hæc vox ὑποκόρισμα est φιλοφρονητικόν, qua etiā vsus est Philippus Comicus in Philyra, παππία βάλλε δραμὼν εἰς τὴν ἀγορὰν καὶ ἀγόρασόν μοι φράζε τί; Antea dixit πάππα, quæ vox omnium ferè gentiū infantibus familiaris & propriè natiua est, vt quæ constet elementis labialibus sine dentium adminiculo prolatu facilibus. ἄππα inuersum est quo vtitur apud Callimachū Diana infantula patrē Iouem cōpellans, postea ἄββα, & nunc Abbas. Ζεύξαντ᾽ ἐλαύνειν] Verbum iungendi non hîc est quod putāt Virgilij interpretes, qui iungere vulpes exponunt ad aratrū cogere. Est enim hic tantum sternere & inuehere. Sanè apud poëtā nihil vetat quo minus hoc significatu accipiamus. Iudicent eruditi. Sic postea πηγάσου ζεῦξαι πτερόν.

Σχόλια. Εν τοῖσιν Αἰσώπου] φέρεται γὰρ ἐν τοῖς αὐτοῦ μύθοις, ἐχθρεῦσαι ἀετὸν καὶ κάνθαρον. ἑκάτερον αὐτῶν, θατέρου τὰ ᾠὰ διασπᾶν. Μόνος πετεινῶν] ἁρπάζοντος τοῦ ἀετοῦ τοὺς νεοττοὺς τοῦ κανθάρου, ὁ κάνθαρος τοῦ ἀετοῦ τὰ ᾠὰ ἐκκυλίσας ἐξεκύλισεν ἕως τοῦ Διὸς, ἕως οὗ ἦλθε πρὸς τὸν Δία κατηγορούντος δὲ τοῦ ἀετοῦ προσέταξεν αὐτῷ ὁ Ζεὺς, ἐν τῷ αὐτοῦ τοῦ Διὸς κόλπῳ νεοττεύειν. ἐπειδὴ δὲ τὰ ᾠὰ ἀεὶ ἐκκυλίων ὁ Ζεὺς, ἀνέπλατο τὸν Δία ὁ κάνθαρος. ὁ δὲ, ἐκλαθόμενος, ἀνέστησεν ἐκ τῆς κεφαλῆς ὡς ἀποσείσων αὐτὸν. καὶ κατέαξε τὰ ᾠά. Ὦ ἐκκυλίνδων] τὸ πλῆρες ᾠά. Κἀντιτιμωρούμενος] ὁ κάνθαρος. πρῶτος γὰρ ὁ αἰετὸς ἠδίκησεν αὐτὸν φαγὼν τὰ νοσσία.

Bisetvs. Αντιτιμωρούμενος] τουτέστι τῆς ἀδικίας ἐκδίκησιν ποιούμενος. τοῦδε τοῦ μῦθον ὅλον καὶ νῦν ἐν τῷ Αἰσώπῳ πολὺ σαφέστερον ἔχομεν ἢ ἐνταῦθα.

Σχόλια. Τραγικώτερος.] ἀξιοπιστότερος. αἰνίττεται δὲ εἰς τὸν Πήγασον ἢ τὸν Βελλεροφόντην. Ὦ μελία] δηλοῖ. λέγει δὲ πρὸς ἄμφω τὰ παιδία. Εξολισθεῖν.] πῶς διανήξασθαι δυνήσεται. ἐπεὶ τὰ πλεῖστα τῶν ὀρνέων ἐμπεσόντα εἰς ὕδωρ, νήχεσθαι οὐ δύναται. διαβάλλει δὲ τὰ περὶ Ἰκάρου παρὰ τῶν τραγικῶν λεγόμενα. Πηδάλιον.] τὸ αἰδοῖον δείκνυσι παίζων. Ναξιουργὴς κάνθαρος] πλοῖα τὰ οὕτω λεγόμενα, κάνθαροι, ἐν Νάξῳ γινόμενα τῇ νήσῳ. ἢ κνιδιουργὴς δὲ ἄλλας ναῦς ἀπὸ Κνίδου. καὶ τὴν κέρκυρον ἀπὸ Κερκύρας καὶ τὴν Πάρονα ἀπὸ Πάρου. Εν Πειραεῖ] ὁ Πειραιεὺς, λιμένας ἔχει τρεῖς, πάντας κλειστούς. εἷς μὲν ὁ Κανθάρου λιμὴν, οὕτω καλούμενος ἀπό τινος ἥρωος Κανθάρου. ἐν ᾧ τὰ νεώρια, εἶτα τὸ Αφροδίσιον. εἶτα κύκλῳ τοῦ λιμένος στοαί ε. Χωλὸς ὤν.] δεῖ σε φησὶ μὴ πεσεῖν προσέχειν, μὴ διαφθαρῇς καὶ γένῃ τραγῳδία. ἀποτείνει δὲ πρὸς Εὐριπίδην. ὃς ἐν δράματι χωλὸν εἰσάγει τὸν Βελλεροφόντην, διὰ τὸ πεπτωκέναι ὑπὸ τοῦ Πηγάσου.

Christ. Οπως φανεῖ] Attica & Aristophanica temporis enallage, pro ὡς ἂν φανείης. Quod autem ait τραγικώτερος, facit suo more vt verbum quod non expectant spectatores vsurpet pro altero, vt hic pro ἀξιοπιστότερος. Tamen rei veritatē secutus est. Quid enim est τραγικώτερον quàm equitare in alite? Hoc est, vt ait Horat. Humano capiti &c. Πῶς ἐξολισθεῖν] Quomodo enare poterunt? Hoc inquit, quia magna pars auium si in aquas ceciderint nare nequeunt: Tangit autem quæ de Icari fabula à Tragicis dici solent. Ναξιουργής] Perstat in Metaphora. Nā & naues Naxi fabricatæ Canthari vocantur, vt & σίλφαι dicebātur nauiculæ. Sic & Gnidiæ & Pariæ, & Corcyreæ. éstque genus nauigij Cātharus. Cratinus auctor est aliquādo Naxios maris dominos vsos esse his Cantharis, éstque lembus ναξιουργής. Hic pro seruaculo & clauo quo se vsurū dixit, nō dubium est quin innuat κέντρον illud quod ὠθεῖται εἰς τρυμαλιάν, vt dicebat Sotades. Athenæus lib. 11. Dipnosoph hunc Comici versum laudat. Notandū autem est etiam Cantharum vasis potorij genus esse, quin racemū sic vocari, vt meritò vinitor Trygæus inuehat animali ὁμωνύμῳ. Εν Πειραεῖ] In Piræo tres sunt portus insignes, vel teste Pausania: Quorum vnus Cantharus dictus ab Heroe Cantharo. Ibi nauale est Venerísque templū & quinque circum porticus. Apud Plutarchum in vitâ Phocionis videndum num pro καθαρὸς λιμὴν rectius legatur κάνθαρος. Quid est enim καθαρὸς λιμὴν nisi portus sine nauibus? ergo non portus, ne statio quidem, vt καθαρὸς λειμὼν apud Theocritū, pratum est sine arboribus. Λόγον τραγικὸν] Et fabula fias, vt ait Flaccus: λόγος hic est ὑπόθεσις aut certè oratio est, & voluit fortassis innuere Euripideum characterē oratoribus & foro magis proprium esse, quod videtur sensisse Fabius Quinctilianus. Quòd verò claudum ait, pertinet hoc ad ipsum Euripidē, qui in Bellerophōte fabula ipsum induxit claudicantem quòd lapsus sit de Pegaso,

A

BISETVS. Ὁ Τρυγαῖος τοὺς ἑαυτοῦ παῖδας ἀσπασάμενος, καὶ χαίρειν φράσας, πρὸς τοὺς θεατὰς γραφεὶς ταῦτα λέγει.

Ὑμεῖς δὲ γ' ὧνπερ οὕνεκα τοὺς πόνους ἐγὼ πονῶ,
Μὴ βδεῖτε, μηδὲ χέζετ' ἡμερῶν τριῶν.
Ὡς εἰ μετέωρος οὗτος ὢν ὀσφρήσεται,
Κατωκάρα ῥίψας με βουκολήσεται.

Qvorum labores gratia istos exsequor,
Triduúmque totum ne cacate aut pedite.
Ne si iste in altum subuolans olfecerit
Fallens me adaxit, præcipémque perduit.

B

BISETVS. Ὁ Τρυγαῖος τὸν κάνθαρον καταρρίζων, καὶ μαλακοῖς λόγοις καταπραΰνων πρὸς τὸ τὴν πορείαν εὐθέως ποιεῖσθαι προαγόρευει.

Ἀλλ' ἄγε Πήγασε χώρει χαίρων,
Χρυσοχάλινον πάταγον ψαλίων
Διακινήσας φαιδροῖς ὠσίν.
Τί ποιεῖς, τί ποιεῖς; ποῖ παρακλίνεις
Τοὺς μυκτῆρας πρὸς τὰς λαύρας;
Ἵει σαυτὸν θαρρῶν ἀπὸ γῆς.
Κᾆτα δρομαίαν πτέρυγ' ἐκτείνων,
Ὀρθῶς χώρει Διὸς εἰς αὐλάς.
Ἀπὸ μὲν κάκκης τὴν ῥῖν' ἀπέχων,
Ἀπό θ' ἡμερινῶν σιτίων πάντων.
Ἄνθρωπε τί δρᾷς οὗτος ὁ χέζων
Ἐν Πειραιεῖ παρὰ ταῖς πόρναις;
Ἀπολεῖς, οὐ κατορύξεις
Κἀπιφορήσεις τῆς γῆς πολλήν;
Κἀπιφυτεύσεις ἕρπυλλον ἄνω,
Καὶ μύρον ἐπιχεῖς, ὡς ἤν τι πεσὼν
Ἐνθένδε πάθω, τοὐμοῦ θανάτου
Πέντε τάλανθ' ἡ πόλις ἡ Χίων
Διὰ τὸν σὸν πρωκτὸν ὀφλήσει.
Οἴμ' ὡς δέδοικα, κοὐκέτι σκώπτων λέγω.
Ὦ μηχανοποιὲ πρόσεχε τὸν νοῦν ὡς ἐμέ.
Ἤδη στροφεῖ τι πνεῦμα περὶ τὸν ὀμφαλόν.
Κεἰ μὴ φυλάξεις, χορτάσω τὸν κάνθαρον.
Ἀτὰρ ἐγγύς εἶναι τῶν θεῶν ἐμοὶ δοκῶ.
Καὶ δὴ καθορῶ τὴν οἰκίαν τὴν τοῦ Διός.
Τίς ἐν Διὸς θύραισιν; οὐκ ἀνοίξετε;

Ergo age Pegase lætus gradere,
Auricoloris strepitum freni
Motare auribus incipe rectis.
Quid agis? quid agis? quò declinas
C Nares olidos ad secessus?
Tollere fidens procul è terra
Et pansis perniciter alis
Ad Iouis aulam dirige cursum.
Parce cacamina tangere nare
Atque cibaria quottidiana.
Heus tu quid facis, heus tu qui cacas
Prope Piræi turpe lupanar.
D Perij, perij, pergin' fodere
Atque iniecta condere terra?
Et serpyllum super inserere
Vnguentúmque infundere, ne si
Forte hic corruo perditus vrbs Chia
Culi ergo tui pro morte mea
Mulctetur quinque talentis.
Hei mi extimesco, facere ludos desino.
E O machinarie, mentis huc nisum adiice
Fœdi umbilicum spiritus vortex ferit,
Ni fers opem mihi, saturabo cantharum.
Sed videor esse cælites propter Deos,
Et iam tueri splendidam Iouis domum.
Quis limina obseruat Iouis? quin panditis?

CH. Μὴ βδεῖτε] Propter Scarabæū, hoc ait, ne stercoris odor eū ex alto eliciat. βδεῖν aliud est quàm πέρδεσθαι. Est enim hoc pedere, illud visire vel vissire, vnde Gallicum nostrum *vessir* (honor sit auribus nec odor in naribus) Inde vesicam dictā credibile est ex analogia, βδόλον & βδέσμα Græci dicunt, vetus Glossarium vissium & visionem interpretatur. Neque aliorsum accipiēdum Cacæphaton illud quod est in erudita Ciceronis ad Pætū epistola, vbi cū ait Intercapedo & Diuisio habere aliquid obscænū, nō dubito quin sit propter finales syllabas pedo & visio, quibus significantur πορδὴ & βδέσμα. Quæ etiam animaduersa à magni Dictatoris magno filio, Scaligerum dico.

Σχόλια. Κατωκάρα.] κατωφερῶς. ὅτι τὸ ἐπὶ τῆς κεφαλῆς πεσεῖν κατωκάρα λέγεται ἀττικῶς. ὑφ' ἕν. Βουκολήσεται] ἀπατήσεται. καὶ βουκόλημα τὸ θέλγητρον ὡς τό, καὶ ὅπως ἔχῃ τι βουκόλημα τῆς λύπης. ἀνθέμοις τοῖς τοίχοις ποικίλας γραφὰς ζώων. Ἀλλ' ἄγε Πήγασε.] μετὰ τὸ παρακελεύσασθαι τῷ ὄχλῳ καὶ τοῖς ἑαυτοῦ παιδίοις κοινῇ μηδὲν ἐρεθίζειν τὸν κάνθαρον, παρακελεύεται αὐτῷ. Εἴσθεσις δὲ τοῦ διπλῆς ἐκ στίχων ἀναπαιστικῶν διμέτρων ἀκαταλήκτων ιβ'. πλὴν τοῦ ιγ'. οὗτος γὰρ δίμετρος ὑπερκατάληκτικὸς ὅλῳ ποδὶ μεμερισμένος φαίνεται. ὑφ' ἃς αἱ συναφείας δύο διπλαῖ ἔξω νενευκυῖαι. ἐν ἐκθέσει δὲ ἰαμβικὰ τρίμετρα ἀκατάληκτα ζ. ἐπὶ τῷ τέλει δὲ κορωνίς. Ψαλίων.] τῶν χαλινῶν. Φαιδροῖς ὠσίν.] ὀρθοῖς μὲν ὀρθοῖς. τοῦτο γὰρ ποιοῦσιν οἱ ἵπποι, ὥσπερ παροξυνόμενοι εἰς ἀγῶνα δρόμον. Κάκκης.] κακίας. οἱ γὰρ ἀργεῖοι τὴν ἀκαθαρσίαν κάκκην ἔλεγον, καὶ μάλιστα τὸ δύσοσμον ἀποπάτημα. Παρὰ τὰς πόρνας.] πορνεῖον γὰρ ἦν ἐκεῖσε. ἐμπόριον γάρ ἐστιν. καὶ διὰ τὸ καταφερὲς τῆς ναυτιλίας ἐκεῖσε ἵσταντο αἱ πόρναι. Οὐ κατορύξεις.] ἡ συγχώσεις καὶ ἀποκρύψεις τὴν αὐτοῦ κόπρον. Ἕρπυλλον.] εἶδος ἄνθους ἐμψύχου ὅμοιον. μάλιστα δὲ παρὰ τοῖς ὕδασι θάλλει.

CHRIST. Κατωκάρα βουκολήσεται] Prono præcipitem agi decursu, vt ait Catullus. Attici κατωκάρα dicebant. βουκολεῖν autem est decipere cum aliqua

aliqua decipientis voluptate, vt dixit Horat. dulci laborem decipitur ſono. Itaque θυκόλημα eſt allicium & θέλγητρον, citat Scholiaſtes exẽplum nec auctorem nominat quem ego ſuſpicor eſſe Babrium vel Babrian qui duos libros Choliambων vel Mimiambων ſcripſit ex Æſopicis apologis. Sunt enim duo verſus Choliambi quos emẽdatiores dabo, χ' ὅπως ἔχῃ τι θυκόλημα τῆς λύπης ἀνέθηκε τοίχοις ποικίλας γραφὰς ζώων. Apud Sudam voce αἰώρα ſimiles habes verſus, quos etiam Babrij puto, inter quos iſte παρῆλθεν οὕτω θυκολοῦσα τὸ λύπης. Cæterùm hic ſequuntur Anapæſti. Nam nota illa quæ vocatur διπλῆ νενευκυῖα eſt ἔκθεσις Anapæſtica vel ἔκθεσις Iambica, quæ cùm gemina eſt, Coronis dicitur & Catalecticũ verſum arguit. Χρυσοχάλινον] Malim χρυσοχαλίνων. Sed cùm ait φαιδροῖς puto verba Scholiaſtæ nõ carere mẽdo, ait enim πράσοι μὴ ὀρθοῖς, mutarem ὀρθοῖς μὴ πράσοι: nam arrigunt aures equi cùm ad currendum incitantur. Κάκκης] Antiqui κάκκην vocabant ſtercus omne & olidam immunditiam, inde Latinum Cacare. Quin perdices dicuntur Cacabare quia πέρδωσι, & inde perdices dictæ. Παρὰ ταῖς πόρναις] Nã in Piræo fornix erat propter emporium, & portus celebritatem, & frequentes erãt cum nautis meretrices. Sic & apud Horatium in Satyris forum Appij differtum erat nautis cauponibúſque, vbi & plures amicæ, vel ἑταῖραι. Απολεῖς] puto geminandum verbum ἀπολεῖς vt ſit Dimeter Anapæſticus. Ερπυλλον] Serpyllum duplex eſt, hortenſe & ſylueſtre. Illud repit tantum, hoc verò tollitur in ſtipitem. A ſerpendo dictum, quia ſi qua eius particula terrã attigerit, inibi radices agit, florem autem edit ſuaue olentem, éſtque ſampſucho ſimillimum, quem vocamus Maziolanam, creſcit maximè ſecundum aquas.

Σχόλια. Καὶ μύρον ἐπιχέεις] καὶ ἐπιβάλλεις μύρον ὡς αὔξησιν. διὰ τὸ τελέως ἀφανισθῆναι τὴν ὀσμήν.

Bisetvs. Σημειωτέον ὅτι τὸ μύρον προπερισπωμένως, εἴπερ ἡ γραφὴ καλῶς ἔχει, παρὰ τῷ Εὐσταθίῳ λέγεται τὸ πρῶτον ἐκχυθὲν δάκρυον ἀπὸ μύῤῥας. παρὰ τὸ μύρεσθαι, τὸ χεῖσθαι. ὁ αὐτός φησι τὸ μῦρον παρὰ τὸν μόρον κατὰ τροπὴν αἰολικὴν τοῦ ο εἰς υ. διὰ τὸ μόρον, ὅ ἐστι κακοπαθεία γίνεσθαι. ἀλλαχοῦ δὲ, ὃ καὶ βέλτιον, τὸ μύρον παροξυτόνως, τὴν πρώτην συλλαβὴν βραχεῖαν εὑρίσκεται. καὶ ἐν τῷ ἐτυμολογικῷ οὕτω γέγραπται. μύρον τινὲς ἀπὸ τῆς Μύῤῥας ἢ ἀπεδενδρώθη. ἢ μύρον ἀπὸ τοῦ ἐμπιέζεσθαι τὰ ἀρώματα, καὶ ἀποστάζειν ὀπὸν τινα. ἀπὸ τοῦ μύρω, τοῦ ῥέω. καὶ ἐνταῦθα μύρον, οὐ μῦρον γέγραπται. οὕτω καὶ ἐν ἐπιγράμματι τῆς ἀνθολογίας βιβλίῳ ϛ.

Πέμπω σοι μύρον ἡδὺ, μύρῳ τὸ μύρον θεραπεύων,
Ως Βρομίῳ σπένδων νᾶμα τὸ τοῦ Βρομίου.

καὶ παρὰ τῷ Αθηναίῳ Δειπνοσοφ. βιβ. ιγ ἐκ τῆς Εὐβούλου ἐν Προκρίδι. ---καὶ τοὺς πόδας

Αλείψατ' αὐτοῦ τῷ Μεγαλλείῳ μύρῳ.

καὶ Βίων ἐν τῷ Αδώνιδος ἐπιταφίῳ,

Ραῖνε δέ μιν μύροισιν ἀλείφασι ῥαῖνε μύροισιν.
Ολλύσθω μύρα πάντα, τὸ σὸν μύρον ὤλετ' Αδωνις.

Σχόλια. Η πόλις ἡ Χίων] τοῦτο ὡς ἐκ παροιμίας τῶν Αθηναίων ἐκ προφάσεως συκοφαντούντων καὶ ζημιούντων τὰς πόλεις καὶ λεγόντων, ὅτι Χῖος ἦν ὁ ἀποπατῶν. καὶ διὰ τοῦτο ὁ κάνθαρος ἐποίησεν ἐπὶ τὴν ὀσμήν. κωμῳδεῖ δὲ Χίους ὡς εὐρυπρώκτους ὄντας, καὶ ἑτοίμους πρὸς τὸ ἀποπατεῖν. Οἴμ' ὡς δέδοικα] πρὸς τοὺς ἐν τῷ θεάτρῳ μηχανοποιούς. Πρόσεχε τὸν νοῦν] τουτέστιν ἀληθῆ λέξω, ἐπεὶ τὰ πρῶτα διασύρειν δοκεῖ τὸν Βελλεροφόντην. πρὸς δὲ τὸν ἐν τῷ θεάτρῳ μηχανοποιόν φησι.

Christ. Η πόλις ἡ χίων] Notat Chios & culi laxitatem eis obiicit, tanquam ſemper paratis ad aluum egerendam, vel aliud quod dicere nolo. Obiter etiam Athenienſium mores tangit calumniantium & caſtigantium alias ciuitates, ac velut prouerbium tollentium, Chius eſt qui cacat. De Chiorum autem ſpurca licentia notũ illud quod à Plutarcho refertur in Laconicis dictis, τοῖς Χίοις ἐφιᾶσιν ἀσελγαίνειν. Fortaſſis etiam per nomen Chium alludit ad χέζοντας quod Gallico Idiomati pronum eſt & facile. Ω μηχανοποιέ] Machinis vtebantur antiqui in ſcenis, & hoc genus κράδη vocabatur. Cùm verò introducebatur numen, locus erat extraordinarius ſublimis, quem vocabant θεολογεῖον.

ΕΡΜΗΣ, ΤΡΥΓΑΙΟΣ.

Κορωνὶς, καὶ εἴσθεσις ἀμοιβαία ἐκ στίχων νϛ'.

Ερ. Πόθεν βροτοῦ με προσέβαλ' ὦ 'ναξ Ηράκλεις.
Τουτὶ τί ἐστι τὸ κακόν. Τρυγαι. Ιπποκάνθαρος.
Ερ. Ω μιαρὲ καὶ τολμηρὲ κἀναίσχυντε σύ.
Καὶ μιαρὲ καὶ παμμίαρε καὶ μιαρώτατε.
Πῶς δεῦρ' ἀνῆλθες ὦ μιαρῶν μιαρώτατε.
Τί σοι πότ' ἐστὶ τοὔνομ' οὐκ ἐρεῖς; Τρ. Μιαρώτατος.
Ερ. Ποδαπὸς τὸ γένος εἶ, φράζε μοι. Τρ. Μιαρώτατος.
Ερ. Πατὴρ δέ σοι τίς ἐστιν. Τρ. Εμοὶ μιαρώτατος.
Ερ. Οὔτοι μὰ τὴν γῆν ἔσθ' ὡς οὐκ ἀποθανεῖ,

Mercvrivs, Trygævs.

Mer. *Vnde hominis accidit odor, ô Rex Hercule?*
Quid hoc negotij aut mali? Try. *Hippocantharus.*
Mer. *O dire & audax, impudens, nequiſsime,*
Sceleste, perdite, improbe & ſacerrime.
O perditorum perditiſsime omnium,
Quid huc venis? quod nomen eſt? Try. *Nequiſsimus.*
Mer. *Quis genere es? vnde? fare.* Try. *perditiſsimus.*
Mer. *Quo cretus autem patre?* Try. *perditiſsimo.*
Mer. *Vitare non potes ecere infortunium,*

A Εἰ μὴ κατερεῖς μοι τοὔνομ' ὅτι ποτ' ἐστί σοι.
Τρ. Τρυγαῖος, Ἀθμονεύς, ἀμπελουργὸς δεξιός.
Οὐ συκοφάντης, οὐδ' ἐραστὴς πραγμάτων.
Ερ. Ἥκεις δὲ κατὰ τί; Τρ. Τὰ κρέα ταυτί σοι φέρων.
Ερ. Ὦ δειλακρίων. πῶς ἦλθες, ὦ γλίσχρων. Τρ. Ὁρᾷς.
Ὡς οὐκ ἔτ' εἶναί σοι δοκῶ μιαρώτατος.
B Ἴθι νῦν. κάλεσόν μοι τὸν Δία. Ερ. Ἰὴ, ἰὴ, ἰή.
Ὅτ' οὐδὲ μέλλεις ἐγγὺς εἶναι τῶν θεῶν.
Φροῦδοι γάρ εἰσιν ἐχθὲς ἐξῳκισμένοι.
Τρ. Ποῖ γῆς; Ερ. Ἰδοὺ γῆς. Τρ. Ἀλλὰ ποῖ; Ερ. Πόῤῥω πάνυ
Ὑπ' αὐτὸν ἀτεχνῶς τοὐρανοῦ τὸν κύτταρον.
Τρ. Πῶς οὖν σὺ δῆτ' ἐνταῦθα κατελείφθης μόνος;
C Ερ. Τὰ λοιπὰ τηρῶ σκευάρια τὰ τῶν θεῶν.
Χυτρίδια, καὶ σανίδια, κἀμφορείδια.
Τρ. Ἐξῳκίσαντο δ' οἱ θεοὶ, τίνος οὕνεκα;
Ερ. Ἕλλησιν ὀργισθέντες. εἶτ' ἐνταῦθα μὲν
Ἵν' ἦσαν αὐτοὶ τὸν πόλεμον κατῴκισαν,
Ὑμᾶς παραδόντες δρᾶν ἀτεχνῶς ὅ, τι βούλεται.
Αὐτοὶ δ' ἀνῳκίσανθ' ὅπως ἀνωτάτω,
Ἵνα μὴ βλέποιεν μαχομένους ὑμᾶς ἔτι,
Μηδ' ἀντιβολούντων μηδὲν αἰσθανοίατο.
D Τρ. Τοῦ δ' εἵνεχ' ἡμᾶς ταῦτ' ἔδρασαν εἰπέ μοι.
Ερ. Ὅτι πολεμεῖν ᾑρεῖσθ' ἐκείνων πολλάκις
Σπονδὰς ποιούντων. κεἰ μὲν οἱ Λακωνικοὶ
Ὑπερβάλοιντο μικρὸν, ἔλεγον αὖ ταδί.

A Aut expedibus quod tibi nomen siet.
TRY. Trygaeus Athmonensis vinitor bonus,
Nec curiosus, nec calumniarum amans.
MER. Quid huc tibi aditio est? TRY. Fero has carnes tibi.
MER. Timidissime omnium, huc ne venisti? TRY. vides
Non iam videri me tibi nequissumum?
B Abi Iouémque huc siste mihi. MER. hui, hui, hui,
Abesse crede te à dijs longissimè,
Heri relicta eliminantibus domo.
TR. Quò gentium? ME. En quò. TR. at quò? ME. oppido certè procul,
Omnino ad ipsum operculum cæli vltimum.
TR. Quid ergo, quæso, solus hic relictus es?
ME. Vt reliqua seruem cælitum vasaria,
C Ollas, tabellas, friuola, amphoralia.
TR. Mutare sedes causa quæ suasit Deos?
ME. Græcis quòd essent maximè infensi, hinc vbi
Focos amabant collocant bellum Dij
Cui vos propinant arbitratu vt agat suo,
Ipsi in supernas quàm procul petunt plagas,
Ne prælantes vos tuantur inuicem,
Aut obsecrantes audiant vel sentiant.
D TR. Quæ causa cur nos oderint? edissere.
ME. Quòd fœdera illi cùm ferirent sæpius,
Certare bello maluistis, quippe si
Paulo Laconum potior esset factio,

Σχόλια. Πόθεν βροτοῦ] κορωνὶς καὶ εἴσθεσις ἀμοιβαία ἐξ ἰαμβείων ϛ. ἐπὶ τῷ τέλει κορωνίς. πόθεν βροτοῦ με. ἀντὶ τοῦ αἴσθησις ἀνθρώπου εἰσελήλυθεν. ἡ ὀσμὴ ἢ φωνὴ, ἐλλειπτικῶς κατὰ τοὺς Ἀττικούς. ὁ δὲ Ἑρμῆς ἐπὶ ταῦτα λέγων, ἤδη Τρυγαίου προσπελακότος τῷ οὐρανῷ. Τρυγαῖος Ἀθμονεύς.] τὸ μὲν ὄνομα Τρυγαῖος παρὰ τὴν τρύγα πεποίηται ἁρμόζον γεωργοῖς. τὸ δὲ Ἀθμονεύς ἀπὸ δήμου Ἀττικῆς. Δεξιός] ἐδόκουν γὰρ οἱ γεωργοὶ καὶ μάλιστα οἱ δεξιοὶ, ἀπραγμοσύνην ἀσπάζεσθαι. Τὰ κρέα] ὅτι κατὰ συστολὴν ἔλεγον οὐ μόνον ἐν ἱερεῖσι τὰ κρέα. ὡς πρὸς λίχνον δὲ τὸν Ἑρμῆν ταῦτα λέγει. Δειλακρίων] ἀπὸ τῶν κρεῶν συνῆψε τὸ ὄνομα. ἄκρως δειλὲ, ἢ ὦ ταλαίπωρε. ἰδὼν γὰρ διὰ τὰ κρέα εὐθὺς ἐλεεῖ αὐτόν.

CHRIST. Πόθεν βροτοῦ] Subaudiēdum vox vel odor, & est Attica ἔλλειψις: Putem verò potius ὀσμὴν subintelligi. Nam & idem Mercurius in persona Sosiæ apud Plautum dixit, olet homo quidem. Non mirum si Deorum apud homines nuntius & interpres, & animarum in inferos ductor, tam facilè hominem odoretur. Οὗτοι μὰ τὴν γῆν] Graphicè admodum notat rusticorum cōtumacem improbitatem, qui sine malo, vt ait Terentianus Phædria, nunquam ad petita respondebunt. Itaque paucis rem expedit, & tam ad interrogata illa τί σοι ποτ' ἐστὶ τοὔνομα, quàm ad illa ποδαπὸς τὸ γένος, respondet τρυγαῖος Ἀθμονεὺς, breui & simplici responso: neque hoc solùm, sed se bonum vinitorem profitetur, & (quod in Athenienses torquet) neque sycophantam se neque πολυπράγμονα. Trygæi nomen vinitori proprium est à fecibus vini. Athmonensis verò ab Athmone qui δῆμος vel (vt cum A. Gellio loquar) populus est Cecropidos tribus. Sudas ἀθμωνιὰν dixit per ω magnum, mendosè. Amasæus apud Pausaniam

E in Atticis δημότην ἀθμονέα vertit curialem Athmonensem, malim popularem. Nam δῆμοι populi interprete eodem Gellio optimo linguę Latinæ auctore, & sine adfectatione aut περιεργίᾳ antiquario. Notandum autem illud δεξιὸς, quia opponitur τῷ συκοφάντῃ. Legitur enim in Sudæ Collectaneis & indigesta illa farragine δεξιοὺς vocari functos militia viros & laude dignos, fugaces autem & desertores esse φιλοδίκους & συκοφάντας. Δειλακρίων] Scholiastes à carnibus compositum verbum putat. Quod si ita est, non mirum si apud

F Sudam Mercurius lurco & rapo vocatur δειλακρίων. Tamen melius censeo accipi pro misero & infelice quasi sit ἄκρως δειλὸς vel ἄθλιος, quemadmodum & in Auibus vsus est, & in Pluto anum δειλάκραν dixit. Ἰὴ ἰὴ] Acclamationem ait esse idem Scholiastes cum risu & contemptu quà longam deorum distantiam significat. Sed fortassis allusum est ad exclamationem illam qua Pæanes olim constituti. Cùm enim

G Apollo paruulus infans Pythonem serpentem ferire vellet, acclamatum est à matre vel spectantibus, ἵει ἵει ἵει, id est, mitte vel feri. vnde postea ἰὴ παιὰν. Quia autem erat ἑκηβόλος deus, fortassis illud ἵει non erat simpliciter mittere, sed longè mittere. Sic hoc loco fortassis hoc innuit.

Quam-

Quantumuis longè mittas, nunquam deos attingas, qui propter vos longè secesserunt.

Σχόλια. Γλίσχρον.] ἀπὸ τοῦ γλίχεσθαι. γλίσχρους γὰρ τοὺς ἀτυχεῖς εἰώθασι λέγειν, ἐπὶ τῇ γλισχρείαν τῆς ἀτυχίας, ἢ γλίσχρως ὀλεθρίως. νῦν δὲ ἀπὸ τοῦ. Ὡς ἂν ἔτ' εἶναί σοι δοκῶ.] ὅτι φιλοτίμως εἰς τὸν οὐρανὸν ἀνέβην. Ἰοὺ ἰού] τὸ μῆκος συμμετρεῖ τῶν ὁδῶν φησί. ... καταφρονοῦντος. Οὐδὲ μέλλει] μετῳκίσθησαν γὰρ δι' ὑμᾶς. Ἰοὺ γῆς.] χλευάζων φησὶν ὡς ἐν οὐρανῷ αὐτῶν οἰκούντων.

Bisetvs. Τοῦτο δὲ τοῦ ἐπιρρήματος, τοῦ ἰοὺ λέγω, χρεῖσθαι χρησὶς ἐστιν, ὅταν τὶ ἀορίστως, ἢ ἀτόπως εἰρημένον ἐλέγχομεν, ὡς καὶ ἐνταῦθα. ἀόριστος γάρ ἐστι περὶ τῶν θεῶν οὕτω φρονεῖν, ἢ λέγειν, ὥστε νομίζειν αὐτοὺς ἐν τῇ γῇ κατοικεῖσθαι.

Σχόλια. Κύτταρον] κυττάρους καλοῦσι τὰς τῶν σφηκίων κατατρήσεις, μεταφορικῶς δὲ τὸ κοιλότατον καὶ μυχαίτατον ἐπὶ τοῦ οὐρανοῦ. ὁ δὲ λόγος εἰς τὰ ἔσχατα καὶ ἀπόκρυφα μέρη τοῦ οὐρανοῦ.

C Christ. Κύτταρον] κύτταρος propriè est nucamentum. Plin. panniculam vocat. Sed hic pro cæli penetralibus accipitur translatiuè, vt & A in Thesmophor. Et rectè. Cùm enim κύτταροι sint σφηκῶν καὶ κυείων κατατρήσεις & βαλάνων πυλίδες vel πώματα (malè apud Suidam σώματα) id est opercula, eleganter cæli alteram partem & intimam vocat κύτταρον. Miror autem quòd Hesychius (cuius glossas neque integras habemus, neque semper fide dignas) ait κυττάρους non solum esse τὰ ἴσα τῶν βαλάνων, sed etiam τὰς αἰδοίων τὰς βαλάνους.

B Σχόλια. Χυτρίδια] καὶ ταῦτα γελοίου χάριν καὶ ἀποσύρων ταῦτά φησιν. ἀμφορεῖς δὲ, τὰ μέτρα. Ἵν' ἤσαν αὐτοί.] ὅπου ἦσαν πρότερον καὶ διέτριβον οἱ θεοὶ κατῴκισαν τὸν πόλεμον. Ἀνῳκίσαντο.] ἀντὶ τοῦ ἀπῳκίσαντο καὶ ἀνεχώρησαν. ὡς ἂν μὴ ὁρῷεν αὐτοὶ τὰ δυσχερῆ. Ἀνωτάτω.] ἀντὶ τοῦ ἀνώτατον ἀνώτατα ἐστι δωμάτων ... Τοῦδ' εἵνεχ' ἡμᾶς.] τίνος χάριν ... τοιαῦτα ἔχοι ὀργήν. Ἐκεῖνοι πολλάκις.] τῶν θεῶν ἢ τῶν Λακεδαιμονίων. ὅτι πολλάκις Λακεδαιμόνιοι βουλόμενοι εἰρήνην ἦλθον καὶ οὐκ ἐδέξαντο. Σπονδὰς ποιουμένων.] τῶν θεῶν πρυτανευόντων ἡμῖν τὴν εἰρήνην ἀεί. Οἱ Λακωνικοί.] ὡς φιλοπολέμων ὄντων τῶν Λακωνικῶν καὶ τὴν εἰρήνην οὐ προσιεμένων πρώτων ἐμνήσθη.

Ναὶ τὼ σιὼ, νῦν Ἀττικίων δώσει δίκην.
Εἰ δ' αὖ πράξαιντ' ἀγαθόν τι Ἀττικωνικοὶ,
Κἄλθοιεν οἱ Λάκωνες εἰρήνης πέρι,
Ἐλέγετ' ἂν ὑμεῖς εὐθὺς, ἐξαπατώμεθα.
Νὴ τὴν Ἀθηνᾶν, νὴ Δί' οὐχὶ πειστέον.
D Ἥξουσι καὖθις ἢν ἔχωμεν τὴν Πύλον.
Ὁ γοῦν χαρακτὴρ ὑμεδαπὸς τῶν ῥημάτων
Ὧν οὕνεκ' οὐκ οἶδ' εἴποτ' εἰρήνην ἔτι
Τὸ λοιπὸν ὄψεσθ'. Τρυ. Ἀλλὰ ποῖ γὰρ οἴχεται;
Ερ. Ὁ πόλεμος αὐτὴν ἐνέβαλ' εἰς ἄντρον βαθύ.
Τρ. Εἰς ποῖον. Ερ. Εἰς τουτὶ τὸ κάτω. κἄπειθ' ὁρᾷς,
E Ὅσους ἄνωθεν ἐπεφόρησε τῶν λίθων,
Ἵνα μὴ λάβητε μηδέποτ' αὐτήν; Τρυ. Εἰπέ μοι.
Ἡμᾶς δὲ δὴ τί δρᾶν παρασκευάζεται;
Ερ. Οὐκ οἶδα πλὴν ἕν, ὅτι θυείαν ἑσπέρας
Ὑπερφυᾶ τὸ μέγεθος εἰσηνέγκατο.
Τρ. Τί δῆτα ταύτῃ θυείᾳ χρήσεται;
Ερ. Τρίβειν ἐν αὐτῇ τὰς πόλεις βουλεύεται.
Ἀλλ' εἶμι, καὶ γὰρ ἐξιέναι γνώμην ἐμὴν
F Μέλλει. θορυβεῖ γοῦν ἔνδον. Τρ. Οἴμοι δείλαιος,
Φέρ' αὐτὸν ἀποδράσω· καὶ γὰρ ὥσπερ ἠσθόμην
Καὐτὸς θυείας φθέγμα πολεμιστηρίας.

Nunc per gemellos Attici pœnas luent,
Aiebat: at si prospere esset Atticus,
Et veneris pro Pace legatus Laco
Circumuenimur, inquiebatis statim,
Ne per Mineruam, per Iouem credamus his,
Iterum redibunt si semel potimur Pylum:
Atque hæc loquendi forma vestra vt plurimum est.
Quoius petendam gratia pacem haud scio
An quibitis videre post illa. TR. quo abit?
MER. Hanc in remotos abdidit bellum specus.
TRY. In quos? MER. in istos inferos, dein vides
Obiecta saxa quæ super congesserit
Ne prendere ipsam sit facul vobis. TRY. age,
Memora quod in nos grande designat malum.
MER. Nescio, nisi quod vesperi mortarium
Ingens capáxque vastitatis intulit.
TRY. Quid hoc facere se postulat mortario?
MER. Græcas in illo pinsere vrbes cogitat.
Sed hinc facesso, opinor egressum parat;
Iam trepidat intus atque turbat. TRY. hei mihi,
Quin do in pedes me protinam? quippe audio
Egomet sonorem bellici mortarij.

Σχόλια. Ναὶ τὼ σιὼ] οὕτω τοὺς Διοσκούρους οἱ Λακεδαιμόνιοι σιοὺς ἔλεγον, ὡς Ἀθηναῖοι θεοὺς Δήμητρα καὶ Περσεφόνην.

Christ. Ναὶ τὼ σιώ] Lacedæmoniorum Dij Dioscuri sunt, nam σιοὺς vocabant Deos, vnde Sibyllæ nomen: Dij verò Atheniensium Ceres, Persephone, Minerua. lego autem distinctè αὖ τι, & refero ad ἀγαθόν, ne quis αὖτις legat.

Σχόλια. Νῦν Ἀττικίων] εἰ Λακεδαιμόνιοι μικρὸν ἐν τῇ μάχῃ κρατήσουσιν, εὐθέως λέγουσι νὴ τοὺς θεοὺς, νῦν δώσουσιν οἱ Ἀθηναῖοι δίκας. εἰ δ' Ἀθηναῖοι νικήσουσιν, εὐθέως ἀπελεύσονται Λακεδαιμόνιοι. καὶ εἰ ἔλθωσι μετὰ τὴν νίκην εἰρήνην ζητοῦντες οἱ Λακεδαιμόνιοι, λέγουσιν Ἀθηναῖοι, ἐξαπατῆσαι ἡμᾶς βούλονται, ἵνα ποιήσωμεν εἰρήνην, ἐπειδὴ νικῶμεν. σκώπτει δὲ τὸ ὑπερήφανον τῶν Ἀθηναίων.

G Bisetvs. Ἀττικίων δὲ, ὑποκοριστικῶς εἴρηται, ὡς καὶ ἀπὸ τοῦ μαλακὸς μαλακίων. τοῦτο δὲ ἔχουσι ...

Σχόλια. Ἀττικωνικοί.] οὕτως ἔλεγον εὐτελίζοντες καὶ ὑβρίζοντες τοὺς Ἀθηναίους. ἢ πρὸς τὸ Λακωνικὸν ἔπαιξεν.

Νὴ Δία οὐχὶ πιστεύων.] ἔοικεν μόνον αὐτοὺς τὴν πάτριον ὀμόσαι. ἀλλ' ἐπαίρων τοὺς Ἀθηναίους τοῦτό φησιν, ὡς ἐν Ἀθήναις μόνη χρήσαιντο, ἀλλὰ καὶ Διί. Ηὐχόμεθα τὴν Πύλον.] τοῦτο διὰ τοὺς ληφθέντας ἐν Σφακτηρίᾳ τριακοσίους καὶ διὰ τὸ ἐπιτείχισμα ὅπερ Ἀθηναῖοι κατέστησαν ἐν Πύλῳ. ὅτι ληφθείσης αὐτῆς, περὶ εἰρήνης πρῶτοι Λακεδαιμόνιοι πρὸς Ἀθηναίους ἐπρέσβευον.

CHRIST. τὴν Πύλον] Pylus insula iuxta Peloponnesum, & regio Laconicæ, olim etiam dicta Coryphasium & Sphacteria ab occisione illa Lacedæmoniorum in arce pugnantium, duce temerario Brasida; cùm trecentos propugnatores accepisset: capta tandem fuit cum trecentis illis à Cleone, qui præclari facinoris gloriam eripere voluit Demostheni & Niciæ fortissimis ducibus, qui fortiter pugnando eam ad incitas redegerant. Itaque cùm cepissent Pylon Athenienses, statim Lacedæmonij legatos de Pace miserunt. Hic Atheniensium tangit superbiam & ferociam in rebus prosperis. Mox legerem ὑμεῖς ἀπὸς non ὑμεῖς ἀπός.

Σχόλια. Ἐπιφόρησεν.] ἐπεφώρησεν. Θυείας.] θυεία ἀγγεῖον εἰς ὃ ἐμβάλλοντες τινὰ ἀρτύματα τρίβομεν καὶ λεαίνομεν. Φέρ' αὐτὸν ἀποδρῶ] ποιεῖ δὲ τὸν Τρυγαῖον ἀποβεβηκότα τοῦ κανθάρου ἐπὶ τῆς σκηνῆς ταῦτα λέγειν. Θυείας] ἀντὶ τοῦ εἰπεῖν σάλπιγγος θυείας εἶπεν.

ΠΟΛΕΜΟΣ, ΤΡΥΓΑΙΟΣ, ΚΥΔΟΙΜΟΣ.

BELLVM, TRYGÆVS, Tumultus.

BISET. Κορωνὶς ἑτέρα ἐν στίχοις τοῖς προειρημένοις ὁμοίων ἐγ. μεθ' οὓς δύο τροχαϊκοὶ τοῖς ἑξῆς ὅμοιοι.

Πό. Ἰὼ βροτοὶ, βροτοὶ, βροτοὶ, πολυτλήμονες.
Ὡς αὐτίκα μάλα τὰς γνάθους ἀλγήσετε.
Τρ. Ὦ 'ναξ Ἄπολλον τῆς θυείας τοῦ πλάτους,
Ὅσον κακὸν, καὶ τοῦ πολέμου καὶ τοῦ βλέμματος.
Ἆρ' οὗτός ἐστ' ἐκεῖνος ὃν καὶ φεύγομεν;
Ὁ δεινὸς, ὁ ταλαύρινος, ὁ κατὰ τοῖν σκελοῖν;
Πό. Ἰὼ Πρασιαὶ τρισάθλιαι, καὶ πεντάκις,
Καὶ πολλοδεκάκις, ὡς ἀπολεῖσθε τήμερον.
Τρ. Τουτὶ μὲν ἄνδρες οὐδὲν ἡμῖν πρᾶγμά πω.
Τὸ γὰρ κακὸν τοῦτ' ἐστὶ τῆς Λακωνικῆς.
Πό. Ἰὼ Μέγαρα Μέγαρ' ὡς ἐπιτετρίψεσθ' αὐτίκα,
Ἁπαξάπαντα καταμεμυττωτευμένα.
Τρ. Βαβαὶ βαβαιὰξ ὡς μεγάλα καὶ δριμέα
Τοῖσι Μεγαρεῦσιν ἐνέβαλε τὰ κλαύματα.
Πό. Ἰὼ Σικελία, καὶ σὺ δ' ὡς ἀπόλλυσαι.
Οἵα πόλις τάλαινα διακναισθήσεται.
Φέρ' ἐπιχέω καὶ τὸ μέλι τουτὶ τ' Ἀττικόν.
Τρ. Οὗτος, παραινῶ μέλιτι χρῆσθαι θατέρῳ.
Τετρώβολον τοῦτ' ἐστὶ, φείδου τ' Ἀττικοῦ.
Πό. Παῖ παῖ Κυδοιμέ. Κυ. τί με καλεῖς; Πόλ. Κλαύσει μακρά.
Ἕστηκας ἀργός. οὑτοσί σοι γὰρ κόνδυλος.
Ὡς δριμύς. Κυ. Οἴμοι μοι τάλας ὦ δέσποτα.
Μῶν τῶν σκορόδων ἐνέβαλες εἰς τὸν κόνδυλον;
Πό. Οἴσεις ἀλετρίβανον τρέχων. Κυ. Ἀλλ' ὦ μέλε
Οὐκ ἔστιν ἡμῖν. ἐχθὲς εἰσῳκίσμεθα.
Πό. Οὐκοῦν παρ' Ἀθηναίων μεταθρέξει ταχύ.
Κύ. Ἔγωγε νὴ Δί'. εἰ δὲ μή γε κλαύσομαι.

BEL. O misera & ærumnosa gens mortalium
Maxilla vobis quàm dolebit utraque.
TRY. O vastitatem Phœbe Rex mortarij,
O quale belli quale & aspectus malum:
An ille vero est opere quem sic maximo
Effugimus? ille durus, infractus pedes?
BEL. Ter io quatérque vos miseræ adhuc quinquies
Deciésque Prasia, ut occidistis funditus!
TRY. Ad nos nihil adhuc, ô viri, illa pertinent:
Regionis istuc est malum Laconicæ.
BEL. Io Mégara, Mégara, heu minutatim omnia
Numerò interenda, ceu moreti potio.
TRY. Babæ baba, attat, heu ut ingentes modo
Iniecit acres lacrymas Megarensibus.
BEL. Io ut occidisti, & tu ferax Sicania,
Heu qualis urbs misella fartim disperit.
Cedò hocce ut infundam super mel Atticum.
TRY. Heus tu, tibi inquã alio potes melle utier.
Hoc emitur obolis quattuor, parce Attico.
BEL. Puer puer Tumultus. TVM. ecquid me vocas?
BEL. Ignauus hic stas, ociosus, vapula,
En quàm acer iste colaphus. TVM. hei mihi ô here
Colapho indidistin' allij acrimoniam?
BEL. Feréns pistillum ocyus? TVM. nescisne tu
Non esse nobis? demigrauimus heri adhuc.
BEL. Quin mutuare ab Atheniensibus licet.
TV. O Iuppiter, licet, sed absque lacrymis.

Σχόλια. Ἰὼ βροτοί.] κορωνὶς ἑτέρα, ἑτέρων εἰσιόντων ὑποκειμένων. εἰσὶ δὲ στίχοι ὅμοιοι τοῖς προφθάσασι ξγ. καὶ ἐν ἐκθέσει τροχαϊκοὶ τοῖς ἑξῆς ὅμοιοι δύο. ἐπὶ τῷ τέλει κορωνίς. ἐξιόντων ὑποκειμένων, ὁ πόλεμος ἐξέρχεται θέλων τρίψαι μυττωτόν. σκευὴ δὲ αὐτῷ ἐκ τυροῦ καὶ σκορόδου καὶ μέλιτος καὶ πράσων. Τὰς γνάθους ἀλγήσετε.] τριβόμενοι ἐν τῇ θυείᾳ, ἢ τοῦτον τὸν μυττωτὸν ἐσθίοντες. ἢ ὅτι πολέμου ὄντος ἀρδεῖ τὰ δυστυχεῖα, ἀντὶ τοῦ εἰπεῖν λιμώττοντες. Ὁ δεινὸς] ταῦτά φησι θεασάμενος τὸν πόλεμον, μείζονα τὴν ὑπόνοιαν ἔχοντα τῆς πείρας τῆς διὰ τῆς ὄψεως. Ταλαύρινος] ὑπομενητικὸς καρτερικὸς ἐν τῇ μάχῃ.

BISETVS. Εὐστάθιος, ταλαύρινος, ὁ τάλαντα ῥινὸν, ἤγουν ὁ καρτερικὸν δέρμα ἔχων. Ὁ κατὰ τοῖν σκελοῖν] ἤγουν ὁ διαστήσας τὰ σκέλη, τουτέστι τὴν βάσιν πρὸς ἀντέρεισιν.

ἀντίρ[ρ]ειν, ὥσπερ ποιεῖν εἰώθασιν οἱ πρὸς μάχλω αὐτοὺς παρασκευάζοντες. οὕτω καὶ Ομηρος, καὶ Απολλώνιος ὁ Ρόδιος, ἐν διαβάς.

Σχόλια. Πρασιαί] πόλις Λακωνική. ἅμα δὲ πράσον ἐμβάλλων ταῦτά φησιν. Οὐδὲν ἡμῖν πρᾶγμά πω] πρὸς τὴν ἐπωνυμίαν φησὶ τῆς ἐν τῇ Λακωνικῇ πρασιᾶς, ὅτι ἡμεῖς τοῦ κακοῦ τούτου ἀλλότριοι ἐσμέν. Ιὼ Μέγαρα.] σκόροδα ἐμβάλλων ταῦτα φησιν. ἡ γὰρ Μεγαρικὴ σκοροδοφόρος. σύμμαχοι δὲ Λακεδαιμονίων Μεγαρεῖς. καὶ ὅτι αἴτια ἡ τοῦ πολέμου πρόφασις. δι' αὐτοὺς δοκεῖ γεγονέναι, χάριν τοῦ τὸ πινάκιον συντεθέντος κατ' αὐτῶν εἰς τὴν Περικλέους χάριν. ὥστε μήτε λιμένων Ἀττικῶν ἐπιβαίνειν τοὺς Μεγαρεῖς. εἰκότως οὖν εἰς τὸ μυττωτὸν ἐμβάλλει τοῖς Ἀθηναίοις τοὺς τούτων ἐχθροὺς παρεισάγει ἐκ τοῦ πολέμου συντετριμμένους τέλεον. ἅμα δὲ ταῦτα λέγων ὁ πόλεμος, σκόροδα βάλλει εἰς τὴν θυείαν, ὅθεν καὶ τὸ ἑξῆς οἰκείως ἐπαχθήσεται. τὸ ἀπαξάπαντα καταμεμυττωμένα.

C CHRIST. Οἷον κακὸν καὶ] Delendum illud καὶ vt numeris suis constet Senarius: quamquam libentius legerem οἷον κακὸν πολέμου τι καὶ &c. Est autem ἓν διὰ δυοῖν vt illud, Pateris libamus & auro. Nam nihil aliud ait quàm visu triste esse bellum, quod alioqui non videntibus & inexpertis dulce videtur. Ο δεινὸν] Maiorem sibi ex visu fidem facit. Itaque tribus epithetis magnitudinem mali depingit, δεινὸν vocat meritò: nam τὰ δεινὰ etiam apud Thucydidem bellum est: & ταλαύρινον, quia stataria pugna patiens est & sustinens. Sed quid est illud ὁ κατὰ τῶν σκελοῖν, ingenuè fateor me nescire, nisi κατὰξ legas, id est κατιαγώς: nā etiam Latine Catax, dicitur claudus. Neque hoc repugnat ταλαύρινος. Nam claudi sunt ὑπομονητικώτεροι in pugna, vel teste Tyrtæo. Tamen ambigo, & in eiusmodi rebus nihil perpetuo iure decido, arbitrario tantum iure statuo. πρασιαί] Prasiæ oppidulum est in ora Laconiæ maritima, quod ab Atheniensibus captum fuit, vastatum & dirutum, ἔτεμε τῆς γῆς, ait Thucydides, καὶ πόλισμα εἷλε καὶ ἐπόρθησε. Hic verò alludit ad πράσον, quod porrū est, quódque interea iniicit terendum in mortario. πρασιαὶ olim etiam horti dicebantur, & inde pratorum ἔτυμον esse suspicor cum doctiss. Ios. Scaligero. Οὐδὲν ἡμῖν πρᾶγμά πω] Tamen teste Stephano πρασιαὶ erant etiam Athenis populus ex tribu Pandionide. Ιὼ Μέγαρα] Allia iniiciens in mortarium Megara vocat: ea enim regio alliorū ferax, vt ex Acharnensibus liquet: Deinde Megarenses Lacedæmoniorum in hoc bello fuerūt socij & commilitones, imò ἀρχέκακοι. Nam propter eos Pericles illud populi scitum rogationémque scripsit, vt inferius dicemus.

Σχόλια. Βαβαὶ βαβαιάξ] χιτλιαστικὸν ἀντὶ τοῦ φεῦ φεῦ. ἔδει δὲ εἰπεῖν τὰ σκόροδα παρ' ὑπόνοιαν εἶπε τὰ κλαύματα. Κλαύματα] ἀντὶ τοῦ σκόροδα. τοῖς γὰρ ἐσθίουσι σκόροδα, δάκρυα ἔπεισι διὰ τὴν δριμύτητα. Σικελία] τυρὸν βάλλων Σικελίας μέμνηται. πολὺς γὰρ ἐκεῖ τυρός. μέρος δὲ ταύτης πολέμιον ἦν Ἀθηναίοις. ἔνθα καὶ τὴν μεγάλην ἐδυστύχησαν ἧτταν. Διακναιαθήσεται.] διαφθαρήσεται ὡς ἐπὶ τυροῦ τοῦτο. Ομηρος. ἐπὶ δ' αἴγειον κνῆ τυρόν. κναίειν γὰρ ἐστι κυρίως, τὸ τὸν τυρὸν ξύειν τῇ κνήστει. Φέρ' ἐπιχέω] χαρίζεται τοῖς Ἀθηναίοις] ὅσῳ γὰρ μέλι τιμιώτερον σκορόδου καὶ πράσου, τοσούτου ἀμείνων καὶ ἡ τοῦτο γεωργοῦσα γῆ. εἰπὼν δὲ τοῦτο, μέλιτος εἰς τὴν θυείαν ἐμβάλλει. Τετρωβόλου.] πο-

A λυτίμητον. οὕτω γὰρ λέγουσι τὸ τετρωβόλου πωλούμενον. Φείδου τἀττικοῦ] ἀντὶ τοῦ φειδώ τινα καὶ πρόνοιαν ποίει τοῦ Ἀττικοῦ. Οὐδοὶ γὰρ κόνδυλος.] παραπεποίηκε. ἅμα γὰρ τῷ εἰπεῖν δίδωσιν αὐτῷ τὸν κόνδυλον.

BISETVS. Κυδοιμέ] κυδοιμὸς κυρίως ταραχὴν καὶ θόρυβον δηλοῖ. ἐνταῦθα δὲ ὄνομα κύριον πέπλασται, ὡς δούλου τοῦ τῷ πολέμῳ διακονοῦντος, ἀπὸ τοῦ
B θορυβοῦντος. Κόνδυλος] Εὐστάθιος: κόνδυλος λέγεται τὸ καμπτὸν τοῦ δακτύλου, ὃ ἐστιν ὁ γόνυ φησί. καὶ κονδυλίζειν, τὸ κονδύλῳ παίειν. καὶ παροιμία, δὸς ἄρτον, τυρὸν καὶ κόνδυλον ὄψον ἐπ' αὐτῷ. καὶ κόνδυλος Ἀττικὸς ὁ κολαφος. κόντυλος δὲ εἶδος τοῦτ' εἶδος ὀρνέου. τινὲς δὲ ἐνταῦθα νομίζουσι γράφειν κάνδυλον, ὅπερ ἐστὶ βρῶμα διὰ μέλιτος, καὶ γάλακτος σκευαζόμενον. καὶ ἴσως ὁ ποιητὴς παίζει τῇ ἀγχιστείᾳ, καὶ ἀμφιβολίᾳ τινὶ δὲ τῆς λέξεως. ἀλλὰ μηδὲν κινεῖ. ἡ γὰρ γραφὴ καλῶς ἔχειν, ὡς ἐκ τῶν ἑξῆς
C δῆλον.

CHRIST. Καταμεμυττωμένα] Vt Iambicus impleatur legerem καὶ καταμ. &c. simile videtur deesse. Sed placet lectio illa quam è scripto codice repræsentauit amicus noster Federicus Morellus iuuenis pereruditus, qui Professionem Typographiámque Regiam vna diligentia complexus est. Est autem καταμεμυττωτιωμένα. Quod verbi formauit Comicus φιλοπολυσύλλαβος, à Moreto qui μυττωτὸς vel μυσωτὸς: & dictum pro καταπτρημμένα. Βαβαὶ] Babæ admirantis est secundum
D Sosipatrum. Hic est σχετλιαστικὸν pro φεῦ, vt videatur Charisius Babæ & Papæ idem fecisse. Sed lacrymas posuit pro alliis, quia flere faciunt allia, vt dicitur de sinapi. Hoc facit δριμύτης & acrimonia quam Virgilius in Moreto vocat fumum. Ιὼ Σικελία] Sicilia πολύβροτος est, lactis & casei abundans, vnde ille ex Theocrito, Mille meæ Siculis errant in montibus agnæ. Pars autem erat Siciliæ quædam Atheniensibus inimica, stabátque à factione Lacedæmoniorum, vbi & magnam illi cladem acceperunt in transitu Assinarij fluminis. Nam & aqua, vt ait Thucy-
E dides, statim corrupta fuit, ea nihilominus potabatur luto quamuis & sanguine inquinata. Deinde magnus fuit numerus occisione occisorum Atheniensium, maiórque fuisset clades nisi procul ab Athenis periisset exercitus ille magis ex auxiliaribus copiis conscriptus quàm ex domesticis, vt ait Arrianus libro 1. ἀναβάσεως. Proprio autem & signatissimo verbo vsus est διακναιαθήσεται. Nam κναίειν & κνῆθειν de caseo propriè dicitur, vnde κνῆστις scal-
F pellum. Vsus est Homerus αἴγειον κνῆ τυρόν, & aliàs κνῆστις χαλκείη. Hinc & ῥάχις vocatur ἄκνηστις, quia non facilè scalpatur. Μέλι τουτὶ τ' ἀττικὸν] Quasi ad remedium alienarum miseriarum præsto sint Athenienses hæc ait illis gratificans. Nam quantò præstantius est mel alliis & porris, tantò Atticum solum reliquis terris. Placentas autem antiqui melle sapora-
G bant, quod ex Archestrato etiam patet, cuius versus luculentos lege apud Athenæum libro 3. Philosophantium in conuiuiis. Οὑτοσὶ γὰρ γὰρ κόνδυλος] Delerem illud γὰρ. Neque enim agnoscere videtur Scholiastes, quamquam non nimis otiosum, & fortassis hanc geminationem amauit vt postea εἴπομεν.

Σχόλια. Ἀλετρίβανον] οἱ μὲν Ἀσιανοὶ παρὰ τὸ τὰς ἅλας τρίβειν. οἱ δὲ ψολῆς παρὰ τὸ ἀλεῖν. ἡ δοίδυξ μὲν Ἀττικόν. ἀλετρίβανον δὲ ἀσιανὸν λέγεται δὲ καὶ ἀλότριψ. ὡς ἐν ἐπιγράμματι. καὶ τοῦτον δικάρανον ἀλότριβα. καὶ ἀλετρὶς ἡ μυλωθρὸς παρὰ Καλλιμάχῳ. Ἐχθὲς εἰσῳκισάμεθα] συμβαίνει γὰρ τοῖς νεωστὶ εἰσῳκισμένοις μὴ εὐπορεῖν πάντων τῶν ἀναγκαίων.

BISETVS. Ἐχθὲς δὲ, ἀντὶ τοῦ χθές. οὕτω καὶ ἐν Νιφίλαις.

Ἐχθὲς δέ γ' ἡμῖν δεῖπνον ἦν ἐστίρεμ.

Σχόλια. Οὔκουν παρ' Ἀθηναίους.] πάλιν λελυθότως σεμνολογεῖ τοὺς Ἀθηναίους ὡς αὐτόχθονας καὶ γνησίους, ἐκ τοῦ εὑρίσκεσθαι παρ' αὐτοῖς τὰ τῆς παλαιᾶς εὐδαιμονίας, ὡς πρόνοια τῶν νεωστὶ εἰσῳκισμένων.

CHRIST. Ἀλετρίβανον] Vox est Asiatica, Attici δοίδυκα vocant, quæ etiam ἀλότριψ dicitur, A vt in Epigrammate, καὶ τοῦτον δικάρανον ἀλότριβα. Qui aspirant, etymon arcessunt à sale terendo. Alioquin est à molendo siue pinsendo, quod est ἀλεῖν. Inde etiam pistillus. Nam apud Callimachum molitrix dicitur ἀλετρίς, hymno in Delum, sic enim δμωαὶ μογέουσιν ἀλετρίδες. etsi non sum nescius quosdam illic legere ἀλιτρίδες, id est, ὁμόλεκτροι, thori consortes, qua ratione dicitur ἄλοχος. Οὔκουν παρ' Ἀθηναίων] Putat Scholiastes hinc laudari & magnificari Athenienses, B quasi αὐτόχθονας, apud quos antiqua omnia reperiantur, neque sint alienæ opis indigi. Ego contra censeo, eos rusticatim tangi, tanquam apud eos belli causa facile inueniatur, vel propter Cleonem semper paratum ad perdendam Græciam.

BISETVS. Ὁ Τρυγαῖος ταῦτα πρὸς τοὺς θεατὰς λέγει.

Τρ. Ἄγε δὴ τί δρῶμεν ὦ πόνηρ' ἀνθρώπια.
Ὁρᾶτε τὸν κίνδυνον ἡμῖν ὡς μέγας;
Εἴπερ γὰρ ἥξει γε τὸν ἀλετρίβανον φέρων,
Τούτῳ ταράξει τὰς πόλεις καθήμενος.
Ἀλλ' ὦ Διόνυσ' ἀπόλοιτο, καὶ μὴ 'λθοι φέρων.
Πό. Οὗτος. Κυ. Τί ἐστιν. Πό. Οὐ φέρεις. Κυ. τὸ δεῖνα γὰρ
Ἀπόλωλ' Ἀθηναίοις ἀλετρίβανος ὁρᾷς,
Ὁ βυρσοπώλης ὃς ἐκύκα τὴν Ἑλλάδα.
Τρ. Εὖ γ' ὦ δέσποινα πότνι' Ἀθηναία ποιῶν,
Ἀπόλωλ' ἐκεῖνος, κἂν δέοντι τῇ πόλει,
Ἢ πρίν γε τὸν μυττωτὸν ἡμῖν ἐγχέαι.
Πό. Οὔκουν ἕτερον δῆτ' ἐκ Λακεδαίμονος μέτει.
Ἀνύσας τι. Κυ. Ταῦτ' ὦ δέσποθ'. Πό. Ἧκέ νυν ταχύ.
Τρ. Ὦ 'νδρες τί πεισόμεσθα. νῦν ἀγὼν μέγας.
Ἀλλ' εἴ τις ὑμῶν ἐν Σαμοθρᾴκῃ τυγχάνει
Μεμυημένος, νῦν ἐστιν εὔξασθαι καλόν.
Ἀποστραφῆναι τοῦ μετιόντος τὼ πόδε.
Κυ. Οἴμοι τάλας οἴμοι γε κἆτ' οἴμοι μάλα.
Πό. Τί ἐστι; μῶν οὐκ αὖ φέρεις; Κυ. Ἀπόλωλε γάρ
Καὶ τοῖς Λακεδαιμονίοισιν κἀκείνοις ἀλετρίβανος.

C TRY. Homunculi ô miserrimi quid facto opus?
Videte quantum nos manet periculum,
Nam si redierit ille pistillum ferens,
Vrbes sedendo comminutas reddiderit:
O Bacche pereat, nec reuersus adferat.
BEL. Heus tu. TVM. quid est? BEL. nil ergo fers. TV. enim vides
D Pistillus ille Atheniensis nullus est,
Turbator ille Græciæ coriarius.
TRY. O domina Pallas, ô verenda maxumè,
Benè est, & vrbis cedidit in rem, si prius
Quàm nos moretum bibimus, is verò occidit.
BEL. Fer igitur alium quàm citò ex Lacedæmone.
Hoccine agis an non? TV. hoc quidem. BEL. at fer ocyus.
E TRY. Periculum ingens, ô viri, nos obsidet.
Sed si quis est nostrum, Samothracum deûm
In casto initiatus, pretium operæ est, vt is
Precibus euntis postulet rumpi pedes.
TVM. Heu miserum eheu me, rursus heu miserrimum.
BEL. Quid istud, an nec dum attulisti? TVM. etiam occidit
Pistillus ille perditus Lacedæmonis.

Σχόλια. Ἀνθρώπια.] ὑποκορισμός. τοῦτο πρὸς τὴν φοβερὰν συμφορὰν μειοῖ αὐτούς. Ἀλλ' ὦ Διόνυσ'.] ὡς οἰκείῳ θεῷ εὔχεται τῆς Ἀττικῆς, καὶ κυρίῳ τῶν ἐν τῷ θεάτρῳ καὶ τῶν ἐν τῇ εἰρήνῃ ἀγομένων.

CHRIS. Ἀλλ' ὦ Διόνυσ'] Benè Bacchum inuocat tanquam Atticæ peculiarem deum, & verò præsidem in theatris & ludis, quæ in pace dari solent.

Σχόλια. Τὸ δεῖνα γὰρ ἀπόλωλ'] ὅτι τὶ δυσχερὲς μέλλομεν λέγειν, εἰώθαμεν τοῦτο προτάττειν, ὡς μὴ εὐθὺ φημίζοντες. Ὁ βυρσοπώλης] τοῦτο φησὶ τὸν Κλέωνα ὡς αἴτιον τοῦ πολέμου καὶ ὡς αὐτὸν συνέχοντα τὸν πόλεμον. Εὖ γ' ὦ δέσποινα.] οὕτως τὴν θεόν. τὰς δὲ γυναῖκας, ἀνάσσας, ἵνα μὴ ὁμωνύμως. ταύτῃ δὲ εὔχεται ὅτι τῶν Ἀθηναίων ἡ θεός. τὸ δὲ ἑξῆς. εὖ γε ποιῶν ἀπόλωλ' ἐκεῖνος, ἅπερ πρὸ τοῦ ἀπολέσαι ἡμῶν τὰ πράγματα ἀπώλετο.

F CHRIST. Ὁ βυρσοπώλης] Cleonē inquit, cui à strigmētis & pellibꝰ spurcitia inuidiā parat, quique prima & præcipua illius belli fax fuit. βυρσοδέψης etiam dicitur, neque enim tātùm pelles vēdebat, ipsas etiam apparabat & subigebat & molliebat, quod propriè est δέψειν, vnde depsere Latinum, translatum ad obscœna, vsurpatum Catullo, patrui perdepsuit ipsam Vxorem, vt verò reposuit princeps Criticus. Imò huic rei tā propriū est verbum vt βύρσα sit etiam dicta δέψα apud Gramma-G ticos. Εὖ γ' ὦ δέσποινα] Vt Bacchus proprius Atheniensium Deus cum quibusdam aliis: Sic etiam Minerua quam Dominam vocabant & heram, id est δέσποιναν. Sic apud Maronem Charon Proserpinam vocat Dominam, vt superius dicebamus.

dicebamus. Nam fœminas & ἄστας & δεσποίνας vocari testis est Hesychius, apud quem mendosum & male distinctum locũ emendabo quà potero. Ait ille Grãmaticus δεσποίνας, γυναῖκας Θετταλοί, inquit enim feminas dominas vocari apud Thessalos. Quæ sequuntur sic corrigo apud eundem Grammaticum, δεσπότην κεκαρμένος. & maiuscula littera Δεσπότην, scribo vt sit principiũ vocis exponendæ: Deinde pro glossa lege ἵπποι μὲν &c. Nam explicat dictum illud alicuius poëtæ δεσπότην κεκαρμένοι. Mox vbi habes βελτίονα lege βέλτιον δὲ. ait melius esse explicare πενθοῦντες, quia dominis mortuis tondebantur equi ad luctum significandum. Sic apud Sudam habes δεσπότην κεκαρμένος. i. πενθοῦντος: & apud Euripidem Oresta, κατ' ἐπὶ θυγατρὸς πενθίμῳ κεκαρμένοι.

Σχόλια. Η πρίν γε τὸν μυττωτόν.] ἀντὶ τοῦ πρὶν ἡμῖν τὸν πόλεμον ἐπεγείραι. ὡς αἴτιον δὲ αὐτὸν τοῦ πολέμου ἐπεγείρει καὶ διαβάλλει. Ανύσας τι.] ἀπειλητικὸν ὁ κυδοιμὸς, ἐπαγγέλλεται. καὶ οὕτως τὴν ἐρώτησιν αὐτῷ προσφέρει ὁ πόλεμος. Ανύσας τι.] ἀντὶ τοῦ ἢ νύσας τι καὶ διαπράξας. ἢ φέρων ἥκεις. Τί πεισόμεθα] τί ἄρα παθεῖν μέλλομεν. ὅτι ἐς ποῖον κίνδυνον καθεστήκαμεν. Εν Σαμοθράκῃ.] οἱ ἐν κινδύνοις γενόμενοι ἐπεκαλοῦντο τότε τοὺς δαίμονας τοὺς ἐν Σαμοθράκῃ τούς τε Κορύβαντας καὶ τὴν Ἑκάτην. ἐξ ἧς καὶ διαβόητον ἦν τὸ Ζηρύνθιον ἄντρον, ἔνθα ταύτην ὠργίαζον καὶ κύνας ἐθύοντο. Μεμυημένος] τὰ μυστήρια τῶν Καβείρων. δοκοῦσι γὰρ οἱ μεμυημένοι ταῦτα δίκαιοί τε εἶναι καὶ ἐκ δεινῶν σώζεσθαι καὶ ἐκ κινδύνων. Αποστραφῆναι] ὃ ἡμεῖς διαστραφῆναι λέγομεν, ἀντὶ τοῦ κλασθῆναι τοῦ μετιόντος τὸν δοίδυκα. Καὶ τοῖς Λακεδαιμονίοισιν.] ὁ Βρασίδας ὃς ἦν Λακεδαίμονος στρατη-

A γός, ἀνθίστατο τῆς εἰρήνης. ἐτελεύτησε δὲ ἐν Θρᾴκῃ.

CHRIST. Εν Σαμοθράκῃ μεμυημένος] Vetus religio fuit vt qui versarẽtur in periculis, & essent, vt ait poëta Bucolicus, ἐπὶ ξυροῦ ἀκμῆς, Samothracios deos inclamarent, & cum Hecate Corybantas; vnde celebre illud antrum Zerynthiũ, vbi festos illi deæ honores celebrabant libertatémque ebibebant. De quibus plura apud Tacitum & Diogenem Laërtium, nec non de antro illo apud Sudam. Erant autem illa mysteria Cabirorum, quibus initiati censebantur iusti & boni, & si quem periculorum cursum decurrerent, salui & victores euadere solebant, vt rectè scripserit Varro: Et religiones & castus id possunt, vt ex periculo eripiant nos. quo loco castus sunt ἁγνεῖαι. Nam in casto Cereris esse est ἁγνεύειν. Quod quia notatũ est à diuino Coniectore in libris, quos doctissimus Romanorũ scripsit de lingua Latina, supersedebo plura notare. Αποστραφῆναι] ait Scholiastes Græcus dictum pro διαστραφῆναι, id est distorqui: quo loco videtur post κλασθῆναι supplendum τοὺς πόδας. Ego in eius Glottographi sententiam pedibus non eo: Qui etsi persuasit mihi vt interpretarer Rumpi, tamen animi mei sententia δεξιτέρα & ἀμείνων censet ἀποστραφῆναι Latinè & κατὰ πόδα esse Auertere. Nam ἀπὸ esse nostrum Ab vel A, non est cur anxiè probemus. Esset autem διαστρέφειν diuortere & distorquere, cuius passiuum non tam it ἐς κόρακας quam τὸ Auertere. Itaque veniam peto prudentem si Scholiastam non sequor. Mox pro κατ' οἴμαι mallẽ κάρτ' οἴμοι, vt dicat κάρτα μάλα, nimis valde, quod Comicum est.

Πό. Πῶς ὦ πανοῦργ'. Κυ. Ες τἀπὶ Θρᾴκης χωρία
Χρήσαντες ἑτέροισιν αὐτὸν, εἶτ' ἀπώλεσαν.
Τρ. Εὖ γ' εὖγε ποιήσαντες ὦ Διοσκόρω.
Ισως ἂν εὖ γένοιτο. θαρρεῖτ' ὦ βροτοί.
Πό. Ἀπόφερε τὰ σκεύη λαβὼν ταυτὶ πάλιν.
Εγὼ δὲ δοίδυκ' εἰσιὼν ποιήσομαι.

BEL. *Ain' scelestæ?* TVM. *Thraciam versus plagam*
Legatus alijs ferre suppetias, perit.
TRY. *Eia gemelle Castor, ò factum benè,*
E *Benè forsan istud verterit: sperate vos.*
BEL. *Sume ista vasa rursus & munda probè:*
Pistillum at ipse ingressus expediuero.

Σχόλια. Εἰς τἀπὶ Θρᾴκης χωρία. καὶ γὰρ εἰς συμμαχίαν πεμφθεὶς ὁ Βρασίδας εἰς Θρᾴκην, κατὰ τὸν αὐτὸν χρόνον Κλέωνι τελευτᾷ. Χρήσαντες.] ἐν Ἀμφιπόλει γὰρ τῆς Θρᾴκης μονομαχήσαντες ὁ Κλέων καὶ Βρασίδας, ἀλλήλους ἀνεῖλον. Διοσκόρω] οὗτοι παρὰ τοῖς Λακεδαιμονίοις ἐτιμῶντο. διὸ νῦν αὐτῶν μέμνηται. Εγὼ δὲ δοίδυκ' εἰσιών] ἐγὼ ἀντετρίβατον εἰσιὼν ποιήσομαι.

CHRIST. Τἀπὶ Θρᾴκης χωρία] Historiam hanc habes ampliter & luculenter ex professo cõscriptam apud Thucydidis ξυγγραφὴν ε. qui graphicè Brasidæ & Cleonis mores depingit. Ait enim eos pacem auersari solitos: illum quia ex bellis felicitatem & gloriam reportabat, hunc vero (Cleonem puta) quia pacis tẽpore patere sua scelera sentiebat, & calumnias suas minus fidem facere. Sed præstat Græca quia elegantissima sunt

& prudenti structura composita apponere, οἵπερ ἀμφοτέρωθεν ἠναντιοῦντο τῇ εἰρήνῃ, ὁ μὲν διὰ τὸ εὐτυχεῖν τε καὶ τιμᾶσθαι ἐκ τοῦ πολεμεῖν, ὁ δὲ γενομένης ἡσυχίας καταφανέστερος νομίζων ἂν εἶναι κακουργῶν καὶ ἀπιστότερος διαβάλλων. Plutarchus in Nicia eadem ferè elogia de vtroque dedit. Mirũ ni nostra Frã-
F cia Brasidas suos & Cleonas hodiéque habeat patriæ, vt ait Æschylus ἀνασπαστῆρας καὶ ταράκτορας, quãtumuis pio se prætextu tuentes vel hi recentes motus quo spectãt? Dicam liberè cum Ennio, Omnis cura viris vter hic siet induperator. Sed opere Deus orãdus est maximo, vt Regẽ nostrũ Hẽricũ IV. insignẽ pietate & prudentia Principẽ quãdiutissime viuum & videntem incolumémque nobis conseruet, & ex Assiduo tandem Proletarium faciat. στύλοι γὰρ οἴκων παῖδές εἰσιν ἄρρενες.
G

Β[illegible] ε τ υ ς. Ὁ Τρυγαῖος, ἐπεὶ ὁ Πόλεμος πάλιν τὴν ἑαυτοῦ [illegible] ταῦτα πρὸς τοὺς θεατὰς στραφεὶς λέγει.

Τρυ. Νῦν τοῦτ' ἐκεῖν' ἥκει τὸ Δάτιδος μέλος,
Ὃ δεφόμενός ποτ' ᾖδε τῆς μεσημβρίας,

TRY. Nunc cantio illa Datidis mentem subit,
Cinædus olim quam canit meridie,

Ὡς ἥδομαι καὶ τέρπομαι, καὶ χαίρομαι.
Νῦν ἐστὶν ἡμῖν ὦ 'νδρες Ἕλληνες καλὸν,
Ἀπαλλαγεῖσι πραγμάτων τε καὶ μαχῶν,
Ἐξελκύσαι τὴν πᾶσιν εἰρήνην φίλην,
Πρὶν ἕτερον αὖ δοίδυκα κωλῦσαί τινα.
Ἀλλ' ὦ γεωργοὶ, κἄμποροι, καὶ τέκτονες,
Καὶ δημιουργοὶ, καὶ μέτοικοι, καὶ ξένοι,
Καὶ νησιῶται δεῦρ' ἴτ', ὦ πάντες λεῴ.
Ὡς τάχιστ' ἄμας λαβόντες, καὶ μοχλοὺς καὶ σχοινία.
Νῦν γὰρ ἡμῖν ἁρπάσαι πάρεστιν ἀγαθοῦ δαί- (μονος.

Quàm lætor, & delector atque gaudeo:
At nunc decet nos, ô viri Græcanici,
Labore functos cladibúsque duellicis
Eruere pacis numen optatum omnibus,
Pistillus illud antequam alius porceat:
Verum ô Coloni nundinatores, Fabri
Et opifices, & hospites & aduenæ,
Et insulares huc adeste, omnísque plebs
Sumite actutum vacilla cúmque vectes funibus:
Quippe nunc nobis bono fas est fruisci numine.

Σχόλια. Τὸ Δάτιδος μέλος] Δᾶτις σατράπης Περσῶν βασιλέως, εὐδοκιμήσας κατά τινα χρόνον πολεμῶν. ἑλληνίζειν δὲ βουλόμενος εἶπεν. ἥδομαι καὶ τέρπομαι καὶ χαίρομαι. ὃ βαρβαρίζεισι. ἔδει γὰρ εἰπεῖν χαίρω. ἅμα δὲ οὕτως εἶπε πρὸς τὸ ὁμοιοκατάληκτον. ἐὰν εἴρηται ἡ τὸ χαίρομαι. αὐτὸ γὰρ τὸ χαίρω αὐτοπαθὲς ὂν, προσεφήρμοσεν αὐτῷ τὸ σημαινόμενον. λέγεται δὲ τὸ τοιοῦτο δατισμός. καὶ παροιμία. ἅμας αἰτήτους οἶδ' ἀπηρνοῦντο σκάφας. Ἅμας.] τὰς σκαφίδας. ἐργαλεῖά τινα ἐπιτήδεια πρὸς τὸ ἀνορύττειν. Ἀγαθοῦ δαίμονος.] φασὶ γὰρ ὅτι δειπνήσαντες μὲν, ἐπιρρόφουν ἀγαθοῦ δαίμονος. ἀπαλλάττεσθαι δὲ μέλλοντες, ἔπινον Διὸς σωτῆρος. ὥσπερ ἔλεγον. νῦν γὰρ ἀπαρχὴν ἢ πίνειν ἔξεστιν ἡμῖν ἀγαθοῦ δαίμονος πόμα.

CHRIST. Τὸ Δάτιδος μέλος] Dictum vulgarium. Datidis Persarum ducis sub Dario cantionem vocat, & Athenienses id vsurpare falsè tacitéque indicat, id est spurca facere. Nam illud δεφόμενος, vnde nostrum depsere, notat fœditatem quam patrare solebat Satrapes ille, cùm diem diffinderet somno insititio. Tunc enim iacebat satur & supinus, Pertundens, vt ait Catullus, tunicámque palliúmque, quod etiam de Cyclope Euripides dixit. Καὶ χαίρομαι] Quia barbarus & Paphlagon fuit Cleon, & Brasidas (vt Lacedæmonium decet) teste Æliano imperitus, propterea huc barbarismum induxit. Non mirum est autem Persam in Græco sermone hospitem esse. Itaque Datis Persa, & barbarus sperabat, sese mirifice esse locutum cùm ad instar verborum ἥδομαι & τέρπομαι addidit χαίρομαι. Metuebat, scilicet, ne peccaret si tria illa verba non essent ὁμοιόπτωτα. Nam χαίρω verbum quod per se est αὐτοπαθὲς, non satis videbatur facere ad rythmum. Fortassis autem de industria Aristophanes Trygæum induxit βαρβαρίζοντα, vt agrestem virum. Quo modo Theocritus in Dioscuris Amycum loqui facit barbarismum in illo τίνες οἷοι ὁρᾷς, nisi illic legendum ἐστὶ, de qua lectione ambigo. Sed credibilius est imitari voluisse Datidem, i. Datismum fecisse. Nam ex illis barbarismum vocarunt postea Datismum: In Sudæ conlectaneis versus hic Aristophanis sic legitur, ὡς ἥδομαι καὶ χαίρομαι κ' εὐφραίνομαι. Quæ mihi lectio non videtur esse Aristophanis, nam & in Pluto habes, ὡς ἥδομαι καὶ τέρπομαι, vt hoc loco. Ὡς τάχιστ' ἄμας] Nunc Senariis succedunt Trochaici, Catalectici 40. vsque ad illud, ὦ βοᾶτε, quæ est ἔκθεσις Dimetrorum Catalecticorum. Scholiastes 38. tantum notat: sed incipit ab illis δεῦρο πᾶς, & hos duos versus pro εἰσθέσει, videtur accepisse. Ἀγαθοῦ δαίμονος] Videtur alludere ad eum morem veterum quem notat Scholiastes: Ait enim in conuiuiorum principiis solitos ἐπιρροφεῖν ἀγαθοῦ δαίμονος & libare bonæ fortunæ. In fine verò & abitione πίνειν Διὸς σωτῆρος. Sic bonam fortunam præire iubebant, Iouem liberatorem exire. Hũc sensum elicio ex verbis Scholiastę, in quis libenter legerem δειπνήσαντες non δειπνήσαντος, vt principium intelligat conuiuij. Tamen δειπνήσαντες melius, nam de secundis mensis intelligit & fine conuiuij. Nã testatur Theopompus mẽsa sublata moserat ἐπιρροφεῖν ἀγαθοῦ δαίμονος vt testãtur Scholia in Vespas. Ad eũ ergo morem cùm alludat (corrige sodes iterum verba Scholiastæ, & pro ὥσπερ ἔλεγον, lege me auctore & distingue ὡς εἰ ἔλεγε) videtur sic loqui: Nunc enim libare & bibere licet nobis bonæ Deæ potionem: ἁρπάσαι per Parodiam dixit pro ῥοφῆσαι vel σπεῖσαι, nã Pacẽ vt haberent raptã oportuit. Notãdũ autẽ libationẽ illã quam antiquitus faciebant ἀγαθοῦ δαίμονος fuisse leuẽ degustationem & ὀλιγοποσίαν. Quod satis intellexit Hesychius qui ἀγαθοδαιμονιστὰς interpretatur ὀλιγοποτοῦντας. Itaque miror quod ἐπιρρόφησιν addat Scholiastes. Nã Dido apud Maronẽ libabat ἀγαθοῖς δαίμοσι Baccho & bonæ Iunoni. Sic enim dea illa etiã teste Macrobio χρηστῆς nomine indigitabatur. Et laticũ honorẽ summo tenus attigit ore: at verò Bitias ἐπιρρόφησιν & ἐπιπιεῖν eũ hausit paterã, & pleno se proluit auro. Sed de his legendus Rhodiginus lib. 28. lectionũ antiquarũ. Sanè apud Platonẽ in Symposio non vidẽtur noui interpretes locum intellexisse ἀγαθῇ τύχῃ Φαῖδρος κατάρχεται, verterim cum bonis auibus exordiatur Phædrus, cum potius diceret. Bonæ fortunæ princeps libet Phædrus. alludit enim ad ἀγαθοδαιμονιστὰς & ludit in verbo κατάρχειν.

ΧΟΡΟΣ, ΤΡΥΓΑΙΟΣ.

CHORVS, TRYGÆVS.

Εἴσθεσις διπλῆς ἀμοιβαίας ἐν στίχων λά. μεθ' οὓς κῶλα ζ.

BISETVS. Ὁ χορὸς περιχαρὴς πάλαι τὴν ἑαυτοῦ προθυμίαν, καὶ βοηθεῖ αὐτῷ τῷ Τρυγαίῳ ὑπισχνεῖται, ὥστε τὴν εἰρήνην τὴν ἐν ἄντρῳ κεκαλυμμένην, καὶ κρυπτομένην εἰς τὸ φῶς ἀνελκύσειν.

Χο. Δεῦρο πᾶς χώρει προθύμως εὐθὺ τῆς σωτηρίας,
Ὦ Πανέλληνες, βοηθήσωμεν, εἴπερ πώποτε,
Τάξεων ἀπαλλαγέντες καὶ κακῶν φοινικικῶν.
Ἡμέρα γὰρ ἐξέλαμψεν ἥδε μισολάμαχος.
Πρὸς τάδ' ἡμῖν εἴ τι χρὴ δρᾶν, φράζε κἀρχιτεκτόνει.
Οὐ γὰρ ἔσθ' ὅπως ἀπειπεῖν ἂν δοκῶ μοι τήμερον
Πρὶν μοχλοῖς καὶ μηχαναῖσιν εἰς τὸ φῶς ἀνελκύσαι
Τὴν θεῶν πασῶν μεγίστην καὶ φιλαμπελωτάτην.
Τρ. Οὐ σιωπήσεσθ' ὅπως μὴ περιχαρεῖς τῷ πράγματι,
Τὸν πόλεμον ἐκζωπυρήσετ' ἔνδοθεν κεκραγότες;
Χο. Ἀλλ' ἀκούσαντες τοιούτου χαίρομεν κηρύγματος.
Οὐ γὰρ ἦν ἔχοντας ἥκειν σιτί' ἡμερῶν τριῶν.
Τρ. Εὐλαβεῖσθ' ἐκεῖνον τὸν Κέρβερον καὶ δεδίττεσθε.
Μὴ παφλάζων καὶ κεκραγώς, ὥσπερ ἡνίκ' ἐνθάδ' ἦν,
Ἐμποδὼν ἡμῖν γένηται τὴν θεὸν μὴ 'ξελκύσαι.
Χο. Οὔτι καὶ νῦν ἐστὶν αὐτὴν ὅστις ἐξαιρήσεται,
Ἢν ἅπαξ ἐς χεῖρας ἔλθῃ τὰς ἐμάς. ἰοὺ ἰού.
Τρ. Ἐξολεῖτέ μ' ὦνδρες, εἰ μὴ τῆς βοῆς ἀνήσετε.
Ἐκδραμὼν γὰρ πάντα ταυτὶ συνταράξει τοῖν ποδοῖν.
Χο. Ὡς κυκάτω, καὶ πατείτω πάντα, καὶ ταραττέτω.
Οὐ γὰρ ἂν χαίροντες ἡμεῖς τήμερον παυσαίμεθ' ἄν.
Τρ. Τί τὸ κακόν; τί πάσχετ' ὦνδρες; μηδαμῶς πρὸς τῶν θεῶν
Πρᾶγμα κάλλιστον διαφθείρετε διὰ τὰ σχήματα.
Χο. Ἀλλ' ἔγωγ' οὐ σχηματίζειν βούλομαι. ἀλλ' ὑφ' ἡδονῆς,
Οὐκ ἐμοῦ κινοῦντος, αὐτὼ τὼ σκέλη χορεύετον.

A CH. HVc alacres visite omnes ad salutis semitam,
Vniversi adeste Graeci, nunc opem nos ferre opus
Liberatos tot maniplis & cruore bellico.
Nam dies illuxit haec invisa pugnae & praelio.
Nunc ad haec quid facto opus sit fare, ductor impera.
B Iam laboris nil recusandum puto hodie, si modo
Protrahamus machinis ad publici auras luminis
Maximam omnium dearum, & magnam amicam vitium.
TR. Hem tacete, sultis, ut ne effusi in altum gaudium
Intus hic bellum excitetis editis clamoribus.
C CH. Sed iuvat nos hocce plebis murmurans praeconium,
Cùm trium nobis dierum deforet viaticum.
TR. Attamen vos hunc cavete cum tumore Cerberum
Ne ferociente clamosus furore, ut hic prius
Quo minùs Deam extrahatis impedimento fuat.
D CH. Nullus illam ne quidem nunc vindicabit gentium,
Libera in manus semel si venerit meas, hui.
TRY. Pol viri pessumdatis me ni tumultu parcitis,
Conuolante namque planta cuncta mox turbaverit.
CH. Misceat, conculcet omnia, atque turbet funditus:
E Non enim gaudere desinemus hodie hoc gaudium.
TRY. Quid mali? qua insania ista est, per deos rogo viri
Ne per hos motus opus bellissimum corrumpite.
CH. Non voluntas hoc suadet, sed voluptas maxima,
F Ipsa namque sponte saltant crura, nil monente me.

Σχόλια. Δεῦρο πᾶς χώρει.] ἔκθεσις διπλῆς ἀμοιβαίας. οἱ δὲ στίχοι εἰσὶ τροχαϊκοὶ τετράμετροι καταληκτικοὶ λη΄. καὶ ἡ ἔκθεσις ταύτης κώλων ὁμοίων τροχαϊκῶν ζ. ὧν τὰ ι. δίμετρα ἀκατάληκτα. τὸ ς προτελευταῖον. τὸ ζ΄ ἑφθημιμερὲς ἰαμβικόν. ὑφ' ὃ αἱ συνήθεις δύο διπλαῖ. Ὦ Πανέλληνες.] λεληθότως εἰς ὁμόνοιαν αὐτοὺς προσάγει ὁμοφρονῆσαι πάντας τοὺς Ἕλληνας ἀξιῶν. Καὶ κακῶν φοινικικῶν.] τῶν αἱματωδῶν ἀπὸ τῆς τοῦ αἵματος χροίας. λείπει δὲ τὸ ἠτυχήσαμεν ἢ ἀντὶ τοῦ πολεμικῶν.

BISETUS. Περιχαρεῖς.] περισσῶς, σφόδρα, ἀμέτρως χαίροντες.

Σχόλια. Ἐκζωπυρήσετε.] ἀνάψετε τὸν πόλεμον ἤδη κατεσβεσμένον. ἐκζωπυρῆσαι δὲ κυρίως ἐπὶ τῶν ἐκ μικροῦ πυρὸς φυσώντων, μεγάλην φλόγα κινῆσαι. Οὐ γὰρ ἦν ἔχοντας ἥκειν.] οὐ γάρ φασι πολεμικὸν ἐστὶ τὸ κήρυγμα, ἀλλ' εἰρηνικόν. ἐκ τοῦ παρακολουθοῦντος δὲ τὴν πόλιν δηλοῖ. Εὐλαβεῖσθε.] νῦν πρὸ ὀφθαλμῶν ἔχετε φησὶ καὶ δεδοίκατε τὸν Κλέωνα, μὴ ἐμποδὼν τῇ εἰρήνῃ γένηται. G Μὴ παφλάζων.] διὰ τὸ τραχύφωνον τοῦ Κλέωνος ἐχρήσατο τῷ παφλάζειν. Ἐνθάδ' ἦν.] τουτέστιν ὅτε ἔζη. ὅτε ἦν σὺν ἡμῖν. Μὴ 'ξελκύσαι.] ὅτι περιττὸν τὸ μὴ χρῶνται Ἀττικοί. ἤρκει γὰρ εἰπεῖν ὅτι ἐμποδὼν γένηται ὥστε ἐξελκύσαι. Ἰοὺ, ἰού.] ἐπὶ ἡδομένων ἐπὶ τῷ διασεσωσμένω, ὡς τοῦ χοροῦ τὸ ἀλγεινόν. Οὐ σχηματίζειν.] οὐ κατὰ τὴν ἐμὴν φησὶ προαίρεσιν ἡ ὄρχησις γίνεται. ἀλλ' ἤδη διὰ τὴν ἄχθον ἡδονὴν αὐτόματα χορεύει μου τὰ σκέλη.

A CHR. Μιβλάμαχος.] Lamachus dux fuit Athenienſium rei bellicæ peritiſſimus, vir bonus & pauper. talem enim cum Socrate & Ariſtide deſcribit Ælianus lib. 2. variæ hiſtoriæ, floruitque temporibus Æſchyli & Ariſtophanis qui in Ranarum fabula heroa eum vocauit. Tamen in Acharnentibus & in hac fabula contumelioſè accipit & Attico melle perfundit (καλῶς λέγειν Ἀττικὸν ... μέλι dixit quidam) Quin Lamachum quaſi ... dictum autumat, ſiue quia λῆς apud Dores eſt θέλεις, ſiue quia τὸ λα eſt ἐπιτατικὸν vt τὸ ... A pugna autem quæ eſt μάχη nomen habet. Itaque pro bello nomen hoc vſurpat. Ἐξεγρομένοισι.] Reſocillabitis & excitabitis mortuum & extinctum bellum. Sanè enim rectè dixit diuinus poeta, Martémque accendere contu, & merito Ἄρεως nomine pugna intellecta, vnde Menelaus βοὴν ἀγαθός. Ἐκζωπυρῆσαι eſt ex puſilli ignis fomite magnam flammam ſuſcitare. Εὐλαβεῖσθ' ἐκεῖνον.] Verſus hic non ſatis eſt integer in modulis ſuis, ſiquid mutandum ſit, ... interpolandum legerem, εὐλαβεῖσθαι ἐκεῖνο (κήρυκα puta) καὶ τὸν κέρβερον ὁ ... Διὰ τὰ σχήματα.] Primus Æſchulus σχηματισμοὺς introdu- B xit in choros Tragicos, de quibus & de ſaltatione quæ ὄρχησις eſt, operæprecium eſt adire Diui Iulij Scaligeri Poetices opus perfectiſſimum.

Τρ. Μή τι καὶ νυνὶ γε· ἀλλὰ παῦε παῦ' ὀρχούμενος.
Χο. Ἢν ἰδοὺ, καὶ δὴ πέπαυμαι. Τρ. Φῄς γε, παύει δ' οὐδέπω.
Χο. Ἓν μὲν οὖν τουτί μ' ἔασον ἑλκύσαι, καὶ μηκέτι.
Τρ. Τοῦτό νυν, καὶ μηκέτ' ἄλλο μηδὲν ὀρχήσησθ' ἔτι.
Χο. Οὐκ ἂν ὀρχησαίμεθ', εἴπερ ὠφελήσαιμέν τί σε.
Τρ. Ἀλλ' ὁρᾶτ' οὔπω πέπαυσθε. Χο. Τουτογὶ νὴ τὸν Δία
Τὸ σκέλος ῥίψαντες ἤδη λήγομεν τὸ δεξιόν.
Τρ. Ἐπιδίδωμι τοῦτό γ' ὑμῖν, ὥστε μὴ λυπεῖν ἔτι.
Χο. Ἀλλὰ καὶ τἀριστερόν τοί μ' ἔστ' ἀναγκαίως ἔχον.
Ἥδομαι γὰρ καὶ γέγηθα, καὶ πέπορδα, καὶ γελῶ,
Μᾶλλον ἢ τὸ γῆρας ἐκδὺς, ἐκφυγὼν τὴν ἀσπίδα.
Τρ. Μηκέτ' οὖν νυνί γε χαίρετ'. οὐ γὰρ ἴστε πω σαφές.
Ἀλλ' ὅταν λάβωμεν αὐτὴν, τηνικαῦτα χαίρετε,
Καὶ βοᾶτε, καὶ γελᾶτε,
Ἤδη δ' ἐξέσται τόθ' ὑμῖν
Πλεῖν, μένειν, κινεῖν, καθεύδειν,
Ἐς πανηγύρεις θεωρεῖν,
Ἑστιᾶσθαι, κοτταβίζειν,
Συβαρίζειν,
Ἰοὺ ἰοὺ κεκραγέναι.

TRY. Hoc ne agant & nunc? age impone ergo finem ſaltibus.
CH. En vides vt deſino. TRY. inquis, ſed tamen non deſinis.
C *CH. At ſine hoc tantummodo ſaltare me, & nil amplius.*
TRY. Hoc quidem nunc ſinerim, ſed pòſt nihil ſaltabitis.
CH. Fiet, haud ſaltabimus, non ſi tuo id fiat bono.
TRY. Sed nec hac dum deſita eſt ſaltatio. CH. En hanc per Iouem
Dexteram iactauero cùm tibiam, tum deſita eſt.
D *TRY. Hoc adhuc ſirim quidem, at ne poſt id hac turbas date.*
CH. Sed ſiniſtrum crus neceſſe eſt vt trahens iactem ſimul.
Nempe rideo, atque lætus pedo, gaudeo magis
Quàm ſenecta anguis ſolutus, quando fugi hanc viperam.
TR. Parciùs ſed gaudeatis, nondum enim compertares:
E *ſin eam prehendimus, tunc vt libet gaudere fas,*
Cumq; riſu iubilare,
Iamq; tum dormire vobis,
Ire, ſtare, nare fas eſt,
Fasq; nundinis vacare,
Luſibus conuiuiiſq;
Dapſicis,
F *Clamare & ohe.*

Σχόλια. Ἓν μὲν οὖν τουτί μ' ἔασον.] τέλος ἓν, δηλονότι τελικῶς. ὑφ' ἡδονῆς γὰρ ὁ χορὸς εἰς ὄρχησιν ἐτράπη. ἓν μόνον φησὶν ἔασόν με σχῆμα ποιῆσαι. Ὥστε μὴ λυπεῖν.] ὡμολογημένως δηλονότι συγχωρῶ φησὶ τοῦτ' ὑμῖν, ὥστε μὴ τοῦτο μηκέτι ἐνοχλεῖσθαι με.

CH. Ἑλκύσαι] Pro ſaltare dixit, vt Ter. Adelph. Tu interea reſtim ductans ſaltabis. Id autem eſt quod Græci & Ariſtophanes in Nebulis dixit ἑλκεσικόρδακα.

Σχόλια. Πέπορδα.] ἡ μεταφορὰ ἀπὸ τῶν ὄνων. χαίροντες γὰρ πέρδονται. Ἢ τὸ γῆρας ἐκδύς.] ἡ μεταφορὰ ἀπὸ τῶν ὄφεων. Ἐς πανηγύρεις θεωρεῖν.] πέμπεσθαι θεωροὺς ἐς τὰς πανηγύρεις κατὰ θεωρίαν παραγίνεσθαι ἀντὶ τοῦ παίζειν. θεωροὺς δὲ ἐκάλουν, τοὺς ἀπὸ τῶν πόλεων δημοσίᾳ ἐκπεμπομένους συνθύοντας καὶ συμπανηγυρίζοντας. Κοτταβίζειν.] παίζειν, τρυφᾶν. εἰς χαλκᾶς δὲ φιάλας, αἳ καλοῦνται λάταγες, ἀπέρριπτον ἐμβάλλοντες τὸ πόμα. καὶ εἰ ἠχεῖτο μείζων ψόφος, ἐδόκουν ὑπὸ τῶν ἐρωμένων φιλεῖσθαι. ἄλλως. κότταβος παίγνιον ἦν παρὰ Ἀθηναίοις τοιοῦτον. ῥάβδος ἦν μακρὰ πεπηγμένη ἐν τῇ γῇ, καὶ ἑτέρα ἐπάνω αὐτῆς κεκράτηται ὡς ἐπὶ ζυγῷ. εἶχε δὲ πλάστιγγας δύο ἐξηρτημένας καὶ κρατῆρας δύο ὑποκάτω τῶν πλαστίγγων, καὶ ὑπὸ τὸ ὕδωρ ἀνδρίας ἦν χαλκοῦς κεχρυσωμένος. τοῦτο δὲ ἦν ἐν τοῖς συμποσίοις. καὶ πᾶς τῶν παιζόντων ἀνίστατο ἔχων φιάλην γέμουσαν ἀκράτου, καὶ μηκόθεν ἱστάμενος, ἀπομα-
G

σπασματιον ὅλον τὸν οἶνον ὑπὸ μίαν σταγόνα εἰς τὴν πλάστιγγα, ἵνα γεμισθεῖσα, βαρυνθῇ καὶ κατέλθῃ, καὶ κρούσῃ εἰς τὴν κεφαλὴν τοῦ ἀνδριάντος ὑπὸ τὸ ὕδωρ κεκρυμμένου καὶ ποιήσῃ ἦχον. καὶ εἰ μὲν χυθῇ τοῦ οἴνου, ἐνίκα καὶ ᾔδει ὅτι φιλεῖται ὑπὸ τῆς ἐρωμένης. εἰ δὲ μὴ, ἡττᾶτο. ἐλέγετο δὲ ὁ ἀνδριὰς ὁ ὑπὸ τὸ ὕδωρ, μάνης.

CHR. Πέπορδα.] Translatiuè ab asinis qui lætabundi pedere solent. Etiam in contemptum hoc fiebat, vt in Pluto καταπαρδεῖν τῆς πενίας. sic fortassis hic oppedit bello. Τὸ γῆρας ἐκδύς.] Et hæc translatio est à serpentibus, qui senium ponunt. Videtur autem senium pro bello dixisse, quia nihil æquè pacis amantes colonos contristat & marcescere facit atque bellum. vnde postea ait ἀπαλός γ' ἄν μ' ἴδοις καὶ πολὺ νεώτερον, loquitur enim chorus senum. At cùm ait ἐκφυγὼν τὴν ἀσπίδα, dupliciter alludit in homonymia ἀσπίδος, & ad serpentem, & ad clypeum. Καὶ βοᾶτε] Post εἴσθεσιν Trochaicam sequitur ἔκθεσις, septem versuum Dimetrorum Trochaicorum Acatalecticorum. In secundo lego ἤδη ἔξεστι non ἤδη δή. Ex vltimo versu duos facio. Nam συμβακχεύειν existimo esse C προκατάληκτον, sequens ἰοὺ, ἰοὺ, iambicum ἑφθημιμερές. Ita enim videtur digessisse ipse Scholiastes. Κεκινῆν καθεύδειν] Non dubito quin τὸ κινεῖν, verbum sit nequitiæ, secundum versum ex Lysistrata, κακῶς περιέψομαι οὐχὶ προσκινήσομαι, id est, Nec admouebor & malignè illud dabo. Κοτταβίζειν.] Cottabus lusus erat in conuiuiis frequens apud Athenienses: Is quantum ex Grammaticorum glossis didici, eiusmodi ferè erat. Fixa erat in terram virga grandis, altera super eam transuersa pendebat, D mobilis vtrinque tanquam in statera, duásque habebat lances pendulas, & sub ipsis duos crateras aquæ plenos, sub aqua statua ærea inaurata quę vocabatur Manes: nam Sophocles Salmoneo sic vocat χάλκεον illud κάρα: versus ex illa fabula luculentos habes, apud Athenæum lib. xi. Iam qui lusitare volebant phialam habebant meri plenam, & longius stantes certabant, quod vini ex epota phiala restabat in lancem mittere, vt repleta ea E grauis fieret, inclinarétque, & caput allideret statuæ illius sub aqua latentis, sicque sonum ederet, ita vt qui feliciter sine casu iaceret, & maiorem ex iactu sonum efficeret, victor esset, hócque indicio speraret se ab amica redamari. Ad cuius consuetudinis rationem Theocritus dixit, τὸ τηλέφιλον ἐπλατάγησεν. Est autem lusus ille cottaborum inuentum Siculum, vt testatur Critias in Elegis, κότταβος ἐκ Σικελῆς ἐστι χθονὸς ἐκπρεπὲς ἔργον, & Dicæ- F archus Mesenius (vel potius cum Atheneo Milesius) Aristotelis discipulus, qui siculam vocem existimat æreas illas phialas quæ λατάγαι, vel λάταγες dicebantur. Quanquam infrà Scholiastes dicat λατάγην, esse quod ex poculo epoto reliquum fiebat (malè apud Sudam λῆμα πόσεως, legendum enim λεῖμμα quod est λείψανον & τὸ λειπόμενον, vt ait Hesychius) quódque recuruata sursum manu iaciebant lusores in Cottabium. cui sententiæ

A subscribit Cratinus in Nemesi, qui ait, Cottabum appellatum non solum præmium victori in conuiuio propositum, sed etiam vas ipsum in quod mittebat Latagas. Imò & Euripides Plisthene teste Atheneo, cottabum & λάταγα idem facit, lusúmque Atticorum ex inuentione Sicula scribit. Æreum verò vas illud fuisse testatur Eupolis Baptis: Meminit & Plato (Comicus puta) in fabula Διὸς κακουμένου (malè apud hunc Scholiasten κα- B λουμένου) Porrò missionem cottabi ἀγκύλην vocabant, quia dextram manum ancul[a]bant, id est, curuabant in mittendo, hinc κότταβοι ἀγκυλητοὶ (malè Aristophanis glossę ἀγκυλαγοὺς) dicti à figura manu mittentis. Præmium autem quod κοττάβιον dicebatur, erat vt puto placenta πυραμοῦς, & σησαμοειδής. Nam & Aristoteles lib. 1. Rhetoricorum κοττάβια missa Geloni, ait ab Ænesidemo, quas placentas fuisse arbitratur ad formam lancium illarum vel κοττάβων factas, Cœlius Rhodiginus: quamuis potior est sententia eorum, qui κοττάβια oppidum faciunt apud Aristotelem. Sanè C κότταβος propriè est sonus qui ex residuo in phiala vino redditur, & quo pauimentum elidebatur. Nam id etiam fuisse Romanis, non solus Horatius testatur, qui ait, -mero Tinget pauimentum superbo: sed & Plinius lib. 14. vbi ait de iis qui ἀμυστὶ & ἀπνευστὶ bibebant, & totum calicem vno hauriebant potu: nihilque ad elidendum in pauimentis sonum ex vino reliquisse: vbi quidam summum legunt, quorum sententiæ non accedo. Sanè ab illo sono existimo Plautum dixisse in pretiosa fa- D bula Trinummo, bubulos cottabos, quasi flagra ad infligendas plagas: etsi Alciatus collabos mauult, qui sunt bubuli nerui. Ego cottabos malim, nam si collabi bubulæ neruiæ, quorsum bubulos addidit? cæterùm in illo Cottaborum lusu semper amicarum mentionem iniectam constat ex Achæo & Callimacho his versibus:

Πολλοὶ δὲ φιλέοντες ἀκόντιον ἧκαν ἔραζε
Οἰνοπόται κυλίκων λάταγας.

E vbi legendum οἰνοπόται πολλὰς ausim affirmare, & corrigendas Glossas huius fabulæ sub finem. Nam patet vel ex sequentibus Scholiastæ verbis, ait enim σπιλάδας αὐτὰς ἐκ ἀπεικότως ὠνόμασεν. vide de cottabis plura apud Athenęum lib. 15. vbi & Critię versus de Anacreonte huc pertinentes, habes item Æschuli alios versus de cottabo qui ἀγκυλητός. Plura præterea de his congerere piget & tædet, prę- F sertim cùm Rhodigini & Parrhasii habeamus assiduas rupto lectore columnas, vel paginas potius: Deinde cùm nuper cottabum nobis repręsentarit in Athenæo suo doctiss. Dalechampius, quem honorificè appello. sed hoc mihi excidebat quod apud Hesychium voce κοτταμία legendum putem κοττάβεια: ait enim esse ἔπαθλον ἀρ' ἐστῶτι κοτταβίζοντι. i. qui altiorem ex iactu sonum ediderat, quique μεθυσοκότταβος dicebatur. sed error ille apud Hesychium manauit ex antiqua β figura, de qua nos alibi.

G

BISETVS. Κορωνὶς καὶ εἴσθεσις χοροῦ μονοστροφικὴ στίχων ἑ κώλων [illegible].

XO. Εἰ γάρ μοι γένοιτ' ἰδεῖν ταύτην τὴν ἡμέραν ποτέ.

CH. O Mihi si detur istam olim videre aliquam diem:

Πολλὰ γὰρ ἠνεσχόμην,
Πράγματα τε καὶ στιβάδας ἃς ἔλαχε Φορμίων,
Κοὐκ ἔτ' ἄν με εὕροις δικαστὴν δριμὺν οὐδὲ δύ-
σκολον.
Οὐδὲ τοὺς τρόπους γε δήπου σκληρὸν ὥσπερ καὶ
πρότερον,
Ἀλλ' ἁπαλόν γ' ἄν με ἴδοις,
Καὶ πολὺ νεώτερον, ἀ-
παλλαγέντα πραγμάτων.
Καὶ γὰρ ἱκανὸν χρόνον ἀ-
πολλύμεθα καὶ κατατετρίμμεθα πλανώμενοι
Ἐς Λύκειον, κἀκ Λυκείου
Σὺν δορὶ σὺν ἀσπίδι τε
Ἀλλ' ὅ,τι μάλιστα χαριούμεθα ποιοῦντες, ἄγε
Φράζε, σὲ γὰρ αὐτοκράτορ'
εἵλετ' ἀγαθή τις ἡμῖν τύχη.

A *Nam toleraui mala*
Plurima, segestriasq. Phormio quibus fuit:
Nec seuerum postea me iudicem, vel tetricum
Dixeris, nec praditum asperis, vt ante, moribus,
Sed facilem inueneris,
Et magis adhuc iuuenem,
B *Anxietas si perit*
Iamq. satis atque nimis
Occidimus & penitus opprimimur, heu vagi
Dum frequentamus Lycéum
Cum clypeo & hasta habili.
Porrò age quid est tibi quod efficere possumus,
Expedi, age, nam bona sors
Te voluit esse nobis ducem.

Σχόλια. Εἰ γάρ μοι γένοιτο.] κορωνὶς καὶ εἴσθεσις χοροῦ μονοστροφικὴ στίχων ιε', κῶλον δὲ ὧν ὁ πρῶτος τροχαϊκὸς τετράμετρος καταληκτικός. τὸ β' ἑφθημιμερές. ὁ τρίτος παιωνικὸς τετράμετρος ἀκατάληκτος ἐκ παιώνων καὶ κρητικῶν. ὁ ι' καὶ ιγ' οἱ ἑξῆς δύο ὅμοιοι τῷ πρώτῳ. τὸ ς' δὲ ὅμοιον τῷ β'. τὸ ζ'. παιωνικὸν δίρρυθμον. καὶ τὸ θ' καὶ ιδ'. τὸ δὲ ια' δίμετρον τροχαϊκόν. τὸ τελευταῖον παιωνικὸν τείρρυθμον, ὑφ' ὃ κορωνίς.

Bisetus. Εἰ γὰρ] εἴθε γὰρ. τύχη.

Σχόλια. Στιβάδας ἃς ἔλαχεν.] ἰδίως στιβάδας τὰς χαμευνίδας ἐκάλεσαν, ὅπερ ἦν πάσχειν ἐπάναγκες τοῖς πολεμοῦσιν, ὑπαιθρίους ταλαιπωρεῖν καὶ χαμαικοιτεῖν. στιβάδας οὖν ἐπεὶ οἱ στρατιῶται χαμαικοιτοῦσι. λέγεται δὲ ὁ Φορμίων νικῆσαι ναυμαχίαις τοὺς Λακεδαιμονίους, στρατηγήσας. λιτὸς δὲ ἦν καὶ στρατιωτικός. τὸ δὲ ἃς ἔλαχεν, ἀντὶ τοῦ ἃς ὑπέμεινε Φορμίων.

CHR. Εἰ γάρ μοι.] Hic Coronis est, & εἴσθεσις Chori monostrophica constans xv. versibus, quorum primus Trochaicus est Tetrameter Catalecticus instar praecedentium, Secundus ἑφθημιμερὴς, Tertius Paeonicus Tetrameter Acatalecticus ex Paeonibus & creticis, Decimus & tertius deci-
C mus similes primo, sextus & octauus secundo, septimus cum nono & decimoquarto Paeonicus δίρρυθμος, vndecimus dimeter Trochaicus, vltimus Paeonicus τείρρυθμος, deinde coronis. Στιβάδας ἃς ἔλαχε Φορμίων] sub dio & humi iacere militaris mos erat, toros στιβάδας à calcando dixerunt. Ipse Hector sic dure & molestè in militia se se habuit, vt coleret χαμευνάς φυλλοστρώτους, vt est apud Rhesum, quem non Euripidi doctiores sed Sophocli tribuunt, & olere videtur Characterem sophocleum.
D De hoc Phormione durae etiam & praefractae vitae qui dux olim nauali prelio bis vicit Lacedemonios meminit Pausanias in Atticis, & Asopichi cuiusdam filium facit.

Σχόλια. Καὶ πολὺ νεώτερον.] ἀντὶ γέρων ὁ χορός. λέγει ὅτι πολὺ νεώτερον ἔχοντα τρόπον ὄψεσθέ με ἀντὶ τοῦ παίζοντα. Καὶ γὰρ ἱκανὸν χρόνον.] ἐν γὰρ ἄλγει ἔτη πολεμοῦντες. πολλὴν φησὶ θλῖψιν ὑπεμείναμεν εἰς τὸ Λύκειον εἰσιόντες καὶ συναγόμενοι, καὶ πάλιν ἐξιόντες ἐκ τοῦ
E Λυκείου καὶ ἀπιόντες εἰς τὴν πόλιν. τὸ Λύκειον δὲ, γυμνάσιον Ἀθήνησιν, ὅπου πρὸ τοῦ πολέμου ἰδίᾳ ἐγυμνάζοντο.

Biset. ΣΥΣΤΗΜΑ κατὰ περικοπὴν ἀνομοιομερὲς ἰαμβείων κβ'.

Τρ. Φέρε δὴ κατίδω ποῖ τοὺς λίθους ἀφέλξομεν.
Ερ. Ὦ μιαρὲ καὶ τολμηρὲ τί ποιεῖν διανοεῖ;
Τρ. Οὐδὲν πονηρόν, ἀλλ' ὅπερ καὶ Κιλλικών.
Ερ. Ἀπόλωλας ὦ κακόδαιμον. Τρ. Οὐκοῦν ἢν λάχω.
Ἑρμῆς γὰρ ὢν κλήρῳ ποιήσεις οἶδ' ὅτι.
Ερ. Ἀπόλωλας, ἐξόλωλας. Τρ. Ἐς τίν' ἡμέραν;
Ερ. Ἐς αὐτίκα μάλ'. Τρ. Ἀλλ' οὐδὲν ἠμπόληκά πω,
Οὔτ' ἄλφιτ' οὔτε τυρόν, ὡς ἀπολούμενος.
Ερ. Καὶ μὴν ἐπιτέτριψαί γε. Τρ. Κἆτα τῷ τρόπῳ
Οὐκ ᾐσθόμην ἀγαθὸν τοσουτονὶ λαβών;

F *TRY.* *Sed viso quorsum saxa dimouebimus.*
MER. *scelesle & audax quale facinus destinas?*
TRY. *Nihil sinistri, sed quod olim Cillicon.*
MER. *Miser periisti. TRY.* *si quidem id sors insseris:*
Nam sorte, cùm sis Mercurius, facturus es.
MER. *At occidisti, nullus es. TRY.* *In quam diem?*
G *MER.* *Iam mox. TRY.* *Tamen nil comparaui casei,*
Nihil farina mortis ad visticum.
MER. *Penissimè deuotus es. TR.* *Quo fit modo*
Vt tantum acceptum bonum nec senserim?

Ερ.

A Ερ. Ἀπολεῖ· θάνατον ὅτι προεῖφ' ὁ Ζεὺς, ὃς ἂν
Ταύτην ἀνορύττων εὑρεθῇ; Τρ. Νῦν ἆρα με
Ἅπασ' ἀνάγκη γ' ἀποθανεῖν; Ερ. Εὖ ἴσθ' ὅτι.
Τρ. Ἐς χοιρίδιόν μοί νυν δάνεισον τρεῖς δραχμάς.
Δεῖ γὰρ μυηθῆναί με πρὶν τεθνηκέναι.
Ερ. Ὦ Ζεῦ κεραυνοβρόντα. Τρ. Μὴ, πρὸς τῶν θεῶν,
B Ἡμῶν κατείπῃς ἀντιβολῶ σε δέσποτα.
Ερ. Οὐκ ἂν σιωπήσαιμι. Τρ. Ναὶ πρὸς τῶν κρεῶν,
Ἃ 'γὼ προθύμως σοι φέρων ἀφικόμην.
Ερ. Ἀλλ' ὦ μέλε ὑπὸ Διὸς ἀμαλδυνθήσομαι,
Εἰ μὴ τετορήσω ταῦτα καὶ λακήσομαι.

MER. Scin' esse morti destinatum illum ab Ioue
Qui repperibit erutam hanc? TR. Nunc ergo me
Prorsum necesse est emori. MER. certum puta.
TRY. Tres fœnera drachmas mihi in porcum sacrem.
Nam me sacrari oportet antequam mori.
MER. O fulminator Iuppiter. TRY. Ne per Deos,
O domine Mercuri, oro, ne nos produis.
MER. Nunquam hoc tacebo. TRY. Te per has carnes rogo
Quas tibi benignè tam modo aduenies tuli.
MER. Miselle, sed me Iuppiter disperderet,
nisi hac disertim & voce clamosa arguam.

Σχόλια. Φέρε δὴ κατίδω] σύστημα ἐξ ... ἀνομοιομερὲς ἰαμβείων κϛ. ἐπὶ τῷ τέλει ... Ὦ μιαρὲ καὶ τολμηρέ.] ὁ Ἑρμῆς ἐλθὼν καὶ καταλαβὼν τὴν εἰρήνην ὡς δῆθεν ἀνασπωμένην καὶ ἐπὶ τούτῳ χαλεπαίνων, λέγει, τί τοῦτο τολμᾷς. Κιλλικῶν.] τὴν νῆσον Μίλητον τοῦτόν φασι προδεδωκέναι τοῖς Πριηνεῦσι. πυνθανομένων δὴ πολλάκις αὐτοῦ τινῶν τί μέλλει ποιεῖν, ἔλεγε πάντα ἀγαθά. Θεαγένην δέ τινα ἄνδρα Σύριον τῆς νήσου ταύτης ὑπὸ Κιλλικῶντος προδοθείσης, μετοικήσαντα εἰς τὴν Σάμον κρεοπωλεῖν. ἐπιστάντος οὖν τοῦ Κιλλικῶντος ὠνήσασθαι παρ' αὐτοῦ κρέας, δεικνύντι κρατῶν αὐτῷ ἵνα ἀποκόψῃ τὸ ἀρκοῦν, καὶ ἀποτεινάμενον τὴν κοπίδα, κόψαι τὴν χεῖρα αὐτοῦ τοῦ Κιλλικῶντος καὶ εἰπεῖν, ὡς ταύτῃ τῇ χειρὶ ἑτέραν οὐ προδώσεις πόλιν. Οὐκοῦν ἢν λάχω] παίζει πρὸς τὸν Ἑρμῆν. ἐπεὶ ὅταν πολλοὺς κατεδίκαζον οἱ Ἀθηναῖοι ἀποθανεῖν, οὐκ εἰς μίαν ἡμέραν πάντες ἐφονεύοντο, ἀλλ' ἕκαστος ἐκληροῦτο καθ' ἡμέραν, καὶ τῷ κληρωθέντι θάνατος ὑπῆρχε. καθ' ἡμέραν οὖν εἷς μόνος ἐτελεύτα. εἶτα γὰρ ὅτι μετεμελοῦντο, καὶ τοὺς λοιποὺς ἔσωζον. ἐπεὶ οὖν οἱ κλῆροι Ἑρμοῦ, παίζων τοῦτο λέγει. Ἑρμῆς γὰρ ὤν.] εἰ ὥρισται φησὶ πάντας ἀποθανεῖν, κληρωθῆναι πρότερόν με δεῖ. οἱ γὰρ κλῆροι Ἑρμοῦ δοκοῦσιν εἶναι, ὅθεν καὶ τὸν πρῶτον κληρούμενον, Ἑρμῆν φασὶ καλεῖν δεῖ. Ἠμπόληκά πω] ἐνεπορευσάμην. ἐμπολὴ δὲ φορτίον, ἢ τὸ τῆς πραγματείας κέρδος. ἢ πᾶν ἀγωγὴ τοῦ κέρδους. τὸ δὲ ῥῆμα ἐμπολᾶν. Ὡς ἀπολούμενος.] ὡς εἰρηκότος αὐτοῦ ὅτι στρατεύῃ ἢ ἀποδημεῖς, οὐδὲν φασιν ἀντιστάμενον ὡς ἀποδημήσων. ὥστε ἴσον ἀποδημεῖν ἢ στρατεύεσθαι. χαριέντως δὲ καὶ παρ' ὑπόνοιαν εἶπε τὸ, ὡς ἀπολούμενος. οἱ στρατευόμενοι δὲ τυρὸν καὶ ἄλφιτα ἑαυτοῖς ὠνοῦντο. Ἐπιτετρίψεταί γε.] ἔστι τὸ ἐπιτρίψαι ποτὲ μὲν ἐπὶ ὑπερφανείᾳ τάττεται. ποτὲ δὲ ἐπὶ κατάρᾳ. ἐφ' ἧς νῦν. Οὐκ ᾐσθόμην.] πάλιν ἐν τῷ ἀστειότητι ἐχρήσατο, ὥσπερ ἐπὶ τοῦ τελείου. τὴν ὀργὴν αὐτοῦ καταπραΰνων. παίζων οὖν εἶπεν. Ὅτι προεῖφ' ὁ Ζεύς] ἀντὶ τοῦ ὥρισε κατ' ἐρώτησιν. Ἐς χοιρίδιον.] ὅτι τοῖς μυουμένοις ἔθος ἦν, χοιρίδιον θύειν ἐξ ἀνάγκης.

CHR. Οὐδὲν πονηρόν.] Historia hæc de Cillicconte recitatur à Suda & Hesychio, qui ait eum vocatum prius Achæum. Hæc ferè est. Prienensibus (vel vt ait idem Hesychius regiis ducibus) Miletum insulam prodidit cillicon, cúmque ex eo quærerent, quidnam facturus esset, respondit πάντα τ' ἀγαθά, aut potius οὐδὲν πονηρόν. Paulo pòst hanc in[s]ulæ traditionem Theagenes quidam (quē Σύεινον, cur vocet Scholiastes non satis scio, nisi mendum est in traiectione litterarum, & Σύρνιον potius legendum, nam syrna vrbs etiam Cariæ vnde Syrnius) diuertit Samum ibíque carnes cœpit vendere: Ab eo empturus cillicon cùm indicaret quà scindi sibi vellet manum extendit, quam ille sublato cultro abscidit, addidítque, Nunquam tu manu ista aliam vrbem trades. Hinc vulgò proditores cillicontas vocabant, vt Democlidas hospites mœchos, Eurybatas scelestos, Timarchos flagitiosos & consuetos. Apud Ciceronem lib. 7. Epist. Famil. Epistola 24. Habes & istius Salaconis. Et epist. 18. lib. 16. salaco (vel heluo) nequissimus Quid si vtrobique legas cillico. tamen idem sudas in voce πονηρὸν non cillicontem sed calliphontem vocat & Callimachi testimonium laudat, μὴ σύ γε Θειόγνις κόψαις χεῖρα Καλλιφῶντος. lege χέρα Καλλιφῶντος & Θεάγενις. Ἐς τὴν ἡμέραν.] Tangit Atheniensium vetustum morem qui cū multos condemnassent non omnes vno die statim necabant, sed vnus diem quisque suum sortiebatur. sæpe enim condemnantes iudices pœnitentia tangebat, & sic reliqui seruabantur salúsque tandem rebus prolatis euadebant. Erant autem sortes propriè Mercurii, & cui primum sors contigerat, eum solebant Mercurium vocare, nam propterea virgam soporiferam habebat. Apud Romanos in capiendis vestalibus ducebantur sortes, & apud Maronem est Laocoon ductus sorte sacerdos. Erat enim mortis mundanæ imago sacerdotalis vestalium vita. & ducere apud bonos auctores dicebant pro eo quod est ad supplicium trahere. Rectè autem ait ἠμπόληκα, est enim Hermes ἐμπολαῖος & κερδῷος, id est, Mercurius & Lucrinus. Ἐπιτέτριψαι.] Scholiastes Grecus hanc vocem putat accipiendum ἐπὶ κατάρᾳ, quem ego secutus diris deuotum dixi & perditum. Nam Grammatici ἐπιτρίψαι illam ἀπώλεσαν exponunt. Sed miror quod ille glossographus ait hoc verbi interdum ἐπὶ ὑπερηφανίᾳ τάττεσθαι. mihi enim hoc non fit verisimile, legebámque ἐμπορείᾳ non ὑπερηφανίᾳ nam θρύπτεσθαι est σεμνύνεσθαι. Tamen suspendo arbitrium, & quia apud sudam inuenio θρύψομαι pro σπατεισβήσομαι, iam desino mirari, & vnam vtriusque verbi originem esse puto, præsertim cùm sciam hęc verba modò per ι, modò per υ scribi solere. Ἐς χοιρίδιον.] Qui sacris initiabantur necesse erat, vt porcello rem diuinam facerent. Huius ritus caussam arcessendam suspicor à Præsiis

Cretensibus populis apud quos sacris initiati suem immolabant, vt videre est apud Athenæum in cõuiuiis philosopheis. Fabulantur enim suem olim præbuisse mammam Ioui, & grunnitu suo fecisse ne infantis vagitus audiretur. Propterea magna suem veneratione coluerunt Cretenses, & in sue operati sunt arcanum sacrificium, imò suis carnes non esitant. Vide Dipnosophistam illum lib. IX. quem obiter illic emendandum puto cùm ait, καὶ οὐδὲ τῶν κρεῶν ἀπέγευσαν, lego enim καὶ ὑὸς κρεῶν οὐ γεύσαντο. Nam οὐὸς transposita litera ὑὸς. Sanè prima ex suibus data est hostia, aptum enim & idoneum ad sacra illud animal, vel ipsum etymon arguit. Sus quasi thus, vt testantur Athenæus, & Clemens Alexandrinus in Stromatis, σῦ, quasi θῦ, nam θύω macto & sacrifico, quia ad θυσίας accõmodum vt dixi. Quod etiam doctissimo Varroni visum est in libris de re Rustica, cùm ait Pecoris immolandi initium sumptum à suillo.

Σχόλια. Ω Ζεῦ κεραυνοβρόντα.] τοῦτο ὁ Ἑρμῆς φησὶν ἐπιβοώμενος τὸν Δία διὰ τὸ ἐπ' αὐτοφώρῳ καταλαβεῖν τοὺς ἀνασπῶντας τὴν εἰρήνην. Καὶ πρὸς τῶν κρεῶν.] γελοίως χαρίεν τοῦτο, ἵνα δόξῃ καὶ τοὺς θεοὺς ὑπομιμνήσκειν τὰ λήμματα. Αμαλδυνθήσομαι.] εἰμὶ κατεῖπε ταῦτα τὰ τραγικὰ οὕτως ὑμῖν καὶ διαβάλω. τετορήσω ἀντὶ τοῦ σαφῶς, ὅτι διηλάσω. τορῶς γὰρ σαφῶς καὶ ἀ-

A κριβῶς, ὅτι τινὲς δὲ τὰ τραγικῶς λέξειν ἐχρήσατο. τὸ δὲ ἀμαλδυνθήσομαι, ἀντὶ τοῦ ἀφανισθήσομαι. παρὰ τὸ προτείνειν πρὸς τοὺς παρ' Ομήρῳ ἔξηγουμένους τεῖχος ἀμαλδῦναι, ἀντὶ τοῦ ὁμαλίσαι.

Bisetus. Λακήσομαι δέ, μέσος μέλλων τοῦ λακεῖν, ὃ καὶ τὸ ἦχος ἀθῶον οὐχ ἁπλῶς τὸ φωνεῖν, ἢ λαλεῖν, ὡς οἱ τραγικοὶ διθυραμβικώτερον αὐτῷ χρῶνται, ἐν Πλούτῳ, καὶ ἐν Πλούτῳ.

> Ο Φοῖβος ἔλακεν ἐκ τῶν στεμμάτων,

B

> Αλλὰ ποιόν τινα ἦχον ἀψύχων σωμάτων δηλοῖ.

CHR. Πρὸς τῶν κρεῶν.] Ilocaliter & conuenienter risui excitando: cùm enim modo dixerit, πρὸς τῶν θεῶν, neque quicquam hac obsecratione profecisset, addidit maiorem cum allusione πρὸς τῶν κρεῶν, vt nidore carnium munerúmque oblatione delectari Mercurium speremus, potiùs quã obtestatione deorum. Αμαλδυνθήσομαι.] Cum affectatione verbum hoc vsurpat, vt duo sequentia τετορήσω & λακήσομαι verè Tragicum spirantia maiorisque audaciæ quàm spiritus. Videtur autem

C inde Æschylum ridere, qui hos verborum scopulos diligit, & poeta est verè στομφάζων, quique duobus verbis idem significantibus ad fastidium vsque sæpè vtitur, quo nomine reprehenditur ab Euripide in Ranarum fabula.

ΤΡΥΓΑΙΟΣ, ΧΟΡΟΣ, Ἑρμῆς.

TRYGÆVS, CHORVS, Mercurius.

D

Διπλῆ ἐκ στίχων ... καὶ κῶλον ιζ.

Biset. Ο Τρυγαῖος τὸν χορὸν σιγῶντα, καὶ ἐκπεπληγμένον ὁρῶν θαρσύνει, καὶ μηκέτι σιωπᾶν, ἀλλὰ μετὰ παρρησίας λαλεῖν κελεύει. τὸν δὲ Ἑρμῆν ἐπικαλέσας αὐτοῖς ἵλεων παρεῖναι ἱκετεύει.

Τρ. Μὴ νῦν λακήσῃς, λίσσομαί σ' ὦ 'ρμίδιον.
Εἴπατέ μοι, τί πάσχετ' ἄνδρες; ἕστατ' ἐκπεπληγμένοι;
Ω πόνηροι, μὴ σιωπᾶτ', εἰ δὲ μή, λακήσετε.
Χο. Μηδαμῶς ὦ δέσποθ' Ἑρμῆ, μηδαμῶς, μηδαμῶς,
Εἴ τι κεχαρισμένον
Χοιρίδιον οἶσθα παρ' ἐμοῦ γε κατεδηδοκώς,
Τοῦτο μὴ φαῦλον νομίζων ἐν τῷδε τῷ πράγματι.
Τρ. Οὐκ ἀκούεις οἷα θωπεύουσί σ' ὦ 'ναξ δέσποτα.
Χο. Μὴ γένῃ παλίγκοτος τις ἀντιβολοῦσιν ἡμῖν γε,
Ωστε τήνδε μὴ λαβεῖν,
Αλλὰ χάρισ' ὦ φιλανθρωπότατε καὶ μεγαλοδωρότατε δαιμόνων.
Εἴ τι Πεισάνδρου βδελύττει τοὺς λόφους καὶ τὰς ὀφρῦς,
Καί σε θυσίαισιν ἱεραῖσι προσόδοις τε μεγάλαισι διαπαντὸς ὦ
Δέσποτ' ἀγαλοῦμεν ἀεί.

E

TRY. *Ne clamites nunc, Mercurille, quæso te,*
Dicite, ô gens dura quid statis stupore perciti?
Quid, malum, vos nunc siletis voce cùm intenta est opus?
CH. *Haud ita ô Rex apage Mercuri, haud ita, haudquaquam hoc placet,*
Si volupe quid tibi
Obtulimus apposuimúsque tenerum scrofam,
Quicquid hic studemus exsequi, boni tu consulas.

F

TRY. *Audin' vt sermone mulcent lacteo te Rex, here?*
CH. *Auffer iracundiam nec supplicantes desere,*
Da semel prehendere hanc,
Huc & adhibe ô Deûm
Poplicola, munifice,
Maxime, fauentiam:

G

Si quid heu Pisandri abominaris altos spiritus,
Sacrificiisq́ sacris
Tum reditibus variis
Semper here Mercuri
Te colimus interea.

BISETVS. Σ' ὦ 'ρμίδιον.] τὸ πλῆρες, σὺ ὦ Ἑρμίδιον.

CHR. Ω' 'ρμίδιον.]per ὑποκόρισμα pro ὦ Ἑρμίδιον. sed quod ait εἰπέ μοι, malim μὴ, pro μὴ εἰπὲ, vel vt cogat eum negare se Ioui indicaturum. Dic tantum Non. Alludit autem post in finalibus syllabis cùm ait Ἑρμῆ μηδαμῶς μὴ μηδαμῶς, omnino ad mouendum risum. Tamen ferri potest τό μοι, vt alloquatur chorum. Teleclides autem vt initio diximus dixit, ὦ δέσποθ' Ἑρμῆ κάπηλε τῶν θυλημάτων.

Σχόλια. Εἰπέ μοι.] ὁ Τρυγαῖος πρὸς τὸν χορὸν ἀποφαίνεται ταῦτα λέγει. τὰ τοιαῦτα εἴδη καλεῖται ἑτερόστροφα. εἰσὶ στίχων καὶ κώλων ιζ, ὧν οἱ πρῶτοι δύο καὶ ὁ τῆς στροφῆς α'. τροχαϊκοὶ τετράμετροι ἀκατάληκτοι. τὸ δ' παιωνικὸν δίμετρον καταληκτικόν. ὁ ε παιωνικὸς τετράμετρος ἀκατάληκτος ὁ δ καὶ ὁ ἑξῆς καὶ οἱ α' ς τ' δευτέρας στροφῆς ὅμοιοι τῷ πρώτῳ. τὰ δ' ἄλλα παιωνικὰ ἄρρυθμα. ἐπὶ τῇ ἀποθέσει παράγραφος. ἐπὶ δὲ τῷ τελευταίῳ κώλῳ, διέσποτ' ἀγλαοῦμεν αὐ. δύο διπλαῖ ἔξω νενευκυῖαι. ἡ μὲν ἐν ἀρχῇ τοῦ κώλου. ἡ δὲ κατὰ τὸ τέλος. Ω πόνηρε.] ὦ ἐπίμοχθοι. ἐπιτιμᾷ δὲ αὐτοῖς, ὡς νῦν σιωπῶσι, δέον αὐτοὺς ἐν καιρῷ λαλεῖν. Εἴτι κεχαρισμένον.] παρὰ τὸ Ὁμηρικόν. εἴ ποτέ τοι χαρίεντ' ἐπὶ νηὸν ἔρεψα. Τοῦτο μὴ φαῦλον.] μὴ εὐτελὲς νομίζων τὸ χορείδιον τυχεῖν ἐν τῷ λαβεῖν ἡμᾶς τὴν εἰρήνην. Μὴ ἀλλὰ παλίγκοτος.] ἀντὶ τοῦ ἐναντίος. μὴ ἐξ ὑποστροφῆς ὀργισθῇς πάλιν καὶ μεταγνοὺς. ἐφ' οἷς ἡμᾶς εὐεργετῆσαι προθυμηθεὶς καὶ διανοῇ. Εἴτι Πεισάνδρου.] ἴσως εἰρωνεύεται. ἐπὶ δειλίᾳ γὰρ ἐκωμῳδεῖτο παρὰ πολλοῖς. Αγαλοῦμεν ὑμᾶς ἀεί.] ὅτι προειπὼν τὸ διὰ παντός, ἤρκει γὰρ εἰπεῖν διαπαντός. ἀγαλοῦμεν δὲ A ἐπικοσμήσομεν. ἴσως δὲ ταυτολογίᾳ ἐχρήσατο, τὴν ἀείμνηστον εὐεργεσίαν δεῖξαι θέλων.

CHR. Εἰπέ μοι.] Qui sequuntur versus septem & decem sunt de genere ἑτεροστρόφων, Tres priores Trochaici sunt Tetrametri Acatalectici, Quartus Pęonicus dimeter Catalecticus. Quintus Pæonicus tetrameter Acatalect. Hi faciunt primam Stropham. Altera stropha constat ex tribus Tetrametris Trochaicis Acatalect. Cæteri sunt Pæonici ἄρρυθμοι. Nos versus versibus reddidi- B mus, & numeris numeros, elegantiam tantùm abdidimus. Ω πονηρέ.]Hîc τὸ πονηρὸν, est ἐπίμοχθον, ęrumnosum. Castigat autem ipsos rusticos, vel spectatores potius qui tacebant quo tempore loquendum. Εἴτι κεχαρισμένον.]Ex Homero εἴ ποτέ τοι χαρίεντ' ἐπὶ νηὸν ἔρεψα. Est autem istud commemoratio beneficij, vel potius exprobratio, vt ait comicus Afer Latinę dictionis eligentissimus. Τοῦτο μὴ φαῦλον.] Versum hunc oportet esse primo huius strophæ similem, id est, Tetrametrum Tro- C chaicum integrum, sed claudicat tamen: vt fulciatur legerem, ἐν γε τῷδε πράγματι. Sic & versu proximum sequente legerem ἀντιβολοῦσ' ἡμῶν γε. Αγαλοῦμεν ἀεί.] Videtur Scholiastes legisse superius ἀγλαοῦμεν, sed ἀγάλλειν melius, est enim ornare & mactare laudibus, quanquam vna vtrique originatio, sed traiiciuntur sæpe literæ. Vsus autem est ταυτολογίᾳ, cùm ait ἀεὶ, dixerat enim διὰ παντὸς, sed voluit fortassis ostendere beneficium memorabile, neque intermoriturum. D

ΣΥΣΤΗΜΑ ἕτερον κατὰ περικοπὴν ἐκ στίχων κς'.

Τρ. Ἴθ' ἀντιβολασ' ἐλέησον αὐτῶν τὴν ὄπα,
Ἐπεί σε καὶ τιμῶσι μᾶλλον ἢ πρὸ τοῦ.
Ερ. Κλέπται γάρ εἰσι νῦν γε μᾶλλον ἢ πρὸ τοῦ.
Τρ. Καί σοι φράσω τι πρᾶγμα δεινὸν καὶ μέγα,
Ὃ τοῖς θεοῖς ἅπασιν ἐπιβουλεύεται.
Ερ. Ἴθι δὴ κάτειπ', ἴσως γὰρ ἂν πείσαις ἐμέ.
Τρ. Ἡ γὰρ σελήνη χ' ὡ πανοῦργος ἥλιος,
Ὑμῖν ἐπιβουλεύοντε πολὺν ἤδη χρόνον,
Τοῖς βαρβάροισι προδίδοτον τὴν Ἑλλάδα.
Ερ. Ἵνα τί δὴ τοῦτο δρᾶτον; Τρ. Ὅτι νὴ Δία.
Ἡμεῖς μὲν ὑμῖν θύομεν, τούτοισι δὲ
Οἱ βάρβαροι θύουσι. διὰ τοῦτ' εἰκότως,
Βούλοιντ' ἂν ὑμᾶς πάντας ἐξολωλέναι,
Ἵνα τὰς τελετὰς λάβοιεν αὐτοὶ τῶν θεῶν.
Ερ. Ταῦτ' ἄρα πάλαι τῶν ἡμερῶν παρεκλεπτέτην,

TRY. Miserare eorum verba supplicia obsecro,
Nam te colunt plus quàm solebant antidhac.
E MER. Furaciores nempe sunt quàm erant prius.
TRY. Asponderis rem maximi dicam tibi,
Omnes statuta quæ grauis contra Deos.
MER. Age expedi, sis forsitan persuaseris.
TRY. Nam Luna iampridem atque sol nefarius
consilia vestrum moliuntur in caput,
F Qui Græciam omnem prodiderunt barbaris.
MER. Quianam ista faciunt? TR. quòd solemus per Iouem
Litare vobis sub'que placare, ijs solent
Voluntaque barbari: inde iure postulant
Omnes semel nos funditus perbitere:
Quò nempe sacra cælitum cedant sibi.
G MER. Ergo dierum hinc illa diminutio,

Σχόλια. Ἴθ' ἀντιβολοῦσα] σύστημα ἕτερον κατὰ περικοπὴν ἀνομοιομερὲς ἐκ στίχων ἰαμβικῶν κς. ἐπὶ τῷ τέλει παράγραφος. Ἐλέησον αὐτῶν τὴν ὄπα] ἀντὶ τοῦ ἱκετηρίαν αὐτῶν τὰς εὐχὰς καὶ τὰς λιτάς. καὶ ἐπάκουσον ἡμῶν ὦ φιλανθρωπότατε. Κλέπται γὰρ νῦν εἰσιν] παρ' ὑπόνοιαν. ἐπαιξε δὲ ὡς τοῦ Ἑρμοῦ χαίροντος τοῖς κλέπταις. οὕτως γὰρ φησι.

ρούμεθά σε τιμῆσαι φασὶν, ὅτι ζηλωταὶ τῶν ἐπιτηδευμάτων ἐσόμεθα τῶν σῶν, καὶ μᾶλλον ἢ πρότερον τῶν κλοπαῖς προσεξόμεθα. ἐν δὲ τῷ προσθεῖναι μᾶλλον ἢ πρὸ τοῦ, ἐπ' ἀμφοτέροις διέβαλεν, ὅτι καὶ πρότερον ἔχαιρον καὶ νῦν ἐπιδώσουσι μᾶλλον. αἰνίττεται δὲ εἰς τοὺς Ἀθηναίους ὡς πολλὰ κλέπτοντας.

CHR. Κλέπται γάρ εἰσι] Tangit omnino mores Atheniensium rapto & furto gaudentium, quique sciunt, quæ bona sunt, sed facere nolunt.

Σχόλια. Τοῖς θεοῖς ἅπασιν ἐπιβουλεύεται.] ἀντὶ τοῦ ἐπὶ τοῖς θεοῖς βουλεύεται. Η γὰρ σελήνη χ' ὁ πανοῦργος.] τοῦτο λέγει διὰ τὰς ἐκλείψεις καὶ τὰς ἄλλας διοσημείας, τὰς κατὰ τὸν Πελοποννησιακὸν πόλεμον γινομένας. Τοῖς βαρβάροις προδίδοτον.] δοκοῦσι γὰρ οἱ βάρβαροι, τούτους μάλιστα θεραπεύειν τῶν θεῶν. τὸ φαὺς δὲ ὑποβολῇ προσώπων, εἰς διάνοιαν προάγει τοὺς ἀκούοντας. λεληθότως δὲ δείκνυσι πάλιν, ὅτι ὑπὲρ τῶν βαρβάρων ἐστὶ τὸ τοὺς Ἕλληνας τῇ οἰκείᾳ διαφθείρεσθαι στάσει. Τούτοισι δέ.] οἱ βάρβαροι τὸν ἥλιον καὶ τὴν σελήνην τιμῶσιν. ὡς Ἡρόδοτος ἱστορεῖ. εὐφυῶς δὲ πάλιν εἰς ὁμόνοιαν αὐτοὺς προτρεπόμενος, δείκνυσιν ὅτι ὑπὲρ τῶν βαρβάρων ἐστὶ τὸ, τοὺς Ἕλληνας διὰ στάσεις ἀλλήλους διαφθείρειν. ἐπειδὴ δὲ οἱ βάρβαροι τὸν ἥλιον καὶ τὴν σελήνην θεῶν μᾶλλον πάντων σέβουσι. διὰ τοῦτο καὶ τὴν Δῆλον καὶ τὴν Ἔφεσον οὐ διελυμήναντο. ὁ μὲν γὰρ ἥλιος, Ἀπόλλων ἐνενόμιστο. ἡ δὲ Ἄρτεμις σελήνη. Ἵνα τὰς τελετὰς αὐτοὶ λάβοιεν.] ἡμῶν γὰρ ἀπολλυμένων καὶ τῶν βαρβάρων αὐτοῖς θυόντων. παρατηρητέον δὲ ὅτι ἀντὶ τοῦ τὰς θυσίας, κεῖται τὰς τελετάς. Ταῦτ' ἄρα πάλαι] σὺν τίθεται ὁ Ἑρμῆς καί φησιν. ὅτι διὰ ταῦτα ὁ μὲν ἥλιος παρέκλεπτε τῶν ἡμερῶν, ἡ δὲ σελήνη τοῦ κύκλου. ἐπειδὰν γὰρ ἴσαι αἱ ἡμέραι καὶ οἱ μῆνες ...ωνται, ἔκλειψις γίνεται. τὸ οὖν φύσει γινόμενον ἐκλεπτ...

πτοντος ἀπὸ παίζων.

CHR. Υμῖν ἐπιβουλεύουσι.] Optimus & doctissimus vir Nicolaus Faber Parisiensis, qui senecæ vetustate laborantis & ruentis audit iamdudum refector & tibicen, persuasit mihi aliquando, vt mutarem τὸ ὑμῖν in ἡμῖν. Quam ego lectionem hominis causa iudicio multum valentis, & me longè superantis, libenter amplector. Etsi defendi potest altera, quòd dixerit paulò antè indicaturum se facinus magni momenti, quod concipitur aduersus Deos omnes. Τούτοισι γὰρ οἱ βάρβαροι] Barbari Solem & Lunam maximoperè colunt. Propterea Delo & Epheso pepercerunt cùm Græciam vastarent. Sol enim Apollo, Diana Luna. Tamen apud curtium libr. 4. sol est Græcorum, Luna Persarum. Hic verò bonus ciuis Aristophanes tacitè innuit, crescere barbaros ex intestina Græcorum discordia, & hos in perniciem ruere, illos in floris cacumen surgere. Nihil enim est quod magis regni aut populi res infirmet, ac seditio ciuilis aut popularis, vt præclarè maximus Philosophus censuerit in Politicis hanc sententiam, αἰθώνις τὸ στασιάζειν. Hac profectò imagine compelli debet nostra Gallia, ad quam verè referre possumus, quod sapientissimus heros, diuus Iulius cæsar scaliger, de Italia cecinit hoc versiculo, Hęc vt sibi ne seruiat, exterisne seruit? Παρεκλεπτέτην] Alludit ad Eclipses, & signa quę tempore belli Peloponnesiaci notata sunt, sed ludit cùm de rebus quæ necessario & secundùm naturam fiunt, κλέπτειν vsurpat. Sic cùm ait ἁρματωλίας, delicta & furta Atheniensium intelligit, & voluit ἁμαρτωλίας, quas per Lunæ currū cursúmq; innuit.

Καὶ τοῦ κύκλου παρέτρωγεν ὑφ' ἁρματωλίας.
Τρ. Ναὶ μὰ Δία. πρὸς ταῦτ' ὦ φίλ' Ἑρμῆ ξύλλαβε,
Ἡμῖν προθύμως τήνδε καὶ ξυνέλκυσον,
Καί σοι τὰ μεγάλ' ἡμεῖς Παναθήναι' ἄξομεν,
Πάσας τε τὰς ἄλλας τελετὰς τὰς τῶν θεῶν,
Μυστήρι' Ἑρμῆ, Διιπόλει', Ἀδώνια,
Ἄλλαι τέ σοι πόλεις πεπαυμέναι κακῶν,
Ἀλεξικάκῳ θύσουσιν Ἑρμῇ πανταχοῦ,
Χ' ἅτερ' ἔτι πολλ' ἕξεις ἀγαθά. πρῶτον δέ σοι
Δῶρον δίδωμι, τήνδ' ἵνα σπένδειν ἔχῃς.
Ερ. Οἴμ' ὡς ἐλεήμων εἰμ' ἀεὶ τῶν χρυσίδων.

Et prana detrita orbita aurigatio.
TR. Ita est, amice Mercuri, quare lubens
Simul extrahe istam, & adiuua nos, si potes:
Tum tibi feremus maximas Quinquatrias,
Et sacra diuis attributa cæteris,
Mysteria omnia, Dijpolia, Adonia,
Tum ciuitates cætera functa malis
Vbique sacra liberatori suo
Facient tibi Herme, plurima bona te manent.
En primus hancce muneri, vt libes, fero.
ME. Pateris & auro semper heu sum infirmior.

Σχόλια. Υφ' ἁρματωλίας.] οὕτως ἡ γραφή. μέμνηται Ἡρωδιανὸς ἐν τῇ ια'. καὶ Φρύνιχος ἐν τῇ σοφιστικῇ παρασκευῇ, οὕτω τίθησι τὴν λέξιν. δέον δὲ εἰπεῖν ὑπὸ ἁμαρτίας, ἀντὶ τοῦ ἁμαρτάνοντες, εἶπεν ὑφ' ἁρματωλίας, ἀντὶ τοῦ φειδόμενοι τῶν ἁρμάτων αὐτῶν. ἄλλως. τῆς τῶν ἁρμάτων ἡνιοχείας. Καί σοι τὰ μεγάλα] οὐχ ὡς καὶ μικρῶν ὄντων τοῦτό φησιν. ἀλλ' αὔξων τὴν χάριν. τῇ δὲ Ἀθηνᾷ ἤγοντο διὰ πέντε ἐτῶν. ὅτι καὶ ἡ ναῦς ἐπιγῆς πλεῖ παρ' αὐτοῖς. σοί φησιν ἄξομεν τὰ Παναθήναια καὶ οὐ τῇ Ἀθηνᾷ, ἐὰν τῆς εἰρήνης τύχωμεν διὰ σοῦ. Πάσας τε τὰς τελετάς.] καὶ τοῦτο πρὸς τὰς ἄλλας τελετάς. σαφέστερον δὲ ἐν τούτοις μᾶλλον, ὅτι οὐ δεῖ γεγραμμένως ἐπὶ τῶν θυσιῶν εἴρηκε. Τὰς τῶν θεῶν.] τὰ τῇ Δήμητρι καὶ Κόρῃ ἀγόμενα, ἐκεῖ τι ταύτας φησὶν ἄξομεν, ἀλλὰ σοὶ, ὥσπερ καὶ τὰ Παναθήναια. Διιπόλεια δὲ ἑορτὴ Ἀθήνησιν ἐν ᾗ Πολιεῖ Διῒ θύουσι σκιροφοριῶνος τετάρτῃ ἐπὶ δέκα. ἔστι δὲ ἀπομίμημα τῶν παλαιῶν καὶ τῶν κατὰ τοὺς βοῦς συμβάντων. Διιπόλει' Ἀδώνια.] τὰ Διιπόλεια τῷ Διΐ. τὰ Ἀδώνια, τῷ Ἀδώνιδι καὶ τῇ Ἀφροδίτῃ. Ἄλλαι τέ σοι πόλεις.] τοῦτο φησὶν, ἵνα μὴ δόξῃ καταισχύνειν τὸ ἀξίωμα τῶν Ἀθηναίων, ὡς διὰ τὸ ἀποκαμεῖν μόνον ἐρώντων τῆς εἰρήνης. οὐ μόνον γὰρ αὐτοί φησι τὸν Ἑρμῆν τιμήσουσιν, ἀλλὰ καὶ πᾶσαι αἱ πόλεις τῆς εἰρήνης τυγχάνουσαι, διὰ τὸ χρησιμεύειν τῷ βίῳ τῶν ἀνθρώπων. Ἀλεξικάκῳ.] καὶ τὸ ἐπὶ τῷ Ἡρακλεῖ μόνῳ σοὶ ἐπιθύσομεν. ἀλεξίκακος γὰρ Ἡρακλῆς παρ' ἀνθρώποις ἐτιμᾶτο. καὶ Ἀπόλλωνα καὶ Ἡρακλέα ἀλεξικάκους τιμῶσι. φησὶν οὖν. οὔτε Ἀπόλλωνι οὔτε Ἡρακλεῖ θύσομεν ὡς ἀλεξικάκοις, ἀλλὰ σοί. Δῶρον δίδωμι.] τοῦτο παρεγγραφή. τοῦτο γὰρ εἰπὼν δίδωσιν αὐτῷ φιάλην χρυσῆν. Οἴμ' ὡς ἐλεήμων.] δέον εἰπεῖν ἥδων, φησὶν ἐλεήμων. χρυσίδα δὲ, τὴν φιάλην. παρ' ὑπόνοιαν δὲ, ἀντὶ τοῦ εἰπεῖν τῆς πόλεως εἰμὶ ἀεὶ καὶ ἐλεήμων. ἢ τῆς Ἑλλάδος. ἢ τῶν ἀνθρώπων, εἶπε τῶν χρυσίδων, διὰ τὴν χρυσῆν φιάλην.

CH. Καί σοι τὰ μεγ.] Inter omnimoda cōmoda quę

Pax

pax invehere solet, etiam sunt ludi & spectacula quæ exhibet. Talem Pacem describit Homerus Ιλ. σ. per priorem vrbem quam sculpsisse Vulcanum ait, in Achillis clypeo. Hic autem Græcus scholiastes censet magnas illas Quinquatrias (agebantur enim quinto quoque anno, & frustra est Charisius, qui quinquare pro lustrare accipit) sic vocari ad gratiæ amplificationem, non ad differentiam minorum. In quo fugit eum ratio, nam & magna dicebantur, & parua: μικρῶν παναθηναίων meminit Menander Hypobolimæo citante Suda: sic magna & parua erant Thesmophoria ex Thesei instituto, de quibus legendi Plutarchus & Arnobius. Ταῖς τῶ θεοῖν.] Ad Cererem & Proserpinam quæ κόρη dicitur, referunt Græca Scholia: sed ego putem generaliter ad omnes deos. Διϊπόλεια.] Vt Mineruæ præcipuum honorem & cultum Athenienses tribuebant, sic magnum Ioui quē inter alia cognomina venerabantur πολιέα, siue πολιοῦχον (& Minerua hac etiam laude indigitabatur.) Hinc dies ei sollennes Pandia, Diasia, Diipolia, quæ peragebantur 14. die Scirrophorionis mensis. Ac Diipolia ista erant imitamenta, vt ait Scholiastes, vel vt ait Hesychius, monumenta τοῦ πελάνου καὶ τοῦ βοός. Hoc quale sit, disertè describitur à Pausania in Atticis, ait enim in Poliei Iouis ara ordeum tritico permistum (πέλανος eius generis erat) appositum, bouémque ad sacra comparatam, accedere ad aram, & fruges illas attingere. Ὅμοιος ὡς ἐλεήμων.] Muneribus placari etiam deos, testatur illud, δῶρα θεοὺς πείθει. Hic præter ex-

A spectationem dixit ἐλεήμων τῶν χρυσίδων pro ὄντων. semper, inquit, vincunt me aurea munera. Sed exspectabatur aliud, nempe, Miseret me semper vrbium aut hominum. Vt autem argenteæ phialæ ἀργυρίδες, sic aureæ χρυσίδες vocatæ antiquitus: vel per ὑποκορισμὸν dixit pro auro, vt in Babyloniis idem Comicus χρυσίδιον vsurpauit ἀντὶ τοῦ χρυσοῦ. Solent enim quod suauissimum est veteres ὑποκορίζεσθαι. Vnde apud Tranquil- B lum in vita sui Imperatoris: Rogo, inquit, quid dulcius offula? Tamen altero sensu χρυσίδας vsurparunt Pherecrates & Cratinus, sed tamen suspicor allusum ad meretrices. Nam chrysis nomen puellare Comicum satis notum, & Venus ipsa χρυσῆ dicitur, imò si credimus Hesychio indigitabatur in Cypro & chalcedone Venus ἐλεήμων. Notat Sudas hoc loco τὸ ἐλεήμων, esse trisyllabum, & contrahi ε, cum η. Quod notasse superuacuum est, neque enim tam religiosè numeris se astrin- C git liberrimus Comicus, vt Anapæstis cœteri parcere in hac sede, quibus frequentiùs vtitur quàm ipsis Iambis. sed obseruatio Græculi cuiusdam est Scholastici syllabarum captatoris, aut quem esse dicemus ipsum sudam: nam mihi nomen Sudæ vel Suidæ barbarum videtur, neque scio an hac appellatione aut Lexicon, aut viri nomen intelligatur. Fecisset saltem quod his temporibus Bibliothecarum consarcinatores facere amant, vt ipse vitam suam patriámque suo de claris viris D Catalogo Alphabetico recensuisset. Sanè enim nō torem non habet quod sciam.

BISETVS. Διπλῆ ἡ ἐκ στίχων τροχαϊκῶν τετραμέτρων καταληκτικῶν ε, μεθ' οὓς β ἰαμβικοὶ τετράμετροι ἀκατάληκτοι. εἶτα δύο κῶλα. ὧν τὸ μὲν, ἐκ διπλοῦ σπονδείου. τὸ δὲ, ἐκ σπονδείου καὶ τροχαίου, ἀμφοτέρων διπλῶν.

Ὑμέτερον ἐντεῦθεν ἔργον ὦ 'νδρες, ἀλλὰ ταῖς ἄμαις
Εἰσιόντες ὡς τάχιστα τοὺς λίθους ἀφέλκετε.
Χο. Ταῦτα δράσομεν, σὺ δ' ἡμῖν ὦ θεῶν σοφώτατε,
Ἅττα χρὴ ποιεῖν, ἐφεστὼς φράζε δημιουργικῶς.
Τἄλλα δ' εὑρήσεις ὑπουργεῖν ὄντας ἡμᾶς οὐ κακούς.
Τρ. Ἄγε δὴ σὺ ταχέως ὕπεχε τὴν φιάλην, ὅπως
Ἔργῳ φιαλοῦμεν εὐξάμενοι τοῖσι θεοῖς.
Ἑρ. Σπονδὴ σπονδή.
Εὐφημεῖτε εὐφημεῖτε.

E *Vos viri hac incumbite atque adeste, cúmque vectibus*
Limine occupato saxa quàm citò diuellite.
CH. Ista fient: At Deorum ô diue solertissime
Impera quid factu opus sit, Architecte, præsidens,
Cætera haud malos te habere subministros, arbitror.
F *TRY. Age pateram tu suscipe actutum, vt deinde*
Ritè ordiamur sacra libantes preces.
MER. Liba liba.
Iam linguis faueto quisque.

Σχόλια. Ὑμέτερον ἐντεῦθεν.] διπλῆ καὶ ἐν εἰσθέσει στίχοι τροχαϊκοὶ τετράμετροι καταληκτικοί. εἶτα ἐν ἐκθέσει παρὰ τοῖς τετραμέτροις στίχοις ἰαμβικοὶ β. καὶ ἐν ἐκθέσει κῶλα β, ὧν τὸ μὲν ἐκ διπλοῦ σπονδείου, τὸ δὲ ἐκ τοῦ δευτέρου τροχαίου καὶ αὐτῷ διπλοῦ. [illegible] ἰαμβικὰ μένει τοῦ ὑποτείνειν [illegible] καὶ καταγι[illegible] καλῶς. ἐπὶ τῷ τέλει κορωνίς. ὁ Ἑρμῆς δὲ ταῦτα παρακελεύεται. ταχέως δὲ [illegible] αὐτὸ [illegible] λόμενον τὴν προαίρεσιν ἵνα μᾶλλον αὐτὸ δείξῃ [illegible] τοῦ λήμματος. Δημιουργικῶς.] ἀντὶ τοῦ τεκτονικῶς. τοὺς γὰρ τέκτονας, δημιουργοὺς ἔλεγον. Ἄγε δὴ σὺ ταχέως] ἄγε φησὶ πρότερον σπείσωμεν τοῖς θεοῖς. ἵνα οὕτω τοῦ ἔργου [illegible]. Ἔργῳ φιαλοῦμεν.] ἴσως ὅτι ἐπῶμεν τῇ φιάλῃ G ἐπὶ τῷ ἔργῳ [illegible] ἔργῳ ἐπιβαλοῦμεν. ἐπὶ τοῦτο ἑρμηνεύσαμεν. εἴρηται δὲ καὶ ἐν τοῖς [illegible] τὴν φιάλην [illegible] αὐτοὶ [illegible]. [illegible] τὸ ἀρχὴν τοῦ πράγματος. ἄλλως. τὸ ἔργον ἐπιλαβώμεθα καὶ προθυμηθῶμεν. ἐπὶ τοῦτο ἑρμηνεύσωμεν καὶ σπείσωμεν [illegible] εὐφρανθῶμεν. Σπονδὴ σπονδή.] τοῦτο ἀξιοῦντες Ἑρμοῦ λέγουσιν [illegible].

CHR. ὑμέτερον.] Sequuntur quinque Trochaici Tetrametri catalectici, quorum ἐκθέσει sequuntur Iambici duo, mox versiculi duo, prior ex duobus spondęis: alter ex binis Trochæis, post redit ad Iambicos: legerem autem potius ὑμέτερον δ' ἐντεῦθεν, vel ὑμῶν ἐντεῦθεν. Fecit autem Aristophanes, Mercurium statim consilium prius mutantem, & contra quod pertendebat de Pacis extractione solicitum, vt ostendat eum victum à patera aurea. φιαλοῦμεν.] Verbum hoc videtur qui- A busdam ab Aristophane nouatum: Sed non ita est, nam antiqui vsurparunt, pro ἐπιβάλλειν τῷ ἔργῳ, cùm accingunt se ad opus. Hom. αὐτὸς γὰρ ἐφιάλλειν ἔργα. Idem Comicus noster in Vespis, οὐδ' ἐφιαλῶ, etsi illic intelligitur cacephaton. Grammatici φιάλλω dictam putant quasi φιάλλω, quasi liceat inde ...ἄλις. Ego putem φιαλεῖν primum dictum de libatione phialæ, inde traductum ad opus quodlibet, quòd qui incipit videtur de- B libare.

Βισετυς. Διπλῆ ἐκ στίχων ἰαμβικῶν τριμέτρων ἀκαταλήκτων.

Τρ. Σπένδοντες εὐχώμεσθα, τὴν νῦν ἡμέραν,
Ἕλλησιν ἄρξαι πᾶσι πολλῶν κἀγαθῶν,
Χ' ὅστις προθύμως ξυλλάβοι τῶν σχοινίων,
Τοῦτον τὸν ἄνδρα μὴ λαβεῖν ποτ' ἀσπίδα.
Χο. Μὰ Δί' ἀλλ' ἐν εἰρήνῃ διάγειν με τὸν βίον,
Ἔχονθ' ἑταίραν, καὶ σκαλεύοντ' ἄνθρακας.
Τρ. Ὅστις δὲ πόλεμον μᾶλλον εἶναι βούλεται,
Μηδέποτε παύσασθ' αὐτὸν ὦ Διόνυσ' ἄναξ,
Ἐκ τῶν ὀλεκρανῶν ἀκίδας ἐξαιρούμενον.
Χο. Κεἴ τις ἐπιθυμῶν ταξιαρχεῖν, σοὶ φθονεῖ
Εἰς φῶς ἀνελθεῖν, ὦ πότνια, γ' ἐν ταῖς μάχαις,
Πάσχοι γε τοιαῦθ' οἷά περ Κλεώνυμος.

TRY. Libamus & precamur hunc lætum diem
Lucere Græcis prospera omnia omnibus,
Funesq; quisquis hos lubens prehenderit,
C Nunquam ille clypeum aut arma miles induat.
CH. At pace vitam me iuuet producere,
Dum teneam amicam & suscitem carbunculos.
TR. Pro pace quisquis esse bellum mauolet,
Indesinenter vellat ex cubitis suis
O diue Liber spiculorum cuspides.
CH. Quòd si ordines quis postulans se ducere
D Dias tibi auras luminis Diua inuidet,
In prælio alter ille sit Cleonymus:

Σχόλια. Σπένδοντες εὐχώμεσθα] δοκεῖ δὲ ταῦτα αἰνίττεσθαι τὴν ὑπὸ Μελησίππου λεχθεῖσαν ἀπειλήν. ἐν ἀρχῇ γὰρ τοῦ Πελοποννησιακοῦ πολέμου πεμφθεὶς πρεσβευτὴς ὁ Μελήσιππος ὑπὸ Λακεδαιμονίων εἰς τὰς Ἀθήνας, ὡς οὐχ ὑπήκουσαν οἱ Ἀθηναῖοι, ἐξιὼν εἰς τὰς Ἀθήνας ... ἀπαλλάττεσθαι λοιπὸν καὶ γενόμενος ἐπὶ τοῖς ὅροις εἶπεν, ὡς ἥδε ἡ ἡμέρα πολλῶν καὶ μεγάλων κακῶν τοῖς Ἕλλησιν ἄρξει. ἐπεὶ οὖν ἐκ τοῦ πολέμου λοιπὸν ἀπαλλαχθήσεσθαι ἔμελλον, εἰς τοὐναντίον πάλιν ὁ ποιητὴς μετέστρεψε τὸν λόγον τὸν ὑπ' ἐκείνου ῥηθέντα. διπλῆ δέ, καὶ ἐν ἐκθέσει στίχοι ἰαμβικοὶ τρίμετροι ἀκατάληκτοι κγ. ὧν τελευταῖος, ὑπὸ τοῦτο δὲ ἡ πᾶς. Συλλάβοι τῶν σχοινίων.] ἀντιλαμβάνοιτο σχοινίοις γὰρ αὐτὴν κατέχουσι ... ἀνέλκειν. Μὴ λαβεῖν ποτ' ἀσπίδα.] μηκέτι στρατείας βαστάζειν. ἀντὶ τοῦ ἀπεῖναι τῶν κακῶν τοῦ πολέμου. χρησίμως δὲ νῦν ἀντιπαρατίθησι τοῖς τοῦ πολέμου δυσχερέσι, τὰ τῆς εἰρήνης ἴδια, προτρεπόμενος καὶ εἰς ἔρωτα αὐτοὺς φέρων αὐτῆς. Καὶ σκαλεύοντ' ἄνθρακας.] ἀντὶ τοῦ ζωπυροῦντα τοὺς ἄνθρακας. οἱ ἐν ἀγρῷ διατρίβοντες οὗτοι ὀπτῶσι βαλάνους καὶ σκαλεύουσι τοὺς ἄνθρακας ἐν τῷ ὀπτᾶν. ἢ τὸ γυναικεῖον αἰδοῖον, ἄνθρακας λέγει. Ὅστις δὲ πόλεμον.] δύο πρόσωπα ταῦτα φασιν. ὁ μὲν εὔχεται, ὁ δὲ ἕτερος ἀκόλουθα τῇ εὐχῇ καταρώμενος λέγει. Ἐκ τῶν ὀλεκρανῶν.] ὀλέκρανον τινὲς τὸ ἀγκῶνα. ἢ τὸ ἐπὶ καμπῇ τῆς χειρὸς ὀξύ. ἐπειδὴ ὡς δὲ ὁ ... ἀγκῶσι ... τοῖς τρωθεῖσιν εἰς αὐτόν. ἄλλως. ἀκίδας τὰ βέλη λέγει. ἐπιστάσεις δὲ ἀξίοι τινὰ ποιεῖν αὐτῷ ταῦτα βουλόμενον ... τοξόται οἱ Λακεδαιμόνιοι, ἀλλὰ τῇ συστάδην μάχῃ μᾶλλον χαίροντες. ὀλέκρανα δὲ λέγοντες, τὰ τῶν ὠλένων κρανία, τουτέστι τῶν χειρῶν. δῆλον δὲ ὅτι τὸ ὀξὺ καὶ ἐπικαμπὲς τῶν χειρῶν λέγεσθαι ἀγκῶνα φαμέν. Κεἴ τις ἐπιθυμῶν ταξιαρχεῖν.] οἱ πρότεροι στίχοι πρὸς τὴν ἄνω κατάραν λέγονται. ἀλλ' ἕτερον τινὰ ἄλλον, πάσχοι γε τοιαῦτα. ὡς εἰ ... χαρίζεσθαι, τοῦτο εἰπών, προστιθέντος κατάρας, ὁ ἕτερος τὸν λόγον ἐκδεξάμενος ἐπιφέρει ὅπερ ἐν τῷ ἑξῆς κατάρας ... Κλεώνυμος] τουτέστιν ἀσχημοσύνη ... τὴν ἀσπίδα. ῥίψασπις γὰρ ὁ Κλεώνυμος. ὡς καὶ ἐν τοῖς Σφηξὶ λέγει φανερῶς.

CHR. Τὴν νῦν ἡμέραν.] Veri simile est respe- E xisse comicum ad Melesippi comminationem, qui sub initium belli Peloponnesiaci, cùm legatus esset missus Athenas à Lacedæmoniis, neque persuasisset Athenienfibus, discessionem fecit, dixitque in finibus terræ Atticæ, Hæc dies multas maximas clades inuehet omnibus Græcis. Nunc orationem illam mutat in melius Aristophanes, & tantum boni emersurum sperat ex Pacis conciliatione, quantum antea mali ominatus erat ex bello Melesippus. Ξυλλάβοι.] Hic ξυλλαβεῖν non F est adiuuare vt antea, sed comprehendere. nam apud antiquos duplicem habebat significatum, vt notat Suidas. Σκαλεύοντ' ἄνθρακας.] Ventilantem carbones vt solent qui in agris sunt, nam dum glandes torrent, mouent carbones. Fortassis autem per ἄνθρακας innuit τὸ γυναικεῖον αἰδοῖον, nam & glans vocatur τὸ τοῦ ἀνδρός, & huic nequitiæ proprium verbum est τὸ σκαλεύειν, vt & fodere Latinum, quod à Grammaticis exponitur ἀκολασταί- G νειν. Sic etiam σκαλαθύρειν pro συνουσιάζειν, & vsus est poeta noster in concionatricibus. Sanè non abest quin sub vtraque voce lateat obscœnus sensus, vt & mox cùm ait κεχόδας. Ὅστις δὲ] chorus & Trygæus Amœbææ personæ non bellicosos sed belli causas insectantur Satyricè.

Ὀλε-

ὠλεκράνων αἰχμὰς.] Telorum spicula αἰχμὰς, sed quorsum his dictis belli faces diuiuit, cùm Lacedæmonij non sint τοξόται, sed statarìa magis pugna gaudeant: fortassis quemuis mucronem intelligit, ὠλέκρανα autem vocat flexuram brachij in acumen desinentem, quam cubitum vocamus, quia hac parte cubamus. Dicta sunt quasi τῆς ὠλένης κρανία, A vlnarum capita. A flexura illa etiam dicti ἀγκῶνες. corrigendus ea voce Hesychius apud quem legitur ὠλέκρανα, ἀγών. Tu repone ἀγκών. Οἷα περ Κλεώνυμος.] Cleonymum hunc ῥιψάσπιδα non hoc solum loco, sed alterius etiam malo suspendit adunco, etiam exagitatum in Fabulis Vesparum & Nubium.

Τρ. Κεἴ τις δορυξὸς καὶ κάπηλος ἀσπίδων,
Ἵν' ἐμπολᾷ βέλτιον, ἐπιθυμεῖ μαχῶν,
Ληφθεὶς ὑπὸ λῃστῶν ἐσθίοι κριθὰς μόνας.
Χο. Κεἴ τις στρατηγεῖν βουλόμενος μὴ ξυλλάβῃ,
Ἢ δοῦλος αὐτομολεῖν παρεσκευασμένος,
Ἐπὶ τοῦ τροχοῦ γ' ἕλκοιτο μαστιγούμενος,
Ἡμῖν δ' ἀγαθὰ γένοιτ' ἰὴ Παιὼν, ἰή.
Τρ. Ἄφελε τὸ παίειν, ἀλλ' ἰὴ μόνον λέγε.
Χο. Ἰὴ, τοίνυν γ', ἰὴ μόνον λέγω.
Τρ. Ἑρμῇ, Χάρισιν, Ὥραισιν, Ἀφροδίτῃ, Πόθῳ.
Χο. Ἄρει δὲ; Τρ. Μὴ μή. Χο. Μηδ' Ἐνυαλίῳ γε; Τρ. Μή.
Χο. Ὑπότεινε δὴ πᾶς, καὶ κάταγε τοῖσιν κάλως.

TRY. Quòd si quis arrilator armorum aut faber
B Quò pluris arma distrahat, volt prælia,
Sola mola altus præda sit prædonibus.
CH. Quique imperator esse vult, nec nos iuuans,
Quique esse seruum & transfugam sese parat,
Flagris secetur, & trahente eat rota.
Nobis bene esse cupio, io Pæan feri.
TR. Ferientia auffer verba, & inque tantùm io.
CH. Io ego solum, quando sic iubet, canam.
TR. Mercurio & Horis, Veneri, Amori, Gratijs.
C Marti, quid? TR. Haudquaquam. CH. Quid Enyalio? TR. Haud magis.
CH. subtendite ergo & funibus deducite.

Σχόλια. Κάπηλος ἀσπίδων.] οὐκ αὐτὸς ἀσπίδας ποιῶν, ἀλλὰ παρ' ἄλλων λαμβάνων καὶ πωλῶν. καπήλους γὰρ τοὺς μεταβολεῖς φησιν. Ἵν' ἐμπολᾷ βέλτιον.] ἵνα πιπράσκῃ πλείονος, ἵνα ποιῇ πλεῖον. συνήθως δὲ τοῦτο ἐμπολᾷ, ἀντὶ τοῦ πωλῇ. πολλάκις δὲ ἐπὶ τοῦ ἀγοράζειν. ὡς ἑξῆς, ἐμπολήσαντι· τί χρηστὸν εἰς ἀγρὸν ταρίχιον. τὸ δὲ κριθὰς μόνας, ἀντὶ τοῦ μὴ ἄλφιτα, ἀλλὰ μόνας κριθάς. Κεἴ τις στρατηγεῖν.] δοκεῖ ταῦτα εἰς Ἀλκιβιάδην αἰνίττεσθαι, ὡς που φησὶ Θουκυδίδης ἐν τῇ Νικίου δημηγορίᾳ καὶ ἐν τῇ Ἀλκιβιάδου. ὁ μὲν Νικίας παραιτούμενος τοῖς Ἀθηναίοις ποιεῖσθαι μὴ πειθομένους αὐτῷ, πόλεμον ἄρχεσθαι τοσοῦτον λέγων, εἴ τέ τις ἄρχειν ἅσμενος αἱρεθεὶς, παραινεῖ ἐκπλεῖν, τὸ ἑαυτοῦ μόνον σκοπῶν, ἄλλως τε καὶ νεώτερος ὢν ἔτι ἐς τὸ ἄρχειν, ὅπως θαυμασθῇ μὲν ἀπὸ τῆς ἱπποτροφίας, διὰ δὲ πολυτέλειαν, καὶ ὠφεληθῇ τι ἐκ τῆς ἀρχῆς, μηδὲ τούτῳ ἐμπαράσχητε τῷ τῆς πόλεως κινδύνῳ ἰδίᾳ ἐλλαμπρύνεσθαι. αὐτὸ δὲ τὸ Ἀλκιβιάδου, ὅτι βούλεται στρατηγεῖν, μὴ ἀρνούμενον διὰ τούτων. Καὶ προσήκει μοι μᾶλλον ἑτέρων, ὦ Ἀθηναῖοι, ἄρχειν (ἀνάγκη γὰρ ἐντεῦθεν ἄρξασθαι, ἐπειδή μου Νικίας καθήψατο) καὶ ἄξιος ἅμα νομίζω εἶναι. οὕτως ἔχει τὰ τοῦ Θουκυδίδου ἐν τῇ ς. τῆς αὐτοῦ ξυγγραφῆς. καὶ οὕτω τὰ παλαιὰ σχόλια γράφειν, καὶ ἐπανορθοῦσθαι δεῖ. Ἢ δοῦλος αὐτομολεῖν.] πάλιν πρὸς Ἀλκιβιάδην ἀποτείνει πρὸς Λακεδαιμονίους φυγὼν, αἴτιος ἐγένετο τοῦ Δεκέλειαν αὐτοὺς ἐπιτειχίσαι, διὸ καὶ δοῦλον ἑαυτὸν καλεῖ, διὰ τὴν Κοισύραν. ἐπὶ τοῦ ὑπ' ἐλαιῶν, ὥς φησιν ἐν Ἀμφιλαις. Ἐπὶ τοῦ τροχοῦ γ' ἕλκοιτο.] οἱ γὰρ δοῦλοι σφαλλόμενοι ἐπὶ τοῦ τροχοῦ δεσμούμενοι καὶ συρόμενοι ἐστρέφοντο ἀνακλώμενοι ἐν αὐτῷ.

CHIR. Κάπηλος ἀσπίδων.] De cocionibus intelligit quos μεταβολεῖς, id est, permutatores vocant (olim enim permutare erat vendere) neque accipiendum de clypeorum artificibus, sed de iis qui ab illis accipiunt vt pluris vendant. Κεἴ τις στρατηγεῖν.] Hic tam in Cleonem qui Thracicā expeditionem ambiuit, quàm in Alcibiadem dictū est. Maximus Tyrius, ἐπιθυμεῖ Κλέων Σφακτηρίας, Θεμιστοκλῆς Σαλαμῖνος, Ἀλκιβιάδης Σικελίας, sed præcipuè in Alcibiadē, qui iuuenis admodū, ὡς ἐν ἄλλῃ πόλει (ait Thucydides sexta συγγραφῇ) bellum Siculum mouit tempore belli Peloponnesiaci, vt videre est apud Iustinum. Quin vt imperator crearetur in classica illa expeditione persuasit facilè belluæ illi D multorum capitum, quamuis renitente Nicia collega cui cum Lamacho post Alcibiadis transfugiū commissa postea fuit summa totius belli. sanè ipse Alcibiades in ea Demegoria quam habuit ad Athenienses, scriptore & auctore principe illo historico, & qua Niciæ orationi quà se punctum & læsum agnoscit respondet, in ipso statim principio sibi deberi præturam imperiúmque audacter pronuntiat his verbis, quę ne corrupta legas cum scholiis græcis, apponam. καὶ προσήκει μοι μᾶλλον ἑ- E τέρων (ὦ Ἀθηναῖοι) ἄρχειν, ἀνάγκη γὰρ ἐντεῦθεν ἄρξασθαι, ἐπειδή μου Νικίας καθήψατο, καὶ ἄξιος ἅμα νομίζω. Quæ verò Nicias in Alcibiadē dixerat cōfusa & inemēdata apud eūdem Scholiastē sic lege. εἴτε τις ἄρχειν ἅσμενος αἱρεθεὶς παραινεῖ ἐκπλεῖν ὑμῖν τὸ ἑαυτοῦ μόνον σκοπῶν ἄλλως τε καὶ νεώτερος ὢν ἔτι ἐς τὸ ἄρχειν, ὅπως θαυμασθῇ μὲν ἀπὸ τῆς ἱπποτροφίας, διὰ δὲ πολυτέλειαν, καὶ ὠφεληθῇ τι ἐκ τῆς ἀρχῆς, μηδὲ τούτῳ ἐμπαράσχητε τῷ τῆς πόλεως κινδύνῳ ἰδίᾳ ἐλλαμπρύνεσθαι. Qui Sudā voce F στρατηγεῖν cōsulet, quędā ex hac historia temerè illuc inserta deprehēdet, & magnā verborum cōfusionē. Δοῦλος αὐτομολεῖν] Thucyd. lib. 5. dixit αὐτομολοῦντας τῶν εἱλώτων, i. transfugientibus ad hostes, sunt enim αὐτόμολοι transfugæ, & qui ad barbaros fugiunt: vt rectè Sophocles in Phędra dixit, αὐτομόλως, i. proditoriè. Pherecrates fabulam docuit hoc titulo. Talis verò videtur fuisse Alcibiades qui ἑκὼν ἔφυγεν, i. αὐτομόλησεν, quemq; hic seruum vocat, vel G propter fugam vel propter cœsyrā quæ Megaclē filiū habuit, quęq; serua existimata fuit: nam propterea seruum vocari Alcibiadē autumat Scholiastes Grecus. Et tamen reperio cœsyram fuisse nobilem, & vsque adeò superbam, vt Eretriensibus locum dederit dicto prouerbiali κοισυρῶδες, quod est μέγα φρονεῖν. Sanè Sudas (nescio quibus fretus auctoribus, non enim laudat) scribit eam fuisse

Megaclis & Lamachi matrem & Alcmæonis vxorem, vnde Alcmæonidæ gens Athenis nobilissima, quamuis Scholiastes in Ranis Pisistrati faciat vxorem. Ne multa, variant nimium quantum boni auctores in huius prosapiæ veritate indaganda, neque vllus veterum qui de Alcibiade scripserunt verbum vllum, quod sciam, de cœsyra, quamuis feratur matrem habuisse, quæ ancilla vel peregrina fuit, quod nomen postea astutè expunxit, vt putem τὸ δοῦλος positum, pro ὡς δοῦλος, seruile enim est fugere, & fugitiuus pro seruo. Horatius,

Vtque sacerdotis fugitiuus liba recuso.

Bis autem fugere accidit Alcibiadi Aristophanis temporibus: De secundæ fugæ tempore digladiati sunt historici, atque inter eos Andron & Xenophon. Sed hic de prima discessione agi facilè adducor vt credam, vel ex optimo auctore Probo, qui eius vitam castissimè condidit. Nam eodem tempore cùm ad Lacedæmonios transisset, auctor fuit eis Deceleæ muniendæ, quod munimentum res Atheniensium ita inclinauit virésque fregit, vt tanquam obsessi viderentur. Εἰ τοῦ προχοῦ.] Qui fugerant serui aut furtum fecerant (Hæc enim duo vitia quasi coniuncta & propria seruorum esse probra docuit in Paratitlis in Codicem opere arduo & perfecto, non solùm Iuris Romani primarius interpres, sed in omni scientiarum & disciplinarum genere familiam ducens Cuiacius) flagrorum verberibus cædebantur ad rotam vincti, vnde verberones & mastigiæ. Hoc voluit Horatius in Satyra,

Non furtum feci nec fugi si mihi dicat
seruus, habes pretium, loris non vreris, aio.

vbi pretiũ est pro mercede & benefactorum compensatione, etsi vox illa in bonam & malam partem accipiatur, & sit τῶν διλλογουμένων, vt ὠμνῶν apud Græcos, Catullus dixit, *magno cum pretio, atque malo*, quod Callimachus μισθῷ μεγάλῳ, vbi Politianus: Mercede ingenti dixi, mallem, Cùm pretio ingenti. Sed hęc obiter dicta. Cæterùm fugitiuis seruis ad barbaros (quod fecit Alcibiades) cauit Imperator Constantinus amputati pedis debilitatione, & ad metallum datione, vt videre est lib. VI. Cod. Tit. I. l. 3. Manus amputationem etiam adhibebant secundùm criminis qualitatem, sed furtum aut fugam non mors, non membri amputatio sequebatur, pœnæ hę grauiores grauiora crimina persequebantur, quamuis manus amputatio furtum, pedum amputatio fugam meritò puniatura sit.

Σχόλια. Ἰὴ Παιὼν.] ἐφύμνιον εἰς Ἀπόλλωνα. τὴν δὲ αἰτίαν Καλλίμαχος ἤτοι δὴ τοῦτον. Πυθοῖ τῷ κατιόντι συνήντετο δαιμόνιος θὴρ, αἰνὸς ὄφις τὸν μὲν σὺ κατήναρες ἄλλον ἐπ' ἄλλῳ βάλλων ὠκὺν ὀϊστόν. ἐπηΰτησε δὲ λαὸς ἰὴ ἰὴ παιῆον. ἵει βέλος. Ἑρμῆ. Χαῖρειν.] διὰ μέσου προσθέτει τὸν Ἑρμῆν, ὡς αἴτιον τῆς ἀναβάσεως. διότι καὶ τῶν ἑξῆς δὲ, εἰκότως ἐμνήσθη εἰς γοργοῦς τῆς εἰρήνης. καὶ τὰ ἑξῆς δὲ, εἰκότως ἐμνήσθη

A ἁρμοδίων αὐτῇ. ἐν γὰρ τῇ εἰρήνῃ τούτων ἀπολαύουσι πάντες. Ὧραις δὲ, τῆς ἴτυς. οὐ γὰρ οὐδεὶς ἐν πολέμῳ ἀπολαύει, καὶ τῶν ἐν αὐτῷ ἔργων.

CHR. Ἰὴ Παιὰν ἰὴ.] Hoc fuit ἐφύμνιον solemne quo Apollinem laudabant. Originem eius acclamationis à Latona, vsque petendam censent doctiores, quæ cùm imprudens propiùs accessisset antrum Pythonis serpentis, ne opprimeretur cum Diana & Apolline puello iam sagittis armato, a-

B nimos fertur puello addidisse, ἱὲ παῖ, ἱὲ παῖ, monens vt tela in beltiam mitteret. Hinc obtinuit mos (qui nunquam veterascens minuitur, sed sæpe cum Assyrio flumine σύρφετον ἕλκει) vt ἰὴ παιὰν dixerint. sanè inde Iamborum origo ἀπὸ τοῦ ἰεῖν καὶ ἀναβαίνειν (vt rectè censet vir incomparabilis & litterati mundi Sol vnicus Iulius Cæsar scaliger) quia in mittendis telis insurgere solent τοξόται. Aristophanes voluit ludere in verbis παιὰν & παίειν, quia παίειν cædere est, & bello magis proprium,

C vnde pauire Latinum. ἰεῖν verò leuius, nam & pace mittuntur tela & sagittandi ars exercetur: sed in Pæonibus acclamabant ἰὴ vel ἰεὶ. Ἑρμῆ.] Mercurium meritò primum facit, quia auctor est & dux retrahendæ Pacis fugitiuæ. Sed non abs re meminit sequentium numinum: Sunt enim coniuncta paci & conuenientia, vt ὧραι, quæ sunt anni tempora, quibus in bello nemo frui potest, neque mollibus (vt ait Maro) neque tempestiuis.

D Σχόλια. Ἄρει δὲ.] πρὸς τοὺς οἰομένους τῶν νεωτέρων τὸν αὐτὸν Ἄρεα εἶναι καὶ Ἐνυάλιον, κατὰ τὸ ἐπίθετον. τινὲς δὲ Ἄρεος καὶ Ἐνυοῦς τὸν Ἐνυάλιον. οἱ δὲ, Κρόνου καὶ Ῥέας. Ἀλκμᾶνα δὲ λέγουσιν ὅτε μὲν τὸν αὐτὸν λέγειν. ὅτε δὲ διαιρεῖν. εἰκότως δὲ τούτοις μὴ δεῖν θύειν μετὰ τὴν εἰρήνην. ὑπεναντίοι γὰρ καὶ ἀλλότριοι εἰρήνης.

Bisetvs. Ἐνυάλιος. Ἐνυάλιος, ἐπίθετον Ἄρεως, παρὰ τὸ ἐνύω, τὸ φονεύω, ἢ παρὰ τὸ ἐναίω, τὸ φονεύω. Ἄρης δὲ Ἐνυάλιος ἐπικλήθη διὰ τὸ φονεῦσαι Ἐνυάλιον τὸν Θρᾷκα μὴ ἐθελήσαντα αὐτὸν ξενίσασθαι. Ἐνυάλιος

E μέν τοι ἐκλήθη καὶ εἷς τις τῶν Κρόνου, καὶ Ῥέας παίδων. τινὲς δὲ τὸν Ἄρην, καὶ τὸν Ἐνυάλιον τὸν αὐτὸν εἶναι νομίζουσι. τινὲς δὲ θεοὺς διαφόρους εἶναι λέγουσι. δῆλον ἐκ τοῦ Διονυσίου τοῦ Ἁλικαρνασσέως, ὅς ἐν τῷ β. τῆς ῥωμαϊκῆς ἀρχαιολογίας οὕτω γράφει. Τὸν δ' Ἐνυάλιον οἱ Σαβῖνοι, καὶ παρ' ἐκείνων οἱ Ῥωμαῖοι μαθόντες, Κυρῖνον ὀνομάζουσιν, οὐκ ἔχοντες εἰπεῖν τὸ ἀκριβὲς εἴτε Ἄρης ἐστὶν, εἴτε ἕτερος τὰς ὁμοίας Ἄρει τιμὰς ἔχων. οἱ μὲν γὰρ, ἐφ' ἑνὸς οἴονται θεοῦ πολεμικῶν ἀγώνων ἡγεμόνος ἑκάτερον τῶν ὀνομάτων κατηγορεῖσθαι. οἱ δὲ κατὰ δυοῖν τετάχθαι δαιμόνων πο-

F λεμιστῶν ὀνόματα.

CHR. Ἄρει.] Hinc apparet non esse eundem Martem & Enyalium, etsi hunc pro illius epitheto accipiant Grammatici, imò censent quidam Enyalium Martis & Enyus filium esse, alij Saturni & Opis. sanè Alcman hęc duo nomina, interdum eadem, interdum diuersa facit. Κάταγε.] Apud sudam κάλεις legitur, vtrouis modo legas nihil interest, idem semper sensus elicitur.

G

Στροφὴ κώλων ιδ.

Bisetvs. Παρόντος καὶ προστάττοντος Ἑρμοῦ πάλιν ὁμοῦ τὴν Εἰρήνην ἐξ ἄντρου ἀνέλκουσιν ἐπιχειροῦσι.

Ὦ εἶα

Ερ. Ὦ εἶα.
Χο. Εἶα μάλα.
Ερ. Ὦ εἶα.
Χο. Εἶα ἔτι μάλα.
Ερ. Ὦ εἶα, ὦ εἶα.
Τρ. Ἀλλ' οὐχ ἕλκουσ' ἄνδρες ὁμοίως,
Οὐχὶ ξυλλήψεσθ', οἷ' ὀγκύλλεσθ', οἰμώξεσθ' οἱ Βοιωτοί.
Ερ. Εἶα νῦν.
Τρ. Εἶα, ὦ.
Χο. Ἄγετε, ξυνέλκετε καὶ σφώ.
Τρ. Οὔκουν ἕλκω κἀξαρτῶμαι,
Κἀπεμπίπτω καὶ σπουδάζω.
Ερ. Πῶς οὖν οὐ χωρεῖ τοὔργον;
Χο. Ὦ Λάμαχ', ἀδικεῖς ἐμποδὼν καθήμενος,
Οὐδὲν δεόμεθ' ὦ 'νθρωπε τῆς σῆς μορμόνος.
Ερμ. Οὐδ' οἵδε γ' εἷλκον, οὐδὲν Ἀργεῖοι πάλαι.
Ἀλλ' ἢ κατεγέλων τῶν ταλαιπωρουμένων,
Καὶ ταῦτα διχόθεν μισθοφοροῦντες ἄλφιτα.
Τρυ. Ἀλλ' οἱ Λάκωνες ὦ 'γάθ' ἕλκουσ' ἀνδρικῶς.
Ερ. Ἆρ' οἶσθ' ὅσοι γ' αὐτῶν ἔχονται τοῦ ξύλου,
Μόνοι προθυμοῦντ', ἀλλ' ὁ χαλκεὺς οὐκ ἐᾷ.
Χο. Οὐδ' οἱ Μεγαρῆς δρῶσ' οὐδὲν, ἕλκουσι δ' ὅμως
Γλισχρότατα σαρκάζοντες ὥσπερ κυνίδια,
Ὑπὸ τοῦ γε λιμοῦ νὴ Δί' ἐξολωλότες.
Τρ. Οὐδὲν ποιοῦμεν ὦνδρες, ἀλλ' ὁμοθυμαδὸν
Ἅπασιν ἡμῖν αὖθις ἀντιληπτέον.

A MER. O eia.
CH. Eia magis.
MER. O eia.
CH. Eia magis adhuc.
MER. O eia, ô eia.
TR. At non ducunt pariter funes.
Quid superbè lenti estis? vos aio
Ploraturos Bœoti.
B MER. Eia nunc.
TR. Eia ô.
CH. Trahite atque ducite vnà vos.
TR. En tractim duco & sustollor:
Mox casurus valde incumbo.
MER. Cur nil ergo procedit?
CH. O Lamache lentus dum sedes, nobis noces:
Nil indigemus hacce Mania tua.
C MER. Ac nil trahebat prorsus olim Argiua gens,
Risúque clades differebat bellicas,
Merens farinas ex vtrisque partibus.
TRY. At, bone, Lacones fortiter trahunt viri.
MER. Scin' quos reuinctos neruus & cippus tenent,
Hoc postulare solos si custos sinat?
D CH. Neque Megarenses quidquam agunt, trahunt tamen,
Misere macentes improbi vt catuli solent,
Sic per Iouem illos dira perdidit fames.
TRY. Nil promouemus, ô viri, agite omnes simul:
Rursum decet nos pariter adiutarier.

Σχόλια. Ὦ εἶα.] διπλῆ καὶ ἔκθεσις ἀμοιβαίων τοῦ χοροῦ καὶ τοῦ ὑποκριτοῦ ἐν ἐκθέσει καὶ παρεκθέσει. ἄλλως. ἡ ἀμοιβαία αὕτη στροφὴ κώλων ιδ' ἐστί. ἔχει δὲ ἑξῆς καὶ ἀντίστροφον ἐξ ὁμοίων ἀρχομένην κώλων. καὶ ἔστι τὸ μὲν πρῶτον τρισύλλαβον κατὰ παλιμβάκχειον. τὸ δὲ β' παίων πρῶτος. τὸ δὲ γ' ὅμοιον τῷ πρώτῳ. τὸ δὲ δ' ἤτοι δακτυλικὸν διπλοῦν, ἢ τροχαϊκὸν πενθημιμερὲς, εἴτ' ἂν ἢ ἡμιόλιον ἐκ παίωνος. τὸ μέντοι τῆς ἀντιστροφῆς κρητικὸν ἔχει. τὸ ε' διπλοῦς παλιμβάκχειος. τὰ ϛ' ζ' ἀναπαιστικὰ δίμετρα. τὸ η' ἑφθημιμερὲς ὅμοιον. τὰ θ' ι' παιωνικὰ μονόμετρα ἐκ κρητικῶν. τὰ ια' ιβ' ιγ' ἀναπαιστικὰ δίμετρα ἐπιμεμιγμένα ἰάμβοις. τὰ δὲ τῆς ἀντιστροφῆς καὶ δακτύλοις. τὸ ιδ' ὅμοιον ἑφθημιμερὲς, ἐφ' ὃ ἡ ἔσω διπλῆ διὰ τὴν ἀνταπόδοσιν. τὸν Ἑρμῆν δὲ καὶ ταῦτα ἐξάρχειν θέλουσι. μιμεῖται δὲ τοὺς βαρβαριστὶ ἐξέλκοντας. δεῖ οὖν νοεῖν, ὅτι ταῦτα ἀναμέρος λέγεται. τὸ μὲν τοῦ Ἑρμοῦ κελεύοντος καὶ ἕλκοντος. τὸ δὲ, τῶν ἑλκόντων ὑπακουόντων. ἄλλως. ὁ Ἑρμῆς ἐπιτάττει τοῖς ἕλκουσι. καὶ ἅμα τοῖς μὴ ἕλκουσιν ἐπιτιμᾷ. οἱ δὲ χαίροντες τῇ εἰρήνῃ, ὑποκρίνονται. Ἔτι μάλα.] ἔτι σφοδρότερον. προθυμότερον. Οἷ' ὀγκύλλεσθ'.] οἷα φησὶν ὑπερείδεσθε μὲν τῇ χειρὶ προσποιούμενοι ἕλκειν, οὐχ ἕλκετε δέ. ἢ τὸν ὄγκον περιβάλλεσθε καὶ ἀλαζονεύεσθε. ἢ ὡς φιλοπόλεμοι δὲ, οὐχ εἷλκον, ἢ ὡς ἄσπονδοι. Οἰμώξεσθε.] ὅτι μηδὲν αὐτοῖς μέλει τῆς εἰρήνης. ἐπὶ τοῦ Ἀλκμαίωνος σπονδὰς αὐτοῖς φησὶ Φιλόχορος γεγενῆσθαι πεντηκονταετεῖς Ἀθηναίοις καὶ Λακεδαιμονίοις καὶ τοῖς συμμάχοις πλὴν Βοιωτῶν καὶ Κορινθίων καὶ Ἠλείων.

E CHRIST. Ὦ εἶα] Sequitur Stropha versuum XIIII. cui similem post XIII. Iambicos habes Antistropham. Primus & tertius versus sunt Palimbacchij, secundus Pæon primus, Quartus Dactylicus duplex, vel Trochaicus πενθημιμερὴς, vel ἡμιόλιος ex Pæone, quamuis in Antistropha sit Creticus. Quintus duplex Palimbacchius. Sextus & septimus dimetri Anapæstici. Octauus ἑφθημιμερὴς ὅμοιος, Nonus & decimus Pæonici monometri ex Creticis: vndecimus, XII. & XIII. Anapæstici dimetri mixtis iambis, imò & dactylis in Antistropha. F Decimus quartus octauo similis. Hæc etsi obseruatu digna sunt, tamen neque facilia, neque vulgo placent. Pauci enim sunt qui in numerato habeant veterem in metiendo & percutiendo rationem, siue quia difficultate terrentur, siue quia desitus veteris Musicæ, & per multa iam secula obliteratus vsus: mihi semper erunt χαλεπὰ τὰ καλά. Οὐχὶ ξυλλήψεσθ'] Si verò versus hic Anapæsticus est dimeter, τὸ οὐχὶ superuacat, nocétque G metiendo versui, neque ad sensum proficit, sufficit enim τὸ οὐ. Sic autem distinguo οὐ ξυλλήψεσθ', οἷ' ὀγκύλλεσθ', οἰμώξεσθ', &c. Niti frustra Bœotos ait, vel potius nisum simulare præ superbia quam ὄγκον vocat. Belli cupidos ita innuit, vel fœdifragos, cùm eos velut pacis malignos extractores in-

simulat.

Σχόλια. Αγετον.] ξυνέλκετε. ὁ χορὸς πρὸς τὸν Ἑρμῆν καὶ τὸν Τρυγαῖον. Ελκω ... τεταμαι.] ἐνδεικνύμενοι πολλὴν ἰσχὺν εἰ λόγοι αὐτῶ. ἐμφαίνοντες τὴν σπουδὴν τὴν περὶ τὸ ἑλκειν. ὅπως γὰρ καὶ ξυντείνωσι φησὶ τῷ ἔργῳ τουτέστιν ἀντιπαρήσαι. Πῶς οὐ χωρεῖ. ὁ Ἑρμῆς τοῦτό φησιν ἀπελέγχων αὐτοὺς ὅτι λέγουσιν ἕλκειν, καὶ οὐχ ἕλκουσιν. Ω Λάμαχ' ἀδικεῖς] ἀντὶ τοῦ καὶ σὺ ἡμῖν ... μέτροι ἰαμβικοὶ ιγ. ἐπὶ τῷ τέλει περάγραφος.

A

CHRIS. Ω Λάμαχε] Et hic vt diximus dux fuit cum Nicia & Alcibiade in Siciliensi bello, vbi fortiter se gessit, occisúsque est in prælio.

B

Σχόλια. Τῆς σῆς μορμόνος.] περὶ τὴν Μορμὼ καὶ τὴν Γοργόνα, ἣν εἶχεν ὁ Λάμαχος ἐπίσημον. οὕτως ἔλεγον τὸ ἐκφοβοῦντες. καὶ τὰ προσωπεῖα τὰ αἰσχρὰ μορμολυκεῖα. ἀφ' οὗ τραγικὰ καὶ κωμικά. καὶ ἐν Ἀμφιαράῳ, ἀφ' οὗ κωμῳδικὸν μορμολυκεῖον ἔγνων. Οὐδ' οἱ Ἀργεῖοι] ὡς τῶν Ἀργείων ἐπαμφοτεριζόντων. ὅτι ἔδοκοῖν αὐτοῖς. διὸ καὶ Φιλόχορος φησὶ πολεμεῖσθαι πάλιν πρὸς Κορινθίους προσλαμβάνεσθαι καὶ τοὺς Ἀργείους. Αλλ' ἡ κατεγέλων.] ἐπεὶ Ἀργεῖοι κατεγέλων Λακεδαιμονίων καὶ Ἀθηναίων ἀλλήλοις μαχομένων, ἐπιτέρπω παρ' ἀμφοτέρων λαμβάνοντες χρήματα ἐπεὶ ἐμίσθου. ἐνευφραίνοντο τοῖς ἐκ τοῦ πολέμου διαφθειρομένοις. αἰνίττεται δὲ εἰς τοὺς Ἀργείους, ἐν τούτῳ τῷ πολέμῳ ἐπαμφοτερίζοντας. διὸ καὶ πολλὰ ἐκωμῳδοῦντο. Διχόθεν] ὡς τῶν Ἀργείων ἐπαμφοτεριζόντων, καὶ ἀπὸ ἀμφοτέρων ὅτε τὰ δοκοῖν αὐτοῖς, πρὸς Λακεδαιμονίους. ἐμφαίνει οὖν, καὶ ταῦτα διχόθεν μισθοφοροῦντες ἥρμοττε γὰρ οὕτω μᾶλλον εἰπεῖν, ὅτι οὐ προθυμοῦνται πρὸς τὴν εἰρήνην καὶ ταύτῃ μάλιστα πάντων

C

τρυχόμενοι ἐν τῷ πολέμῳ, μή τι οὖν ἐν ἴσῳ τούτων εἴρηκε, διὰ τὸ διχόθεν μισθοφορεῖν. περὶ δὲ Ἀργείων καὶ Φερεκράτης ἐν αὐτομόλοις. οὗτοι γὰρ ἡμῖν οἱ κακῶς ἀπολούμενοι, ἐπαμφοτερίζουσιν ἐμποδὼν καθήμενοι.

D

CHRIST. Ἐμποδὼν καθήμενος] Ex Pherecrate sumpsit, qui in Transfugis dixit de Argiuis istis quos hic notat, ἐπαμφοτερίζουσιν ἐμποδὼν καθήμενοι. Sic enim versum illum in Scholiasta emendo. Et lego ἐπαμφοτερίζουσ'. Μορμόνος] Habuit pro insigni Lamachus Gorgonem, quam & Mormonem vocat, qua voce terriculamenta Infantium designantur: & μορμολύκεια vocabantur Tragicæ vel Comicæ deformes personæ, vel teste ipso Aristophane qui in Amphiarao dixit, ἀφ' οὗ κωμῳδικὸν μορμολυκεῖον ἔγνων. Sic apud Theocritum mater quædam terrorem incutere conatur filiolo cum ait μορμὼ δάκνει ἵππος. Et si bene memini Callimachus dixit μορμύσσεσθαι pro ἐκφοβεῖν. Latini Manias & Manducos vocabant, vt paret ex Festo. Sanè Varro, Cuninam & Ruminam Lactentium deas inter Manias recenset. Ἀργεῖοι πάλαι] Argiui quos à Laconibus Thyrea tantum disterminat cæterorum Græcorum rebus optimis tanquam inuidi macrescebant, & aduersis crescebant. Itaque nunc Atheniensium fœderati erant, nunc Lacedæmoniorum, qui Argiuûm fidem semper suspectam habebant. Et meritò nam Corinthiis auctoribus post ictum fœdus commune Atheniensium & Lacedæmoniorum, rebus nouis studuerant, & verò Peloponnesi imperium adfectauerunt. Itaque non mirum, si ad pacis cōciliationem segnes olim fuerint. Illud πάλαι videtur arguere procliues postea fuisse ad pacis studia amplectenda.

E

F

G

Σχόλια. Ἀρ' οἶσθ' ὅτι γ' αὐτῶν] καὶ Θουκυδίδης ἱστορεῖ λέγων μάλιστα τῆς εἰρήνης ἀντιποιεῖσθαι Λακεδαιμο-

νίους, διὰ τοὺς κρατηθέντας αὐτῶν ἐν Σφακτηρίᾳ, λέγει γὰρ οὕτως. Τοὺς γὰρ δὴ ἄνδρας περὶ πλείονος ἐποιοῦντο κομίσασθαι. ἐπεὶ ἦν Σπαρτιατῶν ... καὶ οὐδ' ἂν ἀπ' ὀδυρμοῖς ... ἡ ξυμβασις ... ἀνδρῶν τῶν ἐκ τῆς νήσου κομίσασθαι. ἦσαν γὰρ οἱ Σπαρτιᾶται αὐτῶν πρῶτοί τε καὶ ὁμοίως σφίσι ξυγγενεῖς. ... τὸ μὲν οὖν καὶ ὑβρὶς μεν τὴν ἄλλην αὐτὴν παρέσχεν. ἀλλ' οἱ Ἀθηναῖοι οὕτως ἤθελον οὐ φερομένοι ἐπὶ τῇ ἴσῃ καθαλύεσθαι. μάλιστα δὲ οἱ τῶν δεδεμένων συγγενεῖς, ἐπῆγον καὶ ἐσπούδαζον, ὡς ἂν εἰρήνη γένηται. ἄλλως. οὐ μόνοι διὰ τὸ κεκμηκέναι τῷ πολέμῳ, ἀλλὰ καὶ διὰ τοὺς ἐν Σφακτηρίᾳ δεδεμένους. Ἀλλ' ὁ χαλκεὺς ἐκ ἐᾷ.] ὅτι οὐδέδετο καὶ ἐδεδίεσαν οὕτοις πόδας. Οὐδ' οἱ Μεγαρεῖς] ὡς καὶ τούτων βαρέως φερομένων, ὅτι ἕκαστος οἱ ἐγίγνοντο. Βουλομένων δὲ τὴν εἰρήνην. διὰ τὸ μάλιστα τετρῦσθαι τῷ λιμῷ καὶ τῷ πολέμῳ. τοῦτο δὲ οἱ καλῶς ἕξοντες ὑμεῖς τοῦ Τρυγαίου φασίν. Γλίσχρως γε.] ὅτι γλίσχρως ἐπὶ δυστυχίᾳ ἐν ... ἑλκοντες δὲ ἤτοι ἐξηχυμένοι καὶ ἀτονηκότες. καὶ διὰ τὸν λιμὸν ἕλκοντες μόλις. ἢ ἤτοι ἑλκομένων χλωρίδων τρόπον, οἱ τὰ ὀστᾶ πρίζοντες καὶ τὰ ὀχρέτε ... ἀφροδισίως ἐπὶ αὐτῶν τῷ δοκεῖν ἐσθίουσι. φανερὸς δὲ ἐστιν ὅτι ἐπίτηδες χαριζόμενος πάλιν τοῖς Ἀθηναίοις, διασύρει οὕτως τοὺς Μεγαρεῖς. πρῶτον μὲν αὐτοὺς κωμῳδεῖ διαβαλών, ἐπεὶ τὰ τῇ ὑποκρίσει καὶ τὸ σμικρότητι τῶν χλωρίδων εἰς πλείονα καταστῶν ταπεινότερα. πάνυ γὰρ καὶ διαπυρσίως ἐμισοῦντο ὑπὸ τῶν Ἀθηναίων, δι' ὃν εἰρήκαμεν τρόπον. καλῶς δ' ἂν ἔχοι τοῦτο τρέψαι πρὸς τὸ ἐπαναπαυστικὸν οὕτως ἔχον. Σαρκασμὸν γὰρ μᾶλλον. σὺ γὰρ ἐστὶ τῶν σαρκῶν, ὥσπερ ἀπέξυσε τῶν σκελῶν σαρκῶν τινές. παντάπασι γὰρ ἂν εἴη αὐτὸ ὑπεναντίον αὐτῷ. ἔργον γὰρ τοῦ λιμοῦ, οὐ σάρκας ἐμποιεῖν, ἀλλὰ τοὐναντίον τὰ σώματα ἀπισχναίνειν, καὶ τῶν σαρκῶν παραιρεῖσθαι τὸν ὄγκον.

CHRIST. Ἀλλ' οἱ Λάκωνες] Lacedæmonij (vt ait Princeps historicus Olorinus) animum ad Pacis amorem verterunt non sponte sua, neque quod erant bello fessi, sed propter suos qui captiui erant, ad Sphacteriam. Miror ergo quòd tantopere Aristophanes hostes laudat, vt eis omnes Paci attrahendæ studere dicat. Sanè suspicor legēdum ἀλλ' οὐ, non autē οἱ. nam sequentia arguunt, & cum ait solos vinctos id sedulò adtectare, & cùm ait, οὐδ' οἱ Μεγαρεῖς. Ἔχονται τοῦ ξύλου] In carcere lignū erat vel cippus quo pedes captiuorum tenebantur, dicebatúrque ξύλον, vel ξυλοπέδη, vel ποδοκάκκη (puto quasi ποδοκατοχή) vel etiam ποδοστράβη. Attici simpliciter Neruum vocabant κᾶλον, id est lignū, inde ἐγκαλεσκελεῖς, qui ex lege nexi erant. Hesychius ait sic vocari eos, qui quòd debitum non soluerent, ἐν κάλῳ εἶχον δεδεμένους τοὺς πόδας, pedes in neruo habebant. Cæterùm cùm ait χαλκεὺς puto Cleonem αἰνίττεσθαι, qui trecentos illos Lacedæmonios captiuos in Pylo & Sphacteria liberauit, nam eò spectat quod de eodem Cleone dicitur in Equitum fabula, ἐπὶ γὰρ τοῖς δεδεμένοις χαλκεύεται. Οὐδ' οἱ Μεγαρεῖς] Quia fœdifragi erant, tamen nihilominus Pacem cupiebant, quia multa passi erant & bello & fame. Scholiastes notat hæc non à Mercurio, sed à Trygæo quodam existimare pronunciari. Et ego quoque existimo, sed vt sequentia illa, Ὅμως δ' ὅμως &c. putem à Mercurio dici. Expecto quid censeant potiori doctrina & iudicio præditi.

Σχόλια. Σπαράξαντες.] οἱ ἀποστραφέντες καὶ διανοίγοντες, ὥσπερ τὰ κυνίδια, οὐδὲν προσλιπαρῇ τινα καὶ ἀφέλκειν

A ἀφίλκει τοῖς ὀδοῦσι. τὸ δὲ ὑπὸ τῷ γε λιμῷ ἐξολωλότες, ὅτι ὡς λιμώττοντες ἀεὶ Μεγαρεῖς παίζονται· διὰ γὰρ τοῦτο καὶ τοὺς ἑαυτῶν παῖδας ἐπίπρασκον. καὶ ἐπεθύμουν μὲν τῆς εἰρήνης διὰ δὲ Ἀθηναίους ἀντεβάλλοντο αὐτήν, ὡς φησι Θουκυδίδης. Ὑπὸ τῷ γε λιμῷ.] λιμώττειν αὐτοὺς λέγει ἐπειδὴ ὅτε μὲν εἰρήνη ἦν, εἰσήρχοντο εἰς τὴν Ἀττικὴν καὶ ἀπετρέφοντο διὰ τὸ πωλεῖν καὶ συναλλάσσειν. νῦν δὲ πολέμου ὄντος ἐφοβοῦντο εἰσελθεῖν εἰς τὴν Ἀττι- B κὴν καὶ ἀγοράζειν ὧν ἔχρῃζον. ἐξ αὐτῶν γὰρ ἐγένετο ἡ αἰτία τοῦ πολέμου. ἐξ Ἀττικῆς δὲ ὠνοῦνται τὰς τροφὰς διὰ τὸ καὶ πλησιάζειν αὐτῇ, καὶ διὰ τὸ ὀλίγην παντάπασι χώραν ἔχειν τὴν γεωργουμένην. εἰκὸς οὖν τοὺς Ἀθηναίους ἐπεξιοῦσιν αὐτοῖς, κωλύειν τὴν παρ' αὐτῶν γῆν γεωργεῖν. ἢ ὅτι εἰς πολιορκίαν κατέστησαν αὐτοὺς οἱ Ἀθηναῖοι τὴν Νίσαιαν τειχίσαντες.

CHRIST. Γλισχρότατα σαρκάζοντες] Athenienses odio plusquam Vatiniano Megarenses (qui belli causa erāt) prosecuti sunt, ac eò vsque odiis C tetēderunt, vt decretū fecerint (quod Pericles ratum esse postea censuit, obtinuitque vt Thucydides in suæ fine ξυγγραφῆς α. testatur) Quicunque Megarensis Athenas venisset, capitale crimen id ei futurum. Quo tempore Euclides habitu muliebri Athenas nihilominus ad Socratem ventitabat, & sapientiæ fructum mortis periculo pacisci non dubitabat vir egregius: raro exemplo, neque ad hoc nostrum seculum pertinente, vt videre est apud A. Gellium cap. x. lib. vi. Aristophanes, vt gratiā ineat à suis ciuibus inuehitur in ipsos Megarenses, qui etsi pacem cupiebant vitandæ egestati, tamen propter Athenienses differebant. Rectè autem ait ἕλκουσι, quia comparat eos catulis. i. κυνιδίοις, qui rictum diducentes, & ore adulantes omnia adpetunt, carnē que adrodunt: hoc enim est σαρκάζειν, quod apud Hippocratem Erotianus exponit τὴν ἄνω γνάθον σείειν. Propterea putatim notari in Vespis risum Megaricum, qui fortassis inde σαρκασμὸς mā qui miserè macentes sunt, nequeunt liberum cachinnum tollere, sed miserè renidēt, & risum (vt Prouerbium fert Gallicum) edunt in ipsis gutturis faucibus moriturum. Sane Eupolis σαρκασμὸν ἀντὶ dixit, Nimis Megaricum putidum dicterium est. Quamquam alia est interpretatio, quámque ego secutus verti macentes, quia σαρκάζειν est etiam ἰσχναίνεσθαι & ἀτονεῖν extenuari & infirmari, secundum quod dixit Hipponax σαρκάζων λιμὸς, quod de carnositate intelligēdum non puto, non enim fames vel esuritio carnem generat, sed corpus potius attenuat, & carnis obesum pondus degrauat. Megarensium esuritio satis nota qui propterea liberorum suorum erant ἀνδραποδισταὶ, vt apparet ex Acharnensibus lepida & Satyrica Comici huius fabula, vbi & eorum improbitatem perfricat, & Megarēem idiotismum imitatur non sine grata & sale. Solebant enim Megarenses ex Attica victum petere tum propter vicinum solum, tum quia exiguus, neque pascere firmus erat ipsis ager quem colerent: sed non licebat ex Attica commoditates quas vellēt educere, obstante bello & infestis ciuibus. Fortassis etiam famem innuit ad quam redacti sunt ab Atheniensibus, qui portum eorū Nisæam munierant. Quod autem hic Scholiastes γλισχρὸν intelligit miserum, melius putem auidum & λαίμαργον, & σπουδαίως ἐπιθυμοῦντα. vel potius lentū. D Nam sic Theophrastus lib. 2. Historiarum dixit γλίσχρως: vt Demosthenes in oratione contra Aristocratem de ædificiis paruis, quæ lenta opera absoluuntur dixit, μικρὰ καὶ γλίσχρα. Ad hunc verò sensum accommodandum est dictum de Tiberio Imperatore, Miserandum esse populum qui sub tam lentis maxillis esset. Sanè Latinum gliscere, inde originem trahere mihi videtur.

E

ΑΝΤΙΣΤΡΟΦΗ κώλων ιδ΄.

Ερ. Ὦ εἶα.
Τρ. Εἶα μάλα.
Ερ. Ὦ εἶα.
Τρ. Εἶα νὴ Δία.
Ερ. Ὦ εἶα, ὦ εἶα.
F Χο. Μικρόν γε κινοῦμεν. Τρυ. Οὐ δεινὸν,
τοὺς μὲν τείνειν, τοὺς δ' ἀντισπᾶν;
Χο. Πληγὰς λήψεσθ' ὦ 'ργεῖοι.
Ερ. Εἶα νῦν.
Τρ. Εἶα ὦ.
Χο. Ὡς κακόνοι τινὲς εἰσὶν ἐν ἡμῖν.
Ὑμεῖς μὲν οὖν οἱ κιττῶντες
τῆς εἰρήνης, σπᾶτ' ἀνδρικῶς.
G Ἀλλ' εἰσ' οἱ κωλύουσιν.

MER. O eia.
TRY. Eia iterum.
MER. O eia.
TRY. Eia per Iouem.
MER. O eia, ô eia.
CH. At nos parum aut nil mouemus. TRY. Quid?
Nempe trahunt hi, retrahunt illi.
CH. Vlciscar vos Argiui.
MER. Eia nunc.
TRY. Eia ô.
CH. Quale periculum adesse inimicos.
At vos amore icti pacis
Pragnanti gnauè ducitis:
Sed quidem forsan obstant.

Σχόλια. Ὦ εἶα.] ἡ ἀμοιβαία αὕτη ἀντιστροφὴ τῆς ῥυθμοῖς ἐπὶ στροφῆς. καὶ εἰσὶ τὰ κῶλα καὶ ταύτης ὅμοια ἀλλήλοις. ἐν τισὶ δὲ καὶ ἑτέρους δέχεται πόδας τοῦ αὐτοῦ μέτρου ὄντες. ἐπὶ τῷ τέλει αἱ ἀμφοτέρωθεν ἔξω δ' εἰσὶ λαι. Ὡς κακόνοι τινὲς εἰσὶν ἐν ἡμῖν.] οἱ ἐχθροὶ ἢ κακόνοιαν ἔχοντες πρὸς τὴν εἰρήνην.

CHRIST. Ὡς κακόνοι] Ad Argiuos videtur referendum de quibus antea.

Σχόλια. Κιτ]ῶντες.] ἀπὸ μεταφορᾶς τῶν κυουσῶν γυναικῶν, ἤγουν ἐπιθυμοῦντες. καὶ ἐπειδὴ ἀδιάφορον καὶ παμφάγον ὄρνεον ἡ κίττα. ἀφείργον δὲ εἰς ἐπιθυμίαν. κιττᾶν οὖν τὸ ἐπιθυμεῖν. ἀπὸ τῶν γυναικῶν τῶν ἐν ἐπιθυμίᾳ γινομένων ἐδεσμάτων τινῶν μετὰ τὸ συλλαβεῖν.

CHRIST. Κιτ]ῶντες τῆς εἰρήνης] Pro ἐπιθυμοῦντες. est enim κίττα ἐπιθυμία, & morb' mulierum prægnantium, quasique insolens appetētia, quam ab alite quidam arcessunt, quæ vorax supramodum est, vt & illa pars in mulieribus, quæ honestè nominari non potest. Sic Polemo ἀφελῶς dixit in sua Samothracia Latonam cum vterum gereret κιττῶσαν τῆς γηθυλλίδος, quod est porrum capitatum, & cuius radices naturam habent alliatam, vt ait Comicus noster in secundo Æolosicone laudante Athenæo.

B

Σύστημα κατὰ περικοπὴν ἀνομοιομερὲς ἰαμβείων τριμέτρων ἀκαταλήκτων ή. εἶτα στίχοι ἰαμβικοὶ τετράμετροι καταληκτικοὶ. ιδ'.

Τρ. Ἄνδρες Μεγαρῆς, οὐκ ἐς κόρακας ἐρρήσετε;
Μισεῖ γὰρ ὑμᾶς ἡ θεὸς μεμνημένη.
Πρῶτοι γὰρ αὐτὴν τοῖς σκορόδοις ἠλείψατε,
Καὶ τοῖς Ἀθηναίοισι παύσασθαι λέγω,
Ἐντεῦθεν ἐχομένοις ὅθεν νυνὶ ἕλκετε.
Οὐδὲν γὰρ ἄλλο δρᾶτε πλὴν δικάζετε,
Ἀλλ' εἴπερ ἐπιθυμεῖτε τήνδ' ἐξελκύσαι,
Πρὸς τὴν θάλατταν ὀλίγον ὑποχωρήσατε.
Χο. Ἄγ' ὦνδρες αὐτοὶ δὴ μόνοι λαβώμεθ' οἱ γεωργοί.
Ερ. Χωρεῖ γέ τοι τὸ πρᾶγμα πολλῷ μᾶλλον ὦνδρες ὑμῖν.
Χο. Χωρεῖν τὸ πρᾶγμά φησιν, ἀλλὰ πᾶς ἀνὴρ προθυμοῦ.
Τρ. Νῦν οἱ γεωργοὶ τοὔργον ἐξέλκουσι, κἄλλος οὐδείς.

TR. Viri ô Megarici, non abitis in crucem.
Quos odit ira diua pax iusta memor?
Nempe imbuistis alliis primi Deam,
Iubeo quietus esse Atheniensibus,
Et linquere istud nunc opus ductarium:
Nam iudicandis occupati litibus
Tantummodo estis, sultis adiutare nos
Paulùm maritimas ad plagas recedite.
CH. Age exsequamur hoc opus viri soli coloni.
MER. Iam plurimum processit ipsa res labórque vester.
CH. Procedere inquit rite opus, sequamur ergo alacres.
TRY. Soli agricultores opus ducunt nec vllus extra.

Σχόλια. Ἄνδρες Μεγαρῆς] ἕτερον σύστημα κατὰ περικοπὴν ἀνομοιομερὲς ἰαμβείων ή. καὶ ἐν εἰσθέσει ἕτερον ἀμοιβαῖον στίχων ὁμοίων καταληκτικῶν τετραμέτρων δ'. ἐπὶ ταῖς ἀποθέσεσι παράγραφος. Οὐκ ἐς κόρακας] ἀντὶ τοῦ μετὰ φθορᾶς βαδιεῖτε. πολλαὶ δὲ εὑρίσκονται ὅτι ἐπὶ καθ' ὥρας τίθενται. Πρῶτοι γὰρ αὐτὴν] ἀντὶ τῆς δριμύτητι. ὅτι πολλὰ παρ' αὐτοῖς σκόροδα. αἰτίαν δὲ εἶχον, ἀρχηγοὶ γενέσθαι τοῦ πολέμου. διὰ τὴν ἁρπαγὴν τῶν πορνῶν, Ἀσπασίου, καὶ τὴν ἐπὶ τούτοις ὀργὴν Περικλέους καὶ τὸ ψήφισμα.

BISETVS. Περὶ τούτων Ἀριστοφάνης ἐν Ἀχαρνεῦσι ταῦτα λέγει,

Κᾆθ' οἱ Μεγαρῆς ὀδύναις πεφυσιγγωμένοι
Ἀντεξέκλεψαν Ἀσπασίας πόρνα δύο.
Κἀντεῦθεν ἀρχὴ τοῦ πολέμου κατερράγη
Ἕλλησι πᾶσιν ἐκ τριῶν λαικαστριῶν.

Σχ. Ἐντεῦθεν] ἐκ τούτου τοῦ μέρους. λέγει δὲ τοῦ μὴ πεισθῆναι τὴν εἰρήνην. Οὐδὲν γὰρ ἄλλο δρᾶτε] ἐν οὐδενὶ ἱκανοί ἐστε πλὴν ἐν τῷ δικάζειν. δέον δὲ εἰπεῖν ἀντὶ τοῦ δικάζετε, ἐμποδίζετε. Πρὸς τὴν θάλατταν.] ἀπὸ τῆς θαλάττης μικρὸν ὑποχωρήσατε, τουτέστι πρὸς τὸ ναυμαχεῖν. τῆς πρὸς Πέρσας δὲ ναυμαχίας ὑπομιμνήσκει αὐτούς. ἀποχωρεῖτε οὖν φησι καὶ ἀποπλεῖτε εἰς τὰ ἴδια. ἐπ' ὀλίγον τῆς κατὰ θάλατταν βίας ἐνδοτε. ἐθαλασσοκράτουν γὰρ τότε. Χωρεῖ γέ τοι.] τοὺς ἄλλους πάντας ἀποστήσας τοῦ ἕλκειν ὁ Ἑρμῆς, τοῖς γεωργοῖς μόνοις ἐπιτρέψας τὸ ἕλκειν. διό φησι νῦν προκόπτει τὸ ἔργον.

CHRIST. Ἐς κόρακας] Diximus antè Callimachum ἀφορισμῶς dixisse ἐς ὁ φθόρος. id Catullus, in malas oras. Idiotismus Italicus inde fortassis dixit, va in mal hora: & labente tempore aspiratione ascita aliud etymon prætenditur. Abire Morboniam dixit Tranquillus, quod Dion in Epitoma ἐς κόρακας etiam dixit. Sanè quod malè imprecatur Megaris efficax habuisse puto votū: nam fractus est postea popularis eorum status, victúsque est δι' ἀταξίαν καὶ ἀναρχίαν, vt ait Aristoteles in Politicis. Σκορόδοις ἠλείψατε] Alliorum & bulborum feracissima est Megarensis regio vel teste Columella in libr. x. ad Maronianam diuinitatem accedente, Megaris genitalia semina bulbi. Sed proculdubio miseriam & egestatem Megarensium exagitat, eósque velut pauperes & olidos, quique pacem miseria sua facilè aspellerent. Sic apud Athenæum lib. vii. Apollodorus Carysthius exagitat sordes & inopiam eorū, quæ præcipuè ex alliorum frequenti esitatione arguitur. Ipsi Athenienses cùm fame aliquando premerentur, allus vescebantur. Vnde in Pluto contrà felicitas & bonorum copia innuitur, cùm ait σκορόδοις οὐ λίθοις ἀποψώμεθα, vt intelligatur cibū eum qui palato antea gratissimus erat, nunc quum diuitiæ abundant, vtilem tantum esse ad vsum sellæ familiaricæ. Hic autem ἀλείφειν est διεγεῖραι quasi dormientem pacem excitauerit odore alliorum quibus miserè tanquam in bello victitabant: Vel dixit ἀλείφειν de alliis, vt Horat. perungere, & dona allio delibuta. Quo genere loquendi, & nos olim vsi sumus in poëmatio quod meris Iambis lusimus in Allium, quod hic apponere non pigebit, lectorem fortassis otiosum & malè feriatum tantisper moraturus.

In Allium

In Allium Iambi puri.

Meum dolore febris vritur caput,
Tremore membra palpitant reciproco:
Nec vlla causa quam sciam huius est mali,
Nisi alliatis amatus esus anseris.
Iuuabat anser, at nocebat allium,
Nocens sapore me fefellit illice.
In agrimoniam iuit acrimonia.
Et inde sole torrido pila vacans,
Mea ipse tecta semi languidus petens
Diem sopore diffidi insititio,
Horatianus abdicator allij
Et exsecrator: attamen putaueram,
Quod artis ille Pergamenus autumat
Magister, esse verum, & allio boni
Inesse vim potentiámque pharmaci.
Sed artis huius est inanis exitus,
Et arguetur omnis Æsculapius.
Satis docebit illud vsus vnicus,
Nec ista verba qui facit periculum
Refellet vllus, & cruore viperæ
Nocentiora non negabit allia.
Venena tetra, toxica efficacia
Potest comesse quisquis allium potest.
Necesse Psyllus atque Marsus vt fuat
Cui illa cordi amare amara: Vasconum
Nimis nimisque dura sunt & ilia
Et ora, quisque pœna, credo, viuere est.

A *Satam Creonte pellicem Cytaïca*
Nurus liquore munerauit allij:
Ducémque pellis aureæ antè mancupem
Amore perdita vnguine hoc perunxerat.
Pice alliatus aut picatus allio
Charontis est faselus: allio viret
Stygisque ripa, Ditis & suburbium.
Senis cicuta dira sorpta Socrati
Iubente iudice allio fuit lita,
B *Merum vel allium, quod orbi Erinnydes*
Dedere virus vt nefas foret bona
Deûm parentis ingredi sacram domum,
Forétque crimen allij esus impium;
Quod expiare nulla ruta possiet,
Licet innare fama viperas ferat.

Πλεῖν δικάζειν] Aliud voluit nempe ἐμποδίζειν vel quid simile. Sanè Athenienses notat vt litigium qui emant, vt ait ille, & ament forum, quos
C propterea in Vesparum fabula φιλοδίκους & φιληλιαστάς ab Heliæa foro nominat. Ὑποχωρήσατε.] Erant enim Megarenses πάραλοι. Sed hic innuit de nauali prælio quod contra Persas habuerunt. Magna enim tunc temporis in mari fuit eorum potentia. Vult autem solos colonos & agricolas Pacem extrahere, quasi loca maritima infesta habeant itinera propter Piratas. Contrà fit in campis terrestribus qui lætas segetes educere nequeunt
D nisi in alta Pace & rebus quietis. Propterea Δημήτηρ, quæ eadem Terra est, legifera antiquis dicta à legibus quæ inter arma silent.

Κορωνὶς, καὶ εἴσθεσις κώλων ή.

Χο. Ἄγε νῦν, ἄγε πᾶς,
Καὶ μὴν ὁμοῦ 'στιν ἤδη 'γγύς.
Μὴ νῦν ἀνῶμεν, ἀλλ' ἐπεντείνωμεν αἱ δρινώτεροι,
Ἤδη 'στι τοῦτ' ἐκεῖνο.
Ὦ εἶα νῦν, ὦ εἶα πᾶς,
Ὦ εἶα, ὦ εἶα, εἶα εἶα,
Ὦ εἶα, ὦ εἶα πᾶς.

CH. *Age nunc, age quisque:*
En expetis prope est, ellam.
E *Non iam remissione, sed*
Intensione magna opus:
En illud, en id ipsum.
O eia nunc, ô eia vos,
O eia, ô eia eia eia,
O eia, ô eia vos.

Σχόλια. Ἄγε νῦν.] κορωνὶς καὶ εἴσθεσις χοροῦ μονοστροφικὴ κώλων ή. ὧν τὸ μὲν α' ἀναπαιστικὴ βάσις. τὸ β. γ. δ. ϛ. ἰαμβικὰ δίμετρα ἀκατάληκτα. τὸ ε. δίμετρον καταληκτικόν. τὸ ζ. παιωνικὸν τρίμετρον ὑπερκατάληκτον ἐκ παλιμβακχείων, καὶ κρητικῶν. τὸ η. δίμετρον ὑπερκατάληκτον ὅμοιον, ὑφ' ὃ κορωνίς.

BISETVS. Ὁμοῦ 'στιν ἤδη 'γγύς] ἤδη ἡ Εἰρήνη, ἣν ἀνέλκειν ἐθέλομεν, ἤδη ἐγγύς.

Σχόλια. Ὦ εἶα ὦ εἶα.] ἀνελκυσθεῖσα ἡ Εἰρήνη. οὕτω γὰρ εἰώθασιν οἱ ἐπιστατοῦντες ἐπέχειν τὴν ὁρμὴν τῶν ἑλκόντων.

CHRIST. Ἄγε νῦν] Hæc Chori ingressio Monostrophica octo habere Cola dicitur à Scholiaste. Hoc scita est, hic versus diuidédus, vt prior sit ἄγε νῦν ἄγε πᾶς, basis scilicet Anapæstica. Secundus Dimeter ὅμοιος. Tertius, quartus & sextus Iambici Dimetri: Quintus Dimeter ἐφθημιμερὴς similis Anacreontico. Sextus Pæonicus Trimeter Hypercatalecticus ex Palimbachiis & Creticis: octauus dimeter Hypercatal. similis. Sed in se-
F cundo versu vbi habes ὁμοῦ ἤδη ἐγγὺς quia videtur Comicus vsurpasse ἐν διὰ δυοῖν (nam ὁμοῦ & ἐγγὺς eadem esse vel ex Menandro certum est, qui dixit ὁμοῦ δὲ τίκτειν παρθένος ἦν ἡ κόρη. Id est, Iámque appetente virgo partitudine Aderat. Audebam aliquando reponere ἤδη γῆς vt de Pace loquatur, & sic esset Iambicus dimeter aliis tribus similis. Sed hanc emendationem non ausim præstare, imò vereor ne medicina vulnus
G faciat: Legendum autem ἐπεντείνωμεν per O magnum. Mox ἤδη 'στι, non autem ἤδη 'στί. Ὦ εἶα.] Educta & visa Pace hoc inquiunt: His autem verbis quasi celeumate solebant magistri nauium impetum inhibere trahentium.

A

Εἴσθεσις διπλῆς ἀμοιβαίας στίχων κά.

Bisetus. Ὁ Τρυγαῖος τὴν Εἰρήνην ἐξ ἄντρου ἤδη ἀνελκυσθεῖσαν, καὶ τὴν Ὀπώραν, καὶ τὴν Θεωρίαν μετ' αὐτῆς ἐκεῖθεν ἐξενεχθείσας ὁρῶν, αὐτὰς χαίρειν κελεύει, καὶ χαρᾶς ἔμπλεως ἀσπάζεται.

Τρυ. Ὦ πότνια βοτρυόδωρε, τί προσείπω σ' ἔπος;
B
Πόθεν ἂν λάβοιμι ῥῆμα μυριάμφορον,
Ὅτῳ προσείπω σ'; οὐ γὰρ εἶχον οἴκοθεν.
Ὦ χαῖρ' Ὀπώρα, καὶ σὺ δ' ὦ Θεωρία,
Οἷον δ' ἔχεις τὸ πρόσωπον ὦ Θεωρία,
Οἷον δὲ πνεῖς, ὡς ἡδὺ κατὰ τῆς καρδίας,
Γλυκύτατον ὥσπερ ἀστρατείας καὶ μύρου.
Μῶν οὖν ὅμοιον καὶ γυλίου στρατιωτικοῦ;
C
Ερ. Ἀπέπτυσ' ἐχθροῦ φωτὸς ἔχθιστον πλέκος,
Τοῦ μὲν γὰρ ὄζει κρομμυοξυρεγμίας,
Ταύτης δ' ὀπώρας, ὑποδοχῆς, Διονυσίων,
Αὐλῶν, τραγῳδῶν, Σοφοκλέους μελῶν, κιχλῶν.
Ἐπυλλίων Εὐριπίδου. Τρυ. Κλαύσ' ἄρα σὺ
Ταύτης καταψευδόμενος· οὐ γὰρ ἥδεται
Αὕτη ποιητῇ ῥηματίων δικανικῶν,
D
Κιττοῦ, τρυγοίπου, προβατίων βληχωμένων,
Κόλπου γυναικῶν διατρεχουσῶν εἰς ἰπνὸν,
Δούλης μεθυούσης, ἀνατετραμμένου χοὸς,
Ἄλλων τε πολλῶν κἀγαθῶν. Ερ. Ἴθι νυν ἄθρει,
Οἷον πρὸς ἀλλήλας λαλοῦσιν αἱ πόλεις
Διαλλαγεῖσαι, καὶ γελῶσιν ἄσμεναι,
Καὶ ταῦτα δαιμονίως ὑπωπιασμέναι
Ἁπαξάπασαι, καὶ κυάθοις προσκείμεναι.
E

TRY. O dines uuis Dina quo iam nomine
Mille amphorarum te capaci nuncupem?
Vnde ergo sumam verba? nam desunt domi.
Auctumna salue. salua sis Spectacula.
O qualis est vultus tibi ô Spectacula?
O quàm suaue corde spiras intimo,
Quàm dulce, olénsque imbelliam & bona unguina:
Num simile quiddam est militaris fiscina?
MER. Graues viri hostis sarcinas abominor,
Namque illa redolent cepinomacrimoniam.
Auctumna verò gaudia & Dionysia,
Tragicos, Sophoclis carmina, iocos, tibias,
Turdos, minuta Euripidis poëmata.
TRY. Plorabis hac mentitus, haud enim illa amat
Viro in poëta verba iuris & fori:
Vindemiam, ederam amat, atque balãtes oues,
Et feminæ currentis ad furnos sinum,
Et ebriam ancillam, & refusum congium,
Et plurima alia tot bona. MER. aspice ergo, sis,
Vrbes reconciliatæ vt inuicem modò
Sese alloquantur, & labentes rideant
Miréque subgillata, & alto tubere
Omnes retusa, & subiacentes cotulis.

Σχόλια. Ὦ πότνια.] εἴσθεσις διπλῆς ἀμοιβαίας στίχων κά. ἐν οἷς μὲν λγ ἰαμβικοὶ τρίμετροι ἀκατάληκτοι. οἱ δ' ἑξῆς ιά τροχαϊκοὶ τετράμετροι καταληκτικοί. ἐπὶ ταῖς δὲ θέσεσι παράγραφος. ἐπὶ δὲ τῷ τέλει ἡ ἔξω διπλῆ. Βοτρυόδωρε] βότρυς δωρουμένη. ὦ εὔφραντε ποιεῖ. ἐπεὶ ἐν εἰρήνῃ φύονται αἱ ἄμπελοι. οἰκεῖον δὲ τοῖς γεωργοῖς, καὶ τὸ παρ' αὐτῷ ἐπίθετον. μυριάμφορον δὲ, τίμιον καὶ πολυπληθῆ. ἢ μυρία κεράμια χωρῆσαι δυνάμενον. ἀπὸ δὲ τῶν ληνῶν καὶ πίθων τῇ μεταφορᾷ ἐχρήσατο. Οὐ γὰρ εἶχον οἴκοθεν] ἄξιον τοῦ ἐπαίνου τὰ ἔχον οἴκοι. ἐπαύξησις δὲ τῶν παρελθόντων κακῶν, εἴγε μέχρι καὶ τῶν τοιούτων ἐστέρηται χρημάτων. Χαῖρ' ὀπώρα.] ὡς καὶ τούτων σὺν τῇ εἰρήνῃ ἀνελθουσῶν. ὑποτίθεται δὲ αὐτὰς ὡς πόρνας.

Christ. Ῥῆμα μυριάμφορον] Propter illud βοτρυόδωρε, vt innuat vinearum fertilitatem: Sed interim Poëtis imminet, qui Proiiciunt ampullas. Οἴκοθεν] Propter mala præterita quæ ne verborum quidem lautam supellectilẽ reliquerunt colonis. In Scholiasta mendum est, τῶν τοιούτων ἐστέρηται χρημάτων, lege ῥημάτων. Χαῖρ' ὀπώρα] Oporam & Theoriam quæ ab aspectu & forma nomen habent, præterea pace tantum vigent & regnant, inducit tanquam meretrices. Sanè enim in Theatris & ludis scenicis earum visus & vsus frequens fuit, vt postea parebit.

F

Σχόλια. Ἀστρατείας.] ἀντὶ τῆς εἰρήνης. παρ' ὑπόνοιαν δὲ ἀντὶ τῆς ἡδίας. Γυλίου.] ἀγγεῖον στρατιωτικὸν, εἰς ὃ τὰς τροφὰς ἄγονται οἱ στρατιῶται. φησὶν οὖν οὐ ταυτὸν ὄζουσιν ὁ γύλιος καὶ ἡ θεωρία πλέκος. πλέγμα σκευοφόρον στρατιωτικόν. ἔστι δὲ ζῶον ὃ καλεῖται ὑπό τινων χοιρογρύλιος. Κρομμυοξυρεγμίας.] ἀποψίας. σημεῖα γὰρ καὶ ἀηδὴς ἡ τοιαύτη ἐρυγή. ἀπὸ δὲ τῶν κρομμύων καὶ τῆς ὀξύτητος καὶ τῆς ἐρυγῆς συνέθηκε τὴν λέξιν. ταῦτα γὰρ, εἰώθασι κομίζειν εἰς τὸν πότον.

G

Bisetus. Τὰ παλαιὰ σχόλια, ὧν ἡ ἀρχή. Ὡς τούτων συνώρᾳ, ἐκ τοῦ Σουίδα οὕτως ἐπανόρθωσα. Καὶ τούτων σὺν τῇ Εἰρήνῃ ἀνελθουσῶν. ὑποτίθεται δὲ αὐτὰς ὡς πόρνας. Ἀστρατείας] ἀντὶ τῆς εἰρήνης. ἐπεὶ ἐν εἰρήνῃ οὐ στρατεύονται. παρ' ὑπόνοιαν δὲ, ἀντὶ τῆς ἡδίας. Γυλίου] γύλιος, πλέγμα στρατιωτικὸν, σκευοφόρον, ἐπίμηκες, εἰς ὃ ξυλήγουν πρὸς τὸ μὴ καταξύνεσθαι, ἐν ᾧ κατετίθεντο τυρὸν, καὶ ἐλαίας, καὶ κρόμμυα, ἢ λεβεσθὴν στρατιωτικὴν ὀψοθήκην. φησὶν οὖν οὐ ταυτὸν ὄζουσιν ὁ γύλιος, καὶ ἡ Θεωρία. Πλέκος] πλέγμα. τὸ πεπλεγμένον ἀγγεῖον. σκευοφόρον, στρατιωτικόν. Κρομμυοξυρεγμίας] ἀποψίας. σημεῖα γὰρ καὶ ἀηδὴς ἡ τοιαύτη ἐρυγή. ἀπὸ δὲ τῶν κρομμύων, καὶ τῆς ὀξύτητος, καὶ τῆς ἐρυγῆς, συνέθηκε τὴν λέξιν. διὸ καὶ ὁ

γύλιος

γύλιος ἐκ τούτου δυσώδης. ἢ ὅτι ἐπιπολὺ ἐγκαλυπτόμενος ὁ γύλιος, ἐκ διαφόρων ὄψων τε, καὶ ζωμῶν, ὀξίδος σύμμικτον τινα ὀσμὴν ὄζει.

CHRIST. Ἀστρατείας] Pacem à contrario sic vocat, & vnguento delibutam facit, propter amicas illas Oporam & Theoriam, Venerem ignauam & verè Murciã sic significans, vt rectè dixerit ingeniosus & mollis poëta, *Bella gerant alij, tu Pari semper ama.* Γυλιὸν] Cophinus vel fiscina militaris erat, vbi reponebant milites quos portabant cibos & alimenta, puta caseum, oliuas & cepe. Erat autem istud πλίσμα ἰσοπεσείον oblongum & angusti aditus (vnde postea macros & oblongo collo præditos vocat γυλιαύχενας) ne deposita corrumperentur, vocabaturque ὀψοθήκη στρατιωτική. Apud Hesychium per duplex λ. scribitur & indifferenter γύλιος vel γύλιον. Hoc nomine aiunt Grammatici vocari animalculũ χοιρογρύλλιον qui echinus est. Hoc si ita est, puto potius ab animalculo inditum cophino nomen. Et fortassis Latini gulam inde dixerunt, vt non mirer quòd Hercules dictus fuerit γύλιος, quia gulosus fuit & βυθοίνας. Πλίσιος] Nouè pro πλίσμα qua ratione Æschylus ῥόος dixit, ἰσοστόρῳ δι᾽ ἀφῶντι πηγαῖον ῥόος. Κρομμυοξυρεγμίας] Composita dictio ex cepis, acrimonia & vomitione. Voluit autem notari ἀπεψίαν quæ necessario stomachum lædit, & vsum sequitur talium ciborum. Semper autem militiæ allia & cepe resignat, vt antea miseris & bellorum cupientibus Megarensibus. Ἐπυλλίων] Sophoclis industriam & Tragicam διδασκαλίαν (etsi eius mores postea exagitat) extollit, vt & in Ranis. Contrà Euripidem vbique ferè deprimit & vituperat, ad eiúsque versus ferè semper alludit iocosè παρῳδίαις, præcipuè in Thesmophoriazusis, & ipsis Ranis. Itaque hîc de Sophocle dixit μελῶν, de Euripide ἐπυλλίων, vocátque eum ποιητὴν ῥηματίων δικανικῶν quia in fabulis Euripideis multum est litigij criminúmque obiectorum & dilutorum, crebréque inducuntur reorum ἀντιλογίαι. Propterea forum amantibus vtilem esse Euripidem meritò existimauit Quintilianus. Sanè in Acharnensibus Euripides etiam exagitatur ἀπὸ τῶν ῥηματίων. Paulò post legendũ εἰς ἱππόν. Putem autem Trygæum apud populũ illa omnia locutum, neque Mercurio audiente vsque ad versum κτλ., vbi Mercurius loquitur & orationem continuat, quæ semper pendet ab illis τῶν μὲν γὰρ ὄζει, vsque ad illa καὶ τῶν δὲ τοίνυν, vbi loquitur Trygæus. Vbi verò habes τρυγοίπου, in editione illa Germanica legitur τρυγητοῦ, quam lectionem ego secutus sum in interpretatione: Nam verti vindemiam, est enim τρυγητὸς vindemia, sed τρύγητος προπαροξύτονον est tempus vindemiarum. Tamen lectionem τρυγοίπου præfero alteri. Est autem τρύγοιπος, colum vel saccus vinarius quo vina saccantur, vt ait Martialis. Grammatici σάκκινον ὑλιστῆρα vocãt, Moschopulus σακκελισθέον, nam σακέλλιον est sacculus, sed dicerem potius σακχυλισθέ-

A ειον. Si Hesychij codices non sunt mendosi τρυγητὸς idem erit, sed vereor vt illic non τρυγητὸς sed τρυγοιπὸς legendum.

Σχόλια. Διονυσίων.] ἀντὶ τοῦ πλῆθος τε διονυσίων πολλῶν, ἐν γὰρ εἰρήνῃ συνεχέσιν ἦν ἡ ἑορτή. Αὐλῶν τραγῳδῶν] ἐπεὶ καθὸ, ὁ μὲν ὁ αὐλὸς ἐν εὐωχίαις ἀεὶ καὶ θαλίαις ἐξετάζεται. ἐν γὰρ τοῖς ἰσαμένοις χοροῖς οὓς συνιστᾶσιν οἱ χορηγοὶ διὰ τῶν Διονυσίων πάντως καὶ αὐλητὰς ἔδει προσεῖναι. Σοφοκλέους μελῶν.] ὅτι ἡδέα τὰ μέλη Σοφοκλέους. διαβάλλει δὲ, πρὸς τὸν μὲν Σοφοκλέα τε τοῖς ὀνόμασιν ἐπαίρει. τὸν δὲ Εὐριπίδην σμικρύνει. ἐπ᾽ ἐκείνου μὲν λέγων μελῶν, ἐπὶ τοῦ Εὐριπίδου δὲ ἐπυλλίων. Κιχλῶν] αἱ κίχλαι εἶδος στρουθῶν. δοκοῦσι δὲ πρὸς τρυφὴν

B ἐκ τῶν ἄλλων πλέον προσαρτᾶσθαι μᾶλλον. ἀεὶ δὲ τὸν Σοφοκλέα συμνολογεῖ. Δικανικῶν.] δικανικώτερα τὰ Εὐριπίδου ἔχοντα πιστώσεις καὶ ἀποκρίσεις ἢ ἐπεὶ τὰ Εὐριπίδεια ἀντιλογίας πολλὰς ἔχει καὶ δικαζομένους εἰσάγει. Προβατίων βληχωμένων] πάλιν ἐπὶ τὰ τῆς θυσίας ἐπανέδραμεν ἐγκώμια δεῖ οὖν ὑπὸ κοινοῦ νοεῖν. ὅτι μετὰ τῶν ἄλλων πρέπει τε τὸ ὄζειν. Κόλπου γυναικῶν.] πολλάκις ἐν εἰρήνῃ ὑπὸ κόλπους φέρουσί τι. καὶ ἀδεῶς εἰς τοὺς ἀγροὺς ἐξέρχονται καὶ ἀνθολογοῦσιν. ἀντὶ τοῦ εἰπεῖν δὲ

C εἰς ἀγρὸν, εἶπεν εἰς ἱππόν, ἱππὸς δὲ, ὃ ἡμεῖς καμίνιον καλοῦμεν. Δούλης μεθυούσης] ὅτι καὶ δοῦλοι μεθύουσιν ἐν εἰρήνῃ. Ἀνατετραμμένου χοῶς.] ἀνακαλυφθέντος εἰς γῆν. ὡς οἱ ἐν τοῖς πότοις σφαλλόμενοι εἰώθασι ποιεῖν. Ἄλλων πολλῶν] μετὰ τὸ καθ᾽ μέρος πάντα εἰπεῖν ἐπήγαγε τὸ γενικὸν, ἵνα καὶ ἄλλων πολλῶν δόξας περιλάβηται. Υπωπιασμένα] σφοδρῶς πλησθεῖσαι ὑπὸ τοῦ πολέμου. τὰ δὲ ὑπώπια ἃ εἰσιν ἐκκαύματα ὄψεων καὶ κρούσματα

D ἅπερ κορδύλας φασίν.

CHRIS. Υπωπιασμένα] Contusæ & detritæ per diuturnum bellum. Sumpta translatio à tumicibus, qui sub oculos contingunt, ὑπώπια vocant, dixerim subcilia: nam inde subgillare, quasi subcillare, quod notat vox ipsa, quæ dicta teste Galeno quasi ὑποφθάλμιον. Sunt autem tumores liuidi (corrige apud Hesychium πελιδνώματα) qui cotularum pressu detumescunt & extinguũtur.

E Cotulæ autem illæ κύαθοι dicebantur, vsurpauitque Plato Comicus pro vasculo illo & haustro quod ἀντλητὴρ vocatur. Nos Galli *Ventouses*, quæ sunt χάλκεα ὀξύβαφα. Meminit Athenæus lib. x. laudátque præterea Archippum & Aristophanis hunc locum. Tubercula verò illa oculorum κορδύλαι dicuntur fortassis, quia δηλοῦσι τὰς κόρας. In Acharnensibus versus legitur τίς γοργόν᾽ ἐξήγειρεν ἐκ τοῦ σάγματος, vbi Sudas legit ἀσπίδος, & γοργόνα

F ὑπώπιον facit me non probante. Videndum autem num mendosus sit idem Sudas alio loco quo κονδύλους vocari scribit. Sanè enim κόνδυλος facilè κορδύλῃ faciet, at non contrà. Itaque emendarim κορδύλας, quamuis inter Oedemata & exanthemata sciam à Medicis recenseri τὰ κονδυλώματα. Apud Theocritum senes κυλοιδιόωντες aliud est, nam tumor ille non est ex plaga nisi amoris.

Σχόλια. Καὶ κυάθοις] τοῖς γὰρ χαλκοῖς ὀξυβάφοις

G τὰ ὑπώπια ἀναπιέζοντες, ἀφανῆ ποιοῦσι. ἐπὶ τὰς γὰρ τοὺς ἐκ τῶν πληγῶν ἰθεραπεύσιν μώλωπας.

Τρ. Καὶ τῶνδε τοίνυν τῶν θεωμένων σκόπει
Τὰ πρόσωπ᾽ ἵνα γνῷς τὰς τέχνας. Ερ. Αἰβοῖ τάλας,
Ἐκεινονὶ γὰρ τὸν λοφοποιὸν οὐχ ὁρᾷς,
Τίλλονθ᾽ ἑαυτόν; ὁ δὲ γε τὰς σμινύας ποιῶν
Πέπαρδεν ἄρτι τὸν ξιφουργὸν κεινονί.

TR. Perpende vultum & ora iam spectantium,
Artémq; noris quisque quã colit. ME. *ah miser*
Viden' vt capillos ille cristarum artifex
Sibi vellit, vtq; qui ligones fabricat
Recens in istum pederit fabrum ensium?

Σχόλια. Ἵνα γνῷς] ἵνα διαγνῷς καὶ διακρίνῃς ἐκ τοῦ ἱλαροὺς εἶναι καὶ κατηφεῖς, ποίαν τις αὐτῶν τέχνην μεταχειρίζεται. οἱ μὲν γὰρ τὰ πολεμικὰ ἀσκοῦντες ἀχθόμενοι τοῖς παροῦσιν, καὶ ὅτι ἀργοὶ ἔσονται, συγνοί εἰσι καὶ κατηφεῖς. οἱ δὲ τὰ εἰρηνικὰ, ἱλαροί. Τίλλει θ' A ἑαυτόν.] τίλλειν ἑαυτὸν λέγεται, τὸ τῶν ἑαυτοῦ τριχῶν ἐπιλαμβάνεσθαι καὶ σπαράττειν τὰς κόμας. προσφορώτατα γοῦν λοφοποιὸν τῷ κεφαλῇ, καὶ ταῖς θριξὶν αὐτὸν ἐποίησε λαβόμενον. ἐπεὶ καὶ ὁ λόφος τῆς κεφαλῆς ἐστι σκεπαστήριον.

Τρ. Ὁ δὲ δρεπανουργὸς οὐχ ὁρᾷς ὡς ἥδεται;
Καὶ τὸν δορυξόον οἷον ἐσκιμάλισεν;
Ερ. Ἴθι νυν ἀνείπε τοὺς γεωργοὺς ἀπιέναι.
Τρ. Ἀκούετε λεῴ, τοὺς γεωργοὺς ἀπιέναι
Τὰ γεωργικὰ σκεύη λαβόντας εἰς ἀγρὸν
Ὡς τάχιστ' ἄνευ δορατίου καὶ ξίφους κἀκοντίου,
Ὡς ἅπαντ' ἤδη 'στὶ μεστὰ τἀνθάδ' εἰρήνης σαπρᾶς.
Ἀλλὰ πᾶς χώρει πρὸς ἔργον εἰς ἀγρὸν παιωνίσας.
Χο. Ὦ ποθεινὴ τοῖς δικαίοις καὶ γεωργοῖς ἡμέρα,
Ἀσμενός γ' ἰδὼν προσειπεῖν βούλομαι τὰς ἀμπέλους,
Τάς τε συκᾶς ἃς ἐγὼ 'φύτευον ὢν νεώτερος;
Ἀσπάσασθαι θυμὸς ἡμῖν γὰρ ἐστὶ πολλοστῷ χρόνῳ.
Τρυ. Νῦν μὲν οὖν ὦ 'νδρες προσευξώμεσθα πρῶτον τῇ θεῷ.
Ἥπερ ἡμῶν τοὺς λόφους ἀφεῖλε καὶ τὰς Γοργόνας,
Εἶθ' ὅπως λιταρχιοῦμεν οἴκαδ' ἐς τὰ χωρία,
Ἐμπολήσαντές τι χρηστὸν εἰς ἀγρὸν ταρίχιον.
Ερ. Ὦ Πόσειδον, ὡς καλὸν τὸ στῖφος αὐτῶν φαίνεται,
Καὶ πυκνὸν καὶ γοργὸν ὥσπερ μᾶζα καὶ πανδαισία.
Τρ. Νὴ τὸν Δί', ἡ γὰρ σφῦρα λαμπρὸν ἦν ἄρ' ἐξωπλισμένη,
Αἵ τε θρίνακες διαστίλβουσι πρὸς τὸν ἥλιον,
Ἦ καλῶς αὐτῶν ἀπαλλάξειεν ἂν μετόρχιον,
Ὥστ' ἔγωγ' ἤδη 'πιθυμῶ καὐτὸς ἐλθεῖν εἰς ἀγρὸν,
Καὶ τριαινοῦν τῇ δικέλλῃ διὰ χρόνου τὸ γήδιον.

TR. Vide ille quanto gaudio diffunditur,
Notátque digito hastarium falcarius.
MER. Abi, colonos iam iube discedere.
B *Audite populus, iam coloni agros petant,*
Et arma secum perferant agrestia
Quam citissimè absque tragula, sparo, ense, spiculo:
Quippe iam sunt plena cuncta pacis antiquæ bonû.
Ergo in agrû quisque cedat, diisque ouans grates agat.
CH. O dies optata iustis, & colonis plurimum,
C *Quàm lubenter intuens vites salutatas volo*
Atque ficus quas ego seui in iuuenta primula,
Vnde vos saluere tanto nunc iubemus tempore.
TR. Nunc quidem laudare sit fas numen imprimus Deæ,
Virginis, per quam facessunt cassides & gorgones:
D *Mox adibit quisque latus villulam & domum suam,*
Quò feremus nescio quid optimi salsaminis.
MER. Quàm decens ô Conse turma rusticorû quàm cita,
Crebra, pilata instar offæ & symbolaris cænulæ.
TRY. Nempe pulchra malleus res per Iouem armatus probè:
E *En resulgent ventilabra solis ad purum diem:*
Ista quiuis semina ordinésque facile interserat,
Quin & ipsum me cupido cœpit agri maxima.
Rusculum incultúmque tamdiu ligone vertere.

Σχόλια. Ἐσκιμάλισε.] τῷ μέσῳ δακτύλῳ σιμώσας τὸν μέγαν καὶ πλήξας, ἐφυβρίζει. ἢ κατεδακτύλισε. σκιμαλίζειν γάρ ἐστι κυρίως, τὸ, τὸν δάκτυλον εἰς τὸν πρωκτὸν τοῦ ὄρνιθος βαλεῖν. οὐ μόνον δὲ τοῦτο, ἀλλὰ καὶ ὅταν βουλόμενοι ἐφυβρίσαι τινὰ τὸν μέσον δάκτυλον ἐκτείνοντες, δείξωσιν αὐτῷ.

BISETVS. Ἀνείπε] ἀνειπεῖν κυρίως τὸ διὰ κήρυκος εἰπεῖν, ἀγορεύειν, ἀνακηρύττειν. Σ.

Σχόλια. Ὡς τάχιστ' ἄνευ δορατίου.] πολλὰ τὰ τοῦ πολέμου κακά. πρότερον οὐδεὶς δίχα ὅπλων ἐξῄει εἰς τὸν ἀγρὸν ὑφορώμενος τοὺς πολεμίους. νῦν δὲ εἰρήνης οὔσης, ἀποκελεύεται μὴ βαστάζειν σίδηρον. Σαπρᾶς] παλαιᾶς καὶ ἀρχαίας. κυρίως μὲν σαπρὸν οἱ παλαιοὶ ἔλεγον, τὸ σεσηπὸς διὰ τὸν χρόνον. χρῶνται δὲ αὐτῷ, καὶ ἀντὶ τοῦ ἀρχαίου καὶ παλαιοῦ. Παιωνίσας.] εὐξάμενος τοῖς θεοῖς. ὁμολογήσας χάριν. παιὰν γάρ ἐστιν ὕμνος εὐχαριστήριος. G

CHR. Ἐσκιμάλισεν] Auium curatoribus vox propria, qui digitû (paruû puta) immittunt in auiû culû, vt olim solebant Deliaci Gallos castraturi, aut gallinarû partiones exploraturi. Hic est καταδακτυλίζειν & ἐφυβρίζειν. i. contumeliosè irridere, & in côtemptû, digitû, vt aiunt, mediû ostêdere, qui infamis vulgò existimatur. Id Gallicô idiotismo dicitur, *Faire la Figue*. Quâquã in obscœniorê sensum id verbi olim detorserunt, nã id etiã erat σιφνιάζειν, propterea quòd gẽs illa puerorû amoribus dedita, διὰ δακτυλίου ἐσκιμάλιζεν & digito F femora côtrectabat, vt λεσβιάζειν, os præbere πρὸς τὴν μάλωσιν. Apud Scholiastê pro μέσῳ δακτύλῳ, legebã μικρῷ, vt in fabula Acharnensiû, vbi dixit de Euripide ῥήμασι ἐσκιμάλισεν, quanquã mediû, vt diximus, digitû intendebant quoties aliquem subsannantes côtemnebant. Ἀκούετε λεῴ] Sic etiam Edicta quæ præco publicabat incipiebant, & in sacris vsurpabãt, atque extẽplò λαοῖς ἄφεσις, vnde missionis, vel missæ nomẽ, ne necesse habeamus à G vetustiore lingua longius & curiosius arcessere. Εἰρήνης σαπρᾶς] Propriè σαπρὸν dicitur, quod têporis diuturnitate putredinẽ quæsiuit: hic pro vetusto & antiquo dixit: in quo notat belli diuturnitatẽ, vel cû paulò post ait, se iã senẽ reuisurû ficus quas iuuenis plantauerit. παιωνίζειν autẽ est gratiarû erga deos

ga deos actio: est enim παιὰν Hymnus εὐχαριστήριος.

Σχόλια. Ω ποθεινή.] οἱ γεωργοὶ ταῦτά φασι ἡσθέντες τῷ κηρύγματι. Ας ἐγὼ 'φύτευον νεώτερος] προσπαιδοῦσα γὰρ πᾶς ἡγεῖται ἅπερ ἂν αὐτὸς ἐργάσηται. διὰ τούτου δὲ τὸ πολὺ τοῦ πολέμου χρόνον δηλοῖ, ὅτι νεώτερος ὢν ἐφύτευε συκᾶς, ἃς νῦν εἶδε γηραιάς. καὶ νῦν ἀρμοσθεὶς τούτῳ, ἐπήγαγε πολλοστῷ χρόνῳ. Καὶ τὰς γοργόνας.] πᾶν σκεῦος ἁρμόζον ἐν πολέμῳ. Εἶθ' ὅπως λιταργιοῦμεν] εἶτα μετὰ τὸ εὔξασθαι τῇ θεῷ, συντόμως δραμούμεθα. παρὰ τὸ λίαν ἀργόν. Ω Πόσειδον.] ὁ Ερμῆς ὁρῶν τοὺς ἀγροίκους ἐξιόντας, φησὶ τὸ ὦ Πόσειδον. Καὶ γοργόν.] ἐπεὶ διὰ χρόνου ἐξιόντες ἔσπευδον.

CH. Καὶ τὰς γοργόνας] Bellicũ omnẽ apparatũ intelligit, vel, quia dixit λόφω, est ἐνδύασις, vt ad clypeos referatur, & vt Lamachũ quẽ in Acharnẽ lib. γοργολόφαν vocat, obiter notet, vbi versũ supra citatũ habes τὴν γοργόν' ἐξήγειρεν ἐκ τοῦ σάγματος. Sed Suidas ἐκ τῆς ἀσπίδος legit, & γοργόνα interpretatur κορδύλην. Puto tamẽ simpliciter de clypei terriculosa imagine tantũ intellexisse Aristophanẽ. Sententiã meã adiuuat Hesychius qui voce γοργόνα videtur respexisse ad illum ex Acharnẽnbus locũ cùm ait, γοργόνα ἣν ἐπ' αὐτῆς (puta ἀσπίδος, ne σάγματος potius legas & Sudã sequaris) εἶχεν ὁ Λάμαχος, ἵνα τὸν Λάμαχον εἴπῃ: nẽpe quia terriculamẽtis Gorgonũ gaudebat Lamachus, propterea illa dixit in Acharnẽsibus, & hæc hoc loco: Itaque antea dixit ὡς ἐν στρώμασι τῆς σῆς μορμόνος. Est autẽ Lamachus nomen pugnax & ἀκαταγώνιστον. Λιταργιοῦμεν] Pro velociter currere τὸ λιταργίζειν nouauit, quia λίαν ἀργόν. i. ταχύ. Hesych. προχάζειν exponit. Alij sunt λιτάργοι stipatores Principũ. Sed profectò cursores & à pedibus pueri, rectè dicerentur λιταργοί. Εμπολήσοντες] Malè apud Athenæũ lib. 3. legitur ἀγοράσοντι. Nã horũ Trochaicorũ Catalecticorũ moduli illam lectionem non recipiunt, etsi hîc vt antea ἐμπολᾶν sit ἀγοράζειν. Καὶ πυκνὸν καὶ γοργόν.] Hic τὸ γοργὸν interpretatur ταχὺ καὶ εὐκίνητον, aliàs est λιπαρὸν καὶ εὐτραφές. Ac τὸ πυκνὸν quidẽ rectè cõparat farinæ propter crebritatẽ. Sed τὸ γοργὸν nihil ad πανδαισίαν, quod est velut adiicialе vel symbolare conuiuiũ, nisi ἀντὶ τοῦ εὐτραφοῦς accipiamus, quod nõ puto: nã bellico labore exhaustos agricolas habitiores esse credibile non est. Sanè nisi Scholiastem de celeritate interpretatũ scirẽ, dubitarẽ nũ legẽdũ pro καὶ γοργόν, γεωργῶν vt ad αὐτοῦ referatur, nã prius καὶ propter τὸ καλὸν dixit. Iudicent doctiores, & me dubitatione vacillãtem firmitudine felicioris ingenij sistant.

Σχόλια. Μᾶζα καὶ πανδαισία.] πανδαισία ἡ δαψιλὴς καὶ παντοία εὐωχία. μᾶζα δέ ἐστιν, ὁ θρυπτὸς ἄρτος. ἄλλως. ὅταν γὰρ εἰς κοινὸν ἑστιῶνται, καὶ ἑκάστου φέροντος ἑαυτῷ δεῖπνον πυκνὰ πάντα φαίνεται. πῆ μὲν τὰ προσφάγια φερόντων. πῆ δὲ, αὐτῶν ἑστιωμένων. ἄλλως. φασὶ γὰρ τὸ δεῖπνον, ἐν ᾧ ἕκαστος αὐτῶν κομίζων εἰς κοινὸν κατατίθεται. καὶ πάντες πάντων μετέχουσι. τὸ δὲ στῖφος αὐτῶν, εἰκάζει ἀλφίτοις καὶ μάζῃ διὰ τὸ πυκνόν. καὶ ἐπειδὴ πυκνοῦνται, ὥσπερ μὲν τὰ ἄλφιτα, οὕτω δὲ οἱ ἑστιώμενοι. πανδαισίαν δὲ, τὴν ποικίλην καὶ ἐκ διαφόρων ὄψων εὐωχίαν. ὅταν ἕκαστος τὰ ἑαυτοῦ ὄψα ἀνενέγκῃ καὶ καθῆται εἰς τὸ κοινόν. ἢ ὅταν πολλῶν προκειμένων ἐδεσμάτων λάβῃ τις ὃ θέλει. εἰ δὲ πανδαισίαν, λάχανόν τι, ἔχον παντεῖον ἔδεσμα. τὸ γὰρ ὅλον, πυκνόν· οὖν ὥσπερ μᾶζα καὶ πανδαισία. Η γὰρ σφῦρα] νενόηται δὲ εἰς τὸν χορὸν σφύρας ἔχοντα, οἷς βωλοκοποῦσι, καὶ θρίνακας, καὶ σκεύη ἄλλα γεωργικά, δι' ὧν τὰς βώλους τῆς γῆς ἔμελλον θραύσειν. Θρίνακες] τὰ

A πτύα, ἐργαλεῖον, ᾧ ἀποχωρίζουσι τῶν σπερμάτων τὰ ἄχυρα. παρίστησι δὲ ἐν ταῖς ἅλωσι πρὸς τὸν ἄνεμον. ἐπαίρουσι δὲ τὰ ἄχυρα ὑπὲρ τοῦ ἀποπτίσαι καὶ καθαρεῦσαι τὸν πυρόν, ἢ τὰς κριθάς, ἢ ἄλλο τι τῶν τοιούτων γεννημάτων.

BISETUS. Θρίναξ παρὰ τῷ Σουΐδᾳ, τὸ πτύον, ὄργανον γεωργικὸν ὀδοντικόν. καὶ παρὰ τῷ αὐτῷ, τρίναξ, γεωργικὸν ἐργαλεῖον. ἐν ἐπιγράμματι,

Καὶ τρίνακας ξυλίνας χεῖρας ἀμησοπόνων.

B διττῶς οὖν γράφεται, θρίναξ, καὶ τρίναξ. ὅθεν καὶ ἐν τῷ ἐτυμολογικῷ θρίναξ σημαίνει τετραποδ' ἐς ἐργαλεῖον ἐργαλικὸν παρὰ τὸ τρία. τρίναξ, καὶ θρίναξ. καὶ ἡ νῆσος Σικελία Τρινακρία ὀνομάζεται, ὥς φησιν ὁ Στράβων οὕτω γράφων, ἔστι δὲ ἡ Σικελία τρίγωνος τῷ σχήματι καὶ διὰ τοῦτο Τρινακρία μὲν πρότερον, Θρινακὶς δ' ὕστερον προσηγορεύθη μετονομασθεῖσα ἐμφανώτερον. τὸ δὲ σχῆμα διορίζουσι τρεῖς ἄκραι, Πελωριάς, Πάχυνος, Λιλύβαιον. παρὰ δὲ τῷ Ομήρῳ Θρινακία λέγεται ἐν τῷ Λ. τῆς Οδυσσείας,

C Θρινακίῃ νήσῳ προσφυγὼν ἰοειδέα πόντον.

CHRIST. Νὴ τὸν Δί' ἡ γὰρ] Versus iste est octonarius Iambicus (Quadratum puto vocari) Miror tamen inter Trochaicos solum esse, fortassis legendum νὴ Δί'. vt sit Trochaicus Tetrameter Catalecticus cum cæteris. Σφῦρα] Chorus iste Agricolarum Athmonensium (populus hic erat è Cecropide tribu, quem ἄθμονον vocat, qui ἀθονικά scripsit) inducitur hic cum malleis vannis cæterisque instrumentis ferreis quibus coloni βωλοκοποῦσι. Sed quem hic vocat malleum nescio

D nisi sit ligo, quia postea ait τριαινοῦν τῇ δικέλλῃ. Mallei enim vel malleoli in re Rustica sunt nouellæ stirpes vitium quæ & viuiradices (etsi differunt aliquatenus) ad quas videtur alludere: Sanè enim hoc loco sunt tudites & martelli quibus ridicas & pedamenta in terram demittentes & inspicãtes tundunt & σφυρηλάτους faciũt. Αἱ τε θρίνακες] Vannos, id est, τὰ πτύα intelligit Scholiastes, nempe instrumenta quibus discernunt spernũntque paleas à grano, vt sic purgetur triticum, vel, vt dicebant veteres, euannetur. Tamen no-

E minis etymon rimanti & Grammaticos audienti qui ἐργαλεῖον ὀδοντικὸν exponunt, & τρίαιναν, videtur mihi aliud θρίναξ fuisse à vanno cribro, & dictus quasi τρίναξ, qua ratione Sicilia Θρινακία vel Τρινακρία dicta, vel propter tria promontoria, vel quia Tridenti similis, aut quia Thrinacus quidam Rex fuit Siciliæ, vt ex Historicis autumat Scholiastes Appolonij Argonaut. 4. & Eustathius in Dionys. ex Sibylla affert hos versus, ἣν ἔκτισε Τρίνακος ἥρως, υἱὸς ποντομέδοντος Ποσειδάωνος. Quò ma-

F gis credã facit verbũ διαστίλβουσι: nã ferrũ attritũ præsertim splendescit ad Solẽ. Quod si quis arguetetur ferramentũ illud iamdiu deses & situ longo depositum rubiginem, potius quàm splendorem contraxisse, respõdebo Trygæum hæc loqui quasi per ἀναχωρισμόν, & eruta Pace: cum bona spe sic euenturum, imò videri iam præsens.

Σχόλια. Μετόρχιον.] τὸ μεταξὺ τῶν ὄρχων. ὄρχοι δὲ καλοῦνται τὰ μέσα τῶν ἐλαιῶν καὶ τῶν ἀμπέλων. ἄλλως. μετόρχιόν ἐστι τὸ μεταξὺ τῶν συμφύτων πεδίον, ἐν ᾧ ἢ σῖτος ἢ ἄλλο τι ἔσπαρται. παίζων οὖν εἶπεν, ὅτι ἡδυνατό

G τις διαχέας αὐτοὺς ποιῆσαι μετόρχιον. ἐπειδὴ ἡ πολλοὶ εἰσὶ μεταξύ, ἵνα αὐτοὶ ἀντὶ τῶν φυτῶν γένωνται. ἄλλως. τινὲς τὸ ὄρχιον τὸ μεταξὺ τῶν φυτῶν. ἄλλως. μετόρχιον τὸ μεταξὺ τῶν χωρίων. ὅπερ λέγεται ὄρχος. καλῶς ἂν τις φησὶ μεταστήσειε τὰ φυτά, ἀπὸ τῶν ἀρουρῶν τῶν σπειρομένων. Διὰ χρόνου γ' ἄρα] ὑποκοριστικῶς. ἀντὶ

τοῦ πλὼ γλῶ. τριαιροῦν δὲ ἤρέμα σκάπτειν, καὶ ἐπισύρειν A τὰς βώλους ὑπὲρ τοῦ κρύπτειν τὰ σπέρματα.

Christ. Ἀπαλλάξειεν ἂν μετόρχιον] Nisi passiuè accipimus τὸ ἀπαλλάξειεν & absolutè, vt apud Latinos sæpè mutare & turbare, existimarem mutádum αὐτὸ in ἄν τις. neque me mouet τὸ ἂν repetitum. Tamen nihil pronuntio nisi dubitanter, neque quicquid eiusmodi à nobis obseruatur notatúrve accipi velim tanquam κυρίας δόξας. Non ita vaticinor, sed esse tantùm cupio iritamentum alieni iudicij. Est autem μετόρχιον spatiũ & interuallum quod est inter vites ordinarias, quod vocatur à Columella interordinium, quo modo Vitruuius dixit intercolumnium. Neque solùm de vitibus intelligitur, sed oleis etiã alijsque arboribus inter quas sementẽ faciebant: nam ὄρχοι ordines sunt in quincuncem digesti. Etiã ὄρχατοι dicti παρὰ τὸ ἔρχεσθαι δι' αὐτῶν τὰς τάξεις τῶν φυτῶν. fortassis etiã alludit πρὸς τοὺς ὄρχεις, vt in Acharnensibus. Καὶ τριαιροῦν] Sensim fodere & occatas glebas attrahere, vt semina operiãtur hoc vocat τριαιροῦν.

Id in segetib' fit cũ iacto semine tertiò aratur, & tũc lirare dicitur, fit enim è sulco porca. Hoc Græci vocabãt ὑπαροτριᾷν, & sic vsus videtur Theophrastus li. 8. Historiarũ ca. 11. quo loco amplector correctioné, vt pro ὑπαπορεσῶντες legamus ὑπαροτριῶντες. Hic ego putẽ de hortorũ areis accipiẽdũ, vbi post semẽtẽ iactã tridẽte instrumento spargitur & demittitur semen, & mox inuerso æquatur ipsa area, præsertim quũ vsus sit hypocoristico: dixit enim γήδιον. i. agellum vel prædiolũ. Apud Hesychium arantes dicuntur τριαιρατῆρες. Sed paulò B post legendũ ὦ ᾿νδρες non ὦ ἄνδρες. Cæterùm habemus hîc vndecim Trochaicos dimetros Acatalecticos præter octauum qui est monometer, & Coronidẽ quę ἐφθημιμερής. Sed notãdũ in quarto dimetro vel Dactylũ esse vel potius duas in vnam syllabas coalescere in παλλασίων, vel vt Sudas παλλαθίων. Sũt autẽ παλάθαι vel παλλάθαι cũ duplici λ, ficus siccę quæ ἰσχάδες, vel massa ficuũ ἢ τῶν σύκων ἐπάλληλος θέσις, inquiũt Grãmatici, vt nisi coale- C scant duę hic syllabę, legendum putem παλλαθῶν.

Ἔκθεσις τῆς διπλῆς κώλων τροχαϊκῶν ια.

Ἀλλ' ἀναμνησθέντες ὦ ᾿νδρες
Τῆς διαίτης τῆς παλαιᾶς,
Ἣν παρεῖχ' αὕτη ποθ' ἡμῖν,
Τῶν τε παλλασίων ἐκείνων
Τῶν τε σύκων, τῶν τε μύρτων, D
Τῆς τρυγός τε τῆς γλυκείας,
Τῆς ἰωνιᾶς τε τῆς πρὸς
Τῷ φρέατι.
Τῶν τ' ἐλαῶν ὧν ποθοῦμεν.
Ἀντὶ τούτων τήνδε νυνὶ
Τὴν θεὸν προσείπατε.

O viri nunc cogitantes
Pristina modúmque vitæ
Quem dabat nobis benigna,
Termitésque caricarum,
Hásque ficus, hásque myrtos,
Palmitísque dulce mustum,
Atque fontibus propinquas
Has violas:
Atque olivas quas amamus:
Omnium illorum vicem nunc
Ferte laudibus Deam.

Σχόλια. Ἀλλ' ἀναμνησθέντες.] διπλῆ καὶ μέλος ἀμοιβαῖον. τὸ μὲν, τοῦ ὑποκριτοῦ, ἑνδεκάκωλον τροχαϊκόν. ὧν ἐν εἰσθέσει ἐννέα ἀκατάληκτα, δίμετρα τὰ ὀκτὼ, μονόμετρον δὲ τὸ παρατέλευτον. καὶ ἐν ἐκθέσει στίχοι τροχαϊκοὶ τετράμετροι καταληκτικοί. ἄλλως. ἡ ἔκθεσις αὕτη τῆς διπλῆς κώλων ἐστὶν ὁμοίων τροχαϊκῶν ια. ὧν τὸ η μονόμετρον, τὰ δὲ λοιπὰ δίμετρα ἀκατάληκτα. τὸ τελευταῖον ἑφθημιμερές. ὑφ' ὃ αἱ ἀμφοτέρωθεν ἔξω διπλαῖ. Παλλασίων] τῶν πεπαλημένων ἰσχάδων. τινὲς δὲ τῶν παλάθων. παλάθη δὲ εἶδος βολαίνης. E

Bisetus. Παλάθη, κυρίως, ὥς φησιν Εὐστάθιος, ἐλέγετο ἡ σύκων, ἤτοι τῶν ἰσχάδων ἐπισώρευσις. ἐνταῦθα δὲ παλαθῶν γραπτέον, οὐ παλλασίων, ὡς ἐν τοῖς ἀντιγράφοις ἔχομεν. F

Σχόλια. Τῆς ἰωνιᾶς.] ἰωνιὰ λέγεται ἡ φυτεία τῶν ἴων. ὡς καὶ τῶν ῥόδων ῥοδωνιά. ὅπου τὰ ῥόδα φύεται. ἄνθος δὲ τὸ ἴον, διάφορον μορφὴν ἔχον. ἃ μὲν γὰρ αὐτῶν ἐστὶ πορφυρᾶ. ἃ δὲ, λευκά. ἃ δὲ μέλανα. καὶ ἐν τούτῳ τῶν ἴων θαυμαστόν ἐστιν ὅτι τῇ ποικιλίᾳ τῆς ὄψεως. αὐτὰ καθ' ἑαυτὰ δύναται λειμῶνα πληροῦν. Τῶν τ' ἐλαῶν] παρατηρητέον ὅτι τῶν ἄλλων καρπῶν καὶ φυτῶν ἁπλῶς μνημονεύσας, ἐπὶ τῶν ἐλαιῶν ἐπηγάγετο, ὧν ποθοῦμεν. καὶ ἴσως ἢ ἐπεὶ δῶρον τῆς Ἀθηνᾶς, ἢ ὅτι εὔφορός τις ἐστὶν ἡ Ἀττικὴ ἐξαιρέτως εἰς τὸν τῆς ἐλαίας καρπόν. G

Christ. Τῆς τρυγός τε] Non solum τρὺξ est fex vini & subsistentia (Græci ὑπόστασιν vel ὑποστάθμην vocant) Sed etiam nouum mustum, ὁ νέος οἶνος, λῆνοῦ ἀδιάθετον inquit Hesychius, vt hoc loco. Rectè autem cum vino iungit ficus: nam ficuum tanta fuit apud veteres commendatio, vt secundum à vite locum obtinuerit, & meritò Hipponax dixerit συκῆν μέλαιναν ἀμπέλου κασιγνήτην. i. Ficum nigrãtem vineæque germanam. Ratio cum historia fabulosa affertur à Pherenico ἐποποιῷ apud Athenæũ. Itaque Theophrastus in libris de historia tractationi de vinea, ficus adiicit contemplationem. De cuius varijs generibus adfatim scripsit & scripta ab alijs recensuit idem Athenæus lib. 3. Dipnosoph. Quin apud Philostratum maiorem lib. 1. Imaginum titulo ξένια ad coaceruandas asseruandásque ficus, quæ pro Apophoretis essent, vitis folia vsui esse dicit. Τῆς ἰωνιᾶς] Locum vel pratum violis refertum ἰωνιὰν vocant, qua ratione rosetum vel rosarium ῥοδωνιὰ & liliarium κρινωνιά. Sic in lib. 1. de historia plantarum Theophrastus dixit ἰωνιὰ & ῥοδωνιά, nam accentum in vltimam puto reiiciendum. Doctissimus alioqui Gaza non satis expleuit hæc verba dum vertit rosas & violas, sed neque si dixisset violacea. Ego cum Marone violaria & rosaria dicerem, & sanè diuinus ille vir dixit, *Irriguúmque bibant violaria fontem*, expressum ex his Aristophanicis τῆς ἰωνιᾶς τῆς πρὸς τῷ φρέατι: Nam τὸ φρέαρ fontem esse facilè credo cum Grammaticis. Apud Theophrastum lib. vi. de historia Plantarum, Gaza vertit iuxta fontes, quod

Græce

Græce erat ἐν τοῖς τριβολτοῖς, quamuis aliud sit προ-λεῖον, semita scilicet plausu pedum trita & paucerata à commeantibus. Quo loco existimauit diuini viri discipulus eximius, & magistro ipso teste, melioris notæ, lilia pluribus variari coloribus quàm violas: quod veritati rerum consentaneum non videtur: nam violæ præter omnes colores quos habent lilia (purpureum eximo) etiam luteæ sunt, etiam variæ ex puniceo & candido.

Κορωνὶς, καὶ εἴσθεσις χοροῦ μονοστροφικὴ κώλων, καὶ στίχων κά.

Χο. Χαῖρε χαῖρ' ὦ φιλτάτη' ὡς
Ἀσμένοισιν ἡμῖν ἦλθες.
Σοῦ γὰρ ἐδάμνημεν πόθῳ,
Δαιμόνια βουλόμενοι
Εἰς ἀγρὸν ἀνερπύσαι.
Ἦσθα γὰρ τὸ μέγιστον ἡμῖν
Κέρδος, ὦ ποθουμένη,
Πᾶσιν, ὁπόσοι γεωργι-
κὸν βίον ἐτρίβομεν.
Μόνη γὰρ ἡμᾶς ὠφέλεις.
Πολλὰ γὰρ ἐπάσχομεν,
Πεὶν ποτ' ἐπὶ σοῦ γλυκέα,
Κἀδάπανα καὶ φίλα.
Τοῖς ἀγροίκοισι γὰρ ἦσθα
Χίδρα καὶ σωτηρία,
Ὥστε σὲ τά τ' ἀμπέλια,
Καὶ τὰ νέα συκίδια,
Τἄλλα θ' ὅσ' ἐστὶ φυτὰ,
Προσγελάσεταί σε λαβόντ' ἄσμενα.
Ἀλλὰ ποῦ ποτ' ἦν ἀφ' ἡμῶν τὸν πολὺν τοῦτον χρόνον;
Ἤδη τοῦθ' ἡμᾶς δίδαξον, ὦ θεῶν εὐνούστατε.

B

CH. Salue Diua ô salua sis,
Quam lubenter intuemur,
Vrit enim amor nos tuus,
Te Dea dum cupimus
Dulcia reuisere
Arua: Te ô sperata grandi
Deputamus in lucro.
Cuncti agricolæ rustica
C *Vita teritur quibus:*
Iuuare sola nos soles
Multa solitos prius
Læta, sine damno, ex tua
Commoda manu frui.
Nam salutaris colonis
Hordei præbes vicem:
Atque ideò pampinea
D *Ligna, sobolésque noua*
Ficuum, & omne satum,
Te incipient ridere recepta.
Verùm vbi illa tamdiu absens? quà latebat gentium?
Istud adiuuato Mercuri ô Deûm humanissime.

Σχόλια. Χαῖρε χαῖρ' ὦ φιλτάτη.] κορωνὶς καὶ εἴσθεσις χοροῦ μονοστροφικὴ κώλων κά. ὧν τὰ ά ζ ιέ τροχαϊκὰ ἐφθημιμερῆ. τὰ β ς ιδ δίμετρα ἀκατάληκτα. τὰ γ ἡ ὅμοια. ἰωνικὰ μέντοι ἀπὸ μείζονος. τὰ δ θ ιά δακτυλικὰ πενθημιμερῆ. τὰ ἑ ιά ιβ ις ιζ παιωνικὰ δίμετρα ἀκατάληκτα. τὸ ί ὅμοιον, ἰαμβικὸν μέντοι. τὸ ιγ παιωνικὸν ἐφθημιμερές. τὸ ιθ ἀναπαιστικὸν δίμετρον ἀκατάληκτον. ὁ κ κά ἐν ἐκθέσει στίχοι εἰσὶ τροχαϊκοὶ τετράμετροι καταληκτικοὶ ὅμοιοι τοῖς ἐν τῇ εἰσθέσει τῆς διπλῆς ἀμοιβαίας μὴ ἐπὶ τῷ τέλει τοῦ μέν τοῦ χοροῦ κορωνίς. ἡ δὲ διπλῆς ἡ ἔξω διπλῆ, ἐπὶ μέντοι ταῖς ἀποθέσεσιν ἡ συνήθης παράγραφος. Ανερπύσαι.] ἀπελθεῖν. ἰδίως δὲ ἕρπειν τὸ, τῇ γαστρὶ εἰλεῖσθαι. ὅθεν καὶ ἑρπετόν. Ἦσθα γὰρ τὸ μέγιστον] ἐπεὶ ἡ εἰρήνη πλεῖω πάντων τοῖς γεωργοῖς συμφέρει. Κἀδάπανα καὶ φίλα.] ἐκ τῶν ἀγρῶν γὰρ πάντα εἶχον αὐτόματα. ἐν δὲ τῷ πολέμῳ ὠνοῦντο καὶ ἐδαπάνων. τινὲς δὲ γράφουσι μετὰ τοῦ ι. ἵνα τὸ νοούμενον ᾖ, δαπάνη τε τρυφῶμεν. βέλτιον δὲ χωρὶς τοῦ ι ἀναγινώσκειν, ἵν' ᾖ λέγειν μηδὲν ἀναλίσκοντες, διὰ τὸ ἔχειν πάντα ἐκ τῶν ἀγρῶν. ὅτι ἐν τῇ εἰρήνῃ πολλὰ πάνυ καὶ τιμῆς ἐλαχίστης εὑρίσκεται. Χίδρα καὶ σωτηρία.] χίδρα τὸ ἀπὸ ἑλύμου γινόμενον ὄσπρειον ἔδεσμα περὶ Καρίαν. ἤτοι τὸ ἀπὸ χλωρῶν κριθῶν, ἢ εἶδος βοτάνης. ἐκ τούτου δὲ δηλοῖ τὴν εὐθηνείαν. ἄλλως. ἑψητὰ ἐκ κριθῆς νέας γινόμενα.

CHRIST. Εἰς ἀγρὸν] Legerem ἀγρούς, vt sit Catalecticus Trochaicus similis primo χαῖρε χαῖρ' E & altero sequenti κέρδος ὦ, &c. In proximè sequenti etiam legerem ἦσθα γὰρ μέγιστον, tolleremque τὸ, vt sit Dimeter Acatalect. Mixtus est hic Chorus ex Dimetris Catalecticis & Acatalecticis, ex Dactylicis, Ionicis à maiore & Pæonicis. Quin & Iambicum habet Dimetrum, decimum versum puta. In fine chori Anapæsticus est Dimeter: sed putarem legendum προσγελάσει τοί σε λαβόντ' &c. non autem προσγελάσεται. Χίδρα καὶ F σωτηρία] Species est leguminis τὸ χίδρον, & ex Panico cōficiebāt: fruges nouellas vel farinas ex leguminibus exponit Hesychius, qui ait σῖτος νέος φυόμενος (corrige φρυττόμενος, nā alibi vocat ἑψητὸν πεφρυγμένον) est enim legumē fresū ex ordeo præcipuè. Existimat Sudas dictū χίδρον ἀπὸ τοῦ χεῖσθαι, quasi terra facilè id fūdat. Ego putarē dicta χίδρα quasi χέδροπα, quia manu legātur. Legumina vel χέδροπα etiā sūt σπαρτά. Fruges summū genus est, & cætera species vel differentia. Iureconsulti quidā G ad vuas frugum vocem diffuderunt, imò ad siluas cæduas & lapidicinas, quos rectè castigat Iulian⁹, qui ne pomis quidem appellationem hāc tribuit. Tamen malè frumētum definit quod arista in se teneat, vbi videtur pro spica aristā vsurpasse, non enim cuiusuis frumentacei generis spica aristosa est, deinde certum est, neque milium neque panicum, neque surgū, neque hæc χίδρα cōstare spicas

sed neque siliqua. Ita magnis Iurisconsultis magni A accidunt errores, quorum neque Gallus, neque Seruius, neque Alphenus immunes sunt. Tamē ex animi mei sententia, non placet χύδρα. Quid enim est hoc, Iu es leguminia & salus, nam malo ἀχοί-κοις σὺ q iàm ἀχοίκοισι. Ne diutius lect. rem morer, fortasse χύτρα tam conuenientem hic locum habeat, quàm τὰ ὄσπρια in ipsa. Hæc ego doctis B cēsenda relinquo. Mihi satis vel nimis potius audere sententiam meam pronunciare quæ in his minutis rebus semper erit ἐφικτικὰ, neque tanti apud me vnquam erit auctoritas gloss graphorum, vt in eorum verba iurare velim. Quoquo modo legamus, innuitur tàrum & speratur vbertas ex pacifico rerum statu. Καὶ τὰ νέα συκίδια] En vt semper ficus iungit vitibus. In fabula Acharn. dixit μοσχίδια συκίδιον, nouellas ficus. Nam μόσχος tener & nouellus: Sic Homerus μόσχοισι λύγοισι: Latini mostum vel mustum, vt οἶνος μοσχίδιος, vinum mustum & nouum.

Εἴσθεσις διπλῆς ἀμοιβαίας στίχων τετραμέτρων καταληκτικῶν ιϛ'.

Ερ. Ὦ σοφώτατοι γεωργοί, τἀμὰ δὴ ξυνίετε
Ῥήματ', εἰ βούλεσθ' ἀκοῦσαι τήνδ' ὅπως ἀπώλετο.
Πρῶτα μὲν γὰρ αὐτῆς ἦρξε Φειδίας πράξας κακῶς,
Εἶτα Περικλέης φοβηθεὶς μὴ μετάσχῃ τῆς τύχης.
Τὰς φύσεις ὑμῶν δεδοικὼς καὶ τὸν αὐτοδὰξ τρόπον,
Πρὶν παθεῖν τι δεινὸν, αὐτὸς ἐξέφλεξε τὴν πόλιν,
Ἐμβαλὼν σπινθῆρα μικρὸν Μεγαρικοῦ ψηφίσματος.
Ἐξεφύσησε γὰρ τοσοῦτον πόλεμον, ὥστε τῷ καπνῷ
Πάντας Ἕλληνας δακρῦσαι, τούς τ' ἐκεῖ, τούς τ' ἐνθάδε.
Ὡς δ' ἅπαξ τὸ πρῶτον ἤκουσ', ἐψόφησεν ἄμπελος,
Καὶ πίθος πληγεὶς ὑπ' ὀργῆς ἀντελάκτισε πίθῳ,
Οὐκέτ' ἦν οὐδεὶς ὁ παύσων, ἥδε δ' ἠφανίζετο.
Τρυ. Ταῦτα τοίνυν μὰ τὸν Ἀπόλλω 'γὼ 'πεπύσμην οὐδενὸς,
Οὐδ' ὅπως αὐτῇ προσήκοι Φειδίας ἠκηκόειν.
Χο. Οὐδ' ἔγωγε, πλήν γε νυνὶ, ταῦτ' ἄρ' εὐπρόσωπος ἦν,
Οὖσα συγγενὴς ἐκείνου, πολλά γ' ἡμᾶς λανθάνει.

MER. *O catè agrestes beati, haurite nostra hac auribus*
C *Verba, menti figite, vt sciatis huius exitum:*
Causa prima Phidias fuit, fuga pœnas luens.
Dein Pericles cùm timeret illud infortunium,
Quique vestros rite mores nosset irritabiles,
Cœpit antequam rem sit ciuitatem accendere,
Suscitans rogationis Megaricæ scintillulam:
Vnde belli tantus ignis, vt cieret lacrymas:
D *Fumus acer omnibus Græcis, & his & cæteris.*
Vt crepans inuita vitis vis cachinnauit semel,
Et cadi rupti furor recalcitrans rupit cadum,
Nullus has compescit vndas, interim hæc eliminat.
TR. *Ista, Phœbum testor, audita haud fuere dum mihi,*
Sed nec ad Diuam sciebam pertinere Phidiam.
E
CH. *Nec prius scini ipse: iure est ergo formosissima*
Compareret qua haberet istum: quàm latent nos plurima!

CHRIST. Ὦ σοφώτατοι] Rogante choro senum Athmonensium incipit Mercurius narrationem belli Peloponnesiaci, & causas arcessit à Phidia & Pericle. Sunt autem versus hi omnes F Trochaici Tetrametri Catalect. ab his ἀλλὰ ποῦ ποτ' ἦν vsque ad inferiora ἀτὰρ ἂν σιω. Cæterù n ex Archilocho versus iste manauit qui dixerat ὦ λιπερνῆτες πολῖται τἀμὰ δὴ ξυνίετε ῥήματα. Quod etiam vsurpauit Cratinus in πυτίνῃ. Diodorus Siculus lib. XII. apud quem historia hæc de Pericle & Phidia exstat, hunc versum ita habet, ὦ πένητες καὶ γεωργοὶ τἀμά τις ξυνιέτω. Puto illud πένητες καὶ γεωργοὶ τ' ἄμά τις ξυνιέτω. Puto illud πένητες detortum ex Archilocho & Cratino qui λι- G περνῆτες dixerant, neque tamen sic displicet, nam bello pauperantur coloni, sed δὴ ξυνίετε melius, quàm τις ξυνιέτω.

Σχόλια. Τἀμὰ δὴ ξυνίετε.] πρὸς ταῦτα τὰ Κρατίνου ἐν Πυτίνῃ πεποίηκεν. ὦ λιπερνῆτες πολῖται, τἀμὰ δὴ ξυνίετε. ἔστι δὲ πρὸς τὰ Ἀρχιλόχου. λιπερνῆτες πολῖται τἀμὰ δὴ ξυνίετε ῥήματα. ὁ Ἑρμῆς δὲ ἐστιν ὁ λέγων πρὸς τὸ ἐρωτηθὲν ὑπὸ τοῦ χοροῦ, δι' ἣν αἰτίαν τοσοῦτον ἀπέστη αὐτῶν ἡ θεὸς χρόνον. καὶ φησὶ πρῶτον γεγονέναι Φειδίαν. Φειδίας.] Φιλόχορος ἐπὶ Πυθοδώρου ἄρχοντος ταῦτά φησι. καὶ τὸ ἄγαλμα τὸ χρυσοῦν τῆς Ἀθηνᾶς, ἐστάθη εἰς τὸν νεὼν τὸν μέγαν, ἔχον χρυσίου σταθμὸν ταλάντων μδ'. Περικλέους ἐπιστατοῦντος. Φειδίου δὲ ποιήσαντος. καὶ Φειδίας ὁ ποιήσας, δόξας παραλογίζεσθαι τὸν ἐλέφαντα τὸν εἰς τὰς φολίδας, ἐκρίθη. καὶ φυγὼν εἰς Ἦλιν, ἐργολαβῆσαι τὸ ἄγαλμα τοῦ Διὸς τοῦ ἐν Ὀλυμπίᾳ λέγεται. τοῦτο δὲ ἐξεργασάμενος ἀποθανεῖν ὑπὸ Ἠλείων ἐπὶ Σκυθοδώρου. ὅς ἐστιν ἀπὸ τούτου ἕβδομος. περὶ Μεγαρέων εἰπὼν, ὅτι καὶ αὐτοὶ κατεβόων Ἀθηναίων παρὰ Λακεδαιμονίοις, ἀδίκως λέγοντες εἴργεσθαι ἀγορᾶς καὶ λιμένων τῶν Ἀθηναίων. οἱ γὰρ Ἀθηναῖοι ταῦτα ἐψηφίσαντο Περικλέους εἰπόντος, τὴν γῆν αὐτοὺς αἰτιώμενοι τὴν ἱερὰν τοῖς θεοῖς ἀπεργάζεσθαι. λέγουσι δέ τινες ὡς Φειδίου τοῦ ἀγαλματοποιοῦ δόξαντος παραλογίζεσθαι τὴν πόλιν καὶ φυγαδευθέντος, ὁ Περικλῆς φοβηθεὶς διὰ τὸ ἐπιστατῆσαι τῇ τοῦ ἀγάλματος κατασκευῇ καὶ συνεγνωκέναι τῇ κλοπῇ, ἔγραψε τὸ κατὰ Μεγαρέων πινάκιον, καὶ τὸν πόλεμον ἐξήγειρεν, ἵνα ἀσχολουμένοις Ἀθηναίοις

Ἀθηναίοις εἰς τὸν πόλεμον, μὴ δόντος εὐθυμίας, ἐγκαλέσας Μεγαρεῦσιν, ὡς τὴν ἱερὰν ὀργάδα κατενείμαντο ἐργαζόμενοι. ἄλογος δὲ φαίνεται ἡ Περικλέους ὑπόνοια, ἐπειδὴ ἔτεσιν πρότερον τῆς τοῦ πολέμου ἀρχῆς, τὰ περὶ Φειδίαν γενόμενα. Φειδίας ὡς Φιλόχορος φησὶν ἐπὶ Πυθοδώρου ἄρχοντος τὸ ἄγαλμα τῆς Ἀθηνᾶς κατασκευάσας ὑφείλετο τὸ χρυσίον ἐκ τῶν δρακόντων τῆς χρυσελεφαντίνης Ἀθηνᾶς, ἐφ᾽ ᾧ κατεγνωσθεὶς ὑπὸ αὐτῶν ὡς κεφαλὴ μῦθος ἀνῃρέθη. Εἶτα Περικλέης φοβηθείς.] εἶτα ὁ Περικλῆς δεδιὼς μὴ τῆς τύχης κοινωνήσῃ αὐτῷ, τουτέστιν εὐλαβούμενος μὴ καὶ αὐτὸς ζημιωθῇ φυγῇ. ἐδόκει γὰρ ὁ Περικλῆς συνεγνωκέναι τῇ κλοπῇ ἐπεὶ καὶ ἐργεπιστάτην περὶ τῶν Ἀθηναίων κεχειροτόνηται φοβηθεὶς οὖν αὐτὸς διελεγχθῆναι τὰς κλοπὰς, ἐκίνησε τὸν Πελοποννησιακὸν πόλεμον, ἐλπίσας περιοχῇ γενομένης καὶ περὶ τὸν πόλεμον ἀσχοληθέντων Ἀθηναίων εὐθύνας μὴ ἔχειν. Τὸν αὐτοδάξ.] τὸν ἐμπεσόντα καὶ δάκνοντα. αὐθάδη. ὀργίλον. ἐπεὶ οἱ ὀργίλοι δάκνουσι τοὺς ὀδόντας. οὐδὲν ἢ δάκνειν βλέποντα.

BISET. Τὸν αὐτοδάξ περὶ τοῦ Σ. καλῶς γράφεται αὐτόδαξον τρόπον. αὐτοδὰξ γὰρ ἐπιρρηματικῶς γράφετ' ἰον, λυτέον αὐτοῖς τοῖς ὀδοῦσιν. ἀλλὰ τὰ παλαιὰ σχόλια, δεῖ μεταρρυθμίζειν ἐν τοῖς, δάκνουσι τοὺς ὀδόντας. καὶ γὰρ λυτέον, ὡς καὶ περὶ τοῦ Σ. δάκνουσι τοῖς ὀδοῦσι.

CHR. Φειδίας πράξας κακῶς.] Peloponnesiaci belli causam à Phidia vsque arcessit, qui temporibus Pythodori Archontis (vt ait Philochorus) solertissimus statuarius, cùm Mineruæ statuam cui muneri præerat Pericles ex auro & elephanto fecisset, detracto postea è serpentium squamis auro furti suspectus in exilium missus est (hoc enim ait πράξας κακῶς) & in Elidem secessit Iouem Olympium addicto pretio conflaturus. Maximus Tyrius sermone XVII. vbi disputat, An virtus sit ars, ait ὅμοιον δρᾷς ὡς εἴ τις τὴν Φειδίου φυλάξας τέχνην τὴν ὕλην ἀφελὼν, προσθείη τῇ τέχνῃ τὸ τῆς ὕλης ὄνομα. Quæ verba ad hoc auri furtum suspicor pertinere, præsertim cùm anteà dixerit, Περικλῆς οἴχεται, φεύγει Ἀναξαγόρας. Sunt tamen qui ad Periclem nihil pertinere Phidiam existiment, cùm Phidiæ istud factum septem annis præcesserit initia belli Peloponnesiaci. neque verò laudatus testis Thucydides historiæ non fabularum pater de Phidia tacuisset, si vero id simile fuisset. vt vt res gesta fuerit, magna fuit prudentia & cautio magni viri Periclis, qui seu repetundarum reus futurus seu rationum reddendarum metuens, aliò traduxit Atheniensium mentes, & bello Megarensi implicauit: Huius consilij perhibetur auctor puellus adhuc & teneræ ætatis Alcibiades, vt rectè censuerit Aristoteles in Politicis, Ex assentatorum populi improbitate sæpe mutari statum ciuitatis. Sanè huius astutiæ non leuia in rebus Gallicis visuntur imitamenta. Neque desunt nobis Periclei non sanè περὶ κλέους, sed κλήρου βασιλικοῦ certantes, & omnia in peius ruituras, susque dèque habentes. De Pericle & causa belli Peloponnesiaci præter Plutarchum in Periclis vita, & Diodorum lib. XII. pretium erit operæ legere Athenæum lib. 5. Philosophici conuiuij. At de decreto in Megarenses facto A. Gellius lib. VI. retulit, & hic noster in Acharnensibus plura. sed sanè non satis honestam de Aspasia scortisque belli causam prætexuit, etsi vetus est vel si ab Helenæ ouo ordiaris. Τὰς φύσεις ὑμῶν.] Cùm loquatur Mercurius, non dubium est; mihi quidem, quin legendum sit ὑμῶν, vt ad Try-

A geum & Athenienses potius referatur. Αὐτόδαξ τρόπον.] Malè apud Sudam αὐτόδαξον, est enim adverbialiter dictum, vt illud ὀδὰξ λαζοίατο γαῖαν. Aliàs significat πάνυ & πρόχειρα, quæ non malè huic loco quadrabit interpretatio, vt ἀψίκορον φύσιν innuat, & ingenium quod amata relinquere pernix. Tamen Glossographum secutus ὀργίλον & αὐθάδη intellexi cùm verti mores iritabiles.

Σχόλια. Εμβαλὼν σπινθῆρα.] ἐπεὶ ψήφισμα περὶ
B τῶν Μεγαρέων ὁ Περικλῆς ἔγραψε, μήτε γῆς μήτε λιμένων Ἀττικῶν αὐτοὺς ἐπιβαίνειν. εἰ δὲ μὴ, τὸν ληφθέντα ἀγώγιμον εἶναι. ἐφ᾽ ᾧ κινηθεῖσα πᾶσα ἡ Ἑλλὰς, τὸν πόλεμον ἐποίησε. τινὲς δέ φασιν, ὅτι ἔπληξεν αὐτοὺς, καὶ κατηγόρησεν αὐτῶν ὡς ἁρπασάντων γυναῖκας Ἀθηναίων ἐν ἑορτῇ, συμβαλεῖν αὐτὰς πολεμεῖσθαι. Εξεφύσησε γάρ] ἐξεῤῥίπισεν. ἐτάραξεν. ἐξῆς δὲ ἀπὸ τῆς σπινθῆρος τὸ φυσᾶν ἔλαβε. καπνὸς δὲ, τροπικῶς εἶπεν, ἐπέμεινε δόλῳ τῇ τροπῇ. Ὡς δὴ ἅπαξ τὸ πρῶτον.] οἰκείως πρὸς τοὺς γεωργοὺς λέγων τοιαύταις τροπαῖς ἐχρήσατο. συμβαίνει γὰρ ἐν τῇ συνηθείᾳ τῶν πίθων ἵνα διαρραγῶσι καὶ τούτων τὰ ὄστρακα πλη-
C σιάζοντα, διαρρῆξαι ἕτερον, καὶ τούτων πάλιν τὸν ἐγγὺς. ὥστε πολλὴν γίνεσθαι τὴν βλάβην. τὸ δὲ λεγόμενον τοιοῦτόν ἐστιν, ὡς ἅπαξ ἐκινήθη καὶ συνεταράχθη τὰ πράγματα, τοῦ πολέμου γενομένου, ἐπὶ λῦσαι τοὺς δεσμοὺς αὐτὰ πάντα. καὶ οὕτως ἡ εἰρήνη ἐξαπώλετο. Καὶ πίθος πληγείς.] τὸ λόγον ἐν ἔχει. ἀλλ᾽ ἐξ αὐτοῦ δηλοῖ τοὺς πίθους ὑπὸ τῶν πολεμίων καταγνυσθαι. Προσήκοι.] συγγενὴς εἴη. τὸ γὰρ προσήκοι. λέγεται ἐπὶ τῶν συγγενῶν. διὰ τοῦτο ἐπιλύηκεν οὔτε συγγενὴς ἐκείνης. συγγενῆ δὲ αὐτὴν φησὶν, ἐπεὶ ἅμα τῇ φυγῇ αὐτοῦ, ἡ εἰρήνη ἀνεχώρη-
D σεν. Οὔτε συγγενής.] ἐπεὶ πρώην, οὐδ᾽ ὅπως αὐτῇ προσήκοι Φειδίας ἤκουσεν. πρὸς τὸ προσήκει, τὸ συγγενὴς ἐπήγαγε. προσήκοντες γὰρ λέγονται, οἱ συγγενεῖς. τὸ δὲ ἤκουσεν, οὕτω Φρύνιχος διὰ τοῦ ν ἀναγινώσκει. συγγενῆ δὲ εἶπε τὸν Φειδίαν εἰρήνης, καθὸ τεχνίτης ὁ Φειδίας. εὔμορφος δὲ εἶναι γὰρ ἡ εἰρήνη οὕτω. ὡς πρὸς τὸν Φειδίαν οὖν ἡ καλὰ ξόανα ποιοῦντα.

CHR. Εξεφύσησε]Mitè perstat in Metaphora, ἀνεῤῥίπισε dixit Athenæus, nam scintilla vel fomes excitatur. Inde conflagratio per illa ἐξέφλεξε
E τὴν πόλιν, deinde ex igne fumus, vt dixit ille,

Fumat Neptunia Troia.

quod Euripides καπνοῦται in Troadibus. Ex fumo autem lachrymæ. Ηκουσ᾽ ἐψόφησεν.] Conuenit translatio apud vinitores maximè & colonos quos appellat. Nam dum componuntur dolia (quæ apud antiquos testacea fuisse intelligo) sæpè accidit vt nonnulla rumpantur expressu & collisione. sésus autē est. Cùm semel moueri & turbari res cœperunt bello excitato, nemo superfuit qui eas cō-
F poneret. Ita Paci exitium paratum. Sanè arbitror hic pro vite populum, pro doliis offensas populi intelligi: & cùm dixit ἄμπελος videtur voluisse πόλεμος. Sed non satis capio quid velit illud ἤχυσε. Scio pro ἄχυσε intelligi posse; neque deerit auctoritas Grammaticorum in quis Hesychius, deindè ἄχυσε dēso spiritu admitti posset: Imò potius, nisi ψόφησεν facere ἐν διὰ δυοῖν, posset legi ἠχῆσε. Sed verè dicam, non liquet mihi in hoc triuio quam
G viam insistam. Si præeat mihi melior Hermes, & digitum intēdat ad veritatē rei, libēter sequar. Καὶ πίθος πληγείς.] Diphilus comicus fabulam dedit titulo πιθοραύστης. Puto à ruptura doliorum quasi sit πίθων ῥαύστης, nam quod additur hic ὑπ᾽ ὀργῆς, rectè ad ῥαύειν, quæ etiam ab Hesychio exponitur ὀργή, nisi mēdosus locus, & ῥωγὴ, quæ est ῥῆξις.

potius legendum. Προσήκει Φειδίας.] Ex hoc loco & post Suidam Parœmiographi iamdudum prouerbium sustulerunt, doctis viris, vt ego quidem censeo, risum. Sanè enim ad hunc modum facilè reperientur, neque durum esset scribere chiliadas, vt dixit Batauæ gẽtis gloria Desiderius. Quod autem Pacem ait Phidiæ συγγενῆ προσήκειν, id propterea est quòd Pacis ore nihil formosius & speciosius: contrà bellicæ artes faciunt, vt Phidiæ & eiusmodi artificum pereat artificium. Est autẽ A Phidias statuarũ qualis Pax egregius artifex, deinde exsulauit cum Phidia ipsa Pax, & eo secedente abscessit. sic apud Æschuli Prometheũ Vulcanus dictus ipsius Promethei συγγενής, quia sine ignis adminiculo, nihil potest opera fabrilis, quæ cum illo & nascitur & denascitur. Hoc ergo siue prouerbium, siue dictum sic intelligendum, sed sensum aliò detorsit doctissimus Iunius, nec quò voluit Aristophanes.

B

Ερ. Κᾆτ᾽ ἐπειδὴ 'γνωσαν ὑμᾶς αἱ πόλεις ὧν ἤρχετε,
Ἠγριωμένους ἐπ᾽ ἀλλήλοισι καὶ σεσηρότας,
Πάντ᾽ ἐμηχανῶντ᾽ ἐφ᾽ ὑμᾶς τοὺς φόρους φοβούμεναι,
Κἀνέπειθον τῶν Λακώνων τοὺς μεγίστους χρήμασιν.
Οἱ δ᾽ ἅτ᾽ ὄντες αἰσχροκερδεῖς καὶ διειρωνόξενοι,
Τήνδ᾽ ἀποῤῥίψαντες, αἰσχρῶς τὸν πόλεμον ἀνήρπασαν, C
Κᾆτα τἀκείνων γε κέρδη, τοῖς γεωργοῖς ἦν κακά.
Αἱ γὰρ ἐνθένδ᾽ αὖ τριήρεις ἀντιτιμωρούμεναι,
Οὐδὲν αἰτίων ἀνδρῶν γε τὰς κράδας κατήσθιον.
Χο. Ἐν δίκῃ μὲν οὖν, ἐπεί τοι τὴν κορώνεών γέ μου
Ἐξέκοψαν, ἣν ἐγὼ φυτεύσας ἐξεθρεψάμην. D
Τρ. Νὴ Δί᾽, ὦ μέλ᾽, ἐνδίκως δῆτά γ᾽ ἐπεὶ κἀμοῦ λίθον
Ἐμβαλόντες ἑξμέδιμνον κυψέλην ἀπώλεσαν.
Ερ. Κᾆτα δ᾽ ὡς ἐκ τῶν ἀγρῶν ξυνῆλθεν οὑργάτης λεώς,
Τὸν τρόπον πωλούμενος τὸν αὐτὸν οὐκ ἐλάνθανεν,
pariter, compar. Cæterùm vt hic Comicus dixit & ἀναγκάζειν & ἀναγκύπτειν: sic Theophrastus ἐπικύπτειν & ἐπικλίνειν, id est inclinari & conquiniscere. Plato in Phædro ἀνακύπτειν dixit de anima quæ sese erigit. Dubium autem mihi est an de matronis mœchis, an de meretricibus intelligat. Nam magna differentia est. Eruditissimus Dalechampius in Athenæo suo fœminas ἐπὶ τῶν οἰκημάτων (legendum illic censeo ἀπὸ) vertit, fœminis quæ domi sunt, cùm debuerit, meo iudicio, meretricibus. Ait enim illic præstare peccare in togata quàm prætexta, vt ait Horatius. Sanè τὸ οἴκημα esse prostibulum & lupanar sciunt vel mediocriter literas Græcas docti. Τῆς αὐλείας.] Puta τῆς θύρας. Sed cùm αὐλαία sit etiam παραπέτασμα τῆς σκηνῆς, Aulæa dicunt Latini, fortassis eò adlusum.

Σχόλια. Ποίει μηδέν.] μὴ καὶ ταῦτα ὀλίγον χρόνον ποιήσῃς ἡμᾶς ἀπολαῦσαι σου. ἀλλ' εἰς τέλειον φανερὰν ἡμῖν σεαυτὴν ποίησον.

CHR. Ἀλλ' ἀπόφηνον] *Panda* dixi in interpretatione, nam Pandere est τὸ φαίνειν, & inde etymō, neque hoc solùm, sed & Pax indidem. Quin in vetere Glossario Panda dicitur εἰρήνη θεός.

BISET. Τρυχόμεθα] κακοπαθοῦμεν. καταπονούμεθα. ταλαιπωρούμεθα.

CH. Τρία καὶ δέκ' ἔτη.] Durauit tamen amplius bellum Peloponnesiacum, quippe tres nouenarios ex fatali oraculo. Sed Aristophanis temporibus decimus tertius fuit, & Pax illa post Cleonis & Brasidę mortem, pausa tantum belli fuit; &, vt ait prudentissimus scriptor Tacitus, Non tam bellū desierat, quàm pax fieri cœperat. Hac imagine sępe compellimur Franco Galli, qui Paces habuimus belli tantùm pausas. Faxit Deus vt aliquando verā & integram Pacem: Quod vt accidat, nos Trygæi preces tanquam verba solemnia vsurpemus erga summum illum Pacis & belli arbitrum, Deum inquam, παῦσον δ' ἡμῶν τὰς ὑπονοίας, τὰς κομψάς.

Σχόλια. Κορκορυγάς] τὰς βοάς. τὰς ταραχάς, τοὺς θορύβους. Ὑπονοίας] ἵνα μὴ ὑποπτεύωσι τὰς ἀλλήλων σπονδάς.

BIS. Τὰς περικόμψους] τουτέστιν εὐκόσμους, καὶ παγκάλως μεμελετημένας. ἀλλὰ τὸ εἰρωνικῶς λέγεται. ἀντὶ τοῦ κολακευτικάς, ἐπιπλάστους, προσποιητούς, ἀκεστούς πεπλασμένας. Αἷς στωμυλλόμεθα] φλυαροῦμεν. στωμύλος παρὰ τὸ στ. λάλος, πολύκομψος, πιθανολόγος. εὐτράπελος. ψεύδ... τῶν λόγων. ἀπατεών, κόλαξ, φλύαρος, ὅθεν τὸ στωμύλλεσθαι, ἀντὶ τοῦ φλυαρεῖν.

Σχόλια. Μῖξον δ' ἡμᾶς] εἰς φιλίαν. Φιλίας χυλῷ] ὡς ἐπὶ κακυμένων. χυλῷ οὖν τῷ ῥοφήματι. Ἡμῖν ἀγαθῶν] τουτέστιν ἀφθονίαν ἡμῖν τῶν ὠνίων παράσχες. ἁρμόδιον δὲ τοῦτο τῇ Εἰρήνῃ. Σικύων πρῴων] ἐν εἰρήνῃ ὄντες πολλὴν δι' ἐπιμέλειαν καὶ πρῴα σικύα γίνονται. ὅτι δὲ καλοὶ οἱ πρώϊμοι σικύαι καὶ ἡ παροιμία δηλοῖ. ἀρχομένων σικύων, καὶ ληγουσῶν κολοκυνθῶν. Κὰκ Βοιωτῶν γε] ὅτι ὀρνιθοτρόφος ἡ Βοιωτία. καὶ ἐν Ἀχαρνεῦσι φησίν. ὥσπερεὶ χειμὼν πλῆθος ὀρνίθων εἰς τὴν ἀγορὰν φέρων. ὅτι ἐπὶ τοῦ Βοιωτοῦ λέγει. Καὶ Κωπαΐδων] κωπαῒς λίμνη Βοιωτίας, ἐν ᾗ μεγάλαι ἐγχέλεις γίνονται. ὡς καὶ ἐν Ἀχαρνεῦσι. πρέσβειρα πεντήκοντα κωπαΐδων κορᾶν.

BIS. Σπυρίδας] σπυρὶς τὸ τῶν πυρῶν ἄγγος. παρὰ τὸ πυρός, οὗ δεκτικαὶ εἰσὶν αἱ σπυρίδες. Ὀψωνοῦντας τυρβάζεσθαι] τουτέστι περὶ τῶν ὀψωνεῖσθαι, καὶ φιλονεικεῖν. Μορύχῳ] Μόρυχος, Τελέας, Γλαυκέτης, ὀνόματα κύρια. οὗτοι ἐπὶ μαγειρεία διεβάλλοντο. Κατὰ Μελάνθιον] περὶ τούτου ἐν τοῖς ὄρνισι προείρηται. Ὀλοτύζειν]

ἀφανίζειν.

CHR. Σικύων πρῴων.] In Pace multus hortorum cultus, curáque, ita vt maturè cucumeres crescant. πρώϊον & ὄψιον vel ὄψιμον contraria. Hoc præcoquum & tempestiuum, vel festinatè maturū dicitur, illud serotinum. vtitur his vocibus Theophrastus. Magnam autem commendationem esse primorum cucumerum testatur versiculus vulgarius, ἀρχομένων σικύων καὶ ληγουσῶν κολοκυνθῶν. i.
B *Dum nouus est cucumis, dum longa cucurbita desit.* Attici cucurbitas Colocynthas vocant, vt testatur Athenæus libr. 2. vel ex hoc nostro Comico ἐν ὥραις. Nam alij etiam σικύας vocabant, vt & Nicander secundo Georgicorum: σικυοῦ verò nomine & Cucumerem & peponem dixerunt. Καὶ Κωπαΐδων] In Bœotia quæ est alituum ferax & altrix, vt est in Acharnensibus, palus est anguillis abundās, quarum magna est commendatio, & quas apud Athenæum, veteres illi poetæ Epicharmus, Eu-
C bulus, Alexis, & Dorion opere magno laudant. Sunt enim grandes adeò & nitidæ, vt victimarum vicem eas habuerint Bœoti. Imò in Acharnensibus sexennes memorantur, vnde versus ex Æschyli Armorum iudicio lepidè & parodicè interpolatus, πρέσβειρα πεντήκοντα κωπαΐδων κορᾶν, scripserat enim vetus ille poeta Tragicus δέσποινα πεντήκοντα νηρῄδων χορῶν. Cęterum in hanc paludem fertur olim se coniecisse Argynnus puer formosus, vt flammam amoris extingueret quo vrebatur A-
D gamemnon, qui Bœotiam venerat ad venandum reti venerio Argynnum, vt refert Plutarchus in opusculo de Brutorum ratione. Ὀψωνοῦντας.] Propriè & signatè de piscibus obsonari. Plinius lib. 18. cap. 11. ait de panibus aliàs ab obsoniis appellati vt ostrearij ergo pisces obsonium imò ostrea. Nam ὄψον & ὀψάρια, non temerè apud Grçcos reperias aliud esse quàm pisces. Sic post Menandrum Terentius obsonium dixit. sic Æmilius Probus: Sic Lucius ille Madaurensis de Magia su-
E spectus in prima Apologia qua suspicionē magiæ amolitur cùm de piscibus emptis loquitur dixit. Quis enim à Cupediariis obsonare audebit? Sed & in prima Milesia dixi. Siquid obsonare cupis, quod explicat cùm subiicit, qui cœnæ affatim piscatum prospexeramus. Apud Ath. lib. 7. Dipn. cū aliquis quęsisset num ante Sophoclem alius dixisset ἐλλοὺς ἰχθῦς, velut ipse vsurpauit in Aiace μαστιγοφόρῳ. Respondit Zoilus, Ego quidem non sum ὀψοφαγίστατος (verbum hoc vsurpauit Xenophon in ἀπομν.)
F Sed auctor Titanicæ pugnæ siue Eumelus siue Aretinus lib. 2. dixit χρυσώπιδες ἰχθύες ἐλλοί. Sic Philo Iudæus, πρότερον αἰθυιῶν κατοψοφαγοῦσι, quia fulicę & mergi è mari viuunt. Denique vbique ferè ὀψοφάγοι sunt φιλίχθυες. Vt mirer nuper extitisse ex Transalpinis hominibus quendam fastuosæ doctrinæ plenum, qui ex hac obseruatione tanquam re noua, & non à Victorio aliisque agitata, memores lectores doctos monuerit. Ipse quidem dudum monitus, multúmque monendus, Priuatas vt quæ-
G rat opes, instar illius Horatiani celsi. Quicquid enim ferè notat, aut notum est, aut notatum fuit: Locos obscuros & intactos ne adit quidem. Quare? Quia Celsi pretereunt obscura poemata Rhamnes. Πεπρᾶσθαι] Differt à πωλεῖσθαι. Est enim quod Galli dicimus *estre liuré*, cùm consistit pretium, & auffert licitator quod pollicitus.

Σχόλια

Σχόλια. Ἐκ Μηδείας.] μὴ πολὺ ἐκ τῆς Εὐριπίδου Μηδείας παραγράφει ἐκεῖνα. ὦ δύστηνος ἐγὼ μελέα τε πόνων, πῶς ἂν ὀλοίμαν. οἱ δὲ αὐτοῦ τοῦ Μελανθίου φασὶν εἶναι Μήδειαν, ἐξ ἧς ταῦτα.

Bisetus. Ἀποχειρωθεὶς] ἐστερημένος τῆς καταίδιαν, ἃς ἤδη ἐν χερσὶν ἔχειν ἐνόμιζε. τὸ δὲ χειρόω, ῶ, καὶ τὸ ἀποχειρόω, ῶ. ἀλλήλων διαφέρουσιν, ὡς τὸ τυγχάνω, καὶ τὸ ἀποτυγχάνω. τὸ γὰρ χειροῦν δηλοῖ τὸ τῇ χερσὶν ἁλίσκειν. τὸ δὲ ἀποχειροῦν, καὶ ἀποχειροῦσθαι λέγεται περὶ τῶν ἐν τῇ χερσί τι πρότερον ἐχόντων, καὶ τούτου ὑπ' ἄλλων ἔπειτα στερουμένων, οἳ τοῦτο ἀπὸ τῶν χειρῶν ἀφαιροῦνται. καὶ ἀποχειροῦσθαι λεγόμεθα ὅταν ἅπερ ἐν ταῖς ἡμῶν χερσὶν εἴχομεν, ἐκ χειρῶν ἢ πίπτειν, ἢ ἀφαιρεῖσθαι ἴδωμεν, ἢ καὶ ὅταν ἡμεῖς τῆς ἐλπίδος ἀποτυγχάνομεν.

Σχόλια. Λοχευομένας.] καὶ ἐν τοῖς Ἀχαρνεῦσιν ἔφαμεν, τοὺς μαγείρους μετὰ τεύτλων ἕψειν τὰς ἐγχέλεις. ἔπαιξε δὲ εἰπὼν λοχευομένας, ἀντὶ τοῦ ἑψομένας. ἡδίστη δὲ ἡ ἔγχελυς ἐν τεύτλοις ἐστίν. Τοὺς δ' ἀνθρώπους ἐπιχαίρειν] τοὺς ὁρῶντας ἐπιχαίρειν αὐτῷ θρηνοῦντι.

CHR. Ολόμαν.) Lege vtrobique ὀλόμαν per o paruum, vt sint Anapæsti. sunt autem qui existiment hęc ex Medea Euripidis esse, vbi habes, Ὦ δύστηνος ἐγὼ μελέα τε πόνων, πῶς ἂν ὀλοίμαν. Ego puto ex ipsius Melanthij Medea quam hic amaro ioco perlinit, sumpta esse, vt non solùm malum esse poetam ostendat, sed raponem & gulosum probet, & in cute curanda plus operatum quàm colendo Apolline. Ἀποχειρωθεὶς.) Sic verti, quasi ploraret Melanthius elapsam è manibus sibi anguillam. Est enim piscis lubricus, & qui facilè capturam fallit: neque tamen malè legeretur ἀποχηρωθεὶς per η. sed sic τὰς λοχευομένας non esset quartus casus pluralis, sed secundus singularis qui Doricè proferendus cum accentu circunflexo τᾶς, &c. Malè enim apud Sudam habes χειρωθεὶς, ἐρημωθεὶς, legendum χηρωθεὶς. Cæterùm vt ex Acharnensium fabula magis patet, anguillæ cum betis coctæ, cibus erat suauissimus. Dixit autem λοχευομένας cùm debuisset ἑψομένας. Antea in eadem Acharn. fabula vocauit ἔγχελυν ἐντετευτλανωμένην. De betarum generibus legendus Athenęus libris 9. & 11. vbi ex Euphorione in ἀποδιδούσῃ ait τεῦτλον vocari etiam σεῦτλον vel σευτλίον, vt φακία πρὸ φακῶν. Notandum quoque ἔγχελυν apud Atticos dici per υ, apud Bœotos per ι paruum. Alexis neutro genere extulit ἐγχέλεια in Vlysse texente. Τοὺς δ' ἀνθρώπους.) Hęc sunt verba non Melanthij sed Trygęi, desinúntque Anapęstici hac coronide. Sequuntur septem Senarij Iambici. Sed non dubito quin ista λαβὲ τὴν μάχαιραν dicantur ex persona Famuli. Notandæ vero rudioribus Græca ἔλλειψις & Atticis familiaris etiam in πεζῷ λόγῳ, phrasis, εἶθ' ὅπως, deest enim & subintelligitur ὅρα vel quid simile.

Bisetus. Ὁ Τρυγαίου θεράπων, καὶ ὁ Τρυγαῖος δεσπότης πρὸς τὴν θυσίαν, ἣν τῇ Εἰρήνῃ ποιεῖσθαι θέλουσιν, ἑαυτοὺς παρασκευάζουσι.

Θε. Λαβὲ τὴν μάχαιραν. εἶθ' ὅπως μαγειρικῶς
Σφάξεις τὴν οἶν. Τρ. ἀλλ' οὐ θέμις. Θε. τιὴ τί δή;
Τρ. Οὐχ ἥδεται δήπουθεν Εἰρήνη σφαγαῖς.
Οὐδ' αἱματοῦται βωμός. ἀλλ' εἴσω φέρων
Θύσας, τὰ μηρί' ἐξελὼν δεῦρ' ἔκφερε
Χ' οὕτω τὸ πρόβατον τῷ χορηγῷ σῴζεται.
Χο. Σὲ δὴ θύρασι χρὴ μένοντα τοίνυν
Σχίζας δευρὶ τιθέναι ταχέως
Τά, τε πρόσφορ' ἅπαντ' ἐπὶ τούτοις.
Τρ. Οὔκουν δοκῶ σοι μαντικῶς τὸ φρύγανον τίθεσθαι;
Χο. Πῶς δ' οὐχί; τί γάρ σε πέφευγ' ὅσα χρὴ
Σοφὸν ἄνδρα. τί δ' οὐ σὺ φρονεῖς ὁπόσα
Ἐστὶ χρεὼν τόν γε σοφῇ δόκιμον
Φρενὶ καὶ πορίμῳ τῇ τόλμῃ.

FA. Ergo accipe clunaclum & immolans sacrem
Macta. TR. sed istud non licet. FA. quid ni licet?
TRY. Nec cade gaudet sancta Pax, nec victimis
Amat cruentis Pacis ara tingier.
Sed sacrifica intus ossa clunium efferens,
Sic prabitori tota seruatur pecus.
CH. Te oportet ergo ianua imminentem
Huc fissa statim ligna reponere, &
Quibus indiget insuper vsus.
TRY. Ecquid vides me fomitem apposisse vatis instar!
CHO. Quidni? quid enim te fugit omnium
Qua scire sagacem opus est an non
In te est quicquid vir habet sapiens
Animo intrepido atq; audenti?

Bisetus. Λαβὲ τὴν μάχαιραν.] ταῦτα ὁ τοῦ Τρυγαίου θεράπων πρὸς τὸν ἑαυτοῦ δεσπότην ὡς τῇ Εἰρήνῃ ἱερουργήσοντα καὶ θυσίαν ποιήσοντα λέγει. Σφάξεις τὴν οἶν] φᾶ τὸ φονεύω, ὅθεν φάζω, ὡς ἐκ τοῦ βῶ τὸ βάζω. καὶ πλεονασμῷ τοῦ σ σφάζω, σφάξω, τὸ κτείνω, καὶ ἀναιρῶ. λέγεται καὶ σφάττω. ἐντεῦθεν τὸ ποιητικὸν, φάσγανον, ἤγουν τὸ ξίφος, ἡ μάχαιρα, οἱονεὶ σφάγανον, ὅτι τούτῳ σφαγὰς ποιούμεθα. ἀντὶ δὲ τοῦ οἶν, τινὲς οἶν γραπτέον οἴονται. ἀλλὰ μηδὲν κίνει. τί δὲ ὁ ὗς, καὶ τί ἡ οἶς, φανερόν. ἡ δὲ τῆς συντάξεως ὁλοκληρεία αὕτη, ὅρα, σκόπει ὅπως τὴν οἶν μαγειρικῶς σφάξεις.

Σχόλια. Οὐχ ἥδεται.] ταῦτα πρὸς τὸ ἔθος: φασὶ γὰρ τῇ τῶν συνοικεσίων ἑορτῇ, θυσίαν τελεῖσθαι Εἰρήνῃ. τὸν δὲ βωμὸν μὴ αἱματοῦσθαι Ἑκατομβαιῶνος μηνὸς ἕκτῃ ἐπὶ ι. τινὲς δέ φασιν ἐκ τῆς παρούσης αἰτίας οὕτως αὐτοὺς θύειν, αἵματος αὐτοὺς ἀπαλλαξάσῃ. ἄλλως. πρὸς σύγκρισιν τοῦ πολέμου καλῶς ἔφησε μὴ χαίρειν τὴν Εἰρήνην σφαγαῖς

μόνοι γὰρ οἱ πολέμιοι αἵμασι καὶ φόνοις χαίρουσι. καὶ τοῦτο οὖν πρὸς σύγκρισιν τοῦ πολέμου, ὃς αἵμασι χαίρει. Οὐδ' αἱματοῦται.] ἐν γὰρ τῇ τῶν συνοικεσίων ἑορτῇ οἱ μέν φασιν Εἰρήνῃ θυσίαν τελεῖσθαι, ἧς ὁ βωμὸς οὐχ αἱματοῦται. οἱ δὲ ἱστοροῦσιν. ὡς ἄρα τότε σώζεται. καὶ ἰδίως ἀναιμάκτῳ Εἰρήνῃ θύουσι. Χ' οὕτω τὸ πρόβατον] διὰ τὸ μὴ θύεσθαι ἐν τῷ θεάτρῳ, ἀλλὰ τὸν χορηγὸν τῷ δοκεῖν θύειν ἀποκερδαίνοντα τὸ θῦμα. τῶν γὰρ ἐντοσθίων αἱρουμένων αὐτῶν τῶν θυόντων, τὸ λοιπὸν σῶμα σώζεσθαι τῷ ἱερεῖ ἐὰν θύσωσι. Τῷ χορηγῷ σώζεται] ἤτοι ὅτι τῶν σπλάγχνων καὶ τῶν ἐντοσθίων ὑφαιρουμένων δοκοῦσι μέρος τι τοῦ ἱερείου κερδαίνειν οἱ θύοντες. Σχίζας.] σχίζας κυρίως ἔλεγον οἱ παλαιοὶ τὰ ἐπὶ τῆς θυσίαις τιθέμενα ξύλα. ὡς καὶ Ὅμηρος. καῖε δ' ἐπὶ σχίζῃ ὁ γέρων. Μαντικῶς τὸ φρύγανον.] οἱ γὰρ ἀπὸ τοῦ πυρὸς μαντευόμενοι τὰ φρύγανα ὑποτιθέασιν εἰς τὸ ἐξάψαι κατ' ἐπιστήμην τὴν ἑαυτῶν. Πῶς δ' οὐχί.] τοῦτό φησιν, ἐπεὶ ὑπέβαλε φρύγανα πρὸς τὸ ἀνάψαι, ὡς οἱ μάντεις. αὐτοὶ γὰρ ἐπ' αὐτοῖς καὶ τὰ φρύγανα τιθέασι πρὸς ἐπιστήμην αὐτῶν. Ὅσα χρή.] οὐ γὰρ ποιεῖς ὅσα χρὴ τοὺς ἐπιστήμονας.

CHR. Σὲ δὴ θύραζε.] Hic versus videtur esse Trimeter Iambicus Catalecticus, sequentes duo Anapæstici, sed videndum an θύραζε sit ex ἐποίουν, vt suprà. Σχίζας.] Sic antiqui vocabant propriè ligna quæ sacrificiis adhibebantur quæ fissilia (inde enim etymon σχίζειν) & vstilia erant. Hom. καῖε δ' ἐπὶ σχίζῃ ὁ γέρων. Τὸ φρύγανον.] Ignispices & Pyromanticæ artis periti, vt flammam excitarent, cremia vel φρύγανα supponebant quæ fomitum instar erant, & velut stipulę vel stuppæ statim flammam concipiebant, & sic σχίζας accendebant, τὸ φρύγανον medium est aliquid inter fruticem & arborem quasi Althea, & dictum ἀπὸ τοῦ φρύγειν quod torrere est. Inde enim fruges quæ primùm bruges & frumenta quæ antiqui torrebant. Πείσιμος τόλμη] Sic Æschylus Prometheo Desmota dixisse videtur ἄπορα πόριμος. Est enim propriè πόριμος perrumpere amans Horatio, vel etiam peruius.

Τρ. Ἡ σχίζα γοῦν ἐνημμένη, τὸν Στιλβίδην
πιέζει,
Καὶ τὴν τράπεζαν οἴσομαι, καὶ παιδὸς οὐ δεή-
σει.
Χο. Τίς οὐκ ἂν ἐπαινέσει-
εν ἄνδρα τοιοῦτον, ὅσ-
τις, πόλλ' ἀνατλάς, ἔσω-
σε τὴν ἱερὰν πόλιν,
Ὥστ' οὐχὶ μὴ παύσει ποτ' ὢν
Ζηλωτὸς ἅπασιν.

TRY. Incensus ecce Stilbidem fomes premit li-
gelli,
Lubetq́; mensam ferre, nec ministro opus est Ca-
millo.
CH. Quis ergo homo non colens
Canat virum eiusmodi?
Qui multa tulit, sacri vt
Salus foret oppidi?
Quare ille semper audiet
Felix apud omnes.

Σχόλια. Στιλβίδην.] ὁ Στιλβίδης, εὐδόκιμος καὶ διαβόητος μάντις, τῶν τοὺς παλαιοὺς χρησμοὺς ἐξηγουμένων. ἀστεῖα ταῦτα δὲ τὸ παρέπλεξε τὴν φλόγα λέγων διὰ τὸ στίλβειν. ἅμα δὲ καὶ σκώπτει τὸν μάντιν Στιλβίδην, ὅν φησι Φιλόχορος ἀκολουθῆσαι ἐν Σικελίᾳ, ἡνίκα ἐπολέμουν Ἀθηναῖοι καὶ ἐν Σικελίᾳ ἐστράτευον. μέμνηται δὲ αὐτοῦ καὶ Εὔπολις Πόλεσιν. ὡς αὖ τίν' ἔλθω δῆτα τοι τῶν μάντεων. πότερος ἀμείνων ἀμφοτέρων, ἢ Στιλβίδης. Πιέζει] λυπεῖ. ὡς λοιπὸν ἐκείνου ἀπορουμένου διὰ τὸ τοῦτον εὐδοκιμῆσαι. Καὶ παιδὸς οὐ δεήσει.] ἐμαυτῷ φησιν ὑπηρετῶ, καὶ χρεία οὐκ ἔσται παιδός. φιλοτιμεῖται δὲ περὶ τὰς ὑπηρεσίας κατὰ πάντα τοῦ Στιλβίδην πλεονεκτεῖν, καὶ θύων καὶ ὑπηρετῶν. ἄλλως. φιλοτιμεῖται περὶ τὰς ὑπηρεσίας, ἵνα κατὰ πάντα τοῦ Στιλβίδην πλεονεκτεῖν δοκῇ. καὶ θύων καὶ ὑπηρετῶν. ἐγὼ οὖν φησιν οἴσω καὶ τράπεζαν ὡς μὴ δεῖσθαι παιδός.

CHR. Τὸν Στιλβίδην πιέζει.] Quia laudauerat ille tantoperè huius solertiam, & sapientem vocauerat, propterea se Stilbidem vocat. Erat autem stilbides vates clarissimus; oraculorum veterum interpres, quem Plutarchus in Nicia hariolum fuisse ait, ipsius Niciæ familiarem, quique multum ei superstitionis detrahebat. Eum hîc obiter tangit Comicus noster tanquam in sacrificando & ministrando φορτικόν. Philochorus ait, eum fuisse in expeditione sicilienſi, cùm Athenienses in Sicilia exercitum haberent. Eius meminit Eupolis in vrbibus, ὡς αὖ τίν' ἔλθω δῆτά σοι τῶν μάντεων, πότερος ἀμείνων ἀμφοτέρων, ἢ Στιλβίδης; Credibile autem est (quod ait Græcus schol.) allusisse Comicum hunc (lego enim apud eum glossographũ παρέπαιξε non παρέπλεξε) ad flammam, quæ cùm sit lucida & στίλβουσα, facetè dicitur στιλβίδης. Verbũ πιέζειν hic est κακοῦσθαι & malè habere, sic enim Theophrastus hæc duo coniungit. Et in Euãgelio est maleficiis onerare, translatiuè à veterinis, vt in Ranis videre est, vbi Xanthias ait πιέζομαι, propriè Maro, ditione premebat: vt qui iniquo põdere premuntur, si onus posuerint verbo σεισαχθείας vti possint, quod verbum Athenienses per hanc Metaphorã solonis diuino commento vsurpauerũt. Καὶ παιδὸς οὐ δεήσει] Notum est etiam Latinos pueri nomen pro ministro vel famulo vsurpasse. Vnde Varro citatur in Marcipore, id est Marci puero, & proinde famulo.

BISETVS. Κορωνὶς ἐκ στίχων πζ.

Θε. Ταυτὶ δέδραται, τίθεσο τὼ μηρὼ λαβών.
Ἐγὼ δ' ἐπὶ σπλάγχν' εἶμι καὶ θυλήματα.
Τρ. Ἐμοὶ μελήσει ταῦτά γ', ἀλλ' ἥκειν ἐχρῆν.
Θε. Ἰδοὺ πάρειμι. μῶν ἐπισχεῖν σοι δοκῶ;
Τρ. Ὄπτα καλῶς νυν ταῦτα, καὶ γὰρ οὑτοσὶ

FA. HÆc sunt peracta, crura iam curãs cape,
Nã viso ad exta, diisq́; pollunctũ paro.
TR. Curabitur, sed ventum oportuit statim.
FA. Mox venio & adsũ, nũ strigans videor tibi?
TR. Nunc illa ritè assare cures, nescio

Προσ-

Προσέρχεται δάφνῃ τις ἐστεφανωμένος.
Τίς ἄρα ποτ' ἐστιν; Θε. Ὡς ἀλαζὼν φαίνεται,
Μάντις τίς ἐστιν; Τρ. Οὐ μὰ Δί', ἀλλ' Ἱεροκλέης.
Θε. Αὐτός γε πού 'σθ' ὁ χρησμολόγος, οὑξ Ὠρεοῦ.
Τί ποτ' ἄρα λέξει; Τρ. Δῆλός ἐσθ' οὗτός γ' ὅτι
Ἐναντιώσεταί τι ταῖς διαλλαγαῖς.
Θε. Οὔκ, ἀλλὰ κατὰ τὴν κνῖσαν εἰσελήλυθεν.
Τρ. Μὴ νῦν ὁρᾷν δοκῶμεν αὐτόν. Θε. Εὖ λέγεις.
Ἱε. Τίς ἡ θυσία ποθ' αὑτηῒ, καὶ τῷ θεῶν;
Τρ. Ὄπτα σὺ σιγῇ, κἄπαγ' ἀπὸ τῆς ὀσφύος.
Ἱερ. Ὅτῳ δὲ θύετ' οὐ φράζεθ'; Τρ. Ἡ κέρκος ποιεῖ
Καλῶς. Θε. Καλῶς δῆτ' ὦ πότνι' Εἰρήνη φίλη.
Ἱε. Ἄγε νῦν ἀπάρχου, κᾆτα δὸς τἀπάργματα.
Τρ. Ὀπτᾶν ἄμεινον πρῶτον. Ἱερ. Ἀλλὰ ταυταγὶ

A *Quis iste lauro qui coronatus venit.*
Quis ille tandem est? FA. quàm videtur arrogans!
Vatem puto esse. TRY. Non is est, sed Hierocles.
FA. Sortilegus ille forsan est ex Oreo:
Quid vult sibi ergo? TR. apparet infestum bonis
B *sentire contra sancta pacis fœdera.*
FA. Minimè, sed illum nidor iste perculit.
Fingamus hunc nos non videre. TRY. Rectè ais.
HIE. Quæ sacra sunt hæc, cui Deo fit victima?
TR. Tu tacitus assans dimoue à lustralibus.
HIE. Dicturin' estis cui litetis? TRY. En benè est
C *De Pene. FA. Amica diua Pax, multum benè.*
HIE. Nunc ergo polluce atq; prosicias dato.
TR. Instare præstat assui prius. HIE. sed hæc

Σχόλια. Ταυτὶ δ' ἕδρα.] κορωνὶς εἰσιόντων ἑτέρων ὑποκειτῶν. οἱ δὲ στίχοι εἰσὶ πζ. ὧν οἱ μὲν κδ' ἰαμβικοὶ τρίμετροι, ἀκατάληκτοι. οἱ ἑξῆς μα' δακτυλικοὶ ἑξάμετροι, ἐξῆς τούτων κῶλον ὅμοιον ἐκ σπονδείων. οἱ ἑξῆς ι δακτυλικοὶ ἑξάμετροι. μεθ' οὓς ἰαμβεῖα ιϛ. ὧν τελευταῖον. ἐπὶ ἀποπιτίσω θᾶττον εἰς ἐλύμνιον. ἐπὶ τῇ ἀποθέσει παράγραφος. ἐπὶ τῷ τέλει κορωνίς. δ' ἕδρα δὲ ἀντὶ τοῦ δέδαρται. καὶ Ὅμηρος. περὶ δ' ἕδρα τὰ σώματα νῆες. ὁ δὲ λόγος ταῦτα πάντα παρεσκεύασται καὶ πέπρακται. Θυλήματα] τὰ τοῖς θεοῖς ἐπιθυόμενα ἄλφιτα. ἐπιρραίνεται δὲ οἴνῳ καὶ ἐλαίῳ. Τηλεκλείδης στεροῖς. ὦ δέσποθ' Ἑρμῆ κάπτε τῶν θυλημάτων.

Bisɛт. Σ. θυλήματα, πέμματα, ἀπαρχαί, ἄλφιτα, ἃ ἔμισγον οἴνῳ, καὶ ἐλαίῳ εἰς θυσίαν ἀναφέροντες.

CHR. Θυλήματα] Farinę sunt quę Diis offerebantur litæ, vino & oleo. Teleclides, στεροῖς ὦ δέσποθ' Ἑρμῆ κάπτε τῶν θυλημάτων, vt antea citauimus. Propterea putant quidam apud Festum legendum pollucere Mercurio, non autem Merces, quasi verò non etiam aliis diis pollu<u>ceretur</u>, vt apud Catonem Ioui dapali, & Varronem, qui polluc̄ti nomen generaliter & largè diffundit, vt docuit doctissimorum maximus Iosephus Scaliger. Μὴ νῦν ἐπιχεῖν.) Exponit Sudas κρατεῖσθαι & βραδύνειν. Propriè est strigare, vt in Aiace Mastigophoro ἐπισχὼν χρυσόνωτον ἵππον. Nam qui strigare volunt aurigæ, habenas retinent (hoc est κρατεῖσθαι) & sic βραδύνουσι. Sic vtraque Sudæ expositio vera.

Σχόλια. Δάφνῃ τις ἐστεφανωμένος.] οἱ ἱερεῖς καὶ οἱ μάντεις δάφνῃ ἐστεφανοῦντο, εἰς γνώρισμα τῆς τέχνης. Ὡς ἀλαζών.] ὡς ἀπὸ τῆς ὄψεως ἀλαζὼν φαίνεται. Ἱεροκλῆς] ὡς ἀπὸ τοῦ ὀνόματος αὐτοῦ γινωσκομένου μᾶλλον, ἤπερ ἀπὸ τῆς τέχνης. οὗτος δὲ μάντις ἦν καὶ χρησμολόγος, τοὺς προγεγενημένους ἐξηγούμενος. ὡς ἀφυῆ δὲ καὶ ἀκερδῆ μάντιν αὐτὸν κωμῳδεῖν βούλεται· καὶ ὅρα πῶς καθαρῶς. ἐκείνου γὰρ εἰπόντος ὅτι μάντις πρόσεισιν, ὁ ἕτερος οὐ συγκατέθετο, ἀλλ' ἔφησεν. οὐ μὰ Δί' ἀλλ' Ἱεροκλῆς ἐστιν. ὡς ἀπὸ τοῦ ὀνόματος αὐτοῦ γινωσκομένου μᾶλλον, ἢ τῆς τέχνης. καὶ Εὔπολις πόλεσιν. Ἱερόκλεες βέλτιστε χρησμῳδῶν ἄναξ. Οὑξ Ὠρεοῦ.] διαβάλλει αὐτὸν ὡς οὐ πολίτην, ἀλλ' Εὐβοέα. διὸ δηλοῖ, ὅτι ὡς ξένος οὐκ εὐνοεῖ τῇ Εἰρήνῃ. Ὠ-

ρεὸς δὲ Εὐβοίας πόλις, ἣν Ὅμηρος Ἱστίαιαν φησίν. Δῆλος ἐσθ' οὗτός γ' ὅτι] προσεποιοῦντο γὰρ περὶ Εὐβοίαν, ὡς ἂν ἧττον προθυμουμένων τῇ Εἰρήνῃ. Κατὰ τὴν κνῖσαν] ὡς διὰ προφάσεως τοῦ σχήματος τῆς μαντείας, ὑπεισιόντος Ἱεροκλέους καὶ μετέχοντος τῶν εὐωχιῶν. Μὴ νῦν ὁρᾷν δοκῶμεν.] μὴ προσποιησώμεθα αὐτὸν ἑωρακέναι. μηδὲ αὐτῷ προσλαλήσωμεν. ἵνα ἀπορηθεὶς, παρέλθῃ μηδὲν ἐνοχλήσας ἡμῖν. Τίς ἡ θυσία] Ἱεροκλῆς ἐπιστὰς ἄκλητος, καὶ ταῦτα περιεργαζόμενος, τίνι οὖν φησὶ τῶν θεῶν. Ὄπτα σὺ σιγῇ.] ἀπαλλαγῆναι αὐτὸν ποιεῖ, μὴ προσέχων, μηδὲ ἀκηκοέναι προσποιούμενος. ἤγουν, μηδὲν ἀποκρίνου πρὸς τὸ ἐρωτηθέν. Ἀπὸ τῆς ὀσφύος.] ἐπὶ τοῦ βωμοῦ τὰ σπλάγχνα ὄπτα ἐν σιγῇ. λέγει οὖν, ἀπὸ τῆς ὀσφύος τὸν ὀβελίσκον ἀπάγαγε. ἤγουν πρόσεχε μὴ ἅψῃ αὐτοῦ. ταύτῃ γὰρ μαντεύονται. εἰς τὸ αὐτό. ἀναχώρει ἀπὸ τῶν ἱερείων καὶ ἀφίστασό φησιν. Ἡ κέρκος ποιεῖ] ἡ οὐρὰ καλὰ σημαίνει. ἔθος γὰρ εἶχον τὴν κέρκον ἐπιτιθέναι τῷ πυρί. καὶ ἐξ αὐτῆς σημείοις τισὶ κατανοεῖν. εἰ εὐπρόσδεκτος ἡ θυσία. καὶ ἄλλα τινὰ πρὸς τὰ νεύματα σημεῖα λαμβάνειν, περὶ τὴν θυσίαν ὁσίως. Τἀπάργματα.] τὰς ἀπαρχὰς ἃς εἰώθασιν οἱ ἱερεῖς λαμβάνειν. ὁ Ἱεροκλῆς ταῦτα σημαίνει.

CH. Ἱεροκλέης.] Ex lauri corona sacerdotem & vatem arguebant, sed nec semper tiara Regem, nec thyrsus Bacchum, nec laurus vatem ostendit. Nam Hieroclem istũ nobiliorem facit ex nomine & vulgi opinione magis quã ab arte. Itaque facetè tãquam ineptum & vanum hariolum perstringit. Cùm enim famulus dixerit, Vatem esse puto, negat Trygæus, atque, Non est vates, sed Hierocles tantùm. Velut si temporibus nostris obuius fiat aliquis ex futilib. istis Nostradamis, & dicat alius, En Prophetã, en Prognosticũ, iurè dixerim, Imò Nostradamus. Sanè enim bonũ vatem esse & Nostradamum non contingit esse in eodẽ subiecto; imò sunt ex diametro cõtraria. Ἐξ Ὠρεοῦ] Oreũ vrbs Bœotiæ quã Homerus Istiẽã vocat. Quia verò Euboici pacẽ non optabant, propterea Hieroclẽ paci aduersantem, non ciuem facit, sed hospitem & exterum, ac verò ex Eubœã. Ἀπὸ τῆς ὀσφύος.] Per ὀσφὺν (quæ vel cum Aristotele, ἰσφὺς vel cum

(margin letters D, E, F, G beside the notes)

Apollodoro ὀσφυὺς) intelligo terga perpetua lustralia, vt diximus in Prometheo Æschyleo. Vult A autem cauere, ne hanc partem tangat hariolus tanquam diuinationi maximè accommodam.

Ηδη 'στιν ὀπτά. Τρ. πολλὰ πράττεις ὅς τις εἶ.
Κατάτεμνε. ποῦ τράπεζα; τὴν σπονδὴν φέρε.
Ιε. Η γλῶττα χωρὶς τέμνεται. Τρ. μεμνήμεθα.
Ιε. Αλλ' οἶσθ' ὃ δρᾶσον. Θε. ἢν φράσῃς. Τρ. μὴ διαλέγου
Νῷν μηδέν. Εἰρήνῃ γὰρ ἱερὰ θύομεν.
Ιε. Ω μέλεοι θνητοὶ καὶ νήπιοι. Τρ. Ες κεφαλὴν σοί.
Ιε. Οἵτινες ἀφραδίῃσι θεῶν νόον οὐκ ἀΐοντες,
Συνθήκας πεποίησθ' ἄνδρες χαροποῖσι πιθήκοις.
Θε. Αἰβοῖ αἰβοῖ. Τρ. τί γελᾷς. Θε. ἥσθην χαροποῖσι πιθήκοις.
Ιε. Καὶ κέπφοι τρήρωνες, ἀλωπεκιδεῦσι πέποιθε.

Satis assa. TR. multa quisquis es satagis nimis:
Age prosecato, vbi ara? libamenta fer.
HIE. Linguam seorsum incidite. TR. memores mones.
HIE. Scin quid tu agas? FA. si dixeris. TR. verbum caue
B *Faxis modo vnum, sacra nam Paci damus.*
HIE. O miseros stultósque homines. TR. Hoc deprecor in te.
HIE. Qui diuôm ignari mentis (socordia tanta est)
Terrificis cum simiolis sic fœdus inijtis.
FA. Papæ. TR. Quid rides? FA. de simiolis metuendis.
HIE. Volpibus atque leues voltis confidere mergi,

C

Σχόλια. Πολλὰ πράττεις.] ἀντὶ πολλὰ ἐργάζῃ καὶ πολυπραγμονεῖς. Γλῶττα χωρὶς τέμνεται.] καὶ τοῦτο παροιμιακὸν ἀπὸ Ομήρου. ἀλλ' ἄγε τέμνετε μὲν γλώσσας, ὥς φησι Καλλίστρατος. καὶ τοῦτο δὲ Ιεροκλέους πρὸς τὸ ἔθος. προειρήκαμεν γὰρ, ὅτι χρησμολόγος Ιεροκλῆς. διόπερ νῦν χρησμοῦ τινος αὐτὸν προσάγει μνημονεύοντα. Ες κεφαλὴν σοί.] ὡς καταρασαμένου αὐτοῦ καὶ βλασφημήσαντος φησίν. εἰς τὴν κεφαλὴν ἔλθοι τὸ δεινόν. τουτέστι σεαυτῷ μάντευσαι ὅπερ εἶπας δυσχερές. μιμεῖται δὲ τοὺς χρησμολόγους. διόπερ νῦν τινος χρησμοῦ μνημονεύει. Οὐκ ἀΐοντες.] οὐ νοοῦντες. οἵτινες διὰ τὴν ἀβουλίαν τὴν ἑαυτῶν τὴν τῶν θεῶν οὐ συνίεντε προνοίας. Χαροποῖσι.] φοβεροῖς. πιθήκοις δὲ τοῖς Λακεδαιμονίοις. ἀντὶ τοῦ εἰπεῖν λέουσιν. Αἰβοῖ. αἰβοῖ.] παρεπιγραφή. ἀκούσαντες γὰρ τοῦ χρησμοῦ ἐγέλασαν. γέλωτος γάρ ἐστι τοῦτο τὸ μίμημα.

CHR. Πολλὰ πράττεις.] curiosum vocat & πολυπράγμονα. Nos lingua vernacula dicimus, *Tu te mesles de beaucoup de choses.* Hoc erat satagere, velut Afer ille apud Fabium Quintilianum Manlium Suram in agendo multum discursantem & salientem non agere, sed satagere dixit. Κατάτεμνε.] Puto hîc loqui Hieroclem, & nihilominus illa ἡ γλῶττα χωρὶς τέμνεται, quod prouerbiale est, ex Homero fluxum, qui Οδυσ. γ. dixit, ἀλλ' ἄγε τέμνετε μὲν γλώσσας, vbi aiunt esse pro fauere linguis. Sanè linguas sacras esse Mercurio etiam testatur Athenæus libr. 1. & Sudas, vbi habes ἡ γλῶττα τῷ κήρυκι τούτων τέμνεται. Quin & Callistratum laudat, quod facit Græcus Scholiastes, vt mihi videatur aliquid deesse in Græcis glossis ex suda petendum, qui nihil aliud in farragine illa sua inculcat quàm quæ ex Aristophanis interprete acceperit. Vide Plutum fabulam, & Erasmum in adagiis, Lingua seorsum inciditur. Interpres Apollonij Rhodij Allegoricam rationem edit, quare linguæ Mercurio sacræ. Αλλ' οἶσθ' ὃ δρᾶσον] Imperatiuus hic videtur esse pro indicatiuo, quod Atticum esse adnotat Corinthus ex Euripidis Hecuba. Sed non malè legatur δράσειν. Sic enim Sophocles, οἶσθ' ὡς ποιήσον. in Oedipo Rege. Sic noster Comicus in Auibus οἶσθ' οὖν ὃ δρᾶσον. genus loquendi frequens Euripidi. Sic Latini, Scis quid facturus. Cæterùm neque malè hæc potius loquatur Trygæus, & νῷν fortassis melius quàm νῶν. Adhuc ambigo. Ες κεφαλὴν σοί.] Deprecatur in illius caput, & hæc est apud Græcos deprecandi vulgaris forma. Alludit autem ad verba exsecrationis quæ habes apud Herodotum Euterpe. Nam Ægyptij sacrificantes, si quid vel sibi vel ipsi Ægypto mali protendebatur, vertatur, aiebant, in caput victimæ, ἐς κεφαλὴν ταύτην τραπέσθαι. Apud Homerum D in vini libatione, deprecationem habemus. Αἰβοῖ.] Interiectio hîc est θαυμαστική, vt quidem puto: Nam quamuis sæpe sit σχετλιαστική, & pro οἴμοι vsurpetur, imò etiam Lætantis, vt in Auium Dramate, tamen etiam τάττεται ἐπὶ θαυμαστοῦ, teste Hesychio. Miror autem Græcum Scholiastam notare hîc esse Parepigraphen, cùm ipsa aliud sit, & interiectio potius sine qua versus modulis suis constat. At hîc non item, vt verear ne olim exscriptor acceperit παρεπιγραφὴν ἀντὶ τοῦ ἐπιφωνήματος. Videtur autem hæc interiectio ex duabus composita αἰ & οἱ, additúmque β, nam αἰ & οἰ in οἴμοι sunt E ah & heu, vel fortassis quia β, antiquum simile erat τῷ μ decurtato: fuerat olim αἶμοι, quod idem cum οἴμοι. Iudicent litterati viri; neque vitio vortant si fortean offendimus in his minutiis.

Σχόλια. Καὶ κέπφοι.] εὐήθες ζῶον ὁ κέπφος. οὗ μέμνηται καὶ Νίκανδρος καὶ Αρατος. περὶ τῶν διοσημείων διαλεγόμενοι. καὶ Καλλίμαχος ἐν τοῖς ἰάμβοις. ἐκ γὰρ τῆς θαλάσσης ζῶον αὐτὸ λέγουσιν, ἐσθίοντα τὸν ἀφρόν. ἔστι δὲ αὐτὸ πολλοῦ μὲν ἐν τοῖς πτεροῖς, ὀλίγον δὲ ἐν τοῖς κρέασι, καὶ κε- F κραγέναι ὠδίνοντα. ὅθεν γέγονε δὴ τὴν παροιμίαν εἴπερ ὀδίνει. ἐπὶ τῶν ἐπαγγελλομένων μὲν μεγάλα, μηδὲν δὲ ἄξιον τῆς ἐπαγγελίας ποιούντων. Τρήρωνες] οὐκ ἐπὶ τοῦ κέπφου. ἀλλὰ καθ' αὑτό. κέμφοι γὰρ οἱ κοῦφοι ἀπὸ τῶν ὀρνέων. ὅθεν καὶ τοὺς ἐλαφροὺς τὰς φρεσὶ, κέπφους καλοῦμεν.

CH. Καὶ κέπφοι] Nô putat Græcus Schol. τρήρωνες Epithetô esse τοῦ κέπφοι, sed absolutè dictum, vt sit sensus, Ita leues & futiles estis, vt tanquâ columbæ simplices vulpibus dolosis fidê habeatis. sed videtur G κέπφοι epitheti esse loco pro κοῦφοι. Nâ ab illis auibus leuissimis dicûtur homines leues & futiles κοῦφοι & κέμφοι. Est autê κέπφος animalculum εὐήθες & εὐτελὲς (vtraque enim lectio apud Grammaticos reperitur, neque hanc in illâ muto, nam & simplex est auicula & vilis nulliúsque ferè cômendationis) è mari

é mari victitans, & spumas esitans. Cæterum plumoso admodũ corpore, sed carne strigosa & quasi ossea. Eum, aiunt, dum parturit clamore littora implere, vnde prouerbium κέπφος ὠδίνει, quod dictum de magnis promissoribus, nihilque adferentibus dignum tanto hiatu. Quale illud, *Parturiẽt montes*, Quod Tarches Rex Ægypti illudẽs Agesilao qui paruus erat & auxilio illi venerat, vsurpauerat per Anapæsticos, ὤδινεν ὄρος, Ζεὺς ἐφοβεῖτο, τὸ δ' ἔτικτεν μῦν, quod scomma non impunè acceptum ab Agesilao. Putem autem (si huius auiculæ etymon rimari etiam mihi liceat) dictum κέπφον quasi κύοντα ἐν φωνῇ. De Ceppho Aratus in Prognosticis, meminit, & Nicander, & verò Callimachus in Iambis. Sed mirum quantum dissident & veteres & recentiores in interpretatione huius vocis. Nam alij mergum, quidam fulicam, non nemo Ardeam: Sunt & qui confundant αἴθυιαν cum laro & gauia. Mihi gauia videtur esse καύηξ, & indidem origo vocis, siue quia καῦρος id est κοῦφος per epenthesim τοῦ κ ab aura, siue ἀπὸ τῆς κάβης, id est τροφῆς, vnde κάπτειν, est enim vorax & αἰσχροφάγος. Larus autem dicta vel quia λάλος, est enim clamosa, vel quasi λάβρος ab impetu vorandi. Qua ratione αἴθυια dici potuit, nam & Erysichthon dictus αἴθων ab ardente fame: etsi quidam à calore αἴθυιαν ἐτυμολογοῦσι. Sunt enim gauiæ aliæ albæ, aliæ fuscæ: & Ardeam fortassis eadem ratione dictam non ineptè existimemus ab ardore, quamuis alij quasi arduam ἀπὸ τοῦ αἴρεσθαι quòd altè volat. Vulgus Græcorum κέπφον hodiéque vocant λοῦφα, sanè detortum ex κοῦφα. Nos Galli fulicam, *Foulque*, inuersè fortassis quasi *Coufe*, id est κοῦφη.

Ὢν δόλιαι ψυχαὶ, δόλιαι φρένες. Τρ. Εἴθε σου ὤφελεν, ὦ 'λαζὼν οὑτοσὶ θερμὸς ὁ πλεύμων.
Ιερ. Εἰ γὰρ μὴ νύμφαι γε θεαὶ Βάκιν ἐξαπάτασκον,
Μηδὲ Βάκις θνητοὺς, μηδ' αὖ νύμφαι Βάκιν αὐτόν.
Τρυ. Ἐξώλης ἀπόλοι' εἰ μὴ παύσαιο βακίζων.
Ιερ. Οὔπω θέσφατον ἦν εἰρήνης δέσμ' ἀναλῦσαι,
Ἀλλὰ τόδε πρῶτον. Τρ. Τοῖς ἁλσί γε πάσσε τουτί.
Ιερ. Οὐ γάρ πω τοῦτ' ἐστὶ φίλον μακάρεσσι θεοῖσιν,
Φυλόπιδος λῆξαι, πρίν κεν λύκος οἶν ὑμεναιοῖ,
Ὡς ἡ σφονδύλη φεύγουσα πονηρότατον βδεῖ,
Χ' ἡ κώδων ἀκαλανθὶς ἐπειγομένη, τυφλὰ τίκτει,
Τουτάκις οὔπω χρῆν τὴν εἰρήνην πεποιῆσθαι.
Τρ. Ἀλλὰ τί χρῆν ἡμᾶς, οὐ παύσασθαι πολεμοῦντας;
Ἢ διακαυνιάσαι, πότεροι κλαυσούμεθα μεῖζον;
Ἐξὸν σπεισαμένοις κοινῇ, τῆς Ἑλλάδος ἄρχειν.

C *Mens animi quibus alta dolis pectúsque. TR. vtinam tu*
Tam caldo pulmone fuas iactator inanis.
HIE. Namque Bacim Nympha nisi decepere docentes,
Nec Bacis ipse homines, si nec Nympha Bacim ipsum.
TRY. Dij te eradicent, nisi desinis vsque bacissans.
D *HIE. Nondum erat in fatis dissolui vincula Pacis,*
Hoc tamen imprimis. TRY. decet hæc sale spargere primum.
HIE. Nondum etenim vt fiat bellorum missio amicum est
Diis superis prius antè lupo quàm nupserit agna.
Vt male olet fugiens & visit putida blatta,
E *Vt generat cæcos properans arguta acalanthis:*
Tempora sic nondum pacis matura fuerunt.
TRY. Quid faceremus enim, non finem imponere bellis?
An sortiri vtri nostrum grauiora dolerent?
Imperium in Græcos fœdus cùm spondeat istud?

Σχόλια. Ὢν δόλιαι ψυχαί.] ἀεὶ τοὺς Λακεδαιμονίους εἰς τοῦτο κωμῳδοῦσιν, καὶ Εὐριπίδης. Σπάρτης ἔνοικοι δόλια βουλευτήρια. Θερμὸς ὁ πλεύμων] κεκαυμένος.] ἐσθίοντες γὰρ τὰ σπλάγχνα θερμὰ ὄντα, τοῦτό φασι πρὸς Ἱεροκλέα. Ἀττικῶς δὲ διὰ τοῦ λ. ὁ πλεύμων. Εἰ γὰρ μὴ νύμφαι.] αἱ ἔφοροι τῆς μαντικῆς νύμφαι. οὕτω δὲ εἶπεν, ὥστε ἔλεγχον ἐξεπαίδευον. Βάκις.] χρησμολόγος ὁ Βάκις. Βάκιδες δὲ τρεῖς. ὧν πρεσβύτατος ἐξ Ἐλεῶνος τῆς Βοιωτίας. ὁ δὲ δεύτερος, Ἀττικός. τρίτος Ἀρκὰς ἐκ πόλεως Καφύης. ὃς καὶ Κύδας ἐκαλεῖτο καὶ Ἀλήτης ὥς φησι Φιλητᾶς ὁ Ἐφέσιος. Θεόπομπος δὲ ἐν τῇ θ. τῶν Φιλιππικῶν, ἄλλα τε πολλὰ περὶ τούτου τοῦ Βάκιδος ἱστορεῖ παράδοξα καὶ ὅτι ποτὲ τῶν Λακεδαιμονίων τὰς γυναῖκας, μανείσας ἐκάθηρεν, Ἀπόλλωνος τούτοις τοῦτον καθαρτὴν δόντος. ἔστι δὲ καὶ ἐπίθετον Πεισιστράτου. Βακίζων.] οἱ μὲν παύσαιο μεμνημένος Βάκιδος. Βάκιδος μνημονεύων. Τοῖς ἁλσί γε.] ἐπίτηδες ἀποκεκομμένος τὸν λόγον λέγει. F φασὶ δὲ, τὰ κρέα χρῆναι πρότερον τοῖς ἁλσὶ παλῦναι τὰ ὀπτημένα. Ὑμεναιοῖ.] εἰς γάμους ἄγοιτο. τὸ ἀδύνατον δὲ εἶπε, διὰ τὸ ὡς ἐχθίστοις λύκοις καὶ ἄνδρασιν ὄρκια πιστά. οὐ δὲ λύκοι τε καὶ ἄνδρες ὁμόφρονα θυμὸν ἔχουσιν. Ὡς ἡ σφονδύλη] σίλφη τίς ἐστιν ἡ σφονδύλη, ἡ δὲ ἐλλὰς προσόμοια, δυσώδης οὖσα. ἄρχεται δὲ ἀδιανόητα λέγειν τοὺς χρησμῳδοὺς μιμούμενος κατὰ τὸ τῶν χρησμῶν λοξόν.

BISETVS. Πιθανώτερον ἴσως εἰ γράψῃς σπονδύλη. σπονδύλη δὲ κατὰ τὸν Ἡσύχιον ἡ φάλαινα παρὰ τοῖς Ἀττικοῖς καλεῖται. τινὲς δὲ τῶν λεξικογράφων καὶ σπονδύλην, καὶ σφονδύλην ταυτὸν εἶναι λέγουσι.

G CHRIST. Ὢν δόλιαι ψυχαί] A dolosa & vulpina mente malè audiebant Lacedæmonij. Nam & Euripides Andromacha, Σπάρτης ἔνοικοι δόλια βουλευτήρια. i. *Sparta incolæ dolosa conciliabula.* Βάκις] Inter hariolos & χρησμολόγους principẽ olim locum obtinuit Bacis. Fuerunt autem tres Baci-

des (quod & Ælianus confirmat in varia Histo- A ria.) Antiquissimus ex Eleone Bœotica, Secundus ex Attica. Tertius ex Arcadiæ ciuitate Capua, qui & Cydas dictus & ἀλήτης. i. erro. vt ait Philetas Ephesius, vbi mendosus fortassis Græcus Scholiastes. nam χύδας melius legeretur pro κύδας, vt sit quasi χυδαῖος qui est veluti ἀλήτης. Theopompum aiunt libr. 9. Philippicarum, de hoc Bacide B multa mira retulisse, præcipuéque purgasse cum Lacedæmoniorum mulieres ex Apollinis numine, qui hunc illis purgatorem dedit. Ab hoc Bacide χρησμολόγῳ responsum olim est Æsopo fabularum scriptori de diuitiis oraculum rogâti, Ἀλλ' ὅταν οἰκήσωσι λύκοι πολιαί τε κορῶναι ἐν ταὐτῷ, τὸ μεταξὺ Κορίνθου καὶ Σικυῶνος, &c. Fuit autem etiam Bacis epitheton Pisistrati. Meminit Bacidos χρησμῳδοῦ & Plato in Theage. Τρυφῶσι] Apud Sudam Prouerbium habes, λύκος οἶν ποιμανεῖ de re impos- C sibili, secundum illud ὡς οὐκ ἔστι λέουσι καὶ ἀνδράσιν ὅρκια πιστά, οὐδὲ λύκοι τε καὶ ἄρνες ὁμόφρονα θυμὸν ἔχουσι. Σφονδύλη] Genus est τίφης vel σίλφης irudini simile, sed mali odoris. Proinde & σίλφιον planta est graueolēs perinde atque Assa teste Aretęo, quod ego miror cùm antiquis fuerit suaue spirãs. Apud Hesychium habes, σφονδύλη, ὅμοιόν τι φασὶ σιλφίῳ τῇ ὀσμῇ φαύλην προΐεμενον, εἴ τις ἅψηται αὐτῆς: Nescio an ausim emendare σίλφη ζωΰφίῳ, vel σιλφίῳ: Sanè enim quid sit σιλφίον iuxtà scio cum imperitissimis. Incipit autem hic ora- D culorum more, res obscuras & φορτικὰς blatterare. Πονηρότατον βδεῖ] Irudini similis est ἡ σφονδύλη. Irudo autem βδέλλα fortassis quia πονηρότατον βδεῖ. Quanquam Grammatici quasi βδάλλουσαν, id est, ἀμέλγουσαν τὸ αἷμα dixerint, vt Nicander καὶ σμικρὰ βδέλλαι ἰὸν γλάγος.

Σχόλια. Χ' ἡ κύδων.] ἀπὸ τοῦ κραυγαστικὸν, ἡ κύων τὸ ζῶον. ἔστι δὲ ἀδιανόητον καὶ τοῦτο, παρὰ τὴν παροιμίαν, ἡ κύων σπεύδουσα τυφλὰ τίκτει. τὸ δὲ ἀκαλανθὶς εἶδος ὀρνέου. τινὲς δὲ, τὸ ἀκαλανθὶς, ὑφ' ἕν. ταύτας δὲ τὰς ἀκαλανθίδας τινὲς βασιλικοὺς ὀνομάζουσι. κύδων δὲ εἶπεν, ὅτι λάλον τὸ ζῶον. ταῦτα δὲ πάντα, ἐπίτηδες ἀσύ- E νετα τοῦτον εἴρηκεν, τὸ ἀσαφὲς τῶν χρησμῶν μιμούμενος. ἐπεὶ καὶ παρ' ἱστορίαν λελέχθαι δοκεῖ. οὐδὲν γὰρ τῶν ζώων ὅτι μὴ κύων, σπεύδουσα τὰς ὠδῖνας, τοὺς σκύμνους τίκτει τυφλούς. Ακαλανθίς.] ὄνομα κυνὸς ἐπισήμου. οἱ δὲ, ὀρνέου. ὁ δὲ νοῦς τοιοῦτος, ὡς φυσικῶς ἀντηλλάχθαι τὰ εἰρημένα οὕτως ἀμήχανα τὰ λεγόμενα. διὸ φασὶ τὴν εἰρήνην, οὐκ ἔδει γενέσθαι.

BISETVS. Ἀκαλανθὶς, εἶδος ὀρνέου, ἡ κύων, ἀπὸ τοῦ ἀκάλλειν ἴσως τοὺς γνωρίμους, ὑλακτεῖν δὲ τοὺς ξένους. Σ. F

Σχόλια. Η διεκαυνιάσασθε.] ἡ διεκληρώσασθε, παρόσον ἐξ ἡμῶν τέλεον διεφθαρμένοι ἔσονται. καῦνον γὰρ τὸν κλῆρόν φασι. καὶ ἐν ἄλλοις. πόθεν ἐστὶ ὁ καῦνος. τὸ δὲ λεγόμενον, τοιοῦτόν ἐστιν, οὐκ ἐχρῆν ἡμᾶς φησὶν καθίστασθαι τὸν πόλεμον οὐδὲ ἐπαίρεσθαι ἀλλὰ φερομένας, ἕως ἂν ἐξ ὑμῶν ἀπόλλυνται. ἄλλως. καυνιάζειν. κληρωθῆναι. ὁ δὲ νοῦς, οὐδ' εἰ ὑμᾶς μὴ εἰρήνην ἄγειν, ἀλλ' ἀκληρωθῆναι. ἐπὶ τῷ γνῶναι τίνες ἡμῶν δυστυχήσουσι, καὶ τῶν πολεμίων. καὶ Κρατῖνος Πυτίνῃ, ἀπὸ σφετέρου τὸν καῦνον ἀειθμήσεις. ἄλλως. ἀντὶ τοῦ κληρωθῆναι. ὡς τῶν καυνίων μάλιστα κωμωδουμένων, καὶ σινιάζειν καὶ βιάζειν. Κοινῆ τῆς Ἑλλάδος.] ἐξ ἀρχῆς γὰρ οἱ Λακεδαιμόνιοι τῆς γῆς ἐκράτουν. οἱ δὲ Ἀθηναῖοι τῆς θαλάσσης.

CHRIST. Χ' ἡ κύδων ἀκαλανθὶς] Acalanthidem alij auem quæ & ἀκανθὶς qui βασιλικὸς, Gallis *Roytelet*, quæ & ἀκανθυλλὶς, & ἀστραγαλῖνος, & Carduelis vet. Glossario. Alij canem faciũt, C aut nomen nobilis canis. Sanè Hesychius vtrumque exponit & celerem canem, & aniculam. Vox autem κύδων pro Epitheto est. Nam vel canem intelligit nictantem & vlulantem acutè instar tubę vel tintinabuli, vel clamosam auem. Neque verò nimis anxiè hæc vestiganda, cùm de industria Comicus ineptum hũc βωμολόχον inducat obscura & sibi ipsi incognita effutientem. Επειγομένη τυφλὰ τίκτει] Nullum animal præter canem fertur ex festinatione cęcos fœtus edere. Rationem adfert Erasmus in Adagiis. Profectò canem po- D tius esse putem ἀκαλανθίδα cùm Hesychius dicat esse ταχεῖαν κύνα. Antiqui celeriter natos olim vocabant Numerios, & Numeriam propterea Deã indigitabant. Nam numerò aliquid fieri dicebãt cum citò fiebat. Διακαυνιάσαι] Verbum licenter & facetè nouauit. Est autem κληρωθῆναι, sorte duci: Nam καῦνος est κλῆρος, vt alibi dixit πόθεν ἐστὶ ὁ καῦνος; etiam Cratinus Pityna, ἀπὸ σφετέρου τὸν καῦνον ἀειθμήσεις. i. sorticulam, τὸν πάλον. Sic & κυαμεύειν dicebant. Fuit autem in Prouerbium Caunius Amor, de iis qui infelicem Amorem sortiti E sunt, quia Byblis cùm fratrem Caunum perditè amaret, repulsámque à casto iuuene tulisset, sibi ipsa manus intulit. Ab illo Caunus dicta Cariæ insula quæ olim morbosa fuit: vnde citharœdus Stratonicus cùm incolas videret malè habitos & morbum iurantes, dixit salsè & venustè, οἵπερ φύλλων γενεὴ, τοιήδε καὶ ἀνδρῶν. Tamen videntur olim inde fuisse commendabiles ficus. Sed ille qui Cauneas cùm audiuisset, accepit ὁμωνυμίαν vocis contractæ, & putauit sibi dici, Caue ne eas, pestilentem fortassis eius gentis regionem F innuebat.

Ιερ. Οὔποτε ποιήσεις τὸν καρκίνον ὀρθὰ βαδίζειν.	*HIE. At nunquam rectà efficias incedere cancrum.*
Τρ. Οὔποτε δειπνήσεις τὸ λοιποῦ γ' ἐν Πρυτανείῳ,	*TRY. Non te post idea victus manet in Prytaneo.*
Οὐδ' ἐπὶ τῷ πραχθέντι ποιήσεις ὕστερον οὐδέν.	*Arsque tua effecta tandem irrita Pace.*
Ιερ. Οὐδέποτ' ἂν θείης λεῖον τὸν τραχὺν ἐχῖνον. G	*HIE. Non facias vnquã vt lēuis fiet asper echinus.*
Τρ. Ἆρα φενακίζων ποτ' Ἀθηναίοις ἔτι παύσει;	*TRY. Nondum etiam hic nostras cessabit fallere Athenas.*
Ιερ. Ποῖον γὰρ κατὰ χρησμὸν ἐκαύσατε μῆρα θεοῖσιν;	*HIE. Quo freti oraclo diuorum incenditis aras?*
Τρ. Ὅνπερ κάλλιστον δήπου πεποίηκεν Ὅμηρος,	*TRY. Quod vates faciens pulchrè respōdit Homerus.*

Σχόλια. Οὔποτε ποιήσεις τὸν καρκίνον.] οὔτε τοὺς Λακεδαιμονίους δηλονότι ὀρθὰ καὶ ἁπλᾶ φρονεῖν. Οὔποτε δειπνήσεις.] ὅτι καὶ οἱ χρησμολόγοι μετεῖχον τῆς ἐν Πρυτανείῳ σιτήσεως, δῆλον ἐκ τοῦ Λάμπωνος, ὃς τούτου ἠξίωτο. φησὶν οὖν, οὐκέτι ἔσται πόλεμος. τούτου γὰρ μὴ ὄντος, οὐδὲν ἐλάμβανεν ἐκ τοῦ δημοσίου σῖτον. ἐπὶ γὰρ τοῦ πολέμου χρεία τῶν μάντεων. Ἐπὶ τῷ πραχθέντι] ἐπὶ τῷ ἱδρύσθαι τὴν εἰρήνην. Τὸν τραχὺν ἐχῖνον] οὐδ᾽ ὑμεῖς φιλίαν πρὸς Λακεδαιμονίους. ἄλλως. κάλλιστα πάμπαν τὸ εἰρημένον εἰς τὸ

A αὐτῶν μεταλλάττειν πρόσωπον. οὐκοῦν φησίν, οὔτε ἡμᾶς πείσαις ἄν ποτε μεταδοῦναί σοι τινός, οὐδ᾽ ἠπίους σοι γεγονέναι, ὥσπερ οὐκ ἄν ποτε λεῖος ὁ τραχὺς ἐχῖνος γένοιτο.

CHRIST. Ἐν Πρυτανείῳ] Harioli & aruspices habebant victum ex publico, vt habuit Lampon, sed præcipuè belli tempore. Nam eorũ tunc vsus erat maximus. Itaque non mirum si Hierocles iste pacem auersatur.

B

Ὡς οἱ μὲν νέφος ἐχθρὸν ἀπωσάμενοι πολέμοιο,
Εἰρήνην εἵλοντο, καὶ ἱδρύσανθ᾽ ἱερείῳ.
Αὐτὰρ ἐπεὶ κατὰ μῆρ᾽ ἐκάη, καὶ σπλάγχν᾽ ἐπάσαντο,
Ἔσπενδον δεπάεσσιν, ἐγὼ δ᾽ ὁδὸν ἡγεμόνευον.
Χρησμολόγῳ δ᾽ οὐδεὶς ἐδίδου κώθωνα φαεινόν.
Ἱερ. Οὐ μετέχω τούτων, οὐ γὰρ ταῦτ᾽ εἶπε Σίβυλλα.
Τρ. Ἀλλ᾽ ὁ σοφός τοι νὴ Δί᾽ Ὅμηρος δεξιὸν εἶπεν, C
Ἀφρήτωρ, ἀθέμιστος, ἀνέστιός ἐστιν ἐκεῖνος,
Ὃς πολέμου ἔραται ἐπιδημίου ὀκρυόεντος.
Ἱερ. Φράζεο δή, μή πως σε δόλῳ φρένας ἐξαπατήσας
Ἰκτῖνος μάρψῃ. Τρ. Τουτὶ μέντοι σὺ φυλάττου.
Ὡς οὗτος φοβερὸς τοῖς σπλάγχνοις ἐστὶν ὁ χρησμός,
Ἔγχει δὴ σπονδήν, καὶ τῶν σπλάγχνων φέρε δευρί.
Ἱερ. Ἀλλ᾽ εἰ ταῦτα δοκεῖ κἀγὼ ᾽μαυτῷ βαλανεύσω.
Τρ. Σπονδή, σπονδή.
Ἱερ. Ἔγχει δὴ κἀμοὶ καὶ σπλάγχνων μοῖραν ὄρεξον.
Τρ. Ἀλλ᾽ οὔπω τοῦτ᾽ ἐστὶν φίλον μακάρεσσι θεοῖσιν,
Ἀλλὰ τόδε πρότερον σπένδειν ἡμᾶς, σὲ δ᾽ ἀπελθεῖν.
Ὦ πότνι᾽ εἰρήνη παράμεινον τὸν βίον ἡμῖν.

Sic inimica illi bellorum nube fugata
Pacem acceperunt, & suppoſuere bidenti:
Ac tandem toſtis ſtrebulis, extiſque comeſis,
Libarunt pateras læti præeunte viam me:
Sed nullum vati memini præbere culignam.
HIE. Hæc ego non capio, nec enim eſt effata Sibylla.
TRY. At ſapiens quondam ritè hoc prædixit Homerus,
Exſors ille domus, paupérque, extorris & exlex,
Quem bellum ciuile iuuat, crudele, nefandum.
HIE. Aſpice, ſis, ne quid per fraudem fraudem frauſus in extis
Subripiat miluus. TRY. quin hæc tua cautio ſola eſt:
D *Nempe iſthuc metuunt oraclum viſcera, verùm*
Infunde huc libamen, & extra huc prouidus infer.
HIE. Si placet hoc vobis, mihi ero meus ipſe miniſter.
TR. Liba liba.
HIE. Funde etiam nobis, extorum & porrice partem.
E *TR. At nondum ſuperis places immortalibus iſtuc,*
Sed libare prius nos expedit, ipſe faceſſe.
O Dea pax tecum da poſſe extendere vitam.

Σχόλια. Ὡς οἱ μέν.] ἅπαντα πάνυ παρέπλεξε τὰ Ὁμήρου. Ἱδρύσανθ᾽ ἱερείῳ.] οὐ χύτραις ὡς ἄνω ἔλεγον. Ὁδὸν ἡγεμόνευον.] τῆς θυσίας ἠρξάμην. Κώθωνα.] νῦν τὸ ποτήριον, ἀλλαχοῦ δὲ κάνθαρον. διὰ δὲ τὸ ἠπορῆσθαι τὸν μάντιν ἐκ τῆς θυσίας αὐτὸν μηδὲν ταύτης ἀπομερίσαι, ἀλλὰ μηδὲ σπονδῆς μεταχεῖν, τοῦτο ἔπαιξε. κώθωνα δὲ λέγει τὸν νῦν λεγόμενον κύαθον εἶδος ποτηρίου λακωνικοῦ μονώτου ὀστρακίνου, ὃν ἱερατικὸν καλοῦσι πολύχειλον. ὅπερ δὲ μεῖζον ὕδωρ ἐλάμβανον οἱ ναῦται, κώθωνας εἶχον. καὶ κωθωνίζω μεθύω ὡς τὸ ἱερὸν δὲ καὶ κωθωνιζόμενος ἀφ᾽ ἡμέρας. Σίβυλλα].οὐ γὰρ εἶπεν ταῦτα παρὰ Σιβύλλῃ τῇ χρησμολόγῳ. ἄλλως. τάς σε φησὶ ταῦτα μὴ ἐπιγινώσκειν. μόνα δὲ εἰδέναι τὰ σιβύλλεια. οὐ γὰρ εἶπε ταῦτα παρὰ Σιβύλλῃ.

CHRIST. Κώθωνα] κώθων vel κύαθος aut κότυλος ſecundum Heſychium genus eſt poculi Laconici teſtacei monotæ. i. vnicam anſam habentis: vocatur etiam ἱερατικὸν πολύχειλον. Sumitur

etiam ἐπὶ τοῦ ἀκράτου & μεθύειν, vnde κωθωνίζειν.
F Puto ego κώθωνα & κυλίχνην, quæ culigna eſt, non multum differre. Οὐ γὰρ ταῦτ᾽ εἶπε Σίβυλλα] Sapit hoc Prouerbium: Et Dion Chryſoſtomus dixit, οὐδ᾽ ἂν ἀληθέστερα εἴποι τῆς Σιβύλλης ἢ Βάκιδος.

Σχόλια. Ἐπιδημίου.] τὸ ἐπιδημίου οὐκ ἔστι πρὸς τὰ προκείμενα, πρὸς ἀλλοχώρους γὰρ ἦν ὁ πόλεμος, ἀλλὰ μᾶλλον πρὸς τὸ πολέμου ἔραται. εἰ μὴ ἄρα τῇ τῶν Ἑλλήνων ὀνομασίᾳ, ἐπιδήμιος δ᾽ ἔξει Λακεδαιμονίοις καὶ Ἀθηναίοις ὁ πόλεμος. Ὡς οὗτος φο-
G βερός.] ἀντὶ τοῦ εἰπεῖν ὁ ἰκτῖνος. χαλεπὸς γὰρ ἐστι τοῖς σπλάγχνοις. ἄλλως. εἰώθασι γὰρ οἱ μάντεις μετὰ τὴν ἔκβασιν τῶν πραγμάτων λέγειν, ὅτι προεῖδον τοῦτο τὸ ἐσόμενον. πρὶν δὲ γενέσθαι οὔτε προείδασιν οὐδὲν οὔτε λέγουσιν. Βαλανεύσω] διακονήσω, ὑπουργήσω, καὶ ἐγχέω ἐμαυτοῦ τῶν σπονδῶν ἀπὸ τῶν ἑαυτοῖς ἐπιχέονται ὕδωρ, ἢ τοὺς βαλανέας κρυπτόντων τῷ πυρί. τὸ δὲ σπονδή, παρεπιγραφὴ ἐν εἰδήσει πάλιν διαπονδῶν.

Ιερ. Πρόσφερε τὴν γλῶτταν. Τρ. Σὺ δὲ τὴν σαυτοῦ γ' ἀπένεγκε. A
Ιερ. Σπονδή. Τρ. Καὶ ταυτὶ μετὰ τῆς σπονδῆς λαβὲ θᾶττον.
Ιερ. Οὐδεὶς δώσει μοι τῶν σπλάγχνων; Τρ. Οὐ γὰρ οἷόν τε
Ἡμῖν πρὶν διδόναι, πρὶν κεν λύκος οἶν ὑμεναιοῖ.
Ιερ. Ναὶ πρὸς τῶν γονάτων. Τρ. Ἄλλως ὦ τᾶν ἱκετεύεις, B
Οὐ γὰρ ποιήσεις λεῖον τὸν τρηχὺν ἐχῖνον,
Ἄγε δὴ θεαταὶ δεῦρο συσπλαγχνεύετε
Μετὰ νῷν. Ιερ. Τί δ' ἔγωγε; Τρ. Τὴν Σίβυλλαν ἔσθιε.
Ιερ. Οὔτοι μὰ τὴν γῆν, ταῦτα κατέδεσθον μόνω,
Ἀλλ' ἁρπάσομαι σφῷν αὐτά, κεῖται δ' ἐν μέσῳ. C
Τρυ. Παῖε παῖε τὸν Βάκιν. Ιερ. Μαρτύρομαι.
Τρυ. Κἀγώ γ' ὅτι τένθης εἶ σὺ κἀλαζὼν ἀνήρ.
Παῖ' αὐτὸν ἐπέχων τῷ ξύλῳ τὸν ἀλαζόνα.
Θε. Σὺ μὲν οὖν, ἐγὼ δὲ τουτονὶ τῶν κῳδίων
Ἃ λάμβαν' αὐτὸς ἐξαπατῶν, ἐκβολβιῶ.
Οὐ καταβαλεῖς τὰ κῴδι' ὦ θυηπόλε; D
Ιερ. Ἤκουσας, ὁ κόραξ οἷος ἦλθ' ἐξ Ὠρεοῦ;
Θε. Οὐκ ἀποπετήσει θᾶττον εἰς Ἐλύμνιον.

HIE. Cedò sis linguam: TR. ipse tuam refer atque remitte.
HIE. Libamen. TR. sed & hac citò cum libamine sume.
HIE. Nemóne exta mihi? TR. nulla id ratione queamus
Ante lupus quàm connubio sib iunxerit agnam.
HIE. At supplex oro. TR. frustra oras supplice voce:
Non facias etenim vt lęuis fiet asper echinus.
Agite ergo qui spectatis huc adeste vos,
Vna exta edemus. HIE. nil ne ego? TR. Sibyllam vt lubet.
HIE. Haud, Ecere, ista soli edetis insimul.
Sed rapiam & ipse quippe quæ in medio iacent.
TR. Feri feri Bacin. HIE. hominum testor fidem.
TRY. At ego quòd es lurco atque vanus arrogans:
Fuste arrogantem reprimens istum feri.
FAM. *Potes quidem istud, ast ego hunc quas accipit*
Deceptor ille ebulbitabo pellibus:
Pellésne haruspex hasce dimissurus es?
HIE. Audin' quis ille coruus est ex Oreo?
FAM. *Non auolabit ocyus in Elymnium.*

Σχόλια. Πρόσφερε τὴν γλῶτταν.] κἀκ τούτου δηλοῖ ὅτι ἰδίᾳ τετμημένη προσεφέρετο ἡ γλῶττα παρὰ τῶν παλαιῶν. Ἀπένεγκε.] ἀπόπεμπε. ἤτοι μὴ νενομισμένην τῶν σπλάγχνων μηδὲ μεταχοῦσαν τῆς σπονδῆς ὡς βλάσφημα καὶ πονηρὰ μαντευομένην. Πρὶν καὶ λύκος οἶν ὑμεναιοῖ] ἀντεμπαίζουσιν αὐτῷ, αὐτοὺς τοὺς στίχους ἀποκειμένοι πρὸς αὐτὸν κατὰ τὰς ἀξιώσεις αὐτοῦ, οὓς ὀλίγῳ πρότερον αὐτοῖς εἶπεν, ἵνα ἐπιτρέποντες ἤδη τὴν εἰρήνην πείθωνται. Ἄλλως ὦ τᾶν.] ἀντὶ τοῦ μάτην. οὐ γὰρ πείσεις. Συσπλαγχνεύετε.] συγγεύεσθε τῶν σπλάγχνων. Ἀλλ' ἁρπάσομαι.] παρεπιγραφή. ταῦτα γὰρ εἰπών, χλευάζει, καὶ ἀναιδῶς ἁρπάζει. καὶ ἐπιδραμοῦντες κατέλαβον καὶ ἐτύπτησαν. Τὸν Βάκιν.] τὸν Βάκιδος χρησμοὺς λέγοντα. τυπτόμενος δὲ λέγει ὁ Ἱεροκλῆς μαρτύρομαι. Τένθης.] λίχνος.] τένθειν γὰρ τὸ ἐσθίειν. Ἃ λάμβαν' αὐτός] ἃ ἐλάμβανεν αὐτός, ὡς τῶν μάντεων ἐξαπατώντων καὶ οὐδὲν ὄντως κερδαινόντων τὰ κῴδια. Ἐκβολβιῶ] ἐξορύξω. ἀπὸ τῶν τοὺς βολβοὺς χαμόθεν ἐκβαλλόντων ἡ μεταφορά. ὑπὸ γῆς γὰρ ὄντες κἀκεῖνο ὀρύσσονται. Ἐξ Ὠρεοῦ] κόρακα εἶπεν ἐπειδὴ ἥρπαζεν. Ἐλύμνιον] Καλλίστρατός φησι τόπον Εὐβοίας τὸ Ἐλύμνιον. Ἀπολλώνιος δέ, ναὸν φησιν εἶναι πλησίον Εὐβοίας. νυμφικὸν δέ τινες αὐτὸ φασιν, ὅτι ὁ Ζεὺς τῇ Ἥρᾳ ἐκεῖ συνεγένετο. μέμνηται καὶ Σοφοκλῆς, πρὸς πέτραις Ἐλυμνίαις. καὶ ἐν Ναυπλίῳ. νυμφικὸν Ἐλύμνιον. E F

G CHRIST. Παῖε παῖε Βάκιν] Hi duo versus videntur esse Trochaici Catalectici, tamen tanquã Iambicos verti, & putaui aut σὺ addẽdum, σὺ παῖε, aut legendum, vt mox postea, παῖ' αὐτόν, &c. Bacin autem vocat qui Bacidem æmulatur & oracula vana deblatterat. Ἐκβολβιῶ] Translatum à cepis & bulbis, qui vt legantur, effodiuntur, dixit ergo ebulbitare pro effodere. Οὐ καταβαλεῖς] Puto positum pro οὐκ ἐκκαταβαλεῖς per aphæresin τοῦ ε. Per θυηπόλον autem aruspicem intelligit. Is enim est qui exta curat, vt augur est auspiciorum. Ἤκουσας] E Versus hîc laudatur ab Æschuli Scholiasta in septem Theb. ad locum illum κτύπον δέδορκα. Notat enim illic translatos esse sensus remotiores ad præsentiores, quia dictum illic δέδορκα non ἤκουσα, hic contra ἤκουσας pro δέδορκας. Ἐξ Ὠρεοῦ.] Oreus oppidum Eubœæ, quod Athenienses in totius Eubœę defectione etiam tenuerunt, cùm res eorum afflictæ & prostratę essent à victoribus Peloponnensibus, vt videre est apud Thucyd. 8. ξυγγραφῆ. Olim quidem eò cum Chalcidensibus & Megarensibus exercitum duxerant ipsi Athenienses, ibi- F que Philistidem tyrannum interfecerant, Oritásque in libertatem asseruerant. Sed sub belli Peloponnesiaci finem, magnam cladem acceperunt, amissis 23. nauibus, & plurimis occidione occisis, pluribus captis, vnde Piræo nauali multùm metuebant, & de Alcibiade reuocando statuerunt. Hoc videtur adludere hic hariolus, & cùm corui mentionem inicit, pugnam & cladem rursus portendere. Ἐλύμνιον] Locus est prope Eubœam au- G ctore Callistrato. Apollonius templũ facit quod νυμφικὸν quidam vocant, quia Iuppiter illic Iunonem. Vnde Theocritus, πάντα γυναῖκες ἴσαντι καὶ ὡς Ζεὺς ἠγάγεθ' Ἥραν. quod mihi prouerbiale videtur, etsi magnum de hoc apud Parœmiographos silentium. Meminit Sophocles, qui ait πρὸς πέτραις Ἐλυμνίαις.

ἐλυμνίαις. Et in Nauplio, νυμφικὸν ἐλύμνιον. Stephanus insulam facit Eubœæ quæ oppidum A habeat, feminino genere ἐλυμνίαν etiam indigitat.

Ὠδὴ, καὶ στροφὴ κώλων ιγ΄.

Χο. Ἥδομαι ἥδομαι,
Κράνους ἀπηλλαγμένος,
Τυροῦ τε καὶ κρομμύων.
Οὐ γὰρ φιλήδω μάχαις,
Ἀλλὰ πρὸς πῦρ διέλκων
Μετ' ἀνδρῶν ἑταίρων φίλων.
Οὐκ ἐᾶς τῶν ξύλων ἅττ' ἂν ᾖ
Δανότατα τοῦ θέρους
Ἐκπεπρισμένα,
Κἀνθρακίζων τοὐρεβίνθου,
Τήν τε φηγὸν ἐμπυρεύων,
Χ' ἅμα τὴν Θρᾷτταν βινῶν,
Τῆς γυναικὸς λουμένης.

CH. *Gaudeo gaudeo,*
Carere capu licet
B *Et caseo & caßide,*
Pugnas enim non amo,
Sed placeret me simul cum
Reliquis esse sodalibus
Vuidis inferentem foco
Vstilia Cocula
Quæ arida presserit
Æstus: Et cicer iuuat me
Vrere, & torrere fagum,
C *Permolentem Threiciam,*
Dum lauat coniux mea.

Σχόλια. Ἥδομαι] κἀνταῦθα παράβασίς ἐστιν. ἀλλ' οὐκ ἔχει πάντα τὰ μέρη. μόνην δὲ τὴν ᾠδὴν καὶ στροφὴν. τὸ ἐπίρρημα. τὴν ἀντῳδὴν καὶ ἀντιστροφὴν καὶ τὸ ἀντεπίρρημα. ἔστι γοῦν τῆς παρούσης ᾠδῆς καὶ στροφῆς τὰ κῶλα ιγ. τὰ α θ χοριαμβικὰ ἡμιόλια. τὰ β γ δ ε ὅμοια ἑφθημιμερῆ ἐξ ἐπιτρίτων. τὸ ς ἀντισπαστικὸν γλυκώνειον. τὸ ζ ὅμοιον ὑπερκατάληκτον. τὸ η παιωνικὸν δίμετρον ἀκατάληκτον. τὰ ι ια τροχαϊκὰ δίμετρα ἀκατάληκτα. τὰ γὰρ λοιπὰ ἑφθημιμερῆ. τὸ τελευταῖον παραγραφέσθω καὶ τῇ ἔσω διπλῇ σημειούσθω. τῇ αὐτῇ καὶ τὸ ἐπίρρημα. τοῦτο δὲ δῆλον ὡς τροχαϊκῶν ἐστι τετραμέτρων ις. ἔχον καὶ ἐν ἐκθέσει κῶλα ὅμοια τρία. πλὴν τοῦ γ δίμετρα ἀκατάληκτα. ὡσαύτως δὲ καὶ τὸ ἀντεπίρρημα. ὑφ' ὃ ἡ ἔξω διπλῆ.

BISETVS. Κράνους ἀπηλλαγμένος] Σ. κράνος, οὐδετέρως, ἐπικεφαλαία.

Σχόλια. Πρὸς πῦρ.] συμπίνω καὶ εὐωχοῦμαι πρὸς τὸ πῦρ. τουτέστι μέσον τῆς οἰκίας καθεζόμενος. Διέλκων] διάγων παρὰ τῇ ἑστίᾳ. ἅμα τε θερμαινόμενος. καὶ τῆς τοῦ θερμοῦ διακονίας πλησίον ὤν.

BISETVS. Τινὲς δὲ ἐνταῦθα οὐ διέλκων, ἀλλὰ διελθὼν γράφουσιν νομίζουσιν, ὅπερ ἐκ τῶν προηγουμένων, καὶ τῶν ἑξῆς ἴσως εἰκάσειας. εἰ δὲ διέλκων γράψῃς, ὑπακουστέον, τὸν χρόνον, ὡς ἐν τῷ διατρίβω. ἤγουν διάγων, καὶ διατρίβων τὸν χρόνον. ἑκατέρας δὲ γραφῆς ὁ αὐτός ἐστι νοῦς. εἰς λόγους μετὰ φίλων ἐλθὼν, φίλοις ἐντυγχάνων, καὶ ταῖς μετὰ τούτων ἐντεύξεσι, καὶ ὁμιλίαις, καὶ φίλαις λόγων κοινωνίαις τὰς τοῦ βίου δυσχερείας, καὶ κακοπαθείας κουφίζων, καταπραΰνων, καὶ τὸν χρόνον οὕτω διάγων. Φιλήδω μάχαις] εὐφραίνομαι, χαίρω, ἥδομαι ταῖς μάχαις. Ἐκκαίας] παίζειν δοκεῖ πρὸς τὸ Ὁμηρικὸν Ὀδ. I.

Ἔνθάδε πῦρ κέαντες ἐθύσαμεν. καὶ Ιλ. I.

Ἐνθάδε πῦρ κήαντο, τίθεντο δὲ δόρπον ἕκαστος.

Εὐστάθιος δὲ τὸ κήαντες ἑρμηνεύει, καύσαντες. ἀπὸ δὲ τοῦ κίω γίνεται κείω, ὃ δηλοῖ τὸ καίω, καὶ τὸ ἀνάπτω. Ἄλλως. τινὲς γράφουσιν, εὖ κεάσας. κεάσαι δὲ κατὰ τὸν αὐτὸν Εὐστάθιον ἐπὶ τῶν ξύλων σημαίνει τὸ κόψαι, ὡς ἐν Ὀδυσσείας Υ.

Εὖ, καὶ ἐπισταμένως κέασεν ξύλα.

Καὶ δανὰ ξύλα, τὰ εἰς τὸ δαίεσθαι, ὅτι καίεσθαι ἐπιτήδεια, τουτέστι ξηρά. ὅθεν τὸ ὑπερθετικὸν, δανώτατα, τραπέντος τοῦ ο εἰς ω κατὰ τοὺς γραμματικοὺς κανόνας. καὶ τὰ ξύλα τὰ εὐκέαστα, τὰ εὔκλαστα, καὶ ξηρὰ, ἃ καὶ κάγκανα, καλεῖται οὕτω. κάγκανα δὲ, παρὰ τὸ καίειν, ἢ καίνειν, ὅτι εἰς τὸ καίεσθαι καίονται, ἤγουν συγκόπτονται. Ἐκπεπρισμένα] ὁ τῶν δὲ ὁ νοῦς ὅδε. τὰ ξύλα καλῶς καίων, ξύλα τοῦ θέρους ἐκκεκομμένα, κεκαθέντα, καὶ σωρευθέντα, ὥστε ἄλλα ὑπ' ἄλλων ἐν τοῖς σωροῖς πιεσθῆναι. οὕτω δὲ δηλοῖ τὰ ξηρότατα ξύλα, καὶ πρὸς τὸ καίεσθαι ἐπιτηδειότατα. ὅπερ συμβαίνει τοῖς ξύλοις τοῦ θέρους ἐκκεκομμένοις, καὶ σωρευθεῖσι, καὶ διὰ τὸ θέρος ξηρανθεῖσι.

παροίνιον κότταβον εἶναι ἀποδιδόασιν, ἐν ᾧ ἐξίσταντο καὶ τῶν σκευαρίων οἱ διακυβεύοντες. ἀπάλλουσι δὲ ἀγκύλην τὴν τοῦ κοττάβου πρόεσιν, διὰ τὸ ἐπαγκυλοῦν τὴν δεξιὰν χεῖρα ἐν τοῖς ἀποκοτταβισμοῖς. καὶ ἀγκυλητοὺς ἔλεγον κοττάβους. ὅτι δὲ ἆθλον προὔκειτο τῷ προϊεμένῳ, προειρήκαμεν. ἐλέγοντο δέ τινες καὶ κατακτοὶ κότταβοι. ἦν δὲ λύχνιον ἀγόμενον, πάλιν τε συμπίπτον, ὑψηλὸν ἔχον τὸν μάνην καλούμενον. ἐφ᾽ ὃν τὴν κυβαλλομένην ἐπιπεσεῖν πλάστιγγα, ἐντεῦθεν δὲ ἐμπίπτειν εἰς λεκάνην ὑποκειμένην πληγεῖσαν τῷ κοττάβῳ. καὶ τις ἦν ἀκριβὴς εὐχέρεια τῆς βολῆς. τοῦ δὲ μάνου πολλοὶ μέμνηνται. ἦν δὲ ἕτερον εἶδος παιδιᾶς τὸ ἐν λεκάνῃ. αὕτη δὲ ὕδατος πληροῦται. ἐπέκειτο δὲ ἐπ᾽ αὐτῇ ὀξύβαφα κενά. ἐφ᾽ ἃ βάλλοντες τὰς λάταγας ἐκ καρχησίων ἐπειρῶντο καταδύειν. ἀνῃρεῖτο δὲ τὰ κοττάβια, ὁ πλείω καταδύσας. ὅτι δὲ τῶν ἐρωμένων ἐμέμνηντο ἀφιέντες ἐπ᾽ αὐτοὺς τοὺς λεγομένους κοττάβους, δῆλον ποιεῖ Ἀχαιὸς καὶ Καλλίμαχος·

Πολλοὶ καὶ φιλέοντες Ἀκόντιον ἧκαν ἔραζε
Οἰνοπόται Σικελὰς ἐκ κυλίκων λάταγας.

Σικελὰς δὲ αὐτὰς, ὡς ἀπεικότως ὠνόμασεν, ἐπεὶ ὡς προείπομεν, Σικελῶν τὸ εὕρημα. καὶ ἐσπούδαστο σφόδρα παρ᾽ αὐτοῖς ὁ κότταβος.

BIS. Ἀλλὰ τί κότταβος, τί κοτταβὶς, καὶ κοτταβίζειν, διὰ πλειόνων Ἀθήναιος ἐν τῷ ἐνδεκάτῳ διδάσκει. ὅπου καὶ ἑρμηνεύει τὸ τῆς λάταγος ὄνομα, λέγων οὕτω καλεῖσθαι τὸ ἐκ τῆς κύλικος ἐκπίπτον ὑγρόν. ἐν δὲ τῷ ιέ. περὶ τούτων ἀκριβέστερον.

CHR. Κατακτῶν κοττάβων] De cottabis nos suprà satis multa. Addemus κατακτοὺς vocatos qui κάτω ἄγονται. Aliud autem est Aristotelis κατακτὸν in Meteoris, vbi distinguit θραῦσιν & κάταξιν. Nam illic fractio est, hîc demissim pendula.

Σαλ. Οἴμοι καταγελᾷς. Τρ. ἀλλ᾽ ἕτερον παραινέσω.
Τὸν μὲν μόλιβδον, ὥσπερ εἶπον, ἔγχεον.
Ἐντευθενὶ δὲ σπαρτίοις ἠρτημένην
Πλάστιγγα προσθεὶς, κἄνπερ σοι γενήσεται
Τὰ σῦκ᾽ ἐν ἀγρῷ τοῖς οἰκέταισιν ἱστάναι.
Κρ. Ὦ δυσμαθάρτε δαῖμον ὅς μ᾽ ἀπώλεσας
Ὅτ᾽ ἀντέδωκά γ᾽ αὐτῇ τῶνδε μνᾶν πόλιν.
Καὶ νῦν τί δράσω; τίς γὰρ αὐτ᾽ ὠνήσεται;
Τρ. Πώλει βαδίζων αὐτὰ τοῖς Αἰγυπτίοις.
Ἔστι γὰρ ἐπιτήδεια συρμαίαν μετρεῖν.
Δο. Οἴμοι ὦ κρανοποιοὶ ὡς ἀθλίως πεπράγαμεν.
Τρ. Οὗτος μὲν οὐ πέπονθεν οὐδέν. Κρ. ἀλλὰ τί
Ἔτ᾽ ἐστὶ τοῖσι κράνεσιν ὅ,τι τις χρήσεται;
Τρ. Ἐὰν τοιαυτασὶ μάθῃ λαβὰς ποιεῖν,
Ἄμεινον ἢ νῦν αὔτ᾽ ἀποδώσεται πολύ.
Κρ. Ἀπίωμεν ὦ δορυξέ. Τρ. μηδαμῶς, ἐπεὶ
Τούτου γ᾽ ἐγὼ τὰ δόρατα ταῦτ᾽ ὠνήσομαι.
Δο. Πόσον δίδως δῆτ᾽; Τρ. εἰ διαπρισθεῖεν δίχα
Λάβοιμ᾽ ἂν αὔτ᾽ ἐς χάρακας ἑκατὸν τῆς δραχμῆς.
Δο. Ὑβριζόμεσθα, χωρῶμεν ὦ ταν ἐκποδών.
Τρ. Νὴ τὸν Δί᾽ ὡς τὰ παιδία γ᾽ ἤδη ᾽ξέρχεται
Οὐρησόμενα τὰ τῶν ἐπικλήτων δεῦρ᾽ ἵνα
Ἅττ᾽ ᾄσεται, προαναβάληταί μοι δοκεῖ.
Ἀλλ᾽ ὅ,τι περ ᾄδειν ἐπινοεῖς ὦ παιδίον
Αὐτοῦ παρ᾽ ἐμὲ στὰν πρότερον ἀναβαλοῦ ᾽νθάδε.
Π. Α. Νῦν αὖθ᾽ ὁπλοτέρων ἀνδρῶν ἀρχώμεθα. Τρ. παῦσαι
Ὁπλοτέρους ᾄδων, καὶ ταῦτ᾽ ὦ τρισκακόδαιμον
Εἰρήνης γ᾽ οὔσης. ἀμαθές γ᾽ εἶ καὶ κατάρατον.
Π. Δ. Οἱ δ᾽ ὅτε δὴ σχεδὸν ἦσαν ἐπ᾽ ἀλλήλοισιν ἰόντες,
Σύν ῥ᾽ ἔβαλον ῥινούς τε καὶ ἀσπίδας ὀμφαλοέσσας.

TY. Rides heu me. TR. at consilium aliud dabo:
Tu nempe plumbum, ut ante dixi, immittito;
Atque hinc patellam pensilem addens spartea
Resti reuinctam, habebis unde seruolis
Ficus in agris possies appendere.
GAL. O impiate dæmon vt per te occidi!
Olim vicem horum quæ vides minam dedi.
Quid nunc miser faciam, quis ista nunc emat?
TR. Facesse in Ægyptum, atque vende Ægyptiis,
Syrmæam vt istæ metiantur cassides.
HAS. Quàm misera nostra est conditio Galeariæ?
TR. At non male isti est. GAL. Sed quis est qui Cassides
Vt tempora hæc sunt vtier posthac volet.
TR. Si discat ansas iste galeis addere,
Tum poterit illas carius diuendere.
GAL. Abeamus ô Hastarie. TR. minimè id quidem,
Nam lubet ab isto præstinare lanceas.
HAS. Quid polliceri vis preti? TRY. Findas modo
Centumque drachma ridicas mox emero.
HAS. Iniuria ista est, quàm citò discedimus?
TR. Nam per Iouem video puerulos egredi
Mictumque euntes, forsan ad conuiuium
Meditata quærunt quæ canant exordia.
At ô puerule carminis si quid paras
Prius hic apud me expertus age nunc incipe.
PVER. Rursus ab armigeris nunc incipiamus. TR. Abi auffer
Cantare armigeros, infelicissime, pacis
Tempore præsertim indocte, exsecrande puelle.
PVER. Illi autem cùm iam propè inirent prælia iuncti,
Abijciunt scuta & clypeos vmbonibus acres.

Σχόλιον. Σπαρτίοις ἠρτημένην] τὸ μὲν τάλαντόν φησιν ἐκδοὺς σπάρτῳ ἠρτημένα τρυτάνῃ γίνεται ἐκ τοῦ αὐλοῦ τῆς

σάλπιγγος. Οὐ ἀντείληφα.] τότε μ' ἀπώλεσας. ὅτι καὶ ἀντὶ τούτων μεταπέπομφα. Συρμαίαν μετρεῖν.] οἱ μὲν ἀξιοῦσι χυλὸν βοτάνης εἶναι τὴν συρμαίαν, ᾗ χρῶνται Αἰγύπτιοι πρὸς διάρροιαν. ἄλλως. φαίνεται ὁ χυλοῦ τῆς συρμαίας πίνειν οἱ Αἰγύπτιοι πρὸς διάρροιαν. ὡς Δίδυμος. σαλμαία ἐκ ῥαφανίδων Αἰγυπτιακὴ, πρὸς κάθαρσιν ἐπιτήδειος.

BISETUS. Συρμαία κατὰ Σουΐδαν, καθαρτικὸν ἐστι πόμα, ᾧ χρῶνται Αἰγύπτιοι. ἅπερ σημασία ἐνταῦθα μᾶλλον προσήκει.

CHR. Καυλὸς σιγῆν ἀσχοληθῆναι.] Si non mendosa est lectio, referendum ad μέλιτος; sed vereor vt legendum sit καυλὸς pro & αὐλὸς, vt sit tubæ tibia. Quanquam neque malè καυλος legatur vt sit σατὴρ, præsertim cùm sequatur ἱστάναι quod est expendere & σταθμίζειν. Etiam aliquando δανείζειν. sanè alteram lectionem videor mihi odorari & augurari ex verbis Græci Glossographi. Sed nec malè καὶ legas pro καὶ εἶτα, & sic contumacem modulo syllabam non habebis. Συρμαίαν μετρεῖν] syrmæa succus est herbæ, qua potione Ægyptij vti solent ad curandas diarrhœas. Herodotus Euterpe συρμαΐζειν dixit pro purgare. Suidas alicubi potionem facit hordeaceam, quin etiam cibum ex adipe & melle. Erotianus ait longam esse ῥαφανίδα, quam quidam cum sale esitantes purgantur, quod & Didymus priùs dixerat. Hinc συρμαϊσμὸς Hippocrati.

Σχόλια. Λαβὰς ποιῶν.] ὥστε εἶναι τοῖς κράνεσιν, ἵνα γένωνται κάδοι. δείκνυσι δὲ τὰ ὦτα αὐτοῦ καὶ ἔστι παρεπιγραφή.

BISETUS. Ὦ δορυξὲ ἀντὶ τοῦ δορυξόος, δορυξὸς, κατὰ συγκοπὴν γίνεται. καὶ ἄνευ τοῦ δορυξοῦ, ἀντὶ τοῦ δορυξόου.

CHR. Λαβὰς ποιῶν.] Ansas galeis fieri vult vt vertantur in cados qui ansati vel auriti erant, vnde Dyotæ dicti Horatio.

Σχόλια. Τουτῳ γ' ἐγὼ τὰ δόρατα.] Ἀττικῶς ἐστι τούτῳ ὠνήσομαι. ἀντὶ τοῦ παρὰ τούτου ὠνήσομαι. Ἀλλ' ᾄσεται] τὸ ἑξῆς. δοκεῖ δέ μοι ἵνα δεῦρο προοιμιάσηται τινα μέλη ᾄδειν καὶ προμελετῆσαι. Νυν αὖθ' ὁπλοτέρων ἀνδρῶν] οὐδὲν ἀσφαλέστερον τῆς εὑρέσεως. δύο γὰρ δῆθεν εἰσάγει παιδία ᾄδοντα, ἵνα ἀφορμὴν σχῇ τοῖς πατράσιν αὐτῶν ὀνειδίζειν καὶ διαβαλεῖν, τὸν μὲν ὡς φιλοπόλεμον ὄντα. τὸν δὲ, ὡς ῥίψασπιν. πρῶτον οὖν πεποίηκε τὸν τοῦ φιλοπολέμου ᾄδον παιδίον. καὶ θαυμασίως πρόσφορα αὐτῷ ἀείδειν πράγματα. ἀρχὴ δὲ τῶν Ἐπιγόνων Ἀντιμάχου. Ὁπλοτέρους] ἀντὶ τοῦ ὅπλον παίζει.

Bis. Ὁπλότερος κυρίως λέγεται ὁ νέος, ὁ τὰ ὅπλα αἴρειν καὶ φέρειν δυνάμενος. σημείωσαι δὲ ὅτι τούτων τῶν παίδων ὁ μὲν πρότερος, παῖς ἐστι Λαμάχου. ὁ δὲ δεύτερος,

A παῖς Κλεωνύμου. διὸ καὶ τὰ τοῦ δράματος πρόσωπα οὕτω δεῖ γράφειν. Π. Λ. ὃ σημαίνει, παῖς Λαμάχου. καὶ Π. Κλ. ὃ δηλοῖ παῖς Κλεωνύμου. ἐκ δὲ τῶν ᾀδομένων ὑφ' ἑκατέρου δῆλον τίς ὁ Λαμάχου, καὶ τίς ὁ Κλεωνύμου. ὁ τοῦ Λαμάχου, ὡς φιλοπολέμου πατρὸς φιλοπόλεμος ὢν παῖς, τὰ πολεμικὰ ᾄδει. ὁ δὲ τοῦ Κλεωνύμου, ὡς δειλὸς, καὶ δειλοῦ, καὶ ῥιψάσπιδος πατρὸς ἔκγονος, τὸν πόλεμον ψέγει, καὶ τὴν φυγὴν καὶ αἰσχρὰν σωτηρίαν ἐπαινεῖ. ἐν τούτοις δὲ τὸ πρέπον φυλάττεται, καὶ τῆς ἑκατέρου φύσεως, καὶ τρόπων ἀληθινοὶ χαρακτῆρες δηλοῦνται. ἄμφω δὲ καὶ ἐν τοῖς ἄνω πολλάκις

B διαβαλλόμενοι κωμῳδοῦνται. Οἱ δ' ὅτε δή.] Ὅμηρος Ιλ. Ζ.

Γλαῦκος δ' Ἱππολόχοιο πάϊς καὶ Τυδέος υἱὸς
Ἐς μέσον ἀμφοτέρων συνίτην μεμαῶτε μάχεσθαι.
Οἱ δ' ὅτε δὴ σχεδὸν ἦσαν ἐπ' ἀλλήλοισιν ἰόντες.

Σὺν ῥ' ἔβαλον] Ιλ. Δ.

Οἱ δ' ὅτε δή ῥ' ἐς χῶρον ἕνα ξυνιόντες ἵκοντο,
Σὺν ῥ' ἔβαλον ῥινοὺς, σὺν δ' ἔγχεα, καὶ μένε' ἀνδρῶν
Χαλκεοθωρήκων. Καὶ τὰ ἑξῆς.

C CHR. Τούτῳ γ' ἐγώ.] Atticè pro παρὰ τούτου, sic Latini *Regnata Lycurgo* pro à Lycurgo, & sic dictum, *dispari domino dominaris.* Χάρακας ἑκατὸν] Sunt pali, ridicæ, vel pedamenta quibus fulcitur vitis. Aliàs χάραξ vallum est militare, quod boni olim & fortes milites patienter etiam per longa itinera portabant, vnde Muli Mariani. Hodie ipsa arma oneri sunt nec honori Neoptolemis nostris, imò etiam ipsis fere lixis & calonibus. Periit enim omnis disciplina militaris, & iusti belli forsitan

D legitimæ causæ. Ὦ τᾶν ἐκ ποδῶν.] Lege ἐκποδὼν Aduerbialiter, & vno verbo. Οὐρησόμενα.] Aut mingunt hîc pueruli, (quemadmodum vertimus) aut potius obseruant & meditantur quæ canenda sunt. Nam οὐρεῖν accipio pro ὁρᾶν quod est φυλάττειν, nisi malumus seruare eos res conuiuarum, quod non puto. Nam & Catullus in Epithalamio pueros canentes inducit & meditantes quod canant. προαναβάλλεσθαι autem est vox cantaturis propria, nam vt antea diximus, ἀναβολαὶ sunt principia carminum, & velut præludia. Et

E mox ἀναβαλοῦ dicet pro incipe. Ingeniosè autem & festiuiter excogitauit puellos duos Lamachi & Cleonymi filios, vt inde occasionem arripiat ipsos insectandi, illum tanquam φιλοπόλεμον, hunc tanquam ῥιψάσπιδα. Vsurpat autem prior puerulus principium Epigonorum Antimachi. Ὁπλοτέρους.] Sic vocantur iuuenes & tyrones qui militię dare nomen incipiunt: Sed quia ab armis ducta vox est quasi armites dicas. Propterea Trygæus abominatur. Lego autem ᾄδων, non εἴδων.

F

Τρ. Ἀσπίδας; οὐ παύσει μεμνημένος ἀσπίδας ἡμῖν;

Π. Λ. Ἔνθαδ' ἅμ' οἰμωγή τε καὶ εὐχωλὴ πέλεν ἀνδρῶν.

Τρ. Ἀνδρῶν οἰμωγάς; κλαύσει νὴ τὸν Διόνυσον
Οἰμωγὰς ᾄδων, καὶ ταύτας ὀμφαλοέσσας.

Π. Λ. Ἀλλὰ τί δῆτ' ᾄδω; σὺ γὰρ εἰπέ μοι, οἷς τινι χαίρεις.

Τρ. Ὡς οἱ μὲν δαίνυντο βοῶν κρέα καὶ τὰ τοιαυτί.
Ἄριστον προὐτίθεντο καὶ ἅττ' ἥδιστα πάσασθαι.

TR. Quid clypeos? pergin' scuta hæc memorare quietus?

PUER. Tum fletus simul atque audiri vota virorum.

TR. Quid fletúsne virûm? per Bacchum, ô pusio, flebis,
Quippe canens fletus lacrymasq́; umbone fluentes.

G *PUER. Quid potius canerem? tu dic quo carmine gaudes.*

TR. Nempe boum carnes epulantur, talia canta.
Instaurantq́; dapes & edulia dulcia mandunt.

Π. Λ.

Π.Λ. Ως οἱ μὲν δαίνυντο βοῶν κρέα. κ' αὐχένας ἵππων A

Ἔκλυον ἱδρώοντας, ἐπεὶ πολέμου ἐκόρεσθεν.

Τρ. Εἶεν, ἐκόρεσθεν, τοῦ πολέμου κατήσθιον.

Ταυτὰ δὴ, ταῦθ' ὡς κατήσθιον κεκορημένοι.

Π.Λ. Θωρήσσοντ' ἄρ' ἔπειτα πεπαυμένοι. Τρ. Ἄσμενοι.

Π.Λ. Πύργων δ' ἐξεχέοντο. βοὴ δ' ἄσβεστος ὀρώρει. B

Τρ. Κάκιστ' ἀπόλοιο παιδάριον αὐταῖς μάχαις,

Οὐδὲν γὰρ ᾄδεις, πλὴν πολέμους τοῦ καί ποτ' εἶ.

Π.Λ. Ἐγώ; Τρ. σὺ μέντοι νὴ Δί. Π.Λ. υἱὸς Λαμάχου.

Τρ. Αἰβοῖ,

Ἦ γὰρ ἐγὼ θαύμαζον ἀκούων εἰ σὺ μὴ ἦς

Ἀνδρὸς βουλομάχου, καὶ κλαυσιμάχου τινὸς υἱός, C

Ἀπέρρε, καὶ τοῖς λογχοφόροισιν ᾆδ' ἰών.

Ποῦ μοι τὸ Κλεωνύμου 'στὶ παιδίον;

Ἆσον πρὶν εἰσιέναι τι, σὺ γὰρ εὖ οἶδ' ὅτι

Οὐ πράγματ' ᾄσει, σώφρονος γὰρ εἶ πατρός.

Π.Κ. Ἀσπίδι μὲν Σαΐων τις ἀγάλλεται, ἣν παρὰ θάμνῳ

Ἔντος ἀμώμητον κάλλιπον οὐκ ἐθέλων.

Τρ. Εἰπέ μοι ὦ πόσθων, εἰς τὸν σαυτοῦ πατέρ' ᾄδεις; D

Π.Κ. Ψυχὴν δ' ἐξεσάωσα. Τρ. Κατῄσχυνας γε τοκῆας,

Ἀλλ' εἰσίωμεν, εὖ γὰρ οἶδ' ἐγὼ σαφῶς

Ὅτι ταῦθ' ὅσ' ᾖσας ἀρτίως περὶ τῆς ἀσπίδος,

Οὐ μὴ 'πιλάθῃ ποτ' αὖ ἐκείνου τοῦ πατρός.

Ὑμῶν τὸ λοιπὸν ἔργον ἤδη 'νταῦθα τῶν μενόντων E

Φλᾶν ταῦτα πάντα καὶ σποδεῖν,

Καὶ μὴ κενὰς παρέλκειν,

Ἀλλ' ἀνδρικῶς ἐμβάλλετε,

Καὶ σμώχετ' ἀμφοῖν ταῖν γνάθοιν.

Οὐδὲ γὰρ ὦ πόνηροι

Λευκῶν ὀδόντων ἔργον ἐστίν,

Ἢν μή τι καὶ μασῶνται.

Χο. Ἡμῖν μελήσει ταῦτα γ', εὖ ποιεῖς δὲ καὶ σὺ φράζων. F

Τρ. Ἀλλ' ὦ πρὸ τοῦ πεινῶντες, ἐμβάλλεσθε τῶν λαγῴων,

Ὡς οὐχὶ πάσας ἡμέρας,

A PVER. Ergo epulabantur taurinam, & fumida equorum

Soluebant colla exsatiati sanguine belli.

TR. Benè satiati prælio, intenti esui.

Hæc sunt canenda, saturitas, esus, dapes.

PVER. Ergo illi pectus saturi munire. TR. lubentes.

B PVER. Turribus hinc sese effundunt, it clamor ad auras,

TR. Putille dî te perduint cum prælijs,

Nihil canentem bella præter: quoius es?

PVER. Egone? TR. te inquam. PVER. filius Trebellij.

TR. Papæ?

Mirabar si non, cum audiui, filius esses

Bellinoli cuiusdam aut certè Lacrymipugni.

Abi ergo & ista prælia hastiferis cane.

C Vbi est mihi alter filius Cleonymi?

Cane igitur aliquid antè quàm ingrederis, nihil

Canes molesti tam cato satus patre.

PV. Scutum aliquis potitur Saius non sponte relictum,

Ad dameta fuit quod mihi labe cavens.

D TR. Dic putille mihi, ánne tuo canis ista parenti?

PV. At seruaui animam. TR. Sed dedecus hocce parentum est:

Intrò est eundum, nam disertim, sat scio,

Quæcunque dixti iam modo ad clypeum canens,

Non posse eiusmodi patrem obliuiscier.

E Nunc nostræ erunt partes vt omnia hæc nos hic manentes,

Rumpamus & teramus, &

Frustra ore nil trahamus:

Incumbite ergo grauiter,

Vtrisq. malis mandite:

Nam vana candidorum

Sunt dentium otia, ô miselli,

Si nil habent edendum.

F CH. Curabimus ritè illa, tu tamen probè mones nos.

TR. Vos qui esuribatis prius lepusculos, adite.

Nam nec licet totos dies

Σχόλια. Ἔκλυον ἱδρώοντας.] ἀπέλυον. ἐξέλυον. εἴρηται ἐν ἐκθέσει στίχοι ἰαμβικοὶ τρίμετροι ἀκατάληκτοι ιβ. Θωρήσσοντ' ἄρ' ἔπειτα.] ἀντὶ τοῦ ἐπίνον παρὰ τὸ εἰς τὸ θώρακα πέμπειν. Ἀσμενοι.] οἶμαι πρὸς τὸ πεπαυμένοι, οὐ πρὸς τὸ θωρήσσοντο. εἰ μὴ ὅτι ὁμωνύμως θωρήσσεσθαι ἔλεγον καὶ πίνειν παρὰ τὸ θώρακα, ὅτι αὐτὸ τὸ ὑποχόνδριον λέγεται. Υἱὸς Λαμάχου.) τοῦ ἀεὶ βουλομένου μάχεσθαι. ἐνέφηξε δὲ παρὰ τὸ τέλος τοῦ Λαμάχου ὀνόματος. τὸ δὲ αἰβοῖ γελῶν λέγει.

Bis. Υἱὸς Λαμάχου.] Λάμαχος δὲ τῶν προηγουμένων ἱκανῶς ἀπαντα δῆλος. τὸ δὲ αἰβοῖ ὁ Τρυγαῖος ἐπὶ τοῦ γελᾶν λέγει. ἀλλαχοῦ δὲ σχετλιαστικόν ἐστιν ἐπίρρημα. Ἀνδρὸς βουλομάχου.] τοῦ ἀεὶ βουλομένου μάχεσθαι. κλαυσίμαχος δὲ, εἴπερ ἡ γραφὴ καλῶς ἔχει, λέγεται παρὰ τὸ G κλαίω, κλαύσω. καὶ οὕτω καλεῖται ὁ ἐν ταῖς μάχαις κλαίων, ἢ φεύγων, ἢ ὁ τοὺς ἄλλους ἐν ταῖς μάχαις κλαίειν ἢ φοβεῖσθαι ποιῶν. τινὲς δὲ παρὰ τὸ κλαυσιγέλων εἰρῆσθαι νομίζουσιν. οὐ χρῆσις ἐν Πλούτῳ, Τὸ θύειν ἄλλως κλαυσιγέλως. λέγει καὶ Σουίδας αὐτομάτῳ ἤχῳ. κλαυσίμαχος οἱ μὲν κατὰ λοῦτες λέγεται οἱονεὶ πολεμόκλονος, ὃ τὰς μάχας ἐν γό-

ματι αἰεὶ ἔχων, καὶ φθεγγόμενος. τινὲς δὲ καὶ καυσίμαχον γράφουσι. παρὰ τὸ καίω, καύσω. ἄλλοι δὲ χρυσίμαχον, ἀπὸ τοῦ χρύσω. ἀλλ' ὁποιασοῦν ἂν εἴη τῆς λέξεως ἐτυμολογία, καὶ γραφὴ, τοῦτο τοῖς ἐπιθέτοις ἄνθρωπον θορυβώδη, τραχώδη, κομπαστικὸν, καὶ ἀλαζόνα σημαίνεσθαι δῆλον. ὁ δὲ τοῦτον νοῦς, ἐστί. Εγὼ γὰρ, ὦ παῖ, τῶν σῶν ᾀσμάτων ἀκούων ἐθαύμαζον εἰ σὺ μὴ εἴης υἱὸς ἀνδρός τινος φιλοπολεμωτάτου, καὶ ὃς αἰεὶ ἐν τῇ βουλῇ δημηγορῶν, ἢ ἐν τῇ γνωμῶν ἀποφάνσει, ἢ ἐν τῇ ψηφοφορίαις οὐδὲν ἄλλο ἢ πολέμους φρονεῖ, πνεῖ, φωνεῖ, καὶ συμβουλεύει, καὶ τοὺς πολίτας τῇ αὐτοῦ λαμπροφωνίαις ἑκάστοτε οἱονεὶ σαλπίζει πρὸς πολέμους ἀκονᾷ, καὶ παρορμᾷ. ἔπαιξε δὲ ὁ ποιητὴς παρὰ τὸ ἔτυμον τοῦ Λαμάχου ὀνόματος. οὕτω καὶ ἐν Αχαρνεῦσι, καὶ μαχῶν, καὶ Λαμάχων ἀπαλλαγείς.

CHR. Ασμένοι.] Hoc referendum est ad πεπαυμένοι, non ad θωρήσσεσθαι, quanquam neque sic malè, & melius fortassis, nam θώρηξις est ebrietas, vox Hippocrati medicorum deo & deorum (quales antiqui paganorum) medico familiaris. Fuit cùm putarem legendum πεπαρμένοι, vt esset idem ac κεκορημένοι, & quasi Echo daret illi responsum ἄσμενοι. Tamen nihil muto, & calidum fortasse nimis hoc inuentum. Coniectura tantum fuit, in quo facile aberrasse à scopo in quem coniicimus: Sanè enim (neque dolo nec ambitione dico) verum vestigo, suspinor, percontor. Is meus est finis. Cæterùm videtur huic versui, vt Hexameter sit, deesse vltimus spondæus, velut οὕτως aut quid simile. Λαμάχου.] Particula λα intentionis est & αὐξήσεως vt βοῦ. Lamachum hunc ex nomine facit βουλόμενον μάχεσθαι. (fuit enim φιλοπόλεμος, cætera vir fortis) Nam λῆς etiam Dores pro βούλει, vel θέλεις vsurpant. Ego audacter satis Trebellium ex Lamacho feci in interpretatione, ad hoc tantum vt ad bellum alluderem.

Σχόλια. Οὐ πράγματ' ἔσεις.] οὐδὲν τῆς εἰρωνίας ἥδιον. καὶ γὰρ ὡς κιναιδιζόμενον τὸν Κλεώνυμον κωμῳδεῖν βούλεται. Ασπίδι μὲν Σαΐων.] καὶ ἐλεγεῖον Αρχιλόχου, καὶ στίχοι ἐπικοὶ β. Αρχιλόχου δέ ἐστι τὸ δίστιχον. οὕτως δὲ ἐγράφη ἐπὶ τῇ ἀπορρίψει τῆς ἀσπίδος. ἐπιτηδείως δὲ καὶ εἰς τὸν πρὸς ῥίψασπιν εἴρηται. ἄλλως. ἀσπίδι μὲν Σαΐων Αρχίλοχος ποιητὴς ἦν καὶ πάντας διέβαλλεν. (Bis. Οθεν ἡ παροιμία. Αρχίλοχον πατεῖς, ἐπὶ τῶν κακηγόρων, καὶ λοιδόρων.)

Καὶ Πίνδαρος Πυθίων ᾠδῇ Β.

> Εἶδον γὰρ ἑκὰς ἐὼν τὰ πόλλ' ἐν
> Εν ἀμαχανίᾳ
> Ψογερὸν Αρχίλοχον βαρυλό-
> Γοις ἔχθεσι πιαινόμενον.

Αλλως. ὅτε ὁ Αρχίλοχος ἐξῆλθεν εἰς πόλεμον ἐν τῇ πρὸς Σαΐους μάχῃ. ἔστι δὲ ἔθνος Θρᾳκικόν. καὶ φοβηθεὶς, ἔφυγε ῥίψας ἑαυτοῦ τὰ ὅπλα. αὐτὸν οὖν διαβάλλων λέγει.

CHR. Ασπίδι μὲν Σαΐων.] Vt suprà puerulus Lamachi incepit à principio Epigonorum Antimachi, puta quia μάχας canebat, sic iste alter Cleonymi ab Archilochi Elegidio, qui poeta melior fuit quàm miles. Nam & ipse suorum vitiorum præco fuit (in quo culpatur à Critia apud Æliaa num,) ac ne turpissimum quidem omnium quod est ignauiæ & imbelliæ ῥίψασπιδος indictum esse voluit. Quod Horatius æmulatus videtur cùm ait in Odis, *Sensi relicta non bene parmula*: illud enim, *Non benè*, ignauiam prodit & facinus ἀμωμητόν. Notum est Archilochum in pugna contra Saos Thraciæ gentem id perpetrasse quod in Elegia sua satis testatur. Ψυχὴν δ' ἐξεσάωσα.] Etiam Archilochi est Hemistichion, initiúmque distichi alterius, quod integrum reperitur apud Plutarchum ad hunc modum,

> Ψυχὴν δ' ἐξεσάωσα φυγών, ἀλλ' ἀσπὶς ὀλέσθω
> Ερρέτω, ἧς αὖθις κτήσομαι οὐ κακίω.

id est,

> *Seruaui fugiens animam, clypeúmque valere*
> *Iussi: haud peiorem nempe parare licet.*

Hinc Demosthenes fugam, vt opinor, suam vnde excusaret habuit: Notum enim illud illius, ἀνὴρ δὲ φεύγων καὶ πάλιν μαχήσεται, id est, *Rursus potest pugnare qui fugit semel.*

Σχόλια. Πόσθων.] ὑποκοριζόμενοι οὕτως ἔλεγον τὰ παιδία. ἢ οὕτω λέγεται τοῦ βρέφους τὸ αἰδοῖον. Εἰς τὸν σαυτοῦ πατέρ' ᾄδεις.] ὦ αἰσχρὲ. εἰς τὸν Κλεώνυμον, ὅτι ῥίψασπις.

Bis. Φλᾶν] φλᾶν ἀντὶ τοῦ μετὰ ψόφου ἐσθίειν. οὕτως ἐν Πλούτῳ,

> Κἀγὼ τότ' ἤδη τῆς ἀθάρης πολλὴν ἔφλων.

ἀλλαχοῦ φλᾶν ἀντὶ τοῦ θλᾶν Αττικῶς. Καὶ σποδεῖν] ταῦτα μεταφορικῶς εἴρηται. σποδεῖν γὰρ κυρίως τὸ τοὺς βωμοὺς καθαίρειν. τούτων δὲ ὁ νοῦς ὅδε, Ημῖν τῶν ἐνθάδε μενόντων τὸ λοιπὸν ἔργον ἐστὶ, ταῦτα πάντα καταφαγεῖν, καὶ τὰς τραπέζας ἀπομάττειν, ὥστε μηδὲν ἔτι περιλείπεσθαι. Κενὰς παρέλκειν.] τὰς γνάθους δηλονότι. Εμβάλλετε, καὶ σμάχετε] Σ. ἐμβάλλεσθαι, τὸ κατεσθίειν. ἐμφορεῖσθαι, ἐμπίμπλασθαι. σμάχειν κατὰ τὸν Ησύχιον, ἐνεργεῖν μετὰ σπουδῆς. ὅθεν τὸ σμάχετε μεταφορικῶς ἀντὶ τοῦ σπουδαίως μασᾶσθαι. ἀλλαχοῦ δὲ σμάχειν, τὸ λοιδορεῖν, ἀπὸ τοῦ καθάπτεσθαι τῶν σμωμένων, ὥς φησι Σουίδας. σμήχειν δὲ, τὸ καθαίρειν, ὥς φησιν Εὐστάθιος. ἀμφότερα δὲ παρὰ τὸ σμῶ.

CHR. Ω πόσθων.] Non solum puerorum τὰ αἰδοῖα, sed & ipsi pueruli sic vocantur, putilli nomine. sic apud Virgilium in Catalectis potus rectè vocatur πόσθων vt notauit Scaliger. Sed profectò dissimulandum non est illic Virgilium de industria breuiasse priorem syllabam τοῦ Potus, & lusisse in homonymia vocis quæ & Bacchum & Venerem (qualis Silenus Bacchicus voluit apud Euripidem) designat. Hesychius non solum πόσθων ait, sed ποσθωνεύς. Quin & σμερδονεὺς & σάθων, quæ omnia sunt ὑποκοριστικὰ & dicta ἐπὶ τοῦ αἰδοίου τῶν παίδων, nisi mendosa illic exemplaria. Καὶ μὴ κενὰς παρέλκειν.] Puto intelligi de maxillis. Nos vernacula lingua dicimus, *Mascher à vuide.* Σμήχετε.] Legitur σμώχετε apud Suidam, quod est μασᾶτε, sed idem etiam σμήχετε. Lego autem sequenti versu οὐδὲν non οὐδέ. Est enim versus Anacreonticus Dimeter Catalecticus.

Πλακοῦσιν ἐστὶν ἐντυχεῖν πλανωμένοις ἐρήμοις.	*Frui placentis dulcibus deserta peruagantes:*
Πρὸς ταῦτα βρύκετ' ἢ τάχ' ὑμῖν φημὶ μεταμελήσειν	*Verùm ista deuorate, mandite, aut vos pœnitebit.*
Εὐφημεῖν χρὴ καὶ τὴν νύμφην ἔξω τινὰ δεῦρο κομίζειν	*Linguis quippe fauendum est, atque huc opus adducere nympham,*

Δᾷδας

Δᾷδάς τε φέρειν, καὶ πάντα λεὼν συγχαίρειν κἀπικελεύειν·	A Et ferre faces, & populum omnem gaudere, deinde iubere.
Καὶ τὰ σκεύη πάλιν εἰς τὸν ἀγρὸν νῦν χρὴ πάντα κομίζειν.	Nunc omnia vasa iterum portanda in agros, omnisq́ supellex,
Ὀρχησαμένους, καὶ σπείσαντας καὶ Ὑπέρβολον ἐξελάσαντας.	Postquam saltatum & libatum est, & Hyperbolus hinc protul actus.
Κἀπευξαμένους τοῖσι θεοῖς	Postquam & superis vota tetulimus,
Διδόναι πλοῦτον τοῖς Ἕλλησι.	Opibus Græcos vt fœlicitent,
Κριθάς τε ποιεῖν ἡμᾶς πολλὰς	B Vt multa ordea suppetant
Πάντας ὁμοίως, οἶνόν τε πολὺν	Pariter nobis, vino & ficubus
Σῦκά τε τρώγειν.	Annus abundet:
Τάς τε γυναῖκας τίκτειν ἡμῖν.	Etiam nobis pariant fœminæ,
Καὶ τἀγαθὰ πάνθ᾽ ὅσα ἀπωλέσαμεν,	Quæcunque etiam bona perdidimus.
Συλλέξασθαι πάλιν ἐξ ἀρχῆς.	Collecta omnia nunc reparentur,
Λῆξαι δ᾽ αἴθωνα σίδηρον.	Et vis ferri fera cesset.
Δεῦρ᾽ ὦ γύναι εἰς ἀγρόν.	Heus tu mulier veni,
Χ᾽ ὅπως μετ᾽ ἐμοῦ καλὴ	Cura pueram meo
Καλῶς κατακείσει.	Toro accubituram.
Ὑμὴν Ὑμέναι᾽ ὦ Ὑμὴν Ὑμέναι᾽ ὦ.	C Hymen Hymenæe ô Hymen Hymenæe.
Ὦ τρισμάκαρ ὡς δικαίως	O te quater ô beatum
Τἀγαθὰ νῦν ἔχεις.	Et meritum hæc bona,
Ὑμὴν Ὑμέναι᾽ ὦ	Hymen Hymenæe ô
Ὑμὴν Ὑμέναι᾽ ὦ	Hymen Hymenæe.
Τί δράσομεν αὐτήν;	Quid ei faciemus?
Τί δράσομεν αὐτήν;	Quid ei faciemus?
Τρυγήσομεν αὐτήν.	Eam ergo metemus?
Τρυγήσομεν αὐτήν.	D Eam ergo metemus?
Ἀλλ᾽ ἀράμενοι φέρωμεν,	Nos altum agite ô feramus,
Οἱ προτεταγμένοι οἱ χορευταὶ ἀναλαβόντες	Quorum ista munia ludi Chorici, agite ergo
Τὸν νυμφίον ὦ ᾽νδρες.	Sponsum accipiamus.
Ὑμὴν Ὑμέναι᾽ ὦ Ὑμὴν Ὑμέναι᾽ ὦ.	Hymen Hymenæe ô Hymen Hymenæe,
Οἰκήσετε γοῦν καλῶς,	Securi habitabitis
Οὐ πράγματ᾽ ἔχοντες,	Turbisq́ carentes,
Ἀλλὰ συκολογοῦντες	Atq́ ficulegentes.
Ὑμὴν Ὑμέναι᾽ ὦ Ὑμὴν Ὑμέναι᾽ ὦ	E Hymen Hymenæe ô Hymen Hymenæe,
Τοῦ μὲν μέγα καὶ παχύ,	Ingentem habet hic quidem,
Τῆς δ᾽ ἡδὺ τὸ σῦκον.	Ficum, illa suauem.
Φήσεις γοῦν ὅταν ἐσθίῃς,	Ac dices vbi sumpseris
Οἶνόν τε πίῃς πολὺν	Multumq́ meri hauseris,
Ὑμὴν Ὑμέναι᾽ ὦ Ὑμὴν Ὑμέναι᾽ ὦ.	Hymen Hymenæe ô Hymen Hymenæe.

Λείπει.	Desunt quædam.
Πλακοῦντας ἔδεσθε.	F Vorate placentas.

Bis. βρύκετ᾽] βρύκειν τὸ τραχέως, καὶ μετ᾽ ἤχου ποιοῦ ἐσθίειν. ὁ αὐτὸς Εὐστάθιος. Ὑπέρβολον] οὗτος δημαγωγὸς ἦν Ἀθηναίων, ὃν ὁ Θουκυδίδης ἐν τῇ η. ἐξωστρακίσθαι λέγει.

CH. Πρὸς ταῦτα βρύκετ᾽] Etiã βρύκειν est λάβρως ἐσθίειν. vsus est Hipponax, καὶ λάγως καταβρύκων. Κἀπευξαμένους] Anapæstici sunt. Propterea legerem εὐξαμένους, sine præpositione ἐπί. Ὦ τρισμάκαρ.] Puto hic chorum loqui, quia mox ait ἀναλαβόντες τὸν νυμφίον, vel quia dicitur τρυγήσομεν αὐτήν, quod etsi abesse à quibusdã exemplarib. Scholia testẽtur Græca, tamen lepida sunt, & ad nomen Trygæi ipsius adludunt, qui ὀπώραν τρυγήσει. Nam ὀπώρα etsi fructus omnes molliores comprehendit, tamẽ pro racemis præcipuè accipitur. Et sic apud Philostratum in Imaginibus, apud quem titulo ξένιον non paruum erit pretium operæ studiosis, ficuum cõmendationem & dignitatẽ legendo agnoscere.

Σχ. Τρυγήσομεν αὐτήν] ἐννοεῖν ὁ φέρεται δύο τὰ μέτρα.

Bis. Τρυγᾶν νῦν μεταφορικῶς λέγεται. ἀντὶ τοῦ διαπαρθενεύειν. Συκολογοῦντες] συκολογεῖν κυρίως τὸ τὰ σῦκα συλλέγειν. ἢ περὶ σύκων λόγους ποιεῖσθαι. ἀλλ᾽ ἐνταῦθα ὁ ποιητὴς κωμικῶς, ὡς εἴωθε, τῇ δὲ τῇ λέξει παίζων ἐχρήσατο G συνουσίαν αἰνίξασθαι βουλόμενος. καὶ γὰρ διὰ τούτων, τὸ μὲν μέγα καὶ παχύ, τὸ τοῦ νυμφίου πέος νοεῖ. σῦκον δὲ καλεῖ τὸ τῆς νύμφης αἰδοῖον.

CH. Τοῦ μὲν μέγα καὶ παχὺ] Nõ obscurũ quid sibi velit, quãuis res in obscuro sitę sint. Et sanè nequitiæ plenus est hic locus: Neque frustra hortorum ille

custos ficulnus factus est. Nos autem εὐφημεῖν καλόν. Itaque finem his Collectaneis faciemus, lectorem obsecrati vt Christiani messoris operam boni consulat, neque vitio vertat, si plurimum spicum in hac messe reliquerit, in quo legendo plus fortassis laudis reportabit, spicilegorum ἐπιθοβάτις, quàm ipsius messoris improbus labor.

ΤΕΛΟΣ. FINIS.

ΑΡΙΣΤΟΦΑΝΟΥΣ ΕΚΚΛΗΣΙΑΖΟΥΣΑΙ.

Ἀριστοφάνους γραμματικοῦ ὑπόθεσις δι' ἰάμβων.

ΕΝ τοῖς Σκίροις τὰ γύναι' ἔκρινεν ἐν στολαῖς
Ἀνδρῶν προκαθίζοντα γινομένης ἐκκλησίας,
Περιθέμεναι πώγωνας ἀλλοτρίων τριχῶν.
Ἐποίησαν οὕτως. ὑστεροῦντες οὖν στολαῖς
Ἄνδρες γυναικῶν ἐκάθισαν καὶ δὴ μία
Δημηγορεῖ περὶ τοῦ λαβούσας τῶν ὅλων
Τὴν ἐπιτροπὴν βέλτιον ἄρξειν μυρίων.
Ἐκύρωσέ τ' εἰς τὸ κοινὸν εἰσφέρειν ὅλα
Τὰ χρήματ' ἄνδρας ὡς κελεύουσι τοῖς νόμοις.

ΑΛΛΩΣ.

Αἱ γυναῖκες συνέθεντο πάντα μηχανήσασθαι εἰς τὸ δόξαι ἄνδρες εἶναι. καὶ ἐκκλησιάζουσαι πεῖσαι παραδοῦναι σφίσι τὴν πόλιν δημηγορησάσης μιᾶς ἐξ αὐτῶν. αἱ δὲ μηχαναὶ τοῦ δόξαι αὐτὰς ἄνδρας εἶναι, τοιαῦται. ἀνδρείαν ἀναλαμβάνουσι στολήν, περιασκήσασαι, καὶ περινοήσασαι τὸ σῶμα ἑαυτῶν, ὡς ὅτι μάλιστα ἀνδρικὸν εἶναι δόξαι, μία δὲ ἐξ αὐτῶν Πραξαγόρα λύχνον ἔχουσα, προέρχεται κατὰ τὰς συνθήκας, καὶ φησὶν ὦ λαμπρὸν ὄμμα.

Νέα τῆς ἐκκλησιαζουσῶν ὑπόθεσις.

Αἱ Ἀττικαὶ γυναῖκες τὰ τῆς πόλεως πράγματα διοικεῖν ἐπιθυμοῦσαι πρὸς τὴν Πραξαγόραν τούτου τοῦ τολμήματος ἡγεμόνα, τῶν ἀνδρῶν ἔτι κοιμωμένων, ἐκ τῶν οἰκιῶν προϊοῦσαι συνέρχονται, ἵνα μετ' αὐτῆς περὶ τῆς πολιτείας μεταβολῆς βουλεύσωνται. Τέλος δὲ βουλευσάμεναι, καὶ τὰς τῶν ἀνδρῶν καθευδόντων ἐσθῆτας λάθρα λαβοῦσαι, καὶ ταύτας ἐνδυσάμεναι, καὶ πώγωνας ἀνδρείους τοῖς προσώποις περιαψάμεναι, καὶ ἐν τοῖς ἄλλοις ἅπασι τὸν κόσμον, καὶ τὸ σχῆμα τῶν ἀνδρῶν ψευσάμεναι εἰς τὴν ἐκκλησίαν οὕτω συνέρχονται. Ἐκεῖ δὲ ἡ Πραξαγόρα τῶν ἄλλων γυναικῶν πολλῷ ἐμπειροτέρα, καὶ περὶ τὸ λέγειν δεινοτέρα, μακρὰν δημηγορίαν ἤδη προμεμελετημένην, καὶ ταῖς γυναιξὶ προδεδηλωμένην, πρὸς τὸν δῆμον ποιεῖται. ταύτης δὲ τὸ κεφάλαιον ἦν. πολλῶν ἕνεκα τὰ τῆς πόλεως πράγματα, καὶ τὴν τούτων διοίκησιν, καὶ ἐπιτροπὴν ταῖς γυναιξὶ δεῖν ἐπιτρέπειν. οὕτω γὰρ τὴν πόλιν εὐδαιμονεστάτην ἔσεσθαι. τούτων δὲ τοῦ δήμου γυναικείοις δόλοις ἀπατηθέντος ψήφοις κυρωθέντων αἱ γυναῖκες τὰ προσωπεῖα, πρόσχημα, καὶ κόσμον ἀνδρεῖον καταθεῖσαι, λάθρα εἰς τοὺς ἰδίους οἴκους ἐπαναχωροῦσιν. Ἐν ταύτῃ δὲ τῇ ἐκκλησίᾳ παρῆν ἀνήρ τις ὄνομα Χρέμης, ὃς τοῖς ἄλλοις ἀνδράσι περὶ τῆς τῶν ἰδίων γυναικῶν νυκτερινῆς ἀπουσίας ἐν ἀλλήλοις μεμφομένοις, καὶ λυπουμένοις, τὰ ἐν τῇ ἐκκλησίᾳ κυρωθέντα δηλοῖ. ἡ δὲ Πραξαγόρα ὡς χειροτονηθεῖσα στρατηγὶς, καὶ τῆς πόλεως κυβερνήτρια τὴν τῆς πολιτείας ἰδέαν, καθ' ἣν εἰς τὸ λοιπὸν δεῖ τοὺς πολίτας ζῆν, προστάττει. τῆς δὲ καινῆς πολιτείας ταῦτα ἐστὶ τὰ κεφάλαια. πρῶτον μὲν ἡ Πραξαγόρα κελεύει πάντας τοὺς πολίτας πάντα τὰ ἑαυτῶν χρήματα, καὶ πᾶσαν οὐσίαν εἰς ἀγορὰν ἀποφέρειν, ἵνα μηδεὶς μηδὲν ἴδιον, καὶ οἰκεῖον ἰδίᾳ ἔχῃ, ἀλλὰ πάντα πᾶσιν ὦσι κοινά. Ἔπειτα δὲ κελεύει τὰς γυναῖκας ἐν ταῖς ὁδοῖς πᾶσιν αὐταῖς χρῆσθαι βουλομένοις, προῖκα τὴν συνουσίαν χαρίζεσθαι. ἵνα δὲ μὴ αἱ παλαιαὶ, καὶ δυσειδεῖς γυναῖκες ἀμεληθεῖσαι μένωσι, ψήφισμα ἐποίησε μηδενὶ τῶν ἀνδρῶν ἐξεῖναι πρὸς τὰς νεωτέρας, καὶ καλλίους γυναῖκας προσέρχεσθαι, πρὶν ἂν πρὸς τὰς παλαιὰς, καὶ δυσειδεῖς γυναῖκας προσελθεῖν. διὰ τοῦτο δὲ μέγας θόρυβος, καὶ βοὴ παραχρῆμα ἐγείρεται. Νέος γάρ τις νέαν ζητῶν ὑπὸ τριῶν παλαιῶν καὶ δυσειδῶν γυναικῶν καταλαμβάνεται, καὶ ἀθλίως ἕλκεται, καὶ τὸν τῆς Πραξαγόρας νόμον φυλάττειν, καὶ πληροῦν ἀναγκάζεται. ἐν δὲ τῷ τοῦ δράματος τέλει θεράπαινά τις εἰς τὴν σκηνὴν εἰσάγεται, καὶ τοὺς τοιαύτῃ πολιτείᾳ χρωμένους μακαρίζει, καὶ τὸν ἑαυτῆς δεσπότην ζητεῖ. τούτου δὲ εὑρεθέντος ἅπαντες μετὰ τοῦ χοροῦ ἐπὶ τὸ δεῖπνον ἀπέρχονται, καὶ τῷ δράματι τέλος οὕτως ἐπιτίθεται. ὁ δὲ Ἀριστοφάνης διὰ τούτων τοὺς φιλοσόφους, οἷς ἐχθρὸς ἦν, μάλιστα δὲ τὰ τοῦ Πλάτωνος περὶ πολιτείας βιβλία ψέγειν, σκώπτειν, καὶ κωμῳδεῖν δοκεῖ.

ARISTOPHANIS CONCIONANTIUM

ARGUMENTUM.

An[illegible]reæ Diui Iustinopolitani.

Mulieres pactæ sunt omnia excogitare, ut viderentur viri esse, & concionantes persuadere, tradere ipsis ciuitatem concionante una ex ipsis. Hæ autem excogitationes opinandi ipsas viros esse tales, virilem recipiunt vestem, exercitantes & prouidentes corpus ipsarum, tanquam maximè virile esse opinari. Una autem ex ipsis Praxagora lucernam tenens, præit secundum pacta, & dicit, O splendide oc[illegible]

Τὰ τοῦ Δράματος πρόσωπα.	*Personæ Dramatis.*
Πραξαγόρα.	Praxagora.
Γυνή τις.	Mulier quædam.
Ἑτέρα γυνή.	Alia mulier.
Ἄλλη γυνή.	Alia mulier.
Ἄλλη γυνή.	Alia mulier.
Ἄλλη γυνή.	Alia mulier.
Βλέπυρος ἀνὴρ τῆς Πραξ.	Blepyrus vir.
Χορὸς γυναικῶν.	Chorus mulierum.
Ἕτερος ἀνήρ.	Alius vir.
Χρέμης.	Chremes.
Φειδωλὸς, ὁ μὴ καταθείς.	Pheidolus.
Κῆρυξ.	Præco.
Γραῦς.	Anus.
Ἑτέρα γραῦς.	Alia anus.
Νέα.	Iuuencula.
Νέος.	Iuuenis.
Ἄλλη γραῦς.	Alia anus.
Ἄλλη γραῦς.	Alia anus.
Ἄλλη γραῦς.	Alia anus.
Θεράπαινα.	Famula.
Δεσπότης.	Dominus.

Σημείωσαι ἐν τούτῳ τῷ δράματι πολλαὶ, καὶ διάφοροι γραῖς ὑπὸ τοῦ ποιητοῦ χαριέντως εἰσάγονται· αἳ πᾶσαι νεανίαν τινὰ, ὃς νέας ἐρωμένην ἐζήτει, ἐπιχειροῦσι, καὶ πρὸς ἑαυτὴν ἑκάστη τοῦτον αὐτὸν ἕλκειν πειρᾶται, ὅπως τῷ τῆς Πραξαγόρας ψηφίσματι πείθονται. διὸ καὶ τὰ τούτων διάφορα πρόσωπα ἐν τῷ δράματι καὶ καθήκουσαν ἑκάστῃ τάξιν ἀκριβῶς διωρισμένα γράφειν ἐνομίσαμεν ἀναγκαῖον.

A

ΑΡΙΣΤΟΦΑΝΟΥΣ ΕΚΚΛΗΣΙΑΖΟΥΣΑΙ.

ARISTOPHANIS CONCIONANTES.

ΠΡΑΞΑΓΟΡΑ.

Ὦ λαμπρὸν ὄμμα τοῦ τροχηλάτου λύχνου.
Κάλλιστ' ἐν εὐσκόποισιν ἐξητημένον. B
Γονάς τε γὰρ σὰς καὶ τύχας δηλώσομεν.
Τροχῷ γὰρ ἐλαθεὶς κεραμικῆς ῥύμης ἄπο,
Μυκτῆρσι λαμπρὰς ἡλίου τιμὰς ἔχεις.
Ὅρμα φλογὸς σημεῖα τὰ ξυγκείμενα.
Σοὶ γὰρ μόνῳ δηλοῦμεν εἰκότως, ἐπεὶ
Κἀν τοῖσι δωματίοισιν Ἀφροδίτης τρόπων
Πειρωμέναισι πλησίον παραστατεῖς. C
Χορδουμένων σωμάτων ἐπιστάτην,
Ὀφθαλμὸν οὐδεὶς τὸν σὸν ἐξείργει δόμων.
Μόνος δὲ μηρῶν εἰς ἀπορρήτους μυχοὺς
Λάμπεις ἀφαύων τὴν ἐπανθοῦσαν τρίχα.
Στοάς τε καρποῦ Βακχίου τε νάματος,
Πλήρεις ὑποιγνύσαισι συμπαραστατεῖς.
Καὶ ταῦτα συνδρῶν, οὐ λαλεῖς τοῖς πλησίον.
Ἀνθ' ὧν συνείσει καὶ τὰ νῦν βουλεύματα, D
Ὅσα Σκίροις ἔδοξε ταῖς ἐμαῖς φίλαις.
Ἀλλ' οὐδεμία πάρεστιν ἃς ἥκειν ἐχρῆν.
Καίτοι πρὸς ὄρθρον γ' ἐστὶν ἤδ' ἐκκλησία.
Αὐτίκα μάλ' ἔσται καταλαβεῖν ἡμᾶς ἕδρας,

PRAXAGORA.

Splendide ocule tornatilis lucernæ,
Optime in bene speculatoribus expetite:
Generationesq́ue enim tuas & fortunas ostendemus.
Trocho enim mota figulino impetu, ab
Nasis splendidos solis honores habes,
Moue flammæ signa coniacentia.
Te enim sola ostendimus decenter, quoniam
Et domunculis Veneris mores
Tentantibus prope astas,
Motorumq́ue corporum auxiliatorum
Oculum nullus tuum prohibet domibus.
Sola autem crurum in arcana conclauia
splendes, illuminans pullulantem pilum:
Porticusq́ue fructus, Bacchanalisq́ue vini
Plena sub politibus simul astas.
Et hæc simul faciens, non loqueris hic prope,
Pro quibus conferent & nunc consilia,
Quæcunque Sciris apparuerunt meis amicis.
Sed nulla adest, quas venire oportebat,
Tamen ad diluculum est hoc concilium,
Statim valde erit recipere nos sedes,

Σχόλια. Ὦ λαμπρόν.] Πραξαγόρα λύχνον ἔχουσα προέρχεται. ἀποτείνεται δὲ ὁ ἴαμβος ἢ τοῦ Ἀγάθωνος, ἢ τοῦ Δικαιογένους, διὰ τὰς ἑταίρας ἐγκαθιζομένας. πρὸς ὃ οὐδὲν εἶπεν, ἀλλὰ μόνον ὅτι τὰς ἑταίρας δεῖ πῶς. βούλεται δὲ εἰπεῖν, ὅτι τοὺς ἄνδρας προλαβώμεθα εἰς τὴν ἐκκλησίαν. Τοῦ τροχηλάτου] διὰ τὸν κεράμεον τρόχον. καταχρηστικῶς δὲ εἶπεν. οὐ γὰρ ἐν τροχῷ ἐλαύνεται, ἀλλὰ τύπῳ γίνεται.

Bisetus. Θαυμαστὸν διὰ τί τὰ παλαιὰ σχόλια λέγει, τοῦτο τὸ ἐπίθετον καταχρηστικῶς τοῦ λύχνου κατηγορεῖσθαι. τίς γὰρ οὕτως ἄπειρος, ὃς οὐκ οἶδε τὰ σκεύη τὰ κεραμικὰ, καὶ ἐκ μετάλλων τυπωθέντα, καὶ μάλιστα τὰ κυκλοτερῆ, τροχῷ, καὶ τόρνῳ τορνοῦσθαι, τὰ μὲν ἵνα ξέωνται, καὶ λεαίνωνται, τὰ δὲ, ἵν' οὕτω τυπῶνται; ὥσπερ αὐτὸς ὁ ποιητὴς αὐτίκα ἐπιφέρει, E

Τροχῷ γὰρ ἐλαθεὶς κεραμικῆς ῥύμης ἄπο.

ὥσπερ φανερῶς ἐλέγχει τὰ παλαιὰ σχόλια οὐ καλῶς ἔχοντα.

Σχόλια. Κάλλιστ' ἐν] ἡ ἔννοια, κάλλιστα τοῖς σοφοῖς εὑρημένον, τοῖς εὖ σκοπουμένοις. οἱ δὲ, τοῖς φύλαξιν, ὅτι μετὰ λύχνου σκοποῦσιν. ῥύμης δὲ, τῆς ὁρμῆς.

Bis. Ἐξητημένον] πεποθημένον, μυκτῆρας δὲ μεταφορικῶς καλεῖ τὴν ἐξοχὴν τοῦ λύχνου, εἰς ἣν τὸ ἐλλύχνιον ἐμβάλλομεν. λαμπρὰς δὲ τιμὰς ἡλίου, τὸν λύχνον λέγει, ὅτι νυκτὸς ὁ λύχνος ἡμῖν φῶς λαμπρὸν χορηγεῖ, ὡς ὁ ἥλιος τῆς ἡμέρας. διὰ τὸν λύχνον διὰ τὴν τοῦ φωτὸς νυκτερινὴν ἐπιχορηγίαν ἡμῖν χρησιμωτάτην σφόδρα τιμώμεθα.

Σχόλια. Ὅρμα φλογός.] σύμβολον ἡμῖν δίδου περὶ τῶν συγκειμένων διὰ τῆς φλογός. Χορδουμένων] κινουμένων. τοῦτο λέγει, ἐπειδὴ οἱ συνουσιάζοντες κινοῦνται.

Bisetus. Σουΐδας τούτου μέμνηται, ἀλλὰ παρ' αὐτῷ γέγραπται λορδουμένων τε σωμάτων, ὡς καὶ ἐνταῦθα γραπτέον. λορδὸν δέ φησι τὸ ὕποκυρτον, ἢ ἀποσεσιμωμένον, ἐναντίον τῷ κυρτῷ, ὃ καὶ κυφὸν καλεῖται. καὶ λορδὸς ὁ ἀπεξυλωμένος, καὶ συγκεκαμμένος τὸ σῶμα. καὶ Εὐστάθιος, λορδοῦν παρὰ τοῖς κωμικοῖς ἀσμένως πως σχηματίζειν τὸ σῶμα.

Σχόλια. Ἀπορρήτους μυχούς] τὸ αἰδοῖον τῆς γυναικὸς λέγει, διὰ τὸ μηδένα αὐτὸ βλέπειν. Ἀφαύων] ἀποξυρῶν. Τρίχα.] τοῦ αἰδοίου τὴν ἐπικειμένην τρίχα.

Bis. Σημείωσαι ὅτι ἡ τοιαύτη τῶν γυναικείων αἰδοίων κατασκευὴ, καὶ ψίλωσις οὐ μόνον ἐν χρήσει παρὰ τοῖς παλαιοῖς ἦν, ἀλλὰ καὶ τρυφῆς, καὶ χλιδῆς. ὅπερ ποιεῖν αὐτὰς εἰώθει, ὡς ἐκ πολλῶν τοῦδε τοῦ ποιητοῦ τόπων δῆλον. F

Σχόλια. Στοάς.] τὰ ταμεῖα ἐν αἷς ὁ σῖτος, στοὰς λέγουσι. καὶ γὰρ περιμήκη.

Bis. Ὑποιγνύσαισι] ὑποιγνυούσαις, ὑπανοιγούσαις. ὑποιγνύω, καὶ ὑποίγνυμι ταὐτὸν τῷ ὑπανοίγω. τουτέστι λάθρα, καὶ κλοπιμαίως ἀνοίγω. Συνείσει.] συνείσεις χαρίεν. τούτων δὲ ἔστιν ὁ νοῦς. ὅτι τὰ ἡμῶν κακουργήματα, ἅπερ ὁρᾷς πολλάκις, οὐκ ἀποκαλύπτεις, διὰ τοῦτο νῦν τῶν παρόντων ἡμετέρων βουλευμάτων ἴσῃ μέτοχος, καὶ κοινωνός. τὸ δὲ συνείσει δεύτερόν ἐστι πρόσωπον τοῦ μέλλοντος συνείσομαι, παρὰ τὸ συνείδω. τὸ δὲ ει ἀντὶ τοῦ η Ἀττικὸν, καὶ ἀρχαϊκὸν σχῆμα. G

Σχόλια.

Σχόλια. Σκίροις.] Σκίρα ἑορτή ἐστι τοῦ Σκιροφορίωνος μηνὸς Ἀθηνῶν. Σκιροφοριῶνος ιβ. οἱ δὲ, Δήμητρος καὶ Κόρης. ἐν ᾗ ὁ ἱερεὺς τοῦ Ἐρεχθέως φέρει σκιάδειον λευκόν. ὃ λέγεται σκίρον. ἄλλως. Σκίρα ἑορτὴ παρ' Ἀθηναίοις ἀφ' ἧς καὶ ὁ μὴν Σκιροφοριών. φασὶ δὲ οἱ γράψαντες περί τε μηνῶν καὶ ἑορτῶν τῶν Ἀθήνησιν ὡς τὸ σκίρον σκιάδιόν ἐστι. μεθ' οὗ φερόμενοι ἐξ ἀκροπόλεως εἴς τινα τόπον καλούμενον Σκίρον, πορεύονται ἥτε τῆς Ἀθηνᾶς ἱέρεια καὶ ὁ τοῦ

A Ἡλίου. κομίζουσι δὲ τοῦτο Ἐτεοβουτάδαι. σύμβουλον δὲ τοῦτο γίνεται τοῦ δεῖν οἰκοδομεῖν. καὶ σκέπας δὲ ποιεῖν ὡς τοῦ χρόνου ἀρίστου ὄντος πρὸς οἰκοδομίαν. καὶ Ἀθηνᾶν δὲ Σκιρράδα τιμῶσιν Ἀθηναῖοι, ἣν Φιλόχορος μὲν ἐν δευτέρῳ Ἀτθίδος ἀπὸ Σκίρου τινὸς Ἐλευσινίου μάντεως κεκλῆσθαι, Πραξίων δὲ ἐν δευτέρῳ Μεγαρικῶν ἀπὸ Σκίρωνος τοῦ συνοικίσαντος Σαλαμῖνα. Σκιράδα δὲ Ἀθηνᾶν Θησεὺς ἐποίησεν ὅτε ἐπανήει ἀποκτείνας τὸν Μινώταυρον.

Ἃς Σφυρόμαχός ποτ' εἶπεν, εἰ μέμνησθ' ἔτι,
Δεῖ τὰς ἑταίρας κἀγαθιζομένας λαθεῖν.
Τί δῆτ' ἂν εἴη; πότερον ἀκ ἐρραμμένους
Ἔχουσι πώγωνας, οὓς εἴρητ' ἔχειν.
Ἢ θαἰμάτια τ' ἀνδρεῖα κλέψασαις λαθεῖν
Ἦν χαλεπὸν αὐταῖς. ἀλλ' ὁρῶ τονδὶ λύ-
χνον
Προσιόντα. φέρε νυν ἐπαναχωρήσω πάλιν,
Μὴ καί τις ὢν ἀνὴρ ὁ προσιὼν τυγχάνῃ.

B *Quas Sphyromachus quondam dixit, si meministis adhuc*
Oportet meretrices & bonas latêre.
Quid igitur erit? utrum non sutas
Habent barbas, quas dictum est habere?
Vel vestes viriles furantibus, latêre
Fuit difficile ipsis. Sed video hanc lucernam
Aduenientem, age nunc recedam iterum:
Ne & aliquis existens vir aduenians contingat.

Σχόλια. Ἃς Σφυρόμαχος γράφεται] ἃς Λεύμαχος. καὶ φασὶ Κλεόμαχον τραγικὸν ὑποκριτήν. οὗτος φαίνεται ὑποκεκριμένος πολὺ εἰρηκέναι τι ἐν δράματι καὶ ἐσκῶφθαι διὰ τὸ κακέμφατον. ὁ δὲ Σφυρόμαχος, ψήφισμα εἰσηγήσατο, ὥστε δεῖν τὰς γυναῖκας τὰς ἑταίρας χωρὶς τῶν ἐλευθέρων καθέζεσθαι. εἰ δὲ ὅτι τὰς γυναῖκας καὶ τοὺς ἄνδρας χωρὶς καθίζεσθαι.

Bis. Κἀγαθιζομένας.] καὶ ἀγαθιζομένας, ἤγουν

C ἀγαθὰ λεγούσας λαθεῖν. ὁ δὲ νοῦς τοιοῦτος. ἔδει ἡμᾶς ἤδη προκαταλαβεῖν τὰς τῆς ἐκκλησίας ἕδρας. ἃς ὁ Κλεόμαχος εἶπέ ποτε τὰς γυναῖκας χωρὶς τῶν ἀνδρῶν λαμβάνειν. δεῖ γὰρ τὰς ἑταίρας καίπερ ἀγαθὰ λεγούσας, καὶ περὶ ἀγαθῶν πραγμάτων διαλεγομένας, λαθεῖν, καὶ μὴ φανερῶς παρόντων ἀνδρῶν, καὶ ἄλλων μὴ φίλων γυναικῶν τὰ ἑαυτῶν βουλεύματα δηλῶσαι.

D

ΓΥΝΗ ΤΙΣ. ΠΡΑΞΑΓΟΡΑ. ΕΤΕΡΑ Γυνή. Ἄλλη Γυνή.

Γυ. Ὥρα βαδίζειν, ὡς ὁ κῆρυξ ἀρτίως
Ἡμῶν προσιόντων, δεύτερον κεκόκκυκεν.
Πρ. Ἐγὼ δ' ὑμᾶς προσδοκῶσ' ἐγρηγόρειν
Τὴν νύκτα πᾶσαν. ἀλλὰ φέρε τὴν γείτονα
Τήνδ' ἐκκαλέσωμαι, θρυγανῶσα τὴν θύ-
ραν.
Δεῖ γὰρ τὸν ἄνδρ' αὐτῆς λαθεῖν. Ετ. Γ. ἤκουσά τοι
Ὑποδυομένη τὸ κνῖσμα τῶν δακτύλων.
Ἅτ' οὐ καταδαρθοῦσ'. ὁ γὰρ ἀνήρ, ὦ φιλτάτη,
Σαλαμίνιος γάρ ἐστιν ᾧ ξύνειμ' ἐγώ,
Τὴν νύχθ' ὅλην ἤλαυνέ μ' ἐν τοῖς στρώμασιν,
Ὥστ' ἄρτι τουτὶ θοἰμάτιον αὐτοῦ λαβεῖν.
Καὶ μὴν ὁρῶ καὶ Κλειναρέτην καὶ Σωστράτην
Προσιοῦσαν ἤδη τήνδε καὶ Φιλαινέτην.
Πρ. Οὔκουν ἐπείξεσθ'; ὡς Γλύκη κατώμοσε
Τὴν ὑστάτην ἥκουσαν οἴνου τρεῖς χοᾶς
Ἡμῶν ἀποτίσειν, κἀρεβίνθων χοίνικα.
Τὴν Σμικυθίωνος δ' οὐχ ὁρᾷς Μελιστίχην
Σπεύδουσαν ἐν ταῖς ἐμβάσιν; καί μοι δοκεῖ
Κατὰ σχολὴν παρ' ἀνδρὸς ἐξελθεῖν μόνη.
Γυ. Τὴν τοῦ καπήλου δ' οὐχ ὁρᾷς Γευσιστράτην

MVLIER QVÆDAM, PRAXAgora. Alia mulier. Alia mulier.

AL. M. Hora eundi quoniam praeco nuper
Nobis procedentibus, secundo clamauit.
PR. Ego autem vos expectans vigilo
Noctem omnem, sed age vicinam
E *Hanc vocabo, leniter pulsans ianuam,*
Oportet enim virum ipsius latêre. MV. Audiui
Calceans fricationem tui digitorum,
Tanquam non dormiens. hic enim vir, ô dilectissima,
Salaminius enim est, quo cum versor ego,
Noctem totam commouit me in lectis,
Ad nunc hanc vestem ipsius capere.
Et quidem video & Clinaretem & Sostratem
F *Aduenientem, hanc & Philaenethem.*
PR. Igitur festinate, quòd Glice iurauit
Vltimam venientem, vini tres mensuras
Nostrûm soluere, & cicerum mensuram.
Hanc Smicythionis non vides Melistichem
Festinantem in soleis? & mihi videtur
Per otium à viro extre sola.
AL. M. *Hanc Capeli autem nō vides Geusistratē*

Σχόλια. Ὥρα βαδίζειν.] μία τῶν ἐρχομένων πρὸς τὴν Πραξαγόραν ταῦτα λέγει. Θρυγανῶσα.] ἡσύχως κνῶσα. Ὑποδυομένη] ὑποδήματα βάλλουσα. τὸ κνῖσμα δὲ τὸν ἠρεμαῖον ψόφον. Σαλαμίνιος] ὡς ναυτικῶν ὄντων τῶν Σαλαμινίων ἢ καταφερῶν. δύναται δὲ καὶ ἀπὸ τοῦ Σα-

G λαμινίας νεὼς νοεῖσθαι τὸ Σαλαμίνιος. ὡς ἀπὸ τοῦ πάραλου παράλιος. Κἀρεβίνθων] ὑπὸ τίνοντες ἐκ πότου φρυκτοὺς ἐρεβίνθους. Τὴν Σμικυθίωνος] λείπει γυναῖκα. Ἐμβάσιν] ἐμβὰς ἀνδρεῖον ὑπόδημα. Γευσιστράτην.] παρὰ τὴν Λυσιστράτην εἴρηκε.

Ἔχουσαν ἐν τῇ δεξιᾷ τὴν λαμπάδα.
Καὶ τὴν Φιλοδωρείτου τε καὶ Χαριτάδου;
Πρ. Ὁρῶ προσιούσας χ' ἀτέρας πολλὰς πάνυ
Γυναῖκας, ὅ τι περ ἔστ' ὄφελος ἐν τῇ πόλει.
Αλ. Γ. Καὶ πάνυ ταλαιπώρως ἔγωγ' ὦ φιλτάτη
Ἐκδρᾶσα παρέδυν. ὁ γὰρ ἀνὴρ τὴν νύχθ' ὅλην
Ἔβηττε, τειχίδων ἑσπέρας ἐμπλησμένος.
Πρ. Κάθησθε τοίνυν ὡς ἀνέρομαι τάδε
Ὑμᾶς, ἐπειδὴ συλλελεγμένας ὁρῶ.
Ὅσα Σκίροις ἔδοξεν, εἰ δεδράκατε.
Γυ. Ἔγωγε. πρῶτον μέν γ' ἔχω τὰς μασχάλας
Λόχμης δασυτέρας καθάπερ ἦν ξυγκείμενον.
Ἔπειθ' ὁπότ' ἀνὴρ εἰς ἀγορὰν οἴχοιτό μου,
Ἀλειψαμένη τὸ σῶμ' ὅλον δι' ἡμέρας,
Ἐχλιαινόμην ἑστῶσα πρὸς τὸν ἥλιον.
Ετ. Γ. Κἄγωγ' ἔτι ξυρὸν δέ γ' ἐκ τῆς οἰκίας
Ἔρριψα πρῶτον ἵνα δασυνθείην ὅλη.
Καὶ μηδὲν εἴην ἔτι γυναικὶ προσφερής.
Πρ. Ἔχετε δὲ τοὺς πώγωνας οὓς εἴρητ' ἔχειν
Πάσαισιν ἡμῖν ὁπότε συλλεγοίμεθα;
Γυ. Νὴ τὴν Ἑκάτην καλόν ἔγωγε τουτονί.
Ετ. Γ. Κἄγωγ' Ἐπικράτους οὐκ ὀλίγῳ καλλίονα.
Πρ. Ὑμεῖς δὲ, τί φατέ. Γυν. φασὶ κατανεύουσι γοῦν.
Πρ. Καὶ μὴν τά γ' ἄλλ' ὑμῖν ὁρῶ πεπραγμένα.
Λακωνικὰς γὰρ ἔχετε καὶ βακτηρίας
Καὶ θαἰμάτια τἀνδρεῖα καθάπερ εἴπομεν.
Γυ. Ἔγωγέ τοι τὸ σκύταλον ἐξηνεγκάμην
Τὸ τοῦ Λαμίου τουτὶ καθεύδοντος λάθρα.
Πρ. Τοῦτ' ἔστ' ἐκεῖνο τῶν σκυτάλων ὧν πέρδεται.
Νὴ τὸν Δία τὸν σωτῆρ'. ἐπιτήδειός γ' ἂν ἦν,
Τὴν τοῦ Πανόπτου διφθέραν ἐνημμένος,
Εἴπερ τις ἄλλος βουκολεῖν τὸν δήμιον.
Γυ. Λέγοιθ' ὅπως καὶ τἀπὶ τούτοις δράσομεν.
Ἕως ἔτ' ἐστὶν ἄστρα κατὰ τὸν οὐρανόν.
Ἡ 'κκλησία δ', εἰς ἣν παρεσκευάσμεθα
Ἡμεῖς βαδίζειν, ἐξ ἕω γενήσεται;
Πρ. Νὴ τὸν Δί' ὥστε δεῖ σε καταλαβεῖν ἕδρας
Ὑπὸ τῷ λίθῳ τῶν Πρυτάνεων κατ' ἀντικρύ.
Αλ. Γ. Ταυτί γέ τοι νὴ τὸν Δί' ἐφερόμην ἵνα
Πληρουμένης ξαίνοιμι τῆς ἐκκλησίας.
Πρ. Πληρουμένης τάλαινα. Γυ. νὴ τὴν Ἄρτεμιν
Ἔγωγε. τί γὰρ ἂν χεῖρον ἀκροῴμην ἄρα
Ξαίνουσα; γυμνὰ δ' ἐστί μου τὰ παιδία.
Πρ. Ἰδού γέ σε ξαίνουσαν, ἣν τοῦ σώματος

A *Habentem in dextera & lampadam,*
Et hanc Philodoritiq; & Charetadis?
PR. Video accedentes & alteras multas valde
Mulieres, quod adest vtilitas in ciuitate.
MV. Et valde miserè ego ô dilectissima,
Fugiens adueni. hic enim vir noctem totam
Tussiuit, piscibus vespere plenus.
PR. Sedete igitur, vt interrogem hæc
B *Vos, postquam collectas video,*
Quacunq; Sciris apparuerunt, si fecistis.
MV. Ego primùm quidem habeo sub alas
Virgultu densiores, sicut erat compositum.
Postea quando vir in concionem ibat mei,
Vncta corpus totum per diem,
Calefiebam stans ad solem.
MV. Et ego nouaculam ex domo
C *Proieci primùm vt densarer tota,*
Et nihil essem amplius mulieri similis.
PR. Habetis autem barbas, quas dictum est habere
Omnibus nobis, quando congregaremur?
MV. Per Lunam pulchram ego hoc.
AL. M. Et ego Epicrate non paulo pulchriorem.
PR. Vos autem quid dicitis? MVL. Dicunt, annuunt igitur.
D *PR. Et quidem alias vobis video res.*
Laconicos enim habetis & baculos,
Et indumenta virilia, sicut diximus.
MV. Ego baculum exportaui
Illum Lamij hunc dormientis clàm.
PR. Hic est ille baculorum, quibus peditur.
Per Iouem seruatorem, aptus erat
Panopti pelliceam indutus,
E *Si quis alius decipere carnificem.*
MV. Dicatis, quomodo & in his faciemus,
Quousque adhuc sunt astra per cælum.
Concilium autem, in quod apparamur
Nos ire, ex aurora fiet.
PR. Per Iouem ergo oportet te accipere sedes
Sub lapide Prytaneorum è regione.
AL. M. Hæc per Iouem portabam, vt
F *Perfecto diuidam concilio.*
PR. Perfecto misera. MV. Per Dianam
Ego. quid enim peius audire possum certè
Diuidens, nudi autem sunt mei filij.
PR. Ecce te diuidentem, quam corpore

Σχ. Τὴν λαμπάδα] τὴν δᾷδα λέγει. διὰ τὸ ἔτι νύκτα. Ἔστ' ὄφελος] τουτέστιν εὐγενεῖς. Τειχίδων] λέγει τῶν καλουμένων θριαπῶν. αὗται ἐσθιόμεναι βῆχα ἀναγείρουσιν. Ἔχω τὰς μασχάλας] ἔθρεψαν γὰρ τρίχας ἵνα ὅταν χειροτονῶσι, δοκῶσιν ἄνδρες εἶναι. Πρὸς τὸν ἥλιον.] ὥστε μελανθῆναι ὡς ὁ ἀνήρ. Ἔρριψα. ἵνα μὴ ξυροῦσα αὐτὴν ἐρεθίζοιμι. Ἐπικράτους] οὗτος εἰς δασύτητα κωμῳδεῖται. ἦν δὲ ῥήτωρ καὶ δημαγωγὸς, οὗτος μέγαν πώγωνα ἔχων, ἐκαλεῖτο σακεσφόρος. καὶ Πλάτων ὁ κωμικός φησι, ἄναξ ὑπήνης Ἐπίκρατες σακεσφόρε. Λακωνικάς] εἶδος ὑποδήματος. Λαμίου) Λάμιός τις πένης ἀπὸ ξυλοφορείας ζῶν. διὸ καὶ σκυτάλην ἐξήνεγκα ταύτην φησὶν εἶναι. κωμῳδεῖται γὰρ καὶ ὡς δεσμοφύλαξ. ἀρσενικῶς δὲ τὴν Λαμίαν. ὑπὲρ ἧς ὁ Φερεκράτης λέγει ἐν τῷ ὁμωνύμῳ δράματι ὅτι σκυτάλην ἔχουσα ἐπέρδετο. Ὧν πέρδεται] ἀντὶ τοῦ ἂν φέρε. G ἢ ἴσως ὑπὸ τῆς σάρκες ἐπέρδετο. Τὴν τοῦ Πανόπτου) τοῦ τὴν Ἰὼ φυλάττοντος. αἰνίττεται δὲ ὡς ὄντος αὐτοῦ δεσμοφύλακος. ἀναφέρει δὲ τοῦτον ἐπὶ τὸν παρὰ Σοφοκλεῖ ἐν Ἰνάχῳ Ἄργον. Ὑπὸ τῷ λίθῳ.) τῷ βήματι. Ταυτί γέ τοι.) γυνὴ ἔρχεται φέρουσα καὶ ἔρια, καὶ ξαίνουσα αὐτὰ, πρὶν ἀπελθεῖν ἐκεῖσε. Πληρουμένης.) φθάσαι γάρ φησι δεῖ, καὶ μὴ μένειν ἕως πληρωθῇ.

Οὐδὲν

Οὐδὲν παραφῆναι τοῖς καθημένοις ἔδει,
Οὐκοῦν καλά γ' ἂν πάθοιμεν εἰ πλήρης τύχῃ
Ὁ δῆμος ὤν. κἄπειθ' ὑπερβαίνουσά τις
Ἀναβαλλομένη δείξειε τὸν Φορμίσιον.
Ἢν δ' ἐγκαθιζώμεσθα πρότεραι λήσομεν
Ξυστειλάμεναι θαἰμάτια, τὸν πώγωνά τε
Ὅταν καθῶμεν ὃν περιδησόμεσθ' ἐκεῖ.
Τίς οὐκ ἂν ἡμᾶς ἄνδρας ἡγήσαιθ' ὁρῶν;
Ἀγύρριος γ' οὖν τὸν Προνόμου πώγων' ἔχων
Λέληθε. καίτοι πρότερον ἦν οὗτος γυνή.
Νυνὶ δ' ὁρᾷς πράττει τὰ μέγιστ' ἐν τῇ πόλει.
Τούτου γέ τοι νὴ τὴν ἐπιοῦσαν ἡμέραν
Τόλμημα τολμῶμεν τοσούτου γ' οὕνεκα.
Ἤν πως παραλαβεῖν τῆς πόλεως τὰ πράγματα
Δυνώμεθ' ὥστ' ἀγαθόν τι πρᾶξαι τὴν πόλιν.
Νῦν μὲν γὰρ οὔτε θέομεν οὔτ' ἐλαύνομεν.
Γυ. Καὶ πῶς γυναικῶν θηλύφρων ξυνουσία
Δημηγορήσει. Πρ. Πολὺ μὲν οὖν ἄριστά που.
Λέγουσι γὰρ καὶ τῶν νεανίσκων, ὅσοι
Πλεῖστα σποδοῦνται, δεινοτάτους εἶναι λέγειν.
Ἡμῖν δ' ὑπάρχει τοῦτο κατὰ τύχην τινά.
Γυ. Οὐκ οἶδα. δεινὸν δ' ἐστὶν ἡ μὴ 'μπειρία.
Πρ. Οὐκοῦν ἐπίτηδες ξυνελέγημεν ἐνθάδε.
Ὅπως προμελετήσωμεν ἁκεῖ δεῖ λέγειν.
Οὐκ ἂν φθάνοις τὸ γένειον ἂν περιδουμένη.
Ἄλλαι θ' ὅσαι λαλεῖν μεμελετήκασί που.
Γυ. Τίς δ' ὦ μέλ' ἡμῶν οὐ λαλεῖν ἐπίσταται;
Πρ. Ἴθι δὴ σὺ περιδοῦ. καὶ ταχέως ἀνὴρ γενοῦ.
Ἐγὼ δὲ θεῖσα τοὺς στεφάνους περιδήσομαι
Κἀυτὴ μεθ' ὑμῶν, ἤν τί μοι δόξῃ λέγειν.
Γυ. Δεῦρ' ὦ γλυκυτάτη Πραξαγόρα σκέψαι τάλαν
Ὡς καὶ καταγέλαστον τὸ πρᾶγμα φαίνεται.
Πρ. Πῶς καταγέλαστον; Γυ. ὥσπερ εἴ τις σηπίαις
Πώγωνα περιδήσειεν ἐσταθευμέναις.
Πρ. Ὁ περιστίαρχος περιφέρειν χρὴ τὴν γαλῆν.
Πάριτ' ἐς τὸ πρόσθεν. Ἀρίφραδες παῦσαι λαλῶν.
Κάθιζε παριών. τίς ἀγορεύειν βούλεται;

A *Nihil ostendere sessuris decebat.*
Igitur bona patiemur, si plenus contigerit
Populus existens, & postea ascendens aliquā
Reijciens ostendet pudenda.
Si autem sedemus priores, latebimus
Contrahentes vestes barbamq́,
Quando sedebimus, quod circumligabimus illic,
B *Quis non nos viros putabit videns?*
Agyrrius igitur Pronomi barbam habens
Latuit, tamen prius erat hic mulier.
Nunc autem vides, facit maxima in ciuitate
Huius per præsentem diem
Audaciam audemus tanti gratia,
Si quomodo accipere ciuitatis res
Poterimus, ad bonum aliquid facere ciuitati.
C *Nunc quidem enim neque currimus, neque impellimus.*
MVL. *Et quomodo mulierum fœminilis potestas*
Concionabitur? PRA. *multum quidem igitur optimè*
Dicunt, & iuuenum quicunque
Multum mouentur, grauissimos esse dicere:
Nobis autem inest hoc secundum fortunā quandam.
D MVL. *Non scio, graue est mea experientia.*
PRA. *Igitur aptè congregatæ sumus hic,*
Vt præmeditemur, quæ illic oportet dicere,
Non præuenies barbam circumligans?
Alia quæcunque loqui meditatæ sunt.
MVL. *Quæ autem misera nostrum non loqui scit?*
PRA. *Age tu circumliga, & citò vir fias.*
E *Ego autem ponens coronas circumligabo*
Et ipsa vobiscum, si mihi videbitur dicere.
MVL. *Age, ô dulcissima Praxagora, considera misera,*
Quòd & ridiculosa res videtur.
PRA. *Quomodo ridiculosa?* MVL. *tanquam aliquis sepijs*
Barbam circumligaret combustis.
PRA. *Peristiarchus circumferre oportet mustelam,*
F *Abite ante: Ariphrades cessa loquens,*
Sede adueniens. quæ concionari vult?

Σχόλια. Παραφῆναι] δεῖξαι. Ὑπερβαίνουσα] ἐπὶ τὸ βῆμα ἀναβαίνουσα. Φορμίσιον] καὶ οὗτος δασὺς ἦν. αἰνίττεται δὲ τὸ γυναικεῖον αἰδοῖον. Ἀγύρριος.] στρατηγὸς θηλυδριώδης ἄρξας ἐν Λήμνῳ καὶ τὸν μισθὸν καὶ τῶν ποιητῶν συνέτεμε καὶ πρῶτος ἐκκλησιαστικὸν δέδωκεν. ὁ δὲ Πρόνομος αὐλητὴς μέγαν ἔχων πώγωνα. Ἀγύρριος δὲ εὐρύπρωκτος. ἔστι οὖν τὸν Προνόμου ἔχων πώγωνα, λανθάνει ὢν γυνή. Τούτου γέ τοι.] ὑπερβατὸν καὶ τὸ ἑξῆς, τούτου γέ τοι οὕνεκα τοσοῦτον τόλμημα τολμῶμεν τὴν ἐπιοῦσαν ἡμέραν ἦν πως παραλαβεῖν. Νῦν μὲν γάρ.] ἐπὶ τῇ παροιμίᾳ ὁ χρυσοῦς ἢ πάντα θεῖ καὶ ἐλαύνεται. ὁ ἐστιν, οὔτε ἀνέ- G μοις οὔτε κώπαις πλέομεν.

BISETVS. Τὰ σχόλια οὕτω ἐπανορθωτέον. ἐπὶ τῇ παροιμίᾳ, ὅτι ὁ ἀργύρεος ἦ, πάντα θεῖ, καὶ ἐλαύνεται. Οὔτε θέομεν, οὔτ' ἐλαύνομεν] ὁ τοῦτ' ἔστιν, οὐδὲν προκόπτομεν. ἡ δὲ μεταφορὰ ἀπὸ τῶν πλεόντων, εἴπερ οὔτε τοῖς ἀνέμοις, οὔτε ταῖς κώπαις χρώμενοι, μηδὲν προκόπτουσι, καὶ τὴν πορείαν οὐ ποιοῦνται.

Σχόλια. Σποδοῦνται.] βινοῦνται.

BISETVS. Σποδεῖν, κυρίως τοὺς βωμοὺς καθαίρειν. ταύτῃ τῇ λέξει ὁ ποιητὴς ἐν Βατράχοις ἐχρήσατο. καὶ ἀλλαχοῦ, τὸ τύπτειν ὁμοιωμένον. Σουίδας προφέ-

ρει τὸ τ̃ Λεισοφάνης παῤῥὰ δοῖμα τὸ ἐν Ορνισι,

Σποδεῖν ἅπαντας τοὺς ἀλαζόνας δοκεῖ. σποδεῖν, κινεῖν, βινεῖν. συνουσιάζειν, σποδοῦνται τοίνυν, βινοῦνται.

Σχόλια. Κατὰ τύχλω.] ἤγουν κατὰ συνουσίαν. Ἡ μὴ 'μπειρία] τὸ πλῆρες ἡ μὴ ἐμπειρία. Περιδρομὴν] περιδρομὴν τὴν περιχύλω ἐργασία. ἐργάσιον γὰρ ὁ τόπος. Πειθὼ] πειθεῖς. Πειθόμεθα.] ὅτι οἱ δημαγωγοὶ ἐστέφοντο. Τάλαν.] ταρίχη τὸ τάλαν. Καταγέλαστον] τὸ ἡμᾶς πώγωνας ἔχειν. Σηπίας] σηπία εἶδος ἰχθύος. ἀπρόσλογος δὲ ἡ ἐκκλησία. ἐστὰ λωμένας δὲ ἐξ ὀπηπολλῆς ἐπληθεῖσας. σαθεύειν γὰρ τὸ μὴ λίαν ὀπτῆσαι. ἡ χλιανθεῖσας πυεῖ. Περιστίαρχος.] ὁ τὸν καθαρσίων φροντιζόμενος ἐν ταῖς ἐκκλησίαις. περιστίαρχος ἐκαλεῖτο. περίστια γὰρ, τὰ καθάρσια.

Βισετυς. Οὕτως ὁ τ̃ ποιητοῦ στίχος οὕτω γραπτέος. ,, Ο περιστίαρχος περιφέρειν χρὴ τὴν γαλῆν. τοῦτο δὲ ἀττικῶς, ἀντὶ τ̃, ὦ περιστίαρχε, ὥσπερ τὸ ἐν τ̃ Ex-

A κλει. ὁ παῖς, ἀντὶ τ̃ ὦ παῖ. περιστίαρχος δὲ κατὰ τὸν Σουίδαν λέγεται ὁ περικαθαίρων τὴν ἑστίαν, ἤτοι τὴν ἐκκλησίαν, ἢ τὴν πόλιν. ἀπὸ τ̃ ἑστίας, ἢ τ̃ περιστιαγεῖν. Ἀρχαιότερον δὲ ἐν τῷ καθάρσιον, τ̃ τὸν τ̃ παλαιοῦ καθ' ἑστίας τρόπον ἤτοι τοῦ δηλοῖ, ἔθος ἦν Ἀθήνησι καθαίρειν τὴν ἐκκλησίαν, καὶ τὰ θέατρα, καὶ ὅλας τὰς τ̃ δήμου συνόδους, μικροῖς πάνυ χοιριδίοις, ἅπερ ὀνόμαζον καθάρσια. τοῦτο

B δὲ ἐποίουν οἱ λεγόμενοι περιστίαρχοι, ὅπερ ὀνομασθέντες οὕτως, ἢ ἀπὸ τ̃ περιστίχειν, ἢ ἀπὸ τῆς ἑστίας. τὸ δὲ γαλῆν περιφέρειν, ἴσως παρὰ προσδοκίαν, καὶ γέλωτος χάριν εἴρηται, δέον εἰπεῖν, τὸ χοιρίδιον. ἀλλὰ πρὸς καινὸν πρᾶγμα καινῷ καθαρσίῳ χρῆσθαι ἔδει. καινὸν γὰρ τὸ τὰς γυναῖκας ἐκκλησιάζειν, καὶ τὰ τ̃ πόλεως πράγματα κυβερνᾶν ἐθέλειν, τοὺς ἄνδρας ἀπὸ τῆς ἀρχῆς ἀπωθούσας.

Σχόλια. Αειφραδες] ὡς ἀναμιμνησκομένη αὐταῖς. λοιδορεῖται δὲ πρὸς γυναῖκας αἰσχρὸς ὢν κιθαρῳδός.

C Γυ. Ἐγώ. Πρ. περίθου δὴ τὸν στέφανον τύχ' ἀγαθῇ.
Γυ. Ἰδού. Πρ. λέγοις ἄν. Γυ. εἶτα πρὶν πιεῖν λέγω;
Πρ. Ἰδοὺ πιεῖν. Γυ. τί γὰρ ὦ μέλ' ἐστεφανωσάμην.
Πρ. Ἄπιθ' ἐκποδὼν τοιαῦτ' ἂν ἡμᾶς εἰργάσω
Ἐκεῖ. Γυ. τί δ' οὐ πίνουσι κἀν τῇ 'κκλησίᾳ.
D Πρ. Ἰδού γέ σοι πίνουσι. Γυ. νὴ τὴν Ἄρτεμιν.
Καὶ ταῦτά γ' εὖ ζωρότατα. τὰ γοῦν βουλεύματα
Αὐτῶν ὅσ' ἂν πράξωσιν ἐνθυμουμένοις
Ὥσπερ μεθυόντων ἐστὶ παραπεπληγμένα.
Καὶ νὴ Δία σπένδουσί γ'. ἢ τίνος χάριν
Τοσαῦτά γ' εὔχοντ' εἴπερ οἶνος μὴ παρῆν.
Καὶ λοιδοροῦνταί γ' ὥσπερ ἐμπεπωκότες.
Καὶ τὸν παροινοῦντ' ἐκφέρουσ' οἱ τοξόται.
Πρ. Σὺ μὲν βάδιζε. καὶ κάθησ'. οὐδὲν γὰρ εἶ.
Γυ. Νὴ τὸν Δί' ἦ μοι μὴ γενειᾶν κρεῖττον ἦν.
E Δίψει γὰρ ὡς ἔοικεν ἀφαυανθήσομαι.
Πρ. Ἔσθ' ἥτις ἑτέρα βούλεται λέγειν; Γυ. ἐγώ.
Πρ. Ἴθι δὴ στεφανοῦ, καὶ γὰρ τὸ χρῆμ' ἐργάζεται.
Ἄγε νυν ὅπως ἀνδριστὶ καὶ καλῶς ἐρεῖς,
Διερεισαμένη τὸ σχῆμα τῇ βακτηρίᾳ.
Γυ. Ἐβουλόμην μὲν ἕτερον ἂν τῶν ἠθάδων,
Λέγειν τὰ βέλτισθ' ἵν' ἐκαθήμην ἥσυχος.
F Νῦν δ' οὐκ ἐάσω, κατά γε τὴν ἐμὴν μίαν,
Ἐν τοῖσι καπηλείοισι λάκκους ἐμποιεῖν
Ὕδατος. ἐμοὶ μὲν οὐ δοκεῖ μὰ τὼ θεώ.
Πρ. Μὰ τὼ θεὼ τάλαινα ποῦ τὸν νοῦν ἔχεις;
Γυ. Τί δ' ἐστὶν; οὐ γὰρ δὴ πιεῖν ᾔτησά σε.
Πρ. Μὰ Δί' ἀλλ' ἀνὴρ ὢν τὼ θεὼ κατώμοσας.
Καίτοι τά γ' ἄλλ' εἰποῦσα δεξιώτατα.

MVL. *Ego.* PRA. *Circumpone coronam Fortuna bona.*
MVL. *Ecce.* PRA. *Dicas?* MVL. *postea ante bibere dicam?*
PRA. *Ecce bibe.* MVL. *quid enim misera coronata sum?*
PRA. *Abi longè, talia nobis fecisti*
Illic. MVL. *Quid autem, non bibunt & in ecclesia?*
PRA. *Ecce tibi bibunt.* MVL. *per Dianam*
Et hac me, um. Hac igitur consilia
Ipsorum quaecunque faciunt reminiscentibus,
Tanquam ebriorum sunt stupefactiua.
Et per Iouem sacrificant, an alicuius gratia
Tot supplicant, siquidem vinum non adesset.
Et cauillantur valde bibentes,
Et ebrium efferunt sagittarij.
PRA. *Tu quidem vade, & desede, nil enim es.*
MVL. *Per Iouem, certè mihi non barbam facere melius fuisset,*
Siti, vt videtur, siccabor.
PRA. *Est, quae altera velit dicere?* MVL. *ego.*
PRA. *Age, iam coronare, etenim res operatur.*
Age nunc, vt viriliter & bene dicas,
Confirmata habitum baculo.
MVL. *Volebam quidem alteram consuetarum*
Dicere optima, vt sederem tacita.
Nunc autem non sinam, secundum meam vna
In cauponis lacus facere
Aquae, mihi quidem non videtur per Deos.
PRA. *Per Deos misera, vbi mentem habes?*
MVL. *Quid autē est? non enim bibere petij te.*
PRA. *Per Iouē, sed vir existēs per Deos iurasti,*
Tamen alia dicens aptissima.

Σχόλια. Μεθυόντ' ἐστί.] διαβάλλει τοὺς Ἀθηναίους, ὡς ἀεὶ κακὰ βουλευομένους. Ἀφαυανθήσομαι] ξηρανθήσομαι. ὡς καὶ ἀλλαχοῦ. τοὺς ἀλλοτρίους ἀμφὶ τάχους. τούτους ἐν ξύλῳ δήσας, ἀφαύει. Ἐργάζεται.] ἀνύεται ὅπερ λοιπὸν ἂν γένοιτο. Διερεισαμένη.] διαταξαμένη ἀσφαλισαμένη. Τῶν ἠθάδων.] τ̃ ἔθος ἐχόντων λέγειν. Ἐμὴν μίαν.] λείπει γνώμην. Λάκκους

G ἐμποιεῖν.] Ἀθηναῖοι καὶ οἱ ἄλλοι τῶν Ἑλλήνων ὀρύγματα ὑπὸ τὴν γῆν ποιοῦντες εὐρύχωρα καὶ στρογγύλα καὶ τετράγωνα, καὶ ταῦτα κονιῶντες οἶνον ὑπεδέχοντο καὶ ἔλαιον εἰς αὐτά. καὶ ταῦτα λάκκους ἐκάλουν. Μὰ τὼ θεώ.] ἐπειδὴ ἡ γυναικῶν ὁ ὅρκος. παίζει. οὐ γὰρ δὴ ἐπιστρέφειν ὑποκειμένην ἄνδρα γυναικεῖον ὅρκον ὀμνύναι τοῖς θεοῖς.

Γυ. Σὺ ἦν

Γυ. Ω νὴ τὸν Ἀπόλλω. Πρ. παῦε τοίνυν ὡς ἐγὼ
Ἐκκλησιάζουσ' οὐκ ἂν προβαίην τὸν πόδα
Τὸν ἕτερον, εἰ μὴ τοῦτ' ἀκριβωθήσεται.
Γυ. Φέρε τὸν στέφανον. ἐγὼ γὰρ αὖ λέξω πάλιν.
Οἶμαι γὰρ ἤδη μεμελετηκέναι καλῶς.
Ἐμοὶ γὰρ ὦ γυναῖκες αἱ καθήμεναι.
Πρ. Γυναῖκας αὖ δύστηνε τοὺς ἄνδρας λέγεις;
Γυ. Μὰ Δί' Ἐπίγονόν γ' ἐκεῖνον. ἐπιβλέψασα γὰρ
Ἐκεῖσε πρὸς γυναῖκας ᾠόμην λέγειν.
Πρ. Ἄπερρε καὶ σὺ καὶ κάθησ' ἐντευθενί.
Αὐτὴ γὰρ ὑμῶν γ' ἕνεκα μοι λέξειν δοκῶ.
Τονδὶ λαβοῦσα τοῖς θεοῖς μὲν εὔχομαι
Τυχεῖν κατορθώσασα τὰ βεβουλευμένα.
Ἐμοὶ δ' ἴσον μὲν τῆσδε τῆς χώρας μέτα,
Ὅσον περ ὑμῖν. ἄχθομαι δὲ καὶ φέρω
Τὰ τῆς πόλεως ἅπαντα βαρέως πράγματα.
Ὁρῶ γὰρ αὐτὴν προστάταισι χρωμένην
Ἀεὶ πονηροῖς κἄν τις ἡμέραν μίαν
Χρηστὸς γένηται, δέκα πονηρὸς γίνεται.
Ἐπέτρεψας ἑτέρῳ. πλείον' ἔτι δράσει κακά.
Χαλεπὸν μὲν οὖν ἄνδρας δυσαρέστους νουθετεῖν,
Οἳ τοὺς φιλεῖν μὲν βουλομένους δεδοίκατε.
Τοὺς δ' οὐκ ἐθέλοντας ἀντιβολεῖθ' ἑκάστοτε.
Ἐκκλησίαισιν ἦν ὅτ' οὐκ ἐχρώμεθα
Οὐδὲν τὸ παράπαν ἀλλὰ τόν γ' Ἀγύρριον
Πονηρὸν ἡγούμεθα. νῦν δὲ χρωμένων,
Ὁ μὲν λαβὼν ἀργύριον, ὑπερεπῄνεσεν,
Ὁ δ' οὐ λαβὼν εἶναι θανάτου φήσ' ἀξίους,
Τοὺς μισθοφορεῖν ζητοῦντας ἐν τῇ κκλησίᾳ.
Γυ. Νὴ τὴν Ἀφροδίτην εὖ γε ταυτί γε λέγεις.
Πρ. Τάλαιν' Ἀφροδίτην ὠνόμασας, χαρίεντά γ' ἂν
Ἔδρασας εἰ τοῦτ' εἶπας ἐν τῇ κκλησίᾳ.
Γυ. Ἀλλ' οὐκ ἂν εἶπον. Πρ. μηδ' ἔθιζε νῦν λέγειν.
Γυ. Τὸ συμμαχικὸν αὖ τοῦθ' ὅτ' ἐσκοπούμεθα
Εἰ μὴ γένοιτ' ἀπολεῖν ἔφασκον τὴν πόλιν.
Ὅτε δὴ γ' ἐγένετ' ἤχθοντο. τῶν δὲ ῥητόρων
Ὁ τοῦτ' ἀναπείσας εὐθὺς ἀποδρὰς ᾤχετο.
Ναῦς δεῖ καθέλκειν, τῷ πένητι μὲν δοκεῖ,
Τοῖς πλουσίοις δὲ καὶ γεωργοῖς οὐ δοκεῖ.
Κορινθίοις ἄχθεσθε. κἀκεῖνοί γέ σοι.
Νῦν εἰσὶ χρηστοί, καὶ σὺ νῦν χρηστὸς γενοῦ.
Ἀργεῖος ἀμαθής, ἀλλ' Ἱερώνυμος σοφός.

A *MVL. O per Apollinem. PRA. cessa igitur, quòd ego*
Concionans non præmonebo pedem
Alterum, nisi hoc diligenter considerabitur.
MVL. Fer coronam. ego enim rursus dicam iterum:
Puto enim iam meditata esse bene,
Mihi enim ô mulieres sedentes.
B *PRA. Mulieres iterum infelix, viros dicis?*
MVL. Per Iouem, Epigonum illum, si quid aspiciens enim
Illic, ad mulieres putabam dicere.
PRA. Pereas & tu, & sedete illic.
Ipsa enim vestrûm gratia mihi dicere videor,
Hanc accipiens, deis quidem supplico
Accidere dirigens consilia.
Mihi autem æquale quidem ciuitate cum,
C *Quam vobis, doleo autem, & fero*
Has ciuitatis omnes grauiter molestias.
Video enim ipsam præstantibus vtentem
Semper malus, & si quis die vna
Bonus fit, decem autem malus fit.
Commisisti alteri, plura adhuc faciet mala.
Difficile quidem viros malos admonere,
Qui amare volentes timetis:
D *Illos autem non volentes orare semper.*
Concilijs erat, quando vtebamur
Nil omnino, sed argentum
Malum putabamus: nunc autem vtentium,
Hic quidem capiens argentum laudauit.
Non autem capiens esse morte dicit dignos,
Mercedem ferre quærentes in concilio.
MVL. Per Venerem, bene hæc dicis.
PRA. Misera Venerem nominasti, gratiosa
E *Fecisti, si hoc dixisti in concilio.*
MVL. Sed non dicam. PRA. Neque consuesce nunc dicere,
MVL. Auxiliatorium rursus hoc quando considerabamus,
Si non fieret, perire dicebant ciuitatem.
Quando autem factum fuit, dolebãt. horum autem rhetorum
F *Hic quando hoc persuadens, statim fugiens iuit.*
Naues iam detrahere pauperi quidem videtur,
Diuitibus autem & agricolis non videtur,
Corinthiis doletis. & illi tibi
Nunc sunt boni, & tu nunc bonus fies,
Argeus rudis, sed Hieronymus sapiens.

Σχόλια. Ἀκριβωθήσεται] ἀκριβῶς μελετήσεται. Ἐπίγονόν γ' ἐκεῖνον] οὗτος κωμῳδεῖται ὡς μαλακὸς καὶ ὡς μὴ γυναικὸς ὢν ἀεὶ εὐεπίσκοπος. Τὰ τῆς πόλεως] ἐντεῦθεν ἡ ὑπόκρισις τῆς δημηγορίας. Τοὺς μισθοφορεῖν] τοὺς μισθοὺς βουλομένους λαβεῖν. καὶ γὰρ παρὰ τῶν δημαγωγῶν λαμβάνουσι καὶ ὁ μὴ λαβὼν μισεῖ θέλων λαβεῖν. Τὸ συμμαχικόν] ἡ μὲν γνώμη τίς ἦν, καὶ ὑπό τινος, ἄδηλον. περὶ δὲ τοῦ συμμαχικοῦ Φιλόχορος ἱστορεῖ ὅτι πρὸ δύο ἐτῶν ἐγένετο συμμαχία Λακεδαιμονίων καὶ Βοιωτῶν.

G Bisetvs. Ἐκ τῶν προηγουμένων δῆλον ὅτι ταῦτα ὑπὸ τῆς Πραξαγόρας δημηγορούσης λέγεσθαι. διὸ καὶ τὸ τῆς γυναικὸς πρόσωπον δεῖ ἀπαλείφειν, ὡς ἐποιήσαμεν. καὶ μετ' ὀλίγον ἀντὶ τοῦ προσώπου τῆς Πρ. τὸ τῆς γυναικός, εἶτα τὸ τῆς Πρ. χωρίον.

Σχόλια. Ὁ τοῦτ' ἀναπείσας] Κόνωνα λέγει. Γεωργοῖς.] ἐβαροῦντο γὰρ ταῖς τριηραρχίαις. Κορινθίοις.] ἦσαν γὰρ διάφοροι. τὸ δὲ σοι, ὡς πρὸς τὸν δῆμον. Ἱερώνυμος

σοφός.] κατ' εἰρωνείαν. ὁ γὰρ Αργύῤῥιος σοφός. ὁ δ' Ιερώνυμος, ἀμαθής. ταῦτα δ' εἰς τὸ κωμῳδεῖσθαί τινας. τὸ A δὲ Αργύῤῥιος ὄνομα κύριον.

Σωτηρία παρέκυψεν, ἀλλ' ὀργίζεται
Θρασύβουλος αὐτὸς οὐχὶ παρακαλούμενος.
Γυ. Ως ξυνετὸς ἀνήρ. Πρ. νῦν καλῶς ἐπῄνεσας.
Υμεῖς γ' ἄρ' ἐσθ' ὦ δῆμε τούτων αἴτιοι.
Τὰ δημόσια γὰρ μισθοφοροῦντες χρήματα,
Ιδίᾳ σκοπεῖσθ' ἕκαστος ὅτι τις κερδανεῖ.
Τὸ δὲ κοινὸν ὥσπερ Αἴσιμος κυλίνδεται.
Ην οὖν ἐμοὶ πείθησθε, σωθήσεσθ' ἔτι.
Ταῖς γὰρ γυναιξὶ φημὶ χρῆναι τὴν πόλιν
Υμᾶς παραδοῦναι. καὶ γὰρ ἐν ταῖς οἰκίαις
Ταύταις ἐπιτρόποις καὶ ταμίαισι χρώμεθα.
Γυ. Εὖ γ' εὖ γε νὴ Δί' εὖ γε. λέγε λέγ' ὦ 'γαθέ.
Πρ. Ως δ' εἰσὶν ἡμῶν τοὺς τρόπους βελτίονες
Εγὼ διδάξω. πρῶτα μὲν γὰρ τἄρια
Βάπτουσι θερμῷ κατὰ τὸν ἀρχαῖον νόμον
Απαξάπασαι, κοὐχὶ μεταπειρωμένας
Ιδοις ἂν αὐτάς. ἡ δ' Αθηναίων πόλις
Εἰ τοῦτο χρηστῶς εἶχεν, οὐκ ἂν ἐσώζετο
Εἰ μή τι καινὸν ἄλλο περιειργάζετο.
Καθήμεναι φρύγουσιν ὥσπερ καὶ πρὸ τοῦ.
Επὶ τῆς κεφαλῆς φέρουσιν ὥσπερ καὶ πρὸ τοῦ.
Τὰ Θεσμοφόρι' ἄγουσιν ὥσπερ καὶ πρὸ τοῦ.
Τοὺς ἄνδρας ἐπιτρίβουσιν ὥσπερ καὶ πρὸ τοῦ.
Μοιχοὺς ἔχουσιν ἔνδον ὥσπερ καὶ πρὸ τοῦ.
Αὑταῖς παροψωνοῦσιν, ὥσπερ καὶ πρὸ τοῦ.
Τὸν οἶνον εὔζωρον φιλοῦσ' ὥσπερ πρὸ τοῦ.
Βινούμεναι χαίρουσιν, ὥσπερ καὶ πρὸ τοῦ.
Ταύταισιν οὖν ὦ 'νδρες παραδόντες τὴν πόλιν
Μὴ περιλαλῶμεν μηδὲ πυνθανώμεθα
Τί ποτ' ἄρα δρᾶν μέλλουσιν. ἀλλ' ἁπλῷ τρόπῳ
Εῶμεν ἄρχειν σκεψάμενοι ταυτὶ μόνα.
Ως τοὺς στρατιώτας πρῶτον οὖσαι μητέρες
Σώζειν ἐπιθυμήσουσιν. εἶτα σιτία
Τίς τῆς τεκούσης μᾶλλον ἐπιπέμψειεν ἄν.
Χρήματα πορίζειν εὐπορώτατον γυνή.
Αρχουσά τ' οὐκ ἂν ἐξαπατηθείη ποτέ.
Αὐταὶ γὰρ εἰσιν ἐξαπατᾶν εἰθισμέναι.
Τὰ δ' ἄλλ' ἐάσω. ταῦτα κἂν πείθησθέ μοι,
Εὐδαιμονοῦντες τὸν βίον διάξετε.

Salus declinata est, sed terminat
Thrasybulus ipse non aduocatus.
MVL. Valde intelligens vir. PRA. nunc bene laudasti.
Vos igitur estis ô populi, horum causa
Publicas mercedem ferentes res,
B *Propria consideratis vnusquisque, quid quis lucratur.*
Hoc autem commune velut Æsimus voluitur.
Si igitur mihi persuademini, saluabitis adhuc.
His enim mulieribus dico opus esse ciuitatem
Vos tradere, etenim in domibus
His commissariis & gubernatoribus vtimur.
MVL. Bene, bene per Iouem, dic, dic ô bone.
C *Quod autem nobis moribus meliores,*
Ego docebo. primùm quidem enim lanas
Tingunt calida, secundum antiquam legem
Omnes, non iterum tentantes
Videbas ipsas. hæc autem Atheniensiũ ciuitas,
Si hoc bene habet, non saluabitur,
Si non quid nouum aliud operabitur.
Sedentes siccant vt & prius,
In capite ferunt sicut & prius.
D *Thesmaphora agunt sicut & prius,*
Viros fricant sicut & prius.
Mœchos habent intus sicut & prius,
Ipsis obsoniant sicut & prius,
Vinum merum amant sicut & prius,
Subagitatæ gaudent sicut & prius,
His igitur ô viri tradentes ciuitatem
Non nugemur, neque interrogemus,
E *Quid aliquando facere volunt. sed simplici more*
Sinamus imperare, considerantes hæc sola,
Quòd exercitus primùm existentes, matres
Saluare cupiunt, postea cibos
Quis pariente magis immittat.
Res præbere facillimum mulier,
Imperans non decipietur vnquam.
Ipsæ enim sunt decipere consuetæ.
F *Hæc autem alia sinã. hæc si persuadebimini mihi,*
Bene fortunati vitam degetis.

Σχόλια. Θρασύβουλος.] οὗτος αὐθάδης καὶ δωροδόκος. ὑπερόπτης ἂν τοῦ δήμου, ἐβούλετο δι' αὐτοῦ πάντα πράττεσθαι. Τὰ δημόσια γὰρ μισθοφοροῦντες.] ὅπως μὲν αὐτοὶ κερδανεῖ τι σκοπεῖσθε. ὅπως δὲ φροντίσητε περὶ τῶν κοινῶν ἐξ ὧν μισθοφορεῖτε ἀμελεῖτε τῶν κοινῶν. Αἴσιμος.] χωλὸς ἄτιμος καὶ ἀμαθής.

Bisetus. Αἴσιμος, ὄνομα κύριον ἀνδρός τινος ἀτίμου καὶ ἀμαθοῦς, καὶ χωλοῦ. διὸ καὶ τὰ πράγματα κυλίνδεσθαι, τουτέστι χωλεύειν, ὥσπερ τὸν Αἴσιμον λέγει. αἴσιμος δὲ ἐπιθετικῶς λαμβάνον σημαίνει τὸν ἄνδρα τὸν τηροῦντα τὸ αἴσιον, ἤγουν τὸ καθῆκον, καὶ τὸ δίκαιον.

Σχόλια. Σωθήσεσθ' ἔτι.] παρέλκει τὸ ἔτι ... τοῖς Αττικοῖς. Ταμίαις.] ἐφόροις. φύλαξι. διοικηταῖς. Βάπτουσι.] πλύνουσι. Εἰ μή τι καινὸν ἄλλο.] ἀντὶ τοῦ εἰ μὴ ἐπολυπραγμόνει καὶ καινὰς ἐψηφίζετο πολιτείας. Φρύγουσι.] λέγει τὸ τεῖχος. ἐπιτρίβουσι μοιχεύουσιν ... μηδὲν πράττειν. Παροψωνοῦσιν.] ἀντὶ τοῦ λάθρα ὀψωνοῦσιν. Εὔζωρον.] ἄκρατον. Μὴ περιλαλῶμεν.] φλυαρῶμεν. Σκεψάμενοι.] οἱ ἐν τῷ ἐπαγομένων λογισάμενοι. Πορίζειν.] εὑρίσκειν. συνάγειν. Τὰ δ' ἄλλα.]
G μετὰ τὸ ἐάσω στικτέον. τὸ δὲ ταῦτα, οἷς ταῦτα συμβουλεύω. ἐν ταῖς ψυχαῖς. τύπος τοῦ διεσκευασμένου ἀποκεκρυμμένος.

Γυ.

Γυ. Εὖγ' ὦ γλυκυτάτη Πραξαγόρα καὶ δεξιῶς.
Πόθεν ὦ τάλαινα ταῦτ' ἔμαθες οὕτω καλῶς;
Πρ. Ἐν ταῖς φυγαῖς μετ' ἀνδρὸς ᾤκησ' ἐν Πυκνί.
Ἔπειτ' ἀκούουσ' ἐξέμαθον τῶν ῥητόρων.
Γυ. Οὐκ ἐτὸς ἄρ' ὦ μέλ' ἦσθα δεινὴ καὶ σοφή.
Καί σε στρατηγὸν αἱ γυναῖκες αὐτόθεν
Αἱρούμεθ', ἢν ταῦθ' ἁπινοεῖς κατεργάσῃ.
Ἀτὰρ ἢν Κέφαλός σοι λοιδορῆται προσφθαρείς,
Πῶς ἀντερεῖς πρὸς αὐτὸν ἐν τῇ 'κκλησίᾳ;
Πρ. Φήσω παραφρονεῖν αὐτόν. Γυ. ἀλλὰ τοῦτό γε
Ἴσασι πάντες. Πρ. ἀλλὰ καὶ μελαγχολᾶν.
Γυ. Καὶ τοῦτ' ἴσασιν. Πρ. ἀλλὰ καὶ τὰ τρύβλια
Κακῶς κεραμεύειν. τὴν δὲ πόλιν εὖ καὶ καλῶς.
Γυ. Τί δ' ἢν Νεοκλείδης ὁ γλάμων σε λοιδορῇ;
Πρ. Τούτῳ μὲν εἶπον ἐς κυνὸς πυγὴν ὁρᾶν.
Γυ. Τί δ' ἢν ὑποκρούωσί σε; Πρ. προσκινήσομαι
Ἅτ' οὐκ ἄπειρος οὖσα πολλῶν κρουμάτων.
Γυ. Ἐκεῖνο μόνον ἄσκεπτον, ἤν σε τοξόται
Ἕλκωσιν ὅ,τι δράσεις ποτέ. Πρ. ἐξαγκωνιῶ
Ὡδί, μέση γὰρ οὐδέποτε ληφθήσομαι.
Γυ. Ἡμεῖς δέ γ' ἢν αἴρωσ', ἐᾶν κελεύσομεν.
Πρ. Ταυτὶ μὲν ἡμῖν ἐντεθύμηται καλῶς.
Γυ. Ἐκεῖνο δ' οὐ πεφροντίκαμεν ὅτῳ τρόπῳ
Τὰς χεῖρας αἴρειν μνημονεύσομεν τότε.
Εἰθισμέναι γὰρ ἐσμὲν αἴρειν τὼ σκέλη.
Πρ. Χαλεπὸν τὸ πρᾶγμ', ὅμως δὲ χειροτονητέον,
Ἐξωμισάσαις τὸν ἕτερον βραχίονα.
Ἄγε νῦν ἀναστέλλεσθ' ἄνω τὰ χιτώνια.
Ὑποδεῖσθε δ' ὡς τάχιστα τὰς Λακωνικάς,
Ὥσπερ τὸν ἄνδρα θεᾶσθ', ὅτ' εἰς ἐκκλησίαν
Μέλλοι βαδίζειν ἢ θύραζ' ἑκάστοτε.
Ἔπειτ' ἐπειδὰν ταῦτα πάντ' ἔχῃ καλῶς,
Περιδεῖσθε τοὺς πώγωνας. ἡνίκ' ἂν δέ γε
Τούτους ἀκριβώσητε περιηρμοσμέναι

A *MVL. Bene ô dulcissima Praxagora, & aptè.*
Vnde ô misera hæc didicisti sic bene?
PRA. In Phygis cum viro habitaui in Pycnì.
Postea audiens, ex didici rhetoribus.
MVL. Non incassum ô misera os eloquens & sapiens,
Et te ducem mulieres illinc
Eligimus, si hæc quæ cogitas, facies.
B *Sed si Cephalus tibi nugatur corruptus,*
Quomodo contradices ad ipsum in concione?
PRA. Dicam desipiscere ipsum. MVL. sed hoc
Sciunt omnes. PRA. sed & furere.
MVL. Et hoc sciunt. PRA. sed & scutellas
Malè fingere, hanc autem ciuitatem bene & pulchre.
MVL. Quid si Neoclides Glamon te mordet?
C *PRA. Huic quidem dixi in canis culum videre.*
MVL. Quid autem si verberabunt te? PRA. Admouebor,
Tamen non inexperta existens multorum verberum.
MVL. Illud solum inconsideratum, si tibi sagittarij
D *Trahent, quicquid facies aliquando. PRA. explicabo*
Sic, media enim nunquam capiar.
MVL. Nos autem si eleuant, sinere iubebimus.
PRA. Hæc quidem nobis memorata sunt bene.
MVL. Illud autem non considerabimus, quomodo
Manus eleuare meminerimus tunc,
E *Consueta enim sumus extollere crura.*
PRA. Difficilis res, tamen autem consentiendum
Extollentibus alterum brachium.
Age nunc trahite supra vestes,
Subligate quàm citissimè Laconicas,
Quemadmodum virum videtis, quando in cōcilium
Vult ire, vel foras semper:
F *Posteaquam hæc omnia habeas bene,*
Induimini barba, quando
Hæc feceritis circumaptata.

Σχόλια. Ἐν Πυκνί.] ἀντὶ τοῦ ἐν τῇ ἐκκλησίᾳ. ὡς ἀποκεκρυμμένων ἐκείνων τῶν ἱερῶν καὶ δυναμένων ἐκεῖ κρύπτεσθαι ἐπὶ τῆς φυγῆς τῶν τριάκοντα. Ὦ μέλ' ἦσθα.] παρέλκει τὸ μέλε. Αὐτόθεν] ἀπὸ τοῦ παρόντος χρόνου. Κέφαλός σοι] δημαγωγὸς οὗτος ἕτερος οὐχ ὃν λέγει Δημοσθένης ἀλλὰ λοίδορος. Τρύβλια] εἶδος ὀξυβάφου τὸ τρύβλιον. Κεραμεύειν] ἀπὸ κοινοῦ τὸ κεραμεύειν. ἀντὶ τοῦ κατεργάζεσθαι. ἦν δὲ κεραμέως πατρὸς ὁ Κέφαλος. ἐλέγετο δὲ κεραμεύειν, καὶ τὸ κακῶς ποιεῖν τὰ κοινά. Νεοκλείδης ὁ γλάμων] ὁ ἔχων τοὺς ὀφθαλμοὺς μεστοὺς ἀκαθαρσίας. ὁ λημῶν. ἐκωμῳδεῖτο δὲ ὡς συκοφάντης καὶ ξένος καὶ κλέπτης. Ἐς κυνὸς πυγὴν] παροιμία ἐς κυνὸς πυγὴν ὁρᾶν καὶ τριῶν ἀλωπέκων. λέγεται δὲ ἐπὶ τῶν ὀφθαλμιώντων. Ὑποκρούωσί σε.] ὑποβάλλωσί σε. λαμβάνωνταί σου. Πολλῶν κρουμάτων] ἔπαιξε παρὰ τὴν ὁμωνυμίαν τῆς συνουσίας. Ἐξαγκωνιῶ] τοὺς ἀγκῶνας ὑπὸ τὰς πλευρὰς ποιήσω. οὐδέποτε γὰρ οὕτω μέση
G ληφθήσομαι. ἄλλως. παραδηλώσω ἵνα τῶν χειρῶν ἕλῃ με καὶ μὴ μέσην ἄρας με, γνῷ ὅτι γυνή εἰμι ἐκ τῶν τιτθίων. Τὰς χεῖρας αἴρειν] ὥσπερ οἱ ῥήτορες οἱ χειρόμενοι. Ἐξωμισάσαις] ἄχρι τῶν ὤμων γυμνωθείσαις. Ὑποδεῖσθε] ὑποδεσμεύσατε.

Καὶ θοἰμάτια τἀνδρεῖα τά περ ἐνλέψατε
Επαναβάλλεσθε· κᾆτα ταῖς βακτηρίαις
Επερειδόμεναι, βαδίζετ' ᾄδουσαι μέλος
Πρεσβυτικόν τι. τὸν τρόπον μιμούμεναι
Τὸν τῶν ἀγροίκων. Γυ. εὖ λέγεις. ἡμεῖς δὲ γε
Προΐωμεν αὐτῶν. καὶ γὰρ ἑτέρας οἴομαι
Εκ τῶν ἀγρῶν εἰς τὴν Πνύκ' ἥξειν ἄντικρυς
Γυναῖκας. ἀλλὰ σπεύσαθ' ὡς εἴωθ' ἐκεῖ
Τοῖς μὴ παροῦσιν ὀρθρίοις ἐς τὴν Πύκνα,
Υπαποτρέχειν ἔχουσι, μηδὲ πάτταλον.

A Et vestes viriles quas furati estis,
Suprà iacite, & postea baculis
Firmatae, ite canentes cantum,
Senilem aliquem morem imitantes
Illum agrestium. MVL. bene dicis. nos autem
B Praeamus ipsis, etenim alias puto
Ex agris in Pnycum venire aperiè
Mulieres. sed festinate, quod consuetum est illic
Non praesentibus diluculo in Pnycum,
Reuerti habentibus neque palum.

Σχόλια. Προΐωμεν αὐτῶν] προηγησώμεθα τῶν λοιπῶν γυναικῶν. Υπαποτρέχειν] ὀπίσω τρέχειν Πάτταλον] τὸ τυχόν. οἱ γὰρ ὕστερον ἐλθόντες, οὐκ ἐλάμβανον τὸ ἐκκλησιαστικόν.

Bisetus. Παροιμιακῶς τοῦτο λέγεται. τουτέστι μηδὲ μικρότατόν τι. τινὲς δὲ πάσσαλον, ἢ πασσάλιν χεδφυσιν, ὅπερ τὸ τοῦ ἀλεύρου λεπτότατον σημαίνει. τινὲς δὲ C πάσσαλον τὸν κέγχρον καλοῦσι, ὃς τοὺς κόκκους ἐλαχίστους ἔχει. ἀλλὰ καὶ τοῦτο καλῶς ἔχει.

ΧΟΡΟΣ ΓΥΝΑΙΚΩΝ.

CHORVS MVLIERVM.

Bisetus. Αἱ γυναῖκες ἀνδρείᾳ κατασκευῇ καὶ σχήματι κεκοσμημέναι, καὶ ἐν ἀλλήλαις προμελετήσασαι ἃ καὶ λέγειν, καὶ πράττειν ἔμελλον, εἰς τὴν ἐκκλησίαν προέρχονται.

Χο. Ὥρα προβαίνειν ὦ 'νδρες ἡμῖν ἐστι. τοῦτο γὰρ χρὴ
Μεμνημένας ἀεὶ λέγειν ὡς μή ποτ' ἐξολίσθῃ
Ημᾶς. ὁ κίνδυνος γὰρ οὐχὶ μικρὸς ἢν ἁλῶμεν
Ενδυόμεναι κατὰ σκότου τόλμημα τηλικοῦτον.
Χωρῶμεν εἰς ἐκκλησίαν ὦ 'νδρες. ἠπείλησε γὰρ
Ο θεσμοθέτης ὡς ἂν μὴ πρῴ πάνυ τῷ κνέφους,
Ηκῃ κεκονιαμένος βλέπων ὑπότριμμα,
Στέργων σκοροδάλμη μὴ δώσειν τριώβολον.
Αλλ' ὦ Χαριτιμίδη καὶ Σμίκυθε καὶ Δράκη
Επου κατεπείγων σαυτὸν προσέχων ὅπως
Μηδὲν παραχορδιῆς ὧν δεῖ σ' ἀποδεῖξαι.
Οπως δὲ τὸ σύμβολον λαβόντες ἔπειτα πλησίοι καθεδούμεθ' ὡς ἂν χειροτονῶμεν
Απανθ' ὁπόσ' ἂν δέῃ τὰς ἡμετέρας φίλας.
Καίτοι τί λέγω φίλους γὰρ χρῆν ὀνομάζειν.
Ορα δ' ὅπως ὠθήσομεν τούσδε τοὺς ἐξ ἄστεως

D CHO. Hora procedere ô viri nobis est, hoc enim oportet.
Memores semper dicere, vt non aliquando labefaciat
Nos. periculum enim non paruum, si capti erimus,
Induta in tenebris audaciam talem.
Eamus in concilium ô viri, minatus est enim
Praeco, vt non mane valde tenebris
E Venerit pulueratus, aspiciens torue
Amans pultem non dare triobolum.
Sed ô Chariti vna, vel Smicythe & Drace
Sequere vrgens te ipsam, attendens vt
Nil discors, quae oportet te ostendere.
Vt autem symbolum capientes postea propinqui sedeamus, vt feramus sententias,
Omnia quae cum oportet nostras amicas.
F Tamen quid dico? amicos enim oportebat me nominare.
Vide autem, vt expellamus hos ex ciuitate

Bisetus. Εξολίσθῃ] ἀντὶ τοῦ ἡμᾶς ἐκφεύγῃ. ἐκ τῆς ἡμῶν ψυχῆς. καὶ μνήμης ὀλίσθῃ, τουτέστιν ἐκπέσῃ. τοῦτο δὲ μεταφορικόν.

Σχόλια. Ενδυόμεναι] καταδυόμεναι εἰς τηλικαύτην τόλμαν λάθρα. Χωρῶμεν] τοῦτ' ἔστι τὸ μέλος, ὃ εἶπεν ἔνδον αὐταῖς τὸ ἀγροικικόν. Θεσμοθέτης] ἀρχή τις G Αθήνησιν ἐξ ὄντων τὸν ἀριθμόν. καίτοι ἐκ τῶν κληρουμένων, ἐννέα ἀρχόντων. καλοῦνται δὲ οὕτως ὅτι τῶν νόμων τὴν ἐπιμέλειαν εἶχον. ὅτι δὲ τοὺς νόμους οὗτοι διωρθοῦν κατ' ἐνιαυτὸν ἕκαστον, εἴρηκεν Αἰσχίνης ἐν τῷ κατὰ Κτησιφῶντος πρῴ δὲ μονοσυλλάβως, ἀντὶ τοῦ πρωΐ. ἔτι κνέφους ὄντος. Υπότριμμα] δριμὺ. οἱ γὰρ δικάζοντες ὀφείλουσι δριμεῖς εἶναι.

Bisetus. Ωσαύτως καὶ βλέπειν νᾶπυ, ἢ ὀρίγανον λέγονται οἱ δριμεῖς ἄνθρωποι, ὥς φησιν Εὐστάθιος. καὶ βλέπειν Αρην, ἀντὶ τοῦ πολεμικὸν, καὶ ἄχρειον βλέπειν. ὑπότριμμα δὲ, ὥς φησιν ὁ Σουίδας καὶ Ησύχιος, ἥδυσμα ποιόν ἦν, ὃ ἐκ τε φοινίκων, καὶ μέλιτος, καὶ κυμίνου, καὶ ἄλλων τινῶν ἀρτυμάτων ἐποιεῖτο. ἀλλὰ ἡ λέξις ἐνταῦθα πικρότερόν τι καὶ ὀξύτερον σημαίνειν ἔοικε. τούτων δὲ πάντων αὕτη ἐστὶν ἡ σύνταξις. Ο θεσμοθέτης γὰρ βλέπων ὑπότριμμα, καὶ στέργων σκοροδάλμην ἠπείλησε μὴ δώσειν τριώβολον ἐκείνῳ ὅπου ἂν ὅστις ἂν μὴ πάνυ πρῴ τοῦ κνέφους ἥκῃ κεκονιαμένος, εἴτε κεκονιαμένους. καὶ ἐγκονιῶς,

ἐγκοτῶν, καὶ οἱονεὶ διὰ τὴν ἄγαν σπουδὴν κονίως πεπληρωμένος.

• Σχόλια. Στίργων] ἡδόμενος σκορόδοις, καὶ τοῦτο ἀγροικικόν.

Bisetus. Ω Χαριτιμία] ὦ Χαριτιμία, ἐν μιᾷ λέξει γραπτέον, ὅπερ, ὡς καὶ τὸ ἑξῆς, ὄνομα κύριον.

Ηκοντας. ὅσοι πρὸ τοῦ μὲν ἡνίκ' ἐλθόντ' ἔδει

Λαβεῖν ὀβολὸν μόνον, κάθηντο λαλοῦντες.

Νυνὶ δ' ἐνοχλοῦσ' ἄγαν. ἀλλ' οὐχὶ Μυρωνίδης

Οτ' ἦρχεν ὁ γεννάδας, οὐδεὶς ἂν ἐτόλμα

Τὰ τῆς πόλεως διοικεῖν, ἀργύριον φέρων.

Αλλ' ἧκεν ἕκαστος ἐν ἀσκιδίῳ φέρων

Πιεῖν ἅμα τ' ἄρτον αὖ καὶ δύο κρομμύω.

Καὶ τρεῖς ἂν ἐλάας. νυνὶ δὲ τριώβολον

Ζητοῦσι λαβεῖν, ὅταν πράττωσί τι κοινὸν ὥσ-

περ πηλοφοροῦντες.

Σχόλια. Μυρωνίδης.] τῶν εὐδοκιμωτάτων ἦν ὁ στρατηγός. Εν ἀσκιδίῳ.] πρὸς τὸ ἀρχαῖον ἔθος σχηματίζεται. Πηλοφοροῦντες.] ὡς χειροτέχναι καὶ μισθωτοί.

A Σχόλια. Μηδὲν παρὰ χορδὰς.] παρὰ ῥυθμὸν ποιήσεις, μηδὲν παραφθέγξῃ. ἀλλὰ δεῖ εἰπεῖν ὅπως. (Bisetus. Η μεταφορὰ ἀπὸ τῶν μουσικῶν ὀργάνων, ὧν οἱ ἄπειροι χορδὰς ἀντὶ χορδῶν παρὰ τὸν ῥυθμὸν, καὶ μελῳδίαν σκαιῶς κρούουσι.) σύμβολον δέ τι δηλοῖ φανερὸν ἤδη. Ορα δ' ὅπως] ὁρᾷ ἄνδρας προσιόντας ἐν τῇ ἐκκλησίᾳ.

Venientes, quicunque antea quidem, quãdo venientem oportebat

B *Capere obolum solum, sedebant loquentes.*

Nunc autem turbant valde. Sed non Myronides,

Quando imperabat ille generosus, nullus audebat

Hac ciuitatis gubernare argentum ferens:

Sed veniebat singulus in vtriculo ferens

Bibere, simulque panem rursus, & duas cepas,

Et tres oliuas: nunc autem triobolum

C *Quærunt accipere, quando faciunt aliquid commune, tanquam*

Lutum ferentes.

ΒΛΕΠΥΡΟΣ ΑΝΗΡ ΠΡΑΞΑΓΟΡΑΣ, ΕΤΕΡΟΣ ΑΝΗΡ.

D

BLEPYRVS VIR PRAXAGORÆ, ALIVS VIR.

• Bisetus. Βλέπυρος ὁ Πραξαγόρας ἀνὴρ εἰς τὸ προσκήνιον προέρχεται, καὶ μετά τινος ἄλλου ἑαυτοῦ γείτονος περὶ τῆς γυναικὸς ἀπουσίας διαλεγόμενος ἀγανακτεῖ, καὶ δυσφορεῖ. ὁ δὲ ταὐτὸν ἑαυτῷ συμβῆναι λέγει.

Βλ. Τί τὸ πρᾶγμα. ποῖ ποθ' ἡ γυνὴ φρούδη 'στί μοι;

Επεὶ πρὸς ἕω νῦν γ' ἐστὶν, ἡ δ' οὐ φαίνεται.

Εγὼ δὲ κατάκειμαι πάλαι χεζητιῶν

Τὰς ἐμβάδας ζητῶν λαβεῖν ἐν τῷ σκότῳ

Καὶ θοἰμάτιον, ὅτε δ' ἤδ' ἐκεῖνο ψηλαφῶν

Οὐκ ἐδυνάμην εὑρεῖν, ὁ δ' ἤδη τὴν θύραν

Επεῖχε κρούων ὁ Κοπρεαῖος, λαμβάνω

Τουτὶ τὸ τῆς γυναικὸς ἡμιδιπλοΐδιον.

Καὶ τὰς ἐκείνης Περσικὰς ὑφέλκομαι.

Αλλ' ἐν καθαρῷ ποῦ ποῦ τις ἂν χέσας τύχοι.

Η πανταχοῦ τοι νυκτὸς ἐστὶν ἐν καλῷ;

Οὐ γάρ με νῦν χέζοντά γ' οὐδεὶς ὄψεται.

Οἴμοι κακοδαίμων, ὅτι γέρων ὢν ἠγόμην

Γυναῖχ'. ὅσας εἰμ' ἄξιος πληγὰς λαβεῖν:

Οὐ γάρ ποθ' ὑγιὲς οὐδὲν ἐξελήλυθε

Δράσουσ' ὅμως δ' οὖν ἐστιν ἀποπατητέον.

Αν. Τίς ἐστιν; οὐ δήπου Βλέπυρος ὁ γειτνιῶν,

Βλ. Νὴ τὸν Δί' αὐτὸς δῆτ' ἐκεῖνος. Αν. εἰπέ μοι

Τί τοῦτό σοι τὸ πυρρόν ἐστιν; οὔτι που

Κινησίας σου κατατετίληκεν. Βλ. πόθεν;

Οὐκ. ἀλλὰ τῆς γυναικὸς ἐξελήλυθα

Τὸ κροκωτίδιον ἀμπισχόμενος, ὃ 'νδύεται.

BLE. *Qua res? vbi vbi mulier inanis est mihi,*

Quoniam ad aurora nunc est, hæc non apparet.

Ego autem iaceo diu cacaturiens,

E *Calceamenta quærens capere in obscuritate,*

Et pallium. quando autem & illud palpans

Non potui inuenire, hoc iam portam

Tenebat pulsans intestinum, capio

Hanc mulieris semiuestem,

Et illius persicas traho.

Sed in puro vbi vbi aliquis cacans continget?

Certè vbique nocte est in bono.

Non enim me nunc cacantem nullus videbit.

F *Hei mihi infelici, quòd senex existens duxi*

Vxorem, quot sum dignus plagas capere.

Non enim vnquam sanum nil exiuit

Faciens, tamen autem est cacandum.

VIR. *Quis est? nō Blepyrus ille propè habitans?*

BLE. *Per Iouem ipse certè ille.* VIR. *dic mihi,*

Quid hoc tibi rubrum est? non

Cinesias te incacauit molliter? BLE. *vnde?*

G *Non, sed muliere exiui;*

Vestulam indutus quam induebatur.

Σχόλια. Ο Κοπρεαῖος] βούλεται εἰπεῖν ὡς ὅτι ἠπειγόμην ἀποπατῆσαι.

Bisetus. Παίζων δὲ ὄνομα πεποίηκε παρὰ τὸν κόπρον, τουτέστι τὸ ἀποπάτημα, ὅπερ ἐθέλων ἀποπατεῖν, λέγει τὴν θύραν τῆς γαστρὸς ὑπὸ τοῦ Κοπρεαίου κρούεσθαι.

Σχόλια. Ημιδιπλοΐδιον] τὸ γυναικεῖον ἱμάτιον.

ἢ ἀναβόλαιον γυναικεῖον. Περσικάς.] εἶδος ὑποδήματος. Τρίλλομαι] ἀντὶ τοῦ περιδινοῦμαι. ὑποδέομαι. Ἐν καθαρῷ.] ἐν ἐρημίᾳ. Κροκώτιον] ὑποκοδύομαι.

A εἰς ἱκάς. εἴρηται δὲ ἐν Βατράχοις ὅτι ἔνδυμά ἐστι διονυσιακὸν ὁ κροκωτός. ἐνταῦθα δὲ δῆλον ὡς γυναικεῖον. ἀμπισχόμενος δὲ, περιβεβλημένος.

Αν. Τὸ δ' ἱμάτιόν σου ποῦ 'στιν; Βλ. οὐκ ἔχω φράσαι.
Ζητῶν γὰρ αὔτ' οὐχ ηὗρον ἐν τοῖς στρώμασιν.
Αν. Εἶτ' οὐδὲ τὴν γυναῖκ' ἐκέλευσάς σοι φράσαι;
Βλ. Μὰ τὸν Δί'· οὐ γὰρ ἔνδον οὖσα τυγχάνει.
Ἀλλ' ἐκτετρύπηκε λαθοῦσά μ' ἔνδοθεν.
Ὃ καὶ δέδοικα μή τι δρᾷ νεώτερον.
Αν. Νὴ τὸν Ποσειδῶ, ταὐτὰ τοίνυν ἄντικρυς
Ἐμοὶ πέπονθας. καὶ γὰρ ᾗ ξύνειμ' ἐγώ,
Φρούδη 'στ' ἔχουσα θοἰμάτιον οὑγὼ 'φόρουν.
Κοὐ τοῦτο λυπεῖ μ', ἀλλὰ καὶ τὰς ἐμβάδας.
Οὔκουν λαβεῖν γ' αὐτὰς ἐδυνάμην οὐδαμοῦ.
Βλ. Μὰ τὸν Διόνυσον, οὐδ' ἐγὼ γὰρ τὰς ἐμὰς
Λακωνικάς. ἀλλ' ὡς ἔτυχον χεζητιῶν,
Ἐς τὼ κοθόρνω τὼ πόδ' ἐνθεὶς ἵεμαι,
Ἵνα μὴ 'γχέσαιμ' ἐς τὴν σισύραν. φανὴ γὰρ ἦν.
Αν. Τί δῆτ' ἂν εἴη; μῶν ἐπ' ἄριστον γυνὴ
Κέκληκεν αὐτὴν τῶν φίλων; Βλ. γνώμην γ' ἐμήν.
Αν. Οὔκουν πονηρά γ' ἐστὶν ὅ τι κἄμ' εἰδέναι.
Ἀλλὰ σὺ μὲν ἱμονιάν τιν' ἀποπατεῖς. ἐμοὶ
Δ' ὥρα βαδίζειν ἐστὶν εἰς τὴν ἐκκλησίαν,
Ἤνπερ λάβω θοἰμάτιον ὅπερ ἦν μοι μόνον.
Βλ. Κἀγώ γ' ἐπειδὰν ἀποπατήσω. νῦν δέ μου
Ἀχράς τις ἐγκλείσασ' ἔχει τὰ σιτία.
Αν. Μῶν ἣν Θρασύβουλος εἶπε τοῖς Λακωνικοῖς;
Βλ. Νὴ τὸν Διόνυσον ἐνέχεται γοῦν μοι σφόδρα.
Ἀτὰρ τί δράσω; καὶ γὰρ οὐδὲ τοῦτό με
Μόνον τὸ λυποῦν ἐστιν. ἀλλ' ὅταν φάγω,
Ὅποι βαδιεῖταί μοι τὸ λοιπὸν ἡ κόπρος.
Νῦν μὲν γὰρ οὗτος βεβαλάνωκε τὴν θύραν,
Ὅστις ποτ' ἐστ' ἄνθρωπος Ἀχραδούσιος.
Τίς ἂν ἰατρόν μοι μετέλθοι καὶ τίνα;
Τίς τῶν καταπρώκτων δεινός ἐστι τὴν τέχνην;
Ἆρ' οἶδ' Ἀμύνων; ἀλλ' ἴσως ἀρνήσεται.
Ἀντισθένην τις καλεσάτω πάσῃ τέχνῃ.
Οὗτος γὰρ ἁνὴρ ἕνεκά γε στεναγμάτων
Οἶδε τί πρωκτὸς βούλεται χεζητιῶν.
Ὦ πότνι' Εἰλείθυια μή με περιίδῃς
Διαρραγέντα μηδὲ βεβαλανωμένον,
Ἵνα μὴ γένωμαι σκωραμὶς κωμῳδική.

VIR. Illa autē vestis tui vbi est? BLE. non possum dicere,
Quærens enim ipsam non inueni in lectis.
VIR. Postea neque vxorem iussiste ducere.
BLE. Per Iouē, nō enim intus existens cōtingit,
B *Sed per foramen exiuit latens me intus.*
Quod & timui, ne quid faciat nouius.
VIR. Per Neptunum, eadem igitur apertè
Mihi passus es: etenim qua cum habitabam ego,
Vana est habens pallium quod ego ferebam.
Et non hoc tristificat me, sed & calceamenta
Non capere ipsa potui nullo modo.
BLE. Per Dionysium, neque ego enim mea
Laconica, sed vt euenit cacaturiens
C *In cothurnum pedes imponens mitto,*
Vt nō cacarem in vestem, splendida enim erat.
VIR. Quid igitur fuerit? nūquid ad cœnā mulier
Vocauit ipsā amicorū? BLE. sententiam meam.
VIR. Non mala sunt, quantum & me scire.
Sed tu quidem chordam vnam cacas, mihi
Autem hora ire est in concilium,
Si capiam, quod erat mihi solum.
D *BLE. Et ego postquā cacauero, nunc autem mei*
Pyrum syluestre quoddam serans tenet cibos.
VIR. Nūquid quod Thrasybulus dixit Laconicis?
BLE. Per Bacchū, inest igitur mihi vehemēter.
Sed quid faciam? etenim neque hoc me
Solum tristificans est, sed quando comedo,
Quò it mihi deinceps stercus?
Nunc quidem enim hic seruauit portam,
Quicunque vnquam est homo pyrificus.
E *Quis igitur medicum mihi aduocabit, & quem?*
Qui dilatantium culum peritus est artes?
Certè scio Amynon, sed fortè negabit,
Antisthenem aliquis vocato omni industria.
Hic enim vir gratia suspirationum
Scit, quid culus vult cacaturiens.
O veneranda Lucina, ne me spernas,
F *Disruptum neque inclusum,*
Vt non fiam catinus ebrialis.

BISETVS. Ἐκτετρύπηκε] Ἡσύχιος. ἐκτετρυπηκέναι, ἐξελθεῖν λεληθότως. ἐκτρυπᾶν δὲ κυρίως λέγεσθαι δοκεῖ περὶ μυῶν, οἵπερ ἐκ τῶν τρυπημάτων μάλιστα ἐντὸς λάθρα ἐξέρχεσθαι φιλοῦσι.

Σχόλια. Κοθόρνω.] κόθορνος εἶδος ὑποδήματος ἁρμόζον ἀμφοτέροις ποσί. Τὴν σισύραν] τὸ μαλλωτὸν στρῶμα. φανὴ δὲ, λαμπρὰ καθαρά. Γνώμην ἐμὴν] κατὰ τὴν ἐμὴν γνώμην καὶ οἴησιν. Ἱμονιάν] ἱμονιὰ καλεῖται τὸ σχοινίον ἐν ᾧ ἀρύονται τοῦ ὕδατος. ταῦτα δὲ λέγει, ὡς αὐτοῦ μακρὰ ἀποπατοῦντος καὶ χέζοντος. Ἀχράς τις] στύφουσιν τῇ γαστρὶ παρέχει ὁ λεγόμενος παρ' ἡμῖν ἄπιος. οὕτω γὰρ καὶ Πλάτων ἐν νόμοις ἀπίους εἴρηκεν. οὐ μόνον δὲ ἀλλὰ καὶ παρ' Ἀλέξιδι, καὶ ἐν ἀγρίοις Φερεκράτης. πρὶν ἀνακυκῆσαι τοὺς ἀπίους ἁρπαζέτω. ἐπέχει δὲ τὴν γαστέρα ἡ ἀ-
G χράς. Θρασύβουλος.] οὗτος ἀντιλέγειν μέλλων τοῖς Λακεδαιμονίοις πρέσβεσι περὶ σπονδῶν ἐληλυθόσιν, εἶτα δωροδοκήσας, ἀχράδας προσεποιήσατο βεβρωκέναι καὶ μὴ δύνασθαι λέγειν. Ἀλλ' ὅταν φάγω.] ἀγνοῶ δὲ ἐὰν φάγω οὕτω τὴν γαστέρα στενούμενος εἰς ποῖον τόπον χωρήσει ἡ ἔνδον κόπρος. Βεβαλάνωκεν] ἀπέκλεισεν. βάλανος γὰρ τὸ εἰς τὸν μοχλὸν σιδήρεον ὃ καλοῦμεν μάγγανον. ταῦτα δὲ εἴρηται καὶ ἐν ἄλλοις.

BISETVS. Ἀχραδούσιος] γέλωτος χάριν ὡς ἀνθρώπου ἀπό τινος δήμου ὄνομα τοῦτο ἔπλασε παρὰ τὴν ἀχράδα, ἀντὶ τοῦ ἡ ἀχράς. Ἀχραδοῦς δὲ, δῆμος τῆς Ἀττικῆς. ὁ δημότης, Ἀχραδούσιος. τοῦτο οὖν παίζων λέγει, ὡς καὶ κατωφαγᾶ ἄνθρωπον ἀναφλύστιον καλεῖ, παρὰ τὸ ἀναφλᾶν.

Τῶν

Τῶν καταπρώκτων] καὶ ἐνταῦθα ἐξ ἔθους ὁ ποιητὴς A αἰσχρᾷ εὐτραπελίᾳ χρῆται παίζων πρὸς τὰ φάρμακα, ἃ κατάπαστα καλεῖται. τοὺς δὲ ἰατροὺς ὡς καταπύγωνας αἰνίττεται. ὁ δὲ νοῦς οὗτος, τίς ἐστι τῆς καταπυγοσύνης ἐμπειρότατος; ἢ, ὃ καὶ ἁπλούστερον, τίς κάλλιστα οἶδε τὰ φάρμακα τῷ πρωκτῷ τῷ νοσοῦντι χρησιμώτατα;

Σχόλια. Ἀμυνων] ῥήτωρ ὑπειρηκώς. οὐκ ἰατρὸς ὁ Ἀμύνων. καὶ ὁ Ἀντισθένης δὲ ἰατρὸς θηλυδρώδης. Εἰλείθυια.] ἐπεὶ αἱ ὠδίνουσαι ἐπικαλοῦνται τὴν Εἰλείθυιαν. καὶ αὐτὸς οὖν στενοχωρούμενος ἐπικαλεῖται αὐτήν. Σκωραμὶς] ἀμὶς μὲν ἐν ᾧ οὐροῦσι. σκωραμὶς δὲ ἐν ᾧ ἀποπατοῦσιν.

B

ΧΡΕΜΗΣ, ΒΛΕΠΥΡΟΣ.

Βισετυς. Χρέμης ἐκ τῆς ἐκκλησίας ἐπανελθὼν τὰ ἐν αὐτῇ πεπραγμένα τῷ Βλεπύρῳ διηγεῖται.

Χρ. Οὗτος τί ποιεῖς, οὔτι που χέζεις; Βλ. ἐγώ;
Οὐ δῆτ' ἔτι γε μὰ τὸν Δί', ἀλλ' ἀνίσταμαι.
Χρ. Τὸ τῆς γυναικὸς δ' ἀμπέχει χιτώνιον.
Βλ. Ἐν τῷ σκότῳ γὰρ τοῦτ' ἔτυχον ἔνδον λαβών.
Ἀτὰρ πόθεν ἥκεις ἐτεόν. Χρ. ἐξ ἐκκλησίας.
Βλ. Ἤδη, λέλυται γάρ. Χρ. νὴ Δί' ὄρθριον μὲν οὖν.
Καὶ δῆτα πολὺν ἡ μίλτος ὦ Ζεῦ φίλτατε
Γέλων παρέσχεν ἣν προσέρραινον κύκλῳ.
Βλ. Τριώβολον δῆτ' ἔλαβες; Χρ. εἰ γὰρ ὤφελον.
Ἀλλ' ὕστερος νῦν ἦλθον, ὥστ' αἰσχύνομαι.
Μὰ τὸν Δί' οὐδὲν ἄλλον ἢ τὸν θύλακον.
Βλ. Τὸ δ' αἴτιον τί. Χρ. πλεῖστος ἀνθρώπων ὄχλος
Ὅσος οὐδεπώποτ' ἦλθεν ἀθρόος ἐς τὴν Πνύκα.
Καὶ δῆτα πάντες σκυτοτόμοις εἰκάζομεν
Ὁρῶντες αὐτούς. οὐ γὰρ ἀλλ' ὑπερφυῶς
Ὡς λευκοπληθὴς ἦν ἰδεῖν ἡκκλησία.
Ὥστ' οὐκ ἔλαβον οὔτ' αὐτὸς οὔτ' ἄλλοι συχνοί.
Βλ. Οὐδ' ἄρ' ἂν ἐγὼ λάβοιμι νῦν ἐλθών; Χρ. πόθεν;
Οὐδ' εἰ μὰ Δία τότ' ἦλθες, ὅτε τὸ δεύτερον
Ἀλεκτρυὼν ἐφθέγγετο. Βλ. οἴμοι δείλαιος
Ἀντίλοχ' ἀποίμωξόν με τοῦ τριωβόλου
Τὸν ζῶντα μᾶλλον. τἀμὰ γὰρ διοίχεται.
Ἀτὰρ, τί τὸ πρᾶγμ' ἦν ὅτι τοσοῦτον χρῆμ' ὄχλου
Οὕτως ἐν ὥρᾳ ξυνελέγη; Χρ. τί δ' ἄλλο γ' ἢ
Ἔδοξε τοῖς Πρυτάνεσι περὶ σωτηρίας
Γνώμας καθεῖναι τῆς πόλεως. κᾆτ' εὐθέως
Πρῶτος Νεοκλείδης ὁ γλάμων παρείρπυσεν.
Κἄπειθ' ὁ δῆμος ἀναβοᾷ πόσον δοκεῖς.
Οὐ δεινὰ τολμᾶν τουτονὶ δημηγορεῖν,
Καὶ ταῦτα περὶ σωτηρίας προκειμένου.
Ὃς αὐτὸς αὑτῷ βλεφαρίδ' οὐκ ἐσώσατο.
Ὁ δ' ἀναβοήσας καὶ περιβλέψας ἔφη,
Τί δαί με χρὴ δρᾶν. Βλ. σκόροδ' ὁμοῦ τρίψαντ' ὀπῷ,
Τιθυμάλλου ἐμβαλόντα τοῦ Λακωνικοῦ
Σαυτοῦ παραλείφειν τὰ βλέφαρα τῆς ἑσπέρας,
Ἔγωγ' ἂν εἶπον εἰ παρὼν ἐτύγχανον.

CHREMES; BLEPYRUS.

CHR. Hic quid facis? non cacas? BLE. ego,
Non certè adhuc per Iouem, sed resurgo.
C CHR. Mulieris autem indutus es tribonium.
In tenebris enim hoc contigit intus capiens.
Sed unde venis verè? CHR. ex concilio.
BLE. Iam solutum est enim? CHR. per Iouem diluculo quidem igitur, (ctissime,
Et certè multum terram rubram ô Iupiter dile-
Risum præbuit, quam dispersit circulo.
BLE. Triobolum igitur accepisti? CHR. utinam enim debuissem,
Sed ultimus nunc iui. quare erubesco
D Per Iouem nil aliud quàm utrem. (turba
BLE. Hæc causa quæ? CHR. plurima hominũ
Quanta nunquam venit densè in Pnyca.
Et certè omnes coriarÿ assimulamus
Videntes ipsos. non enim, sed eximiè,
Valde albam multitudinẽ erat videre conciliũ,
Quare non accepi, neque ipse, neque alÿ densi.
BLE. Neque ego capiã nunc iens. CHR. unde?
Neque si per Iouem tunc venisses, quãdo secũdò
Gallus cantasset. BLE. hei miser,
E Antiloche, luge triobolo
Viuentem magis, mea enim præterierunt.
Sed quæ res fuit, quòd tanta res multitudinis
Sic in hora cõgregata est? CHR. quid aliud, quã
Visum est gubernatoribus circa salutem
Sententias deponere ciuitatis? & postea statim
Primus Neoclides luscus serpsit,
Et postea populus reclamat (quantum putas?)
F Non eloquentia audire hunc concionari.
Et maximè circa salutem præiacente,
Quòd ipse sibiipsi palpebras non saluauit.
Hic autem reclamans, & circumspiciens dixit;
Quid autẽ me oportet facere? BL. allia simulterentẽ lacte ficus
Lactariã iniicientẽ Laconici,
Tibi ipsi ungere palpebras vespere,
Ego dixissem, si præsens contigissem.

Σχόλια. Οὗτος τί ποιεῖς] ἀνήρ τις ἐπανιὼν ἀπὸ τῆς G ἐκκλησίας Χρέμης. Ἡ μίλτος] κατὰ γὰρ τὴν ἀγορὰν ἐνέβαλον εἰς ἐκκλησίαν τοὺς Ἀθηναίους μεμιλτωμένῳ σχοινίῳ. μίλτος δὲ χρώματος εἶδος ἐρυθροῦ. καὶ Ὅμηρος νῆες μιλτοπάρειοι. προσέρραινον δὲ προσέβαλον. θύλακον δὲ ἀρτοθήκην σημαίνει καὶ ἐν Πλούτῳ ζήτει. αἰσχύνομαι φασὶν ἐπεὶ κενὸς ἔσται. Σκυτοτόμοι.] ἐπεὶ ἐν σκιᾷ καθεζόμενοι ἐργάζονται, τοῦτο ἔφη. Τὸ δεύτερον.] ὁ γὰρ ἀλεκτρυὼν τρίτον φθέγγεται. Ἀποίμωξόν με] παρὰ τὰ ἐξ Αἰσχύλου Μυρμιδόνων. Ἀντίλοχ' ἀποίμωξόν με τοῦ τεθνηκότος τὸν ζῶντα μᾶλλον. Τἀμὰ γὰρ διοίχεται.] ἀντὶ τοῦ ἀπόλωλα. Ἐν ὥρᾳ.] τῇ ὄρθρου δηλονότι. Τοῖς Πρυτάνεσι.] τὸ δέκατον μέρος τῆς βουλῆς τῶν πεντακοσίων πεντήκοντα ἄνδρες ἀπὸ μιᾶς φυλῆς οἱ διοικοῦντες ἅπαντα τὰ ὑπὸ τὴν

βουλῆς στρατευόμενοι. ἀπορούστερον δὲ ἐκ διαδοχῆς ἄλλαις καὶ δέκα φυλαί, κλήρῳ λαχοῦσαι. Παρέρπυσεν.] ὡς ἐπὶ ὄφεως εἶπεν. ἐπειδὴ τυφλὸς ἦν. Ὀπὸς] πάνυ γὰρ δριμύτατος ὁ ὀπός. τιθύμαλλον δὲ εἶδος βοτάνης δριμύτατης. ἴσως δὲ αὐτῷ παρὰ Λάκωσιν εὑρίσκεται. εἰώθασι δὲ οἱ ἰατροὶ καὶ ἐκ πατρίδος ὑπ' ἀλαζονείας τὰς βοτάνας ὀνομάζειν, οἷον, κυρηναϊκὸν ὀπὸν καὶ σμυρναϊκόν. ἦν μὲν τοι διαβόητος καὶ ὁ Λακωνικὸς τιθύμαλλος.

Χρ. Μετὰ τοῦτον Εὐαίων ὁ δεξιώτατος
Παρῆλθε γυμνὸς ὡς ἐδόκει τοῖς πλείοσιν·
Αὐτός γε μέντοι 'φασκεν ἱμάτιον ἔχειν,
Κἄπειτ' ἔλεξε δημοτικοτάτους λόγους.
Ὁρᾶτε μέν με δεόμενον σωτηρίας
Τετραστατήρου κἀυτόν, ἀλλ' ὅμως ἐρῶ,
Ὡς τὴν πόλιν καὶ τοὺς πολίτας σώσετε.
Ἢν γὰρ παρέχωσι τοῖς δεομένοις οἱ κναφῆς
Χλαίνας ἐπειδὰν πρῶτον ἥλιος τράπῃ,
Πλευρῖτις ἡμῶν οὐδέν' ἂν λάβοι ποτέ.
Ὅσοις δὲ κλίνη μή 'στι, μηδὲ στρώματα
Ἰέναι καθευδήσοντας ἀπονενιμμένους
Ἐς τῶν σκυλοδεψῶν. ἢν δ' ἀποκλίνῃ τῇ θύρᾳ
Χειμῶνος ὄντος, τρεῖς σισύρας ὀφειλέτω.
Βλ. Νὴ τὸν Διόνυσον χρηστά γ'. εἰ δ' ἐκεῖνά γε
Προσέθηκεν οὐδεὶς ἀντεχειροτόνησεν ἄν,
Τοὺς ἀλφιταμοιβοὺς τοῖς ἀπόροις τρεῖς χοίνικας
Δεῖπνον παρέχειν ἅπασιν ἢ κλάειν μακρά
Ἵνα τοῦτ' ἀπέλαυσαν Ναυσικύδους τἀγαθόν.
Χρ. Μετὰ τοῦτο τοίνυν εὐπρεπὴς νεανίας
Λευκός τις ἀνεπήδησεν ὅμοιος Νικίᾳ,
Δημηγορήσων, κἀπεχείρησε λέγειν,
Ὡς χρὴ παραδοῦναι ταῖς γυναιξὶ τὴν πόλιν.
Εἶτ' ἐθορύβησαν κἀνέκραγον ὡς εὖ λέγοι
Τὸ σκυτοτομικὸν πλῆθος. οἱ δ' ἐκ τῶν ἀγρῶν
Ἀνεβορβόρυξαν. Βλ. νοῦν γὰρ εἶχον νὴ Δία.
Χρ. Ἀλλ' ἦσαν ἥττους. ὁ δὲ κατεῖχε τῇ βοῇ.
Τὰς μὲν γυναῖκας πόλλ' ἀγαθὰ λέγων. σὲ δὲ
Πολλὰ κακά. Βλ. καὶ τί εἶπε. Χρ. πρῶτον μέν σ' ἔφη
Εἶναι πανοῦργον. Βλ. καὶ σέ; Χρ. μή πω τοῦτ' ἔρῃ.
Κἄπειτα κλέπτην. Βλ. ἐμὲ μόνον; Χρ. καὶ νὴ Δία
Καὶ συκοφάντην. Βλ. ἐμὲ μόνον; Χρ. καὶ νὴ Δία
Τωνδὶ τὸ πλῆθος. Βλ. τίς δὲ τοῦτ' ἄλλος λέγει;
Χρ. Γυναῖκα δ' εἶναι πρᾶγμ' ἔφη νουβυστικόν,
Καὶ χρηματοποιόν. κοὔτε τἀπόρρητ' ἔφη
Ἐκ Θεσμοφόροιν ἑκάστοτ' αὐτὰς ἐκφέρειν.
Σὲ δὲ κἀμὲ βουλεύοντε τοῦτο δρᾶν ἀεί.

A CHR. *Post hunc Euaeon aptissimus*
Aduenit nudus, vt apparebat pluribus:
Ipse quidem non dicebat vestem habere,
Et postea dixit ciuilissimos sermones.
B *Videte quidem me indigentem salutis*
Quatuor librarum & ipse: sed tamen dicam,
Quòd ciuitatem & eius ciues saluabitis.
Si enim praebeant indigentibus fullones
Vestes, postquam primùm sol reuersus est,
Dolor laterum nostrûm nullum caperet vnquã.
Quibuscunque autẽ lectica non est, neque lecti,
Ire dormituros lotos *(ianua,*
C *In claudorum tinctorum: si autem abest lectus*
Hyeme existente, tres vestes debitum sit.
BLE. *Per Dionysium bona: si autem illa*
Apposuisset, nullus loco illius diceret
Farinarum venditores egenis tres mensuras
Caenam tradere omnibus, vel lugere longè,
Vbi hoc acceperunt Nausicydis bonum.
CHR. *Post hoc igitur pulcher adolescens,*
Albus quidam insiliit similis Niciae,
D *Concionans, & incaepit dicere,*
Quòd oportet tradere mulieribus ciuitatem.
Postea turbati sunt, & clamauerũt quòd bene dicat
Sutorica multitudine, hi autem ex agris *(Iouẽ.*
Clamauerunt. BLE. *mentẽ enim habebant per*
CH. *Sed erãt minores. hic autẽ detinebat voce*
Has quidẽ mulieres multa bona dicẽs, tibi autẽ
Multa mala. BLE. *& quid dixit?* CHR. *Primùm quidem te dixit* *(roga.*
E *Esse malum.* BLE. *& te?* CHR. *ne hoc inter-*
Et postea furem. BLE. *me solum?* CHR. *& per Iouem,*
Et criminatorem. BLE. *me solum?* CHR. *& per Iouem* *(dicit?*
Horum multitudinẽ. BLE. *quis autẽ hoc aliter*
CHR. *Mulierem autem dixit rẽ esse sapientem,*
Et rem facientem, & non secreta dixit
Ex iudicibus semper ipsas efferre:
F *Te autem & me seruientes hoc facere semper.*

BISETVS. Εὐαίων] ὄνομα κύριον παρὰ τῷ Δημοσθένει ἐν τῷ κατὰ Μειδίου. ἴσως δὲ ἐνταῦθα πλασθέν ἐστιν, ὃ δηλοῖ τὸν ἡδυπαθοῦντα, καὶ ταῖς ἡδυπαθείαις μόνον δουλεύοντα, καὶ πασῶν φροντίδων παντελῶς ἀμελοῦντα, καὶ τὴν ἡδονὴν ἐπιμελούμενον, ἵνα τὸν αἰῶνα, εἴτε τὸν βίον εὖ, καὶ μεθ' ἡδονῆς ἁπάσης διάγῃ. ὁ δὲ Σοφοκλῆς ἐν τῷ Φιλοκτήτῃ τὸ εὐαίωνα ἐπιτεθεικῶς λαμβάνει, ὕπνον εὐαίωνα καλῶν, ὅπερ ὁ σχολιαστὴς ἑρμηνεύει, εὐμενῆ, καλῶς ἄγοντα ἡμῖν τὸν αἰῶνα.

Σχόλια. Ἥλιος τράπῃ] εἰς χειμερινὴν δηλονότι τροπήν. Κλάειν μακρά.] τοῦτο λέγει γέλωτος χάριν. Ναυσικύδης.] οἱ μὲν ὅτι ἀλφιταμοιβός, οἱ δὲ ὅτι πένης. οἱ δέ, ὅτι οἱ ἀλφιταμοιβοὶ τοῦ Ναυσικύδους τοῦτο ἀπέλαυσαν.

BISETVS. Εὐπρεπὴς νεανίας λευκός τις] διὰ τούτων ἡ Πραξαγόρα δημηγοροῦσα δηλοῦται. Νικίας δέ, Ἀθηναῖος στρατηγός, ὃς τὰ Κύθηρα νῆσον εἷλε, καὶ περὶ τῆς Σπάρτης εἰς φόβον κατέστησε τοὺς Λακεδαιμονίους, ὡς καὶ φρουρὰν αὐτοὺς ἐν τῇ πόλει καταστῆσαι. εἰρήνην δὲ ὀκτὼ ἔτη ταῖς πόλεσιν ἐπρυτάνευσεν. ἦν γὰρ εἰρηνικός, ὡς καὶ δειλὸς διὰ τοῦτο νομίζεσθαι. καὶ τὰ ἑξῆς. Σ. Σκυτοτομικὸν πλῆθος] δηλοῖ τὸ τῶν γυναικῶν πλῆθος, αἳ σκευὴν καὶ κόσμον τὸν ἀνδρεῖον ἐνδυσάμεναι μετὰ τῆς Πραξαγόρας εἰς τὴν ἐκ-
G κλησίαν ἦλθον. ὁ δὲ Χρέμης τοὺς γυναικείους δόλους οὐ προαισθόμενος αὐτὰς ἄνδρας εἶναι ἡγεῖτο, καὶ διὰ τοῦτο περὶ αὐτῶν ταῦτα λέγει.

Σχόλια. Ἀνεβορβόρυξαν.] ἀνέκραξαν. Νοῦν γὰρ εἶχον νὴ Δία.] αἱ γυναῖκες εἰς ἄνδρας διασκευασθεῖσαι. Νουβυστικόν.] νοῦ πεπληρωμένον.

Βλ. Καὶ

Βλ. Καὶ τὴ τὸν Ἑρμῆν τοῦτό γ' οὐκ ἐψεύσατο.
Χρ. Ἔπειτα συμβάλλειν πρὸς ἀλλήλας ἔφη.
Ἱμάτια. χρυσί'. ἀργύριον. ἐκπώματα.
Μόνας μόναις οὐ μαρτύρων γ' ἐναντίον.
Καὶ ταῦτ' ἀποφέρειν πάντα κοὐκ ἀποστερεῖν.
Ἡμῶν δ' ἄρ' πολλοὺς ἔφασκε τοῦτο δρᾶν.
Βλ. Νὴ τὸν Ποσειδῶ μαρτύρων τ' ἐναντίον.
Χρ. Οὐ συκοφαντεῖν. οὐ διώκειν. οὐδὲ τὸν
Δῆμον καταλύειν. ἀλλὰ πολλά τε κἀγαθὰ
Ἕτερά τε πλεῖστα τὰς γυναῖκας ηὐλόγει.
Βλ. Τί δῆτ' ἔδοξεν; Χρ. ἐπιτρέπειν σφίσιν τὴν πόλιν
Ταύταις. ἐδόκει γὰρ τοῦτο μόνον ἐν τῇ πόλει
Οὔπω γεγενῆσθαι. Βλ. καὶ δέδοκται; Χρ. φήμ' ἐγώ.
Βλ. Ἅπαντά τ' αὐταῖς ἐστι προστεταγμένα
Ἃ τοῖσιν ἀστοῖς ἔμελεν; Χρ. οὕτω ταῦτ' ἔχει.
Βλ. Οὐδ' εἰς δικαστήριον ἄρ' εἶμ' ἀλλ' ἡ γυνή.
Χρ. Οὐδ' ἔτι σὺ θρέψεις οὓς ἔχεις, ἀλλ' ἡ γυνή.
Βλ. Οὐδὲ στένειν τὸν ὄρθρον ἔτι πρᾶγμ' ἄρα μοι.
Χρ. Μὰ Δί' ἀλλὰ ταῖς γυναιξὶ ταῦτ' ἤδη μέλει.
Σὺ δ' ἀστενακτὶ περδόμενος οἴκοι μενεῖς.
Βλ. Ἐκεῖνο δεινὸν τοῖσιν ἡλίκοισι νῷν.
Μὴ παραλαβοῦσαι τῆς πόλεως τὰς ἡνίας,
Ἔπειτ' ἀναγκάζωσι πρὸς βίαν. Χρ. τί δρᾶν;
Βλ. Βινεῖν ἑαυτάς. Χρ. ἢν δὲ μὴ δυνώμεθα;
Βλ. τὸ πρὸς βίαν δεινότατον. Χρ. ἀλλ' εἰ τῇ πόλει
Τοῦτο ξυνοίσει, ταῦτα χρὴ πάντ' ἄνδρα δρᾶν.
Λόγος τίς ἐστι τῶν γεραιτέρων,
Ὅσ' ἂν ἀνόητα καὶ μῶρα βουλευσώμεθα,
Ἅπαντ' ἐπὶ τὸ βέλτιον ἡμῖν ξυμφέρειν.
Καὶ ξυμφέροι γ' ὦ πότνια Παλλὰς καὶ θεοί.
Ἀλλ' εἶμι, σὺ δ' ὑγίαινε. Βλ. καὶ σύ γ' ὦ Χρέμης.

A BLE. Et per Mercurium hoc non mentitus est.
CHR. Postea commodare inter se dixit
Vestes, aurea, argentum, pocula,
Solas solis non martyribus contra,
Et has auferre omnes & non priuare.
Nostrum autem multos dixit hoc facere.
BLE. Per Neptunum martyribus contrà.
CHR. Non criminari, non accusare, non autem
B Populum destruere, sed multaq; & bona,
Aliaq; multa mulieribus bene dicit.
BLE. Quid igitur visum est? CHR. Committere ciuitatem
His, visum est enim hoc solum in ciuitate
Nunquam factū esse. BLE. & visum est? CHR. dico ego.
BLE. Omnia ipsis sunt praeordinata,
Quae ciuibus curae erant. CHR. sic haec habent.
C BLE. Nullus iudicium igitur vado, sed mulier?
CHR. Neque nutries quos habes, sed mulier.
BLE. Neque suspirare diluculo amplius res mihi.
CHR. Per Iouem, sed mulieribus haec iam curae sunt,
Tu autem suspiranter pedens domi manebis.
BLE. Illud graue coaetaneis nobis,
D Ne accipientes ciuitatis habenas
Postea cogant ad vim. CHR. quid facere?
BLE. Mouere seipsas. CHR. si autem non poterimus, prandium non dabunt.
BLE. Tu verò per Iouem fac, haec vt prandeatis, & moues simul
Ad vim grauissimum. CHR. sed si ciuitati
Hoc conferet, haec oportet omnia virum facere.
Sermoq; aliquis est seniorum,
E Quaecunque inscita & stulta consultamus.
Omnia in melius nobis conferre.
Et conferebant ô veneranda Minerua & Dei.
Sed discedo, tu autē vale. BL. & tu ô Chremes.

Σχόλια. Συμβάλλειν] μεταδιδόναι καὶ χαρίσασθαι. Φήμ' ἐγώ] ὡς φιλοσοφούντων αὐτῶν τὰ μὴ γενόμενα καινοποιεῖν. Τοῖσιν ἡλίκοισι.] τοῖς γέρουσι. Λόγος τίς ἐστι] λέγεται ὡς ὁ Ποσειδῶν καὶ ἡ Ἀθηνᾶ ἐφιλονείκησαν περὶ τῆς Ἀττικῆς, νικήσασα δὲ ἡ Ἀθηνᾶ. καὶ φασὶν ἡττηθέντα τὸν Ποσειδῶνα καὶ λυπηθέντα καταρᾶσθαι τῇ πόλει καὶ λέγειν αὐτὸν ὅτι γένοιτο τοὺς Ἀθηναίους ἀεὶ κακῶς βουλεύεσθαι καὶ ἐπιτυγχάνειν.

F

ΧΟΡΟΣ, ΠΡΑΞΑΓΟΡΑ.

CHORVS, PRAXAGORA:

Bisetus. Αἱ γυναῖκες πάντα ἐν ἐκκλησίᾳ κατεργασάμεναι πράξεις ἀπέρχονται, καὶ περὶ τῶν πραχθησεσθαι μελλόντων μετὰ τῆς Πραξαγόρας βουλεύονται.

Χο. Ἔμβα, χώρει. (λουθεῖ.
Ἆρ' ἐστι τῶν ἀνδρῶν τις ἡμῖν ὅς τις ἐπακο-
Στρέφου, σκόπει. (τοὔργον
Φύλαττε σαυτὴν ἀσφαλῶς. πολλοὶ γὰρ οἱ πα-
Μή πού τις ἐκ τοὔπισθεν ὢν, τὸ σχῆμα καταφυλάξῃ.

CHO. Ini, procede.
Nunquid est virorum aliquis, nos qui sequatur?
G Vertere, considera,
Serua te ipsam tuto: multi enim mali,
Ne quis à tergo existens habitum obseruet.

Σχόλια. Ἔμβα, χώρει.] ἐξέρχεται ὁ χορὸς ἀπὸ τῆς ἐκκλησίας.

Ἀλλ' ὡς μάλιστα τοῖν ποδοῖν ἐπικτυποῦν βάδιζε. A
Ὑμῖν δ' αἰσχύνην φέρει
Πάσαισι, παρὰ τοῖς ἀνδράσι τὸ πρᾶγμα τοῦτ' ἐλεγχθέν.
Πρὸς ταῦτα συστέλλου σεαυτήν.
Καὶ περισκοποῦ μὲν ἔνθεν κἀκεῖσε καὶ τἀπ' ἐν δεξιᾷ,
Μὴ ξυμφορὰ γενήσεται τὸ πρᾶγμα.
Ἀλλ' ἐπειγώμεσθα. τοῦ τόπου γὰρ ἐγγύς ἐσμεν ἤδη,
Οὗπερ εἰς ἐκκλησίαν ὡρμώμεθ' ἡνίκ' ᾖμεν. B
Τὴν δ' οἰκίαν ἔξεσθ' ὁρᾷν, ὅθεν περ ἡ στρατηγὸς
Ἐσθ' ἡ τὸ πρᾶγμ' εὑροῦσ' ὃ νῦν ἔδοξε τοῖς πολίταις.
Ὥστ' εἰκὸς ἡμᾶς μὴ βραδύνειν ἔτ' ἐπαναμενούσας.
Πώγωνας ἐξηρτημένας. μή καί τις ὄψεθ' ἡμᾶς,
Χ' ἡμῶν ἴσως κατείπῃ. ἀλλ' εἶα δεῦρ' ἐπὶ σκιᾶς,
Ἐλθοῦσα πρὸς τὸ τειχίον παραβλέπουσα θατέρῳ
Πάλιν μετασκεύαζε σαυτὴν αὖθις ἥπερ ἦσθα. C
Καὶ μὴ βράδυν'. ὡς τήνδε καὶ δὴ τὴν στρατηγὸν ἡμῶν
Χωροῦσαν ἐξ ἐκκλησίας ὁρῶμεν. ἀλλ' ἐπείγου
Ἅπασα, καὶ μίσει σάκον πρὸς ταῖν γνάθοιν ἔχουσα.
Χ' αὗται γὰρ ἥκουσι πάλαι τὸ σχῆμα τοῦτ' ἔχουσαι.
Πρ. Ταυτὶ μὲν ἡμῖν ὦ γυναῖκες εὐτυχῶς D
Τὰ πράγματ' ἐκβέβηκεν, ἁ 'βουλεύσαμεν.
Ἀλλ' ὡς τάχιστα πρίν τιν' ἀνθρώπων ἰδεῖν
Ῥιπτεῖτε χλαίνας, ἐμβὰς ἐκποδὼν ἴτω.
Χάλα συναπτοὺς ἡνίας Λακωνικάς.
Βακτηρίας ἄφεσθε· καὶ μέντοι σὺ μὲν
Ταύτας κατευτρέπιζ', ἐγὼ δὲ βούλομαι
Εἴσω παρερπύσασα πρὶν τὸν ἄνδρα με
Ἰδεῖν, καταθέσθαι θοἰμάτιον αὐτοῦ πάλιν, E
Ὅθεν περ παρέλαβον, τἄλλα θ' ἁ 'ξηνεγκάμην.
Χο. Κεῖται δὴ πάνθ' ἅπερ εἶπας, σὸν δ' ἔργον τἄλλα διδάσκειν
Ὅ τι σοι δρῶσαι ξύμφορον ἡμεῖς δόξομεν ὀρθῶς ἐπακούειν.
Οὐδεμιᾷ γὰρ δεινοτέρᾳ σου ξυμμίξασ' οἶδα γυναικί.
Πρ. Περιμείνατέ νυν ἵνα τῆς ἀρχῆς ἣν ἄρτι κεχειροτόνημαι F
Ξυμβούλοισιν ἁπάσαις ὑμῖν χρήσωμαι. καὶ γὰρ ἐκεῖ μοι
Ἐν τῷ θορύβῳ καὶ τοῖς δεινοῖς ἀνδρειόταται γεγένησθε.

Σχόλια. Παραβλέπουσα] ἀντὶ τοῦ ἐκεῖσε φησιν. ἀλλὰ τῷ ἑτέρῳ ὀφθαλμῷ βλέπουσα. Σάκον.] τὸν πώγωνα λέγει. Συναπτοὺς.] τὰς συναπτικὰς τὰς ἐνουμένας τοῖς ὑποδήμασι. Παρερπύσασα.] ἠρέμα εἰσελθοῦσα.

Sed quàm maximè pedibus sonans vade, A
Nobis autem pudorem ferat
Omnibus, apud viros res hæc dicta.
Ad hæc contrahe te ipsam,
Et circum aspiciens & illinc, & quæ in dextera,
Ne ærumna fiat res.
Sed festinemus, locum enim prope sumus iam,
Vnde ad concilium ruimus quando ibamus. B
Hanc domum licitum est videre, vnde hæc dux
Est, rem inueniens quæ nunc apparuit ciuibus.
Quare decens, nos non tardare expectantes,
Barbas aptatas, ne aliquis videat nos,
Et nobis fortè inuehat. Sed eia hùc in vmbra
Veniens ad murum perspiciens altera,
Rursus reordinate ipsam iterum, vbi eras, C
Et non tarda, quòd hanc & iam ducem nostrum
Procedentem ex concilio videmus, sed festina
Omnis, & odio habe barbam ad maxillas habens,
Et hæ enim veniunt diu habitum hunc habentes.
PRA. Hæ quidem nobis ô mulieres fortunatè D
Res euenerunt, quæ consultabamus.
Sed quàm citissimè ante aliquem hominum videre
Iacite vestes, calceamentum longè eat.
Deponite colligata ligamenta Laconica,
Baculos dimittite: & tamen tu quidem
Has ordina, ego autem volo
Intro serpens ante virum me
Videre, deponere pallium illic iterum E
Vnde accepi, aliaq; quæ comportauimus.
CHO. Parata sunt iã omnia, quæ dixisti. tuum autem opus omnia docere,
Quod tibi facere conferens nobis apparuit rectè audire.
Nulla enim grauiora mixta scio mulieri.
PRA. Expectate nũc, vt imperij quòd nuper comprobaui, F
Consultatricibus omnibus vobis vtar: etenim illic mihi
In turba & grauibus virilissimæ factæ estis.

G

ΒΛΕΠΥΡΟΣ, ΠΡΑΞΑΓΟΡΑ.

BLEPYRVS, PRAXAGORA.

Βισετυς. Ὁ Βλέπυρος τῇ γυναικὶ ἐντυχὼν, πυνθάνεται πόθεν ἔρχεται· καὶ διὰ τί τὰς ἑαυτοῦ ἐσθῆτας λαβοῦσα ἀπῆλθε. Τέλος δὲ πολλῶν λόγων ἀμφοτέρωθεν ῥηθέντων ὁ Βλέπυρος αὐτῇ διηγεῖται ἃ περὶ τῶν ἐν τῇ ἐκκλησίᾳ πραχθέντων ἐκ τοῦ Χρέμητος ἤκουσε.

Αν. Αὕτη πόθεν ἥκεις Πραξαγόρα. Πρ. τί δ' ὦ μέλε
Σοὶ τοῦθ'; Αν. ὅ, τι μοὶ τοῦτ' ἐστίν; Πρ. ὡς εὐηθικῶς.
Οὔτοι περὶ τοῦ μοιχοῦ γε φήσεις; Αν. οὐκ ἴσως
Ἑνός γε. Πρ. καὶ μὴν βασανίσαι τουτί γέ σοι
Ἔξεστ'. Αν. πῶς; Πρ. εἰ τῆς κεφαλῆς ὄζω μύρου.
Αν. Τί δ'; οὐχὶ βινεῖται γυνὴ κἀν μὴ μύρου;
Πρ. Οὐ δῆτα τάλαιν' ἔγωγε. Αν. πῶς οὖν ὄρθριον
Ὤχου σιωπῇ θοἰμάτιον λαβοῦσά μου.
Πρ. Γυνή μέ τις νύκτωρ ἑταίρα καὶ φίλη
Μετεπέμψατ' ὠδίνουσα. Αν. κᾆτ' οὐκ ἦν ἐμοὶ
Φράσασαν ἰέναι; Πρ. τῆς λεχοῦς δ' οὐ φροντίσαι
Οὕτως ἐχούσης ὦνερ; Αν. εἰποῦσάν γέ μοι.
Ἀλλ' ἔστιν ἐνταῦθά τι κακόν. Πρ. μὰ τὼ θεώ.
Ἀλλ' ὥσπερ εἶχον ᾠχόμην· ἐδεῖτο δὲ
Ἥπερ μεθῆκέ μ' ἐξιέναι πάσῃ τέχνῃ.
Αν. Εἶτ' οὐ τὸ σαυτῆς ἱμάτιον ἐχρῆν σ' ἔχειν;
Ἀλλ' ἐμ' ἀποδύσασ' ἐπιλαβοῦσα τοὔγκυκλον,
Ὤχου καταλιποῦσ' ὡσπερεὶ προκείμενον,
Μόνον οὐ στεφανώσασ' οὐδ' ἐπιθεῖσα λήκυθον.
Πρ. Ψῦχος γὰρ ἦν, ἐγὼ δὲ λεπτὴ κἀσθενής.
Ἔπειθ' ἵνα ἀλεαίνοιμι τοῦτ' ἠμπισχόμην.
Σὲ δ' ἐν ἀλέᾳ κατακείμενον καὶ στρώμασι
Κατέλιπον ὦνερ. Αν. αἱ δὲ δὴ λακωνικαὶ
Ὤχοντο μετὰ σοῦ, κἀκ τί χ' ἡ βακτηρία;
Πρ. Ἵνα θοἰμάτιον σώσαιμι μεθυπεδησάμην,
Μιμουμένη σε καὶ κτυποῦσα τοῖν ποδοῖν,
Καὶ τοὺς λίθους παίουσα τῇ βακτηρίᾳ.
Αν. Οἶσθ' οὖν ἀπολωλεκυῖα πυρῶν ἑκτέα;
Ὃν χρῆν ἔμ' ἐξ ἐκκλησίας εἰληφέναι.
Πρ. Μὴ φροντίσῃς, ἄρρεν γὰρ ἔτεκε παιδίον.
Αν. Ἡ 'κκλησία; Πρ. μὰ Δί' ἀλλ' ἐφ' ἣν ᾠχόμην.
Ἀτὰρ γεγένηται. Αν. ναὶ μὰ Δί' οὐκ ᾔδησθά με
Φράσαντά σοι χθές; Πρ. ἀρτίως ἀναμιμνήσκομαι.
Αν. Οὐδ' ἄρα τὰ δόξαντ' οἶσθα. Πρ. μὰ Δί' ἐγὼ μὲν οὔ.
Αν. Κάθησο τοίνυν σηπίας μασωμένη.
Ὑμῖν δέ φασι παραδεδόσθαι τὴν πόλιν.
Πρ. Τί δρᾶν, ὑφαίνειν; Αν. οὐ μὰ Δί' ἀλλ' ἄρχειν. Πρ. τίνων;
Αν. Ἁπαξαπάντων τῶν κατὰ πόλιν πραγμάτων.

A VIR. Hæc unde venis Praxagora PR. quid ô miser
Tibi hoc: VIR. Quod mihi hoc est? PR. valde fatue,
Non de mœcho dices? VIR. Non forte
Vno. PR. Et quidem experiri hoc tibi
Licet. VIR. Quomodo. PR. Si capite oleo unguento.
B VIR. Quid autem non subagitatur mulier & sine vnguento?
PR. Non misera ego. VIR. Quomodo igitur diluculo
Iuisti silentio pallium accipiens mihi?
PR. Mulier me quadam nocte socia & amica
Aduocauit parturiens. VIR. Et postea non erat mihi
C Dicentem ire. PR. Parturientis autem non habes curam
sic habentis ô vir? VIR. Dicentem mihi.
Sed est hic aliquid malum? PR. per Deos,
sed sicut fui iui. precata est autem,
Quæ dimisit me exire omni arte.
VIR. Postea non tui ipsius vestem oportebat te habere,
Sed me exuens, capiens vestem
D Iuisti, relinquens tanquam mortuum.
Non coronans, neq; imponens lecythum.
PR. Frigus enim erat. ego autem tenuis & impotens,
Postea vt calefierem, hanc induta sum.
Te autem in calore iacentem & lectis
Reliqui ô vir. VIR. Hæc autem calceamenta
Iuerunt tecum, & detinuis baculum?
E PR. Vt vestem saluarem, ligaui,
Imitans te. sonans pedibus,
Et lapides verberans baculo.
VIR. Scis igitur perdens triticorum mensuram,
Quam decebat me ex concilio capere?
PR. Non curabis, masculum enim peperit puerum.
VIR. Concilium. PR. per Iouem sed dixi ego, iui,
F Et factum est. VIR. ita per Iouem, non scis me
Dicentem tibi heri? PR. nunc reminiscor.
VIR. Non igitur apparentia scis? PR. per Iouem ego quidem non.
VIR. Sede igitur sepias mandens.
Vobis autem dicunt traditam esse ciuitatem.
PR. Quid facere, texere? VIR. Non per Iouem, sed dominari. PR. Quæ in re?
VIR. In omnibus circa ciuitatem rebus.

G

Σχόλια. Προκείμενον.] νεκρόν. Στεφανώσασα] εἰώθασι γὰρ ἐπὶ τῶν νεκρῶν τοῦτο ποιεῖν. Ἀλεαίνοιμι] θερμαίνοιμι.

BISETVS. Σηπίας μασωμένη.] Σ. οἱονεὶ τρυφῶσα διὰ τὴν ἐξουσίαν. διὰ τὸ ἔγχυλον τῆς σηπίας πάλαι πρὸς τὰς ἀφροδισίας ἐν τιμῇ ἦν ἰχθύς. περὶ δὲ τούτων ὁ Ἀθήναιος ἐν τῷ η. τῶν Δειπνοσοφ. ταῦτα παραδίδωσιν, ἡ δὲ σηπία, φησί, καὶ ἡ φερομένη μὲν ἁπαλή, καὶ εὔστομος, καὶ εὔπεπτος, ἔτι δὲ καὶ εὔκοιλος. ὁ αὐτὸς Σουίδας μαρτυρεῖ τοὺς προσήκοντας τοῖς προσήκουσιν, ὅταν ἡ ἀμφιδρομία ἐποιεῖτο, ὡς ἐπὶ τὸ πλεῖστον πολύποδας, καὶ σηπίας δῶρα πέμπειν εἰώθεσαν.

Πρ. Νὴ τὴν Ἀφροδίτην, μακαρία γὰρ ἡ πόλις
Ἔσται τὸ λοιπόν. Αν. κατὰ τί; Πρ. πολλῶν οὕνεκα.
Οὐ γὰρ ἔτι τοῖς τολμῶσιν αὐτὴν αἰσχρὰ δρᾶν
Ἔσται τὸ λοιπὸν. οὐδαμοῦ δὲ μαρτυρεῖν.
Οὐ συκοφαντεῖν. Βλε. μηδαμῶς πρὸς τῶν θεῶν
Τουτὶ ποιήσῃς, μηδ' ἀφέλῃς μου τὸν βίον.
Αν. Ὦ δαιμόνι' ἀνδρῶν, τὴν γυναῖκ' ἔα λέγειν.
Πρ. Μὴ λωποδυτῆσαι. μὴ φθονεῖν τοῖς πλησίον.
Μὴ γυμνὸν εἶναι, μὴ πένητα μηδένα.
Μὴ λοιδορεῖσθαι. μὴ 'νεχυραζόμενον φέρειν.
Αν. Νὴ τὸν Ποσειδῶ. μεγάλα γ' εἰ μὴ ψεύσεται.
Πρ. Ἀλλ' ἀποφανῶ τοῦθ' ὥστε μοί γε μαρτυρεῖν,
Καὶ τοῦτον αὐτὸν μηδὲν ἀντειπεῖν ἐμοί.

A PR. Per Venerem, beata enim ciuitas
Eris posthac. VIR. Circa quid? PR. Multorum gratia.
Non enim amplius audentibus ipsi turpia facere
Eris posthac, nullo modo testificari,
Non criminari. BLE. Nequaquam per Deos
Hoc facies, neque auferes mei vitam.
B VIR. O misere virorum, mulierem sine dicere.
PR. Non vestes furari, non inuidere his propè,
Non nudum esse, non pauperem nullum,
Non conuiciari, non pignoratum ferre.
VIR. Per Neptunum magna, si non mentietur.
PR. sed ostendam hoc ad mihi testificari,
Et hunc ipsum nil contradicere mihi.

Σχόλια. Μήδ' ἀφέλῃς μου τὸν βίον.] διοικοῦσα μετὰ τῶν ἄλλων γυναικῶν.

Bisetus. Ὦ δαιμόνι' ἀνδρῶν.] Ἄλλος τὶς ἀνὴρ προσελθὼν τῷ Βλεπύρῳ, ὃς τοὺς τῆς ἑαυτοῦ γυναικὸς Πραξαγόρας λόγους διέκοπτεν, ἐπιπλήσσει.

C Σχόλια. Μὴ 'νεχυραζόμενον.] ἔθος γὰρ ἦν τοῖς δικαζομένοις ἐνέχυρα φέρειν καὶ διδόναι τὴν ἑαυτῶν οὐσίαν.

ΧΟΡΟΣ, ΠΡΑΞΑΓΟΡΑ, Βλέπυρος.

CHORVS, PRAXAGORA, Blepyrus.

Biset. Περὶ τῆς ἐσομένης πολιτείας διαλέγονται.

D

Χο. Νῦν δὴ δεῖ σε πυκνὴν φρένα καὶ
Φιλόσοφον ἐγείρειν φροντίδ' ἐπισταμένην
Ταῖσι φίλαισιν ἀμύνειν. κοινῇ γὰρ ἐπ' εὐτυχίαισιν
Ἔρχεται γλώττης ἐπίνοια, πολίτην
Δῆμον ἐπαγλαϊοῦσα, μυρίαισιν εὐτυχίαισι βίου
Δηλοῦν ὅ, τι περ δύναται καιρός.
Δεῖται γάρ τοι σοφοῦ τινος ἐξευρήματος ἡ πόλις ἡμῶν.
Ἀλλὰ πέραινε μόνον μήτε δεδραμένα, μήτ' εἰρημένα πω πρότερον.
Μισοῦσι γὰρ ἢν τὰ παλαιὰ πολλάκις θεῶνται.
Ἀλλ' οὐ μέλλειν ἀλλ' ἅπτεσθαι. καὶ δὴ χρῆν ταῖς διανοίαις
Ὡς τὸ ταχύνειν χαρίτων μετέχει πλεῖστον παρὰ τοῖσι θεαταῖς.
Πρ. Καὶ μὴν ὅτι μὲν χρηστὰ διδάξω, πιστεύω. τοὺς δὲ θεατὰς
Εἰ καινοτομεῖν ἐθελήσουσι καὶ μὴ τοῖς ἠθάσι λίαν
Τοῖς τ' ἀρχαίοις ἐνδιατρίβειν, τοῦτ' ἔσθ' ὃ μάλιστα δέδοικα.
Βλ. Περὶ μὲν τοίνυν τοῦ καινοτομεῖν μὴ δείσῃς, τοῦτο γὰρ ἡμῖν

CH. Nunc iam oportet te prudentem mentem &
Sapientem suscitare, curam scientem
Amicis auxiliari: communiter enim in bonis fortunis,
Venit lingua prudentia, ciuilem
Populum illustrans multis bonis fortunis vita,
Declarare quod potest tempus:
E Indiget enim sapientis alicuius inuentionis ciuitas nostrûm.
Sed perfice solum, neque facta, ne-
Que dicta prius.
Oderunt enim, si antiqua sæpè vident.
Sed non tardare, sed tangere & iam oportet sententiis,
Quòd festinare Gratiarum participat plurimum apud spectatores.
PR. Et quidem quòd quidem bona docebo, credo. hos autem spectatores
Si noua facere volunt, & non consuetis valde,
His antiquis inde morari, hoc est, quod maximè timeo.
BLE. Circa igitur noua facere non timebis: hoc enim nobis

Bisetus. Ἀλλ' οὐ μέλλειν] στίχοι ἀναπαιστικοὶ τετράμετροι καταληκτικοὶ εἰς συλλαβὴν ὧν ὁ τελευταῖος μὴ ἐκλυθῇ καθὸ δ' ἐπινήσει. τούτους ἀπελῶσιν ἅπαντας καλεῖται δὲ ὥς φησιν Ἡφαιστίων, τοῦτο τὸ μέτρον Ἀριστοφάνειον, διὰ τὸ τὸν Ἀριστοφάνην αὐτῷ κεχρῆσθαι πολλάκις. κατὰ πᾶσαν χώραν δέχεται σπονδεῖον, ἀνάπαιστον. σπανίως δὲ καὶ προκελευσματικόν. παρὰ δὲ τοῖς δραματοποιοῖς καὶ ἴαμβον, καὶ δάκτυλον. Εἰ καινοτομεῖν ἐθελήσουσι] τῶν Ἀθηναίων ὡς καινοτόμων, καὶ ἀεὶ τοὺς νεωτερισμοὺς σπουδαζόντων καθάπτεται, καὶ τὰ τούτων ἤθη διασύρει.

G

Δρᾶν

Δρᾶν αὖτ' ἄλλης ἀρχῆς ἐστι, τῶν δ' ἀρχαίων ἀμελῆσαι.
Πρ. Μὴ νυῦ πρότερον μηδεὶς ὑμῶν ἀντείπῃ μηδ' ὑποκρούσῃ,
Πρὶν ἐπίστασθαι τὴν ἐπίνοιαν, καὶ τοῦ φράζοντος ἀκοῦσαι.
Κοινωνεῖν γὰρ πάντας φήσω χρῆναι, πάντων μετέχοντας.
Κἀκ ταὐτοῦ ζῆν. καὶ μὴ τὸν μὲν πλουτεῖν, τὸν δ' ἄθλιον εἶναι.
Μηδὲ γεωργεῖν τὸν μὲν πολλὴν, τῷ δ' εἶναι μηδὲ ταφῆναι.
Μηδ' ἀνδραπόδοις τὸν μὲν χρῆσθαι πολλοῖς, τὸν δ' ἀκολύθῳ.
Ἀλλ' ἕνα ποιῶ κοινὸν πᾶσι βίοτον, καὶ τοῦτον ὅμοιον.
Βλ. Πῶς οὖν ἔσται κοινὸς ἅπασι. Πρ. κατέδει σπέλεθον πρότερός μοι.
Βλ. Τῶν σπελέθων κοινωνοῦμεν; Πρ. μὰ Δί' ἀλλ' ἔφθης μ' ὑποκρούσας.
Τοῦτο γὰρ ἤμελλον ἐγὼ λέξειν. τὴν γῆν πρώτιστα ποιήσω
Κοινὴν πάντων. καὶ τἀργύριον. καὶ τἄλλ' ὁπόσ' ἐστὶν ἑκάστῳ.
Εἶτ' ἀπὸ τούτων κοινῶν ὄντων ἡμεῖς βοσκήσομεν ὑμᾶς
Ταμιευόμεναι καὶ φειδόμεναι καὶ τὴν γνώμην προσέχουσαι.
Βλ. Πῶς οὖν ὅς τις μὴ κέκτηται γῆν ἡμῶν, ἀργύριον δὲ
Καὶ Δαρεικοὺς, ἀφανῆ πλοῦτον; Πρ. τοῦτ' ἐς τὸ μέσον καταθήσει.
Καὶ μὴ καταθεὶς ψευδορκήσει. Βλ. κἀκτήσατο γὰρ διὰ τοῦτο.
Πρ. Ἀλλ' οὐδέν τοι χρήσιμον ἔσται πάντως αὐτῷ. Βλ. κατὰ δὴ τί;
Πρ. Οὐδεὶς οὐδ' ἐν πενίᾳ δράσει, πάντα γὰρ ἕξουσιν ἅπαντες.
Ἄρτους, τεμάχη, μάζας, χλαίνας, οἶνον, στεφάνους, ἐρεβίνθους.
Ὥστε τί κέρδος μὴ καταθεῖναι. σὺ γὰρ ἐξευρὼν ἀπόδειξον.
Βλ. Οὔκουν καὶ νῦν οὗτοι μᾶλλον κλέπτουσ' οἷς ταῦτα πάρεστι;
Πρ. Πρότερόν γ' ὦταῖρ' ὅτε τοῖσι νόμοισι διεχρώμεθα τοῖς προτέροισιν.
Νῦν δ' ἔσται γὰρ βίος ἐκ κοινοῦ, τί τὸ κέρδος μὴ καταθεῖναι;
Βλ. Ἢν μείρακ' ἰδὼν ἐπιθυμήσῃ, καὶ βούληται τοῦτον σκαλαθύραι,
Ἕξει τούτων ἀφελὼν δοῦναι: τῶν ἐκ κοινοῦ δὲ μεθέξει
Ξυγκαταδαρθών. Πρ. ἀλλ' ἐξέσται προῖκ' αὐτῷ ξυγκαταδαρθεῖν.

A *Facere pro alia dominatione est, hac autem antiqua negligere.*
PR. Non nunc prius nullus vestrûm contradicat, neq; interrumpat,
Ante scire opinionem & dicente audire.
Communicare enim omnes dicam oportere omnium participantes,
B *Et ex ipso viuere, & non hunc quidem ditescere, illum autem miserum esse.*
Neque agricolare hunc quidem multam, huic autem esse neque sepeliri.
Neque mancipiys hunc quidem vti multis, illum autem sequentem.
Sed vnam faciam communem omnibus vitam, & hanc aequam.
BLE. Quomodo igitur erit communis omnibus? PR. Comedes stercus prior mihi.
C *BLE. Hac stercora communicabimus? PRA. per Iouem, sed praeuenisti me interrumpens,*
Hoc enim volebam ego dicere, terram primum faciam
Communem omnium, & argentum, & alia quaecunque sunt vnicuique.
Postea ab his communibus existentibus, nos pascemus vos
D *Gubernantes, & parcentes, & opinionem attendentes.*
BLE. Quomodo igitur qui non possidet terram nostrum, argentum autem
Et Daricos latentes diuitias? PR. Hoc in medium deponet,
Et non deponens mentietur. BLE. Et possedit enim propter hoc?
E *PR. Sed nil vtile erit omnino ipsi. BLE. secundùm quid?*
PR. Nullus neque in paupertate faciet, omnia enim habebunt omnes,
Panes, partes, placentas, vestes, vinum, coronas, cicera.
Quare quod lucrum, non deponere? tu enim excogitans ostende.
BLE. Non & nunc hi magis furantur, quibus haec adsunt?
F *PR. Prius ô amice, quando his legibus vtebamur prioribus.*
Nunc autem, erit enim vita ex communi, quod lucrum, non deponere?
BLE. Si adolescentulum videns capies, & volet hunc subagitare,
Habebit horum facilium dare? eorum ex communi participabit
G *Simul dormiens? PR. sed licebit dotem ipsi simul dormire.*

Σχόλια. Σπέλεθον.] κόπρον. καὶ ἀλλαχοῦ. ὁ δὲ σύντροφος λάβοι τῇ χειρὶ σπέλεθον ἀρτίως κεχεσμένον. Ἔφθης μ' ὑποκρούσας.] ὅτι ὑποκρούσω ἢ ἐρωτῆς πρότερός μου.

Καὶ Δαρεικούς.] εἰσὶ μὲν χρυσοῖ στατῆρες οἱ Δαρεικοί. ἠλλάττετο δὲ ἕκαστος αὐτῶν, ὅπερ ὁ παρὰ τοῖς Ἀττικοῖς ὀνομαζόμενος χρυσοῦς. οὐκ ἀπὸ Δαρείου τοῦ Ξέρξου πατρὸς

ἀλλ' ἀφ' ἑτέρου τινὸς παλαιοτέρου βασιλέως ὠνομάσθησαν. λέγουσι δέ τινες δισχιλίας τὸν Δαρεικὸν δραχμὰς ἀργυρίου εἶναι· ὡς τοὺς εἴκοσι Δαρεικοὺς δισχιλίας μνᾶν ἀργυρίου. Ἐν πενίᾳ δράσει.] ἀντὶ τοῦ οὐδεὶς αἰσχρόν τι δράσει ἢ ἐργάσεταί τι παρακειμένων ἀφθόνως ἁπάντων. Σκαλαθύραι.] συνουσιάσαι. μείρακα δ' ἐνταῦθα διὸ καὶ ἀρσενικῶς εἴρηται, καί τοι Ἀμμωνίου λέγοντος μειράκιον καὶ μείρακα ταύτῃ διαφέρειν ὅτι τὸ μὲν μειράκιον ἐπὶ ἀρσενικοῦ, τὸ δὲ μεῖραξ ἐπὶ θηλυκοῦ. ἢ πρὸς τὸ γυναικῶδες τῶν κιναίδων. ἐρείδειν δὲ συνουσιάζειν.

Bis. Σκαλαθύραι.) σκαλαθύρειν κατὰ τὸν Ἡσύχιον δηλοῖ τὸ κινεῖν, ἀναστρέφειν, ἐρύειν. ἐκ τούτου δῆλον ὅτι παρὰ τὸ ἁπλοῦ σκαλεύειν, ὃ σημαίνει καὶ τὸ λάθρα πλησιάζειν, καὶ ἀκολασταίνειν. νῦν κωμικῶς πέπλασται, καὶ σύγκειται ἐκ τοῦ σκάλλειν, τὸ σκαλεύειν, καὶ τῆς θύρας, ὃ νῦν τὴν πρωκτὸν μεταφορικῶς σημαίνει.

Καὶ ταύτας γὰρ κοινὰς ποιῶ τοῖς ἀνδράσι ξυγκατακεῖσθαι,
Καὶ παιδοποιεῖν τῷ βουλομένῳ. Βλ. πῶς οὖν πάντες ἴασιν
Ἐπὶ τὴν ὡραιοτάτην αὐτῶν καὶ ζητήσουσιν ἐρείδειν;
Πρ. Αἱ φαυλότεραι καὶ σιμότεραι παρὰ τὰς σεμνὰς καθεδοῦνται,
Κἆτ' ἢν ταύτης ἐπιθυμήσῃ, τὴν αἰσχρὰν πρῶθ' ὑποκρούσει.
Βλ. Καὶ πῶς ἡμᾶς τοὺς πρεσβύτας ἢν ταῖς αἰσχραῖσι ξυνῶμεν
Οὐκ ἐπιλείψει τὸ πέος πρότερον, πρὶν ἐκεῖσ' οἷ φῄς ἀφικέσθαι.
Πρ. Οὐχὶ μαχοῦνται; Βλ. περὶ τοῦ; Πρ. τοῦ μὴ ξυγκαταδαρθεῖν.
Βλ. Καί σοι τὸ περὶ τούτων δὴ μάχεσθαι.
Πρ. Τὸ μὲν ἡμέτερον γνώμην τιν' ἔχει· προβεβούλευται γὰρ ὅπως ἂν
Μηδὲ μιᾶς ᾖ τρύπημα κενόν. Βλ. τὸ δὲ τῶν ἀνδρῶν τί ποιήσει;
Φεύξονται γὰρ τοὺς αἰσχρούς, ἐπὶ δὲ τοὺς καλοὺς βαδιοῦνται.
Πρ. Ἀλλὰ φυλάξουσ' οἱ φαυλότεροι τοὺς καλλίους ἀπιόντας
Ἀπὸ τοῦ δείπνου καὶ τηρήσουσ' ἐπὶ τοῖσι δημοσίοισιν
Οἱ φαυλότεροι. κοὐκ ἐξέσται παρὰ τοῖς καλοῖς καταδαρθεῖν
Ταῖς γυναιξὶ πρὶν τοῖς αἰσχροῖς καὶ τοῖς μικροῖς χαρίσωνται.
Βλ. Ἡ Λυσικράτους ἄρα νυνὶ ῥίς, ἴσα τοῖσι καλοῖσι φρονήσει.
Πρ. Νὴ τὸν Ἀπόλλω καὶ δημοτικὴ ἡ γνώμη καὶ καταχήνη
Τῶν σεμνοτέρων ἔσται πολλή, καὶ τῶν σφραγῖδας ἐχόντων.
Ὅταν ἐμβάδ' ἔχων εἴπῃ πρότερος παραχώρει. κἆτ' ἐπιτήρει
Ὅταν ἤδη 'γὼ διαπραξάμενος παραδῶ σοι δευτεριάζειν.
Βλ. Πῶς οὖν οὕτω ζώντων ἡμῶν τοὺς αὑτοῦ παῖδας ἕκαστος
Ἔσται δυνατὸς διαγιγνώσκειν; Πρ. τί δὲ δεῖ; πατέρας ἅπαντ.

B Et has enim communes faciam viris condormire,
Et filios facere volenti. BLE. Quomodo igitur si omnes iuerint
In pulcherrimam ipsarum, & quærent contendere?
PR. Turpiores & curuiores apud pulchriores sedebunt,
C Et postea si hanc desiderabit, turpem primùm subagitabit.
BLE. Et quomodo nos senes, si turpibus coniungemur,
Non relinquet testiculum prius ante illuc, vbi dicis abire?
PRA. Non pugnabunt circa hoc non simul dormire.
BLE. Et tibi tale erit.
D PR. Hoc quidem nostrûm sententiam aliquam habet. præconsultatum est enim quomodo
Nullius sit foramen vacuum. BLE. illud autem virorum quid faciet,
Fugient enim turpes, in autem pulchros ibunt.
PR. sed seruabunt turpiores, pulchriores abeuntes
E A cœna, & seruabunt in publicis
Turpiores: & non licebit apud hos pulchros dormire
Mulieribus antequam turpibus & paruis gratificabuntur.
BLE. Lysicratis igitur nunc nasus, æqualia pulchris sapiet.
F PR. Per Apollinem, & publica sententia & ridiculum,
Pulchriorum erit multum sigillum habentium,
Quando calceamento dicet, prior da locum, & postea serua,
Quando iam ego operatus tradam tibi secundare.
G BLE. Quomodo igitur sic viuentium nostrûm ipsius filios vnusquisque
Erit potens dignoscere? PR. Quid opus est? patres omnes

Bis. Οὐχὶ μαχοῦνται;] Οὗτοι οἱ δύο στίχοι ἐν πᾶσι τοῖς ἐκτυπωθεῖσιν ἀντιγράφοις διεφθαρμένοι, καὶ πολλοὶ καὶ προσώπων ἀναστροφὴν ἔχοντες ἀναγινώσκονται. ὅπερ μὲν ἄλλην ἀσάφειαν τούτῳ τῷ τόπῳ φέρει. καὶ τὴν ἀληθινὴν τοῦ ποιητοῦ ἔννοιαν διαφθείρει, καὶ πᾶσαν αὐτοῦ ὡραιότητα, καὶ τὴν Ἀριστοφανικὴν εὐτραπελίαν,

καὶ σκώμματα ἀναιρεῖ. πρῶτον μὲν ὧν τῷ προτέρῳ στίχῳ ἐλλείπει τινὰ, ἃ καὶ αὐτὸς ὁ τοῦς, καὶ ἡ τοῦ μέτρου ὁλοκληρεία ἀπαιτεῖ. ὁ δὲ δεύτερος ἐν τοῖς τῶν παλαιῶν ἀντιγράφων χειρὶ γραφέντων ἴσως εἰς δύο μέρη κακῶς διαιρεθεὶς, δύο ἡμιστίχια γραμμαῖς κεχωρισμέναις κεχαραγμένα ἐποίει, καὶ ἀμφοῖν ἡ αὐτὴ ἀρχὴ ἦν, καὶ μονονοὐκ ὁ αὐτὸς νοῦς. τῶν δὲ τοῖς τυπογράφοις τοῖς τὸ πρᾶγμα ἀμελέστερον ἐξετάζουσι παρέσχεν ἀφορμὴν τοῦ τορεῖν τῶν δύο ἡμιστιχίων τὸ ἕτερον, καὶ τὸ ἕτερον ὡς περιττὸν παραλείπειν. καὶ γὰρ ἔν τισι τῶν ἐκτυπωθέντων ἀντιγράφων οὕτω γράφεται,, Καὶ τοῦτο τοιοῦτον ὑπάρξει. ἐν ἄλλοις δὲ,, Καὶ τὸ περὶ τούτων δὴ μάχεσθαι. εἰ δὲ ταῦτα συνάψῃς μίαν, ἢ δύο συλλαβὰς μεθαρμόζων ὁλόκληρον στίχον ποιήσεις. οὕτως οὖν γραπτέον,

Οὐχὶ μαχοῦνται, Πρ. περὶ τοῦ; Βλ. περὶ τοῦ μὴ πρώτας ξυγκαταδαρθεῖν.

Καὶ τοῦτο τοιοῦτον ὑπάρξει. Πρ. καὶ τὸ περὶ τῶνδε μάχεσθαι.

Τὸ μὲν ἡμέτερον.

Ἵνα δὲ ταύτης τῆς ἡμετέρας ἐπανορθώσεως ὁ λόγος, καὶ ἡ πίστις καλῶς ἔχῃ, τὸ πρᾶγμα ἄνωθεν ἐξ ἀρχῆς ἐπαναληπτέον, καὶ ἐπιμελέστερον ἐξεταστέον. πρῶτον μὲν τίποτε τοὺς ἄνδρας ποιεῖν ἡ Πραξαγόρα ἤθελε, δῆλον ἐκ τῶν προηγουμένων. Βλέπυρος ταῦτα ἀδύνατα ὄντα νομίζων, καὶ τοὺς λόγους προφέρων, οἷς πεισθεὶς οὕτως ἐφρόνει, νῦν πρὸς τούτοις λέγει καί ζητεῖ, Οὐχὶ μαχοῦνται; αἱ

A γυναῖκες δηλονότι. ἡ δὲ Πραξαγόρα ἀποκρίνεται. περὶ τοῦ; περὶ τίνος; ὁ δὲ Βλέπυρος λέγει, μὴ πρώτας ξυγκαταδαρθεῖν. τουτέστι περὶ τῶν ἐν τοῖς ἀφροδισίοις πρωτείων. εἶτα ἐπιφέρει, καὶ τοῦτο τοιοῦτον ὑπάρξει. τί; τὸ ὑπὲρ τούτων μάχεσθαι. διὰ τούτων δὲ ὑποσημαίνει αὐτὴν γραῦν, καὶ δυσειδῆ γυναῖκα εἶναι. ἡ δὲ τὸ ταὐτὸ, καὶ αὐτὴ τῷ αὐτῷ σκώμματι χρησαμένη ἀποκρίνεται. Καὶ τὸ περὶ τῶνδε μάχεσθαι. τουτέστιν ἡ αὐτὴ περὶ τῶν αὐτῶν μάχη καὶ τοῦ ὑπάρξει. περὶ τῶν αὐτῶν καὶ σοῦ ἀντιλογεῖν, φιλονεικεῖν, ἐρίζειν δεήσει. ὁρᾷ νῦν πῶς ἅπαντα κατὰ ταύτην τὴν γραφὴν

B καλῶς ἔχει. εἴ τις μὲν τοι τοῖς προτέροις σφάλμασιν ἀκολουθεῖν, καὶ ταῦτα φυλάττειν βούλεται, οὐ διαμαχήσομαι τούτῳ. Τὸ μὲν ἡμέτερον.] ἡ Πραξαγόρα πρὸς τὸν ἐν ἀρχῇ ποιηθέντα λόγον ἐπανερχομένη διαμαρτυρεῖ φανερῶς ὅτι τῶν μὲν ἀνδρῶν ὀλίγην, μᾶλλον δὲ οὐδεμίαν ἔχουσα φροντίδα, ταῦτα μόνον διαπράξασθαι ἐβούλετο, ὅπως τὰ τῶν γυναικῶν πράγματα εὐτυχίας τύχῃ μεγίστης. τουτέστι περὶ τοῦτο μάλιστα ἐκ παντὸς τρόπου ἐσπούδαζεν ὅπως οὐδεμία τῶν γυναικῶν οὕτως εἴη δυστυχὴς, ὥστε μὴ ἔχειν ᾧ τινι συνουσιάζειν δύναιτο. τὸ δὲ τρῦπημα

C νῦν μεταφορικῶς λαμβάνει ἀντὶ τοῦ γυναικείου αἰδοίου, ὃ καὶ τρῆμα καλεῖται.

Ἐκ τοῖς τοῦτο τρῆμα.

Λυσιστράτης] ὁ Λυσιστράτης κατὰ τὸν Σουΐδαν, σιμὸς, αἰσχρὸς, κλέπτης. καὶ ἄσημος ἦν.

Σχόλια. Καταχλιδᾷν] καταγελᾷς.

Τοὺς πρεσβυτέρους αὐτῶν εἶναι τοῖσι χρόνοισι, νομιοῦσιν.	Seniores ipsorum esse temporibus putabunt.
Βλ. Οὔκουν ἄγξουσ' εὖ καὶ χρηστῶς ἑξῆς τὸν πάντα γέροντα	D BLE. Non strangulabunt bene & utiliter ordinatim omnem senem
Διὰ τὴν ἄγνοιαν, ἐπεὶ καὶ νῦν γιγνώσκοντες πατέρ' ὄντα	Per ignorantiam: quoniam & nunc cognoscentes patrem existentem
Ἄγχουσι. τί δῆθ' ὅτε ἀγνὼς ᾖ πῶς οὐ τότε κἀπιχεσοῦνται.	Strangulant. quid certè quando ignorans sit, quomodo non tunc & cacabunt?
Πρ. Ἀλλ' ὁ παρεστὼς οὐκ ἐπιτρέψει. τότε δ' αὐτοῖς οὐκ ἐμέλ' οὐδὲν	PR. Sed astans non committet, tunc autem ipsis non me nil
Τῶν ἀλλοτρίων ὅστις τύπτοι. νῦν δ' ἢν πληγέντος ἀκούσῃ,	Alienorum qui verberabit: nunc autem si percussum audiet,
Μὴ αὐτὸν ἐκεῖνον τύπτῃ δεδιὼς, τοῖς δρῶσι τοῦτο μαχεῖται.	E Non ipsum illum verberabit, timens facientibus hoc pugnabit.
Βλ. Τὰ μὲν ἄλλα λέγεις οὐδὲν σκαιῶς. εἰ δὲ προσελθὼν Ἐπίκουρος	BLE. Hæc quidem alia dicis nil rude, si autem adueniens Epicure,
Ἢ Λευκόλοφος πάππαν με καλεῖ τοῦτ' ἤδη δεινὸν ἀκοῦσαι.	Vel Leucolophus auum me vocabit, hoc iam graue audire.
Πρ. Πολὺ μέντοι δεινότερον τούτου τοῦ πράγματός ἐστι. Βλ. τὸ ποῖον;	PR. Multò quidem grauius hac re est. BLE. Qua?
Πρ. Εἴ σε φιλήσειεν Ἀρίστυλλος φάσκων αὑτοῦ πατέρ' εἶναι.	PR. Si te osculabitur Aristyllus, dicens ipsius patrem esse.
Βλ. Οἰμώζοι γ' ἂν καὶ κωκύοι. Πρ. σὺ δέ γ' ὄζοις ἂν καλαμίνθης.	BLE. Lugebo & flebo. PR. Tu autem oles calaminthum.
Ἀλλ' οὗτος μὲν πρότερον γέγονε πρὶν τὸ ψήφισμα γενέσθαι.	Sed hic quidem prius natus est ante sententias factas esse,
Ὥστ' οὐχὶ δέος μή σε φιλήσῃ. Βλ. δεινὸν μέντ' ἂν ἐπεπόνθειν.	Quare non timor, ne te osculetur. BLE. Graue passus sum,
Τὴν γῆν δὲ τίς ἔσθ' ὁ γεωργήσων; Πρ. οἱ δοῦλοι. σοὶ δὲ μελήσει	G Terram autem quis est culturus? PR. Serui. tibi autem cura erit,

Σχόλια. Καλαμίνθης.] συγκριτικῶς τοῦτο ἡ καλαμίνθη, καὶ ὄρους ἐλαίου κεχρισμένη.

Ὅταν ᾖ δεκάπουν τὸ στοιχεῖον λιπαρὸς χωρεῖν ἐπὶ δεῖπνον.
Βλ. Περὶ δ' ἱματίων τίς πόρος ἔσται; καὶ γὰρ τοῦτ' ἔστιν ἐρέσθαι.
Πρ. Τὰ μὲν ὄνθ' ὑμῖν πρῶτον ὑπάρξει. τὰ δὲ λοιφ' ἡμεῖς ὑφανοῦμεν.
Βλ. Ἓν ἔτι ζητῶ πῶς ἤν τις ὄφλῃ παρὰ τοῖς ἄρχουσι δίκην τῳ;
Πόθεν ἐκτίσει; οὐ γὰρ τῶν κοινῶν γ' ἐστὶ δίκαιον.
Πρ. Ἀλλ' οὐδὲ δίκαι πρῶτον ἔσονται. Βλ. τουτὶ πόσους ἐπιτρίψει.
Πρ. Κἀγὼ ταύτην γνώμην ἐθέμην. τοῦ γὰρ τάλαν οὕνεκ' ἔσονται;
Βλ. Πολλῶν ἕνεκεν νὴ τὸν Ἀπόλλω. πρῶτον δ' ἑνὸς εἵνεκα δήπου
Ἤν τις ὀφείλων ἐξαρνῆται. Πρ. πόθεν οὖν ἐδάνεισ' ὁ δανείσας;
Ἐν τῷ κοινῷ πάντων ὄντων. Βλ. κλέπτων δήπου 'στ' ἐπίδηλος.
Πρ. Νὴ τὴν Δήμητρ' εὖ γε διδάσκεις. Βλ. τουτὶ τοίνυν φρασάτω μοι·
Τῆς αἰκίας οἱ τύπτοντες πόθεν ἐκτίσουσιν, ἐπειδὰν
Εὐωχηθέντες ὑβρίζωσι. τοῦτο γὰρ οἶμαί σ' ἀπορήσειν.
Πρ. Ἀπὸ τῆς μάζης ἧς σιτεῖται. ταύτης γὰρ ὅταν τις ἀφαιρῇ,
Οὐχ ὑβριεῖται φαύλως οὕτως τῇ γαστρὶ κολασθείς.
Βλ. Οὐδ' αὖ κλέπτης οὐδεὶς ἔσται. Πρ. πῶς γὰρ κλέψαιμι τὸ μαυτοῦ.
Βλ. Οὐδ' ἀποδύσουσ' ἆρα τῶν νυκτῶν. Πρ. οὐκ ἢν οἴκοι γε καθεύδῃς.
Οὐδ' ἤν γε θύραζ' ὥσπερ πρότερον. βίοτος γὰρ πᾶσιν ὑπάρξει.
Ἢν δ' ἀποδύῃ γ' αὐτὸς δώσει. τί γὰρ αὐτῷ πρᾶγμα μάχεσθαι.
Ἕτερον γὰρ ἰὼν ἐκ τοῦ κοινοῦ, κρεῖττον κομιεῖται ἐκείνου.
Βλ. Οὐδὲ κυβεύσουσ' ἆρ' ἄνθρωποι. Πρ. περὶ τοῦ γὰρ τοῦτο ποιήσει;
Βλ. Τὴν δὲ δίαιταν τίνα ποιήσεις. Πρ. κοινὴν πᾶσι. τὸ γὰρ ἄστυ
Μίαν οἴκησιν φημὶ ποιήσειν συρρήξασ' εἰς ἓν ἅπαντα,
Ὥστε βαδίζειν ὡς ἀλλήλους. Βλ. Τὸ δὲ δεῖπνον ποῦ παραθήσεις;
Πρ. Τὰ δικαστήρια καὶ τὰς στοιὰς, ἀνδρῶνας πάντα ποιήσω.
Βλ. Τὸ δὲ βῆμα τί σοι χρήσιμον ἔσται; Πρ. τοὺς κρατῆρας καταθήσω,
Καὶ τὰς ὑδρίας, καὶ ῥαψῳδεῖν ἔσται τοῖς παιδαρίοισι

A *Quando fueris decem cubitorum elementum pingue ire ad cœnam.*
BLE. Circa autem vestes quæ inuentio erit? etenim hoc est interrogare.
PR. Hæ quidem existentes vobis, primùm erunt, has autem reliquas nos texemus.
BLE. Vnum adhuc quæro, quomodo si qui debet apud dominos pœnam alicui,
B *Vnde possidebit hanc? non enim communium est iustum.*
PR. Sed neque pœna primum erunt. BLE. Hoc quot consumet?
PR. Et ego hanc opinionem posui. cuius enim miser gratia erunt?
BLE. Multorum gratia per Apollinem. primùm autem vnius gratia.
Si quis debens negat. PR. Vnde igitur mutuauit mutuans,
C *In communi omnibus existentibus. BLE. Fur est manifestus.*
PR. Per Cererem bene doces. BLE. Hoc igitur dicatur mihi,
Verberationes fures vnde possidebunt? postquam
Conuiuantes iniuria afficiunt, hoc enim te puto dubitare.
D *PR. A placenta quam comedit. hanc enim quando quis aufert,*
Non iniuria afficitur male sic ventre punitus.
BLE. Neque rursus fur nullus erit. PR. Quomodo enim furabor meum ipsius?
BLE. Neque spoliabunt igitur noctibus? PRA. Non si domi dormires
E *Neq; si foras sicut prius, victus enim omnibus erit.*
Si autem spoliabit, ipse dabit: quæ enim ipsi res pugnare?
Alterum enim iens ex communi melius portabit illo.
BLE. Neq; talis ludent igitur homines. PR. Circa quid enim hoc faciet?
BLE. Modum autem viuendi quem facies? PR. Communem omnibus. nam ciuitatem
F *Vnam habitationem dico facere simul, rumpens in vnum omnia,*
Vt coeant inter se. BLE. Cœnam autem vbi parabis?
PRA. Fora iudicialia & porticus, diuersoria omnia faciam,
BLE. sedes autem quæ tibi vtilis erit? PR. Crateras deponam,
G *Et hydrias, & cantare erit pueris*

Σχόλια. Δεκάπουν.] ἡ τοῦ ἡλίου σκιά, ὅταν ᾖ δέκα ποδῶν. θέλει οὖν εἰπεῖν ὅτε γίνεται ὀψέ. ἄλλως. τὸ παλαιὸν καλοῦντες ἐπὶ δεῖπνον οἱ καλούμενοι παρεσημειοῦντο τὴν σκιάν. καὶ οὕτως οἱ μὲν ἤρχοντο κληθέντες. οἱ δὲ ἀπήντων ἐπὶ τὰς ἑστιάσεις οὐδ' ἀπὸ ἰσχυρᾶς οὔσης αἰτίας, ἐφ' ἧς οἷόν τε ἦν τεκμήρασθαι εἰς πόσας ὥρας ἀφίκετο.

Γνώμην ἐθέλειν.] ἀντὶ τοῦ κρίμα, δοκεῖ τοῦτο συμφέρον εἶναι τὸ μὴ εἶναι δικαστήρια. Τῆς αἰκίας.] αἰκία εἶδος δίκης ἐστὶ ἰδιωτικόν, ἐπὶ πληγαῖς λαγχανομένης. ἧς τὸ τίμημα ἐν τοῖς νόμοις οὐκ ἔστιν ὡρισμένον. ἀλλ' ὁ μὲν κατήγορος τίμημα ἐπιγράφεται, ὁπόσου δοκεῖ A ἄξιον εἶναι ἀδίκημα, οἱ δὲ δικασταὶ κρίνουσιν. Ἀπὸ τῆς μάζης) ἀπὸ τῆς τροφῆς φησὶν ἧς λαμβάνει ἀπὸ τοῦ δημοσίου διδῶσι τὴν ζημίαν. Αὐτὸς δώσει.] ὁ ἀποδυόμενος ἱμάτιον, ἐξὸν αὐτῷ βέλτιον λαβεῖν.

Τοὺς ἀνδρείους ἐν τῷ πολέμῳ. κεἴ τις δειλὸς γεγένηται (χάειέν γε.
Ἵνα μὴ δειπνῶσ' αἰσχυνόμενοι. Βλ. νὴ τὸν Ἀπόλλω
Τὰ δὲ κληρωτήρια ποῖ τρέψεις; Πρ. εἰς τὴν ἀγορὰν καταθήσω.
Κᾆτα στήσασα παρ' Ἁρμοδίῳ κληρώσω πάντας ἕως ἂν (τι δειπνεῖ.
Εἰδὼς ὁ λαχὼν ἀπίῃ χαίρων ἐν ὁποίῳ γράμματι
Καὶ κηρύξει τοὺς ἐκ τοῦ βῆτ' ἐπὶ τὴν στοὰν ἀκολουθεῖν
Τὴν βασίλειον δειπνήσοντας. τὸ δὲ θῆτ' ἐς τὴν παρὰ ταύτην. (ἀλφιτόπωλιν,
Τοὺς δ' ἐκ τοῦ κάππα εἰς τὴν στοὰν χωρεῖν τὴν
Ἵνα κάπτωσι. Βλ. μὰ Δί' ἀλλ' ἵν' ἐκεῖ δειπνῶσιν, ὅτῳ δὲ τὸ γράμμα
Μὴ 'ξελκυσθῇ καθ' ὃ δειπνήσει, τούτους ἀπελῶσιν ἅπαντες.
Πρ. Ἀλλ' οὐκ ἔσται τοῦτο παρ' ἡμῖν.
Πᾶσι γὰρ ἄφθονα πάντα παρέξομεν.
Ὥστε μεθυσθεὶς αὐτῷ στεφάνῳ
Πᾶς τις ἄπεισι τὴν δᾷδα λαβών.
Αἱ δὲ γυναῖκες κατὰ τὰς διόδους
Προσπίπτουσαι τοῖς ἀπὸ δείπνου,
Τάδε λέξουσιν. δεῦρο παρ' ἡμᾶς.
Ἐνθάδε μεῖραξ ἐσθ' ὡραία.
Παρ' ἐμοὶ δ' ἑτέρα φήσει τις ἄνω-
θ' ἐξ ὑπερῴου καὶ καλλίστη
Καὶ λευκοτάτη. πρότερον μέντοι
Δεῖ σε καθεύδειν αὐτῆς παρ' ἐμοί.
Τοῖς δ' εὐπρεπέσιν ἀκολουθοῦντες
Καὶ μειρακίοις οἱ φαυλότεροι
Τοιάδ' ἐροῦσιν. ποῖ θεῖς οὗτος;
Πάντως οὐδὲν δράσεις ἐλθών.
Τοῖς γὰρ σιμοῖς καὶ τοῖς αἰσχροῖς
Ἐψήφισται προτέροις βινεῖν.
Ὑμᾶς δὲ τέως θρῖα λαβόντας διφόρου συκῆς
Ἐν τοῖς προθύροισι δέφεσθαι. (πάνυ.
Φέρε νῦν φράσον μοι ταῦτ' ἀρέσκει σφῷν; Βλ.
Πρ. Βαδιστέον ἆρ' ἐστὶν εἰς ἀγορὰν ἐμοί
Ἵν' ἀποδέχωμαι τὰ προσιόντα χρήματα
Λαβοῦσα κηρύκαιναν εὔφωνόν τινα.
Ἐμὲ γὰρ ἀνάγκη ταῦτα δρᾶν ᾑρημένην
Ἄρχειν. καταστῆσαί τε τὰ ξυσσίτια
Ὅπως ἂν εὐωχῆσθε πρῶτον σήμερον.
Βλ. Ἤδη γὰρ εὐωχησόμεσθα. Πρ. φήμ' ἐγώ.
Ἔπειτα τὰς πόρνας καταπαῦσαι βούλομαι
Ἁπαξαπάσας. Βλ. ἵνα τί; Πρ. δῆλον τοῦτο τί.
Ἵνα τῶν νέων ἔχωσιν αὗται τὰς ἀκμάς.

Fortes in bello, & si quis timidus fuerit,
Vt non cœnent verecundia ducti. BL. per Apollinem generosum,
B *Sorte autem iudicia ubi vertes? PRA. in forum deponam,*
Et postea apud congruum sorte eligam omnes, quousque
Sciens sortitus abeat, gaudẽs in qua litera cœnet,
Et præco illos ex beta in porticum sequi
Regalem cœnantes. hac theta in apud ipsam,
Hos autem ex cappa, in porticum ire farinam vendentem
C *Vt inclinent. BL. Per Iouem, sed ut illic cœnent, cui litera*
Non extracta sit secundùm quam cœnet, hos minantur omnes.
PR. Sed non est hoc apud nos,
Omnibus enim opulenta omnia præbebimus,
Vt ebriatus ipsa corona
Omnis abit tædam capiens.
Hæ autem mulieres per biuia
D *Cadentes, his à cœna*
Hæc dicent, veni ad nos
Huc, puella est pulchra.
Apud me autem altera dicet aliqua desu-
per ex tabulato & pulcherrima,
Et albissima. prius tamen
Oportet te dormire hac apud me:
Hos autem per decentes sequentes,
E *Et adolescentulis turpiores*
Talia dicent. quò curris hic.
Omnino neque facies veniens?
His enim simis & turpibus
Decretum est prioribus subagitare.
Vos aũt interim folia capiẽtes bis fructifera ficus
In vestibulis tingi.
Age nũc, dic mihi, hæc placent vobis? BL. Valdè:
PR. Eundum igitur est in forum mihi,
F *Vt suscipiam aduenientes opes,*
Capiens lyram nouam bene sonantem aliquam:
Me autem necessitas hæc facere electam
Dominari, constituere q́; obsonia.
Vt comedatis primùm hodie.
BL. Iam enim conuiuabimur. PR. Dico ego.
Postea meretrices sedare volo
Omnes. BL. Propter quid? PR. Manifestum hoc,
G *Vt iuuenum habeant ipsæ flores:*

Σχ. Κληρωτήρια.] τὰς κληρωτικὰς ἀρχάς. Γράμματι δειπνεῖ.) δέον εἰπεῖν δικάζειν, εἶπε δειπνεῖν. Ἐς τὴν παρὰ ταύτην.) τοὺς θῆτας. τοὺς μισθωτοὺς εἰς τὸ Θησεῖον. ἐπεὶ πάλιν ἀπὸ τοῦ θῆτα ἄρχεται. Ἵνα κάπτωσιν.) ἀπὸ τοῦ κ διὸ ἐπὶ τῶν ἐκ τοῦ κ ἔφη. Διόδους.) ὁδούς. ἀπὸ τοῦ διοδεύειν. Διφόρου συκῆς.) ἢ παρὰ τὴν δίωλιν τοῦ διφόρου, ἢ ὅτι καὶ δίφοροί εἰσι. τοῦτο δὲ ἵνα κνισμὸν αὐτοῖς τὸ φύλλον ἐμποιῇ.

Καὶ τάς γε δούλας οὐχὶ δεῖ κοσμουμένας
Τὴν τῶν ἐλευθέρων ὑφαρπάζειν κύπριν,
Ἀλλὰ παρὰ τοῖς δούλοισι κοιμᾶσθαι μόνον,
Κατωνάκην τὸν χοῖρον ἀποτετιλμένας.
Βλ. Φέρε νυν ἐγώ σοι παρακολουθῶ πλησίον.
Ἵν' ἀποβλέπωμαι καὶ λέγωσί μοι ταδί.
Τὸν τῆς στρατηγοῦ τοῦτον οὐ θαυμάζετε;

A Et seruas non oportet ornatas
Liberarum subripere Venerem;
Sed apud seruos dormire solam.
Pelle porcum euellentes.
BL. Age nunc, ego te sequor propè,
Vt aspiciar, & dicant mihi hæc,
Ducis hunc, non admiramini?

Σχόλια. Κατωνάκη.] ἱμάτιόν ἐστιν ἐκ τῆς κάτω μερῶν νάκος ἔχον τουτέστι διφθέραν περιερραμμένον. ἐστὶ δὲ B δουλικὸς καὶ ἀνελεύθερος χιτών.

ΑΝΗΡ Ο ΚΑΤΑΘΕΙΣ, ΦΕΙΔΩΛΟΣ ὁ μὴ καταθείς.

VIR DEPONENS, PHEIDOLVS Vir non deponens.

Bis. Εἰσάγονται δύο ἄνδρες εἰσάγονται, ὧν ὁ μὲν τῷ τῆς Πραξαγόρας ψηφίσματι καὶ κηρύγματι πείθεται, καὶ πᾶσαν τὴν αὑτοῦ οὐσίαν εἰς τὴν ἀγορὰν ἀποφέρει, καὶ κατατίθησιν. C ὁ δὲ, τοῦτο ποιεῖν ἀναδύεται πρὶν ἢ γιγνώσκειν διὰ τί τοῦτο προσαχθείη. καὶ περὶ τούτων ἐν ἀλλήλοις διαλογιζόμενοι φιλονείκως ἐρίζουσι.

Ἀν. Ἐγὼ δ' ἵν' εἰς ἀγορὰν γε τὰ σκεύη φέρω,
Προχειριοῦμαι κἀξετάσω τὴν οὐσίαν.
Χώρει σὺ δεῦρο κιναχύρα καλὴ καλῶς
Τῶν χρημάτων θύραζε πρώτη τῶν ἐμῶν,
Ὅπως ἂν ἐντετριμμένη κανηφορῇς
Πολλοὺς κάτω δὴ θυλάκους στρέψασ' ἐμούς.
Ποῦ 'σθ' ἡ διφροφόρος; ἡ χύτρα δεῦρ' ἔξιθι.
Νὴ Δία μέλαινά γ' οὐδ' ἂν εἰ τὸ φάρμακον
Ἑψοῦσ' ἔτυχες ᾧ Λυσικράτης μελαίνεται.
Ἵστω παρ' αὐτήν, δεῦρ' ἴθι κομμώτρια.
Φέρε δεῦρο ταύτην τὴν ὑδρίαν ὑδριαφόρε
Ἐνταυθί. σὺ δὲ δεῦρ' ἡ κιθαρῳδὸς ἔξιθι
Πολλάκις ἀναστήσασά μ' εἰς ἐκκλησίαν
Ἀωρὶ νύκτωρ διὰ τὸν ὄρθριον νόμον.
Ὁ τὴν σκάφην λαβὼν προΐτω τὰ κηρία.
Κόμιζε τοὺς θαλλοὺς καὶ καθίστη πλησίον.
Καὶ τὼ τρίποδ' ἐξένεγκε καὶ τὴν λήκυθον.
Τὰ χυτρίδι' ἤδη καὶ τὸν ὄχλον ἀφίετε.
Φε. Ἐγὼ καταθήσω τἀμά; κακοδαίμων ἄρα
Ἔσομαι καὶ νοῦ ὀλίγου κεκτημένος.
Μὰ τὸν Ποσειδῶ γ' οὐδέποτ', ἀλλὰ βασανιῶ
Πρώτιστον αὐτὰ πολλάκις καὶ σκέψομαι.
Οὐ γὰρ τὸν ἐμὸν ἱδρῶτα καὶ φειδωλίαν
Οὐδὲν πρὸς ἔπος οὕτως ἀνοήτως ἐκβαλῶ,
Πρὶν ἐκπύθωμαι πᾶν τὸ πρᾶγμ' ὅπως ἔχει.

V.D. Ego autem vt in forum vasa feram,
Ordinor, & exquiram substantiam.
Veni tu huc Cinachyra bona bene,
Rerum foras prima mearum,
Vt consueta canistrum portes,
Multa inferius iam vasa vertens mea.
Vbi est Diphrophorus, olla huc exi,
D Per Iouem nigra, neque in medicinam
Coquere contigisti, qua Lysicrates nigratur.
Sta apud ipsam, huc veni commotrix,
Fer huc istam hydriam hydriaphore,
Huc, tu autem huc citharœda exi,
Sæpe suscitans me ad concilium
Importuna noctibus per diluculare legem.
Scapham capiens affer ceras,
E Porta ramos, & sede propè.
Et duas ollulas autem effer & lecythum.
Citò ollulas iam & multitudinem dimitte.
PH. V. N. D. Ego deponam mea? infelix igitur
Ero, & mentem paucam possidens,
Per Neptunum nunquam, sed experiar
Primùm ipsa sæpe, & considerabo.
Non enim meum sudorem & parcitatem
F Neque ad verbum inscienter eijciam,
Antequàm discã omnem rem quomodo habet.

Σχόλια. Προχειριοῦμαι] εὐτρεπίσω. Κιναχύρα] ὄνομα δούλης. Ἐντετριμμένη] σμηχθεῖσα, ἢ εἰθισμένη. στρέψασα δὲ, κλέψασα.

Bis. Βέλτιον οὖν τὴν μετοχὴν στρέψασα, ἀναφέρης πρὸς τὸ κάτω. κάτω δὲ στρέφειν ἀντὶ τοῦ ἀνατρέπειν. τὸ δὲ ἐντετριμμένη ἀντὶ τοῦ εἰωθυῖα, καὶ καλῶς εἰθισμένη.

Σχ. Διφροφόρος] ἡ τὸ σελλίον ἢ τὸ καθιστήριον βαστάζουσα. Ἡ χύτρα δεῦρ' ἔξιθι.) ὡς ἐν κωμῳδίᾳ καὶ τὴν χύτραν ἔξω καλεῖ χάριν γέλωτος. Μελαίνεται] ὡς τοῦ Λυσικράτους φαρμάκῳ μελαίνοντος αὐτοῦ τὰς πολιάς. Κομμώτρια.] καλλωπίστρια ἡ κοσμοῦσα τὰς γυναῖκας. Κιθαρῳδὸς] ἡ ἀλεκτορίς. Τὸν ὄρθριον νόμον] οὕτω καλούμενος νόμος κιθαρῳδικὸς ὁ ὄρθριος. Τὰ κηρία] ἴσως τοὺς ἀπορῶντας λέγει.

Bis. Τὰ κηρία κυρίως, ὥς φησιν Ἡσύχιος, τὸ τοῦ μελισσῶν, καὶ εἶδος πλακοῦντος. ἀλλ' ἴσως ἐνταῦθα κηρία καλοῦνται δᾷδες ἐκ κηροῦ πεποιημέναι, ἃς οἱ Ῥωμαῖοι κατὰ τὴν ἐπιχώριον γλῶτταν κηρέας παρὰ τὸ κηρὸν ὀνομάζουσι. ἐμοὶ δὲ παρὰ τὸ Πλουτάρχῳ οὕτω χαριέστερον δοκεῖ, οὐχ ὥσπερ γράφεται κηρίωνας. ἐπεὶ γὰρ ἐν τοῖς Ῥωμαϊκοῖς φησι, πέντε λαμπάδας ἅπτουσιν ἐν τοῖς γάμοις, ἃς κηρίωνας ὀνομάζουσι. Κόμιζε θαλ-
G λοὺς] παίζει πρὸς τὴν τῶν Παναθηναίων πομπὴν, ἐν ᾗ οἱ γέροντες θαλλοὺς ἔχοντες ἐπόμπευον, ὡς ὁ σχολιαστὴς μαρτυρεῖ ἐν Σφηξίν.

Σχ. Καθίστη πλησίον.] τοὺς ἐλαίας κλάδους ὡς ἐν πομπῇ. Πρὸς ἔπος] ἀντὶ τοῦ ὡς ἔτυχεν. ἕνεκα μηδενός.

Bi. Οὗτος ὁ στίχος ἐλλιπής ἐστιν, ἀλλ' ὁ Σουίδας οὕτω πληρέστερος γράφει, οὐδὲν πρὸς ἔπος, χ' οὕτως ἀνοήτως ἐκβαλῶ.

Οὗτος, τί τὰ σκευάρια ταυτὶ βούλεται;
Πότερον μετοικιζόμενος ἐξενήνοχας
Αὔτ' ἢ φέρεις ἐνέχυρα θήσων; Αν. οὐδαμῶς.
Φε. Τί δῆτ' ἐπὶ στοίχου 'στὶν οὕτως, οὔ τι μὴν
Ἱέρωνι τῷ κήρυκι πομπὴν πέμπετε;
Αν. Μὰ Δί' ἀλλ' ἀποφέρειν αὐτὰ μέλλω τῇ πόλει
Εἰς τὴν ἀγορὰν κατὰ τοὺς δεδογμένους νόμους.
Φε. Μέλλεις ἀποφέρειν; Αν. πάνυ γε. Φε. κακοδαίμων ἄρ' εἶ
Νὴ τὸν Δία τὸν σωτῆρα. Αν. πῶς; Φε. πῶς; ῥᾳδίως.
Αν. Τί δ' οὐχὶ πειθαρχεῖν με τοῖς νόμοισι δεῖ;
Φε. Ποίοισιν ὦ δύστηνε; Αν. τοῖς δεδογμένοις.
Φε. Δεδογμένοισιν; ὡς ἀνόητος ἦσθ' ἄρα.
Αν. Ἀνόητος; Φε. οὐ γάρ; ἠλιθιώτατος μὲν οὖν
Ἁπαξαπάντων. Αν. ὅτι τὸ ταττόμενον ποιῶ;
Τὸ ταττόμενον γὰρ δεῖ ποιεῖν τὸν σώφρονα;
Μάλιστα πάντων. Φε. τὸν μὲν οὖν ἀβέλτερον.
Αν. Σὺ δ' οὐ καταθεῖναι διανοεῖ; Φε. φυλάξομαι,
Πρὶν ἄν γ' ἴδω τὸ πλῆθος ὅ τι βουλεύεται.
Αν. Τί γὰρ ἄλλο γ' ἢ φέρειν παρεσκευασμένοι
Τὰ χρήματ' εἰσίν; Φε. ἀλλ' ἰδὼν ἐπειθόμην.
Αν. Λέγουσι γοῦν ἐν ταῖς ὁδοῖς. Φε. λέξουσι γάρ.
Αν. Καί φασιν οἴσειν ἀράμενοι. Φε. φήσουσι γάρ.
Αν. Ἀπολεῖς ἀπιστῶν πάντ'. Φε. ἀπιστήσουσι γάρ.
Αν. Ζεύς σ' ἐπιτρίψειεν. Φε. ἐπιτρίψουσι γάρ.
Οἴσειν δοκεῖς τιν' ὅστις αὐτῶν νοῦν ἔχει;
Οὐ γὰρ πάτριον τοῦτ' ἐστὶν ἀλλὰ λαμβάνειν
Ἡμᾶς μόνον δεῖ νὴ Δία, καὶ γὰρ οἱ θεοί.
Γνώσει δ' ἀπὸ τῶν χειρῶν τε, καὶ [ἀγαλμάτων]
Ὅταν γὰρ εὐχώμεσθα διδόναι τἀγαθά,
Ἕστηκεν ἐκτείνοντα τὴν χεῖρ' ὑπτίαν,
Οὐχ ὥς τι δώσοντ', ἀλλ' ὅπως τι λήψεται.
Αν. Ὦ δαιμόνι' ἀνδρῶν, ἔα με τῶν προὔργου τι δρᾶν.
Ταυτὶ γάρ ἐστι συνδετέα. ποῦ μοὔσθ' ἱμάς;
Φε. Ὄντως γὰρ οἴσεις; Αν. ναὶ μὰ Δία καὶ δὴ μὲν οὖν
Τωδὶ ξυνάπτω τὼ τρίποδε. Φε. τῆς μωρίας.
Τὸ μηδὲ περιμείναντα τοὺς ἄλλους ὅ, τι
Δράσουσιν, εἶτα τηνικαῦτ' ἤδη. Αν. τί δρᾶν;
Φε. Ἐπαναμένειν, ἔπειτα διατρίβειν ἔτι.
Αν. Ἵνα δὴ τί; Φε. σεισμὸς εἰ γένοιτο πολλάκις
Ἢ πῦρ ἀπότροπον, ἢ διᾴξειεν γαλῆ,
Παύσαιντ' ἂν εἰσφέροντες, ὦμβρόντητε σύ.
Αν. Χαρίεντα γοῦν πάθοιμ' ἂν εἰ μὴ 'χοιμ' ὅποι
Ταῦτα καταθείην. Φε. μὴ γὰρ οὐ λάβοις ὅποι
Θάρρει, καταθήσεις, κἂν ἔνης ἔλθῃς. Αν. τί δή;

A Hic quid vasa hac volunt?
Nunquid mutans domum exportasti
Ipsa, an portas pignora positurus? VIR. nequaquam.
PH. Quid certè in ordine est hic: non ne non
Hieroni praconi pompa mittitur?
VIR. Per Iouem, sed auferre ipsa volo ciuitati,
In forum secundum apparentes leges.
B PH. Vis auferre? VIR. valde. PH. infelix es
Per Iouem seruatorem. VIR. Quomodo? PH. Quomodo? facile.
VIR. Quid autem non obedire legibus oportet?
PH. Quibus ô infelix? VIR. apparentibus.
PH. Apparentibus? valde rudis es igitur.
VIR. Rudis? PH. non stolidissimus quidē igitur
Omnium. VIR. Quòd ordinatum facio.
Ordinatum enim oportet facere prudentem
C Maximè omniū PH. hūc quidem igitur peiorē.
VIR. Tu autē nō deponere cogitas? PH. cauebo,
Antequam videam multitudinem, quid vult.
VIR. Quid enim aliud, quàm ferre parati
Res sunt? PH. sed videns credam.
VIR. Dicunt igitur in viis. PH. Dicent enim.
VIR. Et dicūt portare eleuātes PH. Dicēt enim.
VIR. Peribis non credens omnia. PH. non credent enim.
D VIR. Iupiter te cōteras. PH. Cōterent enim.
Portare putas aliquem. VIR. Qui ipsorum mentem habet.
PH. Non enim patrium hoc est. VI. sed sumere
Nos solum decet PH per Iouem etenim Dei.
Cognosces autem à manibus q, & statuis.
Quando enim supplicamus dare bona,
stant extendentes manum supinam,
Nō tāquam aliquid dātes, sed vt aliquid capiāt.
E VIR. O infelix virorum, sine me excellentem aliquid facere.
Hac enim sunt dāda, ubi mei est ligamen?
PH. Certè enim portabis. VIR. ita per Iouem, & iam quidem igitur.
Hos simul ligabo tripodes. PH. stultitia
Hoc, neq; expectātem alios quid
Facient, postea tūc iam. VIR. Quid facere?
PH. Expectare, postea demorari adhuc.
F VI. Vt iam quid? PH. Terramotus si fieret crebrò,
vel ignis euitabilis, vel trāsiret catta,
Cessarent inferentes ô tonitruate tu.
VI. Gratiosa igitur patiar, si nō habebo, ubi
Hac deponam. PH. Nō enim nō capies ubi
Fide, si depones, etsi primus veneris. VI. Cur?

Σχ. Πέμπετε.] κῆρυξ οὗτος ὅς τις τὰ πρασσόμενα ἐκήρυσσε. τὸ δὲ τοιοῦτον αὐτὰ ὡς ἐν πομπῇ ἐξάγει. Ἀβέλτερον] ἀνόητον, ἀσύνετον. Διδόναι τἀγαθά.) ἐπεὶ ἐπιτελοῦσι τὰ ἀγάλματα τῶν θεῶν ὑπτίας τὰς χεῖρας ἔχουσιν. Ω δαιμόνι' ἀνδρῶν] τοῦτό φησιν ὁ θέλων καταθεῖναι.

G Bis. Συνδετέα] ἐν τισι τῶν παλαιῶν ἀντιγράφων γέγραπται συνδετέα. ὃ καὶ πολὺ βέλτιον.
Σχ. Εἰ γένοιτο] εἰ γένοιτό τι σύμβολον, ὡς ἐπιτελοῦσι τὰ δόξαντα. Εἰ μὴ 'χοιμ' ὅποι] ἐὰν ἐμβραδύνω, μὴ ἔχω ὅπου καταθῶ αὐτὰ εὕρω.

A Φε. Ἐγᾦδα, τούτους χειροτονοῦντας μὲν ταχύς,
Ἅττ' ἂν δὲ δόξῃ, ταῦτα πάλιν ἀρνουμένους.
Αν. Οἴσουσιν ὦ τᾶν. Φε. ἢν δὲ μὴ κομίσωσι, τί;
Αν. Ἀμέλει, κομιοῦσι. Φε. ἢν δὲ μὴ κομίσωσι, τί;
Αν. Μαχούμεθ' αὐτοῖς. Φε. ἢν δὲ κρείττους ὦσι, τί;
Αν. Ἄπειμ' ἐάσας. Φε. ἢν δὲ πωλῶσ' αὐτά, τί;
B Αν. Διαρραγείης. Φε. ἢν διαρραγῶ δέ, τί;
Αν. Καλῶς ποιήσεις. Φε. σὺ δ' ἐπιθυμήσεις φέρειν;
Αν. Ἔγωγε. καὶ γὰρ τοὺς ἐμαυτοῦ γείτονας
Ὁρῶ φέροντας. Φε. πάνυ γ' ἂν οὖν Ἀντισθένης
Αὔτ' εἰσενέγκοι. πολὺ γὰρ ἐμμελέστερον
Πρότερον χέσαι πλεῖν ἢ τριάκονθ' ἡμέρας.
Αν. Οἴμωζε. Φε. Καλλίμαχος δ' ὁ χοροδιδάσκαλος
Αὐτοῖσιν εἰσοίσει τί πλέω Καλλίου;
C Ὥνθρωπος οὗτος ἀποβαλεῖ τὴν οὐσίαν.
Αν. Δεινά γε λέγεις. Φε. τί δεινόν, ὥσπερ οὐχ ὁρῶν
Ἀεὶ τοιαῦτα γινόμενα ψηφίσματα;
Οὐκ οἶσθ' ἐκεῖνο οὗ δόξε τὸ περὶ τῶν ἁλῶν;
Αν. Ἔγωγε. Φε. τοὺς χαλκοῦς δ' ἐκείνους ἡνίκα
Ἐψηφισάμεθ' οὐκ οἶσθα; Αν. καὶ κακόν γέ μοι
Τὸ κόμμ' ἐγένετ' ἐκεῖνο. πωλῶν γὰρ βότρυς,
D Μεστὴν ἀπῆρα τὴν γνάθον χαλκῶν ἔχων.
Κἄπειτ' ἐχώρουν εἰς ἀγορὰν ἐπ' ἄλφιτα.
Ἔπειθ' ὑπέχοντος ἄρτι μου τὸν θύλακον
Ἀνέκραγ' ὁ κῆρυξ μὴ δέχεσθαι μηδένα
Χαλκοῦν, τὸ λοιπόν. ἀργύρῳ γὰρ χρώμεθα.
Φε. Τὸ δ' ἔναγχος οὐχ ἅπαντες ὠμνύμεν
Τάλαντ' ἔσεσθαι πεντακόσια τῇ πόλει
Τῆς τεσσαρακοστῆς, ἣν ἐπόρισ' Εὐριπίδης.
E Κεὐθὺς κατεχρύσου πᾶς ἀνὴρ Εὐριπίδην.
Ὅτε δ' ἤδη ἀνασκοπουμένοις ἐφαίνετο
Ὁ Διὸς Κόρινθος καὶ τὸ πρᾶγμ' οὐκ ἤρκεσεν,
Πάλιν κατεπίττου πᾶς ἀνὴρ Εὐριπίδην.
Αν. Οὐ ταὐτὸν ὦ τᾶν. τότε μὲν ἡμεῖς ἤρχομεν.
Νῦν δ' αἱ γυναῖκες. Φε. ἅς γ' ἐγὼ φυλάξομαι
Νὴ τὸν Ποσειδῶ μὴ κατουρήσωσί μου.
Αν. Οὐκ οἶδ' ὅ,τι ληρεῖς. φέρε σὺ τἀνάφορον ὁ παῖς.

F

Σχόλια. Καλλίμαχος] οὗτος πένης καὶ χοροδιδάσκαλος. αὐτοῖσι δὲ σὺν αὐτοῖς. Καλλίου.) Καλλίας τις ἐγένετο πλούσιος. ὃς εἰς πόρνας ἑαυτοῦ οὐσίαν κατηνάλωσε, καὶ λοιπὸν πένης ἐγένετο. Ψηφίσματα.) ἐψηφίζοντο γὰρ αὐτοὺς εὐπορωτέρους εἶναι. καὶ τὸ ψήφισμα ἄκυρον γέγονε. Τῆς τεσσαρακοστῆς] οὗτος ἔγραψε τεσσαρακοστὴν εἰσενεγκεῖν ἀπὸ τῆς οὐσίας εἰς τὸ κοινόν.

G

ΚΗΡΥΞ, ΦΕΙΔΩΛΟΣ, Ὁ Καταθείς.

Bis. Ὁ κῆρυξ δεῖπνον, καὶ δημοσίαν ἑστίασιν ἀνακηρύττει.

Κη. Ὦ πάντες ἀστοί. νῦν γὰρ οὕτω ταῦτ' ἔχει.
Χωρεῖτ', ἐπείγεσθ' ἄνθυ τῆς στρατηγίδος

A PH. Ego scio hos sentẽtiã ferẽtes quidẽ veloces,
Quæ autem apparuerunt, hæc iterum negantes
Portabunt ô amice. PH. si autẽ nõ portabũt, quid?
VIR. Ne cures, portabunt. PH. si autem non portabunt, quid?
VIR. Pugnabimus his. PHI. si autem meliores fuerint, quid?
VIR. Abibo sinẽs. PH. si autem vendant ipsa, q̃ d?
B VIR. Rumparis. PH. si disrumpar autem, quid?
VIR. Bene facies. PH. tu autem cupies portare?
VIR. Ego quidem etenim hos mei ipsius vicinos
Video portantes. PH. Valde igitur Antisthenes
Ipsa inferet. multo enim aptius
Prius cacare plus quàm triginta dies.
VIR. Luge. PH. Callimachus tripudij præceptor
Ipsis inferet. quid plura? Callia,
Homo hic abijciet substantiam.
C VIR. Grauia dicis. PH. Quid graue, tanquam non videns
Semper tales factas sententias?
Non scis illud, quod apparuit de salibus?
VIR. Ego quidem. PH. Æreos autẽ illos quando
Sententia confirmauimus, non scis? VIR. & malum mihi
Sectio fuit illa. multorum enim racemos
Plenam eleuaui peram æreorum habens.
D Et postea iui in forum ad farinas.
Postea tenente nuper me vas,
Clamauit præco non suscipere nullum
Æs in futurum, argento enim vtimur.
PH. Hoc autem nuper non omnes iurauimus,
Talenta fore quingenta ciuitati
Quadragenaria, quam inuenit Euripides,
Et statim deaurabat omnis vir Euripidem.
E Quando autem hæc considerantibus apparuit
Iouis Corinthus, & res non placuit,
Iterum pice linibat omnis vir Euripidem.
VIR. Non idem ô amice, tunc quidem nos dominabamur,
Nunc autem mulieres. PH. Quas ego obseruabo
Per Neptunum ne demingant me.
VIR. Non scio quod nugaris, age tibi q́ supra pondus ô puer.

F

Bis. Κατεχρύσου] καταχρυσοῦν ἐστὶ μεταφορικῶς ληπτέον ἀντὶ τοῦ ἐπαινεῖν, μεγαλύνειν, εἰς μέγεθος αἴρειν. τὸ δὲ ἐναντίον, καταπιττοῦν, ἀντὶ τοῦ εὐτελίζειν, λοιδορεῖν, κακολογεῖν.

Σχ. Φυλάξομαι] ὥστε ἐπιμέλειαν ποιήσασθαι ἡμῶν. Ἀνάφορον] ἀνάφορον ξύλον ἀμφίκοιλον, ἐν ᾧ τὰ φορτία ἐξαρτήσαντες οἱ ἐργάται βαστάζουσιν.

G

PRAECO, PHEIDOLVS, Virdeponens.

PR. O Omnes ciues, nunc enim sic hæc habent.
Ite, festinate recta ductrice,

Ὅπως ἂν ὑμῖν ἡ τύχη κληρουμένοις
Φράσῃ καθ' ἕκαστον ἄνδρ' ὅποι δειπνήσετε.
Ὡς αἵ γε τράπεζαί γ' εἰσὶν ἐπινενασμέναι
Ἀγαθῶν ἁπάντων καὶ παρεσκευασμέναι.
Κλῖναί τε σισυρῶν καὶ δαπίδων νενασμέναι.
Κρατῆρα συγκιρνᾶσιν αἱ μυροπώλιδες
Ἑστᾶσ' ἐφεξῆς τὰ τεμάχη ῥιπίζεται.
Λαγῷ' ἀναπηγνύασι πόπανα πέττεται.
Στέφανοι πλέκονται. φρύγεται τραγήματα.
Χύτρας ἔτνους ἕψουσιν αἱ νεώταται.
Σμοιὸς δ' ἐν αὐταῖς ἱππικὴν στολὴν ἔχων
Τὰ τῶν γυναικῶν διακαθαίρει τρύβλια,
Γέρων δ' ἐχώρει χλανίδα καὶ κονίποδα
Ἔχων καχάζων μεθ' ἑτέρου νεανίου.
Ἐμβὰς δὲ κεῖται καὶ τρίβων ἐρριμμένος.
Πρὸς ταῦτα χωρεῖθ' ὡς ὁ τὴν μάζαν φέρων
Ἕστηκεν. ἀλλὰ τὰς γνάθους διοίγνυτε.
Φει. Οὐκοῦν βαδιοῦμαι δῆτα. τί γὰρ ἕστηκ' ἔ-
χων
Ἐνταῦθ' ἐπειδὴ ταῦτα τῇ πόλει δοκεῖ;
Κη. Καὶ ποῖ βαδιεῖ σὺ μὴ καταθεὶς τὴν οὐσίαν;
Ομ. Ἐπὶ δεῖπνον. Κη. οὐ δῆτ' ἤν γ' ἐκείναις νοῦς
ἐνῇ
Πρίν γ' ἀπενέγκῃς. Ομ. ἀλλ' ἀποίσω. Κη. ὁ-
πηνίκα;
Ομ. Οὐ τοὐμὸν ὦ τᾶν ἐμποδὼν ἔσται. Κη. τί δή.
Ομ. Ἕτεροι ἀποίσουσ' ἔθ' ὕστεροι ἐμοῦ.
Κη. Βαδιεῖ δὲ δειπνήσων ὅμως. Ομ. τί γὰρ πά-
θω;
Τὰ δυνατὰ γὰρ δεῖ τῇ πόλει ξυλλαμβάνειν
Τοὺς εὖ φρονοῦντας. Κη. ἢν δὲ κωλύσωσι, τί;
Ομ. Ὁμόσ' εἶμι κύψας. Κη. ἢν δὲ μαστιγῶσι, τί;
Ομ. Καλούμεθ' αὐτάς. Κη. ἢν δὲ καταγελῶσι,
τί;
Ομ. Ἐπὶ ταῖς θύραις ἑστώς. Κη. τί δράσεις εἰπέ
μοι.
Ομ. Τῶν εἰσφερόντων ἁρπάσομαι τὰ σιτία.
Οκ. Βάδιζε τοίνυν ὕστερος. σὺ δ' ὦ Σίκων
Καὶ Παρμένων αἴρεσθε τὴν παμπησίαν.
Ομ. Φέρε νυν ἐγώ σοι ξυμφέρω. Οκ. μή, μηδα-
μῶς.
Δέδοικα γὰρ μὴ καὶ παρὰ τῇ στρατηγίδι
Ὅταν κατατιθῶ, προσποιῇ τῶν χρημάτων.
Ομ. Νὴ τὸν Δία δεῖ γοῦν μηχανήματός τινος
Ὅπως τὰ μὲν ὄντα χρήμαθ' ἕξω. τοῖς δέ γε
Τῶν ματτομένων κοινῇ μεθέξω πως ἐγώ.
Ὀρθῶς ἐμοί γε φαίνεται. βαδιστέον
Ὁμόσ' ἐστὶ δειπνήσοντα κοὐ μελλητέον.

A *Vt nobis fortuna sorte electis,*
Dicat ad vnumquemque virum, vbi cœnabitis,
Quòd mensæ sunt abundantes,
Bonis omnibus & præparatæ,
Lectisq́ vestibus & tapetibus pleni.
Crateram miscent vnguentariæ,
Stant ordinatim, partesq́ assantur.
Lepores figuntur, placentulæ pinsuntur,
B *Coronæ plicantur, siccantur bellaria,*
Ollas fabæ lixatæ coquunt iuuenissimæ.
Smœus in ipsis equestre ornamentum habens,
Mulierum purgat catinos.
Senex autem procedit, vestem & calceamentum
Habens, cachinnans cum alio adolescentulo:
Iens autem iacet, & terens proiectus.
Ad hæc ite quòd massam ferens
Stetit, sed maxillas aperite.
C VIR. *Igitur ibo certè. quid enim steti habens*
Hκ. *postquam hæc ciuitati apparent?*
PR. *Et quò vades, tu non deponens substantiã?*
V.N.D. *Ad cœnam.* PR. *non certè si illis mens*
inest
Antequam auferas? V.N.D *sed auferam.* PR.
Quando?
V.N.D. *Non meum hem tu, impedimento erit.*
PR. *Quidnam?* (*me.*
D V.N.D. *Alios asportare dico adhuc posteriores*
PR. *Ibis autem cœnaturus quomodo?* V.N.D.
Quid enim passus sum?
Grauia enim oportet ciuitati comportare
Sapientes. PR *si autem prohibebunt, quid?*
V.N.D. *simul ibo inclinans.* PR. *si autem ver-*
berabunt, quid?
V.N.D. *Vocabo ipsas.* PR. *si autem deridebunt,*
quid?
E V.N.D EP. *In ianuis stans.* PR. *Quid facies? dic*
mihi.
V.N.D. *Inferentium rapiam cibos.*
V.D. *Vade igitur posterior, tu autem ô Sicon*
Et Parmeno auferte omnem substantiam.
V.N.D. *Age nunc tibi confero.* V.D. *nequaquã.*
Timui enim ne & apud ductricem
Quando deponam, appropries res.
V.N.D. *Per Iouem igitur inuentione aliqua*
F *Vt quidem existentes res habeam, has autem*
Pistarum communiter participem ego,
Rectè mihi videtur eundum,
simul est cœnaturum, & non tardandum.

Σχόλια. Ἐπινενασμέναι.] ἀναπεπληρωμέναι. Σισυρῶν.] μαλλωτῶν στρωμάτων. δαπίδων δὲ τῶν ταπήτων. Ῥιπίζεται.] ἀντὶ τοῦ ὀπτᾶται. τὸ γὰρ πῦρ οἱ ἄνθρωποι ἐρρίπιζον, ἵνα ὀπτήσωσι. Τραγήματα] τὰ τρωγάλια λέγει. ἔτνος δὲ εἶδος ἀθάρας ἀπὸ φασηλίων. Σμοιός.) κύριον ὄνομα. αἰσχροποιὸς εἰς γυναῖκας. καὶ ἱππεύσας πρότερον καὶ τοῖς ταύταις διακόνων τὰ τρύβλια. Κονίποδα] εἶδος σανδάλιον.

G Bis. Ομ. Ἐπὶ δεῖπνον.) ταῦτα τὰ γράμματα, Ομ. δηλοῖ, ὁ μὴ καταθεὶς τὴν οὐσίαν. ἰσοδυναμεῖ δὲ τῷ φειδωλός. ταῦτα δὲ τὰ γράμματα, Οκ. σημαίνει, ὁ καταθεὶς τὴν ἑαυτοῦ οὐσίαν.

Σχ. Ην δὲ κωλύσωσιν] ἐξ ὧν προῄει αὐτὸς μὴ βουλόμενος τὴν οὐσίαν καταθεῖναι ἐπηρώτα. Παμπησίαν] τὴν πᾶσαν κτῆσιν. Προσποιῇ.] μὴ προσποιῇ διαφέρειν. Τῶν ματτομένων] τῶν σιτημάτων.

A

ΓΡΑΥΣ, ΑΛΛΗ ΓΡΑΥΣ, Νέα.

Bisetus. Αἱ γυναῖκες κατὰ τὸ τῆς Βουλῆς δόγμα ἐν ταῖς ἐξόδοις φανερῶς προΐστανται ἄνδρας περιμένουσαι. Τῷ μέσῳ χρόνῳ περὶ τῆς προτέρας φιλονείκως διαγωνίζονται.

Γρ. Τί ποτ' ἄνδρες οὐχ ἥκουσιν, ὥρα δ' ἦν πάλαι.
Ἐγὼ δὲ καταπεπλασμένη ψιμυθίῳ.
Ἕστηκα καὶ κροκωτὸν ἠμφιεσμένη,
Ἀργὸς, μινυρομένη τι πρὸς ἐμαυτὴν μέλος.
Παίζουσ' ὅπως ἂν περιλάβοιμ' αὐτῶν τινὰ
Παριόντα. μοῦσαι δεῦρ' ἴτ' ἐπὶ τοὐμὸν στόμα,
Μελύδριον εὑροῦσαί τι, τῶν Ἰωνικῶν.

Αλλ. Γρ. Νῦν μέν με παρακύψασα προὔφθης ὦ σαπρά.
Ὤου δ' ἐρήμας οὐ παρούσης ἐνθάδε
Ἐμοῦ, τρυγήσειν καὶ προσάξεσθαί τινα
Ἄδουσ'. ἐγὼ δ' ἦν τοῦτο δρᾷς ἀντᾴσομαι.
Κεἰ γὰρ δι' ὄχλου τοῦτ' ἐστὶ τοῖς θεωμένοις,
Ὅμως ἔχει τερπνόν τι, καὶ κωμῳδικόν.

Γρ. Τούτῳ διαλέγου κἀποχώρησον. σὺ δὲ
Φιλοττάριον αὐλητὰ τοὺς αὐλοὺς λαβὼν
Ἄξιον ἐμοῦ καὶ σοῦ προσαύλησον μέλος.

Γρ. Εἴ τις ἀγαθὸν βούλεται
Παθεῖν τι, παρ' ἐμοὶ χρὴ καθεύδειν.
Οὐ γὰρ ἐν νέαις τὸ σοφὸν ἔ-
νεστιν, ἀλλ' ἐν ταῖς πεπείροις.
Οὐδέ τις στέργειν ἂν ἐθέλοι
Μᾶλλον ἢ 'γὼ τὸν φίλον
Ὧπερ ξυνείην, ἀλλ' ἐφ' ἕτερον ἂν πέτοιτο.

Νε. Μὴ φθόνει ταῖσι νέαισι.
Τὸ τρυφερὸν γὰρ ἐμπέφυκε
Τοῖς ἁπαλοῖσι μηροῖς.
Κἀπὶ τοῖς μήλοις ἐπανθεῖ. σὺ δ' ὦ
Γραῦ, παραλέλεξαι κἀντέτριψαι τῷ
Θανάτῳ μέλημα.

Γρ. Ἐκπέσοι σου τὸ τρῆμα
Τό τ' ἐπίκλιντρον ἀποβάλοις,
Βουλομένη σποδεῖσθαι

Anvs, Alia Anvs Iuuencula.

AN. *Quid viri non venient? hora iam erat diu.*
B *Ego autem fucata fuco*
Steti, & rubra induta,
Ociosa canens ad me ipsam cantum
Ludens, ut acciperem ipsorum aliquem,
Aduenientem. Musæ huc venite ad meum os,
Cantilenulam inuenientes aliquam Ionicarum.
AL.A. *Nunc quidem me inclinans præuenisti ô marcida.*
C *Putasti autem solitariis non præsente hic*
Me vindemiare, & adducere aliquem
Canens, ego autem quæ hoc facienti canam.
Illic enim per turbam, hoc est spectatoribus,
Tamen habet delectabile quid & ridiculosum.
AN. *Huic disputa & obedi: tu autem*
Amicabilem tibicen tibias capiens,
Dignum me & te accine cantum.
D AL.A. *Si quis bonum vult*
Pati quid, apud me oportet dormire.
Non enim in iuuenibus sapientia in-
Est, sed in expertis.
Neque amare velit
Magis quàm ego amicum,
Cui coniungar, sed in alterum volet.
IVV. *Ne inuide iuuenculis,*
Delicatum enim natum est
E *Teneris cruribus,*
Et in ouibus floret. tu autem ô
Anus collige, & frica
Morti curam.
AN. *Excidat tui ornatus,*
Et ornatum abiicias,
Volens subagitari.

Σχόλια. Μινυρομένη] ἀντὶ τοῦ ἠρέμα ᾄδουσα. Τῶν Ἰωνικῶν.] τῶν τρυφηλῶν· Ἴωνες γὰρ τρυφηλοί.

Biset. Ἐρήμας] Ἀριστοφάνης ἐν Σφηξὶν „ Ἀλλ' ἐρήμας ᾤεθ' οὕτω ῥᾳδίως τρυγήσειν. τὰ δὲ σχόλια τοῦτο οὕτως ἑρμηνεύει, παροιμία, ὡς ἐρήμας τρυγήσεις ἐπὶ τῶν ἀδεῶς τι πραττόντων, ὡς μηδενὸς αὐτοῖς ἀντιπράττοντος, ἐρήμας τρυγήσειν, ὑπολουστέον δὲ τὰς ἀμπέλους. ἔστι γὰρ ἀπὸ τῶν τὰς ἀμπέλους ἀφροντίστως τρυγώντων.

Σχόλια. Τὸ σοφόν.] ἤγουν τὸ ἐμπειρον. Γραῦ.] ἢ τὰς πολιάς σου παραλέλεξαι. ἢ ἐκλέξω τὰς τρίχας μίαν παρὰ μίαν.

Bis. Ἡσύχιος, παραλέξαι παρὰ τὸ τὰς ὑπεροχούσας ἐν τῇ ὀφρύσι τρίχας παραλέγειν. ἀλλ' ἴσως βέλτιον γράφειν παραπέπλεξαι, ὡς ἐκ τῆς ἐννοίας δῆλον, ἤγουν τὰς σου τρίχας μίαν παρὰ μίαν ἐκλέξω κοσμιότητος, καὶ κομψότητος ἕνεκα. τὸ δὲ κἀντέτριψαι, ἀντὶ τοῦ καὶ ἐντέτριψαι, δηλονότι τῷ ψιμυθίῳ, ἵνα καλλίων φαίνῃ, ὡς ἀλ-
F λαχοῦ δηλοῦται. ἀλλὰ παρ' ὑπόνοιαν γέλωτος χάριν ἐπιφέρεται τῷ θανάτῳ μέλημα. μέλημα δὲ τὸ φρόντισμα, ἢ μελέτη. οὕτω δὲ καὶ ὁ Ἀνακρέων ῥόδον εἴαρος μέλημα καλεῖ, οὗ τὸ ἔαρ φροντίζει.

Σχ. Τρῆμα] ἢ τὸ τοῦ κόσμου λέγει. ἢ αὐτὸ τὸ τρῆμα τὸ αἰδοῖον. ἐπίκλιντρον δὲ, εἶδος κοσμίου. ὄφιν δὲ ἢ τὸ αἰδοῖον.

Biset. Βέλτιον ἴσως τὸ τοῦ σχολιαστοῦ ἐν τούτῳ διεφθαρμένα οὕτως ἐπανορθοῦν. ἢ τὸ τοῦ κλισμοῦ, ἢ αὐτὸ τὸ τρῆμα τὸ αἰδοῖον. ἐπίκλιντρον δὲ, εἶδος κλισμοῦ, ὥς φησι Πολυδεύκης ἐν τῷ ι. οὕτω γράφων, τὸ δὲ καλούμενον ἀνάκλιντρον ἐπίκλιντρον Ἀριστοφάνης εἶπε, τοῦ-
G τον τὸν τόπον αἰνιττόμενος. τρῆμα δὲ ἐν τούτῳ ἴσως σημαίνει τὸν πρωκτὸν, ὃς ἐν ταῖς Θεσμοφοριαζούσαις τράμις ὀνομάζεται, ὅπου λέγεται, „ Λίθος γεγένημαι πάντα πλὴν τὴν τράμιν. Ἄλλως. τὸ τρῆμα ἐνῶ τροπικῶς ληφθὲν οὐδὲν ἄλλο δηλοῖ ἢ τὸ γυναικεῖον αἰδοῖον ὅπερ ἄνω καὶ τρύπημα καλεῖται. οὕτω δὲ ἢ ὁ θάνατος γραῦς τοῦτο τῷ νόσῳ δὴ συμβαίνειν ἐπεύχεται ὅ τινας τῶν γυναικῶν πάσχειν φασὶν

φασίν, ἀφ' ἧς ἐστὶν ὅτε ὑπομήκης τε ἐκεῖθεν προεξέρχεται, ὁ αὐτὸς τῷ αἰδοίῳ στόμα φράττον, καὶ ἐπιδύον τὰς συνουσιάζειν ἐπιθυμούσας ἐν ἰσῷ. τοῦτο αἱ μαῖαι μάστρας καλεῖν

A τοῦτο νομίζειν, καὶ καλεῖν δοκοῦσιν. ἀλλ' οὕτως δὲ καὶ τὸ ἑξῆς ἴσως ληπτέον, τὸ, ἐπικλιντήριον ἀποβαλεῖν. καὶ, ὄφιν εὑρεῖν.

Κἀπὶ τῆς κλίνης ὄφιν εὕροις
Καὶ προσελκύσαιο βουλομένη φιλῆσαι.
Νε. Αἰαῖ. τί ποτε πείσομαι. οὐχ ἥκει μου τοὐταῖρος.
Μόνη δ' αὐτοῦ λείπομ', ἡ
Γάρ μοι μήτηρ ἄλλῃ βέβηκε.
Καὶ τἄλλ' οὐδέν με ταῦτα δεῖ λέγειν.
Ἀλλ' ὦ μαῖ' ἱκετεύομαι
Κάλει τὸν Ὀρθαγόραν, ὅπως
Σαυτῆς κατόναι', ἀντιβολῶ σε.
Γρ. Ἤδη τὸν ἀπὸ Ἰωνίας
Τρόπον τάλαινα κνησιᾷς.
Δοκεῖς δέ μοι καὶ λάβδα κατὰ τοὺς Λεσβίους.
Ἀλλ' οὐκ ἄν ποθ' ὑφαρπάσαιο
Τὰ μὰ δὲ παίγνια. τὴν δ' ἐμὴν
Ὥραν οὐκ ἀπολεῖς, οὐδ' ἀπολήψει.
Νε. Ἄδ' ὁπόσα βούλει καὶ παράκυφ' ὥσπερ γαλῆ.
Οὐδεὶς γὰρ ὡς σὲ πρότερον εἴσεισ' ἀντ' ἐμοῦ.
Γρ. Οὔκουν ἐπ' ἐκφοράν γε; Νε. καινόν γ' ὦ σαπρά.
Γρ. Οὐ δῆτα. Νε. τί γὰρ ἂν γραῒ καινά τις λέγοι.
Γρ. Οὐ τοὐμὸν ὀδυνήσει σε γῆρας. Νε. ἀλλὰ τί.
Γρ. Ἥγχουσα μᾶλλον καὶ τὸ σὸν ψιμύθιον.
Νε. Τί μοι διαλέγει; Γρ. σὺ δὲ τί διακύπτεις; Νε. ἐγώ;
Γρ. Ἄδω πρὸς ἐμαυτὴν Ἐπιγένει τὠμῷ φίλῳ.
Νε. Σοὶ γὰρ φίλος τίς ἐστιν ἄλλος ἢ Γέρης.
Γρ. Δείξει γε καὶ σοί. τάχα γὰρ εἶσιν ὡς ἐμέ.
Ὁδὶ γὰρ αὐτός ἐστιν οὐ σοῦ γ' ὤλεθρε
Δεόμενος οὐδέν. Νε. νὴ Δί' ὦ φθίνυλλα σύ.
Δείξει τάχ' αὐτὸς, ὡς ἔγωγ' ἀπέρχομαι.
Γρ. Κἄγωγ' ἵνα γνῷς ὡς πολύ σου μεῖζον φρονῶ.

Et in lecto serpentem inuenias,
Et attraharis volens osculari.
IVVEN. *Heu heu, quid patiar, non venit mei vrina,*
Sola autem hic relinquor. hac
B *Enim mihi mater aliò iuit,*
Et alia nil me hac oportet dicere.
Sed ô nutrix precor,
Voca Orthagoram, vt
Tui ipsius iuues, precor te.
ANVS. *Iam ab Ionia*
Morem misera pruris,
Videris autem mihi & labda secundum Lesbios,
C *Sed non rapies*
Meos ludos. hanc autem meam
Horam non perdes, neque auferes.
IVVEN. *Canta quacunque vis, & inclina vt catta.*
Nullus enim ad te prius ingredietur loco mei.
ANVS. *Non in elatione?* IVVENC. *Nouum ô marcida?*
D ANVS. *Non certè.* IVVEN. *quid enim anus misera, que dicis?*
ANVS. *Non mea dolebit te senectus.* IVVEN. *sed quid?*
ANVS. *Fucus magis magis & tua cerusa.*
IVVEN. *Quid mihi disputas?* ANVS. *tu autē quid inclinas?* IVV. *ego?*
ANVS. *Canto ad meipsam Epigenem meum amicum.*
E IVV. *Tibi enim amicus aliquis est alius, quàm Geres?*
ANVS. *Ostendat & tibi, citò enim ibit ad me.*
Hic enim ipse est, non tui ô perniciose
Indigens nihil. IVVE. *per Iouem ô corrupta tu,*
Ostendet citò ipse, quòd ego discedo.
ANVS. *Et ego vt cognoscas, quòd multo te maius sapio.*

BISETVS. Ὄφιν εὕροις] ὄφις ἐν τούτῳ τῷ τόπῳ λαμβάνεται ἀντὶ τοῦ αἰδοίου, οὐ τεταμένου δηλαδὴ, ἀλλ' ἀνειμένου. οὕτω γὰρ τρόπον τινὰ ὄφεως σχῆμα παρέχει. ἢ ἁπλῶς ἀντὶ τοῦ ζώου ληπτέον.

Σχόλια. Ἀλλ' ὦ μαῖα.] πρὸς τὴν γραῦν. ὀρθαγόραν δὲ τὸ αἰδοῖον.

BISETVS. Παρὰ τὸ ὀρθοῦσθαι, καὶ ἐγείρεσθαι πρὸς τὴν συνουσίαν, ὄνομα κύριον πεποίηται.

Σχόλια. Τὸν ἀπὸ Ἰωνίας] ὡς μαλακῶν ἐκείνων ὄν-

F των. Λάβδα.] λεσχιάζουσιν οἱ Λέσβιοι ἀπὸ τοῦ πρώτου στοιχείου. Τὰ μὰ δὲ παίγνια] τὰς ἐμὰς ἐραστάς. Ἐπ' ἐκφοράν γε.] ὅτι τῆς γραΐδιον διαφέρουσι τὴν οὐσίαν οἱ ἐρώμενοι.

BISETVS. Ἢ ἐπ' ἐκφοράν, ἤγουν τὴν ταφὴν, ἐφ' ἣν διαφέρουσι.

Σχόλια. Ἥγχουσα.] ἡ ἄγχουσα μᾶλλον, βοτάνη ᾗ ἐχρῶντο εἰς τὸ πρόσωπον αἱ γυναῖκες. Γέρης.] φαλακρὸς ἦν οὗτος ὁ πένης. οὐ γὰρ σεαυτῆς τὸ γῆρας. ἀπέρχομαι ἵνα

G αὐτὸν ἴδοιμι.

ΝΕΟΣ, ΓΡΑΥΣ, ΑΝΗΡ, ΝΕΑ.

BISETVS. Νέος τις, γραῦς, ἀνήρ, καὶ νέα αἰσ-

IVVENIS, ANVS, VIR, IVVENCVLA.

γονται, οἱ ἀλλήλων σκώμμασι, καὶ πονηροῖς λόγοις καθα-

ἀπίενται. πρὸς δὲ τούτοις καὶ ἄλλαι γρᾶες τέτταρες πα- λείπεται προσέρχονται, ἐν οἷς καλὸς ἀγὼν ποικίλος τῷ σχετλιῶν, καὶ σκωμμάτων μεστὸς ἐγείρεται.

Νε. Εἴθ' ἐξῆν παρὰ τῇ νέᾳ καθεύδειν
Καὶ μηδὲν πρότερον διασποδῆσαι,
Ἀνάσιμον ἢ πρεσβυτέραν. οὐ γὰρ ἀνασχετὸν
Τοῦτό γ' ἐλευθέρῳ.
Γρ. Οἰμώζων ἄρα νὴ Δία σποδήσεις.
Οὐ γὰρ τἀπὶ Χαριξένης τάδ' ἐστίν.
Κατὰ τὸν νόμον ταῦτα ποιεῖν
Ἐστὶ δίκαιον εἰ δημοκρατούμεθα.
Ἀλλ' εἶμι τηρήσουσ' ὅ τι καὶ δράσεις ποτέ.
Αν. Εἴθ' ὦ θεοὶ λάβοιμι τὴν καλὴν μόνην
Ἐφ' ἣν πεπωκὼς ἔρχομαι πάλαι ποθῶν.
Νε. Ἐξηπάτησα τὸ κατάρατον γρᾴδιον.
Φρούδη γάρ ἐστιν, οἰομένη μ' ἔνδον μένειν.
Νε. Ἀλλ' οὑτοσὶ γὰρ αὐτὸς οὗ μεμνήμεθα.
Δεῦρο δὴ δεῦρο δή, φίλον ἐμὸν δεῦρό μοι
Πρόσελθε, καὶ ξύνευνός μοι
Τὴν εὐφρόνην ὅπως ἔσει. πάνυ γάρ τις ἔρως με δονεῖ
Τῶνδε τῶν σῶν βοστρύχων.
Ἄτοπος δ' ἔγκειταί μοί τις πόθος;
Ὅς με διακναίσας ἔχει.
Μέθες, ἱκνοῦμαί σ' ἔρως. καὶ ποίησον τόνδ' ἐς εὐνὴν
Τὴν ἐμὴν ἱκέσθαι. Νε. δεῦρο δή. δεῦρο δὴ καὶ σύ μοι
Καταδραμοῦσα τὴν θύραν ἄνοιξον
Τήνδ'. εἰ δὲ μή, καταπεσὼν κείσομαι.
Φίλον, ἀλλ' ἐν τῷ σῷ βούλομαι κόλπῳ
Πληκτίζεσθαι μετὰ τῆς σῆς πυγῆς.
Κύπρι τί μ' ἐκμαίνεις ἐπὶ ταύτῃ;
Μέθες, ἱκνοῦμαί σ' ἔρως. καὶ ποίησον τήνδ' ἐς εὐνὴν
Τὴν ἐμὴν ἱκέσθαι. καὶ ταῦτα μέν μοι μετρίως
Πρὸς τὴν ἐμὴν ἀνάγκην εἰρημέν' ἐστί. σὺ δέ μοι
Φίλτατον ὦ ἱκετεύω,
Ἄνοιξον, ἀσπάζου με. διά τοι σὲ πόνους ἔχω.
Ὦ χρυσοδαίδαλον ἐμὸν μέλημα.
Κύπριδος ἔρνος, μέλιττα Μούσης. Χαρίτων θρέμμα, Τρυφῆς πρόσωπον.
Ἄνοιξον, ἀσπάζου με. διά τοι σὲ πόνους ἔχω.
Γρ. Οὗτος τί κόπτεις; μῶν ἐμὲ ζητεῖς; Νε. πόθεν;
Γρ. Καὶ τὴν θύραν γ' ἤραττες. Νε. ἀποθάνοιμ' ἄρα.
Γρ. Τοῦ δαὶ δεόμενος δᾷδ' ἔχων ἐλήλυθας;
Νε. Ἀναφλύστιον ζητῶν τιν' ἄνθρωπον. Γρ. τίνα;
Νε. Αὐτόν σε βινοῦντ' ὃν σὺ προσδοκᾷς ἴσως.
Γρ. Νὴ τὴν Ἀφροδίτην ἤν τε βούλῃ γ' ἤν τε μή.
Νε. Ἀλλ' οὐχὶ νυνὶ τὰς ὑπερεξηκοντέτεις

Σχόλια. Τἀπὶ Χαριξένης] εὐήθης ἡ μωρὰ ἡ Χαριξένη. Κείσομαι] ὑπὸ τοῦ ἔρωτος δηλονότι. Ἀναφλύστιον.] παρὰ τὸ ἀναφλᾶν παίζει.

IVVEN. Vtinam liceret apud iuuenculam dormire,
Et nil prius subagitare,
Informem vel senem. non enim intolerabile
B Hoc libero.
AN. Lugens igitur per Iouem subagitabis,
Non enim in Charixene hæc sunt.
Secundum legem hæc facere
Est iustum, si publicè dominatur.
Sed vado, obseruans quod & facies aliquando.
VIR. Vtinam ô Dei capiam pulchram solam,
In quam potus venio diu desiderans.
C IVV. Decepi maledictam vetulam,
Inanis enim est, putans me intus manere.
IVV. Sed hic enim ipse, cuius meminimus.
Eia iam, eia iam, amicum meum age mihi
Adueni, & coniunx mihi
Voluptate vt sis. valde enim aliquis amor me agitat
Istorum tuorum capillorum.
Absurdum enim iniacet mihi aliquod desiderium,
D Quod me tristificans habet.
Sine, peruenio tibi Amor, & fac hunc in lectum
Meum venire. IVV. Eia iam, eia iam & tu mihi
Currens ianuam aperi
Hanc, si autem non, decidens iacebo
Amicum, sed in tuo volo sinu
Verberari cum tuo culo.
Venus cur me infurias in hoc?
E Sine, precor te amor, & fac hunc in lectum
Meum venire, & hæc quidem mihi modicè
Ad meam necessitatem dicta sunt. tu autem mihi
Dilectissimum ô supplico,
Aperi, osculare me, propter te labores habeo.
O aurum varium mea cura,
Veneris ramus, apes Musæ, Gratiarū nutrimentum, deliciarum vultus.
F Aperi osculareque, propter te labores habeo.
AN. Hic quid pulsas? nunquid me quæris? IVV. vnde.
AN. Et ianuam pulsas? IVV. moriar igitur.
AN. Quo indigens tædam habens venisti?
IVV. Testiculos tractantem quærens hominem.
AN. quem?
IVVEN. Ipsum te subagitantem quem tu expectas forte.
AN. Per Venerem siue velis, siue non.
IVV. Sed non nunc super quinquaginta annos

BISETVS. Τὰς ὑπερεξηκοντέτεις] παίζει παρὰ τὸ τῶν δικαστῶν ἔθος, οἳ τὰς δίκας μὲν ἀναβάλλονται, καὶ εἰς ἕτερον χρόνον ἀναφέρουσι, τὰς δὲ παραχρῆ-

μα

μα εἰσάγουσι, καὶ εὐθὺς ἐκδικάζουσιν. ἀλλὰ χαριέντως ὁ Ἀριστοφάνης περὶ γυναικῶν ταῦτα λέγει ὡς εἰ περὶ δι-
A κῶν ὁ λόγος ἐποιεῖτο.

Εἰσάγομεν, ἀλλ' εἰσαῦθις ἀναβεβλήμεθα.
Τὰς ἐντὸς εἴκοσιν γὰρ ἐκδικάζομεν.
Γρ. Ἐπὶ τῆς προτέρας ἀρχῆς γε ταῦτ' ἦν ὦ Γλύκων.
Νυνὶ δὲ πρῶτον εἰσάγειν ἡμᾶς δοκεῖ.
Νε. Τῷ βουλομένῳ γε κατὰ τὸν ἐν Παφοῖς νόμον.
Γρ. Ἀλλ' οὐδὲ δειπνεῖς κατὰ τὸν ἐν Παφοῖς νόμον. B
Νε. Οὐκ οἶδ' ὅ,τι λέγεις. τήνδε δή μοι κρουστέον.
Γρ. Ὅταν γε κρούσῃς τὴν ἐμὴν πρῶτον θύραν.
Νε. Ἀλλ' οὐχὶ νυνὶ κρησέραν αἰτούμεθα.
Γρ. Οἶδ' ὅτι φιλοῦμαι. νῦν δὲ θαυμάζεις ὅτι
Θύρασι μ' εὗρες. ἀλλὰ πρόσαγε τὸ στόμα. C
Νε. Ἀλλ' ὦ μέλε ὀρρωδῶ τὸν ἐραστήν σου. Γρ. τίνα;
Νε. Τὸν τῶν γραφέων ἄριστον. Γρ. οὗτος δ' ἐστὶ τίς;
Νε. Ὃς τοῖς νεκροῖσι ζωγραφεῖ τὰς ληκύθους.
Ἀλλ' ἄπιθ' ὅπως μή σ' ἐπὶ θύραισιν ὄψεται.
Γρ. Οἶδ' ὅ,τι βούλει. Νε. καὶ γὰρ ἐγώ σε νὴ Δία.
Γρ. Μὰ τὴν Ἀφροδίτην ἥ μ' ἔλαχε κληρουμένη D
Μὴ 'γώ σ' ἀφήσω. Νε. παραφρονεῖς ὦ γραΐδιον.
Γρ. Ληρεῖς, ἐγὼ δ' ἄξω σ' ἐπὶ τἀμὰ στρώματα.
Νε. Τί δῆτα κρεάγρας τοῖς κάδοις ὠνοίμεθ' ἄν,
Ἐξὸν καθέντα γραΐδιον τοιουτονὶ,
Ἐκ τῶν φρεάτων τοὺς κάδους ξυλλαμβάνειν.
Γρ. Μὴ σκῶπτέ μ' ὦ τάλαν, ἀλλ' ἕπου δεῦρ' ὡς ἐμέ. E
Νε. Ἀλλ' οὐκ ἀνάγκη μοὐστίν. εἰ μὴ τῶν ἐμῶν
Τὴν πεντακοσιοστὴν κατέθηκας τῇ πόλει.
Γρ. Νὴ τὴν Ἀφροδίτην, δεῖ γε μέντοι γ' ὡς ἐγὼ
Τοῖς τηλικούτοις ξυγκαθεύδουσ' ἥδομαι.
Νε. Ἐγὼ δὲ ταῖς γε τηλικαύταις ἄχθομαι,
Κοὐκ ἂν πιθοίμην οὐδέποτ'. Γρ. ἀλλὰ νὴ Δία F
Ἀναγκάσει τουτί σε. Νε. τοῦτο δ' ἐστὶ τί;
Γρ. Ψήφισμα, καθ' ὅ σε δεῖ βαδίζειν ὡς ἐμέ.

Inducimus, sed iterum non volumus,
Intra viginti enim eligimus.
AN. In priori dominatione hæc erant ô Glycon.
Nunc autem primùm inducere nos videtur.
IVV. Volenti secundum in Patis legem.
B *AN. Sed neque cœnabis secundum in Patis legem.*
IVV. Non scio, quod dicis, hanc autem mihi pulsandum.
AN. Quando pulsaueris meam prius ianuam.
IVV. Sed non nunc indumentum cophinorum petimus. (*vis, quòd*
AN. Scio, quòd osculabor. nunc autem admiraIanuis me inuenisti, sed ad os.
C *IV. Sed ô misera timeo amatorem tui. ANVS. quem?*
IVV. Pictorum optimum. AN. hic autem est quis?
IV. Qui mortuis depingit lecythos.
Sed abi, vt non te in ianuis videat.
AN. Scio scio, quid vis. IV. etenim ego te per Iouem.
D *AN. Per Venerem quæ me sortita est sorte eligens,*
Non ego te dimittam. IV. desipis ô vetula.
AN. Nugaris, ego autem ducam te in meos lectos.
IV. Quid certè forcipes cadis emimus?
Existente deponentes vetulam hanc,
Ex puteis cados accipere.
E *AN. Non cauillare me ô miser, sed sequere huc ad me.*
Iv. Sed non necessitas mei est, si non meorum
Quinquagenarium deposuisti ciuitati.
AN. Per Venerem oportet te tamen, quòd ego
Talibus condormiens lætor.
Iv. Ego autem talibus doleo,
Et non persuadebor vnquam. AN. sed per Iouem
F *Coget hoc te. Iv. hoc autem est quid?*
AN. Sententia, in quantum te oportet venire ad me.

Σχόλια. Εἴκοσι γάρ.] ἀπὸ τῶν δικῶν. ἔλεγον γὰρ ἀεὶ τὰ πρὸ τούτων ἐτῶν δικάζομεν.

BISETVS. Γλύκων] ὁ εὐήθης. Ἡσύχ.

Σχόλια. Παφοῖ.] ἔθνος μὲν ἐπὶ θρακικόν. ἔπαιξε δὲ παῖζον παίσιν. Κρησέραν.] τὸ περιβόλαιον τῶν κοφίνων. ἔστι σοῦ δι' ἔρωτος τοῦτο πρὸς γραῦν.

G BISETVS. Πολυδεύκης ἐν τῷ ς. κεφ. ια. τὸ δὲ ἐργαλεῖον, φησιν, ἐν ᾧ τὰ ἄλευρα διετίθετο, τὸ μὲν ἐκ σχοίνου πλέγμα, κόσκινον. εἰ δὲ τῷ κοσκίνῳ κύκλῳ αὐτοῦ χοίνικα λινοῦν τι ἐνδόσιον εἴη ἐξηρτημένον, ὡς ἀκριβέστερον τὸ ἄλευρον καθαίροιτο, ἀλευρότησις ἐκαλεῖτο. ἡ δὲ ἐξ ἐρίου, κρησέρα. μεταφορικῶς οὖν τῇδε τῇ λέξει κέχρηται Ἀριστοφάνης παίζων περὶ τὸ πρὶν ἐνταῦθα πολλάκις εἰρημένον.

Σχόλια. Ζωγραφεῖ.] τοιοῦτα γάρ τινα ἐν τοῖς μνήμασιν ἔγραφον. Ἔγωγε νὴ Δία.] βούλομαί σε ἀπιέναι ἐπὶ θάνατον. πρὸς γὰρ τοῦτο παίζει. Μὰ τὴν Ἀφροδίτην.] ὡς ἑταίρα οὖσα τοῦτο φησι. Τί δῆτα κρεάγρας.] τοῦτο ὅτι στερρῶς αὐτοῦ εἴχετο ὡς κρεάγρα. Τὴν πεντακοσιοστήν] εἰ μὴ ὑπὲρ ἐμοῦ κατέβαλες τὴν πεντακοσιοστήν. νόμος γὰρ τοῦ μὴ φέροντος τὴν οὐσίαν εἶναι.

BISTETVS. Τὰ παλαιὰ σχόλια ἐλλείπειν ἐνταῦθα δοκεῖ. βέλτιον δ' ἴσως οὕτω γράφειν. νόμος γὰρ ἦν, τοῦ μὴ φέροντος, τὴν οὐσίαν εἶναι δημοσίαν. ἤγουν, νόμος

ἐστι τὴν οὐσίαν τοῦ μὴ φέροντος τόδε τὸ τέλος τῇ πόλει ὀφειλόμενον, εἶναι δημοσίαν, εἴτε δημοσιεύεσθαι. ὃ καὶ δηλοῖ Σουίδας ἐν τῷ πωληταῖς. πωληταί, φησι, τῶν ὀφειλόντων τῷ δημοσίῳ κατὰ προθεσμίαν, καὶ μὴ ἀποδιδόντων, ἐπίπρασκον τὰς οὐσίας. ὑπέκειντο δὲ τοῖς πωληταῖς καὶ ὅσοι τὸ διαγραφὲν ἀργύριον ἐν πολέμῳ μὴ εἰσέφερον. ἔτι καὶ οἱ ξενίας ἁλόντες. καὶ ὁ μέτοικος, καὶ προστάτην μὴ ἔχων. καὶ ὁ ἀποστασίου γραφείς. τούτων γὰρ τὰς οὐσίας πωλοῦντες τὸ ἀργύριον κατέβαλον εἰς τὸ δημόσιον. Αρποκρατίων δὲ περὶ τῆς πεντηκοστῆς ταῦτα λέγει. πεντηκοστὴ καὶ πεντ-
A ηκοστεύεσθαι, καὶ πεντηκοστολόγοι. πεντηκοστὴ μὲν, τέλος τι. καὶ πεντηκοστολόγοι, οἱ τοῦτο τὸ τέλος ἐκλέγοντες. πεντηκοστεύεσθαι δὲ, ἀντὶ τοῦ πράττεσθαι τὴν πεντηκοστήν. ταῦτα δὲ ἔστιν εὑρεῖν ἔν τε τῷ κατὰ Μειδίου, καὶ ἐν τῷ πρὸς τὴν Λακρίτου παραγραφὴν Δημοσθένους. καὶ Ὑπερείδου ἐν τῷ περὶ τῶν Εὐβούλου δωρεῶν. ταυτὸν καὶ ὁ Σουίδας γράφει. ἐνταῦθα δὲ ὁ Αριστοφάνης ἴσως γέλωτος χάριν πεντακοσιοστὴν, ἀντὶ τοῦ πεντηκοστὴν εἶπεν. ὁ μέντοι τούτων νοῦς οὗτος. πρὸς τοῦτο ἐμὲ ἀναγκάζειν οὐ δεῖ, εἰ μὴ τὴν πεντακοσιοστὴν ὑπὲρ ἐμοῦ τῇ πόλει κατέθηκας.

B

Νε. Λέγ' αὐτὸ τί ποτ' ἐστι. Γρ. καὶ δή σοι λέγω.
Ἔδοξε ταῖς γυναιξὶν, ἢν ἀνὴρ νέος
Νέας ἐπιθυμῇ, μὴ σποδεῖν αὐτὴν, πρὶν ἂν
Τὴν γραῦν προκρούσῃ πρότερον. ἢν δὲ μὴ θέλῃ
Πρότερον προκρούειν, ἀλλ' ἐπιθυμῇ τῆς νέας,
Ταῖς πρεσβυτέραις γυναιξὶν ἔστω τὸν νέον
Ἕλκειν ἀνατὶ λαβομένας τοῦ πατάλου.
C Νε. Οἴμοι Προκρούστης τήμερον γενήσομαι.
Γρ. Τοῖς γὰρ νόμοις τοῖς ἡμετέροισι πειστέον.
Νε. Τί δ' ἢν ἀφαιρῆταί μ' ἀνὴρ τῶν δημοτῶν
Ἢ τῶν φίλων ἐλθόντες; Γρ. ἀλλ' οὐ κύριος
Ὑπὲρ μέδιμνόν ἐστ' ἀνὴρ οὐδεὶς ἔτι.
Νε. Ἐξωμοσία δ' οὐκ ἔστιν. Γρ. οὐ γὰρ δεῖ στροφῆς.
D Νε. Ἀλλ' ἔμπορος εἶναι σκήψομαι. Γρ. κλάεις σύ.
Νε. Τί δῆτα χρὴ δρᾶν; Γρ. δεῦρ' ἀκολουθεῖν ὡς ἐμέ.
Νε. Καὶ ταῦτ' ἀνάγκη μοὐστί. Γρ. Διομήδειά γε.
Νε. Ὑποστόρεσαί νυν πρῶτα τῆς ὀριγάνου,
Καὶ κλήμαθ' ὑπόθου συγκλάσασα τέτταρα,
E Καὶ ταινίωσαι, καὶ παράθου τὰς ληκύθους,
Ὕδατός τε κατάθου τοὔστρακον πρὸ τῆς θύρας.
Γρ. Ἦ μὴν ἔτ' ὠνήσει σὺ καὶ στεφάνην ἐμοί.
Νε. Νὴ τὸν Δί' ἤνπερ ᾖ γέ που τῶν κηρίνων.
Οἶμαι γὰρ ἔνδον διαπεσεῖσθαί σ' αὐτίκα.

IV. *Dic, ipsum quid est?* AN. *& iam tibi dico,*
Apparuit mulieribus, si vir iuuenis
Iuuenem cupiat, non subagitare ipsam, antequam
Vetulam pulset primùm: si autem non velit,
Prius pulsare, sed cupiat iuuenem,
Vetulis mulieribus sit iuuenem
C *Trahere in aliquid capientes claui.*
IV. *Hei mihi, verberator hodie fiam?*
AN. *His enim legibus nostris obediendum.*
IV. *Quid autem, si auferet me vir ciuium*
Vel amicorum venientes? AN. *sed non dominus,*
Super mensuram est vir nullus amplius.
IV. *Periurium autem non est.* AN. *non enim opus est versione.*
D IV. *Sed mercator esse causabor.* AN. *Fleas tu.*
IV. *Quid certè oportet facere?* AN. *Huc sequi ad me.*
IV. *Et hac necessitas mei est.* AN. *Diomedes.*
IV. *Sterne nunc primùm origano,*
Et vites suppone frangens quatuor,
Et coronam, & appone lecythos,
E *Aquaque pura lagenam ante ianuam.*
AN. *Certè quidem emes tu & coronam mihi.*
IV. *Per Iouem si circa cerea,*
Puto enim intus cadere te statim.

Σχόλια. Ανατί.] μὴ τιμωρουμένας ὑπὸ τῆς βίας. Προκρούστης.] ἐπεὶ πολλάκις εἴρηται τὸ κρούειν.

BISETVS. Προκρούστης ἐπωνυμία λῃστοῦ τινος, οὗ μέμνηται Παυσανίας ἐν τοῖς Ἀττικοῖς οὕτω γράφων, πρὸς τούτῳ τῷ Κηφισσῷ λῃστὴν Πολυπήμονα ὄνομα, Προκρούστην δὲ ἐπίκλησιν Θησεὺς ἀπέκτεινεν. πρὸς τοῦτον δ' ἴσως Αριστοφάνης παίζει.

Σχόλια. Ὑπὲρ μέδιμνον] νόμος ἦν ταῖς γυναιξὶν, ὑπὲρ μέδιμνον τι μὴ συναλλάσσειν. νῦν ἔσονται, οὖν φησιν οἱ ἄνδρες ὑπὲρ μέδιμνον κύριοι ἐπειδὴ ἀντέστραπται ἡ πολιτεία. Ἐξωμοσία] ἔνορκος παραίτησις δι' εὔλογον αἰτίαν. ἐξωμοσία ὅταν τις φάσκῃ ἢ ὑπὲρ ἑαυτοῦ ἢ ὑπὲρ ἑ-
τέρου ἐγκαλούμενος μὴ δεῖν εἰσάγεσθαι δίκην. εἶτα καὶ τὴν αἰτίαν δι' ἣν οὐκ εἰσαγώγιμος ἡ δίκη, εἰ δοκεῖ κατὰ λόγον ἀξιοῦν. ἐδίδοτο αὐτῷ ἐξωμοσίᾳ χρῆσθαι. καὶ οὕτως διεγράφετο ἡ δίκη. καὶ ἐξωμόσατο ἀπηγόρευσε. καὶ ἐξωμόσασθαι
F τὸ μεθ' ὅρκου ἀπαρνήσασθαι πρᾶξιν τινὰ διὰ νόσον ἢ πρόφασιν ἑτέραν τινά. Ἔμπορος] προφασίσομαι εἶναι ἔμπορος ἐπεὶ οὐκ ἐστρατεύοντο οἱ ἔμποροι. Διομήδεια] ὅτι Διομήδης ὁ Θρᾷξ, πόρνας ἔχων θυγατέρας τοὺς παριόντας ξένους ἐβιάζετο αὐταῖς συνεῖναι, ἕως οὗ κόρον σχῶσι καὶ ἀναλωθῶσιν οἱ ἄνδρες. ἃς καὶ ὁ μῦθος ἵππους ἀνδροφάγους εἶπεν. Ταινίωσαι] στεφάνωσαι ὡς οἱ νεκροί. Στεφάνην.] εἶδος κοσμίου, διαπεσεῖσθαι δὲ, τεθνήξεσθαι.

G

ΕΤΕΡΑ ΝΕΑ, ΓΡΑΥΣ, ΝΕΟΣ.

ALIA IVVENCVLA, ANVS, IVVENIS.

Νε. Ποῖ τοῦτον ἕλκεις σύ; Γρ. τὸν ἐμαυτῆς εἰσάγω.

IVVE. *Quò hunc trahis tu?* AN. *hunc mei ipsius induco.*

Νε. Οὐ σωφρονοῦσά γ'· οὐ γὰρ ἡλικίαν ἔχεις
Παρὰ σοὶ καθεύδειν τηλικοῦτος ὤν. ἐπεὶ
Μήτηρ ἂν αὐτῷ μᾶλλον εἴης ἢ γυνή.
Ὥστ' εἰ καθιστήσεσθε τοῦτον τὸν νόμον,
Τὴν γῆν ἅπασαν Οἰδιπόδων ἐμπλήσετε.
Γρ. Ὦ παμβδέλυρε φθονοῦσα τόνδε τὸν νόμον
Ἐξηῦρες. ἀλλ' ἐγώ σε τιμωρήσομαι.
Νε. Νὴ τὸν Δία τὸν σωτῆρα κεχάρισαί γέ μοι
Ὦ γλυκύτατον, τὴν γραῦν ἀπαλλάξασά μου.
Ὥστ' ἀντὶ τούτων τῶν ἀγαθῶν ἐς ἑσπέραν,
Μεγάλην ἀποδώσω καὶ παχεῖάν σοι χάριν.

A IVV. *Non sapiens, non enim ætatem habet*
Apud te dormire talis existens: quoniam
Mater ipsi magis esses quàm vxor.
Quare si constituistis hanc legem,
Terram omnem Oedipodis implebitis.
AN. *O tota odiosa inuidens hanc legem,*
Inuenisti, sed ego te puniam.
IVV. *Per Iouem seruatorem, gratificare mihi*
B *O dulcissime, anum à pellens me,*
Quare pro his bonis ad vesperam
Magnam reddam & pinguem tibi gratiam.

Σχόλια. Οἰδιπόδων] ἐπεὶ ὁ Οἰδίπους τὴν μητέρα ἔγημε.
Bisetus. Ἐξηῦρες] τινὲς γράφουσιν ἐξῆρες, παρὰ τὸ ἐξαίρειν, ὅπερ μετ' ὀλίγον παραβαίνειν λέγεται, ὅπου ὁ ποιητής φησι, παραβᾶσα τόνδε τὸν νόμον, ἀλλὰ μηδὲν κινοῦσα.
Σχόλια. Παχεῖαν τὴν χάριν] κωμῳδεῖ τοῦτο.

C

ΑΛΛΗ ΓΡΑΥΣ, ΝΕΟΣ.

Αλ. Γρ. Αὕτη σὺ, ποῖ παραβᾶσα τόνδε τὸν νόμον,
Ἕλκεις, παρ' ἐμοὶ τῶν γραμμάτων εἰρηκότων
Πρότερον καθεύδειν αὐτόν; Νε. οἴμοι δείλαιος·
Πόθεν ἐξέκυψας ὦ κάκιστ' ἀπολουμένη;
Τοῦτο γὰρ ἐκείνου τὸ κακὸν ἐξωλέστερον.
Γρ. Βάδιζε δεῦρο. Νε. μηδαμῶς με περιίδῃς
Ἑλκόμενον ὑπὸ τῆσδ', ἀντιβολῶ σ'. Γρ. ἀλλ' οὐκ ἐγώ,
Ἀλλ' ὁ νόμος ἕλκει. Νε. οὐκ ἐμέ γ', ἀλλ' Ἔμπουσά τις
Ἐξ αἵματος φλύκταιναν ἠμφιεσμένη.
Γρ. Ἕπου μαλακίων δεῦρ' ἀνύσας, καὶ μὴ λάλει.
Νε. Ἴθι νυν ἔασον ἐς ἄφοδον πρῶτόν με
Ἐλθόντα θαρρῆσαι πρὸς ἐμαυτόν. εἰ δὲ μὴ
Αὐτοῦ τι δρῶντα, πυρρὸν ὄψει μ' αὐτίκα
Ὑπὸ τοῦ δέους. Γρ. θάρρει, βάδιζ' ἔνδον, χεσεῖ.
Νε. Δέδοικα κἀγὼ μὴ πλεῖον ἢ βούλομαι.
Ἀλλ' ἐγγυητάς σοι καταστήσω δύο,
Ἀξιόχρεως. Γρ. μή μοι καθίστη. Αλ. Γρ. ποῖ σὺ ποῖ
Χωρεῖς μετ' αὐτῆς; Νε. οὐκ ἔγωγ', ἀλλ' ἕλκομαι.
Ἀτὰρ ἥτις εἶ γε, πόλλ' ἀγαθὰ γένοιτό σοι
Ὅτι μ' οὐ περιεῖδες ἐξεπιβηνθέντ'. ὦ Ἡράκλεις·
Ὦ Πᾶνες. ὦ Κορύβαντες. ὦ Διοσκόρω.
Τοῦτ' αὖ πολὺ τούτου τὸ κακὸν ἐξωλέστερον.

ALIA ANVS, IVVENIS.

ANVS. *Hæc tu, quò transgrederis hanc legem*
Trahis apud me scripturis dicentibus,
Priorem dormire ipsum? IV. *heu mihi misero.*
D *Vnde declinasti ô pessime perdita?*
Hoc enim illo malum exitiosius.
AN. *Veni huc.* IVVE. *nullo modo me despicias*
Tractum ab hac, precor te. AN. *sed non ego,*
Sed lex trahit. IVV. *non me, sed Empusa quadam,*
Ex sanguine bullam indutam.
AN. *Sequere molliens huc festinans, & non loquere.*
E IVV. *Age, nunc sine in latrinam primùm me*
Euntem confidere ad meipsum. si autem non
Illic quid facientem, rubrum videbis me statim
Præ timore. ANVS. *Confide, veni intus, cacabis.*
IVV. *Timeo & ego, ne plusquàm volo.*
Sed fideiussores tibi constituam duos
Dignos. AN. *non mihi constitue.* ALIA ANVS. *quò tu quò*
F *Vadis cum ipsa?* IVV. *non ego, sed trahor.*
At si qua es, multa bona fient tibi,
Quòd me non despexisti consumptum. ô Hercules,
O Panes, ô Corybantes, ô Dioscuri,
Hoc multo hoc malum perniciosius.

Σχόλια. Ἔμπουσά τις.] τὴν καλουμένην νυνὶ ὀνοκωλίδα. θέλει οὖν εἰπεῖν δαίμονα. Φλύκταιναν] ὡς ἐχούσης τῆς γραὸς προσωπεῖον, ἢ ὡς ἕλκος ἐχούσης. Μαλακίων] μαλακὸς ὑποκοριστικῶς. Μὴ πλεῖον. [τουτέστι μὴ πλεῖόν με ἀναγκάσῃς συνιλλεθεῖν ἤπερ βούλομαι. τὸ δὲ κἀγὼ ἴσως διὰ τὴν εἰρημένην ἀνωτέρω ἱστορίαν περὶ τῶν Διομήδους θυγατέρων.

G Bisetvs. Γραῦς τῶν ἄλλων πασῶν δυσειδεστάτη εἰσάγεται διὰ νέον, ὃν πρὸς ἑαυτὴν ἀνθέλκουσι πειρᾶται, πρὸς ἄλλας γυναῖκας διαμαχομένη. Ἀξιόχρεως] ἐν τῷ ὦ μεγάλῳ λέγουσι, καὶ οὐδετέρως ὁμοίως. τὸ δὲ ἀξιόχρεον, βάρβαρον. ἀξιόχρεως οὖν, ἱκανὸς, ἐχέγγυος, ἀξιόπιστος. Σ.

Ἀτὰρ τί τὸ πρᾶγμ᾽ ἔστ᾽ ἀντιβολῶ τουτί ποτε.
Πότερον πίθηκος ἀνάπλεως ψιμυθίου;
Ἡ γραῦς ἀνεστηκυῖα παρὰ τῶν νεκρῶν;
Γρ. Μὴ σκῶπτέ μ᾽, ἀλλὰ δεῦρ᾽ ἕπου. Αλ. Γρ. δευρὶ μὲν οὖν.
Γρ. Ὡς οὐκ ἀφήσω σ᾽ οὐδέποτ᾽. Αλ. Γρ. οὐδὲ μὴν ἐγώ.
Νε. Διασπάσεσθέ μ᾽ ὦ κακῶς ἀπολούμεναι.
Γρ. Ἐμοὶ γὰρ ἀκολουθεῖν σ᾽ ἔδει κατὰ τὸν νόμον.
Αλ. Γρ. Οὔκ, ἢν ἑτέρα γε γραῦς ἔτ᾽ αἰσχίων φανῇ.
Νε. Ἢν οὖν ὑφ᾽ ὑμῶν πρῶτον ἀπόλωμαι κακῶς,
Φέρε πῶς ἐπ᾽ ἐκείνην τὴν καλὴν ἀφίξομαι;
Γρ. Αὐτὸς σκόπει σύ. τάδε δέ σοι ποιητέον.
Νε. Ποτέρας προτέρας οὖν κατελάσας ἀπαλλαγῶ;
Γρ. Οὐκ οἶδα. βαδιεῖ δεῦρ᾽. Νε. ἀφέτω νυνί μ᾽ αὑτηΐ.
Αλ. Γρ. Δευρὶ μὲν οὖν ἴθ᾽ ὡς ἐμέ. Νε. ἢν ἡδί γ᾽ ἀφῇ.
Γρ. Ἀλλ᾽ οὐκ ἀφήσω νὴ Δία σ᾽. Αλ. Γρ. οὐδὲ μὴν ἐγώ.
Γρ. Χαλεπαί γ᾽ ἂν ἦστε γενόμεναι πορθμῆς. Γρ. τιή.
Νε. Ἕλκοντε τοὺς πλωτῆρας ἂν ἀπεκναίετε.
Γρ. Σιγῇ βάδιζε δεῦρο. Αλ. μὰ Δί᾽, ἀλλ᾽ ὡς ἐμέ.
Νε. Τουτὶ τὸ πρᾶγμα κατὰ τὸ Καννώνου σαφῶς
Ψήφισμα βινεῖν δεῖ με διαλελημμένον.
Πῶς οὖν δικωπεῖν ἀμφοτέρας δυνήσομαι;
Γρ. Καλῶς, ἐπειδὰν καταφάγῃς βολβῶν χύτραν.
Νε. Οἴμοι κακοδαίμων ἐγγὺς ἤδη τῆς θύρας
Ἑλκόμενός εἰμ᾽. Αλ. ἀλλ᾽ οὐδὲν ἔσται σοι πλέον,
Ξυνεσπεσοῦμαι γὰρ μετὰ σοῦ. Νε. μὴ πρὸς θεῶν
Ἑνὶ γὰρ ξυνέχεσθαι κρεῖττον ἢ δυοῖν κακοῖν.
Γρ. Νὴ τὴν Ἑκάτην, ἐάν τε βούλῃ γ᾽ ἐάν τε μή.
Νε. Ὢ τρισκακοδαίμων, εἰ γυναῖκα δεῖ σαπρὰν
Βινεῖν ὅλην τὴν νύκτα καὶ τὴν ἡμέραν.
Κἄπειτ᾽ ἐπειδὰν τῆσδ᾽ ἀπαλλαγῶ πάλιν
Φρύνην ἔχουσαν λήκυθον πρὸς ταῖς γνάθοις.
Ἆρ᾽ οὐ κακοδαίμων εἰμί; βαρυδαίμων μὲν οὖν
Νὴ τὸν Δία τὸν σωτῆρ᾽ ἀνὴρ καὶ δυστυχής,
Ὅστις τοιούτοις θηρίοις ξυνείξομαι.

A *At qua res est precor hac?*
Nunquid simia repleta fucatione,
An anus resurgens à mortuis?
AN. Ne anus illare me, sed huc sequere. ALIA AN. huc quidem igitur.
AN. Quod non dimittam te nunquam. ALIA AN. neque quidem ego.
B *IV. Lacerastis me ô male perdita.*
AN. Me enim sequi te oportet secundum legem.
AL. AN. Non, si altera anus adhuc turpior apparuerit.
IV. Si igitur à vobis primùm perdar mala.
Age quomodo in illam pulchram adibo?
C *ANVS. Ipse considera tu, hac autem tibi faciendum.*
IVV. Vtras vtras igitur expellens liberabor?
ANVS. Non scis, veni huc. IV. dimittat nunc meipsa.
AL. AN. Huc quidem igitur veni ad me. IVV. per Iouem dimiserit.
AN. Sed non dimittam per Iouem te. AL. AN. neque quidem ego.
IVV. Difficiles estis factae portitores. AN. cur?
D *IVV. Trahentes nauigatores corrumpitis.*
AN. Silentio veni huc. AL. AN. per Iouem, sed ad me.
IVV. hac res secundum canonis manifeste
Sententiam subagitare oportet me in medio captum,
Quomodo igitur bis remigare ambas potero?
ANVS. Bene postquam deuoraueris bulborum ollam.
IVV. Hei infelix prope iam ianuam
E *Tractus sum. AL. AN. sed non erit plus.*
Cadam enim tecum. IVV. non per Deos.
Vnum enim haberi melius certè duobus malis.
AN. Per Lunam siue vis, siue non.
IVVE. O ter infelix, si mulierem oportet marcidam
Subagitare totam noctem & diem.
Et deinde postquam hac liberatus fuero, rursus
F *Phrynem habentem lecythum ad maxillas.*
An non infelix sum? grauifelix quidem igitur
Per Iouem seruatorem, vir & infortunatus,
Qui talibus feris cedam.

BISETVS. Ψιμυθίου] καὶ ψιμύθιον δι᾽ ἑνὸς μ, καὶ ψιμμύθιον διὰ δυοῖν μμ. λέγεται.

Σχόλια. Παρὰ τῶν νεκρῶν] παρὰ τῶν πλειόνων.

BISETVS. Καὶ τὰ τοῦ ποιητοῦ, καὶ τὰ τῶν παλαιῶν σχολίων ἐπανορθώσεως δέεται. παρὰ τοῦ ποιητοῦ γὰρ μέτρου G χάριν γραπτέον ὡς καὶ παρὰ τῷ Σουΐδᾳ καλῶς γέγραπται, παρὰ τῶν πλειόνων. καὶ τὰ σχόλια οὕτω γραπτέον, Παρὰ τῶν πλειόνων] παρὰ τῶν νεκρῶν. αὕτη γάρ ἐστιν ἡ ἐπεξήγησις τοῦ τῶν πλειόνων. πλείονας δὲ τοὺς νεκροὺς καλεῖ, ὅτι ἀληθῶς οἱ νεκροὶ τῶν ζώντων εἰσὶ πολὺ πλείους.

Σχόλια. Πορθμῆς.] ἐπειδὴ οἱ πορθμεῖς τοὺς παριόντας ἀναγκάζουσιν εἰς τὰ ἴδια πλοῖα ἐμβαίνειν. Ἀπεκναίετε.] διεφθείρετε. Κατὰ τὸ Καννώνου.] ψήφισμά γε γράφει κατεχόμενον ἑκατέρωθεν ἀπολογεῖσθαι τὸν κατ᾽ εἰσαγγελίαν ἀποκρινόμενον. Κρατῖνος δὲ τὸ πρὸς κλεψύδραν κελεῦσαι. Ἐνεφᾶν δὲ εἰς τὸ βάραθρον ἐμβληθέντα ἀποθανεῖν. τὴν οὐσίαν ἀπογράψαντα τὸ ἀνθος. καὶ ὁ Κρατῖνος ἐν τοῖς ἰδίοις τὰς θείας μορφὰς ἐν ἀρχῇ φανεῖσας.

BISETVS. Κατὰ τὸ Καννώνου] οἱ μὲν Καννώνου, οἱ δὲ Κανώνου γράφουσιν. ὄνομα δὲ κύριον εἶναι δοκεῖ τινος ἀνθρώπου ψήφισμα τοιοῦτο ποιήσαντος. τίς δ᾽ ἦν οὐ ῥᾴδιον εἰπεῖν. τὸ δὲ μέτρον, Καννώνου ἀπαιτεῖ.

Σχόλια. Διαλελημμένον.] μέσον εἰλημμένον.

BISETVS. Διωπεῖν] διαπλάττεται τοῦτο τὸ ῥῆμα ἐκ τοῦ δίς, καὶ κωπεῖν ἀρχήστω, ἀντὶ τοῦ κωπηλατεῖν. ὁ δὲ νοῦς ἐστί. πῶς οὖν ἀμφοτέρας κατελαύνειν, διαβαλεύειν, καὶ ὑποκινεῖν ἅμα δυνήσομαι;

Σχόλια. Βολβῶν χύτραν.] ἐπιτήδειοι πρὸς συνουσίαν οἱ βολβοί. Φρύνην.] φρύνη ἀρχαία γυνή. οἱ δὲ ῥυτίς. λήκυθος δὲ [illegible].

BISETVS. Φρύνην ἔχουσαν λήκυθον] φρύνη παλαιὰ ἑταίρα. λήκυθος δὲ μυροθήκη, ἣν οἱ Ἀττικοὶ ἀλάβαστρον καλοῦσι. μύρων δὲ [illegible] παλαιοῖς πολλή, καὶ συνεχὴς χρῆσις ἦν. καὶ μὴν οὐ μόνον τρίχας, καὶ τοὺς πλο-

A κάμους, ἀλλὰ καὶ ὅλον τὸ πρόσωπον καλλωπισμοῦ, καὶ εὐοσμίας χάριν ἀλείφειν εἰώθεσαν. ὅθεν λήκυθον πρὸς ταῖς γνάθοις ἔχειν, μετωνυμικῶς εἴρηται ἀντὶ τοῦ τὰς γνάθους [illegible] καὶ κατακόρως μύροις ἠλειμμένας ἔχειν. Σουΐδας δὲ τούτων μεμνημένος λέγει, λήκυθον ἔχουσα, τουτέστι διῳδηκυῖα τὸ πρόσωπον. Ὅστις τοιαύταις] οὗτοι οἱ δύο στίχοι οἱ πρὸ τοῦ κακῶς ἔχοντες, οὕτω ἐπανορθωτέοι,

Ὅστις τοιαύταις θηρίοις συνείξομαι

B Ἀκων. ὅμως δ᾽ ἐάν τι πολλάκις πάθω. καὶ τὰ ἑξῆς.

Ὅμως δ᾽ ἐάν τι πολλάκις πάθω,
Ὑπὸ τοῖνδε τοῖν Κασαλβάδοιν δεῦρ᾽ ἐσπλέων
Θάψαι μ᾽ ἐν αὐτῷ τῷ στόματι τῆς ἐσβολῆς.
Καὶ τὴν ἄνωθεν ἐπιπολῆς τοῦ σήματος,
Ζῶσαν καταπιττώσαντας. εἶτα τὼ πόδε
Μολυβδοχοήσαντας κύκλῳ περὶ τὰ σφυρά,
C Ἄνω 'πιθεῖναι πρόφασιν ἀντὶ ληκύθου.
Θε. Ὦ μακάριος μὲν δῆμος, εὐδαίμων δ᾽ ἐγώ
Αὐτή τέ μοι δέσποινα μακαριωτάτη.
Ὑμεῖς δ᾽ ὅσαι παρέστατ᾽ ἐπὶ ταῖς θύραις,
Οἱ γείτονές τε πάντες οἵ τε δημόται
Ἐγώ τε πρὸς τούτοισιν ἡ διάκονος.
Ἥτις μεμύρισμαι τὴν κεφαλὴν μυρώμασιν
D Ἀγαθοῖσιν ὦ Ζεῦ. πολὺ δ᾽ ὑπερπέπαικεν αὖ
Τούτων ἁπάντων τὰ Θάσι᾽ ἀμφορείδια.
Ἐν τῇ κεφαλῇ γὰρ ἐμμένει πολὺν χρόνον.
Τὰ δ᾽ ἄλλ᾽ ἀπανθήσαντα πάντ᾽ ἀπέπτατο.
Ὥστ᾽ ἐστὶ πολὺ βέλτιστα, πολὺ δῆτ᾽ ὦ θεοί.
Κέρασον ἄκρατον. εὐφρανεῖ τὴν νύχθ᾽ ὅλην
Ἐκλεγομένας ὅτι ἂν μάλιστ᾽ ὀσμὴν ἔχῃ.
Ἀλλ᾽ ὦ γυναῖκες φράσατέ μοι τὸν δεσπότην
Τὸν ἄνδρ᾽ ὅπου 'στὶ τῆς ἐμῆς κεκτημένης.
E Χο. Αὐτοῦ μένουσ᾽ ἡμῖν γὰρ ἐξευρεῖν δοκεῖς.
Θε. Μάλισθ᾽, ὁδὶ γὰρ ἐπὶ τὸ δεῖπνον ἔρχεται.
Ὦ δέσποτ᾽ ὦ μακάριε καὶ τρισόλβιε.
Δεσ. Ἐγώ. Θε. σὺ μέντοι νὴ Δί᾽ ὥς γ᾽ οὐδεὶς ἀνήρ.
Τίς γὰρ γένοιτ᾽ ἂν μᾶλλον ὀλβιώτερος
Ὅστις πολιτῶν πλεῖον ἢ τρισμυρίων
Ὄντων τὸ πλῆθος οὐ δεδείπνηκας μόνος.
F Χο. Εὐδαιμονικόν γ᾽ ἄνθρωπον εἴρηκας σαφῶς:
Θε. Ποῖ ποῖ βαδίζεις; Θε. ἐπὶ τὸ δεῖπνον ἔρχομαι.

Tamen autem si quid sæpe passus fuero,
Sub his meretricibus huc innauigans,
Sepeliam in ipso ore ingreßionis.
ANVS. *Et horum desuper in superficie sepulchri*
Viuentem pice inungentes, postea pedes
Plumbo fundentes circumcirca talos,
Supra imponere excusationem pro lecytho.
SERVA. *O beate quidẽ popule, fortunata autem & ego,*
Hecq; mihi domina beatißima.
Vos autem quæcunque adestis in ianuis,
Vicini omnes hi ciuium,
Ego præterea serua,
Quæ uncta sum capite unguentis
Bonis, o Iupiter. multum autem superabundant
His omnibus thasiæ amphorulæ:
In capite enim manent multo tempore.
Hæ autem aliæ deflorentes uolauerunt,
Quare sunt quàm iam optimæ multo certè o Dei
Misce merum, lætificabit noctem totam
Electas quæ maximè odorem habet.
Sed o mulieres, dicite mihi dominum
Virum, ubi est meæ dominæ.
CHO. *Illic manens, nobis enim inuenire appares.*
SERV. *Maximè, hic enim ad cœnam venit.*
O domine o beate, & terbeate.
DOMIN. *Ego?* SER. *tu quidem per Iouem ut nullus vir.*
Quis enim factus est magis beatior,
Qui ciuibus plus quàm tribus millibus
Existentibus, multitudine non cœnasti solus?
CHO. *Fortunatum hominem dixisti apertè.*
SERV. *Quò quò vadis?* DO. *ad cœnam venio.*

Σχόλια. Κασαλβάδοιν.] Κασαλβὰς ἡ πόρνη ἀφ᾽ οὗ ποιεῖ. αἱ γὰρ πόρναι καλοῦσι μὲν ἐκ ἔχουσαι τὰς ἐραστάς. βοῶσι δὲ τοὺς ὄντας ἵνα ἄλλους λάβωσι. παρὰ τὸ καλεῖν οὖν καὶ τὸ βοᾶν.

BISETVS. Θάψαι μ᾽ ἐν αὐτῷ] ἀττικὸν σχῆμα τὸ ἐνεργητικὸν ἀντὶ τοῦ παθητικοῦ ταφείην, ἢ μᾶλλον, θαφθῆναι. Ζῶσαν καταπιττώσαντας] ἐστί, καὶ οἱ δυσεξήγητοι στίχοι διὰ τὴν ἀσυνταξίαν, καὶ τὸ τῆς ἐννοίας μεγίστην ἔχουσιν ἀσάφειαν Οἰδίποδός τινος δεομένην. Ὦ μακάριος] θεράπαινά τις νῦν εἰσάγεται μακαρίζουσα τοὺς [illegible] κεχρημένους. Ὑπερπέπαικεν] ὑπερπαίειν, ὑπερβαίνειν, πλεονάζειν. Σ. Ἀπανθήσαντα] κα-

[illegible]ς πρότερον ἀπανθήσαντα ἦν γεγραμμένον. καὶ πάντα πέπλατο, ἀντὶ τοῦ πάντ᾽ ἀπέπτατο, ὡς παρὰ τῷ Σ. καλῶς γράφεται. τὸ δὲ ἀπανθήσαντα, ἀντὶ τοῦ ξηρανθέντα. ὡς ἐπὶ τῶν ἀνθῶν εἶπεν. διαφέρει δὲ τὸ ἀπανθεῖν, καὶ τὸ ἀπανθίζειν. ἀπανθεῖν γὰρ, τὸ τὰ ἄνθη ἀποβάλλειν. ἀπανθίζειν δὲ κατὰ τὸν Σ. τὸ τὰ ἄνθη συλλέγειν. Φράσατέ μοι τὸν δεσπότην] καινοπρεπέστερον εἴρηται ἀντὶ φράσατέ μοι ὅπου ἐστὶν ὁ δεσπότης καὶ ἀνὴρ τῆς ἐμῆς κεκτημένης, ἤγουν τῆς ἐμῆς δεσποίνης. Τῆς ἐμῆς κεκτημένης] τουτέστι τῆς δεσποίνης ἐμοῦ, ἣ ἑαυτῇ ἐκτήσατο. Ἡμῖν γάρ] τὸ γὰρ νῦν ἀττικῶς παρέλκει.

Σχόλια. Οὐ δεδείπνηκας μόνος] παρ᾽ ὑπόνοιαν. ἔδει γὰρ εἰπεῖν ὅτι μόνος εὐτυχεῖς τῶν πολιτῶν.

Θε. Νὴ τὴν Ἀφροδίτην, πολύ γ' ἁπάντων ὕστατος.
Ὅμως δ' ἐκέλευσε συλλαβοῦσά μ' ἡ γυνὴ
Ἄγειν σε καὶ τασδὶ μετὰ σοῦ τὰς μείρακας.
Οἶνος δ' ἐστὶ Χῖος περιλελειμμένος
Καὶ τἄλλ' ἀγαθὰ. πρὸς ταῦτα μὴ βραδύνετε,
Καὶ τῶν θεατῶν εἴ τις εὔνους τυγχάνει,
Καὶ τῶν κριτῶν εἰ μή τις ἑτέρωσε βλέπει,
Ἴτω μεθ' ἡμῶν· πάντα γὰρ παρέξομεν.
Οὔκουν ἅπασι δῆτα γενναίως ἐρεῖς,
Καὶ μὴ παραλείψῃς μηδέν. ἀλλ' ἐλευθέρως
Καλεῖν γέροντα μειράκιον παιδίσκον. ὡς
Τὸ δεῖπνον αὐτοῖς ἐστ' ἐπεσκευασμένον
Ἁπαξάπασιν. ἢν ἀπίωσιν οἴκαδε.
Ἐγὼ δὲ πρὸς τὸ δεῖπνον, ἤδη 'πείξομαι
Ἔχουσά τοι καὶ δᾷδα ταυτηνὶ καλῶς.
Τί δῆτα διατρίβεις ἔχων, ἀλλ' οὐκ ἄγεις
Τασδὶ λαβὼν, ἐν ὅσῳ δὲ καταβαίνῃς ἐγὼ
Ἐπᾴσομαι μέλος τι μελλοδειπνικόν.

A SER. Per Venerem, multo omnino vltimus.
Tamen autem iussit comprehendens me mulier
Ducere te, & has tecum adolescentes.
Vinum autem Chium est relictum,
Et alia bona ad hæc, ne tardate.
Et spectatorum si quis beneuolus est,
Et iudicum si non quis alio respiciat,
B Veniat mecum, omnia enim præbebimus.
Igitur omnibus certè generosè dices,
Et non relinques nullum. sed liberè
Vocare senem adolescentulam puellam ad
Cœnam, ipsis est præparatum
Omnibus, si abibunt domum.
Ego autem ad cœnam iam festinabo,
Habens & tædam hanc bene.
Quid igitur moraris habens? sed non ducis
C Has capiens? interim dum autem descendis, ego
Cantabo cantum aliquem cœnatiuum.

Σχόλια. Τασδὶ τὰς μείρακας] τὰς τοῦ χοροῦ.
Bisetus. Ἤδη 'πείξομαι] τὸ πλῆρες ἤδη ἐπείξομαι, ἤγουν μετὰ σπουδῆς ἐλεύσομαι. Μέλος μελλοδειπνικόν] τὸ τοῦ μέλλοντος, ἢ ἑτοιμαζομένου δείπνου μέλος. οὕτω γὰρ διὰ διπλοῦ λλ γραπτέον.

D

ΠΑΡΑΒΑΣΙΣ.

Parabasis.

Bisetus. Ἐν ταύτῃ τῇ παραβάσει ὁ χορὸς εἰς δύο διῃρημένος τὰ ἑξῆς λέγει.

Σμικρὸν δ' ὑποθέσθαι τοῖς κριταῖσι βούλομαι,
Τοῖς σοφοῖσι μὲν τῶν σοφῶν μεμνημένοις κρίνειν ἐμέ.
Τοῖς γελῶσι δ' ἡδέως, διὰ τὸν γέλων κρίνειν ἐμέ.
Σχεδὸν ἅπαντας οὖν κελεύω δηλαδὴ κρίνειν ἐμέ,
Μηδὲ τὸν κλῆρον γενέσθαι μηδὲν ἡμῖν αἴτιον
Ὅτι προείληχ'. ἀλλ' ἅπαντα ταῦτα χρὴ μεμνημένους
Μὴ 'πιορκεῖν. ἀλλὰ κρίνειν τοὺς χοροὺς ὀρθῶς ἀεί.
Μηδὲ ταῖς κακαῖς ἑταίραις τόν γε τρόπον προσεικέναι
Αἳ μόνον μνήμην ἔχουσι τῶν τελευταίων ἀεί.
Ὢ ὢ ὥρα δὴ φίλαι.
Γυναῖκες εἴπερ μέλλομεν τὸ χρῆμα δρᾶν
Ἐπὶ τὸ δεῖπνον ὑπανακινεῖν. κρητικῶς οὖν τὼ πόδε
Καὶ σὺ κίνει. Ημι. τοῦτο δρῶ.

Parum autem consultare iudicibus volo.
Sapientibus quidem sapientum recordantes iudicare me,
E Ridentibus autem dulciter per risum iudicare me.
Manifestè omnes igitur iubeo videlicet iudicare me,
Non autem sortem fieri nil nobis causam,
Quòd sortita sum. sed omnia hæc oportet recordantes
F Non peierare, sed iudicare choros rectè semper:
Neque malis meretricibus more assimilari,
Quæ solum memoriam habẽt vltimorum semper.
O ô hora dilecta
Mulieres, si volumus rem facere,
G Ad cœnam mouete. creticè igitur pedes,
Et tu moue. SEMICH. hoc facio,

Σχόλια. Μὴ τὸν κλῆρον] ἐπὶ τοῦ πρώτου εἰπόντος ὥσπερεὶ ὑμεαίνετο. τὰ ποιήματα δὲ τῶν ἐκλεγόντων. Προείληχα] πρῶτος εἰπεῖν ἔλαχον. τὸ χρῆμα δρᾶν ἐξιέναι.

Bisetus. Προσεικέναι] προσεοικέναι, ὁμοίους εἶναι. Τὸ χρῆμα δρᾶν] ἐξιέναι. ἐπὶ τὸ δεῖπνον ἐλθεῖν. Κρητικῶς] Σ. κρητικὸς ῥυθμός ἐστιν οὕτω καλούμενος.

Ημι.

Ημι. Καὶ τάσδε νυνὶ λαγαράς
Τοῖν σκελίσκοιν τὸν ῥυθμόν, τάχα γὰρ ἔπεισι
Λοπαδοτεμαχοσελαχογαλεο-
Κρανιολειψανοδριμυποτριμματο-
Σιλφιοπαραομελιτοκατακεχυμενο-
Κιχλεπικοσσυφοφαττοπεριστερα-
Λεκτρυονοπτεκεφαλλιοκιγκλοπε-
Λειολαγῳοσιραιοβαφητραγανοπτερύγων.
Σὺ δὲ ταῦτ' ἀκροασάμενος ταχὺ καὶ ταχέως
Λαβὲ τρύβλιον. εἶτα λαβὼν κόνισαι
Λέκιθον ἵν' ἐπιδειπνῇς.
Ημι. Ἀλλὰ λαιμάττουσί που.
Αἴρεσθ' ἄνω. ἰαὶ εὖ αἶ.
Δειπνήσομεν εὐοῖ εὖ αἶ.
Εὐαίως ἐπινίκι εὖ αἶ. εὖ αἶ. εὖ αἶ. εὖ αἶ. εὖ-
αἶ.

A *Et has nunc leues*
Cruribus numero. citò enim venient
Olla, succidia, cartilaginea, mustelæ,
Caluariarum reliquiæ acri cum intrito,
Laser melle interfuso,
Motacilla, merula, columba,
Gallarum tosta capitula, motacillarum,
Columbarum, leporum intinctu inspersa vnà cum aliis:
B *Tu autem hæc audiens citò & citò*
Cape scutellam, post capiens ordina
Ouum, vt cœnes.
SEMI. *Sed deuorant.*
CHO. *Eleuamini, euge, euge, euge.*
Cœnemus, euge, euge, euge,
Ruenter in victoria, euge, euge, euge, euge, euge, euge, euge, euge.

BISETVS. Τάσδε νυνὶ λαγαράς] τὰς ὑποκένους, ὅτι δηλονότι οὐδέπω ἐδεδειπνήκεισαν. Τοῖν σκελίσκοιν τὸν ῥυθμόν] ἡ σύνταξις αὕτη. ταῦτα μετὰ τῶν προηγουμένων συναπτέον, καὶ ὥρα δή ἐστι τάσδε νυνὶ λαγαρὰς τοῖν σκελίσκοιν κατὰ ῥυθμὸν αὐτὰς ὑπατακινεῖν, τουτέστι μετὰ ῥυθμοῦ, καὶ ἐμμελῶς ὀρχεῖσθαι. ῥυθμὸς δὲ κατὰ τὸν Σουίδαν, τάξις ἔμμελος ἀκολούθου ἁρμονίας. μέλος εὔφωνον. σύγκρουσις. πατὴρ μέτρου ῥυθμός. καὶ ὅτι ἀρχαία ἡ τῶν μέτρων, καὶ ῥυθμῶν διδασκαλία. „ Ο δὲ τὰς αὐλητρίδας κελεύει ῥυθμόν τινα βαρβαρικὸν ἐπαυλῆσαι οἱ. διαφέρει δὲ ῥυθμὸς μέτρου. τῷ τὸν μὲν γενικώτερον εἶναι. τὸ δὲ μέτρον ὑπάρχειν εἶδος τοῦ ῥυθμοῦ. θεωρεῖται γὰρ ὁ ῥυθμὸς καὶ ἐπὶ τῶν κροτούντων ταῖς χερσί, καὶ τοῖς ποσίν. ὅταν γὰρ ἡ ταχεῖα, καὶ βραδεῖα τῶν ποδῶν ἄρσις, καὶ θέσις λόγον ἔχουσι πρὸς ἄλληλα, ῥυθμὸς γίνεται. καὶ ἐντεῦθεν ἀπὸ μεταφορᾶς τούτων ἡ τοιάδε συλλαβῶν συμπλοκή, ἣν παραλαμβανόμενοι πρὸς τὴν τῶν μέτρων γένεσιν, πόδες ἐκλήθησαν. καὶ ἐπὶ αὐλῶν, καὶ τῶν ἄλλων τῶν τοιούτων ὁ ῥυθμὸς λέγεται, συμμετρία ὢν τοῦ χρόνου, ἐν ᾧ ἡ κίνησις γίνεται. καὶ γὰρ τῶν τρημάτων τῶν αὐλῶν τὰ μὲν ἐπὶ πλείονα χρόνον τοῖς δακτύλοις ἐπιπωματίζουσι. τὰ δ' ἐπ' ἐλάττονα. καὶ οὕτω τῶν ἀπηχήσεων τὴν μὲν μακροτέραν ποιοῦσι. τὴν δὲ βραχυτέραν. καὶ ὅτι τῶν τρημάτων τὰ μέν, μείζονά εἰσι, τὰ δέ, ἐλάττονα. καὶ τὰ μέν, ἐγγυτέρω τῆς ἐπιγλωττίδος. τὰ δέ, πορρωτέρω. καὶ τὰ μέν, στενότερα, ὀξύτερά εἰσι τῶν εὐρυτέρων. διὸ καὶ αἱ τῶν παίδων C φωναί, καὶ αἱ τῶν γυναικῶν ὀξύτεραι. τὰ δὲ εὐρύτερα, βαθύτερα. Ομοίως καὶ τὰ ἐγγυτέρω τῶν πορρωτέρων ὀξύτερα. ὧν τῇ συμμετρίᾳ ἁρμονία, καὶ τὸ μέλος γίνεται. ῥυθμὸς δὲ τῇ τοῦ ταχέως, καὶ βραδέως. ὁ μὲν οὖν ἐπὶ τῶν ἄλλων ῥυθμός, κατὰ τὸ βραχύ, καὶ βραδὺ χαρακτηρίζεται. ὁ δὲ ἐπὶ τοῦ προφορικοῦ λόγου, κατὰ τὸ μακρόν, καὶ βραχύ. ὅσπερ μόνος καὶ μέτρον λέγεται. οὐκ ἐπὶ τῶν ποιητικῶν δὲ ταῦτα μόνον θεωρεῖται, ἀλλὰ καὶ ἐπὶ τῶν ῥητορικῶν.

D Σχόλια. Κόνισαι] γυμνάσθητι.

BISETVS. Λέκιθον] Εὐστάθιος. λέκιθος ἀρσενικῶς εἶδος ὀσπρείου ὁμωνύμως τῷ ἐν τοῖς ὠοῖς κροκοειδεῖ καὶ λεκιθίτης πλακοῦς, ᾧ καὶ ᾠοῦ λέκιθος παραμέμικται. Σ. δέ, λέκιθος εἶδος ὀσπρείου, ὃ καλεῖται πισός, διὰ τὸ ἐοικέναι τὴν χρόαν λεκίθῳ ᾠοῦ. Λαιμάττουσι] Σ. λαιμάσσειν, ἀμέτρως ἐσθίειν. ἀττικῶς δὲ λαιμάττειν. λέγεται δὲ παρὰ τὸν λαιμόν, δι' οὗ τὰς τροφὰς εἰς τὴν γαστέρα εἰσβάλλομεν. λαιμὸς δὲ κατὰ τὸν Ησύχιον ταυτὸν τῷ φάρυγξ, λάρυγξ, καὶ βρόγ-
E χος. Εὐαίως ἐπινίκια] ἐπινίκια τὰ ποτὲ μὲν εὐωχίαν νίκης τινὸς ἕνεκα ποιουμένην σημαίνει, ὡς δηλοῖ Αθήναιος ἐν τῷδε τοῦ Αριστοφάνους στίχῳ ἐκ τῶν Πελαργῶν,

Ατλάγας ἥδιστον ἑψεῖν ἐν ἐπινικίοις κρέας.

ποτὲ δὲ ᾄσματα, καὶ ᾠδὰς ἐπινικίους, αἳ σὺν λύρᾳ ᾄδεσθαι εἰώθεισαν. καὶ ἀμφοτέραν ἑρμηνείαν ὅδε ὁ τόπος προσδέχεται. εὐαίως δέ, εὐμοίρως, μακαρίως.

ΤΕΛΟΣ

ΑΡΙΣΤΟΦΑΝΟΥΣ ΘΕΣΜΟΦΟΡΙΑΖΟΥΣΑΙ.

BISETVS. Εἰς τὰς Ἀριστοφάνους Θεσμοφοριαζούσας σχόλια ἐκ παλαιῶν, καὶ διαφόρων ξυγγραφῶν, ὑπομνημάτων, καὶ λεξικῶν ἄριστα μετὰ πλείστης ἐπιμελείας συλλεχθέντα, καὶ νῦν πρῶτον ἐκτυπωθέντα.

ΥΠΟΘΕΣΙΣ ΤΩΝ ΘΕΣΜΟΦΟΡΙΑΖΟΥΣΩΝ.

Ευριπίδης ἐν τοῖς Θεσμοφορείοις ὑπὸ γυναικῶν κατηγορηθεὶς τὴν Ἀγάθωνος τοῦ πάντων κακίστου ποιητοῦ βοήθειαν, καὶ προστασίαν ἐπικαλεῖσθαι ἠναγκάσθη. αὐτὸν γὰρ ἐν τῷ τῆς ἑαυτοῦ παλαιᾶς φιλίας ἀριθμῷ ἐτίθει, καὶ διὰ τὸ αὐτὸν μαλακώτατον εἶναι, τῆς ἰδίας δυστυχίας δεινότατον αὐτῷ προστάτην ἐνόμιζεν ἔσεσθαι. πρὸς τοῦτον οὖν μετὰ Μνησιλόχου κηδεστοῦ προσῆλθε δεόμενος ἐν τῷ δικαστηρίῳ τὴν ἑαυτοῦ, καὶ ἁπάσης τῆς οὐσίας προστασίαν λαβεῖν, καὶ τὰς τῶν κατηγόρων κατηγορίας ἀποκρούειν. ἵνα δὲ μᾶλλον αὐτὸν ἐπὶ τοῦτο προτρέπῃ, τὰς καλὰς ὑποσχέσεις, ἃς πολλάκις Ἀγάθων αὐτῷ ἐποιήσατο, εἰς μνήμην ἀνακαλεῖ, καὶ τὴν αὐτοῦ βοήθειαν, καὶ πίστιν νῦν ἀπαιτεῖ. ἀλλ' ὅπερ καὶ πάλαι ὑπώπτευεν, αὐτῷ παθεῖν συνέβη. καὶ γὰρ Ἀγάθων αὐτῷ παρεῖναι, καὶ συνδικεῖν οὐκ ἠθέλησεν.

Ἀλλὰ Μνησίλοχος ὁ βέλτιστος, καὶ πιστότατος κηδεστὴς τῷ καιρῷ, καὶ τῷ καθήκοντι προσαχθεὶς, καὶ τὸ τοῦ κινδύνου μέγεθος ὁρῶν, εἰς ὃν ὁ Εὐριπίδης αὐτίκα πεσεῖν ἐδόκει, ἄσμενος, καὶ ἐθελοντὴς τὴν αὐτοῦ προστασίαν αὐτῷ ὑπέσχετο, καὶ γυναικείαν ἐσθῆτα πανούργως ἐνδυσάμενος, πρὸς τὴν τῶν Θεσμοφορείων ἑορτὴν ἦλθε, καὶ ἐκεῖ ἐν μεγίστῳ γυναικῶν πλήθει τὴν δίκην ὑπὲρ Εὐριπίδου γενναίως ὑπέσχε, καὶ τὰ τῶν κατηγόρων ἐγκλήματα πιθανῶς ἤρξατο διαλύειν. ἀλλ' ἀναγνωρισθεὶς ἀνὴρ ὢν ἐν σχήματι γυναικὸς τὴν τῆς φυλακῆς ἐψηφισμένην ζημίαν αὐτίκα φυγεῖν οὐκ ἐδυνήσατο. καὶ γὰρ αἱ γυναῖκες ὀργῇ ἐπιζέσασαι αὐτὸν εἰς φυλακὴν πικρῶς τιμωρήσουσαι παρέδωκαν, ἀλλὰ μετ' ὀλίγον ἀπάταις, καὶ τέχναις ποιὸν ἐκεῖθεν ἀβλαβὴς Εὐριπίδου συνεργοῦντος ἀπέφυγε.

Τὰ τοῦ δράματος πρόσωπα.	*Personæ Dramatis.*
Μνησίλοχος ὁ Εὐριπίδου κηδεστής.	Mnesilochus socer Euripidis.
Εὐριπίδης.	Euripides.
Ἀγάθωνος θεράπων.	Minister.
Ἀγάθων.	Agathon.
Χορός.	Chorus.
Κῆρυξ.	Præco.
Γυνή τις.	Mulier quædam.
Ἑτέρα γυνή.	Altera mulier.
Ἄλλη γυνή.	Altera mulier.
Κλεισθένης.	Clisthenes.
Ἡμιχόριον γυναικῶν.	Semichorus mulierum.
Μνησίλοχος ὡς Ἑλένη.	Mnesilochus vt Helena.
Εὐριπίδης ὡς Μενέλαος.	Euripides vt Menelaus.
Πρύτανις.	Prytanis.
Τοξότης ὁ καὶ Σκύθης.	Scytha.
Εὐριπίδης ὡς Περσεύς.	Euripides vt Perseus.
Μνησίλοχος ὡς Ἀνδρομέδη.	Mnesilochus vt Andromeda.
Εὐριπίδης ὡς Ἠχώ.	Echo.
Εὐριπίδης ὡς γραῦς.	Euripides vt anus.

Σημείωσαι

Σημείωσαι ἐν ταύτῃ τὴν προσώπων ἀπαριθμήσιν· ὁσάκις Εὐριπίδης, ἢ Μνησίλοχος καινὸν καινοῦ προσώπου σχῆμα ἐνδύονται, τοσάκις τούτοις ὡς διάφορα πρόσωπα ληπτέον, ἐπεὶ ἀριθμὸν τὸν ιθ´ τούτου τοῦ δράματος προσώπων πληρώσουσιν, ὡς ἐξ αὐτῆς τῆς ἀπαριθμήσεως δῆλον. καὶ γὰρ τὸ πρᾶγμα οὕτω νοητέον, ὡς εἰ αὐτὰ τὰ πρόσωπα, ὧν οὗτοι τὴν μορφὴν ἐλάμβανον, εἰς τὸ θέατρον εἰσήχθησαν.

Τούτῳ τῷ δράματι ἐπιγραφή ἐστι Θεσμοφοριάζουσαι, τουτέστι γυναῖκες τὰ Θεσμοφόρια ποιοῦσαι, καὶ τελοῦσαι. θεσμὸς, νόμος. θεσμοφόρος, ὁ θεσμοὺς, ἤγουν νόμους φέρων. οὕτω δ᾽ ἐλέγετο ἡ Δημήτηρ, ὡς πρώτη τοῖς ἀνθρώποις νόμους ἐνεγκοῦσα καὶ Θεσμοφόρια τὰ τῆς Δήμητρος μυστήρια, ἢ ὄνομα ἑορτῆς, ἣ νύκτωρ ὑπὸ γυναικῶν μόνων ἐτελεῖτο. ὅθεν τὸ ῥῆμα τὸ θεσμοφοριάζω. τουτέστι τὴν τῆς Δήμητρος ἑορτὴν ἐπιτελῶ. ἐντεῦθεν δὲ τοῦτο τὸ δρᾶμα Θεσμοφοριάζουσαι ἐπιγέγραπται.

Hanc fabulam τὰς προτέρας θεσμοφοριαζούσας A. Gellius appellat cap 20. libr. 15. vbi de Euripidis genere, vita, moribus, morte.

ARGVMENTVM FABVLÆ, CEREALIA CELEBRANTES.

EX ANDREÆ DIVI INTERPRETATIONE.

EVRIPIDES in festis Cerealibus à mulieribus capitis accusatus, in eum locum adducitur, vt opem atque auxilium petat ab Agathone pessimo ac effœminatissimo omnium poeta. nam cum non nullum in veteribus amicis multis, cum summum in eo (quòd erat effœminatissimus) præsidium suis calamitatibus constitutum esse arbitrabatur. Ad hunc igitur cum Mnesilocho propinquo accedens, rogat & orat vt suarum fortunarum omnium causam, defensionémque suspiciat. cum sæpe esse pollicitum, sæpe ostendisse dicit, si quod tempus accidisset quo tempore aliquid ab eo requireret, commodis eius non defuturum. Ad eius igitur fidem quam habebat spectatam iam & diu cognitam, confugisse eum defensorem fortunarum suarum, actorem causæ suæ ex omnibus delegisse. Cum verò Agathon exorari minimè potuisset, Mnesilochus optimus, atque adeò fidelissimus propinquus tempore atque officio coactus, vltrò se offert Euripidi, ac veste muliebri indutus, ad festa Cerealia accedit, ibique in maximo mulierum conuentu Euripidem præsenti animo defendit: sed tamen efficere non potest, quo minus in carcerem conijciatur, qui tamen non multo pòst dolis & fallaciis quibusdam è carcere aufugit.

ΦΡΑΓΚΙΣΚΩ ΤΩ ΤΗΣ ΦΡΑΓΚΙΑΣ ΒΑΣΙΛΕΙ, ΤΩΝ ΧΡΙΣΤΙΑΝΩΝ, ΜΟΝΑΡΧΩΝ ΤΩ ΠΑΝΤ ΣΕΒΑΣΜΙΩ Χ' ΙΕΡΟπρεπεῖ, Αἰγίδιος ὁ Βυρδῖνος εὖ πράττειν καὶ τὰ δόξαντα ἐπιτελεῖν.

ΠΑΣ μὲν ὁ ἀνθρώπινος νοῦς, ὦ μέγα δυνάμενε καὶ ἀξιοπρεπέστατε βασιλεῦ, τοιοῦτόν τι θείως πως πάσχει, καὶ τοῦτο δὴ χρῆμα ἡ φύσις αὐτὴ τοῖς ἀγράφοις νομίμοις, καὶ τοῖς ἀνθρωπίνοις ἤθεσι διώρικεν καὶ ἐνεχάραξεν, ὥστε τῶν ἀνδρῶν ἕκαστον τότε μεγίστην τινὰ ὑπερβολὴν καὶ τελειοτάτην ἡδονὴν παραλαβεῖν καὶ ἀρύσασθαι, ὅταν τοῦ προαιρεθέντος πραγματευθέντος καὶ προπονηθέντος ἔργου τινὰ καρπὸν καὶ ἀποτελείωσιν εὐτυχῆ ἐφορᾷ. Καὶ γὰρ, ὥς φασιν οἱ φιλόσοφοι, ἐν πᾶσιν ἔργοις τὸ τέλος καὶ ἀποτέλεσμα μάλιστα πάντων προσκοποῦμεν, καὶ τὸ οὗ ἕνεκα, ὡς προσαγορεύει ὁ Ἀριστοτέλης, βέλτιστον, καὶ τέλος τῶν ἄλλων ἐντελὲς εἶναι. Ἐπὶ τούτῳ δὲ λογισμῷ τῶν βασιλέων καὶ μοναρχούντων σοῦ μὲν πολλὰς μεγίστων ἀγαθῶν πραγμάτων θεώμεθα, ἵνα τὴν δόξαν, ὡς τελικὴν τῆς ἐπιχειρήσεως ἑαυτῶν αἰτίαν, τοῖς ἐπιγιγνομένοις καταλίπωσιν, καὶ τοὔνομα αὐτῶν διὰ τῶν εὐτυχημάτων καθάπερ τῇ μνήμῃ τῶν ἀνθρώπων καθιερώσαιεν. Ἑτέρους δὲ προαιρουμένους ἐπὶ τὸ τὰς βασιλείας αὐτῶν καὶ μοναρχίας πᾶσι τοῖς ἔθνεσιν ἐνδοξοτέρας καὶ ἀσφαλεστέρας παρέχειν, πάντας κινδύνους ὑπομεινάντας, καὶ πᾶν μέρος τοῦ σώματος ἑαυτῶν, καὶ τὴν ψυχὴν αὐτὴν προεμένους. Ἐκείνους δὲ πάντας τότε μόνον ἐπιστάμεθα μεγίστην καὶ ἀληθεστάτην εὐφροσύνην ἀνελέσθαι, ὅτε τὸ τέλος προαιρεθὲν καὶ προορασθὲν, καὶ τὴν δόξαν τῷ ὀνόματι καὶ τῇ βασιλείᾳ ἑαυτῶν ἐνιδρυμένην καὶ ἐπικειμένην ἑωράκασι. Ταῦτα δὲ γνωριμώτατα ὄντα, ὦ βασιλεῦ, τοῖς ἀξιολόγων ἀνδρῶν παραδείγμασιν οὐκ ἄξιον ἐπαυξάνειν, ἀλλὰ καὶ ἐπὶ τοῖς μικροῖς οὐ μεμπτὸν ἐπιδεῖξαι. Καὶ γὰρ γιγνώσκομεν ἡμεῖς καὶ σὺ γεωμόρους καὶ γεωπόνους γεωργοῦντάς τε τότε μέγιστα χαίρειν, ὅταν ἐπιθεῶνται τινὰ καρπὸν ἢ ἀπαρχὰς τοῦ ἱδρῶτος ἑαυτῶν. Καὶ οὕτω δῆλόν ἐστι παροξύνεσθαι τοιουτονὶ νεανικῷ καρπῷ, ὥστε εἰς τὸν ἐπιγιγνόμενον ἐνιαυτὸν ἔτι μετὰ μείζονος σπουδῆς καὶ ἐρρωμενεστέρου ἐφίστασθαι τοῖς ἑαυτῶν πόνοις, καὶ ὥσπερ δὴ μελίσσας τοῖς ἑαυτῶν ἔργοις καὶ κηρίοις ἀδιαλείπτως προσλιπαρεῖν καὶ ἐπικύπτειν τοῦ ἔτι καρπώσασθαι σὺν ἑαυτῶν πόνους δυνάσθαι. Τοιούτοις δὲ ἐπαρθέντες, ὦ σεβάσμιε βασιλεῦ, παρ' ἡμῖν ἀκριβῶς ὑπελογισάμεθα τὴν σὴν ὑπερβολικὴν φιλομουσίαν, καὶ ὡς σεμνῶς καὶ βασιλικῶς τὴν σου βασιλείαν τῇ τῶν ῥητόρων γε καὶ φιλοσόφων καὶ πανσόφων ἀνδρῶν διατριβαῖς διακοσμεῖν καὶ λαμπρὰν καθίστασθαι τὸ παράπαν ἠθέλησας. Καὶ ἐν τούτῳ τῇ προξενίᾳ γενναιοτάτῃ χρησάμενος τοῦ ἐπισκόπου καὶ ἀρχιερέως τῶν Ματισκονέων πάντας ἀριθμοὺς τῆς ἐγκυκλοπαιδείας περιλαβόντος οὕτω ἐπιφανῶς καὶ ἀξιοπρεπῶς προσηνέγκες σαυτόν, ὥστε μηδεμίαν δωρεὰν ἐπιλιπεῖν, καὶ μηδέποτε φείδεσθαι χρημάτων, τοῦ τῶν γραμμάτων ἐξοχόν τινα διάθλησιν καὶ διαγυμνασίαν ἐν πάσαις τῆς βασιλείας σου πόλεσι κατασῆσαι. Ἡμεῖς δὲ τούτων δὴ παραίτιον λογισμὸν ποιησάμενοι, τοιοῦτόν τι διενοησάμεθα ἀχαριστίας σημεῖον μέγιστον εἶναι καὶ διαβολὴν δικαιοτάτην, εἰ τοιούτου εὐεργετήματος χάριν τινὰ οὐ παρέχοιεν, οὐδ' ἀνταμείβοιντο οἱ δοῦλοι σου. Καὶ ἔτι οὕτως ἔπεισα ἐμαυτόν σε μέγα καὶ βασιλικὸν φρονοῦντα ἐπὶ τοῖς τῆς ἀρετῆς ἔργοις βασιλέα, οὐκ ἄν ποτε ἡδονήν τινα ἀνταξίαν τῶν πόνων σου ἀπολήψεσθαι, εἰ μὴ καρπόν τινα ἀνατεθήλοντα τῆς διακριβοῦς γεωργίας σου ἐπίδοις, καὶ ἀποσκίασμά τι τοῦ ἀποτελέσματος μετὰ ταῦτα γινωσκόμενος, ὡς μὴ μάτην τοιούτους πόνους ἐναλῶσαι δοκῇς. Διὰ ταῦτα ἔγωγε καίπερ θαρραλεώτερον, ὅμως γέ μην γενναῖόν τι πνέων, τοῦτο δὴ τὸ βιβλίον ὥσπερ νεόν τι φυτὸν καὶ βλάστημα τῆς γεωργίας σου ἀναθέσθαι ἠθέλησα, ὅπως σύ τινα καρπὸν τοῦ ἱδρῶτος σου ἐπιθεάσασθαι οἷός τε ἦς. Καὶ ἐκ τούτου τεκμήριον σε τόδε μέγιστον συλλέξεσθαι ἐνόμισα, ὅτι εἴπερ ἐγὼ ἐν δικαστηρίοις τε καὶ ἀγοραῖς καλινδούμενος καὶ συστρεφόμενος τοιούτου τινὸς ἐλαφροῦ ἔργου, καίπερ μικρᾶς διερμηνεύσεως ἅψασθαι ἐπεχείρησα, ὅσα δὴ ἀποτελέσαι καὶ τούτων μείζονα καὶ ἐπιφανέστερα δύναιντο οἱ φιλόσοφοι ὑπὸ σοῦ αἱρεθέντες, οἱ συνεχῶς τοῖς ἑλληνικοῖς ἐνδιατρίβοντες, καὶ οὐδενὶ ἄλλῳ ἢ τοῖς γράμμασιν ἐπιθυμητικῶς προσκεκυφότες. Ἔργον δὲ τοῦτο σύ, ὦ βασιλεῦ μέγιστε, ἴσως ὑπαιδικὸν καὶ φαῦλον νομίσεις, τὸ τὸν κελτικὸν ἄνδρα τὰ ἑλληνικὰ ἑλληνικῶς διερμηνεῦσαι. ἀλλὰ τοιοῦτον δὴ αἴτιον ἐγένετο, ὅτι ὁ Ἀριστοφάνης παλαιὸς δὴ καὶ ἐνδοξότερος τῶν κωμικῶν σχολιαστοῦ γενναίου ἐπιτυχὼν ἐπὶ πάσαις ἑαυτοῦ κωμῳδίαις, ἐν ταύτῃ μόνῃ καὶ τῇ Λυσιστράτῃ ἀπέτυχεν. διὰ τοῦτο οὐκ ἀνάξιον οὐδὲ μεμπτὸν εἶναι ἔδοξε τὸν Κελτὸν ἢ Φράγκον ἄνδρα ὑπὸ σοῦ διδαχθέντα Ἕλληνα κωμῳδοποιὸν ἑλληνικῇ διαλέκτῳ διερμηνεῦσαι. Καὶ γὰρ ἐπιδεῖξαι ἐν μικρῷ διενοησάμην τὴν ἐμαυτοῦ εὐχαριστίας ὑπερβολήν, καὶ πρὸς τούτοις, ὅσον ἐν τῇ σαυτοῦ βασιλείᾳ, διὰ τὴν σοῦ φιλοχρηστίαν τε καὶ φιλοδωρείαν καὶ φιλοκαλίαν τῶν μουσῶν θᾶκον ἀνέπηξας καὶ κατέστησας.

Ἔρρωσο κύριε ἐπιεικέστατε καὶ σεβασμιώτατε, καὶ διὰ βίου εὐημέρει. ἐκ Παρισίων, ἔτει ἀπὸ θεογονίας χιλιοστῷ πεντακοσιοστῷ τετταρακοστῷ πέμπτῳ.

ΥΠΟΘΕΣΙΣ

ΥΠΟΘΕΣΙΣ ΤΩΝ ΤΟΥ ΑΡΙΣΤΟΦΑΝΟΥΣ ΘΕΣΜΟΦΟΡΙΑΖΟΥΣΩΝ.

Εὐριπίδης ἀδιάλλακτος τῶν γυναιξὶν ἐχθρὸς ὤν, διὰ τὴν αὐτοῦ ἐπιπολάζουσαν ἐπὶ πάσαις τραγῳδίαις κατ' ἐκείνων ὑφ' ὕβρεις τινὰ κακηγορίαν κακολογίαν τε, εἰσηγγέλθη τὴν εἰσαγγελίαν τοῦ θανάτου ἐν Θεσμοφορίοις ὑπὸ τῶν γυναικῶν θεσμοφοριαζουσῶν κατὰ τὰ πάτρια ἔθη τῶν Ἀθηναίων. Ἀπορῶν δὲ ὁ Εὐριπίδης τὴν μεγίστην ἀπορίαν ὅτι χρήσεται αὐτῇ, καὶ ὅπως ἀποφεύγειν οἷός τ' εἴη ταύτην τὴν εἰσαγγελίαν, καὶ διαλλαγὰς ποιεῖσθαι πρὸς τὰς δὲ γυναῖκας θεσμοφοριαζούσας, καταφεύγει σὺν τῷ Μνησιλόχῳ κηδεστῇ αὐτοῦ πρὸς τὸν Ἀγάθωνα, κάκιστον δὴ πάντων τῶν ποιητῶν, γυναικοπρόσωπόν τε καὶ θηλυφανῆ. καὶ δεῖται ἐκείνου ὥστε θέλειν ὑπὲρ αὐτοῦ ἀπολογεῖσθαι παρὰ ταῖς δὲ θεσμοφοριαζούσαις γυναιξίν. ἀλλ' ὁ δὲ Ἀγάθων μετὰ τῆς δυσχερείας ἀπαρνεῖται, καὶ οὐ φάσκει ἀπολογήσεσθαι ὑπὲρ τοῦ Εὐριπίδου. διὰ ταῦτα τοῦ Εὐριπίδου ἔτι μᾶλλον ἀποροῦντος, καὶ ταλαιπωρουμένου, ὁ Μνησίλοχος πιστότατος αὐτοῦ φίλος ὢν καὶ κηδεστής, τὸ γυναικεῖον κόσμημα ἀμφιβληθεὶς καὶ ὑποδυσάμενος εἰσέρχεται εἰς τὰ Θεσμοφόρια, ὡς γυνὴ γυναικὸς δὲ σχῆμα περιέχων, καὶ καρτερᾶς ἀνδρείως τε ὑπεραγωνίζεται καὶ ὑπεραπολογεῖται τοῦ Εὐριπίδου. γνωσθεὶς δὲ τελευτῶν ὑπὸ τῶν θεσμοφοριαζουσῶν, ὅτι ἀνήρ ἐστι, καὶ εἷς τῶν τοῦ Εὐριπίδου φίλων, ἀπάγεται καὶ ἐμβάλλεται εἰς τὸ δεσμωτήριον τοῦ Πρυτάνεως ἐπιτάξαντος, ὅστις μετεπέμφθη ὑπὸ τῶν δὲ θεσμοφοριαζουσῶν ἐπὶ τῇ τιμωρίᾳ τοῦ δὲ Μνησιλόχου, ἀλλ' ἐκ τούτων δεσμῶν ἐξέρχεται, καὶ ἀπολύεται διὰ τῶν ποικίλων σοφισμάτων καὶ μηχανημάτων τοῦ Εὐριπίδου, ὅστις πάντα περιβάλλεται τὰ εἴδη καὶ πρόσωπα τοῦ μὴ γιγνώσκεσθαι, καὶ οὕτω ῥᾳδίως διασώζειν τὸν τὸν Μνησίλοχον. Σημαίνει δ' αὕτη ἡ κωμῳδία ἠθικόν τι, δηλονότι, τῶν φίλων ὑπὲρ ἡμῶν κινδυνευόντων οὐδέποτ' ἐστὶ προδοτέον, οὐδ' ἂν ἀποθανεῖν μέλλωμεν, ἀλλὰ πᾶσαν δεῖ πεῖραν πειρᾶσθαι, ὥστε ἐκείνους σώζειν καὶ ἐκλύεσθαι τῶν κινδύνων.

ΑΡΙΣΤΟΦΑΝΟΥΣ ΘΕΣΜΟΦΟΡΙΑΖΟΥΣΑΙ.

ΘΕΣΜΟΦΟΡΙΑ τὰ τῆς Δήμητρος μυστήρια λέγεται, καὶ ὄνομα μιᾶς τῶν τῆς Δήμητρος τελετῶν ἐστιν, ὡς μαρτυρεῖ ὁ Ἀθηναῖος. τὰς γὰρ τῆς Δήμητρος ἑορτάς φησι καλεῖσθαι παρ' Ἕλλησι Δημήτρεια, Θεσμοφόρεια, καὶ Ἐλευσίνια. Ἡρόδοτος δὲ τὰ τῆς Δήμητρος μυστήρια ὑπὸ τῶν Ἑλλήνων ὀνομάζεσθαι λέγει Θεσμοφόρια, ὡσεὶ θεσμῶν φοράς, τουτέστι, νόμων θέσεις. καὶ γὰρ θεσμὸς παρὰ παλαιοῖς νόμον σημαίνει. ὅθεν καὶ Ἀνδοκίδης ἐν τοῖς αὐτοῦ λόγοις τοὺς τοῦ Δράκοντος θεσμοὺς ὀνομάζει, καθάπερ καὶ τοὺς Σόλωνος νόμους. καὶ οἱ θεσμοθέται παρ' Ἀθηναίοις ἐκαλοῦντο οἵπερ καθ' ἕκαστον ἐνιαυτὸν διώρθουν τοὺς θεσμούς, τουτέστι νόμους ἐν τῷ δημοσίῳ, ὥς φησιν ὁ Αἰσχίνης ἐν τῷ κατὰ Κτησιφῶντος, καὶ τοῦτο θεσμοθετῶν ἀνάκρισις ἐκαλεῖτο. Θεσμὸς δὲ ἱερὸν καὶ ὅσιον νόμον δηλοῖ καὶ θεῖον, καθάπερ ὁ Ἀριστοτέλης ἐν τῷ περὶ κόσμου τοὺς τοῦ θεοῦ θεσμοὺς καλεῖ, δηλονότι θείους νόμους, καὶ οἱ προνοίας εἱμαρμένης τε θεσμοὶ λέγονται, τουτέστι θεῖοι νόμοι καὶ ἀνεπίφευκτοι. φέρεται δὲ κατὰ τὸν Διόδωρον Σικελιώτην Ἶσις δηλονότι Δημήτηρ πρὸς τῷ τὸν σῖτον εὑρίσκειν θεῖναι καὶ ἐνεγκεῖν τοῖς ἀνθρώποις τοὺς θεσμοὺς θείους καὶ ὁσίους ἐπὶ τῷ νομίμως δικαίως τε καὶ ἱεραγῶς ζῆν, καὶ πᾶσαν ἐν ἑαυτοῖς δικαιοσύνην καὶ ἰσονομίαν ὁμαλίαν τε διαφυλάττεσθαι, καὶ διὰ τοῦτο λέγει τὴν Δήμητρα θεσμοφόρον κεκλῆσθαι ἀπὸ τῆς δὲ τῶν θεσμῶν φορᾶς καὶ θέσεως, ὅτι παρέσχεν ἀνθρώποις, οὐ μόνον σωματικῆς τροφῆς καὶ αὐξήσεως εὐπορίαν, ἀλλὰ καὶ τοὺς νόμους τοῦ καλῶς καὶ ἀγαθῶς ζῆν. οἱ δὲ Ἀθηναῖοι τιμᾶν βουλόμενοι τὴν Δήμητρα οὕτω μεγάλως καὶ καθ' ὑπερβολὴν πάντας ἀνθρώπους εὐεργετήσασαν (ὡς δὴ ἐνόμιζον) ταύτην τὴν ἑορτὴν θεσμοφορίων ἐτέλουν διὰ τῶν γυναικῶν ἐπὶ τῇ τιμῇ τῆς Δήμητρος θεσμοὺς ἐνεγκαμένης. φησὶ γὰρ ἔτι ὁ Διόδωρος, οὐκ ἄξιον δὲ παραλιπεῖν τῆς θεοῦ ταύτης τὴν ὑπερβολὴν τῆς εἰς τοὺς ἀνθρώπους εὐεργεσίας. χωρὶς γὰρ τῆς εὑρέσεως τοῦ σίτου τήν τε κατεργασίαν αὐτοῦ τοὺς ἀνθρώπους ἐδίδαξε, καὶ νόμους εἰσηγήσατο, καθ' οὓς δικαιοπραγεῖν εἰθίσθησαν δι' ἣν αἰτίαν αὐτὴν θεσμοφόρον ἤτοι δικαιοφόρον ἐπονομασθῆναι. τούτων δὲ εὑρημάτων οὐκ ἄν τις εὕροι τὴν εὐεργεσίαν μείζονα ἢ γὰρ τὸ ζῆν καὶ τὸ καλῶς ζῆν περιέχουσαν. Ἐν δὲ τοῖς θεσμοφορίοις αἱ γυναῖκες Ἀθηναῖαι ἑορτάζουσαι, ὡς οἷόν τε ἦν μάλιστα ὁσίως καὶ ἱερῶς ἁγνεύουσαι τε διῆγον καὶ διετέλουν. καὶ γὰρ κατὰ τὸ τῶν Αἰγυπτίων ἔθος τῶν σιτίων ἀπείχοντο, καὶ χαμαὶ ἔκειντο, ὡς μαρτυρεῖ ὁ Πλούταρχος, καὶ τὰς κλίνας ὑπεστρώννυον αὐτῶν ἐκ τῶν τῆς βοτάνης καλουμένης ἄγνου καὶ λύγου φύλλων, βουλόμεναι οὕτως ἐν τούτοις τοῖς μυστηρίοις πᾶσαν τῆς ἁγνείας, καὶ σωφροσύνης δόξαν παρέχειν Ἀθηναίοις τε καὶ θεοσεβεῖς, θεοφιλεῖς τε φαίνεσθαι. αἱ δὲ γυναῖκες τὴν τῶν θεσμοφορίων ἑορτὴν ἑορτάζουσαι καὶ τελοῦσαι θεσμοφοριάζουσαι ἐκαλοῦντο, ὧν δὴ ἐνταῦθα μέμνηται ὁ Ἀριστοφάνης. καὶ γὰρ θεσμοφοριάζειν σημαίνει θεσμοφόρια τελεῖν.

ΑΡΙΣΤΟΦΑΝΟΥΣ ΘΕΣΜΟΦΟΡΙΑ-ζουσαι.

Προλογίζει Μνησίλοχος, κηδεστὴς Εὐριπίδου.

Ω Ζεῦ, χελιδὼν ἆρα πότε φανήσεται;
Ἀπολεῖ μ' ἀλοῶν ἄνθρωπος ἐξ ἑωθινοῦ.
Οἷόν τε πρὶν τὸν σπλῆνα κομιδῆ μ' ἐκβαλεῖν,
Παρὰ σοῦ πυθέσθαι ποῖ μ' ἄγεις ὦ Ἐυριπίδη.
Εὐ. Ἀλλ' οὐκ ἀκούειν δεῖ σε πάνθ' ὅσ' αὐτίκα
Ὄψει παρεστώς. Μν. πῶς λέγεις αὖθις φράσον.
Οὐ δεῖ μ' ἀκούειν; Εὐ. οὐχ ἅ γ' ἂν μέλλῃς ὁρᾶν.
Μν. Οὐδ' ἆρ' ὁρᾶν δεῖ μ'. Εὐ. οὐχ ἃ γ' ἂν ἀκούειν δέῃ.
Μν. Πῶς μοι παραινεῖς; δεξιῶς μέντοι λέγεις.
Οὐ φῂς σὺ χρῆναί μ' οὔτ' ἀκούειν οὔθ' ὁρᾶν;
Χωρὶς γὰρ αὐτοῖν ἑκατέρου 'στιν ἡ φύσις
Τοῦ μήτ' ἀκούειν μήθ' ὁρᾶν; Εὐ. εὖ ἴσθ' ὅτι.
Μν. Πῶς χωρίς; Εὐ. οὕτω ταῦτα διεκρίθη τότε.
Αἰθὴρ γὰρ ὅτε τὰ πρῶτα διεχωρίζετο,
Καὶ ζῷ' ἐν αὑτῷ ξυνετίκτε κινούμενα.
Ω μὲν βλέπειν χρὴ πρῶτα μηχανήσατο
Ὀφθαλμὸν ἀντίμιμον ἡλίου τροχῷ,
Ἀκοῆς δὲ χοάνην ὦτα διετετρήνατο.

ARISTOPHANIS SACRA CERERIS Celebrantes.

Proloquitur Mnesilochus, socer Euripidis.

O Iupiter, hirundo igitur, quando apparebis?
Perdet me errare faciens homo ex matutino.
Fierine potest priusquam lienem valdè ego eijciam,
A te audire, quò me ducis ô Euripides?
EVR. Sed non audire oportet te omnia, qui statim
Videbis præsens. MN. Quomodo dicis? rursus dicito,
Non oportet me audire? EVR. non quæ quidem utique futurus es videre.
MN. Neque quidem videre oportet me. EV. non quæ quidem utique audire oportuerit.
MN. Quomodo me admones? dexterè tamen dicis.
Non inquis tu oportere me neque audire, neque videre:
Separatim enim ipsorum utriusque est natura
Neque audiendi, neque videndi. EV. Benè scias quòd.
MN. Quomodo separatim? EV. Ita hæc distincta sunt tunc.
Æther enim cùm primùm diuisus est,
Et animalia in ipso congenerabat mota:
Quo quidem cernere oportet, primum machinata est
Oculum similem solis rotæ:
Auditum autem infusorij aures perforauit.

BOVRDINVS. Ω Ζεῦ.] σχετλιαστικὸν τὸ προοίμιον τοῦ Μνησιλόχου προλογίζοντος, τὸν δὲ Δία παρέλαβε κατ' ἐξοχὴν τῶν ἄλλων θεῶν, καθάπερ καὶ ἐν Πλούτῳ, Ως ἀργαλέον πρᾶγμά ἐστιν ὦ Ζεῦ καὶ θεοί. Χελιδὼν ἆρα.] Τουτέστιν ἡμέρα δήποτε φανήσεται. ἐπεὶ γὰρ ἡ χελιδὼν ᾄδει ᾆσμά τι ἐνδόσιμον καὶ κελευστικὸν πρὸς ἔργα, ἅπερ γε καθ' ἡμέραν χ' ἕωθεν πράττεσθαι φιλεῖ, καὶ ἄρχεται τούτων ἡ πρᾶξις ἀπὸ τοῦ ἑωθινοῦ τῆς ἡμέρας, ὡς ἐπὶ τὸ πλεῖστον. ὅθεν καὶ ἡ παροιμία, μία χελιδὼν ἔαρ οὐ ποιεῖ, τουτέστι μία ἡμέρα. Ἀπολεῖ μ' ἀλοῶν ἄνθρωπος.] Εὐριπίδης (φησὶ Μνησίλοχος) ἀπολεῖ με ἀπὸ τοῦ ἕωθεν ἕξω καὶ κύκλῳ περιάγων, ὡς οἱ ἐν τῇ ἅλωσιν διαπορευόμενοι ποιοῦσιν. τοῦτο γὰρ σημαίνει ἀλοῶν. δηλοῖ τε τύπτειν καὶ κόπτειν. μέλλουσι δὲ τὸ ῥῆμα ἀπὸ τῶν τριβόντων, καὶ κοπτόντων στάχυας. ὅθεν καὶ παρὰ Ξενοφῶντι ἀλοητὸς τρίμμα λέγεται. καὶ ὁ Θεόφραστος καλεῖ τὰ ἀλοηθέντα σπέρματα συντελεσθέντα, καὶ ὁ σῖτος ἀλοώμενος, πατούμενος καὶ συντριβόμενος λέγεται. Ἀπὸ ταύτης δὲ μεταφορᾶς σημαίνει τοῦτο τὸ ῥῆμα ἀλοῶν, στροβλοῦν, περιάγειν καὶ περιστρέφειν ἐπὶ πολλὰς περιόδους, στροφὰς, καὶ μεταβολὰς, ὥσπερ οἱ πατοῦντες καὶ τρίβοντες στάχυας. Ἐξ ἑωθινοῦ] ἀπὸ τοῦ ἕωθεν. ταῦτα δύο ἔπη παρ' αὐτῷ ἔλεγε ὁ Μνησίλοχος περὶ τοῦ Εὐριπίδου, μέλλοντος αὐτὸν περιάξειν εἰς πολλοὺς τόπους. καὶ διὰ τοῦτο ἐσχετλίαζεν καὶ ἠγανάκτει. Πρὶν τὸν σπλῆνα ἐκβαλεῖν.] λέγει ὁ Μνησίλοχος, ἐστὶν ἄρα δυνατὸν παρὰ σοῦ ἀκούειν ὦ Εὐριπίδη ποῖ μ' ἄγεις πρὶν τὸ παθεῖν ἀποβαλεῖν τὸν σπλῆνα, τουτέστι τὴν ἡδονὴν τῆς ψυχῆς, καὶ εἶτα ὀργίζεσθαι. οἱ γὰρ σπλῆνα ἔχοντες πολὺν λέγονται εἶναι φύσει πολυγέλωτες καὶ ἀεὶ ἡδονόμενοι, οἱ δὲ ἀπορούμενοι τοῦ σπληνός, ἀγέλαστες καὶ μελαγχολικοί. ὅθεν καὶ σπληνιᾶν, λέγεται ἀμέτρως γελᾶν. καὶ φάρμακον ἄσπληνον τὸ εὑρεθὲν πρὸς τὸ θεραπεύειν καὶ ἰᾶσθαι τοὺς σπληνιῶντας καὶ ἀμέτρως γελῶντας. ἐλλείψεις γοῦν καὶ ἀποβολὴ τοῦ σπληνός, τὴν ἡδονὴν πᾶσαν ἀποβάλλει, καὶ οὕτω ὀργὴν ἐπιβάλλει καὶ εἰσάγει. Πυθέσθαι.] τουτέστιν ἀκούειν. Ἀλλ' οὐκ ἀκούειν] ἐνταῦθα λέ-

γει ὁ Εὐριπίδης, ὅτι οὐκ ἀκούειν δεῖ ὑπὸ πυθέσθαι ἐκείνων ἅπερ μέλλομεν παραχρῆμα ὁρᾶν, ὄψις γὰρ πιστοτέρα καὶ κρείσσων τῆς ἀκοῆς. ἃ μὲν οὖν οὐ δυνάμεθα ὁρᾶν, ταῦτα δεῖ ἀκούειν, ὄψεως δὲ παρούσης οὐδὲν δεῖ τῆς ἀκοῆς. Ὁμοίως ὥσπερ ἀκυρεία καὶ διὰ τῆς ἀκοῆς ἀποτελεῖται, οὐ χρὴ ὁρᾶν γε τούτων. Πῶς μοι παραινοῖς;] παρακαλοῖς καὶ διδάσκοις. Δεξιῶς.] γνησίως καὶ εὐτόρως λέγεις. Χωρὶς γάρ.] τουτέστι κεχώρισται καὶ διακέκριται ἡ φύσις ἑκατέρου, τοῦ μήτ' ἀκούειν, μήθ' ὁρᾶν. Διεκρίθη] διεχωρίσθη. Αἰθήρ.] αἰθέρα προσωνόμασαν οἱ παλαιοὶ τὸν ἀνωτάτω τόπον, ἀπὸ τοῦ θεῖν ἄνω τὸν ἀΐδιον χρόνον, τὴν ἐπωνυμίαν θέμενοι αὐτῷ, ὥσπερ φησὶν ὁ Ἀριστοτέλης ἐν τῷ πρώτῳ περὶ οὐρανοῦ. Ἀναξαγόραν δὲ λέγει τούτῳ τῷ ὀνόματι καταχρῆσθαι, καλοῦντα αἰθέρα πῦρ. αἰθὴρ δὲ οὐρανὸν σημαίνει, ὅτε δή φησιν ὁ Εὐριπίδης, πρῶτον ὁ αἰθὴρ διεχωρίζετο καὶ διεκρίνετο. Καὶ ξυνέτικτεν.] τουτέστι συνέτικτεν καὶ συνέτρεφεν τὰ ζῶα, περιαγόμενα καὶ μετακινούμενα ἐν ἑαυτῷ. Μηχανήσατο.] ἐτεκτήνατο καὶ κατεσκεύασεν. Ἀντίμιμον.] τουτέστιν, ὅμοιον καὶ μίμησιν τοῦ τροχοῦ ἡλίου. οὕτω γὰρ ὁ ὀφθαλμός ἐστι στρογγύλος εὔστροφος καὶ περιφερής, ὡς καὶ ὁ ἡλίου τροχὸς, καὶ οὕτω διαλάμπει, ἐπιφανής τ' ἐστὶν ὥσπερ καὶ ὁ ἥλιος. Χοάνης.] χοάνη καὶ χώνη, ἀπὸ τοῦ χεῖσθαι λέγεται. ἔστι δὲ τύπος εἰς ὃν μεταχεῖται τὸ χωνευόμενον καὶ κοίλωμα ἢ ὁ πήλινος τύπος. καὶ χοανεύειν χωνεύειν τε δηλοῖ καταχεῖν, εἰς χῶνον ἐμβάλλειν. ὅθεν χᾶνες οἱ χωνευταὶ λέγονται. καὶ χωνεῖον, τὸ χωνευτήριον. χωνίον δέ τι ἐργαλεῖον. Διετετρήνατο.] διετρυπήσατο, διανέωγε. τετραίνεσθαι γὰρ τρυπᾶν σημαίνει. λέγει γοῦν ὁ Εὐριπίδης, ὁ αἰθὴρ διετρυπήσατο τὰ ὦτα τῆς χοάνης ἐπὶ τῷ μηχανᾶσθαι, καὶ κατασκευάζειν τὴν ἀκοὴν, καὶ τὸν ὀφθαλμὸν ἐπὶ τῷ ὁρᾶν μιμητὴν τοῦ τροχοῦ ἡλίου κατεσκεύασεν.

BISETUS. Ὦ Ζεῦ χελιδών.] ἡ τοῦ δράματος ἔκθεσις ἐξ ἰαμβικῶν τριμέτρων ἀκαταλήκτων λέ. ὧν ὁ τελευταῖος,

Προθυμούμενος εἰσιέναι τῆς ποιήσεως.

Μνησίλοχος δὲ προλογίζει, καὶ δυσχεραίνων ἑαυτὸν ὑπ' Εὐριπίδου μάλα πρωῒ δεῦρο, κἀκεῖσε μάτην ἀγεσθαι, μετ' ἀγανακτήσεως ταῦτα προφέρει,

Ὦ Ζεῦ, χελιδὼν ἆρα πότε φανήσεται;
Ἀπολεῖ μ' ἀλοῶν ἄνθρωπος ἐξ ἑωθινοῦ.

οὕτω γὰρ μέτρου, καὶ τῆς ἐννοίας χάριν γραπτέον. σημειωτέον δὲ ἐν τῷ χελιδὼν τὸ ι ἐκτεινόμενον. ταῦτα δὲ Μνησίλοχος λέγει ὅτι αἱ χελιδόνες ἔαρος ἀρχομένου φαίνεσθαι εἰώθασι, καὶ πρωῒ τῆς ἡμέρας περὶ τὸ ὄρθρον ᾄδειν. πρὸς δὲ τούτοις ἔαρος ἀρχομένου, ὡς ἐν ταῖς Νεφέλαις δεδήλωται, τὰ Διονύσια, καὶ ἅμα αἱ κωμῳδίαι ἐγίνοντο. δι' αἰνίγματος δὲ βούλεται δηλοῦν, πότε τοίνυν ἔσται ἐμὲ περιάγων,

καταπονῶν, καὶ λυπῶν παύσεται; πότε τὸ ποθεινὸν ἔαρ ἐλεύσεται, καθ' ὃ αἱ χελιδόνες φαίνονται; πότε ταύτης τῆς λύπης ἀπαλλάξομαι; ἐκ τῶν ἑξῆς τοῦτο φανερόν. δεῦρο τείνει καὶ τὸ παροιμιακῶς λεγόμενον, μετὰ τὸν ὑετὸν ἡ αἰθρία εἶτα εὐδία ἥκει. τοῦτο δὲ λέγεται ὅταν μετὰ πολλὰς, καὶ μακρὰς, καὶ πολυχρονίους κακοπαθείας βελτίω πραγμάτων κατάστασιν, βελτίω τύχην προσδοκῶμεν. Ἀπολεῖ μ' ἀλοῶν.] εἴπερ ἡ γραφὴ καλῶς ἔχει, τὸ ἀλοᾶν νῦν οἱονεὶ ἀλοῶντα, τύπτοντα, ἤγουν καταπονοῦντα, πλανᾶν, δεῦρο, κἀκεῖσε μάτην περιάγειν σημαίνει. βέλτιον δ' ἴσως ἀλῶν. παρὰ τὴν ἄλην, τουτέστι τὴν πλάνην, ὅθεν τὸ ἀλῶ, τὸ πλανῶ, καὶ τὸ ἀλᾶσθαι, τὸ πλανᾶσθαι. ἀλλαχοῦ δὲ ἀλοᾶν, καὶ ἀλοιᾶν, τὸ τύπτειν, ὅθεν πατραλοίας, καὶ μητραλοίας, ὁ τὸν πατέρα καὶ τὴν μητέρα ἀλοῶν, εἴτε τύπτων. ἀλοᾶν δὲ δασυνόμενον δηλοῖ τὸν σῖτον, καὶ τοὺς πυροὺς ἐν τῇ ἅλῳ τύπτειν, καὶ ἐκκοκκίζειν. Ἐξ ἑωθινοῦ.] τὸ πλῆρες. ἐξ ἑωθινοῦ χρόνου. ἕως, ἡ ἠὼς, ὁ ὄρθρος. ἑωθινὸς, ὀρθρινὸς, ἢ ὄρθριος. Οἷόν τε] ὁ νοῦς οὗτος. ὦ Εὐριπίδη, οἷόν τέ ἐστιν, ἤγουν ἆρα δυνατόν ἐστιν ἐμοὶ παρὰ σοῦ πυθέσθαι ποῖ μ' ἄγεις πρὶν ἐμὲ τὸν σπλῆνα κομιδῇ ἐκβαλεῖν διὰ τὴν μου συνεχῆ πεῦσιν, καὶ ἐρωτήσεως ἐπίτασιν; τοσάκις ἤδη ἐπυθόμην μετὰ μεγάλης, καὶ συνεχοῦς βοῆς ποῖ μ' ἄγεις, ὥστε, εἰ μὴ θᾶττον τὸ ζητούμενον δηλοίης, διὰ τὸ τῆς βοῆς, καὶ πεύσεως συντόνου βίαιον ἐγὼ τὸν σπλῆνα κομιδῇ ἐκβαλῶ. τοῦτο δὲ καθ' ὑπερβολὴν εἴρηται. τὸ δὲ κομιδῇ ἐπίρρημα, ὃ σημαίνει λίαν, ἄγαν, πάνυ, σφόδρα, παντελῶς Εὐστάθιος, καὶ Σουίδας. Παραινεῖς] κακῶς πρότερον παραινοῖς ἐγράφετο. ἀλλὰ παραινεῖς γραπτέον, τουτέστι συμβουλεύεις. ὅθεν παραίνεσις, ἡ συμβουλὴ, καὶ λόγος παραινετικὸς, ὁ συμβουλευτικός. Διεκρίθη] διεχωρίσθη, διῃρέθη. Ἀντίμιμον.] παραπλήσιον, ὅμοιον, ἰσόμιμον. Ἀκοὴν δὲ χοάνης] εἴπερ ἡ γραφὴ καλῶς ἔχει, καθ' ὑπαλλαγὴν, γέλωτος χάριν, τοῦτο εἴρηται, ἀντὶ τῆς ἀκοῆς χοάνην. ταῦτα δὲ οὕτω σαφέστατα, διετετρήνατο τὰ ὦτα, χοάνην ἀκοῆς. τουτέστιν ὥσπερ τῆς ἀκοῆς χοάνην ἐσόμενα. ἀκοὴ δὲ τότε μὲν τὴν τοῦ ἀκούειν αἴσθησιν. ποτὲ δὲ, τὸ τοῦ ἀκούειν ὄργανον, δι' οὗ ἀκούομεν, εἰς ὃ ἡ φωνὴ πίπτει, τουτέστι τὸ οὖς σημαίνει. ἀλλαχοῦ δὲ τὴν φήμην, δι' ἧς τι ἀκούομεν. χοάνη δὲ, ἡ χώνη, ὁ τύπος, εἰς ὃν μεταχεῖται τὸ χωνευόμενον. Ἡσύχιος. καὶ χοανεύειν, τὸ χωνεύειν. τὰ δὲ χόανα, τὰ μέταλλα, παρὰ τὸ χεῖσθαι. Διετετρήνατο.] διατετραίνω, ἐκ τοῦ τορέω, ῶ, τὸ τρυπῶ, γίνεται τρῶ, κατὰ συγκοπὴν, ὅθεν τραίνω, ὡς ἀπὸ τοῦ ῥῶ, ῥαίνω, καὶ κατ' ἀναδιπλασιασμὸν τετραίνω, τετρανῶ, ἐτέτρανα κοινῶς, καὶ ἐτέτρηνα Ἀττικῶς, ὅθεν ὁ μέσος πρότερος ἀόριστος ἐτετρηνάμην, ω, ατο. καὶ μετὰ τῆς διὰ προθέσεως, διετετρήνατο.

Μν. Διὰ τὴν χοάνην οὖν μήτ' ἀκούω μήθ' ὁρῶ.	MN. Propter infusorium igitur neque audio, neque video.
Νὴ τὸν Δί' ἥδομαί γε τουτὶ προσμαθών,	Per Iouem lætor quidem hoc, cùm insuper didicerim,
Οἷόν τε ποῦ 'στιν αἱ σοφαὶ ξυνουσίαι.	Quale quidem est sapientes congressus.
Εὐ. Πόλλ' ἂν μάθοις τοιαῦτα παρ' ἐμοῦ. Μν. πῶς ἂν οὖν;	EV. Multa utique disceres talia à me. MN. quomodo utique igitur?
Εὐ. Πρὸς τοῖς ἀγαθοῖς τούτοισιν ἐξεύροιμ' ὅπως	EV. Ad bona hæc inuenirem, quomodo
Ἔτι προσμάθοι, μὴ χωλὸς εἶναι τὼ σκέλη.	Adhuc addisceres non claudus esse crure.
Βάδιζε δευρὶ καὶ πρόσεχε τὸν νοῦν. Μν. ἰδού.	Vade huc, & adhibe mentem. MN. Ecce.
Εὐ. Ὁρᾷς τὸ θύριον τοῦτο; Μν. νὴ τὸν Ἡρακλέα	EV. Vides ostiolum hoc? MN. per Herculem

BOURDINUS. Διὰ τὴν χοάνην.] λέγει δὴ ὁ Μνησίλοχος, ἐπεὶ οὗ ἥδεσθαι προσμαθὼν, ὅτι διὰ τὴν χοάνην οὔτ' ἀκούει, οὔθ' ὁρᾷ. καὶ ἔπειτα ἐπιφωνήματι χρῆται τούτῳ, οἷόν τί ποῦ ἐστιν αἱ σοφαὶ ξυνουσίαι, τουτέστιν, ὦ.

τὸν δὴ χρῆμά ἐστι τοῖς σοφοῖς καὶ νοῦν ἔχουσιν ἀνθρώποις ὁμιλεῖν συνεῖναί τε καὶ συγγίγνεσθαι, ἐς λόγους τ' ἐλθεῖν. ὑπ' αὐτῶν γὰρ ἀεὶ ἀγαθόν τι ἀεὶ προσμανθάνομεν καὶ διδασκόμεθα, καρπούμεθά τε τὴν σοφίαν αὐτῶν προσομιλήσαντες καὶ συνδιαγόμενοι ἐκείνοις. κάλλιστον δὲ τουτὶ ἐπιφώνημα. καὶ συνομολογεῖ πολλαῖς τῶν παλαιῶν φιλοσόφων γνώμαις, ὡς γάρ φησιν ὁ Θέογνις, Ἀγαθῶν δεῖ ἀεὶ ἔχεσθαι καὶ ἐκείνοις προσομιλεῖν, ἐσθλῶν μὲν γὰρ ἄπ' ἐσθλὰ ἀεὶ μανθανόμενοι καὶ οὕτω ἀπὸ σοφῶν σοφὰ πολλά. τοῦ γὰρ σοφοῦ στόματος ἀνοιχθέντος, ἔλεγεν ὁ Σωκράτης, καθάπερ ἱεροῦ τὰ τῆς ψυχῆς καταβλέπεται ἀγάλματα, ἅπερ φῶς δ' εἴσω παρέχει τοῖς παροῦσι καὶ θαυμαστὸν ἔρωτα τοῦ ὀρθοδοξεῖν καὶ ὀρθῶς ζῆν. Χωλὸς

A τὰ σκέλη.] ὅτι τοῦτο καταγελᾷ ὁ Ἀριστοφάνης Εὐριπίδου, ὡς ἀλαζονευομένου, καὶ ὑπὸ ἀλαζονείας μείζω τῆς δυνάμεως αὐτοῦ προσποιουμένου, ὥσπερ τῆς διορθοῦν τῆς φύσεως χωλὸν ἄνθρωπον.

Bisetus. Τυτθὶ προσμαθών.] ὅμοιον τὸ τοῦ Σόλωνος,

Αἰεὶ γηράσκω πολλὰ διδασκόμενος.

Οἷόν τε ποῦ.] τὸ χαριεντιστικώτερον. αἱ σοφαὶ ξυνουσίαι οἷόν τε πῦ ἐστι πρᾶγμα. μετὰ θαυμασμοῦ, μᾶλλον δὲ μετὰ B χλευασμοῦ, καὶ εἰρωνείας τοῦτο λέγεται. φεῦ τῆς μαθήσεως! φεῦ τῆς σοφίας! ὡς καλὸν πρᾶγμα αἱ μετὰ τῶν σοφῶν συνουσίαι, καὶ ἐντεύξεις! ὅτι γὰρ τῷ σοφῷ Εὐριπίδῃ συνίειμι, καὶ πρὸς αὐτὸν διαλέγομαι, νῦν ἔμαθον, ὃ πρότερον ἠγνόουν.

Οἶμαί γε. Εὐ. σίγα νῦν. Μν. σιωπῶ τὸ θύριον.
Εὐ. Ἄκουε. Μν. ἀκούσω καὶ σιωπῶ τὸ θύριον.
Εὐ. Ἐνταῦθ' Ἀγάθων ὁ κλεινὸς οἰκῶν τυγχάνει.
Ὁ τραγῳδοποιός. Μν. ποῖος οὗτος Ἀγάθων;
C Ἔστιν τίς Ἀγάθων; μῶν ὁ μέλας, ὁ καρτερός;
Εὐ. Οὐκ ἀλλ' ἕτερός τις, οὐχ ἑώρακας πώποτε;
Μν. Μῶν ὁ δασυπώγων; Εὐ. οὐχ ἑώρακας πώποτε;
Μν. Μὰ τὸν Δί' οὔτοι γ' ὥστε κἀμέ γ' εἰδέναι.
Εὐ. Καὶ μὴν βεβίνηκας σύ γ', ἀλλ' οὐκ οἶσθ' ἴσως.
D Ἀλλ' ἐκποδὼν πτήξωμεν, ὡς ἐξέρχεται
Θεράπων τις αὐτοῦ πῦρ ἔχων καὶ μυρρίνας.
Προθυσόμενος ἔοικε τῆς ποιήσεως.

Puto quidem. EV. Tace nunc. MN. Taceo ostiolum
EV. Audi. MN. Audiam, & taceo ostium.
EV. Hic Agatho inclytus habitans est,
Tragœdiarum poeta. MN. Qualis hic Agatho
Est, quisnam Agatho? nunquid niger, fortis?
EV. Non, sed alter quidam, non vidisti unquam?
MN. Nunquid barbatus. EV. Non vidisti unquam?
MN. Non per Iouem, non quidem ut & ego sciam.
EV. Verùm subagitasti tu quidem, sed nescis fortasse.
Sed è pedibus fugiamus, quoniam egreditur
Seruus quidam ipsius, ignem habens & virgas myrteas,
Præsacrificaturus videtur poesi.

Bourdinus. Οἰκῶν τυγχάνει.] τουτέστιν οἰκεῖ. Ἀγάθων.] οὗτος ἦν ὁ τραγικός, ὃς ἐκωμῳδεῖτο καὶ διεσύρετο ἐπὶ τῇ μαλακίᾳ καὶ θηλύτητι, ἐκλύσει τε ὑπερφυεῖ. τούτου δὲ μέμνηται ὁ Ἀριστοφάνης καὶ ἐν ἄλλαις E κωμῳδίαις. ἦν δὲ ἀγαθὸς τὸν τρόπον καὶ ποθεινὸς τοῖς φίλοις, καὶ τὴν τράπεζαν λαμπρός, καί φασί τινες τὸ τοῦ Πλάτωνος συμπόσιον ἐν ἑστιάσει αὐτοῦ γεγράφθαι, πολλῶν ἅμα φιλοσόφων παραχθέντων, κωμῳδοποιὸς δὲ ἦν Σωκράτους διδασκάλου. Μῶν ὁ μέλας ὁ καρτερός.] ἐν τούτῳ εἰρωνεύεται ὁ Ἀριστοφάνης, καὶ καταχλευάζει τοῦ Ἀγάθωνος, μέλανα καὶ καρτερὸν αὐτὸν ὀνομάζων, ὃς δὴ ἐπὶ θηλύτητι μάλιστα διεβάλλετο, ὥσπερ προείρηται. Δασυπώγων.] δασὺν πώγωνα ἔχων. Ὥστε καὶ μέγ' εἰδέναι.] ἡ γνώμη ἐστί, οὐχ ἑώρακα αὐτὸν ὥστε μεγίστην καὶ F προσεχεστάτην αὐτοῦ γνῶσιν ἔχειν, καὶ διὰ τοῦτο διαζητῶ, ποῖός ἐστιν τοῦ ἀκριβεστέραν αὐτοῦ διάγνωσιν ἔχειν, σὺ δ' ὦ Εὐριπίδη διαφθείρας ἐκεῖνον, οὐκ οἶσθ' ἴσως. Βεβίνηκας.] κατεπόρνευσας καὶ ἡταίρηκας. βινεῖν γὰρ τὸ συνουσιάζειν καὶ πορνεύειν δηλοῖ. τούτῳ δὲ ῥήματι καὶ ταύτῃ αἰσχρολογίᾳ ἐν τούτῳ χρῆται ὁ Ἀριστοφάνης, βουλόμενος τὸν Εὐριπίδην τῆς κιναιδείας κατηγορεῖν, καὶ ἔτι μᾶλλον ἐλέγχειν καὶ διαβάλλειν τὴν θηλύτητα μαλακίαν τε τοῦ Ἀγάθωνος. ὃς παρὰ πᾶσι ἐχλευάζετο ἐπὶ τῇ ἀνανδρείᾳ, ὥσπερ καὶ ἄλλοθί που φησὶ ἐπὶ τοῦ Κλεισθένους, ὃς ὁμοίως διεβάλλετο ἐπὶ τῇ ἐκλύσει, οὐκ ἔστιν ὅπως μὴ Κλεισθένην συνήσομεν. ὁ δὲ Ἀριστοφάνης βούλεται ὡς προείρηται καὶ διὰ τούτου ῥήματος κωμῳδεῖν αὐτὸν Εὐριπίδην, ὡς μισογύνου ὄντα, καὶ ἐπὶ τούτῳ τοῖς ἀνδράσιν αἰσχρῶς, καὶ ἑταιρι-

κῶς ὁμιλοῦντα καὶ συγγινόμενον. Ἐκποδὼν πτήξωμεν.] ἐκ τοῦ μέσου ὑποστειλώμεθα καὶ φύγωμεν. ἐξέρχεται γὰρ ὁ θεράπων. ἐκποδὼν δὲ τὸ πρὸς ὀλίγον χρόνον ὑποστέλλεσθαι δηλοῖ φεύγειν τε καὶ ἐξαλείφεσθαι ἐκ τοῦ μέσου. Πτήσσειν δὲ κυρίως σημαίνει τὸ φεύγειν καὶ φοβεῖσθαι καὶ κρύπτεσθαι διὰ δειλίαν, πίπτεσθαί τε διὰ φόβον. ῥῆμα δὲ τοῦτο μετηνέχθη ἀπὸ τῶν ὀρνίθων, αἳ δειφοβούμεναι ὡς τάχιστα φεύγουσι. καὶ παροιμία, πτήσσει Φρύνιχος, ἐπὶ τῶν δεδοικότων τι κακὸν καὶ πταχόντων. τοῦτο δὲ μετηνέχθη ἀπὸ τραγικοῦ Φρυνίχου, ὃν Ἀθηναῖοι χιλίαις ἐζημίωσαν ἅλωσιν Μιλησίων τραγῳδήσαντα, ὡς λέγει ὁ αὐτὸς Ἀριστοφάνης ἐν Σφηξί. Πῦρ ἔχων καὶ μυρρίνας.] μυρρίνη εἶδος φυτοῦ. ἐστεφανοῦντο δ' οἱ ἄρχοντες μυρρίνῃ, καὶ οἱ παῖδες ἐν τοῖς συμποσίοις, κλῶνα δάφνης ἢ μυρρίνης λαμβάνοντες ᾖδον. ὅθεν καὶ μυρρινῶν ἐλέγετο ὁ τῆς ἀρχῆς ἐπιθυμῶν, σύνηθές τι ἦν παρ' Ἀθηναίοις διδόναι τοῖς κατακειμένοις ἐκ διαδοχῆς κλάδον μυρρίνης ὑπὲρ τοῦ ἄρξασθαι τῆς ᾠδῆς ἀντὶ τοῦ βαρβίτου. διὰ τοῦτο οὐκ ἀκύρως ἔλεξεν τοῦτο ὁ Ἀριστοφάνης, μυρρίνας ἔχων, ἐπὶ τοῦ προθυομένου καὶ παρασκευαζομένου, ἐπὶ τὸ θύεσθαι. καὶ γὰρ παρασκευασμόν τινος θύματος προδηλοῦσι, καὶ προσημαίνουσι αἱ μυρρίναι, καὶ τὸ πῦρ. G Προθυσόμενος ἔοικε τῆς ποιήσεως.] τουτέστι, πρὸ τῆς ποιήσεως θυσόμενος, ὥστε εὐτυχῆ ἀρχὴν καὶ τελευτὴν γενέσθαι, καὶ μηδὲν ποιήσασθαι ἀθύτως, καὶ ἀκαλλιερήτως, ὥς φησιν Αἰσχίνης ἐν τῷ κατὰ Κτησιφῶντος.

Bisetus. Οὗτος ὡγάθων] τὸ πλῆρες, ὁ Ἀγάθων. μέτρου χάριν, καὶ τὸ ἄρθρον ὁ οὐ παρέλκει, ἀλλ' ὀξυ-

ἐξεπίτηδες προσέθηκεν ἵνα δηλοῖτο ὁ αὐτὸς, ἀφ᾽ οὗ ὁ λόγος ποιεῖται. καὶ ἐν ταῦθ᾽ ὁ ποιητὴς διὰ τῆσδε τῆς λέξεως, Ἀγάθων καὶ ἀγαθὸς, ἀγχιστικῶς παίζει, ὡς δι᾽ αἰνίγματος δηλῶν οὐδένα εἶναι ἀγαθόν. Μῶν ὁ μύλας, ὁ καρτερός.] ταῦτα παρὰ προσδοκίαν, ἢ κατ᾽ ἀντίφρασιν καὶ εἰρωνικῶς. ὁ γὰρ Ἀγάθων, ὥς φησι Σουΐδας, ἐπὶ μαλακίᾳ διεβέβλητο, καὶ εἰς θηλύτητα ἐκωμῳδεῖτο. Ὥστε κἀμέ γ᾽ εἰδέναι.] ἀντὶ τοῦ, ὅπερ καὶ ἐγὼ εἰδείην. ὅπερ καὶ ἐμοὶ γνώριμον εἴη. Ἐκποδὼν πτήξωμεν.] ἐκποδὼν φύγωA μεν. ἐκποδὼν γενέσθαι, φεύγειν, ἢ ἐξαλείφεσθαι, ἢ ἐκ τοῦ μέσου γενέσθαι. Σουΐδας. πτήσσειν δὲ, τὸ φεύγειν, καὶ φοβεῖσθαι κυρίως σημαίνει. πτήσσειν κατὰ τὸν Εὐστάθιον, τὸ μετὰ φόβου συστέλλεσθαι. ὁ δὲ νοῦς, ἐντεῦθεν φεύγωμεν, καὶ ἡμᾶς κρύπτωμεν, ἵνα μὴ ὁ θεράπων ἡμᾶς ὁρῴη. γραπτέον δ᾽ ἴσως ἐκποδὼν, ὀξυτόνως, ὡς καὶ τὸ ἐμποδὼν, ἢ διεζευγμένως ἐκ ποδῶν, ἐκτὸς ποδῶν. ἐμποδὼν, ἐκποδὼν, ἐπιρρήματα ἀλλήλοις ἀντικείμενα.

B

ΘΕΡΑΠΩΝ ΑΓΑΘΩΝΟΣ, Μνησίλοχος, Εὐριπίδης.

SERVVS AGATHONIS, Mnesilochus, Euripides.

BISETVS. Ὁ τοῦ Ἀγάθωνος θεράπων ἐκ τῆς οἰκίας προελθὼν τὸν δῆμον εὐφημεῖν, καὶ σιωπᾶν κελεύει. αὐτὸς δὲ τὸν ἑαυτοῦ δεσπότην λαμπροῖς ἐπαίνοις ἐπαίρει. ἀλλ᾽ ὁ Μνησίλοχος αὐτὸν λάθρα σκώπτει, καὶ χλευάζει. οἱ δὲ στίχοι μικτοὶ, καὶ διάφοροι λ᾽. ὧν ὁ τελευταῖος, Τυτὶ τὸ φῖος χοανεύεται.

Θε. Εὔφημος πᾶς ἔστω λεώς
Στόμα συγκλείσας. ἐπιδημεῖ γὰρ
Θίασος μουσῶν ἔνδον μελάθρων
Τῶν δεσποσύνων μελοποιῶν.
Ἐχέτω δὲ πνοὰς νήνεμος αἰθὴρ
Κῦμα δὲ πόντου μὴ κελαδείτω
Γλαυκόν.
Μν. Βομβάξ.
Εὐ. Σίγα, τί λέγεις.
Θε. Πτηνῶν τε γένη κατακοιμάσθω,
Θηρῶν τ᾽ ἀγρίων πόδες ὑλοδρόμων
Μὴ λυέσθων.
Μν. Βομβαλοβομβάξ.
Θε. Μέλλει γὰρ ὁ καλλιεπὴς Ἀγάθων
Πρόμος ἡμέτερος.

C SE. *Bene ominans totus sit populus*
Os claudens, inualescit enim
Tripudium Musarum intra atria
Herilia Musica.
Habeat autem flatus tranquillus æther,
Vnda autem maris ne resonet
Cærulea.
MN. *Bombax.*
EV. *Tace, quid dicis?*
D SER. *Volatilium que genera consopiantur,*
Ferarum que syluestrium pedes per syluas currētiū
Ne soluantur.
MN. *Bombalobombax.*
SER. *Futurus enim est pulchriloquus Agatho*
Primus noster.

BOVRDINVS. Εὔφημος πᾶς ἔστω λεώς.] τόδε ῥήματα ἐστὶ τοῦ προθύοντος καὶ ἱερόν τι διαπράξαντος καὶ καλλιερησαμένου, τουτέστιν εὐφημείτω, σιωπάτω, μὴ λαλείτω καὶ ἀκαιρολογείτω ὁ δῆμος. εὐφημεῖν γὰρ σημαίνει σιγᾶν καὶ σιωπᾶν δι᾽ εὐφημίας, καὶ ἡ ἡσυχία εὔφημος ἡ σιωπηλὴ λέγεται. λέγει δὲ ὁ θεράπων, σιγάτω ὁ πᾶς δῆμος τὸ στόμα συγκλείσας, ὥστε μὴ ἐπιλαλεῖν καὶ ἀκαιρολογεῖσθαι. Ἐπιδημεῖ.] τουτέστι, πάρεστι καὶ παρέρχεται. Θίασος.] χορὸς ἱερὸς μουσῶν. σημαίνει γὰρ τοῦτο τὸ ὄνομα τὴν τοῦ χοροῦ ἱεροῦ καὶ μὴ ἱεροῦ σύστασιν καὶ σύλλογον, καὶ τὸ ψιλὸν πλῆθος καὶ ἐσμὸν γυναικῶν ἢ ἀνδρῶν. καλεῖται δὲ ἀπὸ τῆς συνελεύσεως, καὶ γὰρ ἢ ἀπὸ τοῦ θέειν τουτέστι τρέχειν, ἢ ἀπὸ τοῦ ἐνθουσιᾶν μετάγεται τοῦτο τὸ ὄνομα. λέγεται δὲ καὶ περὶ παντὸς τοῦ πλήθους ἀθροιζομένου ἐπὶ τέλει καὶ τιμῇ θεοῦ, περὶ παντός τ᾽ ἄλλου ἀθροίσματος. ὅθεν καὶ θιασῶται ἐκαλοῦντο, οἱ χορευταὶ, καὶ οἱ μετέχοντες κοινωνοῦντές τε τῶν θιάσων, καὶ ὅλως πάντες ἐρανισταὶ, οἱ λαμπισταὶ, ὁμοσίτοι καὶ συνουσιασταί. καὶ θιασῶτες ἐλέγοντο οἱ οἶκοι, ἐν οἷς συνιδρύοντο οἱ θίασοι. Μελοποιῶν.] μελῳδητῶν. Νήνεμος.] ἡσυχὸς, ἄπνους. νηνεμία, γαλήνη καὶ ἡσυχία. νηνεμεῖσθαι, καθίστασθαι ἐκ ταραχῆς καὶ ἀτρεμεῖν. Ἐχέτω πνοάς.] τουτέστι, ἐπεχέτω καὶ ἀπερχέτω, κωλυέτω τε, ὥστε ἠρεμίαν ἄγειν. ἔχειν γὰρ ἀντὶ τοῦ ἐπέχειν τίθεται πολλάκις. Κῦμα μὴ κελαδείτω.] τουτέστι, κλυπτέτω. ἠχείτω τε, ὥστε δὴ πάντα εἶναι ἡσυχάζοντα. Βόμβαξ.] παρεμβολοειδές ἐστι τοῦτο ἐπίρρημα, καὶ σημαίνει διασυρμόν. βομβάζειν γὰρ δηλοῖ διασύρειν, τωθάζειν, σκώπτειν, καὶ χλευάζειν, λοιδορεῖν τε. Κατακοιμάσθω.] ἡσυχαζέτω, ἠρεμείτω. Ὑλοδρόμων.] δι᾽ ὕλης δραμόντων. Λυέσθων.] βαδιζέτων, τρεχέτων. ταῦτα πάντα ἡσυχίας σημαντικὰ προλέγει ὁ θεράπων, ὥστε μείζονα δὴ καὶ ὑπερβολικωτέραν ἀνασημαίνειν τὴν ἡσυχίαν. Βομβαλοβόμβαξ.] κέχρηται ὁ Ἀριστοφάνης ἐν τούτῳ τῷ ἐπιρρήματι ταύτῃ τῇ παρρησίᾳ, ἥπερ εἴωθε ἐν τῇ τῶν ῥημάτων, ὀνομάτων, καὶ ἐπιρρημάτων συνθέσει καὶ συμπλοκῇ χρῆσθαι. καὶ γὰρ βουλόμενος μᾶλλον ἐπιδεικνύναι τὸν τοῦ Μνησιλόχου διασυρμὸν καὶ τωθασμὸν, συνέπηξεν καὶ συνέπλεξεν οὕτως τουτὶ ἐπίρρημα βομβαλοβόμβαξ, ὅπερ οὐδὲν ἄλλο δηλοῖ ἢ βομβάξ, βομβάξ. ἀλλ᾽ εὐηχέστερόν ἐστι τοῦτο τὸ ἐπίρρημα βομβαλοβόμβαξ, ἢ λέγειν βομβάξ, βομβάξ, κατὰ διαφορὰν καὶ μὴ συνθετικῶς. Καλλιεπὴς Ἀγάθων.] ὁ καλῶς λέγων. καλλιέπεια, καλλιλεξία. Πρόμος.] τουτέστιν, ὁ προαγωνιστὴς καὶ πρόστατος καὶ προηγούμενος ἡμῶν καὶ πρόμαχος. καὶ παρὰ Ῥωμαίοις τὸ παλαιὸν οἱ πρόμαχοι προκόπτοντες ἐκαλοῦντο, ὡς λέγει ὁ Ἀθηναῖος.

BISETVS. Ἐπιδημεῖ.] ἔνεστι. θίασος δὲ κατὰ τὸν Σουΐδαν ὁ ἱερὸς χορός. καὶ θιασώτης ὁ χορευτής. ἀπὸ τοῦ θεῖν, ὅ ἐστι θύειν. ὁ δὲ χορὸς ἀπὸ τῆς συνελεύσεως. θέειν γὰρ τὸ τρέχειν. ἢ ἀπὸ τοῦ ἐνθουσιᾶν, ὅθεν θιασῶται κυρίως οἱ περὶ τὸν Διόνυσον. Ἁρποκρατίων δὲ ἐν τῷ τῶν δέκα ῥητόρων λεξικῷ οὕτω λέγει. θίασος παρὰ Δημοσθένει ἐν τῷ κατ᾽ Αἰσχίνου, καὶ Ξενοφῶντι ἐν τῷ Β. τῶν ἀπομνημονευμάτων. ἔστι τὸ ἀθροιζόμενον πλῆθος ἐπὶ τελετῇ, καὶ τιμῇ θεῶν. Ἴων δὲ

E F G

ἐν Ὀμφάλῃ, κοινοὺς ἐπὶ παντὸς ἀθροίσματος ἔταξε τοὔνομα. θιασῶται δὲ ἐκαλοῦντο οἱ τῶν θιάσων κοινωνοῦντες. Ἔνδον μελάθρων] μέλαθρον κυρίως λέγεται τὸ μέσον τῆς στέγης ξύλον, τὸ ὑπέρτονον καλούμενον. ἀπὸ τοῦ μελαίνεσθαι ὑπὸ τοῦ καπνοῦ. τινὲς δὲ τὸν ὄροφον. ἐκ δὲ τούτου καὶ ὅλος οἶκος μέλαθρον καλεῖται, ὡς καὶ ἀπὸ τῆς ἑστίας τῆς τοῦ πυρὸς τὸ ὅλον οἴκημα ἑστία ὀνομάζεται. Ἐχέτω.] κατεχέτω. τουτέστιν αἰθὴρ νήνεμος μενέτω, καὶ μηδεὶς ἄνεμος κατὰ τὸν ἀέρα πνεέτω. νήνεμος, ἀνέμους οὐκ ἔχων. νηνεμία, ἀνέμων ἡσυχία. κῦμα δὲ, ὕδατος ἀπὸ ῥομῆς βιαία λέγεται, καὶ τὸ ἔτι ὂν ἐν τῇ κοιλίᾳ, καὶ τὸ γεννώμενον κύημα. γλαυκὸν δὲ, λευκὸν, κυάνεον. Σ. Βομβάξ] ἐπίρρημα ποιητικῶς πλασθὲν, παρὰ τὸ βομβεῖν, τὸ ποιὸν ἦχον ἀποτελεῖν. κυρίως δὲ αἱ μέλισσαι βομβεῖν λέγονται. λέγεται καὶ ἡ βροντὴ βομβεῖν. ὡσαύτως καὶ τὸ βομβαλοβομβάξ. εἰσὶ δὲ λέξεις ὀνοματοπεποιημέναι πρὸς μίμημα τοιαύτης ἀπηχήσεως. Εὐστάθιος. Μνησίλοχος οὖν τὴν τοῦ θεράποντος ὀγκώδη ματαιολογίαν, καὶ μεγαλορρημοσύνην οὕτως οἱονεὶ θαυμάζων καταγελᾷ. Πράμος ἡμέτερος.] εἴπερ ἡ γραφὴ καλῶς ἔχει, τὸ πράμος ἀντὶ τοῦ πρόμος λέγεται. πρόμος δὲ κατὰ συγκοπὴν ἀπὸ τοῦ πρόμαχος. ἢ ἐκ τῆς πρὸ προθέσεως, καὶ τοῦ μῶ, τὸ προθυμοῦμαι σύγκειται ἡ λέξις, ἵν' ᾖ πρόμος, ὁ πρὸ τῶν ἄλλων προθυμούμενος. Εὐστάθιος. καὶ παρὰ τῷ Ἡσυχίῳ, πρόμος, πρόμαχος, προαγωνιστὴς, προηγούμενος.

Μν. Μῶν βινεῖσθαι;
Θε. Τίς ὁ φωνήσας.
Μν. Νήνεμος αἰθήρ.
Δρυόχους τιθέναι δράματος ἀρχάς.
Κάμπτει δὲ νέας ἁψῖδας ἐπῶν.
Τὰ δὲ τορνεύει. τὰ δὲ κολλομελεῖ.
Καὶ γνωμοτυπεῖ, κἀντονομάζει.
Καὶ κηροχυτεῖ, καὶ γογγυλίζει.
Καὶ χοανεύει.
Μν. Καὶ λαικάζει.
Θε. Τίς ἀγροιώτας πελάθει θριγκοῖς;
Μν. Ὃς ἕτοιμος σοῦ τοῦ τε ποιητοῦ
Τοῦ καλλιεποῦς τοῦ θριγκοῦ,
Γογγυλίσας, καὶ συστρέψας
Τουτὶ τὸ πέος, χοανεῦσαι.
Θε. Ἦπου νέος ὢν ἦσθ' ὑβριστὴς ὦ γέρον.
Εὐ. Ὦ δαιμόνιε τοῦτον μὲν ἔα χαίρειν, σὺ δὲ
Ἀγάθωνά μοι δεῦρ' ἐκκάλεσον πάσῃ τέχνῃ.
Θε. Μηδὲν ἱκέτευ'. αὐτὸς γὰρ ἔξεισιν τάχα.
Καὶ γὰρ μελοποιεῖν ἄρχεται. χειμῶνος οὖν

MN. Nunquid subagitari?
SER. Quis locutus?
MN. Quietus æther,
Clauos ponere fabulæ principia,
C *Flectit autem noua scuta verborum.*
Alia verò tornat.
Alia verò conglutinat membratim.
Et sententias format, & antonomasiis utitur.
Et ceram infundit, & rotundat in modum rapi,
Et infundit.
MN. Et fucat.
SER. Quis agrestis accedit ad atria?
MN. Qui promptus tibi & poetæ,
D *Pulchriloquo atrij*
Rotundans in modum rapi, & contorquens
Hoc veretrum infundere.
SER. Nunquid nouum certamen fuisti contumeliator ô senex?
EV. O bone, hunc quidem sine valere, tu verò
Agathonem mihi huc euoca omni arte.
SER. Nihil precare, ipse enim egredietur citò,
E *Etenim modulari incipit. hyeme enim*

BOVRDINVS. Μῶν βινεῖσθαι.] ὥσπερ καὶ πρότερον τούτῳ τῷ ῥήματι χρῆται, θέλων δάκνειν, καὶ ἐπιδείκνυσθαι τὴν θηλύτητα, ἔκλυσιν, καὶ ἀνανδρείαν τοῦ Ἀγάθωνος. Φωνήσας] τίς ἀνήχησεν καὶ ἀνεφώνησεν. Νήνεμος.] ἥσυχος. Δρυόχους τι. δρα. ἀρχάς.] γνώμη ἐστὶν ἤδη, μέλλει, φησὶν ὁ θεράπων, Ἀγάθων ὁ δεσπότης ἐμὸς τιθέναι ἀρχὰς δράματος δρυόχους, τουτέστι, συμπηγνύναι, προσηλοῦντι τὴν ἀρχὴν τοῦ δράματος. Δρυόχους γὰρ καλοῦμεν κυρίως, τὰ ὦτα τῶν σιδηρῶν πελεκέων, ἐς ἃς τὸ στελεὸν ἐνείρεται. καὶ πασσάλους, οἳ ἐντίθενται νηὶ ναυπηγουμένῃ. δρυόχους δὲ καὶ ὁ Πλάτων καλεῖ ἐν Τιμαίῳ, τὰ στηρίγματα τῆς ναυπηγουμένης νεώς. Στόλον δὲ (λέγει) ἐκ δρυόχων ναυπηγηθέντα καθ' ἕνα ἕκαστον, λαθεῖν ἀδύνατον. ἀκύρως δ' ἐνταῦθα καλεῖ τὰ προοίμια ὁ Ἀριστοφάνης καὶ καταχρηστικῶς. Κάμπτει δὲ νέας ἁψῖδας ἐπῶν.] τουτέστι συγκαμπίζει καὶ συνάπτει χαριέντως τινὰς λόγους, καὶ παρασκευάζει τινὰ συγκαμπισμὸν ῥημάτων, ὥσπερ ἄλλοτε λέγει ὁ Ἀριστοφάνης, ἄλλοι δ' ἀναγινώσκουσι ἁψῖδας τῶν ἐπῶν, ὅπερ σημαίνει τὰ κύκλα τῶν τροχῶν τὰς περιφερείας. γνησίως κάμπτειν ἁψῖδας ἐπῶν, σημαίνει ἂν συστρέφειν λέξεις καὶ περιστρόφως λαλεῖν. Τορνεύει.] στρογγύλα ἀπογλύφει ῥήματα. μετάγεται δὲ τοῦτο τὸ ῥῆμα ἀπὸ τῆς ἐργασίας τεκτονικοῦ, ὡς τὰ στρόγγυλα σχήματα περιγράφεται, ὅπερ δὴ καλεῖται τόρνος. ὅθεν καὶ τὸ τορνεῦσαι, περιγράψαι καὶ κυκλοῦσθαι σημαίνει, τορνεύειν δὲ καὶ κατασκευάζειν δηλοῖ. Κολλομελεῖ.] κατὰ μέλη συγκολλᾷ, καὶ συρράπτει, καὶ συνδεῖ, καὶ συναρμόττει. κόλλα δ' ἐστὶ νωτιαῖον δέρμα βοός, ὅθεν καὶ τοῦτο ῥῆμα μετάγεται κολλᾶν. Γνωμοτυπεῖ.] τυποῖ τὰς γνώμας, γνωμολογεῖ ἀκριβῶς. ὅθεν καὶ γνωμοτυπία, γνωμολογία ἀκριβής. Κἀντονομάζει.] ὀνόματα ἀντ' ὀνομάτων τίθεται. ὅθεν καὶ ἀντονομασία σχῆμά τι ῥητορικὸν, ὅταν ὀνόματα ἀντὶ ὀνομάτων τιθέμεθα. Κηροχυτεῖ.] τουτέστι, εὖ πλάττει. κηροῦ γὰρ οὐδὲν εὐπλαστότερον, οὐδὲ εὐμεταχειριστότερον. λέγεται δὲ τοῦτο ἐπὶ τῶν ῥᾳδίως τι ποιούντων καὶ εὐπλάστως. ὅτι κηροχυτοῦσι δηλονότι οὕτω ὀξέως καὶ ῥᾳδίως μεταχειρίζονται καὶ πλάττουσι, ἢ τὸ πρᾶγμα ποιηθὲν ἢ τὸ ῥῆμα λεχθὲν ὑπ' αὐτῶν. ὡς εἰ κηρὸν ἔχοιεν καὶ χέοιεν κηρόν, ὅ ἐστι πρᾶγμα πάντων ῥᾷστον. Γογγυλίζει.] συστρέφει. γογγύλος, στρογγύλος λέγεται, καὶ γογγυλεύματα, στρογγυλεύματα, ὥσπερ καὶ ἄλλοθί που φησὶν ὁ Ἀριστοφάνης, ὅτι αἱ γυναῖκες ἐν οἰκίᾳ δοκοῖεν τολύπας ποιοῦσι μάζας γογγύλας, τουτέστι στρογγύλας. Χοανεύει.] καταχεῖ, εἰς χῶνον ἐμβάλλει. Χῶνος, τὸ χωνεῖον λέγεται. καὶ χῶνες, οἱ χωνευταί. Λαικάζει.] ἐξαπατᾷ. Λαικαστὴς ὁ πόρνος λέγεται. καὶ λαικάστρια, ἡ πόρνη. σημαίνει δὲ τοῦτο τὸ ῥῆμα φενακίζειν, ὅτι αἱ πόρναι εἰώθασι χρῆσθαι τοιούτοις τισὶ φενακισμοῖς καὶ παρακρούουσι

πρὸς

πρὸς τὸ ἐξαπατᾷν καὶ παρακρούεσθαι ἄνδρας. αἵπερ δὴ πορναὶ, λαικαστρίαι ὀνομάζονται. Θριγκοῖς πελάθει] τῇ οἰκίᾳ καὶ τῷ προθύρῳ ἐκείνης. Θριγκὸς δὲ σημαίνει πολλὰ, δηλοῖ γὰρ τὸ περίφραγμα τοῦ οἴκου καὶ περίβολον μικροῦ τείχους τῶν τε οἰκιῶν τὸ ἀνώτατον. Τουτὶ τὸ νέος.] τουτὶ τὸ αἰδοῖον κυλίσας, καὶ συστραφείς. ταῦτα ῥήματα τοῦ Μνησιλόχου μέχρι τούτων ἰσῶν. Ηπου] ἅπερ λέγει ὁ θεράπων μέχρι τούτων (ὦ δαιμόνιε.) Νέος ἄγαν ἦσθ' ὑβριστὴς ὦ γέρων.] σὺ δή που ὦ γέρων ὑβρίζεις καὶ αἰσχρολογεῖς, καὶ διὰ τὴν ὕβριν αἰσχρολογίαν τε νέον ἀγαθὰ ῥυπίζεις καὶ ἀντιρυθμίζεις. Τοῦτον μὲν ἔα χαίρειν.] ἔασον δὴ τοῦτον, καὶ κέλευε πολλ' ἐρρῶσθαι.

Bisetus. Δρυόχους) δρύοχοι, ὥς φησιν Εὐστάθιος, κυρίως λέγονται πάσσαλοι, ἐφ' ὧν στοιχηδὸν διατιθεμένων ἡ τρόπις ἵσταται τῶν χειρουργουμένων πλοίων διὰ ἰθύτητα. καὶ ἄλλως δὲ εἰπεῖν, δρύοχοι, πάσσαλοι ἐκ δρυὸς, ὅ ἐστιν ἁπλῶς ξύλου, καθιστῶντες τὴν τρόπιν ἐν τῷ πήγνυσθαι αὐτὴν συνέχειν. Σουίδας δὲ τούτων τῶν Αριστοφανείων στίχων μνημονεύων οὕτω λέγει, δρύοχοι, πάσσαλοι, οἱ ἐντιθέμενοι ναυπηγουμένης νεώς. καταχρηστικῶς δὲ τὰ προοίμια. Αψῖδας ἐπῶν.] ἀψῖδες κατὰ τὸν Ησύχιον τὰ κύκλα τῶν τροχῶν, αἱ περιφέρειαι, ἢ καμάραι. κατὰ δὲ τὸν Εὐστάθιον ἀψῖδες λέγονται αἱ δικτύου καμπαὶ, καὶ ἀγκάλαι. καὶ οὕτω καλεῖται ὁ ξύλινος τροχοῦ κύκλος. νῦν δὲ μεταφορικῶς τὰς ἀψῖδας ἐπῶν λέγει τὰς τῶν λόγων σκολιὰς, καὶ στρογγυλιαίδεις συμπλοκάς. οὕτω διὰ τὴν Αγάθωνος περὶ τοὺς λόγους σκολιότητα, καὶ βαρβαρισμὸν αἰνιγματικῶς δηλοῖ. Κολλομελεῖ] μέλη καὶ ᾠδὰς κολλᾷ, συρράπτει, συνάπτει. γνωμοτυπεῖ, γνώμας τυποῖ, χαρακτηρίζει, ἀντονομάζει, ὀνόματα ἀντὶ ὀνομάτων λέγει. Κηροχυτεῖ.) κηρὸν διατήκει κυρίως. νῦν δὲ μεταφορικῶς λεπτίον ἀντὶ τοῦ, μαλακὰ ὥσπερ τὰ τοῦ κηροπλάστου ἔργα ποιεῖ. γογγυλίζει δὲ, μεταστρέφει, ἢ ὡς μάζας γογγύλας ἤγουν στρογγύλας ποιεῖ, καὶ χωνευτοποιεῖ. Λαικάζει] πορνεύει. παρὰ τὸ λα ἐπιτατικὸν, καὶ τὸ κάζειν, τὸ κοσμεῖν ὅθεν λαικάστρια, ἡ πόρνη. Πελάθει θριγκοῖς] πελάζει, πλησιάζει, ἐγγίζει. θριγκὸς δὲ, τὸ περίφραγμα τοῦ οἴκου. στεφάνη. μικρὸν τειχίον. περίβολος. ἢ τῶν οἰκιῶν τὸ ἀνώτατον. ἡ μεταφορὰ ἀπὸ τῶν ἀνθρώπων, ὅτι τὰ ἀνώτατα αὐτῶν σώματα θριξὶ περιπέφρακται. Σ. καὶ θριγκὸς κατὰ τὸν Εὐστάθιον. φραγμὸς, ὁ περίβολος ὑπερκείμενος. καὶ τειχῶν δὲ τὴν κοσμεῖν. παρὰ τὴν τεῖχος γίνεται. Τοῦ θριγκοῦ] τινὲς ὡς ἀπιθάνως χαπτίον οἴονται, τοῦ τραγικοῦ, τοῦτο τεκμαιρόμενοι ἐκ τῶν δὲ τῶν προειρημένων, τοῦτε ποιητοῦ, τοῦ καλλιεποῦς, εἶτα ἐπιφέροντες, τοῦ τραγικοῦ. ἀλλὰ τῆς γραφῆς καλῶς ἐχούσης οὗτος ὁ νοῦς ἐστι. Μνησίλοχος παίζων πρὸς τὰ ὑπὸ τοῦ θεράποντος εἰρημένα,

τίς ἀχειρώτας πελάθει θριγκοῖς;

τὴν αὐτὴν λέξιν εἰς Αγάθωνα καταφρονητικῶς ἐπιστρέφει, καὶ ὡς ἐξυλάζων τὴν αὐτοῦ σημασίαν, σκωπτικῶς μόνον οὕτω παρῳδεῖ. Ηπου νέος.] στίχοι ἰαμβικοὶ τρίμετροι ἀκατάληκτοι λή. ὧν ὁ τελευταῖος. Μύρμηκες ἀτραπούς, ἢ τί διαμινυρίζεται. τούτου δὲ τοῦ στίχου ὁ νοῦς οὗτος, ὦ γέρον, τῷ ὄντι δηλοῖς ὅτι νέος ὢν, ἄγαν ἦσθα ὑβριστὴς. τουτέστι λοίδορος· κακήγορος, λωβητὴρ, ἢ μοιχευτὴς, διαφθορεὺς, διακορευτής, τὸ δὲ νέον τῷ γέροντι καλῶς ἀντιτίθησι καὶ τὸ γέρον νῦν ἐπὶ λοιδορίας λαμβάνεται.

Οντα καταχάμπτειν τὰς στροφὰς οὐ ῥάδιον
Ην μὴ προίῃ θύραζε πρὸς τὸν ἥλιον.
Μν. Τί οὖν ἐγὼ δρῶ; Ευ. περίμεν' ὡς ἐξέρχεται.
Μν. Ω Ζεῦ τί δρᾶσαι διανοεῖ με τήμερον;
Νὴ τοὺς θεοὺς ἐγὼ πυθέσθαι βούλομαι.
Τί τὸ πρᾶγμα τουτί; τί στένεις; τί δυσφορεῖς;
Οὐ χρῆν σε κρύπτειν, ὄντα κηδεστὴν ἐμόν.
Ευ. Εστι κακόν μοι μέγα τι προπεφυραμένον.
Μν. Ποῖόν τι. Ευ. τῇδε θ' ἡμέρᾳ κριθήσεται,

Existente flectere conuersiones non facile,
Nisi processerit foras ad solem.
MN. Quid igitur ego faciam? EV. Expecta, quoniam egreditur.
MN. O Iupiter, quo afficere cogitas me hodie?
EV. Per Deos ego audire volo
Quidnam res hæc. quid gemis, quid ægre fers?
Non ne oportebat te celare existentem socerum meum.
MN. Est malum mihi magnum quoddam præparatum.
EV. Qualenam? MN. *hac die indicabitur,*

Bourdinus. Καταχάμπτειν, τὰς στροφὰς οὐ ῥάδιον.] αἱ στροφαὶ λέγονται, αἱ ἀντίστροφαι καὶ ἀντιλογίαι κατὰ διαιρέσεις τῶν μελῶν. χαλεπὸν δὲ, φησὶν, ἐστὶ κάμπτειν χειμῶνος ὄντος τὰς στροφὰς, διὰ τὸ φρικῶδες τραχὺ καὶ ῥιγῶδες τοῦ χειμῶνος ψυχροῦ. καὶ γὰρ τὰ θερμὰ ῥᾷον κάμπτονται, καὶ μεταστρέφονται, μετασχηματίζονται τε διὰ θερμότητα μαλακυνθέντα, ἢ τὰ ψυχρὰ διὰ τὴν ψυχρότητα σκληραίνεσθαι, καὶ δυσμετάστρεπτον εἶναι. Προίῃ θύρασι πρὸς τὸν ἥλιον.] τοῦ προιέναι μαλακύνειν καὶ διαθερμαίνειν ἕνεκα. Δυσφορεῖς.] βαρύνεις. χαλεπαίνεις, καὶ πικρῶς ἔχεις. Κηδεστὴν ἐμόν] κηδεσταὶ, πενθεροὶ λέγονται, οἱ τῆς νύμφης γονεῖς, καὶ οἱ οἰκεῖοι συγγενεῖς τε τῶν γαμούντων. Προπεφυραμένον.) προπαρασκευασθὲν, διαμεμιγμένον, καὶ συγκερασθέν. Φύρειν γὰρ μολύνειν δηλοῖ. ἐμβρέχειν τι. ἐνταῦθα δὲ καταχρηστικῶς δηλοῖ προφυρᾶν, προκατασκευάζειν, συγχεῖν. Κριθήσεται] κρίσις γενήσεται καὶ δικασθήσεται.

Bis. Κηδεστὴν ἐμόν] κῆδος ἡ ἐπιγαμία κατὰ Θουκυδίδην καὶ κηδεία κατὰ Δημοσθένην καὶ κηδεύματα κατὰ Πλάτωνα. ὅθεν κηδεσταὶ, οἱ τὸ κῆδος συνάψαντες, καὶ πενθεροὶ κατὰ τοὺς ποιητάς. καὶ προσκηδεῖς καθ' Ηρόδοτον. ταῦτα ὁ Πολυδεύκης ἐν τῷ γ'. Σουίδας δὲ τούτου τοῦ στίχου μνημονεύων κηδεστὴς, φησιν, ὁ κατ' ἐπιγαμβρίαν οἰκεῖος. ἢ πενθερός. οὐ μόνον δὲ ὁ διδοὺς, ἀλλὰ καὶ ὁ λαμβάνων. Αλλως κηδεσταὶ λέγονται, ὅ, τε πατὴρ τῆς γαμουμένης, καὶ αὐτὸς ὁ γαμβρός. κῆδος γάρ ἐστιν ἡ κατ' ἐπιγαμίαν συγγένεια. οἱ οὖν ἐκ προνοίας, καὶ κηδεμονίας συνιστάμενοι. γίνεται δὲ παρὰ τὸ κήδω, τὸ φροντίζω. ἐτυμολογικὸν μέγα. καταχρηστικῶς, οἱ συγγενεῖς. Ην μὴ προίῃ] οὗτος ὁ στίχος οὕτω χωλὸς,

Ην μὴ προίῃ θύραζε πρὸς τὸν ἥλιον.

Προπεφυραμένον.] φυρᾶν, ζυμοῦν. ὅθεν φύραμα, τὰ ζυμούμενα ἄλφιτα. τὸ δὲ παρὰ τὸ φύρειν, τὸ ἐμβρέχειν, πλύνειν, μολύνειν ἐστὶν ὅτι κατὰ Σουίδαν σημαίνει. τὸ δὲ σύνθετον προφυρᾶν, ὁ μεταφορικῶς δηλοῖ τὸ προπαρασκευάζειν, καὶ προμηχανᾶσθαί τι κατά τινος. προπεφυραμένον οὖν, προπαρεσκευασμένον.

Εἴτ' ἔστ' ἔτι ζῶν, εἴτ' ἀπόλωλ' Εὐριπίδης.
Μν. Καὶ πῶς; ἐπεὶ νῦν γ' οὔτε τὰ δικαστήρια
Μέλλει δικάζειν, οὔτε βουλῆς ἔσθ' ἕδρα,
Ἐπεὶ τρίτη 'στὶ Θεσμοφορίων ἡ μέση.
Ευ. Τοῦτ' αὐτὸ γάρ τοι κἀπολεῖν με προσδοκῶ.
Αἱ γὰρ γυναῖκες ἐπιβεβουλεύκασί μοι,
Κἀν Θεσμοφορείοιν μέλλουσι περὶ μοῦ τήμερον
Ἐκκλησιάζειν ἐπ' ὀλέθρῳ. Μν. τιὴ τί δή;
Ευ. Ὁτιὴ τραγῳδῶ καὶ κακῶς αὐτὰς λέγω.
Μν. Νὴ τὸν Ποσειδῶ καὶ δίκαι' ἂν πάθοις.
Ἀτὰρ τίν' ἐκ ταύτης σὺ μηχανὴν ἔχεις.
Ευ. Ἀγάθωνα πεῖσαι τὸν τραγῳδοδιδάσκαλον
Ἐς Θεσμοφορεῖ' ἐλθεῖν. Μν. τί δράσοντ'; εἰπέ μοι.
Ευ. Ἐκκλησιάσοντ' ἐν ταῖς γυναιξὶν, κἂν δέῃ
Λέξονθ' ὑπὲρ ἐμοῦ. Μν. πότερα φανερὸν ἢ λάθρα;
Ευ. Λάθρα, στολὴν γυναικὸς ἠμφιεσμένον.
Μν. Τὸ πρᾶγμα κομψὸν, καὶ σφόδρ' ἐκ τοῦ σοῦ τρόπου.
Τοῦ γὰρ τεχνάζειν, ἡμέτερος ὁ πυραμοῦς.
Ευ. Σίγα. Μν. τί δ' ἐστίν. Ευ. Ἀγάθων ἐξέρχεται.

A Sine est adhuc viuens, siue perijt Euripides.
Ev. Et quomodo: quoniam nunc quidem neque iudicia
Indicatura sunt, neque senatus erit sedes,
Quoniam tertia est dies Cerealium media.
MN. Hoc ipsum enim,
Et perire me expecto.
Mulieres enim insidiatæ sunt mihi,
B Et in sacris Cereris futura sunt hodie
Concionari de cade mea. Ev. qua de causa vero?
MN. Quoniam Tragœdias facio, & male ipsis dico.
Ev. Per Neptunum vel iusta patereris.
Sed quámnam ex hac die tu machinationem habes?
MN. Agathonem persuadere Tragicum poetam
Ad sacra Cereris ire. Ev. Quid facturum? dic mihi.
C MN. Concionaturum inter mulieres. & si opus fuerit
Dicturum pro me. Ev. Vtrum manifestò, an clàm?
MN. Clàm veste mulieris indutum:
Res venusta & valde ex tuis moribus.
Machinandi enim nostra est placenta.
D Ev. Tace. MN. Quid vero est? Ev. Agatho egreditur.

BOVRDINVS. Καὶ πῶς] λέγει ὁ Εὐριπίδης πῶς οἷόν τέ ἐστι ταύτην τὴν κρίσιν, τῇδε τῇ ἡμέρᾳ γενέσθαι περὶ Εὐριπίδου. καὶ γὰρ διὰ τοῦ κρίνεσθαι ἢ ἐν τοῖς δικαστηρίοις, ἢ ἐν τῇ βουλῇ, ἀλλὰ τήμερον οὔτε τὰ δικαστήρια δικάζει, οὔθ' ἡ βουλὴ ἐπὶ τῷ βουλεύεσθαι περὶ πραγμάτων τῆς πόλεως, καὶ περὶ τῶν ἁμαρτημάτων δοκιμασίαν ἢ ἐξέτασιν ποιεῖσθαι. ὅτι σήμερον τρίτη ἐστὶ Θεσμοφορίων ἡ μέση, ἐν ᾗ ἡμέρᾳ παρὰ τοῖς Ἀθηναίοις οὐδὲ δικαστήρια ἐδίκαζον, οὔτε συνεκαλεῖτο βουλὴ, ἀλλὰ σχολὴ ἦγον. Βουλῆς ἕδρα] ἵζεται, καὶ συγκαλεῖται τήμερον ἡ βουλή. Ἐκκλησιάζειν] ἐκκλησίαν συνάγειν, καὶ βουλεύεσθαι ἐπὶ τῷ ὀλέθρῳ, ἐπὶ τῷ ἀπολωλέναι με. Τιὴ τί δή] διὰ τί δή. Τραγῳδῶ] ἐν ταῖς τραγῳδίαις λοιδορῶ, καὶ διασκώπτω, καταγελῶ αὐτῶν. ταῦτα δὴ συναρμόττει τῷ Εὐριπίδῃ, ὅστις ἐπὶ κακολογίαις τῶν γυναικῶν ἐν ταῖς τραγῳδίαις πολὺς ἦν. Μηχανὴν ἔχεις] τί δὴ μηχανᾷ, τί διανοεῖ καὶ λογίζει πρὸς τοῦτο. Τραγῳδοδιδάσκαλον] διδάσκοντα τὰς τραγῳδίας, παρὰ γὰρ τοῖς παλαιοῖς διδάσκαλος ἐκαλεῖτο πᾶς ὁ ἐνεργῶν τι περὶ τὴν δραματοποιΐαν καὶ τὸν κυκλίων χορὸν παρασκευήν. Λέξοντα] ἀπολογησόμενον ὑπὲρ ἐμοῦ. Στολὴν γυναικός.] ἐσθῆτα ἐνδυθέντα. Πρᾶγμα κομψὸν] εὔσχημον καὶ πανούργως ἐπιχαρίως τι συντεταγμένον. Πυραμοῦς.] εἶδος πλακοῦντος ἐκ μέλιτος ἑφθοῦ καὶ πυροῦ πεφρυγμένου, ὃν εἰώθασι τιθέναι ἆθλον τοῖς διαγρυπνοῦσιν ἐν τοῖς συμποσίοις, καὶ διαγρυπνήσας μέχρι τῆς ἕω, πυραμοῦντ' ἐλάμβανεν. ἐνταῦθα δὲ λέγει μεταφορικῶς πλακοῦντα τὸ τεχνάζειν τὸ διαφέροντα, βραβεύοντα, καὶ ἀρχηγὸν τὰς τεχνὰς ποιεῖσθαι. Πανουργεύεσθαι, ἀπατηλόν τε τι μηχανᾶσθαι καὶ κατασκευάζειν.

BISETVS. Ἐπεὶ τρίτη 'στὶ, Θεσμοφορίων ἡ μέση.] ἐκ τούτων τινὲς ἀξιοπίστως τεκμαίρονται τὴν τῶν Θεσμοφορίων ἑορτὴν πέντε ἡμερῶν γενέσθαι, εἴπερ ἡ τρίτη ἦν μέση. Ἡσύχιος μέντοι τούτου μνημονεύων ταῦτα λέγει. ζητεῖται πῶς ἅμα μὲν λέγει τρίτην Θεσμοφορίων εἶναι, ἅμα δὲ μέσην, τεττάρων οὐσῶν ἡμερῶν. Τοῦτ' αὐτό.] ταῦτα οὕτω σύντασσον. προσδοκῶ γάρ τοι καὶ τοῦτ' αὐτὸ ἀπολεῖν, τουτέστιν ἀπολέσειν ἐμέ. Κἀν Θεσμοφόροιν.] τὸ πλῆρες, κἀν ἱερῷ Θεσμοφόροιν. ταῦτα δὲ μετωνυμικῶς ληπτέον δοκεῖ, ἀντὶ τοῦ ἐν τοῖς Θεσμοφορίοις, τουτέστιν ἐν τῇ ἑορτῇ τῶν Θεσμοφορίων τῶν τελουμένων εἰς τὴν τιμὴν τῆς Δήμητρος, καὶ τῆς Κόρης, ἤγουν τῆς Περσεφόνης. Θεσμοφόρους δὲ αὐτὰς καλεῖ, ὅτι ἡ Δημήτηρ πρώτη τοῖς ἀνθρώποις θεσμοὺς, εἴτε νόμους εἰσηγεῖσθαι πιστεύεται. ὁ δὲ τῆς μητρὸς τιμὴν, τοῦτο κατά τινα κοινωνίαν τιμῆς τῆς ἀμφοῖν κοινῆς καὶ τῇ τῆς Δήμητρος θυγατρὶ προσάπτεται. πιθανὸν δὲ καὶ τροπικῶς αὐτὸ τὸν τόπον νοεῖσθαι, εἰς ὃν αἱ γυναῖκες Θεσμοφόρια τελοῦσαι συνῆλθον. καὶ τοῦτο δῆλον ἐξ ὧν ἐν ταῖς Ἐκκλησιαζούσαις περὶ γυναικῶν λέγεται,

κᾆτ' ἀπορρῆτ' ἔφη

Ἐκ Θεσμοφορίοιν ἑκάστοτ' αὐτὰς ἐκφέρειν.

Τραγῳδῶ.] ἐν ταῖς μου τραγῳδίαις αὐτὰς κακῶς λέγω. φανερὸν δὲ, φανερῶς. Ἡμέτερος ὁ πυραμοῦς.] πυραμοῦς, εἶδος πλακοῦντος ἐκ μέλιτος ἑφθοῦ, καὶ πυροῦ πεφρυγμένου εἰς σησαμοῦς ὁ διὰ σησάμου. ταῦτα δὲ ἐτίθεσαν ἆθλα τοῖς διαγρυπνηταῖς ἐν τοῖς συμποσίοις. καὶ ὁ διαγρυπνήσας μέχρι τῆς ἕω ταῦτα ἐλάμβανεν ἔπαθλον. Σ. τινὲς δὲ καὶ ἐν τοῖς Θεσμοφορίοις τὸν πυραμοῦντα τὸν διαγρυπνησάσαις γυναιξὶν ἔπαθλον δίδοσθαι λέγουσιν. ὁ γ' οὖν τούτων τοὺς στίχους, φησιν Εὐριπίδης, τοῦ τεχνάζειν, καὶ καινοτομεῖν ἀεί τι καλῶς, ἀπαρτίον εἶναι ἐμπειρότατος. τουτέστι ἐμὲ δεῖν τὸν πυραμοῦντα τὸν νίκης ἔπαθλον λαμβάνειν. διὰ τὴν τῆς ἐμῆς καλῆς καινοτομίας,

καὶ τεχνασμάτων ἱματισμὸν ὁ τυραννεὺς ἐστὶν ἐμὸς, καὶ τὸ τῆς νίκης ἔπαθλον ὠφείλετο, καὶ μετὰ ταῦτα δὲ Εὐελπίδης αὐτὸς περὶ αὐτοῦ σεμνολογεῖ. ὁ πανοῦργος ὑπὸ τοῦ Ἀρι-

A στοφάνους αὐτοῦ σκώπτεται, καὶ κωμῳδεῖται ἐθέλοντος ὑπέρτε-δες ποιεῖν. Ἀγάθων ἐξέρχεται] μίτρα χαλεπαίνει γε-στίον ὦ Ἀγάθων, ἀντὶ τοῦ ὁ Ἀγάθων.

Μν. Καὶ ποῖός ἐστιν οὗτος; Εὐ. ὁ ὑκκυκλούμενος.
Μν. Ἀλλ' ἦ τυφλὸς μέν εἰμι. ἐγὼ γὰρ οὐχ ὁρῶ.
Ἄνδρ' οὐδέν' ἐνθάδ' ὄντα. Κυρήνην δ' ὁρῶ.
Εὐ. Σίγα. μελῳδεῖν αὖ παρασκευάζεται.
Μν. Μύρμηκος ἀτραπούς, ἢ τί διαμινυρίζεται.

MN. Et quisnam est iste? EV. Ille euolutus.
MN. Sed profecto cacus quidem sum: ego enim non video
Virum nullum hic existentem, Cyrenem autem
B *video.*
EV. Tace, modulari utique paratur.
MN. Formica vias aut quid cantillat.

BOVRDINVS. Οὐκκυκλούμενος.] ὁρῶν. κύκλοι γὰρ καὶ ὀφθαλμοὶ λέγονται, καὶ διὰ τοῦ κυκλοῦσθαι δηλοῖ διασκοπεῖν τῇ περιφορᾷ καὶ περιστροφῇ τῶν ὀφθαλμῶν. οὐχ ὁρᾷς φησὶν ὁ Εὐελπίδης, ὦ Μνησίλοχε. Κυρήνην δ' ὁρῶ.] ὁ Ἀριστοφάνης εὐφυῶς ἐν διαβολῇ ἀνανδρίας, μαλακίας καὶ ἐκλύσεως τοῦ Ἀγάθωνος. λέγει γὰρ ὁ Μνησίλοχος οὐδένα ἄνδρα ἐνταῦθα ὁρῶ, περὶ τοῦ Ἀγάθωνος λαλῶν. ἀλλὰ τὴν γυναῖκα. Κυρήνη γὰρ πόρνη τις οὕτως ἐκαλεῖτο δωδεκαμήχανος, διὰ τὸ ταῦτα σχήματ' ἀφροδισίων ποιεῖν. Μελῳδεῖν.] μέλη ᾄδειν. Ἀτραπούς.] τὰς ὁδούς. Μύρμηκος διαμινυρίζεται.] ἐπιλέγεται ἀεὶ δεικνύων τὴν μαλακίαν τοῦ Ἀγάθωνος, καὶ τοῦτο τῷ ῥήματι τῷ μινυρίζεσθαι. μινυρίζειν γὰρ σημαίνει θρηνεῖν, τὸ ἠρέμ' ᾄδειν, παρὰ τὸ μεῖον ὀλίγῃ φωνῇ καὶ κατεστραμμένῃ χρῆσθαι. ὡς καὶ Πλάτων χρῆται τούτῳ τῷ ῥήματι ἐν τῷ γ'. τῆς πολιτείας. μινυρίζων τε δὲ διαγεγανωμένος ὑπὸ τῆς ᾠδῆς. καὶ γὰρ μινύρεσθαι σημαίνει κλαίειν, θρηνεῖν, καὶ ὀδύρεσθαι.

BIS. Οὐκκυκλούμενος.] τὸ πλῆρες. ὁ ἐκκυκλούμενος. ἔκκυκλον, ἢ ἔγκυκλον, γυναικεῖον ἦν ποτε φόρημα. Παυσανίας δέ φησιν ὅτι ἔγκυκλον περιπόρφυρον ἱμάτιον, καὶ χιτὼν γυναικεῖος, ὃν ἔνδοθεν ἐνδύονται γυναῖκες, εἶτα τὸ ἔνδυμα. ὑπ' ἐνίων δὲ λέγεται ἐπιγονατίς, διότι μέχρι τῶν γονάτων διήκει. ὅθεν τὸ ῥῆμα ἐγκυκλοῦν,
C ἢ ἐκκυκλεῖν τοιοῦτον, τὸ τοιοῦτον ἱμάτιον. φέρειν τὴν γυναικῶν δίκην. οὕτω δὲ ὁ ποιητὴς τὸν Ἀγάθωνα σκώπτει ὡς μαλακὸν καὶ θηλυειδῆ. δῆλον δὲ ἐκ τῆς λέξεως ὅταν Κυρήνην αὐτὸν καλεῖ. Κυρήνη δέ, πόρνη ἐπίσημος δωδεκαμήχανος ἐπικαλουμένη διὰ τὸ ταῦτα σχήματα ἐν τῇ συνουσίᾳ ποιεῖν. Μύρμηκος ἀτραπούς.] περὶ Ἀγάθωνός φησι τοῦ ποιητοῦ ὡς λεπτὰ, καὶ ἀσκύλα ἀναπεμπομένου μέλη. τοιαῦται γὰρ αἱ τῶν μυρμήκων ὁδοί. ὁ δὲ Ἀγάθων κατὰ τὸν Στίβαν ὑποκριτικὰ μέλη ἐποίει. καὶ αὐτὸς ὑπεκρίνετο. μινυρίζειν δέ, θρηνεῖν. ἢ τὸ ἠρέμα ᾄδειν. παρὰ τὸ μεῖον.
D Εὐστάθιος δέ, μινυρίζειν, τὸ ὑφειμένως κλαίειν παρὰ τὸ μινυρὸν. τὸ πιθανώτερον.

ΑΓΑΘΩΝ, ΧΟΡΟΣ.

AGATHON, CHORVS.

BISETVS. Ἀγάθων μελῳδεῖν ἄρχεται, καὶ αὐτῷ ὁ χορὸς συνᾴδει. ἀμοιβαίως δὲ θεούς τινας ὑμνοῦσιν. εἰσὶ δὲ στίχοι μικτοὶ λ'. ὧν ὁ τελευταῖος, ὁ κολούζεις γέρων. ταῦτα δὲ οὕτω συντακτέον. κοῦραι δεξάμεναι ἱερὰν λαμπάδα ξὺν ἐλευθέρᾳ πατρίδι χθονίαις χορεύσασθαι βοάν. ἀντὶ τοῦ, ὦ κοῦραι καὶ παρθένοι δεξάμεναι ἱερὰν λαμπάδα ξὺν ἐλευθέρᾳ πατρίδι χορεύσασθε, εἴτε χορεύσατε τὰς καταχθονίας θεάς, τῇ Δήμητρι δηλονότι, καὶ τῇ Περσε-

E φόνῃ αὐτῆς θυγατρί. λαμπὰς δὲ ἐν τοῖς Θεσμοφορίοις ἐφορεῖτο ὅτι ἡ Δημήτηρ τὴν ἑαυτοῦ θυγατέρα ζητοῦσα λαμπάδας ἡμμένας ἐφόρει. ἱερὰν δὲ καλεῖ, διὰ τὸ ἐν τῇ τῶν Θεσμοφορίων ἑορτῇ φέρεσθαι. χορεύσασθαι δέ, Δωρικῶς, οἱ Ἰωνικῶς ἀντὶ τοῦ προστακτικοῦ χορεύσασθε, ὅτι χορεύετε. τὸ δὲ βοὰν αἴρεται καθ' ἔλλειψιν τῆς κατὰ προθέσεως.

Ἀγ. Ἱερὰν χθονίαις δεξάμεναι
Λαμπάδα κοῦραι ξὺν ἐλευθέρᾳ
Πατρίδι χορεύσασθε βοάν.
Χο. Τίνι δαιμόνων ὁ κῶμος λέγε νῦν.
Εὐπίστως δὲ τοὐμὸν
Δαίμονας ἔχεις σεβίσαι.
ΑΓ. Ἄγε νῦν ὄλβιζε Μοῦσα
Χρυσέων ῥύτορα τόξων
Φοῖβον ὃς ἱδρύσατο χώρας
Γύαλα Σιμοεντίδι γᾷ.

F *AG. Sacram infernis deabus Cereri & Proserpina accipientes,*
Facem puella cum libera,
Patri tripudiate cum clamore.
CH. Cuinam deorum comessatio & tripudium dic, nunc fiat?
Fideliter autem quoad meum officium,
Deos potes colere.
AG. Age nunc arma Musa
G *Aureorum prasidem arcuum*
Phœbum, qui extruxit regionis
Colles Phrygia terra.

BOVRDINVS. Χθονίαις.] καταχθονίαις θεαῖς. ἐνταῦθα ἄρχεται μελῳδεῖν ὁ Ἀγάθων. Ὁ κῶμος.] ἡ ὄρχησις χορευσίς τε. Τοὐμόν.] ἐμοῦ γε τινα. Σεβίσαι.] σέβεσθαι. Ῥύτορα τόξων.] φύλακα, σωτῆρα, καὶ φύλακα παρὰ τὸ ἐρύειν. Ἱδρύσατο.] κατεσκεύασε, κατέστησε. Γύαλα.] ὄρη.

BISETVS. Τίνι δαιμόνων.] τίνι δαιμόνων ἕνεκα ὁ κῶμος ἄγεται; εἰς τίνος τῶν δαιμόνων τιμὴν ἕνεκα ὁ κῶμος νῦν ἄγεται; κῶμος δὲ κατὰ τὸν Σουΐδαν, ἡ μέθη, καὶ ὁ ὀρχηστικός. κατὰ δὲ τὸν Ἡσύχιον, κῶμος δηλοῖ τὰ ἀσελγῆ, καὶ πορνικὰ ᾄσματα, τὰς συμποσιακὰς ᾠδάς. ἔστι καὶ εἶδος ὀρχήσεως. Εὐστάθιος δὲ κῶμον εἶναι λέγει τὸν ἐν συμποσίῳ καρον, δι' οὗ καταφέρεταί τις εἰς κῶμα, τουτέστιν ὕπνον. ὅθεν κωμάζειν, τὸ κατὰ τοὺς μεθύοντας ἐπέρχεσθαι αὐθαδέστερον. Ἄλλως. κωμάζειν κυρίως τὸ ἐπὶ τὸ κοιμᾶσθαι βαδίζειν ἐκ τοῦ κῶμος κωμάζω. κῶμος δὲ ὁ καιρὸς ὁ ἀπὸ τῶν δείπνων πρὸς ὕπνον καλῶν. γίνεται γὰρ παρὰ τὸ κω, τὸ κοιμῶμαι. καὶ τοῦτο τὸ ῥῆμα ἐμφαίνει τὸν ἀπὸ δείπνου, καὶ μέθης ἐπὶ τὸ κοιμηθῆναι βαδίζειν καιρόν. καὶ οἱ ἐρῶντες πρὸς τὰς ἐρωμένας συγκοιμηθησόμενοι ὅταν ἔρχονται, πρὸς ταύτας κωμάζειν λέγονται. ὡς καὶ παρὰ Θεοκρίτῳ,

Κωμάσδω ποτὶ τὰν Ἀμαρυλλίδα.

καὶ κῶμος μεθυστικὸς αὐλὸς ἐγχρονίζων οἴνοις, καὶ κυμβάλοις, καὶ αὐλοῖς καταθέλγων τοὺς δαιτυμόνας. Εὐπίστως.] εὖ, καὶ πιστῶς. Τοὐμὸν δὲ, κατὰ τὸ ἐμὸν μέρος. ὅσον ἐν ἐμοί ἐστιν. δαίμονας ἔχεις σεβίζειν. δαίμονας δυνάσαι σεβίζειν, σεβάζειν. Ῥύτορα τόξων.] τόξων φύλακα. Φοῖβον γὰρ οἱ ποιηταὶ ὡς τοξότην, καὶ χρυσότοξον, ἢ ἀργυρότοξον, καὶ διὰ τὸ ἑκηβόλον μυθεύουσι. τινὲς δὲ ῥύτορα, ἢ ῥυτῆρα τόξων καλοῦσι παρὰ τὸ ἐρύεσθαι, τουτέστιν ἕλκειν, καὶ τείνειν τὰ τόξα. ὅπερ ἀξιόπιστον. Ἐμάλα.] τὰ ἄκρα, τὰς ἐξοχάς. οἱ δὲ τὰ κοῖλα. Σιμουντίδι γᾷ, τῇ γῇ, τῇ χώρᾳ τῇ Σιμουντίδι, τουτέστι τῇ Φρυγίᾳ τῇ ἀπὸ τοῦ Σιμόεντος ποταμοῦ ὀνομασθείσῃ. Σιμόεις κατὰ συναίρεσιν Σιμοῦς, ὅθεν τὸ θηλυκὸν Σιμουντὶς, ἰδίως. τὸ δὲ ἀρσενικὸν Σιμούντιος, ὡς ἀπὸ τοῦ Ὀπόεις, Ὀποῦς, Ὀπούντιος, Ὀπουντίς.

Χο. Χαῖρε καλλίσταις ἀοιδαῖς
Φοῖβ' ἐν εὐμούσοισι τιμαῖς
C Γέρας ἱερὸν προφέρων.
Αγ. Γαῖ τ' ἐν ὄρεσι δρυογόνοι-
σι κόραν ἀείσατ' Ἀρ-
τεμιν ἀγροτέραν.
Χο. Ἕπομαι κλῄζουσα σεμνὴν
Γόνον ὀλβίζουσα Λατοῦς
Ἄρτεμιν ἀπειρολεχῆ.
Αγ. Λατώ τε, κρούματά τ' Ἀσιά-
δος
D Ποδὶ παράρυθμ' εὔρυθμα Φρυ-
γίων
Διανεύματα Χαρίτων.
Χο. Σέβομαι Λατώ τ' ἄνασσαν
Κίθαρίν τε ματέρ' ὕμνων
Ἄρσενι βοᾷ δοκίμῳ.
Τᾷ φάος ἔσσυτο δαιμονίοις ὄμμασιν.
Ἡμετέρας τε δι' αἰφνιδίου ὀπός
E Ὧν χάριν ἄνακτ' ἄγαλλε Φοῖβον τιμᾷ.
Χαῖρ' ὄλβιε παῖ Λατοῦς.
Ὀλολύζεις γέρον.

CH. Salue pulcherrimis cantilenis
Phœbe, in canoris honoribus
Munus sacrum praferens.
AG. Et laudate eam, qua in montibus nemorosis versatur virginem, canentes Dianam agrestem.
CH. Sequor celebrans venerandam,
Prolem beatam prædicans Latonæ,
Dianam expertem lecti & virginem.
AG. Latonamq́; laudate, saltationes Asiaticæ terræ
Pede exercete discordes, concordes, & numerosas,
Nutus & rotationes Gratiarum.
CH. Colo Latonamq; reginam,
Citharam matrem hymnorum,
Masculo clamore approbato.
Qua lux excitata est diuinis oculis
Nostram per subitam vocem,
Quorum hymnorum regem vnusquisque Phœbum honorat.
Salue beate fili Latonæ, iubilas ô senex.

BISETVS. Χαῖρε καλλίσταις.] ταῦτα οὕτω συντακτέον, χαῖρε Φοῖβε προφέρων ἱερὸν γέρας ἐν τιμαῖς εὐμούσοισι, καλλίσταις ἀοιδαῖς. ὁ δὲ νοῦς ἐστί. Χαῖρε ὦ Φοῖβε, ὃς τὰ πρωτεῖα τῶν τιμῶν, καλλίσταις, καὶ ἡδίσταις ἀοιδαῖς, ἤγουν ᾠδαῖς ἔχεις.

BOVRDINVS. Γέρας προφέρων.] προτιμώμενος, ἔξοχος πάντων. Ὄρεσι δρυογόνοισι.] δρυσὶ συμφυτευθεῖσι. Κλῄζουσα.] φημίζουσα, καλοῦσα, ὑμνοῦσα. Ὀλβίζουσα.] εὐδαιμονίζουσα καὶ μακαρίζουσα. Ἀπειρολεχῆ.] ἄπειρον λέχους, τουτέστι παρθένον καὶ ἔμπειρον τῆς συνουσίας ἀνδρῶν. Κρούματα.] κτυπήσεις, χορεύσεις. Παράρυθμα.] ἄρυθμα, μὴ ῥυθμικῶς ἔχοντα. εὔρυθμα δὲ, τὰ τῶν Φρυγίων διανεύματα. Τὰς δὲ καλὰς στροφὰς καὶ περιβολὰς κυλίσεις τε εὐρύθμους. Κίθαριν.] ἀφροδίτην κύπριν. Ἄρσενι βοᾷ δοκίμῳ.] ἀνδρεία γὰρ ἡ κραυγή. Δι' αἰφνιδίου.] τὰ ἐξαιφνῆς φθέγματα. Ἄγαλλε.] μάλλε. Ὀλολύζεις.] θρηνεῖς μετὰ κραυγῆς. κυρίως γὰρ τὸ ῥῆμα λέγεται, ἐπὶ τῶν γυναικῶν μετὰ κραυγῆς εὐχομένων, καὶ πενθουσῶν, θρηνουσῶν τε.

Bis. Δρυογόνοισι.] τὰς δρῦς γεννῶσι, καὶ φοροῦσι. καλὸν ὄρους ἐπίθετον. ἀπὸ δὲ τῶν δρυῶν καὶ πᾶν ἄλλο δένδρων εἶδος νοεῖται. Ἀγροτέραν δὲ τὴν Ἄρτεμιν καλεῖ διὰ τὸ ἐν ἀγροῖς, καὶ ἐν ὄρεσι ἀεὶ τὴν τῶν θηρίων ἄγραν, καὶ θήραν κατὰ τοὺς ποιητὰς σπουδάζειν. ἀλλαχοῦ δὲ συνωνύμως Ἀγραία καλεῖται. Κλῄζουσα.] κλέος, ἡ δόξα. κλεΐζειν, καὶ κλῄζειν, δοξάζειν. ὑμνεῖν. Ὀλβίζουσα δὲ, μακαρίζουσα. Ἄρτεμιν ἀπειρολεχῆ.] ἄπειρον λέχους. ἀπειρόγαμον. ἄφθορον. διὸ καὶ Ἄρτεμις, οἱονεὶ Ἄτεμις, ἤγουν ἀτμής, ἀδάμαστος. παρθένος δηλονότι. Λατώ τε.] ταῦτα οὕτω ληπτέον. ἕπομαι τε ποδὶ, ἔστι ποσὶ, κλῄζων τὴν Λατώ, καὶ τὰ κρούματα τῆς Ἀσιάδος, ἤγουν τῆς Ἀσίας, τὸ παρὰ τὸν ῥυθμόν, καὶ εὔρυθμα, διανεύματα Χαρίτων. διὰ δὲ τούτων ὁ ποιητὴς τὰ Ἀγάθωνος σκώπτει ὡς κακιστοῦ μελοποιοῦ. καὶ τὰ ἐναντία ἀλλήλοις ῥαψῳδοῦντα. τὸ γὰρ παράρυθμον τῷ εὐρύθμῳ ἐναντίον. διανεύματα δὲ Φρυγίων Χαρίτων καλεῖ τὰ κρούματα, καὶ τὰς ᾠδὰς, ἅσπερ αἱ Χάριτες διανεύσασαι ἐχαρίσαντο τῷ Ἀγάθωνι. τινὲς δὲ τὸ παράρυθμα, καὶ εὔρυθμα, ἐπιρρηματικῶς λη... τινα λέγουσιν, ἀντὶ τοῦ παραρύθμως. καὶ εὐρύθμως. Ἄλλως. Ἕπομαι κλῄζων τὴν Λατώ, καὶ τὰ κρούματα τὰ ποδὶ παράρυθμα, καὶ εὔρυθμα, τουτέστι τὰ κρούματα τὰ ποιεῖσθαι εἰωθότα ποσὶ, τὰ μὲν, εὐρύθμως, τὰ δὲ, παρὰ τοὺς ῥυθμούς, ἤγουν τὰ σχήματα, τὰς ὀρχήσεις τὰς ποσὶ ποιουμένας, ποτὲ μὲν, εὐρύθμως, ποτὲ δὲ, παρὰ τοὺς ῥυθμούς.

ταῦτα

ταῦτα δὲ λέγεται ὅτι οἱ ὀρχούμενοι τὴν γῆν ἐν τῷ ὀρχεῖσθαι κρούουσιν, ἐνίοτε μὲν, κατὰ τοὺς ῥυθμοὺς, ἐμπείρως, ἐνίοτε δὲ, παρὰ τοὺς ῥυθμοὺς, ἀπείρως. κρούματα λέγει τῆς Ασιάδος, δηλονότι χώρας, ἤτοι τῆς Ασίας. Ασιὰς δὲ, τὸ σύνηχον, καὶ τὸ ὅλον. ἡ δὲ Φρυγία μέρος αὐτῆς τῆς Ασίας, καὶ τὸ συνηχούμενον. τὰ δὲ ἑξῆς, κατὰ προσθήκην λέγεται, Φρυγίων Χαρίτων διανεύματα. καὶ γὰρ οὐχ ἅπασιν αἱ Χάριτες τὸ καλῶς, καὶ εὐρύθμως ὀρχεῖσθαι, ἢ μελῳδεῖν χαρίζονται, ἀλλ' ἐκείνοις, οὓς ἀγαπῶσιν. ὁ δὲ νῦν περίρυθμον δι' ἑνὸς ρ, ἀλλαχοῦ περίρρυθμον διὰ δυοῖν ρρ. διὰ τὴν σύνθεσιν γράφεται. Κίθαριν τε ματέρ' ὕμνων.] Εὐστάθιος. κίθαρις, ἡ κιθάρα κατὰ τὴν Αἰολικὴν παράδοσιν παρὰ τὸ κεύθειν τοὺς ἔρωτας. μητέρα δὲ τῶν ὕμνων λέγει μεταφορικῶς, ὅτι οἱ κιθαρῳδοὶ κρέκοντες, τουτέστι τὴν κιθάραν κρούοντες, καὶ ψάλλοντες τοὺς ὕμνους γεννᾶν πως, καὶ εἰς φῶς ἐκπέμπειν φαίνονται. Πίνδαρος δὲ τῶν Ολυμπίων εἴδει β. τοὺς ὕμνους ἀναξιφόρμιγγας καλεῖ, τοὺς διὰ τῶν φορμίγγων, ἢ ἐν τῇ φόρμιγγι ἀνάσσοντας, εἴτε βασιλεύοντας. Αρσενι βοᾷ δοκίμῳ.] ἀσύνδετον. ἀντὶ τοῦ ἄρσενι, καὶ δοκίμῳ βοῇ. τουτέστι τῇ θαυμαστῇ, καὶ δεδοκιμασμένῃ φωνῇ. ὥς φησι Σουΐδας. Τᾶ φῶς ἔσσυτο] ἡ κιθάρα, ἡ κιθάρᾳ φῶς ὥρμησεν ὄμμασι δαιμονίοις. τοῦτο δὲ λέγει ὅτι τὸ λαμπρὸν τῆς φωνῆς ἐν ταῖς μάχαις μάλιστα τοὺς ἄνδρας ἐξεγείρει, καὶ αὐτοῖς ὥσπερ δαιμόνιόν τι φῶς φέρει. διὰ τούτων δὲ ὁ ποιητὴς καταγελᾷ τοῦ Αγάθωνος μεγαλορρημονοῦντος, καὶ ἄχρηστα, καὶ ἀσύστατα προφέροντος. τοῦτο δὲ ἐκ τῶν ἑξῆς δῆλον. τὸ δὲ ἔσσυτο οὕτω σχηματίζεται. σεύω, τὸ ὁρμῶ. ὁ μέλλων σεύσω. ὁ ἀόριστος α. ἔσσευσα. παρακείμενος σέσευκα, καὶ κατὰ μετάθεσιν ἔσσευκα. ὅθεν τὸ παθητικὸν ἔσσυμαι, καὶ ὁ ὑπερσυντελικὸς ἐσσύμην, καὶ κατ' ἐκβολὴν τοῦ ε, ἐσσύμην, ἔσσυσο, ἔσσυτο. τοῦτο δὲ ποιητικόν. Οπως.] ὤψ, ὠπὸς, διὰ τοῦ ω μεγάλου, τὸ πρόσωπον. ὄψ δὲ ὀπὸς, διὰ τοῦ ο μικροῦ, ἡ φωνή. Σ. ἐνίοτε μὲν τοι καὶ ὄψ τὸ πρόσωπον σημαίνει, ὅταν κατ' ἀποκοπὴν ἐκ τοῦ ὄψις γίνεται. ὅταν δὲ τὴν φωνὴν δηλοῖ, τότε παρὰ τὸ ἔπος λέγεται κατὰ συγκοπὴν, καὶ τροπὴν, ἔπς, ἔψ. ὄψ. ἔπος δὲ ὁ μῦθος, ὁ λόγος. Ων χάριν.] ὧν ὕμνων χάριν, εἴτε ἕνεκα. δι' οὓς ὕμνους. Αλλ' ὁ Φοῖβον τιμᾷ] ἔοικεν ἡ γραφὴ διεφθαρμένη, καὶ ἄγνωστος. ἀλλὰ πιθανῶς ἴσως γραπτέον, ἄλλος Φοῖβον τιμᾷ. ἀντὶ τοῦ πᾶσι. τῷ γὰρ ὄντι πᾶσι τὸν Φοῖβον διὰ τοὺς ὕμνους, καὶ τὴν μουσικὴν ἧς ἡγεμὼν, καὶ προστάτης ἐστὶν, εἰώθει τιμᾶν. τινὲς γράφουσιν ἕκαστος. Ολολύζετε γέρον.] τινὲς ὀλόλυζε γράφουσιν. εἰς δὲ τὴν θηλύτητα καὶ λαγνείαν αὐτοῦ ἀποβλέπων τοῦτο λέγει. τὸ γὰρ ὀλολύζειν παρ' Ομήρῳ τὸ τρανεστέρᾳ φωνῇ εὔξασθαι, καὶ θεοὺς ἐπιβοᾶσθαι, περὶ γυναικῶν λεγόμενον. παρὰ δὲ τοῖς ὕστερον τὸ θρηνεῖν, οἱονεὶ τὸ ὀλοὸν λύζειν. καὶ ὀλολυγὴ, γυναικεία εὐχὴ μετ' ἐνθουσιασμοῦ, καὶ ἐμμελοῦς τινος, καὶ λείου ἤχου, Εὐστάθιος. καὶ ὀλολύζειν. τὸ μετὰ κραυγῆς εὔχεσθαι, Ομηρος. Αἱ δ' ὀλόλυξαν.

Σ. καὶ ὀλολυγὴ, φωνὴ γυναικῶν, ἣν ποιοῦνται ἐν τοῖς ἱεροῖς εὐχόμεναι. καὶ ἄνθος τι παρὰ λίμναις γινόμενον. καὶ ὀλολυγμὸς, ὁ θρῆνος, καὶ κλαυθμός. Ησύχ.

D

ΜΝΗΣΙΛΟΧΟΣ, ΑΓΑΘΩΝ, Εὐριπίδης.

MNESILOCHVS, AGATHON, Euripides.

BISETVS. Στίχοι ἰαμβικοὶ τρίμετροι ἀκατάληκτοι. ρξϛ. ὧν ὁ τελευταῖος,

Δούλοις γὰρ οὐχ ἔξεστ' ἀκούειν τῶν λόγων,

Μνησίλοχος δὲ τὴν τοῦ Αγάθωνος μελῳδίαν εἰρωνικῶς ἐπαινεῖ. Εὐριπίδης δὲ τὴν αἰτίαν τῆς πρὸς αὐτὸν παρουσίας δηλοῖ. τὸν δὲ Αγάθωνα σκληρὸν, καὶ ἀκίνητον ὄντα, καὶ μηδὲν Εὐριπίδου χάριν κατὰ τὰς παλαιὰς ὑποσχέσεις ποιεῖν ἐθέλοντα λοιδοροῦσι, καὶ ὡς κάκιστον ψέγουσι.

E

Μν. Ω Σ ἡδὺ τὸ μέλος ὦ πότνιαι γενετυλλίδες

Καὶ θηλυδριῶδες, καὶ κατεγλωττισμένον

Καὶ μανδαλωτὸν ὥστ' ἐμοῦ γ' ἀκροωμένου

Υπὸ τὴν ἕδραν αὐτὴν ὑπῆλθε γάργαλος,

Καί σ' ὦ νεανίσχ' ἥτις εἶ κατ' Αἰσχύλον,

Ἐκ τῆς Λυκουργίας ἐρέσθαι βούλομαι

Ποδαπὸς ὁ γύννις; τίς πάτρα; τίς ἡ στολή;

Τίς ἡ τάραξις τοῦ βίου; τί βάρβιτος

Λαλεῖ κροκωτῷ; τί δὲ λύρα κεκρυφάλῳ;

MN. Qvam suauis cantilena, ô venerandæ genitabiles,

Et effœminata & lasciua

Et molle, vt mei quidem audientis

Sub sedem ipsam subierit titillatio.

Et te ô adolescens, quisnam secundum Æschylum

F Ex Lycurgia tragœdia interrogare volo,

Cuias semiuir? quænam patria? quis amictus?

Quænam confusio vitæ? quid barbitos

Loquitur cum crocotula? quid verò lyra cum vitta?

BOVRDINVS. Ω πότνιαι γενετυλλίδες.] δαίμονες. γενετυλλὶς γὰρ δαίμων λέγεται ὁ περὶ τὴν ἀφροδίτην τῆς γενέσεως αἴτιος. ἀπὸ τῆς γενέσεως τῶν τέκνων ὀνομασμένος. Θηλυδριῶδες.] τὸ κατακεκλασμένον, τὸ τεθηλυμμένον, διὰ τῆς ἐξάγουσιν ἡδονήν. καὶ θηλυδρίαι, τεθρυπτόμεναι εἰσίν. Κατεγλωττισμένον] πάσῃ μαλακίᾳ γλωττῶν μεμιγμένον, τουτέστιν λέξεων. Γλῶττα γὰρ λέξιν σημαίνει. καταγλωττισμοὶ δὲ λέγονται αἰσχρὰ καὶ ἄσημα φιλήματα καταπασσάματα, παντοῖαι μυραλοιφίαι ἢ ὁμαλαλήματα, καὶ εἶδος φιλήματος λέγεται, ὡς Αριστοφ. χρῆται ἐν Νεφ. μύρου κρόκου καταγλωττισμάτων. κυρίως δὲ καταγλώττισμα λέγεται, ὅταν ἐν τῷ καιρῷ τῆς συνουσίας ὁ ἀνὴρ τὴν γλῶτταν ἐν τῷ τῆς γυναικὸς ἐμβάλλῃ στόματι. G Καὶ μανδαλωτὸν] εἶδος φιλήματος ποικίλον καὶ ἡδύ. Αριστοφάνης δὲ βουλόμενος ἐξελέγχειν τεχνικῶς τὴν μαλακίαν καὶ θηλύτητα τοῦ Αγάθωνος, ἐποίησε τὸν Μνησίλοχον ἀκούσαντα ᾀσμάτων τοῦ Αγάθωνος, ἐπαινεῖν τὸ ἐκείνου μέλος, διὰ τῶν ῥημάτων μαλακῶν, ἀχαρίστων καὶ ἐκλύτων,

Γάργαλος.] τουτέστιν ἐρεθισμός τις κίνησις, ἡδυπάθεια καὶ παρόρμησις τῆς γλώσσης ὑπῆλθε κατὰ ὑπόδυσιν. Γαργαλίζειν γὰρ σημαίνει προτρέπειν, ἐρεθίζειν, κινεῖν, καὶ παρορμᾶν. Γύννις.] μαλακὸς καὶ θηλυκὸς ἔκλυτός τε. Στολή.] ἐσθής. Τάραξις τοῦ βίου.] ἐπιτήδευσις καὶ μελέτη. Βάρβιτος.] εἶδος ὀργάνου μουσικοῦ, οὗ μέμνηται ὁ Ἀθηναῖος ἐν τῷ τετάρτῳ βιβλίῳ, καὶ Σαπφὼ Ἀνακρέων τε μνημονεύουσι. Λαλεῖ κροκωτῷ.] κροκωτὸν ἐστὶ Διονυσιακὸν φόρημα ἢ γυναικεῖον ἐκ πλύνης ἔνδυμα καὶ ἱμάτιον, οὗ μέμνηται ὁ Ἀθηναῖος ἐν τῷ τετάρτῳ, ἐνδυόμενον λέγων τινὰ κροκωτὸν, καὶ σικυώνια ὑποδυόμενον διατελεῖν ὀρχούμενον. Κεκρυφάλῳ.] κεκρύφαλος λέγεται ἡ κοιλότης ἄρκυος κεφαλόδεσμός τε. ὀνομάζονται δὲ καὶ οἱ κεκρύφαλοι αἱ τῶν ἵππων κορυφαῖς θρὶξ καὶ δεσμότριχα.

BISETVS. Ὦ πότνιαι Γενετυλλίδες.] Γενετυλλὶς, δαίμων περὶ τὴν Ἀφροδίτην γενέσεως αἴτιος, ἀπὸ τῆς γενέσεως τῶν παίδων ὠνομασμένος. πεποίηται δὲ τὸ ὄνομα παρὰ τὴν γένεσιν. οἱ δὲ περὶ τὴν Ἄρτεμιν φασὶ τοὺς τοκετῶν ἐφόρους. καὶ πάλιν περὶ τὴν γένεσιν. Σεπότνια δὲ, καὶ πότνια, σεβαστὴ, ἔντιμος. καὶ ποτνιᾶσθαι, τὸ προσπίπτειν, καὶ παρακαλεῖν. κυριώτερον δ' ἄν τις φήσειεν ἐπὶ γυναικῶν, ὅταν ἡ γυνὴ κακόν τι πάσχῃ καὶ θήλειαν θεὸν ἱκετεύῃ, καὶ ὦ πότνια λέγῃ. ποτνιᾶσθαι δὲ ὅταν εἴπῃ τις ἄνδρα περὶ τινος ἁμαρτάνει. ἐτυμολογικὸν μέγα. ἐκ τούτων δὲ Μνησίλοχον ὡς θηλύδρειαν ἐν τούτῳ σκώπτεσθαι δῆλον. Θηλυδριῶδες, καὶ κατεγλωττισμένον.] κατεγλωττισμένον κατὰ τοὺς γραμματικοὺς κανόνας κοινῶς γραπτέον. ἀλλ' εὐφωνίας χάριν κατεγλωττισμένον λέγεται. Ἀττικοὶ δὲ πολλάκις, ὥς φησιν Εὐστάθιος, γλυκείας ἀπηχήσεως ἕνεκεν ἀποσκευάζονται τὸ τῆς αὐξήσεως κατάρχον σύμφωνον, ὡς ἐν τῷ ἐβούλευκα, ἀντὶ τοῦ βεβούλευκα οὕτω καὶ ἐν ἄλλοις μυρίοις. Σουίδας δὲ τούτου τοῦ στίχου μνημονεύων ταῦτα λέγει, κατεγλωττισμένον, ἀντὶ τοῦ πολλαῖς γλώτταις μεμιγμένον. γλωττὰ δέ ἐστι καὶ ἡ λέξις. δι' ὧν δηλοῦν δοκεῖ τὰ τοῦ Ἀγάθωνος μέλη ἐκ περιέργων, καὶ πεποικιλμένων λέξεων συρραφθέντα εἶναι.

A ἢ (ὃ καὶ πολὺ βέλτιον) ὁ ποιητὴς οὕτω τοῦ Ἀγάθωνος, καὶ αὐτοῦ τὰ μέλη ὡς μαλθακὰ, ὡς θηλυδριώδη, καὶ οὐδὲν ἀνδρικὸν ἔχοντα ἀποδεῖξαι βούλεται, καὶ χαριέντως αὐτοῦ, καὶ αὐτοῦ τὰ ποιήματα σκώπτων παίζει πρὸς τὰ φιλήματα τὰ καλούμενα καταγλωττίσματα, καὶ μανδαλωτὰ, περὶ ὧν Σουίδας ταῦτα παραδίδωσι. καταγλώττισμα, ἀσελγέστερον εἶδος φιλήματος. μανδαλωτὸν δὲ, εἶδος φιλήματος ποικίλον, καὶ ἡδύ. ἀλλαχοῦ δὲ καταγλωττίζειν, βλασφημεῖν. ὡς ἐν Ἀχαρνεῦσι,

Ψευδῆ κατεγλώττιζέ μου.

B Γάργαλος.] Γάργαλος, ὁ γαργαλισμός. γαργαλίζει, δοτικῇ. κινεῖ ὑποσημαίνει. προτρέπει. ἐρεθίζει. Σ. καὶ ἐρεθίζει, φησὶν ἀπὸ τοῦ στόματος, ὥστε ἐμέσαι. τοῦτο δὲ παρὰ προσδοκίαν εἶπεν ὁ Μνησίλοχος ἀντὶ τοῦ εἰπεῖν, ὥστε μοι ἀκροωμένῳ μεγίστη ἡδονὴ ὑπ' αὐτὴν τὴν καρδίαν ὑπῆλθε. τὴν ἕδραν δὲ, τὸν πρωκτὸν σεμνοπρεπῶς καλεῖ. ὁ δὲ νοῦς ἐστι. τῇ σου μελῳδίᾳ τοσοῦτον ἥσθην. ἐκ τῶν μελῶν, ἅπερ ᾖδες, τοσαύτην ἔλαβον ἡδονὴν ἀκούων αὐτὰ, ὥστε μεγίστην ἐπιθυμίαν τοῦ χέζειν τὸν ἐμὸν πρωκτὸν ὑπελθεῖν. ἢ καὶ, ὥστε ὑφ' ἡδονῆς ἐμὲ χεζητιᾶν, ὅ ἐστι χέζειν. C ταῦτα τοίνυν τοῦ Ἀγάθωνος καταγελῶν λέγει. Λυκουργίας.] Λυκουργία, Αἰσχύλου δρᾶμα οὕτω καλούμενον. Γύννις.] ἀνδρόγυνος. μαλακός. δειλὸς, ἄνανδρος, θηλυδρίας. Βάρβιτος.] βάρβιτος κατὰ Σουίδαν εἶδος ὀργάνου μουσικοῦ. κατὰ δὲ τὸν Ἡσύχιον, εἶδος κιθάρας. ἢ λύρα. Ἄλλως. Βάρβιτος, εἶδος μουσικοῦ ὀργάνου, ψαλτήριον, ἢ κιθάρα. εἴρηται δὲ οἱονεὶ βαρύμιτός τις ὤν. ὁ βαρεῖ αὐτὴν τὴν φωνὴν, καὶ τὸν φθόγγον. μίτους γὰρ τὰς νευρὰς ἔλεγον, ἐπεὶ πρὸ τῆς χρήσεως τῆς νευρᾶς λινοῖς στήμοσιν ἐκέχρηντο. ὅθεν καὶ οἱ Αἰολεῖς βάρμιτον αὐτὸ διὰ D τοῦ μ φασι. ἐτυμ. μ. Κεκρυφάλῳ.] κεκρύφαλος, ὥς φησιν Εὐστάθιος, κόσμος γυναικεῖος δικτυωτὸς περὶ τὴν κεφαλὴν κροκύφαντος λεγόμενος. κατὰ δὲ τὸν Σουίδαν, καὶ Ἡσύχιον, κεκρύφαλος, σάβακάθιον, δεσμότριχον. κεφαλοδέσμιον. καὶ εἶδος κοιλίας τῶν μηρυκαζομένων ζώων. ἴσως δὲ εἴρηται παρὰ τὸ κρύπτειν, καὶ καλύπτειν τὴν κεφαλήν.

Τί λήκυθος, καὶ στρόφιον ὡς οὐ ξυμφόρον;

Quid lecythus, vel olearia ampulla & strophium? quoniam non congruum est.

Τίς δαὶ κατόπτρου καὶ ξίφους κοινωνία;

Quaenam verò speculi ac ensis societas?

E Τίς δ' αὖ τὸ σὺ ὦ παῖ; πότερον ὡς ἀνὴρ τρέφει;

Quisnam verò ipse ô adolescens, utrum tanquam vir alerís,

Καὶ ποῦ πέος, ποῦ χλαῖνα, ποῦ Λακωνικαί;

Et ubinam est penis? ubi lana? ubi Laconica?

Ἀλλ' ὡς γυνὴ δῆτ' εἶτα, ποῦ τὰ τιτθία;

Sed tanquam mulier profectò aleris, deinde ubi papillae?

Τί φῄς; τί σιγᾷς; ἀλλὰ δῆτ' ἐκ τοῦ μέλους

Quid dicis? quid taces? sed profectò ex cantu

Ζητῶ σ', ἐπειδή γ' αὐτὸς οὐ βούλει φράσαι.

Quaero & excutio te, quoniam quidem ipse non vis dicere.

F

BISETVS. Λήκυθος.] λήκυθος ἀρσενικῶς, καὶ θηλυκῶς τὸ ἐλαιοδόχον ἀγγεῖον. τὴν δὲ τοῦ μύρου οἱ Ἀττικοὶ ἀλάβαστρον καλοῦσι. Σ.

BOVRDINVS. Στρόφιον.] τὸ ζωνάριον στρόγγυλον καὶ γυναικεῖον, τὸ περὶ τὴν κεφαλὴν ἐριοῦν. Ἡρόδοτος, στρόφιον ὃ ἱερεῖς φοροῦσι. ὁ δὲ Πολυδεύκης λέγει σημαίνειν στρόφιον καλλώπισμά τι καὶ κόσμημα γυναικεῖον, δηλονότι ζώνιον. Ἀριστοφάνης, ἀλλὰ τὸ στρόφιον λυθὲν τὰ κόρυμβα μου ἐξέπιπτεν. Ὡς οὐ ξυμφόρον.] οὐ συναρμόζον καὶ πρεπόντως συμβαῖνον. Κοινωνία.] πῶς συναρμόττει καὶ καλῶς συμφέρεται τὸ ξίφος καὶ κάτοπτρον. Λακωνικαί.] ὑποδύματα, ἅπερ καλεῖται ἀμυκλάδες, τουτέστιν ἀνδρεῖα ὑποδύματα. λακωνικὸν γὰρ, στερεὸν καὶ ἀνδρεῖον σημαίνει. Λέγει δὲ ὁ Μνησίλοχος, ποῦ ἐστι τὰ τεκμήρια τῆς ἀνδρείας σου καὶ μεγαλοψυχίας ἀνδρικῆς. ἅ τε δὴ τὸ πέος τ' αἰδοῖον ἡ χλαῖνα ἐσθὴς αἱ Λακωνικαὶ ὑποδύσεις. Τιτθία.] λέγει τοῦτο βουλόμενος ἀεὶ ἐξελέγχειν τὴν μαλακίαν καὶ ἀνανδρείαν θηλύτητά τε τοῦ Ἀγάθωνος. Ζητῶ σ'.] γνῶναι ἐκ τοῦ μέλους. Ἐπειδὴ οὐ βούλει.] δηλοῦν πότερον εἰ ἀνὴρ ἢ γυνὴ, καὶ κατὰ γυναικεῖον ἢ ἀνδρεῖον τρόπον τρέφῃ.

G BIS. Χλαῖνα.] χλαῖνα, τὸ παχὺ, καὶ χειμερινὸν ἱμάτιον, παρὰ τὸ χλιαίνειν. χιτὼν δὲ, τὸ λεπτὸν ἱμάτιον, τὸ ὑποτάμενον, παρὰ τὸ ἐγχεῖσθαι τοῖς μέλεσι. Λακωνικαὶ δὲ, ἀνδρεῖα ὑποδήματα. Σ. ταῦτα δὲ κατὰ τὸν Ἡσύχιον ἀμυκλάδες καλοῦνται. Ψόγον δὲ, τὴν κακολογίαν. Σ.

Αγ. Ὦ πρέσβυ πρέσβυ τοῦ φθόνου μὲν τὸν ψόγον
Ἤκουσα, τὴν δ' ἄλγησιν οὐ παρεσχόμην.
Ἐγὼ δὲ τὴν ἐσθῆθ' ἅμα γνώμῃ φορῶ.
Χρὴ ποιητὴν ἄνδρα πρὸς τὰ δράματα
Ἃ δεῖ ποιεῖν, πρὸς ταῦτα τοὺς τρόπους ἔχειν.
Αὐτίκα γυναικεῖ' ἢν ποιῇ τις δράματα
Μετουσίαν δεῖ τῶν τρόπων τὸ σῶμ' ἔχειν.
Μν. Οὐκοῦν κελητίζεις, ὅτ' ἂν Φαίδραν ποιῇς.
Αγ. Ἀνδρεῖα δ' ἂν ποιῇ τις ἐν τῷ σώματι
Ἔνεσθ' ὑπάρχον τοῦθ'. ἃ δ' οὐ κεκτήμεθα
Μίμησις ἤδη ταῦτα συνθηρεύεται.
Μν. Ὅτ' ἂν σατύρους τοίνυν ποιῇς, καλεῖν ἐμὲ
Ἵνα συμποιῶ σοὔπισθεν ἐστυκὼς ἐγώ.
Αγ. Ἄλλως τ' ἄμουσόν ἐστι ποιητὴν ἰδεῖν
Ἀγρεῖον ὄντα καὶ δασύν. σκέψαι δ' ὅτι
Ἴβυκος ἐκεῖνος κἀνακρέων ὁ Τήϊος,
Κἀλκαῖος, οἵπερ ἁρμονίαν ἐχύμισαν,
Ἐμιτροφόρουν τε καὶ διεκίνουν Ἰωνικῶς.
Καὶ Φρύνιχος, τοῦτον γὰρ οὖν ἀκήκοας,
Αὐτός τε καλὸς ἦν καὶ καλῶς ἠμπίσχετο
Διὰ τοῦτ' ἄρ' αὐτοῦ καὶ καλὰ ἦν τὰ δράματα.
Ὅμοια γὰρ ποιεῖν ἀνάγκη τῇ φύσει.
Μν. Ταῦτ' ἄρ' ὁ Φιλοκλῆς αἰσχρὸς ὢν αἰσχρῶς ποιεῖ.
Ὁ δ' αὖ Ξενοκλῆς ὢν κακὸς κακῶς ποιεῖ.
Ὁ δ' αὖ Θέογνις ψυχρὸς ὢν ψυχρῶς ποιεῖ.

A AG. *O senex senex, inuidiæ quidem vituperium*
Audiui, dolorem autem & molestiam tibi non præbui:
Ego verò vestem simul cum sententia gesto.
Oportet poetam virum ad fabulas
B *Quas oportet facere & repræsentare, ad has mores habere.*
Statim muliebres si fecerit aliquis fabulas,
Participationem oportet morum corpus habere.
MN. *Igitur equo veheris, & eũ agitas, cũ Phædram feceris.*
AG. *Viriles autem fabulas si fecerit aliquis, in corpore*
Inest existens hoc: quæ verò non possidemus,
C *Imitatio iam hæc conquirit.*
MN. *Cum Satyros igitur repræsentarũ, voca me,*
Vt adiuuem te à tergo erectus in Venerem ego.
AG. *Præterea inscita res est, poetam videre*
Agrestem existentem, & villosum. cõsidera verò quòd
Ibicus ille, & Anacreon Teius,
D *Et Alcæus, qui circa musicam & cõcentum versati sunt,*
Muliebres mitras gestabántque, & mouebant se Ionica,
Et Phrynichus: hunc enim quidem audisti,
Ipséque pulcher erat, & pulchrè induebatur.
Ob id igitur ipsius & pulchra erant poemata.
Similia enim facere necesse est naturæ.
MN. *Propterea igitur Philocles turpis existens, turpiter facit.*
E *Et rursus Zenocles existens malus, malè facit:*
Et rursus Theognis frigidus existens, frigidè facit.

BOVRDINVS. Ὦ πρέσβυ.] λέγει ὁ Ἀγάθων, ἐγὼ δὴ, ὦ πρέσβυ ἐπυθόμην τοῦ ψόγου σου, ἀλλὰ οὐδεμίαν ἄλγησιν οὐδὲ δυσπάθειαν τοῦτο παρέσχον. καὶ γὰρ ἐγὼ ἐνδύομαι τὴν ἐσθῆτα ἀξιοπρεπῶς τῷ ὑποκειμένῳ δράματι. Ἅμα γνώμῃ φορῶ ἐσθῆτα.] τουτέστιν, ἁρμόττουσαν τῇ γνώμῃ. Ἃ δεῖ ποιεῖν.] δηλονότι ἀξιοπρεπῶς καὶ ὡς δεῖ ἀξίως εὐαρμόστως τε προσφέρεσθαι πρὸς τὰ δράματα καὶ τοὺς τρόπους ἑαυτοῦ σχήματά τε πάντα ἐναρμόττειν ὑποτυποῦν τε πρὸς τὰ ὑποκείμενα δράματα. Αὐτίκα.] τουτέστιν, παραδείγματος ἕνεκα. εἰώθασι γὰρ οἱ ἀττικοὶ τούτῳ τῷ ἐπιρρήματι χρῆσθαι ἐπὶ τούτοις ἐφ' οἷς προθυμίαν τιν' ἀποδείξεως ποιεῖσθαι βουλόμεθα τοῦ ἀξιώματος προτιθέντος, ἢν τις ποιῇ γοῦν φησὶν τὰ δράματα γυναικεῖα, δεῖ τὸ σῶμα τοῦ ποιοῦντος ἔχειν μετουσίαν, καὶ μετέχειν, μετεῖναί τε τῶν τρόπων γυναικείων, καὶ ὁμοίως δὴ ἀνδρεῖα δράματα ποιοῦντα μετεῖναι τρόπων ἀνδρείων. Κελητίζεις.] κέλητας ἐλαύνεις, τουτέστιν ἵππους. καὶ γὰρ κέλης σημαίνει τὸν μόνον ἵππον καὶ ἐπὶ τούτου φερόμενον τὸν σελλάριον γυμνὸν, ὡς καὶ λέγει Ὅμηρος, ὅτ' ἀνὴρ ἵπποισι κελητίζειν εὖ εἰδώς. κέλης δὲ σημαίνει καὶ τὸ πλοῖον μικρὸν ἀπὸ μεταφορᾶς τοῦ κέλητος ἵππου, ᾧ εἷς ἀνὴρ ἐπικάθηται. αὕτη δὲ γνώμη ἐστὶ, φησὶ Μνησίλοχος, ἐπειδὴ χρὴ τὸν τὰ γυναικεῖα δράματα ποιοῦντα γυναικείων τρόπων μετέχειν, σὺ δὴ ὦ Ἀγάθων ὅτε τὸ Φαίδρας δρᾶμα ποιεῖς τῆς ἐλαφρᾶς γυναικὸς, καὶ εὐμεταχειρίστου κελητίζεις, κέλητας ἐλαύνεις, ὥστε μιμεῖσθαι ἐκείνης ἐλαφρότητα, ἰσχνότητα, καὶ εὐμεταχειριστίαν. Ἃ δ' οὐ κεκτήμεθα.] ἃ δὴ, λέγει ὁ Ἀγάθων, οὐκ ἔχομεν ἐνυπάρχοντα τῇ φύσει, οὐδὲ πεφύκαμεν ἔχειν, ἡ μίμησις τεχνικὴ καὶ αὐτὴ φύσιν. Συνθηρεύεται.] τουτέστιν, ἐπάγει, ἐπιφέρει, καὶ ἔξωθεν συλλέγει διὰ τέχνης. Σατύρους.] τοὺς χορευτὰς εὐπρεπές τι καὶ ἀφροδισιαστικὸν ἐν τῷ χορεύειν σημαίνοντας. ὅθεν καὶ σατύρειον λέγεται πόα συνεργὸς πρὸς τὰς ἀφροδισίας ὁρμάς. Συμποιῶ σε.] συνουσιάζων σοὶ καὶ πελαζόμενος μιμῶμαι, καὶ βοηθῶ πρὸς τὸ μιμεῖσθαι τοὺς σατύρους. Ἄμουσον.] ἀπρεπὲς καὶ ἀνάξιον τῶν μουσῶν. Δασύν.] παχύδερμον καὶ πυκνόσαρκον. ἐκείνῃ γὰρ παχυδερμία καὶ ἀγρία σώματος διάθεσις ἀντικεῖται, καὶ ἀναρμοστεῖ τῇ μαλακίᾳ πρεπούσῃ τοῖς φιλομούσοις ποιηταῖς, καὶ γὰρ αἱ μοῦσαι ἀεὶ ὑδεῖται καὶ μαλακοὶ ποιοῦνται εἶναι. Ἴβυκος.] ἦν τὸ φύσει παῖς. οἱ δὲ πολυξήλου τὸ μαθητὴν ἱστοριογράφου, οἱ δὲ κέρδαυλος γένει ῥηγῖνος ἐκ τοῦ ἑαυτοῦ πατρὸς

A δος εἰς Σάμον ἦλθεν, ὅτε αὐτῆς ἦρχε ὁ Πολυκράτης ὁ τοῦ τυράννου πατὴρ κατὰ τοὺς τοῦ Κροίσου χρόνους. γέγονε δὲ ἐρωτομανέστατος περὶ τὰ μειράκια, καὶ πρῶτος εὗρε τὴν καλουμένην σαμβύκην, καὶ διὰ τοῦτο ἐνταῦθα ὁ Ἀριστοφάνης φησίν, μελετῆσαι περὶ τὴν ἁρμονίαν. ἐκεῖνος δὲ ὁ Ἴβυκος ὑπὸ τῶν λῃστῶν ληφθεὶς ἐπ' ἐρημίας ἔφη, κἂν τὰς γεράνους ἃς ἔτυχεν ὑπερπτᾶσθαι ἐκδίκους γενήσεσθαι. καὶ αὐτὸς μὲν ἀνῃρέθη. μετὰ ταῦτα δὲ τῶν λῃστῶν εἷς ἐν τῇ πόλει θεασάμενος γεράνους, χλευάζων εἶπεν, αἱ δ' αἱ Ἰβύκου ἔκδικοι. ἀκούσαντος δέ τινος, καὶ ὑπεξελθόντος τοῦ εἰρηκότι ὁ λῃστὴς τὸ γεγονὸς ἁμάρτημα διωμολόγησε, καὶ B δίκας ἔδωκαν οἱ λῃσταί. ὅθεν καὶ γέγονε παροιμία, αἱ Ἰβύκου γέρανοι. Ἀνακρέων.] ἦν λυρικὸς Σκυθίνου υἱός, οἱ δ' Εὐμήλου, οἱ δὲ Παρθενίου, οἱ δ' Ἀριστοκράτους. γέγονε κατὰ Πολυκράτην Σάμου τύραννον. βίος δὲ ἦν αὐτῷ πρὸς ἔρωτας παίδων καὶ γυναικῶν, καὶ συνέγραψε παροίνια, μέλη καὶ ἰάμβους, καὶ τὰ καλούμενα ἀνακρεόντεια. γέγονε δὲ φιλόμουσος, καὶ διὰ τοῦτο ἐπεμνήσθη αὐτὸν ὁ Ἀριστοφάνης ἐν τοῖς φιλομούσοις. Ἀλκαῖος.] ἦν ὁ Ἀθηναῖος τραγικός, ὃν τινες θέλουσιν πρῶτον τραγικὸν γεγονέναι. ἦν δὲ καὶ C ἄλλος τις Ἀλκαῖος Μιτυληναῖος, καὶ ἄλλος Ἀθηναῖος κωμικὸς τῆς ἀρχαίας κωμῳδίας πέμπτος, υἱὸς Δεμίσκου, ὅστις ἔγραψε δράματα δέκα. Οἵπερ ἁρμονίαν ἐχύμ.] τουτέστι, διεμελέτησαν τὴν μουσικὴν ἁρμονίαν ἀκριβῶς, καὶ οὐ παρέπαν ἐξεδίδοσαν ἐξέχειν τι αὐτοὺς ἐπὶ τὴν ἐκείνην ἐπιμελέτησιν. χυμεῖν γὰρ ἀπὸ τοῦ χεῖν λέγεται, καὶ χυμοὶ αἱ γεύσεις λέγονται. Ἐμιτροφόρουν.] αἱ μίτραι διαδήματα. αἱ ζῶναι, καὶ ἁλουργῆ ὑποδύματα. Καὶ διεκίνουν.] καὶ κίνησιν ἐποίουν ἰωνικήν, τουτέστι μαλακὴν καὶ κατακεκλασμένην καὶ χαλαρὰν διὰ τὴν ἀνανδρίαν καὶ D θηλύτητα. Ἰωνικῶς γάρ τι ποιεῖν σημαίνει ἁβρῶς, θηλυκῶς καὶ μαλακῶς ἐργάζεσθαι, ἀπὸ τῆς Ἰωνίας χώρας ἥπερ διέφερε πασῶν τῶν χωρῶν τῇ ἐκλύσει μαλακίᾳ τε ἐν τοῖς ἔργοις καὶ λόγων ἡδυπαθείαις. Ἰωνίας δὲ πόλεις τε ἦσαν ιβ. ἃς ὁ Δαρεῖος ὡς φύλαξιν ἐχρήσατο ἐπὶ Σκύθας τοὺς ἐπὶ τοῦ Ἴστρου ἐκ τομίας δὲ αὐτῶν τοὺς εὐγενεστάτους ἐποίησε καὶ παλλακὰς τοὺς θηλυτέρους. ἀπὸ δὲ τούτων πάντων μετηνέχθη τοῦτο τὸ ῥῆμα, τὸ ἰωνικίζειν, ἀντὶ τοῦ πράττειν τι ἰωνικῶς, τουτέστι μαλακῶς καὶ ἐκλύτως. Φρύνιχος.] ὁ Ἀθηναῖος τραγικός, ὅστις πρῶτος εἰσήγαγε γυναικεῖον πρόσωπον ἐν τῇ σκηνῇ, καὶ ἐγένετο τοῦ τετραμέτρου E εὑρετής. Ἠμπίσχετο.] ἀμφιεβάλλετο, καὶ ἠμφιέννυτο μαλακῶς, ὡς ἔπρεπε τῇ τραγῳδίᾳ μαλακῇ οὔσῃ καὶ γυναικομανεῖ, καὶ οὐκ ἀνδρείαν τινὰ ῥώμην ἐχούσῃ ἢ ῥυπαρότητα. Ὅμοια γάρ.] φησὶν ὁ Ἀγάθων ὅ,τι δεῖ τὸν ἄνδρα κωμῳδοποιὸν καὶ δραματουργοῦντα ποιεῖν τὰ δράματα πρέποντα τοῖς τρόποις αὐτοῦ καὶ φύσει, καὶ μηδενὸς πειρᾶσθαι παρὰ τὴν φύσιν ποιεῖν, ἀκούσης τῆς Ἀθηνᾶς. ὡς παροιμία ἐστίν. Ὁ Φιλοκλῆς αἰσχρός.] ἦν δ' οὗτος ὁ Φιλοκλῆς κωμῳδοποιὸς αἰσχροπρόσωπος καὶ προκέφαλος ὡς ἔποψ ἢ ὀξυκέφαλος, Αἰσχύλου ἀδελφῆς υἱός· οἱ δὲ F ἁλμίωνα αὐτὸν φασὶν ἐπιθετικῶς διὰ τὸ πικρόν. ἅλμη γὰρ ἡ πικρία λέγεται. ἦν δὲ καὶ ἄλλος ὁ Φιλοκλῆς ὁ Πολυπείθους Ἀθηναῖος τραγικὸς τοὺς χρόνους μετ' Εὐριπίδην, ὅστις ἐπεκαλεῖτο χολή, διὰ τὸ πικρόν. ὁ δ' αὖ Ξενοκλῆς κακὸς ποιητὴς ἐγένετο, καὶ ἐπὶ ταύτῃ τῇ κακίᾳ παρὰ πᾶσιν Ἀθηναίοις διεβάλλετο. Θέογνις.] ἦν τραγῳδοποιὸς πάνυ ψυχρός, ὅστις ἀπὸ ταύτης τῆς ψυχρότητος ἐν τῷ γράφειν χιὼν ἐλέγετο, ὡς δὴ καταψύχων τοῖς αὐτοῦ λόγοις τοὺς ἀνθρώπους οὐχ ἧττον ἢ χιών.

BISETVS. Ἄλγησιν οὐ παρεχομένην] ἄλγησις, ἄλγος, λύπη. ὁ δὲ νοῦς ἐστίν. οὐ προσβαλοῦσα τὰς σοῦ ... ἴας, καὶ λοιδορείας ἤκουσα, καὶ ὅσα ἐπιφθόνως σκώμματα παρὰ τὴν ἀξίαν κατ' ἐμοῦ ἔλεξας. οὐ γὰρ πώποτε οὔτ' ἔργοις, οὔτε λόγοις σε ἠδίκησα, ἢ ἐλύπησα, οὔτε μηδεμίαν λύπης ἀφορμὴν σοι παρεχομένην, εἴτε παρέχον. τὸ δὲ σχῆμα ἀττικόν, τὸ παθητικόν, ἢ μέσον ἀντὶ τοῦ ἐνεργητικοῦ. Κελητίζεις] κελητίζειν, κέλητα ἐλαύνειν. κέλης δέ, ὁ καταμόνας ἵππος, καὶ ὁ ἐπὶ τούτου φερόμενος, ἤγουν ὁ ἱππεύς. συνωρὶς δέ, δύο ἵπποι συνεζευγμένοι. Σ. Φαίδραν] Φαίδρα, καὶ Σάτυροι, δραμάτων τινῶν ὑπ' Ἀγάθωνος πεποιημένων ὀνόματα. ἃ ταῦτα Ἀριστοφάνης αὐτῷ ψευδόμενος περιάπτει. Ἵνα συμποιῶ] τούτων ὁ νοῦς, καὶ ἡ ἑρμηνεία πλείστην ἔχει ἀσέλγειαν, καὶ αἰσχρότητα κωμικῆς ἀκολασίας ἄξιον. περὶ δὲ τοῦ στύω, καὶ στύομαι, ἐν τοῖς ἄνω ἀρκούντως εἴρηται. Οἵπερ ἁρμονίαν ἐχύμιζον] ἀντὶ τοῦ ἔγχυμον ἐποίησαν, ὡς ὁ Σουΐδας ἑρμηνεύει. Χυμὸς οὖν ἐνθάδε κυρίως ἡ γεῦσις, τὸ γεῦμα. ὅθεν οἶνος ἄχυμος, ὁ ἀσθενής, καὶ ὀλιγοφόρος, καὶ διὰ τὴν ἀσθένειαν, ὅτι οὐδένα χυμόν, καὶ οὐδεμίαν χυμοῦ ὀξύτητα ἔχει, τῇ γεύσει ἀναίσθητος ὢν ὑπάρχει. τούτῳ δ' ἐναντίος ἐστὶν ὁ εὔχυμος λεγόμενος. καὶ χυμίζω παρὰ τῷ ποιητῇ πλασθέν, τὸ ἔγχυμον ποιῶ. καὶ οἱονεὶ χυμὸν ἐπεντίθημι. ταῦτα δὲ μεταφορικῶς νῦν οὕτω νοητέον. οἵπερ τῆς ποιητικῆς ἐμπειρότατοι. τὴν ἁρμονίαν τὴν πρόσθεν ξηράν πως, καὶ ἀνανθῆ οὖσαν οὕτω θάλλειν ἐποίησαν, καὶ ἐκόσμησαν, ὥστε πολλῷ γλυκυτέραν, καὶ τερπνοτέραν ἀποδεῖξαι. τινὲς μέντοι οὕτω γράφουσιν, οἳ περὶ ἁρμονίαν ἐχύμιζον, τὸ χυμίζειν ἀντὶ τοῦ χυλίζειν λαμβάνοντες. χυμὸς γάρ, καὶ χυλὸς παρὰ πολλοῖς ταυτόν. οὕτως οὖν ἑρμηνεύουσι, οἳ περὶ ἁρμονίαν ἐχύμιζον, τουτέστιν ἐσπούδαζον, ἁρμονίαν σπουδαίως ἐξήταζον, καὶ αὐτὴν ἐπιμελῶς ἐσκόπουν. ἡ δὲ μεταφορὰ ἀπὸ τῶν τοὺς χυλοὺς ἐκπιεζόντων, καὶ διυλιζόντων, οἳ περὶ τούτους, καὶ τὴν τούτων γνῶσιν, καὶ μίξιν περιέργως σπουδάζουσιν. ἀμφοτέρων ἡ διάνοια καλῶς ἔχει, καὶ εἰς ἓν τείνει. ἀλλ' ἡ προτέρα γραφή, καὶ ἡ ταύτης ἑρμηνεία ἐπιτηδειοτέρα φαίνεται. περὶ δὲ τῆς ἁρμονίας ἐν τοῖς ἱππεῦσιν ἱκανῶς εἴρηται. Σουΐδας δέ φησι τὸν Ἀριστοφάνη ἁρμονίας τὰ ποιήματα τροπικῶς καλεῖν, ὥσπερ τάχα κἀνταῦθα νοητέον, ἐχύμιζον ἁρμονίαν, ἤγουν τὴν ποίησιν, τὰ ποιήματα. Ἰωνικῶς] ἁβρῶς. τρυφερῶς. τοιοῦτοι γὰρ οἱ Ἴωνες. Ἠμπίσχετο] ἀμπίσχω τὸ ἐνδύομαι. ἀόριστος β. μ. ἠμπεσχόμην, ν. ετο. ἀμπίσχειν δὲ σύγκειται ἐκ τῆς ἀμφὶ προθέσεως, καὶ τοῦ ἴσχω, τροπῇ τοῦ φ εἰς π. ὅπερ ἐν τῷ μέλλοντι οὐ τρέπεται. καὶ γὰρ ἀμφέξω λέγομεν. ἀμπίσχειν οὖν λέγεται οἱονεὶ ἀμφισχεῖν κατ' ἐκβολὴν τοῦ ι, καὶ τροπὴν τοῦ δασέος στοιχείου εἰς ψιλόν. ἀμπίσχειν δὲ παρὰ τοῖς ποιηταῖς συνωνύμως εὕρηται. Ὁ Φιλοκλῆς] περὶ τούτου ἐν Ὄρνισι προείρηται. περὶ δὲ τοῦ Ξενοκλέους, ἐν Βατράχοις. καὶ περὶ τοῦ Θεόγνιδος, ἐν Ἀχαρνεῦσι.

Αγ. Ἅπασ' ἀνάγκη. ταῦτα γάρ τοι γνοὺς ἐγὼ	AG. Omnis necessitas est ita facere. hac igitur cognoscens ego,
Ἐμαυτὸν ἐθεράπευσα. Μν. πῶς πρὸς τῶν θεῶν;	Meipsum curaui. MN. quomodo obsecro?
G Αγ. Παῦσαι βαΰζων. καὶ γὰρ ἐγὼ τοιοῦτος ἦν	AG. Desine baubare: etenim ego talis eram,
Ὢν τηλικοῦτος ἡνίκ' ἠρχόμην ποιεῖν.	Existens tā grandis natu, concepi fabulas agere.
Μν. Μὰ τὸν Δί' οὐ ζηλῶ σε τῆς παιδεύσεως.	MN. Non per Iouem non æmulor, & admiror te ob eruditionem.
Ἀλλ' ὧνπερ οὕνεκ' ἦλθον ἔα μ' εἰπεῖν. Αγ. λέγε.	Sed quib[us] de causis veni, sine me dicere. AG. dic.

BOVRDINVS.

BOVRDINVS. Ἐμαυτὸν ἐθεράπευσα.] ἐκόσμησα, ἐκαλλωπισάμην. Βαΰζων.] ἀπὸ τοῦ βαΰζειν, σημαίνει δὲ ὑλακτεῖν. τοῦτο δὲ ῥῆμα μεμίμηται ἀπὸ τοῦ ψόφου τῶν κυνῶν ὑλακτούντων. Τηλικοῦτος.] εἰς τοῦτο τῆς ἡλικίας ἐλθὼν καὶ ἀφικόμενος. Ζηλῶ σε τῆς A παιδεύσεως.] ἕνεκα.

BISETVS. Παῦσαι βαΰζων] ὑλακτῶν. ποιεῖν δὲ, δηλονότι τὰ ποιήματα, τὰ δράματα. καὶ ποιητὴς παρὰ τὸ ποιεῖν εἴρηται.

Μν. Ἀγάθων, σοφοῦ πρὸς ἀνδρὸς, ὅς τις ἐν βραχεῖ
Πολλοὺς καλῶς οἷός τε συντέμνειν λόγους.
Ἐγὼ δὲ καινῇ ξυμφορᾷ πεπληγμένος
Ἱκέτης ἀφῖγμαι πρὸς σέ. Αγ. τοῦ χρείαν ἔχων;
Μν. Μέλλουσί με αἱ γυναῖκες ἀπολεῖν τήμερον,
Τοῖς Θεσμοφορίοις, ὅτι κακῶς αὐτὰς λέγω.
Αγ. Τίς οὖν παρ' ἡμῶν ἐστιν ὠφέλειά σοι;
Μν. Ἡ πᾶσα. ἐὰν γὰρ ἐγκαθεζόμενος λάθρα
Ἐν ταῖς γυναιξὶν, ὡς δοκεῖν εἶναι γυνή,
Ὑπεραποκρίνῃ μου, σαφῶς σώσεις ἐμέ.
Μόνος γὰρ ἂν λέξειας ἀξίως ἐμοῦ.
Αγ. Ἔπειτα πῶς οὐκ αὐτὸς ἀπολογεῖ παρών;
Μν. Ἐγὼ φράσω σοι. πρῶτα μὲν γινώσκομαι.
Ἔπειτα πολιός εἰμι καὶ πώγων' ἔχω.
Σὺ δ' εὐπρόσωπος, λευκὸς, ἐξυρημένος,
Γυναικόφωνος, ἁπαλὸς, εὐπρεπὴς ἰδεῖν.
Αγ. Εὐριπίδη. Ευ. τί ἐστιν. Αγ. ἐποίησάς ποτε;
Χαίρεις ὁρῶν φῶς, πατέρα δ' οὐ χαίρειν δοκεῖς.
Ευ. Ἔγωγε. Αγ. μὴ νῦν ἐλπίσῃς τὸ σὸν κακὸν
Ἡμᾶς ὑφέξειν. καὶ γὰρ μαινοίμεθ' ἄν.
Ἀλλ' αὐτὸς ὅ γε σόν ἐστιν οἰκείως φέρε.
Τὰς συμφορὰς γὰρ οὐχὶ τοῖς τεχνάσμασιν
Φέρειν δίκαιον, ἀλλὰ τοῖς παθήμασιν.
Μν. Καὶ μὴν σύ γ' ὦ καταπύγων εὐρύπρωκτος εἶ

MN. *Agatho, sapientis est viri officium, quicunque in breui*
Multas bene potest comprehendere orationes:
B *Ego autem communi calamitate percussus,*
Supplex perueni ad te. AG. *Cuius nam rei opus habens?*
MN. *Mulieres me perdituræ sunt hodie*
In Cerealibus festis, quoniam malè ipsis dico.
AG. *Quod nam igitur à nobis esse potest auxilium tibi?*
MN. *Omne, si enim sedens clàm*
Inter mulieres quasi visus esse mulier,
C *Responderis pro me, planè seruabis me.*
Solus enim diceres dignè pro me.
AG. *Deinde quomodo non ipse defendis te, & causam tuam dicis præsens?*
MN. *Ego dicam tibi, primùm quidem agnoscor,*
Deinde canus sum, & barbam habeo:
Tu verò formosus, candidus, derasus,
D *Muliebri voce præditus, mollis, speciosus ad videndum.*
AG. *Euripides.* EV. *quid est?* AG. *scripsistíne aliquando,*
Lætaris videre lucem, patrem autem non lætari putas?
EV. *Equidem hoc scripsi in quadã Tragœdia.*
AG. *ne nunc speres tuum malum*
Nos subituros esse, etenim insaniremus.
E *Sed ipse quod tuum est familiariter feras:*
Calamitates enim non gemitibus
Ferre iustum est, sed passionibus.
MN. *Verùm tu quidem ô impudice laxipodex es, & cinædus*

BOVRDINVS. Σοφοῦ πρὸς ἀνδρός.] ἐστὶ, φησὶν, ἔργον σοφοῦ ἀνδρὸς, καὶ νουνεχοῦς ὅστις δύναται συναίρειν καὶ συνάγειν πολλοὺς λόγους βραχεῖ καὶ συντόμῳ λόγῳ. F ὥσπερ οἱ Λακεδαιμόνιοι, οἵ περ τῇ βραχυλογίᾳ τὴν πολυλογίαν συνελάμβανον, ὥς φησιν ὁ Πλάτων ἐν τοῖς νόμοις. καὶ γὰρ ὡς λέγει ὁ Ἀπολλόδωρος, οἱ κράτιστοι τῶν ἀνθρώπων βραχυλογώτατοι ἐγένοντο, οἱ δὲ κακοὶ ἀδολέσχαι. Συντέμνειν δὲ σημαίνει βραχέως καὶ συντόμως ἐξαγορεύειν. Πεπληγμένος.] πληχθεὶς, ἀδικηθείς. Ἱκέτης ἀφῖγμαι.] ἱκέτευσα. Τοῦ χρείαν ἔχων.] τινὸς ἕνεκα. Κακῶς λέγω.] κακολογῶ καὶ κατηγορῶ. Ὠφέλεια.] βοήθεια. ἀρρωγὴ καὶ κούφισμα παρὰ σοῦ. G Ὑπεραποκρίνῃ.] ὑπὲρ ἐμαυτοῦ ἀπολογῇ. Ἀξίως.] ὡς δεῖ ὑπὲρ ἐμοῦ, εὐπρόσωπος, ὡραῖος, εὐειδὴς, καὶ καλόμορφος, ὥστε μᾶλλον ταῖς γυναιξὶν ὁμοιοῦσθαι, καὶ ἐοικέναι. Ἐξυρημένος.] ἀναφαλαντωμένος, ἀτριχος. Ἁπαλὸς] μαλακόδερμος καὶ θηλυκός. Χαίρεις ὁρῶν φῶς.] τουτέστι, σὺ δὴ ὦ Εὐριπίδη χαίρεις ζῶν, καὶ φῶς ὁρῶν. οὐ νομίζεις δὲ καὶ τὸν πατέρα χαίρειν, φῶς ὁρῶντα καὶ βλέποντα. Ὑφέξειν τὸ σὸν κακόν.] ὑπομενεῖν καὶ πλάσειν ἢ ἐνεγκεῖν. Μαινοίμεθ' ἄν.] ἡμεῖς δὴ ἐμμανεῖς γενοίμεθα εἰ τὸ σὸν κακὸν ὑπομένοιμεν, σὺ δὲ οὐδὲν κακὸν ὑπέχοις οὐδ' ὑπομένοις. Οἰκείως.] σοφῶς καὶ εὐμενῶς. Φέρε.] τὸ ἴδιον κακὸν σοῦ. Τὰς γὰρ συμφοράς.] οὐ γάρ, φησι, δεῖ φέρειν τὰς συμφορὰς, ὑπομένειν τε ταῖς στοναχαῖς, τοῖς κλαυθμοῖς, τοῖς δακρύοις, ἀλλὰ τῷ πάσχειν καρτερεῖν τε καὶ ὑπομένειν ἀνδρείως.

BISETVS. Σοφοῦ πρὸς ἀνδρός] δηλονότι ἐστὶν ἀνδρός ἐστι σοφοῦ τὸ δύνασθαι πολλὰ πράγματα καλῶς ἐν βραχεῖ λόγῳ διὰ βραχέων, καὶ συντόμως δηλῶσαι. Καινῇ ξυμφορᾷ] καινῇ, ἢ κοινῇ χαριέστερον, ὡς ἐκ τῆς ἐννοίας δῆλον. Τοῦ χρείαν ἔχων;] τίνος χρῄζων; τίνος δεόμενος; Ἐξυρημένος] τὴν κόμην ἀποβαλών. ἀπὸ τοῦ ξυρέω, ῶ, ἢ ξυράω, ῶ. Ἐποίησάς ποτε] ἔν τινι σου δράματι ἔγραψας.

BOVRDINVS. Ὦ καταπύγων.] ὦ λάγνε καὶ πόρνε. τοῦτο δὲ ὄνομα μετενήνεκται ἀπὸ τῶν ἀλφηστῶν οὕτως λεγομένων ἰχθύων, ὅτι ἕπονται κατ' οὐράν. καὶ καταπυγοσύνη λέγεται μαλακία, ἢ δ' ὀνομασία, καὶ καταπυγωτέ-

στερος, μαλακώτερος, πορνικώτερος καὶ καταπύγων, κιναιδότερος καλοῦμαι. ἢ καταπυγόντες, κατασελγαίνοντες. σημαίνει δὲ κυρίως τοῦτο τοὔνομα καταπύγων, τὸν εὐρύπρωκτον, ὡς καὶ ἄλλοθί που λέγει ὁ Ἀριστοφάνης· ἐκ δεξιᾶς πόπαρδε ὁ καταπύγων ἀνήρ. Εὐρύπρωκτος δὲ σημαίνει τὸν εὐρὺν καὶ πλατὺν πρωκτὸν ἔχοντα.

οὐ τοῖς λόγοισιν ἀλλὰ τοῖς παθήμασιν.
Ευ. Τί δ' ἐστὶν ὅτι δέδοικας ἐλθεῖν αὐτόσε;
Αγ. Κάκιον ἀπολοίμην ἂν ἢ σύ. Ευ. πῶς; Αγ. ὅπως;
Δοκῶν γυναικῶν ἔργα νυκτερείσια
Κλέπτειν, ὑφαρπάζειν τε θήλειαν Κύπριν.
Ευ. Ἰδού γε κλέπτειν. νὴ Δία βινεῖσθαι μὲν οὖν.
Ἀτὰρ ἡ πρόφασίς γε νὴ Δί' εἰκότως ἔχει.
Αγ. Τί οὖν ποιήσεις ταῦτα. Ευ. μὴ δόκει γε σύ.
Αγ. Ὦ τρισκακοδαίμων ὡς ἀπόλωλ' Εὐριπίδης.
Μν. Ὦ φίλτατ' ὦ κηδεστὰ μὴ σαυτὸν προδῷς.
Ευ. Πῶς οὖν ποιήσω δῆτα. Μν. τοῦτον μὲν μακρὰ
Κλάειν κέλευ'. ἐμοὶ δ' ὅ,τι βούλει χρῶ λαβών.
Ευ. Ἄγε νῦν ἐπειδὴ σαυτὸν ἐπιδίδως ἐμοὶ
Ἀπόδυθι τουτὶ θοἰμάτιον. Μν. καὶ δὴ χαμαί.
Ἀτὰρ τί μέλλεις δρᾶν με; Ευ. ἀποξυρεῖν ταδί.
Τὰ κάτω δ' ἀφεύειν. Μν. ἀλλὰ πρᾶττ' εἴ σοι δοκεῖ.
Ἢ μὴ διδόναι γ' αὑτὸν ὤφελόν ποτε.
Ευ. Ἀγάθων. σὺ μέντοι ξυροφορεῖς ἑκάστοτε.
Χρῆσόν γε νῦν ἡμῖν ξυρόν. Αγ. αὐτὸς λάμβανε
Ἐντεῦθεν ἐκ τῆς ξυροδόκης. Ευ. γενναῖος εἶ.
Κάθιζε, φύσα τὴν γνάθον τὴν δεξιάν.
Μν. Ὤμοι. Ευ. τί κέκραγας; ἐμβαλῶ σοι πάτταλον
Ἢν μὴ σιωπᾷς. Μν. ἀτταταῖ, ἀτταταῖ.

Non verbis, sed passionibus.
EV. *Quid verò est quòd times ire illuc?*
AG. *Peius perire quàm tu.* EV. *quomodo?* AG. *quo modo*
Visus mulierum opera nocturna
B *Furari, surripereque fœminam Venerem.*
EV. *Hei furari? per Iouem subagitari, immò dicere debebas,*
Sed prætextus profectò rectè se habet.
Quid igitur facies hæc? AG. *ne existima quidem tu.*
EV. *O infelicissimum me, quàm perij Euripides.*
C MN. *O charissime ô socer, ne te ipsum prodas.*
EV. *Quomodo igitur faciam profectò?* MN. *hunc quidem longum*
Flere iube, me verò quomodocunque vis utere accipiens.
EV. *Age verò, quando teipsum offers mihi*
Exuere hoc pallio. MN. *& profectò humi adiicio,*
D *Sed quid facturus es mihi?* EV. *Abradere has partes,*
Inferiores autem exurere. MN. *sed fac, si tibi videtur.*
Vel nisi volebam pati hæc, non dare me ipsum debebam unquam.
EV. *Agatho, tu quidem nouaculam gestas frequenter,*
Bonam aliquam nunc nobis nouaculam da. AG. *ipse sume*
E *Hinc ex theca nouacularia.* EV. *Egregius es,*
Sede infla buccam dexteram.
MN. *Heu mihi.* EV. *quid clamasti? iniiciam tibi paxillum,*
Nisi taceas. MN. *at at, papæ.*

BOURDINUS. Οὐ τοῖς λόγοισιν, ἀλλὰ τοῖς παθήμασι.] οὐ τῷ λέγειν, ἀλλὰ τῷ πάσχειν εἶ εὐρύπρωκτος. Ἔργα νυκτερείσια.] νυκτερινὰ ἔργα ὑφαρπάζειν, ἀποκλέπτειν, καὶ ὑφελεῖν. Δοκῶν.] νομίζων τε τὴν κύπριν θήλειαν, ἀφροδίτην. Πρόφασις.] τὸ πρόσχημα καὶ προκάλυμμα. Εἰκότως.] πιθανῶς καὶ καλῶς ἔχει. Μακρὰ κλάειν.] τουτέστι, κέλευε τοῦτον πόλλ' ἐρρῶσθαι, οἰμώζειν καὶ δακρύειν ἕνεκεν τοῦτον, καὶ μηδὲ φρόντιζε ἐκείνου. ἐμὲ δὲ κέλευσόν ποιεῖν ὅ,τι βούλει, καὶ χρῶ ἐμοὶ κατὰ τὴν σὴν βούλησιν καὶ θέλησιν. Ἀποξυρεῖν ταδί.] ὥστε μᾶλλον ἐκεῖνον ταῖς γυναιξὶν ἐοικέναι καὶ ἀφομοιοῦσθαι, χ' οὕτω ἐκείνας ἐξαπατᾶν ῥᾷον. Ἀφεύειν.] τουτέστι ἅπτειν καὶ ἐμπυρεῖν τρίχας κάτωθεν ὄντας καὶ καίειν. Ὤφελόν ποτε.] ἵνα ἄν, φησίν, ἔδωκα ἐμαυτόν σοι, εἰ μὴ ἐβουλόμην ταῦτα πάσχειν ἃ δὴ θέλεις. Ξυροφορεῖς.] πρὸς τὸ ἀεὶ ἀποτίλλειν τρίχας καὶ ἀποξυρεῖν φέρεις ξύρον, τουτέστιν ἐργαλεῖον, ὀξύτατον, καὶ λεπτότατον πρὸς τὸ τριχοτομεῖν, καὶ τίλλειν ξύρειν τε βούλει. δι' ὁ Ἀριστοφάνης ἐξελέγχειν ἀεὶ θηλύτητά τε τοῦ Ἀγάθωνος, ὅστις ἐσπούδαζε μάλιστα πάντων ἀεὶ εἶναι ἐξυρημένος καὶ ἀποτετιλμένος τρίχας καὶ πώγωνα, ὥστε μᾶλλον φαίνεσθαι μαλακὸς καὶ θηλύς. Ἐκ τῆς ξυροδόκης] ἐκ τῆς θήκης τῶν ξυρῶν. Φύσα τὴν γνάθον.] ἐπὶ τὸ ῥᾷον ἀποξυρεῖσθαι καὶ ἀποψιλοῦσθαι τῷ ξυρῷ τὸν πώγωνα. Κέκραγας.] ὀλολύζεις. Ἐμβαλῶ σοι πάτταλον.] λέγει ὁ Εὐριπίδης. ἵνα μὴ οὕτω μέγα κράζῃς καὶ ὀλολύζῃς, ἐγώ σοι πατταλώσω τὸ στόμα. εἰώθει δὲ ὁ Ἀριστοφάνης τοιαύτῃ τῇ λέξει χρῆσθαι πολλάκις ἐν τῶν αὑτοῦ κωμῳδιῶν, ὥσπερ ἐν Ἱππεῦσι, ἐμβαλόντες αὐτῷ πάτταλον μαγειρικῶς εἰς τὸ στόμα, τοῦ εἰπεῖν διαφέρειν, καὶ ὀλολυγμόν. παροιμία δὲ μετῆκται ἀπὸ τῶν χοίρων, εἰς οὓς ἐμβάλλονται οἱ πάτταλοι ὅταν ἐξετασμὸς καὶ κρίσις ποιεῖται πότεροι χαλαζώδεις εἰσὶν ἢ ὑγιεῖς. Ἀτταταῖ.] ἐπίρρημα σχετλιαστικὸν, ἀλγητικὸν, καὶ θρηνητικόν.

BISETUS. Οὐ τοῖς λόγοισιν, ἀλλὰ τοῖς παθήμασιν] Μνησίλοχος πρὸς τὸ προειρημένον, „ Τὰς συμφορὰς, καὶ τὰ ἑξῆς. παίζων παρῳδεῖ, καὶ ταῦτα ἐπιφέρει. „ Οὐ τοῖς λόγοισιν, ἀλλὰ τοῖς παθήμασιν, τὴν Ἀγάθωνος κιναιδίαν, καὶ αἰσχρουργίαν σκώπτων,

καὶ

καὶ κωμικῶς ὑποσημαίνων. Ὦ τρισκακόδαιμον] Εὐριπίδης τῆς ἐλπίδος ἀποτυχών, ἣν περὶ Ἀγάθωνος τῆς αὐτοῦ προστασίαν ληψόμενος εἶχε, δυσφορεῖ, καὶ διὰ τὴν οἰκείαν δυστυχίαν λυπεῖται, ὃν μέντοι Μνησίλοχος παραμυθεῖσθαι πειρᾶται, καὶ παρέχων τὴν ἑαυτοῦ ὑπηρεσίαν, καὶ συνδίκησιν αὐτῷ ἄσμενος ὑπισχνεῖται. ἵνα δὲ ῥᾷον αὐτῷ τῷ ἔργῳ τὴν ὑπόσχεσιν ἀποτελοίη, τὸν ἑαυτοῦ πώγωνα τίλλεσθαι, καὶ πάσας τὰς τρίχας ἀποξυρᾶσθαι, καὶ ἄλλα πολλὰ πάνυ γελοῖα ἐν τῷ ἑαυτοῦ σώματι ποιεῖσθαι μεγαλοψύχως ἐᾷ, πρὸς τὸ δοκεῖν εἶναι γυνή. μετὰ δὲ ταῦτα φόρημα γυναικεῖον ἐνδυσάμενος μετὰ τῶν γυναικῶν εἰς τὴν Θεσμοφορείων ἑορτήν, καὶ εἰς τὴν ἐκκλησίαν ὑπὲρ Εὐριπίδου ἀποκρινούμενος, καὶ αὐτῷ κατὰ δύναμιν συνδικήσων χωρεῖ. Χαμαὶ] ἐπὶ τῆς γῆς. ἐπὶ τὴν γῆν ἤδη ἀπέβαλον. παρεπιγραφή. τοῦτο γὰρ ἅμα λέγων, τὸ ἱμάτιον ἐκδύει, καὶ χαμᾶζε καταβάλλει. Ἢ μὴν διδόναι γ' ἑαυτόν] ὁ νοῦς οὗτος.

A παρέξειν πᾶν, ὅπερ σοι δοκεῖ. καὶ γὰρ εἰ μή σε ταῦτα δρᾶν ἤθελον ἐᾶν, οὐκ ἄν ποτε ἐμαυτόν σοι ἐπιδεδώκα, οὐδ' ἐπέτρεψα, ὅπως ἐμὲ πάντα κατὰ γνώμην δράσειας. Ξυροδόκης] τινὲς γράφουσι ξυροδόχης. τουτέστιν ἡ τοῦ ξυροῦ θήκης, ἣ τὸ ξυρὸν δέχεται. ὡς μέντοι καὶ ξενοδόχος, καὶ ξενοδόκος εὑρίσκεται, τί κωλύει καὶ ξυροδόχην, καὶ ξυροδόκην λέγεσθαι; ἀμφότερα γὰρ νενόμισται. ἀλλὰ τὸ μὲν ξυροδόχη, κοινόν, τὸ δὲ ξυροδόκη ἰωνικόν. πολλαὶ δὲ τῶν ἰωνικῶν λέξεων καὶ παρὰ τοῖς ἄλλοις εἰσὶν ἐν χρήσει.
B Ἐμβαλῶ σοι πάτταλον] τοῦτο κυριολεκτεῖται περὶ τῶν ὑῶν, εἰς ὧν τὸ στόμα πάτταλον ἐμβαλλόμενοι, ἵνα τὴν γλῶτταν ἐξείρωμεν, καὶ σκεψώμεθα εἰ χαλαζῶσιν, ὡς ἐν τοῖς Ἱππεῦσι προείρηται. νῦν δὲ τοῦτο ὁ Εὐριπίδης γελοίου χάριν τῷ Μνησιλόχῳ ἀπειλεῖ, ἵνα σιωπᾶν αὐτὸν ἀναγκάζῃ. Ἀτταταῖ ἰατταταῖ] σχετλιαστικὰ ἐπιρρήματα, ὡς δῆλον ἐν ταῖς Νεφέλαις. ταῦτα δὲ τοῖς κωμικοῖς συνήθη.

C Ευ. Οὗτος σὺ ποῖ θεῖς; Μν. εἰς τὸ τῶν σεμνῶν θεῶν.
Οὐ γὰρ μὰ τὴν Δήμητρα ἐνταυθοῖ μενῶ
Τεμνόμενος. Ευ. οὐκ οὖν καταγέλαστος δῆτ' ἔσει
Τὴν ἡμίκραιραν τὴν ἑτέραν ψιλὴν ἔχων.
Μν. Ὀλίγον μέλει μοι. Ευ. μηδαμῶς πρὸς τῶν θεῶν
Προδῷς με. χώρει δεῦρο. Μν. κακοδαίμων ἐγώ.
D Ευ. Ἔχ' ἀτρέμα σαυτόν, κἀνάκυπτε. ποῖ στρέφει;
Μν. Μῦ μῦ. Ευ. τί μύζεις; Μν. πάντα πεποίηται καλῶς.
Οἴμοι κακοδαίμων. ψιλὸς αὖ στρατεύσομαι.
Ευ. Μὴ φροντίσῃς. ὡς εὐπρεπὴς φανεῖ πάνυ.
Βούλει θεᾶσθαι σαυτόν; Μν. εἰ δοκεῖ φέρε.
E Ευ. Ὁρᾷς σεαυτόν; Μν. οὐ μὰ Δί' ἀλλὰ Κλεισθένην.
Ευ. Ἀνίστασ' ἵν' ἀφεύσω σε κἀγκύψας ἔχε.
Μν. Οἴμοι κακοδαίμων δελφάκιον γενήσομαι.
Ευ. Ἐνεγκάτω τις ἔνδοθεν δᾷδ' ἢ λύχνον.
F Ἐπίκυπτε. τὴν κέρκον φυλάττου νῦν ἄκραν.

C EV. *Heus tu, quonam curris?* MN. *in templum seuerarum Dearum.*
Non enim non per Cererem hic manebo
Cæsus. EV. *nonne igitur ridiculus profectò eris*
Malam alteram leuem habens?
MN. *Parum cura est mihi.* EV. *nequaquam obsecro,*
Prodas me, veni huc. MN. *infelix ego.*
D EV. *Habe quietè teipsum, & suspice, quò auerteris facie.*
MN. *My, My.* EV. *quid mussitas?* MN. *omnia facta sunt bene.*
Heu me miserum, leuis armatura miles rursus militabo.
EV. *Ne sollicitus sis, quoniam speciosus videberis valde,*
Vis spectare te ipsum ad speculum? MN. *si videtur, age.*
E EV. *Vides teipsum?* MN. *non per Iouem, sed Clisthenem.*
EV. *Surge vt aduram te, & sursum aspiciens te habe.*
MN. *Heu me miserum, porcellus vel pudendũ muliebre fiam.*
EV. *Afferat aliquis ab interiori parte facem, vel lucernam.*
F *Inclina & despice, caudam custodi nunc summam.*

BOVRDINVS. Σεμνῶν θεῶν.] εὐμενίδων. ἐριννύες γὰρ οὕτω ἐκλήθησαν κατ' εὐφημισμόν, καίπερ ὁ φιλήμων ὁ κωμικὸς ἑτέρας ἔφησεν εἶναι σεμνὰς θεὰς τῶν εὐμενίδων, ἁμαρτάνων δὴ ἐν τούτῳ. Ἡμίκραιραν.] ἥμισυ μόνον κεκαρμένην καὶ ἀποτετιλμένην. ὅπερ δὴ ἐστὶ μάλα καταγέλαστον, καὶ γελοῖον. Μῦ] τὸ φώνημα ἐστὶ θρηνητικόν, ὅθεν καὶ μύζειν παρῆκται, ὅπερ σημαίνει θρηνεῖν καὶ τοῖς μυκτῆρσιν ἀποτελεῖν ἦχόν τινα θρηνητικὸν καὶ παθητικόν. τοῦτο δὲ φώνημα σημαίνει ἔκλυσίν τινα ἀφροδισιαστικήν. ὅθεν καὶ μῦται, ἐλέγοντο τὸ παλαιὸν ἀφροδισιασταὶ καὶ ἔκλυτοι καὶ γυναικομανεῖς. Ψιλός.] ἄνευ τριχῶν καὶ ἀποτετιλμένος. Εὐπρεπής.] εὐειδής, ὡραῖος. Κλεισθένην.] Κλεισθένης οὗτος, ὡς γυναικώδης διεβάλλετο καὶ διεσύρετο. ὅθεν καὶ ἐν παροιμίαις Κλεισθένους ἀκρατέστερος ἐλέγετο, ὅς τις ἐπὶ κιναιδίᾳ διεβάλλετο καὶ ἐγυναικίζετο. ἐνταῦθα δὲ βουλόμενος δεικνύναι θηλύτητα καὶ μαλακίαν τινά, λαμβάνει τὴν πρόφασιν ἐπὶ τῷ Κλεισθένει, ὡς παρὰ πᾶσι ἐπὶ τῇ κιναιδίᾳ κωμῳδουμένῳ καὶ ἐπισυρομένῳ. Ἐγκύψας ἔχε.] ἔγκυψον σεαυτόν. λέγων δὴ ὁ Μνησίλοχος οὐχ ὁρᾶν νῦν δὴ σεαυτὸν οἷος εἴη τὸ πρόσθεν, ἀλλὰ Κλεισθένην τὸν γυναικομανῆ καὶ μαλακώτερον τοῦ δέοντος. G Δελφάκιον.] τουτέστι μικρὸς δέλφαξ, καὶ χοῖρος γενήσομαι, οὕτω ἀπεξυρημένος, καὶ ἀποτετιλμένος. Κέρκον.] κέρκος λέγεται ἡ τοῦ ἑρπετοῦ οὐρὰ καὶ παντὸς ζώου, παρὰ τὸ σκαίρειν καὶ ἕρπειν. ἐνταῦθα δὲ δηλοῖ τὸ ὀρροπύγιον.

BISETVS. Τῶν σεμνῶν θεῶν] τῶν Ἐριννύων. αὐτὰς γὰρ Ἀθηναῖοι οὕτω καλοῦσι. Σ. Τὴν ἡμίκραιραν) τὸ ἡμίκρανον. κραίρα γὰρ ἡ κεφαλή, κυρίως ἡ ὀρθία. περὶ

τὸ κάρη, ὅ ἐστιν ἡ κεφαλὴ, καὶ τὸ αἴρειν, τὸ ὑψοῦν, οἱονεὶ A καραίρα, καὶ κατὰ συγκοπὴν κραίρα. τὸ δὲ τῆς κεφαλῆς ἥμισυ οἱ Ἀττικοὶ ἡμικραίραν καλοῦσιν, ὡς Εὐστάθιος λέγει. Τί μύ εις;] ἀπὸ τοῦ μῦ παρῆκται τὸ μύζειν, ὃ δηλοῖ τοῖς μυκτῆρσιν ἦχον ἀποτελεῖν. Σ. Ψιλὸς αὖ στρατεύσομαι] τοῦτο εἶπεν ὅτι ἐψίλωτο. ψιλὸς δὲ, τάξις ἀγωνιστάτη, ἥτις προβάλλεται ἔμπροσθεν τοῦ στρατοπέδου, τὴν γυμνὴν καὶ ἄοπλον. κἂν ταραχή τις γένηται, ἐκείνη πρώτη ἀναιρεῖται. καὶ ψιλοὶ, οἱ μὴ καθωπλισμένοι μέν, ἐν καιρῷ δὲ τῆς μάχης τῷ παρατυχόντι ἢ λίθῳ ἢ ξύλῳ, ἢ ἄλλῳ τινὶ ὀργάνῳ χρώμενοι. ἢ ταχὺ ἔσομαι, παρὰ τὸ σκεύη ψιλὴ χρῆσθαι. Σ. B Κἀγκύψας ἔχει] καὶ ἀνακύψας ἔχει. τουτέστιν ἀνάκυψον, καὶ ἀνακύψας μένε. ἀνακύπτειν δὲ, ἄνω τὴν κεφαλὴν αἴρειν, καὶ ὁρᾶν, εἴτε τὰ ἄνω θεᾶσθαι. τοῦτο δὲ λέγειν εἰώθασιν οἱ κουρεῖς τοῖς κειρομένοις, καὶ τοῖς ἀποξυρωμένοις, ἵνα ῥᾷον, καὶ ἀσφαλέστερον τὰς αὐτῶν ὑπὸ τῷ γενείῳ τρίχας ἀποξυρῶσι. νῦν ὡς περὶ χοίρων, ὧν τὰς τρίχας καίειν βουλόμεθα, τοῦτο λέγεται, ὡς ἐκ τῆς ἑξῆς δῆλον. Δελφάκιον] οὕτω καλεῖται ὁ μικρὸς χοῖρος. τοῦτο δὲ εἴρηκεν ἀφευθεὶς ἤδη τὸν πρωκτόν. μετὰ γὰρ τὸ τυθῆναι δελφάκια φλογίζονται, ἵνα ψιλωθῶσι. Σ. Τὴν κέρκον] κέρκος, θρεύδιον τὰς ἀμπέλους βλάπτον. καὶ οὐρά, καὶ ἀνδρεῖον αἰδοῖον, ἢ ἀλεκτρυών, ἢ ἀρουραῖος μῦς. νῦν δὲ τὸ ἀνδρεῖον αἰδοῖον, ὃ καὶ οὐρὰν καλοῦσι. κάομαι δὲ, ἀττικῶς ἀντὶ τοῦ καίομαι, ὡς κλάω, ἀντὶ τοῦ κλαίω.

Μν. Ἐμοὶ μελήσει νὴ Δία. πλήν γ' ὅτι κάομαι.
Οἴμοι τάλας ὕδωρ ὕδωρ ὦ γείτονες
Πρὶν ἀντιλαβέσθαι πρωκτὸν τῆς φλογός.
Ευ. Θάῤῥει. Μν. τί θαῤῥῶ καταπεπυρπολημένος; C
Ευ. Ἀλλ' οὐκέτ' οὐδὲν πρᾶγμά σοι. τὰ πλεῖστα γὰρ
Ἀποπεπόνηκας. Μν. φεῦ ἰοὺ τῆς ἀσβόλου.
Αἰθὸς γεγένημαι πάντα τὰ περὶ τὴν τράμιν.
Ευ. Μὴ φροντίσῃς, ἕτερος γὰρ αὐτὰ σπογγιεῖ.
Μν. Οἰμώξετ' ἄρ' εἴ τὸν ἐμὸν πρωκτὸν πλυνεῖ. D
Ευ. Ἀγάθων. ἐπειδὴ σαυτὸν ἐπιδοῦναι φθονεῖς.
Ἀλλ' ἱμάτιόν γ' οὖν χρῆσον ἡμῖν τουτῳῒ
Καὶ στρόφιον. οὐ γὰρ ταῦτά γ' ὡς οὐκ ἔστ' ἐρεῖς.
Αγ. Λαμβάνετε, καὶ χρῆσθ' οὐ φθονῶ. Ευ. τί οὖν λάβω;
Αγ. Ὅ, τι; τὸν κροκωτὸν πρῶτον ἐνδύου λαβών. E
Ευ. Νὴ τὴν Ἀφροδίτην ἡδύ γ' ὄζει ποσθίου.
Αγ. Σύζωσον ἀνύσας. αἶρε νῦν στρόφιον. Ευ. ἰδού.
Μν. Ἴθι νῦν κατάστειλόν με τὰ περὶ τὼ σκέλη.
Ευ. Κεκρυφάλου δεῖ καὶ μίτρας. Αγ. ἥδε μὲν οὖν
Κεφαλὴ περίθετος, ἣν ἐγὼ νύκτωρ φορῶ. F

MN. Mihi cura erit profectò, nisi hoc cura mihi esse non debet quòd vror.
Heu me miserum, aquam aquam ô vicini,
Priusquàm apprehendat podex flammam.
EV. Confide. MN. quid confidam igni consumptus.
EV. Sed non amplius vlla res & molestia vbi superest, plurima enim
Exantlasti. MN. heu ob fuliginem,
Exustus factus sum omnes partes eas quæ sunt circa anum.
EV. Ne labores, alter enim ipsas spongia absterget.
MN. Flebitus igitur, si meum podicem lauabit alter.
EV. Agatho quando teipsum tradere recusas,
Saltem pallium accommoda nobis huic,
Et pectoris ornamentum: non enim hæc quidem quòd non sunt, dices.
AG. Sumite & vtimini, non recuso. EV. quid igitur sumam?
AG. Quidnam? Crocotulam primùm induere accipiens.
EV. Per Venerem suaue quidē olet membrum virile.
AG. Succinge expediens, tolle nunc pectoris ornamentum. EV. Ecce.
MN. Age nūc compone me, & indue in his partibus, quæ sunt circa crura.
EV. Reticulo opus est & mitra. AG. hæc quidem est
Capiti quæ circumponitur, quam ego noctu gesto.

BOVRDINVS. Ἀντιλαβέσθαι.] πρὶν φλέγεσθαι καὶ ἐμπυρεῦσθαι τὸν πρωκτόν. Καταπεπυρπολημένος.] κατακαυθείς. Ἀποπεπόνηκας.] μετὰ πόνου ὑπέμεινας. Ἀσβόλου.] ἄσβολος λέγεται αἰθάλη τοῦ πυρὸς ἢ στακτή. Τράμιν. πρωκτόν. φησὶ γοῦν ὁ Μνησίλοχος, ὁ πρωκτὸς τὰ περὶ ἅπαντα περικέκαυται. Σπογγιεῖ.] ἀποψήσει, ἀποπλυνεῖ. Φθονεῖς.] μὴ ἐθέλεις καὶ ἀξιοῖς. Στρόφιον.] τὸ στρογγυλὸν ζωνάριον, οὗ πρότερον μεμνήμεθα. Οὐ γὰρ ταῦτα.] καὶ γὰρ μὴ ἀπαρνήσῃ ὅτι ταῦτα ἔστι σοι. Κροκωτόν.] εἶδος χιτῶνος, ἔνδυμα τὸ ἐγκύκλιον ἱμάτιον. Ποσθίου] τοῦ αἰδοίου πέος. Κατάστειλον] περίστειλον. G

BIBERTVS. Πρὶν ἀντιλαβέσθαι] ἀντὶ τοῦ πρὶν τὴν φλόγα ἀντιλαβέσθαι τοῦ πρωκτοῦ. πρὶν τὴν φλόγα ἀνάπτειν, πυροῦν, καὶ καίειν τὸν πρωκτόν. τοῦτο γὰρ καθ' ὑπαλλαγὴν εἰρῆσθαι δοκεῖ. Τῆς ἀσβόλου] ἀσβόλη, καὶ ἄσβολος, ἡ αἰθάλη τοῦ πυρός. Σ. λέγεται δὲ παρὰ τὸ τὴν ἄσιν βάλλειν. ἄση δὲ διὰ τοῦ η, καὶ ἄσις διὰ τοῦ ι. ὁ ῥύπος. Ευσταθ. αἰθὸς δὲ κατὰ τὸν αὐτόν, ὁ ἀσβολωθρακωμένος καλεῖται. Τὴν τράμιν] τὸν πρωκτόν. Σ. ἀλλὰ παρὰ τούτῳ ἀρσενικῶς λέγεται ὁ τράμις. σπογγιεῖ δὲ, ἀττικῶς, ἀντὶ τοῦ σπογγίσει, κοινῶς. σπογγίζειν, τῷ σπόγγῳ, εἴτε τῇ σπογγιᾷ ἀποψήχειν, ἀπομάττειν. Ἡμῖν τουτῳῒ) εἴπερ ἡ γραφὴ καλῶς ἔχει, λεκτέον τὸ ἡμῖν γενικώτερον. τὸ δὲ τουτῳῒ, εἰδικώτερον, καὶ ἀποδεικτικῶς πρὸς τὸν

τὸν Μνησίλοχον ἀναφέρεσθαι, ὃν δείκνυσιν Εὐριπίδης. & A οὕτω δ' ἔστιζεν μετὰ τὸ ἡμῖν. ἡμῖν, τουτοί. ἢ τουτοὶ γραπτέον, καὶ σὺν τῷ ἱμάτιον, συναπτέον. ἀλλ' ἡ προτέρα γραφὴ βελτίων φαίνεται. Στρόφιον] τὸ στρογγύλον ζωνάριον. λέγεται καὶ στρόφος, τὸ περὶ τὴν κεφαλὴν στρόφιον, ὅθεν ἐρεοῦν. ἐρεοῦν δὲ, κλῶσμα τῆς μαλλίου. Σ. Πόσθιον] πόσθη, καὶ πόσθιον, τὸ ἀνδρεῖον αἰδοῖον. Σ. Σύζωσον ἀνύσας] θᾶττον ταυτὴν σύζωσον. τοῦτο δὲ παρὰ τὸ συζωννύω, συζώννυμι, συζώσω. Κατάστειλον] Σ. περίστειλον. ἀλλ' ἴσως βέλτιον ἑρμηνεύειν, κάτω συστολόν μου τὰ μέρη τὰ περὶ τὰ σκέλη, ἵνα μᾶλλον γυνὴ εἶναι δοκῶ. Κεφαλὴ περίθετος] B Εὐστάθιος. φέρεται παρὰ τοῖς παλαιοῖς κόσμος γυναικεῖος ὃν περίθετον κεφαλὴν ἐκάλουν. Ἀριστοφάνης Θεσμοφοριαζούσαις. κεφαλὴ περίθετος, ἣν ἐγὼ νύκτωρ φορῶ. ἄδηλον δὲ, εἴτε χρηδέμνιον αὐτή, εἴτε ἄμπυξ, εἴτε κεκρύφαλος. εἴτε ὁμοῦ πάντα ταῦτα μετὰ τῆς ἀναδέσμης. ἡ δὲ ῥηθεῖσα περίθετος κεφαλή, καὶ περικεφαλαία, ὥς φασιν, ἐλέγετο. καθὰ καὶ παρὰ προσωπὶς ἡ παρὰ τῷ προσώπῳ τιθεμένη. ὡς καθ' ὁμοιότητα καὶ προσωπεῖα τὰ ὀφθαλμοῖς ἵππων περιτιθέμενα δέρματα, καὶ τὰ χάριν σκιᾶς ἀντήλια τὰ προστιθέμενα δηλαδὴ τῶν προσώπων τοῖς ἡλιαζομένοις.

Ευ. Νὴ τὸν Δί' ἀλλὰ καὶ ἐπιτηδεία πάνυ.
Μν. Ἦρ' ἁρμόσει μοι. Αγ. νὴ Δί' ἀλλ' ἄριστ' ἔχει.
Ευ. Φέρ' ἔγκυκλον. Αγ. τουτὶ λάμβαν' ἀπὸ τῆς κλινίδος.
Ευ. Ὑποδημάτων δεῖ. Αγ. τἀμὰ τουτὶ λάμβανε.
C Μν. Ἆρ' ἁρμόσει μοι. Αγ. χαλαρὰ γ' οὖν χαίρεις φορῶν.
Σὺ τοῦτο γίγνωσκ' ἀλλ' ἔχεις γὰρ ὧν δέει.
Μν. Εἴσω τις ὡς τάχιστά μ' εἰσκυκλησάτω.
Ευ. Ἀνὴρ μὲν ἡμῖν οὑτοσὶ καὶ δὴ γυνὴ
Τό γ' εἶδος. ἢν λαλῇς δ' ὅπως τῷ φθέγματι
Γυναικιεῖς εὖ καὶ πιθανῶς. Μν. πειράσομαι.
D Ευ. Βάδιζε τοίνυν. Μν. μὰ τὸν Ἀπόλλω οὐκ ἤν γε μὴ
Ὀμόσῃς ἐμοί. Ευ. τί χρῆμα. Μν. συσσώσειν ἐμὲ
Πάσαις τέχναις ἤν μοι τι περιπίπτῃ κακόν.
Ευ. Ὄμνυμι τοίνυν αἰθέρ' οἴκησιν Διός.
Μν. Τί μᾶλλον, ἢ τὴν Ἱπποκράτους ξυνοικίαν.
E Ευ. Ὄμνυμι τοίνυν πάντας ἄρδην τοὺς θεούς.
Μν. Μέμνησο τοίνυν ταῦθ' ὅτι ἡ φρὴν ὤμοσεν.
Ἡ γλῶττα δ' οὐκ ὀμώμοκ'. οὐδ' ὥρκωσ' ἐγώ.

EV. Per Iouem, sed & conueniens valde.
MN. Nunquid conueniet mihi? AG. profectò, sed optime se habet.
EV. Age vestem rotundam. AG. hanc sume è lectulo.
EV. Calceis opus est. AG. meos hos accipe.
MN. Nunquid congruent mihi? AG. laxos quidem calceos non gaudes gestare,
Tu hoc cognosce. veruntamē habes, quibus opus est tibi.
MN. Intrò aliquis quàm citissimè me inuoluat.
EV. Vir quidem nobis hic & iam fœmina est
Hac specie. si autem locutus fueris, vide vt locutione
Mulierem agas bene & verisimiliter. MN. conabor.
EV. Vade igitur. MN. non per Apollinem, non, siquidem non
Iuraueris mihi. EV. Quam nam rem? MN. conseruaturum te esse me
Omnibus modis, si mihi aliquod acciderit malum.
EV. Iuro igitur ætherem, habitationem Iouis.
MN. Quid magis quā Hippocratis cōtuberniū?
EV. Iuro igitur omnes funditus deos.
MN. Memento igitur hæc, quòd mens iurauit:
Linguā autem non iurauit, neque iureiurando obstrinxi te ego.

BOVRDINVS. Ἔγκυκλον.] τουτέστιν ἱμάτιον κυκλῶδες καὶ περιφερὲς, ὥσπερ καὶ πού ἔν τινι κωμῳδίᾳ ἄλλῃ λέγει καὶ χρῆται ὁ Ἀριστοφάνης. ἔγκυκλα δὲ λέγεται καὶ τ' ἐγκυκλούμενα τῷ βίῳ καὶ συνήθη. Κλινίδος.] κλινὶς βάθριον λέγεται ἀντιτιθέμενον ἔγκυκλον, & F κλινίδιον ὑποκοριστικῶς. λέγεται δὲ καὶ νυμφικὴ καθέδρα ἐπὶ τῆς ἁμάξης. Χάλαρα.] ὑποδήματα, τουτέστι χαῦνα, μαλακὰ καὶ θηλυκά. φησὶν ὁ Ἀγάθων, καίπερ οὐ χαίρεις ὦ Μνησίλοχε φέρων ὑποδήματα μαλακὰ καὶ χαλαρὰ, ὅμως γε μὴν δεῖ ταῦτα νῦν φέρειν, καὶ γὰρ ἐπιτήδειά ἐστι ἁρμόττοντά τε τῷ παρόντι χρόνῳ καὶ καιρῷ. Εἰσκυκλησάτω] ἀμφιεννύσθω καὶ ἐνδυσάσθω. Γυνὴ εἶδος.] γυναικεῖον νῦν πρόσωπον ἔχεις. Γυναικιεῖς.] γυναῖκα μιμήσει τῇ φωνῇ καὶ τῷ προσφθέγματι, G ὅθεν καὶ γυναικισμὸς λέγεται καὶ γυναικισμὸς, ἡ γυναικεία μίμησις. Περιπίπτῃ.] συμβαίνῃ κακόν. Ἱπποκράτους ξυνοικίαν.] οἴκησιν. πολλοὶ γεγόνασι Ἱπποκράτους ὄνομα ἔχοντες, πολλοὶ δ' ἰατροὶ τοῦτο τ' ὄνομ' ἔχοντες. ἐνταῦθα δ' Ἱπποκράτους τινὸς μνημονεύει, ὅσπερ ἐν οἰκίᾳ ἑαυτοῦ πάντα εἶχεν ἀγάλματα, καὶ εἴδη τῶν θεῶν. διὰ τοῦτο καταγελῶν ὁ Εὐριπίδης φησὶν, ὄμνυμι, οὐ μόνον τὸν Δία, ἀλλὰ καὶ πάντας τοὺς θεοὺς, οἵπερ δὴ εἰσὶν ἐν συνοικίᾳ τοῦ Ἱπποκράτους. Μέμνησο τοίνυν.] ἐνταῦθα κωμῳδεῖ καὶ χλευαστικῶς καταγελᾷ τοῦ Εὐριπίδου, ὅστις ἐν τῷ Ἱππολύτῳ στεφανωτῷ εἰσήγαγε τὸν Ἱππόλυτον τοιαῦτα μοχθηρά τινα λέγοντα τῇ τροφῷ τῆς Φαίδρας, ἡ γλῶσσα μὲν ὤμοσεν, ἡ φρὴν δ' ἀνώμοτος. Ὥρκωσ' ἐγώ.] οὔτι εἰσέπραξα τὸν ὅρκον.

BISETVS. Ἔγκυκλον] εἶδος γυναικείου φορήματος, τοῦ ὑπὸ τῷ ἐνδύματι φορουμένου. περὶ δὲ τούτου ἤδη προείρηται. Τῆς κλινίδος] κλινὶς κυρίως τὸ ἐπὶ τῆς ἁμάξης κατεστρωννύμενον, ὅταν μετίωσι τὰς νύμφας, ἐφ' οὗ κάθηται ἡ νύμφη μεταξὺ τοῦ παρόχου, καὶ τοῦ νυμφίου. Πολυδεύκης. καὶ κλινὶς βάθριόν τι, καὶ ὑποκοριστικῶς κλινίδιον. Σ. Χαλαρὰ] χαῦνα. ἐνταῦθα δὲ ὁ ποιητὴς αἰσχράν τινα διάνοιαν ὑποσημαίνειν δοκεῖ. Εἰσκυκλησάτω] εἰσκυκλεῖν, κυρίως, τὸ κύκλῳ, καὶ τροχοῦ δίκην ἄγειν, & ὠθεῖν εἴς τινα τόπον. νῦν δὲ ἁπλῶς τὸ εἰσά-

γειν, ἢ εἰσφέρειν. οὕτω δὲ ὁ ποιητὴς γέλωτος χάριν εἶπε. Γυναικιεῖς] τὰς γυναῖκας λαλούσας καὶ τῇ φωνῇ σου, καὶ παντὶ τρόπῳ, καὶ σχήματι καλῶς μιμήσῃ. γυναικίζω, τὰς γυναῖκας μιμοῦμαι. γυναίκισις, ἡ γυναικεία μί- A μησις. Η γλῶττα] λείπει φανὲς τὸν Εὐριπίδην ἐνταῦθα σκώπτειν δοκεῖ, ὃς ἐν Ἱππολύτῳ τῷ στεφανηφόρῳ ἔγραψεν,

Η γλῶσσ' ὀμώμοχ', ἡ δὲ φρὴν ἀνώμοτος.

BISETVS. Παρεπιγραφὴ πρὸς τὸ δηλοῦν τὰ τότε ἐν τῷ θεάτρῳ ποιούμενα. τοιοῦτον καὶ τὸ ἐν τοῖς Βατράχοις. „ Αὐλεῖ τις ἔνδον. καὶ αὖθις. „ Διαύλιον προσαυλεῖ. καὶ ἐν Ορνισι. „ Αὐλεῖ τις. Ενταῦθα νῦν B αἱ γυναῖκες ὀλολύζουσι, καὶ τὰ πρὸς τὴν ἱερουργίαν, καὶ ἑορτὴν νομιζόμενα παρασκευάζειν ἄρχονται. ἅπερ ὁρῶν, καὶ ἀκούων Εὐελπίδης ταῦτα Μνησιλόχῳ λέγει, „ Εκποδὼν ταχέως. καὶ τὰ ἑξῆς.

Ὀλολύζουσι γυναῖκες. Ἱερὸν ὠθεῖται.

Ευ. Ἐκποδὼν ταχέως. ὡς τὸ τῆς ἐκκλησίας
Σημεῖον ἐν τῷ Θεσμοφορείῳ φαίνεται.
Ἐγὼ δ' ἄπειμι. Μν. δεῦρο νῦν ὦ Θρᾶττ' ἕπου,
Ὦ Θρᾶττα θέασαι. καομένων τῶν λαμπάδων C
Ὅσον τὸ χρῆμ' ἀνέρχεθ' ὑπὸ τῆς λιγνύος.
Ἀλλ' ὦ περικαλλῆ Θεσμοφόρω. δέξασθέ με
Ἀγαθῇ τύχῃ. καὶ δεῦρο πάλιν οἴκαδε.
Ὦ Θρᾶττα τὴν κίστην κάθελε. κᾆτ' ἔξελε
Τὸ πόπανον ὅπως λαβοῦσα θύσω ταῖν θεαῖν.
Δέσποινα πολυτίμητε Δήμητερ φίλη.
Καὶ Περσέφαττα. πολλὰ πολλάκις μέ σοι D
Θύειν ἔχουσαν. εἰ δὲ μή. ἀλλὰ νῦν λαθεῖν.
Καὶ τὴν θυγατέρα χοῖρον ἀνδρός μοι τυχεῖν
Πλουτοῦντος ἄλλως τ' ἠλιθίου κἀβελτέρου.
Καὶ πρὸς θάλικον νοῦν ἔχειν μοι καὶ φρένας. E
Ποῦ ποῦ καθίζωμ' ἐν καλῷ τῶν ῥητόρων
Ἵν' ἐξακούω. σὺ δ' ἄπιθ' ὦ Θρᾶττ' ἐκποδών.
Δούλοις γὰρ οὐκ ἔξεστ' ἀκούειν τῶν λόγων.

Iubilant & clamant mulieres, & sacra pōpa paratur & agitur.

Ev. *Festina citò, quoniam concionis*
Signum in templo Cereali apparet:
Ego verò abibo. MN. *huc veni nūc ô Threicia ancilla sequere*
O ancilla specta, ardentium facum
Quanta copia ascendit è fuligine.
Sed ô perpulchra Ceres & Proserpina, suscipite me
Bona fortuna, & huc rursus domum concedite redire
O ancilla cistam detrahe, & depone, & deinde detrahe
Placentam, vt accipiens sacrificem deabus.
Domina veneranda Ceres chara,
Et Proserpina, concede multa sæpenumero me tibi
Sacrificare habentem: sin minus, saltem nunc latêre,
Et fac filiam meam puellam nubilem viri mihi consequi
Diuitem, alioqui stolidum & stultum,
Et ad rem Veneream animum habere mihi & mentem.
Vbi vbinam sedeam in opportuno loco, Rhetores
Vt exaudiam? Tu verò abi ô ancilla è medio,
Seruis enim non licet audire verba.

BOVRDINVS. Ολολύζουσι.] κράζουσι. Ωθεῖται.] παρασκευάζεται, ἀνακινεῖται, καὶ μετατίθεται. Θρᾶττα.] ἐκ Θράκης δούλη. Ὅσον χρῆμα ἀνέρχεθ' ὑπὸ τῆς λιγνύος.] ὅσος φησὶ Μνησίλοχος ἀναδίδοται κάπνος. λιγνὺς γὰρ σημαίνει τὴν ἀνάδοσιν τοῦ καπνοῦ. Ἀλλ' ὦ περικαλλῆ.] εὔχεται δὲ ὁ Μνησίλοχος τὴν εὐτυχῆ εἴσοδον τοὺς θεοὺς ἑαυτῷ διδόναι. Τὸ πόπανον.] λέγεται πλακούντιόν τι πλατὺ καὶ λεπτὸν καὶ περιφερές. τούτοις γὰρ τοῖς ποπάνοις καὶ πλακουντίοις ἔθος εἶχον αἱ γυναῖκες θεσμοφοριάζουσαι ταῖς θεαῖς προθύειν τοῦ εὐσφαγεῖν καὶ εὐτυχεῖν. Περσέφαττα.] Περσεφόνη δὸς μοι νῦν λαθεῖν, λάθρα εἰσελθεῖν εἰς τὰ Θεσμοφόρεια. Χοῖρον.] αἰδοῖον, γυναικεῖον καλοῦσι G ὥσπερ οἱ Ελληνες. ἐνταῦθα δὲ αἰτεῖται τὴν ἑαυτοῦ θυγατέρα τυγχάνειν ἀνδρὸς πλουσίου καὶ πολυχρημάτου. λίθι.] ἄγαν. Αβέλτερον.] ἀνόητον, ἀσύνετον, τὸ βέλτιον μὴ γιγνώσκοντα. Καὶ πρὸς θάλικον νοῦν ἔχειν.] τουτέστι, προσέχειν τοῖς ἀφροδισιασμοῖς καὶ ταῖς τῶν γυναικῶν συνουσίαις. Εν καλῷ.] ἐν ἁρμοστῷ καὶ χαριεστῷ τόπῳ πρέποντί τι, ὥστε συνθέσθαι τῶν F ῥητόρων. Δούλοις γάρ.] καὶ γὰρ οὐκ ἐξῆν ταῖς θεραπαιναῖς ἢ τοῖς δούλοις εἰσέρχεσθαι εἰς τὰ Θεσμοφόρεια διὰ τὴν σεμνότητα καὶ ἁγιότητα τῆς ἑορτῆς, καὶ ἀκούειν, ἢ συνθέσθαι τῶν λόγων ἐνταῦθα λεγομένων.

BISETVS. Σημεῖον] ὅτι ἔμελλε γίνεσθαι ἐκκλησία, σημεῖον ἐτίθετο. Σ. Εν τῷ Θεσμοφορείῳ] ἐν τῷ τῶν Θεσμοφορείων ἱερῷ. τουτέστιν ἐν ᾧ τὰ Θεσμοφόρεια ἐτελεῖτο, καὶ αἱ γυναῖκες ἐκκλησιάζειν ἔμελλον. Δεῦρο νῦν] Εὐελπίδης τὸν Μνησίλοχον καταλιπὼν ἀπῆλθεν. ὁ δὲ Μνησίλοχος πρὸς τὰ Θεσμοφόρεια χωρήσων εὐχὰς ποιεῖται. εἶτα τὴν θεράπαιναν οἴκαδε ἀποπέμπει. Θρᾶττα δὲ, Θρᾳκικὴ δούλη, ἡ ἐκ Θράκης. λέγεται καὶ κοινῶς δούλη. Σ. λιγνὺς δὲ, ἡ τοῦ καπνοῦ ἀνάδοσις.

Ὅπως

Οὕτως λαβοῦσα] Μνησίλοχος νῦν περὶ ἑαυτοῦ ὡς γυναικὸς ὄντος ταῦτα λέγει, ἵνα γυνὴ εἶναι φαίνοιτο, καὶ ἐκ τῆς ἐκκλησίας μὴ ἐξελαύνοιτο. τοῖς γὰρ ἀνδράσιν οὐκ ἐξῆν τοῖς Θεσμοφορείοις παρεῖναι. Περσεφαττία] ἀττικῶς διὰ δύο τῶν τ. κοινῶς δὲ διὰ τοῦ σ. Περσέφασσα δέ, Περσεφόνεια, καὶ Περσεφόνη ταῦτα. παρὰ τὸ φέρω, καὶ τὸ φόνος. πρὸς ἣν ἀποφέρονται οἱ πεφονευμένοι, κατὰ τροπὴν. ἐτυμ. μέγα. ἢ παρὰ τὸ πέρθω, πέρσω, καὶ τὸ φόνος. ἡ πέρθουσα, καὶ φονεύουσα τοὺς ἀνθρώπους. πάντα γὰρ ὁ θάνατος διαφθείρει. Πολλὰ πολλάκις] τὸ πλῆρες. δός μοι ἔχουσα πολλά, πολλάκις ἐπιθύειν. λαθεῖν δὲ λέγει, ἵνα μὴ ἀναγνωσθείη. B ἀναγνωσθεὶς γὰρ ἂν ἀπώλετο. Καὶ τὴν θυγατέρα χοῖρον] τοῦτο αἰσχρῶς εἶπεν καὶ καινοπρεπέστερον ἀντὶ τοῦ, τῆς θυγατρὸς χοῖρον. ἢ κατὰ προσθήκην, καὶ ἐπεξήγησιν μετρικωτέραν λέγει, τὴν θυγατέρα χοῖρον, ἤγουν τὸν αὐτῆς χοῖρον. τινὲς δὲ οὐκ ἀπιθάνως Χοῖρον ἐνταῦθα ὄνομα κύριον αὐτῆς εἶναι νομίζουσιν. ὁ χαριέντως προστίθησιν, ὥσπερ καὶ ἐν Σφηξὶ γέρων τὶς γυναῖκα προσφωνῶν, Χοίριον καλεῖ. ταῦτα δὲ κωμικώτερον, καὶ ἀσελγέστερον γέλωτος χάριν εἴρηται. χοῖρος γὰρ παρὰ Κορινθίοις τὸ γυναικεῖον αἰδοῖον. ὅθεν καὶ ἡ παροιμία, ἀκροκορινθία ἔοικας χοιροπωλήσειν. ἀντὶ τοῦ, ἔοικας μισθαρνήσειν ἐν Κορίνθῳ. πολλαὶ γὰρ ἐκεῖ ἑταῖραι. τινὲς δὲ C γραπτέον οἴονται, τὴν θυγατέρα χοίρειον, ἤγουν ὡραίαν γάμου εἴτε ἐπίγαμον, ὅπερ οὐκ ἀπίθανον. Πρὸς θάλλικον] ταύτην τὴν γραφὴν διεφθαρμένην εἶναι δῆλον. τὸ γὰρ θάλλικον παρ' οὐδενὶ τῶν λεξικογράφων εὑρίσκεται. καλῶς μέντοι τὴν λέξιν διορθοίης εἰ φαλλικὸν γράφεις. φαλλικὸς δὲ ὡς ἐν τῷ μεγάλῳ ἐτυμολογικῷ παραδίδοται, λέγεται αὐτοσχέδιον ποίημα ἐπὶ τῷ φαλλῷ ᾀδόμενον. ἀλλαχοῦ δὲ φαλλικὸν καλεῖται. ὡς ἐν Ἀχαρνεῦσι, ᾄσομαι τὸ φαλλικόν. ὁ δὲ φαλλός, οῦ. καὶ φαλῆς, ῆτος. περισπωμένως, ἢ φάλης, φάλητος. βαρυτόνως, ταυτόν. οὕτω γὰρ ὀνομάζεται σκύτινον αἰδοῖον. τὸ ἐκ δερμάτων ἐρυθρῶν αἰδοίου σχῆμα. ἢ ξύλον ἐπιμηκὲς ἔχον ἐν τῷ ἄκρῳ σκύτινον αἰδοῖον. γράφεται δὲ καὶ δι' ἑνὸς λ. καὶ διὰ δυοῖν λλ. ἐπειδὴ δὲ ὁ ποιητὴς ἐν τῇ Λυσιστράτῃ βαρυτόνως, καὶ δι' ἑνὸς λ γραφομένῃ ταύτῃ τῇ λέξει ἐχρήσατο, ὅπου λέγει, ἀπογαυρταί τι φαλήτων, τινὲς κἀνταῦθα φάλητα γραπτέον οἴονται. καὶ νῦν ἁπλῶς τὸ ἀνδρεῖον αἰδοῖον σημαίνειν δοκεῖ. ὅπως δ' ἄν ποτε δὲ ταῦτα λάβοις, ὁ τούτων νοῦς ὅδε· καὶ δός μοι τὴν θυγατέρα νοῦν, καὶ φρένας ἔχειν πρὸς τὴν συνουσίαν, καὶ τοὺς ἀφροδισιασμοὺς, καὶ μηδενὸς ἄλλου φροντίζειν. τὸ δὲ νοῦν καὶ φρένας νῦν συνωνύμως Ἀριστοφάνης εἰπεῖν δοκεῖ. ἐν καλῷ δέ, δηλονότι χωρίῳ.

ΚΗΡΥΞ, ΧΟΡΟΣ, ΓΥΝΗ ΤΙΣ, ΑΛΛΗ ΓΥΝΗ, ΜΝΗΣΙΛΟΧΟΣ.	PRÆCO, CHORVS, MVLIER QVÆdam, altera mulier, Mnesilochus.
Κη. Εὐφημία ἔστω	PRAE. Bona ominatio esto,
Εὐφημία ἔστω	Bona ominatio esto,
Εὔχεσθε ταῖν θεσμοφόροιν.	D Preces fundite legiferis,
Τῇ Δήμητρι καὶ τῇ Κόρῃ	Cereri & Proserpinæ.
Καὶ τῷ Πλούτῳ καὶ τῇ Καλλιγενείᾳ	Et Pluto dea diuitiarum & nobilitati,
Καὶ τῇ Κουροτρόφῳ τῇ γῇ.	Et altrici puerorum terræ,
Καὶ τῷ Ἑρμῇ, καὶ Χάρισιν.	Et Mercurio & Gratiis.
Ἐκκλησίαν τήνδε, καὶ σύνοδον τὴν νῦν,	Concionem hanc & conuentũ hunc præsentem
Κάλλιστα καὶ ἄριστα ποιῆσαι	Pulcherrime & optime facere,
Πολυωφελῶς μὲν πόλει τῇ Ἀθηναίων	Ad multã vtilitatem quidẽ ciuitati Atheniẽsiũ,
Τυχηρῶς δ' ἡμῖν αὐταῖς,	E Fortunatè autem nobisipsis.
Καὶ τὴν δρῶσαν, τὴν ἀγορεύουσαν	Et precamini ex his mulieribus facientem, dicentem
Τὰ βέλτιστα περὶ τὸν δῆμον τῶν Ἀθηναίων	Optima circa populum Atheniensium,
Καὶ τὸν τῶν γυναικῶν	Et circa populum mulierum
Ταύτην νικᾶν.	Hanc vincere.
Ταῦτ' εὔχεσθε, καὶ ὑμῖν αὐταῖς τἀγαθά.	Hæc precamini & vobisipsis bona.
Ἰὴ παιών. ἰὴ παιών. ἰὴ παιών. χαίρωμεν.	Io Pæan, io Pæan, io Pæan gaudeamus.
Χο. Δεχόμεθα καὶ θεῶν γένος	CHO. Admittimus & deorum genus
Λιτόμεθα ταῖσδ' ἐπ' εὐχαῖς	F Precamur has ob preces
Φανέντας ἐπιχαρῆναι.	Apparentes lætari.
Ζεῦ μεγαλώνυμε, χρυσολύρα τε	Iupiter magni nominis, aureaq́; lyra vtens;

BOVRDINVS. Εὐφημία ἔστω.] εὐφημείτω, σιγάτω ὁ πᾶς. εὐφημίᾳ δὲ ἀεὶ χρῶνται οἱ κωμῳδοί, ὅταν εὐχὴν ἢ ψήφισμα εἰσάγειν βούλωνται, ὡς καὶ πρότερον εἴρηται. Εὔχεσθε.] εὐχαὶ δὴ κήρυκος κάλλισται ἐπ' ὠφελείᾳ, καὶ φιλοκαλίᾳ, ἅπερ δὴ ἐν κόσμῳ ἐστὶ κυριώτατα. Καλλιγενείᾳ] ταύτῃ δὲ θῦσαι πρῶτον λέγουσι Ἐριχθόνιον ἐν ἀκροπόλει. καὶ βωμὸν ἱδρύσασθαι χάριν ἀποδιδόντα τῇ γῇ τῶν τροφείων, καὶ ταύτην πρὸς ἐκείνην τιμὴν χρῆν, ὥς τι τὸ νόμιμον θύειν τοὺς θύοντας τινὶ θεῷ ταύτῃ πρότερον θύειν. ὡς δὴ ὑπερεχούσῃ, ὑπερφερούσῃ, καὶ διὰ χρείαν ὠφελεσάντι. Κουροτρόφῳ.] τρεφούσῃ κούρους καὶ παῖδας. Σύνοδον τὴν νῦν.] τὴν παροῦσαν. Ἐκκλησίαν.] ἐπ' ὠφελείᾳ τῆς πόλεως Ἀθηναίων. Τυχηρῶς δέ.] εὐτυχῶς δέ. καὶ εὐπραγῶς. τουτέστιν, ἐπὶ εὐτυχίᾳ ἡμῶν. ἀγορεύουσαν] λέγουσαν τὰ βέλτιστα, καὶ κάλλιστα. Ἰὴ παιών] πρόσθεσμά ἐστι χαίροντος ἐφ' ὁμοίου τε ἀνδρὸς ἢ γυναικός. Παιὼν δὲ ἀντὶ τοῦ παιάν, ὅπερ δηλοῖ σημαίνει Βάκχον καὶ Διόνυσον. Λιτόμεθα.] ἱκετεύομεν καὶ δεόμεθα, προσευχόμεθα θεοὺς μετ' ἱκεσίας. Ἐπιχαρῆναι.] χαίρειν καὶ εὐφραίνεσθαι ἐπὶ ταῖς εὐχαῖς καὶ λιτανείαις ἡμῶν. Ζεῦ.] ἄρχεται ἀπὸ Διός, ὥσπερ καὶ πάντες εἰώθασιν οἱ πάντας ἔνδοξοι καὶ μεγαλώνυμοι. Μεγαλώνυμε.] μεγαλόδοξε. Χρυσολύρα τε] χρυσῆν λύραν ἔχων.

BISETVS. Εὐφημία ἔστω] ὁ κῆρυξ εἰς μέσον προελθὼν πάντας εὐφημεῖν κελεύει. εἶτα μετὰ τὸ χοροῦ σπένδοντος, ἀμοιβαίως εὔχεται. μετὰ δὲ ταῦτα τὸ τῶν γυναικῶν

ψήφισμα, καὶ τίνος χάριν ἡ ἐκκλησία ἐποιεῖτο, δηλοῖ, A καὶ τίς τούτων πρώτη ἐκκλησιάζειν βούλεται, φανερῶς ἐρωτᾷ. τέλος δὲ γυνή τις παρελθοῦσα ἑαυτὴν λέγειν ἑτοίμην εἶναι ἀποκρίνεται. ταύτην οὖν ὁ κῆρυξ κατ' ἔθος στεφάνῳ στεφανώσας, εὔφημα εἶπεν. καὶ σιωπὴν πᾶσι κηρύττει. εἰσὶ δὲ στίχοι μικτοὶ, καὶ ποικίλοι λς'. μεθ' οὓς ἰαμβικοὶ τρίμετροι ἀκατάληκτοι κα'. καὶ πάλιν στίχοι μικτοὶ κ'. οἷς ἕπονται στίχοι ἰαμβικοὶ τοῖς προηγουμένοις ὅμοιοι, θ. καὶ μετὰ τούτους ἰαμβικοὶ τετράμετροι καταληκτικοὶ β'. ὧν τελευταῖος, ὅπερ ποιοῦσιν οἱ ῥήτορες. Τῇ Καλλιγενείᾳ] οἱ μὲν τροφὸν τῆς Δήμητρος, οἱ δὲ ἀκόλουθον εἶναι λέγουσιν. Ἡσύχιος. τινὲς δὲ καὶ ἀντὶ τῆς εὐγενείας λαμβάνουσιν, ὅπερ ἐστὶν ὅτι τῷ πλούτῳ ἀκολουθεῖ. Τῇ κουροτρόφῳ] κουροτρόφος, παιδοτρόφος. ταύτῃ δέ φασι πρῶτον Ἐριχθόνιον ἐν ἀκροπόλει θῦσαι, καὶ βωμὸν ἱδρύσασθαι, χάριν ἀποδιδόντα τῇ γῇ τῶν τροφείων. καταστῆσαι δὲ νόμον τοὺς θύοντας τινὶ θεῷ, ταύτῃ προθύειν. Σ. Ἰὴ παιών] ἐπιφώνημα λεγόμενον ἐν τόποις, ὅπου τὸ θεῖον τιμᾶται. B ἔστι δὲ ἐπῳδὸς τοῦ παιανικοῦ ὕμνου. Εὐστάθιος. μεγαλώνυμε δὲ, μεγαλόδοξε. Ἡσύχιος. Χρυσολύρατε] Ἀπόλλων οὕτω ἐπιθετικῶς καλεῖται. χρυσολύρης, ὁ χρυσάορος, εἴτε χρυσῆν λύραν ἔχων.

Δῆλον ὃς ἔχεις ἱεράν.	Delum qui habes sacram.
Καὶ σὺ παγκρατὴς κόρα	Et tu omnipotens Puella
Γλαυκῶπι χρυσόλογχε,	Diana, casia oculos, aurea lancea utens,
Πόλιν οἰκοῦσα περιμάχητον ἐλθὲ δεῦρο.	Urbem habitans celeberrimam, & de qua omnes certant veni huc.
Καὶ πολυώνυμε θηροφόνε παῖ	C Et celebris Pythonis feræ interfector fili,
Λατοῦς χρυσώπιδος ἔρνος.	Latonæ, aureos oculos habentis germen.
Σύ τε πόντιε σεμνὲ Πόσειδον	Tuque maxime venerande Neptune
Ἁλιμέδον, προλιπὼν	Mari imperans, relinquens
Μυχὸν ἰχθυόεντ' οἰστροδίνητον	Secessum piscosum, tempestuosum:
Νηρέος ἐναλίοιο κόραι.	Nerei marinique filiæ,
Νύμφαι τ' ὀρείπλαγκτοι.	Nymphæque montivagæ,
Χρυσέα τε φόρμιγξ. ἰαχήσειεν ἐπ' εὐχαῖς	Aureaque lyra polleat in precibus
Ἡμετέραις. τελέως	Nostris perfecteque,
Δ' ἐκκλησιάσαιμεν Ἀθηναίων	D Concionemur Atheniensium
Εὐγενεῖς γυναῖκες.	Nobiles mulieres.

Κη. Εὔχεσθε τοῖς θεοῖσι τοῖς ὀλυμπίοις	Præ. Preces fundite diis cælestibus,
Καὶ ταῖς ὀλυμπίαισι. καὶ τοῖς πυθίοις	Et deabus Olympiis & Pythiis,
Καὶ ταῖσι πυθίαισι. καὶ τοῖς δηλίοις	Et Pythiis deabus, & Deliis,
Καὶ ταῖσι δηλίαισι. καὶ τοῖς ἄλλοις θεοῖς	Et Deliis deabus, & reliquis diis:
Εἴ τις ἐπιβουλεύει τι τῷ δήμῳ κακὸν,	Si quis per insidias struit aliquod populo malũ,
Τῷ τῶν γυναικῶν. ἢ 'πικηρυκεύεται	Populo inquã mulierũ, vel inducias & amicitias
Εὐριπίδῃ, Μήδοις ἐπὶ βλάβῃ τινὶ,	Cũ Euripide & Medis, ob dãnũ aliquod (facit
Τῇ τῶν γυναικῶν. ἢ τυραννεῖν ἐπινοεῖ.	Mulierum, vel tyrannidem occupare cogitat.
Ἢ τὸν τύραννον συγκατάγειν. ἢ παιδίον	E Vel tyrannum restituere: vel infantem
Ὑποβαλλομένης κατεῖπέν τις, ἢ δούλη τινὸς	Supponentẽ indicavit aliqua, vel serva alicuius

BISETUS. Δῆλον ὃς ἔχεις] ὃς Δήλου βασιλεύεις. ὃς ἐν Δήλῳ τιμᾷ. ὅθεν καὶ Δήλιος ἐπωνομάσθη.

BOURDINUS. Ἔχεις.] κατέχεις, καὶ ἄρχεις Δήλῳ ἱερᾶ. Πάγκρατε.] πανδύναμε. Περιμάχητον.] πολεμικὴν καὶ ῥωμαλέαν. Ἁλιμέδον.] εὐποντομέδον. Μυχόν.] μυχὸς ὁ σκοτεινὸς τόπος ὁ ἐνδότατος καὶ κατάδυσις. παρῆχθαι δὲ τοῦτο τοὔνομα ἀπὸ τοῦ νὺξ νυκτὸς καὶ τροπῇ ἢ μεταβολῇ τοῦ ν εἰς μ, μυχὸς λέγεται. Ἰχθυόεντα.] πλείων ἰ- F χθύων. Οἰστροδίνητον.] ὑπ' ἀνέμων δινούμενον, ἐλαυνόμενον, ταραττόμενόν τε. οἶστρος γὰρ ἐστὶν ἐρέθισις βιαία, καὶ πύρωσις, ἔκκαυσίς τε, πύρωσις ἐμμανής. λέγεται δὲ κυρίως ὁ οἶστρος μυῖα ὑπόχαλκος, ἐγχριμπτομένη ἐν τῷ καύματι τοῖς βουσὶ, καὶ ποιοῦσα ἐλαύνεσθαι. Ἐναλίοιο.] θαλασσίου. Ὀρείπλαγκτοι.] πλαζόμεναι, τουτέστι πλανώμεναι ἐν ὄρεσι. Ἰσχύσειεν.] ἔχοιεν ἰσχὺν καὶ δύναμιν. Τελέως.] παντελῶς καὶ καλῶς. Εὔχεσθε.) αἱ ἀραὶ κήρυκος καὶ εὐχαί. ἐν ταύταις δ' ὑπερβαλλόντως πως ὁ Ἀριστοφάνης διασύρει τοῦ πρέποντος, καὶ γὰρ συναρμοττούσας τοῖς ἐπιτηδεύμασι καὶ G μαθήμασι τῶν γυναικῶν πάσας ἐκείνων ἀσεβεῖς ἀδίκους καὶ γοητευτικὰς πράξεις εὐχάς τε διασημαίνει, καὶ οὐδὲν ἄλλο διαζητούσας ἢ λαθεῖν κακῶς πράττουσας, δόξαν δὲ εὐσεβείας μόνον παρεχούσας. Ἐπικηρυκεύεται.) κηρυκείαν τινα ποιεῖται, καὶ πέμπει Εὐριπίδῃ ἐπὶ κακῷ τῶν γυναικῶν. Μήδοις.) οἵπερ ἔχθιστοι πάσῃ τῇ Ἑλλάδι γεγόνασι, καὶ ἐλευθερίαν ἐκείνης ἀφελέσθαι ἐπεχείρησαν. τούτῳ δὲ χρῆται ὁ Ἀριστοφάνης ἐπὶ τῷ μᾶλλον ἐξελέγχειν τὸ ἔχθος γυναικῶν κατ' Εὐριπίδου. Ὑποβαλλομένης.) ὑποτιθεμένης. ὅθεν καὶ λέγεται παῖς ὑποβολιμαῖος ὁ ὑποτεθείς, ὡς καὶ χρῆται Δημοσθένης ἐν τῷ λόγῳ τῶν φιλιππικῶν ς.

BISET. Καὶ σὺ παγκρατὶ] ταῦτα πάντα τῆς Ἀθηνᾶς F ἐστὶν ἐπίθετα. σημειῶσαι δὲ τὸ παγκρατί, εἴπερ ἡ γραφὴ καλῶς ἔχει, ἀντὶ τοῦ παγκρατὲς εὐθεῖαν παραλαβεῖν, ὅπερ καινότερον. διό τινες παγκρατὴς γραπτέον νομίζουσιν. ὃ καὶ βέλτιον, καὶ κοινότερον. παγκρατὴς δὲ, ὁ πάντα κρατῶν, ἢ ὁ πάντων κρατῶν. γλαυκῶπις δὲ, ἡ τοὺς ὦπας, ἤγουν ὀφθαλμοὺς ἔχουσα τὸ χρῶμα γλαυκοὺς καὶ καταπληκτικούς. χρυσόλογχος δὲ, ἡ χρυσῆν ἔχουσα λόγχην. Πόλιν οἰκοῦσα περιμάχητον] περισπουδάστως τὰς Ἀθήνας οὕτω καλεῖ. περιμάχητον δὲ λέγεται τὸ πολυτίμητον, περὶ οὗ τινες ἐν ἀλλήλοις διαμάχονται, ἵνα τούτου κρατῶσι, καὶ τοῦτο κτήσωνται. Θηροφόνε] θηρο- G κτόνε. τὸν Ἀπόλλωνα δηλοῖ, ὃς καὶ τοξότης, καὶ θηρίων διώκτης, καὶ φονεύς. τὸ δὲ ἔρνος, εος, ους, ὁ κλάδος, τὸ στέλεχος, δένδρον εὐθαλές, βλάστημα, φυτόν. ἐνταῦθα δὲ μεταφορικῶς τὸν υἱὸν σημαίνει. χρυσῶπις δὲ, ἡ χρυσοῦς ὦπας, χρυσοῦς ὀφθαλμούς, τουτέστι χρυσοῦ δίκην καλοὺς ἔχουσα ὀφθαλμούς. καλὴ οὖσα. Ἁλιμέδον] Ποσειδῶνος ἐπίθετον. ὁ τῆς ἁλὸς μέδων, ὁ τῆς θαλάσσης ἄρχων, καὶ βασιλεύς.

Μυχόν] μυχὸς, ἢ μῦχος, ἐντότατος τόπος. μυχὸς δὲ οἰστροδίνητος (οὕτω γὰρ παρὰ τῷ Σουίδᾳ) ὁ ὑπὸ τῶν ἀνέμων ἐλαυνόμενος. οἶστρος γὰρ, ἐρεθισμὸς, ἔκκαυσις, πύρωσις ἐμμανής. καὶ οἶστρον καλοῦσι πᾶσαν κίνησιν. καὶ οἶστρος, ἐρεθισμὸς, ὁ λεγόμενος μύωψ. μανία ἀφροδισίων, λύσσα, σέβος, καὶ εἶδος πτηνοῦ, ὑφ' οὗ αἱ βοῦς κεντριζόμεναι σκιρτῶσιν, ὃ μύωψ καλεῖται. Ησύχιος. ἀλλὰ καὶ τὸ οἰστροδόνητον, καὶ τὸ οἰστροδίνητον ταυτὸν, τὸ μὲν παρὰ τὸ δονεῖν. τὸ δὲ παρὰ τὸ δινεῖν. ἀμφότερα δὲ ταῦτα τὸ κινεῖν δηλοῦσι. Ορεσίπλαγκτοι] ἐν τοῖς ὄρεσι πλανώμεναι. παρὰ τὸ πλάζεσθαι, τὸ πλανᾶσθαι. Εὔχεσθε] στίχοι ἰαμβικοὶ τρίμετροι ἀκατάA ληκτοι κέ. ὧν ὁ τελευταῖος, Εὔχεσθε πάσαις. Εἴ τις ἐπιβουλεύει] εἴ τις κακόν τι βουλεύει κατὰ τοῦ δήμου. ἢ, εἴ τις κακόν τι τῷ δήμῳ κατ' ἐπιβουλὴν μηχανᾶται. Επικηρυκεύεται] διὰ κήρυκός τινος συνθήκας τινὰς, ἢ προσπονδίας ποιεῖται, ἢ φιλίαν σπένδει. Τύραννον συγκατάγειν] τύραννόν τινα ἤδη ἐκβεβλημένον εἰς τὴν πατρίδα πάλιν ἐπανάγειν, καὶ ἀποκαθιστάναι. Κατεῖπεν] Σ. κατηγόρησεν. προαγωγὸς δὲ, διδάσκαλος κακῶν, μαστροπὸς, μαυλιστὴς, πορνοβοσκός. Ησύχιος. ἀρσενικῶς δὲ, καὶ θηλυB κῶς λέγεται.

Προαγωγὸς οὖσ' ἐνεθρύλλισεν τῷ δεσπότῃ.
Η πεμπομένη τις ἀγγελίας ψευδεῖς φέρει.
Η μοιχὸς εἴ τις ἐξαπατᾷ ψευδῆ λέγων.
Καὶ μὴ δίδωσιν ἃ ἂν ὑπόσχηταί ποτε.
Η δῶρά τις δίδωσι μοιχῷ γραῦς γυνή.
Η καὶ δέχεται προδιδοῦσ' ἑταίρα τὸν φίλον.
Κεἴ τις κάπηλος, ἢ καπηλὶς τοῦ χοὸς
Η τῶν κοτυλῶν τὸ νόμισμα διαλυμαίνεται
Κακῶς ἀπολέσθαι τοῦτον αὐτὸν κ' οἰκίαν
Αρᾶσθε. ταῖς δ' ἄλλαισιν ὑμῖν τοὺς θεοὺς
Εὔχεσθε πάσαις πολλὰ δοῦναι κἀγαθά.
Χο. Ξυνευχόμεσθα τέλεα μὲν
Πόλει, τέλεα τῷ δήμῳ
Τάδ' εὔγματα γενέσθαι.
Τὰ δ' ἄριστ' ὅσαις προσήκει
Νικᾶν λεγούσαις, ὁπόσαι
Δ' ἐξαπατῶσι παραβαίνου-
σί τε τοὺς ὅρκους
Τοὺς νενομισμένους
Κερδῶν ἕνεκ' ἐπὶ βλάβῃ,
Η ψηφίσματα καὶ νόμον
Ζητοῦσ' ἀντιμεθιστάναι,
Τἀπόρρητά τε τοῖσιν ἐ-
χθροῖς ἡμετέροις λέγουσιν,
Η Μήδους ἐπάγουσι τῆς
Χώρας οὕνεκ' ἐπὶ βλάβῃ.
Ασεβοῦσιν, ἀδικοῦσίν τε τὴν
Πόλιν. ἀλλ' ὦ παγκρατὲς

Lena inuulgauit domino:
Vel missa aliqua nuncios falsos affert,
Vel adulter si quis decipit falsa dicens.
Et non dederit, quæ pollicitus fuerit vnquam!
C *Vel dona aliqua dederit adultero anus mulier,*
Vel etiam accipit prodens meretrix amicum:
Et si quis caupo, vel cauponis vxor mensuram,
Vel beminarum institutum & morem lædit:
Malè perire hunc ipsum & domum
Precamini. reliquis verò vobis deos
D *Precamini omnibus multa dare bona.*
CHO. *Simul precamur ratas quidem*
Vrbi, perfectásque populo
Has preces fieri.
Et fieri quoque ratas, optima quibuscunque conuenit,
Vincere dicentibus & consulentibus. & fieri ratas his quæcunque
Decipiunt, violantq; fœdera & iuramenta
E *Sancita ac constituta legibus*
Lucrorum causa in damnum.
Vel decreta & legem
Quærunt immutare,
Arcanáque
Hostibus nostris dicunt.
Vel Persas inducunt
In regionem nostram: quoniam in detrimentum,
F *Impiè se gerunt, iniuriáque afficiunt*
Ciuitatem. Sed ô omnipotens

BOVRDINVS. Προαγωγός.] τουτέστιν, ἡ προάγουσα τινὰ γυναῖκα πορνευομένην, καὶ διδάσκαλος πορνείας οὖσα κακῶν. Ενεθρύλλισεν.] ἐνεψιθύρισεν, ἀσήμως καὶ λάθρα ἐλάλησε. Τοῦ χοός.] χοῦς μέτρον ἀττικὸν χωροῦν ὀκτὼ κοτύλας. κοτύλη δὲ ἡμίξεστον λέγεται. παρὰ τὸ ἐκεῖ κεῖσθαι τὴν ὕλην. εἶδος δὲ ἐπὶ ποτηρίου ὁμωνύμου τῷ ἀγγείῳ τῷ ὑγρῷ ὡς χοῖG νιξ, καὶ εἶδος τοῦ μέτρου, καὶ τὸ κοῖλον τοῦ ὀστέου ἔνθα ἡ κεφαλὴ τοῦ μηροῦ περιστρέφεται. καὶ εἶδος τοῦ ξύλου ἀφ' οὗ τὰ φορτία βαστάζουσι, ὅπερ πρῶτος ἐφεῦρεν ὁ Πρωταγόρας. καὶ γὰρ φορτοφόρος ἦν. Τὸ νόμισμα.] τὸ μέτρισμα. ἀκύρως δὲ τούτῳ τῷ ὀνόματι χρῆται. Διαλυμαίνεται.] διαφθείρει καὶ παραβόλως ἀπατηλῶς τε διαστρέφει. Αρᾶσθε.] κακὰ εὔχεσθε ἐκείνῳ. Νενομισμένους.] τεταγμένους, ὡρισμένους. Αντιμεθιστάναι.] ἀντιμεταβάλλειν καὶ μετατιθέναι, μετακινεῖν τι.

BISET. Ενεθρύλλισεν] ἐνθρυλλίζειν καὶ ἐνθρυλλεῖν ταυτόν. διαψιθυρίζειν. Τὸ νόμισμα] τὸ δίκαιον, καὶ τὸ κατὰ τοὺς πατρίους νόμους μέτρον ταχθὲν, ὃ παραβαίνειν, καὶ διαφθείρειν οὐ θέμις. τὸ μέτρον τὸ νενομισμένον. Ξυνευχόμεθα] στίχοι μικτοὶ κ'. ὧν ὁ τελευταῖος. Καίπερ γυναιξὶν οὔσαις. Τάδ' εὔγματα] τάσδε ταύτας τὰς εὐχάς.

Ζεῦ ταῦτα κυρώσειας, ὡς
Θ' ἡμῖν θεοὶ παραστατεῖν
Καίπερ γυναιξὶν οὔσαις.
Κη. Ἄκουε πᾶς. ἔδοξε τῇ βουλῇ τάδε
Τῇ τῶν γυναικῶν. Τιμόκλει' ἐπεστάτει.
Λύσιλλ' ἐγραμμάτευεν. εἶπε Σωστράτη
Ἐκκλησίαν ποιεῖν ἕωθεν τῇ μέσῃ
Τῶν θεσμοφορίων, ᾗ μάλισθ' ἡμῖν σχολή.
Καὶ χρηματίζειν πρῶτα περὶ Εὐριπίδου
Ὅ,τι χρὴ παθεῖν ἐκεῖνον. ἀδικεῖν γὰρ δοκεῖ
Ἡμῖν ἁπάσαις. τίς ἀγορεύειν βούλεται;

A Iupiter hæc confirmes, vt
Nobis dij assistant,
Quamuis mulieribus existentibus.
PRÆ. Audi vnusquisque, visa sunt senatui hæc,
Mulierum inquam senatui. Timocles præerat,
Lysilla scribæ officium exercebat. Dixit Sostrata,
Concionem facere mane media die
Cerealium festorum, quæ erat satis nobis ocium,
B Et agere primum de Euripide. (enim videtur
Quidnam oporteat pati illum, iniuriam facere
Nobis omnibus. quis concionari vult?

BOVRDINVS. Κυρώσειας.] κύρια ποιήσειας, καὶ τοῖς ἔργοις οὕτω δεῖ ἔχειν δηλώσειας. Παραστατεῖν.] παρεστάναι, βοηθεῖν, ἀρήγειν καὶ ἐπιβοηθεῖν. Ἐπεστάτει.] ὑπῆρχε, πρόεδρος ἦν τῆς βουλῆς. καὶ γὰρ παρ' Ἀθηναίοις ἐπιστάτης ἐκαλεῖτο ἐκεῖνος, ὅστις ἐκ τῶν προέδρων μίαν ἡμέραν ἦρχεν, ἐν ᾗ τάς κλεῖς τῆς ἀκροπόλεως ἐπιστεύετο, καὶ τὰ χρήματα τῆς πόλεως. τοῦτο δὲ ἐποίουν οἱ Ἀθηναῖοι μίαν μόνην ἡμέραν ἄρχειν, ἵνα μὴ ἐρασθῇ τυραννίδος, ἐὰν πολὺν χρόνον ἀρχὴν ἔχων τοσαῦτα χρήματα καὶ πᾶσαν ἀρχὴν τῆς πόλεως ὑφ' ἑαυτῷ. ἐστὶ δὲ ἐπιστάτης ἐκείνῃ τῇ ἡμέρᾳ πρόεδρος ἐν βουλῇ ὡς ὑπέρτατος ὢν καὶ ὑπέροχος ἄλλων. Ἐγραμμάτευε.] γραμματεὺς γέγονε. Ἦν σχολή.] ἡσυχία καὶ ἀσχολία. Χρηματίζειν.] ἐπιχρηματίζειν ἐπιψηφίζειν, τουτέστιν, περὶ τούτου πρῶτον βουλεύεσθαι, καὶ διαλέγεσθαι ἐρωτῶντι. ὅθεν ἐπιχρηματισμὸς καὶ ἐπιψηφισμὸς τοιαῦτα ἐπιζητήσεις ἐλέγετο, καὶ ἐπιχρηματισταί, καὶ ἐπιψηφισταὶ οἱ τοιαῦτα δοκιμάζοντες καὶ ἐπιζητοῦντες ἐλέγοντο. εἶπε.] αὕτη ἐρευνᾷ δὲ καὶ ἔνεστιν δὴ ἡ Σωστράτη μία τῶν γυναικῶν. Ὅτι χρὴ παθεῖν.] περὶ τῆς σωματικῆς ἃς δεῖ διδόναι δίκας. Τίς ἀγορεύειν βούλεται.] τουτέστι δημηγορεῖν. αὕτη δὲ ἦν ἐρώτησις ἥπερ ἐχρῆτο ὁ κῆρυξ βουλόμενος προσκαλεῖν ἐπὶ δημηγορίαν τοὺς παραγινομένους.

BISETVS. Ἄκουε πᾶς.] κωμικὴ, καὶ χαρίεσσα μίμησις τῶν κηρυγμάτων τῶν ἐν τῇ τῶν Ἀθηναίων βουλῇ ποιεῖσθαι εἰωθότων. Τιμόκλει' ἐπεστάτει.] Τιμόκλεια ἐπεστάτει. ἐπιστάτης, βραβευτής, ἔφορος. καὶ ἐπίστασις, ἡ ἐπιστασία, ἡ ἡγεμονία. καὶ τὸ ῥῆμα, ἐπιστατεῖν, ἐφορεύειν, βραβεύειν. ὁ δὲ ἐπιστάτης ἐστὶν εἷς τῶν Πρυτάνεων ὁ κλήρῳ λαχών. δὶς δὲ οὐκ ἔξεστι γενέσθαι τὸν αὐτὸν ἐπιστάτην. ἔχει δὲ οὗτος τὰς κλεῖς τῶν ἱερῶν, ἐν οἷς τὰ χρήματα, καὶ τὰ γράμματα. καὶ ὅταν οἱ Πρυτάνεις τὸν δῆμον, ἢ τὴν βουλὴν συνάγωσιν, οὗτος ἐξ ἑκάστης φυλῆς πρόεδρον ἕνα κληροῖ, μόνην τὴν πρυτανεύουσαν ἀφιείς. Πολυδεύκης. ὁ δὲ κῆρυξ ἐνταῦθα, ὡς εἴρηται, περὶ τῆς τῶν γυναικῶν ἐκκλησίας, καὶ βουλῆς, ὡς περὶ τῆς τῶν ἀνδρῶν, ταῦτα πάντα λέγει, ἅπερ οἱ ἄνδρες ἐν τῇ ἑαυτῶν βουλαῖς, καὶ ἐκκλησίαις

ποιεῖν εἰώθεσαν. εἶχον γὰρ καὶ τοὺς ἄρχοντας, καὶ τοὺς Πρυτάνεις, καὶ τοὺς ἐπιστάτας, καὶ τοὺς γραμματεῖς, καὶ τοὺς συμβούλους, καὶ τὰ λοιπά, καθάπερ ἐν τῇ τῶν γυναικῶν ἐκκλησίᾳ νῦν ὁρῶμεν. Ἐγραμμάτευεν.] γραμματεὺς ὁ κατὰ πρυτανείαν κληρωθεὶς ὑπὸ τῆς βουλῆς ἐπὶ τῷ τὰ γράμματα φυλάττειν, καὶ τὰ ψηφίσματα. καὶ ἕτερος ἐπὶ τῷ τοὺς νόμους φυλάττειν ὑπὸ τῆς βουλῆς χειροτονούμενος. ὁ δὲ ὑπὸ τοῦ δήμου αἱρεθεὶς γραμματεὺς ἀναγινώσκει τῷ τε δήμῳ, καὶ τῇ βουλῇ. Πολυδεύκης. καὶ κατὰ Σουΐδαν γραμματεὺς, πράξεως μὲν οὐδεμιᾶς ἦν κύριος, ὑπανεγίγνωσκε δὲ τῇ βουλῇ, καὶ τῷ δήμῳ τὰ πραττόμενα, καὶ παρὰ τῷ Ἡσυχίῳ γραμματεὺς ὁ ἀναγνώστης, ὅθεν τὸ ῥῆμα γραμματεύειν γράφειν, ἀναγινώσκειν. Τῇ μέσῃ τῶν θεσμοφορίων] τουτέστι τῇ τρίτῃ ἡμέρᾳ. καὶ γὰρ εἰς τὴν τῶν θεσμοφορίων ἑορτὴν πέντε ὅλας πλήρεις ἡμέρας ἀναλίσκειν ἦν ἔθος. τῶν δὲ πέντε ἡμερῶν ἡ μέση ἐστὶ τρίτη, καὶ ἡ τρίτη μέση, ὥσπερ ἐν τοῖς ἄνω προείρηται. Ἦ μάλισθ' ἡμῖν σχολῆς] ἐὰν μάλιστα σχολὴ ἡμῖν ᾖ. ἐὰν ἱκανήν, καὶ ἀρκοῦσαν σχολὴν πρὸς τὸ τὴν ἐκκλησίαν ποιεῖν κατὰ γνώμην ἔχωμεν. Χρηματίζειν] χρηματίζειν, καὶ χρηματίζεσθαι διαφέρουσι. τὸ μὲν γὰρ χρηματίζεσθαι δηλοῖ τὸ τὰ χρήματα πράττεσθαι, τὸ πλουτεῖν, ἢ χρήματα ποιεῖν. ὅθεν χρηματισμὸς, ὁ τῶν χρημάτων πόρος, ὁ τοῦ τὰ χρήματα ποιεῖν λόγος, ἢ ἡ τῶν χρημάτων συναγωγή. καὶ χρηματιστὴς χρημάτων ποριστὴς ὁ ῥᾳδίως χρήματα ποιεῖν. χρηματίζειν δὲ, τὸ πράγμασι χρῆσθαι οἷον φαμέν, ἡ βουλὴ χρηματίζει, καὶ ὁ δῆμος, τουτέστι πράγμασι σχολάζει. χρηματίζειν δὲ λοικῇ τὰ ἀποκρίνεσθαι. Ἀππιανὸς ὁ ἱστορικός. τοῖς πρέσβεσιν ἐχρημάτιζε. χρηματίζειν ἐστὶ καὶ λόγους διδόναι ἀλλήλοις, καὶ τὸ πρᾶγμα διοικεῖν. τινὲς δὲ καὶ ἀντὶ τοῦ ὑπάρχειν ἔλαβον. Σ. ὁ αὐτός, χρηματίζεσθαι, χρήματα λαβεῖν. καὶ χρηματίζεται μέσον ἐστὶ τὸ πρᾶξαι. χρηματίσασθαι δὲ, κερδαίνειν παρὰ Θουκυδίδῃ. καὶ χρηματισάμενοι, πραγματευσάμενοι. τὸ χρηματίζειν περὶ Εὐριπίδου νῦν σημαίνει τὸ περὶ τοῦ πράγματος, καὶ τῆς δίκης τοῦ Εὐριπίδου συμβουλεύειν, καὶ ψηφίζεσθαι.

C

D

E

F

ΓΥΝΗ ΤΙΣ.

Ἐγώ. Κη. Περιθοῦ νῦν τόνδε πρῶτον πρὶν λέγειν. (ἤδη
Σίγα. σιώπα. πρόσεχε τὸν νοῦν. χρέμπτεται γὰρ
Ὅπερ ποιοῦσ' οἱ ῥήτορες. μακρὰν ἔοικε λέξειν.
Γυν. Φιλοτιμίᾳ μὲν οὐδεμιᾷ μὰ τὼ θεὼ
Λέξουσ' ἀνέστην ὦ γυναῖκες. ἀλλὰ γὰρ
Βαρέως φέρω τάλαινα, πολὺν ἤδη χρόνον
Προπηλακιζομένας ὁρῶσ' ὑμᾶς ὑπὸ
Εὐριπίδου τοῦ τῆς λαχανοπωλητρίας,
Καὶ πολλὰ καὶ παντοῖ' ἀκούσας κακά.

MVLIER QVÆDAM.

EGo. PRÆ. Circumpone nunc hoc indumentum primum priusquam dicas. (iam,
MVL. Tace, sile, adhibe mentem. exscreat enim
Quod quidem faciunt oratores. longam orationē videtur dictura. (Cererē & Proserpinā,
MVL. Ambitione quidem nulla non per deas
G Grauiter fero misera, multum iam tempus
Contumeliis affectas videns vos ab
Euripide, filio olerum venditricis,
Et multa & varia audiens maledicta.

BOVRDINVS. Περίθου νῦν τόνδε πρῶτον.] ἀμφιβάλλου περίβαλλου τόνδε χιτῶνα, πρὶν εἰπεῖν. καὶ γὰρ ἔθος ἦν τοῖς ῥήτορσι ἀγορεύειν εἰ μὴ ἐνδεδυμένοι τὸ ἀξιοπρεπὲς καὶ διεσθισμένοι ἱματίων. Πρόσεχε τὸν νοῦν.] ταῦτα πάντα ἐστὶν ἐμφατικὰ καὶ παροξυντικὰ πρὸς τὸ προθύμως ἀκούειν ταῦτ' τῆς γυναικὸς μελλούσης λέγειν. Χρέμπτεται.] ἀποπτύει γὰρ κατὰ μίμησιν τῶν ῥητόρων, οἵπερ εἰώθασι χρέμπτεσθαι πρὸ τοῦ λόγου, ὥστε ῥᾷον καὶ εὐφωνότερον

ρον καὶ λαμπρότερον δημηγορεῖν ἢ λέγειν μακρότερόν τινα λόγον. Φιλοτιμία μὲν οὐδεμιᾷ.] φησὶν ἡ γυνή, ἐγὼ προῆλθον λέξειν ὦ γυναῖκες ἐπιμεφομένη οὐκ ἐπὶ τῷ τιμᾶσθαι, οὐδὲ ἐπιδείξεώς τινος χάριν, ἀλλ᾽ ἐπὶ κοινῷ ἀγαθῷ ἡμῶν πασῶν γυναικῶν. μιμεῖται δὲ ἐν τούτῳ ὁ Ἀριστοφάνης τοὺς παλαιοὺς ῥήτορας. ἐκεῖνοι γὰρ ἀρχόμενοι τῶν λόγων, ὥστε μᾶλλον αὐτοῖς προσέχειν τοὺς ἀκροατάς, καὶ πίστιν ἐκείνοις μείζονα ἐμβάλλειν, ἐπιμαρτύρονται τοὺς θεούς, ὡς μάρτυρας ἐσομένους, ὅτι οὐκ ἐπ᾽ ἰχθρᾷ, φιλίᾳ, ἢ φιλοτιμίᾳ τινὶ λέγειν ἤρχοντο, ἀλλὰ ἐπὶ τῷ συμφέροντι καὶ σωτηρίᾳ τῆς πολιτείας ἐν ᾗ διατρίβουσιν, ὡς ὁ Δημοσθένης ἐν τῷ περὶ στεφάνου, καὶ ἐν τῷ τῶν Φιλιππικῶν τετάρτῳ. Προπηλακιζομένας.] ὑβριζομένας, κακῶς ὁρωμένας, κακολογουμένας τε. Τοῦ τῆς λαχανοπωλητρίας.] ὁ ποιητὴς ἀεὶ διασύρει καὶ καταχλευάζει τὴν τοῦ Εὐριπίδου μητρὸς διὰ ταύτην τὴν βάναυσον καὶ ῥυπαρὰν τέχνην ἐργασίαν τε τοῦ λάχανα πωλεῖν, καὶ ἀεὶ καταγελῶν τοῦ Εὐριπίδου χρῆται τοῖς ῥήμασι φρονοῦσι, ὄζουσί τι ταύτης τῆς λαχανοπωλίας. BISETUS. Περίθου νῦν.] ἤγουν τὸν στέφανον, τὸν στέφανον λαβέ, καὶ τῇ σου κεφαλῇ περίθες. ἔθος γὰρ ἦν τοῖς λέγουσι στεφανοῦσθαι πρὸ τούτου. περίθου δὲ, ὅπερ ἡμῖν σύνηθες ἐπίθου λέγειν. Σίγα, σιώπα.] οὗτοι οἱ δύο στίχοι εἰσὶν ἰαμβικοὶ τετράμετροι καταληκτικοί. τὸ δὲ χρέμπτεται δηλοῖ τὸ φλέγμα ἐκπτύει ἐκ τοῦ στήθους καὶ τοῦ στόματος, ὅπερ οἱ λέγειν μέλλοντες, ἵνα λαμπρότεροι φωνῶσι, ποιεῖν εἰώθασι, νῦν δὲ τῶν ῥητόρων καθάπτεται, καὶ καταγελᾷ. τὸ δὲ ποιοῦσι, ἀντὶ τοῦ ποιοῦσι, μέτρου χάριν, ποιητικόν. Φιλοτιμία μὲν οὐδεμιᾷ.] αὕτη ἡ πρώτη γυνὴ μακρᾷ δημηγορίᾳ τοῦ Εὐριπίδου κατηγορεῖ, καὶ πικροτάτης τιμωρίας, καὶ θανάτου ἄξιον εἶναι ἀποφαίνει. τὴν δὲ τούτων αἰτίαν δηλοῖ, ὅτι τὰς γυναῖκας ἀεὶ προπηλακίζει, καὶ κακῶς λέγει. εἰσὶ δὲ στίχοι ἰαμβικοὶ τρίμετροι ἀκατάληκτοι, ὧν ὁ τελευταῖος, Τὰ δ᾽ ἄλλα μετὰ τῆς γραμματέως συγγράψομαι. Προπηλακιζομένας] προπηλακίζειν, ἀτιμάζειν, ὑβρίζειν, διασύρειν, ἐξουθενεῖν, καὶ προπηλακισμὸς, ὕβρις. εἴρηται δὲ ἀπὸ τοῦ πηλὸν ἐπιχεῖσθαι τὰ πρόσωπα τῶν ἀτιμίαν καὶ ὕβριν καταψηφιζομένων, οὓς ἀρτίως ἀνέβαλον ἐξ οἰνωπίδος.

Τί γὰρ οὗτος ἡμᾶς οὐκ ἐπισμῇ τῶν κακῶν;	C Quo enim iste nos non inspergit conuiciorum?
Ποῦ δ᾽ οὐχὶ διαβέβληχ᾽ ὅπουπερ ἐν βραχὺ	Vbi verò non vituperauit? vbi quidem in breui & paruo
Εἰσὶν θεαταὶ καὶ τραγῳδοὶ καὶ χοροί.	Sunt spectatores & Tragœdi & chori,
Τὰς μοιχοτρόπους, τὰς ἀνδρεραστρίας καλῶν.	Dolosas & mores occultantes, meretrices appellans
Τὰς οἰνοπότιδας, τὰς προδότιδας, τὰς λάλους,	Vinolentas, proditrices, loquaces,
Τὰς οὐδὲν ὑγιές, τὰς μέγ᾽ ἀνδράσιν κακόν.	D Nihil sanum vel bonum, magnum viris malum.
Ὥστ᾽ εὐθὺς εἰσιόντες ἀπὸ τῶν ἰκρίων	Quare statim ingredientes à tabulatis theatri
Ὑποβλέπουσ᾽ ἡμᾶς, σκοποῦνταί τ᾽ εὐθέως	Toruè aspiciunt nos, explorantque protinus,
Μὴ μοιχὸς ἔνδον ᾖ τις ἀποκεκρυμμένος.	Num mœchus intus sit aliquis occultatus.
Δρᾶσαι δ᾽ οὐδὲν ἡμῖν οὐδὲν ὧνπερ καὶ πρὸ τοῦ	Facere autem amplius nobis nihil quemadmodum & antehac
Ἔξεστι. τοιαῦθ᾽ οὗτος ἐδίδαξεν κακὰ	Licet. Talia iste docuit mala
Τοὺς ἄνδρας ἡμῶν. ὥστ᾽ ἐάν τις καὶ πλέκῃ	E Viros nostrûm, vt si aliqua texat
Γυνὴ στέφανον, ἐρᾶν δοκεῖ. κἂν ἐκβάλῃ	Mulier coronam, amare videatur. & si eiecerit
Σκεῦός τι κατὰ τὴν οἰκίαν πλανωμένη,	Vasculum aliquod per domum errans,
Ἁνὴρ ἐρωτᾷ, τῷ κατέαγεν ἡ χύτρα;	Maritus interrogat, cuinam fracta est olla?
Οὐκ ἔσθ᾽ ὅπως οὐ τῷ Κορινθίῳ ξένῳ.	Non est, quomodo non Corinthio hospiti.
Κάμνει κόρη τις; εὐθὺς ἀδελφὸς λέγει,	Laborat morbo virgo aliqua. statim frater dicit,
Τὸ χρῶμα τοῦτό μ᾽ οὐκ ἀρέσκει τῆς κόρης.	Color hic mihi non placet puellæ.
Εἶεν, γυνή τις ὑποβαλέσθαι βούλεται,	F Esto, mulier aliqua supponere vult,
Ἀποροῦσα παίδων. οὐδὲ τοῦτ᾽ ἔστιν λαθεῖν.	Carens filiis: ne hoc quidem licet occultum esse.
Ἄνδρες γὰρ ἤδη παρακάθηνται πλησίον.	Viri enim iam assident propè.
Πρὸς τοὺς γέροντάς θ᾽, οἳ πρὸ τοῦ τὰς μείρακας	Ad senesque, qui antehac puellas
Ἤγοντο, διαβέβληκεν, ὥστ᾽ οὐδεὶς γέρων	Ducebant, vituperauit, vt nullus senex
Γαμεῖν θέλει γυναῖκα διὰ τοῦτο τοὔπος.	Ducere velit vxorem propter carmen hoc,
Δέσποινα γὰρ γέροντι νυμφίῳ γυνή.	Domina enim seni sponso vxor.
Εἶτα διὰ τοῦτον ταῖς γυναικωνίτισιν	Deinde ob id muliebribus cubiculis
Σφραγῖδας ἐπιβάλλουσιν ἤδη καὶ μοχλούς,	G Signacula iniiciunt, & obsignant iam & pessulos,
Τηροῦντες ἡμᾶς, καὶ προσέτι Μολοττικοὺς	Obseruantes nos, & insuper molossos

BOURDINUS. Ἐπισμῇ τῶν κακῶν.] τί γὰρ τῶν κακῶν φησὶν ὁ ποιητὴς, οὗτος οὐκ ἐμβάλλει ἡ καταπλύνει ἡμῶν ἢ τίνα λοιδορίαν, οὐκ ἐπιλοιδορεῖ. Πάντα οὗτος προφέρει ἀδικημάτων καθ᾽ ἡμῶν. ἐπισμᾶν δὲ κυρίως

σημαίνει ἐπιχεῖν, ἐπιχύειν. σμῆξαι γάρ ἐστι τὸ τὸν ῥύπον ἀποξῦσαι μεταφορικῶς δὲ καὶ καταχρηστικῶς, ἀντὶ τοῦ σκάπτειν καὶ ἐπιτρίβειν, λοιδορεῖν τετίθεται, ἀπὸ τοῦ καθαίρεσθαι τὴν σμαρμηγίαν ἡ μεταφορὰ μετενεχθεῖσα. Διαβέβληκε.] διαβολὰς ἔλεγε. Μοιχοτρόπους.] τὰς μοιχικοὺς τρόπους ἐχούσας. ἄλλοι δὲ ἀναγιγνώσκουσι μυχοτρόπους, ἀντὶ τοῦ κακούργους, καὶ λάθρα τὴν ἑαυτῶν κακουργίαν ἀποκρυπτούσας ἁρμοζόντως οἷς προειρήκαμεν. Ἀνδρεραστρίας καλῶν.] ἀνδρῶν ἐρώσας, καὶ φιλούσας, τουτέστι πόρνας. Οἰνοπότιδας.] ἀντὶ τοῦ ἀκρατεῖς καὶ ἀμέτρως ἐξυβρισάσας δι' ὑπὸ παροινίας, καὶ οἰνοποσίας, ἀπὸ τοῦ τὸν οἶνον πίνειν ἢ ποτίζειν, τὸ τὶ ῥῆμα μετενεχθέν. ἄλλοι δὲ ἀναγιγνώσκουσιν, οἰνοπίπας μαθούσας, ἀπὸ τοῦ πιπίζειν, ὅ ἐστι μύζειν ἢ μύσαι. Προδότιδας.] προδιδούσας. Τὰς λάλους.] τὰς πολυλαλούσας. Ἀπὸ τῶν ἰκρίων.] ἴκρια ὀρθὰ λέγεται ξύλα, ἢ σανιδώματα τῆς νεὼς καὶ τὰ τῶν θεάτρων, ἅπερ ἦσαν καὶ ἐν ταῖς ἐκκλησίαις. ἐπὶ ξύλων γὰρ ἐκάθηντο πρὶν γενέσθαι θέατρον ξύλα δεσμεύοντες, καὶ οὕτως ἐθεωροῦντες, προβλήματα δὲ τῶν ξύλων κατὰ τῶν ἡμιτελῶν ἐφιστάντες καὶ ἴκρια προσμίξαντες διαβάσεις πρὸς σφᾶς ἐμηχανῶντο. νῦν δὲ λαμβάνει ὁ ποιητὴς τὰ ἴκρια ἀντὶ τῶν σανίδων τοῦ θεάτρου. γνώμη γὰρ ἤδη, οἱ ἄνδρες ἡμῶν, ἀκούσαντες τῶν λοιδοριῶν καὶ κακῶν προβληθέντων ἡμῖν ὑπὸ τοῦ Εὐριπίδου ἐν τῷ θεάτρῳ καὶ δημοσίᾳ, ἐπανελθόντες ἀπὸ τοῦ θεάτρου εἰς τὴν οἰκίαν δεινόν τι βλέπουσιν ἡμᾶς, ὡς χαλεπαίνοντες ἡμῖν, καὶ διερευνῶσι πότερα μοιχὸς λανθάνει. Μὴ μοιχός.] ἐνταῦθα ἀναιρεῖ τὰ κακὰ συμβαίνοντα ἐκείναις διὰ τὴν κακολογίαν τοῦ Εὐριπίδου, καὶ μέμφεται πᾶσαν τὴν ἐλευθερίαν αὐτῶν ἀφαιρεθεῖσαν τοῦ δρᾶν τι τῶν ἔμπροσθεν εἰωθότων πραχθῆναι ὑπ' αὐτῶν. Πλέκη στέφανον.] ὑφαίνῃ ἢ διακοσμῇ τὸν στέφανον. Πλανωμένην.] οὐκ ἐκ τῆς προαιρέσεως, ἀλλὰ διὰ πλάνησιν καὶ ἀπερισκεψίαν ἐν τῷ πλανᾶσθαι καὶ περιπατεῖν. διὰ τούτων δὲ ἐλέγχει καὶ κατηγορεῖ ἡ γυνὴ τὴν γλισχρότητα τῶν ἀνδρῶν ἐπενεχθεῖσαν ὑπὸ τοῦ Εὐριπίδου. Κατέαγεν ἡ χύτρα.] ἐφθάρη. Οὐκ ἔσθ' ὅπως.] ἐστὶν ἀδύνατόν τινα κόρην τῷ ξένῳ Κορινθίῳ ὑποτίθεσθαι, καὶ κρύφα συγγίνεσθαι. Κάμνειν.] ἀντὶ τοῦ ὑποκάμνειν. Οὐκ ἀρέσκει τὸ τῆς κόρης.] οὐκ ἀρέσκομαι τοιούτῳ τινὶ χρώματι, φησὶν ὁ ἀδελφὸς ὑποπτεύων τινὰ ὑποψίαν κακοῦ, ὡς ὑπολανθάνοντος ἐν τῇ κόρῃ ἐκ τοῦ συμμεμίχθαι καὶ συγγεγονέναι ἀνδράσι τισί, καὶ οὕτως συνάξασαν τοῦτο τὸ χρῶμα. Ὑποβαλέσθαι.] τουτέστιν ὑποθέσθαι, ὅθεν καὶ παῖδες ὑποβολιμαῖοι καλοῦνται ὑπὸ Δημοσθένους ἐν τῷ κατὰ Φιλίππου ϛ'. λόγῳ, οἱ ὑποτεθέντες. Ἀπορεῦσα παίδων.] ἐρήμη τέκνων, ἄπαις, ἄτεκνος. Λαθεῖν.] λάθρα ποιεῖν. Δέσποινα γὰρ γέροντι.] ἐθέλει, φησί, δεσπόζειν, καὶ ἄρχειν τοῦ γέροντος νυμφίου ἡ γυνὴ νέα. τοιαῦτα δὲ ῥήματα καὶ τραγῳδήματα ἐκπλήττει τοὺς ἄνδρας γέροντας τὸ πρόσθεν τὰς μειρακίσκας λαμβάνοντας. Εἶτα.] ζηλοτυπίας σημεῖα ἐνταῦθα ἐξαγορεύει καὶ διερμηνεύει τῆς γυναικωνίτιδος τῆς οἰκίας τῶν γυναικῶν. Σφραγῖδας ἐπιβάλλουσι.] ἐπισφραγίζουσι, καὶ ἐπιμοχλοῦσι τοὺς μὴ μοιχοὺς εἰσελθεῖν. Μολοττικοὺς κύνας.] τοὺς ποιμενικοὺς καὶ μεγάλους φοβεροὺς τοῖς εἰσιοῦσι τὰς οἰκίας.

Bisetus. Ἐπισμῇ.] ἐπιχείει. ἐπιχύει. σμῆξαι

A δέ ἐστι τὸ τὸν ῥύπον ἀποξῦσαι. οἱ δὲ μεταφορικῶς ἀπὸ τοῦ σμήχειν, εἴρηται, ἐπιτρίβειν. σφοδρὰν γάρ τινα τρῖψιν, καὶ σμῆξιν εἴρηται. τάχα δὲ καὶ τὴν σμώδικα εἴρηκεν ἀπὸ τούτου. εἰ δὲ ἐξ ἔθους γλωσσηματικὴν εἴρηται τὴν λέξιν, καὶ οὐκ εἴρηται ἐπιτρίβειν, ἀλλὰ τύπτειν, καὶ σκώπτειν τὸ σμώχειν. ἔστι δὲ λοιδορία (ἡ μεταφορά.) ἀπὸ τῆς καθάρσεως τῆς σμαρμηγίων. Σ. Ἐπισμῇ δὲ, τρίτον πρόσωπον ὑποτακτικοῦ ἀπὸ τοῦ ἐπισμάω, ῶ, ὃ καὶ ἐπισμῶ, ᾷ, ὅπερ ἐνταῦθα ἀντὶ τοῦ ἐπιχρίω, ἐπιπάσσω, ἐπιρραίνω ληπτέον δοκεῖ. καὶ τοῦτο μεταφορικῶς. Ἐμβραχύ.] B τινὲς χωριστέον νομίζουσιν, ἐν βραχεῖ, δηλονότι λόγῳ. ἔμβραχυ δὲ ὡς ἀλλαχοῦ εἴρηται. Ἀττικὴ δὲ συνήθεια, ἢ οὐδὲν ἄλλο δηλοῖ ἢ τὸ βραχύ. ὁ δὲ νοῦς ἐστὶν ἵνα δὲ διὰ βραχέων, καὶ συντόμως τὸ πᾶν εἴπω, ποῦ ποτε εἰσὶ θεαταί, καὶ τραγῳδοί, καὶ χοροὶ ὅπου ἡμᾶς ὁ Εὐριπίδης οὐ διαβέβληκεν; καὶ γὰρ ἑκάστοτε ἐν τῷ θεάτρῳ τοῦ αὐτοῦ τραγῳδίαις ἡμᾶς κακῶς λέγει, καὶ διαβάλλει. Τὰς μυχοτρόπους.] τὰς τοὺς τρόπους ἐν μυχῷ ἐχούσας. τὰς ἐχούσας τοὺς τρόπους μυχίους, καὶ οἱονεὶ τὰς κρυπτούσας τοὺς ἑαυτῶν τρόπους ἐν μυχοῖς, ἵνα μὴ γνωσθῶσι. τουτέστι C τὰς δυσγνώστους. ἀνδρεραστρίας δέ, τῶν ἀνδρῶν ἐραστρίας. τῶν ἀνδρῶν ἐρώσας. ἐράστρια θηλυκὸν τοῦ ἀρσενικοῦ ἐραστής. Τῶν ἰκρίων.] ἴκρια προπαροξυτόνως τὰ τῶν νεῶν καταστρώματα, καὶ τὰ ἐγκοίλια τῆς νεώς. καὶ τὸ μέρος τοῦ καταστρώματος, ἔνθα ὁ τοῦ κυβερνήτου τόπος, καὶ ὁ ἱστὸς τῆς νεώς. καὶ ἴκρια, τὰ ἐν τῇ ἀγορᾷ, ἀφ' ὧν ἐθεῶντο τὸ παλαιὸν τοὺς Διονυσιακοὺς ἀγῶνας, πρὶν ἢ κατασκευασθῆναι τὸ ἐν Διονύσου θέατρον. Εὐστάθιος. Ἄλλως. Ἴκρια, ὀρθὰ ξύλα, ἢ σανιδώματα τῆς νεώς. καὶ τὰ τῶν θεάτρων, ἃ ἦσαν καὶ ἐν ταῖς ἐκκλησίαις. ἐπὶ ξύλων γὰρ ἐκάθηντο D πρὶν γενέσθαι τὸ θέατρον ξύλα ἐνδεσμεύοντες, καὶ οὕτως ἐθεώρουν. προβλήματα δὲ ξύλων ἡμιτελέσιν ἐφιστάντες καὶ ἴκρια προσπήξαντες διαβάσεις πρὸς σφᾶς ἐμηχανῶντο. Σ. Ἰκριώματα δέ, τὰ ἔξωθεν τῶν τειχῶν προβεβλημένα ἐπ' ἀσφαλείᾳ, καὶ ἀντερείσει. Εὐστάθιος. σημειῶσαι δὲ καὶ ἴκρια παροξυτόνως παρὰ πολλοῖς εὑρισκόμενα. νῦν δέ, τὰ ἐν τῷ θεάτρῳ, ἐν οἷς ἐκάθηντο, καὶ ἀφ' ὧν ἐθεώρουν. καὶ ἀπὸ τῶν ἰκρίων ἐνταῦθα ληπτέον ἀντὶ τοῦ ἀπὸ τοῦ θεάτρου, ἢ τῆς ἐκκλησίας, συνεκδοχικῶς δηλαδὴ τὸ μέρος ἀντὶ τοῦ ὅλου. Τῷ Κορινθίῳ ξένῳ.] ξένος, ὁ ἀλλοδαπός, E ἢ ὁ ἀλλοδαπὸν ἀποδεχόμενος. νῦν δὲ ξένον Κορίνθιον ἴσως καλεῖ τὸν μοιχόν. ἐν Κορίνθῳ γὰρ πολλοὶ μοιχοί, καὶ πολλαὶ πόρναι ἦσαν. Κάμνει κόρη τις.] κάμνειν, ἐπὶ τοῦ ποιεῖν, καὶ ἐργάζεσθαι, καὶ ἐπὶ τοῦ νοσεῖν, ὡς ἐνταῦθα λέγεται. λέγεται δὲ καὶ ἐπὶ τῶν ἀποθανόντων. εἴδωλα καμόντων. προσλαβὸν δὲ τὴν ἀπὸ πρόθεσιν, σημαίνει τὸ ἀπειπεῖν. ἀπαγορεῦσαι. καὶ ἀπογνῶναι. οἷον ἀπεκάμομεν νουθετῶν. Σ. Δέσποινα γάρ.] ὅδε ὁ στίχος τοῦ αὐτοῦ Εὐριπίδου ἐστὶν ἐν τῷ Φοίνικι. ὡς παρὰ Στοβαίῳ σεσημείωται. ὁ δὲ νοῦς ἐστιν. ἡ γὰρ νεωτέρα γυνὴ τοῦ γέροντος νυμ- F φίου ἐστὶ δέσποινα. αὐτοῦ δεσπόζει, αὐτοῦ κρατεῖ, καὶ δεσποσύνην ἔχει, διὰ τὸ αὐτῆς νέον, καὶ τὸ αὐτοῦ γῆρας. Γυναικωνίτισιν] γυναικωνῖτις, εἶδος, οἰκία τῶν γυναικῶν. Σ. μολοττικὸς δὲ κύων, ὁ ποιμενικός, καὶ μέγας. μορμολύκεια δὲ τὰ τῶν τραγῳδῶν προσωπεῖα. καὶ τὰ τῶν ὑποκριτῶν, ἃ Δωριεῖς γέργια καλοῦσιν, ἔνθεν καὶ τὸ μορμολύζεσθαι, τὸ ἐκφοβῆσαι. Σ.

Τρέφουσι μορμολύκεια τοῖς μοιχοῖς κύνας.
Καὶ ταῦτα μὲν ξύγγνωθ'· ἃ δ' ἦν ἡμῖν πρὸ τοῦ
Αὐταῖς ταμιεύεσθαι, προαιρούσαις λαβεῖν.

G *Alunt, larvas ac terricula adulteris canes.*
Et hæc quidem cognoscite affatim nobis antehac,
Ipsis cellam promptuariam custodiri proponentibus & volentibus accipere.

Αλ-

Ἄλφιτον. ἔλαιον. οἶνον. οὐδὲ ταῦτ᾽ ἔ-
τι
Ἔξεστιν. οἱ γὰρ ἄνδρες ἤδη κλειδία
Αὐτοὶ φορεῦσι κρυπτὰ κακοηθέστατα,
Λακωνικ᾽ ἄττα τρεῖς ἔχοντα γομφίους.
Πρῶτον μὲν οὖν ἦν ἀλλ᾽ ὑποῖξαι τὴν θύ-
ραν
Ποιησαμέναισι δακτύλιον τριωβόλου.
Νῦν δ᾽ οὗτος αὐτοὺς ᾠκότριψ Εὐριπί-
δης
Ἐδίδαξε θριπήδεστ᾽ ἔχειν σφραγίδια
Ἐξαψαμένους. νῦν οὖν ἐμοὶ τοῦτο δοκεῖ
Ὄλεθρόν τιν᾽ ἡμᾶς κυκανᾶν ἁμῶς γέ πως
Ἢ φαρμάκοισιν, ἢ μιᾷ γέ τῳ τέχνῃ,
Ὅπως ἀπολεῖται, ταῦτ᾽ ἐγὼ φανερῶς λέ-
γω.
Τὰ δ᾽ ἄλλα μετὰ τῆς γραμματέως συγγράψο-
μαι.
Χο. Οὔπωποτε ταύτης
Ἤκουσα πολυπλοκωτέρας
Γυναικὸς οὐδὲ δεινότερον λεγούσης.
Πάντα γὰρ λέγει δίκαια. πάσας δ᾽ εἰ-
δέας
Ἐξήτασεν. πάντα δ᾽ ἐβάστασε φρενὶ
Πυκνῶς τε ποικίλους λόγους
Ἀνεῦρεν εὖ διεζητημένους.
Ὥστ᾽ ἂν εἰ λέγοι παρ᾽ αὐτὴν Ξενοκλῆς ὁ Καρκί-
νου
Δοκεῖν ἂν αὐτὸν
Ὡς ἐγῷμαι πᾶσιν ὑμῖν ἄντικρυς μηδὲν λέ-
γειν.

A *Farinam, oleum, vinum, ne hac quidem amplius*
Licet. viri enim iam clauiculas
Ipsi gestant occultas, callidißimas, ac maxime malignas,
Laconicas quasdam treis habentes clauiculos.
Sed prius quidem certè licebat aperire fores,
Facientibus annulum triobolo & vili precio.
B *Nunc verò iste ipsos verna Euripides*
Docuit minuta, & quasi à tineis corrosa habere sigilla
Appensa habentes. Nunc igitur mihi hoc videtur
Perniciem aliquam nos miscere ac moliri quomodocunque
Vel veneno, vel vna quidem arte,
Vt pereat. hac ego apertè dico,
C *Reliqua verò cum scriba simul scribam.*
CH. Nunquam hac
Audiui callidiorem
Muliere, neque facundius dicentem.
Omnia enim dicit iusta, omnesq́ species eloquentia
Examinauit, omniaq́ gestauit mente,
Denséq́ & prudenter varias orationes
Inuenit bene exquisitas:
D *Vt si diceret ad comparationem ipsius Xenocles, filius Carcini,*
Videretur ipse,
Vt ego puto, omnibus vobis planè nihil dicere.

BOVRDINVS. Μορμολύκεια.] τὰ τῶν τραγῳδῶν προσωπεῖα καὶ τῶν ὑποκριτῶν, ὅθεν καὶ τὸ μορμολύττεσθαι, ἐκφοβεῖσθαι, ἐκπλήττειν, τῇ αἰτιατικῇ. Ταμιεύεσθαι.] διανέμειν, διοικεῖν κατὰ τὴν γνώμην, ὅθεν καὶ ταμιεύεται καὶ ταμιευτήρια. Προαιρούσαις.] βουλομέναις. Ἔξεστι.] ἀφῄρηται ἡμῶν αὐτὴ ἡ ἐξουσία τοῦ δύνασθαι διοικεῖν καὶ διανέμειν ταῦτα, ἄλφιτον, ἔλαιον, οἶνον. Κακοηθέστατα.] δυσχερέστατα πρὸς τὸ μιμηθῆναι, ὥστε δύνασθαι ἀνοίγειν τὰς ἐλαιοθήκας καὶ ἀλφιτοθήκας σὺν τοῖς ψευδοκλειδίοις. Οἰκότριψ.] τουτέστιν ὁ οἰκογενὴς δοῦλος κατὰ διαφορὰν τῶν οἰκετῶν αἰχμαλώτων, ὃ λέγεται ὁ δοῦλος ἀπὸ γονέων. σύγκειται δὲ τὸ ὄνομα ἐκ τοῦ οἴκου καὶ τρίβειν. σημαίνει δὲ συνεχῆ τινὰ περικύλισιν καὶ πλάνησιν διατριβήν τε ἐν τῇ οἰκίᾳ δεσπότου. ἄλλοι δὲ ἀναγιγνώσκουσι ᾠκότριψε, τουτέστιν, οὕτως ὁ Εὐριπίδης κατεδούλωσεν αὐτούς, καὶ τῇ οἰκοτριβίᾳ τινὶ καὶ σμικρολογίᾳ περιέπλεξεν. ἐγὼ δὲ ταύτην ἀνάγνωσιν ἀληθεστέραν εἶναι νομίζω. Θριπήδεστα.] λέγεται κυρίως τὰ ξύλα βιβρωμένα καὶ διεφθαρμένα ἀπὸ τῶν θριπῶν. θρὶψ δέ ἐστι ζῷον κατέσθιον ξύλα καὶ κατεδηδεσμένον κέρατα ξύλων, ἐνταῦθα δὲ καλεῖ σφραγίδια θριπήδεστα, πολλοῖς καὶ μικροῖς τρυπήμασι τρυπηθέντα, ὡς δὴ καταβρωθέντα ὑπὸ τῶν θριπῶν καὶ σκωληκῶν βουλόμενος τὴν λεπτότητα τούτων, καὶ ἰσχνότητα καὶ ἔτι διατρύπησιν δεικνύναι, καὶ διὰ τοῦτο τὴν δυσχερῆ μίμησιν ἐκείνων καὶ ἀντισφράγισιν. καὶ γὰρ χαλεπόν ἐστι τὰ σφραγίδια διατρυπηθέντα ἀντισφραγίζειν μάλιστα πολλοῖς καὶ μικροῖς διατρυπήμασιν τρυπηθέντα. Κυκανᾶν.] τουτέστι, διὰ κυκανᾶν κατασκευάζειν καὶ ἐπάγειν. κυρίως δὲ λέγεται τοῦτο τὸ ῥῆμα ἐπὶ τῶν φαρμάκων λυγρῶν καὶ θανατοφόρων, ἅπερ μίγνυται διαθηθέντα μέρα τινι ἐπὶ θανάτῳ, ὥστε μᾶλλον βλαβερὰ καὶ ὀλέθρια γίγνεσθαι.
E Ἁμῶς γέ πως.] ὅπως δήποτε καὶ ἐκ παντὸς τρόπου. ὁ ποιητὴς ἐνταῦθα ἐλέγχει τὴν κακοτροπίαν τῶν γυναικῶν, αἵπερ λάθρα διαμηχανῶνται τὰ βίαια καὶ φανερῶς ὑπ᾽ αὐτῶν διαπράττεσθαι οὐ δυνάμενα. Πολυπλοκωτέρας.] πολυτροπωτέρας καὶ παλιμβολωτέρας. πολύπλοκος γὰρ σημαίνει τὸν πολύτροπον, καὶ ἐπὶ πολλὰ τρεπόμενον, ἢ τὴν ἑαυτοῦ διάνοιαν τρέποντα ἐφ᾽ ἕνα καιρόν, καὶ τὸν ποικιλοφρονοῦντα. Δεινότερον.] μετὰ μείζονος τέχνης. Ἐξήτασε.] ἐβασάνισε, ἐξεδοκίμασε, διηρεύνησε.
F Διεζητημένους.] ἐξευρημένους, καὶ σοφῶς καλῶς τε βασανισθέντας. Πυκνῶς.] σωφρόνως, νουνεχῶς, καὶ σοφῶς. Παρ᾽ αὐτὴν Ξενοκλῆς ὁ Καρκίνου.] ὥστε φησὶν ὁ Ἀριστοφάνης, ἐὰν λέγῃ ὁ Ξενοκλῆς παραβληθεὶς καὶ συγκριθεὶς ταύτῃ τῇ γυναικὶ οὕτως ἐρούσῃ δεινῶς καὶ σοφῶς οὐδὲν δοκῇ ἂν λέγειν καὶ οὐδενὸς ἄξιος ῥήτωρ εἶναι κατ᾽ ἀντεξέτασιν ταύτης τῆς γυναικός. ἦν δὲ Ξενοκλῆς υἱὸς τοῦ Καρκίνου ποιητοῦ Ἀττικοῦ, ὅστις ἐσκώπτετο ὁμοίως καὶ ἐκείνου πατρός. ἐνομίζετο γὰρ εἶναι τινι βωμολοχίᾳ καὶ ἐλαφρότητι τῆς φύσεως ἀεὶ τὰ τερατώδη καὶ νεω-
G ροπαστικὰ διαλεγούσης, πρῶτος μηχανὰς καὶ τερατείας εἰσαγαγεῖν ἐν τοῖς δράμασιν, καὶ διὰ τοῦτο ὁ Πλάτων ἐκάλει ἐκεῖνον δωδεκαμήχανον, ἐπεὶ καὶ πολλάκις ὡς μηχανικὸς εἰς θέατρον εἰσέφερεν μηχανήματά τινα, ἡνίκα θεοὺς ἐμιμεῖτο ἀνερχομένους ἢ κατερχομένους ἐκ τοῦ

οὐρανοῦ. Ἀστηρικὸς.] φανερῶς καὶ ἀναμφισβητήτως μηδὲν ἄξιον λόγου εἰπεῖν.

Bisetus. Ἀδήλου.] ἀντὶ τοῦ ἀδείξειν. τὸ δὲ προαιρετικῶς λαβεῖν, τινὲς ἀπιθάνως ἑρμηνεύουσι, προῃρημένως, τουτέστι κατὰ τὴν ἡμετέραν προαίρεσιν, καὶ γνώμην, ὅταν βουλώμεθα λαβεῖν. ἀλλαχοῦ δὲ τὸ προαιρεῖν, τὸ πρότερον λαβεῖν, εἴτε προλαβεῖν δηλοῖ. Κακοηθέστατα.] κρυπτὰ, δυσεπιβούλευτα. εἴτε δὲ μεταφορικῶς. Εὐστάθιος. Λακωνικὰ δὲ λέγει, ὅτι αἱ Λακωνικαὶ κλεῖδες κατὰ τὸν Σουΐδαν περιβόητοι ἦσαν. γομφίους δὲ καλεῖ τοὺς ὀδόντας. τὰς κλειδώσεις. μεταφορικῶς καὶ τὸ νῦν λέγεται. ὑποῖξαι δὲ, λάθρα, καὶ κλεπτικῶς ἀνοῖξαι. Οἰκότριψ.] τὸ πλῆρες, ὁ οἰκότριψ. τουτέστιν ὁ ἐν τῇ οἰκίᾳ θρεπτὸς. διαφέρει δὲ οἰκέτης οἰκοτρίβου. ὁ μὲν γὰρ οἰκότριψ ἀπὸ γονέων δοῦλος. ὁ δὲ οἰκέτης, οὐ πάντως, ἀλλὰ καὶ ὁ αἰχμάλωτος, καὶ ὁ ἐν οἴκῳ ὤν. Ἄλλως. οἰκότριψ ὁ ἐν τῇ οἰκίᾳ διατρεφόμενος, ὃν ἡμεῖς θρεπτὸν καλοῦμεν. οἰκέτης δὲ, ὁ δοῦλος, ὁ ὠνητός. Ἡσύχιος. οἰκότριψ δὲ λέγεται διὰ τὸ τρεφόμενον ἐν τῇ οἰκίᾳ τρίβειν, εἴτε διατρίβειν, στρέφεσθαι, μένειν, καὶ διάγειν. Θριπήδεστα.] Σουΐδας, θριπήδεστα διὰ τοῦ η. οὕτω δὲ καλεῖται τὰ ξύλα ὑπὸ θριπῶν βεβρωμένα, οἷς ἐσφράγιζον. θρὶψ γὰρ ζῷόν ἐστι κατεσθίον ξύλα, καὶ κέρατα. καὶ θριπήδεστον Τηλεκλείδης τὴν Ἑλλάδα εἶπεν, ἀντὶ τοῦ διεφθαρμένην,

ἀπὸ τῶν ὑπὸ θριπῶν καταδεδηδεσμένων ξύλων. Ἄλλως. Παυσανίας λέγει ὅτι θριπήδεστα ξυλήφια τὰ ὑπὸ θριπῶν βεβρωμένα, ὡς ἀπὸ τοῦ ἔδω. οἷς ἐχρῶντο, φασὶν, οἱ σφόδρα οἰκονομικοὶ ἀντὶ γλυπτῶν σφραγίδων. Εὐστάθιος. τινὲς δὲ αὐτὰ πεντασυλλάβως θριπηδέστατα καλοῦσι. διαφέρει δὲ τὸ σφραγίδιον τοῦ δακτυλίου. ὅτι κατὰ τὸν Ἡσύχιον δακτύλιον μὲν τὸ ἁπλοῦν δακτυλίδιον ἐκάλουν. τὸ δὲ γλυφὴν ἔχον, σφραγίδιον. Κυκανᾶν.] ἔν τισι παλαιῶν ἀντιγράφων, καὶ παρὰ τῷ Σουΐδᾳ γράφεται κυρκανᾶν μετὰ τοῦ ρ. δηλοῖ δὲ τὸ ταράττειν, καὶ κινεῖν, ἀπὸ τοῦ κυκάω, ῶ. διὸ βέλτιον ἴσως γράφειν κυκανᾶν ἄνευ τοῦ ρ. Οὐπώποτε.] τὴν γυναῖκα τὴν Εὐριπίδου καταδραμοῦσαν, καὶ κατηγορήσασαν ὁ χορὸς ἐπαινεῖ. εἰσὶ δὲ στίχοι δέκα μικτοί. Πολυπλοκωτέρας.] πολύπλοκος, πολύτροπος. ὁ ἐπὶ πολλὰ τρεπόμενος, ἢ τρέπων τὴν ἑαυτοῦ διάνοιαν ὑφ᾽ ἕνα καιρόν. Ἡσύχιος. οὕτω καὶ παρὰ Θεόγνιδι τοὐτίον,

> Πουλύπου ὀργὴν ἴσχε πολυπλόκου, ὃς ποτὶ πέτρη
> Τῇ προσομιλήσει, τοῖος ἰδεῖν ἐφάνη.

Ἐν δὲ τοῖς κάτω νόημα πολύπλοκον καλεῖται τὸ πολύτροπον. Ξενοκλῆς ὁ Καρκίνου.] περὶ τούτων εἴρηται ἐν Βατράχοις, καὶ ἀλλαχοῦ.

ΕΤΕΡΑ ΓΥΝΗ.

ALTERA MVLIER.

Bisetus. Ἡ νῦν παρελθοῦσα γυνὴ τὰ ὑπὸ τῆς πρώτης κατ᾽ Εὐριπίδου ἄρτι λεχθέντα συντόμως ἐπιψηφίζουσα, ἓν μόνον προστίθησιν, ἔγκλημα ὅτι ἀσεβὴς, καὶ ἄθεος ὢν, τὸν δῆμον διδάσκει ἐν ταῖς αὐτοῦ τραγῳδίαις μὴ εἶναι θεούς. εἰσὶ δὲ στίχοι τρίμετροι ἀκατάληκτοι ις´.

Ετ.Γ. Ὀλίγων ἕνεκ᾽ αὐτὴ παρῆλθον ῥημάτων.
Τὰ μὲν γὰρ ἄλλα, αὕτη κατηγόρηκεν εὖ.
Ἃ δ᾽ ἐγὼ πέπονθα ταῦτα λέξαι βούλομαι.
Ἐμοὶ γὰρ ἀνὴρ ἀπέθανεν μὲν ἐν Κύπρῳ.
Παιδάρια πέντε καταλιπὼν, ἃ ᾽γὼ μόλις
Στεφανηπλοκοῦσ᾽ ἔβοσκον ἐν τοῖς μυρρίναις.
Τέως μὲν οὖν ἀλλ᾽ ἡμικάκως ἐβοσκόμην,
Νῦν δ᾽ οὗτος ἐν ταῖσι τραγῳδίαις ποιῶν
Τοὺς ἄνδρας ἀναπέπεικεν οὐκ εἶναι θεούς.
Ὥσ᾽ οὐκέτ᾽ ἐμπολῶμεν οὐδ᾽ εἰς ἥμισυ.
Νῦν. οὖν ἁπάσαισι παραινῶ καὶ λέγω,
Τοῦτον κολάσαι τὸν ἄνδρα πολλῶν οὕνεκα.
Ἄγρια γὰρ ἡμᾶς ὦ γυναῖκες δρᾷ κακὰ
Ἅτ᾽ ἐν ἀγρίοισι λαχάνοις αὐτὸς τραφείς.
Ἀλλ᾽ εἰς ἀγορὰν ἄπειμι. δεῖ γὰρ ἀνδράσιν
Πλέξαι στεφάνους συνθηματιαίους εἴκοσιν.
Χο. Ἕτερον αὖ τι λῆμα τοῦτο
Κομψότερον ἔτ᾽ ἢ τὸ πρότερον ἀναπέφηνεν.
Οἷα κατεστωμύλατο
Οὐκ ἄκαιρα φρένας ἔχουσα.
Καὶ πολύπλοκον νόημα. οὐδ᾽ ἀσύνετ᾽ ἀλλὰ
Πιθανὰ πάντα. δεῖ δὲ ταύτης

AL.M. *Paucorum causa ipsa prodij verborum,*
Alia enim haec accusauit bene:
Quae verò passa sum, haec dicere volo.
E *Mihi enim vir mortuus est quidem in Cypro,*
Puerulos quinque qui reliquit, quos ego vix
Coronas texens pascebam in Myrtis.
Tunc quidem igitur, sed semimale alebar,
Nunc verò iste in Tragaedijs faciens,
Viros persuasit non esse Deos.
Vnde non amplius vendimus ne dimidium quidem coronarum.
Nunc igitur omnes admoneo, & dico
F *Hunc punire virum multis de causis.*
Agrestibus enim nos ô mulieres, afficit malis,
Vtpote in agrestibus oleribus ipse nutritus.
Sed in forum abibo, oportet enim viris
Texere coronas consacrificatorias viginti.
CH. Altera rursus quaedam audacia haec
Facundior adhuc quàm prior apparuit.
Qualia facunde dixit,
G *Non importuna, mentem habens,*
Et varium multiplicémque sensum, neque imprudentia, sed
Probabilia omnia. oportet autem huius

Bourdinus. Ὀλίγων ἕνεκ.] ἐγὼ, φησὶν ἡ γυνὴ, βούλομαι βραχυλογεῖσθαι καὶ ὀλίγα εἰπεῖν. πα-

θοῦσα

θητικῶς δὲ καὶ μετ' ἐλεημοσύνης τινὸς κατηγορεῖ τῆς τοῦ Εὐριπίδου ἀσεβείας. ἄρχεται γὰρ ἀπὸ τῆς βοσκήσεως τῶν παίδων, καὶ μέμφεται τοῦ Εὐριπίδου, ὅτι διὰ τὴν ὑπερβολὴν τῆς ἀσεβείας αὐτοῦ εἰς τοὺς θεοὺς ἀφείλετο τὴν εὐπορίαν τῶν παίδων ἐκείνης, οὓς δὴ αὐτάρκως ἔτρεφε ἐκ τῆς στεφανοπλοκίας πρὸ τῆς κατηγορίας καὶ κακολογίας τοῦδε Εὐριπίδου, ὃς ἀναπέπεικε θεοὺς οὐκ εἶναι, καὶ οὕτω στεφάνων οὐ δέονται. Στεφανηπλοκοῦσα.] τουτέστι πλέκουσα τοὺς στεφάνους, ὑφαίνουσα καὶ διακοσμοῦσα. Ἡμικάκως.] τουτέστιν οὔτε λαμπρῶς, οὔτε πονηρῶς, ἀλλὰ μετρίως. B Νῦν δ' οὗτος.] ἐνταῦθα ἡ γυνὴ διασύρει καὶ ὀνειδίζει τὴν ἀσέβειαν τοῦ Εὐριπίδου, ὃς ἄθεός ἐστιν. Εἰς ἥμισυ.] ὅσον περ εἰώθειμεν, ὅτι θεοὺς οὐ νομίζουσιν εἶναι πολλοὶ ἀναπεισθέντες καὶ ψευδοδιδαχθέντες ὑπ' Εὐριπίδου, καὶ διὰ τοῦτο οὐκ ἐθέλουσι πρίασθαι τῶν στεφάνων. Ἄγρια.] τουτέστι χαλεπὰ κακοήθη, ἀπὸ μεταφορᾶς τῶν ἀγρίων λαχάνων, ἅπερ ἐστὶ τὴν γεῦσιν καὶ πέψιν χαλεπά, δύσκολά τε καὶ αὐστηρὰ καὶ δυσάρεστα. ἐνταῦθα δὲ καταγελᾷ τῆς μητρὸς τοῦ Εὐριπίδου, ἥπερ λαχανοπωλεῖν λέγεται, ὡς προείρηται. C Στεφάνους συνθηματιαίους.] τοὺς ἐκδοτικούς, ἐργολαβημένους, ἐκδεδομένους, ἢ ἐκδοσίμους, κατὰ τὸ σύνθημα συμβληθέν. σύνθημα γὰρ δηλοῖ τὴν ὁμολογίαν συνθήκην, ἀπὸ τοῦ συντίθεσθαι, καὶ συνάλλαγμα. Λῆμα.] ἡ μεγαλοψυχία, καὶ ἀνδρεία, τὸ θάρσος τῆς ψυχῆς. Κομψότερον.] εὐσχημονέστερον, ἀξιοπρεπέστερον, εὐτακτότερον. Ἀνεπτέρωσεν.] ἀνεφάνη. Κατεστωμύλατο.] ἐφλυάρησεν, ἐφλυαρεύσατο. ὅθεν καὶ στωμύλματα, φλυαρεύματα καὶ λαλήματα λέγεται. Οὐκ ἄκαιρα.] τουτέστι καίρια. Φρένας ἔχουσα, καὶ πολύπλοκον νόημα.] νουνεχὴς φρονίμη, καὶ ποικιλόνους ποικίλα τε νοήματ' ἔχουσα. D Ἀσύνετα.] ἄφρονα καὶ πίστιν οὐκ ἔχοντα. Πιθανά.] πιστότητος ἄξια πάντα.

Bisetus. Παιδέρια.] παιδάριον, οὐ μόνον ἐπὶ τῶν ἀρρένων λέγεται τῷ ὀνόματι οἱ ῥήτορες, ἀλλὰ καὶ ἐπὶ τῶν παρθένων. Σ. Ἄλλως. παιδάρια, τὰ μείζονα, A καὶ τὰ ἀρτίως γεγονότα. Ἡσύχιος. Ἐν ταῖς μυρρίναις.] μυρρίνη, ἡ καὶ μυρσίνη, εἶδος φυτοῦ, ἐξ οὗ στέφανοι ἐποιοῦντο. καὶ τούτοις οἱ ἄρχοντες ἐστεφανοῦντο. Ἐμπολῶμεν.] ἐμπολᾶν, ἀγοράζειν πιπράσκειν, πωλεῖν. ἐμπολᾶσθαι δὲ πρίασθαι, ὠνεῖσθαι. Στεφάνους συνθηματιαίους.] Σ. οὓς ἡμεῖς λέγομεν ἐκδοτικούς. Ἄλλως. συνθηματιαῖοι, οἱ ἠργολαβημένοι, καὶ ἐκδεδομένοι. Ἡσύχιος. ἀλλὰ βέλτιον εἰ καλοίης στεφάνους συνθηματιαίους τοὺς ἐκ συνθήματος, εἴτε συνθήκης τοῦ τε πιπράσκοντος, καὶ τοῦ ὠνουμένου πεποιημένους. καὶ οὕτως τῇ συντεθειμένῃ συνδοκούσῃ, καὶ διωρισμένῃ ἡμέρᾳ ἀποδίδοσθαι δεῖ. πᾶν γὰρ ὅπερ ὑπὸ τοῦ ἐργοδότου δίδοται, καὶ ὑπὸ τοῦ ἐργολάβου λαμβάνεται κατὰ συνθήκας ἑκατέρωθεν πεποιημένας, τὸ ἔργον συνθηματιαῖον κυρίως λέγεσθαι δύναται, τουτέστι κατὰ συνθήκας, ὥσπερ ἐνταῦθα. τὸ γὰρ σύνθημα, εἴτε σύνθεμα, καὶ συνθήκη ταυτόν. τούτων καὶ Ἀθήναιος ἐν τῷ ιε΄ τῶν δειπνοσοφ. μέμνηται. συνθηματιαῖοι στέφανοι, φησίν, ἠργολαβημένοι, καὶ ἐκδόσιμοι. Ἀριστοφάνης ἐν Θεσμοφοριαζούσαις,

Πλέξαι στεφάνους συνθηματιαίους εἴκοσιν.

Ἕτερον αὖ τι λῆμα.] στίχοι μικτοὶ ἑπτά. τὸ δὲ λῆμα, ἀξία, ἀνδρεία, φρόνημα, κέρδος.

Τοιοῦτον γὰρ ὁ παῖς ὅδε λῆμα φαίνει.

Ἀριστοφάνης ἐν Νεφέλαις,

Λῆμα μὲν πάρεστι τῷδε οὐκ ἄτολμον.

ἤγουν τολμηρόν. καὶ λῆμα θούριον, τὸ πολεμικὸν φρόνημα. Σ. σημειοῦνται μέν τοι τὸ λῆμα, ὅταν κέρδος σημαίνει ἐν δυσὶν λλ γράφεσθαι, λῆμμα παρὰ τὸ λαμβάνω. Κατεστωμύλατο.] στωμύλος, λάλος, πολύκομψος, πιθανολόγος, εὐτράπελος, ἔφεδρος τῶν λόγων, ἀπατεών, κόλαξ, φλύαρος. ὅθεν τὸ ῥῆμα στωμύλλω, καὶ στωμύλλομαι, καὶ καταστωμύλλομαι. καὶ στωμυλία κατὰ ἀστειότητα ἀπάτῃ προερχομένη. οὐκ ἄκαιρα δέ, τουτέστι καίρια, καὶ κατὰ καιρὸν λεχθέντα.

Τῆς ὕβρεως ἡμῖν τὸν ἄνδρα περιφανῶς δοῦναι δίκην.	*Iniuria nobis virum manifesto dare pœnas.*
Μν. Τὸ μὲν ὦ γυναῖκες ὀξυθυμεῖσθαι σφόδρα	*MN Quòd quidem ô mulieres acriter irascamini admodum*
E Εὐριπίδῃ, τοιαῦτ' ἀκούσας κακά,	*Euripidi, talia audientes conuicia,*
Οὐ θαυμάσιόν ἐστ' οὐδ' ἐπιζεῖν τὴν χολήν.	*Non mirum est, neque quòd infervescat bilis.*
Κἀγὼ γὰρ αὐτή, οὕτως ὀναίμην τῶν τέκνων,	*Etenim ipsa ego ita adiuuer filiorum causa, & ipsis fruar*
Μισῶ τὸν ἄνδρ' ἐκεῖνον εἰ μὴ μαίνομαι.	*Odi virum illum, nisi insanio.*
Ὅμως δ' ἐν ἀλλήλαισι χρὴ δοῦναι λόγον.	*Verumtamen inter nos inuicem oportet dare & reddere rationem,*
F Αὐταὶ γάρ ἐσμεν, κοὐδεμί' ἔκφορος λόγου.	*Ipsa enim sumus, & nulla enunciatrix orationis nostra.*
Τί ταῦτ' ἔχουσαι κεῖνον αἰτιώμεθα,	*Quid hæc vitia habentes, illum accusamus?*
Βαρέως τε φέρομεν, εἰ δύ' ἡμῶν ἢ τρία	*Grauiterq́ ferimus, si duo nostrûm vel tria*
Κακὰ ξυνειδὼς εἶπε δράσας μυρία;	*Mala cognoscens dixit, cùm fecerit infinitas fabulas.*
Ἐγὼ γὰρ αὐτή, πρῶτον ἵνα μὴ 'λλην λέγω,	*Ego enim ipsa primùm, vt ne aliam dicam,*
Ξύνοιδ' ἐμαυτῇ πόλλ' ἐκεῖνο δ' οὖν	*Conscia sum mihipsi multorum malorum. Illud verò certè*
G Δεινότατον, ὅτε νύμφη μὲν ἦν τρεῖς ἡμέρας,	*Indignissimum est, cùm sponsa quidem fui tres dies,*
Ὁ δ' ἀνὴρ παρ' ἐμοὶ καθεῦδεν· ἦν δέ μοι φίλος	*Et maritus apud me erat dormiens, erat mihi amicus,*

Bourdinus. Ὕβρεως.] ἀσελγείας. Περιφανῶς.] ἄντικρυς καὶ ἐμφανῶς. Ὀξυθυμεῖσθαι.) βαρέως

καὶ χαλεπῶς ὀργίζεσθαι, καὶ ὀξέως τοῦ θυμοῦ χρῆσθαι. Ἐπιζέσαντι τὴν χολήν.) τουτέστιν ἐκζεσθεῖσαν, ἐμπρησθεῖσαν, καὶ μεγάλως διαθερμανθεῖσαν τὴν ὀργὴν καὶ τὸν θυμόν. καὶ γὰρ αὕτη ἡ χολὴ διὰ τὸ πυρὸς οὖσα καθ' ὑπερβολὴν διαθερμαίνει. ἐνταῦθα δὲ ὁ κηδεστὴς προσποιούμενος καὶ προφασιζόμενος μισεῖν τὸν Εὐριπίδην, μισογύνην δὴ ὄντα, ὅμως γε μὴν βούλεται παρ' αὐταῖς μόναις συλλογίζεσθαι καὶ συλλαμβάνειν διὰ τὸ ἀναμιμνήσκειν τῶν κακῶν ἃ ποιοῦσιν αἱ γυναῖκες, ὡς δικαίως ἀκούουσι κακῶς κακὰ πολλὰ ποιοῦσαι. Ὀναίμην τῶν τέκνων.) ἀπολαύσαιμι τῶν τέκνων, οὕτως καρπωσαίμην τὰ τέκνα καὶ εὐτυχοίην ἐν ἐκείνοις. Μαινόμεθα.] ἐμμανής εἰμι καὶ ἔκφορος. Ὅμως δ' ἐν) καίπερ (φησὶν) ὀργιζόμεθα τῷ Εὐριπίδῃ, οὕτω κακολογοῦντι καὶ κατηγοροῦντι ἡμῶν, ὅμως γε μὴν δεῖ πάσης τῆς ἔχθρας ἀφαιρεθείσης χρῆσθαι τῷ λογισμῷ ἐν ἡμῖν, καὶ ἐπ' ἐκεῖνον ἀεὶ ἐπανελθεῖν. Αὐταὶ γὰρ ἐσμέν.) καὶ γὰρ ἡμεῖς ἐσμὲν λογιστικαί. Κοὐδ' εἰμὶ ἔκφορος λόγου.) τουτέστιν ἐμμανής, ἄφρων, ἀλόγιστος, καὶ ἔξω τῶν φρενῶν λογισμῶν τι. ἔκφορα γὰρ μανίαν τινὰ δηλοῖ, ἔκστασίν τε τοῦ λογισμοῦ. καὶ ἐκφέρεσθαι λέγεται ὁ ἔξω τῶν λογισμῶν ὢν καὶ φρενῶν, ὡς καὶ ἐξίστασθαι λέγομεν ἁπλῶς τῶν ἔξω τοῦ λογισμοῦ ὄντα. Τί.) διά τι. Ἔχουσαι.) ταῦτα κακά, ἅπερ ἡμῖν προφέρει ὁ Εὐριπίδης, βαρυνόμεθα καὶ ὀργιζόμεθα λέγοντος ἐκείνου τάδε. Δράσας μυρία.) ἀναρίθμητα κακά. Ἐγὼ γάρ.) τεχνικῶς ὁ κηδεστὴς κατηγορεῖ τῶν γυναικῶν, καὶ γὰρ πίστιν παρέχων ἐκείναις, ὅτι γυνή ἐστιν, ἄρχεται ἀπ' αὐτοῦ, ὡς δὴ γυναικὸς ὄντος, κακὰ καὶ τὰ αὐ-

δικήματα τῶν γυναικῶν ἐρῶν, ἵνα ἄλλαι δὴ γυναῖκες νομίζουσαι ἐκεῖνον ὡς ἀληθῶς εἶναι γυναῖκα, μὴ ὀργίζωνται ἀκούσασαι τῆς ἀναμνήσεως κακίας τῶν γυναικῶν.

Bisetus. Τὸ μὲν ὦ γυναῖκες.) Ὁ Μνησίλοχος γυναικεῖον σχῆμα ἐνδυσάμενος, καὶ τὰ γυναικῶν κατ' Εὐριπίδου ἐγκλήματα μετὰ μεγάλης προσοχῆς ἀκούσας, ὑπὲρ τοῦ φεύγοντος γνησίως ἀπολογεῖται, καὶ τὸν Εὐριπίδην συγγνώμης ἄξιον εἶναι λέγει, ἀποφαίνων, καὶ διισχυριζόμενος αὐτὸν οὐδὲ μυριοστὸν μέρος φανερῶσαι τῶν ἀνόμων, καὶ ἀνοσίων ἔργων, ἅπερ αἱ γυναῖκες ποιοῦνται. εἰσὶ δὲ στίχοι ἰαμβικοὶ τρίμετροι ἀκατάληκτοι τούτου ὢν τελευταῖος,

Οὐδὲν παθοῦσαι μεῖζον ἢ δεδράκαμεν.

Κοὐδ' εἰμὶ ἔκφορος λόγου.] καὶ ἡμῶν οὐδεμία ἐστὶν ἔκφορος λόγου, ὃν ἐν ταύτῃ τῇ ἐκκλησίᾳ λέξω. οὐδεμία φαίνεται θέλειν τὸν ἐμὸν λόγον ἐντεῦθεν ἐκφέρειν, καὶ τοῖς ἀνδράσι ἀποφαίνειν. ταῦτα Μνησίλοχος τοῦ Εὐριπίδου πανούργως συνδικῶν, ὡς γυνὴ καὶ αὐτὸς ὢν ὑπὲρ ἑαυτοῦ, καὶ τῶν λοιπῶν γυναικῶν μετὰ πλείστης παρρησίας ὁμολογῶν λέγει. Δράσας μυρία] δηλονότι δράματα, ἤγουν τραγῳδίας. Ξύνοιδ' ἐμαυτῇ] τοῦτον τὸν στίχον ὅλον προσθε μεμετρημένον οὕτως ἐκπληρωτέον.

Ξύνοιδ' ἐμαυτῇ πόλλ'. ἐκεῖνο δ' οὖν, ὅ, τι
Δεινότατον.

τουτέστιν ἐγὼ ἐμαυτῇ πολλὰ ξύνοιδα κακά, ἐκεῖνο δὲ μάλιστα, ὅπερ ἐστὶ δεινότατον. Ἵνα μὴ ἄλλην λέγω. τὸ πλῆρες. ἵνα μὴ ἄλλην λέξω.

Ὅσπερ με διεκόρευσεν ἑπτέτιν οὖσαν.
Οὗτος πόθῳ μ' ἔκνυε ἐλθὼν τὴν θύραν.
Κατ' εὐθὺς ἔγνων. εἶτα καταβαίνω λάθρα.
Ὁ δ' ἀνὴρ ἐρωτᾷ. ποῖ σὺ καταβαίνεις. ὅποι;
Στρόφος μ' ἔχει τὴν γαστέρ' ὦ 'νερ κὠδύνη.
Ἐς τὸν κοπρῶν' οὖν ἔρχομαι. βάδιζέ νυν.
Κᾆθ' ὁ μὲν ἔτριβεν, κεδρίδας. ἄνηθον. σφάκον.
Ἐγὼ δὲ καταχέασα τοῦ στροφέως ὕδωρ,
Ἐξῆλθον ὡς τὸν μοιχόν. εἶτ' ἠρειδόμην.
Παρὰ τὸν ἀγυιᾶ κύβδ', ἐχομένη τῆς δάφνης.
Ταῦτ' οὐδεπώποτ' εἶφ' ὁρᾷτ' Εὐριπίδης.
Οὐδ' ὡς ὑπὸ τῶν δούλων τε κὠρεωκόμων
Σποδούμεθ' ἢν μὴ 'χωμεν ἕτερον οὐ λέγει.
Οὐδ' ὡς ὅταν μάλισθ' ὑπό του βινώμεθα,
Τὴν νύχθ' ἕωθεν σκόροδα μασώμεθα.
Ἵν' ὀσφραινόμενος ἀνὴρ ἀπὸ τοῦ τείχους εἰσιὼν
Μηδὲν κακὸν δρᾶν ὑποπτεύηται. ταῦθ' ὁρᾷς
Οὐπώποτ' εἶπεν. εἰ δὲ Φαίδραν λοιδορεῖ
Ἡμῖν τί τοῦτ' ἐστ'; οὐδ' ἐκεῖν' εἴρηκέ πω.
Ὡς ἡ γυνὴ δεικνῦσα τἀνδρὶ τοὔγκυκλον

D *Qui quidem me vitiauit septem annorum existentem*
Hic desiderio & amore mei leuiter pultabat, cùm venisset fores,
Et deinde protinus agnoui, deinde descendo clàm.
Vir autem rogat, quonam tu descendis? quò?
Tormina me habent circa ventrem ô marite, & dolor,
E *Ad latrinam igitur eo. vade nunc.*
Et deinde hic quidem terebat fructus cedri, anethum & sphacum,
Ego verò cùm infudissem supra cardinem aquam,
Egressa sum ad mœchum, deinde innixa sum
Iuxta viam fortiter adhærens lauro.
Hæc nunquam deprehendit Euripides,
F *Neque quòd à seruusq́; & mulionibus*
Subagitamur, si non habuerimus alterum, non dicit.
Neque quòd cùm maximè ab aliquo subagitata fuerimus
Nocte, mane allia mandimus,
Vt olfaciens vir à muro vrbis ingressus domum
Nihil mali facere suspicetur, hæc videns
G *Nunquam dixit. si verò Phædræ maledicit,*
Nobis quid hoc est? neque illud dixit vnquam,
Quòd uxor ostendens viro circularem tunicam,

Bourdinus. Διεκόρευσεν.) διέφθειρε. Πόθῳ μου.) διὰ τὸν ἔρωτα, ὅνπερ εἶχεν ἐμοῦ. Ἔκνυεν.) ἐλαφρῶς

φρῶς καὶ ἰσχνῶς ἠρέμα τι ἔκοπτεν τὴν τῆς οἰκίας θύραν, βουλόμενος καὶ ποθῶν εἰσελθεῖν, καὶ ἐμοὶ συγγενέσθαι, ἀλλὰ οὐ τολμῶν φανερῶς καὶ θαρραλέως πατάττειν τὴν θύραν τοῦ εἰσακούεσθαι δεδοικώς. Κνύειν γὰρ κυρίως σημαίνει κνήθειν καὶ ξύειν, ἀπὸ τοῦ κνῦ, ὅπερ δὴ τὸ ἐλάχιστον σημαίνει. καὶ τὸ κνύζον μικρὸν λέγεται. καὶ ἡ κνύζα, ἄκανθα μικρά. Στρόφος μ' ἔχει τὴν γαστέρα.] στρέφομαι τὴν γαστέρα καὶ περιωδυνίας ἔχω. ἐνταῦθα κατηγορεῖ ὁ Ἀριστοφάνης τῆς ἀπάτης τῶν γυναικῶν, αἵπερ εὐμήχανοί εἰσιν πρός τε προφασίζεσθαι καὶ περιστέλλεσθαι τὰ κακά, καὶ σοφαὶ τέκτονες τῶν κακῶν εἰσίν, ὥς φησιν ὁ Εὐριπίδης ἐν τῇ Μηδείᾳ. Κοπρῶνα.] ἐς τὸ κοπροδοχεῖον, ἐς τόπον τοῦ κοπροῦ ἔρχομαι τοῦ ἐκλῦσαι τὴν κοιλίαν, καὶ παύσασθαι ταύτης τῆς στροφῆς τῆς γαστρός. Ἐπείθετ'] ἐπίστευε. ἐνταῦθα καταγελᾷ τῆς ἁπλότητος τῶν ἀνδρῶν, οἵπερ εἰσὶν εὐεξαπάτητοι. Κεδρίδας.] τοὺς καρποὺς κέδρου οἵπερ ἐκλύειν στρόφον παρ' ἰατροῖς νομίζονται, καθάπερ καὶ ἄνηθος, ὅσπερ ὥς φησιν ὁ Παῦλος Αἰγινήτης, τὰ πνεύματα διαφορεῖ καὶ διαλύει. Σφάκον.] ἀντὶ τοῦ ἐλελίσφακον, ὡς ἐπιτήδειον πρὸς τὸ παῦσαι στρόφον. Τοῦ στροφέως.] τοῦ στρόφιγγος. Ἐρειδομένην.] ὑπερειδομένην. Ὀρεοκόμων] ἐπιμελουμένων τῆς κόμης καὶ καλλωπιζομένων κομούντων τε. κορεῖν γὰρ ἐπιμελεῖσθαι δηλοῖ καὶ κοσμεῖν. καὶ κορήματα, κοσμήματα λέγεται. Σποδούμεθ'.] βινούμεθα καὶ ὑποκινούμεθα. Σκορόδια.] τουτέστι σκορόδων φύλλα. σκόροδον δὲ λέγεται ὥσπερ σκαιόν τι ῥόδον ὂν παρὰ τὸ σκαιὸν ὄζειν. Μασώμεθα.] φάγωμεν. Ἵν' ὀσφραινόμενος.] αὕτη ἡ γνώμη, ἵνα ὁ ἀνὴρ διὰ τὴν δυσωδίαν τῶν σκορόδων ὑποψίαν πᾶσαν ἀποβάλληται τοῦ τι κακὸν πεπρᾶχθαι ὑπὸ γυναικός. Τ' οὔγκυκλον.] τὸ ἐγκύκλιον ἱμάτιον.

BISETUS. Διακόρευσεν.] διεπαρθένευσεν ἑπτέτιν οὖσαν, καὶ κόρην διέφθειρεν. σημείωσαι δέ, εἴπερ ἡ γραφὴ καλῶς ἔχει, ὅτι ὁ στίχος οὗτος παρὰ τὸν τοῦ μέτρου νόμον, ἐν τῇ ἕκτῃ χώρᾳ σπονδεῖον ἀντὶ ἰάμβου ἔχει. οὕτω μέν τοι τοῦτον διορθῶσαι δυνάσαι,

Ὅσπερ με διεκόρευσεν οὖσαν ἑπτέτιν.

Πόθῳ μ' ὔκνυεν] τὸ πλῆρες, πόθῳ με ἔκνυεν. Εὐστάθιος εἰς τὸ Ν. τῆς Ὀδυσσείας περὶ τοῦ κνύω ταῦτα λέγει. κνύω, ὃ δηλοῖ τὸ ξύω, σπανιώτερον μὲν ὄν, προφερόμενον δὲ καὶ παρὰ τοῖς Ἀττικοῖς, καὶ Ἴωσιν. οὗ χρῆσις καὶ παρὰ τῷ κωμικῷ ἐν Θεσμοφοριαζούσαις,

Οὗτος πόθῳ μ' ὔκνυεν ἐλθὼν τὴν θύραν.

ἤγουν διὰ τὸν μου πόθον ἔκνυεν, ἔξυε τὴν θύραν. ἀλλ' ἐκεῖ ἔλκων ἀντὶ τοῦ ἐλθὼν διεφθαρμένως γράφεται. ἐκ δὲ τοῦ κνύω τὸ κνύζω, ἤγουν ἐξ ὑπεπολῆς, καὶ ἰσχνῶς καταξύω. Κᾆτ' εὐθύς.] καὶ εἶτα εὐθύς. ἔπειτα δὲ ταχέως. Στρόφος] στρόφος, νόσημά τι τῆς γαστρός. οἱ δὲ στρόφοι κατὰ τοὺς φυσικοὺς γίνονται διά τε δῆξιν ἰσχυράν, καὶ πνεῦμα φυσῶδες οὐκ ἔχον διέξοδον. ἀλλ' ἐν τῇ τῶν ἐντέρων ἕλιξιν ἐναπειλημμένον. Κεδρίδας.) τῆς κέδρου τοὺς καρπούς. Ἡσύχιος. σφάκον δὲ ἐλελίσφακον. ταῦτα δὲ ὁ εὐήθης ἀνήρ, καὶ ὑπὸ τῆς κόρης ἀπατώμενος ἔπεμπεν, ὡς ἐπιτήδεια παῦσαι τὸν στρόφον. Καταχέασα τοῦ στροφέως ὕδωρ.] ἵνα μὴ ὁ στροφεὺς τῆς θύρας, περὶ ὃν ἡ θύρα στρέφεται, ἐν τῷ ἀνοίγεσθαι, καὶ στρέφεσθαι ψόφον ποιήσῃ, καὶ τὴν μου τέχνην δηλώσῃ. ἀλλαχοῦ δὲ τῷ ἐλαίῳ πρὸς τοῦτο χρῶνται οἱ τὰς θύρας ἄνευ ψόφου λάθρα ἀνοίγειν ἐθέλοντες. Ἐρειδομένην] ἐρείδειν, κατὰ τὸν Σουίδαν, συνουσιάζειν. τοῦτο δὲ μεταφορικῶς. ἐρειδομένην τοίνυν βινουμένην, σποδουμένην. Ἀγυιεὺς δέ ἐστι κίων εἰς ὀξὺ λήγων, ὃν ἱστᾶσι πρὸ τῶν θυρῶν. ἰδίους δέ φασιν αὐτοὺς εἶναι Ἀπόλλωνος. οἱ δέ, Διονύσου. οἱ δέ, ἀμφοῖν. ἔστι δὲ ἴδιον Δωριέων. εἶεν δ' ἂν οἱ παρὰ τοῖς Ἀττικοῖς λεγόμενοι ἀγυιεῖς, οἱ πρὸ τῶν οἰκιῶν βωμοί. Ἄλλως. ἀγυιεὺς ὁ πρὸ τῶν αὐλείων θυρῶν κωνοειδὴς κίων, ἱερὸς Ἀπόλλωνος, καὶ αὐτὸς θεός. τὸ δὲ ἐρείδειν, ἀντὶ τοῦ συνουσιάζειν. καὶ ἐρείδειν γυναῖκα, ἀντὶ τοῦ βινεῖν, παρὰ κωμικοῖς ἐν χρήσει. Κυνδ' ἐχομένη τῆς δάφνης.] τὸ πλῆρες, κυνδὰ ἐχομένη τῆς δάφνης. κυνδὰ δέ, κατὰ συγκοπήν, ἀντὶ τοῦ κυνηδά, ἤγουν κυνηδόν. κυνὸς δίκην, ἀναιδέστατα ὡς κύων. τούτῳ δὲ τῷ ἐπιρρήματι ὁ κωμικὸς τὸν αἰσχρὸν συνουσίας τρόπον δηλοῖ, ᾧπερ οἱ κύνες εἰώθασι χρῆσθαι. τὸ δὲ κυνδά, εἴτε κυνηδὰ ἐκ τοῦ κυνηδὸν γίνεται, ὡς ἐκ τοῦ ἀμφαδὸν, τὸ ἀμφαδά, καὶ ἐκ τοῦ ἀποσταδὸν, ἀποσταδά. καὶ ἄλλα μυρία. τὸ δὲ ἐφωρᾶτο, κατέμαθε, κατέλαβε. Κὠρεωκόμων.] ὀρεωκόμος, καὶ ὀρεοκόμος ταυτόν. ὁ τῶν ὀρέων, εἴτε τῶν ἡμιόνων ἐπιμελητής. καὶ τὸ μὲν ὀρεωκόμος οὕτω σχηματίζεται ἀπὸ τῆς Ἀττικῆς γενικῆς ὀρέως, ὡς βασιλέως. ἐν δὲ τῇ συνθέσει τὸ σ ἐκβάλλεται. τὸ δὲ ὀρεοκόμος, ἀπὸ τῆς κοινῆς γενικῆς ὀρέος, ὡς βασιλέος. ὀρεὺς δέ, ὀρέως, καὶ τὸ πληθυντικὸν ὀρέες, εῖς, ἡμίονος. Ὅμηρος Ἰλ. Α.

Οὐρῆας μὲν πρῶτον ἐπῴχετο, καὶ κύνας ἀργούς.

Εὐστάθιος. οὐρεὺς ὁ ἡμίονος, παρὰ τὸ ὄρος ἰωνικῇ ἐπενθέσει τοῦ υ. ἢ παρὰ τὸν οὖρον, τὸν ἄνεμον, διὰ τὸ τοῦ σπέρματος ἄκαρπον τῶν τοιούτων ζώων. οὐρεὺς μέντοι καὶ ὁ φύλαξ ὁμωνύμως. ἀλλὰ τὸ πρότερον ἔτυμον πολλῷ πιθανώτερον. καὶ γὰρ οἱ ἡμίονοι τῶν ἄλλων ζώων τῶν σκευοφόρων, καὶ τῶν ὑποζυγίων ἐπιτηδειότεροι πρὸς τὸ δι' ὀρῶν πορείαν ποιεῖσθαι, διά τε τὸ εὔθετον αὐτῶν, καὶ τὸ καρτερικόν. Σποδούμεθα] κινούμεθα, βινούμεθα. ἵνα μὴ 'χωμεν, ἵνα μὴ ἔχωμεν. ὑπό τευ, ὑπό τινος. Ἀπὸ τείχους.) ἐκεῖ γὰρ νυκτερινὴν φυλακὴν ποιησάμενοι ἀρχομένης ἠοῦς οἴκαδε ἐπαναστρέφειν εἰώθασι. τεῖχος δὲ παρ' Ὁμήρῳ, ὥς φησιν Ἡσύχιος, τὸ τῆς πόλεως, τειχίον δὲ (ὃ καὶ τοῖχος ἀρσενικῶς λέγεται) τὸ τῆς οἰκίας. Ἀττικοὶ δὲ τὸ περίβολον τῶν χωρίων οὕτω καλοῦσιν. ὑποτοπῆσαι, ὑπονοῆσαι. ὑποτοπεῖν, καὶ ὑποτοπεῖσθαι, ὑπονοεῖν, ὑπολαβεῖν, ὑποπτεύειν. Δεικνῦσα] τῷ ἀνδρὶ τὸ ἔγκυκλον δείξασα. περὶ δὲ τοῦ ἐγκύκλου ἐν τοῖς ἄνω εἴρηται.

Ὑπ' αὐγὰς οἷόν ἐστιν, ἐγκεκαλυμμένον	Ad radios solis qualis est, occultatum
Τὸν μοιχὸν ἐξέπεμψεν. οὐκ εἴρηκά πω.	Adulterum emisit, non dixit unquam:
Ἑτέραν δ' ἐγ' ᾧδ' ἣ φάσκεν ὠδίνειν γυνὴ	Alteram verò noui, quæ dicebat dolores partus habere mulier
Δέχ' ἡμέρας ἕως ἐπρίατο παιδίον.	Per decem dies, donec emit infantem.
Ὁ δ' ἀνὴρ περιῄρχετ' ὠκυτόκι' ὠνούμενος.	Maritus autem obibat urbem medicamenta celerem partum facientia emens,

BOURDINUS. Τὸν μοιχόν.] γράφεται παρ' ἄλλοις μοιχόν, καὶ βελτίων ἐστὶν ἡ γνώμη, ὅτι ἡ γυνὴ διαλεγομένη τῷ ἀνδρὶ καὶ δεικνυμένη τὴν ἑαυτῆς ἐσθῆτα ἐκείνῳ ἐπὶ ταύτῃ τῇ προφάσει ἐκπέμπει τὸν μοιχόν, λάθρα τοῦ ἀνδρὸς καὶ ἀφανῶς. Ὠδίνειν] ὠδῖνας ἔχειν, ὡς τεκουμένην τὸν παῖδα. Ὠκυτόκια.] τουτέστι φάρμακα ἐπαρτικὰ καὶ παροξυντικὰ πρὸς τὸ ταχέως δηλονότι ὠκέως τίκτειν καὶ παιδοποιεῖσθαι.

BISETUS. Ὠκυτόκεια.] φάρμακα τὰ τόκον ταχύνοντα, καὶ τὰς γυναῖκας τὰς ὠδινούσας ὠκέα, ἔστιν ὠκέως, καὶ ταχέως τίκτειν ποιοῦντα. ὠδίνειν δὲ κυρίως λέγονται αἱ γυναῖκες ἐπὶ τοκετοῦ. ἀλλαχοῦ δὲ ἁπλῶς ἀλγεῖν, A καὶ λυπεῖσθαι δηλοῖ. ἐνίοτε δὲ καὶ διὰ πολλῆς χαρᾶς ὁ ὠδίνειν λέγεται. ἀντὶ δὲ τοῦ τὸ δ' εἰσέφερε, βέλτιον ἴσως γράφειν, τότ' εἰσέφερε, τουτέστι τότε. ἢ τὸ ἕτερον τῶν ἄρθρων Ἀττικῶς πλεονάζει.

Τὸ δ' εἰσέφερε γραῦς ἐν χύτρᾳ τὸ παιδίον
Ἵνα μὴ βοῴη κηρίῳ βεβυσμένον.
Εἶθ' ὡς ἔνευσεν ἣ 'φερεν, εὐθὺς βοᾷ
Ἄπελθ' ἄπελθε. ἤδη γάρ ὦ 'νερ μοι δοκῶ
Τέξειν. τὸ γὰρ ἦτρον τῆς χύτρας ἐλάκτισεν.
Χ' ὁ μὲν γεγηθὼς ἔτρεχεν, ἡ δ' ἐξέσπασεν
Ἐκ τοῦ στόματος τοῦ παιδίου. τὸ δ' ἀνέκραγεν.
Εἶθ' ἡ μιαρὰ γραῦς ἣ 'φερε τὸ παιδίον
Θεῖ μειδιῶσα πρὸς τὸν ἄνδρα, καὶ λέγει.
Λέων λέων σοι γέγονεν αὐτέκμαγμα σόν.
Τά τ' ἄλλ' ἅπαξ ἅπαντα καὶ τὸ πόσθιον
Τῷ σῷ προσόμοιον στρεβλὸν ὥσπερ κύτταρον.
Ταῦτ' οὐ ποιοῦμεν τὰ κακά; νὴ τὴν Ἄρτεμιν
Ἡμεῖς γε. κᾆτ' Εὐριπίδῃ θυμούμεθα
Οὐδὲν παθοῦσαι μεῖζον ἢ δεδράκαμεν.
Χο. Τουτὶ μέντοι θαυμαστὸν
Ὁπόθεν ηὑρέθη τὸ χρῆμα
Χἤτις ἐξέθρεψε χώρα
Τήνδε τὴν θρασεῖαν οὕτω.
Τάδε γὰρ εἰπεῖν τὴν πανοῦργον
Κατὰ τὸ φανερὸν ὧδ' ἀναιδῶς
Οὐκ ἂν ᾤμην ἐν ἡμῖν οὐδὲ τολμῆσαι ποτ' ἄν.
Ἀλλ' ἅπαν γένοιτ' ἂν ἤδη.
Τὴν παροιμίαν δ' ἐπαινῶ
Τὴν παλαιάν. ὑπὸ λίθῳ γὰρ
Παντί που χρὴ μὴ δάκῃ ῥήτωρ ἀθρεῖν.
Ἀλλ' οὐ γάρ ἐστι τῆς ἀναισχύντου φύσει γυναικῶν
Οὐδὲν κάκιον ἐς ἅπαντα πλὴν ἄρ' αἱ γυναῖκες.
Γυν. Οὔτοι μὰ τὴν Ἄγραυλον ὦ γυναῖκες εὖ φρονεῖτε

Intulit autem anus in olla infantem,
Vt ne clamaret cerula obturatum.
B *Deinde vt annuit capite anus quæ ferebat, uxor statim clamat,*
Abi abi: iam enim ô vir mihi videor
Paritura esse, imum ventrem enim infans calcibus percussit.
Et hic quidem lætatus cucurrit, hæc verò traxit
Ex ore infantis cerulam, ille verò clamauit.
Deinde scelesta anus quæ ferebat infantem,
C *Currit ridens ad maritum, & dicit,*
Leo leo tibi natus est, ipsa effigies tua,
Et in reliqua omnia, & membrum virile
Tuo persimile tortum & compactum quemadmodum nucamentum.
Hæc si facimus mala per Dianam,
Nos quidem contra Euripidem irascimur,
Nihil passæ plus quàm fecimus.
CH. Hoc tamen mirum est,
D *Vnde inuenta sit res hæc,*
Et quænam educarit regio
Hanc arrogantem ita.
Hæc enim dicturam fuisse versutam
Apertè ita impudenter,
Non existimassem inter nos, neque ausuram fuisse vnquam,
Sed omne fieri & euenire posset iam.
E *Prouerbium autem laudo*
Vetus, Sub lapide enim
Omni alicubi oportet, ne mordeat orator, spectare.
Veruntamen est impudentibus natura mulierib.
Nihil peius ad omnia, præterquam scilicet mulieres.
MVL. Non per agrestem & venatricem Dianam ô mulieres, bene sapitis.
F

BOURDINUS. Κηρίῳ βεβυσμένον.] τουτέστιν μικροῦ μορίῳ κηροῦ πεφραγμένον καὶ κεκαλυμμένον, ὥστε ἀπείργειν τὴν βοήν. ἔνθεν καὶ ἀκρόβυστος, ὅτ' ἄκρον βεβυσμένον ἔχων. Ἔνευσε] προσένευσε. Τὸ ἦτρον] τὸ μέρος ὑπὸ τὸν ὀμφαλὸν, καὶ τὸ κάλυμμα τῆς μήτρας, ὃ καλεῖται ἄλλως ἦτρον, καὶ ἐκπέτασμα τῆς χύτρας, ὁ παῖς ὁ ἐν τῇ χύτρᾳ ὤν. καὶ γὰρ οἱ παλαιοὶ τὰ παιδία ἐνέφερον καὶ ἐτίθεντο ἐν ταῖς χύτραις, τουτέστιν ἐν κεραμικοῖς σκεύεσιν. ἡ γυνὴ δὲ ἤδη ἔλεγεν, ἄπελθε δὴ ὦ ἄνερ, καὶ γὰρ δοκῶ μοι εὐθὺς τέξειν τὸν παῖδα. ὁ γὰρ παῖς ὃν δὴ ἔφερεν ἡ γραῦς ἐν χύτρᾳ ἀγνοοῦντος τοῦ ἀνδρός. καὶ διὰ τοῦτο χύτραν καλεῖ, τιθεὶς τὸ σύνεχον ἀντὶ τοῦ συνεχομένου, ἐλάκτισε πρὸς τὸ ἦτρον ὡς ἐθέλων καὶ σπουδάζων ἤδη ἐξελθεῖν. Γεγηθώς.] χαίρων, ἐπιχαρής. Ἐξέσπασεν.] ἐξέτιλεν ἐκ τοῦ στόματος τοῦ παιδίου τὸ κηρίον, ὅπερ δὴ ἐβέβυστο ὑπὲρ τοῦ μὴ ὀλολύζειν, ἵνα ἐκσπασθέντος ἐκείνου ἀνακράζῃ, ὡς τεχθέν. Μειδιῶσα] γελῶσα. Ἐκμαγεῖον.] τὸ ἀπείκασμα σόν, τὸ ἀφομοίωμα, ὁ παῖς πλασθεὶς εἰς τὴν σοῦ ὁμοιότητα. Τὸ πόσθιον] τὸ αἰδοῖον. Στρεβλὸν.] διεστραμμένον, καὶ καμπυλόν. Κύτταρον.] κύτταρος λέγεται τὸ πῶμα τῆς βαλάνου, ὅτου ἐκπέπτωκεν ἡ βάλανος, ἢ τῆς βαλάνου πυελίς, ἢ τὸ τῆς ῥοιᾶς προεξάνθημα. λέγεται καὶ ἡ ἐν τοῖς κηρίοις τῶν μελισσῶν πυελίς, καὶ κατάτρησις. ἢ τοῦ οὐρανοῦ μέρος ὑψηλότατον καὶ ἀκροκόρυφον. ἐν τούτῳ ὁ ἐραστοφανὴς ἀξιομιμεῖται τοὺς ἄνδρας εἴπερ οὕτω ἐξαπατώμενοι ὑπὸ γυναικῶν εὑρίσκεται τοιούτοις G μαγγανεύμασιν καὶ δελεάσμασιν. Κᾆτ'] καὶ εἶτα, σχετλιαστικὸν τὸ ἐπίρρημα. ὀργιζόμεθα τῷ Εὐριπίδῃ οὐδὲν ἔλαττον καὶ μεῖζον παθοῦσαι, ἢ ὅπερ δὴ ἐποιήσαμεν καὶ εἰργάσμεθα. Τουτὶ μέντοι θαυμαστὸν] θαυμάζει ὁ χορὸς καὶ ἐκπλήττεται ὑπὸ θρασύτητος ταύτης τῆς κηδεστοῦ οὕτω φανερῶς κατηγοροῦντος καὶ κακολογοῦντος τῶν γυναικῶν. θαυμαστὸν, φησίν, ἐστὶν ὁπόθεν εὑρέθη τοιοῦτο τὸ χρῆμα τῆς γυναικός, τουτέστι τοιαύτη γυνή, Ἀττικῶς. Τήν

τὴν πανοῦργον.] παλίμβολον. Ἀλλ' ἅπαν φύοιτ' ἂν ἤδη.] ἀλλὰ πάντα δυνατά ἐστι ποιεῖσθαι καὶ οὐδὲν ἀδύνατον. Παροιμίαν τὴν παλαιὰν ὑπὸ λίθῳ γάρ.] ταύτῃ τῇ παροιμίᾳ χρῶνται πολλοὶ τῶν παλαιῶν, καὶ αὐτὸς ὁ Σοφοκλῆς. φησὶ γὰρ ἔν τινι τραγῳδίᾳ, ἐν παντὶ γὰρ σκορπίον φρουρεῖν λίθῳ. ἥτις παροιμία δηλοῖ καὶ σημαίνει, οὐδὲν ἀσφαλὲς οὐδὲ πιστὸν καὶ στάσιμον εἶναι ἐν τῷ βίῳ ἀνθρωπίνῳ. καὶ διὰ τοῦτο πάντα εἶναι φυλακτέα, σκοπητέα, καὶ διερευνητέα ὡς ἀκριβέστατα, ἵνα μὴ ἀφύλακτοι κακόν τι πάσχωμεν, καὶ εὐλαβέστεροι εἶναι, μὴ ἀπερισκέπτως λέγωμέν τι. πολλάκις γὰρ δακνεῖν ταύτην τὴν ἀπερισκεψίαν λανθάνοντα ὑπὸ λίθῳ ῥήτορα μιμεῖται. δι' αὐτὴν ἡ παροιμία τοῦτο παρ' ἐκ φύσεως τοῦ σκορπίου, ὅστις λανθάνει κείμενος ἐν τοῖς λίθοις, οὓς ἐάν τις ἀφροντίστερον ἀφέλῃ καὶ μὴ εὐλαβῶς, εὐθὺς δακεὶς κακόν τι μέγα πάσχει ὥς φησι Νίκανδρος, Σκορπίος ἀμφοίδης ὀλίγῳ ὑπὸ λᾶϊ λοχήσας. Πλὴν ἄρ' ἢ γυναῖκες.] οὕτως ἀναιδεῖς θρασεῖαι καὶ ἀναίσχυντοι τῇ φύσει. Μὰ τὴν Ἄγραυλον.] τὴν Ἄρτεμιν, ἐν ἀγρῷ διανυκτερεύουσαν. Εὐφρονεῖτε.] σωφρονεῖτε.

BISETVS. Ἵνα μὴ βοᾷ.] περὶ τούτων ἐν Ἀχαρνεῦσιν οὕτω προείρηται,

Δός μοι χυτρίδιον σφογγιὰ βεβυσμένον.

τὰ χόλια. χύτραν φέρουσιν, ἐν ᾗ σφόγγος πεπληρωμένος μέλιτος, καὶ τιθέασιν ἐν τῷ στόματι τῶν παιδίων ὅπως σιωπήσωσι ζητοῦντες τροφήν. τὸ δὲ βοᾷ Ἀττικῶς ἀντὶ τοῦ βοᾶσοι, βοᾷς. Τὸ γὰρ ἦτρον.] ἦτρον, τὸ ὑπὸ τὸν ὀμφαλὸν μέρος, καὶ τὸ κάλυμμα τῆς μήτρας, ὃ καλοῦσιν ἔλυτρον. γελοίως δὲ εἶπεν, ἦτρον τῆς χύτρας. ἐν χύτραις γὰρ τὰ παιδία ἐξετίθεσαν. Σ. Ἄλλως. τὸ μέν τοι ὑπὸ τὸν ὀμφαλὸν πᾶν ἔχει τῶν ὑπὲρ αἰδοῖα τεταγμένων ἦτρόν τε, καὶ ὑπογάστριον καλοῦσι. Πολυδεύκης. Ἐξέωσασιν ἐκ τοῦ στόματος] δηλονότι τὸ κηρίον, ὃ τὸ τοῦ παιδίου στόμα πρότερον ἔβυσε. τότε δὲ ἀνέκραγε, τὸ παιδίον τὸ στόμα ἔχον ἤδη ἐλεύθερον. θεῖ δέ, τρέχει. Λέων, λέων.] Σ. λέων, λέων σοι γέγονεν ἔκμαγμα σόν. ἐπὶ τῶν μοιχευομένων δέ. καὶ τικτουσῶν γυναικῶν τοῦτο λέγεται. ἀλλὰ καὶ παρὰ τῷ Σουΐδᾳ ὁ στίχος οὗτος ἐλλειπὴς γράφεται, ὃν οὕτω καλῶς ἀναπληρώσειας,

Λέων, λέων σοι γέγονεν αὐτ' ἔκμαγμα σόν.

Ὁ δὲ Μνησίλοχος τοὺς κακίστους τῶν μοιχευομένων γυναικῶν τρόπους διὰ τούτων ἡμῖν χαρακτηρίζει. αὗται γὰρ τοὺς ἄνδρας ἀπατηλῶς ἀπατήσασαι λέγουσιν, ὡς καλὸν τὸ παιδίον, ὡς τῷ πατρὶ προσόμοιον ἀληθῶς κατὰ πάντα τοῦ σώματος μέρη. οὕτω καὶ ἡ γραῦς νῦν ταῦτα λέγει. ὁ δὲ νοῦς ὅδε. ὦ πάτερ, πάτερ τοῦδε τοῦ παιδίου, ὅρα, ὅρα πῶς ἀθηρὸν, καὶ ῥωμαλέον λέοντος δίκην εἶναι φαίνεται τὸ παιδίον, ὃ νῦν σοι γέγονεν, αὐτὸ τὸ ἔκμαγμα, καὶ αὐτὴ ἡ ἀληθινὴ εἰκὼν σου. ἐκμάττειν δὲ δηλοῖ τὸ ἐκτυποῦν, καὶ χαρακτηρίζειν τινὸς εἰκόνα. ὅθεν τὸ ἔκμαγμα ταυτὸ δηλοῦν τῷ ἐκτυπώματι. ὅπερ καὶ ἐκμαγεῖον, καὶ εἶγμα, καὶ εἰκὼν συνωνύμως καλεῖται. καὶ ἐκμάγηναι, τὸ ἐκτυπῶσαι. εἶγμα δὲ ἡ εἰκών, παρὰ τὸ εἴκειν· τὸ ὅμοιον ποιεῖν, ἢ ὅμοιον εἶναι. στρεβλὸν δέ, καμπύλον. κύτταρον δέ, τὸ πῶμα τῆς βαλάνου, ὅπου ἐγκάθηται ἡ βάλανος. Θεόφραστος δέ φησι κυρίως λέγεσθαι τὴν προσάνθησιν τῆς πίτυος. ἥτις ἐστὶν ὁ μικρὸς στάχυς ἐκ μεγάλων πυρῶν. ξηραινόμενος δὲ θυλακοῦται, καὶ ἀποπίπτει. λέγεται καὶ κύτταρος ἡ τοῦ αἰδοίου βάλανος. Τουτὶ μέν τοι.] στίχοι μικτοὶ ια'. ὁ δὲ χορὸς τὴν τοῦ Μνησιλόχου, ὃν γυναῖκα εἶναι ἐνόμιζε, θρασύτητα, καὶ παρρησίαν ἐν τῷ οὕτω φανερῶς τὰ τῶν γυναικῶν κακουργήματα, καὶ πανουργίας ἀποκαλύπτειν ἀκούσας, μετὰ θαυμασμοῦ, καὶ ἐκπλήξεως ταῦτα λέγει. Ὠόμην.] χαριέντως ᾠόμην, παρὰ τὸ οἴομαι, τὸ νομίζω. οὗτος δὲ ὁ στίχος ἐστὶ τροχαϊκὸς τετράμετρος καταληκτικός. βέλτιον δ' ἴσως καὶ τὸ ἡμῖν ὀξυτονεῖν, ἵν' ᾖ τροχαῖος, ὥσπερ καὶ οἱ λοιποὶ πόδες, πλὴν τοῦ ἕκτου, ὅς ἐστι σπονδεῖος. Ὑπὸ λίθῳ γάρ.] πρὸς τὴν παροιμίαν παίζει, ὑπὸ παντὶ λίθῳ σκορπίος. ἐλλείπει δὲ τὸ ὕπεστι. τοῦτο δὲ λέγεται ἐπὶ τῶν ἐπισκιῶν, καὶ κακοήθων. παραινεῖ δὲ μὴ προπετῶς λαλεῖν τοῦ μὴ δηχθῆναι. Σοφοκλῆς Αἰχμαλώτοις,

Ἐν παντὶ γάρ τοι σκορπίος φρουρεῖ λίθῳ.

Σ. τοῦτο δὲ γελοίως, καὶ παρὰ προσδοκίαν εἴρηται, δέον γὰρ εἰπεῖν, μὴ δάκῃ σκορπίος, εἶπε, μὴ δάκῃ ῥήτωρ. οἱ γὰρ ῥήτορες τοῖς σκορπίοις ὅμοιοι διὰ τὸ κακόηθες, καὶ φαρμακῶδες τῶν λόγων, οἷς χρῶνται. Ἀλλ' οὐ γάρ ἐστι] στίχοι ἰαμβικοὶ τετράμετροι καταληκτικοὶ μγ'. ὧν ὁ τελευταῖος,

Σιγᾶθ' ἵν' αὐτ' κοσμίως.

Οὐ μὰ τὴν Ἄγραυλον.] αἱ γυναῖκες τῷ τοῦ Μνησιλόχου λόγῳ σφόδρα πικρανθεῖσαι, καὶ ὀργισθεῖσαι, αὐτοῦ καταβοῶσι, καὶ τῆς ἀνυποστάτου τόλμης, καὶ ἀπαιδεύτου παρρησίας αὐτοῦ δοῦναι δίκην ἀξιοῦσιν. ἐκ δὲ ταύτης τῆς ἀντιλογίας, καὶ ἀλλήλων κατηγορίας μέγας θόρυβος ἐν αὐταῖς ἠγέρθη. Τὴν Ἄγραυλον.] περιφραστικῶς οὕτω καλεῖ τὴν Ἄρτεμιν ὡς ἐν τοῖς ἀγροῖς διὰ τὰς θήρας ἐναυλοῦσαν, καὶ διάγουσαν. ἣν καὶ ἀγροτέραν, καὶ ἀγραίαν οἱ ποιηταὶ συνωνύμως καλοῦσι.

Ἀλλ' ἢ πεφάρμαχθ' ἢ κακόν τι μέγα πεπόνθατ' ἄλλο.	*Sed vel venenatae estis, vel malum aliquod maius passae estis aliud,*
Ταύτην ἐάσαι τὴν φθόρον τοιαῦτα περιυβρίζειν	*Hanc permittentes perniciem talibus iniuriis afficere*
Ἡμᾶς ἁπάσας. εἰ μὲν οὖν τίς ἐστιν. εἰ δὲ μὴ ἡμεῖς	*Nos omnes. si igitur aliqua est, sin minus, nos*
Αὐταί γε καὶ τὰ δουλάρια τέφραν ποθὲν λαβοῦσαι,	*Ipsae quidem & ancillulae cinerem alicunde accipientes,*
Ταύτης ἀποψιλώσομεν τὸν χοῖρον, ἵνα διδαχθῇ	*Huius expilabimus vulvam, ut doceatur*
Γυνὴ γυναῖκας οὖσα μὴ κακῶς λέγειν τὸ λοιπόν.	*Mulier mulieres existens non vituperare posthac.*
ΜΝ. Μὴ δῆτα τόν γε χοῖρον ὦ γυναῖκες. εἰ γὰρ οὔσης	*SOC. Ne profecto genitale muliebre ô mulieres. si enim existente*

BOVRDINVS. Πεφάρμαχθε] ὑπὸ φαρμάκων τὴν διάνοιαν βέβλαφθε. φαρμάττειν γὰρ σημαίνει

φαρμάκοις γοητεύειν, καὶ ποτίζειν. καὶ λέγεται παρὰ Δημοσθένει φαρμακὸς ὁ ὑπὸ φαρμάκων βεβλαμμένος, οὕτω καὶ Θεόφραστος χρῆται τούτοις τοῖς ῥήμασι. τοιοῦτον δέ τι λέγει ὁ Δημοσθένης ἄλλοις ῥήμασι ἐν τῷ κατὰ Φιλίππου, Ἀθηναίοις ῥᾴδιον αὐτοὺς πείθεσθαι, καὶ μανδραγόραν πεπωκόσι ἐοικέναι ἀνθρώποις, βουλόμενος ἐκείνων δηλοῦν ὑπὸ πληξίαν καὶ ἀναισθησίαν. Περιυβρίζειν.) ὑβριστικῶς προσχλευάζειν, καὶ προπηλακιστικῶς προσφέρεσθαι ἡμῖν. Ἀποψιλώσωμεν.] ἀποτιλοῦμεν, ἐκτίλωμεν τὰς τρίχας τοῦ γαστρὸς ἢ μήτρας. βούλονται δὴ αἱ γυναῖκες τιμωρήσασθαι καὶ λαμβάνειν τὴν δίκην ταύτης τῆς στωμυλείας καὶ ἀσελγείας τοῦ Μνησιλόχου, ὅνπερ γυναῖκα εἶναι ἐνόμιζον. Χοῖρον.] προείρηται τί σημαίνει. Μὴ δῆτα.] συλλογίζεται δὴ ἐνταῦθα οὕτως ὁ

A κηδεστὴς, ἑκάστῃ ἡμῶν ἐδόθη παρρησία καὶ ἐξουσία τοῦ λέγειν καὶ ἐρεῖν, ὅ, τι γιγνώσκει. δίκαιον οὖν ἐστὶν εἰ ἐγὼ εἶπον παρρησιαζόμενος ὑπὲρ Εὐριπίδου, ἃ ἠσθόμην ἐν ἐκείνῳ εἶναι δίκαια, καὶ τῷ ἀγαθῷ ἀνδρὶ ἁρμόττοντα, διὰ τοῦτο κακόν τι παθεῖν. καὶ γὰρ τοῦτο ἂν τὴν δίκην λαβεῖν, καὶ τιμωρίαν τῆς παρρησίας ἡμῖν ἐλευθέρως δοθείσης.

B ISETVS. Πεφάρμαχθε.) φαρμάσσειν, εἴτε φαρμάττειν νῦν δηλοῖ τὸ φαρμάκοις τισὶ, καὶ γοητείαις τὸν νοῦν τινος δηλήσασθαι, βλάψαι, γοητεῦσαι, καὶ ἐπῳδαῖς διαφθείρειν. Τὸν χοῖρον] τὸ γυναικεῖον αἰδοῖον. τοῦτο δὲ κατὰ τοῦ Μνησιλόχου, ὡς κατὰ γυναικὸς λέγεται. οὐ γὰρ δῆλον ἦν τίς ποτ' ἂν εἴη. ἀλλ' αἱ γυναῖκες αὐτὸν γυναῖκα εἶναι ἐνόμιζον.

Παῤῥησίας κἀξὸν λέγειν ὅσαι πάρεσμεν ἀσταί,
Εἶτ' εἶπον ἃ γίγνωσκον ὑπὲρ Εὐριπίδου δίκαια C
Διὰ τοῦτο τιλλομένην με δεῖ δοῦναι δίκην ὑφ' ὑμῶν;
Γυν. Οὐ γάρ σε δεῖ δοῦναι δίκην. ἥτις μόνη τέτληκας
Ὑπὲρ ἀνδρὸς ἀντειπεῖν ὃς ἡμᾶς πολλὰ καὶ κακὰ δέδρακεν
Ἐξεπίτηδες εὑρίσκων λόγους ὅπου γυνὴ πονηρὰ
Ἐγένετο, Μελανίππας ποιῶν Φαίδρας τε. Πηνελόπην δὲ D
Οὐπώποτ' ἐποίησεν ὅτι γυνὴ σώφρων ἔδοξεν εἶναι.
Κη. Ἐγὼ γὰρ οἶδα τἄτιον. μίαν γὰρ οὐκ ἂν εἴποις
Τῶν νῦν γυναικῶν Πηνελόπην. Φαίδρας δ' ἁπαξαπάσας.
Γυν. Ἀκούετ' ὦ γυναῖκες οἷ' εἴρηκεν ἡ πανοῦργος E
Ἡμᾶς ἁπάσας αὖθις αὖ. Μν. Κη. καὶ νὴ Δί' οὐδέπω γε
Εἴρηχ' ὅσα ξύνοιδ', ἐπεὶ βούλεσθε πλεῖον εἴπω;
Γυν. Ἀλλ' οὐκ ἂν ἔτ' ἔχοις. ὅσα γὰρ ᾔδεις ἐξέχεας ἅπαντα.
Κη. Μὰ Δία οὐδὲ τὴν μυριοστὴν μοῖραν ὧν ποιοῦμεν. F
Ἐπεὶ τάδ' οὐκ εἴρηχ' ὁρᾷς ὡς στλεγγίδας λαβοῦσαι

Dicendi libertate, & cùm liceat dicere omnibus quæcunque adsumus ipsæ,
Deinde dixi, quæ sentiebam pro Euripide iusta,
Propter hoc vulsam me oportet dare pœnas à vobis?
MVL. Non enim te oportet dare pœnas, quippe quæ sola ausa es
Pro viro contradicere, qui nos multis malis affecit,
Dedita opera excogitans verba vbi mulier improba
Fuit Menalippas, repræsentans Phædrasque, Penelopem verò,
Nunquam egit, quòd mulier temperans visa est esse.
SOC. Ego enim scio causam. vnam enim non scilicet diceres
Huius ætatis mulierum Penelopem, Phædras
simul omnes.
MVL. Audite ò mulieres, qualia dixit scelesta
Nobis omnibus rursus. SOC. Et profectò nondum quidem
Dixi, quæcunque cognosco: nam vultis, plus dicam?
MVL. Sed non amplius posses, quæcunque enim sciebas, effudisti omnia.
SOC. Non per Iouem, ne millesimam quidem partem eorum quæ facimus.
Deinde quidem non dixi: vides, quòd strigiles accipientes,

BOVRDINVS. Τέτληκας] ὑπομεμένηκας. Ἐξεπίτηδες] ἐκ προνοίας, ἐκ προαιρέσεως, ἐξ ἐπιβουλῆς. Μελανίππας ποιῶν Φαίδρας τε.] αὗται δὲ γυναῖκες κακῶς ἤκουσαν καὶ διεβλήθησαν ἐπὶ πορνείᾳ καὶ τῇ ὕβρει στικῇ τῶν σωμάτων διαφθορᾷ. καὶ γὰρ ἡ Φαίδρα διὰ τὴν ἐπιθυμίαν αἰσχρὰν καὶ πορνικὴν αὐτῆς, αἰτία ἐγένετο τοῦ θανάτου τοῦ G Ἱππολύτου, ὡς λαμπρῶς συνέγραψεν ὁ Εὐριπίδης ἐν Ἱππολύτῳ στεφανηφόρῳ. γνώμη δὲ ἥδε, ὅτι ὁ Εὐριπίδης βουλόμενος ἀεὶ προπηλακίζειν καὶ ἐξυβρίζειν τὰς γυναῖκας ἐν ταῖς ἑαυτοῦ τραγῳδίαις, εἰσάγει ἑκάστοτε ἢ Μελανίππην ἢ Φαίδραν αἰσχρόν τι ἢ πορνικὸν διαπράττουσας, οὐδαμοῦ δὲ ποιεῖ Πηνελόπην ἥπερ δὴ σώφρων καὶ μετρία ἐγένετο, ἧς ἀεὶ μέμνηται Ὅμηρος μεγάλῳ σὺν ἐπαίνῳ, ἵνα μὴ δοκοίη ὅν τιν' οὖν ἔπαινον καὶ ἐγκώμιον ταῖς γυναιξίν. Πηνελόπην] τουτέστι σώφρονα καὶ εὔκοσμον. Φαίδρας] ἀκρατεῖς, ἀμέτρους, πορνάς. ἐνταῦθα δ' ὁ κηδεστὴς τοιούτοις τοῖς ῥήμασιν ὑβριστικοῖς παροξύνει καὶ ἐποτρύνει τὰς ἄλλας γυναῖκας πρὸς τὸ ἐπάλλεσθαι, προπηλακίζειν καὶ βιάζεσθαι ἑαυτὸν, νομιζόμενον δὴ τὴν γυναῖκα καὶ σχηματιζόμενον, ἀλλ' ὁμολογοῦμεν κακολογοῦντα καὶ ἐνυβρίζοντα ἐκείνας. Ἐξέχεας.] ἐλάλησας, ἐξανήλωσας. Στλεγγίδας.) στλεγγίδες λέγονται τὸ κτένιον, ὃ καὶ στλεγγὶς ὀνομάζεται.
BIS. Τἄτιον] τὸ αἴτιον. Στλεγγίδας] ἡ στλεγγὶς, τίς αὐτοῦ ἡ χρῆσις, ἐν τοῖς Ἱππεῦσιν εἴρηται, ἐν τῷ ἀπεστλεγγισμένος.

Ἐπειτα

Ἔπειτα σιφωνίζομεν τὸν σῖτον. Γυν. ἐπιτριβείης.
Κη. Ὡς τ' αὐτὰ κρέ' ἐξ Ἀπατουρίων ταῖς μαστροποῖς
διδοῦσαι
Ἔπειτα τὴν γαλῆν φαμέν. Γυν. τάλαιν' ἐγὼ
φλυαρεῖς.
Κη. Οὐδ' ὡς τὸν ἄνδρα τῷ πελέκει γυνὴ κατεσπό-
δησεν.
Οὐκ εἶπον. οὐδ' ὡς φαρμάκοις ἑτέρα τὸν ἄνδρ' ἔ-
μηνεν.
Οὐδ' ὡς ὑπὸ τῇ πυέλῳ κατώρυξέν ποτε. Γυν.
ἐξόλοιο.
Κη. Ἀχαρνικὴ τὸν πατέρα. Γυν. ταυτὶ δῆτ' ἀνεκτ'
ἀκούειν;
Κη. Οὐδ' ὡς σὺ τῆς δούλης τεκούσης ἄρρεν. εἶτα
σαυτῇ
Τοῦθ' ὑπεβάλου. τὸ σὸν δὲ θυγάτριον παρῆ-
κας αὐτῇ.
Γυν. Οὔτοι μὰ τὼ θεὼ σὺ καταπροίξει λέγουσα
ταυτί
Ἀλλ' ἐκποκιῶ σου τὰς ποκάδας. Μν. Κη. οὐ δὲ μὰ
Δία σύ γ' ἅψει.
Γυν. Καὶ μὴν ἰδού. Μν. καὶ μὴν ἰδού. λάβε θοἰμά-
τιον Φιλίστη.
Μν. Κη. Πρόσθες μόνον. κἀγώ σε νὴ τὴν Ἄρτεμιν.
Γυν. τί δράσεις;
Μν. Κη. Τὸν σησαμοῦνθ' ὃν κατέφαγες, τοῦτον χε-
σεῖν ποιήσω.
Χο. Παύσασθε λοιδορούμεναι. καὶ γὰρ γυνή τις ἡ-
μᾶς
Ἐσπουδακυῖα προστρέχει. πρὶν οὖν ὁμοῦ γενέ-
σθαι,
Σιγᾶθ' ἵν' αὐτῆς κοσμίως πυθώμεθ' ἅττα λέ-
ξει.

A Postea quasi per siphonem & fistulam attrahi-
mus cibum. MV. Perdaris.
SO. Quodq́ ipsas carnes Apaturijs festis lenis
dantes,
Deinde felem dicimus abstulisse. MVL. Mise-
ram me, nugaris.
SO. Neque quod maritum securi uxor percussit,
B Non dixi: neq; quòd potionibus altera maritum
insanire fecit,
Neque quod sub solio defodit olim. MVL.
Pereas.
SO. Acharnica patrem. MVL. Hæc verò tolera-
bilia sunt ne ad audiendum?
SO. Neque quòd tu ancilla pariente marem,
deinde tibipsi
Hunc supposuisti, tuam verò filiolam dimisisti
C ipsi.
MVL. Non per deas tu impunè feres, dicens
hæc,
Sed euellam tui pilos.
SO. Neque per Iouem tu quidem attinges me.
MVL. Verùm ecce, verùm ecce te tangam, sume
pallium Philista ancilla.
SO. Accede modò, & ego te per Dianam. MVL.
Quid facies?
D SO. Sesaminam placentam quam deuorasti,
hanc cacare faciam.
CHO. Desinite conicientes, etenim mulier qua-
dam ad nos
Festinans accurrit: priusquam igitur simul fia-
mus,
Tacete, ut ipsam modestè audiamus quæ nam
dicet.

E

BOVRDINVS. Σιφωνίζομεν τὸν σῖτον.] σιφωνίζειν γὰρ κυρίως σημαίνει ἀποσπᾶν ἐπὶ τῶν ὑγρῶν. ἐν τούτοις ὁ Ἀριστοφάνης καταχρῆται ἐπὶ τοῦ σίτου. τοῦτο τὸ ῥῆμα μετάγεται ἀπὸ τοῦ σίφωνος, ὃ σημαίνει τὸν καδίσκον, ᾧ παραχρῶνται οἱ κάπηλοι πρὸς τὸν οἶνον, καὶ ὄργανόν τι εἰς πότισιν ὑδάτων ἐν τοῖς ἐμπρησμοῖς, καὶ ἐνταῦθα τὸ αὐτὸ δηλοῖ. Κρέ'.] κρέατα ἐν τῇ ἑορτῇ τῶν Ἀπατουρίων δίδωσι ταῖς πορνοβοσκοῖς, ἔπειτα γαλῆν ἀφελέσθαι προφασίζονται. Ἀπατουρίων δ' ἑορτὴ ἦν δημοτελὴς ἥπερ ἤγετο παρ' Ἀθηναίοις τρεῖς ἡμέρας. πρώτη μὲν ἐκαλεῖτο δορπεία, ἡ δευτέρα ἀνάθυσις. ἀπὸ τοῦ θύειν. ἡ τρίτη κουρεῶτις, ἀπὸ τοῦ τοὺς κούρους καὶ τὰς κούρας ἐγγράφειν εἰς τὰς φρατρίας. φασὶ δέ τινες Ἀπατούρια ὀνομάζεσθαι οἷον ὁμοπατόρια τῶν πατέρων ὁμοῦ συνερχομένων διὰ τὰς τῶν παίδων ἐγγραφάς. Ταῖς μαστροποῖς] μαυλιστρίαις καὶ πορνοβοσκοῖς. Γαλῆν.] ἀφελέσθαι δηλονότι. Κατεσπόδησεν] ἐπάταξεν, ἔτυψεν. Ἔμηνεν] μανῆναι ἐποίησεν, εἰς μανίαν ἐνέβαλεν. Πυέλῳ] ὀρύγματι, ἐμβάτῃ, θήκῃ, ἔνθα ἀπολούσεις ποιοῦνται. Ἀχαρνικὴ τὸν πατέρα] δηλονότι κατώρυξεν ὑπὸ τῇ πυέλῳ. Οὐδ' ὡς σὺ] πρότερον ὁ Ἀριστοφάνης ἐξηγόρευσε τὰς ἀκρατείας καὶ ἁμαρτίας τῶν γυναικῶν, ἐνταῦθα δ' ἐξαγορεύει τὴν κακουργίαν ἐκείνων. Ὑπεβάλου] ὑπέθου. Καταπροίξει] προῖκα ἐκφεύξει, οὐ καταφρονήσεις καταγελάσεις τε ἐμοῦ χωρὶς ζημίας. προῖκα γὰρ ἔλεγον καὶ τὴν ζημίαν οἱ παλαιοί. Ἐκποκιῶ.] ἐκτιλῶ, ἐκσπάσω, ἀποξυρῶ τὰς ποκάδας τὰς διεκτενισμένας τρίχας σου. Σησαμοῦνθ.] σησαμοῦς τὸ πέμμα, εἶδός τι πλακουντος.

Bis. Σιφωνίζομεν.] σιφωνίζειν, κυρίως ἐπὶ τῶν ὑγρῶν τὸ ἀποσπᾶν. Ἀριστοφάνης δὲ κατεχρήσατο εἰπὼν, σιφωνίζομεν τὸν σῖτον. Σ. σιφωνίζειν γὰρ τὸν σῖτον τὴν ἀκυρολογίας δηλοῖ τὴν τροφὴν ὥσπερ διὰ σίφωνος, καὶ σύριγγος, ἢ ὀχετοῦ τινος ἕλκειν, καὶ εἰς τὴν γαστέρα ἐμβάλλειν. Ὡς αὐτὰ κρέ' ἐξ Ἀπατουρίων.] τὸ πλῆρες οὕτως αὐτὰ κρέα ἐξ Ἀπατουρίων. ἔπειτα φαμὲν τὴν γαλῆν αὐτὰ λαβεῖν, κλέψαι, καὶ φαγεῖν. περὶ δὲ τῶν Ἀπατουρίων ἐν Ἀχαρνεῦσιν εἴρηται. κατεσπόδησεν δὲ, ἔτυψεν, ἔπληξεν. Ἔμηνεν.] μανῆναι ἐποίησεν. εἰς μανίαν ἐνέβαλε. τὸ γὰρ μαίνειν ἐνεργητικῶς λαμβάνεται. Ὑπὸ πυέλῳ.] Σ. πύελος, ὄρυγμα, ἐμβάτης, ἔνθα ἀπολύονται. Ἡσύχιος δὲ τὴν ἀσάμινθον, ἢ λάρνακα οὕτω καλεῖ. Ἀνεκτ' ἀκούειν.) ἀνεκτὰ ἀκούειν. ἀνεκτὸν, φορητὸν, ὑπομενητικόν. Ἡσύχιος. καὶ ἀνεκτὰ, ἀντὶ τοῦ φορητὰ, ἢ ὑπομονῆς ἄξια. Καταπροίξει.) Ἀττικῶς, ἀντὶ τοῦ καταπροίξῃ, τουτέστι κατὰ Σουΐδαν, καταγελάσῃ μου χωρὶς ζημίας. προῖκα γὰρ ἔλεγον καὶ τὴν ζημίαν. Ἡρόδοτος. Οὐ γὰρ δή με ἐγὼ ὧδε λωβησάμενος καταπροίξεται, ἐγὼ. Σφηξὶ ταύτῃ τῇ λέξει Ἀριστοφ. ἐχρήσατο. τὰ δὲ σχόλια οὕτως αὐτὸ ἑρμηνεύει. οὐ μὴ καταφρονήσεις. παρὰ τὸ προῖκα. τουτέστιν, οὐ δωρεάν μου ἐγχανῇ. καὶ ἐν Νεφέλ. ταὐτόν

δὲ τῷ μεγάλῳ ἐτυμολογικῷ οὕτω γράφεται. καταπροίξεσθαι ἀπὸ τῆς προικός, ἣν διαιροῦντες οἱ Ἴωνες πρόϊκα λέγουσιν. ὥσπερ οὖν ἡ προὶξ δωρεὰν δίδοται, οὕτω φασὶν, εἰ δωρεὰν καταγνώσεταί τις, ἀλλ' ἀποδώσει μισθὸν, ἂν ἐπιτρίξῃ. τινὲς μὲν τοῦ τούτου τῷ ῥήματος τὸ θέμα νομίζουσιν εἶναι καταπροίκομαι, ὅ ἐστι προχωρῶ, προβαίνω, πορρωτέρω χωρῶ. ἀκριβέστερον δὲ οἱ μὲν ἐν τῷ μέλλοντι, καταπροίξομαι. καὶ τούτου ἡ χρῆσις ὡς ἐπὶ τὸ πλεῖστον ἐν τῇ ἀπειλαῖς, ὡς ἐνταῦθα. διὸ οὐ καταπροίξει νῦν ἀντὶ τοῦ οὐκ ἀτιμωρητὶ ἐντεῦθεν ἀπαλλάξῃ, οὐδ' ἀζήμιος ἀπαλλάξῃ ταῦτα λέγων. Εκτοκιεῖ.] τὰς τρίχας ἐκσπάσω. πεκάδες, αἱ διεκτενισμέναι τρίχες. ἐπὶ γυναικείων τριχῶν ὡς τὸ πολύ. παρετυμολογεῖ δὲ τὸν πόκον. Λυκόφρων δὲ ἁπλῶς τὰς τρίχας. ἐμπλοκὴ δέ τις φαίνεται, καὶ πλοκα-

A μίδες σπανίως ἐπὶ τῶν ἀνδρῶν λέγεται. Σ. τὸ δὲ ἐκποκιῶ, Ἀττικὸν, ἀντὶ τοῦ κοινοῦ ἐκποκίσω, παρὰ τὸ ἐκποκίζω, ὡς τὸ νομιῶ παρὰ τὸ νομίζω. Ἄττα] ἄττα Ἀττικῶς, ἄσσα κοινῶς, τρία σημαίνει. τὸ ἅ τινα, καὶ τὸ ὅσα, καὶ τὸ τινά. καὶ ὅτε μὲν ἰσοδυναμεῖ τῷ ἅ τινα, τῷ ὅσα, δασύνεται. ἐπιφράζει ἄσσα ἐθέλησθα. καὶ ἄσσ' ἂν ἐμοί περ αὐτῇ. ὅτε δὲ κεῖται ἀντὶ τοῦ τινὰ, ψιλοῦται. ἰστέον δὲ ὅτι τὸ ἄσσα, ὃ δηλοῖ τὸ ἅτινα, ἐκ τοῦ ἃ γίνεται, ὅπερ ἐστὶν ἄρθρον οὐδέτερον ὑποτακτικὸν πληθυντικόν. καὶ ἐκ τοῦ σὰ, ὃ Μεγαρικῶς καὶ Δωρικῶς τινὰ δηλοῖ. διὸ καὶ δασύνεται ὁμοίως τῷ ἅ-
B τινα. φασὶ δὲ οἱ παλαιοὶ περὶ τοῦ ἄττα, ὅτι καὶ τὸ ποτὶ σημαίνει. ὃ τὸ ἰσοδυναμοῦν τούτῳ. Ἀριστοφάνης, πυθοῦ χελιδὼν πηνίκ' ἄττα φαίνεται. ἔστι καὶ προσφώνημα νεωτέρων πρὸς πρεσβυτέρους τῶν Θετταλῶν διαλέκτου. Εὐστάθιος.

ΚΛΙΣΘΕΝΗΣ, ΧΟΡΟΣ, ΓΥΝΗ, Ἄλλη Γυνή.

C CLEISTHENES, CHORVS, MVLIER, ALTERA MVLIER.

Bisetus. Ὁ θηλυδριώδης, καὶ γυναιματὴς Κλεισθένης πρὸς τὴν τῶν Θεσμοφοριαζουσῶν ἐκκλησίαν προστρέχει δηλώσων αὐταῖς ἅπερ ἤκουσεν ἔκ τινων. περὶ τῆς ἀπάτης, ἣν τὰς γυναῖκας Εὐριπίδης ἀπατᾶν ἐγνώκει. αὐταῖς οὖν παραινεῖ τὰς Εὐριπίδου τέχνας ἐπιμελῶς φυλάξασθαι. αἱ δὲ ῥᾳδίως πείθονται τὸν Μνησίλοχον ὑποδηλοῦσθαι, περὶ οὗ οἱ τοιοῦτες λόγοι διεσπάρησαν, καὶ ὃν ὁ Κλεισθένης ὑποσημαίνειν ἤθελεν. αὐθ' ὧν αὐτῶν ἐπιμελέστερον σκοπεῖν, καὶ τοὺς αὐτοῦ λόγους ἀκριβέστερον ἐξετάζειν ἄρχονται. οἱ δὲ στίχοι ἰαμβικοὶ τρίμετροι ἀκατάληκτοι πάντες πλὴν ὁ τελευταῖος,

Ἔσω δὲ ταῦτα τοῖς πρυτάνεσιν ἀγγελῶ.

D
Κλ. Φίλαι γυναῖκες, ξυγγενεῖς τοὐμοῦ τρόπου.
Ὅτι μὲν φίλος εἰμ' ὑμῖν, ἐπίδηλος ταῖς γνάθοις.
Γυναικομανῶ γὰρ, προξενῶ θ' ὑμῶν ἀεί.
Καὶ νῦν ἀκούσας πρᾶγμα περὶ ὑμῶν μέγα
Ὀλίγῳ τι πρότερον, κατ' ἀγορὰν λαλούμενον
Ἥκω φράσων τοῦτ' ἀγγελῶν θ' ὑμῖν ἵνα
Σκοπῆτε καὶ τηρῆτε, καὶ μὴ προσπέσῃ
Ἡμῖν ἀφράκτοις πρᾶγμα δεινὸν καὶ μέγα.
Χο. Τί δ' ἐστὶν ὦ παῖ; παῖδα γάρ σ' εἰκὸς καλεῖν
Ἕως ἂν οὕτως τὰς γνάθους ψιλὰς ἔχῃς.

CL. Chara mulieres cognata meorum morum,
Quòd quidem amicus sum vobis, manifestus sum malis.
Ob imitationem enim mulierum insanio, interpresq; vestrûm sum semper.
Et nunc cùm audierim rem de vobis magnam,
Paulo quid prius in foro prædicatam,
Venio dicturus hoc, nunciaturúsque vobis, ut
E
Videatis & obseruetis, & ne accidat
Nobis imparatis & immunitis res grauis & magna.
CH. Quid verò est ô puer? puerum enim te conueniens est appellare,
Quousque ita genas depiles habueris.

Bovrdinvs. Φίλαι γυναῖκες.] ὁ Ἀριστοφ. ἐνταῦθα ἄρχεται τῆς καταμηνύσεως τῶν τεχνῶν καὶ μηχανημάτων τοῦ Μνησιλόχου, ὅπως ταῦτα ἐξαγγέλλεται καὶ
F ἐκφέρεται ὑπὸ τοῦ Κλεισθένους ὄντος. ἐνταῦθα καταφρονεῖ καὶ καταχλευάζει ὁ Ἀριστοφ. τοῦ Κλεισθένους ἐπὶ τῇ ἐκλύσει, μαλακίᾳ, ἀνανδρίᾳ τε αὐτοῦ, ὅτι μᾶλλον γυναιξὶν ἀνὴρ ὢν ὁμοιοῦται καὶ εἴκασται ἢ ἀνδράσιν, ὥσπερ καὶ πρότερον προείρηται. Συγγενεῖς τοὐμοῦ τρόπου.] ὁμοιότροποι τῆς γνάθοις, μαλακαῖς δὴ οὔσαις καὶ ἐκλύτοις ὥσπερ καὶ αἱ τῶν γυναικῶν. Γυναικομανῶ.] ἐκμαίνομαι περὶ τὰς γυναῖκας, ὑπὸ τῆς ἀμέτρου φιλίας καὶ ἐπιθυμίας. Προξενῶ θ' ὑμῶν ἀεί.] προΐσταμαι, προστατῶ, προβάλλομαι, καὶ προαγωνίζομαι ὑμῶν. πρόξενος δὲ κυρίως ἐκαλεῖτο παρὰ παλαιοῖς ὁ τεταγμένος εἰς τὸ τοὺς ξένους ὑποδέχεσθαι ἐξ ἀλλοτρίων πόλεων ἐρχομένους, καὶ οὕτω τῆς ξενίας ἐπιμελεῖσθαι, ὅθεν καὶ μεταφορικῶς πρόξενος καλεῖται φίλος, ὥσπερ ὁ ἐν τῇ αὐτοῦ ξενίᾳ προεστώς. Λαλούμενον.] θρυλλούμενον. Ἀφράκτοις.] απροβουλεύτοις, καὶ μὴ προορῶσι ἀφυλάκτοις τι καὶ ἀφραχθεῖσι πρὸς τὴν ἄπειρξιν τοῦ μέλλοντος καὶ συμβησομένου κακοῦ. ἀπὸ τοῦ φράττειν. Προσπέσῃ.] ἐπιπέσῃ, γνώμη δ' ἥδ' ἐστίν. ἵνα ὑμεῖς προΐδητε τὸ μέλλον κακὸν, καὶ προφυλάττησθε, ἀφύλακτοι δὲ μὴ πάθητε ὑπερφυές τι καὶ φοβερὸν κακόν. Τὰς γνάθους ψιλάς.] ἀποτετιλμένας, ἀγενείους, ἀπεξυρημένας.

G
Bisetvs. Προξενῶ θ' ὑμῶν.] Σ. τούτου τοῦ Ἀριστοφανείου στίχου μνημονεύων, τὸ ῥῆμα αἰτιατικῇ συντάσσει, οὕτω γράφων, προξενῶ θ' ὑμᾶς, ἀντὶ τοῦ προΐσταμαι. εἶτα πρὸς διαστολὴν, προξενῶ φησὶν, ἀντὶ τοῦ ἐπιτάττω, γενικῇ. Εὐστάθιος δὲ τόνδε τῆς Ἰλ. γ. στίχον,
Τοὺς δ' ἐγὼ ἐξείνισσα, καὶ ἐν μεγάροισι φίλησα,
ἑρμηνεύων, ἐξένισσε, φησὶ, καὶ ἐν μεγάροισι φίλησεν, ἤτοι ἐφιλοφρονήσατο καὶ ἐξένισεν, ὅπερ οἱ ὕστερον προξενῆσαι λέγουσιν

λέγουσι, μὴ γινώσκοντες τὸ ῥῆμα συντάσσοντες. ἀλλ' ἴσως A προξενοῦ ἐνταῦθα ἵνα ἀπιθάνως ἂν λαμβάνοιτο, ἀντὶ τοῦ προξενός εἰμι ἐπαγγέλλω μεσεγγύος, μεσίτης, ὁ ἐπίτροπος, ἐπιμελητὴς, καὶ ὅμοιον. Αφράκτοις] ἀφυλάκτοις, οὐ πεφραγμένοις. ἐνταῦθα δὲ μεταφορικῶς. οἰκήσεις ἄφρακτοι, αἱ περιβολὰς μὴ ἔχουσαι. Ησύχιος. προσοδεῦσαι δὲ, παρὰ προσδοκίαν, καὶ αἰφνιδίως συμβῇ.

Κλ. Εὐριπίδην φασ' ἄνδρα κηδεστήν τινα | CLI. Euripidem dixit quidam virum socerum quendam
B Αὑτοῦ γέροντα, δεῦρ' ἀναπέμψαι τήμερον. | Ipsius senem huc misisse hodie.
Χο. Πρὸς ποῖον ἔργον ἢ τίνος γνώμης χάριν; | CHO. Ad quam nam rem, vel cuiusnam consilij causa?
Κλ. Ἵν' ἅττα βουλεύοισθε καὶ μέλλοιτε δρᾶν, | CLI. Vt quanam consuleretis, & facturae essetis,
Ἐκεῖνος εἴη τῶν λόγων κατάσκοπος. | Ille esset verborum & consiliorum explorator.
Χο. Καὶ πῶς λέληθεν ἐν γυναιξὶν ὢν ἀνήρ. | CHO. Et quomodo latuit inter mulieres existens vir?
Κλ. Ἀφεῦσεν αὐτὸν κἀπέτιλλ' Εὐριπίδης, | CLI. Adussit ipsum, & euellit pilos Euripides,
C Καὶ τἄλλ' ἅπανθ' ὥσπερ γυναῖκ' ἐσκεύασεν. | Et in aliis omnibus quasi mulierem induit & ornauit.
Κν. Πείθεσθε τούτῳ ταῦτα. τίς δ' οὕτως ἀνὴρ | SOC. Creditisne illi haec? quis verò ita vir
Ἠλίθιος, ὅς τις τιλλόμενος ἠνείχετο; | Stultus, qui sibi pilos euelli pateretur?
Οὐκ οἴομ' ἔγωγ'. ὦ πολυτιμήτω θεώ. | Non arbitror equidem quenquam esse ita stultum, ô venerandae deae.
Κλ. Ληρεῖς. ἐγὼ γὰρ οὐκ ἂν ἦλθον ἀγγελῶν, | CLI. Nugaris, ego enim nō venisse nūciaturus,
Εἰ μὴ 'πεπύσμην ταυτὶ τῶν σάφ' εἰδότων. | Nisi audiuissem haec ab his qui certò sciunt.
Χο. Τὸ πρᾶγμα τουτὶ δεινὸν εἰσαγγέλλεται. | CHO. Res haec grauis & indigna annunciatur.
D Ἀλλ' ὦ γυναῖκες οὐκ ἐλινύειν ἐχρῆν | Sed ô mulieres non morari oportet:
Ἀλλὰ σκοπεῖν τὸν ἄνδρα καὶ ζητεῖν ὅπου | Sed explorare virum & quaerere, vbi
Λέληθεν ὑμᾶς κρυπτὸς ἐγκαθήμενος. | Latuit nos occultus sedens.
Καὶ σὺ συνέξευρ' αὐτὸν ὡς ἂν τὴν χάριν | Et tu simul inueni ipsum, vt gratiam
Ταύτην τε κἀκείνην ἔχῃς ὦ πρόξενε. | Hancque & illam habeas ô amice.
Κλ. Φέρ' ἴδω τίς εἶ πρώτη σύ. Μν. Κν. ποῖ τις τρέψεται. | CLI. Age videam, quanam es prima tu? SOC. quò aliquis vertet se?
Κλ. Ζητητέαι γάρ ἐστε. Μν. Κν. κακοδαίμων ἐγώ. | CLI. Excutiendae enim estis & inuestigandae. SOC. miser ego.
Γυ. Ἐμ' εἴρου; Κλεωνύμου γυνή. | MVL. Me quanā es, rogasti? Cleonymi vxor sū.
E Κλ. Γιγνώσκεθ' ὑμεῖς ἥτις ἔσθ' ἥδ' ἡ γυνή. | CLI. Cognoscitis vos, quanam est haec mulier?
Χο. Γιγνώσκομεν δῆτ', ἀλλὰ τὰς ἄλλας ἄθρει. | CHO. Cognoscimus profectò, sed alias inspice.
Κλ. Ἡδὶ δὲ δὴ τίς ἐστιν ἡ τὸ παιδίον | CLI. Ista verò quanam est infantem
Ἔχουσα; Γυ. τίτθη νὴ Δί' ἐμή. Μν. διοίχομαι. | Habens? MVL. nutrix ista est mea. SOC. pereo.
Κλ. Αὕτη σὺ ποῖ στρέφει; μέν' αὐτοῦ. τί τὸ κακόν; | CLI. Heus tu, quò verteris, & fugis? mane hic, quid malum?
Μν. Ἔασον οὐρῆσαί μ'. Κλ. ἀναίσχυντος εἶ. | SOC. Sinito mingere me. CLI. impudens es.
F Σὺ δ' οὖν ποίει τοῦτ', ἀναμενῶ γὰρ ἐνθάδε. | Tu igitur fac hoc, expecto enim hic.
Χο. Ἀνάμενε δῆτα καὶ σκόπει γ' αὐτὴν σφόδρα. | CH. Expecta verò, & inuestiga ipsā vehemēter,

BOVRDINVS. Κατάσκοπος.] ἵνα κατασκοπῇ καὶ ἐξετάζῃ, δοκιμάζῃ τε τίνας ἐν ὑμῖν λόγους διαλέγεσθε, καὶ τί βουλεύσησθε. Λέληθεν.] αὐτὸν, τουτέστι λάθρα εἰσῆλθεν, ὥστε ὑφ' ἡμῶν ἀγνοηθῆναι. Αφεῦσεν.] ἐφλόγισεν αὐτόν. Επέτιλλ'.] ἔτιλλε τρίχας, ὥστε μᾶλλον τῇ γυναικὶ ἀφομοιοῦσθαι, καὶ οὐδὲν ἀνδρεικὸν φρονεῖσθαι, καὶ πᾶσαν ὑποψίαν ἀφελεῖν τοῦ ἄνδρα εἶναι. Εσκεύασεν.] καὶ G πᾶσι τοῖς ἄλλοις σκεύεσιν ὥσπερ γυναῖκα κατεσκεύασε. Ηλίθιος.] ἄφρων καὶ τῆς σοφίας ἔρημος. Ω πολυτιμήτω] πολλῆς τιμῆς ἀξίω. ἐπιτελεστικὸν δὲ καὶ θαυμαστικῶς. πεπύσμην] ἤκουσα. Ελινύειν ἐχρῆν] τουτέστιν ἡσυχάζειν, βραδύνειν, παύεσθαι, χρονίζειν. ἀρρίανος, ἀλλὰ κατάσκοποι οὐδέν τι ἐλινύουσαι ἐχίνοντο. οὐ χρὴ φησὶν ὁ χορὸς ἐν ἠρεμίᾳ εἶναι καὶ ἀναπαύσει, ἀλλὰ δεῖ διαζητεῖν ἀπεχθεῖς αὐτὰ πάντων. Συνέξευρε.] διαζητεῖ καὶ διερεύνησον ἐκεῖνον. Στρέφει.] ἀπέρχει καὶ ἀνακαλεῖν δεῖ. Bis. Κατάσκοπος] κατάσκοποι, κατοπτεύοντες, ἐπίβουλοι, ἢ δόλων ἐξιχνευταί, δόλεροι, δόλιοι. Ησύχιος. νυνὶ δὲ λόγων κατάσκοπον καλεῖ τὸν τοὺς λόγους σκοποῦντα, καὶ τηροῦντα, ἵνα τούτους ἐκφαίνοι τοῖς ἄλλοις, ἢ τούτους διαλύῃ, καὶ ἐλέγχῃ. Αφεῦσεν] ἐφλόγισεν, ἔκαυσεν. Ελινύειν.] σχολάζειν, λήγειν, ὀκνεῖν, ἀναπαύεσθαι, διατρίβειν, ἡσυχάζειν, βραδύνειν. Σ. Ησύχ. Αθρει] ὅρα, βλέπε, ἰδὲ, νόει. Σ. Διοίχομαι] διαφθείρομαι. διέφθαρμαι. ἀπόλωλα. οὕτω καὶ ἐν τῇ Λυσιστράτῃ. ὀλίγου γὰρ οἴχετο.

BOVRDINVS. Σκόπει.] ἄθρει καὶ ἐξέ- A ταζε.

Μόνην γὰρ αὐτὴν ὦ 'νερ οὐ γιγνώσκομεν.
Κλ. Πολλοῦ γε χρόνου οὖν εἶ σύ. Μν. νὴ Δί' ὦ μέλε.
Στραγγουριῶ γάρ. ἐχθὲς ἔφαγον κάρδαμα.
Κλ. Τί καρδαμίζεις; οὐ βαδιεῖ δεῦρ' ὡς ἐμέ;
Μν. Τί δῆτά μ' ἕλκεις ἀσθενοῦσαν; εἰπέ μοι. B
Κλ. Τίς ἐστ' ἀνήρ σοι; Μν. τὸν ἐμὸν ἄνδρα πυνθάνει;
Τὸν δεῖνα γιγνώσκεις τὸν ἐκ Κοθωκιδῶν;
Κλ. Τὸν δεῖνα ποῖον; ἔσθ' ὁ δεῖν' ὅς καί ποτε;
Μν. Τὸν δεῖνα τὸν τοῦ δεῖνα. Κλ. ληρεῖν μοι δοκεῖς.
Ἀνῆλθες ἤδη δεῦρο πρότερον; Μν. νὴ Δία.
Κλ. Ὁσέτη; καὶ τίς σοῦ 'στι συσκηνήτρια; C
Μν. Ἡ δεῖν' ἔμοιγε. Κλ. οἴμοι τάλας οὐδὲν λέγεις.
Γυ. Ἄπελθ', ἐγὼ γὰρ βασανιῶ ταύτην καλῶς.
Ἐκ τῶν ἱερῶν τῶν πέρυσι· σὺ δ' ἀπόστηθί μοι
Ἵνα μὴ 'πακούσῃς ὢν ἀνήρ. σὺ δ' εἰπέ μοι. D
Ὅτι πρῶτον ἡμῖν τῶν ἱερῶν ἐδείκνυτο.
Φέρ' ἴδω τί πρῶτον ἦν; Μν. ἐπίνομεν.
Γυ. Τί δαὶ μετὰ τοῦτο δεύτερον; Μν. προὐπίνομεν.
Γυ. Ταυτὶ μὲν ἤκουσάς τινος· τί δαὶ τρίτον;
Μν. Σκάφιον Ξένυλλ' ᾔτησεν· οὐ γὰρ ἦν ἀμίς. E
Γυ. Οὐδὲν λέγεις, δεῦρ' ἐλθὲ δεῦρ' ὦ Κλείσθενες,
Ὅδ' ἐστὶν ἁνὴρ ὃν λέγεις. Κλ. τί οὖν ποιῶ;
Γυ. Ἀπόδυσον αὐτόν, οὐδὲν ὑγιὲς γὰρ λέγει.
Μν. Κἄπειτ' ἀποδύσετ' ἐννέα παίδων μητέρα;
Γυ. Χάλα ταχέως τὸ στρόφιον ὦ 'ναίσχυντε σύ. F
Ὡς καὶ σιβαρά τις φαίνεται καὶ καρτερά.

Solam enim ipsam ô vir, non cognoscimus.
CL. Multum quidem tempus magis tu. SOC. Profectò ô miser,
Vrinae enim stillicidium patior, heri comedi nasturtia.
CL. Quid, nasturtia? nónne venies huc ad me?
SOC. Quid verò me trahis aegrotantem? dic mihi.
CL. Quisnam est maritus tibi? SOC. meũ maritum rogas?
Ipsum illum nosti ex Cothocidis?
CL. Ipsum illum quem? éstne ipse ille, qui & olim?
SOC. Certum quendam filium certi cuiusdam. CL. nugari mihi videris.
Ascendistine iam huc ad hoc mysterium prius?
SO. Per Iouem ascendi.
CL. Quot anni quidem sunt? & quanam est tui contubernalis?
SO. Certa quaedam mihi quidem. CL. heu me miserum, nihil dicis.
MVL. Abi, ego enim torquebo, & examinabo hanc adductam ad quaestionem bene,
Ex sacris superioris anni: tu verò discede mihi,
Vt ne audias existens vir. Tu verò dic mihi,
Quódnam primùm nobis sacrorum ostendebatur.
Age videam, quidnam primùm erat? SO. bibebamus.
MVL. Quid verò post hoc secundùm? SO. propinabamus.
MVL. Haec quidem audisti de quo? quid verò tertium?
SO. Vasculum peregrina mulier à me petiit, non enim erat matella.
MVL. Nihil dicis. huc veni huc ô Clisthenes,
Hic est vir, quem dicis. CL. quid igitur faciam?
MVL. Exue ipsum, sanum enim & verum nihil dicit.
SO. Et deinde exuetis nouem filiorum matrẽ?
MVL. Relaxa citò strophium ô impudens tu.
Quàm & robusta quaedam videtur & fortis,

BOVRDINVS. Στραγγουριῶ.] δυσουρῶ γὰρ, καὶ μετ' ἀλγήσεως οὐρῶ. στραγγουρία δὲ ἡ δυσουρία. τούτοις δὲ ῥήμασι καὶ προφάσεσι χρῆται ὁ Εὐελπίδης βουλόμενος ἐκφυγεῖν εὐσχημόνως ἐκ τῶν χειρῶν τῶνδε τῶν γυναικῶν. Ἔφαγον κάρδαμα.] καὶ γάρ ἐστιν ἐπισχετικὰ καὶ ἰσχατικὰ οὔρων τὸ κάρδαμα καὶ πτυσμάτων. καὶ διὰ τὴν πρόφασιν τοῖς Πέρσαις χρῆσθαι αὐτοῖς ὅτι θέλουσι καὶ σπουδάζουσι φυλάττειν τὸ μὴ πολλὰ πτύειν, μήτε τὰς ἀπομυττίας, καὶ γὰρ παρ' αὐτοῖς ὀνειδίζεται ἡ πτύσις πολλὴ καὶ ἔμεσίς τε καὶ ἀπόμυξις, ὅτι φασὶ σημεῖον εἶναι τῆς καχεξίας. οὐδὲν δὲ βέλτιόν ἐστιν ἴαμα πρὸς τὸ ἐπισχεῖν ταύτην τὴν ἀμετρίαν οὔρων τε καὶ πτυσμάτων καὶ ἀπομυγμάτων ἢ τὸ κάρδαμον. Καρδαμίζεις.] τουτέστι βλέπεις κάρδαμα, καὶ δριμὺ ἐσίγασάν τε, ὡς ἄλλοθί που λέγει ὁ ποιητὴς ἐν ταῖς... Ἐκ Κοθωκιδῶν.] δῆμος ἐστί. Συσκηνήτρια.] συμφοιτῶσα, συνοῦσα καὶ συγγινομένη, καὶ συνερχομένη ἐπὶ ταύτην τὴν ἑορτὴν τῶν Θεσμοφορίων. Βασανιῶ.] δοκιμάσω, ἐρευνήσω καὶ ἐξετάσω. μεταφορὰ δὲ ἡ ἀπὸ βασάνου λίθου ᾗ περ ἐξετάζομεν χρώμενοι πρὸς τὴν τοῦ χρυσοῦ δοκιμασίαν. Ἀπόστηθι.] ἄπιθι, ἐκποδὼν καὶ χωρίς, τοῦ μὴ εἰσακούειν τῶν μυστηρίων ταύτης τῆς ἑορτῆς, ἅπερ οὐκ ἐστὶ θεμὶς ἀνδράσιν εἰδέναι. Τὸ σκάφιον.] ἔκπωμα ποτήριον κοῖλον, σκάφῃ ὅμοιον. Ἀμίς.] τὸ ἀγγεῖον κατεσκευασμένον πρὸς τὸ ἐπουρεῖν. καὶ ἔπειτα σχετλιασμός ἐστι ἐπίρρημα τῶν μὴ ἐθέλοντες ποιεῖν ὅ, τι βούλεται ἄλλος μετὰ δυσχερείας. Στρόφιον.] τὸ στρογγυλὸν ζωνάριον. λέγεται δὲ καὶ τὸ περὶ τὴν κεφαλὴν στρόφιον, ὅπερ ἐστὶν ἱερατικὸν G

καὶ τούτῳ

καὶ τούτῳ τῷ ὀνόματι οὕτως χρῆται ὁ Ἡρόδοτος. Στίβαρα) ἰσχυρά, στερρή.

BISETVS. Στραγγουρίᾳ] στραγγουρία, ἡ δυσουρία, ὅθεν τὸ στραγγουριάω, ὃ ἐπιχειρικά δὲ ἐστὶν οὔρων τὰ κάρδαμα, καὶ πλύσματος. διὰ τοῦτο φασὶ τοὺς Πέρσας αὐτοῖς χρῆσθαι. φυλάττονται γὰρ πολλὰ πλύειν, καὶ οὐρεῖν καὶ ἀπομύττεσθαι. Σ. Τί καρδαμίζεις] κάρδαμον, δριμυτάτης βοτάνης εἶδος. κωμικῶς δέ, καὶ γέλωτος χάριν Ἀριστοφάνης τὸ ῥῆμα καρδαμίζω ἐσχημάτισεν. ὁ δὲ νοῦς οὗτος. Τί νῦν κάρδαμα προφασίζεις; τί νῦν ὀξυδερκῶς, καὶ δριμέως τὰ κάρδαμα προβάλλεις, καὶ περὶ τούτων σοφίζῃ; ἐν δὲ τῇ λέξει κάρδαμον. καὶ τῷ ἐπ' αὐτῆς πεπλασμένῳ ῥήματι ὁ κωμικὸς παίζει. Τὸν δεῖνα] τὸ δεῖνα τοῖς ἄρθροις τοῖς προτακτικοῖς οὕτω συντάσσεται, ὁ, ἡ, τὸ δεῖνα, τοῦ, τῆς, τοῦ δεῖνος, καὶ δείνατος. τῷ, τῇ, τῷ δεῖνι, καὶ δείνατι. τὸν, τὴν, τὸ δεῖνα. λέγεται καὶ ὁ, τοῦ, τῷ, καὶ τὸν δεῖνα ἀκλίτως. ταύτῃ δὲ τῇ λέξει χαριέντως χρώμεθα ὅταν περί τινος λαλοῦντες, τοῦ κυρίου ὀνόματος οὐ μνημονεύομεν, ἢ οὐ μνημονεύειν προσποιούμεθα, οὐκ ἐθέλοντες, καὶ ἀποροῦντες τοῦτο λέγειν. ἢ παντελῶς οὐ δυνάμεθα. ὅπερ ἐνταῦθα τῷ Μνησιλόχῳ ἀπροσνοήτως συνέβη. Ἐκ Κοθωκιδῶν] Κοθωκίδαι, δῆμος. τούτου Δημοσθένης μνημονεύει ἐν τῷ περὶ

A εἰ στεφάνου, οὕτω λέγων. Πρέσβεις ᾑρέθησαν Εὔβουλος Ἀναφλύστιος, Αἰσχίνης Κοθωκίδης, Κτησιφῶν Ῥαμνούσιος, Κλέων Κοθωκίδης. Συσκηνήτρια] σύσκηνος, σύνοικος. τὸ θηλυκὸν συσκηνήτρια, ὡς προμνήστρια. Σκαφίον] Πολυδεύκης ἐν τῷ τοῦ δεκάτου κεφαλαίῳ, ὅ ἐστι περὶ τῶν εἰς ἀπόπατον ἀναγκαίων. οὕτω γράφει. καὶ δίφρον δ' ἂν εἴποις τὰ λάσανα εὐφημότερον, καὶ διφρίσκον. Τῇ δὲ γυναικί, σκαφίον αὐτῇ παρῆν. ἄμφω δὲ παράλληλα ἐν Πολυείδῳ Ἀριστοφάνης. σκαφίον Ξένυλλ' ᾔτησεν. οὐ γὰρ ἦν ἀμίς. ἐκ δὲ τούτων δῆλον τὸ σκαφίον εἶδός τι χρείας ἀγγεῖον

B γυναικεῖον πρὸς τὸ ἐναποπατεῖν, ἢ ἐνουρεῖν ἐπιτήδειον. ἐν τῷ μεγάλῳ ἐτυμολογικῷ γέγραπται. σκαφίς, ὁ καδίσκος, ἐν ᾧ κατεχέοντο (γρ. κατεχέζοντο.) αἱ γυναῖκες. ἐκαλεῖτο δὲ οὕτως, ἐπεὶ καὶ σκάφη εἶδός τι πλοίου. καὶ ὁμοιότροπός ἐστι τῷ πλοίῳ ὁ καδίσκος. Ἄλλως. σκαφίς, ξύλινον ἀγγεῖον, στρογγύλον, γαλακτοδόχον, ἢ ὀροῦ δεκτικόν. σημειῶσαι δὲ ἐνταῦθα ἴσως γραπτέον ὡς ἐν τῷ Πολυδεύκει. Σκαφίον Ξένυλλ' ᾔτησεν. ὡς τὸ Ξένυλλα ὄνομα κύριον ὂν τινὸς γυναικός. Τὸ στρόφιον] τὸ στρογγύλον ζωνάριον. στιβαρὰ δέ, εὔρωστος, εὔτονος, ἰσχυρά. ἀλλαχοῦ δὲ στιβαρός, ὁ στερρός,

C καὶ βαρύς.

Καὶ νὴ Δία τιτθούς γ' ὥσπερ ἡμεῖς οὐκ ἔχει.
Μν. Στερεφὴ γάρ εἰμι κοὐκ ἐκύησα πώποτε.
Γυ. Νῦν τότε δὴ μήτηρ ἦσθα παίδων ἐννέα.
Ἀνίστασ' ὀρθός. ποῖ τὸ πέος ὠθεῖς κάτω.
Μν. Τοδὶ δή. Γυ. ἔκυψε καὶ μάλ' εὔχρων ὦ τάλαν.
Κλ. Καὶ ποῦ 'στιν. Γυ. αὖθις ἐς τὸ πρόσθεν οἴχεται.
Κλ. Οὐκ ἔνγε ταυθί; Μν. ἀλλὰ δεῦρ' ἥκει πάλιν.
Κλ. Ἰσθμόν τιν' ἔχεις ἄνθρωπε. ἄνω τε, καὶ κάτω
Τὸ πέος διέλκεις πυκνότερον Κορινθίων.
Γυ. Ὦ μιαρὸς οὗτος ταῦτ' ἄρ' Εὐριπίδου
Ἡμῖν ἐλοιδορεῖτο. Μν. κακοδαίμων ἐγώ.
Εἰς οἷ' ἐμαυτὸν εἰσεκύλισα πράγματα.
Γυ. Ἄγε δὴ τί δρῶμεν. τουτονὶ φυλάττετε
Καλῶς. ὅπως μὴ διαφυγὼν οἰχήσεται.
Ἐγὼ δὲ ταῦτα τοῖς Πρυτάνεσιν ἀγγελῶ.

Et profectò mammas quidem sicut nos non habet.
SOC. Sterilis enim sum, & non vterum gestaui vnquam.
MVL. Nunc dicis te esse sterilem, tunc verò mater eras puerorum nouem.
D *Surge erectus, quò membrum virile impellis deorsum?*
Hoc iam veretrum inclinauit, & bene magnum & coloratum est ô miser.
CL. Et vbinam est? MN. rursus in anteriorem partem abit.
CL. Nónne hic est? MN. sed huc venis rursus.
E *CLI. Veretrum distrahis frequentius Corinthijs,*
MVL. Scelestus hic propterea igitur pro Euripide
Nobis conuicia faciebat. MN. miser ego,
In quas meipsum rotaui & impuli molestias.
MVL. Age verò quid faciamus? hunc custodite
Bene, vt ne fugiens & elapsus abeat.
Ego verò hac consulibus nunciabo.

BOVRDINVS. Τιτθούς.] τιτθοὶ οἱ μαστοὶ ἢ τῶν μαστῶν τὰ ἄκρα. Στερεφή.] μὴ τίκτουσα τοὺς παῖδας, καὶ διὰ τοῦτο μὴ ἔχουσα μαστούς, ὥσπερ αἱ ἄλλαι γυναῖκες αἱ παῖδας τίκτουσαι. Τὸ πέος.] τὸ αἰδοῖον. Ὠθεῖς] προωθεῖς καὶ καταβάλλεις. Εὔχρων] εὖ κεχρωματισμένον. Οἴχεται.] ἐπανέρχεται. Διέλκεις] διασπᾷς, διαστρέφεις καὶ καλινδεῖς. Κορινθίων.] οἵπερ κακῶς ἀκούουσι καὶ διαβάλλονται ἐπὶ τῇ πορνείᾳ καὶ ἀκολασίᾳ περὶ τὰς αἰσχίστας ἡδονάς. Εἰσεκύλισα.] κατέστησα, ἐνεβαλόμην, ἐνέπλεξα. Τοῖς πρυτάνεσιν ἀγγελῶ.] ὥστε δίκην καὶ τιμωρίαν λαβεῖν τούτου τοῦ ἀδικήματος τοῦ κηδεστοῦ. Πρυτάνεις δ' ἦν τὸ δέκατον μέρος τῆς φυλῆς τῶν πεντακοσίων δηλονότι πεντήκοντ' ἄνδρες, ἀπὸ μιᾶς φυλῆς διοικοῦντες πάντα τὰ ὑποτασσόμενα ὑπὸ τῆς βουλῆς. ἐπρυτάνευον γὰρ ἐκ διαδοχῆς ἀλλήλαις αἱ δέκα φυλαὶ κλήρῳ λαχοῦσαι,

F ὡς Αἰσχίνης ἐν τῷ κατὰ Κτησιφῶντος λέγει, καὶ ἐκ τούτου πρυτανεύειν ἀντὶ τοῦ διοικεῖν τίθεται.

BISETVS. Στερεφή] στεῖρα, ἡ μὴ τίκτουσα. Σ. Ἰσθμόν τιν' ἔχεις] οὗτος ὁ στίχος ἐν πᾶσι τοῖς Ἀριστοφάνους ἀντιγράφοις ἐλλείπει. νῦν δὲ τοῦτον ἐκ τοῦ Σουίδα κατὰ τὸν ἑαυτοῦ ἴδιον τόπον καταχωρίζειν πάρεστιν. οὕτω γὰρ ἐκεῖνος ἐν τῷ Ἰσθμός. Ἰσθμός, φησι, θάλασσα μεταξὺ δύο γαιῶν. πορθμὸς δέ, γῆ μεταξὺ δύο θαλασσῶν. Ἀριστοφάνης.

G Ἰσθμόν τιν' ἔχεις ἄνθρωπ'. ἄνω τε, καὶ κάτω
Τὸ πέος διέλκεις πυκνότερον Κορινθίων.

ἐπεί, φησιν ὁ Σουίδας, τὰς ναῦς διὰ τοῦ ἰσθμοῦ εἷλκον οἱ Κορίνθιοι, ὥστε μὴ περιπλεῖν. τοῦτο δὲ διεθρυλεῖτο ἐκάλουν.

A

ΧΟΡΟΣ.

Ἡμᾶς τοίνυν μετὰ τοῦτ' ἤδη τὰς λαμπάδας ἁψαμένας χρὴ
Ξυζωσαμένας εὖ κἀνδρείως, τῶν θ' ἱματίων ἀποδύσας
Ζητεῖν εἴπου κἄλλος τις ἀνὴρ εἰσελήλυθε, καὶ περιθρέξαι
Τὴν Πύκνα πᾶσαν. καὶ τὰς σκηνὰς καὶ τὰς διόδους ἀθρῆσαι.

CHORVS.

Nos igitur post hoc iam faces accensas habentes oportet,
Succinctas bene & viriliter, indumentísque exutas
Quærere, sicubi num alius aliquis vir ingressus est, & circumcurrere
B *Curiam totam, & scenas & transitus lustrare.*

Bisetvs. Ἡμᾶς τοίνυν] στίχοι ἀναπαιστικοὶ τετράμετροι καταληκτικοὶ δ'. ὧν ὁ τελευταῖος προσοδεῖον, ἐν ἀναπαιστικῷ καταλήγοντα ἔχει, ὃν τινες Λακωνικὸν καλοῦσιν ὥς φησιν Ἡφαιστίων. εἶτα τροχαϊκοὶ τετράμετροι καταληκτικοὶ δ'. μεθ' οὓς στίχοι μικτοὶ κδ'. καὶ αὖθις τροχαϊκοὶ τετράμετροι καταληκτικοὶ δύο. ὁ γὰρ χορὸς ἐνταῦθα κατὰ πᾶσαν ἐκκλησίαν μεθ' ἡμμένων λαμπάδων (τὰ γὰρ Θεσμοφόρια νύκτωρ ἐτελεῖτο) ζητεῖ εἴ που καί τις ἄλλος ἀνὴρ λέληθεν εἰσελθών. Ἀποδούσας] κατ' ἐκβολὴν τοῦ υ. ἀντὶ τοῦ ἀποδυούσας, ἀποδυσαμένας. ἀποδύειν, ἀποδῦσαι, ἀποδύσασθαι, ἐνδύειν, ἐνδύσασθαι δηλοῖ. τὸ δὲ Πύκνα, κατὰ μετάθεσιν, ἀντὶ τοῦ Πνύκα. περὶ δὲ ταύτης ἤδη πολλὰ προείρηται. τὸ δὲ C ἀθρῆσαι, τὸν στίχον τελειοῖ, ὃς Λακωνικὸς καλεῖται, ὡς ἄνω εἴρηται. περιθρέξαι δὲ, περιδραμεῖν. ἐξορμᾶν πόδα, κινεῖν, ἐκκινεῖν, ἐκφέρειν. τουτέστιν ὁρμᾶσθαι, μετὰ σπουδῆς ἔρχεσθαι. ἀνόσια, οὐχ ὅσια, βέβηλα, ἄδικα, ἀνομα, ἀσεβῆ.

Bovrdinvs. Περιθρέξαι.] περισκοπεῖν, περιαθρεῖν καὶ διερευνᾶν. Πνύκα.] πνὺξ τόπος ἦν ἐν Ἀθήναις ἔνθα ἡ ἐκκλησία συνεκροτεῖτο, παρὰ τὸ πυκνοῦσθαι ἐκεῖ τοὺς βουλευτὰς, ἢ ἀπὸ τοῦ πεπυκνῶσθαι ταῖς καθέδραις, ἢ ἀπὸ τῆς τῶν λίθων πυκνότητος. τὴν πνύκα δὲ ἐνταῦθα καλεῖ τὴν σύνοδον καὶ ἐκκλησίαν ἅπασαν. Διόδους.] τὰς ἀμφόδους.

D

ΗΜΙ. ΓΥΝΑΙΚΩΝ.

Εἶα δὴ πρώτιστα μὲν χρὴ κοῦφον ἐξορμᾶν πόδα
Καὶ διασκοπεῖν σιωπῇ. μόνον δὲ χρὴ ταχὺ
Μὴ βραδύνειν, ὡς καιρός ἐστι μὴ μέλλειν ἔτι.
E Ἀλλὰ τὴν πρώτην τρέχειν χρὴ ὡς τάχισθ' ἤδη κύκλῳ.
Εἶά νυν ἴχνευε, καὶ μάτευε ταχὺ πάντ'
Εἴ τις ἐν τόποις ἑδραῖος ἄλλος αὖ λέληθεν ὤν.
Πανταχῇ διάρριψον ὄμμα.
Καὶ τὰ τῇδε, καὶ τὰ δεῦρο πάντ' ἀνασκόπει καλῶς.
Ἢν γὰρ μὴ λάθῃ, δράσας ἀνόσια.
Δώσει τε δίκην. καὶ πρὸς τούτῳ,
F Τοῖς ἄλλοις ἅπασιν ἔσαι
Παράδειγμ' ὕβρεως ἀδίκων τ' ἔργων,
Ἀθέων τε τρόπων.
Φήσει δ' εἶναί τε θεοὺς φανερῶς.
Δείξει τ' ἤδη
Πᾶσιν αἰθρώποις, σεβίζειν δαίμονας
Δικαίως τ' ἐφέποντας

SEMICHORVS MVLIERVM.

Eia verò, primùm quidem oportet leuem excitare pedem,
Et dispicere silentio: solum autem oportet quocunque
Non tardare, quoniam occasio est non morandi amplius:
Sed primo quoque tẽpore currere oportet quàm citissimè iam circumcirca.
Eia, nunc inuestiga, & inquire celeriter omnia,
Si quis in locis subsessor alius rursus latet existens,
Quocunque disiice oculum:
Et quæ hac parte sunt, & illa omnia explora bene.
Si enim non latuerit nos agens iniqua & impia,
Dabitque pœnas, & ad hoc
Alijs omnibus erit
Exemplum iniuriæ, iniustorúmque operum
Impiorúmque morum.
Dicet autem esséque deos manifestò,
Ostendétque iam
Omnibus hominibus colere deos,
Iustéque administrantes,

Bovrdinvs. Εἶα.] ἐπίρρημα προθυμίας μεστὸν καὶ παροξυντικὸν πρὸς τὴν πρᾶξιν. Κοῦφον ἐξορμᾶν πόδα.] τουτέστι κούφως βαδίζειν κατ' ἠρέμα, ὥστε αὐτοῦ τὴν ἐμβάσιν μὴ ἐπαισθέσθαι. Βραδύνειν.] μέλλουσι τινα ποιεῖν δεῖ. Ἴχνευε.] βάδιζε. Μάτευε.] βασάνιζε, ἐξέταζε. Ἑδραῖος.] λάθρα ἕζεται ἐν τόποις. Διάρριψον ὄμμα.] ἀμφιβάλλου G καὶ περίφερε τὰ ὄμματα. Ἀνασκόπει.] διάθρει. Παράδειγμα.] οὕτως πληγήσεται καὶ τοιαύτην δώσει δίκην, ὥστε πᾶσιν ἔνδειγμα εἶναι καὶ παράδειγμα πρὸς τὴν ἔκπληξιν. Σεβίζειν.] σεβαστικῶς προσφέρεσθαι πρὸς τοὺς δαίμονας. Ἐφέποντας.] ὑπηρετοῦντας, διοικοῦντας.

Bisetvs. Ἐφέποντας] διέποντας, διοικοῦντας,

τας, ἐνεργοῦντας. ἀλλαχοῦ δὲ ἐφέπεται δηλοῖ τὸ καθίστασθαι, διατάττειν, διακοσμεῖν. Σ. τὸ δὲ μηδομένους, ἀντὶ τοῦ βουλευομένους. Σ. μήδεσθαι δὲ, τὸ βουλεύεσθαι νοεῖ. ἀλλαχοῦ δὲ, τὸ μηχανᾶσθαι, καὶ ἐπιβουλεύειν. παρὰ τὸ μῆδος, ὃ σημαίνει τὴν φροντίδα, τὴν βουλὴν, καὶ τὴν ἐπιβουλήν. ἔστιν ὅτι βουλὴ, καὶ μῆδος συνωνύμως τίθεται. Ομηρος Ιλ. Β. A

Εν πυκεὶ δὲ βουλαί τε γένοιατο, μήδεά τ' ἀνδρῶν.

Μήδεα καὶ τὰ αἰδοῖα καλεῖται. Ομηρος Οδυσ. Σ.

Μήδεά τ' ἐξερύσας δώη κυσὶν ὠμὰ δάσασθαι.

καὶ Ησίοδος ἐν Θεογονίᾳ ,, φίλα δ' ἀπὸ μήδεα πατρὸς,

Ευσυμένως ἤμησε. τοῦ δὲ μήδεσθαι, ὅταν δηλοῖ τὸ μηχανᾶσθαι, καὶ ἐπιβουλεύειν, παράδειγμα ἔχομεν Ομήρου Ιλ. Ζ.

Ωπασεν. αὐτὰρ ὁ Προῖτος κακὰ μήσατο θυμῷ.

B καὶ ἐν τῷ Η.

Παννύχιος δέ σφιν κακὰ μήδετο μητίετα Ζεύς.

Οσια καὶ νόμιμα μηδομένοις
Ποιεῖν ὅτι καλῶς ἔχει.
Κἂν μὴ ποιῶσιν ταῦτα, τοιάδ' ἔσται.
Αὐτῶν ὅτ' ἂν ληφθῇ τις ἀνόσια δρῶν
Μανίαις φλέγων
Λύσσῃ παράκοπος.
Εἴτι δρῶν πᾶσιν ἐμφανὴς ὁρᾶν
Εστι γυναιξὶν καὶ βροτοῖς,
Οτι τὰ παράνομα τ' ἀνόσια θεὸς
Αποτίνεται.
Παραχρῆμά τε γίνεται.
Χο. Αλλ' ἔοιχ' ἡμῖν ἅπαντά πως διεσκέφθαι καλῶς.
Οὐχ ὁρῶ μὲν γ' οὖν ἔτ' ἄλλον οὐδέν' ἐγκαθήμενον. D

Sancta & legitima consulentes,
Facere quod bene se habet.
Et si non fecerint hæc, talia supplicia erunt.
Ipsorum deprehensus fuerit aliquis, impia faciens,
Furoribus ardens,
C *Rabie insanus & furiosus,*
Si quid faceret omnibus manifestus visu
Erit mulieribus & mortalibus,
Quòd iniqua & impia Deus
Vlciscitur,
Statimque fit vltio.
CHO. *Sed videntur nobis omnia quodammodo explorata fuisse bene,*
Non video quidem igitur alium nullum sedentem.

BOVRDINVS. Μηδομένους.] φροντίζοντας καὶ ἐπιμελουμένους. Μανίαις φλέγων.] καθ' ὑπερβολὴν μαινόμενος, ἐκκαυθεὶς τῇ μανίᾳ. Λύσσῃ παράκοπος] τουτέστι φρενιτιάζων. λέγεται γὰρ ἡ φρενῶν παρακοπὴ φρενιτίασις. καὶ παρακοπῆναι τὸν νοῦν. ἔστι τὸ παρατετραπλῶσαι, ἐκτετραπλῶσαι, ἐκστῆναι, καὶ ἐξωλισθῆναι τῶν φρενῶν. Αποτίνεται.] θεὸς, φησὶν, τιμωρίαν ἀπαιτεῖ, λαμβάνει καὶ ἐκδικεῖ τ' ἀνόσια καὶ παράνομα ἔργα τε καὶ ἄδικα ἔργα. ἀποτίνεσθαι γὰρ σημαίνει τὸ τὴν δίκην ἀπαιτεῖν καὶ τιμωρίαν. ἀποτίσεις δὲ καὶ αἱ τῶν τιμωριῶν λήψεις καὶ ἀπαιτήσεις λέγονται. Παραχρῆμα.] παραυτίκα παρ' αὐτὸ τὸ χρῆμα, καὶ πρᾶγμα, ὅπερ ἐστὶν ἐν τῷ παρόντι, ἀπαιτεῖ ταύτην τὴν δίκην. Διεσκέφθαι.] διερευνῆσθαι καὶ διεζητῆσθαι καλῶς.

BISETVS. Λύσσῃ παράκοπος] λύσσα, ἔστι λύσσῃ, ἡ μανία λύσσῃ παράκοπος, μανίᾳ παρακοπείς. παρακοπὴ φρενῶν, ἡ φρενιτίασις. Αποτίνεται] τιμωρεῖ. ἐκδικεῖ. κολάζει. τὸ δὲ ἀποτίνεσθαι, ἀντὶ τοῦ ἀποτίνειν. ὁ καὶ ἀποτιννῦναι, καὶ ἀποτίννυσθαι λέγεται ἀττικόν. τούτου δὲ πολλὰς σημασίας παρ' Εὐσταθίῳ εὕρεις. παραχρῆμα, παραυτίκα, εὐθέως. E

ΓΥΝΗ, ΜΝΗΣΙΛΟΧΟΣ, ΧΟΡΟΣ, ΑΛΛΗ ΓΥΝΗ.

Γυ. Α Α. ποῖ σὺ φεύγεις; οὗτος, οὗτος οὐ μενεῖς;
Τάλαιν' ἐγὼ τάλαινα, καὶ τὸ παιδίον
Εξαρπάσας μοι φροῦδος ἀπὸ τοῦ τιτθίου.
Μν. Κέκραχθι, τοῦτο δ' οὐδέποτε σὺ ψωμιεῖς
Ην μή μ' ἀφίητ'. ἀλλ' ἐνθάδ' ἐπὶ τῶν μηρίων
Πληγὲν μαχαίρᾳ τῇδε φοινίας φλέβας
Καθαιματώσει βωμόν. Γυ. ὦ τάλαιν' ἐγώ.
Γυναῖκες οὐκ ἀρήξετ'; οὐ πολλὴν βοὴν
Στήσεσθε καὶ τροπαῖον; ἀλλὰ τοῦ μόνου
Τέκνου με περιόψεσθ' ἀποστερουμένην;

MVL. *Ah ah, quò tu fugis, heus tu, heus tu non manebis?*
F *Misera ego misera, & infantem*
Cū eripuerit mihi à papilla, euanidꝰ est, & fugit.
MN. *Clama, hunc verò nūquā tu Mania nutries,*
Nisi me dimiseritis. sed hic in cruribus
Vulneratus gladio hoc, rubras & cruētas venas
Cruentabit aram. MVL. *O miseram me,*
Mulieres nónne auxiliabimini? nónne per permultum clamorem
G *Erigetis trophæum, sed vnico*
Filio me negligetis priuatam?

BOVRDINVS. Αα] ἐνταῦθα ἐπίρρημά ἐστι μεστὸν ἐκπλήξεως, καὶ ταράξεως. Φροῦδος.] φεύγει καὶ ἀφανής ἐστιν. Ψωμιεῖς.] θρέψεις. τοῦτο δὲ ῥῆμα κύριόν ἐστι τῶν τιτθῶν τρεφουσῶν τὰ παιδία καὶ κατὰ μικρὸν αὐτοῖς φαγεῖν παρεχουσῶν καὶ ψώμια διδουσῶν, τουτέστι μικροὺς ψωμοὺς τοῦ ῥαδίως καταφαγεῖν. κατὰ μεταφορὰν δὲ καὶ τὸ ψωμίζειν, σημαίνει φενακίζειν ἐξαπατᾶν τε καὶ παραχρύεσθαι, ἀπὸ τῶν μικρῶν παιδίων ἅπερ ὑπόκειται τῇ τῶν δι-

δόντων ἐξουσίᾳ καὶ διαφενακίσει. Καθαιματώσει.] αἵματι μιανεῖ καὶ προπηλακίσει. Αρήξετε.] βοηθήσετε. Πολλὴν βοὴν] οὐ μετὰ πολλῆς βοῆς καὶ κραυγῆς ἀναστήσεσθε, καὶ ἐκβοηθήσετε. ἀλλὰ ἄρα σχετλιαστικὸν καταφρονήσετε καὶ τλήσεσθέ με ἀποστερηθεῖσαν μόνου καὶ ἀγαπητοῦ τέκνου.

Bisetvs. Α α] σχετλιαστικὸν ἐπίρρημα. καὶ μετὰ τοῦτο στίχοι ἰαμβικοὶ τρίμετροι ἀκατάληκτοι δέκα. ἡ δὲ νοῦ τούτῳ τῷ ἐπιφωνήματι χρωμένη γυνή, καὶ τὰ ἑξῆς λέγουσα, μία ἐστὶ τῶν φυλαττουσῶν τὸν Μνησίλοχον τὸν εἰς φυλακὴν παραδεδομένον. ἐν ᾧ δὲ χρόνῳ αἱ τοῦ χοροῦ γυναῖκες μετὰ πάσης ἀκριβείας καὶ σπουδῆς ζητοῦσιν εἴπου τις ἄλλος ἀνὴρ παρὰ τοῦτον ἐν τῇ ἐκκλησίᾳ λαθὼν εἴη, Μνησίλοχος ἐν τούτῳ καλὸν φυγῆς καιρὸν φυλάξας, ἀσκὸν οἴνου πλέων, ὅν τις τῶν γυναικῶν παιδίου δίκην ἐσπαργανωμένον εἰς τὴν ἐκκλησίαν ἤνεγκε, καὶ ἐν κόλπῳ ἐβάσταζεν, ἁρπάσας φεύγει. διὰ δὲ ταύτην τοῦ ἀσκοῦ ἁρπαγὴν θόρυβος ἐν ταπεινίας, καὶ γέλω- A τος πολλοῦ μεστὸς ἐγείρεται. τοῦ δὲ Μνησιλόχου αὐτὸν οὐκ ἀφήσειν λέγοντος, εἰ μὴ καὶ αὐτὸς ὑπὸ τῶν γυναικῶν ἐλεύθερος, καὶ ἀβλαβὴς ἀφεθείη. γελοῖα δὲ καὶ τὰ περὶ τοῦ ἀσκοῦ ὡς περὶ κόρης λεγόμενα. ἐν δὲ τούτῳ τῷ στίχῳ χαριέστερον, ὡς εἴρηται, Ποῖ, ποῖ σὺ φεύγεις; τὸ δὲ γὰρ παρέλκον ἐστί, ὡς καὶ πολλάκις ἀλλαχοῦ εὕροις. ἐν δὲ τῷ φροῦδος, ἔλλειψις ἐστὶ τοῦ οἴχεται, ἢ ἀπῆλθε. Κέκραχθι] κράζω, κράξω, τὸ βοῶ. ὁ μέλλων παρακείμενος κέκραγα, ὅθεν θέμα κεκράγω, κεκράξω, ὡς ἀπὸ τοῦ πλήττω, πλήξω, πέπληγα, τὸ πεπλήγω, ὅπερ ἐκ τοῦ παρακειμένου εἰς B ἐνεστῶτα ἀνήχθη. ἀπὸ δὲ τοῦ κεκράγω γίνεται τὸ κεκέκραγμαι, καὶ κατὰ συγκοπὴν κέκραγμαι, ὅθεν ὁ α. ἀόριστος παθητικὸς ἐκεκράχθην, καὶ τὸ προστακτικὸν κεκράχθητι, καὶ κατὰ συγκοπὴν κέκραχθι. ψαμμεῖς δέ, ψαμμίσεις. Θρέψεις. Πολλὴν βοὴν] κατὰ πολλὴν βοήν, μετὰ πολλῆς, καὶ μεγάλης βοῆς τρόπαιον στήσεσθε. περὶ δὲ τροπαίων ἐν τῷ Πλούτῳ ἱκανῶς προείρηται. περιόψεσθε δέ, καταφρονήσετε.

Χο. Εα ἔα.
Ω πότνιαι μοῖραι. τί δεδέρκομαι
Νεοχμὸν αὖ τέρας.
Ως ἅπαντ' ἐστὶν τόλμης ἔργα κἀναισχυντίας.
Οἷον αὖ δέδρακεν ἔργον, οἷον αὖ φίλαι τόδε.
Μν. Οἷον ὑμῶν ἐξάρξω τὴν ἄγαν αὐθαδίαν.
Χο. Ταῦτα δῆτ' οὐ δεινὰ πράγματ' ἐστὶ καὶ περαιτέρω.
Γυ. Δεινὰ δῆθ' ὅτι γ' ἔχει μου 'ξαρπάσας τὸ παιδίον.
Χο. Τί ἂν οὖν εἴποι πρὸς ταῦτα τίς. ὅτε
Τοιαῦτα ποιῶν ὅδ' αἰσχύνεται;
Μν. Κοὔπω μέντοι γε πέπαυμαι.
Γυ. Αλλ' οὖν ἥκεις γ' ὅθεν ἥκεις.
Φαύλως τ' ἀποδρὰς οὐ λέξεις
Οἷον δράσας διέδυς ἔργον.
Λήψει δὲ κακόν.
Μν. Τοῦτο μέντοι μὴ γένοιτο μηδαμῶς ἀπεύχομαι
Χο. Τίς οὖν σοι τίς ἂν σύμμαχος ἐκ θεῶν
Αθανάτων ἔλθοι ξὺν ἀδίκοις ἔργοις.
Μν. Μάτην λαλεῖτε. τὴν δ' ἐγ' οὐκ ἀφήσω.

CHO. *Sine sine*
C *O veneranda Parca quid autem video*
Nouum rursus prodigium?
Quàm totum enim est audaciæ opera & impudentiæ,
Qualem rursus fecit rem, qualem rursus amica hanc?
MN. *Qualiter vestrûm initiabo nimia insolentia?*
D CHO. *Hæ verò nonne indignæ res sunt & vlterius.*
MVL. *Indigna quidem, quòd habet mei, cum eripuerit infantem.*
CHO. *Quid igitur diceret adhac aliquis, cum*
Talia faciens hic non erubescit?
MN. *Et nondum quidem cessaui.*
MVL. *Sed certè venisti, vnde non dices, quòd abis.*
E *Facilé que aufugis, non dices.*
Quale cum feceris, subterfugisti facinus?
Accipies autem pœnas.
MN. *Hoc tamen ne fiat, nequaquam abominor.*
CHO. *Quis igitur tibi, quis adiutor ex dijs*
Immortalibus venire cum iniustis factis?
MN. *Frustra loquimini, hanc autem puellam ego non dimittam.*

F

Bisetvs. Εα, ἔα] ἐκπληκτικὸν ἐπίρρημα. εἶτα στίχοι μικτοὶ κϛ'. μεθ' οὓς τροχαϊκοὶ τετράμετροι καταληκτικοὶ δύο μετὰ δὲ τούτους ἰαμβικοὶ τρίμετροι ἀκατάληκτοι μὴ ὢν ὁ τελευταῖος, „ Ξύλον γέ τοι καὶ τ' αὐτά, κἀκεῖ ἦν ξύλον. Τί δὲ δέρκομαι] ἔν τισι τῶν ἀντιγράφων ἦτοι γράφεται, μιᾷ λέξει, τί δεδέρκομαι. ὅπερ ἴσως ἐξεπίτηδες ὁ ποιητὴς ἐποίησεν, ὅπως τὸ καινὸν τῆς λέξεως θαυμαστότερον εἴη: καὶ τὸ ἦθος τῆς γυναικὸς ἐκπλαγείσης μᾶλλον ἐκτυποίη.

G Bovrdinvs. Νεοχμὸν] νέον, καινόν, ξένον. Τόλμης ἔργα κἀναισχυντίας.] τουτέστι τολμήματα καὶ ἀναισχυντήματα. Εξάρξω.] πῶς δὴ ἐξάρξομαι λέγειν καὶ ᾄδειν τὴν ὑπερβάλλουσαν θρασύτητα αὐταρέσκουσαν καὶ μεγαλοφρονοῦσαν ὑπερβολὴν τοῦδε τοῦ κηδεστοῦ. Καὶ περαιτέρω] τὸ περαιτέρω, μείζονα, καὶ θερμότερα. Δεινά.] ἄξια τιμωρίας. Διέδυς.] ἔλαθες ὑπέδυ. Απεύχομαι.] μετ' εὐχῆς ἀποστρέφομαι. Ξὺν ἀδίκοις ἔργοις.] γνώμη ἥδε, τίς σοι θεῶν συμβοηθήσει καὶ συνεργάσει ἐπὶ τοῖς πονηροῖς καὶ ἀδίκοις ἔργοις. καὶ γὰρ οἱ θεοὶ οὐ κακῶν εἰσιν αἴτιοι οὐδὲ συμπράκτορες ἢ συμβοηθοί, ἀλλὰ μόνον τοῖς ἀγαθὰ προαιρουμένοις συμπράττουσι καὶ συνεργάζονται καὶ συλλαμβάνουσιν. οὐδὲν γὰρ ἀπάτηλον, οὐδ' ἀτελεύτητον, οὐδ' ἄπρακτον ἐν τῷ θεῷ, ὅτι κἂν θέλῃ, ὡς λέγει ὁ Ομηρος.

Bisetvs. Τέρας] τέρας, τὸ παρὰ φύσιν γινόμενον παράπλασμα. τὸ παρὰ φύσιν τεχθέν, ἢ σημεῖον. νεοχμὸν δέ, παράδοξον, ἀτοπίας, ἢ θαύματος πλέον. Αὐθαδίαν] αὐθάδης. αὐτάρεσκος, θυμώδης. θρασύς, ὑπερόπτης. καὶ κλίνεται αὐθάδους, ὡς ὀξώδης. ὀξώδους. καὶ αὐθάδες ἡ κλητική, παράλογον δὲ τὸ αὔθαδες. Σ. ἐκ δὲ τοῦ αὐθάδης, αὐθάδεια κοινῶς, καὶ αὐθαδία Ιωνικῶς. Καὶ περαιτέρω] ἀντὶ τοῦ πλέον ἢ ὅσπερ. Τουτέστιν, οὐ μό-

του δεινά, ἀλλὰ καὶ δεινότατα. τὸ δὲ, ἴσχει ἐξαρτᾶσαι. ἀντὶ τοῦ ἐξήρτασαι. ἢ, ἴσχει, κατέχει. Αλλ᾽ ἐκὼ ἥκεις] Σ᾽ ἥκεις, φησὶν, εἰς τὰς χεῖρας ἡμῶν, ὅθεν οὐ φεύξῃ. τοῦτον δὲ ὁ νοῦς ὅθεν δὴ ποτ᾽ ἥκεις ὀλίγον μοι μέλει. οὐ φροντίζω πόθεν ἦλθες. ἀλλ᾽ ἐπειδὴ διὰ ὕβριν ταῖς ἡμῶν χερσὶν ἐνέτυχες, εὖ ἴσθι ὅτι ἰδίως πράττεις, καυχώμενος ἂν ὥσπερ, ὧν ἐπιχείρημα τολμήσας, ἀβλαβὴς, καὶ ἀτιμωρήτως ἐκπέφευγας. δώσεις γὰρ ἡμῖν δίκας. Φαύλως δὲ ἐνταῦθα λαμβάνει ἀντὶ τοῦ εὐχερῶς, ἁπλῶς, ἡσυχῆ. ἀποδρὰς δὲ, μετοχὴ ἐκ τοῦ δρῆμι ὡς τὸ ἱστὰς ἐκ τοῦ ἵστημι. διαδὺς. α. β. τοῦ διαδύμι. διαδῦναι δὲ, ἐστι διαδύειν, καὶ διαδύεσθαι. τὸ διαφυγεῖν, καὶ εἰσιέναι διὰ στενῆς ὁδοῦ. καὶ ὄχλου τινὸς διελθεῖν. καὶ ἀπαλλάττεσθαι. Απεύχομαι] ἀπεύχεσθαι, εὔχεσθαι τι μὴ συμβαίνειν ἡμῖν. εὐχαῖς τι ἀφ᾽ ἡμῶν ἀπωθεῖν, ἀποτρέπειν.

Χο. Αλλ᾽ οὐ μὰ τὼ θεὼ τάχ᾽ οὐ	B CHO. Sed non per Cererem & Proserpinam, fortasse non
Χαίρων ἴσως ἐνυβρίσεις	Gaudens, fortasse inquam insultabis,
Λόγους τε λέξεις ἀνοσίους.	Verbáque dices impia,
Αθέοις ἔργοις γὰρ ἀντα-	Impijs factis enim re-
Μειψόμεσθά σ᾽ ὥσπερ εἰκὸς. ἀντὶ τῶνδε.	Munerabimus te, quemadmodum par est procis.
Τάχα δέ σε μεταβαλοῦ-	Fortasse autem te mutata,
Σ᾽ ἐπὶ κακὸν ἑτερότροπον	In malum diuersum
Επέχει τις τύχη.	Inhibebit aliqua fortuna.
Αλλὰ τάσδε μὲν λαβεῖν χρῆν σ᾽ ἐκφέρειν τε τῶν ξύλων,	C Sed hæc quidem accipere oportet te, efferréque lignorum,
Καὶ καταίθειν τὸν πανοῦργον, πυρπολεῖν θ᾽ ὅσον τάχος.	Et comburere maleficum, ignéque consumere quàm celerrimè.
Ιωμεν ἐπὶ τὰς κληματίδας ὦ Μανία.	Eamus ad sarmenta vitium ô Mania ancilla,
Κἀγώ σ᾽ ἀποδείξω θυμάλωπα τήμερον.	Et ego te reddam titionem hodie.
Μν. Ὕφαπτε καὶ κάταιθε. σὺ δὲ τόδε τὸ κρητικὸν	MN. Succende & combure. Tu ô puella hoc Cretico indumento
Απόδυθι ταχέως. τοῦ θανάτου δ᾽ ὦ παιδίον.	D Exure citò: mortis autem ô infans,
Μόνην γυναικῶν αἰτιῶ τὴν μητέρα.	In solam mulierum culpam confer matrem.
Τουτὶ τί ἐστι. ἀσκὸς ἐγένεθ᾽ ἡ κόρη	Hoc quidnam est? vter facta est puella
Οἴνου πλέως, καὶ ταῦτα περσικὰς ἔχων.	Vini plenus, præsertim habens Persicos calceos,
Ω θερμόταται γυναῖκες, ὦ ποτίσταται.	O callidissimæ mulieres, ô bibacissimæ,
Κἀκ παντὸς ὑμεῖς μηχανώμεναι πιεῖν.	Et omni arte machinantes bibere.
Ω μέγα καπήλοις ἀγαθὸν ἡμῖν δ᾽ αὖ κακόν.	O magnum cauponibus bonum, vobis autē rursus malum.
Κακὸν δὲ καὶ τοῖς σκευαρίοις καὶ τῇ κρόκῃ.	Malum autem & vasculis & opibus nostris, & subtegmini vestium.
Γυ. Παράβαλλε πολλὰς κληματίδας ὦ Μανία.	E MVL. Admoue multa sarmenta ô Mania,
Μν. Παράβαλλε δῆτα. σὺ δ᾽ ἀπόκριναί μοι τοδί.	Admoue ac proijce profectò. MN. tu verò responde mihi hoc,

BOVRDINVS. Οὐ χαίρων.] ἀτιμωρήτως καὶ ἀζημιεί. Ανταμειψόμεσθα.] ἀνταμείψομεν δ᾽ ἀμείβομεν, καὶ ἀντιτιμωρούμεθα κακοῖς ἔργοις κατὰ ῥήματα ὑβριστικά τε. Ἑτερότροπον.] ἕτερον τρόπον. Επέχει.] ἀναμένει. Συλλαμβάνει. Καταίθειν.] κατακαίειν, πυρπολεῖν, καταφλέγειν τῷ πυρί. Τὰς κληματίδας.] τὰς ἐκ τῶν ἀμπέλων φακέλλους. Αποδείξω] ποιήσω θυμάλωπα, κατακαύσω. θυμάλωπες λέγονται ξύλα ἀπακαυθέντα ἢ ἄνθρακες ἡμικαυστοὶ καὶ ἐκπυρωθέντες. ταῦτα πάντα κατὰ λέγεται ὑπὸ τοῦ χοροῦ τῶν γυναικῶν βουλομένων δίκας λαμβάνειν περὶ τοῦ Μνησιλόχου. F Ὕφαπτε.] τὸ κρητικὸν ἱμάτιον καὶ ἔνδυμα ἐθήκατο. Αἰτιῶ.] τουτέστι ἀνατίθει τὴν αἰτίαν. Περσικάς.] τουτέστι, περσικὰ ὑποδήματα. Θερμόταται] ὑπὸ τῆς οἰνοποσίας καὶ ἀμέτρου ἐκπιόντως. G Ποτίσταται.] πλεῖστον πίνουσαι. Μηχανώμεναι.] σκευάζουσαι καὶ ἐκπορεύουσαι μετὰ σπουδῆς. Τοῖς σκευαρίοις] μικροῖς σκεύεσιν. Καὶ τῇ κρόκῃ] ὅτι μεθύουσαι καὶ ποτιζόμεναι κακῶς κρούουσι καὶ μεταχειρίζονται τὴν κρόκην. Παράβαλλε κληματίδας.] προστίθει τοὺς τῶν ἀμπέλων φακέλλους.

BISETVS. Μεταβαλοῦσα] ὁ νοῦς οὗτος. τάχα δὲ, ἴσως δέ τι τύχη τις μεταβαλοῦσα ἐπὶ κακὸν ἑτερότροπον φέρει ἑτεροτρόπως ἐφέξει, καθέξει σε, καὶ τὰ σοῦ ἀνόσια ἔργα παύσει. ἡ γὰρ τύχη πολλάκις μεταβάλλει, καὶ ἐν τῷ αὐτῷ οὐκ ἀεὶ ἐμμένει κατὰ τὸ θρυλλούμενον,

Ως ποικίλον πρᾶγμ᾽ ἐστὶ, καὶ πλάνον, τύχη.

Κληματίδας] τὰς ἐκ τῶν κλημάτων δέσμας. Ἡσύχιος. καὶ κληματὶς παρὰ τῷ Σουίδᾳ ἡ ἄμπελος. Θυμάλωπα] θυμάλωψ, ὁ λείψανος τοῦ πυρὸς ἀναφορά. τινὲς δὲ ξύλον κεκαυμένον, δαλόν. Ἡσύχιος κατὰ δὲ τὸν Σουίδαν, θυμάλωπες, ἡ καύντα ξύλα, ἢ σπινθῆρες, ἢ διακεκαυμένοι ἄνθρακες. ἄλλως. θυμάλωπες, οἱ ἀπολελειμμένοι τῆς φλέξεως ἄνθρακες, οἱ ἡμίκαυστοι. Σὺ τόδε τὸ κρητικόν.] ὁ Μνησίλοχος πρὸς τὸν ἀσκὸν ἀποστραφείς, ὡς πρὸς κοράσιον, ταῦτα λέγει. τὸ κρητικὸν δὲ, εἶδος χιτῶνος, ἀπὸ τῆς Κρήτης. Αλλως. κρητικὸν, ἱμάτιον λεπτὸν, καὶ βραχύ. τὰ γὰρ τοιαῦτα, κρητικὰ ἔλεγον. καὶ ἀλλαχοῦ, κρητικὸν, γένος ὀρχήσεως. Ἡσύχιος, Σουίδας.

A Αἰτιῶ τὴν μητέρα] ἐνθύς. ὦ παιδίον πάσαν τὴν θανάτου αἰτίαν πρὸς τὴν σου μητέρα ἀνάφερε, καὶ αὐτὴν τοῦ σου θανάτου μόνην, οὐκ ἄλλην αἴτιον εἶναι λέγε. τὸ δὲ αἰτιῶ, προστακτικὸν ἀπὸ τὸ αἰτιάομαι, ῶμαι. αἰτιάου, ῶ. Τουτὶ τί ἐστιν;] ὁ Μνησίλοχος τὸν ἀσκὸν οἴνου πλέων, καὶ παιδίου δίκην ἐσπαργανωμένον νῦν ἀποδύει, καὶ ἀποκαλύπτει, καὶ ἐκ τούτου πολλοὶ γέλωτα τοῖς θεωμένοις κινεῖ. Ἀσκὸς ἐγένεθ' ἡ κόρη] τουτέστιν, αὕτη ἡ κόρη, ἣν αἱ γυναῖκες κόρην ἐσπαργανωμένην ἐνόμιζον εἶναι, ἐκ κόρης, καὶ παιδίου μεταβαλοῦσα, καὶ μεταμορφωθεῖσα ἐγένετο ἀσκὸς οἴνου πλέως, καὶ μεστός. περσικαὶ δὲ, εἶδος γυναικείου ὑποδήματος. Καπήλοις ἀγαθόν] καὶ γὰρ αἱ γυναῖκες αἱ φιλοπόται, καὶ ποτικώταται πρὸς τοὺς καπήλους οἶνον ὠνησόμεναι πολλάκις προσέρχονται. οἱ δὲ πωλοῦντες μέγα κέρδος ποιοῦνται. τὸ δὲ κέρδος αὐτοῖς ἀγαθὸν ὑπάρχει. Ἡμῖν δ' αὖ κακόν] ἡμῖν δὲ τοῖς ἀνδράσι τὸ τ' αὐτὸ πάλιν, τοὐναντίον μέγα κακόν ἐστι. καὶ γὰρ αἱ γυναῖκες αἱ τῷ οἴνῳ χαίρουσαι τὸν οἶκον, καὶ τὰ χρήματα ταῖς εἰς τὸν οἶνον δαπάναις διαλυμαίνονται. τὸ δὲ κρόκη, ὑφάσματος εἶδος, ἢ ῥοδάνην δηλοῖ. Ἡσύχ. τὸ δὲ ἀπόκειται, ἀντὶ τοῦ ἀποκεῖται, ὃ καινότερον. ἀλλ' ἴσως ἀποκεῖναι χαριέστερον, ὃ πιθανώτερον. ἔστι δὲ προστακτικὸν B τοῦ α. ἀορίστου μέσου. ἀπόκεισαι, ἀποκενώθητι.

Τουτὶ τεκεῖν φῄς; Γυ. καὶ δέκα μῆνας αὔτ' ἐγὼ
Ἤνεγκον. Μν. ἤνεγκας σύ; Γυ. νὴ τὴν Ἄρτεμιν.
Μν. Τρικότυλον ἢ πῶς; εἰπέ μοι. Γυ. τί μ' εἰργάσω;
Ἀπέδυσας ὦ 'ναίσχυντέ μου τὸ παιδίον
Τυννοῦτον ὄν. Μν. τυννοῦτο; Γυ. μικρὸν νὴ Δία.
Μν. Πόσ' ἔτη δὲ γέγονεν; τρεῖς χοᾶς ἢ τέτταρας;
Γυ. Σχεδὸν τοσοῦτον, καὶ ὅσον ἐκ Διονυσίων.
Ἀλλ' ἀπόδος αὐτό. Μν. μὰ τὸν Ἀπόλλω τουτονί.
Γυ. Ἐμπρήσομεν τοίνυν σε. Μν. πάνυ γ' ἐμπίπρατε.
Αὕτη δ' ἀποσφαγήσεται μάλ' αὐτίκα.
Γυ. Μὴ δῆθ' ἱκετεύω σ'· ἀλλ' ἐμὲ ὅτι χρῄζεις ποίει,
Ὑπέρ γε τούτου. Μν. φιλότεκνός τις εἶ φύσει.
Ἀλλ' οὐδὲν ἧττον ἥδ' ἀποσφαγήσεται.
Γυ. Οἴμοι τέκνον. δός μοι τὸ σφαγεῖον Μανία,
Ἵν' οὖν τό γ' αἷμα τοῦ τέκνου τοὐμοῦ λάβω.
Μν. Ὕπεχ' αὐτό, χαριοῦμαι γὰρ ἕν γε τοῦτό σοι.
Γυ. Κακῶς ἀπόλοιο, ὡς φθονερὸς εἶ καὶ δυσμενής.
Μν. Τουτὶ τὸ δέρμα τῆς ἱερείας γίγνεται.
Γυ. Τί τῆς ἱερείας γίγνεται; Μν. τουτὶ λαβέ.
Αλ. Γυ. Ταλαντάτη Μίκα, τίς σ' ἐξεκόρησε σε
Τίς τὴν ἀγαπητὴν παῖδά σου 'ξῃρήσατο;
Γυ. Ὁ πανοῦργος οὗτος. ἀλλ' ἐπειδήπερ πάρει
Φύλαξον αὐτὸν ἵνα λαβοῦσα Κλεισθένη,
Τοῖσιν Πρυτάνεσιν ἃ πεποίηχ' οὗτος φράσω.

Hanc puellulam peperisse dicis? MVL. *Decem menses ipsam ego*
Gestaui. MN. *Gestasti tu?* MVL. *per Dianam.*
MN. *Tres heminas capientem, an quid? dic mihi.* MVL. *quid mihi fecisti?*
Exuisti impudens ô meam puellulam
C *Tantulam existentem?* MN. *tantulam?* MVL. *paruam profectò.* (*quatuor?*
MN. *Quot annos verò nata est? tres congios, an*
MVL. *Ferè tantùm, & quantum spacium temporis, ex Liberalibus est.*
Sed redde ipsam. MN. *non per Apollinem hanc quidem puellam.*
MVL. *Incendemus igitur te.* MN. *valde quidē incendite,*
D *Hæc autem iugulabitur valde statim.*
MVL. *Ne profectò precor te, sed me quocunque vis affice,*
Pro hac quidem puellula mea. MN. *indulgens in liberos quædam es natura,*
Sed nihilominus hæc iugulabitur.
MVL. *Heu mihi ô filia, da mihi vas ad excipiēdum sanguinem ô Mania,*
Vt saltem quidem sanguinē filiæ meæ excipiam.
E MN. *Subiice ipsum vas, gratificabor enim vnū quidem hoc tibi.*
MV. *Male pereas, quàm inuidus es & inimic⁹.*
MN. *Hæc pellis sacerdotis est.*
MV L. *Quid nā sacerdotis est?* MN. *hanc accipe.*
AL. MV L. *Miserrima Mica, quis puellā priuauit te?*
Quis dilectam & vnicam puellam tui abstulit?
MV L. *Scelestus iste. Sed posteaquam ades hic,*
F *Custodi ipsum, vt assumens Clisthenem,*
Consulibus quæ fecit iste, dicam.

BOVRDINVS. Δέκα μῆνας.] λέγει δὲ τοῦτο κατὰ τὴν τῶν παλαιῶν διαμφισβήτησιν περὶ τοῦ χρόνου τῆς τῶν ἀνθρώπων κυήσεως, ἑτέρων φασκόντων δεκάμηνον τὴν κύησιν, ὡς λέγει ὁ Μένανδρος, γυνὴ κυεῖ δεκάμηνος. ἄλλων δὲ ἐνδεκα καὶ δωδεκάμηνον, ὡς γράφει Ὅμηρος, τοῦ δὲ εἴπεσι, χαῖρε γυνὴ φιλότητι, περιπλομένου δ' ἐνιαυτοῦ τέξεις ἀγλαὰ τέκνα, ἐπεὶ οὐκ ἀποφώλιοι εὐναὶ ἀθανάτων. ἔστι δὲ ὡς λέγει ὁ Ἱπποκράτης ἐν τῷ περὶ τροφῆς ἑπτάμηνος καὶ ὀκτάμηνος κύησις, καὶ πολλαὶ ἄλλαι εἰσὶ διαφοραὶ κατ' Ἀριστοτέλην, καὶ τοὺς συγγραφέας. Τρικότυλον.] τρικότυλος οἶνος λέγεται οὗ τρεῖς κοτύλαι ὀβολοῦ πωλοῦνται. ἐνταῦθα δὲ χλευάζει καὶ σκώπτει τῆς γυναικὸς φανείσης, παῖδ' ἐνδεκάτην ζητεῖ πότερον οἶνον τρικότυλον μᾶλλον ἢ τὸ τέκνον. Τυννοῦτο] τηλικοῦτον, τόσον δ', οὕτω μικρόν. Ἐμὲ ὅτι χρῄζεις ποίει.] ἀλλὰ καὶ ἐμοί ἔν τινα τρόπον δὴ βούλει. Φιλότεκνος.] φιλοῦσα τέκνα. Σφαγεῖον.] τ' ἀγγεῖον πρὸς τὸ δέχεσθαι αἷμα τοῦ παιδός. ἀπὸ τοῦ σφάττεσθαι ὅπερ σημαίνει θύειν. Ἱερείας] τῆς ἱερευούσης, καὶ τοῖς θεοῖς σφαττούσης, θυούσης τε. G Λαβέ.] ἀνάλαβε. Ἐξεκόρησεν.] τουτέστι τῆς κορῆς ἐστέρησεν. ἐκκορεῖν δὲ σημαίνει καὶ διαφθείρειν καὶ ἐκκαλλύνειν, καὶ παντελῶς ἀφανίζειν, ὡς καὶ φησιν ὁ Μένανδρος, ἐκκορηθείης σύ γε. Ἐξῃρήσατο.] ἀφείλετο, ἀπὸ τοῦ ἐξαιρεῖσθαι. ἀφαιρεῖσθαι. Πανοῦργος.] κατάρατος, καὶ μιαρὸς οὗτος.

Λαβοῦσα

Λαβοῦσα.] περιλαβοῦσα πρὸς τὴν βοήθειαν. Φράσω τοῖς φυλάξασιν.] ἀδικήματα τούτου ἵνα δίκην λάβωσι, καὶ οὕτως τιμωρηθήσεται.

BISETVS. Τυννουτονί] μικρόν. οὕτω μικρόν. δεικτικῶς. φιλότεκνός τις ἐν φύσει] παίζει πρὸς τὴν φυσικὴν στοργήν, καὶ τὴν φύσει τῆς γυναικὸς φιλοπαιδίαν καὶ φιλοινίαν. περὶ δὲ τοῦ ἀσκοῦ, ὡς περὶ τινος κόρης ταῦτα γέλωτος χάριν λέγεται. Τὸ σφαγεῖον] σφαγεῖον τὸ αἵματος δεκτικὸν ἀγγεῖον, ὅπερ ὁ ποιητὴς ἀμνεῖον εἶπε. σφαγεῖον δέ, εἴτε σφάγιον λέγεται παρὰ τὸ σφάζω, εἴτε σφάτιον, μ ξ. ω. α. β. ἔσφαγον, ὅθεν καὶ σφαγή, ἡ φονή, εἴτε φόνος, ἐπὶ τῶν σφαζομένων τετραπόδων, καὶ ἱερεῖον αἷμα δέχεται. Σ. Εὐσεβ. Τῆς ἱερείας] ἱέρεια, διὰ τὸ λυπεῖν τὸν ἱερέα. Π. ὁ ἄρχων ἡ τῆς Πολιάδος ἱέρεια. καὶ Ἡρόδοτος. ὡς γὰρ ἑστίας ἱερείας σφαγὰς καταρυτίαν. διὰ δὲ τούτων, τουτὶ τὸ ὅρμα, δηλοῖ τὸν ἀσκὸν ἢ. ἢ διὰ κεινόν, εἴτε κατωθεῖτο. παίζων πρὸς τοὺς τὰ ἱερεῖα σφάζ. νῦν. Μικα] κυρίου ὄνομα. ὡς τὸ ὦ Μικα. ἐξεκόρησεν δέ, τῆς κόρης ἀπεστέρησεν. Τὸ ἐξηρήσατο. τὸ πλῆρες, τὸ ἐξηράσατο, ἐξώλετο.

ΜΝ. Ἄγε δὴ τίς ἔσται μηχανὴ σωτηρίας
Τίς πεῖρα, τίς ἐπίνοια; ὁ μὲν γὰρ αἴτιος
Κἄμ' ἐσκυλίσας ἐς τοιαυτὶ πράγματα
Οὐ φαίνετ' οὔπω. φέρε τίν' οὖν ἄγγελον
Πέμψαιμ' ἐπ' αὐτόν. οἶδ' ἐγὼ καὶ δὴ πόρον
Ἐκ τοῦ Παλαμήδους. ὡς ἐκεῖνος τὰς πλάτας
Ῥίψω γράφων. ἀλλ' οὐ πάρεισιν αἱ πλάται.
Πόθεν οὖν γένοιντ' ἄν μοι πλάται; πόθεν;
Τί δ' ἂν εἰ ταδὶ τἀγάλματ' ἀντὶ τῶν πλατῶν
Γράφων διαρρίπτοιμι. βέλτιον πολύ.
Ξύλον γέ τοι καὶ ταῦτα, κἀκεῖν' ἦν ξύλον.
Ὦ χεῖρες ἐμαί.
Ἐγχειρεῖν χρὴ ἔργῳ πορίμῳ.
Ἄγε δὴ πινάκων ξεστῶν δέλτοι
Δέξασθε σμίλης ὁλκοὺς
Κήρυκας ἐμῶν μόχθων. οἴμοι
Τουτὶ τὸ ῥῶ μοχθηρόν.
Χώρει χώρει. ὁποίαν αὔλακα
Βάσκετ' ἐπείγετε πάσας καθ' ὁδοὺς
Κεινᾷ ταύτᾳ. ταχέως χρή.

MN. *Age verò, quis erit mod' salutis: (enim,*
Quæ experiẽtia & conat', quæ excogitatio: autor
Et qui me inuoluit in talia negocia, (cium
Non apparet nondum. age quẽnnam igitur nũ-
Mitterem ad ipsum, noui ego & iam viam.
Ex Palamede ad illum remos
Mittam scribens, sed non adsunt remi.
Vnde igitur fierent mihi remi, vnde?
Quid verò, si statuas & simulacra pro remis
Scribens transmitterem? melius multo esset.
Lignum quidem & hæc, & illa erant lignum.
O manus mea,
Aggredi oportet re expedita,
Age verò tabellarum leuigatarum pagina,
Accipite cultri sutorij tractus & versus,
Nuncios meorum laborum. hei mihi,
Hæc rho litera praua est.
Vade, vade, qualicunque via & vlco.
Ite, festinate per omnes exitus viarum,
Et illa & hac citò oportet.

BIS. Ἄγε δή] ταῦτα Μνησίλοχος ὑφελκυσθεὶς φωνῇ μεθ' ἑαυτοῦ λέγει, ὡς περὶ τῆς τρόπου τῆς σωτηρίας βουλευόμενος λέγει. περὶ δὲ τὸν τῆς φυγῆς καὶ σωτηρίας τρόπον.

BOVR. Μηχανή.] τὸ μηχάνημα, πόρισμα, εὕρημα, ἢ πεῖρα, ἢς ἐπίνοιας καὶ ἐπίσκεψις. Ἐσκυλίσας] ὁ Εὐριπίδης ἐκύλισε. καὶ ἐμβαλὼν καὶ ἐμμίξας τούτοις τοῖς κινδύνοις, ἀπὸ τῆς κυλίεσθαι, τουτέστι κυλινδεῖν, περιφέρειν. Οὐ φαίνεται.] ἀναφαίνεται πω, οὕτω παρέστι. Πόρον.] τὴν ὁδόν, τὸ πεῖσαι διαφυγεῖν, διαφυγάς. Ἐκ τοῦ Παλαμήδους.] ἐντεῦθεν ἄρχεται μηχανᾶσθαί τι, ὡς ἐκ τοῦ Παλαμήδους. διαπέμψει ἑαυτὸν ὁ Μνησίλοχος, καὶ πρῶτον τὰς γράφεις καὶ διαπέμπειν ἑαυτὸν κίνδυνον τῷ Εὐριπίδῃ. ὥσπερ φησὶ ἀπαγγέλλει τὸν ἑαυτοῦ κίνδυνον τῷ Εὐριπίδῃ. Παλαμήδης ἀπορρίψω γράφων τὰς κώπας, τουτέστι πλάτας. Αἱ πλάται.] αἱ κῶπαι τὸ εἶδος πλοίου ὥσπερ Παλαμήδης φησὶν, ῥίψω γράφων τὰς πλάτας Ναυπλίῳ, τουτέστιν ὥσπερ ὁ Οἴαξ τῷ Ναυπλίῳ τῷ πατρί, τῷ Παλαμήδους διὰ φόνος πλάταις γράφει, καὶ ῥίπτει εἰς θάλασσαν, ὥστε μαθεῖν τινα. ἦν δὲ Παλαμήδης Ναυπλίου, γῆ τινι Ναυπλίῳ μελιτηνός. ἦν δὲ Παλαμήδης ναυπλίου, καὶ ἀδελφὸς Οἴακος. ἦν ἀρχαίος ἦν ἐποποιός, καὶ ἀπώλεσε τῆς βασιλείας Ἀγαμέμνονος πρὸς πατρὸς. ὅτι εὐφυὴς πρὸς φιλοσοφίαν καὶ ποιητικὴν. ἐφαίνετο δὲ τὰ τῆς Παλαμήδους ποιήματα διὰ τὴν βασκανίαν ὑπὸ Ὁμήρου. ἀπῆλθε γὰρ ἡ μογιστῶν ἀνδρῶν ὁ φθόνος. Πινάκων ξεστῶν.] ξυστῶν, ἐζωσμένων, λελεασμένων, ἀπὸ τοῦ ξέω, ὁμαλίζω. Δέλτοι.] πινακίδια, τὰ γραμματεῖα, χαρτία, βιβλίδιον. Σμιλῆς ὁλκούς.] τουτέστι κινδύνου μετὰ φορὰν, σμίλη χαρίου τὰ σημεῖα τῶν γραμμάτων. κατὰ μεταφοράν, σμίλη γὰρ κυρίως ἐστὶ γλυφεῖον σκυτοτομικόν. ὅθεν καὶ τὰ συγγλύμματα εἴρηται τὰ ἐκκόλαμμα ὑπὸ σμιλῆς καὶ διαγλύμματα ἐρ. εἴρηται. Κήρυκας.] ἀγγέλους. Τουτὶ τὸ ῥῶ μοχθηρόν] τουτέστι καλῶς παρακεχάρακται ὑπὸ παραχθέν. καὶ γὰρ ἡ σμίλη ἦν ἀνάρμοστος. καὶ ἀντὶ τοῦ μοχθηρὸν πρὸς τὸ γλυφεῖον διαχαράσσει τὰ ῥήματα. Βάσκετε.] βαίνετε. Ἐπείγετε.] σπεύδετε πάσας ὁδοὺς, τὰ γράμματα, πανταχοῦ διὰ πασῶν ὁδῶν. Κείνᾳ.] καὶ ἐκείνῃ, καὶ ταύτῃ ὁδῷ ὁδεῖ τὰ ταχέως πανταχοῦ ἐπείγεσθαι. ταῦτα δὲ πάντα ἐστὶ ῥήματα τοῦ Μνησιλόχου πρὸς τὰ γράμματα ἐγχαραχθέντα. ἐπειδὴ ὅπερ ἐκεῖνο αὐτὸ ἀνὴρ ἢ φίλος πιστός, ᾧ τινι τότε οἶός τ' ἦν πιστεύειν τὰ ἑαυτοῦ ἀπόρρητα.

BIS. Ἐκ τοῦ Παλαμήδους] Παλαμήδης, υἱὸς Ναυπλίου. περὶ δὲ τούτου οὕτω Σουίδας. Οἶδα δ' ἐγὼ καὶ δὴ πρότερον ἐκ τοῦ Παλαμήδους. καὶ τὰ ἑξῆς. ἀλλὰ καὶ παρὰ τῷ Σουίδᾳ γραπτέον ὡς ἐνταῦθα παρὰ τῷ ποιητῇ ἔχομεν. ὁ δὲ Παλαμήδης εἰσάγεται τῷ πατρὶ Ναυπλίῳ τὸν αὐτοῦ κίνδυνον ἐν τῷ καλεῖν χάριν διὰ τὰς διαβολὰς, καὶ συκοφαντίας τῶν Ἑλλήνων, μάλιστα δὲ διὰ τὸν Ὀδυσσέα. γράψαι ἐν διαφόροις πλάταις, καὶ εἰς τὴν θάλασσαν αὐτὰς ῥίψαι, ὥστε μιᾷ γέ τινι τῶν πλατῶν ἐντυχεῖν, καὶ τὸ μάλιστον τοῦ τέκνου κίνδυνον μαθεῖν, καὶ κατὰ δύναμιν αὐτῷ βοηθεῖν. τὰ οὖν τοῦ Μνησιλόχου εὕρηται, καὶ αὐτὸς ὅμοιόν τι ποιεῖν ἐπιθυμεῖ, ἵνα τὸν ἑαυτοῦ κίνδυνον τῷ Εὐριπίδῃ ἀπόλοιτο διὰ ταχίων δηλώσῃ, καὶ ἐκ τῆς φυλακῆς ἐκφεύξῃ. Πόθεν οὖν γένοιτο] ἐνταῦθα ὁ στίχος ὅλῳ ποδὶ μεμελημένος σκάζει. οὕτω μὲν γὰρ διορθοῦται ὁ στίχος. „ Πόθεν οὖν γένοιντ' ἄν μοι πλάται; πόθεν πλάται; ἢ „ Πόθεν οὖν γένοιντ' ἄν μοι πλάται; πόθεν ξύλα; Ξύλον γέ τοι καὶ ταῦτα] ἐκ τούτων φανερὸν ὅτι ἐν τοῖς θεάτροις ξύλινά τινα ἀγάλματα πάλαι ἐτίθεντο. Ὦ χεῖρες ἐμαί] στίχοι μικτοὶ θ'. τὸ δὲ ἔργῳ πορίμῳ, τουτέστιν ἀνύσιμον, καὶ ἐπίνοιαν ἔχοντι κατὰ Σουίδαν. ἀλλ' ἴσως πόριμον ἔργον οὖν χαλεπόν, τὸ ποιεῖν, ἀλλ' ἤδη καὶ ποιεῖσθαι δυνάμενον. Ἡσύχιος δὲ, πόριμον, εὐπόριστον, περιουσίᾳ. Σμίλης ὁλκούς] ἀντὶ τοῦ τῆς γραφεῖς τὰ σημεῖα τῶν γραμμάτων Σ. σμίλη, ἐργαλεῖον, γραφεῖον, ᾧ τὰ γράμματα γλύφοντες ἐν σμίλῃ, καὶ χαράττει εἰώθαμεν. ἀνθ' ὧν καὶ σμίλης ὁλκούς, οἱονεὶ ὁλκάς, ἢ ἕλξεις τινὰς δηλοῖ εἰπεῖν.

Τυτὶ τὸ ῥῶ] ὁ Μνησίλοχος ἐν τοῖς ξυλίνοις ἀγάλμασιν, ἅπερ ἐδόκει διαγράψαι, ἀφαμαρτούσης ἑκασταχοῦ τῆς χειρὸς, ἀπειροκάλως καὶ ἀτέχνως τὸ ῥ στοιχεῖον χαρακτηρίσας ἔτυχεν. ὅπερ ἔπειτα σκιψάμενος οὕτως ἐπιφωνεῖ. οἴμοι τυτὶ τὸ ῥῶ. καὶ τὰ ἑξῆς. τούτων ὁ νοῦς οὐκ ἁπλούστερος εἶναι δοκεῖ. ἀλλ' ἴσως ἐν τῇ τοῦδε τοῦ γράμματος ἐκλογῇ τοιούτων ἄλλων περὶ τοῦτο ὄντων, παίγνιον, ἢ σκῶμμά τι ὑπολανθάνει ὅπερ εἰκασμῷ καταλαμβάνειν οὐ ῥᾴδιον. Χώρει] νῦν ὁ Μνησίλοχος τὸν Παλαμήδην μιμούμενος, καὶ τὰ ξύλα ῥίπτων, ταῦτα ὥς τινας ἀγγελιαφόρους ὑφ' αὐτοῦ πεμπομένους οὕτω προσφωνεῖ. Ποίαν αὔλακα] τινὲς γράφουσιν, ὁποίαν αὔλακα. ὃ βέλτιον δοκεῖ. ὁ δὲ νοῦς οὗτος. ὁποίαν ποθ' ὁδοιπορίαν ἔχητε, ὁποίαν πορείαν ποιῆσθε, σπεύδετε, ἐπιπορεύεσθε, καὶ πάσας καθόδους ἐξετάζετε, ταύτῃ κἀκείνῃ περισκεψάμενοι. ταχέως γὰρ ὑμᾶς δεῖ πορεύεσθαι. αὖλαξ δὲ, ἡ ἐπιμήκης τομὴ τῆς γῆς ἐξ ἀρότρου. νῦν δὲ μεταφορικῶς ληπτέον. κάθοδος, ἀγωγὴ, κύκλος, περίοδος. τινὲς δὲ διῃρημένως γράφουσι καθ' ὁδούς.

Παράβασις στίχων ἀναπαιστικῶν τετραμέτρων καταληκτικῶν κθ'.

PARABASIS, VEL PROgressus.

BISETUS. Ὁ χορὸς ταύτῃ τῇ παραβάσει τῶν γυναικῶν προστατεῖ, καὶ τὰς τῶν ἀνδρῶν κατηγορίας, καὶ ἐγκλήματα διαλύειν, καὶ τὰς γυναῖκας πολὺ βελτίους ἀποδεῖξαι πειρᾶται. εἰσὶ δὲ στίχοι ἀναπαιστικοὶ τετράμετροι καταληκτικοὶ κθ'. ὧν ὁ τελευταῖος.

Φορμὸν πυρῶν τἀνδρὸς κλέψασ' αὐθημερὸν αὔτ' ἀποδέδωκεν. τί δὲ παράβασις, καὶ πόσα παραβάσεων εἴδη, ἐν τοῖς πρὸ τούτων σχολίοις ἀρκούντως εἴρηται.

Χο. Ἡμεῖς τοίνυν ἡμᾶς αὐτὰς εὖ λέξωμεν παραβᾶσαι.
Καίτοι πᾶς τις τὸ γυναικεῖον φῦλον κακὰ πόλλ' ἀγορεύει
Ὡς πᾶν ἐσμὲν κακὸν ἀνθρώποις. κἀξ ἡμῶν ἐστὶν ἅπαντα.
Ἔριδες. νείκη. στάσις. ἀργαλέα λύπη. πόλεμος. φέρε δή νυν
Εἰ κακόν ἐσμεν, τί γαμεῖθ' ἡμᾶς, εἴπερ ἀληθῶς κακόν ἐσμεν.
Κἀπαγορεύετε μήτ' ἐξελθεῖν, μήτ' ἐγκύψασαν ἁλῶναι.
Ἀλλ' οὑτωσὶ πολλῇ σπουδῇ τὸ κακὸν βούλεσθε φυλάττειν.
Κἂν ἐξέλθῃ τὸ γύναιόν ποι, κᾆθ' εὕρητ' αὐτὸ θύρασιν,
Μανίας μαίνεσθ' οὓς χρῆν σπένδειν καὶ χαίρειν, εἴπερ ἀληθῶς
Ἔνδοθεν εὕρετε φροῦδον τὸ κακὸν, καὶ μὴ καταλαμβάνετ' ἔνδον.
Κἂν καταδαρθῶμεν ἐν ἀλλοτρίων παίζουσαι καὶ κοπιῶσαι,
Πᾶς τις τὸ κακὸν τοῦτο ζητεῖ, περὶ τὰς κλίνας περινοστῶν.

CHO. Nos igitur vos ipsas commendabimus progressæ,
Et si vnusquisque muliebri generi mala multa dicit,
Quòd omne sumus malū hominibus, & ex nobis sunt omnia:
Lites, cōtentiones, seditiones, difficilis molestia, bellum. age verò nunc,
Si malum sumus, quid ducitis vxores nos, si modò reuera malum sumus?
Et prohibetis ac præcipitis neque egredi, neque prospicientem è fenestra deprehendi.
Sed ita multo studio malum vultis custodire.
Et si egressa fueris muliercula aliquò, & deinde inueneritis ipsam foris,
Insanias insanitis, quos oportet sacrificare & lætari. si modò reuera,
Ab interiori parte inuenistis euanidum malum, & non offenditis intus.
Et si dormierimus in alienarum mulierum ædibus ludentes, elaborantes ac fessæ;
Vnusquisque malum hoc quæris, circa lectos obambulans.

BOURDINUS. Ἡμεῖς τοίνυν.] ἀπολογεῖται δὴ χορὸς χαριέστατά τε πάντων καὶ ὀξύτατα ὑπὲρ γυναικῶν, ὡς οὐκ εἰσὶ πεφυκυῖαι εἰς πᾶν κακὸν, ὥσπερ λέγουσι πάντες οἱ ἄνδρες. Τὸ γυναικεῖον φῦλον.] ἔθνος. Ἀγορεύει.] κακηγορεῖ. Ἀργαλέα λύπη.] ἰταχθὴς, χαλεπὴ, καὶ ἀλγηρά. Εἰ κακόν ἐσμεν.] ἐνταῦθα συλλογίζεται μετὰ πολλῆς φρονήσεως ὁ χορὸς, ὅτι οὐκ εἰσὶν κακαὶ αἱ γυναῖκες. λέγει γὰρ, εἰ ἡμεῖς αἱ γυναῖκές ἐσμεν κακαὶ, ὥς φασιν ἀνδρῶν πολλοὶ, θαυμαστὸν δὴ ἦν διὰ τί ὑμεῖς ὦ ἄνδρες γαμεῖθ' ἡμᾶς. καὶ γὰρ, ἄφρονός ἐστιν ἀνδρὸς περιπίπτειν ἑκούσιον τῷ κακῷ, ὅπερ φάσκει καὶ προσγνῶναι καὶ προσποιήσασθαι. Ἐγκύψασαν.] τουτέστιν ἀνακύψασαν ἐκ τῆς θυρίδος, καὶ τὸ ὄμμα καὶ τὰ κεφαλὴν τε προφέρουσαν λαμβάνεσθαι καὶ ἁλίσκεσθαι, τοῦ φυλάττειν ἡμᾶς, εἴπερ δὴ δόξαν ἔχειν οὐ δυνάμεθα τῆς κακίας. Πολλῇ σπουδῇ.] μετὰ πολλῆς σπουδῆς. Μανίας μαίνεσθ' οὓς χρῆν σπένδειν.] ἔκφρονές ἐστε καὶ ἐκμαίνεσθε ὑπ' ὀργῆς καὶ ἐξίστασθε ἡμῶν αὐτῶν, οὓς ἔδει γε σπονδὰς σπένδεσθαι καὶ ἐπιχαρῆναι. Φροῦδον τὸ κακόν] ἀπεῖναι, ἐκπεπτωκέναι. καὶ μὴ παρεῖναι. Καταλαμβάνετε.] ἁλίσκετε καὶ ἐπιλαμβάνετε. νοῦς ὅδε ἐστὶ, ὑμεῖς ὦ ἄνδρες ἀντὶ τοῦ χαίρειν ἐπὶ ἀπουσίᾳ ἡμῶν, ὥσπερ γε εἰκός ἐστιν, εἰ κακαὶ ἐγενόμεθα, ἐκφρονεῖτε καὶ καθ' ὑπερβολὴν μέχρι τε τῆς μανίας ἐξίστασθε, εἴπερ τις ἡμῶν ἢ ἄπεισι, ἢ μόνον ἀνακύπτει ἐξ αὐτῆς θυρίδος, καὶ διὰ τοῦτο, σημεῖον ἀρκοῦν δὴ ἡ παρέχετε τοῦ ἀγαθοῦ ἡμῶν οὐ τῆς κακίας. Καταδαρθῶμεν.] εὕδομεν ἐν ἀλλοτρίων γυναικῶν οἰκίαις. Κοπιῶσαι] ὑπὸ πόνου ἀλύσασαι ἀπειρηκυῖαί τε. Τὸ κακὸν τοῦτο] τὴν γυναῖκα δηλονότι ἔνδον γιγνομένην. Περινοστῶν.] περιπολῶν.

BISETUS.

BISETVS. Μὴ τ' ἐγκύψασαν] τούτων ἀνοῦς δ᾽ ἔστι. Οὐ μόνον ἡμῖν ταῖς γυναιξὶν ἀπαγορεύετε μὴ οἴκοθεν ἐξελθεῖν, ἀλλὰ καὶ μήτε ἐκ θύρας, ἢ θυρίδος οὐδὲ A μικρὸν ὅσον παρακύπτειν καταλιπούσας. τὸ δὲ ἀλῶσαι α. β. ἀπὸ τοῦ ἄλωμι, ἄλων. ὡς ἀπὸ τοῦ γνῶμι τὸ ἔγνων, καὶ τὸ γνῶναι.

Κἂν ἐκ θυρίδος παρακύπτωμεν, ζητεῖ τὸ κακὸν θεᾶσθαι.
Κἂν αἰσχυνθεῖσ' ἀναχωρήσῃ, πολὺ μᾶλλον πᾶς ἐπιθυμεῖ
Αὖθις παρακύψαν ἰδεῖν τὸ κακόν. οὕτως ἡμεῖς ἐπιδήλως B
Ὑμῶν ἐσμὲν πολὺ βελτίους. βάσανός τε πάρεστιν ἰδέσθαι.
Βάσανον δῶμεν πότεροι χείρους. ἡμεῖς μὲν γὰρ φαμὲν ὑμᾶς.
Ὑμεῖς δ' ἡμᾶς. σκεψώμεθα δὴ κἀντιτιθῶμεν πρὸς ἕκαστον
Παραβάλλουσαι τῆς τε γυναικὸς καὶ τἀνδρὸς τοὔνομ' ἕκαστον. C
Ναυσιμάχης μὲν ἥττων ἐστὶ Χαρμῖνος, δῆλα δὲ τἄργα.
Καὶ μὲν δὴ καὶ Κλεοφῶν χείρων πάντως δήπου Σαλαβακχοῦς.
Πρὸς Ἀριστομάχην δὲ χρόνῳ πολλῷ πρὸς ἐκείνην τὴν Μαραθῶνι.
Καὶ Στρατονίκην ὑμῶν οὐδεὶς οὐδ' ἐγχειρεῖ πολεμίζειν,
Ἀλλ' Εὐβούλης τῶν πέρυσίν τις βουλευτής ἐστιν ἀμείνων, D
Παραδοὺς ἑτέρῳ τὴν βουλείαν. οὐδ' αὐτὸς τοῦτό γε φήσεις.
Οὕτως ἡμεῖς πολὺ βελτίους τῶν ἀνδρῶν εὐχόμεθ' εἶναι.
Οὐδ' ἂν κλέψασα γυνὴ ζεύγει κατὰ πεντήκοντα τάλαντα
Ἐς πόλιν ἔλθοι τῶν δημοσίων. ἀλλ' ἢν τὰ μέγιστ' ἀφέληται, E
Φορμὸν πυρῶν τ' ἀνδρὸς κλέψασα αὐθημερὸν αὔτ' ἀπέδωκεν.

Et si ex fenestra prospexerimus, quaeris malum spectare.
Et si erubescēs recesseris, multo magis vnusquisque cupit
Rursus promouentem caput videre malum. Ita nos perspicuè
Vobis sumus multo meliores, experimentúmque adest, vt videatur.
Quaestionem ac periculum damus, vtri peiores. nos enim dicimus vos,
Vos verò nos. Consideremus verò & contendamus, ac comparemus ad vnamquamque rē,
Comparantes & mulieris ac viri nomen vnūquodque.
Nausimacha quidem inferior est Charmino, manifesta quidem sunt facta vtriusque.
Et Cleophon quidem peior omnino videlicet Salabaccha meretrice.
Aduersus Aristomachen tempore multo praeterito aduersus illam, quae pugnauit in Marathone,
Et aduersus Stratonicem vestrûm nemo audet bellare:
Sed Eubule ex senatoribus superioris anni quis senator, est melior,
Tradens alteri consilium? ne ipse hoc quidem dices.
Ita nos multo meliores viris gloriamur esse.
Neque si furata mulier accusatur, ad quinquaginta talenta
In vrbem veniret ex publicis pecuniis. sed si maxima surripuerit,
Sportulam triticorum viri furata, eodē die ipsa ea quae furata sit, reddidit.

BOVRDINVS. Παρακύπτωμεν.] ἐκκύπτωμεν, ἀνακύπτωμεν, τοῦ θεᾶσθαι ἕνεκα. Ἀναχωρήσῃ.] ὑποχωρήσῃ. Παρακύψασαν.] τὴν γυναῖκα. Βάσανος.] ἡ πεῖρα, ἐξέτασις, ἡ δοκιμασίς. Βάσανον δῶμεν.] βασανίζωμεν καὶ ἐξετάζωμεν. Ἀντιτιθῶμεν.] ἀνεξετάζωμεν, ἀντιπαραβάλλωμεν. Παραβάλλουσαι.] συγκρίνουσαι, συμβάλλουσαι. δευτέρα δ' ἀπολογία ἐστὶ δι' ἀντιθέσεως τῶν ἀνδρῶν καὶ γυναικῶν καθ' ἕκαστον. Ναυσιμάχης μέν.] τουτέστι κρατεῖται δ' ἢ ὑπὸ τῆς γυναικὸς ὁ Χαρμῖνος, καὶ ὁ κρατῶν καὶ διὰ τοῦτο χείρων ἐστὶ γυναικός. αὕτη γὰρ ἡ φράσις ἐστὶ τῶν ἀττικῶν, ὅταν τινὰ κρατεῖσθαι δηλοῦν βούλωνται, ἥττονα ἐκεῖνον λέγοντες τοῦδε ὑφ' οὗ κρατοῦνται. διαβάλλει δ' ἐνταῦθ' ὁ ποιητὴς τὴν μαλακίαν καὶ ἔκλυσιν πάντων τῶν γυναικοκρατημένων ἀνδρῶν ἐν [illegible] ἐν τούτοις τοῖς στοιχείοις. Κλεοφῶν χείρων.] ὁμοίως λέγει ὅτι ὁ Κλεοφῶν κρατεῖται καὶ ἡττᾶται ὑπὸ τῆς Σαλαβακχοῦς. Σαλαβακχὼ δὲ πόρνης ἦν ὄνομα καθ' ὑπερβολὴν ἐνδεικνύσης. καὶ ἀπὸ ἐκείνης διὰ τὴν τρυφὴν καὶ ἀσέλγειαν θαυμαστήν. ἐκάλουν οἱ παλαιοὶ πάσας τὰς γυναῖκας καταφερεῖς εἰς τ' ἀφροδίσια καὶ πορνευούσας, τούτῳ τῷ ὀνόματι. Τὴν μαραθῶνι.] τὴν μαχεσαμένην ἐν μαραθῶνι. ἐνταῦθα ὁ χορὸς ἀπὸ τῆς ἀνδρείας ἐγκωμιάζει καὶ ἐπαινεῖ τὰς γυναῖκας. αἱ δύο γυναῖκες Ἀριστομάχη καὶ Στρατονίκη μαχιμώταται ἐγένοντο. ἡ μὲν αὐτῶν, ἀπὸ τοῦ ἀριστα μάχεσθαι, ἡ δ' ἀπὸ τοῦ νικᾶν ἐν στρατοῖς ὠνομάσθη. Πολεμίζειν.] πολεμεῖν, μάχεσθαι, καὶ ἀγωνίζεσθαι. πρὸς ταύτην οὐδεὶς, φησὶν, ἀνδρῶν F ὑμῶν, οὐδεὶς τολμᾷ διαμάχεσθαι πρὸς ταύτας τὰς γυναῖκας. διότιπερ κρείττονες ἦσαν καὶ ἐκράτουν τῶν ἀνδρῶν. Εὐβούλης.] Εὐβούλη ὄνομα γυναικὸς, ἥπερ ἐκλήθη ἀπὸ τοῦ εὖ βουλεύεσθαι. ἐνταῦθα καὶ τὴν βουλὴν τῶν γυναικῶν προτιμᾷ τῇ βουλῇ ἀνδρῶν. Οὐδ' ἂν κλέψασα.] ἄρχεται καὶ τοῦ ἐπαίνου τῶν γυναικῶν ὁ χορὸς ἀπὸ τῆς ἁμαρτίας τοῦ τ' ἀλλότρια κλέπτειν καὶ ἀφελέσθαι. καὶ γὰρ λέγει ὅτι γυναῖκες ὥσπερ οἱ ἄνδρες οὐ κλέπτουσι τ' ἀλλότρια, ἀλλ' ἀπέχονται μεγίστης ἐκείνης δυσχερεστάτης, κλοπῆς καὶ αἰσχροκερδείας. G Φεύγει.] κεῖται, κατηγορεῖται. Κατὰ πεντήκοντα τάλαντα.] τουτέστιν ἐγγράφοιτο εἰς τὸ δημόσιον ὥσπερ ὀφείλουσα τῷ δημοσίῳ πεντήκοντα τάλαντα διὰ τὴν τῆς κλοπῆς ἁμαρτίαν. καὶ τριπλῆν τὴν ζημίαν καταθεῖσα κατέλθοι εἰς τὴν πόλιν. καὶ γὰρ οἱ ὀφλόντες τῷ δημοσίῳ ἐνεγράφοντο

εἰς δημόσιον, ὥς φησιν ὁ Δημοσθένης, εἴ τις μοι γενόμενος ἐγγεγραμμένος διπλοῦν τὸ δημόσιον, καὶ διὰ τοῦτο ἐγγεγραμμένοι οἱ κατάδικοι καὶ ὀφλόντες ἐζημιωμένοι τε ἐλέγοντο. Υφέλεται.] ὑφαρπάζει. Φορμόν.] ψιάθον ἢ σπυρίδιόν τι.

Bisetus. Κἂν ἐκ θυείδος] ἐνταῦθα φανερώτερον τὰ τῶν γυναικῶν ἤθη, καὶ συνήθεια χαρακτηρίζεται. αὗται τὴν κεφαλὴν ἐκ θυείδος ἐξαίρουσαι τοῦ εἰς τὰς ἀγυιὰς ἀποβλέπειν, κατὰ μικρὸν, καὶ ἐν μέρει παρακύπτουσιν, εἶθ' ἑαυτὰς ἀναστέλλουσιν ἵνα μὴ τῆς τῶν παρερχομένων ὄψεως ἐπιθυμοῦσαι φαίνοιντο. Βάσανος] δοκιμαστικὰ βάσανος λίθος λέγεται ἡ τὸ χρυσίον παρατριβόμενον δοκιμάζουσα. οὕτως Ἀντιφῶν, καὶ Πίνδαρος, καὶ Σοφοκλῆς. Ὕστερον δὲ τὰ ἐν ταῖς βασάνοις εἰρημένα ὑπὸ τῶν βασανιζομένων, καὶ ἀναγραφομένων, βασάνους ὀνόμασε. καὶ παροιμία, βάσανος λίθος, ἐπὶ τῶν ἐξεταζόντων ἐν λόγοις, ἢ ἔργοις, παρόσον ἡ Λυδία λίθος τὸν χρυσὸν δοκιμάζει. Σ... τὴν δὲ ἐνταῦθα Σαλαβακχὼ καλεῖ, ταύτην ἐν τοῖς Ἱππεῦσιν ὁ αὐτὸς Σαλαβάκχαν ὠνόμασε. τοῦτο δὲ ἦν ἐπισήμου πόρνης ὄνομα κύριον. Τὴν Μαραθῶνι] τὴν ἐν Μαραθῶνι. ταῦτα δὲ τῶν γυναικῶν ὀνόματα νῦν ἐπίτηδες πεπλασμένα δοκεῖ πρὸς δεῖξαι τὰς τοιαύτας γυναῖκας καὶ τοῖς ὀνόμασι, καὶ τοῖς ἔργοις τῶν ἀνδρῶν πολὺ βελτίους εἶναι. Τὴν βουλείαν] βουλεία, ὥς φησιν Ἁρποκρατίων, τὸ ἐκ τῆς βουλῆς ὄντα πράττειν, ἃ τοῖς βουλευταῖς προσήκει. Ἄλλως. Βουλεία, ἡ τοῦ βουλευτηρίου, καὶ τοῦ βουλεύειν ἀρχή. Οὐδ' ἂν κλέψασα γυνή] ἐπειδήπερ ἐν ὅλῃ τῇδε τῇ παραβάσει ὁ χορὸς περὶ τοῦτο μάλιστα σπουδάζει, ὡς ἀποδείξῃ τὰ τῶν γυναικῶν κακουργήματα καθόλου πολὺ μείω εἶναι, τὰ δ' ἀνδραγαθήματα πολὺ μείζω, ἢ τὰ τῶν ἀνδρῶν, μερικῶς νῦν τῶν κλεπτῶν μνημονεύων, ταῦτα λέγει. ἡ δὲ σύνταξις αὕτη. οὐδ' ἐὰν γυνὴ κλέψασα φύγῃ, κατὰ πεντήκοντα τάλαντα τῶν δημοσίων εἰς πόλιν ἀνέλθοι. τουτέστιν ἡ αὐτῆς κλοπὴ εἰς τοσοῦτο τιμήματος οὐκ ἂν ἥκοι. ἀλλ' ἢν τὰ μέγιστα ὑφέληται, φορμὸν πυρῶν τοῦ ἀνδρὸς κλέψασα αὐθημερὸν αὐτὸ ἀπο-

A δώκεν. τὸ δημοσίων οὖν προσετέθη πρὸς τὴν τοῦ ἁμαρτήματος αὔξησιν. ὥσπερ εἰ λέγοι, εἴ τις τὰς γυναῖκας πρὸς ἄνδρας ἀκριβῶς ἐξετάσειεν, εὑρήσει τὰς γυναῖκας οὐ κλεπτούσας κλοπὰς, οἵας οἱ τῶν ἀνδρῶν κλέπτειν φιλοῦσιν. ἀλλὰ τὰς τῶν ἀνδρῶν, μεγίστας, καὶ ἀξιολόγους. τὰς δὲ τῶν γυναικῶν, ἐλαχίστας, οὐδ' ἀξιομνημονεύτους. νῦν δὲ κλέψασα φεύγει, καὶ κλοπῆς κατηγορεῖται, ταὐτόν. καὶ γὰρ ὁ φεύγων, κατηγορούμενος λέγεται. ἐν δὲ πᾶσι τοῖς μέχρι τοῦδε ἀντιγράφοις διεφθαρμένως ζεύγη, ἀντὶ τοῦ φεύγει γράφεται. Φορμὸν
B πυρῶν τἀνδρὸς κλέψασα] τἀνδρὸς, τὸ πλῆρες, τοῦ ἀνδρός. νῦν δὲ διὰ τῆς δὲ τῆς κλοπῆς τὴν μοιχείαν χαριέντως δηλοῦν φαίνεται. φορμὸς κυρίως ἀγγεῖόν τι πλεκτὸν ἐκ ψιάθων, ὡς κόφινος. καὶ κατὰ Σουΐδαν φορμὸς, ἀγγεῖον ἐκ φλοιοῦ, ἐν ᾧ εἰώθασιν ἰσχάδας κομίζεσθαι. πυρὸς δὲ ἡ κριθὴ, παρὰ τοῖς Κωμικοῖς πολλάκις ἀσελγεστέραν ἔχει σημασίαν, καὶ τὸ δεῖνα ὑποδηλοῖ, οὗπερ αἱ γυναῖκες τυχοῦσαι μάλιστα χαίρουσιν. ὡς ἐν τῇ Εἰρήνῃ.

Οὐκ ἔστιν οὐδεὶς, ὅστις οὐ κριθὴν ἔχει.

τὰ σχόλια. πρὸς τὴν κριθὴν παίζει, ὅτι τὸ τῶν ἀνδρῶν
C αἰδοῖον, κριθὴν ἔλεγον. ἐνταῦθα τοίνυν καὶ φορμὸς, καὶ πυρὸς κωμικῶς λήπτεα. καὶ τὸ μὲν πρὸς τὸ γυναικεῖον, τὸ δὲ πρὸς τὸ ἀνδρεῖον αἰδοῖον ἀνοιστέον. ὁ δὲ νοῦς οὗτος. εἴπερ ποτὲ μοιχευθεῖσα ἡ γυνὴ πεπορεύεται, καὶ ἑαυτὴν τῷ αὐτῆς ἀνδρὶ λάθρα πρὸς ὀλίγον ὑφαιρεῖ, οὐδὲν ὅμως ἐντεῦθεν οὔτε τῶν δημοσίων, οὔτε τῶν τοῦ ἀνδρὸς χρημάτων μειοῦται. αὐθημερὸν γὰρ οἴκαδε ἐπαναστραφεῖσα τὸ ᾐρημένον ἐπαναφέρει, καὶ ἀποδίδωσιν. αὔτ' ἀπέδωκεν δὲ ἀντὶ τοῦ, αὐτὸ ἀπέδωκεν, ὃ πρὸς τὸ σημαινόμενον δεῖ ἀναφέρειν, τουτέστιν αὐτὸ τοῦτο, ὅπερ ἔκλε-
D ψεν. αἰνίττεται δὲ τὸ μέρος, ἐν ᾧπερ αἱ γυναῖκες τρυφὰς ποιοῦνται. ἐνταῦθα ... ρητέον ὅτι Ἀριστοφάνης γελοίως, καὶ δὴ καὶ πανούργως ἐξ ἔθους τὰ τῶν γυναικῶν πλημμελήματα μειοῦν προσποιούμενος ταῦτα μᾶλλον αὔξει, καὶ βαρύτερα ἀποδείκνυσι. καὶ γὰρ τὸ τῆς μοιχείας ἔγκλημα μεῖζον, καὶ αἴσχιον, ἢ τὸ τῆς κλοπῆς, καὶ τὰς γυναῖκας μᾶλλον αἰσχύνει.

Ἀλλ' ἡμεῖς ἂν πολλοὺς τούτων
Ἀποδείξαιμεν ταῦτα ποιοῦντας,
Καὶ πρὸς τούτοις γαστρίδας ἡμῶν
Ὄντας μᾶλλον, καὶ λωποδύτας.
Καὶ βωμολόχους κἀνδραποδιστάς.
Καὶ μὲν δήπου καὶ τὰ πατρῷά γε
Χείρους ἡμῶν εἰσιν σώζειν.
Ἡμῖν μὲν γὰρ σῶν ἔτι καὶ νῦν
Τἀντίον, ὁ κανών, οἱ καλαθίσκοι
Τὸ σκιάδειον.
Τοῖς δ' ἡμετέροις ἀνδράσι τούτοις,
Ἀπόλωλε μὲν πολλοῖς ὁ κανὼν
Ἐκ τῶν οἴκων αὐτῇ λόγχῃ.
Πολλοῖς δ' ἑτέροις ἀπὸ τῶν ὤμων
Ἐν ταῖς στρατιαῖς
Ἔρριπται τὸ σκιάδειον.

Sed nos multos ex his
Ostenderemus hæc facientes,
E *Et ad hæc helluones vobis*
Existentes magis, & fures,
Et scurras, & prædones.
Et quidem profecto etiam paterna quidem bona
Peiores nobis sunt seruare.
Nobis enim salua adhuc etiam nunc est
Phiala, regula vel calamistrus, quasilli,
Vmbella.
Nostris autem viris his
F *Periit quidē multis lorum & retinaculum scuti*
E domibus cum ipsa lancea:
Multis verò alijs ab humeris
In militijs
Proiectum est scutum.

BISETVS. Ἀλλ' ἡμεῖς] στίχοι μικροὶ ιϛ'.

BOVR. Γαστρίδας] ἀντὶ τοῦ γαστρὶ ἀκρατεύοντας καὶ ἀμετροῦντας μᾶλλον. Καὶ λωποδύτας.] λῶπος ἱμάτιον, ἔνθεν λωποδυτεῖν τὸ ἱμάτιον κλέπτειν, καὶ κλέπτειν ἱμάτια τὸ λωποδυτεῖν. Καὶ βωμολόχους] καὶ πανούργους κόλακάς τε καὶ εὐτελεῖς πάντα ποιοῦντας ὑπὲρ τοῦ κέρδους τι αἰσχρὸν λαβεῖν καὶ συναγείρειν. βωμολόχοι δὲ λέγονται ὥσπερ οἱ περὶ τοὺς βωμοὺς λοχῶντες ὑπὲρ τοῦ λαβεῖν τι παρὰ τῶν θυόντων. Ἀνδραποδιστάς.] τοὺς ἀνδραποδιζομένους, τοὺς ἀποδο-μένους ἄνδρας. καὶ τούτῳ τῷ ῥήματι χρῶνται ὡς ἐπὶ τὸ πλεῖστον οἱ ποιηταὶ πρὸς τὸ δηλοῦν τὴν εὐτέλειαν, καὶ αἰσχροκέρδειάν τινος ἀνθρώπου. καὶ γὰρ ἀνδραποδισταὶ ἐκαλοῦν-
G το, οἵπερ τοὺς ἐλευθέρους ἄνδρας ἐπώλουν τε καὶ ἐπίπρασκον, ὅπερ οὐκ ἦν θέμις κατὰ νόμους παλαιούς. Χείρους εἰσὶν σώζειν.] καί τοι εἰσὶν ἀφρονέστεροι καὶ ἀπρονοητότεροι πρὸς τὸ σώζειν τὰ πατρῷα. Τἀντίον.] τουτέστι τὸ ἐναντίον. Κανών.] πρὸς τὸ διορθοῦν καὶ λεαίνεσθαι τὰς τρίχας γυναικῶν. Οἱ καλαθίσκοι.] οἱ μικροὶ κάλαθοι.

λάθοι. Τὸ σκιάδειον.] μικρὰ σκιὰ ἤν τινα ἑορτῶν αἱ παρθένοι κανηφόροι ἐρχόμεναι εἰς ἑορτὰ μὴ ἐκκαίοιντο διὰ τὸ καῦμα τοῦ ἡλίου. καλεῖται δὲ ἀπὸ τοῦ αὐτοῦ ἐλαύνειν καμηλαύκιον. Κανὼν.] ὁ τῆς ἀσπίδος ἔχων τὴν αἰγίδα σὺν αὐτῇ λόγχῃ. Τὸ σκιάδειον, ἡ αἰγὶς ἐνταῦθα κατηγορεῖ τῶν ῥιψασπίδων καὶ ἀποβαλόντων τὰς ἀσπίδας.

BISETVS. Γάστριδας.] γάστρις, ὁ γαστρίμαργος, ὁ πολυφάγος, καὶ περὶ τὴν γαστέρα ἀκρατής, οὕτω δὲ τὸ ἐλμινθας ἔχοντα καλεῖν φιλοῦσι. Σ. τῇδε τῇ λέξει καὶ ἐν Ὄρνισιν Ἀριστοφάνης ἐχρήσατο.

Τί ὦ κακοδαίμων ἠλίθιος, καὶ γάστρις εἶ.

Λωποδύτας.] λωποδύτας, ἱματίων κλέπτας. λῶπος γὰρ ἢ λώπη, τὸ ἱμάτιον. καὶ λωπίον, τὸ εὐτελὲς ἱμάτιον. καὶ λωπίζω, ἐκδύω. καὶ λωποδυτεῖν, τὸ ἱμάτια κλέπτειν. καὶ τοὺς νεκροὺς ἐκδύειν. οἱ δὲ τῶν Περσῶν λῃστεύοντες λωποδυτούμενοι, καὶ ταφῆς ἀμοιροῦντες τοῖς θείοις ἱερεῦσιν ἦν αὐτοχειρίας. Σ. Τὰ πατρῷα.] Σ. πατρῷα λέγουσιν οἱ ῥήτορες, ὅταν αὐτοῖς ὁ λόγος ᾖ περὶ χρημάτων, ἢ ὅταν κλήρου. ἀποφαίνω γὰρ ὑμῖν οὐσίαν εἶναι ἐκ κλήρου τὸ χωρίον τοῦτο, οὐ δὴ κτησάμενος ποτε, ἀλλ' ὡς ἦν πατρῷον C Λυσιμάχῳ τῷ πατρὶ Μενεκράτους. ὁ δὲ Λυσιμάχου ἔχει τὰ πατρῷα πάντα. Πάτρια δὲ λέγουσι τὰ ἔθη, καὶ τὰ νόμιμα, καὶ τὰς μυστήρια καὶ τὰς ἱεράς. Ἀντιφῶν. τὸ δὲ, τοὺς νόμους εἶδες πατρίους, καὶ παλαιοὺς ὄντας ὑμῖν. Πατρικὸν δὲ, ὅταν περὶ προσώπου ποιῆται τὸν λόγον. καὶ τούτων ἀξιωθεὶς διὰ τὸ πατρικὸς αὐτοῦ φίλος εἶναι. Αἰσχίνης

A ἐν τῷ κατὰ Κτησιφῶντος. Σ. Σοῦ ἔτι, καὶ νῦν τ' ἀντίον.] τ. πλήρης, ἢ τρ. σὸν τὸ ἀντίον. ἀντίον δὲ ἔνθα ὑφαίνουσιν αἱ γυναῖκες. καὶ ἀντίον, ξύλινος εἶδος. τινὲς δὲ ἀντίον τὸ λέγουσι τὸ ἐπρογγύλον ξύλον, ὅπερ οἱ ἱστουργοὶ περιάγοντες, καὶ περιστρέφοντες τῶν ἱστῶν τοὺς μίτους ἐπιτείνουσιν, ἵνα ῥᾷον ὑφαίνειν δύνωνται. Ὁ κανών.] ὁ ἐλεὶς, ἢ τὸ ξύλον, περὶ ὃ οἱ μίτοι, καὶ αἱ τῆς ἀσπίδος ῥάβδοι, ἀφ' ὧν τελαμῶν ἐξήρτητο. Ἡσύχιος. Ἄλλως. ἔοικεν εὐθὺ ξύλον εἶναι εἰρῆσθαι κανὼν, τορευτὸν εἶναι εἰκὸς, ὁμώνυμον τῷ ἀποB θοῦντι τὰ ξεόμενα κανόνι, χρήσιμον γυναιξὶν, ἢ κλώθειν, ἢ ἄλλως νῆμα ἑξάλλειν ἐν τῷ πρὸ τοῦ στήθους, ἢ κρατεῖσθαι, ἢ ἱστᾶσθαι, ὅθεν γάρ τι ἐκ ἐτύχομεν γενέσθαι ἀπὸ τοῦ μαθεῖν καλαμὲν μίτων τ' κανόνα εἶναι, ἢ ἐργαλεῖον ἠλακατίδες, οὕτως Εὐστάθιος εἰς τὸ Ιλ. Υ. Τὸ σκιάδειον] λέγεται καὶ σκιάδιον ἄνευ διφθόγγου. περὶ τούτου ἐν Ἱππεῦσι, καὶ ἐν Ὄρνισι ἤδη εἴρηται. Πολλοῖς ὁ κανών.] κανὼν ἐκ τῶν συνεκδοχικῶς ἀπὸ τοῦ τελαμῶνος. καὶ λαβὴ τῆς ἀσπίδος, αὐτὴ ἡ ἀσπὶς νοεῖται. ὅπερ ἐκ τῶν ἑξῆς δῆλον. ὁ νοῦς. πολλοὶ δὲ τῶν ἡμετέρων ἀνδρῶν τὰς ἀσπίδας ὡς δειλοὶ κακῶς ἀπέβαλον. καὶ ἀπώλεσαν. αὐτοὺς τοίνυν ὁ χορὸς ῥιψάσπιδας καλεῖ. μεταφορικῶς δὲ τὸ σκιάδειον ἀντὶ τοῦ τὸ σάκος, ὅτι τὴν ἀσπίδα λαμβάνει. ἀσπὶς γὰρ τοῖς στρατιώταις σκιὰν παρέχει, καὶ ταύτῃ οἱ στρατιῶται σκιάδειν δίκην χρῶνται πρὸς τὸ σῶμα σκιάζειν. τουτέστι σκεπάζειν. καὶ καὶ ὕστερον μὴ τεθεῖσα. τούτων δὲ τῶν ὀνομάτων ἡ ἀμφιβολία ἐν τῇ διαφόρῳ σημασίᾳ κεῖται. αὐτὰ δὲ γελῶντες χαίρειν λέγεται. αὐτῇ ὁ ὄγκος, σὺν αὐτῇ τῇ λόγχῃ.

D

ΕΠΙΡΡΗΜΑ ἐκ στίχων τεσσαρακαιδεκαπεντασυλλάβων καταληκτικῶν ις.

BISETVS. Τί ποτ' εἶναι τὸ ἐπίρρημα, πόθεν εἴρηται, πότε, καὶ τίνος χάριν οἱ ποιηταὶ αὐτῷ χρῶνται, πολλάκις ἤδη κἀλλαχοῦ προείρηται.

REPREHENSIO, VEL INuectiuus sermo.

Πολλ' ἂν αἱ γυναῖκες ἡμεῖς ἐν δίκῃ μεμψαίμεθ' ἂν
Τοῖσιν ἀνδράσιν δικαίως, ἓν δ' ὑπερφυέστατον.
E Χρὴ γὰρ ἡμῶν εἰ τέκοι τις ἄνδρα χρηστὸν τῇ πόλει,
Ταξίαρχον ἢ στρατηγὸν, λαμβάνειν τιμήν τινα.
Προεδρείαν ταύτῃ δίδοσθαι, Θησείοισι, καὶ Σκίροις
Ἔν τε ταῖς ἄλλαις ἑορταῖς, αἷσιν ἡμεῖς ἤγομεν.
F Ἢν δὲ δειλὸν πονηρὸν ἄνδρα τίς τέκοι γυνὴ
Ἢ τριήραρχον πονηρὸν, ἢ κυβερνήτην κακὸν,
Ὑστέραν αὐτὴν καθῆσθαι σκάφιον ἀποκεκαρμένην
Τῆς τὸν ἀνδρεῖον τεκούσης. τῷ γὰρ εἰκὸς ὦ πόλις,
G Τὴν Ὑπερβόλου καθῆσθαι μητέρ' ἠμφιεσμένην
Λευκὰ καὶ κόμας καθεῖσαν πλησίον τῆς Λαμάχου.
Καὶ δανείζειν χρήματ' ἣν χρῆν, εἰ δανείσειέ τινι.

Multas mulieres nos iure accusare possemus
E In viris iuste, vnum verò supra modum maximum.
Oportet enim nostrûm, si pepererit aliqua virum bonum & frugi ciuitati,
Centurionem vel imperatorem exercitus, accipere honorem aliquem,
Primamq; sellam & honoratiorem locum ipsi dari in Thesis & sciris festis,
F Et in aliis festis, quæ nos agere & celebrare solemus.
Si verò timidum & malum virum aliqua pepererit mulier,
Vel trierarcham prauum, vel gubernatorem improbum.
Posteriorem ipsam sedere scaphio detonsam,
Ea quæ fortem pepererit. Qua enim ratione par est ô ciuitas,
G Hyperboli sedere matrem indutam
Albis indumentis, & capillos demissos habentem prope matrem Lamachi?
Et fœnori dare pecunias, cui oportebat si fœnori daret alicui,

Καὶ τόκον πράττοι τὸ διδόναι μηδὲν' ἀνθρώπων τόκον
Ἀλλ' ἀφαιρεῖσθαι βίᾳ τὰ χρήματ' εἰπόντας τοδί.
Ἀξία γοῦν εἶ τόκου τεκοῦσα τοιοῦτον τόκον.

A Et fœnus exigeret, dare nullum hominum fœnus,
Sed auferre vi pecunias dicentes hoc,
Digna scilicet es fœnore, cùm pepereris talem fœtum.

Bourdinus. Ἐν δίκῃ.] δικαίως φησίν, ἐστὶ ταύτην προτιμᾶν ἄλλων καὶ προκρίνεσθαι, ἥπερ στρατηγὸν ἄνδρα καὶ ταξίαρχον ἔτεκεν. καὶ γάρ, ὥς φησιν ὁ Πλούταρχος ἐν τῷ τοῦ Πελοπίδου, οἱ τῶν Ἑλλήνων νομοθέται τὴν ῥίψασπιν κολάζουσιν, οὐ τὸ ξίφος, οὐδὲ λόγχην προέμενον, διδάσκοντες ὅτι τοῦ μὴ κακῶς παθεῖν πρότερον ἢ ποιῆσαι τοὺς πολεμίους, ἑκάστῳ μᾶλλον προσήκει. Σκίροις.] σκίρα ἑορτὴ παρ' Ἀθηναίοις, ἀφ' ἧς καὶ ὁ μὴν σκιροφοριών. φασὶ δ' οἱ γράψαντες περί τε μηνῶν καὶ ἑορτῶν τῶν Ἀθήνησιν, ὡς τὸ σκίρον σκιάδιόν ἐστι, μεθ' οὗ φερόμενοι ἐξ ἀκροπόλεως εἰς τινὰ τόπον καλούμενον σκίρον ἐπορεύοντο ἥ τε Ἀθηνᾶς ἱέρεια, καὶ ὁ τοῦ Ποσειδῶνος ἱερεύς, καὶ ὁ τοῦ ἡλίου. ἐκόμιζον δὲ τοῦτο τὸ σκίρον ἐτεοβουτάδαι. σύμβολον δὲ τοῦτο ἐγίγνετο τοῦ δεῖν οἰκοδομεῖν, ὡς τούτου χρόνου ἀρίστου ὄντος πρὸς οἰκοδομίαν. καὶ Ἀθηνᾶν δὲ σκιράδα τιμῶσιν οἱ Ἀθηναῖοι ἀπὸ σκίρου τινὸς Ἐλευσινίου μάντεως κληθεῖσαν. ἦν δὲ καὶ σκίρεις σκιάδειον, ἑορτή τις ἀγομένη τῇ Ἀθηνᾷ, ὅτε σκιάδειον ἐφρόντιζον, ἐν ἀκμῇ τοῦ καύματος. σκίρα δὲ καὶ τὰ σκιάδεια. Σκάφιον.] εἶδος κουρᾶς, ἐσήμαινεν δὲ τοῦτο εἶδος κουρᾶς αἰσχρόν τι καὶ φαῦλον ἀνάξιόν τι καὶ ῥυπαρόν. Εἰκός.] δίκαιον δὲ πῶς ἐστιν, πῶς δὲ ἄξιόν ἐστιν ἐν ταυτῷ ἀριθμῷ τίθεσθαι τὴν μητέρα τοῦ Ὑπερβόλου αἰσχίστου καὶ πονηροτάτου, καὶ τὴν μητέρα τοῦ γενναιοτάτου πάντων Λαμάχου. Λευκά.] τοῦτο δὴ σημεῖον τῆς εὐγενείας καὶ καθαρότητος. Κόμας.] καθεῖσαν κόμας, δηλοῦσαν διὰ τούτου τὴν χαρὰν καὶ λαμπρότητα. καὶ γὰρ ἡ κουρὰ παρὰ παλαιοῖς ἐσήμαινε πενθηρόν τι καὶ κλαυστικόν. Ὑπερβόλου] Ὑπέρβολος ἦν ἔχθιστος θεοῖς καὶ ἀνθρώποις καὶ μιαρώτατος, καὶ διὰ τὴν αὐτοῦ μιαρὰν πονηρίαν τε διαστυρηθεὶς καὶ διαλοιδορηθεὶς ὑπὸ πάντων τῶν κωμικῶν. Λαμάχου.] ὃς γενναῖος στρατηγὸς ἦν καὶ μαχιμώτατος. πνέων τ' ἀεί τι πολεμικόν, οὗπερ μέμνηται ὁ Θουκυδίδης ἐν τῷ ἕκτῳ βιβλίῳ τῆς ἱστορίας αὐτοῦ, καὶ θανάτου ἐκείνου Λαμάχου. διεβάλλετο δ' ὁ Λάμαχος ἐπὶ μεγάλῃ θρασύτητι καὶ ἀπρεπεῖ τοῦ φρονίμου στρατηγοῦ. Δανείζειν.] ὥστε ἔνεργα ποιεῖν τὰ χρήματα. Τόκον.] ὅ ἐστιν ἔργον καὶ κέρδος τῶν χρημάτων. Εἰπόντας τοδί.] χαριεντισμὸν ἐποίησε. Γοῦν.] καταγελαστικὸν καὶ εἰρωνευτικὸν ἐπίρρημα. τουτέστιν οὐ ἀξία εἶ τοὺς τόκους εἰσπράττειν ὅταν τοιοῦτον τέκῃς ἄνδρα.

Bisetus. Ὑπερφυέστατον] ὑπερφυὲς κυρίως δηλοῖ τὸ ὑπὲρ τὴν φυήν, εἴτε φυάν, ἢ γοῦν φύσιν. ἀλλαχοῦ δέ, ὡς καὶ ἐνταῦθα, τὸ μέγιστον, ὃ τὸ τῆς φύσεως μέτρον, καὶ μέγεθος ὑπερβάλλει. ἁπλῶς τὸ μέγιστον. Ταξίαρχον.] ταξίαρχος, ἡγεμών, στρατοπεδάρχης. στρατηγοὶ δὲ
B δέκα ἦσαν. οἱ καθ' ἕκαστον ἔτος χειροτονούμενοι. Προεδρίαν] προεδρία, τιμῆς ἐστὶν ὁ τόπος. ἐξῆν δὲ τοῖς τῆς τιμῆς ταύτης τυχοῦσι, καὶ ἐν βουλευτηρίῳ, καὶ ἐν ἐκκλησίᾳ, καὶ ἐν παντὶ ἄλλῳ συλλόγῳ τοὺς προλαμβάνοντας μεταθέσθαι, ἢ ἐξεγείραντας αὐτούς, εἰς τὴν ἐκείνων καθίζεσθαι τόπον. πεποίηται δὲ τὸ ὄνομα ἀπὸ τῶν πρώτων αὐτοὺς ἕδραν ἔχειν. Σ. τὸ δὲ ταύτῃ, δηλονότι τῇ γυναικὶ χρηστὸν ἄνδρα τεκούσῃ τῇ πόλει. Θησείοισι, καὶ Σκίροις.] Θησεῖα, καὶ Σκῖρα, ἑορτῶν ὀνόματα παρὰ τοῖς Ἀθηναίοις. περὶ δὲ τῶν Θησείων ἐν Πλούτῳ διὰ πλειόνων εἴρηται. καὶ
C περὶ τῶν Σκίρων ἐν ταῖς Ἐκκλησιαζούσαις. ἐν τισὶ δὲ τῶν ἀντιγράφων διεφθαρμένως Θεσείοισι γέγραπται, ὃ παντελῶς ἄγνωστον. Τριήραρχον] τριήρεις, πλοῖα πολεμικά. καὶ τριήραρχος, τριήρους ἄρχων. ὅθεν τριηραρχεῖν. καὶ τριηραρχία, λειτουργία παρ' Ἀθηναίοις δαπανηρά. ἔδει γὰρ τὴν τριήρη πάντα ἔχειν πρὸς πόλεμον εὐτρεπῆ. ἅπερ παρεσκεύαζεν ὁ εἰς τὴν λειτουργίαν ταύτην προβληθείς. Σ. κυβερνήτης δέ, ὁ τοῦ πλοίου ἡγεμών. Σ. Σκάφιον] κουρᾶς εἶδος, περὶ οὗ ἐν Ὄρνισιν εἴρηται. Τῷ γὰρ εἰκὸς ὦ πόλεις.] ὁ τούτων νοῦς ὅδε. Διά τι, τίνος χάριν ὦ πόλις εἰ-
D κός ἐστι τὴν Ὑπερβόλου μητέρα ἠμφιεσμένην λευκὰς ἐσθῆτας, καὶ κόμαις καθειμέναις κοσμηθεῖσαν καθῆσθαι πλησίον τῆς μητρὸς τοῦ Λαμάχου; ὁ γὰρ Ὑπέρβολος δειλός, καὶ πονηρός. ὁ δὲ Λάμαχος, πολεμικός, καὶ ἀνδρεῖος. Καὶ εἰκός ἐστι τὴν Ὑπερβόλου μητέρα δανείζειν χρήματα, ἣν μᾶλλον ἐχρῆν (εἴπερ τινὶ δανείσειε, καὶ τὸν τόκον ἐκπράττοι) πάντα ἀποβαλεῖν, καὶ μηδένα τῶν ἀνθρώπων εὑρίσκεσθαι, ὃς ταῦτα αὐτῇ δοίη, ἀλλ' ἐχρῆν αὐτοὺς ταῦτα αὐτῆς ἀφαιρεῖσθαι βίᾳ, αὐτὴν οὕτω προσφωνοῦντας, ἀξία γοῦν. καὶ τὰ ἑξῆς. τὸ δὲ τῆς φράσεως κοινοπρεπὲς ἀνάφεσαν ἐνταῦ-
E θα, τοὺς δὲ τέσσαρας στίχους οὕτω γραπτέον.

Καὶ δανείζειν χρήμαθ', ἣν χρῆν (κ' ἣν δανείσειέν τινι,
Καὶ τόκον πράττοιτο) διδόναι μηδέν' ἀνθρώπων τόκον.
Ἀλλ' ἀφαιρεῖσθαι βίᾳ τὰ χρήματ', εἰπόντας τοδί,
Ἀξία γοῦν εἶ τόκου, τεκοῦσα τοιοῦτον τόκον.

Τὸ δέ τινες οἴονται νοητέον εἰρωνικῶς. οἱ δὲ καταφατικῶς, καὶ μετὰ τῆς ἀρνητικῆς μορίου γράφοντες οὕτως, Ἀξία γ' οὐκ εἶ. ἀντὶ τοῦ ἀξία γοῦν. ὅπερ ἴσως οὐκ ἀπίθανον. τόκος δὲ κυρίως ἡ γένεσις. μεταφορικῶς δὲ τὸ δάνεισμα. ἐνταῦθα δὲ τῇ λέ-
F ξεως ἀμφιβόλῳ σημασίᾳ τῇ ἐν ἑνὶ στίχῳ διχῇ χρησάμενος παίζει.

ΜΝΗΣΙΛΟΧΟΣ, ΓΥΝΗ.

Mnesilochus, Mulier.

Bis. Στίχοι ἰαμβικοὶ τρίμετροι ἀκατάληκτοι. Μνησίλοχος δὲ φυλαχθεὶς ἐπὶ τῇ τοῦ Εὐριπίδου ἀπόντος μελλήσει δυσχεραίνων, ταῦτα μεθ' ἑαυτοῦ λέγει. Ἴλλος δέ, στρεβλός, στραβός, διεστραμμένος, ἢ τυφλός. προσδοκῶν δέ, περιμένων, ἀναμένων, τὸν Εὐριπίδην δηλονότι.
G τούτων δὲ ὁ νοῦς ὅδε, στρεβλὸς μὲν οὖν γεγένημαι, ὄμματα δεῦρο, κἀκεῖσε διαστρεφόμενος, καὶ μάτην ἑκάστοτε περιβλέπων, εἴ ποθεν Εὐριπίδης ἔλθοι.

Μν. Ἴλλος γεγένημαι προσδοκῶν, ὁ δ' οὐδέπω.

MN. Strabo factus sum, expectans Euripidem, hic verò nondum venit.

Τί δῆτ' ἂν εἴη τοὐμποδών; οὐκ ἔσθ' ὅπως A
Οὐ τὸν Παλαμήδην ψυχρὸν ὄντ' αἰσχύνεται.
Τῷ δῆτ' ἂν αὐτὸν προσαγαγοίμην δράματι;
Ἐγᾦδα. τὴν καινὴν Ἑλένην μιμήσομαι.
Πάντως ὑπάρχει μοι γυναικεία στολή.
Γυν. Τί αὖ σὺ κυρκανᾷς; ἢ τί κοικύλλεις ἔχων; B
Πικρὰν Ἑλένην ὄψει τάχ' εἰ μὴ κοσμίως
Ἕξεις ἕως ἂν τῶν Πρυτάνεών τις φανῇ.

Quid verò esse posset impedimento, non est quomodo
Non Palamedem frigidum existentem non erubescat.
Qua verò ipsum adducerem fabula?
Ego scio, nouam fabulam, Helenam imitabor.
Prorsus adest mihi muliebris amictus.
MVL. Quid rursus tu moliris, vel quid machinaris?
Amaram Helenam videbis citò, nisi modestè
Te habebis, donec supremorum magistratuum aliquis apparuerit.

BOVRDINVS. Ἰλλος.] στρεβλὸς, στραβὸς, τυφλός. Προσδοκῶν.] Εὐριπίδην, ὅστις οὐδέπω ἐπανήρχετο. Ἂν εἴη ἐμποδών.] ἐμποδίζοι. Ψυχρὸν ὄντα.] ἐνταῦθα καταχλευάζει ὁ Ἀριστοφάνης τινὸς τῶν τραγῳδιῶν τοῦ Εὐριπίδου, ἐν ᾗ εἰσήγαγε τὸν Παλαμήδην διὰ τὸ αὐτοῦ παθήματα ὀδυρόμενον. ψυχρὸν δὲ καλεῖ διὰ τὴν ψυχρότητα καὶ ἀπειροκαλίαν ταύτης τῆς τραγῳδίας. ψυχρὰ γὰρ λέγονται τὰ ἀπείρως γραφέντα, καὶ τοὺς ἀκροατὰς οὐ παροξύνοντα, οὐδ' ἐπεγείροντα, οὔτ' ἐπιχάρειάν τινα ἐπιφέροντα. C Προσαγαγοίμην.] προσελκοίμην, προτρεποίμην, παρορμοίην ἂν δράματι. Καινήν.] νέαν τινὰ τραγῳδίαν. Στολή.] ἐσθὴς, ἱμάτιον γυναικεῖον, ὥστε μιμεῖσθαι, δύνασθαι ταύτην τὴν Ἑλένην, γυναῖκα οὖσαν. Τί αὖ σὺ κυρκανᾷς, ἢ τί κοικύλλεις ἔχων.] τουτέστι τί κακοτεχνεῖς, τί μηχανᾷ καὶ κατασκευάζεις κακὸν, D καὶ τί περιβλέπεις. κατὰ μεταφοράν. κυρκανᾷν γὰρ κυρίως σημαίνει διακυκᾷν, ταράττειν. κοικύλλειν δ' ἐστὶ τὸ περιβλέπειν. κύλα γὰρ τὰ ὑπάνω τῶν ὀφθαλμῶν ὀνομάζεται. οἱ δὲ, τὸ περιστρέφεσθαι καὶ διατρίβειν περιβλεπόμενον, ἄλλοι δὲ, φθονεῖν. κοίκας δὲ καλοῦνται ἐν Αἰθιοπίᾳ τὰ σπαργανώματα ἐκ τῶν φύλλων τοῦ δένδρου σκεύη, καὶ φορμοί. Πικράν.] χαλεπὴν τοι καὶ δυσάρεστον. Ἕξεις.] προβήσῃ κοσμίως, καὶ παρέξεις ἑαυτὸν εὐάρμοστον εὔτακτόν τε. E

τῶν Πρυτάνεων.] τῶν ἀρχόντων.

BISETVS. Ὁ δ' οὐδέπω.] τουτέστιν ὁ Εὐριπίδης οὐδέπω με ἐλευθερώσων ἦλθε. κατ' ἔλλειψιν τοῦ ῥήματος. Τοὐμποδὼν δὲ, τὸ ἐμποδών. τί ποτ' ἂν εἴη τὸ κώλυμα ὅ τι κωλύει τὴν αὐτοῦ παρουσίαν; Αἰσχύνεται.] τινὲς κακεμφατόν τι διὰ τούτου νοεῖσθαι νομίζουσιν. ἀλλ' ἴσως τοῦτο λεκτέον ἁπλῶς, ἀντὶ τοῦ αἰσχύνεσθαι διὰ τὸ ἄγαν ψυχρὸν Παλαμήδην, τουτέστι δι' ἐμὲ τὸν Μνησίλοχον, ὃς τὸν Παλαμήδην ἐν τῇ γραφῇ μου, καὶ τῇ ἀγγελίᾳ τῇ πρὸς αὐτὸν πεμφθείσῃ ψυχρῶς ἄγαν ἐμιμησάμην. διὸ νῦν καινὴν Ἑλένην μιμήσομαι, ὅπως τὸ πρᾶγμα βέλτιον ἐμοὶ χωροίη. καινὴν δὲ νῦν λέγει, ἐπεὶ καὶ αὐτὸς Εὐριπίδης ἐποίησε δρᾶμα, ὃ Ἑλένη καλεῖται. Τί κοικύλλεις ἔχων.] τί περιβλέπεις; ἢ κακοτεχνεῖς; τὸ δ' ἔχων, Ἀττικῶς περιττόν. κοικύλλειν, περιβλέπειν. οἱ δὲ τὸ περιστρέφεσθαι, καὶ διατρίβειν περιβλεπόμενον. κύλα δὲ, καὶ κυλάδες κατὰ τὸν Εὐστάθιον, τὰ ὑπὸ τοὺς ὀφθαλμοὺς, ἐπικύλια δὲ, τὰ ἐπάνω τῶν ὀφθαλμῶν λέγεται. ὅθεν τὸ κυλοιδιᾷν, τὸ τὰ κύλα οἰδεῖν. Θεόκριτος εἰδ. α.

οἱ δ' ὑπ' ἔρωτος δηθὰ κυλοιδιόωντες.

ἐνταῦθα δὲ κατὰ τὴν λέξεως ἐτυμολογίαν διὰ δύο λλ μέτρου χάριν ἴσως γέγραπται. Πρυτάνεων.] περὶ τούτων ἤδη διὰ πλειόνων εἴρηται.

ΜΝΗΣΙΛΟΧΟΣ, ὡς ΕΛΕΝΗ.

Μν. Νείλου μὲν αἵδε καλλιπάρθενοι ῥοαί, F
Ὃς ἀντὶ δίας ψακάδος Αἰγύπτου πέδον
Λευκῆς νοτίζει μελανοσυρμαῖον λεών.
Γυν. Πανοῦργος εἶ νὴ τὴν Ἑκάτην τὴν φωσφόρον.
Μν. Ἐμοὶ δὲ γῆ μὲν πατρὶς οὐκ ἀνώνυμος,
Σπάρτη. πατὴρ δὲ Τυνδάρεως. Γυν. Σοί γ' ὤλεθρος G
Πατήρ ἐκεῖνός ἐστι; Φρυνώνδας μὲν οὖν.
Μν. Ἑλένη δ' ἐκλήθην. Γυν. αὖθις αὖ γίγνῃ γυνή,
Πρὶν τῆς ἑτέρας δοῦναι γυναικίσεως δίκην.

MNESILOCHVS vt HELENA.

MVL. Nili quidem hæ pulchræ virgineæ fluenta sunt,
Qui pro cælesti pluuia Ægypti solum
Candida humectat, & irrigat nigrum populum.
MVL. Scelestus es per Hecaten luciferam.
MN. Mihi verò terra quidem patria non ignobilis
Sparta, pater verò Tyndarus. MVL. Tibiq́ue pernicies
Pater ille est, Phrynondas immò.
MN. Helena verò appellata sum. MVL. Rursus sis fœmina,
Priusquàm alterius des simulationis muliebris pœnas?

Μν. Ψυχαὶ δὲ πολλαὶ δι' ἐμ' ἐπὶ Σκαμανδρίαις A
Ῥοαῖσιν ἔθανον. Γυν. ὤφελες δὲ καὶ σύγε.
Μν. Κἀγὼ μὲν ἐνθάδ' εἰμ'· ὁ δ' ἄθλιος πόσις
Οὑμὸς Μενέλαος οὐδέπω προσέρχεται.
Τί οὖν ἔτι ζῶ τῶν κοράκων πονηρίᾳ; B
Ἀλλ' ὥσπερ αἰκάλλει τι καρδίαν ἐμήν.
Μὴ ψεῦσον ὦ Ζεῦ τῆς ἐπιούσης ἐλπίδος.

MN. Animæ autem multæ propter me in Scamandrijs
Fluentis perierunt. MVL. Utinam verò tu quoque.
MN. Et ego quidem hic sum, miser verò maritus
Meus Menelaus nondum accedit.
Quid igitur amplius vivam cornorum improbitate?
Sed quasi blanditur quædam res cordi meo,
Ne frustreris ò Iupiter superventuræ spei.

BOVRDINVS. Νείλου.] ἐντεῦθεν ὁ Μνησίλοχος ὑποκρίνεται καὶ μιμεῖται τὴν καινὴν περὶ Ἑλένης τραγῳδίαν. μέμνηται δὲ Νείλου τοῦ Αἰγυπτίου ποταμοῦ ὅστις θαυμαστῶς πως κατακλύζει πᾶσαν τὴν Αἴγυπτον καὶ τὴν μαλακὴν εὐφορίαν τε παρέχει πρὸς τὸ καταβάλλεσθαι τὰ σπέρματα καὶ ἀροθῆναι. Καλλιπάρθενοι ῥοαί.] λαμπραὶ αἱ ῥοαὶ τοῦ Νείλου. Ος ἀντὶ Δίας.] τουτέστι οὐρανίας. Ψακάδος.] ἀντὶ τοῦ βρέγματος, σταλαγμοῦ, ὁ καταβαίνει ἐκ τοῦ πολλοῦ ὑετοῦ οὐρανίου. Νοτίζει.] κατακλύζει. Μελανοσυρμαῖον.] τουτέστι Αἰγύπτιον μέλανα καὶ συρμαϊζόμενον, τουτέστι καθαιρόμενον λαὸν Αἰγυπτίων. συρμαία δὲ ἦν ἔκπωμα καθαρτικὸν δι' ἐμέτων καὶ κοιλίας καὶ ἀγών τις ἦν ἐν Λακεδαίμονι ἔπαθλον ἔχων συρμαίαν ἥπερ ἦν βρωμάτιον διὰ στέατος καὶ μέλιτος. ἐλέγετο δὲ καὶ συρμαισμὸς, καὶ ἦν πρὸς κάθαρσιν πόμα δι' ὕδατος καὶ ἁλῶν. καὶ σύρμαις στρατιὰ ἐκαλεῖτο, ἢ τὰ συμψήματα καὶ φρύγανα σύρφεται, καὶ συλλέγεται καὶ συρμίον λάχανόν τι σελίνῳ ἐοικὸς, καὶ συρμὶς ἐν ξυλοπώλαις. Πανοῦργος.] κακοῦργος καὶ μιαρὸς ἡ γυνὴ αἰεὶ κατηγορεῖ τῆς κακίας καὶ πονηρίας τοῦ Μνησιλόχου. ἐκεῖνος δὲ ὡς ἄλλο τι πρᾶγμα μιμεῖται καὶ ὑποκρίνεται τὴν τραγῳδίαν τὴν περὶ Ἑλένης. Οὐκ αἰώνυμος.] εὐώνυμος. Ὤλεθρε.] ὦ λίθρε καὶ ἐπάρατε. Γυναικίσεως.] τῆς γυναικείας ψευδοῦς ποιήσεως, καὶ διαψευδοῦς μιμήσεως. Ψυχαί.] ἄνδρες δὲ πολλοὶ ἀπέθανον παρ' ὄχθαις καὶ ῥοαῖς Σκαμάνδρου. Ὤφελες.] εἴθε οὖν καὶ σὺ ἀπέθανες. Τῶν κοράκων πονηρίᾳ.] διὰ τὴν τῶν κοράκων πονηρίαν. εἶπε γὰρ ὄφελον με κατασπαράττεσθαι. Αἰκάλλει.] ἐπεγείρει, ἐποτρύνει, παραμυθεῖται τὴν ἐμαυτοῦ ψυχὴν, ἐμβάλλει τὴν ἐλπίδα. Ψεῦσον.] ἐξαπάτησον ἐμὲ καὶ ἐξέλου τὴν ἐπιοῦσαν ἐλπίδα. Ως Περσεύς.] Εὐριπίδης ὑποκρίνεται δὴ ὡς Μενέλαος προσφθεγγόμενος τὴν Ἑλένην.

BISETVS. Νείλου μὲν αἵδε.] ὁ Μνησίλοχος ἑαυτὸν Ἑλένην τοῦ Μενελάου γυναῖκα εἶναι σχηματίζεται, καὶ αὐτὴν λαλοῦσαν μιμεῖται ὅπερ καταμαθὼν ὁ Εὐριπίδης, καὶ αὐτὸς Μενέλαον ἑαυτὸν εἶναι προσποιεῖται ἵνα ταύτῃ τῇ τέχνῃ τὸν Μνησίλοχον ἐκ τῶν χειρῶν τῶν γυναικῶν ἐξέλοι. ταῦτα δὲ ἐκ τοῦ προλόγου τῆς Ἑλένης τοῦ Εὐριπίδου, ἐν ᾧ ψεκάδος γράφεται. ἀλλὰ ταῦτα μιμεῖται τοῦ ψακάδος. ὁ δὲ ἑξῆς στίχος οὕτω γράφεται,

Λευκῆς τακείσης χιόνος, ὑγραίνει γύας.

ἀντὶ δίας ψακάδος λέγει, ὅτι ἐν τῇ Αἰγύπτῳ ὁ Ζεὺς οὐχ ὕει, ἀλλ' ὁ Νεῖλος τῷ ἑαυτοῦ ὕδατι κατά τινας ἔτους ὥρας πλημμύρων πᾶσαν τὴν Αἴγυπτον βρέχει. Ἄλλως. ἡ γὰρ Αἴγυπτος κατ' ἔτος ὑπ' ὄμβροις, καὶ ὑετοῖς οὐρανίοις ἄρδεται, ἀλλὰ τοῦ Νείλου τῇ πλημμύρᾳ βρέχεται, καὶ τοῖς αὐτοῦ ἰλυώδεσιν ὕδασιν ὑγραίνεται, καὶ πιαίνεται. Λευκῆς νοτίζει.] Ἡσύχιος. λευκὴ, θάλασσα ἡ κατακλυζομένη. παραπλησίως οὖν καὶ τὸ λευκὴ τὸ τοῦ ποταμοῦ κατακλυζόμενον ὕδωρ ἐκ ἐπιθέτως σημαίνει. χαριέντως δὲ ταῦτα ἀλλήλοις ἀντιτίθεται, λευκὴ, καὶ μελανοσυρμαῖον. τὸ δὲ νοτίζειν, ὑγραίνειν, καὶ νότιος, ὑγρός. ὁ γὰρ Νότος, ἄνεμος τοιοῦτος διὰ τὴν νοτίαν, ἤγουν ὑγρασίαν, ἣν τῇ ἀέρι ἐπιφέρει. μελανοσυρμαῖον δὲ, περιφραστικῶς τοὺς Αἰγυπτίους, μέλανας ὄντας, καὶ συρμαῖ ὁμοίως οὕτω καλεῖ. συρμαία δὲ καθαρτικόν τι πόμα, ᾧπερ οἱ Αἰγύπτιοι χρῶνται. Σ. Ἑκάτην φωσφόρον.] οἱ ποιηταὶ τὴν Περσεφόνην τὴν Ἑκάτην, τὴν Φοίβην, τὴν Ἄρτεμιν, καὶ τὴν Εἰλείθυιαν τὴν αὐτὴν θεὸν εἶναι νομίζουσι. διὸ καὶ νῦν τὴν Ἑκάτην φωσφόρον καλεῖ. Ἐμοὶ δὲ γῆ μὲν.] ἐν τῷ τοῦ Εὐριπίδου Ἑλένης προλόγῳ ταῦτα οὕτως ἔχει,

> Ἡμῖν δὲ γῆ μὲν πατρὶς οὐκ ἀνώνυμος
> Σπάρτη. πατὴρ δὲ Τυνδάρεως. ἔστι δὲ δὴ
> Λόγος τις, ὡς Ζεὺς μητέρ' ἔπτατ' εἰς ἐμὴν
> Λήδαν, κύκνου μορφώματ' ὄρνιθος λαβών.

Τυνδάρεως.] ὃς καὶ Τυνδάρης λέγεται. υἱὸς Οἰβάλου. ὃς ἦρχε τῆς Λακεδαιμονίων. Φρυνώνδας.] ἐπὶ τῶν ἐπὶ πονηρίᾳ διαβεβοημένων, ὃς ξένος ὢν κατὰ τὰ Πελοποννησιακὰ διετέλεσεν Ἀθήνησιν. Ἀριστοφάνης Ἀμφιαράῳ,

> Ὦ μιαρὲ, καὶ Φρυνώνδα καὶ πονηρέ σύ.

ἐκ τούτου τοὺς πονηροὺς Φρυνώνδας καλοῦσιν. ἀκοήθης ὁ Φρυνώνδας. ἐστὶ καὶ πανοῦργος μαθεῖν τινας μηχανὰς πραγμάτων ἐπὶ κακοῖς ῥᾳδίως συντιθεὶς, ὥς φησιν Εὔδημος. καὶ αὖθις. ἀλλ' οἶμαι οὔτε Φρυνώνδας, οὔτε Εὐρύβατος, οὐδ' ἄλλος πώποτε τῶν πάλαι πονηρῶν τοιοῦτος μάγος, καὶ γόης. Σ. Ἑλένη δ' ἐκλήθην.] καὶ τοῦτο ἐκ τοῦ αὐτοῦ προλόγου. γυναικίσεις δὲ καλεῖ τὴν γυναικείαν μίμησιν. Ὤφελες δέ.] θανεῖν δηλονότι. οὕτω γὰρ τὸ ὤφελον συντάσσεται. ὤφελον ἐγὼ θανεῖν, ὤφελες σὺ θανεῖν, ὤφελεν ἐκεῖνος θανεῖν. Αἰκάλλει.] θωπεύει, κινεῖ, προτρέπεται. σαίνει. ὄνους. ἀλλ' ἔστι τι, ὃ τὴν μου καρδίαν πως θωπεύει, καὶ κινεῖ. Ἄλλως. ἔχω ἐλπίδα τινὰ, ἣ τὴν ἐμὴν καρδίαν θάλπει, θωπεύει, κινεῖ. ἀλλ' ὦ Ζεῦ μὴ ψεῦσον ἐμὲ τῆς ἐπιούσης ἐλπίδος, ἣν ἔχω.

ΕΥΡΙΠΙΔΗΣ ὡς ΜΕΝΕΛΑΟΣ. G

EVRIPIDES TANQVAM Menelaus.

Τίς τῶνδ' ἐρυμνῶν δωμάτων ἔχει κράτος

QVis harum occlusarum ædium habet imperium

Os

Ὅς τις ξένους δέξαιτο ποντίῳ σά-
λῳ
Κάμνοντας ἐν χειμῶσι καὶ ναυαγίαις.
Μν. Πρωτέως τάδ' ἐστὶ μέλαθρα. Εὐ. ποίου Πρω-
τέως;
Γυν. Ὦ τρισκακόδαιμον ψεύδεται νὴ τὼ
θεώ.
Ἐπεὶ τέθνηκε Πρωτέας ἔτη δέκα.
Εὐ. Ποίαν δὲ χώραν εἰσεκέλσαμεν σκά-
φει;
Μν. Αἴγυπτον. Εὐ. ὦ δύστηνος οἷ πεπλώκα-
μεν.
Γυν. Πείθει τί τῷ κακῶς ἀπολουμέ-
νῳ,
Ληροῦντι λῆρον Θεσμοφόρειον τουτο-
γί.
Εὐ. Αὐτὸς δὲ Πρωτεὺς ἔνδον ἔστ' ἢ 'ξώ-
πιος.
Γυν. Οὐκ ἔσθ' ὅπως οὐ ναυτιᾷς ἔτ' ὦ ξέ-
νε.
Ὅς τις ἀκούσας ὅτι τέθνηκε Πρωτέας,
Ἔπειτ' ἐρωτᾷς ἔνδον ἔστ' ἢ 'ξώπιος.
Εὐ. Αἰαῖ. τέθνηκεν. ποῦ δ' ἐτυμβεύθη τά-
φῳ;
Μν. Τόδ' ἐστὶν αὐτοῦ σῆμ' ἐφ' ᾧ καθήμε-
θα.
Γυν. Κακῶς ἄρ' ἐξόλοιο κἀξολεῖ γέ τοι
Ὅς τις γε τολμᾷς σῆμα τὸν βωμὸν κα-
λεῖν.
Εὐ. Τί δὲ σὺ θάσσεις τάσδε τυμβήρεις ἕ-
δρας
Φάρει καλυπτὸς ὦ ξένη. Μν. βιάζομαι
Γάμοισι Πρωτέως παιδὶ συμμῖξαι λέχος.
Γυν. Τί ὦ κακόδαιμον ἐξαπατᾷς αὖ τὸν ξέ-
νον.
Οὗτος πανουργῶν δεῦρ' ἀνῆλθεν ὦ ξένε
Ὡς τὰς γυναῖκας, ἐπὶ κλοπῇ τοῦ χρυσίου.
Μν. Βαΰζε τοὐμὸν σῶμα βάλλουσα ψό-
γῳ.
Εὐ. Ξένη τίς ἡ γραῦς ἡ κακορροθοῦσά σε.
Μν. Αὕτη Θεονόη Πρωτέως. Γυν. μὰ τὼ
θεώ.
Εἰ μὴ Κρίτυλλα γ' Ἀντιθέου Γαργηττό-
θεν;
Σὺ δ' εἶ πανοῦργος. Μν. ὁπόσα τοι βούλει
λέγε.
Οὐ γὰρ γαμοῦμαι σῷ κασιγνήτῳ ποτέ,
Προδοῦσα Μενέλαον τὸν ἐμὸν ἐν Τροίᾳ πόσιν,
Εὐ. Γύναι τί εἴπας. στρέψον αὐγὰς ὀμμά-
των.

A *Qui hospes exciperet hospitio marina agitatio-
ne fluctuum*
Laborantes in procella & naufragijs?
Mn. *Protei hæc sunt palatia.*
Ev. *Cuiúsnam Protei?*
Mvl. *O infelicissimum, mentitur per Cererem
& Proserpinam,*
Quoniam mortua est Proteas mulier annos iam
B *decem.*
Ev. *In quam autem regionem appulimus naui-
gio?*
Mn. *In Ægyptum.* Ev. *O infelicem me, quò naui-
gauimus?*
Mvl. *Credis ne aliquid male perdito*
Nuganti nugas? delubrum Cereris *hoc quidem
est.*
C Ev. *Ipse verò Proteus est, an externus & ab-
sens?*
Mvl. *Non est, quomodo non nauseam patiaris
adhuc ô hospes,*
*Quippe qui cùm audieris, quòd mortua est Pro-
teas.*
Deinde rogas, intus est, an absens?
Ev. *Heu heu, mortua est. vbi verò tumulata est
tumulo?*
D Mn. *Hoc est ipsius sepulchrum, in quo sedemus.*
Mvl. *Male quidem perdaris, & perderis qui-
dem,*
*Quippe qui audes sepulchrum, aram appella-
re.*
Ev. *Quid verò tu sedes hasce sepulchrales sedes*
Pallio tecto, ô hospita? Mn. *Coger*
Nuptijs Protei filio commiscere lectum.
E Mvl. *Quid ô miser decipis ipsum hospitem?*
Iste versutè se gerens huc ascendit ô hospes,
Ad mulieres ob furtum pecuniæ.
Mn. *Bauba meum corpus feriens vituperio.*
Ev. *Hospita, quænam est hæc anus vituperans
te?*
Mn. *Hæc Theonoe* Protei *filia.* Mvl. *Non per
Deas*
F *Sum Crisylla quidem loco dea Theonoes è Gar-
gete vico,*
Tu verò es scelestus. Mn. *Quæcunque quidem
vis, dic.*
Non enim nubam tuo fratri vnquam,
*Prodens ac destituens Menelaum meum in
Troia maritum.*
Ev. *Mulier, quid dixisti? conuerte aduersa acie
oculorum pupillas.*

G

Bourdinus. Ἑρμαίων δωμάτων.] τῆς προ-
ἰούσης τῶν δωμάτων ἀσφαλιζομένων. ἀπὸ τοῦ ἑρμηνεύω
ὅπερ σημαίνει ἀσφαλίζειν. Δέξαιτο.] ὑποδέξαιτο. Σά-
λῳ.] σαλεύματι, κύματι. Κάμνοντας.] κοπωθέντας,
ἀθλίως, ταραχθέντας τοῖς κύμασι, καὶ θαλασσίοις
κινδύνοις, καὶ τῷ μεγέθει τῶν κινδύνων ἀπει-
ρηκότας. Εἰσεκέλσαμεν.] ποῦ γῆς καὶ χώρας διὰ σκά-
φους εἰσωκείλαμεν, ἐπήλθομεν, καὶ προσώχθημεν. Ἀπο-
λουμένῳ.] διὰ τὴν αὐτοῦ πονηρίαν. Ναυτιᾷς.] ναυτιᾷν
δὲ κυρίως λέγεται τὸ ἐν νηὶ ἐμεῖν, ἀντὶ τοῦ παραφρονεῖς καὶ
παρανοεῖς. Ἐτυμβεύθη.] ἐτάφη. τύμβος γὰρ τάφον σημαί-
νει, ἀπὸ τοῦ τύφεσθαι, τουτέστι καίεσθαι. καὶ γὰρ οἱ παλαιοὶ

τὰ τῶν τεθνεώτων σώματα ἐκαίοντο, καὶ τὰ λείψανα τῶν καυθέντων διεσώζετο. Σῆμα.] μνημεῖον, τάφος καὶ τύμβος. Θάσσεις.] κάθησαι. Τυμβήρεις ἕδρας.] τὰς τυμβώδεις ἕδρας. Φάρει καλυπτός.] περικεκαλυμμένη, ἠμφιεσμένη τῷ φάρει. φάρος δὲ σημαίνει τὸ ἱμάτιον, καὶ περιβόλαιον, ἀπὸ τοῦ φέρεσθαι, ἢ τῇ ὑφῇ ἀρηρέναι. λέγεται δὲ κυρίως ἐπὶ γυναικός. Συμμῖξαι λόγος.] τουτέστι συμμιγῆναι καὶ συγγενέσθαι. Πανοῦργος ὤν.] ὁ πανοῦργος προσποιούμενος καὶ πανοῦργος νομιζόμενος. Ἐπὶ κλοπῇ τοῦ χρυσίου.] ἐπὶ τὸ κλέπτειν καὶ ὑφαρπάζειν τὸ χρυσίον. Βαΰζει.] ἐστὶ φωνὴ τοῦ ὑλακτοῦντος καὶ ἀσαφῶς λέγοντος. βαΰζειν γὰρ σημαίνει ὑλακτεῖν καὶ ἀσαφῶς λέγειν. Κάλλυνε ψόγῳ.] ψέγουσα τὸ ἐμὸν σῶμα. Κακορροθοῦσα.] κακολογοῦσα, κακηγοροῦσα, λοιδοροῦσα, ὑβρίζουσα. ῥοθιάζειν δὲ κυρίως σημαίνει τὸ ἀθρόως καὶ μετὰ κτύπου φωνῆς ὁρμᾶν, καὶ ἐσθίειν, ἢ διαλέγεσθαί τε, ἢ ποιεῖν τι ἄλλο. λέγεται δὲ καὶ περὶ τῶν ἐρετῶν εὐτόνως ἐρεσσόντων. ῥόθιον γάρ ἐστι τὸ κῦμα μετὰ ψόφου ῥέον καὶ ἤχου ὁρμητικῶς τε καὶ ὀξυρρόπως. παρὰ τὸν ῥόθον τὸν ἐκ τῶν κωπῶν ἀκουόμενον ὅταν σφοδρῶς ἐλαύνωσι. Γήμασθαι] ἐκγημάσθαι γυναῖκα. Ἀνταυγεῖς κόρας.] τουτέστι τὰς ἀντιπροσώπους σου κόρας μοι στρέψον καὶ περίστρεψον. ἀνταυγεῖν γὰρ λέγονται τὰ ἀντίας αὐγὴν ἀποδιδόντα καὶ ἀνταυγάζοντα ὥσπερ ἐγράφη παρὰ τῷ Πολυβίῳ, καὶ δι' ἀνταύγειαν χιόνος καὶ σκληρότητα τῆς ἀναβαλλομένης ἀνακλάσεως ἐφθείροντο, τουτέστι διὰ τὴν λαμπρότητα καὶ ἐναντίαν αὐγὴν ἀντικλασθεῖσαν. καὶ ἀνταυγάζειν λέγεται τὸ ἐναντίως αὐγὰς παρέχειν καὶ ἀποδιδόναι.

BISETVS. Τίς τῶνδ' ἐρυμνῶν.] Εὐριπίδης, ὡς προείρηται, προσποιούμενος εἶναι Μενέλαος, ὡς ξένος χειμῶνι καὶ ναυαγίαις πονούμενος προσέρχεται, καὶ ταῦτα λέγει, τίς τῶνδ' ἐρυμνῶν, καὶ τὰ ἑξῆς. ἔστι δὲ ὁ στίχος ἐκ τῆς Εὐριπίδου Ἑλένης. ὁ δὲ Μνησίλοχος, ὡς ἤρχετο, τὴν Ἑλένην μιμούμενος αὐτῷ συνᾴδει καὶ συμφωνεῖ. καὶ τέλος ἀλλήλους ἀναγνωρίζοντες εἰς ἓν συνέρχονται, καὶ χαρᾶς ἐμπλήρεις διαλέγονται. ἐν τούτῳ δὲ ἡ γυνὴ ἡ τὸν Μνησίλοχον φυλάσσουσα τοὺς αὐτῶν λόγους διακόπτουσα ψευδολογίας, καὶ φλυαρίας εἶναι φησί. ταῦτα δὲ πάντα προσποιήσεως, καὶ θαυμαστοῦ μεστά, τὰς θεσμοφοριαζούσας γυναῖκας ἐξαπατᾶν, καὶ δολίως ἐκ τῆς αὐτῶν φυλακῆς ἐκφυγεῖν. πότε δέ, καὶ πῶς ἡ Ἑλένη εἰς Αἴγυπτον ἦλθε, δῆλον ἐκ τῆς Ἑλένης Εὐριπίδου. Ἐρυμνῶν.] Ἡσύχιος. ἐρυμνόν, ἰσχυρόν, μέγα, ὑψηλόν, καὶ ὀχυρόν. οὗ ταχέως οὐδεὶς ἐπιβαίνει. ἢ σκοτεινόν. Πρωτέως τάδε.] ὁ ποιητὴς παίζων πρὸς τὸ Πρωτέως ὄνομα παρεισάγει τὴν γυναῖκα ἐπιφέρουσαν τό, Πρωτέας τέθνηκε. καὶ τὸ μὲν εὐθεῖαν ἔχει Πρωτεύς, τὸ δέ, Πρωτέας. Εἰσκέλσαμεν.) εἰσκέλλειν παρὰ τὴν πρόθεσιν εἰς, καὶ τὸ κέλλειν. οὗ ὁ μέλλων κελῶ, ὡς στέλλω, στελῶ. αἰολικῶς δὲ κέλσω. ὡς φθείρω, φθερῶ, καὶ αἰολικῶς φθέρσω. ὁ ἀόριστος α. ἔκελσα. κέλλειν δὲ κατὰ τὸν Ἡσύχιον, τὸ εἰς γῆν ἐπιθεῖναι τὴν ναῦν, καὶ ἐξοκέλλειν. εἰσεκέλσαμεν οὖν, ἐνελιμενίσαμεν, προσωρμίσαμεν. Θεσμοφόρειον τουτί)

A τουτὶ Ἀττικῶς ἀντὶ τοῦ τοῦτο. τὸ δὲ Θεσμοφόρειον, ὁ τῆς Θεσμοφόρου Δήμητρος ναός, ἐν ᾧ τὰ Θεσμοφόρια ἐτελεῖτο. οὐδετέρως δὲ λεχθείη, ὡς τὸ Ἡραῖον ὁ τῆς Ἥρας ναός. Ἠξόπιος.) τὸ πλῆρες, ἢ ἐξώπιος. τουτέστιν ἀπών, ἐξώπιος, ὁ ἔξω τοῦ ὠπός, ὁ ἔξω τῆς ὄψεως. ὁ πόρρω τῶν ὀφθαλμῶν, καὶ τῆς ὄψεως. τούτῳ δὲ ἐναντίον τὸ ἐνώπιος, ὁ παρών, καὶ ἐν ὄψει ὤν. Φάρει καλυπτός.) φάρος, ἱμάτιον, περιβόλαιον. ἀπὸ τοῦ φέρεσθαι. ἢ τῇ ὑφῇ ἀρηρέναι. λέγεται δὲ ἐπὶ γυναικός. Σ. Ἄλλως. φᾶρος μανδυοειδές τι περίβλημα, οὐ διπλοῦν, ἀλλ' ἁπλοῦν. καὶ φᾶρος, τὸ ἁπλῶς ὕφασμα, εἴτουν ἱμάτιον.
B παρὰ τὸ ὑφῇ ἀρηρέναι, ἢ καὶ προσθέσει τοῦ α διὰ τὴν συναίρεσιν Εὐστάθιος. εὑρίσκεται μέν τοι καὶ φάρος παροξυτονούμενον, καὶ τὸ φα συστελλόμενον, ὡς παρὰ τῷ Ἀπολλωνίῳ τῶν Ἀργοναυτικῶν Γ.

Λυγαίῃ ἐνὶ νυκτὶ σὺν ὀρφναίοις φαρέεσσι,

τοῦ δὲ προσθέσει τοῦ α μέν ου παράδειγμα ἔχεις παρ' Ὁμήρῳ. Ιλ. Β.

Ἕζετο δ' ὀρθωθείς. μαλακὸν δ' ἔνδυνε χιτῶνα,
Καλόν, νηγάτεον. περὶ δ' αὖ μέγα βάλλετο φᾶρος.

C Ἀλλαχοῦ δὲ ὁ φάρος ὀξυτόνως ἀρσενικῶς, κύριον ὄνομα τοῦ ναυκλήρου τοῦ ἐξελομένου τὴν Ἑλένην ἐκ τῆς Πρωτέως φυλακῆς πρὸς τὸ ἀποκαταστῆσαι αὐτὴν εἰς Λακεδαίμονα· καὶ νῆσος Αἰγύπτου ἀπ' ἐκείνου ὀνομασθεῖσα, ὅτι ὑπ' ὄφεως δηχθεὶς, καὶ θανὼν ἐν αὐτῇ ἐτάφη. Εὐστάθιος. Ἄλλως, Φάρος, νῆσος ἐν τῇ Ἀδρίᾳ ποταμὸν ὁμώνυμον ἔχουσα. ἔστι δὲ κτίσμα Παρίων, ὡς Ἔφορος λέγει. ἔστι καὶ πόλις Ἰλλυρίας, ὡς Πολύβιος γ. ἔστι καὶ νῆσος πρὸ τῆς Ἀλεξανδρείας ἐφ' ἧς ὁ Σωστράτου τοῦ Δεξιφάνους πύργος, ὁμωνύμως λεγόμενος Φάρος, παρὰ τὸ φαίνεσθαι αὐτὴν πρὸ τῆς
D Αἰγύπτου. ἢ ἐπὶ τοῦ πυρὸς τοῦ πόρρω τοῖς πλέουσι φαινομένου, ὅτι τοῖς πλέουσι φῶς ἀνάπτειν εἰώθασιν, ὥσπερ καὶ νῦν ἐν πλείστοις τόποις ἐστὶν ἐν χρήσει. σημειωτέον δὲ ὅτι κατὰ τὸ μέγα Ἐτυμολογικόν, φάρος, εἰ μὲν ἀρσενικῶς, σημαίνει τόπον. εἰ δὲ θηλυκῶς τὴν πόλιν. εἰ δὲ οὐδετέρως, τὸ ἱμάτιον. Κακορροθοῦσα.] ῥόθος κυρίως ἦχος ὁ ἐκ τῶν κωπῶν ἀκουόμενος, μεταφορικῶς, θόρυβος, καὶ ῥόθιον λέγεται κῦμα τὸ κατατεταγμένον τῇ ῥοῇ, καὶ ἁπλῶς τὸ κῦμα, καὶ ἡ σφοδρὰ τῶν κωπῶν κίνησις, παρὰ τὸν ῥόθον τὸν ἐκ
E τῶν κωπῶν ἀκουόμενον. ὅθεν ῥοθεῖν παρὰ τῷ Ἡσυχίῳ, ὁρμᾶν, τρέχειν, λέγειν, διώκειν, καὶ τὸ σύνθετον κακορροθεῖν, κακολογεῖν, καὶ μετ' ὀργῆς λοιδορεῖν καὶ ὑβρίζειν. καὶ ῥοθιάζειν, ἐλαύνειν, ἀπὸ τοῦ ψόφου τῆς εἰρεσίας. οἱ δὲ ἀνακοπὴν τοῦ ὕδατος ῥόθον φασί. καὶ ῥόθιον ῥεῦμα κῦμα τὸ μετὰ ψόφου γινόμενον. καὶ ῥόθιον, ταχύ, ὁρμητικόν. Ἡσύχιος. Θεονόη δὲ τοῦ Πρωτέως, δηλονότι θυγάτηρ. Εἰμὶ Κριτύλλα.) ὡς οὐκ εἰμὶ Θεονόη, ἀλλὰ Κριτύλλα ἡ τοῦ Ἀντιθέου τοῦ Γαργηττίου θυγάτηρ. Ἀντίθεος ἐνταῦθα κύριον ὄνομα, ὡς καὶ τὸ Κριτύλλα. Γαργηττὸς
F δὲ πόλις καὶ δῆμος τῆς Αἰγηΐδος φυλῆς. ὁ δημότης, Γαργήττιος καὶ τὸ ἐπίρρημα ἐκ τόπου, Γαργηττόθεν, Στέφανος. Ἀνταυγεῖς κόρας.) τὰς σὰς κόρας ἀντιπροσώπους μοι στρέψον. Σ.

Μν. Αἰσχύνομαί σε τὰς γνάθους ὑβρισμένος.

Εὐ. Τουτὶ τί ἐστιν; ἀφασία τίς μ' ἔχει.

Ὦ θεοί, τίν' ὄψιν εἰσορῶ; τίς εἶ, γύναι;

Μν. Σὺ δ' εἶ τίς; αὐτὸς γάρ σε κἄμ' ἔχει λόγος.

Εὐ. Ἑλληνὶς εἶ τις, ἢ 'πιχωρία γυνή;

MN. Erubesco, te maxillas iniurijs affecta.

EV. Hoc quid est? Silentium quoddam ac stupor me habet.

G *O Dij quamnam faciem video, quaenam es mulier?*

MN. Tu verò quisnam es? eadem enim te & me habet oratio.

EV. Graecanica es aliqua, an indigena mulier?

Μν. Ἑλ-

Μν. Ἑλληνίς. ἀλλὰ καὶ τὸ σὸν θέλω μαθεῖν.

Ευ. Ἑλένησ' ὁμοίαν δὴ μάλιστ' εἶδον γυναῖ.

Μν. Ἐγὼ δὲ Μενέλαον ὅσα γ' ἐκ τῶν ἀφύων.

Ευ. Ἔγνως ἄρ' ὀρθῶς ἄνδρα δυστυχέστατον.

Μν. Ὦ χρόνιος ἐλθὼν σῆς δάμαρτος ἐς χέρας.

Λάβε με. λάβε με πόσι.

Περίβαλλε δὲ χέρας.

Φέρε σε κύσω. ἄπαγέ μ' ἄπαγ' ἄπαγέ με.

Λαβὼν ταχὺ πάνυ. Γυν. κλαύσετ' ἄρα νὴ τὼ θεώ

Ὅστις σ' ἀπάξει τυπτόμενος τῇ λαμπάδι.

Ευ. Σὺ τὴν ἐμὴν γυναῖκα κωλύεις ἐμέ.

Τὴν Τυνδάρειον παῖδ' ἐπὶ Σπάρτην ἄγειν.

Γυν. Οἴμ' ὡς πανοῦργος καὐτὸς εἶναί μοι δοκεῖς.

Καί τοῦδέ τις ξύμβουλος. οὐκ ἐτὸς πάλαι

Ἠγυπτιάζετ'. ἀλλ' ὅδε μὲν δώσει δίκην.

Προσέρχεται γὰρ ὁ πρύτανις χ' ὁ τοξότης.

Ευ. Τουτὶ πονηρόν. ἀλλ' ὑπαποκινητέον.

Μν. Ἐγὼ δ' ὁ κακοδαίμων τί δρῶ. Ευ. μένε ἥσυχος.

Οὐ γὰρ προδώσω σ' οὐδέποτ' ἤνπερ ἐμπνέω,

Ἢν μὴ προλείπωσ' αἱ μυρίαι με μηχαναί.

Γυν. Αὕτη μὲν ἡ μήρινθος οὐδὲν ἔσπασεν.

A Mn. Gracanica, sed & tuum genus volo discere.

Ev. Helenæ te similem quidem maximè vidi mulier.

Mn. Ego verò Menelaum, quantum quidem colligere possum ex supercilijs.

Ev. Cognouisti igitur rectè virum infortunatissimum.

B Mn. O tardus, qui venisti tuæ vxoris in manus.

Apprehende, apprehende me ô marite,

Circumijceq; manus.

Age, te osculabor. abduc me, abduc abduc me,

Apprehendens citò valde. Mvl. plorabis profectò,

Quicunq; te abducet verberatus face.

Ev. Tu meam vxorem prohibes me

Tyndaream filiam in Spartam ducere?

C Mvl. Hei mihi, quàm versutus & tu esse mihi videris.

Et huiusce aliquis socius consiliorum. non temerè dudum

De Ægypto multa dicebatis sed hic quidem dabit pœnas,

Accedit enim consul & satelles.

Ev. Hoc malum est, sed latenter discedendum.

D Mn. Ego verò infelix quid faciam? Ev. mane quietus:

Non enim prodam te vnquam, si modò spirauero & vixero,

Nisi destituerint infinitæ me machinationes.

Mvl. Hic quidem funis piscatorius nihil traxit.

Bovrdinvs. Αἰσχύνομαι] ἐρυθριῶ. Ὑβρισμένας τὰς γνάθους] τουτέστι τὰς γνάθους ὑβρισμένας καὶ προσπλακιζομένας ἔχουσα. Ἀφασία] τουτέστιν ἀφωνία, E σιωπὴ, δυσχέρεια τοῦ εἰπεῖν. ἢ λέγειν τι ὑπὸ τῆς αἰσχύνης καὶ ἐρυθριάσεως. Αὐτὸς γάρ] ταυτὸ γὰρ δεῖ ἀποκεῖσθαι ἡμῖν ἀμφοῖν. Ἐπιχωρία] ἐκ ταύτης τῆς χώρας καὶ πατρίδος. Τὸ γένος] ἡμῶν καὶ τὴν σὴν πατρίδα. Ὅσα γε ἐκ] ἐφ' ὅσον οἷόν τέ ἐστι γιγνώσκεσθαι. Ἐκ τῶν ἀφύων] ὀφρύων. Περίβαλλε] ἀμφίβαλλε καὶ περικύκλωσον τὰς χεῖρας. ἐν τούτῳ ἡ γυνὴ αἰσθάνεται τῆς κακουργίας τοῦ Εὐριπίδου ἀπάξαι βουλομένου τὸν Μνησίλοχον. Πανοῦργος.] συμπανουργῶν ἐκείνῳ καὶ συμμηχανώμενος τὸ κακόν. Ἐτὸς] μάτην, ἄνευ F αἰτίας. Ἠγυπτιάζετο] περὶ τῶν Αἰγυπτίων πολλ' ἐλέγετο καὶ ἐματαιολογεῖτο. Πρύτανις] ὁ τιμωρήσων καὶ δίκην ληψόμενος τῆς τούτου μοχθηρίας. Ὑπαποκινητέον.) τουτέστι κατὰ μικρὸν δεῖ ἀπέρχεσθαι καὶ λάθρα, ὥστε ταύτην τὴν γυναῖκα μὴ αἰσθέσθαι. Ἥσυχος] ἀτρεμεῖ χ' ἡσύχαζε. Ἤνπερ.) τουτέστι ἕωσπερ ἐμπνέω, καὶ ζωὴν ἔχω, τουτέστι μέχρι θανάτου. τοῦτο γὰρ κοινῶς λέγεται. Προλείπωσι] ἐπιλείπωσι. Μηχαναί.) τέχναι τοῦ λάθρα ἀπέρχεσθαι. Μήρινθος.) ἔστι τὸ Σπάρτης σχοίνιον, δεσμὸς, βρόχος. ἐνταῦθα δὲ σημαίνει τὸ σχοίνιον ἀλιευτικόν. Ἔσπασεν.) καθεῖλκυσεν. αὕτη δὲ ἡ παροιμία λέγεται περὶ τῶν ἐπιχειρούντων τι ποιεῖν μετὰ σπουδῆς πολλῆς, ἀποτυγχανόντων δὲ, ὅπερ δὴ συμβαίνει τοῖς ἁλιεῦσι.

Bisetvs. Τὰς γνάθους ὑβρισμένη.) καὶ γὰρ ἀγωνίζομαι, G

-βιάζομαι

Γάμοισι Πρωτέως παιδὶ συμμῖξαι λέχος.

τοῦ οὖν ἐπιφέρει τὸ ὑβρισμένη, ὡς διὰ τὸ μὴ θέλειν τὸ ἐπιτατλόμενον ποιεῖν, ταύτην τὴν ὕβριν καὶ βίαν περὶ τὰς γνάθους δρυφθείσας, καὶ ἀμυχθείσας παθοῦσα. Ἀφασία.) ἀναυδία. σιωπή Ἡσύχιος. ὁ δὲ νοῦς οὗτος. ταῦτα ἀκούων, καὶ ὁρῶν, ὑπὸ θαυμασμοῦ τῶν παρὰ προσδοκίαν, ἐμοὶ συμβάντων, φάναι, τουτέστι φωνεῖν οὐ δύναμαι. Ὦ χρόνιος.) τούτων ὅδε ὁ νοῦς. ὦ φίλτατε πόσις χρόνιος ἐλθὼν ἐς χαρὰς τῆς σῆς δάμαρτος, τουτέστιν εἰς ἀπολαύσεις, εἰς ἡδονὰς, καὶ εὐφροσύνας, ἃς τῷ ἀνδρὶ ἡ φιλοῦσα, καὶ φιλουμένη γυνὴ τῇ ἑαυτοῦ παρουσίᾳ παρέχειν εἴωθε, λάβε με, λάβε με, καὶ τὰ ἑξῆς. δάμαρ δὲ, ἡ τῆς δάμαρτος, ἡ ἀνδρὶ συνεζευγμένη, καὶ δεδαμασμένη γυνή. παρὰ τὸ δαμάζεσθαι. χαρὰ δὲ, ἡδονὴ, εὐφροσύνη, ἀγαλλίασις, τέρψις, καὶ τῆς ψυχῆς διάχυσις. Ἡσύχιος. Σ. Εὐστ. τινὲς μέν τοι ἐς χέρας, οὐκ ἐς χαρὰς γράφουσιν. ἀλλὰ μηδὲν κίνει. Λάβε με.) ταῦτα τὰ δύο κῶλα, καὶ τὸ ἑξῆς ἐκ βραχειῶν συλλαβῶν ἐξεπίτηδες πεποιημένα δοκεῖ πρὸς τὸ δηλοῦσθαι τὴν ταχύτητα, ἣν ὑπερχαιρούσας γυναικὸς δεῖ θέσθαι, καὶ τὸ πάθος μᾶλλον πρὸ τῶν ὀμμάτων τεθεῖναι. ἀλλ' ἴσως βέλτιον ταῦτα οὕτω διορίζειν, καὶ γράφειν,

Λάβε με, λάβε με πόσι.

Περίβαλε δὲ χέρας.

Φέρε σε κύσω.

Ἄπαγέ μ'. ἄπαγ'. ἄπαγέ με.

Ὅμοιον τούτοις τὸ παρὰ Λαερτίῳ ἐν τῷ τοῦ Διογένους βίῳ.

Δυσάμμις ἄγε, λέγε, τίς ἔλαβέ σε μόρος;
Ες Λίδος ἔλαβέ με κιωὸς ἄγχιστ' ὀδ' λάξ.

οἱ δὲ ἑξῆς στίχοι εἰσὶν ἰαμβικοὶ τρίμετροι ἀκατάληκτοι λα. ὧν ὁ τελευταῖος,

Κ'οὐκ ἔστιν ἔτ' ἐλπὶς οὐδεμία σωτηρίας.

Οὐκ ἰδὼς.] οὐ μάτην. αἰγυπτιάζειν δὲ, τὸ πανουργεῖν. καὶ κακοτροπεύεσθαι. τοιοῦτοι γὰρ οἱ Αἰγύπτιοι. Σ. ἀλλ' ἴσως οὕτω τοῦτο βέλτιον ληφθείη. Οὐ μάτην σοι πανούργως ἐν ὑμῖν τὰ αὐτὰ περὶ τὸν Αἰγύπτιον πρότερον εἴρηται. Νεῖλος μὲν αἴδε. καὶ, Αἴγυπτος. καὶ τὰ ἑξῆς. τίνες δ' ἦσαν οἱ

A Πρυτάνεις, καὶ τίνες οἱ τοξόται ἤδη προείρηται. δρᾶ δὴ δράσω. Μέν' ἥσυχος] Εὐριπίδης αἰσθόμενος τὴν τοῦ Πρυτάνεως πάροδον ἀποχωρεῖ, τὸν Μνησίλοχον θαρσύνων, καὶ αὐτῷ μεγάλην ἐλπίδα τῆς αὐτοῦ προστασίας, καὶ βοηθείας παρέχων. καὶ οὐ πρὶν αὐτὸν καταλείψειν λέγει, ἢ αὐτὸν ὑπὸ τῶν δόλων, καὶ τεχνῶν συνήθων καταληφθῆναι. Αὕτη μὲν ἡ μήρινθος] τοῦτο λέγεται ἐπὶ τῶν ἐπιχειρούντων, καὶ ἀποτυγχανόντων. ἀντὶ τοῦ, αὕτη ἡ μηχανὴ οὐδὲν ἤνυσεν. διὰ μεταφορᾶς τῶν σχοίνοις θηρευόντων, ἢ ἁλιευόντων. μήρινθος

B δὲ, σπάρτος, ἤτοι σχοινίον, δεσμὸς, βρόχος. Σ. Εὐς.

ΠΡΥΤΑΝΗΣ, ΜΝΗΣΙΛΟΧΟΣ.

Πρ. Ὅδ' ἔσθ' ὁ πανοῦργος. ὃν ἔλεγεν ἡμῖν Κλεισθένης.
Οὗτος. τί κύπτεις; δῆσον αὐτὸν εἰσάγων.
Ω τοξότ' ἐν τῇ σανίδι κᾆπειτ' ἐνθαδὶ
Στήσας φύλαττε. καὶ προσιέναι μηδένα
Εα πρὸς αὐτόν. ἀλλὰ τὴν μάστιγ' ἔχων
Παῖ' ἣν προσίῃ τις. Γυν. νὴ Δί' ὡς νυνδὴ γ' ἀνὴρ
Ὀλίγου μ' ἀφείλετ' αὐτὸν, ἱστιορράφος.
Μν. Ω Πρύτανι. πρὸς τῆς δεξιᾶς ἥνπερ φιλεῖς
Κοίλην προτείνειν ἀργύριον ἤν τις διδῷ,
Χάρισαι βραχύ τί μοι καίπερ ἀποθανουμένῳ.
Πρ. Τί σοι χαρίσωμαι. Μν. γυμνὸν ἀποδύσαντά με
Κέλευε πρὸς τῇ σανίδι δεῖν τὸν τοξότην.
Ινα μὴ κροκωτοῖς καὶ μίτραις γέρων ἀνὴρ
Γέλωτα παρέχω τοῖς κόραξιν ἑστιῶν.
Πρ. Εχοντα ταῦτ' ἔδοξεν τῇ βουλῇ σε δεῖν,
Ινα τοῖς παριοῦσι δῆλος ᾖς πανοῦργος ὤν.
Μν. Ιατταταιάξ ὦ κροκώθ' οἷ' εἴργασαι.
Κ'οὐκ ἔστιν ἔτ' ἐλπὶς οὐδεμία σωτηρίας.

PRYTANIS, MNESILOCHVS.

PR. *Hic est maleficus, quem dicebat nobis*
C *Clisthenes.*
Heus tu quid fugitas? liga ipsum introducens
O lictor in asfere, & deinde hic
Constituens custodi, & accedere neminem
Sine ad ipsum sed flagellum habens
Feri, si accesserit aliquis. MVL. *Per Iouem rectè*
facis, quoniam nunc certè vir
Ferè mihi abstulit ipsum,
D *Vela & fraudes suens.*
MN. *O Prytani per dexteram, quam quidem soles*
Concauam porrigere, pecuniam si quis dederit,
Gratificare, & concede paruam quandam rem mihi quanquam morituro.
PRY. *Quid tibi gratificabor?* MN. *Nudum exuentem me*
E *Iube ad tabulam vincire satellitem,*
Vt ne crocotulis & mitris senex vir
Risum præbeam, coruis conuiuium exhibens.
PRY. *Habentem hæc visum est Senatui te ligari,*
Vt præsentibus manifestus sis maleficus existens.
MN. *Papæ ô Crocotula, qualia fecisti?*
Et non est amplius spes vlla salutis.

F

Bovrdinvs. Πρύτανις.] ὁ Πρύτανις πάρεστι δίκην ληψόμενος τῆς ἀδικίας τοῦ Μνησιλόχου. Ελεγεν.] ἀνήγγειλεν. Κύπτεις.] ἀνακύπτε, ἵνα μή τίς σε ἐπίδοι. Εν σανίδι] ἐν θύρᾳ. σανίδας γὰρ θύρας λέγουσι. καὶ σανὶς παρ' Αθηναίοις ἐκαλεῖτο λεύκωμα, ἐν ᾧ αἱ γραφαὶ Αθήνησιν ἐγράφοντο πρὸς τοὺς κακούργους. λέγεται δὲ καὶ ἐπὶ τοῦ ταύρου. Φύλαττε] φύλαξον. μὴ προσίῃ μηδείς. Πρὸς αὐτὸν] χ' ἵνα μὴ ἐξέλθῃ. Μαστιγ' ἔχων] μαστιγοφορῶν. Ιστιορράφος] ὁ πανοῦργος. μεταφορὰ δὲ ἀπὸ τῶν τὰ ἄρμενα ῥαπτόντων. καὶ γὰρ Αἰγύπτιοι λινοποιοί εἰσι καὶ ἱστίων συρράφεις. Προτείνειν] προβάλλεσθαι κοίλην, ἵνα μὴ ἀργύριον ἐξέλθῃ. καὶ γὰρ σφίγξις τῆς χειρὸς τὸ διδόμενον καὶ περιεχόμενον φυλάττει. Χάρισαι.] δώρησόν τι μοὶ χαριζόμενος. Κροκωτοῖς.] κρόκωτος εἶδος χιτῶνος καὶ ἐνδύματος ἐγκυκλίου. Μίτραις] μίτρα διάδημα ἢ ζώνη. ταῦτα δὲ εἴδη ἐσθήτων ἐστὶν ἁρμόζοντα ταῖς γυναιξὶν οὐ ταῖς ἀνδράσι. Γέλωτα παρέχω] γελοῖος ὦ. Εστιῶν] τὴν βορὰν παρέχων. Δῆλος ᾖς.] καὶ γὰρ αὐτὴ ἦν γνώμη παλαιῶν ἐν τῇ τιμωρίᾳ, τὸ δεῖν τιμωρεῖσθαι τὸν ἄδικόν τι πράξαντα, οὐ διὰ τὸ πρᾶγμα καὶ ἀδίκημα πραχθὲν, ὅπερ ἐστὶν ἀνίατον, ἀλλὰ ἐπὶ τῷ ἐκπλῆξαι τοὺς ἄλλους, ἵνα μὴ τοιοῦτόν τι ἁμαρτάνωσιν ὥς φησιν ὁ Πλάτων ἐν νόμοις. Ιατταταιάξ] σχετλιαστικὸν ἐπίρρημα. Κροκῶθ.] γυναικεῖον ἔνδυμα. Οὐκ ἔστιν ἐλπὶς] ἀνέλπιστος δ' ἐστὶν ἡ σωτηρία.

Bis. Ὅδ' ἔσθ' ὁ πανοῦργος] ὁ Πρύτανις ὑπὸ Κλεισθένους κληθεὶς ἔρχεται, καὶ τὸν Μνησίλοχον ἐν σανίδι δεσμευθέντα φυλάττεσθαι κελεύει. Πρύτανις δὲ διοικητής. προστάτης. φύλαξ. βασιλεύς. ἄρχων. ταμίας. ἔξαρχος. Σ. κύπτεις δὲ, καὶ κύπτεις, ἑαυτὸν κλίνεις. Ησύχ. Εν τῇ σανίδι.] σανὶς, οἱ μὲν τὰ νῦν, παρὰ τὸ τετάσθαι. ἐπιμήκες ξύλον. νῦν δὲ κυρίως σανὶς λέγεται ἐν ᾗ τοὺς κακούργους δεθέντας ἐφύλαττον, καὶ ἐν ᾗ τὰς δίκας ἐχάραττον.

Εὐς.

πύστ. ἀλλαχοῦ δὲ σανίς, θύρα, καὶ λεύκωμα, ἐν ᾧ αἱ γραφαὶ Ἀθήνησιν ἐγράφοντο πρὸς τοὺς κακούργους. Ἡσύχιος. καὶ σανίδες, ἐν αἷς ἐγράφοντο οἱ ὀφείλοντές τι, καὶ οἱ ἠδικηκότες τι. Β. Μ. Ὡς νεῶ δ' ἐπ' ἀνήρ.] ἀνήρ, Εὐριπίδης δηλονότι, ὁ προσποιούμενος εἶναι Μενέλαος τῆς Ἑλένης πόσις. αὐτῷ δὲ, τὸν Μνησίλοχον, τὸν σχηματιζόμενον εἶναι Ἑλένην. ὀλίγον δὲ, χεῖλον, μονονουχί. ἱστιορράφος δὲ, πανοῦργος, ἀπὸ μεταφορᾶς τῶν τὰ ἄρμενα ῥαπτόντων. καὶ Αἰγύπτιοι A δὲ λινοποιοί εἰσι. Σ. Τοῖς κόραξιν ἑστιᾶν.] τουτέστιν ἑστίασιν παρέχων. ἑστιᾶν, θοίνας ποιεῖν, τρέφειν. ἑστιᾶσθαι, τρέφεσθαι, εὐωχεῖσθαι. σημείωσαι δὲ τὸ ἑστιᾶν νῦν μετὰ δοτικῆς λαμβάνεσθαι ἀντὶ τοῦ ἑστίασιν, καὶ εὐωχίαν παρέχειν. ὅπερ σπανιώτατον. Ἰαππαπαιάξ.] ἐπίρρημα σχετλιαστικόν. ὅπερ ἀλλαχοῦ ἰατταταιὰξ γράφεται. ὦ κρόκωθ' οἷ' εἴργασαι, τὸ πλῆρες, ὦ κροκωτὲ οἷα εἴργασαι. ἀπὸ δὲ τοῦ κροκωτοῦ ἐν τοῖς ἄνω εἴρηται.

B

ΣΤΡΟΦΗ.

Χο. Ἄγε νῦν ἡμεῖς παίσωμεν ἅπερ νόμος ἐνθάδε
Ταῖς γυναιξίν,
Ὅταν ὄργια σεμνὰ θεαῖν ἱεραῖς ὥραις ἀνέχωμεν ἅπερ καὶ
Παύσων σέβεται καὶ νηστεύει.
Πολλάκις αὐταῖν ἐκ τῶν ὡρῶν
Ἐς τὰς ὥρας ξυνεπευχόμενος
Τοιαῦτα μέλειν θάμ' ἑαυτῷ.
Ὅρμα, χώρει,
Κοῦφα ποσὶν ἄγ' ἐς κύκλον,
Χειρὶ σύναπτε χεῖρα, ῥυθμὸν χορείας
Ὕπαγε πᾶσα. βαῖνε καρπαλίμοιν ποδοῖν,
Ἐπισκοπεῖν δὲ πανταχῇ
Κυκλοῦσαν ὄμμα χρὴ χοροῦ κατάστασιν.
Ἅμα δὲ καὶ
Γένος ὀλυμπίων θεῶν
Μέλπε καὶ γέραιρε φωνῇ πᾶσα χορομανεῖ τρόπῳ.
Εἰ δέ τις
Προσδοκᾷ κακῶς ἐρεῖν
Ἐν ἱερῷ γυναῖκά μ' οὖσαν ἄνδρας,
Οὐκ ὀρθῶς φρονεῖ.
Ἀλλὰ χρή,
Ὥσπερ ἔργον αὖ τι καινόν.

CONVERSIO.

CH. *Age, nunc nos feriamus terram, & tripudiemus, quæ quidem lex hic est*
Mulieribus,
Cum Orgia veneranda dearum Cereris & Proserpinæ sacris temporibus celebrauerimus.
Quas quidem sacras saltationes etiam
C *Pauson colit, & ieiunat*
Sæpenumero vnà cum ipsis ex temporibus,
In tempora simul precans,
Talia tripudia curæ esse frequenter sibiipsi.
Incita te, procede.
Leuiter pedibus duc te in orbem.
Manus coniunge manum, rhythmum choreæ
Subduc vnaquaque, incede celeribus pedibus.
D *Explorare autem, quamcunque in partem*
Voluentem oculum oportet choreæ constitutionem & ordinem:
Simul autem &
Genus cælestium Deorum
Cane, & venerare voce vnaquaque tripudiatorio furentiq; more.
Siverò aliquis
Sperat maledicturam
E *In templo hoc mulierem me existentem viris,*
Non rectè sentit.
Sed oportet
Quasi rem rursus quondam nouam

BOURDINUS. Ὄργια] μυστήρια ἱερά. ὀργιάζειν, θύειν, καὶ τελετὴν τελεῖν. Παύσων.] ὄνομα πένητος. ἦν δὲ καὶ ζωγράφος τις, ὅστις ἐπὶ πενίᾳ διετεθρύλλητο. Νηστεύει.] ἀσιτεῖ. Σύναπτε] συνέγγιζε. Τὴν χεῖρα.] τῇ χειρὶ συμβάλλε. Καρπαλίμοιν.] ταχεῖσι F καὶ μετὰ ποδῶν ἐλαφρότητος ὀξύτητός τε. Κυκλοῦσαν.] ὄψιν περιφέρουσαν ὄμματά τε περιστρέφουσαν. Γέραιρε.] σέβου. Χορομανεῖ.] μαινομένῳ τρόπῳ. ἐπιμανεῖ τε τῆς χορεύσεως.

BISETUS. Ἄγε νῦν ἡμεῖς] στροφὴ τοῦ χοροῦ ᾄδοντος, καὶ ὀρχουμένου κατὰ ἔθος τὸ τῶν κωμῳδιῶν. ἐν τούτῳ δὲ ὁ Μνησίλοχος ἐδεσμεύετο. εἰσὶ δὲ στίχοι μικτοὶ ιϛ΄. ὧν ὁ τελευταῖος Εὐπίταλος ἔλικι θάλλει. παίσωμεν, τὴν γῆν, εἴτε τὴν χθόνα δηλονότι. τοῦτο γὰρ ἐλλειπτικῶς εἴρηται· οἱ G δὲ ὀρχούμενοι τὴν γῆν ποσὶ παίειν εἰώθασι. παίσωμεν τοίνυν, τουτέστι χορεύσωμεν. παίειν χθόνα, χορεύειν. Ὅμηρ. Ὀδ. θ. Ἀλλ' ἄγε Φαιήκων βητάρμονες ὅσσοι ἄριστοι, Παίσατε. Εὐσταθ. τινὲς τὸ παίσατε, ἀντὶ τοῦ τύψατε, ὅ ἐστιν ὀρχηστικῶς κρούσατε τὴν γῆν καὶ κάτω. τὸ παίσατε δηλοῖ ἐλλειπτικῶς τὸ τύψατε ποσὶ τὴν γῆν. Ἅπερ καὶ Παύσων] ἅπερ ὄργια, ἃ μυστήρια, ἃς Δήμητρος καὶ Κόρης τελετὰς καὶ ὁ Παύσων σέβει. καὶ μείζονος εὐσεβείας χάριν νηστεύει, οὐκ ἐσθίει, τροφὴν οὐ λαμβάνει, σιτίων, καὶ τροφῆς ἀπέχεται, ἵνα ῥᾷον καὶ εὐσεβέστερον τὰ τοιαῦτα ὄργια τελοίη. τοῦτο δὲ ἐν τοῖς κάτω δηλοῦται. Παίσωμεν αἱ γυναῖκες οἷάπερ νόμος, νηστεύομεν δὲ πάντως. κωμικῶς δὲ τὸν Παύσωνα σκώπτων ταῦτα λέγει. οὗτος γὰρ καὶ ἐν Πλούτῳ ἐπὶ πενίᾳ κωμῳδεῖται. ὅθεν καὶ ἡ παροιμία, Παύσωνος πτωχότερος. σέβεται δὲ, σέβει. αὐταῖν σὺν αὐταῖν, ἔστι γὰρ ἔλλειψις τῆς σὺν προθέσεως. θαμὰ δὲ, συνεχῶς, πυκνῶς, διηνεκῶς. Σ. Κοῦφα ποσὶν] ὀρχήσεως, καὶ εὐρύθμου χορείας καλὴ περίφρασις, καὶ περιγραφή. κοῦφα δὲ, ἀντὶ τοῦ ἐπιρρήματος, κούφως, ἤγουν ἐλαφρῶς, γοργῶς, ταχέως. Καρπαλίμοιν.] καρπάλιμος, ταχύς. κυκλοῦσαν δὲ, στρέφουσαν. κυκλοῦν, στρέφειν. κυκλοῦν δὲ, περιλαμβάνειν, ὡς τοῖς παλαιοῖς σχολίοις εἰς Αἴαντα μαστιγοφόρον Σοφοκλέους γέγραπται. Χοροῦ κατάστασιν.] τοῦτο πρὸς τὸ ἐπισκοπεῖν δεῖ ἀναφέρειν. τοῦ δὲ χοροῦ κατάστασιν καλεῖ τὴν στάσιν, τὸν κόσμον, τὸν τρόπον, τὸ ἦθος, καὶ τὴν χορείαν, ἤγουν τὴν χοροστασίαν.

Γέραιρε.] τίμα, σέβε, δόξαζε. χορομανῆ δὲ πρότερον καλεῖ, καθ' ὃν ἐν τῷ χορεύειν δεῖ τὰς σωφρόνως ὀρχήσεις, ὁ χορεύων A μαίνεσθαί πως φαίνε). Χορομανὴς δὲ γὰρ γυναιμανὴς δεῖ τὰς γυναῖκας μαινόμενος.

Πρῶτον δ' εὐκύκλου χορείας εὐφυῆ στῆσαι βάσιν.
Πρόβαινε ποσὶ, τὸν εὐλύραν,
Μέλπουσα, καὶ τὴν τοξοφόρον
Αρτεμιν ἄνασσαν ἁγνήν.
Χαῖρ' ὦ ἑκάεργε ὄπαζε δὲ νίκην.
Ηραν τε τὴν τελείαν
Μέλψωμεν. ὥσπερ εἰκός.
Η πᾶσι τοῖς χοροῖσιν ἐμ-
Παίζει τε, καὶ κλῇδας γάμου φυλάττει.
Ερμῆν τε Νόμιον ἄντομαι,
Καὶ Πᾶνα, καὶ Νύμφας φίλας.
Επιγελάσαι προθύμως
Ταῖς ἡμετέραισι χαρίεντα χορείαις.
Εξαιρε δὴ προθύμως
Διπλῆν χάριν χορείας.
Παίσωμεν ὦ γυναῖκες οἷ-
Απερ νόμος. νηστεύομεν δὲ πάντως.
Αλλ' εἶ' ἐπ' ἄλλ' ἀναστρέφου εὐρύθμῳ ποδί
Τόρευε πᾶσαν ᾠδήν,
Ηγοῦ δέ γ' ὧδ' αὐτός.

Primùm bene orbicularis, & rotundæ choreæ aptum ac concinnum constituere gressum.
Procede pedibus aurea lyra utentem, Apollinem
Canens, & arciferam
B *Dianam, reginam castam.*
Salue ô longè feriens Apollo, præbe autem victoriam,
Iunonemq́ perfectam.
Canamus quemadmodum operæ precium est,
Quæ omnibus choris
Colluditq́, & claues nuptiarum seruat.
Mercuriumq́ pastoralem precor,
Et Pana, & Nymphas charas
C *Arridere promptè*
Nostris lætatas choreis.
Extolle autem promptè
Duplicibus manibus choream:
Feriamus terram ô mulieres,
Quale quidem est institutum nostrum, ieiunemus autem prorsus.
Sed eia, ad alia genera saltationis converte te concinno pede:
D *Torna, & concinna totam cantilenam.*
Dux sis autem ita ipse.

Bourdinus. Εὐκύκλου χορείας.) τουτέστι τοῦ καὶ ἀξιοπρεπῶς χορευούσης. Εὐφυῆ.] ἁρμόζουσαν, ἐπιπρέπουσαν. Στῆσαι.] καθιστάναι. Εὐλύραν.] χρυσῆν λύραν ἔχοντα Ἀπόλλωνα. Ὄπαζε.] πάρεχε. Ἑκάεργε.] ἕκαθεν βάλλων, καὶ τοξεύων. Ἐμπαίζει.] ἀντιπαίζει, καὶ ἀναπηδᾷ. Κλῇδας.] κλεῖς γάμου διαφυλάττει. Νόμιον.] νόμιον φύλακα. Ἐπιγελάσαι.] ἐφηδεσθαι, ἐπιχαρῆναι. Προθύμως.] μετὰ πάσης προθυμίας. Ἄντομαι.] εὔχομαι. Διπλοῖν χεροῖν.] ὥστε μᾶλλον δεικνύναι τὴν προθυμίαν. καὶ γὰρ οἱ προθύμως ἐπαλλόμενοι δυαῖς χερσὶν ἐξαίρουσι τὴν χορείαν. Παίσωμεν.] τὸ δὲ στοιχεῖον ἐστὶν ἐμβόλιμον. Νηστεύομεν.] σωφρονῶμεν καὶ κοσμίως προσφερώμεθα κατὰ νόμους. Τόρευε.] τορῶς καὶ σαφῶς λέγε. τορεύειν δὲ κυρίως σημαίνει τὸ γλύφειν, λιτεῦειν.

Bisetus. Εὐκύκλου.] τῆς εὐρύθμου, καὶ ἐγκυκλίου F χορείας, ἣν αἱ γυναῖκες εἰς κύκλον περιαγόμεναι ἐποίουν. εὐφυῆ στῆσαι βάσιν, ἀντὶ τοῦ εὐφυῶς, καὶ καλῶς, καὶ εὐρύθμως βαίνειν, ὀρχεῖσθαι, χορείαν ἵστασθαι. εὐφυὴς, ὁ καλὴν φύσιν ἔχων. ὁ ὡραῖος, ὁ ἐπιεικὴς, καὶ σπουδαῖος. Σ. Τὸν εὐλύραν.) τὸν Φοῖβον περιφραστικῶς λέγει, τὸν ἀγαθὴν, καὶ καλὴν ἔχοντα λύραν. ἀλλαχοῦ δὲ τὸν αὐτὸν εὔλυρον καλεῖ. Ὦ ἑκάεργε] ἑκάεργος λέγεται Ἀπόλλων, ὡς ἕκαθεν εἴργων ὡς τοξότης. ἢ ὁ ἕκαθεν ἐργαζόμενος, ὡς τὸ περὶ τὴν γῆν ὡς ἥλιος καθωμίλητο τοῖς παλαιοῖς. Εὐστάθ. ὄπαζε δὲ, πάρεχε. ὀπάζειν, τὸ διδόναι, καὶ τὸ κατόπιν διώκειν. ἐστὶ ὅτε καὶ δηλοῖ G τὸ ὀπαδὸν, ἤγουν ἀκόλουθον διδόναι. καὶ ὀπάζεσθαί τινα, ὀπαδὸν εἶναι. Εὐστ. Ἥραν τελείαν] Ἥρα τελεία, καὶ Ζεὺς τέλειος ἐτιμῶντο ἐν τοῖς γάμοις, ὡς πρυτάνεις ὄντες τῶν γάμων. Σ. καὶ τέλος, ὁ γάμος. ὅθεν τελείους τοὺς γεγαμηκότας ἔλεγον. Εὐστ. Ἐμπαίζει.) ὅπερ ἡ γραφὴ καλῶς ἔχει, ἐμπαίζειν ἐνταῦθα λαμβάνεται ἀντὶ τοῦ συμπαίζειν. ἢ ἐμπαίζει χοροῖς, ἤγουν ἐν χοροῖς παίζει. τινὲς δὲ γράφουσιν ἐμπάζεται, ἤγουν ἐντρέπεται, φροντίζει, ἐπιστροφὴν ποιεῖται. οὕτω παρ' Ὁμήρῳ

Οὐκ ἐμπάζετο ἱρῶν.

ὅπερ Εὐστάθιος ἑρμηνεύει, οὐκ ἐπεστρέφετο τῶν θυσιῶν. ἐν τούτῳ δὲ διαφέρουσιν οὗτοι, ὅτι Ὅμηρος μὲν μετὰ γενικῆς, E Ἀριστοφάνης δὲ μετὰ δοτικῆς τοῦτο τὸ ῥῆμα συντάσσει ὃ παρατηρητέον. εἴρηται δὲ παρὰ τὸ ἔμπαξ, ἔμπακος, ὡς ἀπὸ τοῦ ἅρπαξ, ἁρπάζω. ἔμπαξ δὲ εὑρίσκεται ἐν τῷ Σοφ. Αἴαντι. Τεῦκρον ἀμφὶ τὸν λείψω, προσφιλῆς ἄοκνον ἔμπακα. τὰ σχόλια, ἀνατροφῆς πρόθυμον φροντιστήν. Τὰς κλῇδας) τὰς τῶν γάμων κλεῖδας φυλάττει. διὸ καὶ Τελεία καλεῖται. Ἑρμῆν τε νόμιον.] Ἑρμῆ ἐπίθετον, παρὰ τὸ νέμειν, τὸ βόσκειν, καὶ τρέφειν. ὅτι τῶν νομέων ἔφορος, καὶ φύλαξ. ἄντομαι δὲ, ἱκετεύω ἀντῶ, καὶ ἄντομαι, ὡς φησὶν Εὐστάθιος κατὰ F τρίτην τῶν βαρυτόνων παρ' Ὁμήρῳ. παρὰ δὲ τοῖς ὕστερον, ἀντῶ περισπώμενον, ὁ μέλλων ἀντήσω. τοῦ δὲ ἀντῶ ὁ μέλλων πολλαχοῦ εὑρίσκεται. Χαρίεντα χορείαις] χαριέντως χαρίεντας, καὶ πρὸς τὸν Πᾶνα, καὶ τὰς Νύμφας ἀνοιστέον. τὸ δὲ ἀρσενικὸν γένος ὡς τιμιώτερον καὶ τὸ θηλυκὸν πολλάκις ὡς καὶ τοῦτο συνέχει. Διπλῆν χάριν χορείας.] διπλῆν χάριν χορείας γραπτέον. ὁ νοῦς. νῦν οὖν ἔξαιρε προθύμως τὰς χορείας τουτέστι χόρευε οὐχ ἅπαξ μόνον, ἀλλὰ καὶ δίς. ὥστε καὶ διπλῆν χάριν, καὶ χαρὰν, καὶ εὐφροσύνην ἐκ τῆς χορείας ἡμᾶς λαβεῖν. Ἡσύχιος δὲ Διπλῆν, G ὀρχήσεως, ἢ κρούματος εἶδος εἶναι λέγει. τινὲς δὲ καὶ ταῦτα γράφουσιν οὕτω, Διπλαῖς χερσὶν χορείαις. ἀλλὰ διπλοῖς ποσὶν χορείαις μᾶλλον ἂν εἴη λεκτέον, ὃ πολὺ πιθανώτερον, εἴ τις κρινεῖ. Ἀλλ' εἶ' ἐπ' ἄλλ'.] τὸ πλῆρες, ἀλλὰ εἶα ἐπὶ ἄλλα ἀνάστρεφε εὐρύθμῳ ποδί. τόρευε δὲ, τορῶς, τρανῶς, καὶ σαφῶς λέγε. Σ. κισσοφόρον δὲ καλεῖ τὸν Διόνυσον, παρὰ τὸν κισσὸν, ὃν φορεῖ. κισσὸς

δὲ

ᾖ, ἄλλος φυτοῦ, ἢ βλάστημα ἑλικοειδὲς, ὁ βάκχῳ ἱε- A ρὸν ἐστὶν. ὅθεν καὶ κισσοφόρος εἴρηται.

Σὺ κισσοφόρε Βάκχειε δέσποτ᾽, ἐγὼ δὲ κώ-
μοις
Σὲ φιλοχόροισι μέλψω
Εὔιον ὦ Διόνυσε
Βρόμιε καὶ Σεμέλας παῖ,
Χοροῖς τερπόμενος, κατ᾽ ὄρεα Νυμ-
φᾶν
Ἐρατοῖς ἐν ὕμνοις
Εὔιον εὔιον. εὐοῖ ἀναχορεύων
Ἀμφὶ δὲ σοὶ κτυπεῖται
Κιθαιρώνιος ἠχὼ
Μελάμφυλλά τ᾽ ὄρη δάσκια, καὶ νά-
παι
Πετρώδεις βρέμονται.
Κύκλῳ δὲ περὶ σὲ κισσὸς
Εὐπέταλος ἕλικι θάλλει.

Tu hederifer Bacche domine, ego verò comessationibus
Te choreatibus celebrabo.
Euion ô Bacche,
Bromie, & Semeles fili,
B *Choris qui oblectaris per montes Nympharum*
Amabilibus in hymnis.
Euion Euion, Euœ tripudians.
Circa te verò crepitat
Citheronia responsatio,
Nemorosique montes, densi atque vmbrosi, & colles
Saxosi strepunt.
C *In orbe autem circum te hedera*
Frondosa capreolo floret.

BOVRDINVS. Κώμοις.] κῶμος, ἡ μέθη καὶ ὀρχησμὸς λέγεται. καὶ ὁ μεθυστικὸς αὐλὸς, ὀρεθίζων τὴν ἐπιθυμίαν, καὶ θέατρον ἔγχυμον ποιῶν, τὸ συμπόσιον. ὅθεν καὶ κῶμοι ὀρχήσεις μετὰ μέθης λέγονται. καὶ ἀσελγῆ, ᾄσματα καὶ πορνικὰ καὶ συμπόσια καὶ ᾠδαί. Εὔιον.] τὸν Διόνυσον, Βάκχον. μέμνηται δὲ τούτου ὀνόματος ὁ Δημοσθένης ἐν τῷ περὶ στεφάνου, καὶ ὁ Στράβων ἐν τῇ Γεωγραφίας. πολλάκις γὰρ ἐν ταῖς ὀρχήσεσι τῶν Ἀθηναίων οἱ κωμῶντες ἐπικαλοῦντο τὸν Εὔιον τουτέστι Βάκχον καὶ ἐβόων εὐοῖ καὶ σαβοῖ, οὐδὲν ἄλλο δηλοῦντες οὐδὲ σημαίνοντες, ἢ τὸν Βάκχον. D Βρόμιος.] ὁ Διόνυσος λέγεται ὁ γεωργὸς τῶν καρπῶν, ὥσπερ παρὰ τὴν βορὰν βόριμος βρόμιος δὴ οἰκείως ὁ τοῦ πυρὸς ἦχος λέγεται. Ἀναχορεύων] χορεύων. Κτυπεῖται.] κτύπον καὶ θόρυβον, καὶ ἦχον παρέχει. Κιθαιρώνιος.] ὁ ἐν Κιθαιρῶνι ὄρει τῆς Βοιωτίας. Ὄρη δάσκια.] μακρὰ ὄρη σκιασθέντα τοῖς δένδροις. Μελάμφυλλα.] μελαινόμενα τοῖς φύλλοις. καὶ παχέα ὄντα E πυκνά τε. Καὶ νάπαι πετρώδεις.] οἱ ὀρεινοὶ τόποι καὶ ἀναπεπταμένοι. Βρέμονται.] διακτυποῦσι, παταγοῦσι, ψιθυρίζουσι. Εὐπέταλος.] εὐπεταλθὴς, ὁ πεταννύμενος. Ἕλικι.] ὁ ἕλιξ ὀνομάζεται Αἰγίλωψ. Θάλλει.] περιθάλλει, ἐπανθεῖ, περιανθεῖ. Τοξότης] ὃς σκυθικῇ λέξει χρῆται, καὶ χαρακτῆρι.

BISETVS. Εὔιον.] εὔιος Βάκχου ἐπίθετον παρὰ τὸ μεθίεσθαι τοὺς παλαιοὺς εἰς εὐφροσύνην, καὶ ἄνεσιν ἐν τῷ τιμᾶν τὸ θεῖον. τὸ μὲν ποτὲ ἐκαλεῖτο μέθυ, καθ᾽ F ὃ δηλαδὴ μεθιέμεθα. καὶ ὁ τοῦτο δοὺς θεὸς, Μεθυμναῖος, καὶ Λυαῖος. καὶ Εὔιος, καὶ Ἤιος, ὡς καὶ ὁ μὲν εὐφραντὸς, καὶ εὔθυμος, ἱλαρός. διὸ καὶ τὸ δαιμόνιον ἵλεων ἠξίουν, ἐπιφωνοῦντες, ἰὴ, ἰή. Εὐάδιος. ἐξ Ἀθηναίων. Βρόμιος δὲ, ὁ Διόνυσος, ὁ γεωργὸς τῶν καρπῶν, παρὰ τὸ βορὰ, βόριμος, καὶ ὑπερθέσει βρόμιος. Σ. οἱ δὲ παρὰ τὸν βρόμον λέγεσθαι νομίζουσιν, ὃν δηλονότι οἱ μεθύοντες ποιοῦνται. Βρόμος δὲ κυρίως ὁ τοῦ πυρὸς ἦχος. καὶ βρομεῖν, τοιοῦτον ἦχον ποιεῖν γενικῶς δὲ, καὶ ἁπλῶς πᾶς τις ψόφος οὕτω καλεῖται. Κιθαρώνιος ἠχώ.] Κιθαιρὼν, ὄρος Βοιωτίας. ὅθεν καὶ Κιθαιρώνιος. Σ. τούτου μέμνηται, καὶ Σοφοκλῆς ἐν Οἰδίποδι τυράννῳ,

Βοῆς δὲ τῆς σῆς ποῖος οὐκ ἔσται λιμὴν;
Ποῖος Κιθαιρὼν οὐχὶ σύμφωνος τάχα;

Μελάμφυλλα.] μελάμφυλλες, ὅτι τὰ φύλλα μέλανα ἔχουν. ὄρη δὲ μελάμφυλλα νῦν καλεῖ διὰ τὴν δασύτητα, καὶ πυκνότητα τῶν δένδρων ἐν αὐτοῖς ὄντων, καὶ σκιὰν μέλαιναν ποιούντων. διὸ καὶ κατ᾽ ἐπεξήγησιν ἵνα ἐπιφέρει τὸ δάσκια. δάσκιος ὕλη παρὰ τῷ ποιητῇ λέγεται, ἡ δασύσκιος, καὶ δασεῖαν σκιὰν ἔχουσα, ὅθεν καὶ κατὰ συγκοπὴν εὕρηται. Νάπαι.] νάπος, οὐδετέρως, καὶ νάπη θηλυκῶς, ὀρεινὸς ὑλώδης τόπος, οἱονεὶ νάφα, ὡς μὴ ἔχουσα φῶς διὰ δάσος. Ξενοφῶν δὲ οὐδετέρως λέγει τὸ νάπος, ὡς τὸ ἔδαφος. ἐπεί, φησιν, οἱ ἡγούμενοι ἐγένοντο ἐπὶ νάπει δυσβάτῳ, καὶ μεγάλῳ, ἔστησαν ἀγνοοῦντες εἰ διαβατέον τὸ νάπος. Σ. Ἄλλως. νάπος καὶ νάπη, τόπος φαραγγώδης, παρὰ τὸ να στερητικὸν, καὶ τὸ πῶ, ὃ ἐστι πίνω, λέγεται. ἢ παρὰ τὸ να στερητικὸν, καὶ τὸ φῶ, ὃ ἐστι φαίνω καὶ λάμπω. Εὐπέταλος.] πέταλα, καὶ πέτηλα, πετάλων, τὰ πλατέα φύλλα, παρὰ τὸ διαπεπετάσθαι. εὐπέταλος οὖν κισσὸς, ὁ πολλὰ, καὶ καλὰ πέταλα πανταχόθεν ἔχων. Ἕλικι.] ἕλιξιν. ἕλικες δὲ τὰ περὶ τοὺς καρποὺς φύλλα, ἢ ἐναντία. Σ. λέγονται δὲ παρὰ τὸ ἑλίσσειν, τὸ στρέφειν, ἐνειλεῖν, ἐμπλέκειν.

G

ΤΟΞΟΤΗΣ.

ΕΝ ταυθὶ νυνὶ οἰμώξει πρὸς τὴν αἰθρίαν.
ΕΜν. Ὦ τοξόθ᾽ ἱκετεύω σε. Τοξ. μή μ᾽ ἱκετεύσῃ σύ.

SATELLES QVI LOQVI-tur Scythicè.

HIc nunc plorabis sub dio.
MN. O Satelles rogo te. SAT. Ne me roges tu.

Μν. Χάλασον τὸν ἧλον. Τοξ. ἀλλὰ ταῦτα δρᾷς ἐγώ.
Μν. Οἴμοι κακοδαίμων· μᾶλλον ἐπικρούσεις σύ γε.
Τοξ. Ἔτι μᾶλλον βούλῃς. Μν. ἀτταταῖ. ἰατταταῖ
Κακῶς ἀπόλοιο. Τοξ. σίγα κακόδαιμον γέρον
Πέρ᾽ ἐγὼ ξενίξει πορμὸς ἵνα πυλάξῃ σοι.
Μν. Ταυτὶ τὰ βέλτιστ᾽ ἀπολέλαυκ᾽ Εὐριπίδου.
Ἔα θεοί. Ζεῦ σῶτερ, εἰσὶν ἐλπίδες.
Ἀνὴρ ἔοικεν οὐ προδώσειν, ἀλλά μοι
Σημεῖον ὑπεδήλωσε Περσεὺς ἐκδραμὼν
Ὅτι δεῖ με γίγνεσθ᾽ Ἀνδρομέδαν, πάντως δέ μοι
Τὰ δέσμ᾽ ὑπάρχει. δῆλον οὖν ἔσθ᾽ ὅτι
Ἥξει με σώσων. οὐ γὰρ ἂν παρέπτατο.

A *MN. Relaxa clauum. SAT. sed hæc faciam ego?*
MN. Hei mihi misero, magis infiges tu quidem.
SAT. Adhuc magis vis. MN. At at, papæ papæ
Male pereas. SAT. Tace infelix senex,
Age ego feram stoream, vt custodiam te.
MN. Hæc optima consequutus sum ab Euripide.
B *Sine ô dij, Iupiter seruator, sunt spes,*
Vir videtur non proditurus, sed mihi
Signum latenter ostendit Perseus prætercurrens,
Quod oportet me fieri Andromedam, prorsus autem mihi
Vincula adsunt. perspicuum igitur est, quòd
Veniet me seruaturus, non enim prætervolasset.

BOVRDINVS. Ἐνταῦθα.] προσέρχεται δὲ ὁ Τοξότης, ὡς μαστίξων τὸν Μνησίλοχον. Οἰμώξει.] δώσεις τὴν δίκην. Πρὸς τὴν αἰτρίαν.] ὑπὸ τῇ δίκῃ. Χάλα.] ἄνες καὶ μὴ ἐπίκρουσον οὕτω τὸν ἧλον. Ἐπικρούσεις.] ἐπισφίγξεις, ἐπιθήσεις, ἐμπήξεις, καὶ ἐμβαλεῖς. Ἀτταταῖ.] σχετλιαστικόν. Περὶ ἐγώ.] τοῦτο τὸ ῥῆμα ἐστὶ γραφὲν ἐν σκυθικῇ γλώσσῃ, σημαίνει, ἐγὼ δὴ οἴσω φορμὸν, ἵνα φυλάξω σε. Πορμός.] ἀντὶ τοῦ φορμός. Πυλάξῃ.] φυλάξῃ. Μνησίλ.] ταῦτα τὰ ἔπη παρ᾽ αὐτοῦ λέγει ὁ Μνησίλοχος. Ἀπολέλαυκα.] ταύτην τὴν βελτίστην ἀπόλαυσιν ἔλαβον ἐκ τοῦ Εὐριπίδου. τοῦτον τὸν καρπὸν συνέλαβον ἐκ τῆς συνουσίας καὶ ὁμιλίας τοῦ Εὐριπίδου. Ὑπεδήλωσεν.] ὑπέδειξεν, ὑπέφηνε, τὸ δεῖγμα παρέσχεν. Ἀνδρομέδαν.] τουτέστι, ἀπαλλάττεσθαι καὶ ἐκλύεσθαι τούτου κινδύνου, ὥσπερ ἐξέλυσεν ὁ Περσεὺς τὴν Ἀνδρομέδαν προβληθεῖσαν τοῖς ἰχθῦσιν ὡς βορὰν γινομένην. καθάπερ οἱ ποιηταὶ μυθολογοῦσιν.

BISETVS. Ἐνταῦθα νυνί.] ὁ Τοξότης τὸν Μνησίλοχον δεσμεύων, καὶ τῇ σανίδι ἐπιθιγγάνων ταῦτα λέγει. ἐπεὶ δὲ Σκύθης ὢν τὸ γένος, ὡς βάρβαρος βαρβαρίζει, καὶ τούτου τοὺς βαρβαρισμοὺς ὁ ποιητὴς ἡμῖν καλῶς χαρακτηρίζει. τὸ γὰρ οἰμώξει, ἀντὶ τοῦ οἰμώξεις εἴρηται. αἰτρίαν δὲ, ἀντὶ τῆς αἰθρίαν. ἱκετεύσῃ δὲ, ἀντὶ τοῦ ἱκετεύσεις, ἢ ἱκέτευσον. δρᾷς ἐγώ, δράσω ἐγώ. βούλῃς δὲ, βούλει, ἐθέλεις. Πέρ᾽ ἐγώ.] ταῦτα πάντα βάρβαρος βαρβαρικῶς καὶ προφέρει, καὶ συντάττει. ἑλληνικῶς δὲ λέξεις οὕτω. φέρ᾽ ἐγὼ ἐξενέγκω φορμὸν ἵνα φυλάξω σε. φέρε ἐγὼ φορμὸν ἐξοίσω, ἵνα σὲ φυλάξω. τί δὲ φορμὸς, ἤδη προείρηται. σημείωσαι δὲ παρὰ πολλοῖς καὶ τῶν νῦν βαρβάρων τὸ π ἀντὶ τοῦ φ. καὶ ἀνάπαλιν τὸ φ. ἀντὶ τοῦ π ἐν χρήσει εἶναι. τινὲς δ᾽ ἦσαν οἱ τοξόται, καὶ πῶς διεδήλωται. τούτοις, καὶ τοῖς δορυφόροις οἱ βασιλεῖς συμπεφύλαξι τῆς ἑαυτῶν ἀσφαλείας, καὶ σωτηρίας ἕνεκα φιλοῦσι χρῆσθαι. Ταυτὶ τὰ βέλτιστα.] εἰρωνεία, ἀντὶ τοῦ ταῦτα τὰ δεινότατα κακὰ διὰ τὸν Εὐριπίδην ἀπέλαυσα, τουτέστιν ἔπαθον. ταῦτα δὲ λέγει Μνησίλοχος τὸν πρόδηλον κίνδυνον ὁρῶν, καὶ ἐπὶ τῇ τοῦ Σκύθου τοξότου φυλακῇ κατὰ τὴν τοῦ Πρυτάνεως ἐπιταγὴν ὤν. ἐν μεγάλῃ τοίνυν ἀθυμίᾳ στρέφεται, καὶ ὑπὸ τοῦ Εὐριπίδου ἑαυτὸν καταλελεῖφθαι, καὶ προδοθῆναι νομίζει. ἐν ᾧ δὲ χρόνῳ οὕτως ἀθυμεῖ καὶ πολλὰ ἄτοπα περὶ τοῦ Εὐριπίδου καθ᾽ ἑαυτὸν ἀναπεμπάζει, ἰδοὺ ὁ Εὐριπίδης καινὴν σωτηρίας τέχνην ἐξευρὼν προσέρχεται, ὃν ἀναγνωρίσας ὁ Μνησίλοχος τοῖς ἄλλοις τὸ πρᾶγμα μὴ δηλῶν ἀναπνεῖ, καὶ τὴν ἐλπίδα τὴν μονονοὺχ ἀποβληθεῖσαν περὶ τῆς ἑαυτοῦ σωτηρίας ἀναλαμβάνει, καὶ εὔχεται τοὺς θεοὺς αὐτῷ παρεῖναι σωτῆρας. Περσεὺς ἐκδραμών) τὸν Εὐριπίδην οὕτω καλεῖ. ὃς πανούργως τὸ τοῦ Περσέως προσωπεῖον ἐνεδύσατο, καὶ Περσεὺς εἶναι προσποιούμενος πρὸς τὸν Μνησίλοχον ὡς πρὸς Ἀνδρομέδην αὐτὴν σώσων ἐχώρει. ἵνα δὲ τὴν Ἀριστοφάνους γνώμην βέλτιον γινώσκωμεν, ἱστέον ὅτι Περσεὺς τὰ Ἑρμοῦ πέδιλα ὑποδησάμενος ἔπτατο πρὸς τὴν Ἀνδρομέδην κήτει, θαλασσίῳ θηρίῳ παραβεβλημένην, καὶ αὐτὴν τοῦ θανάτου ἀπέλυσε. τὸν δὲ Περσέα τὴν Ἀνδρομέδην συζεῦξαι ἀπαγαγεῖν ἤδη βουλόμενον, Κηφεὺς ὁ αὐτῆς πατὴρ μετ᾽ Ἀγήνορος, ᾧ πρότερον ἦν ἐγγεγυημένη, λάθρα κτείνειν ἐπεχείρησεν. ὁ δὲ τὴν αὐτῶν ἐπιβουλὴν καταμαθὼν, τὴν Γοργόνος κεφαλὴν αὐτοῖς ἔδειξε, καὶ πάντας ἀνθρωπίνης φύσεως, καὶ μορφῆς στερήσας εἰς λίθους μετεμόρφωσεν. Εὐριπίδης οὖν ἐνταῦθα τοιούτῳ τρόπῳ, καὶ καινῇ τέχνῃ τὸν Μνησίλοχον σώζειν πειρᾶται. Ἀνδρομέδαν.) Ἀνδρομέδα, Λήδα, Φιλομήλα, καὶ ἄλλα πολλὰ δωρικῶς λέγονται. κοινῶς δὲ Ἀνδρομέδη, Λήδη, Φιλομήλη.

ΕΥΡΙΠΙΔΗΣ ὡς ΠΕΡΣΕΥΣ, καὶ ΜΝΗΣΙΛΟΧΟΣ, ὡς Ἀνδρομέδη.

Εὐ. Φίλαι παρθένοι φίλαι,
Πῶς ἂν ἀπέλθοιμι, καὶ
Τὸν Σκύθην λάβοιμι.

EVRIPIDES TANQVAM Perseus. Mnesilochus, tanquam Andromeda.

EV. *Charæ virgines charæ,*
Quomodo abirem, &
Scytham comprehenderem?

BOVR

Bourdinus. Φίλαι.] ὁ Εὐριπίδης τὸ Περσέως σχῆμα παραλαβὼν, ἐπικαλεῖται τὰς θεὰς, ὥστε ὁ εὐάγεσθαι σώζειν καὶ ἐκλύεσθαι τοῦ κινδύνου τὸν Μνησίλοχον πεσόντα ἐς μεγάλην κινδύνων περιπλοκήν. A

Bisetus. Φίλαι παρθένοι] Εὐριπίδης ὡς Περσεὺς ταῦτα προφέρει. καὶ ζητεῖ πῶς ἂν τὸν Μνησίλοχον σώζειν δυνηθείη. ὁ δὲ Μνησίλοχος παραπλησίως τὰς ἑαυτοῦ συμφορὰς βαρέως φέρει, καὶ σχετλιάζει, ἄλλοτε, καὶ ἄλλοτε τὸ πρόσωπον μεταβαλλόμενος, τοτὲ μὲν, ὡς Ἀνδρομέδη, τοτὲ δὲ, ὡς αὐτὸς ὁ Μνησίλοχος. ἰκαστοτε δὲ τοὺς λόγους συγκόπτει κατὰ τὴν κεκινημένων, καὶ τεταραγμένων ἀνθρώπων μίμησιν. ταῦτα δὲ ἀκριβῶς παρατηρητέον. καὶ γὰρ ἄλλως μεγάλην ἀσάφειαν, καὶ σύγχυσιν ἐν τούτοις ἂν εὕροις, διὰ τὴν γραφὴν ἐν πολλοῖς διεφθαρμένην. πρῶτον οὖν ὡς Περσεὺς τὰς Νύμφας προσφωνῶν λέγει, φίλαι παρθένοι. καὶ τὰ ἑξῆς. εἰσὶ δὲ στίχοι μικτοὶ μά. ὧν τελευταῖος Νίκησιν ἐπὶ πορείαν. Τὸν Σκύθην] τὸν τοξότην. οἱ γὰρ τοιοῦτοι τοξόται, καὶ δημόσιοι ὑπηρέται, καὶ φυλακες, ὡς ἐπιτοπλεῖστον τὸ γένος Σκύθαι ἦσαν. B

Κλύοις ὦ
Περσιδοῦσα τὰς ἐν ἄντροις
Κατανευσον, ἔασόν ὡς
Τὴν γυναῖκά μ' ἐλθεῖν.
Μν. Ἀνοικτος ὅς μ' ἔδησε τὸν
Πολυπονώτατον βροτῶν, C
Μόλις δὲ γραῖαν ἀποφυγὼν
Σαπρὰν ἀπωλόμην ὅμως.
Ὁ δὲ γὰρ ὁ Σκύθης φύλαξ
Πάλαι ἐφέστηκ' ὀλοὸν
Ἄφιλον ἐκρέμασε κόρακι
Δεῖπνον, ὁρᾷς. οὐ χορεῖσιν
Οὐδ' ὑφ' ἡλίκων νεανίδων
Ψήφων κημὸν ἑστῶσ' ἔχου-
Σ', ἀλλ' ἐν πυκνοῖς δεσμοῖσιν ἐμπεπληγμένη D
Κήτει βορὰ τῷ γλαυκέτῃ πρόκειμαι.
Γαμηλίῳ μὲν οὐ ξυμ-
Παιῶνι. δεσμίῳ δὲ
Γοᾶσθέ μ', ὦ γυναῖκες ὡς
Μέλεα μὲν πέπονθα μέλεος
Ὦ τάλας ἐγὼ τάλας.
Ἀπὸ δὲ συγγόνων ἄλλ' αὖ
Ἀνομα πάθεα φῶτα λιτομένας.
Πολυδάκρυτον Ἀΐδα γόον φλέγουσαν
Αἰαῖ αἰαῖ E
Ὃς ἐμ' ἀπεξύρησε πρῶτον,
Ὃς ἐμὲ κροκόεντ' ἐνέδυσεν,
Ἐπὶ δὲ τοῖσδε τόδ' ἀνέπεμψεν
Ἱερὸν ἔνθα γυναῖκες.

Audias utinam Diana, quæ inspicis Nymphas tuas in antris,
Annue, sine ad
Uxorem me ire.
MN. Inclemens, qui me vinxit
Multo laboriosissimam mortalium.
Vix autem anum cum effugerim.
Putidam, perÿ tamen.
Hic enim Scytha custos
Iamdiu assistit, perditam,
Ab amicis destitutam, suspendit cornis,
Cœnam, vides? non choreis,
Neque cum æqualibus adolescentulis
Suffragiorum cistam sto habens.
Sed in densis vinculis implicata,
Ceto cibus cæruleo exposita sum.
Nuptiali quidem non cum
Carmine, sed vinculari, & nexili versu.
Deplorate me ô mulieres, quoniam
Misera quidem passa sum, misera,
O misera ego misera.
Ab autem cognatis, sed
Impias calamitates, virum precantem
Lachrymosum Plutonis gemitum fugientem.
Heu heu heu heu
Qui me totondit primùm,
Qui me croceis vestimentis induit.
Ad hæc verò hoc emisit
Ad templum, ubi mulieres.

Bisetus. Κλύοις ὦ] χαριέστερον ἴσως, κλύοις ὦ. ἀντὶ τοῦ εἴθε κλύοις, ἤγουν ἀκούσεις ὧν ἐπιθυμῶ. καὶ κατάνευσόν μοι. τὸ δὲ προσιδοῦσα, διεφθαρμένον ἐστίν. ἀνθ' οὗ τινες προσιδοῦσα γράφουσι, καὶ πρὸς τὴν Ἄρτεμιν ἀναφέροντες οὕτως ἑρμηνεύουσιν. ἡ τὰς Νύμφας ἐν ἄντροις οἰκούσας προσορᾷς. Ἄλλοι πρὸς τὴν Ἠχὼ ἀναφέρουσιν, ἣ καὶ αὐτὴ ἐν ἄντροις οἰκεῖ, καὶ τὰς φωνὰς ἐν αὐτοῖς ποιουμένας ἀναπέμπει, ὥστε τοῖς προσιοῦσιν ἐξακούστους εἶναι. καὶ τοῦτο πιθανώτερον. εἰσὶ καὶ τινες, οἱ προσιδοῦσα καὶ τοῦτο ἀπιθάνως χαριέστερον νομίζουσιν, οὕτως ἑρμηνεύοντες, ἥπερ, Ἠχὼ δηλαδὴ, τὰς ἐν ἄντροις οἰκούσας Νύμφας ἐμφαίνεις, καὶ δηλοῖς τὰς αὐτῶν φωνὰς μιμουμένη, καὶ τοῖς προσιοῦσιν ἀποτείνουσα. Ἠχὼ γὰρ, ὡς καὶ παρὰ τῷ Σουίδᾳ γέγραπται, γίνεται κατ' ἀνάκλασιν τὴν ἀπὸ τῶν τύπων, καὶ λείων σωμάτων, μάλιστα δὲ κοίλων, πληγέντος ὑπὸ τῆς φωνῆς ἀέρος. ὁ γὰρ διαλεγόμενος ὠθεῖ μὲν σχεδὸν πάντα τὸν πέριξ ἀέρα. μάλιστα δὲ τὸν ἔμπροσθεν. διὸ μᾶλλον ἀκούομεν πρὸς ἡμᾶς ὁρῶντος τοῦ διαλεγομένου, ἢ ἀπεστραμμένου. ἐπεὶ δὲ ὁ ἔμπροσθεν ἀὴρ ὠθούμενος ὅταν ἐντύχῃ ἐπί τι ἀντίτυπον ἔχον κοιλότητα, οἷα ἐστὶ τὰ ἄντρα, στεγνὸς ὤν, καὶ ἀδιασκέδαστος, διὰ τὸ περιείχεσθαι ὑπὸ τοῦ κοιλώματος, προσπεσὼν αὐτῷ ἀντιτύπῳ ὄντι σώματι εἰς τὸ ἔμπαλιν, ὥσπερ ἡ ῥιπτομένη κατὰ τοῖχον σφαῖρα, καὶ οὕτως ἐπαναστρέφει ἐπὶ τὸν πλήξαντα, ἐνεργοῦντος δηλονότι τοῦ ἀέρος δι' ἀμφότερα κατὰ τὴν διχῆ αὐτοῦ δύναμιν. F

Bourdinus. Προσιδοῦσα] Ἄρτεμιν. Κατάνευσον] πρόσνευσον. Ἀνοικτὸς] σκληρὸς, ἀνελεήμων, ἀνήλεος, ἀταλαιπώρητος τὸ τῆς Ἀνδρομέδης σχῆμα μιμούμενος. Πολυπονώτατον.] ταλαιπωρότατον, πολλῶν πόνων μεστόν. Σαπρὰν.] σεσηπομένην ὑπὸ γήρως καὶ ἀπορρέουσαν. καθ' ὑπερβολὴν ὑπεργηράσκουσαν. Ὀλοὸν.] ὀλέθριον, κακὸν, χαλεπόν. Ἄφιλον.] ἔρημον ὑπὸ φίλων. Ἐκρέμασε.] ἀνακρέμασε ψῆφον. Κημόν.] κημὸς ἐλέγετο παρὰ Ἀθηναίοις τὸ πῶμα πεπλεγμένον καὶ παρόμοιον τῇ χώνῃ, ὅπερ ἐπετίθετο τοῖς τῶν δικαστηρίων ὑδρίαις, ὅτε δὴ ἔμελλον δικάζεσθαι, καὶ ψῆφον φέρειν. ἐνταῦθα δὲ ὁ Μνησίλοχος, ἔτι προσποιούμενος εἶναι γυνή, οἰμώζει φάσκων, ὅτι οὐκ ἔχοι τὸν ψήφων κημόν, ὥσπερ αἱ ἥλικες νεανίδες, ἀλλ' ἐν δεσμοῖς ἐστὶν, ἀπὸ ταύτης τῆς ἐλευθερίας G

Ἐμπεπλεγμένη.] ἐνδεδεμένα. Κάτῳ.] ἐπὶ τῆς θαλάσσης ἢ τὸ θαλάσσιον πολυειδὲς. Γλαυκέτῃ] γλαυκός. Παιῶνι.] ᾠδῇ, ᾄσματι γαμικῷ. Δεσμίῳ δὲ] ἀλλὰ σὺν δεσμοῖς γοᾶσθε, κλαύσατε, πενθήσατε. Μέλεα πέπονθα.] ἄθλια ἔπαθον. Λιτομένην.] ἱκετευομένην. Πολυδάκρυτον.] πολλῶν δακρύων μεστὸν, πολλοὺς οἰμωγὰς ἢ κλαυθμοὺς. Αἰ αἶ αἶ.] θρηνητικὸν καὶ διακρουστικόν. Ἀπεξύρησε.] ἀπέτιλε τὰς τρίχας.

Bisetvs. Ὡς τὴν γυναῖκα] γυναῖκα καλεῖ τὸν Μνησίλοχον, ὡς Ἀνδρομέδαν τὴν Περσέως γυναῖκα. Ἀνοικτότατός μ' ὅς ποτε] Μνησίλοχος ἤδη δεσμευθεὶς ὑπὸ Σκύθου τοῦ φύλακος ταῦτα μεθ' ἑαυτοῦ λέγει, τὴν οἰκείαν δυστυχίαν μετὰ βαρείας μέμψεως ἀποφαίνων. ἀνοικτος δὲ, ἄνευ οἴκτου, καὶ ἐλέους, νηλὴς, ὠμός ἐστιν ὁ τοξότης, ὅς με πολυπονώτατον, καὶ δυστυχέστατον πάντων ἀνθρώπων ἔδησε. ἐνταῦθα δὲ τὴν πυκνὴν τοῦ προσώπου μεταβολὴν ὁ Μνησίλοχος χρῆται, παρατήρει. ἐξέστηκα ὁδὸν, ἔστησεν ἐπί με τὸν ὀλεθρὸν, ἤγουν ἀπολέσαι, καὶ φίλων ἁπάντων ἔρημον. Οὐ χοροῖσιν] Μνησίλοχος νῦν ὡς παρθένος Ἀνδρομέδη, ἅπερ αὐτῇ πάλαι παθεῖν συνέβη, περὶ αὐτοῦ λέγει. ὑφ' ἡλίκων δὲ, ἀντὶ τοῦ μεθ' ἡλίκων νεανίδων, σὺν ἥλιξι νεάνισιν. ὁ δὲ νοῦς ἐστίν. οὐ χορείας ἕνεκεν, οὐδὲ μεθ' ἡλίκων νεανίδων κημὸν ψῆφον ἔχουσα, ἀλλὰ δεσμευθεῖσα πρόκειμαι, τῷ κήτει δηλαδὴ βορὰ ἐσομένη. Ψῆφον κημόν.] κημὸς, λέξις πολύσημος. νῦν δὲ ἁπλῶς τὸν καλαθίσκον σημαίνειν δοκεῖ ἐν ᾧ τὰς τῆς παιδιᾶς ψήφους τιθέναι εἰώθεσαν. ἦν γὰρ παρὰ τοῖς παλαιοῖς, ὡς καὶ παρὰ τοῖς νεωτέροις, ἡ ψήφων παιδιά τις. Ἐμπεπλεγμένη] βέλτιον ἴσως ἐμπεπλεγμένη, παρὰ τὸ ἐμπλέκειν. οὕτω δὲ τὸν πρόδηλον κίνδυνον δηλοῖ. Γλαυκέτῃ] Γλαυκέτης, Μόρυχος, καὶ Τελέας ἐπὶ μαλακίᾳ, ὀψοφαγίᾳ, καὶ γαστριμαργίᾳ παρὰ τῷ Ἀριστοφάνει καὶ ἐν τῇ Εἰρήνῃ, καὶ ἀλλαχοῦ διαβάλλονται. ἐνταῦθα σὺν τὸν Γλαυκέτην ὡς τοιοῦτον ὄντα σκώπτειν βουλόμενος, αὐτὸν κατὰ προσθήκην γέλωτος χάριν κῆτος καλεῖ. Γαμηλίῳ] καὶ γὰρ ἐν τοῖς τῶν πλουσιωτέρων γάμοις παιῶνες, εἴτε παιᾶνες, ᾠδαί, καὶ μολπαὶ ἀκούεσθαι εἰώθασιν. Γοᾶσθέ με] Μνησίλοχος πρὸς ἑαυτὸν ἐπανελθὼν, ὡς ἀνὴρ ταῦτα λέγει. ἅπερ οὕτω σύνταξον. ὦ γυναῖκες γοᾶσθέ με, ὡς μέλεος μέλεα μὲν πέπονθα. καὶ τὰ ἑξῆς. μέλεος δὲ κατὰ τὸν Σουΐδαν μάταιος, ἄθλιος, ταλαίπωρος, δυστυχής. ὁ μὲν ποιητὴς ἐπὶ τοῦ ματαίου ἐκδέχεται τὸ μέλεος, οἱ δὲ τραγικοὶ ἐπὶ τοῦ οἰκτροῦ. ὁ δὲ νοῦς ἐστί. ὦ μέλεος, ὢ τάλας ἐγὼ, ὃς ὑπὸ συγγόνου (τὸν Εὐριπίδην αἰνιττόμενος, ὃν σώζειν ἐβούλετο) τοιαύτας ὕβρεις, καὶ κακὰ πάσχω. σύγγονος δὲ καὶ τὸν ἀδελφὸν, καὶ τὴν ἀδελφὴν δηλοῖ. καὶ γενικῶς πάντα συγγενῆ. ὑπὸ συγγόνου δὲ λέγει αὐξήσεως χάριν. εἰ γὰρ ὑπὸ τοῦ προστυχόντος ἀδικεῖσθαι βαρὺ, ὑπὸ τῶν ὁμαίμων, τῶν συγγενῶν, καὶ οἰκείων ἀδικεῖσθαι πολὺ βαρύτερον ὑπάρχει. τινὲς δὲ οὐκ ἀπὸ συγγόνων, ἀλλ' ἄπο συγγόνων, ἤγουν πόρρω συγγόνων, χωρὶς ἔχειν νομίζουσιν. ὅπερ ἐμοὶ ἀπίθανον. Ἀλλ' ἂν ἄνομα] ταῦτα Μνησίλοχος ὡς Ἀνδρομέδη λέγειν δοκεῖ. ὅπερ εἰκάσειεν ἄν τις ἐκ τῶν γενικῶν, τοῦτο λιτομέναν λέγω, καὶ τῆς φεύγουσαν. ἔστι δὲ ὁ λόγος ἐλλειπτικός ἐστι. διὸ καὶ μεγίστην ἀσάφειαν, καὶ σύνταξιν ἀνακόλουθον ἔχειν δοκεῖ. ἀλλὰ ταῦτα πάντα εἰκός ἐστιν ἐκ τῆς Ἀριστοφάνους Ἀνδρομέδης ληφθέντα. εἰ δὲ τοῦτο τὸ δρᾶμα νῦν εὑρίσκετο, πλεῖστον ἂν φῶς τούτοις προσγένοιτο. Φῶτα] φὼς, φωτὸς, ἀρσενικῶς, καὶ ὀξυτόνως, ὁ ἄρρην ἄνθρωπος. παρὰ τὸ φῶ τὸ λαλῶ, καὶ φθέγγομαι. Φῶς δὲ οὐδετέρως, καὶ περισπωμένως, τὸ φωτίζον, καὶ λαμπρόν. ὃ καὶ παρὰ ποιηταῖς φάος κατὰ πλεονασμὸν τοῦ ο λέγεται. Ἄλλως. φὼς ὀξύτονον κυριολεκτεῖται περὶ τῶν λαμπρῶν, καὶ ἐνδόξων ἀνδρῶν, οἵπερ ἐν ταῖς πόλεσιν ὡς φῶς, καὶ λαμπάδες ὑπάρχουσι διὰ τὸν πλοῦτον, διὰ τὰς ἀριστείας, καὶ τὴν μεγαλοπρέπειαν. γενικῶς δὲ καὶ περὶ παντὸς ἀνθρώπου καταχρηστικώτερον λέγεται. Φῶς δὲ περισπώμενον, τὸ σέλας, ἡ αὐγὴ, ἡ αἴγλη, ἡ λαμπηδὼν, ἡ λαμπρότης. Ἀΐδα δὲ, δωρικῶς, ἀντὶ τοῦ Ἀΐδου, κοινῶς. ἀΐδης, δὲ καὶ ἅδης, ὁ Πλούτων, καὶ ὁ τῶν τεθνεώτων βασιλεύς. καὶ αὐτὸς ὁ τῶν θανόντων τόπος οὕτω καλεῖται. παρὰ τὸ α στερητικὸν, καὶ τὸ ἰδεῖν, τὸ ὁρᾶν, διὰ τὸν σκότον τὸν ἐν τοῖς κάτω τόποις ὄντα γόον, θρῆνον. πολυδάκρυτον, πολλῶν δακρύων μεστὸν, ἢ πολλῶν δακρύων ἄξιον. Αἲ, αἲ] ὁ Μνησίλοχος πρὸς ἑαυτὸν πάλιν ἐπαναχωρήσας τῷ Εὐριπίδῃ δικαίαν μέμψιν μέμφεται, ὅτι ὑπ' αὐτοῦ ξυρηθεὶς, καὶ γυναικείοις ἐσθῆσι κοσμηθεὶς εἰς τὸ Θεσμοφόρειον ἀπεστάλη. τοσαύτην δὲ προσώπων, ἅπερ ἐστὶ πυκνῶς ἐνδύεται, μεταβολὴν, καὶ ἐναλλαγὴν Ἀριστοφάνης ἴσως ἐξεπίτηδες ἐνταῦθα παρεισάγει, καὶ τοὺς λόγους οὕτως ἀσαφεῖς, καὶ συμπεφυρμένους, ἵνα τὰ τοῦ τεταραγμένου ψυχῆς πάθη μᾶλλον χαρακτηρίσῃ. αἲ, αἲ δὲ, ἐπίρρημα θρηνητικὸν διπλασιαζόμενον, λέγεται δὲ, καὶ ψιλοῦται κατὰ Σουΐδαν. τούτων δὲ ὁ νοῦς ὅδε φαίνεται εἶναι. ὢ τάλας ἐγὼ διὰ τὴν ἐμὴν ἀβουλίαν, καὶ εὐήθειαν. ὁ δὲ Εὐριπίδης σκληρὸς, καὶ ὠμὸς, ὃς ἐμὲ πρῶτον μὲν ἀπεξύρησεν, εἶτα δὲ κροκωτὸν ἐνδυσάμενον, εἰς τοῦτον τὸν ναὸν αὐτῷ συνδικήσοντα, καὶ ὑπὲρ αὐτοῦ ἐν τοσούτῳ γυναικῶν πλήθει ἀποκρινούμενον ἔπεμψεν.

Ἰώ μοι μοίρας ἄτεγκτε δαίμων.	*Hei mihi, fati mei dura & aspera fortuna.*
Ὦ κατάρατος ἐγώ. τίς ἐμὸν οὐκ ἐπόψεται	*O scelestam me, quis meam non intuebitur*
Πάθος ἀμέγαρτον ἐπὶ κακῶν παρουσίᾳ.	*Calamitatem ingentem ob malorũ præsentiam?*
Εἴθε με πυρφόρος αἰθέρος ἀστὴρ	*Vtinam me ignita ætheris stella*
Τὸν βάρβαρον ἐξολέσειεν.	*Barbarum perdat.*
Οὐ γὰρ ἔτ' ἀθανάταν φλόγα λεύσσειν	*Nõ enim amplius immortalem flammã videre*
Ἐστὶν ἐμοὶ φίλον ὡς ἐκρεμάσθην	*Est mihi gratum, quoniam suspensus sum,*
Λαιμότμητ' ἄχη δαιμόνων αἰόλαν	*Guttur abscindentes dolores, dæmonum nigram*
Νέκυσιν ἐπὶ πορείαν.	*Inter mortuos aditer.*

Bovrdinvs. Ἰώ.] πενθητικὸν ἢ κλαυστικόν. Μοίρας.] τὰς δυσμενείας. μοίρας γὰρ ἤγουν οἱ παλαιοὶ, πάσης εὐτυχίας ἢ δυστυχίας ἡγεμόνας, καὶ ἀρχούσας εἶναι. Ἐπόψεται.] ἐλεήσειε. Ἐξολέσειεν.] ἀπολέσειεν. οὔτι γὰρ ζῆν ἔτι μοί ἐστι φίλον. Λεύσσειν.] ὁρᾶν. Λαιμότμητα.] θανάσιμα. θανατοφόρα, τέμνοντα λαιμοὺς, τουτέστιν ὑφαιροῦντα τὸν βίον. Αἰόλαν] ποικίλην, πολυειδῆ καὶ ποικιλόμορφον. Ἐπὶ πορείαν.] ὁδόν.

Bisetvs. Μοίρας ἄτεγκτε δαίμων] τοῖς χρόνοις ἄτεγκτον, καὶ πρὸς τὸ μοίρας ἀναφέρουσιν. ἄτεγκτος δὲ παρὰ τὸ α στερητικὸν, καὶ τὸ τέγγειν, τὸ βρέχειν. ὁ ἄτεγκτος, ὁ σκληρὸς, ἀσυμπαθὴς, ἄβρεκτος, ἄτεγκτος ἄνθρωπος παρηγορήμασιν ὁ μὴ βρεχόμενος, μήτε προϊέμενος παραμυθίαν, ἀλλὰ σκληρὸς ὢν ὡς πέτρα, ἢ ἄλλο τι τῶν σκληρῶν, ὡς μηδὲ ὑπὸ ὕδατος βρέχεσθαι. Σ. κατάρατος δὲ, κατάρας ἄξιος. Ἀμέγαρτον] ἀμέγαρτος ὁ εὐτελὴς, καὶ ἄτιχος,

ἀτεχνῶς. καὶ ὦ τάλαν ἄν τις φθονήσειεν. ἀμέγαρτος πόνος, ὁ εἰς μέγα αἰρόμενος, ὁ πολὺς καὶ μέγας. ᾧ οὐδεὶς μεγαίρει, ὃ ἐστι φθονεῖ. πάθος οὖν ἀμέγαρτον, τὸ μέγα, τὸ ἄζηλωτον, καὶ ἀφθόνητον. Τὸν βάρβαρον] ἴσως γελοῖον, καὶ τὸν βάρβαρον, ἤγουν τὸν Σκύθην, ὃν καὶ τοξότην ἐκάλεσεν. Αθανάταν φλέγα] δωρικῶς, ἀντὶ τοῦ ἀθάνατον, ὡς καὶ ἀέλαν, ἀντὶ τοῦ αἴγλην. ἀθάνατον δὲ φλόγα καλεῖν δοκεῖ τὸν ἀθάνατον ἥλιον, οὗ ἐστιν ἡ φλὸξ, καὶ τὸ φῶς ἀθάνατον. Ως ἐκρεμάσθην] τούτων ὁ νοῦς δύσ-ληπτος δοκεῖ. καὶ γὰρ διὰ τὸ ἄχη τὸ λαιμότμητον κατὰ τὴν δαιμόνων αἰόλην πορείαν ἐπὶ νέκυσιν ἐκρεμάσθην. ἄχη δὲ λαιμότμητα καλεῖ τὰς λύπας τὸν λαιμὸν, εἴτε τὴν φάρυγγα, τέμνουσας, ὡς Ομηρος ἄλγη κήδεα, καὶ κερτόμια ἀνέποι. τοῦτο γὰρ τὸ λαιμότμητον ἐνεργητικῶς μᾶλλον, ἢ παθητικῶς ληπτέον, ὡς ἐκ τῆς τούτων ἐννοίας δῆλον. ἄχη δὲ κατ᾽ ἔλλειψιν τοῦ διὰ, καὶ ἐν τῇ πορείαν, ἔλλειψις τῆς κατὰ προθέσεως. αἱ δὲ δύο τῆς προθέσεων ἐλλείψεις ἀπελέσθαι παρ᾽ Εὐριπίδῃ. νέκυσιν ἐπὶ, βέλτιον νέκυσιν ἐπὶ, ὅτι ἡ πρόθεσις τὴν οἰκείαν χώραν μετέβαλεν. αἰόλην δὲ, τὴν σκοτεινὴν, καὶ μέλαιναν. Αλλως Εκρεμάσθην ἴσως λέγει, ὅτι Μνησίλοχος προσποιεῖται τὴν Ανδρομέδαν πρὸς θάλασσαν σκοπέλῳ δεθεῖσαν, καὶ κρεμασθεῖσαν. διὸ καὶ κάτω Εὐριπίδης λέγει, ὦ παρθέν᾽ οἰκτείρω σε κρεμαμένην ὁρῶν. ταῦτα δὲ οὕτω ληπτέον. ὡς ἐγὼ κρεμασθεῖσα

A ἀνέχω, φέρω, πάσχω ἄχη πικρότατα, καὶ τὸν λαιμὸν τέμνοντα ὑπὸ δαιμόνων, τουτέστι τοῦ Δήμαρχος, καὶ τῆς Κόρης, εἰς ὧν τιμὴν τὰ Θεσμοφόρια ἐτελεῖτο, ἐπιπεμφθέντα. πῶς; κατὰ πορείαν αἰόλην ἐπὶ νέκυσι. τὴν δὲ τούτων ἀσάφειαν τίκτει τὸ καινοπρεπὲς τῆς φράσεων, καὶ τῆς συντάξεως, καὶ τοῦ λέγοντος ἀσύστατος, ἄδηλος, καὶ ταραττόμενα ῥήσεις. καὶ γὰρ ὁ Μνησίλοχος τότε μὲν, ὡς Μνησίλοχος περὶ ἑαυτοῦ πολλὰ λέγεται, τοτὲ δὲ, ὡς μία τῶν Θεσμοφοριαζουσῶν γυναικῶν, τοτὲ δὲ, ὡς Ανδρομέδη, καὶ διάφορα πάθη τούτοις τοῖς διαφόροις προσώποις κατὰ διαφόρους καιροὺς συμβάντα

B συγχεῖ, ἅπερ ἐπιμελῶς ἐξετασθέντα, καὶ διορισθέντα, ἐννοιῶν μεγάλην ἔχει διαφοράν. ὁ τοίνυν βουλόμενος τούτων ἀκρίβειαν ταφεστέραν ἔχειν, πάντα καλῶς σκοπείτω, καὶ διακρινέτω τίς ὁ λέγων, τίς ὁ τοῦ λόγου τρόπος, τίς ἡ αἰτία, καὶ πῶς ἕκαστα χωρὶς, ἢ καὶ ἀναμὶξ ληπτέον. τινὲς δὲ τὴν τούτων ἀσάφειαν καὶ δυσχέρειαν καταμαθόντες, ἀντὶ τοῦ δαιμόνων, γράφουσιν, οἷον δὴ διαμβύων, καὶ ταῦτα οὕτω συντάσσουσιν, ὡς ἐκρεμάσθην διαμβύων ἄχη λαιμότμητα, ἐπὶ πορείαν αἰόλην νέκυσιν. ὅπερ ἐν ἀπίθανον. οὕτω γὰρ τὸ ἐν ἐλλείψει τὸ εἶδος φεύξεις, καὶ μηδὲν καινοῦ λέ-

C ξεις. τὸ δὲ διατρίβειν ἐνταῦθα ὡς τὸ ἄπλουν μᾶλλον ἐπιπλέον, ὡς ἐν τῷ ἡσιοδείῳ, μένοντες χειμῶνα, ἀντὶ τοῦ ὑπομένοντες, ἐνεγκόντες, παθόντες. οὕτω πάντα καλῶς ἂν ἔχοι.

ΕΥΡΙΠΙΔΗΣ ΩΣ ΗΧΩ, ΜΝΗΣΙΛΟΧΟΣ ΩΣ ΑΝΔΡΟΜΕΔΗ, ΣΚΥΘΗΣ.

Χαῖρ᾽ ὦ φίλη παῖ. τὸν δὲ πατέρα Κηφέα,
Ος σ᾽ ἐξέθηκεν, ἀπολέσειαν οἱ θεοί.
Μν. Σὺ δ᾽ εἶ τίς ἥτις τοὐμὸν ᾤκτειρας πάθος.
Ηχ. Ηχὼ λόγων ἀντῳδὸς ἐπικοκκύστρια.
Ηπερ πέρυσιν ἐν τῷδε ταὐτῷ χωρίῳ
Εὐριπίδῃ καὐτὴ ξυνηγωνιζόμην.
Αλλ᾽ ὦ τέκνον. σὲ μὲν τὰ σαυτῆς χρὴ ποεῖν,
Κλάειν ἐλεεινῶς. Μν. σὲ δ᾽ ἐπικλάειν ὕστερον.
Ηχ. Εμοὶ μελήσει ταῦτά γ᾽. ἀλλ᾽ ἄρχου λόγων.
Μν. Ω νὺξ ἱερά.
Ως μακρὸν ἵππευμα διώκεις
Αστεροειδέα νῶτα διφρεύου-
σ᾽ αἰθέρος ἱερᾶς,
Τοῦ σεμνοτάτου δι᾽ ὀλύμπου. Ηχ. Δι᾽ ὀλύμπου.
Μν. Τί ποτ᾽ Ανδρομέδα περίαλλα κακῶν.
Μέρος ἐξέλαχον. Ηχ. Μέρος ἐξέλαχον.
Θανάτου τλήμων. Ηχ. Θανάτου τλήμων.

EVRIPIDES TANQVAM ECHO, Mnesilochus tanquã Andromedã, Scytha.

D *Salue ô chara filia, patrem autem Cepheum*
Qui te exposuit, perdant dij.
MN. *Tu verò quænam es, quæ meam miserata es calamitatem?*
ECHO. *Echo verborum resonans assibilatrix,*
Quæ quidem superiori anno in hoc eodem loco
Euripidem & ipsa defendi.
E *Sed ô filia, te quidem tot oportet facere,*
Flere miserabiliter. MN. *te verò in*
Fletu respondere postea.
ECHO. *Mihi erunt curæ quidem hæc, sed incipe & auspicare verba.*
MN. *O nox sacra,*
Quàm longam equitationem impellis,
Stellata dorsa curru
Pertransiensætheris sacri,
F *Venerabilissimũ per Olympũ.* ECH. *per Olympũ.*
MN. *Quidnam ego Andromeda de alijs malũ,*
Partem sortita sum? ECH. *Partẽ sortita sum.*
MN. *Mortis misera.* ECHO. *Mortis misera.*

BISETVS. Χαῖρ᾽ ὦ φίλη παῖ] Εὐριπίδης ὡς Ηχὼ τὸν Μνησίλοχον ὡς Ανδρομέδην προσφωνεῖ, καὶ ταῦτα λέγει. ἐξέθηκεν δὲ, παρέβαλε τῷ κήτει. περὶ οὗ ἐν τοῖς ἄνω προείρηται.

BOVRDINVS. Κηφέα.] ὅστις πατὴρ ὢν Ανδρομέδης, καὶ αὐτὴν ἐξέθηκε τῷ κήτει, ὡς βορὰν γενησομένην. Εξέθηκεν] προέβαλλε. Αντῳδός.] ἀνταδοῦσα λόγους, ἀνταποδιδοῦσα αὐτοὺς λόγους. Επικοκκύστρια.] ἐπικοκκύζουσα, ἀντεπᾴδουσα. κοκκύζειν, ἐπᾴδειν, ἀπὸ τοῦ ψόφου τὸ ῥῆμα μετήχθη. Ξυνηγωνιζόμην.] συνελαμ-

G βανον, συνεπράχθην. Ιππευμα.] ἱππεύεις, τουτέστιν ὡς μακρὰν διαπορεύεις, διώκεις, ἐλαύνεις. Αστεροειδέα] ἄστροις λάμποντα φαύσεις. Διφρεύουσα] διελαύνουσα καὶ διεξερχομένη. Τοῦ σεμνοτάτου.] τοῦ πολυσέμνου, καὶ λαμπροτάτου. Εξέλαχον.] ἐπέτυχον κακοῦ.

BISETVS. Ηχὼ λόγων] Εὐριπίδης τὴν ἠχὼ μιμούμενος, ἵνα μὴ ὑπὸ τῶν γυναικῶν, καὶ τοῦ τοξότου τὸν Μνησίλοχον φυλάττοντος ἀναγνωσθῇ, ἐνταῦθα ποιεῖ. ἐπικοκκύστρια δὲ, παρὰ τὸ ἐπικοκκύζειν. κοκκύζειν δὲ κυρίως λέγεται ὁ κόκκυξ ὄρνεον. καταχρηστικῶς δὲ καὶ περὶ

τῇ ἀνθρωπίνης φωνῆς λέγει), ὅταν τὶς τῇ κόκκυγα μιμούμενος κοκκύζει, κωκύει, καὶ θρηνεῖ. Ἠπιρ πίρυσιν] ἐντεῦθεν δῆλον τραγῳδίαν ἐπιγραφῇ Ἀνδρομέδαν ὑπὸ Εὐριπίδου ποιηθεῖσαν. Ξυναγωνιζόμενη] ξυναγωνίζεσθαί τινι, συνᾴδειν τινι, καὶ παρεῖναί τινι ἐν τῷ δικαστηρίῳ, καὶ προστατεῖν αὐτῷ. ἡ δὲ μεταφορὰ ἀπὸ τῶν ἐν τοῖς πολέμοις, καὶ μάχαις ξυναγωνιζομένων. Ἱππασίαν] ἱππασίαν, πορείαν. τοῦτο δὲ ποιητικόν. οἱ γὰρ ποιηταὶ τὴν νύκτα ὡς θεὰν μυθεύουσι καὶ ἵππους, καὶ ἅρματα, καὶ ἱππασίας νυκτερινὰς αὐτῇ περιάπτουσι. Περιαλλα] ἐπιρ-

A ῥηματικῶς τοῦτο λαπτέον ἀντὶ τοῦ περιάλλως, τουτέστιν ἐξόχως, κατ' ἐξοχὴν, διαφερόντως. Περιαλλα τοίνυν ἀντὶ τοῦ, παρὰ πάσας τὰς ἄλλας γυναῖκας. Μνησίλοχος δὲ ὡς Ἀνδρομέδαν περὶ τῆς αὐτῆς μεγίστης δυστυχίας ταῦτα λέγει, καὶ θρηνεῖ. διὰ τί ποτε ἐγὼ δυστυχὴς κακόμορος ἐξέλαχον, ὀλλύμενα ἄμμα πολὺ μεῖζον, ἢ αἱ ἄλλαι γυναῖκες; διὰ τί μόνη πασῶν εἰμὶ δυστυχὴς ἄτη; Θανάτου τλήμων] ὦ τλήμων ἐγὼ ἕνεκα τοῦ θανάτου, ἐν ᾧ ἀθυμοῦσα περιμένω.

B

Μν. Ἀπολεῖς μ' ὦ γραῦ στωμυλλομένη.

Ηχ. Στωμυλλομένη.

Μν. Νὴ Δία ὀχληρά γ' εἰσήρρηκας

Λίαν. Ηχ. Λίαν.

Μν. Ὦ 'γάθ' ἔασόν με μονῳδῆσαι.

Καὶ χαριεῖ μοι.

C Παῦσαι. Ηχ. Παῦσαι.

Μν. Βάλλ' ἐς κόρακας. Ηχ. Βάλλ' ἐς κόρακας.

Μν. Τί τὸ κακόν. Ηχ. Τί τὸ κακόν.

Μν. Ληρεῖς. Ηχ. Ληρεῖς.

Μν. Οἴμωζε. Ηχ. Οἴμωζε.

Μν. Ὀτότυζε. Ηχ. Ὀτότυζε.

Σκ. Οὗτος τί λαλεῖς; Ηχ. Οὗτος τί λαλεῖς.

D Σκ. Πρυτάνεις καλέσω. Ηχ. Πρυτάνεις καλέσω.

Σκ. Σὶ κακόν. Ηχ. Σὶ κακόν.

Σκ. Πωτεπὸ πωνή. Ηχ. Πωτεπὸ πωνή.

Σκ. Σὶ λαλεῖς. Ηχ. Σὶ λαλεῖς.

Σκ. Κλαύσαιμι. Ηχ. Κλαύσαιμι.

Σκ. Κακκάσκιμοι. Ηχ. Κακκάσκιμοι.

Σκ. Μὰ Δί' ἀλλὰ γυνὴ πλησίον αὕτη. Ηχ. Πλησίον αὕτη.

E Σκ. Ποῦθ' ἡ μιαρά.

Καὶ δὴ φεύγει.

Ποῖ ποῖ φεύγεις, οὐ καιρήσεις.

Ἔτι γὰρ γρύζεις. Ηχ. Ἔτι γὰρ γρύζεις.

Σκ. Λάβε τῇ μιαρᾷ. Ηχ. Λάβε τῇ μιαρᾷ.

Λαλοκαικαταρατογυναῖκο.

MN. Perdis me ô anus blaterans.

ECH. Blaterans.

MN. Profectò molesta quidem in malam cruem ingressa es

Valde. ECH. Valde.

MN. O bone, sine me naniam canere,

Et gratificaberis mihi.

Desine. ECH. Desine.

MN. Abi in malã rẽ. ECH. Abi in malam rem.

MN. Quidnam est hoc malum? ECH. Quidnam est hoc malum?

MN. Nugaris. ECH. Nugaris.

MN. Plora. ECH. Plora.

MN. Geme. ECH. Geme.

SC. Heus tu quid nugaris? ECH. Heus tu quid nugaris?

SC. Principes ciuitatis vocabo. ECH. Principes ciuitatis vocabo.

SC. Quidnam hoc malum est? ECH. Quidnam hoc malum est?

SC. Quaenam est haec vox? ECH. Quaenam est haec vox?

SC. Quid nugaris? ECH. Quid nugaris?

SC. Plorabis. ECH. Plorabis.

SC. Lamentaberis. ECH. Lamentaberis.

SC. Non per Iouem, sed mulier propè hæc.

ECH. Propè hæc.

SC. Vbi est scelesta? & quidem fugit,

Quò quò fugis? nónne capies?

Adhuc enim mussas? Ech. Adhuc enim mussas?

SC. Cõprehẽde scelestã. Ech. Cõprehẽde scelestã.

Loquacem & scelestam mulierem.

BOVRDINVS. Στωμυλλομένη.] πολυλαλοῦσα, ἀμετρολογοῦσα, καὶ στωμύλματα λέγουσα. Ὀχληρά.] ἐπαχθὴς, χαλεπὴ καὶ ἄχαιρος. Εἰσήρρηκας.] εἰσέβης, εἰσελήλυθας. ἔρρειν γὰρ σημαίνει ἥκειν, ἔρχεσθαι. Λίαν] πάνυ. Μονῳδῆσαι.] τουτέστι μόνην ᾄδειν καὶ θρηνεῖν. Χαριεῖ μοι.] χάριν ποιήσεις. τοῦτο δὲ ἀδυνάτως εἶπεν. καὶ γὰρ ἡ ἠχὼ ἀεὶ ἀνταδει καὶ ἀντηχεῖ, ἀντικτυπεῖ τε. Βάλλ' ἐς κόρακας.] ἔρρε ἐς κόρακας. Ὀτότυζε.] λέγε, θρήνει. Πωτεπωνή.] τουτέστιν αὕτη δὲ τίς ἐστι φωνὴ, πόθεν δὲ αὕτη ἡ φωνή. Κακκάσκιμοι.] τουτέστι κλαύσει καὶ στενάξεις, καὶ γοήσεις. κακκάζειν δὲ λέγουσιν οἱ ἀττικοὶ τὰς ὄρνεις πρὸς τὸ τίκτειν φθεγγομένας. Γρύζεις] κράζεις, κραυγάζεις, βοᾷς, ἀπὸ τοῦ γρῦ ἤπερ ἐστὶ φωνὴ τῶν χοίρων. Λαλοκαικαταρατογυναῖκα] λαλοῦσαν καὶ κατάρατον τὴν γυναῖκα.

F στωμυλλᾶσθαι τῷ ταυτὸν τῷ στωμύλλειν, καὶ στωμύλλεσθαι, ἤγουν φλυαρεῖν, καὶ ἄγαν, καὶ ἀκαίρως λαλεῖν. Εἰσήρρηκας] μετὰ τῆς σου φθορᾶς δεῦρο εἰσελήλυθας. ὡς τὴν σὴν φθορὰν εἰσῆλθες. παρὰ τὸ εἰσερρεῖν, ἀεὶ σὺ ἐν τοῖς ἄνω πολλὰ ἀρχόμενα. Μονῳδῆσαι] θρηνεῖν. μονῳδία, θρῆνος ᾠδῆς. μονῳδεῖν δὲ κυρίως λέγεται ὅταν τις μόνος τὴν ᾠδὴν ᾄδει, καὶ οὐχ' ὁμοῦ ὁ χορὸς ὅλος. Σ. νῦν δὲ καταχρηστικῶς ἀντὶ τοῦ μόνον θρηνεῖν λαμβάνει. αἱ. χαριεῖ δὲ, χαρίσῃ, χάριν δώσεις, παρέξεις. Ὀτότυζε] ὀτοτύζειν, λέγειν, θρηνεῖν. Ἡσύχιος. Σὶ κακόν;] ὁ Σκύθης κἀνταῦθα, καὶ ἐν τοῖς ἑξῆς, ὡς βάρβαρος βαρβαρίζει. ὅθεν σὶ κακόν; τί κακόν ἐστι; πωτεπωνή; πόθεν αὕτη ἡ φωνή; σὶ λαλεῖς; τί λαλεῖς; τὶ φωνεῖς; τί λέγεις; κλαύσαιμι. κλαύσῃ. κλαύσεις, οἰμώξεις. κακκάσκιμοι, καγχάζεις. Λάβε τῇ μιαρᾷ] λάβε τὴν μιαρὰν λάλον, καὶ κατάρατον γυναῖκα.

G

BISETVS. Στωμυλλομένη] φλυαροῦσα. στωμύλος, ὁ φλύαρος, καὶ λάλος. στωμυλία, ἡ φλυαρία καὶ

A

ΕΥΡΙΠΙΔΗΣ ΩΣ ΠΕΡΣΕΥΣ, Σκύθης.

Ω Θεοὶ, τίν' ἐς γῆν βαρβάρων ἀφίγμεθα
Ταχεῖ πεδίλῳ; διὰ μέσου γὰρ αἰθέρος
Τέμνων κέλευθον πόδα τίθημ' ὑπόπτερον,
Περσεὺς πρὸς Ἄργος ναυστολῶν τὸ Γοργόνος
Κάρα κομίζων. Σκ. τί λέγει τῆ Γοργόνος
πέρ;
Τὸ γραμματέο σὺ τῆ κεφαλῆ τὴν Γοργόνος.
Ευ. Ἔγωγε φημί. Σκ. Γοργό τοι κἀγὼ λέγι.
Ευ. Ἔα. τίν' ὄχθον τόνδ' ὁρῶ, καὶ παρθένον
Θεαῖς ὁμοίαν ναῦν ὅπως ὡρμισμένην;

EVRIPIDES VT PERSEVS, Scytha.

O Dij quámnam in terram Barbarorũ peruenimus
B Celeri talari? per medium enim atherem
Secans viam, pedem pono alatum
Perseus ad Argos nauigans, Gorgonis
Caput ferens. SC. Quid dicis tu Gorgone de?
Horribile tu caput Gorgonis?
EV. Equidem dico. SC. Gorgonem quidem etiam ego dico.
EV. Sine quémnam aggerem hunc video & virginem
C Deabus similem, nauim tanquam appulsam & littori alligatam?

BOVRDINVS. Ως περσεύς.] πεδίλῳ ποδὶ τέμνων κέλευθον βαδίζων πόδα ὑπόπτερον. Τίθημι.] τουτέστι, διαπέταμαι. Ναυστολῶν.] ναυαγῶν. Τὸ γοργόνος κάρα.] ὥστε πάντας ἐκφοβεῖσθαι δεινότητι ταύτης τῆς κεφαλῆς καὶ ἀπολιθοῦσθαι τοὺς μοι ἀντιστάντας, ὥσπερ ἐποίησεν ὁ περσεύς. ἐπεὶ δ' ὁ περσεὺς ἀνεῖλε τὴν γοργόνα λοξοδρεπάνῳ ἐπι-ρυψας ἑαυτὸν, ὥστε μὴ ὁραθῆναι τῇ τοῦ ἄδου κυνῇ. D Τί λέγεις.] ἡ γνώμη δὲ αὐτή ἐστι, τί λέγεις περὶ γοργόνος ἐκείνης. Κάρα] τὴν κεφαλὴν δεινὴν εἶναι φοβερὰν τε. Ωρμισμένην] πορευομένην, καὶ ὁρμήσασαν ταῖς ὄχθαις.

BISETVS. Ω θεοί] Εὐριπίδης τὸ Περσέως πρόσωπον πάλιν ἐνδυσάμενος εἰς τὸ προσκήνιον προέρχεται, καὶ ὡς πλείστου θαύματος ἔμπλεως, καὶ τῶν τόπων, εἰς οὓς ἀφίκετο, ἄπειρος, ταῦτα λέγει, καὶ ταύταις ταῖς τέχναις τὸν Μνησίλοχον ἐκ τῶν τοῦ Σκύθου χειρῶν ἐξελεῖν πειρᾶται, ἀλλὰ μάτην. καὶ γὰρ ὁ Σκύθης βαρβαρικῶς ἀνταγωνίζεται, καὶ αὐτοῦ τὸ ἐπιχείρημα τελειοῦσθαι οὐκ ἐπιτρέπει. E Ναυστολῶν] ναυστολία, ὁ πλοῦς. ναυστολεῖν, πλεῖν. παρὰ τὴν ναῦν, καὶ τὸ στέλλειν, εἴτε στέλλεσθαι, τὸ διὰ θαλάσσης πορεύεσθαι. νῦν δὲ μεταφορικῶς ληπτέον ἀντὶ τοῦ ἵπτασθαι. Κάρα κομίζων] τὴν κεφαλήν. καὶ τὸ κάρα μὲν οὐδέτερον κοινῶς. Ἰακῶς δὲ κάρη. παρὰ δὲ τοῖς νεωτέροις καὶ κάρη, κάρης θηλυκῶς λέγεται. Καλλίμαχος,

Ἕσπερέ τοι προέχευε κάρης εὐρεῖα καλύπτρη.

κάρα δὲ κατὰ μετάθεσιν εἴρηται ἐκ τοῦ ἄκρα. ἡ γὰρ κεφαλὴ ἐν τῷ σώματι ἄκρα τίς, καὶ οἱονεὶ ἀκρόπολις ὑπάρχει. Τί λέγεις] τί λέγεις σὺ περὶ τῆς Γοργόνος; τίνες δὲ καὶ πόσαι, F καὶ ποῖαι ἦσαν αἱ Γοργόνες, πότε, διὰ τί, καὶ πῶς αὐτὰς ὁ Περσεὺς ἀνεῖλε, δηλοῦσι τὰ παλαιὰ σχόλια εἰς τὸν Ἀπολλώνιον τῶν Ἀργοναυτικῶν γ. ἐν τῇ ἐξηγήσει τούτων τῶν ἐπῶν.

Εὖτε γὰρ ἰσόθεος Λιβύην ὑπερέπτατο Περσεὺς
Εὐρυμέδων (καὶ γὰρ τὸ κάλεσκε μιν οὔνομα μήτηρ)
Γοργόνος ἀρτίτομον κεφαλὴν βασιλῆϊ κομίζων.

καὶ τὰ ἑξῆς. τούτων καὶ Ἡσίοδος ἐν Θεογονίᾳ μνημονεύει, καὶ περὶ τῆς Μεδούσης ταῦτα λέγει,

D Τῆς δ' ὅτε δὴ Περσεὺς κεφαλὴν ἀπεδειροτόμησεν.

καὶ τὰ ἑξῆς.

Τὸ γραμματέο] τούτων ὁ νοῦς οὗτος εἶναι δοκεῖ. τοῦ γραμματέως σὺ τὴν κεφαλὴν τῆς Γοργόνος καλεῖς; Ἀριστοφάνης δὲ διὰ τούτων αἰνιγματικῶς τινὰ τῶν δημοσίων γραμματέων, τῶν τότε θεωμένων τὸ δρᾶμα, ἐκκόπτειν φαίνεται, καὶ πονηρὸν αὐτὸν καλεῖν, καὶ ἀποφαίνειν ἄξιον ταυτὰ τῇ Γοργόνι παθεῖν. πῶς τοίνυν σὺ λέγεις ταύτην τοῦ γραμματέως κεφαλὴν, Γοργόνος εἶναι κεφαλήν; ἴσως δὲ καὶ τὴν τούτου τοῦ γραμματέως δυσμορφίαν, καὶ αἰσχρότητα, καὶ τῶν ὀφθαλμῶν γοργότητα δηλοῦν οὕτως ἤθελε, δεικνύων αὐτὸν E τῇ Γοργόνι ὅμοιον. Γοργό τοι, ἀντὶ τοῦ Γοργώ τοι κἀγὼ λέγω. Ὄχθον] ὄχθος, κρημνὸς, πέτρα, τὸ ὑψηλὸν τοῦ ποταμοῦ, ἢ τῆς γῆς. ἢ τὸ ἀπόκρημνον στόμα θαλάσσης. κυρίως δὲ, ἡ ποταμῶν ἄκρα. Ἡσύχιος. Ἄλλως. ὄχθη, καὶ ὄχθος. παρὰ τὸ ἔχειν, ἤγουν ἐξέχειν λέγεται πλεονασμῷ τοῦ θ. ὄχθαι θαλάσσης αἰγιαλοί, ἀντὶ τοῦ αἰγιαλοί. ὄχθαι τὰ ὀφρύα τὰ χείλη, καὶ αἱ ἀναστάσεις. καὶ ὀχθεῖν, τὸ ἄχθεσθαι, καὶ ὑψοῦν θυμὸν, παρὰ τὸν ὄχθον, ὃ δηλοῖ ἀνάστημα. Εὐστάθιος. Ναῦν ὅπως] ὥσπερ ναῦν. ὡρμισμένην δὲ, πρὸς τὸν ὅρμον κατενεχθεῖσαν. ὁρμίζειν, τὸ ἐπὶ ὅρμον ἱστᾶν. ὁρμεῖν δὲ, F τὸ ἐν ὅρμῳ ἵστασθαι. ταῦτα δὲ διαφέρει ὡς τὸ πλουτίζειν, καὶ τὸ σωφρονίζειν, τοῦ πλουτεῖν, καὶ σωφρονεῖν. ὁρμεῖ μὲν γὰρ ἡ ναῦς. ὁρμίζει δὲ ἄλλος τινά. Εὐστάθιος.

ΜΝΗΣΙΛΟΧΟΣ ΩΣ ΑΝΔΡΟΜΕΔΗ.

G

Ω ξεῖνε κατοίκτειρόν με τὴν παναθλίαν.
Λῦσόν με δεσμῶν. Σκ. οὐκ ἰμὴ λαλῆς σύ.
Κατάρατο τολμᾷς ἀποτανουμένη λαλᾶς.
Ευ. Ω παρθέν'. οἰκτείρω σε κρεμαμένην ὁρῶν.
Σκ. Οὐ παρτέν' ἐστὶν, ἀλλὰ ἁμαρτωλὴ γέρον

MNESILOCHVS TANQVAM Andromeda.

O Hospes miserere mei miserrime,
Solue me vinculis. SC. ne nugeris tu,
Scelesta audes? moritura nugaris.
EV. O virgo misereor te suspensam videns esse.
SC. Non virgo est, sed scelestus senex,

BISETVS. Ὦ ξένε] Μνησίλοχος ὡς Ἀνδρομέδη τὴν τοῦ Εὐριπίδου βοήθειαν ὡς Περσέως ἐπικαλεῖ αὐτοῦ.

BOVRDINVS. Κατολέλοιπον] ἐλείπετον. Λύετον.] ἔκλυσον ἐκ τῶν δεσμῶν. Λαλῆς.] φλυαρῆς. Κατάρατο τολμᾷς.] ἐπάρατος οὕτω τολμᾷς. Ἀποθανουμένη λαλᾷς] φλυαρεῖς. Παρθένα.] ἀντὶ τοῦ παρθένος. Γέρων ἁ-

A μαρτωλὴ] ἐξαμαρτάνων.

BISETVS. Οὐαί μοι] καὶ ταῦτα βαρβάρως εἴρηται, ἀντὶ τοῦ, οὐκὶ λαλῆς σύ. ὦ κατάρατε λαλεῖν τολμᾷς; ἀποθανουμένη λαλεῖς; Οὐ παρθένη ἐστὶν] καὶ ταῦτα βάρβαρα. ἀλλ' οὕτως ἑλληνιστί. αὕτη οὐκ ἔστι παρθένος, ἀλλὰ γέρων ἁμαρτωλὸς, καὶ κλέπτης, καὶ πανοῦργος.

Καὶ κλέπτω καὶ πανοῦργο. Ευ. ληρεῖς ὦ Σκύθα
Αὕτη γάρ ἐστιν Ἀνδρομέδα παῖς Κηφέως
Σκ. Σκέψαι τὸ σκῦτο μήτι μικρὸν φαίνεται.
Ευ. Φέρε. δεῦρο. δεῦρό μοι τὴν χεῖρ' ἵν' ἅψωμαι κόρης.
Φέρε. Σκύθ' αἱ ἀνθρώποισι γὰρ νοσήματα
Ἅπασιν ἐστίν. ἐμὲ δὲ κἀυτὸν τῆς κόρης
Ταύτης ἔρως εἴληφεν. Σκ. οὐ ζηλῶ τί σε.
Ἀτὰρ εἰ τὸ πρωκτὸ δεῦρο περιεστραμμένον
Οὐκ ἐφθόνησας αὐτὸ πυγίζεις ἄγων.
Ευ. Τί δ' οὐκ ἐᾷς λύσαντά μ' αὐτὴν ὦ Σκύθα
Πεσεῖν ἐς εὐνὴν καὶ γαμήλιον λέχος.
Σκ. Εἰ σφόδρ' ἐπιθυμεῖς τὴ γέροντο πυγίσο
Τὴ σανίδο τρήσας ἐξόπισθο πρώκτισον.
Ευ. Μὰ Δί' ἀλλὰ λύσω δέμας. Σκ. μαστιγῶ σ' ἄρα.
Ευ. Καὶ μὴν ποιήσω τοῦτο. Σκ. τὸ κεφαλῆς ἄρα
Τὸ ξιφομάχαιρο ἀποκεκόψοι τουτοί.
Μν. Αἰαῖ τί δράσω, πρὸς τίνας στρεφθῶ λόγους;
Ἀλλ' οὐκ ἂν δέξαιτο βάρβαρος φύσις.
Σκαιοῖσι γάρ τοι καινὰ προσφέρων σοφὰ
Μάτην ἀναλίσκοις ἄν, ἀλλ' ἄλλην τινὰ
Τούτῳ πρέπουσαν μηχανὴν προσοιστέον.
Σκ. Μιαρὸς ἀλώπηξ οἷον ἐπιτηκίζει μοι.
Μν. Μέμνησο Περσεῦ μ' ὡς καταλείπεις ἀθλίαν.
Σκ. Ἔτι γὰρ σὺ τὴν μάστιγα ἐπιθυμεῖς λαβεῖν.
Χο. Παλλάδα τὴν φιλόχορον ἐμοὶ
Δεῦρο καλεῖν νόμος ἐς
Χορόν, παρθένον
Ἄζυγα κόρην,

Et fur, & maleficus. EV. *Nugaris ô Scytha,*
B *Hæc enim est Andromeda filia Cephei.*
SC. *Specta virile membrum, nunquid paruum videtur?*
EV. *Age huc huc mihi manum, vt tangam puellam.*
Age Scytha, hominibus enim morbi
Omnibus sunt, me verò etiam ipsum puellæ
Huius amor cepit. SC. *Non æmulor quicquam te:*
Sed si podicem huc conuersum
C *Non inuidisses, ipsum subagitares abducens.*
EV. *Quid verò non permittis soluentem me ipsam ô Scytha,*
Cadere & in lectum, & in nuptiale cubile?
SC. *Si valde cupis, senem subagita:*
Tabulam perforans à tergo subagita.
EV. *Non per Iouem, sed soluam corpus.* SC. *flagellabo te quidem.*
D EV. *Verùm faciam hoc.* SC. *caput igitur*
Ensis abscindet hic.
MN. *Heu heu, quid faciam? ad quásnam conuertar rationes & consilia?*
Sed non admitteret barbara natura.
Imperitis enim & asperis noua afferens consilia,
Frustra tempus & laborem consumeres: sed aliud quoddam
E *Huic conueniens consilium afferendum est.*
SC. *Scelesta vulpes vt simiam agit mihi.*
MN. *Memento Perseu, me quòd deseres miseram.*
SC. *Adhuc enim tu flagellum cupis accipere.*
CHO. *Palladem amicam chorearum mihi*
Huc vocare lex est,
F *Ad chorum, virginem,*
Inconiugatam puellam,

BOVRDINVS. Καὶ κλέπτω καὶ πανοῦργο] τουτέστι κλέπτων καὶ πανουργευόμενος. Σκέψαι.] σκυθικῶς τοῦτο λέγεται. σημαίνει δὲ σκέψαι τὸ αἰδοῖον πότερα μικρόν σοι φαίνεται. Ἅψωμαι] ἐφάπτωμαι. Νοσήματα.] ὑπὸ τοῦ ἀφροδισιαστικοῦ ἔρωτος. Ἐφθόνησας.] ἐφθόνησας. Πυγίζεις ἄγων.] ἐπύγισας, διέφθειρας, ἄχιστα εἰργάσω. Γαμήλιοι] τουτέστι γαμικὸν εὐνήν. Γεροντοπύγισο] πύγισον τὸν γέροντα. Σανιδοτρήσας.] τρήσας τὴν σανίδα καὶ διατρυπήσαμενος. Ἐξόπισθοπρώκτισον] ἐξόπισθεν κατὰ τὸ πύγισον, καὶ κατὰ πρώκτισον. Τὸ ξιφομάχαιραν.] γνώμη ἤδη ἐστὶν, τὴν σου τὴν κεφαλὴν καὶ κάρα τοῦτο τὸ ξίφος ἀποκόψει. Στρεφθῶ.] στραφῶ. Σκαιοῖσι γάρ.] καὶ γάρ φησιν ἀγροῖσι καινήν τινα προσφέρων σοφίαν, μάτην ἂν ὑποστείης. Ἀναλίσκοις] φθείρεις, τουτέστι ποιήσεις, πο-

G δαπανήσεις. Ἀλλ' ἄλλην τινὰ] ἀλλὰ δεῖ καινῆς τινὸς μηχανῆς καὶ σοφίσματος, εὑρήματός τε πρέποντος τούτῳ. Μιαρὸς] διὰ τὴν κακουργίαν. Ἐπιτηκίζει μοι.] ἀντὶ τοῦ ἐπιπιθηκίζει, ὡς δὴ πιθηκὸν μιμεῖται, καί με φενακίζει, ἐξαπατᾷν τε βούλεται. Ἄζυγα.] μήπω ζευχθεῖσαν μηδὲ γαμηθεῖσαν.

BISETVS. Σκέψαι τὸ σκῦτο] σκέψαι τὸ σκύτος, μή τι μικρὸν φαίνεται; σκύτος δὲ, πᾶν δέρμα. ἀλλὰ διεζωσμένοι εἰσήεσαν οἱ κωμικοὶ ὑποκειται. οἱ δὲ αἰδοῖα δερμάτινα γελοίου χάριν ἐπάνω τῶν ἰσχίων, καὶ τῶν αἰδοίων περικείμενοι. καὶ τοῦτ' ἐστὶν, ὅπερ ὁ Σκύθης ἐνταῦθα νοεῖ. Ἀτὰρ εἰ] ἀτὰρ εἰ τὸν πρωκτὸν δεῦρο ἐστραμμένον οὐκ ἐφθόνησας, αὐτὴ πύγιζε ἄγων. ἀντὶ πυγίζων. τοῦτο γὰρ καθ' ὑπαλλαγὴν εἰρῆσθαι δοκεῖ. τὸ δὲ πυγίζω, πυγὴν δὲ ἐχεῖα.

A ὄχημα. Εἰ παῖδ᾽ ἄρα] εἰ ἄρα ἐπιθυμεῖς τὸν γέροντα πυγίζειν, τὴν σανίδα ταύτας ἐξόπισθεν φρόντιζε, φρύαττε, τουτέστι πύγιζε. Ἀλλὰ λῦσον δεσμόν] ὁ δεσμὸς ἐστὶ ὀργανικῶς, καὶ ἐν τῷ πληθυντικῷ οἱ δεσμοί, τοὺς δ᾽ ἄλλους, καὶ τὰ δεσμὰ οὐδετέρως. οὕτω γάρ, ὥς φησιν Εὐστάθιος, καὶ τοὺς λύχνους, καὶ τοὺς δίφρους, λύχνα καὶ δίφρα οἱ παλαιοὶ ἔλεγον. γράφεται καὶ δέμας ἀντὶ τοῦ δεσμά. ἀλλ᾽ ὁ τοξότης τοῦτον τὸν γέροντα προσδέξασθαι οὐ δύναται. Τὸν ἐντελῆ ὅρα] τὴν κεφαλὴν ἄρα αὐτοῦ ἡ ξιφομάχαιρα ἀποκόψει. Αἲ αἲ τί δράσω] Εὐριπίδης τὰς ἐλπίδας ... τούτῳ μόνος αὐτὸς καθ᾽ αὐτὸν λέγει, καὶ πρὸς ἑτέρας τέχνας ἀπάτας ... ζει. Οἷον ὅτι πιθηκίζει μοι] ὅτι ἐμὲ πιθηκίζει, καὶ ἀπατᾶν πειρᾶται ὥσπερ μιαρὰ ἀλώπηξ. πιθηκίζειν δὲ παρὰ τὸν πίθηκον εἴρηται. πιθηκὸς ζῷόν, ἢ μιμητικόν ... ἡμᾶς ὅθεν τὸ πιθηκίζειν, τὸ τὸν πίθηκον ... ἀπατᾶν, καὶ κολακεύμασι μιμεῖσθαι. Ὡς κατελεύσῃ] ὥσπερ ἡ γραφὴ καλῶς ἔχει, ὡς παρὰ τὸ τύπτω, τὸ τυπτήσω γίνεται, οὕτω καὶ παρὰ τὸ ... τὸ κατελεύσω ... τὸ δὲ ἀττικῶς. τὸ δ᾽ ἐπιτυμεῖς ἀντὶ τοῦ ἐπιθυμεῖς εἴρηται τῷ βαρβάρῳ. Παλλάδα] ἑτέρα ... ᾄδοντος, καὶ ὀρχουμένου στροφή. στίχοι δὲ μικτοί ... Ἄζυγα κόραν] τὴν γάμῳ μὴ ζευχθεῖσαν. ἄζυγες ἵπποι, οἱ μὴ ἐζευγμένοι.

H πόλιν ἡμετέραν ἔχει,
Καὶ κράτος φανερὸν μόνη,
Κληδοῦχός τε καλεῖται.
Φάνηθ᾽ ὦ τυράννους
Στυγοῦσ᾽ ὥσπερ εἰκός.
Δῆμός τοι σε καλεῖ γυναικῶν. ἔχουσα δέ μοι μόλοις
Εἰρήνην φιλέορτον.
Ἥκετ᾽ εὔφρονες, ἵλαοι
Πότνιαι ἄλσος ἐς ὑμέτερον.
Οὗ δὴ ἀνδράσιν οὐ
Θεμιτὸν εἰσορᾶν
Ὄργια σεμνὰ θεαῖν.
Ἵνα λαμπάσι φαί-
νετον ἄμβροτον ὄψιν.
Μόλετον, ἔλθετον, αἰτόμεθ᾽ ὦ
Θεσμοφόρω πολὺ πότνια.
Εἰ καὶ πρότερόν ποτ᾽ ἐπηκόω
Ἤλθετον, νῦν ἀφίκε-
σθον ἱκετεύομεν ἐνθάδ᾽ ἡμῖν.

Quæ urbem nostram habet,
Et imperium manifestum sola,
Tutelarisque appellatur.
Appare ò tyrannos
Odio prosequens, quemadmodũ conueniens est,
C *Populus quidem te inuocat*
Mulierum, habens autem mihi venias,
Pacem amicam festorum.
Venite læta propitiæ,
Veneranda lucum in vestrum.
Cuius quidem viris non
Fas est intueri
Sacra veneranda Dearum,
Vt facibus
D *Luceatis immortali aspectu.*
Venite, accedite precamur,
O Ceres & Proserpina longè venerandæ.
Si prius vnquam propitiæ & exaudientes
Venistis, nunc venite,
Oramus huc nobis.

BISETVS. Ἡ πόλιν ἡμετέραν ἔχει] ὅθεν πολιοῦχος Ἀθηνᾶ.

BOVRDINVS. Κληδοῦχος.] τουτέστι κλεῖς ἔχουσα τῆς πόλεως καὶ ἐκείνας πιστευθεῖσα. Στυγοῦσα] μισοῦσα. Δῆμος] τὸ πλῆθος. Φιλέορτον.] φιλοῦσαν ἑορτάς. Ἵλαοι.] εὐμενεῖς, πρᾶαι, φιλάνθρωποι, ἐπιχαρίσατε. Ὄργια σεμνά] σεμνὰς ἑορτάς. Ἄμβροτον ὄψιν.] ἀθάνατον. Αἰτόμεθα] εὐχόμεθα. Ἐπηκόω.] τουτέστι πρᾶως καὶ εὐμενῶς ἠκούσατε.

BISETVS. Κληδοῦχος] ἡ κλῆδας, ἤτοι κλεῖδας ἔχουσα. ἐπίθετον Ἀθηνᾶς, ὡς νῦν δέσποιναν, καὶ τὰς τῆς πόλεως κλεῖδας ἐχούσας, καὶ τηροῦσαν δηλοῖ, συνέχουσα δή, μισοῦσα. μόλοις, ἔλθοις παρὰ τὸ μολεῖν τὸ ἔρχεσθαι. πότνιαι δέ, πότναι, σεβασταί, ἔντιμοι, καὶ δέσποιναι, ὅθεν τὸ ποτνιᾶν, καὶ ποτνιᾶσθαι τὸ ἱκετεύειν. ἄλσος δέ, τόπος συνδενδρος οὕτω καλεῖται. ἄλσεα, τεμένη, οἱ κάθυγροι, καὶ σύμφυτοι λειμῶνες, καὶ τόποι κατάδενδροι, παρὰ τὸ ἄνθειν, καὶ αὔξησιν τῶν φυτῶν ὄντες ἐπιτήδειοι. Θεαῖν] τῆς Δήμητρος, καὶ τῆς Κόρης, ἃς καλεῖ Θεσμοφόρω πολὺ πότνια. αἰτόμεθα δέ, εἴπερ ἡ γραφὴ καλῶς ἔχει, μέτρου χάριν εἴρηται, ἀντὶ τοῦ αἰτούμεθα, δεόμεθα, ἱκετεύομεν. Ἐπηκόω δέ, ἀπὸ τοῦ ἐπήκοος, ὅπερ ἐνταῦθα λαμβάνεται ἀντὶ τοῦ ἵλαος, εὐμενής. ἀλλαχοῦ δὲ ἐπήκοοι κατὰ τὸν Ἡσύχιον, οἱ κριταί, καὶ οἱ μάρτυρες, καὶ οἱ δικάζοντες λέγονται.

F

ΕΥΡΙΠΙΔΗΣ, ΧΟΡΟΣ.

Ευ. Γυναῖκες εἰ βούλεσθε τὸν λοιπὸν χρόνον
Σπονδὰς ποιήσασθαι πρὸς ἐμέ, νυνὶ πάρα.
Ἐφ᾽ ᾧ τ᾽ ἀκούσαι μηδὲν ὑπ᾽ ἐμοῦ μηδαμὰ
Κακὸν τὸ λοιπόν ταῦτ᾽ ἐπικηρυκεύομαι.
Χο. Χρεία δὲ ποία τόνδ᾽ ἐπεισφέρεις λόγον.

EVRIPIDES, CHORVS.

EV. Mulieres, si vultis in reliquum tempus
Fœdera facere mecum, nunc licet
Hac conditione, vt audiatis nullum à me vnquam
G Malum posthac, hæc fœdera compono.
CHO. Qua verò necessitate hanc affers nobis orationem?

BOVR. Σπονδὰς ποιήσασθαι,] σπένδεσθαι. Ἐφ᾽ ᾧ.] ἐπὶ τῷ ἀκούσαι μηδὲν ὑπ᾽ ἐμοῦ μηδαμῶς. Ἐπικηρυκεύομαι] ταῦτα τὰ κηρύγματα ποιῶ. Χρεία δὲ ποία] τουτέστι διὰ ποίαν χρείαν. Ἐπεισφέρεις] ἐπάγεις τοῦτον τὸν λόγον.

BISETVS. Γυναῖκες αἱ βούλεσθε] Ἐνταῦθα Εὐριπίδης καταμαθὼν τὸν Μνησίλοχον τοῖς ἑαυτοῦ δόλοις, καὶ τέχναις ἐκ τῆς γυναικῶν φυλακῆς ἐκφεύξεσθαι, καὶ σωθῆναι ἀδυνατοῦντα, τέλος ἅπαν τὸ πρᾶγμα, καὶ τὴν αὑτοῦ γνώμην φανερῶς ταῖς γυναιξὶ δηλοῖ, καὶ παρ' αὐτῶν εἰρήνην αἰτεῖ, ἐφ' ᾧ τὸν Μνησίλοχον ὑπ' αὐτῶν ἀπολυθῆναι, καὶ ἀβλαβῆ ἀφεθῆναι, αὐτὸν δὲ τὸν Εὐριπίδην εἰς τὸ λοιπὸν τὰς γυναῖκας κακολογοῦντα, λοιδοροῦντα, καὶ τοῖς αὐτοῦ δράμασιν ὑβρίζοντα παυθῆναι. ῥᾳδίως δὲ τῶν ἀξιωμά-

A των, καὶ τῆς διαλλαγῆς παρὰ τῶν γυναικῶν ἔτυχεν, ἐφ' ᾧτε καὶ τὸν Σκύθην τὸν Μνησιλόχου φύλακα πρὸς τοῦτο προσβιβάσαι, καὶ πεῖσαι. ὕστερον δὲ καὶ τοῦτον τοῖς συνήθεσι δόλοις, καὶ τέχναις χρησάμενος εἰς γραῦν μεταμορφωθεὶς, μετά τινος νεανίδος αὐτῇ ἀκολουθούσης οὐκ ἄνευ πολλοῦ τῶν θεατῶν γέλωτος ἀπῆλθεν ἀπατήσας. Ἐπικηρυκεύομαι] ἐπικηρυκεύεσθαι κυρίως λέγονται αἱ πόλεις, ὅταν κήρυκας ἐπὶ συμβάσεσι, καὶ σπονδαῖς πέμπωσι. καὶ ἐπικηρυκεία, ὅταν κήρυκας πέμπονται, ἀνοχὰς ἢ εἰρήνην αἰτησόμενοι.

Ευ. Ὅδ' ἐστὶν οὑν τῇ σανίδι κηδεστὴς ἐμός.
Ἢν οὖν κομίσωμαι τοῦτον, οὐδὲν μήποτε
Κακῶς ἀκούσητ', ἢν δὲ μὴ πείθησθέ μοι,
Ἃ νῦν ὑποικουρεῖτε, τοῖσιν ἀνδράσιν
Ἀπὸ τῆς στρατιᾶς παροῦσιν ὑμῶν διαβαλῶ.
Χο. Τὰ μὲν παρ' ἡμῶν ἴσθι σοι πεπεισμένα.
Τὸν βάρβαρον δὲ τοῦτον αὐτὸς πεῖσαι σύ.

B EV. *Hic est quidem tabulæ alligatus socer meus,*
Si igitur accepero hunc, nihil vnquam
Male audietis: si verò non parueritis mihi,
Quæ domi occultè agitis, maritis
Ab exercitu reuersis & præsentibus vestrûm calumniabor.
CHO. *Quæ quidem à nobis desideras, scias à te persuasa esse nobis.*
Barbarum autem hunc ipse persuadendo moueto.

C

BOVRDINVS. Τῇ σανίδι] πρὸς τῇ σανίδι δεθείς. Κομίσωμαι.] ἀνακομίσωμαι. Διαβαλῶ.] ἀναγγελῶ. Ὑποικουρεῖτε.] λάθρα ποιεῖτε οἰκουροῦσαι ἐν οἴκοις μένουσαι.

BISETVS. Οὑν τῇ σανίδι] ὁ ἐν τῇ σανίδι δεθεὶς, ἐμός ἐστι κηδεστής. κομίσωμαι δὲ, ἀπολάβω, ἀναλάβω.

Ὑποικουρεῖτε] ἃ νῦν λαθραίως συμβουλεύετε, καὶ πράττετε. διαβαλῶ δὲ, μετὰ διαβολῆς, καὶ κατηγορίας φανερώσω. Πεῖσαί σε] πεῖσον, πείσθητι. προστακτικὸν τοῦ ἀορ. α. μέσου. ὡς τύψαι, τυψάσθω. Ἀττικῶν δέ ἐστι τὸ μέσοις, καὶ παθητικοῖς ῥήμασιν ἀντὶ τῶν ἐνεργητικῶν χρῆσθαι. ἀλλ' ἐνταῦθ' ἴσως μέτρου χάριν, πεῖθε γράπτέον.

D

ΕΥΡΙΠΙΔΗΣ ὡς ΓΡΑΥΣ.

Ευ. Ἐμὸν ἔργον ἐστὶν καὶ σὸν ὦ 'Λάφιον ἅ σοι
Καθ' ὁδὸν ἔφραζον, ταῦτα μεμνῆσθαι ποεῖν.
Πρῶτον μὲν οὖν διελθὲ κἀνακόλπασον.
Σὺ δ' ὦ Τερήδων ἐπαναφύσα Περσικόν.
Σκ. Τί τὸ βόμβο τοῦτο; κῶμό τίς ἀνεγείρει μοι.
Ευ. Ἡ παῖς ἔμελλε προμελετᾶν ὦ τοξότα.
Ὀρχησομένη γὰρ ἔρχεθ' ὡς ἄνδρας τινάς.
Σκ. Ὀρχῆσι καὶ μελετῆσι. οὐ κωλύσ' ἐγώ.
Ὡς ἐλαφρὸς ὥσπερ ψύλλο κατὰ τὸ κώδιο.

EVRIPIDES vt ANVS.

EV. *Meum quidem officium est & tuum, ô Elaphion, quæ tibi*
In itinere dixi, hæc recordari facere.
Primùm igitur procede ad saltandum, & succinge vestem.
E *Tu verò ô Teredon infla Persicum in morem.*
SC. *Quisnam bombus hic est? comessationem & saltationem quis excitat mihi?*
EV. *Puella prælusura est ô Satelles,*
Saltatura enim venit ad viros quosdam.
SC. *Saltet & præludat, non prohibebo ego.*
Quàm agilis, tanquam pulex super pellem & stragulum cum villis.

BISETVS. Ἐμὸν ἔργον ἐστὶ] Εὐριπίδης γραὸς πρόσωπον ἐνδυσάμενος τὴν νεάνισιν, ἃς μεθ' αὑτοῦ προσάγει, τὸν Σκύθην ἐξαπατήσων, ἀποφαίνει, καὶ ἐπιτάττει τί αὐτὰς ποιεῖν δέῃ. Ὦ 'Λάφιον, ὦ Ἐλάφιον. τοῦτο κύριον ὄνομα Κόρης, ὡς καὶ τὸ Τερήδων. Τερηδὼν δὲ ὀξύτονον, σκώληξ οἰκῶν ἐν ξύλῳ. Ἡσύχιος.

BOVRDINVS. Ἀνακόλπασον] τὸ ἔνδυμά σου ἀποζώννυε, ἀπόσφιγγε. Ἐπαναφύσα] ἀναφύσα, ἀνάπνει κατὰ περσικὸν τρόπον. Βόμβο.] τοῦτο βόμβος ὁ κτύπος παρὰ βαρβάρου ὥσπερ τῶν συριγγῶν βομβούντων καὶ ψοφούντων. γνώμη δ' ἥδε, τίς ἐστὶ βόμβος ὅστις ἀντιβοΐζει μοὶ καὶ ἀνεγείρει τὸν κῶμον. Προμελετᾶν] προπαίζειν. Ὀρχῆσι καὶ μελετῆσι] ὀρχείσθω καὶ μελετάτω. Ἐλαφρὸς] ἐλαφρός. Ὥσπερ ψυλλοκατατοκώδιο] ὥσπερ ἐστὶ ψύλλα ἐν τῷ κωδίῳ, τουτέστι τῷ δέρματι μετὰ τριχῶν.

BISETVS. Κἀνακόλπισον] τουτέστι τὰς ἐσθῆτας οἱονεὶ εἰς τινα κόλπον σύλλεγε, σύστελλε, ἵνα πρὸς τὴν ὄρχησιν ὦσιν ἐπιτηδειότεροι. ἔν τισι γράφεται κἀνακόλπασον,

F ἀλλὰ διεφθαρμένως. Σὺ δ' ὦ Τερ.] ὦ Τερήδων, σὺ δὲ νῦν ἐπαναφύσα περσικὸν ᾆσμα. τουτέστιν, ᾆδε βαρβαρικόν τι μέλος, βαρβαρικήν τινα μολπὴν, καὶ ᾠδὴν, οἷάπερ ἡ τῶν Περσῶν βαρβάρων ἀνθρώπων. τὸ δὲ ἀναφυσᾶν κυρίως μὲν λέγεται περὶ τῶν σαλπικτῶν καὶ αὐλητῶν, οἵπερ ἐν τῷ αὐτοῦ σαλπίζουσι, καὶ αὐλήσουσι τῇ φυσήσει χρῶνται, καὶ σαλπίζουσι, καὶ αὐλοῦσι φυσῶντες. νῦν δὲ τὸ ἀναφυσᾶν, ἁπλῶς δοκεῖ ληπτέον ἀντὶ τοῦ ᾄδειν, καὶ τὴν αὐτὴν ᾠδὴν πολλάκις λέγειν. ἡ γὰρ ἀνὰ πρόθεσις ἐνταῦθα τοιαύτην ὧδ' ἧς ἐπανάληψιν, καὶ ἀναχρίνωσιν σημαίνει. Τί τὸ βόμβο] τίς ἐστιν
G ὁ βόμβος; κῶμόν τις ἀνεγείρει μοι; ὁ Σκύθης τοῦ τῆς αὐλήσεως ψόφον ἀκούων ταῦτα λέγει. Προμελετᾶν] μελετᾶν, ἀσκεῖν, ἐπιμελεῖσθαι, γυμνάζεσθαι. μελέτη γὰρ, ἄσκησις, ἐπιμέλεια. ὅθεν καὶ σύνθετον ῥῆμα προμελετᾶν. Ὀρχῆσι] ὀρχείσθω καὶ μελετάτω. οὐκ ἐγὼ κωλύσω. Ὡς ἐλαφρὸς] ὡς ἐλαφρός. ὥσπερ ψύλλος κατὰ τὸ κώδιον. ἐλαφρὸς, κοῦφος. ψύλλος, καὶ ἀττικῶς ψύλλα, ζῷον πᾶσι γνωστόν. κώδιον δὲ, τὸ ἅμα ταῖς θρίξι δέρμα σκευαζόμενον. καὶ τὸ τοῦ προβάτου δέρμα. Σ.

Ευ. Φέρε

A Εὐ. Φέρε θοιμάτιον ἄνωθεν ὦ τέκνον τοδί
Καθιζομένη δ᾽ ἐπὶ τοῖς γόνασι τοῦ Σκύθου
Τὼ πόδε πρότεινον ἵν᾽ ὑπολύσω. Σκ. ναίκι ναί
Κάτησο. κάτησο. ναίκι. ναὶ τυγάτριον.
Οἴμ᾽ ὡς τέρι τὸ τιττί᾽ ὥσπερ γογγύλη.
B Γρ. Αὔλει σὺ θᾶττον. ἔτι δέδοικας τὸν Σκύθην.
Σκ. Καλόγι τὸ πυγή. Γρ. κλαυσῇ γ᾽ αἱ μὴ ἔνδον μένῃς.
Ἀνακύπτει καὶ παρακύπτει ἀπεψωλημένος.
Σκ. Εἶεν καλὸ τὸ σχῆμα περὶ τὸ ποσίον.
Γρ. Καλῶς ἔχει. λαβὲ θοιμάτιον ὥρα ᾽στὶ νῷν
Ἤδη βαδίζειν. Σκ. τί; οὐχὶ πλήσῃ πρῶτά με;
C Γρ. Πάνυ γε. φίλησον αὐτόν. Σκ. παπαπαπαῖ.
Ὡς γλυκερὸ τὸ γλῶσσ᾽. ὥσπερ ἀττικὸς μέλις
Τί οὐ κατεύδει παρ᾽ ἐμέ. Γρ. χαῖρε τοξότα.
Οὐ γὰρ γένοιτ᾽ ἂν τοῦτο. Σκ. ναὶ γραΐδιον
Ἐμοὶ χάρισαι τοῦτο. Γρ. δώσεις οὖν δραχμήν.
D Σκ. Ναὶ ναίκι δῶσι. Γρ. τἀργύριον τοίνυν φέρε.
Σκ. Ἀλλ᾽ οὐκ ἔχ᾽ ὠδὲν ἀλλὰ τὸ συβήνην λάβε.
Γρ. Ἔπειτα κομίζεις αὐτοῖς. Σκ. ἀκολούτι τέκνον.
Σὺ δὲ τοῦτο τήρει τῇ γεροντογράδιο.
Ὄνομα δέ σοι τί ἐστιν. Γρ. Ἀρτεμισία.
Σκ. Μεμνῆσι τοίνυν τοὔνομ᾽ Ἀρταμουξία.

Age pallium sursum ô filia hoc,
Sedénsque in genibus Scytha,
Pedes protende, ut detraham tibi calceos. SC. *certè certè*
Sede, sede, na na filiola.
Hei mihi, quàm dura & solida papilla tanquam rapum.
EV *Infla tibiam tu citò, adhuc times Scytham.*
SC. *Pulchræ quidem sunt nates.* MVL. *plorabis quidem nisi intus manseris.*
Extrahit & attrahit penem nudatus & erectus.
SC. *Esto, pulchra est forma circa præputium.*
MVL. *Rectè se habet res, sume pallium, hora est nobis*
Iam abeũdi. SC. *quid nõ osculaberis primùm me?*
EV. *Valde quidem osculare ipsum.* SC. *Papæ papæ,*
Quàm dulcis lingua tanquam Atticum mel,
Quid non dormis apud me? MVL. *Vade Satelles.*
Non enim fieri posset hoc. SC. *Na anicula*
Mihi gratificare hoc. MVL. *dabis igitur drachmam?*
SC. *Na na dabo tibi.* MVL. *Pecuniam igitur affer.*
SC. *Sed non habeo quicquam, sed concumbere accipe.*
MVL. *Deinde fers ipsis?* SC. *sequere filia, hunc*
Tu verò hunc serua senem.
Nomen verò tibi quódnã est? MVL. *Artemisia.*
SC. *Memento igitur nomen Artomuxia.*

BOVRDINVS. Ὑποδύσω] ἐκδύσω τοὺς πόδας, ἀφαιρήσομαι θ᾽ ὑποδύματα. Τέρι πὸ τὸ τιτθί] ὡς ἐστὶ τὰ τίτθια στερεὰ, καὶ σκληρὰ καὶ γογγύλα, ὡς γογγύλη. Ἀπεψωλημένος] ἀποτετιλμένος, ἀποκεκαρμένος τὴν ψωλήν. Σχῆμα] εἶδος. Ποσίον] πόσθιον. Ἐπιλύσει] ἐπικύσεις. Παπαπαπαῖ] ἐπίρρημα τοῦ ὑπερμέτρα χαίροντος χ᾽ ἡδομένου. Κάρισο] τουτέστι χάρισαι. Συβήνην] τὴν ξύμβασιν, τὴν συνουσίαν.

BISETVS. Ναί κι ναί] ναί, ναὶ κάθησο. ναί, ναὶ θυγάτριον. οἴμοι ὡς στερρὸν τὸ τιτθίον ὥσπερ γογγύλη. γογγύλη δὲ, μᾶζα μεμαγμένη στρογγυλοειδής. ἔστι καὶ λαχάνου εἶδος. Καλό γε τὸ πυγή] καλή γε ἡ πυγή. Κλαυσῇ γ᾽ ἐάν] κλαύσει γε ἐὰν μὴ μένῃς ἔνδον. τοῦτο παροιμιακῶς εἰρῆσθαι φαίνεται. ἀντὶ τοῦ κλαύσεις, οἰμώξεις, εἰ μὴ σεαυτὸν κατέχῃς ἐντὸς τῶν τῆς σωφροσύνης ὅρων. τουτέστιν εἰ μὴ σωφρονῇς ἀπὸ τοιαύτης ἀσελγείας ἀπεχόμενος. τοῦτο δὲ λέγει ὅτι ὁ Σκύθης οὐ μόνον αἰσχροὺς λόγους, ἀλλὰ καὶ ἀπρεπέστατα ἀφὰς ὀρχοῦ... ἀναιδάζειν συνέπεται τῇ Τερήδωνι, ἧς τὸ κάλλει ἀλλὼς ἑάλωκε. ἀλλ᾽ Εὐριπίδης ὡς γραῦς αὐτῷ ἀπειλητικῶς ἐπιτιμᾷ. τοῦτο δὲ ἐν τοῖς ἑξῆς δῆλον. καὶ γὰρ ὁ τοξότης τῇ τῆς συνουσίας ἐπιθυμίᾳ ἀνακύπτων, καὶ παρακύπτων ἀπεψωλημένος πολλὰ παρὰ τὸ πρέπον ἠσχημόνει. ψωλὸς δὲ, ὁ λειπόδερμος ὀξυτόνως. καὶ ἀκρόψωλος, ὁ ἐπὶ βραχὺ τοιοῦτος. ἢ ὁ ἀχάλινον κατὰ παρέκτασιν τοῦ μορίου. ὅθεν τὸ ἀποψωλεῖν, τὸ ψωλὸν ποιεῖν. Εἶεν. καλὸ τό.] εἶεν. καλὸν τὸ σχῆμα περὶ τὸ ποσθίον. Τί; οὐκί] τί; οὐχὶ φιλήσεις πρῶτον ἐμέ; τοῦτο ὁ λαγνότατος Σκύθης λέγει. καὶ γὰρ κατὰ τὸν Θεόκριτον,

Ἔστι καὶ ἐν κενεοῖσι φιλάμασιν ἁδέα τέρψις.

Ὡς γλυκερὸ] ὡς γλυκερὸν ἡ γλῶσσα. ἢ ὡς γλυκερὰ ἡ γλῶσσα, ὥσπερ ἀττικὸν μέλι διὰ τί. οὐ καθεύδεις παρ᾽ ἐμοί; γλυ-
E κερὰν γλῶσσαν καλεῖ τὸ καταγλώττισμα, καὶ φιλήματος αἰσχροῦ εἶδος, ὅ τινες φίλημα περιστερῶν καλοῦσι. Ναὶ γραΐδιον] οὕτω γραΐδιον μέτρῳ χάριν. γραΐδιον δὲ, ὑποκοριστικὸν τοῦ γραῦς. γραός. ἐκ τούτων δὲ δῆλον ὅτι ἐνταῦθα, γραῦν ἀντὶ τοῦ γυ. γραΐδιον γ. τουτέστι γραῦς, ἣν οὖν Εὐριπίδης ὡς γραῦς, καὶ γραῦς ἦν προσποιούμενος. κάρισο δὲ, βάρβαρον, ἀντὶ τοῦ χάρισαι μοι. ναὶ ναίκι δῶσι. ἀντὶ τοῦ, ναί. ναὶ δώσω σοι. Ἀλλ᾽ οὐκ ἔχ᾽ ὠδέν] ἀλλ᾽ οὐκ ἔχω οὐδέν. ἀλλὰ λάβε τὴν συβήνην. συβήνη δὲ, ἡ δερματικὴ αὐλοθήκη, ἢ φαρέτρα. Σ. Ἄλλως. συβήνη, αὐλοθήκη, ἢ τοξοθήκη, ἢ
F ὁ ναυτικὸς χιτών. κομιεῖς δὲ, κομίσεις. ἀττικὸν σχῆμα. κομίσεις οὖν τὸ ἀργύριον δηλονότι, ὃ νῦν οὐκ ἔχειν λέγεις. Ἀκολούτι τέκνον] ἀκολούθει τέκνον. ὦ κόρη ἀκολούθει μοι. τῷ γεροντογραΐδιο δὲ, τὸ γέρον γραΐδιον, τὸ παλαιὸν γραΐδιον. τοῦτο δὲ ὁ τοξότης λέγει πρὸς τὸν Εὐριπίδην, ὃς γραῦς ἦν ἐσκήπτετο. ὦ γραῦ τήρει, καὶ φύλαττε τοῦτο τὸ παλαιὸν γραΐδιον, τουτέστι τὸν Μνησίλοχον, ὃς διὰ τὸ πλῆθος τῶν ἐτῶν, ἴσως δὲ καὶ διὰ τὸ τοῦ φορήματος, καὶ σχήματος εἶδος γέρων ἦν ἐδόκει. ὁ βάρβαρος τοίνυν ἀμελῶν τῆς τοῦ Μνησιλόχου
G φυλακῆς ὑπὸ τοῦ Πρυτάνεως ἐπιτεταγμένης, τῇ λαγνείᾳ ἀναρπασθεὶς ἠδυπαθεῖν ἔγνω, ὅπερ τῆς ἀπολύσεως, φυγῆς, καὶ σωτηρίας αἴτιον ἐγένετο τῷ πρότερον δεθέντι, καὶ φυλαχθέντι. ὁ δὲ τοξότης τὸν Μνησίλοχον, τοτὲ μὲν, ὡς γυναῖκα, γραῦν καλεῖ. τοτὲ δὲ, ὡς ἄνδρα, γέροντα ὀνομάζει. Μεμνῆσι] μέμνησο τοῦ ὀνόματος. Ἀρτομουξία, ἀντὶ τοῦ Ἀρτεμισία.

μένως διὰ τὴν ἑαυτῆς ἀμέλειαν, καὶ ὀλιγωρίαν ἀποφυγεῖν ἐάσειν, οἱ τῶν Ἀρχόντων ζημίαν ἐπιτιθέασιν. ἀλλὰ ταῦτα πάντα, ἅπερ ὁ βάρβαρος βαρβάρως ἐκφέρει, ὡς καὶ τὰ ἄνω, καὶ τὰ ἑξῆς μέχρι τοῦ τέλους, ἑλληνικῶς οὕτως ἑρμηνευτέον. Ὀρθῶς δὲ] ὁ τούτων τοὺς λόγους φαίνεται. ὁ Σκύθης τέλος καταμαθὼν τοὺς τῆς γραὸς δόλους, ἐνόμιζε καὶ τὴν συβήνην, ἣν πρότερον ἀντὶ τοῦ ὀργυρίου, ὃ ὑπὲρ τῆς κόρης διδόναι ὤφειλεν, ὑπ' αὐτῆς ἁρπασθεῖσαν. ἀλλὰ παρὰ προσδοκίαν εὑρὼν αὐτὴν, ταῦτα λέγει. ὀρθῶς ἔχει ἡ συβήνη. ὡς εἰ λέγοι, καὶ γὰρ ἐν ᾧ χωρίῳ αὐτὴν ἐντεῦθεν ἀπερχόμενος ἔλιπον, ἐν τῷ αὐτῷ καὶ νῦν οὖσαν εὗρον. τὸ δὲ ἑξῆς καταβεβήκασι, ἄδηλον. εἰ μὴ ἀντὶ τοῦ κατέβη ληφθείη. ὅπερ ὡς καὶ τὰ λοιπὰ βαρβάρως ὑπὸ βαρβάρου λεχθείη. τοῦτο δὲ τὸ σύνθετον ἀντὶ τοῦ ἀπῆλθε ἔβη, ἢ καὶ ἀντὶ τοῦ ἀπέβη, ἤγουν ἀπῆλθε, ληπτέον. ἡ γραῦς οὖν ἀπῆλθεν. εἶτα ἐπιφέρει, οἴμοι τί δράσω; ποῖ τὸ γραΐδιον ἀποπέφευγεν; Ἀρτεμισία τὸν γέροντα ἐκάλεσε, καὶ ἀπέδρα. Τὴν γραῦν ἐρωτᾷς] ὁ τῶν γυναικῶν χορὸς τὸν Σκύθην δεῦρο, κἀκεῖσε μάτην ὁρμώμενον, καὶ ἀποροῦντα ποῖ τράποιτο, καὶ τίνα πορείαν μετέλθοι, ὅπως Εὐριπίδην φεύγοντα διώκῃ, καταλάβῃ, καὶ ἀνέλκῃ, πάντα τρόπον καταβάλλει, καὶ σκώπτει. Τὰς πηκτίδας] πηκτὶς, πηκτίδος, πανδουρομάχαιρα κρεωκόπος. παρὰ δὲ τῷ Ἀριστοφάνει ἐν ταῖς Θεσμοφοριαζούσαις, εἶδος ὀργάνου κιθαρῳδικοῦ. ἢ εἶδος ἀπολάστου σχήματος. καὶ ἐν ἐπιγράμματι,

Ἁδὺ μέλος, νὴ Πᾶνα τὸν Ἀρκάδα, πηκτίδι μέλπεις.
Σ. ἄλλως. πηκτὶς, πανδούριον, ψαλτήριον, σύριγξ, ὄργανον. καὶ πηκτίδες, καὶ σύριγγες, ὄργανα μουσικά. Ἡσύχιος. ἐκ δὲ τούτων ἴσως εἰκάσειεν ἄν τις παρὰ τῷ Σουΐδᾳ γραπτέον διὰ δυοῖν φωναῖν διεζευγμέναιν, πανδοῦρα μάχαιρα κρεωκόπος.

Σκ. Κροκῶτ' ἔχοντο τῇ γέροντο; Χο. φήμ' ἐγώ.
Ἔτ' ἂν καταλάβοις, εἰ διώκοις ταυτηί.
Σκ. Ὦ μιαρὸ γραῦ. πότερα τρέξι τὴν ὁδὸ
Ἀρταμουξία.
Χο. Ὀρθὴν ἄνω δίωκε. ποῖ θεῖς. οὐ πάλιν
Τῇδε διώξεις; τοὔμπαλιν τρέχεις σύγε.
Σκ. Κακόδαιμον ἀλλὰ τρέξι Ἀρταμουξία.
Χο. Τρέχε νῦν κατὰ τοὺς κόρακας ἐπουρίσας.
Ἀλλὰ πέπαισται μετρίως ἡμῖν. ὥσθ' ὥρα δή 'στι βαδίζειν
Οἴκαδ' ἑκάστῃ.
Τὼ Θεσμοφόρω δ' ἡμῖν ἀγαθὴν
Τούτων χάριν ἀνταποδοίτην.

SC. Crocotulam habebat ne senex? CHO. assero ego.
Adhuc ipsum comprehenderes, si insequereris hac.
SC. O scelesta anus, utrum cucurrit hac via Artamuxia?
CHO. Recta via sursum insequere, quo curris? nonne rursus
Hac insequeris? contrario modo curris tu.
SC. Infelix ego, alia aufugit Artamuxia.
CHO. Curre nunc in coruos, secundo vento profectus.
Sed auditum est satis nobis, unde tempus quidem est abeundi
Domum unicuique. (nam
Ceres autem & Proserpina legifera, nobis bo-
Horum gratiam retribuant.

BISETVS. Κροκῶτ' ἔχοντο] ταῦτα μετ' ἐρωτήσεως. ἀντὶ τοῦ, ὁ γέρων ἆρα κροκωτὸν εἶχε;

BOVRDINVS. Ἔχοντο] εἶχεν ὁ γέρων, σκυθικῇ διαλέκτῳ. Τοὔμπαλιν] ἐπὶ τοὐναντίον τρέχεις. Ἐπουρίσας.] ἐπακολουθήσας, εὐμενεῖ, καὶ εὐτυχεῖ πνεύματι. Ἀνταποδοῖτον.] ἀνταποδοῖεν τούτων ἀγαθὴν χάριν.

BISETVS. Ὦ μιαρὸ γραῦ] ὦ μιαρὰ γραῦ. πότερον τρέχει κατὰ τήνδε τὴν ὁδόν; ἢ, πότερον ταύτῃ ἀπέδραμεν, ἢ ἄλλῃ. Ἀλλὰ τρέξι] ἄλλῃ, δι' ἄλλης ὁδοῦ τρέχει, ἢ ἀπέδραμεν. Ἐπουρίσας] οὐρίῳ ἀνέμῳ ὁρμηθεὶς, ἢ φερόμενος. τουτέστιν, ὡς τάχιστα νῦν ἐς κόρακας ἔρρε. ἡ δὲ μεταφορὰ ἀπὸ τῶν πλεόντων, καὶ οὐρίῳ ἀνέμῳ κατὰ τὸν πλοῦν χρωμένων. οὖρος γὰρ ὁ ἄνεμος, παρὰ τὸ ὀρούειν, ὃ ἐστι παρορμᾷν, καὶ προπέμπειν τὴν ναῦν. καὶ οὐρίζειν, τὸ ἐξ οὐρίων, ἤγουν αἰσίων πνευμάτων πλεῖν. Εὐστάθιος. νῦν δὲ σημείωσαι τὸ ἐπουρίζειν οὐκ ἐνεργητικῶς, ἀλλὰ παθητικῶς ληπτέον, ὅπερ ἀττικὸν σχῆμα. Πέπαισται] ὥσπερ ἡ γραφὴ καλῶς ἔχει, ἑρμηνεύσωμεν. ἀλλὰ μετρίως ἡμεῖς ἤδη πεπαίσμεθα, καὶ ἠκούσαμεν σκώμματα, καὶ γελοίους λόγους. ὥστε νῦν ὥρα, καὶ καιρός ἐστιν ἑκάστην οἴκαδε βαδίζειν. ἀλλὰ βέλτιον γράφειν, πέπαισται, ὡς ἀπὸ τοῦ παίζω, οὕπερ ὁ μέλλων ἀττικῶς μὲν, δορικῶς δὲ, παιξῶ, ἔστι παιξῶ. ὅτι δὲ καὶ τὸ παίζω, καὶ τὸ παίω ἐν χρήσει μαρτυρεῖ καὶ Εὐστάθιος εἰς τὸ Ὀδυσσείας θ. ὅπου τούτων πέρι ἀκριβολογεῖ. ἡ ἀπὸ τοῦ παίω, παίσω, ὅπερ ἐλλειπτικῶς δηλοῖ τὸ τοῖς ποσὶ τὴν γῆν τύπτειν, ἔτι κρούειν. ἡ δὲ λέξις ἀπὸ τοῦ παρακολουθοῦντος εἴρηται, ἐπειδὴ οἱ ὀρχούμενοι τὴν γῆν τοῖς ποσὶ παίειν, τύπτειν, κρούειν φιλοῦσιν. Ἀντιδοίτην] καλῶς πρότερον ἀνταποδοῖτον ἐγέγραπτο. ἀλλὰ φανερὸν σφάλμα διορθοῦν οὐ νεμεσητόν. τὸ δὲ ἀντιδοίτην ἐστὶ τρίτον δυϊκὸν πρόσωπον ἀορίστου β. κατὰ συγκοπὴν ἐσχηματισμένον ἐκ τοῦ ἀντιδοιήτην. ἀπὸ τοῦ ἀντιδοίην, ἀντιδοίης, ἀντιδοίη, ἀντιδοίητον, ἀντιδοιήτην, ἤγουν ἀνταποδοίτην, ἡ Δημήτηρ δηλονότι, καὶ ἡ Κόρη. ὁ δὲ νοῦς ἐστιν ἀντὶ τούτων, ἃ νῦν ποιοῦμεν, ἡ Δημήτηρ, καὶ ἡ Κόρη καλὴν ἡμῖν χάριν ἀποδοίτην. εἰ δὲ ἀντιδοῖτον γράψῃς, (ὃ τῆς παλαιᾶς γραφῆς ἐγγύτατα χωρεῖ) δυϊκὸν δεύτερον ἐστὶ πρόσωπον κατὰ συγκοπὴν ἐσχηματισμένον. τοῦτο δὲ κατ' ἀποστροφὴν πρὸς τὴν Δήμητρα, καὶ τὴν Κόρην λεχθείη. ὑμεῖς ὦ θεαὶ ἀντιδοίητον ἡμῖν, τοῖς ταῦτα ποιοῦσι, καὶ ὑμᾶς τιμῶσιν, ἀντιδοίητον λέγω καλὴν ἀνταπόδοσιν, καὶ καλὴν χάριν. τινὲς δὲ καὶ νομίζουσιν ὡς τὸ χρυσοῖτην, χρυσοῖτην, οὕτω καὶ τὸ ἀντιδοίτην, ἀντιδοίτην λέγεσθαι, παρὰ τὸ ἀντιδόω, ῶ, τὸ ἀντιδίδωμι. ἀλλὰ τοῦτο μὲν ἐν χρήσει, ἐκεῖνο δὲ ἀρχαιότερον. ὁ μέντοι νοῦς, ὅπως δήποτε γράψῃς, ἐστὶν, οἷος ἐν τοῖς προειρημένοις δεδήλωται. ἡ μὲν οὖν πρώτη, καὶ δευτέρα τῆς διεφθαρμένης γραφῆς ἐπανόρθωσις μεγίστην ἔχει πιθανότητα. ἡ δὲ τελευταία σαλπεῖ, βιαίως, ἀρχαϊκῶς, καὶ ἀπιθάνως τετολμῆσθαι δοκεῖ.

ΤΕΛΟΣ.

ΚΑΙΝΗ ΥΠΟΘΕΣΙΣ ΤΗΣ ΑΡΙΣΤΟΦΑΝΟΥΣ ΛΥΣΙΣΤΡΑΤΗΣ.

Ἡ Λυσιστράτη τὰς τῶν Ἀθηναίων, καὶ τὰς τῶν Βοιωτῶν, καὶ τῶν Πελοποννησίων γυναῖκας εἰς ἐκκλησίαν συγκαλεῖ. καὶ πρῶτον μὲν τοῦ πολέμου τὸ μέγεθος, τὰς συμφορὰς, καὶ τοὺς κινδύνους αὐταῖς ἀποδεικνύει. ἔπειτα δὲ τὸν τρόπον δηλοῖ τοῦ καταπαῦσαι τὸν πόλεμον, καὶ εἰρήνην ποιῆσαι. καὶ γὰρ ὑπὸ τοὺς αὐτοὺς χρόνους ἡ Ἑλλὰς σχεδὸν ἅπασα δεινοτάτοις πολέμοις ἐκακοῦτο. ταύτης δὲ τῆς συμβουλῆς περὶ τῆς εἰρήνης οὔσης χαλεπωτάτης, καὶ τῶν γυναικῶν πολλὰς, καὶ διαφόρους γνώμας περὶ τούτου προσενεγκουσῶν, καὶ τέλος τῇ συμβουλῇ οὐκ ἐπιτιθεμένου, ἀλλὰ τοῦ χρόνου μάτην ἀναλισκομένου, τελευταῖον αἱ γυναῖκες κατὰ τὴν Λυσιστράτης παραίνεσιν, καὶ γνώμην ἐγνώκασι τοῖς ἑαυτῶν ἀνδράσιν ὕποτε συγκοιμᾶσθαι πρὶν ἢ τοὺς Ἀθηναίους εἰρήνην πρὸς τοὺς Λακεδαιμονίους ποιήσασθαι. ὅτι δὲ τοῦτο ἀδύνατον ἐδόκει, τὸ τὰς γυναῖκας οἴκοι ἀεὶ μενούσας τοῖς ἑαυτῶν ἀνδράσι μὴ συγκοιμᾶσθαι, καὶ συνεῖναι θέλειν, ἀλλ' αὐτοὺς ἀπώσασθαι, διὰ τοῦτο τὴν Ἀκρόπολιν κατέλαβον, ἐν ᾗ τῆς πόλεως ἦν τὰ χρήματα. Οἱ δὲ Ἀθηναῖοι τὴν Ἀκρόπολιν μεγάλῃ δυνάμει πολιορκεῖν ἐπιχειρήσαντες, καὶ ἐκπολιορκεῖν οὐ δυνησάμενοι, τὰ μὲν, διὰ τὴν ἀνέλπιστον χρημάτων ἀπορίαν, τὰ δὲ διὰ τὴν ἰδίων γυναικῶν ἐπιθυμίαν, καὶ ἔρωτα, ὃς αὐτοὺς ἔκαιεν, οὕτως ἀναγκασθέντες τὸν πόλεμον καταλύουσι, καὶ εἰρήνην πρὸς τοὺς Λακεδαιμονίους ποιοῦνται.

HYPOTHESIS, VEL ARGVMENTVM, VT VOCANT LYSISTRATÆ, FABVLÆ ARISTOPHANICÆ

Græcis Iambis & in Acroſtichidem facta.

per Q. Sep. Fl. Chr.

Α λίαν λακώνων ἠδ' ἀθηναίων πόλεις
Υ ὑφ' ὅλμον ἄρδην δηθάκις τετριμμένας
Σ σὺν ταῖς γυναιξὶν ἑλλάδος λυσιστράτη
Ι ἰδοῦσα κ' οἰκτείρασα ξυμβουλεύεται.
Σ συνώμοσαν δ', ἀεί γ' ἀπαυστότοις μένειν,
Τ τούς τ' ἄνδρας ἕξειν ἐκποδὼν ἐστυκότας,
Ρ ῥίψασπις εἰ μὴ πᾶσιν εἰρήνη φανῇ.
Α ἀκρόπολιν οὕτως εἷλον ἠδὲ χρήματα
Τ τὰ πάντα, καὶ γέροντας ἐχθροὺς ἔπλυναν.
Η ἥσθη δ' ἄρ' εὔφρων κύπρις ἐν διαλλαγαῖς.

ALIVD ARGVMENTVM LATINIS IAMBIS AB EODEM.

L onge duello Graciæ quum lumina
V rbes Athenæ & Sparta ſe colliderent
S eceſsionem fœminis Luſiſtrata
I ndicit vt de publico deliberent.
S parſo inde libant atque coniurant mero
T andem, femur ſe nemini applicaſſere,
R edire Græci ni velint in gratiam:
A rx occupatur atque Theſaurus, ſenes
T umultuantes cum Probulo nil agunt:
A t cum Lacone Pax fit, & redit Venus.

Τὰ τοῦ

Τὰ τοῦ Δράματος πρόσωπα.	*Persona Dramatis.*
Λυσιστράτη.	Lysistrata.
Καλονίκη.	Calonice.
Μυῤῥίνη.	Myrrhina.
Λαμπιτώ.	Lampito.
Χορὸς ἀνδρῶν γερόντων.	Chorus senum.
Δράκης.	Draces.
Στυμμόδωρος:	Strymmodorus.
Χορὸς γυναικῶν.	Chorus mulierum.
Στρατυλλίς.	Stratyllis.
Πρόβουλος.	Probulus:
Ἄγγελος γερόντων.	Nuntius senum.
Ὑπηρέτης.	Minister.
Ἄλλη τις γυνή.	Alia quædam Mulier.
Κινησίας.	Cinesias.
Ἀθηναῖος.	Atheniensis.
Λάκων.	Laco.
Θεράπων.	Seruus.
Χορὸς Λακεδαιμονίων.	Chorus Lacedæmoniorum.

Ἡ εἴσθεσις τοῦ παρόντος Δράματος ἐκ στίχων ἰαμβικῶν τριμέτρων σνε. ὧν ὁ τελευταῖος Ἄμαχοι γυναῖκες, καὶ μιαραὶ κεκλήμεθ' ἄν.

A

ΑΡΙΣΤΟΦΑΝΟΥΣ

ΑΘΗΝΑΙΟΥ ΠΟΙΗΤΟΥ ΚΩμῳδοποιοῦ τῶν ἐξοχῶν Λυσιστράτη.

Καὶ εἰς αὐτὴν χίλια χαιρά.

B

Προλογίζει Λυσιστράτη καλέσασα τὰς πολίτιδας.

ΛΥΣΙΣΤΡΑΤΗ, ΚΑΛΟνίκη.

Λυ. Ἀλλ' εἴ τις εἰς Βακχεῖον αὐτὰς ἐκάλεσεν,
Ἢ 'ς Πανὸς, ἢ 'πὶ Κωλιάδ' ἢ 'ς Γενετυλλίδος, C
Οὐδ' ἂν διελθεῖν ἦν ἂν ὑπὸ τῶν τυμπάνων.
Νῦν δ' οὐδεμία πάρεστιν ἐνταυθοῖ γυνή
Πλὴν ἥ γ' ἐμὴ κωμῆτις ἥδ' ἐξέρχεται.
Χαῖρ' ὦ Καλονίκη. Κα. καὶ σύ γ' ὦ Λυσιστράτη.
Τί συντετάραξαι; μὴ σκυθρώπαζ' ὦ τέκνον.
Οὐ γὰρ πρέπει σοι τοξοποιεῖν τὰς ὀφρῦς.
Λυ. Ἀλλ' ὦ Καλονίκη κάομαι τὴν καρδίαν.
Καὶ πόλλ' ὑπὲρ ἡμῶν τῶν γυναικῶν ἄχθομαι.
Ὁτιὴ παρὰ μὲν τοῖς ἀνδράσιν νενομίσμεθα
Εἶναι πανοῦργοι. Κα. καὶ γάρ ἐσμεν νὴ Δία.
Λυ. Εἰρημένον δ' αὐταῖς ἀπαντᾶν ἐνθάδε
Βουλευσομέναισιν οὐ περὶ φαύλου πράγματος,
Εὕδουσι κοὐχ ἥκουσιν. Κα. ἀλλ' ὦ φιλτάτη
Ἥξουσι. χαλεπή τοι γυναικῶν ἔξοδος.
Ἡ μὲν γὰρ ἡμῶν περὶ τὸν ἄνδρ' ἐκύπτασεν.
Ἡ δ' οἰκέτην ἤγειρεν. ἡ δὲ παιδίον
Κατέκλινεν. ἡ δ' ἔλουσεν. ἡ δ' ἐψώμισεν.
Λυ. Ἀλλ' ἕτερα γὰρ ἦν τῶνδε προὐργιαίτερα
Αὐταῖς. Κα. τί δ' ἐστὶν ὦ φίλη Λυσιστράτη,
Ἐφ' ὅ τι ποθ' ἡμᾶς τὰς γυναῖκας συγκαλεῖς;

ARISTOPHANIS

LVSISTRATA. EX VERSIOne Q. Sept. Flor. Christ.

Cum castigationibus & obseruationib. eiusdem.

Proloquitur Lusistrata, conuocatis conciuibus.

LVSISTRATA, CALOnica.

LVS. *At si quis ipsas Euij ad sacra aduocet*
Aut Panos, aut Coliados, aut Genetullidos,
Vix colloqui esset, sic sonarent tympana:
Nunc nulla prorsum fœmina hoc adest loco,
Nisi ista quam video egredi è vicinia,
Calonica salue. CA. Tu quoque ô Lusistrata
Quid turbulenta es, quidve tristu, filia?
Ah desine, haud contracta te frons addecet.
LVS. Mihi Calonica, pectus imum accenditur,
D
Nostriq́; sexus multa contristor vicem,
Quòd versipelles esse nos putant viri
Vafrasq́. CAL. Tales quippe per Iouem sumus.
LV. Quumq́; huc loci prodire dictum illis siet,
Vt nempe de re non leui deliberent,
Tamen venire negligunt, & dormiunt.
CAL. Venient sed illa, fœminis haud est facul
E
Eliminare: vel vir istam detinet,
Vel illa seruum exsuscitat, vel collocat
Pusum in cubili, aut ingerit cibum, aut lauit.
LV. His omnibus res serias praeuortere
Debent mulieres. CAL. Sed quid est Lusistrata
Quod nos in vnum conuocasti fœminas?

BISETVS. Ἀλλ' εἴ τις εἰς Βακχεῖον.] Ἐν τούτῳ τῷ προλόγῳ ὁ ποιητὴς τὴν Λυσιστράτην εἰς τὸ προσκήνιον πρώτην παρεισάγει. ἡ δὲ διὰ τὴν ἄγαν βραδυτῆτα τῶν γυναικῶν εἰς ἐκκλησίαν ἐν ὥρᾳ συνελθεῖν κελευσθεισῶν ἀγανακτοῦσα, καὶ δυσφοροῦσα, τούτους τοὺς λόγους ἄνευ προοιμίου συνήθους ἀπαρακαλύπτως προφέρει. τὸ δὲ κακὸν γυναικῶν ἔθος ἐντεῦθεν πικρῶς ψέγει. καὶ γὰρ αὐτὰς τῶν μὲν σπουδαίων, καὶ μεγάλων πραγμάτων ἀμελεῖν ἀποφαίνει. τῶν δὲ μικρῶν, καὶ φαύλων θεαμάτων πολὺ μᾶλλον φροντίζειν λέγει. καὶ εἴ τις αὐτὰς εἰς τινα θέαν οὐδενὸς ἀξίαν καλοίη, κατὰ τάχος οὕτω πυκνὰς, καὶ συνεχεῖς συνδραμεῖν, ὥστε διὰ φυρμὸν ὑπὸ πλήθους αὐτῶν ἀνεμποδίστως διελθεῖν μὴ ἐξεῖναι. Βακχεῖον.] εἰς τὸν τοῦ Βάκχου ναόν. τὰ δὲ Βακχεῖα, τῶν Βακχείων, ἑορτὴ Βάκχου. τὰ Διονύσια. Ἢ 'ς Πανός] τὸ πλῆρες, ἢ ἐς Πανὸς. ἴσF
τέον ναόν. ὡς καὶ ἐς Γενετυλλίδος. περὶ δὲ τῆς Ἀφροδίτης Κωλιάδος, καὶ Γενετυλλίδος, ἄνω διὰ πλειόνων προείρηται. καὶ περὶ τούτων Ἀθήναιος, Παυσανίας, Εὐστάθιος, καὶ Σουίδας πολλὰ ἀξιομνημόνευτα παραδεδώκασι. Ὑπὸ τῶν τυμπάνων.] τύμπανον ἐκ δερμάτων ἐστὶ γινόμενον, καὶ κρούεται. ὃ κατεῖχον αἱ Βάκχαι. παρὰ τὸ τύπτω, τύπανον. καὶ πλεονασμῷ τοῦ μ. τύμπανον. ἔστι δὲ καί τι τοῦ δεσμίου ξύλον περὶ οὗ ἐν τῷ Πλούτῳ εἴρηται. Μὴ σκυθρώπαζε] σκυθρωπὸς, ἀπὸ τοῦ σκυθρὸς οὖ, καὶ ὤψ, ὠπός. ὁ σημαίνει τὸ πρόσωπον. ὂψ γὰρ ἡ φωνὴ, διὰ τοῦ ο μικροῦ. σκυG
θρὸς δὲ παρὰ τῷ Ἡσυχ. ἑρμηνεύεται συννὸς τὰς ὄψεις, χαλεπὸς, ὠμός. ὅθεν τὸ ῥῆμα σκυθρωπάζω, καὶ σκυθράζω. συννάζω. Τοξοποιεῖν τὰς ὀφρῦς.] ἀντὶ τοῦ σκυθρωπάζειν. ἀπὸ παρακολουθοῦντος. τοιοῦτον γὰρ τὸ πρόσωπον τῶν ἐν μερίμνῃ ὄντων. Σ. Ἡσύχιος δὲ, συστρέφειν

τὰς

τὰς ὀφρῦς. ἡ δὲ μεταφορὰ ἀπὸ τῶν τὰ τόξα τεινόντων. τοξοποιεῖν οὖν τὰς ὀφρῦς δηλοῖ τὸ ποιεῖν τὰς ὀφρῦς ὥσπερ τόξον τεινόμενον, καὶ καμπτόμενον. τουτέστι τὰς ὀφρῦς συστέλλειν. ὅπερ ἀνθρώπων σφόδρα μεμεριμνηκότων, καὶ λυπουμένων ἐστὶ σαφὲς τεκμήριον. Εἰρημένον] Ἀττικῶς. ἀντὶ τοῦ, εἰρημένης γὰρ ἁπάσαις δεῦρο συλλεγομέναις συνελθεῖν. Ἐκύπτασεν.] κυπτάζειν, διατρίβειν, καὶ περί τι σπουδάζεσθαι. περί τι ἀσχολεῖσθαι. Ἐψώμισεν.] ψωμὸς, κόμμα ἄρτου παρὰ τὸ ψῶ, τὸ λεπτύνω. Εὐστ. γενικῶς δὲ καὶ πᾶσαν τροφὴν σημαίνει. ὅθεν τὸ ψωμίζειν, ψωμὸν παρέχειν, καὶ τρέφειν, ὡς ἐνταῦθα. Προυργιαίτερα.] προυργιαίτερον, ἀναγκαιότερον. τὸ γὰρ πρὸ ἔργου αἱρετώτερον. τοῦτο δὲ παρὰ τὸ προὔργου, ὅ ἐστι πρὸ ἔργου. ἄλλως. προυργιαίτερον. προκειμένον, προτιμότερον, κρεῖττον, ἀναγκαιότερον, ὠφελιμώτερον. Ησυ.

CHR. Ἡ 'ς Πανός] Panos sacellũ quod Paneum

A dicebatur in Attica situm esse, simulque ædem Coliadis, iuxta Anaphlystum, testatur Strabo lib. IX. Quare autem dicatur Venus Colias aut Genetyllis habes suprà in Nubibus Scholiastam ista enarrantem. Sane locus κωλιὰς dictus (teste Hesychio) quia humano κώλῳ est similis. Τοξοποιεῖν] Quia sagittarij collineantes, frontem & oculorum neruos contrahere solent, propterea mœstos & animi dolore rugas contrahentes, audaci sanè B Metaphora & Tragicum spirante dixit τοξοποιεῖν. Χαλεπή τοι γυναικῶν ἔξοδος.) Qui olim Venerem pinxerat, pede prementem testudinem, satis ostendit, emansiones & eliminationes fœminis non esse honestas, imò ipsis debere esse οἰκουρίαν & ἀρίστου. Legerem autem pro τυ, τοι.

Τί τὸ πρᾶγμα πηλίκον τι; Λυ. μέγα. Κα. μῶν καὶ παχύ;
Λυ. Καὶ νὴ Δία παχύ. Κα. κᾆτα πῶς οὐχ ἥκομεν;
Λυ. Οὐχ οὗτος ὁ τρόπος· ταχὺ γὰρ ἂν ξυνήλθομεν.
Ἀλλ' ἔστιν ὑπ' ἐμοῦ πρᾶγμα ἀνεζητημένον,
Πολλαῖσί τ' ἀγρυπνίαισιν ἐρριπτασμένον.
Κα. Ἦπου τι λεπτόν ἐστι τοὐρριπτασμένον.
Λυ. Οὕτω γε λεπτὸν, ὥσθ' ὅλης τῆς Ἑλλάδος
Ἐν ταῖς γυναιξίν ἐστιν ἡ σωτηρία.
Κα. Ἐν ταῖς γυναιξίν; ἐπ' ὀλίγου γὰρ ᾤχετο.
Λυ. Ὡς ἔστ' ἐν ἡμῖν τῆς πόλεως τὰ πράγματα
Ἢ μηκέτ' εἶναι μηδὲ Πελοποννησίους.
Κα. Βέλτιστα τοίνυν μηκέτ' εἶναι νὴ Δία.
Λυ. Βοιωτίους τε πάντας ἐξολωλέναι.
Κα. Μὴ δῆτα πάντας. ἀλλ' ἄφελε τὰς ἐγχέλεις.
Λυ. Περὶ τῶν Ἀθηνῶν δ' οὐκ ἐπιγλωττήσομαι
Τοιοῦτον οὐδέν. ἀλλ' ὑπονόησόν σύ μοι.
Ἢν δὲ ξυνέλθωσ' αἱ γυναῖκες ἐνθάδε
Αἵ τ' ἐκ Βοιωτῶν, αἵ τε Πελοποννησίων,
Ἡμεῖς τε, κοινῇ σώσομεν τὴν Ἑλλάδα.
Κα. Τί δ' ἂν γυναῖκες φρόνιμον ἐργασαίατο,
Ἢ λαμπρὸν, αἳ καθήμεθ' ἐξηνθισμέναι,
Κροκωτοφοροῦσαι καὶ κεκαλλωπισμέναι
Καὶ κιμβερίκ' ὀρθοστάδια, καὶ περιβαρίδας,
Χἤγχουσα, καὶ τὰ διαφανῆ χιτώνια.
Λυ. Ταῦτ' αὐτὰ γάρ τοι κἄσθ' ἃ σώσειν προσδοκῶ,
Τὰ κροκωτίδια, καὶ τὰ μύρα, καὶ περιβαρίδες.
Κα. Τίνα δὴ τρόπον ποθ'. Λυ. ὥστε τῶν νῦν μηδένα
Ἀνδρῶν ἐπ' ἀλλήλοισιν αἴρεσθαι δόρυ.

Quæ tanta causa? LV. Magna. CAL. Num crassa est quoque?
C *LV. Et crassa certè.* CA. *Quid nisi ergo accedimus?*
LV. Non sic solent, nam conueniremus citò:
Excogitatum sed mihi est negotium
Iactumq́; cura insomniaq́; plurima.
CA. *Forsan minutum est si quid est iactum tibi.*
LVS. Adeò est minutum, vt vniuersa Græcia
D *In fœminis iam tota versetur salus.*
CA. In fœminisne? quippe paulatim perit.
LVS. Res vrbis huius sunt manu in nostra sita,
Et nulla Peloponnesiorum gens erit.
CA. *At vtile esset, esse nullam per Iouem.*
LVS. *Pereant & omnes funditus Bœotij.*
CA. *Nolim quidem omnes, excipe anguillas modò.*
E LVS. *Aduersum Athenas tale nil effutiam.*
Tu suspicaci mente mecum cogita.
Sin huc vocatæ fœminæ conuenerint.
Bœotiæ simulq́; Peloponnesiæ.
Communiter nos Græciam seruabimus.
CA. *Quod facinus ausint fœminæ illustre aut catum*
Cultu sedentes quæ nitemus florido
F *Comptis capillis & crocota lutea*
Tunicam gerentes rectam & altos mulleos
Et purpurissum, transque lucentes sinus?
LVS. *Hæc ipsa sunt seruanda quæ nobis puto*
Crocotulæ atque vnguenta, & alti calcei.
CA. *Qui fiet istud?* LVS. *vt vir isto tempore*
Nemo ausit hastam tollere aduersus virum.

BISETVS. Πρᾶγμ' ἀνεζητημένον.] τὸ ἀναζητοῦν ἐνταῦθα δηλοῖ τὸ αὐτὸ πρᾶγμα πολλάκις ζητεῖν, ὥσπερ οἱ μέγαλα τι νοοῦντες, καὶ ἐν τῇ ψυχῇ ἀναπεμπάζοντες ποιεῖν εἰώθασιν. Ἐρριπτασμένον.) ἐκ τοῦ ῥίπτειν γίνεται τὸ ῥιπτάζειν, ὃ μεταφορικῶς καὶ περὶ τῶν βουλευμάτων λέγεται, ἅ τις ἐν τῷ βουλεύεσθαι πολλάκις κινεῖ, στρέφει, καὶ ὡς εἰπεῖν, ῥίπτει. καὶ τοὐρριπτασμένον, ἀντὶ G τοῦ, τὸ ἐρριπτασμένον. ἄλλως. ἐρριπτασμένον, γεγυμνασμένον, εὑρημένον, ὥστε μεμεριμνῶντα μὲν ῥιπτάζεσθαι, καὶ στρέφεσθαι. τοιοῦτοι γὰρ οἱ μεμεριμνῶντες. βέλτιον γὰρ ἀπὸ τῶν κύβων τὴν μεταφορὰν ποιεῖν ἀνερριμμένων, ὅπως ἂν εὖ ἔλθῃ. καὶ γὰρ ἐπὶ τοῦ κύβου ἀναβάλλομεν ἄχρις ἂν εὑρεθῇ τὸ προκείμενον βληθῆναι. Σ. λεπτὸν δὲ, μικρὸν, ἐλαφρὸν, φαῦλον. Ἐπ' ὀλίγου γὰρ] σχεδὸν γὰρ ᾤχετο. τουτέστι

ἀπόλωλεν. οἴχεσθαι γὰρ, τὸ ἀπελθεῖν. καὶ τὸ θανεῖν. καὶ ἁπλῶς ἀφανισθῆναι. ὅθεν οἱ οἰχόμενοι, καὶ ἀποιχόμενοι οἱ θανόντες. Ευς. ὃ τοῦς. λέγεις τῆς Ἑλλάδος ἁπάσης σωτηρίαν ἐν γυναιξὶν εἶναι; ἡ Ἑλλὰς οὖν σχεδὸν ἀπόλωλε, διὰ τὴν γυναικῶν ἀσθένειαν. τὸ δὲ γὰρ, ἀντὶ τοῦ οὖν λυπητέον δοκεῖ. Μηκέτ' εἶναι.] τουτέστιν. ἀφανισθῆναι, φθαρῆναι, ἀπολωλέναι. Ἐπιγλωττήσομαι] φλυαρήσω. Σ. ἐπιγλωττεῖσθαι. καὶ τὸ λοιδορεῖν. καὶ λοιδορίαις γλώττῃ προφερομέναις τινὸς καθάπτεσθαι. νῦν δὲ ἐπιγλωττεῖσθαί τι περί τινος, λαμβάνεται ἀντὶ τοῦ λοιδορεῖν, καὶ κακολογεῖν, καὶ τῇ γλώττῃ τι προφέρειν κατά τινος. Ὑπονένοηκεν σύ μοι.] ἀλλ' ἐμοῦ σιωπώσης δεῖ μέν τοι σε τὸ ῥᾳδίως ὑπονοεῖν, καὶ ἐν σεαυτῇ φρονεῖν ἐμὲ μηδὲν τοιοῦτο κατὰ τῶν Ἀθηναίων φλυαρεῖν ἐθέλειν. τὸ γὰρ αὐτῶν ἀπωλείας ἐπιθυμεῖν ἀνόσιον. αἱ γὰρ Ἀθῆναι πατρὶς ἡμῶν ὑπάρχει. Ἐξηνθισμέναι.) ἐξανθίζειν. τὸ βάπτειν, καὶ οἱονεὶ χρώματος ἀνθηροῦ ποιεῖν. χρώμασιν ἀνθηροῖς χρωματίζειν, καὶ κοσμεῖν ὅπερ αἱ γυναῖκες καλλωπισμοῦ ἐπιθυμοῦσαι ποιοῦσιν, ἵνα τὴν ὄψιν καλλίους φαίνωνται. ἐξανθεῖν δὲ, τὸ βλαστάνειν. καὶ γῆ ἐξανθεῖν κυρίως λέγεται ὅταν ἐκ τοῦ ἑαυτῆς κόλπου τὰ ἄνθη ἐξανατέλλει, καὶ ἀναδιδοῦσα φύει. τινὲς δὲ καὶ τὸ ἐξανθίζειν λαμβάνουσιν ἀντὶ τοῦ ἁπλοῦ ξανθίζειν, τουτέστι ξανθὸν ποιεῖν. καὶ τὰς τρίχας ξανθίζειν αἱ γυναῖκες εἰώθασιν, ἵνα τὸ τῆς φύσεως ἐλλειπὲς πρὸς τὸν καλλωπισμὸν ἐπανορθῶσι, καὶ τὸ τοῦ κάλλους μέρη κατὰ δύναμιν καὶ οὕτω πληρῶσι. Κροκωτοφοροῦσαι.] δηλονότι ἐσθήματα, ἢ ἐνδύματα χρώματος κροκέου, οἷς αἱ τῶν πλουσιωτέρων ἀνδρῶν γυναῖκες πάλαι κόσμου χάριν ἐχρῶντο. λέγεται δὲ καὶ κροκωτὸν, οῦ, ἁπλῶς οὐδετέρως. καὶ ἐπιθετικῶς κροκωτὸν καὶ τότε ἢ ἔνδυμα, ἢ ἔσθημα, ἢ ἱμάτιον πρὸς τὴν τῆς φράσεως ἐκπλήρωσιν ὑπακουστέον. περὶ τούτου καὶ ἐν τοῖς ἄνω προείρηται. κεκαλλωπισμέναι δὲ, κοσμηθεῖσαι. καλλωπίζω δὲ ἐκ τοῦ κάλλος, καὶ τοῦ ὤψ, ὠπὸς, τὸ πρόσωπον. Καὶ κιμβερικὰ ὀρθοστάδια) Ἡσύχιος κιμβερικὸν ὀξυτόνως, χιτωνίσκου εἶδος πολυτελοῦς ἐστὶ λέγει. ὃ καὶ στατὸς λέγεται. Σουΐδας δὲ, κιμβέρικον διὰ τοῦ ν προπαροξυτόνως γράφει, καὶ ἐστὶ λέγει εἶδος ἱματίου, ἀπὸ τόπου οὕτω κληθέν. ὁ δὲ Πολυδεύκης κιμβαρικὸν διὰ τοῦ α γράφων, διαφανῆ χιτωνίσκον ἑρμηνεύει. καὶ ὀρθοστάδιος, κατὰ τὸν αὐτὸν, καλεῖται ὁ οὐ ζωννύμενος χιτών. καὶ τοὺς τοιούτους χιτωνίσκους. φησὶν, Ἀριστοφάνης ὀρθοσταδίας καλεῖ. τοῦτον τὸν τόπον, ὡς οἶμαι, αἰνίττεσθαι βουλόμενος, ὅθεν, εἴπερ ἡ γραφὴ καλῶς ἔχει, ὀρθοσταδίας ἀρσενικῶς ἂν λέγοιτο, ὡς τὸ Αἰνείας ἐν τῇ αἰτιατικῇ πληθυντικῇ. Ἀλλὰ Σουΐδας ἀξιοπιστοτέρως, ὀρθοσταδίους χιτῶνας καλουμένους λέγει, τοὺς στατούς. ὡς τοὺς συρτοὺς, τοὺς συρομένους.

A Καὶ παρὰ τῷ Εὐσταθίῳ, ὀρθοστάδιοι χιτῶνες, οἱ στατοὶ. συρτοὶ δὲ οἱ συρόμενοι λέγονται. Ἐκ τούτων οὖν δῆλόν ἐστιν, ὀρθοστάδια νῦν ἐπιθετικῶς ληπτέον εἶναι, παρὰ τὸ ὀρθὰ ἵστασθαι. Ἐν τισι δὲ τῶν παλαιῶν βιβλίων ἐστὶν ὁρᾷν κιμβερικορθοστάδια μιᾷ λέξει γραφόμενον. ὅπερ οὐκ ἄτοπον. καὶ ἴσως Ἀριστοφάνην οὕτω γεγραφέναι οὐκ ἀπίθανον. Καὶ περιβαρίδας.] ὑποδημάτων γυναικείων εἶδος. Ἡσυχ. Χ' ἤγχουσα δὲ, κατὰ κρᾶσιν Ἀττικὴν, ἀντὶ τοῦ καὶ ἡ ἄγχουσα. ἄγχουσα δὲ, εἶδος βοτάνης, ἧς ἡ ῥίζα ἐρυθρὰ, ἣ ἐρυθραίνουσι τὰ πρόσωπα αἱ γυναῖκες. Ἄλλως. B ἄγχουσα. ῥίζα ἣ φυκοῦνται τὰ γύναια. χιτώνια δὲ διαφανῆ, οὐ τὰ λαμπρὰ, ἀλλὰ τὰ ἰσχνὰ, δι' ὧν διαφαίνεται τὰ σώματα τῶν γυναικῶν. Σ. Ἃ σώσειν προσδοκῶ] ταῦτα οὕτω σύνταξον, καὶ γάρ τοι ταῦτ' αὐτά ἐστιν, ἃ προσδοκῶ σώσειν τὴν Ἑλλάδα δηλαδή. προσδοκῶ δὲ, ἐλπίζω. κυρίως δὲ τὸ περιμένω, καὶ προσδέχομαι δηλοῖ. Αἴρεσθαι δόρυ.] ὥστε μηδένα τῶν νῦν ἀνθρώπων πολεμεῖν ἀλλήλοις. δόρυ δὲ, τὴν λόγχην, καὶ πᾶν βέλος πολεμικὸν συνεκδοχικῶς σημαίνει.

CHR. Ἀνεζητημένον.] Vno verbo lego ἀνεζητημένον. C Quod autem sequitur ἐρρεμβασμένον, nihil aliud est quàm meditari & exercitatione sollerti aliquid excundere & inuenire. Translationem verisimile est sumptam à cubis aut tesseris quæ iaciuntur vt rectè cadant: hoc vt suspicer faciunt grãmatici qui hunc locum videntur innuere apud Sudam λεξικογράφον. Fortassis autem non malè intelligimus de minutis & tenuibus partibus quæ eiiciuntur & ablegantur, vt sunt prosiciæ, & puto D nequissimas fœminas cùm dicunt πρᾶγμα μέγα παχὺ, λεπτὸν innuere partem illam qua viri sumus & πρακτικοὶ vel ἀνυστικοί: & nos idem ferè vsurpamus Idiotismo Francico, proinde vt Græci χρῆμα & Latini res dixerunt, vt apud Arnobium formatas inguinibus res. sane si falsa est hæc coniectura, vitio humanitatis ingeniosi sumus in nequitiis explicandis. Mox pro οἴχεται, lego aut οἴχεται aut οἴχεο. Οὐκ ἐπιγλωττήσομαι.] Hoc verbi nihil hoc loco aliud significat quàm φλυαρίαν vel βλασφημίαν, E & quod vernaculè dicimus *languard ou babillard.* Περιβαρίδας] Iul. Pollux lib. 7. ait esse ancillarum calceos. Hic calciamenta sunt ingenuarum & nobilium. Cęterum de Anchusa vide Dioscoridem lib. 4. cap. 23. 24. & 25. vbi videbis tres Anchusæ species.

Κα. Κροκωτὸν ἆρα νὴ τὼ θεὼ 'γὼ βάψομαι.	CA. *Ergo crocotam per deos infecerim.*
Λυ. Μὴ δ' ἀσπίδα λαβεῖν. Κα. κιμβερικὸν ἐνδύσομαι.	F *Lvs. Clypeúmve sumat. CA. induámque castulam.*
Λυ. Μὴ δὲ ξιφίδιον. Κα. κτήσομαι περιβαρίδας.	*Lvs. Paruum vel ensem.* CAL. *Possidebo calceos.*
Λυ. Ἆρ' οὐ παρεῖναι τὰς γυναῖκας δῆτ' ἐχρῆν.	*Lvs. Nónne hic adesse fœminas oportuit?*
Κα. Οὐ γὰρ μὰ Δί' ἀλλὰ πετομένας ἥκειν πάλαι.	CA. *Imò volantes conuenire iamdiu.*
Λυ. Ἀλλ' ὦ μέλ' ὄψει γε σφόδρ' αὐτὰς Ἀττικὰς,	*Lvs. At prorsus ipsas esse noris Atticas*
Ἅπαντα δρώσας τοῦ δέοντος ὕστερον.	*Nil non agentes, præter id quod expedit,*
Ἀλλ' οὐδὲ Παράλων οὐδεμία γυνὴ πάρα	*Sed ex maritimis nulla præsest fœmina*
Οὐδ' ἐκ Σαλαμῖνος. Κα. ἀλλ' ἐκεῖναί γ' οἶδ' ὅτι	G *Neque Salamine.* CA. *Quas tamen certò scio*
Ἐπὶ τῶν κελήτων διαβεβήκασ' ὄρθριαι.	*Luce appetente progredi è celocibus.*
Λυ. Οὐδ' ἃς προσεδόκων κἀλογιζόμην ἐγὼ	*Lvs. Tum quas priores affore autumaueram*
Πρώτας παρέσεσθαι δεῦρο τὰς Ἀχαρνέων	*Sperauerámque nempe Acharnenses nurus,*

Γυναῖκας, οὐχ ἥκουσιν. Κα. ἡ γ' οὖν Θεαγένους
Ὡς δεῦρ' ἰοῦσα τἀκάτιον ἤρετο.
Αὐτὰρ αἵδε καὶ δή σοι προσέρχονταί τινες
Αἵδ' αὖθ' ἕτεραι χωροῦσι τινες. ἰοὺ ἰού.
Πόθεν εἰσίν. Λυ. Ἀναγυρουντόθεν. Κα. νὴ τὸν Δία
Ὁ γ' οὖν Ἀνάγυρός μοι κεκινῆσθαι δοκεῖ.

A *Desiderantur. CA. uxor at Theagenis*
Lembum rogabat huc velut contenderet.
sed cerne ut illæ fœminæ adueniant tibi
Aliæque rursum fœminæ accedant, hui
Vnde esse dicam? LVS. Ab Anagyro. CAL. ergo per Iouem
Commotus esse Anagyrus appar[e]t mihi.

BISETVS. Τοῦ δέοντος ὕστερον] βραδύτερον τοῦ δέοντος. βραδύτερον ἢ δέοι αὐτὰς ποιεῖν. ἢ παρὰ τὸ δέον. Παράλων.] πάραλοι, οἵ τε ἐν τῇ νηὶ Παράλῳ πλέοντες, καὶ οἱ τὴν Παραλίαν τῆς Ἀττικῆς κατοικοῦντες οὕτω καλοῦνται. Πάραλος δὲ, τριήρης ἱερὰ καλεῖται, ἥτις συνεχῶς τὰς ἐπειγούσας χρείας ὑπηρέτει. καὶ Παραλία μία τῶν τεσσάρων μοιρῶν εἰς ἃς διῄρητο πάλαι ἡ Ἀττική. Πανδίων γὰρ διαδεξάμενος Κέκροπα, προσκτησάμενος δὲ καὶ τὴν Μεγαρίδα, ἔνειμε τὴν χώραν τοῖς παισὶν εἰς τέσσαρας μοίρας. Αἰγεῖ μὲν, τὴν παρὰ τῷ ἄστει μέχρι Πυθίου. Πάλλαντι δὲ, τὴν Παραλίαν. Λύκῳ δὲ, τὴν Διακρίαν. Νίσῳ δὲ, τὴν Μεγαρίδα. Σ. B. Σαλαμὶς δὲ, ἡ πρὸς τῇ Ἀττι- C κῇ νῆσος καὶ πόλις. ὁ πολίτης Σαλαμίνιος, καὶ Σαλαμινία. Στεφ. πάρεστι δὲ, πάρεστι. Τῶν κελήτων.] κέλης, εἶδος πλοιαρίου μικρόν. καὶ κέλης ὁ ἵππος καθ' ἕνα ἐπ' αὐτῷ ἐμβαίνοντος, καὶ μὴ ἐζευγμένος. καὶ δὴ καὶ τὸ γυναικεῖον αἰδοῖον παρὰ τοῖς Κωμικοῖς κέλης καλεῖται. Εὐστ. λέγει οὖν αὐτὰς ἐν πλοίῳ ἐρετρίας ἤδη διαβεβηκέναι. καὶ τῇ ἀμφιβόλῳ λέξεως σημασίᾳ παίζειν φαίνεται. Οὐδ' ἃς.] τὸ πλῆρες οὕτω νοητέον. οὐδ' αἱ γυναῖκες αἱ τῶν Ἀχαρνέων ἥκουσιν, ἃς ἐγὼ ᾤμην, εἴ τε ἐγὼ πρώτας προσεδόκων, καὶ ἐλογιζόμην δεῦρο παρέσεσθαι. ἀλλὰ τὸ σχῆμα τῆς συντάξεως, καινοπρεπέστερον, καὶ Ἀττικώτερον. ἡ Θεαγένους, γυνὴ δηλονότι. τἀκάτιον δὲ, τὸ ἀκάτιον. τοῦτο δ' ἦν εἶδος πλοίου ἁλιευτικοῦ. ἀνήρετο δὲ, ταῖς χερσὶν ἔλαβεν, ἀνέλαβεν. ἀπὸ τοῦ ἀναίρομαι. Χωροῦσί τινες.] τινὲς αὗται, εἶτα αὖ, καὶ πάλιν τινὲς δεῦρο χωροῦσι. Ἀναγυρουντόθεν.] Ἀναγυροῦς, δῆμος τῆς Ἀττικῆς, τῆς Ἐρεχθεΐδος φυλῆς. ὁ πολίτης δὲ Ἀναγυράσιος διὰ τοῦ α. ὡς Φλυῆς, Φλυάσιος. ἐπιρρήματα δὲ, τὸ ἐκ τόπου, Ἀναγυρουντόθεν: εἰς B τόπον Ἀναγυροῦντάδε, καὶ τὸ ἐν τόπῳ Ἀναγυροῦντι. Ἔνθα δὲ καὶ φυτὸν δυσῶδες φύεται, ἀνάγυρος. καὶ παροιμία ἐντεῦθεν, κινεῖς τὸν ἀνάγυρον. ἐπὶ τῶν ἐπισπωμένων ἑαυτοῖς τὰ κακά. ἔστι δὲ τὸ φυτὸν ἀνάγυρος ἀλεξίκακον. καὶ δυσώδες, καὶ δριμύ. θερμαντικῆς τε, καὶ διαφορητικῆς δυνάμεως. τὸ δὲ σπέρμα λεπτομερέστερόν τε, καὶ ἐμετικόν. οἱ δὲ ὀνόγυρον αὐτό φασι Σ.

CHR. Κιμβερικόν.] Genus esse vestis à loco nomen habentis putant ex Grammaticis quidam, Alij χιτωνίσκον qui στατὸς dicitur, quæ Plinio recta est tunica. Αὐτὰς Ἀττικάς.] Hoc, vt puto, ait, quia C Athenienses sciunt quæ facienda sunt, sed facere nolunt. Ἐπὶ τῶν κελήτων.] Præter alia significata species est parui nauigij velox vel κέλης, actuarius scil. faselus, dictus ab equo cui vir inuehitur singularis, vt apud Pindarum sæpè habes vincere κέλητι. Vnde κελητίζειν quod etiam ante Homeri tempora in vsu fuit. Paulo post lego ἀτὰρ αἵδε non αὐτάρ. Ὅ γ' οὖν ἀνάγυρος.] Prouerbium est non indictum Erasmo, κινήσω τὸν ἀνάγυρον. Hesychius ἀναγυράσιον scribit non ἀνάγυρον, si non sunt D mendosi codices, & meminit prouerbij Stephanus in Ethnicis suis, quod dictum putant in eos qui sibi malum (vt ait Plautus) accersunt iumento suo. Scribitur ἀνάγυρον, herbam esse vel florem ἀλεξίκακον, δριμὺ & δυσώδη, & crescere apud cognominem populum tribus Erechteidos. Alij ὀνόγυρον vocant. Apud Sudam habes κλινίον τὸ ὀνόγυρον, facitque speciem λυγώδους φυτοῦ, & significare ait μάστιγα κίνησιν.

E

ΜΥΡΡΙΝΗ, ΛΥΣΙΣΤΡΑΤΗ, ΛΑΜΠΙΤΩ, Καλονίκη.

MVRRINA, LVSISTRATA, Lampito, Calonica.

Μυ. Μῶν ὕστεραι πάρεσμεν ὦ Λυσιστράτη;
Τί φῄς; τί σιγᾷς; Λυ. οὐκ ἐπαινῶ Μυρρίνη
F Ἥκουσαν ἄρτι περὶ τοιούτου πράγματος.
Μυ. Μόλις γὰρ εὗρον ἐν σκότῳ τὸ ζώνιον.
Ἀλλ' εἴ τι πάνυ δεῖ, ταῖς παρούσαισιν λέγε.
Λυ. Μὰ Δί' ἀλλ' ἐπαναμείνωμεν ὀλίγου γ' εἵνεκα
Τάς τ' ἐκ Βοιωτῶν, τάς τε Πελοποννησίων,

MVR. *Ecquid venimus posteræ ô Lysistrata?*
Quid ais, tacésne? LVS. *Non pudet te Murrina*
Nunc tantùm adesse, cùm vocant res seriæ?
Mv. *Vix in tenebris cinctus inuentus mihi est,*
Sed si quid instat, fare iam præsentibus.
LVS. *Imò parumper potius exspectemus hic,*
Bœotiæ donécque Peloponnesiæ

G

BISETVS. Μῶν ὕστεραι πάρεσμεν.] Cæteræ à diuersis locis singulatim aduentant mulieres, quibus Lysistrata consilium suum aperit. Ac tandem post longam deliberationem, iurisiurandi formula concepta, ac verbis præeunte ipsa Lysistrata, omnes iurant sese facturas quicquid præscripserit. Μῶν ὕστεραι] μὴ οὖν δὴ ἄρα. μῶν δὲ σημαίνει σύνδεσμον ἐπιζητητικόν. τὸ γὰρ μαθεῖν, ζητεῖν. ὕστεραι δὲ, ἀντὶ τοῦ ὀψίστεραι, ἢ ὀψιαίτεραι. τουτέστιν ὀψιαίτερον. ζώνιον δὲ, γυναικεῖον ζῶμα. Ὀλίγου.] τὸ πλῆρες, χρόνου. τουτέστιν

ὀλίγον χρόνον, μικρὸν χρόνον, ὅπερ μᾶλλον ἐν χρήσει. τὸ δὲ εἵνεκα σύνταττε πρὸς τὸ ἐλθεῖν. καὶ νῦν δηλοῖ τὸ, A ἕως ἂν, μέχρις οὗ δεῦρο ἀφίκωνται, αἱ ἐκ Βοιωτίας, καὶ αἱ ἐκ Πελοποννήσου γυναῖκες.

Γυναῖκας ἐλθεῖν. Μυ. πολὺ σοῦ κάλλιον λέγεις.
Ηδὶ δὲ καὶ δὴ Λαμπιτὼ προσέρχεται.
Λυ. Ω φιλτάτη Λάκαινα χαῖρε Λαμπιτοῖ.
Οἷον τὸ κάλλος ὦ γλυκυτάτη σου φαίνεται.
Ως δ' εὐχροεῖς, ὡς δὲ σφριγᾷ τὸ σῶμά σου.
Κἂν ταῦρον ἄγχοις. Λα. μάλα γὰρ οἰῶ ναὶ τὼ σιὼ
Γυμνάδδομαί γα καὶ ποτὶ πυγὰν ἅλλομαι.
Λυ. Ως δὴ καλὸν τὸ χρῆμα τιτθίων ἔχεις.
Λα. Απερ ἱερεῖόν τοί μ' ὑποψαλάσσετε.
Λυ. Ηδὶ δὲ ποδαπὴ 'σθ' ἡ νεᾶνις ἡτέρα.
Λα. Πρέσβειρά τοι ναὶ τὼ σιὼ Βοιωτία.
Ικει ποθ' ὑμέ. Λυ. νὴ Δί' ὦ Βοιωτία.
Καλόν γ' ἔχουσα τὸ πεδίον. Λα. καὶ νὴ Δία
Κομψότατα τὰν βληχώ γε παρατετιλμένη.
Λυ. Τίς δ' ἡτέρα παῖς. Λα. χαΐα μὰ τὼ σιὼ
Κορινθία δ' αὖ. Λυ. χαΐα νὴ τὸν Δία
Δήλη 'στὶν οὖσα ταυταγὶ τἀντευθενί.
Λα. Τίς δ' αὖ ξυναλίαξε τόνδε τὸν στόλον
Τὸν τᾶν γυναικῶν. Λυ. ἅδ' ἐγώ. Λα. μυσίδδετε,
Οτι λῇς ποθ' ἁμέ. Λυ. νὴ Δί' ὦ φίλη γύναι.
Μυ. Λέγε δῆτα τὸ σπουδαῖον ὅτι τοῦτ' ἐστί σοι.
Λυ. Λέγοιμ' ἂν ἤδη πρὶν λέγειν ὑμᾶς τοδί.
Επερήσομαί τι μικρόν. Μυ. ὅ, τι βούλει γε σύ.
Λυ. Τοὺς πατέρας οὐ ποθεῖτε τοὺς τῶν παιδίων
Επὶ στρατιᾶς ἀπόντας. Μυ. εὖ γὰρ οἶδ' ὅτι
Πάσαισιν ἡμῖν ἐστιν ἀποδημῶν ἀνήρ.
Λυ. Ο γοῦν ἐμὸς ἀνὴρ πέντε μῆνας ὦ τάλαν
Απεστιν ἐπὶ Θρᾴκης φυλάττων Εὐκράτην.
Μυ. Ο δ' ἐμός γε τελέους ἑπτὰ μῆνας ἐν Πύλῳ.
Λα. Ο δ' ἐμός γα κἂν ἐκ τᾶς ταγᾶς ἔλσῃ ποκα
Πορπακισάμενος φροῦδος ἀμπτάμενος ἔβα.
Λυ. Αλλ' οὐδὲ μοιχοῦ καταλέλειπται φεψάλυξ.
Εξ οὗ γὰρ ἡμᾶς προὔδοσαν Μιλήσιοι
Οὐκ εἶδον οὐδ' ὄλισβον ὀκταδάκτυλον.
Ος ἦν ἂν ἡμῖν σκυτίνη 'πικουρία.
Εθέλοιτ' ἂν οὖν εἰ μηχανὴν εὕροιμ' ἐγὼ
Μετ' ἐμοῦ καταλῦσαι τὸν πόλεμον; Μυ. νὴ τὼ θεώ.

Adsint mulieres. MVR. *Euge dicis optimè.*
Sed en Lacæna Lampito tibi aduenit.
LVS. *Lacæna salue Lampito, ô charissima,*
Mellita, qualis hæc tua est formositas!
Vt corpus habitum pollet, ut nitet cutis!
B *Vel colla tauri strangules.* LA. *Pol me labor*
Exercet vsque, & podici assultant pedes.
LVS. *O bellulæ istæ quas habes papillulæ.*
LA. *At vos manu explorate ceu sacrum solent.*
LVS *At altera hæc iuuencula, vnde gentium.*
LA. *Veneranda multum Ecastor est Bœotia,*
Et visit ad vos. LVS. *per Iouem ô Bœotia*
Horto elegantis prædita es. LA. *Quin per Iouem* C
Bellè compta vulsis pulegi ramusculis.
LVS *Quænam altera est puella?* LA. *per Deos bona est,*
Atque è Corintho. LVS. *stirps vetusta & optima,*
Talisq́; certè apparet & nata indidem.
LA. *Verùm quis istum conuocauit ordinem*
D *Tot fœminarum?* LVS. *Ego ipsa.* LA. *Quid nos velis*
Iam fare. LVS. *Fabor per Iouem ô dulcissima.*
MVR. *Dic serium illud quod te habere dixeras.*
LVS. *Dicam repentè, sed priusquam dixerim,*
Est quod rogem vos paululum. MVR. *vt lubet roga.*
E LVS *Nunquid patres desideratis liberûm*
Exercitum nunc incolentes? MVR. *nam procul*
Cessere nostri ab omnibus nouis viri.
LVS. *Iam quinque menses vir mihi infelix abest*
Thracumq́; in asperis seruat oris Eucratem.
MVR. *Mensem at meus iam septimum exegit Pyli.*
F LA *Meus at cohortes fortè si reliquerit,*
Statim arma sumit, & reuersus auolat.
LVS. *Quin nulla mœchi restat hic scintillula,*
Nam tempore ex quo nos fides Milesia
Prodens fefellit, ex eo ad palmos duos
Non vidi olisbum, (scorteum auxilium fuit)
Vultis ne mecum, si quid hic inuenero,
Bella ista prorsus soluere? MVR. *Hoc, testor deos,*
G

BISET. Οἷον τὸ κάλλος] εἰ καλῶς ἔχει ἡ γραφὴ, σημειωτέον ὅτι ἐν τῇ ἕκτῃ τοῦ στίχου χώρᾳ, [illegible] μονονοῦ δάκτυλος ἀντὶ τοῦ ἰάμβου, ἢ τριβράχεος, ἢ ἀναπαίστου τίθεται. ἀλλὰ ἴσως [illegible] τὸ ἐκβληθείη, καὶ οὕτω γράφοιτο. Οἷον τὸ κάλλος σου γλυκυτάτη φαίνεται. ἢ οὕτως Οἷον τὸ κάλλος ὦ γλυκυτάτη φαίνεται τὸ σοῦ ἀποστελλουσῶν. [illegible] καὶ νῦν διὰ τὸ χροιὰν ἔχειν, [illegible] ἀκμάζει μὲν ἔτι, ἰσχυρόν ἐστι [illegible] δηλοῖ τοὺς μαστοὺς γάλακτος μαστούς, [illegible] οὕτως ἔχειν. μετα-

μεταφορικῶς δὲ λέγεται καὶ περὶ τῆς ψυχῆς, ἀντὶ τοῦ φυσᾶσθαι. καὶ οἱονεὶ οἰδεῖν, καὶ ὀγκοῦσθαι. τὸν ταῦρον δὲ ἐνταῦθα ἀμφιβόλως λέγει καὶ τὸ ζῶον, καὶ τὸ τοῦ ἀνδρὸς αἰδοῖον, ταῦρον καλούμενον. ὅθεν ἀταύρωτος, ἡ ἄμικτος. καὶ ἁγνή. αὐτὴν οὖν ὡς λαγνοτάτην, καὶ εὐπετῆ φορὸν εἰς τοὺς ἀφροδισιασμοὺς αἰνιγματικῶς σκώπτει. Ναὶ σιώ.] Λαμπιτὼ ὡς Λάκαινα οὖσα, οὐ μόνον Δωρικῶς, ἀλλὰ δὴ καὶ τῷ τῆς Λακωνικῆς χώρας ἰδιώματι, τὴν ὅλην αὐτῆς φράσιν σχηματίζει καὶ ἐκφωνεῖ. ὅπερ ἀκριβέστατα παρατηρητέον δοκεῖ, ἔν τε τοῖς αὐτῆς λόγοις ἅπασι, καὶ ἐν τοῖς τῶν ἄλλων Λακώνων εἰς προσκήνιον εἰσαγομένων, καὶ διαλεγομένων, μή τις ἐν τῇ γραφῇ σφάλμα εἶναι ὑπονοῇ. Οὐ μὴν ἀλλὰ καὶ, ὡς Κόρινθος ἐν τοῖς περὶ διαλέκτων φησίν, εἰδέναι δεῖ ὅτι Δωρίδος πολλαί εἰσιν ὑποδιαιρέσεις τοπικαί. ἄλλως γὰρ Κρῆτες διαλέγονται καὶ ἄλλως Ῥόδιοι. καὶ ἄλλως Ἀργεῖοι. καὶ ἄλλως Λακεδαιμόνιοι. ἑτέρως δὲ Συρακούσιοι. καὶ Σικελοί. καὶ ταῦτ' εἰς τὸ ἅπαξ ὑπομεμνῆσθαι ἐπαρκείτω. Σιὼ οὖν ἐστὶν ἀντὶ τοῦ θεώ. τουτέστι, τὼ Διοσκούρω, τὸ γὰρ θ εἰς τὸ σ τρέπειν Δωρικόν ἐστι, καὶ ζ εἰς δύο δδ. ὡς γυμνάδδομαι, πλάδδω, μάδδα. ἀντὶ τοῦ γυμνάζομαι, πλάζω μάζα. Ποτὶ πυγάν] Δωρικῶς πρὸς πυγήν. πρὸς δὲ ἐστὶ μετὰ γενικῆς, ἀντὶ τοῦ, ἐκ. τινὲς μέντοι γράφουσι ποτὶ πυγᾶς. τουτέστιν εἰς πυγήν. τὸ δὲ ἀμφίβολον. καὶ γὰρ πρὸς τὰ γυμνάσια. καὶ πρὸς τὰ ἀφροδίσια δύναται ἀναφέρεσθαι. καὶ εἰς τὴν πυγὴν ἅλλομαι ἐν τῷ γυμνάζεσθαι, καὶ εἰς τὴν πυγὴν ἅλλομαι ἐν τῷ συνουσιάζειν. Τὸ χρῆμα τιτθίων.] ἀντὶ τοῦ, τὰ τιτθία. ὡς καλὰ ἔχεις τὰ τιτθία. σημείωσαι δὲ τὸ χρῆμα μετὰ γενικῆς ποτὲ μὲν τὸ μέγεθος δηλοῦν, ὡς τὸ χρῆμα τῆς γυναικὸς, τουτέστι μεγάλη γυνή. ποτὲ δὲ ἐξοχήν τινα, καὶ θαῦμα, ὡς, καλὸν τὸ χρῆμα τῆς παρθένου, ἀντὶ τοῦ, ἡ παρθένος κάλλος ἔξοχον, ἐξαίρετον, καὶ θαυμάσιον ἔχουσα. οὕτω καὶ ἐνταῦθα νοητέον. τιτθία δὲ, ὑποκοριστικὸν ἀπὸ τοῦ τιτθοῦ. ὡς καλοὺς ἔχεις τοὺς μαστούς. τὸ δὲ μικροὺς μαστοὺς ἔχειν, ἐν κάλλους μέρει τίθεται. τὸ δὲ μεγάλους ἔχειν μαστοὺς, αἰσχρόν τε, καὶ δυσειδὲς ἐν ταῖς γυναιξὶ νομίζεται. τοῦτο γὰρ τῆς φύσεως εὐπρεπέστερον. Ἅπερ ἱερεῖον.] καθάπερ ἱερεῖον ὑποψηλαφᾶτε. τὰ γὰρ ἱερεῖα μέλλοντες θύειν ἐψηλάφων εἰ λιπαρά ἐστι. Σ. ὑποψαλάσσω δὲ, τὸ ἐλαφρῶς καὶ κούφως ψηλαφίζω. ἅπερ δὲ, Ἀττικῶς, καθάπερ. Ἡδὶ δή.] ἥδε δὴ ποδαπὰ ἐσθ' ἡ νεᾶνις ἡ ἑτέρα; ἀντὶ τοῦ, ἥδε δὲ ἡ ἑτέρα νεᾶνις ποδαπή ἐστι; ποδαπὸς δὲ κατὰ τὸν Εὐστάθιον, ποίου ἐδάφους. ἤγουν χώρας, παρὰ τὸ ποῖον, καὶ τὸ ἔδαφος λέγεται. ἀντὶ δὲ τοῦ νεᾶνις ὀξυτόνως γραπτέον νεανίς, νεανίδος προπερισπωμένως, ὡς Σουΐδας φησίν. πρέσβειρα δὲ, ἔντιμος, προτιμητική, ἀρχηγέτις. ποθ' ὑμὲ, πρὸς ὑμᾶς. πεδίον, χωρίον. Βληχώ γε παρατετιλμένη.] βλήχων, ωνος, καὶ βληχὼ, οῦς, ἡ γλήχων. τὸ δὲ γ εἰς β. ἐτράπη Ἀττικῶς. γλήχων δὲ, εἶδος βοτάνης, ὅ τινες ὀρίγανον καλοῦσι. γληχὼ, θηλυκῶς οἱ Ἀττικοὶ τὸ ὀρίγανον. καὶ τὸ ἐφήβαιον ὁ Ἀριστοφάνης οὕτως ὀνομάζει. ἐφήβαιον δὲ καλοῦμεν καὶ αὐτὴν τὴν ἥβην, καὶ τὴν ἥβης ἡλικίαν, καὶ τὰς τρίχας περὶ τὸ αἰδοῖον τῶν ἐφήβων πρῶτον φαινομένας, καὶ φυομένας. ἴσως οὖν τι κακέμφατον ἐνταῦθα νοεῖται. καὶ γὰρ δύναται τοῦτο λαμβάνεσθαι ἀντὶ τοῦ παρατετιλμένη, ἤγουν παρατίλασα γ' ἤχουσα, τουτέστιν ὀρίγανον ἐν τῷ ἑαυτῆς χωρίῳ καὶ ἀντὶ τοῦ παρατίλασα τὰς τοῦ αἰδοίου τρίχας. ὅπερ παρὰ παλαιοῖς ἐν τρυφῇ ἦν. ὡς ἀλλαχοῦ προείρηται. Χαΐα μάν.] χάϊος, ἀγαθὸς, εὐγενής. καὶ χαὸς ἰδιωτικὴ τῶν Λακεδαιμονίων λέξις, ἀφ' ἧς σχηματίζεται τὸ χάϊος, χαΐα, χάϊον. κατ' ἐπένθεσιν τοῦ ι. καὶ ἐν τοῖς τοῦ Αἰσχύλου παλαιοῖς σχολίοις, οἱ εὐγενεῖς χαοὶ καλοῦνται. καὶ βαθυχάϊοι, οἱ μεγάλως εὐγενεῖς. Αἰσχύλος ἐν Ἱκέτισιν, Ἄργειος ἐγὼ βαθυχάϊος. Κορινθία δὲ, τουτέστι πόρνη, ἐπεὶ ἡ Κόρινθος ἐπληθύνετο πόρναις. Δήλα 'στί.] δήλη ἐστὶν οὖσα κατὰ ταῦτα ἐντεῦθεν. ὁ νοῦς. Νὴ τὸν Δία

A αὕτη δήλη ἐστὶν οὖσα τοιαύτη, ἡ ἐκ τῆς Κορίνθου, τουτέστιν ἡ Κορινθία, διὰ ταῦτα ἃ ποιεῖ, καὶ λέγει. τί δὲ ταῦτα, οὐ δηλοῦται. ἀλλὰ κατὰ τὸ σιωπώμενον δεῖ νοεῖν αὐτὴν καὶ τοῖς λόγοις, καὶ τοῖς τοῦ σώματος σχήμασι, καὶ τὴν πατρίδα, καὶ τοὺς τρόπους φανεροῦσθαι, οὓς καταμαθοῦσα ἡ Λυσιστράτη ταῦτα περὶ ταύτης λέγει. Ξυναλίαξε.] Δωρικῶς τὸ η εἰς α μακρὸν ἐτράπη, ἀντὶ τοῦ ξυνηλίαξε. ξυναλιάζειν δὲ, ταὐτὸ τῷ ξυναλίζειν, ἤγουν συναθροίζειν. ὅθεν τὸ ἁλίσας, συναθροίσας, ἢ κυλίσας, κοιλίσας. καὶ ἁλισθεῖσα, συναθροισθεῖσα. ἡ δὲ Σεμίραμις ἁλίσασα τὴν δύναμιν, τὴν πόλιν αἱρεῖ κατὰ κράτος. τὸ στόλον δὲ, τὸ πλῆθος. ἁδ' ἐγὼ, ἥδε ἐγὼ, ἐγὼ αὐτή. Μυσιδδέτω.] βέλτιον ἴσως διὰ δευτέρου προσώπου τοῦ προστακτικοῦ γράφειν οὕτω, μυσίδδε τὸ, ἀντὶ τοῦ τοῦτο. ἐκ δὲ τῶν ἑξῆς τοῦτο δῆλον. μυσίδδε Δωρικῶς ἀντὶ τοῦ μύθιζε, ἢ μυθίζου, ἢ μύθησαι. ὅπερ μᾶλλον ἐν χρήσει. τὸ δὲ θ εἰς σ ἐτράπη, καὶ τὸ ζ εἰς δύο δδ. ὡς προείρηται. ὁ νοῦς. μύθησαι τοίνυν, εἰπὲ, λέξον τοῦτο, ὅ τι περ ἐθέλεις πρὸς ἡμᾶς λέγειν. λῇς δὲ, ὡς τὸ ζῇς. παρὰ τὸ λάω, λῶ, τὸ θέλω. Θεόκρ. εἰδ. α.

C Λῇς ποτὶ τᾶν Νυμφᾶν, λῇς αἰπόλε τῇδε καθίξας.

Σημείωσαι δὲ, τινὰς μὲν τὸ λῇς μετὰ τοῦ ι ὑπογραφομένου λέγειν. τινὰς δὲ, καὶ τούτου ἀμελεῖν. αἱ δὲ τοῦ ι ὑπεξαιρέσεις τῶν Ἀττικῶν, καὶ τῶν Ἰώνων εἰσὶν ἴδιαι. καθ' ὅπερ δῆλον ἐκ τῶν τοῦ Κορίνθου διαλέκτων. εἰ δὲ τὸ μυσιδδέτω καλῶς ἔχει, ἑρμηνεύσεις, εἰπέτω, λεξάτω. ἀλλὰ ἡ σύνταξις ἀνακόλουθος φαίνεται. τοῦτο μέντοι, σκληρὸν, καὶ ἀνακόλουθον φράσεως σχῆμα τοὺς ἀπαιδεύτους τρόπους, καὶ τὴν ἀσύστατον φύσιν τῶν γυναικῶν δηλώσει. καὶ γὰρ ἔδει λέγειν ἢ, μυσίδδε τὸ, ὅ, τι λῇς. ἢ, μυσιδδέτω ὅ, τι λῇ, D ἐκείνη δηλονότι ἥπερ ἡμᾶς δεῦρο συνήγαγε. Λέγοιμ' ἂν ἤδη.] αὐτίκα λέξω. πρὶν δὲ τοῦ δὴ λέγειν, ὑμᾶς μικρόν τι ἐπερήσομαι. ἐρωτήσω ὑμᾶς τοῦτο μικρὸν ἐρώτημα. τί δὲ τοῦτο, ἔπειτα δηλοῖ. Ὁ δ' ἐμός γα.] ταῦτα Δωριστὶ λέλεκται. κοινῶς δ' οὕτως ἑρμηνευτέον. ὁ δὲ ἐμός γε παρὰ ἐκ τῆς ταγῆς, εἴτε τάξεως, καὶ στρατείας ἦλθε ποτὲ πορπακισάμενος, φροῦδος ἀναπτάμενος ἔβη. τουτέστιν ὁ δ' ἐμὸς ἀνὴρ μόλις ἐκ τοῦ πολέμου ἐπανῆλθε, καὶ εὐθὺς πάλιν φροῦδος ἀπῆλθεν εἰς νέαν τινὰ στρατείαν. πόρπαξ δὲ, ᾧ τὴν ἀσπίδα κατέχουσιν, ἐλιδόμενος ὄχανος. ἄλλως. πόρπαξ κατὰ μέν τινας ὁ ἀναφορεὺς τῆς ἀσπίδος. ὡς δέ τινες τὸ διῆκον μέσον τῆς ἀσπίδος σιδήρειον ᾧ κρατεῖ τὴν ἀσπίδα ὁ στρατιώτης. Σ. ὅθεν τὸ E πορπακίσασθαι, τὸ πορπακοφορεῖν, καὶ πόρπακι τὸ σῶμα σκεπάζειν. Φεψάλυξ.] φέψαλος, καὶ φεψάλυξ, σπινθὴρ ὁ ἀναφερόμενος ἐκ τῶν καιομένων ξύλων. οὕτω Σουΐδας ὃς τούτων μνημονεύει. ὄλισβον δὲ καλεῖ τὸ αἰδοῖον δερμάτινον, ᾧ ἐχρῶντο αἱ Μιλήσιαι γυναῖκες, ὡς τριβάδες, καὶ αἰσχρουργοί. ἐχρῶντο δ' αὐτῷ καὶ αἱ χῆραι γυναῖκες. Σ. σκυτίνην δ' ἐπικουρίαν καλεῖ, τὴν σκυτίνην βοήθειαν, ἤτοι τὴν δερματίνην βοήθειαν, τὴν πρὸς τὴν ἐπιθυμίαν ἀντὶ τῶν ἀνδρῶν. F τοῦτο δὲ ποιοῦσιν αἱ ἀκόλαστοι γυναῖκες. Σκυτίνην δὲ ἐπικουρίαν λέγει παρὰ τὴν παροιμίαν. Συκίνη ἐπικουρία ἐπὶ τῶν ἀσθενῶν βοηθημάτων. καὶ ἴσως ἐνταῦθα γραπτέον, συκίνη ἀντὶ τοῦ σκυτίνη.

CHR. Κἂν ταῦρον ἄγχοις.] Ad Milonem fortissimum ex Crotone athletam hæc spectare videtur qui tauros & strangulabat & vorabat. Quæ animalia viribus non celeritate pollent: suspicor autem hoc fuisse prouerbiũ, etsi inductum Parœ- G miographis, quod quidem sciam. Hinc autẽ scire liquet quod apud Xenoph. in Lacedæmoniorum Republica scriptum est, etiam puellis & virginib. sua fuisse gymnasia separata & ludos palæstræ. Itaque masculũ inde colorem cõtrahebãt virgines,

Vt videre est in Pallados Lutris apud Callimachum. εὐχροεῖν & σφριγᾶν verba propria athletis benè habitis. Æschylus in Prometheo vincto, posteriore vsus est, σφριγῶντα θυμὸν ἰσχναίνει βία, id est, adolescentem & virescentem. Cæterùm legerem τὸ κάλλος γλυκυτάτη, &c. vel ὦ γλυκυτάτη φαίνεται. Μάλα γὰρ οἴω ναὶ σιώ.] Fœminarum propriũ est iurare μὰ τὼ θεώ, qui sunt Dioscuri, sic & apud Latinos non temerè reperias Ecastor iurari nisi à mulieribus, vt apud Terentium illa, Perecastor scitus puer natus est Pamphilo. Nam Ædepol & Pol etiam à viris video vsurpari. Hoc autem loco, οἴω videtur per parenthesin dictum pro οἴομαι, vt inferius præco Lacedæmonius ait, ἀλλ' ἀρχὰ μὲν οἴω Λαμπιτώ. quæ verba corrupta habes apud Sudam. Putabam aliquando σιώ intelligendum μόνω. Ποτὶ πυγὰν ἅλλομαι.] Lego πυγὰν pro πυγὴν vt habet Sudas. Hoc autem dicit, quia in exercitatione solebant saltare, & pedes saltantis attingere vropygium. Hoc genus saltationis vel ἐμμελείας dicebatur apud Laconas βίβασις, vbi ita saltabatur vt calce nates ferirentur. Prouerbium est ἐς κυνὸς πυγὴν ὁρᾶν καὶ τρεῖς ἀλωπέκων huc nihil pertinens, sed ὀφθαλμιῶντας tantùm innuens. Rectè autem Principem matronam Laconicam vocat Lampito. Plato enim in Alcibiade primo ait Lampido, eámque facit filiam Leotychidæ, Archidami vxorem, Agidis matrem. Ἅπερ ἱερεῖον.] Velut hostiam, nam sacrificaturi & litaturi victimam contrectabant, explorantes num pinguis esset & nitida: Meminit Sudas voce ψηλαφᾶν, & ὥπερ legit non ἅπερ, sed ἅπερ melius quia Spartana loquitur. Puto autem delendam vocem τὸ & legendum ὡς δὴ καλὸν τὸ χρῆμα τιτθίων ἔχεις. nisi mauis τὸ τιτθίον, vt τιτθὸν & τιτθίον eadem sint. Καλόν γ' ἔχεις τὸ πεδίον.] Eam rem circumlocutus Plautus vocauit septum, Auctor obscœni carminis hortum, vtrumque ἀντὶ τοῦ ἐφηβαίου, Ludit autem in voce βληχὼ quod etiam γλήχων vocatur (quasi desiderium dicas) & pubem omnino per pulegium designat quo abundabant præcipuè Bœoti, hortorum cultui vacantes. Χαίρε μὲν] Hic τὸ χαῖρον generosum, nobile & bonum valet, vt & vsurpat Theocritus in 8. Idyllio. Videtur autem antiqua nobilitas fuisse ab Athenis quia αὐτόχθονες, propterea ait πάντευθενί, & à Corintho, vt idē Theocritus in Ἀδωνιαζούσαις ait Κορίνθιαι ἦμες ἄνωθεν. Μυσίδδεται ὅτι λῆς.] Puto legendum μυσίδδεο pro μυθίζω. nisi mauis μύσιδδε τὸ ὅτι λῆς pro μύθιζε ὅτι ποτὶ ἁμᾶς βούλει. Ὁ γ' οὖν ἐμὸς ἀνήρ.] Simile quid habes apud Theocritum in Idyllio fœminarum Adonidis festum celebrantium. Εὐκράτης.] Hic Eucrates dictus est στόμφαξ, quem exagitat etiam Aristophanes in Equit. Πορπακισάμενος.] Pro πορπακισάμενος vt in Pace, μισοπορπακιστάτη. φεψάλυξ autem est scintilla & ζώπυρημα, & sic Milesij exagitantur tanquam mœchi. Ὄλισβος.] Scorteum erat veretrum quo Milesiæ vtebantur mulieres Tribades & turpificæ, interdum etiam viduæ. Sunt qui pessaria vocent, nō ego, qui sciam ista non ad libidinem sed medelam fuisse in vsu. Octodactylum autem quod vocat puto esse sesquipedale, etsi sciam, quid sit pes antiquus, quid palmus, quid digitus, nam δάκτυλον hic pro pollice quem vocamus in Architectonica, accipio. Adludit tamen ad intestinum illud quod Dodecadactylũ dicitur, & quod πυλωρῷ & ἐκφύσεως nomine meruit apud Medicos. Σκυτίνη ἐπικουρία] Adludit proculdubio ad συκίνην ἐπικουρίαν. Cuius meminit Erasmus in Adagio Ficulnus. sed legit in hoc loco συκίνη non σκυτίνη. Rectum tamen est σκυτίνη, Nam quia pessi illi siue olisbi erant ex corio vel aluta, propterea σκυτίνη dixit, per parodiam ad συκίνη. Itaque monitor Erasmus quique illi hac in parte astipulātur monendi mihi sunt cum hoc interdicto, μὴ κακουργεῖν τὰ κείμενα, Quod tamen cū bona ipsorum venia dictum velim, nam & Erasmi memoriam colo, & eius ingenium magni facio. Sed imposuit illi Veneta editio huius fabulæ quæ hic habuit συκίνη. Sanè φαλλὸς (vnde follis) veretrū erat gestatum in pompa Liberi quod primùm ex ficu fiebat, deinde ex aluta rubra, & tunc dictum πολίων, vnde polimenta, testiculi porcini, vt docuit Scal. ad Varronem, Scaliger inquam Varro alter.

Ἐγὼ δέ γ' ἂν κἂν εἴ με χρείη, τοὔγκυκλον
Τουτὶ καταθεῖσαν ἐκπιεῖν αὐθημερόν.
Κα. Ἐγὼ δέ γ' ἂν κἂν ὥσπερ εἰ ψῆτταν δοκῶ
Δοῦναι ἂν ἐμαυτῆς παρταμοῦσα θ' ἥμισυ.
Λα. Ἐγὼ δὲ καί κα ποττὸ Ταΰγετον γ' ἄνω
Ἔλθοιμ', ὅπα μέλλοιμί γ' εἰράναν ἰδῆν.
Λυ. Λέγοιμ' ἄν· οὐ δεῖ γὰρ κατακρύπτειν τὸν λόγον.
Ἡμῖν γὰρ ὦ γυναῖκες, εἴπερ μέλλομεν
Ἀναγκάσειν τοὺς ἄνδρας εἰρήνην ἄγειν,
Ἀφεκτέ' ἐστὶν. Κα. τοῦ φράσον. Λυ. ποιήσετ' οὖν;
Κα. Ποιήσομεν, κἂν ἀποθανεῖν ἡμᾶς δέῃ.
Λυ. Ἀφεκτέα τοίνυν ἡμῖν ἐστι τοῦ πέους.

Velim libenter, vel si opus sit, linquere
Munimen illud, integrum vt potem diem.
CA. *Ego more Rhombi diuidi in partes duas*
Nunquam recusem, vt bella prorsus occidant.
LA. *At ego, vt amica Pacis ora conspicer*
Ascendere ausim longa Taygeti iuga.
LVS. *Nunc eloquar, nec illa vos celauerim,*
Nam si velimus vt viri pacem colant
Nobis carendum & abstinendum ô fœminæ.
CA. *Quid imperas nos facere?* LV. *nū parebitis?*
CA. *Faciemus, & si nos mori necesse sit.*
LVS. *Est ergo nobis abstinendum mentula.*

BISETVS. Ἐγὼ δέ γ' ἄν] ἐγὼ δέ γε ἂν κἂν εἴ με χρὴ καταθεῖσαν τὸ ἔγκυκλον, ἐκπιεῖν αὐθημερόν. ὁ νοῦς. Ἐγὼ δὲ, κἂν εἴ με χρὴ καταθεῖσαν τὸ ἔγκυκλον, αὐθημερὸν ἐκπιεῖν τοῦτο, ἤγουν αὐτὸ τὴν ἡμέραν, ἐθέλω ποιεῖν, ὅ, τι περ κελεύσεις. ἐκπιεῖν γὰρ τὸ ἔγκυκλον ἀντὶ τοῦ τοῦτο δηλοῖ ὁ οἶνος. τὸ δὲ ἐκπιεῖν ἰσοδυναμεῖ τῷ καί. ἀεὶ δὲ τὸ ἔγκυκλον. ταῦτα κατὰ τὸν Εὐστάθιον λέγεται. ἰστέον ὅτι καθάπερ ὁ ἱατός, οὕτως τὸ ἔκκυκλον, ἢ ἔγκυκλον, οὐ καὶ ὁ Κωμικὸς μέμνηται, γυναικεῖον ἦν ποτε φόρημα. φησὶ γοῦν Παυσανίας. ὅτι ἔγκυκλον, ἁλουργὸν ἢ πορφυροῦν ἐστιν ἱμάτιον, καὶ χιτὼν γυναικεῖος, ὃν ἐνδύονται, ὥσπερ ... γυναῖκες εἶτα τὸ ἔνδυμα. λέγεται δὲ, φησίν, ἐντεῦθεν τὰ σεμνὰ ... διότι μέχρι ... καταθεῖσαν δὲ, ἀποδύσασαν, ἀποτιθεῖσαν. ἢ ἐνεχυράζουσαν. ἐνεχύρου ἕνεκα διδοῦσαν, ἵνα αὐθημερὸν ἐκπίω. Ὥσπερ εἰ ψῆτταν. ἡ ψῆττα τῶν πλατέων ἰχθύων εἶδός τι. ἴσως δὲ βούγλωσσον τὸ λέγουσι. δηλοῖ δέ τινα

ἐκ δύο συγκεῖσθαι δερμάτων τὴν ἰδέαν. διῄρηται δὲ κατὰ τὸ μέσον, ὡς οἱ σφῆκες. ἢ ὄρνεόν ἐστι τετμημένον κατὰ τὸ μέσον, ὡς οἱ σφῆκες. Παρατεμοῦσα θ᾽ ἥμισυ.] οὕτω καὶ Σουίδας γράφει. καὶ κάτω, Ἐφησθα σαυτῆς κἂν παρατεμεῖν θ᾽ ἥμισυ. ἀντὶ τοῦ, τὸ ἥμισυ. παρατεμοῦσα δὲ, μετοχὴ α. β. ἀπὸ τοῦ παρατέμνω. παρέταμον, παρατεμών. καὶ παρταμὼν, τὸ θηλυκὸν παραταμοῦσα. καὶ συγκοπῇ παρταμοῦσα. Ἐγὼ δὲ καί κα.] ἐγὼ δὲ καὶ ἄνω πρὸς τὸ Ταΰγετον ἔλθοιμι ἄν. ἀλλὰ γυνὴ Λάκαινα Λακωνίζει καὶ Δωρίζει. καί κα, καί κε. ποτὶ, πρὸς τό. ἔλσοιμι, ἔλθοιμι. Ταΰγετον δὲ, ὄρος τῆς Λακωνικῆς. Ὅμηρος.

Ἢ κατὰ Ταΰγετον περιμήκετον, ἢ Ἐρύμανθον.

λέγεται δὲ καὶ ἀρσενικῶς, καὶ οὐδετέρως. Στίφ. Ὅπα μέλλοιμί γε.] γέγραπται καὶ ὅπα μέλλοιμι. ἀντὶ τοῦ ὅπη, ὅπου. ἐν τῷ Ταϋγέτῳ μέλλοιμι ἰδεῖν εἰρήνην. ὁ νοῦς. ὥσπερ δυναίμην τὴν εἰρήνην ἰδεῖν, καὶ αὐτῆς τυχεῖν, καὶ εἰς ὑψηλότατον ὄρος ἀναβαίην. Τοῦ στράτου.] τίνος ἀφεκτέον; εἰπέ. Ἡμῖν ἐστι.] μέτρου χάριν οὕτω γραπτέον. τὸ γὰρ μὲν περισπώμενον μακρόν ἐστι. τὸ δὲ μὲν ὀξυτονούμενον παρὰ ποιηταῖς μέτρου χάριν γράφεται, ἵνα συστέλληται.

CHR. Τουτὶ καταθεῖσαν.] Lego καταθεῖσ᾽ ἄν.

A Quod autem vocat τὸ ἔγκυκλον, Pylus est vt & postea sub finem Comœdiæ satis declarat, sic dicta propter ambitum mororum, per Metaphoram τῶν περιβολαίων, id est ἃ ἔχουσιν & περιβάλλονται. Neque de nihilo addit ἐκπιεῖν, quasi τὸ ἔγκυκλον sit poculum rotundum quod exhauriret ipsa velit ea lege vt bellum desinat. Est etiam teste Polluce ἔγκυκλον vestis muliebris. Ὥσπερ ἡ ψῆτταν.] Lege ὥσπερ εἰ, deinde δοῦναι ἐμαυτῆς παρατεμοῦσα θ᾽ ἥμισυ, id est, etiam si contingat scindi dimidium meî. Nam B θ᾽ ἥμισυ est τὸ ἥμισυ, vt θοἰμάτιον pro τὸ ἱμάτιον. Videndum autem num Rhombi mentionem fecerit propter sagas mulieres quæ eo vtuntur in maleficis cantationibus, vnde Martialis,

Secto Luna vapulat Rhombo,

Nam Psetta vel passer ferè idem cum Rhombo, De ea sic apud Sudam, Piscis est latus, nonnulli buglossum vocant, qui videtur quibusdam constare ex duabus pellibus, mediúmque habere diuisum vt vespæ. Sanè ψῆτταν vocari à Romanis C Rhombum testatur Athenæus, vbi videbis ψῆττας & βουγλώσσους differre.

Τί μοι μεταστρέφεσθε; ποῖ βαδίζετε;
Αὗται, τί μοι μυᾶτε κἀνανεύετε;
Τί χρὼς τέτραπται; τί δάκρυον κατείβεται;
Ποιήσετ᾽ ἢ οὐ ποιήσετ᾽; ἢ τί μέλλετε;
Μυ. Οὐκ ἂν ποιήσαιμ᾽, ἀλλ᾽ ὁ πόλεμος ἑρπέτω.
Κα. Μὰ Δί᾽ οὐδ᾽ ἐγὼ γάρ. ἀλλ᾽ ὁ πόλεμος ἑρπέτω.
Λυ. Ταυτὶ σὺ λέγεις ὦ ψῆττα; καὶ μὴν ἄρτι γε,
Ἔφησθα σαυτῆς κἂν παρατεμεῖν θ᾽ ἥμισυ.
Κα. Ἀλλ᾽ ἄλλ᾽ ὅ, τι βούλει. κἄν με χρῇ διὰ τοῦ πυρός
Ἐθέλω βαδίζειν. τοῦτο μᾶλλον τοῦ πέους.
Οὐδὲν γὰρ οἷον ὦ φίλη Λυσιστράτη.
Λυ. Τί δαὶ σύ. Λαμ. κἀγὼ βούλομαι διὰ τοῦ πυρός.
Λυ. Ὦ παγκατάπυγον θἠμέτερον ἅπαν γένος.
Οὐκ ἐτὸς ἀφ᾽ ἡμῶν εἰσιν αἱ τραγῳδίαι.

Quid nunc abitu, quidue vultum auertitis?
Quid contrahentes ora me refellitis?
Quid pallidæ estis, lachrymasque funditis?
Hoc agitis, an non? quid iuuat cunctarier?
MVR. Non fecerim istud, bella pergant protinus.
D *CAL. Nec ego istud, inquam, signa mauelim canant.*
LVS. Tune ista dicas lingulaca? quæ modò
Medium inquiebas corporis secassere?
CAL. Aliud iubeto quod libet, parata sum
Potius per ignes ire, quàm sic mentula
Carere, cui nil compares Lysistrata.
LVS. Quid tu Lacæna? LAM. vellem in ignes non minus.
LVS. Quàm fœmina omnes vtimur libidine!
E *Abominantur iure nos Tragœdia,*

Bis. Τί μοι μεταστρέφεσθε.] αἱ γυναῖκες τὴν Λυσιστράτης βουλὴν περὶ τρόπου τῆς εἰρήνης ἀκούσασαι, καὶ κατὰ τὴν Λυσιστράτης γνώμην τῶν ἀφροδισίων ἀφεκτέα, δυσφοροῦσι, καὶ ἀποστρέφονται λυπούμεναι διὰ τὴν χαλεπότητα τῆς βουλῆς. καὶ μηδὲν ἀποκρινόμεναι ἔμενον. ἡ δὲ Λυσιστράτη αὐτὰς λυπουμένας καταμαθοῦσα, ζητεῖ τί ποτε ποιεῖν μέλλουσι, καὶ αὐτὰς τὴν ἑαυτῶν γνώμην φανεροῦν κελεύει. διὰ τούτων δὲ ὁ ποιητὴς ἡμῖν τὰς γυναικῶν λεπτότητας, καὶ φύσιν εἰς τὰ ἀφροδίσια εὐεπίφορον καλῶς χαρακτηρίζει. Αὗται.] ἀντὶ τοῦ, ὦ ὑμεῖς. μυᾶτε δὲ, σκαρδαμύττετε. μυεῖν ἐστι τὰ χείλη πρὸς ἄλληλα συνάγειν. τὸ δὲ αὐτὸ καὶ μύλλειν λέγεται. τινὲς δὲ, τοὺς ὀφθαλμοὺς συνάγετε δυσαρεστοῦσαι. ἢ ὥσπερ μύες κατεδύεσθε. ἢ μυστηρίζετε. Σ. κατείβεται δὲ, καταλείβεται. ἀπὸ τῶν ὀφθαλμῶν καταχεῖται. Ἀλλ᾽ ὁ πόλεμος.] ὁ νοῦς. τὸν πόλεμον προαιρούμεθα μᾶλλον ἢ τῆς τῶν ἀνδρῶν ὁμιλίας, καὶ συνουσίας ἀπέχεσθαι. Ψῆττα δὲ, οὐ μόνον ἰχθύων δηλοῖ, ἀλλὰ καὶ πόρνης τινὸς ὄνομα κύριον, ὡς καὶ τὸ τῆς Μυρρίνης. Ἀλλ᾽ ἄλλ᾽ ὅ, τι.] ἀλλὰ ἄλλο δηλονότι κέλευσον, οὐ δεῖν ἡμᾶς ἀπέχεσθαι, ἀλλὰ λέγε ἄλλο πᾶν, ὅπερ βούλει, οὐ δεῖν ἡμᾶς ἀπέχεσθαι. ἐὰν γὰρ καὶ διὰ τοῦ πυρὸς προαιρούμεθα μᾶλλον βαδίζειν, εἰ τοῦτο χρὴ ποιεῖν, ἢ τῆς ἀνδρῶν συνουσίας ἀπέχεσθαι. τοῦτο γὰρ ἀδύνατόν μοι φαίνεται. Ὦ παν.] θ᾽ ἡμέτερον, τὸ ἡμέτερον. καταπύγων δὲ, ὁ λάγνος. ἡ δὲ μεταφορὰ ἀπὸ τῶν ἀλφηστῶν οὕτω λεγομένων ἰχθύων, ὅτι ἕπονται κατ᾽ οὐράν. ἢ γυναικὴ καταπύγωνος. καὶ αἱ ἄλλαι πλάσεις ὑβρίζονται. καὶ τὸ θηλυκὸν εὕρηται καταπύγων. καὶ ἡ πρᾶξις καταπυγοσύνη, τουτέστιν, ἡ μαλακία. καὶ καταπύγος ὁ κίναιδος. Σ. ἄλλως. καταπύγες, καταπύγης, καὶ καταπύγων, ὁ κίναιδος, ὁ μαλακὸς. ὁ ἀσελγὴς, ὁ εἰς ἀνεσίας συνουσίας καταφερής. διὰ τοῦτο δὲ τοῦ ἀποφθέγματος ἡ Λυσιστράτη τῆς γυναικῶν πικρῶς καθάπτεται, καὶ αὐτῶν τὴν λίαν ἀσέλγειαν, καὶ ἀκολασίαν ὀνειδίζει. οὐκ ἐτὸς δὲ, ἀντὶ τοῦ οὐκ ἀδίκως τοίνυν οἱ ποιηταὶ ἡμᾶς διὰ ταύτας τὰς κακίας τραγῳδοῦσι, καὶ κωμῳδοῦσι.

CHR. Ἀλλ᾽ ὁ πόλεμος ἑρπέτω.] Augustus Cæsar in illo Fescēninæ licētiæ epigrammate & Romanæ simplicitatis vt ait Martialis, in hanc sentētiam dixit, Quid quod mihi vita Charior est ipsa mentula? Signa canant. Mauult enim Marte decertare quàm Fuluiæ libidini obtemperare. Hic G Myrrina contra bellum mauult quàm Venerem quietam. Οὐκ ἐτὸς ἀφ᾽ ἡμῶν.] Muta accentum & lege ἐτὸς quod est pro ἐτώσιον, vt dicat, Non frustra contrà nos loquuntur Tragici, innuens Euripidem μισογύναικα, Legendum autem paulò antè τί δαὶ non τί δέ, vt metro consulas.

Οὐδὲν γάρ ἐσμεν πλὴν Ποσειδῶν καὶ σκάφη.
Ἀλλ' ὦ φίλη Λάκαινα, σὺ γὰρ ἐὰν γένῃ
Μόνη μετ' ἐμοῦ, τὸ πρᾶγμ' ἂν ἀνασωσαίμεθ' ἔτι,
Ξυμψήφισαί μοι. Λα. χαλεπὰ μὲν ναὶ τὼ σιώ·
Γυναῖκας ὑπνῶν ἐστ' ἄνευ ψωλᾶς μόνας
Ὅμως γε μὰν ἂν δεῖ. τᾶς γὰρ εἰράνας μάλ' αὖ.
Λυ. Ὦ φιλτάτη σὺ καὶ μόνη τούτων γυνή.
Κα. Εἰ δ' ὡς μάλιστ' ἀπεχοίμεθ' οὗ σὺ δὴ λέγεις,
Ὃ μὴ γένοιτο, μᾶλλον ἂν διὰ τουτογὶ
Γένοιτ' ἂν εἰρήνη. Λυ. πολύ γε νὴ τὼ θεώ.
Εἰ γὰρ καθήμεθ' ἔνδον ἐντετριμμέναι
Καὶ τοῖς χιτωνίοισι τοῖς ἀμοργίνοις
Γυμναὶ παρίοιμεν δέλτα παρατετιλμέναι
Στύοιντ' ἂν ἄνδρες κἀπιθυμοῖεν πλεκοῦν,
Ἡμεῖς δὲ μὴ προσίοιμεν, ἀλλ' ἀπεχοίμεθα,
Σπονδὰς ποιήσαιντ' ἂν ταχέως εὖ οἶδ' ὅτι.
Λα. Ὁ γ' ὧν Μενέλαος τᾶς Ἑλένας τὰ μᾶλά πα
Γυμνᾶς παρενιδὼν ἐξέβαλ' οἰῶ τὸ ξίφος.
Κα. Τί δ' ἢν ἀφιῶσ' ἄνδρες ἡμᾶς, ὦ μέλε.
Λυ. Τὸ τοῦ Φερεκράτους κύνα δέρειν δεδαρμένην.
Κα. Φλυαρία ταῦτ' ἐστὶ τὰ μεμιμημένα.
Ἐὰν λαβόντες δ' ἐς τὸ δωμάτιον βίᾳ
Ἕλκωσιν ἡμᾶς. Λυ. ἀντέχου σὺ τῶν θυρῶν.
Κα. Ἐὰν δὲ τύπτωσιν. Λυ. παρέχειν χρὴ κακῶς.

A *Nam præter æquor alueosq́; nil sumus.*
Ast ô Lacæna, namq́; si mecum voles
Vel sola adesse, nostra erit res in vado,
Tum adde nostro calculum. LA. *Durum est nimis*
Dormire solas mentula absque fœminas,
Tamen necesse est, Pax enim valdè expedit.
LVS. *O omnium harum sola dulcis fœmina.*
B CA. *Quòd si abstinemus maximè à re quam modo*
Dixti (quod absit) Paxne propterea statim est
Ventura nobis? LVS *per deos multò magis:*
Nam si sedemus intus extersa cute
Stamusq́; nuda linea in subucula,
Vulsis nitentes Ungii ex horto pilis,
Tunc arrigentes iungere ardebunt viri,
Sed temperemus abnuentes iungier,
C *Fœdus ferire mox volent, certò scio.*
LA. *Sic mala nuda quum videret coniugis*
Abiecit ensem victus Atrides minor.
CA. *Quid si, ô misella, nos viri reliquerint?*
LV. *Glubas canem degluptam ait Pherecrates.*
CA. *Nugæ ista tantum & stulta sunt simulamina,*
Quid si in cubiculum nos trahant ingratijs.
Manu prehensas? LV. *ad fores obnitere.*
D CA. *Si verberaßint?* LVS. *Tum malignè illudduis*

BISETVS. Οὐδὲν γάρ ἐσμεν] ἀντὶ τοῦ, οὐδὲν γὰρ ἄλλο ἐσμὲν πλὴν θάλασσα, καὶ σκάφη ἐν αὐτῇ πλέοντα. μετωνυμικῶς δὲ Ποσειδῶνα εἶπεν ἀντὶ τὴν θάλασσαν. οὕτω δὲ τὴν γυναικῶν κουφότητα, καὶ τῆς γνώμης ἀστασίαν δηλοῖ. καὶ γὰρ τῆς θαλάσσης, καὶ τῆς σκάφης ἀνέμοις λαμπροτέροις κινουμένης οὐδὲν ἀστατώτερον. τούτῳ δὲ παραπλήσιον καὶ τὸ θρυλλούμενον.

Πῦρ καὶ θάλασσα, καὶ γυνὴ κακὰ τρία.

ὥσπερ γὰρ τὸ πῦρ, καὶ ἡ θάλασσα φθείρει πλεῖστα τῶν χρημάτων τοῖς ἀνθρώποις χρησιμωτάτων, καὶ πλείστων κακῶν τοῖς ἀνθρώποις ἐστὶν αἴτιος, οὕτω καὶ περὶ τοῦ θηλυκοῦ γένους φρόνει, καὶ γίνωσκε. τούτων καὶ ὁ Σουίδας μνημονεύων λέγει παροιμίαν εἶναι ἐπὶ τῶν ἐγκυλινδουμένων τῷ αὐτῷ πράγματι, ἄλλο δὲ μηδὲν νοεῖν ἀνεχομένων. ὁ δὲ νοῦς ἐστί. πρὸς οὐδὲν ἄλλο ἐσμὲν ἐπιτήδειοι εἰ μὴ πρὸς τὸ συνουσιάζειν, καὶ τίκτειν. ὁ γὰρ Ποσειδῶν ἐμίγη τῇ Τυροῖ, καὶ ἐγέννησε Νηλέα, καὶ Πελίαν. Σ. Ξυμψήφισαί μοι.] ξυμψηφίζειν, καὶ ξυμψηφίζεσθαί τινι, κυρίως μὲν δηλοῖ [illegible] σύν τινι ψήφους φέρειν, καὶ αὐτῷ ἐν τῇ ψηφοφορίᾳ, καὶ τινῶν πραγμάτων ἐπικυρώσει συλλαμβάνειν, ὡς καὶ ἐντεῦθεν δῆλον. μέντοι σημαίνειν καὶ τὴν ἁπλῶς συγκατάθεσιν, ἣν τις συγκατατίθεται ἑτέρῳ ἔν τινι πράγματι, εἴτε διὰ τὴν συνδόκησιν, εἴτε καὶ διὰ τὴν χάριν, ἣν εὐνοίας, καὶ φιλίας ἕνεκα τοῖς ἄλλοις χαρίζεσθαι βούλεται. ξυμψηφίζειν οὖν μεταφορικῶς τὸ τὴν αὐτὴν γνώμην ἔχειν, τὸ συμφωνεῖν, τὸ συνδοκεῖν. Χαλεπὰ μέν.] ὁ τούτων νοῦς ὅδε. ναὶ τὼ θεὼ χαλεπὸν μέν ἐστι γυναῖκας ὑπνοῦν καὶ κοιμᾶσθαι μόνας ἄνευ ψωλῆς, καὶ πέους, ὅμως δὲ τοῦτο ποιήσω, ἐὰν δέῃ ἐμὲ τοῦτο ποιεῖν, τῆς γὰρ εἰρήνης μάλα πάλιν ἐπιθυμῶ. Λάκαινα δὲ Λακωνικῶς ταῦτα προφέρει. Ὦ φιλτάτη σὺ καὶ μόνη.] καὶ μόνη τούτων ἁπασῶν τῶν δεῦρο συνελθουσῶν ἀξία καλεῖσθαι γυνή. σοὶ μόνῃ τὸ τοῦ γυναικὸς ὄνομα σὺν δίκῃ πρέπει καὶ προσήκει. Εἰ δ' ὡς μάλιστα.] ταῦτα νοητέον οὕτως. εἰ δὲ ὡς μάλιστα ἡμεῖς ἀπεχοίμεθα, οὗ σὺ λέγεις, τουτέστι τοῦ πέους. ἤ, εἰ ὡς μάλιστα ἀπεχοίμεθα τῆς συνουσίας, ἧς ἀφεκτέα νῦν σὺ λέγεις (ὃ μὴ γένοιτο. οὐ γὰρ πολὺν χρόνον ταύτης ἀπέχεσθαι δυναίμεθα) ἆρα διὰ τοῦτο, διὰ τοιαύτην ἐγκράτειαν μᾶλλον, καὶ ῥᾷον, ἢ θᾶττον εἰρήνη γένοιτο ἄν; Ἔνδον ἐντετριμμέναι.] οἴκοι κεκαλλωπισμέναι. ἐντρίβεσθαι τὸ πρόσωπον. τὸ ψιμμυθιοῦσθαι. τῷ ψιμμυθίῳ τὸ πρόσωπον χρίειν, ἵνα τὸ κάλλος μεῖζον δοκοίη. Τοῖς ἀμοργίνοις.] ταύτης τῆς λέξεως πολλαὶ παρὰ τοῖς λεξικογράφοις εὑρίσκονται σημασίαι. οὕτω γὰρ ὁ Στέφανος περὶ πόλεων. Ἀμοργὸς, νῆσος μία τῶν Κυκλάδων ἔχουσα πόλεις τρεῖς. καὶ μετ' ὀλίγον. τὸ δὲ ἀμόργινος χιτὼν, χρώματος ἴδιον. ὁ δὲ Σουίδας. Ἀμόργινα χρώματος εἶδος, ἀπὸ νήσου Ἀμοργοῦ οὕτως, ὡς Θήραια ἀπὸ Θήρας νήσου. ὁ αὐτός, Ἀμόργινον, ὅμοιον βύσσῳ, καὶ πολυτελές. λέγεται καὶ ἀμοργίνα θηλυκῶς. καὶ ἀμοργὶς κυρίως ἡ λινοκαλάμη, ἐξ ἧς γίνεται ἐνδύματα ἀμόργινα λεγόμενα. ἔστι δὲ ἡ ἀμοργὶς ὅμοιον ἀλινίστῳ λίνῳ. περιλινίζουσι δὲ αὐτὸ, καὶ ἐργάζονται. ἔστι δὲ σφόδρα λευκὴ ὑπὸ τὴν βύσσον ἢ τὴν κάρπασον. Εὐστάθιος δὲ, ἀμόργη, πορφύρα κατὰ γλῶσσαν. Ἡσύχιος δὲ, Ἀμοργὶς, καλάμη τις, ἐξ ἧς ἔνδυμα γίνεται, ἢ ὕφασμα, ἢ χιτών. καὶ τὸ μέγα Ἐτυμολογικὸν, ἀμόργινος χιτωνίσκος, παρὰ τὸ ἀμόργην, ὅ ἐστιν εἶδος χρώματος ὅμοιον βύσσῳ. κατὰ καὶ Θηραῖον, τὸ ἀπὸ Θήρας τῆς νήσου. ἐκ δὲ τούτων ἁπάντων δῆλον τὰς ἀμοργίνας χιτῶνας, εἴτε ἀπὸ τόπου εἴτε ἀπὸ χρώματος, εἴτε ἀπὸ τῆς ὕλης ὄνομα ἔλαβον, εἶδος πολυτελοῦς ἐνδύματος γενέσθαι, ὅπερ αἱ πλούσιοι, τρυφεραί, καὶ ἀφροδίσιοι γυναῖκες χρῆσθαι φιλοῦσι.

Πα-

Παρείοιμεν] παρέλθοιμεν, ἢ καὶ προσέλθοιμεν. δέλτα δὲ καλεῖ τὸ γυναικεῖον αἰδοῖον. Σ. τὸ δὲ τὰς γυναῖκας τὸ ἐφήβαιον, καὶ τὸ αἰδοῖον οὕτω παρατετιλμένον ἔχειν πάνυ ἐν τρυφῇ πάλαι ἐτίθετο. ἀλλὰ τοῦτο παντελῶς αἰσχρὸν, καὶ γυναικὸς λίαν ἀσχημονούσης τεκμήριον. Στύοιντ' ἂν ἄνδρες] στύοιντο ἄν. στύειν, καὶ στύεσθαι, τὸ αἰδοῖον ἐντείνειν. ὅθεν τὸ στύμα, ἡ τοῦ αἰδοίου τάσις, ὅταν ἀνὴρ τῆς συνουσίας ἐπιθυμεῖ, καὶ ἄστυτος, ὁ στύειν μὴ δυνάμενος. ὁ ἀργὸς ἐν ταῖς συνουσίαις, καὶ ἄστυτος οἶκος, ἐν ᾧ οὐκ ἔστιν ἀνήρ. τουτέστιν ἄκαρπος, καὶ ἄγονος. παρὰ τὸ στύειν στερητικῶς. καὶ οἶκος ἄστυλος, ὁ μὴ ἔχων ἄνδρα, ὃς ἔχοι ἂν λέγειν τὸ, στύομαι τρίεμβολον. ἀλλὰ μᾶλλον τὸ, Αστυάναξ γέγονα. τουτέστι μὴ πεφυκὼς ἱκανὸς ἐντείνειν τὸ αἰδοῖον, κατὰ τὸ ἔμβολον, τῆς συνουσίας χάριν. Εὐστάθιος. πλεκοῦν δὲ, πλέκεσθαι, συμπλέκεσθαι. συνουσιάζειν. μὴ προσίοιμεν δὲ, μὴ προσέλθοιμεν τοῖς ἀνδράσι μιγῆναι ἐπιθυμοῦσιν, ἀλλὰ τῆς συνουσίας ἀπεχοίμεθα. Ο γ' ὦν Μενέλαος.] ὁ Μενέλαος οὖν παρενιδών ποτε τὰ μῆλα τῆς Ελένης γυμνῆς, τὸ ξίφος ἐξέβαλεν οἴω, οἴομαι, νομίζω. ἀλλὰ Δωριστὶ τοῦτο λέλεκται. ὦν ἀντὶ τοῦ οὖν. μῆλα δὲ καλεῖ μεταφορικῶς τοὺς μαστοὺς, διὰ τὴν τῶν μήλων, τῶν καρπῶν, καὶ τῶν μαστῶν ὁμοιότητα. οἱ δὲ μαστοὶ μηλοειδεῖς καλοὶ νομίζονται. τὸ δὲ πο ἀντὶ τοῦ πόκα, ὅ ἐστι ποτὲ, πάλαι, εἴρηται κατ' ἀποκοπὴν. μόριον δὲ ἐγκλιτικόν. οἴω δὲ ποιητικὸν, καὶ Δωρικὸν ἀντὶ τοῦ οἴω, ὅθεν τὸ οἴεω, ἀπὸ τοῦ πλεονασμένου. ὃ καὶ Αττικῶς ἂν λογίζειν. οἴεσθαι δὲ, τὸ νομίζειν, καὶ δοκεῖν, καὶ οἴεσθαι. κατὰ διάλυσιν ποιητικῶς οἴεσθαι. τὸ παρενιδὼν ἀόρ. β. ἡ μετοχὴ ἀπὸ τοῦ παρενείδω. Ην ἀφίωσι] διὰ τὴν συνθέσιν ὁ τόνος ἀνέλκεται. τινὲς μέντοι ἀφιῶσι χαριέστερον οἴονται. ἀφιέναι δὲ νῦν καταλιπεῖν. ὁ νοῦς. τί δὲ λέξεις, τί ποιήσεις; ὦ μωρά σὺ ἐὰν οἱ ἄνδρες ἡμᾶς καταλίπωσι; Κύνα δέρειν δεδαρμένην.] ὁ νοῦς. οὐ ποιήσεις. τὸ τοῦ Φερεκράτους. τοῦτο δέ ἐστιν ἀκόλαστον σχῆμα εἰς τὸ αἰδοῖον. εἴρηται δὲ ἐπὶ τῶν ἄλλο πασχόντων αὖθις ἐφ' οἷς πεπόνθασιν ἡ παροιμία. Σ. τοῦτο μὲν λέγεσθαι δύναται καὶ περὶ τῶν τὰ ἤδη πεπραγμένα πράττειν ἐθελόντων, ὅπερ σημαίνει τὰ ἀνωφελῆ ποιεῖν, ὡς καὶ τὸ, ἀσκὸν δέρειν. Φερεκράτης δὲ κατὰ τὸν Σουίδαν, Αθηναῖος κωμικὸς ὡς Αλεξάνδρῳ συνεστράτευσε. Φλυαρία ταῦτ' ἐστί.] καὶ μέτριον, καὶ ἐναντίας χάριν οὕτω χαρίεν, Φλυαρία ταῦτ' ἐστὶ τὰ οὐ μεμιμημένα. ἢ, Φλυαρία ταῦτ' ἐστὶ τὰ μὴ μεμιμημένα. τὸ πλῆρες τὰ ἐστὶ μεμιμημένα. ταῦτα ἃ σὺ λέγεις, φλυαρία, καὶ λῆρος ὑπάρχει. ταῦτα λέγω τὰ οὕτω μεμιμημένα. ἤγουν ἅπερ οὐδεὶς πω ἐμιμήσατο, οὔτε τῶν ἄλλων παράδειγμα μιμητὰ μόνος ἐποιήσατο. δωμάτιον δὲ, τὸ οἰκημάτιον, τὸν θάλαμον, τὸν κοιτῶνα ἐν ᾧ οἱ ἄνδρες μετὰ τῶν ἰδίων γυναικῶν κοιμᾶσθαι, καὶ τεκνοποιεῖν εἰώθασιν, ὡς ἐντεῦθεν νοητέον. Αντέχου.] ἀντέχομαι retineo. quasi contra teneo, adhæreo. ἀντέχου τῶν θυρῶν hoc est ita adhære foribus, vt ab eis te auelli non sinas. Παρέχειν χρὴ κακῶς.] τοῖς ἀνδράσι βίᾳ χρωμένοις δεῖ κακῶς, τουτέστι μόγις, καὶ χολῇ, καὶ φειδωλῶς παρέχειν συνουσίαν. οὐδεμία γὰρ ἡδονὴ ἔνεστιν ἐν τοιαύτῃ συνουσίᾳ βιαίᾳ, καὶ παρὰ τὴν γνώμην τῶν γυναικῶν ποιουμένῃ.

CHR. Πλεῖν Ποσειδῶν καὶ σκάφη.] Inter Prouerbia hanc sententiam Euripideam recenset Sudas, & valere vult in eos qui rem tantum vnam exercent, neque aliud quicquam cogitare aut meditari norunt. Hic verò nihil aliud intelligit per hanc Metaphoram quàm τὸ συνουσιάζειν καὶ τίκτειν. Neptunus enim qui se iunxit cum Tyro, procreauit Nelea & Peliam. Tamen ego arbitror per Neptunum designari naturā in fœminis humidissimam, Per scapham autem veneream libidinem, quæ vt dixit Augusti filia, tollit vectorem etiam cum nauis est plena. Ομως γε μ' ἂν δεῖ.] Lege ὅμως γε μὴν pro μὴν. Paulò pòst lege per interrogationem (ὃ μὴ γένοιτο) μᾶλλον ἄν. Malè autem in Veneta editione habes ὅ μοι γένοιτο. Ενδον ἐντετριμμέναι.] Id est σμηχθεῖσαι detersæ & lotæ, nisi mauis referre ad tritum ψιμμύθιον. Δέλτα παρατετιλμέναι.] Quid sit δέλτα, neque ipsæ nesciunt Vestales, nam περίφρασις est τοῦ γυναικείου αἰδοίου. cui barbam vellere solent, & volsellis vtũtur non solum ad compescendam superciliorum luxuriem. Verbum autem στύειν, omnino venereum est, & tentiginosum, quo multus vtitur Aristophanes, sed sæpè accidit vt pro ἐστυκὼς legatur ἑστηκὼς, malè, quamuis etiam sit stator libidinosus. Prouerbiale dictum est οὐδὲν μέγα φρονεῖ ἐστυκὼς ἀνήρ. Quam sententiam sapiens Hebræus videtur innuisse cùm scripsit: Adulteros propter cordis inopiam perdere animam suam. Lege autem ἀπεχοίμεθα non ἀπεχόμεθα. Εξέβαλε οἴω τὸ ξίφος.] Etiam vt supra οἴω per parenthesin lego pro οἶμαι. Apud Andromacham Euripidis, sic Peleus Menelaum propter hanc ignauiam increpat, ἀλλ' ὡς ἐσεῖδες μαστὸν, ἐκβαλὼν ξίφος φίλημ' ἐδέξω, neque dubito quin eo respexerit Aristophanes. Τὸ τοῦ Φερεκράτους.] Schema aiunt libidinosum, εἰς τὸ αἰδοῖον, & dictum Prouerbium in eos qui præter mala quibus infestantur, nouorum accessione torquentur. Est sanè teste Hesychio, etiam κύων pars illa qua viri sumus. Puto autem per hæc Lysistratam innuere ὀλίσβους de quibus antea dictum, & ficta illa veretra vel Tribadum nequitias. ait enim postea ταῦτα τὰ μεμιμημένα.

Οὐ γὰρ ἔνι τούτοις ἡδονὴ τοῖς πρὸς βίαν:
Κἄλλως ὀδυνᾶν χρή. κἀμέλει ταχέως ἀπερεῖ.
Απεροῦσιν. οὐ γὰρ οὐδέποτ' εὐφρανθήσεται
Ανὴρ, ἐὰν μὴ τῇ γυναικὶ συμφέρῃ.
Κα. Εἴ τοι δοκεῖ ταῦτα σφῷν ταῦτα χ' ἡμῖν ξυνδοκεῖ.

Nam vis vbi adsit, & voluntas exsulat
Quin & dolendum est, illicò illi maximè
Tum defetiscent, non enim oblectarier
Poterit vir vnquam, fœminam hoc si non iuuat.
CA. *Vos si probatis ista, nos probabimus.*

Bis. Απεροῦσι] ἀπαγορεύσουσι, οὐ δυνήσονται φέρειν πλείω χρόνον τὰς λύπας, καὶ πράγματα, ἅπερ αὐτοῖς αὐτοὶ παρέξομεν. συμφέρῃ δὲ, λυσιτελῇ, δηλονότι ἡ τοιαύτη μίξις καὶ συνουσία. τουτέστιν ἐὰν ἡ γυνὴ μὴ θέλῃ συνουσιάζειν, διὰ τὸ νομίζειν τοῦτο ἑαυτῇ οὐ συμφέρειν. οὕτω δὲ τὴν γυναικῶν κακίαν, καὶ τρόπους κακοήθεις ὁ ποιητὴς ἡμῖν δηλοῖ.

CHR. Απεροῦσιν.] id est ἀπαγορεύσουσι & παύσονται τοῦ πολέμου. Paulò post εἴ τοι δοκεῖ ταῦτα σφῷν. Dele prius ταῦτα, vt rectè deest in Veneta edit.
Bis. Εἴ τοι δοκεῖ σφῷν] οὕτω καὶ ἐν Ορνισι, Εἴ τινι δοκεῖ σφῷν, ταῦτα κἀμοὶ ξυνδοκεῖ. ὁ νοῦς ἐστὶν, εἰ οὖν ταῦτα ὑμῖν δοκεῖ, καὶ ἡμῖν ξυνδοκεῖ. Εν τισι δὲ βιβλίοις διεφθαρμένως, καὶ παρὰ τὸν τοῦ μέτρου νόμον, οὕτως

ἐγκάφιζε, Εἶτα δοκεῖ ταῦτα σοφόν, ταῦτα χ' ἡμῖν ξυνδοκεῖ. διὸ τὸ πρότερον ταῦτα μέτεχε χάειν ἐκβλητέον ἰδόκει.

A τὸ δὲ σοφόν, γυναικὸς δολικὴ ἔστι τὸ εὐσφαλές, σοφόν. τουτέστιν Λυσιστράτῃ καὶ Λαμπιτοῖ.

Λα. Καὶ τὼς μὲν ἁμῶν ἄνδρας ἅμες πείσομες
Παντᾷ δικαίως ἄδολον εἰράναν ἄγειν.
Τὸν τῶν Ἀσαναίων γα μὰν ῥυγχάχιτον,
Πᾷ καί τις ἂν πείσειεν αὖ μὴ πλαδδιῆν.
Λυ. Ἡμεῖς ἀμέλει σοι τάγε παρ' ἡμῖν πείσομεν.
Λα. Οὐ λιασόποδας ἔχωντι ταὶ τριήρεες
Καὶ τἀργύριον τὤβυσσον ᾖ πὰρ τᾷ σιῷ.
Λυ. Ἀλλ' ἔστι καὶ τοῦτ' εὖ παρεσκευασμένον.
Καταληψόμεσθα γὰρ τὴν ἀκρόπολιν τήμερον.
Ταῖς πρεσβυτάταις γὰρ προστέτακται τοῦτο δρᾶν,
Ἕως ἂν ἡμεῖς ταῦτα συντιθώμεθα,
Θύειν δοκούσαις καταλαβεῖν τὴν ἀκρόπολιν.
Λα. Πάντα κ' ἔχοι καὶ τάδε γὰρ λέγεις καλῶς.
Λυ. Τί δῆτα ταῦτ' οὐχ ὡς τάχιστα Λαμπιτοῖ
Ξυνωμόσαμεν, ὅπως ἂν ἀρρήκτως ἔχῃ.
Λα. Πάρφαινε μὰν τὸν ὅρκον ὡς ὀμιώμεθα.
Λυ. Καλῶς λέγεις, ποῦ 'σθ' ἡ Σκύθαινα. ποῖ βλέπεις.
Θὲς ἐς τὸ πρόσθεν ὑπτίαν τὴν ἀσπίδα.
Καί μοι δότω τὰ τόμια τις. Κα. Λυσιστράτη.
Τίν' ὅρκον ὁρκώσεις ποθ' ἡμᾶς. Λυ. ὅντινα;
Εἰς ἀσπίδ' ὥσπερ φάσ' ἐν Αἰσχύλῳ ποτέ,
Μηλοσφαγούσας. Κα. μὴ σύ γ' ὦ Λυσιστράτη
Εἰς ἀσπίδ' ὀμόσῃς μηδὲν εἰρήνης πέρι.
Λυ. Τίς ἂν οὖν γένοιτ' ἂν ὅρκος. Κα. εἰ λευκόν ποθεν
Ἵππον λαβοῦσαι τόμιον ἐκτεμοίμεθα.
Λυ. Ποῖ λευκὸν ἵππον. Κα. ἀλλὰ πῶς ὀμούμεθα
Ἡμεῖς. Λυ. ἐγώ σοι νὴ Δί' ἢν βούλει φράσω.
Θεῖσαι μέλαιναν κύλικα μεγάλην ὑπτίαν.
Μηλοσφαγοῦσαι Θάσιον οἴνου σταμνίον
Ὀμόσωμεν ἐς τὴν κύλικα μὴ 'πιχεῖν ὕδωρ.
Κα. Φεῦ δαὶ τὸν ὅρκον ἄφατον ὡς ἐπαινέω.
Φερέτω κύλικά τις ἔνδοθεν καὶ σταμνίον.
Λυ. Ὦ φίλταται γυναῖκες κεραμέων ὅσος.
Ταύτην μὲν ἄν τις εὐθὺς ἡσθείη λαβών.
Καταθεῖσα ταύτην, προσλαβοῦ μοι τοῦ κάπρου.
Δέσποινα Πειθοῖ, καὶ κύλιξ φιλοτησία
Τὰ σφάγια δέξαι ταῖς γυναιξὶν εὐμενής.
Κα. Εὔχρων γε θαἷμα κἀποπυτίζει καλῶς.
Λα. Καὶ μὰν ποτόδδει γ' ἁδὺ ναὶ τὸν Κάστορα.
Λυ. Ἐᾶτε πρώτην μ' ὦ γυναῖκες ὀμνύναι.
Κα. Μὰ τὴν Ἀφροδίτην οὔκ, ἐάν γε μὴ λάχῃς.

LA. *Et ista nostris nos viris suadebimus*
Vt absque fraude Pacem vbique sanciant:
Nam quis potesset hunc Atheniensium
Torrentem abactum arcere ne nos impetat.
B LVS. *Tecum hoc apud nos exsequemur sedulo.*
LA. *Non quo modo triremibus sunt fœdera*
Cum copia auri sub dea templo latet.
LVS. *At optime isti iam rei prouidimus,*
Hodie vrbis arces huius occupabimus,
Mandata quippe senibus hac prouincia est,
Arces potiri, sacra dum patrant dea
Consulta donec ista perfecerimus.
C LA. *Pulchrè ista dicis, & benè hac se res habet.*
LVS. *Cur Lampito ergo, iureiurando hac simul*
Non sanximus nos vt sient firma & rata?
LA. *Iuremus vt nos, verba iuranda incipe.*
LVS. *Benè ais, vbi est scythana? quò nunc respicis?*
Clypeum supinum ponito anteriùs ferens,
Quis hostias huc sistet? CAL. *ô Lysistrata,*
D *Cur alligas nos iureiurando?* LVS. *Cui?*
Quod factitatum in Æschulo ferunt, super
Clypeo pecus mactabimus. CA. *Lusistrata*
Iurare Pacem aut fœdus in clypeo caue.
LVS. *Quod ergo iusiurandum erit?* CA. *si fortè equum*
Album exsecantes immolemus victimam.
E LVS. *sed vnde equum album?* CA. *at quo modo iurabimus?*
LVS. *Iam per Iouem istud si lubet dicam tibi,*
Si stet supinum grande nigrum poculum,
Thasii immolantes seriam super meri
Iuremus illuc nil aquæ instillassere.
CA. *Quàm suauis & laudanda coniuratio est!*
LVS. *Huc sistat aliquis poculum cum seria:*
F *Proh quanta, chara fœmina, fidelia est*
Quam nempe si quis sumpserit, lætabitur,
Porcum apprehendens tu meum, pone amphoram
O Suada Domina, tum propinator calix
Cape has benignè victimas nobis fauens.
CA. *Color cruoris optimus pulcrùm strepit.*
LA. *Quin & suauis est perecastor odos.*
LVS. *Vt prima iurem, ô fœmina, concedite.*
G CA. *Ni forte cedas, per Cyprin non siuerim.*

BISETVS. Καὶ τώς.] ὁ Ἀριστοφάνης ἐν ὅλῳ τῷ δράματι τούτῳ, τὸ πρόσωπον ἑκάστοις πρέπον ἀκριβῶς τηρεῖ, καὶ γὰρ τὰς Ἀττικὰς γυναῖκας Ἀττικῶς λαλούσας, τὰς δὲ Λακαίνας, τῇ πατρίῳ, τουτέστι τῇ Λακωνικῇ διαλέκτῳ κωμῳδίας εἶναι γενομένας καὶ ἐν ὅλῳ τῷ δράματι. ταῦτα καὶ οὕτως ἑρμηνευτέον. τοὺς μὲν ἡμῶν ἄνδρας ἡμεῖς πείσομεν κατὰ πάντα τὴν εἰρήνην ἄδολον, δικαίως ἄγειν, καὶ φυλάττειν. τὸ δὲ, τώς, ἁμῶν, ἅμες, πείσομες, καὶ εἰράναν, Δωρικά ἐστιν.

ἀντὶ τοῦ, τοὺς ἡμῶν, ἡμεῖς, πείσομεν, καὶ εἰρήνην. τὸ δὲ, Ἀσαναίων, ἀντὶ τοῦ Ἀθηναίων, καὶ γα ἀντὶ τοῦ γε, τοῖς Λάκωσιν ἴδια ἐστίν. ὡς καὶ τὸ μάν, καὶ τὸ πᾶ. ἀντὶ τοῦ μὴν καὶ πῆ, ὅπη, πῶς. ὁ νοῦς. τὸν γε μὴν τῶν Ἀθηναίων ὄχλον τίς καὶ πῶς ἂν πείσειεν αὖ μὴ πλαδᾶν, καὶ ἀπατᾶν τοὺς ἄλλους; Ρυγχάχιτον.) ἐν τῇ τῆσδε λέξεως γραφῇ διαφέρονται οἱ Λεξικοί. ὁ μὲν Σουίδας, τούτων μνημονεύων, ῥυχάχιτον ἄνευ τοῦ γ γράφει. καὶ ἑρμηνεύει θόρυβον, συρφετόν. ὁ δὲ Ἡσύχιος, τοῦ προτέρου χ ἐκβληθέντος, ῥυάχετον γράφει, καὶ ὁμοίως ἑρμηνεύει θόρυβον. ἢ τὸ ῥέοντα ὀχετόν. ἀλλ᾽ ὅπως ἂν εἴη, διὰ ταύτης ἡ Λάκαινα πρὸς τοὺς Ἀθηναίους ἐχθρῶς διακειμένη, τὸν αὐτῶν δῆμον, ὡς ἀκατάστατον, ταραχώδη, φλύαρον, πολυλόγον, καὶ φαῦλον σκώπτει. καὶ τῷ ὄντι, ὡς οἱ μὲν Λάκωνες διὰ τὴν τῆς βραχυλογίας εὐστοχίαν καλῶς ἤκουον, καὶ ἐπῃνοῦντο, οὕτω καὶ τοὐναντίον οἱ Ἀθηναῖοι διὰ τὴν ἑαυτῶν πολυλογίαν, καὶ λίαν φλυαρίαν, καὶ ἀστασίαν, κακῶς ἤκουον, καὶ ἐψέγοντο. καὶ ἄνω ἐν τοῖς Σφηξί, καταφρονητικῶς τούτους, τῶν Ἀθηναίων κολοσυρτόν τις λέγει. τινὲς μέντοι ῥυχαίτον ἐνταῦθα γραπτέον οἴονται. καὶ τὸν Κλέωνα δηλοῦσθαι λέγουσιν, ὃς διὰ τὰς ἄγαν ἁρπαγάς, ῥύγχος αἰετοῦ, εἴτε ἀετοῦ ἔχειν ἐλέγετο. διὸ καὶ ἐν Ἱππεῦσιν βυρσαίετος ἀγκυλοχείλης καλεῖται. καὶ τοῦτο οὐκ ἀπίθανον. Μὴ πλαδδιῆν.] φανερὸν σφάλμα ἐν τῇδε τῇ γραφῇ. πλαδδιῆν γάρ, λέξις ἄγνωστός ἐστιν. ἐν τῷ Σουίδᾳ πλαδδιῆν διὰ τοῦ ἑνὸς δ γραφόμενον ἑρμηνεύεται, παραγροικεῖν, πελιμεῖν, πλησιάζειν. καὶ παρὰ τῷ Ἡσυχίῳ, πλαδιῆ, ματαΐζει, ὑβρεύεται. ἐξ ὧν καὶ ἐν τῷ Σουίδᾳ, οὐ πλησιάζειν, ἀλλὰ πλεονάζειν ἴσως γραπτέον δοκεῖ. καὶ τοῦτο, ἀντὶ τοῦ, ἀλαζονικῶς ἐπαίρεσθαι ὡς καὶ ἐν τῷδε τοῦ Δημοσθένους κατὰ Φιλιπ. ἐπὶ πλεονάζειν ἐπεχείρουν. καὶ δὴ αἱ δὲ αἱ ἑρμηνεύσεις, ἐπιτήδειον τὸν νοῦν ἐνταῦθα ποιοῦσι. πρὸς δὲ τὴν τῆς γραφῆς διόρθωσιν, τινὲς μὲν πλαδδιοῦν γραπτέον οἴονται, ἀντὶ τοῦ πλαγιοῦν. ὅπερ μεταφορικῶς ληφθὲν, δηλοῖ τὸ πλαγίως, ἤγουν δολίως ἄγειν. τὸ δὲ γ εἰς δ Δωρικῶς τραπὲν λέγουσιν, ὡς ἐν τῷ δα ἀντὶ τοῦ γα, τουτέστι γῆ. καὶ δνόφος ἀντὶ τοῦ γνόφος. καὶ τὸ ἕτερον δ μέτρου χάριν ἐπιτεθέν. ὅπερ οὐκ ἀπίθανον. ἄλλοι δὲ ὃ καὶ ἀξιοπιστότερον, γραπτέον νομίζουσι πλαδδιῶν, τουτέστι πλανᾶν, καὶ ἀπατᾶν. κοινῶς γὰρ λέγεται πλάζειν. Δωρικῶς πλάσδειν, ὡς συρίζειν, συρίσδειν. καὶ Λακωνικῶς ἰδιαίτερον πλάδδειν. τοῦ ζ εἰς δύο δδ τραπέντος. ὡς ἄνω προείρηται ἐν τῷ γυμνάδδομαι. ὅθεν ῥήματα περισπώμενα φαίνεται σχηματίζεσθαι πλαδδεῖν, καὶ πλαδδᾶν, καὶ κατ᾽ ἐπένθεσιν τοῦ ι πλαδδιῶν. ὅ ἐστι Δωρικὸν ἀντὶ τοῦ πλαδδιοῦν, ὡς τὰ ἱπνῶν, ῥιγῶν, ἀντὶ τῶν ἱπνοῦν, ῥιγοῦν. οὕτω καὶ Μῶσα, ἀντὶ τοῦ Μοῦσα λέγουσιν οἱ Δωριεῖς, ἐν πλείστοις τὴν ου δίφθογγον εἰς ω τρέποντες. Σημειωτέον δὲ τοὺς Ἀθηναίους ὡς ἀπατεῶνας, καὶ δολίους, καὶ ἀπίστους, καὶ παρασπόνδους νομισθῆναι. τοῖς δὲ τῶν Ἀθηναίων τρόποις δολίοις, τὴν τῶν Λακώνων ἁπλῆν, καὶ ἄδολον φύσιν ἀντιτίθησιν. Ἡμεῖς, ἀμέλει.] ταῦτα γραπτέον καὶ διαστικτέον οὕτως,

Ἡμεῖς. ἀμέλει. τὰ τῇδε παρ᾽ ἡμῖν πείσομεν,

τουτέστιν ἡμεῖς. μὴ τούτων φρόντιζε. μὴ ἀθύμει. τὰ ἐν ἡμῖν ὄντα, τὰ ἐν ἡμετέρᾳ χειρὶ κείμενα, εἰς τὴν σὴν χάριν, τὸν δῆμον Ἀθηναίων πείσομεν. τινὲς δὲ καὶ οὕτω γράφουσιν,

Ἡμεῖς, ἀμέλει σύ, τά γε παρ᾽ ἡμῖν πείσομεν.

ὃ πιθανόν. καὶ οὕτως ἑρμηνευτέον. κατὰ τά γε παρ᾽ ἡμῖν ὄντα, τουτέστι κατὰ τὴν ἡμῶν δύναμιν, ὅσον ἐν ἡμῖν ἐστί, ταῦτα τὸν δῆμον τῶν Ἀθηναίων πείσομεν. ἀμέλει σύ. μὴ φρόντιζε, μηδ᾽ ἀθύμει. ἀλλὰ θάρρει. τὸ δὲ ἀμέλει ἐπιρρηματικῶς μὲν ληφθὲν, δηλοῖ τὸ πάντως, καὶ συγκατάθεσιν σημαίνει, καθάπερ Εὐστάθιος λέγει. ὅταν δὲ προστακτικόν ἐστι τοῦ ῥήματος ἀμελεῖν, τὸ ἐπιμελεῖσθαι, καὶ φροντίζειν ἀντίκειται. Οὐ λισπόπυγας.] καὶ ἐνταῦθα τῶν παλαιῶν

A βιβλίων ἡ γραφὴ διεφθαρμένως ἔχει. οὕτω γὰρ τὸ πρὶν ἐν πᾶσι ἐγέγραπτο,

Οὐχ ὡς σπουδάς.

ἀλλὰ καὶ ἐννοίας, καὶ μέτρου χάριν, οὕτω γραπτέον, ὡς νῦν ἔχομεν. ταύτην δὲ τὴν ἐπανόρθωσιν βεβαιοῖ τὰ εἰς τοὺς Ἱππεῖς σχόλια, ὅπου τοῦτον τὸν στίχον ἑρμηνεύει,

Πολλοῖς γ᾽ ὑπολίσποις πυγιδίοισιν ἐχαρίσω.

Οἱ γὰρ Ἀθηναῖοι, φασί, πάντες λεπτοὶ ἐτύγχανον τὰ ὀπίσθια ἀπὸ Θησέως. ὑπόλισπα δὲ, τὰ τετριμμένα. κοινῶς οὖν τοὺς Ἀθηναίους λισπόπυγάς φασι. καὶ πλάττουσι

B τὸν περὶ Θησέως μῦθον, ὅτι ἑλκόμενος ἀπὸ τοῦ Ἡρακλέους, κατέλιπεν ἐπὶ τὴν πέτραν τὴν πυγήν. νῦν δὲ οἰκείως εἶπεν ἐπὶ τῶν ἐρεσσόντων, διὰ τὴν καθέδραν λεπτοπύγων ὄντων. καὶ λισπόπυγοι, οἱ λεῖοι τὴν πυγήν. τοιοῦται δὲ αἱ πυγαὶ τῶν ναυτῶν διὰ τὴν συνεχῆ ἕδραν, καὶ εἰρεσίαν, καὶ Πολυδεύκης, οἱ δὲ ἐνδεῶς τῶν πυγῶν ἔχοντες, λίσποι, καὶ ὑπόλισποι καλοῦνται, καὶ λισπόπυγοι. ἐφ᾽ ᾧ μάλιστα οἱ Ἀθηναῖοι κωμῳδοῦνται. ἐκ τούτων οὖν δῆλον, ταῦτα μετ᾽ ἐρωτήσεως οὕτω γραπτέον.

Οὐ λισπόπυγας ἔχοντι ταὶ τριήρεις,

C Καὶ τ᾽ ἀργύριον τὤβυσσον ἦ παρὰ τᾷ σιῷ;

ὁ νοῦς. αἱ τριήρεις οὐκ ἔχουσι λισπόπυγας, ἤγουν Ἀθηναίους ὑπολίσπους τὰ πυγὰς; ἤγουν αἱ τριήρεις οὐκ ἔχουσιν ἐρέτας; οὐχὶ τοῖς ἐρέταις καθωπλισμέναι εἰσί; καὶ τὸ ἀργύρειον τὸ ἄβυσσον, καὶ ἄπειρον ἆρα παρὰ τῇ θεᾷ ἐστί; ταὶ τριήρεις ἔχοντι, Δωρικῶς. ἀντὶ τοῦ αἱ τριήρεις ἔχουσι. Τ᾽ ἀργύρειον τὤβυσσον.] τινὲς τἀργύριον, ὡς τὤβυσσον γραπτέον οἴονται. τῆς γὰρ γραφῆς τὸν αὐτὸν λόγον εἶναι λέγουσι. οὕτω καὶ τὤμπεχονον, καὶ τἄγαλμα, ἀντὶ τοῦ τὸ ἀμπέχονον, καὶ τὸ ἄγαλμα. ἀλλὰ ταῦτα μὲν κατὰ κρᾶσιν τῶν ο καὶ α εἰς ω

D γίνεται. τὸ δὲ τἀργύριον, οὐ κατὰ κρᾶσιν, ἀλλὰ κατ᾽ ἀποβολὴν τοῦ ο τοῦ ἄρθρου προτακτικοῦ. διὸ βέλτιον ἴσως κατά τινας γράφειν διὰ τοῦ τ ἀπόστροφον ἔχοντος, οὕτως, τ᾽ ἀργύριον. ἵνα δῆλον εἴη μηδεμίαν εἶναι κρᾶσιν. ἄβυσσον δὲ οὐδετέρως, καὶ ἐπιθετικῶς ἐστὶ ὑπέρμετρον, ἄπειρον. μεταφορικὴ λέξις. ἄβυσσος γὰρ κατὰ τὸν Σουίδαν, ἧς οὐδεὶς εἰσέρχεται διὰ τὸ βάθος. καὶ Εὐστάθιος λέγει ἄβυσσον συγκεῖσθαι, ἐκ τοῦ α ἐπιτατικοῦ, καὶ τοῦ βυσσός, ὅ ἐστι βυθός. Ἠ παρὰ ταὶ σιῷ.] ἀπὸ τοῦ εἰμί. τὸ ὑπάρχω, γίνεται παρατατικὸς ἦν, καὶ Ἀττικῶς ἦ ἄνευ τοῦ ν. ὅπερ, ὡς

E μαρτυρεῖ ὁ Σουίδας, τίθεται καὶ ἐπὶ τρίτου προσώπου. ὡς ἐνταῦθα. ταὶ σιῷ δὲ, γραπτέον ἴσως, τᾷ σιῷ, ἀντὶ τοῦ τᾷ σιῷ, τουτέστι τῇ θεᾷ. καὶ τοῦτο μὲν ἀρχαϊκῶς. τὸ γὰρ ι, οὐχ ὑπογράφεται, ἀλλὰ παραγράφεται. τὴν δὲ θεὸν καλεῖ τὴν Ἀθηνᾶν. τούτων δὲ σαφεστέραν ἐξήγησιν ἔχομεν ἐν Πλούτῳ, ὅπου τὰ σχόλια ἐξηγεῖται τούσδε τοὺς δύο στίχους,

Τὸν πλοῦτον, οὕπερ πρότερον ἦν ἱδρυμένος,
Τὸν ὀπισθόδομον ἀεὶ φυλάττων τῆς θεοῦ.

Ὄπισθεν γὰρ, τοῦ νεὼ, διπλοῦς ἦν τοῖχος τῆς καλουμένης

F πολιάδος Ἀθηνᾶς, ἔχων θύραν, ὅπου ἦν θησαυροφυλάκιον. ἐπεὶ τὰ χρήματα ἐν τῷ ὀπισθοδόμῳ ἀπέκειτο. μέσον δέ ἐστι τῆς ἀκροπόλεως, ἔνθα ἦν τὸ ταμιεῖον ὄπισθεν τοῦ τῆς Ἀθηνᾶς ναοῦ. τούτων καὶ Σουίδας μνημονεύειν δοκεῖ, ὅπου τὴν λέξιν ἄβυσσον ἑρμηνεύων, τέλος λέγει, Ἕως ἂν ᾖ τὸ ἀργύριον τὸ ἄβυσσον παρὰ τῇ θεῷ, οὐκ εἰρηνεύσουσιν. ἐν γὰρ τῇ ἀκροπόλει, χίλια τάλαντα ἀπέκειτο. Παρεσκευασμένον.] τὸ ἡμῶν τέχναις δολερότι. νῦν γὰρ τὸ παρασκευάζειν, καὶ τὸ συντίθεσθαι, τὸ τεχνᾶσθαι, καὶ μηχανᾶσθαί τι σημαίνει. καὶ ταῦτα συνωνύμως λέγεται. λέγο-

G μεν δὲ συντιθέναι, ἀντὶ τοῦ δόλους, καὶ μηχανάς κατά τινος ῥάπτειν. καὶ ἐπιβουλεύειν τινί. Σοφ. Οἰδ. Τυρ.

Κλαίων δοκεῖς μοι καὶ σὺ χ᾽ ὁ συνθεὶς τάδε,
Ἀγηλατήσειν.

Πάντα κ᾽ ἔχοι.] ἤδη ἡ γραφὴ οὐ καλῶς ἔχει. καὶ γὰρ τὸ μέτρον χαλάζει. τινὲς οὖν οὕτω διορθοῦσι καὶ ἐκπληροῦ-

A σι. Πάντα κεν ἔχοιτ' ἄν. κ' τάδε γδ λέγεις καλῶς. ἢ, Πάντα κεν ἔχοι. κ' ταῦτα γδ λέγεις καλῶς. λυτέςι, πάντα καλῶς ἂν ἔχοι, κ' καλῶς χωρήσοι, ταῦτα γδ σὺ καλῶς λέγεις. Τί δῆτα.] δῆθ τί οὐ ὦ Λαμπιττοῖ ὡς τάχιςα περὶ τούτων, περὶ ταύτης τ ἡμῶν βουλῆς ὦ ξυνομῶμεν, ὅπως ἂν ἀρρήτως ἔχῃ; δῆθ τί οὐχ ὡς τάχιςα ταύτω τ ἡμῶν καλὼ βουλὼ πίςει, κ' ὅρκῳ ξυνομοῦμαι βεβαιοῦμεν ὥςε μένειν ἀρρήκτους. Παρφαινε μάν.] παραφαινε μοι τ ὅρκον ὡς ὀμώμεθα. ἀποδείξον ἐμοὶ τ ὅρκον, ἐν ἡμᾶς ὀμόσαι δεῖ. ὦ ἡμᾶς ὁρκοῦν ἐθέλεις. φάρφαινε ἢ κατ' ἀποκοπλὼ ποιητικὼ. Ποῦ 'θ' ἡ Σκύθαινα.] τὸ πλῆρες, ποῦ ἐςὶν ἡ Σκύθαινα. τοξότις ὑπηρετὶς, ἔστε θεράπαιναζόνεμα ἀπὸ τοῦ τόπου, ὡς κ' ἄνω, ἡ Θρᾶττα. Τὰ τομία.] τὰ τομία, τὰ ἀποτμήματα, κ' ἀκρωτηριάσματα τῶ νεκρῶ. οἱ ἢ τὰ ἱερὰ, ἃ σφάζοντες ὀμνύουσι. κ' οἱ μδ τὴν λέξιν παροξυτονοῦσιν, ὡς ἱστέον, οἱ δὲ προπαροξυτονοῦσιν, ὡς παρὰ τῷ Εὐςαθίῳ, ὃς λέγ τόμια μδ, κ' ἔντομα καλεῖσθαι τὰ τοῖς νεκροῖς σφαγιαζόμενα, τὰ ἢ τοῖς θεοῖς, ἱερεῖα. οὕτω κ' μετ' ὀλίγον, ἵππον λαβοῦσαι, τόμιον ἐκτεμοίμεθα. ἰςέον μέν τοι τόμια κ' τὰ ἱερεῖα ἁπλῶς καλοῦμεν, ἃ περ σφάζομεν, εἴτε θεοῖς, εἴτε τοῖς νεκροῖς. παρὰ δὲ τὸ τέμνειν λέγεται. κ' σφάγια συνωνύμως καλεῖται. Ὁρκώσειε.] ὅρκος, παρὰ τὸ εἴργω, τὸ συγκλείω λέγεται ὅθεν κ' τὸ ἕρκος. ἢ παρὰ τὸ ὅρος ὅ ἐςιν ὁρισμός. ὅθεν κ' ὁ ὁρκωτὴς, ὁ δηλοῖ τῷ ὅρκῳ καταλαμβάνων, κ' συγκλείων. κ' ἱερεῖα τ ὁ ... τὰ δὲ ἐπὶ τοῖς ὅρκοις σφαγέντα ἀθέμιτον ἦν εἰς τροφὴν προσάγεσθαι. οἱ δὲ Ἀθηναῖοι πρὸς τὰ ὅρκια τελεῖ τούτοις ἐχρῶντο, κάπρῳ, κριῷ, κ' τράγῳ. Λυς. Μηλοσφαγοῦσαι.] μηλοσφαγίαι, ὡς παρὰ τῷ Σουίδᾳ κ' Ἡσυχίῳ, θυσίαι προβάτων. ὅθεν κ' τὸ ῥῆμα μηλοσφαγέω. ἀφ' οὗ Μηλοσφαγοῦσαι, ὄνομα τραγῳδίας τινὸς τῶ Αἰσχύλου, ὡς τὸ Λεισοφάνης Ἐκκλησιάζουσαι. Μὴ σύ γ' ὦ Λυσιςράτη.] Ἡ Καλονίκη ἐκ τ Λυσιςράτης ἀποκρίσεως μαθοῦσα εἰς ἀσπίδα δεῖν ὀμόσαι, τῇ τ ἀσπίδος μνήμῃ καταπεπληγμένη ὡς ἀναισίῳ σημείῳ πρὸς τὸ παρὸν τ αὐτίκα ποιηθησομένης εἰρήνης πρᾶγμα, μὴ, φησιν ἱκετεύω, ἐπί γε περὶ τ εἰρήνης λόγοις ὀμώμεθα, ἡμᾶς εἰς τὴν ἀσπίδα, ὅπλον πολεμικὸν, κ' τῇ εἰρήνῃ ἐναντίον ὀμόσαι ἀναγκάσῃς. Θάσιον οἴνου ςαμνίον.] καθ' ὑπαλλαγὴν τ τὸ εἰρηῖ. ἀντὶ τοῦ, οἴνου Θασίου ςαμνίον. ἤγουν ἀμφορέα. ςαμνία γδ, κ' ςάμνους, τοὺς ἀμφορεῖς τοῦ οἴνου φασιν. διαφέρει ἢ ὁ Θάσιος οἶνος, περὶ ὧ πολλὰ λέγεται ἐν τοῖς Ἀθηναίου Δειπνοσοφ. Μὴ 'πιχεῖν ὕδωρ.] παρὰ προσδοκίαν γέλωτος χάριν τοῦτο λέλεκται, μὴ ἐπιχεῖν ὕδωρ. οὕτω δὲ κ' τὴν τῶ γυναικῶν ἀκράτου φιλοποσίαν δηλοῖ. Φεῦ Δᾶ.] Δᾶ, γῆ. Δωρικῶς. ὦ γῆ, ὦ Δήμητερ, φεῦ τοῦ θαυμαςοῦ ὅρκου, ὃν ἐπαινεῖν λίαν ἐπιθυμῶ. τὸ δὲ ἐπαινιῶ, τινὲς μδ οἴονται ἀντὶ τὸ ἐπαινέσειν γίνεσθαι κ' ἐν τῷ μέλλοντι ἐπαινιῶ, ὡς τομιῶ Ἀττικῶς λέγεσθαι. τινὲς τοῦ ἐνεςῶτος εἶ λέγουσι, ὡς τὸ χεζητιάω, χεζητιῶ, ἀντὶ τοῦ χεσείω. κ' ἐπιθυμίαν τοῦ ἐπαινεῖν σημαίνειν. ἀλλ' ὅπως ἂν τοῦτο τὸ ῥῆμα σχηματίσεις, σημαίνεσθαι τοῖς ἄλλοις ἐν χρήσει εἶ. βέλτιον δ' ἴσως, κ' πολὺ πιθανώτερον εἰ χαίροντες ἐπαινεῖν. ἔπαινος, ἐπαινέω, ὦ, ἐπαινετὸς, ὁ ἐπαίνου ἄξιος. ὅθεν τὸ ἐπαινετιάω, τὸ ἐπαινεῖν ἐπιθυμεῖν. ἐςὶ ὁ σχηματισμὸς μεγάλην, κ' ἀξιόπιςον ἀναλογίαν ἔχει πρὸς τὸ χεζητιῶ ῥῆμα ἐπιθυμητικόν. ἐν ἢ τῇ τ' τούτου τοῦ ςίχου χώρᾳ ἐςιν ἀνάπαιςος, κ' τ τοῦ ἰαμβικοῦ μέτρου ἰόντος ὡς ἐν τῇ τελευταίᾳ χώρᾳ, ὁ ἴαμβον, κ' τετράχρονον ἀνάπαιςον δ' ἔχει, καθάπερ Ἡφαιςίων διδάσκει. τὸ ἢ ἄφατον, ἀμήχανον, πολὺ, ἄρρητον, ἀμέτρητον, δεινόν. Ἡσυχ.

CHR. Ῥυγχάχιτον.] Lege ῥυχάχετον vel potius ῥυάχετον cum Hesychio & Veneta editione, id est, θόρυβον, & ῥυγμὸν, quasi ῥέοντα ὀχετόν. At pro πλαδδιῆν lego πλαδδιῆν quod est πλουτιάζειν. Sunt tamen qui πολεμεῖν aut ἀφροσύνην intelligant, & Hesychius exponit μαλαΐζειν & βαρύνεσθαι. Qui, inquit, aliter possumus facere ne Athenienses nos rursum turbatum veniant? Οὐχ' ἅς σπουδᾶς.] Non est quin putem hæc verba aut mendosa esse, aut non suo loco posita, & fortassis σπονδᾶς pro σπουδᾶς legendum est. Καὶ τἀργύριον τἄβυσσον.]

B Ex antiquis Grammaticis qui apud Sudam, hunc ex his verbis sensum elicio, Quandiu argenti copia abstrusa erit in templo Deæ, nunquam de Pace cogitabunt. Nam in Acropoli deposita erant millia talentûm. Mox ait abyssum, locum esse sacrum Proserpinæ vbi magna auri copia ex omni tempore asseruetur, χρυσὸς inquit ἄβυσσος. id est, ἀόρατος & ἄθικτος, quia in terra altè defossum. Σκυτιθώμεθα.] In Veneta editione melius σκυτιζώμεθα, quod tamen quid hic sibi velit nescio, nam Grammatici σκυθίζειν exponunt ξυρᾶσθαι. Fortassis autem hic versus transferendus ante illum

C κ' τἀργύριον. Quid si verò legamus σκύτη θώμεθα, duabus vocibus, vt sit donec has pelles deponamus, vel potius scuta induamus, quia sequitur ἀσπίδα. Nisi σκυθιζώμεθα sit apparere, metaphora sumpta à Scythis Liturgis & seruis apparitoribúsque publicis, vt postea ἡ σκύθαινα est ὑπηρέτις. Πάντα κ' ἔχοι κ' τάδε.] Pro πάντη dicit πάντα Doricè, & τάδι pro τάδε, id est ἄδε. Paulo pòst lego distinctè ἂν ἀρρήκτως. Τὰ τομία.] Sacræ sunt vi-

D ctimæ ad quarum mactationem iusiurandum fieri solebat, Sic vsus est Dionys. Halicarnasseus lib. 7. Histor. Ἐν Αἰσχύλῳ ποτέ.] Locus est in Septem-Thebana Tragœdia ταυροσφαγοῦντες εἰς μελάνδετον σάκος, id est vt olim vertebamus, Clypeo super nigrante mactantes bouem. Φεῦ δᾶ τ ὅρκον.] Malè in Germanica editione hic apposita est persona Calonicæ, quum loquatur Lampito, & verba meram Spartam oleant ex Dialecto Dorica.

E BISETUS. Ω φίλταται γυναῖκες κεραμέων ὅσος.] τοῦ τοῦ, κ' μέτρου χάριν ἐςὶ ὁ ςίχος οὕτω διορθωθείς,

Ω φίλταται γυναῖκες ὁ κεράμων ὅσος!

ἐκ ἢ τῶ προηγουμένων τοῦτο δῆλον. ἡ γδ Καλονίκη φάσκει,

Φερέτω κύλικα τις ἔνδοθεν κ' ςαμνίον.

ἡ δὲ Λυσιςράτη τὸ τῶ ἀγγείου παράδοξον μέγεθος ἰδοῦσα, κ' θαυμάσασα οὕτως ἀναβοᾷ, ὦ φίλταται γυναῖκες. κ' τὰ ἑξῆς. τούτων δὲ αὕτη ἡ ἔννοια, ὦ φίλταται γυ-

F ναῖκες φεῦ τῶ μεγέθους τ κύλικος. ἐκ πάσης τ τῶ κεραμέων σκευῆς ὡς ἐξαιρετόν τόδε τὸ κεραμικὸν ἀγγεῖος τὸ νῦν προσενεχθέν! τὸ γδ ὅσος κυρίως ὦ πρὸς τ ἀριθμὸν, ἀλλὰ πρὸς τὴν ποιότητα, κ' μέγεθος ἀναφέρεται, κ' ὡς ἐπὶ τὸ πλεῖςον μετὰ θαυμασμοῦ, ὡς ἐν Βατράχοις,

Ω Ζεῦ βασιλεῦ τὸ χρῆμα τῶ κωπῶν ὅσον!

κ' ἐν Νεφέλαις,

Ω Ζεῦ βασιλεῦ τὸ χρῆμα τῶ νυκτῶν ὅσον

G Ἀπέραντον!

κέραμος δὲ, ὡς φησι Πολυδεύκης, καλεῖται πᾶσα ἡ τῶ κεραμέων ἀγγείων ὕλη. Προσλαβοῦ μοι τοῦ κάπρου.] μικρῷ πρότερον εἴρηται ὅτι οἱ Ἀθηναῖοι πρὸς τὰ ὅρκια τρισὶ τούτοις ἐχρῶντο, κάπρῳ, κριῷ, κ' τράγῳ. νῦν δὲ ἡ Λυσιςράτη παίζουσα, περὶ ςαμνίου, ἢ κύλικος, ὡς περὶ

κάπρου

κάπρου τοῦτο λέγει. κάπρος δὲ, ὗς ἔνορχος, καὶ τέλειος. ὅπερ ἐστὶ ζῶον συνουσιαστικόν. ὅθεν καπρᾶν, καὶ καπρίζειν, τὸ ἔχειν πρὸς τὴν ὀχείαν ὁρμητικῶς. καὶ κυρίως καπρᾶν, τὸ ὀρέγεσθαι κάπρου τὴν ὗν. ὡς ταυρᾶν, τὸ ταύρου ἐφίεσθαι τὴν βοῦν. μεταφορικῶς δὲ, καὶ ἐπὶ γυναικῶν λέγεται. ὅθεν καπρῶσα γυνὴ, ἡ μάχλος, ἡ ἀσελγὴς, καὶ μίξεως ἐφιεμένη. ὡς ἐν Πλούτῳ

Γραὸς καπρώσης τὰ φορτία κατεσθίειν,

καὶ κάπρος, ὥς φησι Σουΐδας, τὸ αἰδοῖον τοῦ ἀνδρός. ταῦτα τοίνυν ἐνταῦθα γέλωτος χάριν λέλεκται. Δέσποινα Πειθοῖ.] τὴν Πειθὼ οἱ ποιηταὶ θεὰν εἶναι μυθεύουσιν, ἥπερ τοῦ πείθειν ἔχει δύναμιν. Εὐριπίδης ἐν Ἑκάβῃ,

Τί δῆτα θνητοὶ τἄλλα μὲν μαθήματα
Μοχθοῦμεν ὡς χρὴ πάντα, καὶ μαστεύομεν,
Πειθὼ δὲ τὴν τύραννον ἀνθρώποις μόνην,
Οὐδέν τι μᾶλλον ἐς τέλος σπουδάζομεν
Μισθοὺς διδόντες μανθάνειν, ἵν' ἦν ποτε
Πείθειν ἅ τις βούλοιτο, τυγχάνειν θ' ἅμα;

Ταύτην οὖν ἐπικαλεῖται ἡ Λυσιστράτη, ὅτι αἱ γυναῖκες τοὺς αὐτῶν ἄνδρας μέλλουσαι πείθειν εἰρήνην ἄγειν, τῆς πειθοῦς χρείαν εἶχον, πρὸς τὸ ῥᾷον αὐτοὺς ἀναπεῖσαι. Καὶ κύλιξ φιλοτησία.] οὕτω καλεῖται ἡ φιάλη ἡ διδομένη ἐν τοῖς πότοις. ἐν γὰρ τοῖς συμποσίοις φιλοφρονούμενοι ἀλλήλους ἐπεδίδοσαν οἴνου κύλικα, ἣν φιλοτησίαν ἐκάλουν, ὡς Ὑπερείδης φησί, καὶ Ἄλεξις, καὶ Ὅμηρος ἐν τῷ Δ. τῆς Ἰλ.

Νέκταρ ἐῳνοχόει. τοὶ δὲ χρυσέοις δεπάεσσι
Δειδέχατ' ἀλλήλους. καὶ αὖθις, Ἐγχείτω τὶς ταύτῃ φιλοτησίαν καὶ φιλοτησίας, τὰς δεξιώσεις διὰ τῆς φιλίας καὶ φιλοτησίαν προπίνειν ἐστὶν ἡνίκα τὶς ἐν ἀρίστῳ ἀπὸ τῆς δοθείσης αὐτῷ φιάλης πιὼν μέρος, τὸ λοιπὸν παρέχῃ φίλῳ, καὶ τὴν φιάλην χαριζόμενος. Τὰ σφάγια δέξαι.] τὰ θύματα τὴν θυσίαν. τοῦτο δὲ λέγει ἡ Λυσιστράτη οἶνον εἰς τὴν κύλικα εἰσχέουσα. ταύτην δὲ τὴν οἴνου χύσιν, γελοίου χάριν, σφάγια καλεῖ. μεταφορικῶς δὲ τοῦτο, ὡς καὶ τὰ ἑξῆς. τὸν γὰρ ἀσκὸν οἴνου πλέων, εἴτε σταμνίον, κάπρον καλεῖ. τὴν οἴνου εἰς κύλικα ἔκχυσιν, σφάγιον ὀνομάζει. πρὸς ὃ παίζουσα ἡ Καλονίκη εἰς τὴν κύλικα τὸν οἶνον ἐκχεόμενον ἐκδεχομένη, ὡς θύματος αἷμα, ἐπιφέρει, ὡς ἐπὶ κάπρου σφαγέντος, καὶ αἱματοῤῥοοῦντος.

Εὔχρουν γε θ' αἷμα, κἀποπυτίζει καλῶς.

Κἀποπυτίζει.] καὶ ἀποπυτίζει. τινὲς χαριέστερον λέγουσιν ἀποπυτίζει. τὸ δὲ ἀποπυτίζειν ταυτὸν τῷ ἀποπτύειν, ἢ πρωτότυπον τοῦ ἀποπυτίζειν. ἀποπυτίζει τοίνυν δηλονότι ὁ κάπρος σφαγεὶς τὸ αἷμα καλῶς ὡς ἀποπτύει διὰ τοῦ λαιμοῦ. καὶ διὰ τῆς σφαγῆς τὸ αἷμα καλῶς ἐκβάλλει. τουτέστιν ὁ ἀσκὸς ἐκ τοῦ δέρματος τοῦ κάπρου σκευασθεὶς, ἢ μᾶλλον τὸ σταμνίον, τὸν οἶνον εὔχρουν καλῶς ἐκχεῖ. τὸ δὲ πυτίζειν οὕτως ἐσχηματίσθαι φαίνεται. πτύω, πτύζω, καὶ πυτίζω κατὰ μετάθεσιν τῶν στοιχείων καὶ κατ' ἐπένθεσιν τοῦ ι. εἰ δὲ ἀποπυτίζει γράψῃς, τὸ ἕτερον τοῦ μέτρου χάριν προσληφθὲν λέξεις. ὅπερ οὐκ ἄτοπον, οὐδὲ καινόν. πολλὰ γὰρ τούτου καινότερα, καὶ τολμηρότερα, παρὰ τοῖς ποιηταῖς

A εὑρήσεις. Καὶ μὰν.] ταῦτα κατ' ἰδίαν γλῶσσαν. καὶ μὴν πρόσοζει γ' ἡδὺ, ναὶ τὸν Κάστορα. τουτέστιν ὄζει, καίπερ ἦ κάπρος, ὅμως ὀσμὴν ἡδεῖαν ἔχει. ἐκ δὲ τούτου δῆλον, ἐνταῦθα τὸν οἶνον νοεῖσθαι. ἀλλὰ ταῦτα πάντα ἀλληγορικῶς, γελοίου χάριν, εἴρηται. Ἐάν γε μὴ λάχῃς.] ἐὰν μὴ κληρώσῃ. ἐὰν μὴ αὐτὸς ὁ κλῆρος τὸ τοιοῦτον ἐπιτρέψῃ. πάλαι γὰρ, ὥσπερ καὶ νῦν, οἱ πράγμασι μεγάλοις ἐπιχειροῦντες, ἵνα μήτις φιλονεικία, καὶ στάσις διὰ τὴν προτίμησιν γένοιτο, τοῖς κλήροις ἐχρῶντο, καὶ ὁ λαχὼν ἐνίκα. τοῦτο δὲ μάλιστα ἐν ταῖς ἀρχαιρεσίαις ἀκριβῶς ἐτηρεῖτο. B λαχεῖν δὲ, τὸ ἀπολαχμοῦ κτήσασθαι. καὶ τὸ ἁπλῶς τυχεῖν. παρ' Ὁμήρῳ ποτὲ μὲν αἰτιατικῇ συντάσσεται, ὡς ἐν τῷ

Τὸ γὰρ λάχομεν γέρας ἡμεῖς.

ποτὲ δὲ γενικῇ, ὡς ἐν τῷ, Δώρων ἐκ Πελίαο λάχῃ. καὶ λαχεῖν ἀπὸ ψήφου, καὶ λαχεῖν ἀπὸ κλήρου κατὰ συνήθειαν λέγεται. καὶ λαχεῖν τι, κατὰ τὸ λάχος, εἴτε κατὰ κλῆρον λαβεῖν.

CH. Προσλαβοῦ μοι τοῦ κάπρου.] Obscurus mihi C est hic locus, & quamuis sciam κάπρον pro parte obscœna accipi plerunque, non puto tamen hic locum habere. Porcum tamen verti, siue ad illas partes referre vis, siue ad animal quod fortassis Lysistrata habuit velut τόμιον & ἱερεῖον. Nam sacres vocabant porcos. Miror tantum sub voce μηλοσφαγεῖν contineri etiam sues qui siue castrati siue secti post mactationem rectè τομίαι vel τόμιοι dicuntur. Sanè incedo hic tanquam per tenebras D aut ignes suppositos cineri doloso. Non enim mihi licet aut liquet. Κύλιξ φιλοτησία.] Calicem qui in conuiuiis mutuò dabatur, amoris & beneuolentiæ ergo, vocabant φιλοτησίαν, quæ propriè erat δεξίωσις vt dixit Homerus δειδέχατ' ἀλλήλους. sic vsus Hyperides Alexis, Ælianus & alij, vnde scriptum est ab Historico quodam (teste Suda) Ætolos quondam vinum Athenas deportasse, quum vellent, vt ait ille, φιλοτησίας τῆς ἐκ τοῦ θεοῦ κοινωνῆσαι, καὶ τοῖς τῆς Ἀθηνᾶς τροφίμοις, significans E φιλικὴν δεξίωσιν. Si Hesychio credimus, videtur fuisse poculum illud secundæ mensæ, (quod quidem placuit Seruatori nostro Domino Iesu Christo) quum libatum calicem præbemus amico assidenti. ait enim esse πρόποσιν μετὰ δεῖπνον φιλίας ἕνεκα. Κἀποπυτίζει καλῶς.] In Veneta editione melius ἀποπιτίζει & videtur πιττίζειν sonum facere quem πίτυλον dicunt, & esse πιτυλίζειν quod inter exercitationum genera rettulit Galenus in lib. de seruanda bona valetudine, vt & ἀκροχειρί- F ζειν. Vnde Iuuenalem suum pitylisma nobis obtrusisse censet D. Iul. Cæsar Scaliger, exclusis Grammaticorum nugis iactabundis. Hoc loco Aristophanes iocatur & verè χαριεντίζεται, cùm tanquam de animali, sanguinem εὔχρουν, & sonum è recenti cæde edente, sic de vino loquitur.

Κα. Λάζυσθε πᾶσαι τῆς κύλικος ὦ Λαμπιτοῖ,
G Λεγέτω δὲ ὑπὲρ ὑμῶν μί' ἅπερ ἂν κἀγὼ λέγω.
Ὑμεῖς δ' ἐπομεῖσθε ταυτὰ κἀμπεδώσετε.
Οὐκ ἔστιν οὐδεὶς οὐδὲ μοιχὸς οὐδ' ἀνήρ.
Κα. Οὐκ ἔστιν οὐδεὶς οὐδὲ μοιχὸς οὐδ' ἀνήρ.

LVS. Calicem hunc age omnes sumitote, Lampito
Sequatur vna verba pro cunctis mea
Iurabitis post atq; habebitis rata.
Nullus sit, inquam, siue adulter siue vir.
CAL. Nullus sit, inquam, siue adulter siue vir.

BISETUS. Λάζυσθε.] ἡ Λυσιστράτη τῶν γυναικῶν ἁπασῶν εἰς ἐκκλησίαν συνεληλυθυιῶν δηλοῖ τὸν ὅρκον, ὃν αὐτὰς ὀμνύειν. καὶ ἡ Καλονίκη ὑπὲρ τῶν ἄλλων τοῖς αὐτοῖς χρῆται λόγοις, οἷσπερ ἡ Λυσιστράτη, ἥτις τὸν ὅρκον προσαχθέντα λαμβάνει, καὶ κατὰ τὴν αὐτῆς ἐπιταγὴν ὀμνύει καὶ ὑπὲρ αὐτῆς, καὶ ὑπὲρ τῶν λοιπῶν γυναικῶν. λάζυσθε δέ, λάβοιτε. λάζεσθαι τὸ λαμβάνειν, αἰτιατικῇ παρ' Ὁμήρῳ. παρὰ δὲ τοῖς τραγικοῖς καὶ γενικῇ ἐν συνθέσει δέ, ἀντιλάζυ πόνων, καὶ γηραιᾶς χειρὸς προσλαζύμεναι. παρ' Εὐριπίδῃ λέγεται δὲ καὶ λαζύω, καὶ λάζυμι, καὶ λάζυμαι παρὰ τὸ λάζω, τὸ λαμβάνω. Εὐσταθ. Ἐμπεδώσετε.] ἐμπεδώσετε, καὶ ἐμπεδώσετε, ἔμπεδον, καὶ A βέβαιον ποιήσετε, βεβαιώσετε. ταῦτα δὲ, τὰ αὐτά, ἅπερ ἐγὼ λέγω, καὶ ὀμνύω. τὸ δὲ ἐμπεδώσεθε δεύτερόν ἐστι πρόσωπον πληθυντικὸν τοῦ β. μέσου μέλλοντος ἐμπεδοῦμαι, ῇ, εἶται. ὡς παρὰ τὸ ἄχρηστον ὄμω, ὀμοῦ, ἀνθ' οὗ ὀμόω, ῶ, ὀμόσω, ἢ ὀμνύω, καὶ ὄμνυμι ἐν χρήσει. Οὐκ ἔστιν οὐδείς.] ἐντεῦθεν ἐξάρχεται τὸ τῆς ὁρκωμοσίας σχημάτιον. διὰ τούτων δὲ αἰνιγματικῶς τὴν συνήθη μοιχείαν, καὶ πορνείαν τῶν ἀκρατῶν γυναικῶν ὁ ποιητὴς δηλοῖ, καὶ ταύτας ὀνειδίζει.

B CHR. Οὐκ ἔστιν οὐδείς.] Veri est simile Comicum non solum ad antiquum iusiurandum, sed ad veteris poetæ versus παρῳδεῖν.

Λυ. Ὅς τις πρὸς ἐμὲ πρόσεισιν ἐστυκώς. λέγε.
Κα. Ὅς τις πρὸς ἐμὲ πρόσεισιν ἐστυκώς. παπαῖ.
Ὑπολύεταί μου τὰ γόνατ' ὦ Λυσιστράτη.
Λυ. Οἴκοι δ' ἀταυρώτη διάξω τὸν βίον.
Κα. Οἴκοι δ' ἀταυρώτη διάξω τὸν βίον.
Λυ. Κροκωτοφοροῦσα καὶ κεκαλλωπισμένη.
Κα. Κροκωτοφοροῦσα καὶ κεκαλλωπισμένη.
Λυ. Ὅπως ἂν ἁνὴρ ἐπιτυφῇ μάλιστά μου.
Κα. Ὅπως ἂν ἁνὴρ ἐπιτυφῇ μάλιστά μου.
Λυ. Κοὐδέποθ' ἑκοῦσα τἀνδρὶ τῷμῷ πείσομαι.
Κα. Κοὐδέποθ' ἑκοῦσα τἀνδρὶ τῷμῷ πείσομαι.
Λυ. Ἐὰν δέ μ' ἄκουσαν βιάζηται βίᾳ.
Κα. Ἐὰν δέ μ' ἄκουσαν βιάζηται βίᾳ.
Λυ. Κακῶς παρέξω κοὐχὶ προσκινήσομαι.
Κα. Κακῶς παρέξω κοὐχὶ προσκινήσομαι.
Λυ. Οὐ πρὸς τὸν ὄροφον ἀνατενῶ τὰ Περσικά.
Κα. Οὐ πρὸς τὸν ὄροφον ἀνατενῶ τὰ Περσικά.
Λυ. Οὐ στήσομαι λέαινα ἐπὶ τυροκνήστιδος.
Κα. Οὐ στήσομαι λέαινα ἐπὶ τυροκνήστιδος.
Λυ. Ταῦτ' ἐμπεδοῦσα μὲν, πίοιμ' ἐντευθενί.
Κα. Ταῦτ' ἐμπεδοῦσα μὲν, πίοιμ' ἐντευθενί.
Λυ. Εἰ δὲ παραβαίην, ὕδατος ἐμπλησθῇ κύλιξ.
Κα. Εἰ δὲ παραβαίην, ὕδατος ἐμπλησθῇ κύλιξ.
Συνεπόμνυθ' ὑμεῖς ταῦτα πᾶσαι; Μυ. νὴ Δία.
Λυ. Φέρ' ἐγὼ καθαγίσω τήνδε. Κα. τὸ μέρος γ' ὦ φίλη.
Ὅπως ἂν ὦμεν εὐθὺς ἀλλήλων φίλαι.
Λα. Τίς ὡλολυγά; Λυ. τοῦτ' ἐκεῖν' οὑγὼ 'λεγον.
Αἱ γὰρ γυναῖκες τὴν ἀκρόπολιν τῆς θεοῦ

LVS. Rigente nervo qui mihi accedat. Taces?
CAL. Rigente nervo qui mihi accedat. Papæ.
Genua mihi eheu succidunt, Lysistrata.
LVS. Innupta degam postea ætatem domi.
CA. Innupta degam postea ætatem domi.
C LVS. Crocotam amicta, ornata, compta maximè.
CAL. Crocotam amicta, ornata, compta maximè.
LVS. Vt vir meus me vehementer ardeat.
CAL. Vt vir meus me vehementer ardeat.
LVS. Nec spontè morem coniugi geram meo.
CAL. Nec spontè morem coniugi geram meo.
LVS. Sin fortè per vim cogat invitam ferox.
D CAL. Sin fortè per vim cogat invitam ferox.
LVS. Dabo hoc malignè, nec me habebit mobilem.
CAL. Dabo hoc malignè, nec me habebit mobilem.
LVS. Neque in lacunar sandala extollam pedum.
CAL. Neque in lacunar sandala extollam pedum.
E LVS. Nec ceu leæna statuar in secespita.
CAL. Nec ceu leæna statuar in secespita.
LVS. Hæc sanciens firmánsque nunc illinc bibam.
CAL. Hæc sanciens firmánsque nunc illinc bibam.
LVS. Quòd si sciens fallo, impleatur aqua calix.
F CAL. Quòd si sciens fallo, impleatur aqua calix.
Et ista vos iuratis? MYR. Ista per Iovem.
LVS. Age ergo libem sacrimam. CA. partem modò
O chara, amicæ vt simus extemplò invicem.
LA. Quis ille clamor? LVS. Quem tibi antè dixeram,
G Nam fœminæ arcem possidentes Palladis

BISETUS. Πρόσεισιν.] προσέρχεται, προσελεύσεται συνουσίας χάριν. ὅπερ φανερὸν ἐκ τοῦ ἐστυκώς. τὸ δὲ τὸ στύειν, ὅθεν ἡ μετοχὴ τοῦ παρακειμένου, ἐστυκώς, ἐστυκότος, ἔστι τὸ στύομαι, διὰ πλειόνων ἄνω προείρηται. καὶ Εὐστάθιος ἐν τῷ ἄστυτος ἐξηγεῖται. Λέγει δ' ἡ Καλονίκη ὑπαλλάγεισα τοῖς τῆς Λυσιστράτης λόγοις, ὡς ἔπειτα ἀποπαύει ὅταν ἐπιφωνεῖ τό, παπαῖ. καὶ τὰ ἑξῆς. μαλακτισθεῖσα σιωπᾷ. διὸ ἡ Λυσιστράτη παρακελεύεται λέγειν. τὸ δὲ πα-

πὲ καὶ χετλιαστικόν ἐστιν ἐπίρρημα. Αταυρώτη.] ἄμικτος, ἁγνή. ταῦρος γὰρ, τὸ αἰδοῖον τοῦ ἀνδρός. κροκωτοφοροῦσα δὲ, κροκωτὰ φέρουσα. κεκαλλωπισμένη, κοσμηθεῖσα. Επιτυφῇ.] τρίτον πρόσωπον τοῦ ὑποτακτικοῦ τοῦ ἀορίστου παθητικοῦ δευτέρου οὕτω σχηματιζόμενον. ἐπιτύφω, ἐπέτυφον, ἐπετύφην, ἐὰν ἐπιτυφῶ, ῇς, ῇ. ἐπιτυφῇ οὖν, ἐπικαῇ, ἐκπυρωθῇ, ἐπιπυρωθῇ. τουτέστιν ἀφίξομαι, τῆς συνουσίας τοῦ ἀνδρός, ἵνα τῷ ἔρωτι, καὶ τῇ ἐπιθυμίᾳ τῆς συμμίξεως μάλιστα καίηται, καὶ ἐμοῦ τυχεῖν ἐπιθυμοίη. λέγεται δὲ, ἐπιτύφεσθαί τινος, καὶ τύφεσθαι ἐπί τινος, ἤγουν καίεσθαι τῇ ἐπιθυμίᾳ τοῦ συμμιγῆναι ἐκείνῃ ἧς ἐρᾶ. Τ' ἀνδρὶ τῷ μῷ.] τὸ πλῆρες, τῷ ἀνδρὶ τῷ ἐμῷ. ἀλλαχοῦ δὲ γέγραπται, τἀνδρὸς, τἀνδρὶ ἀντὶ τῶν, τοῦ ἀνδρὸς, τῷ ἀνδρί. Κακῶς παρέξω.] χαλεπῶς, μόγις, οὐχ' ἑκοῦσα, οὐδ' εὐθὺς αὐτῷ ἐμὲ κινηθησομένην παρέξω. ἢ οὐ ῥαδίως, οὐκ εὐχερῶς, ἀλλὰ φειδωλῶς, καὶ χαλεπῶς αὐτῷ παρέξω τό μου σῶμα πρὸς τὸ συμμιγῆναι. τουτέστιν οὐ προσελεύσομαι αὐτῷ. οὐδὲ κινηθήσομαι ὅπως πρὸς αὐτὸν ἔλθω καὶ οὐκ ἐάσω ῥαδίως ἐμὲ ὑπ' αὐτοῦ κινεῖσθαι. προσκινήσομαι δὲ, συνουσιάσω αὐτῷ δηλονότι. Οὐ πρὸς τὸν ὄροφον.] τὰ περσικὰ, εἶδος ὑποδήματος γυναικείου, ἃ καὶ περσικαὶ θηλυκῶς λέγονται. ὡς καὶ ἐν Νεφέλαις δεδήλωται. ὄροφος δὲ ἀρσενικῶς, ἡ ὀροφὴ θηλυκῶς, ἡ στέγη. ἀλλὰ τί τοῦτο βούλεται τὸ ἀνατείνειν τὰ περσικὰ πρὸς τὸν ὄροφον; τοῦτο σφόδρα ἀσαφές. εἰ μὴ κακέμφατόν τι συνουσίας εἶδος, διὰ τούτων δηλοῖ. ἔστιν οὖν ὅτι οὐκ ἀρῶ τά μου ὑποδήματα πρὸς τὴν ὀροφὴν, εἴτε τὴν τοῦ οἴκου στέγην, ἵνα δηλαδὴ ὁ ἀνὴρ ἐμοὶ ὑποκειμένῃ ῥᾷον καὶ ἀσφαλέστερον καὶ στενότερον συμμιγῇ. ἀπὸ δὲ τῶν περσικῶν, μετωνυμικῶς αὐτοὺς τοὺς πόδας τὰ περσικὰ φοροῦντας νοητέον. ὅπως οὖν ἂν εἴη, ταῦτα αἰνιγματικῶς μὲν, ἀληθῶς δὲ γυναικῶν ἀπρεπὲς, καὶ λίαν ἀσελγὲς σχῆμα συνουσίας ὑποσημαίνειν δοκεῖ. Οὐ στήσομαι.] οὐ στήσομαι λέαινα, τουτέστιν ὡς λέαινα. ὁ Σουίδας τούτων μνημονεύων, παροιμίαν εἶναι λέγει, καὶ οὕτως ἑρμηνεύει, τυρόκνηστις, ἡ μάχαιρα. ἐπὶ δὲ τῶν λαβῶν τῶν μαχαιρῶν, ἐλέφαντες καὶ λέοντες ἐγλύφοντο ὀκλάζοντες, ὅπως μὴ ἀποθραύοιντο αὐτῶν οἱ πόδες, εἰ ὀρθοὶ ἑστῶτες γλύφοιντο. λέγει οὖν, ὅτι οὐκ ἐπ' ἀνδρὶ στήσομαι πορνεύουσα ὡς λέαινα ἐπὶ τυροκνήστιδος. σχῆμα δέ ἐστιν ἀκόλαστον, καὶ ἑταιρικόν. ταῦτα παρὰ τῷ Σουίδᾳ. Αλλως. οὐχ ὑποτάξω μὲ τῷ ἀνδρὶ πρὸς συνουσίαν, οὐδὲ μιμήσομαι τὰς λεαίνας ἐπὶ τῶν μαχαιρῶν γλυφομένας, αἵπερ οὐκ ὀρθαὶ, ἀλλ' ὀκλάς ἑστῶσιν. οὕτω δὲ ἀπρεπές τι συνουσίας εἶδος δηλοῦται, οἷα καὶ ἐν Εἰρήνῃ.

Επὶ γῆς παλαίειν, τετραποδηδὸν ἑστάναι.

τυρόκνηστις δὲ κατὰ τὸν Πολυδεύκη ἐν μαγειρικοῖς μαχαιρίοις καταριθμεῖται, οὕτω, ἐν δὲ τούτοις καὶ τυρόκνηστις, ἣν καὶ κόβυλιν καλοῦσιν. Εὐστάθιος δὲ ἐν τῷ Ιλ. λ. περὶ τῆς δε τῆς λέξεως ταῦτα γράφει, κνῆστις ἰδίως ἡ τυροτόμος μάχαιρα ἣν ὁ Κωμικὸς συνθέτως τυρόκνηστιν λέγει, Ομήρου διαλελυμένως κατὰ τρόπον ἐτυμολογίας εἰπόντος τὸ, – ἐπὶ δ' αἴγειον κνῆ τυρὸν κνήστι χαλκείῃ. καὶ γίνεται ἀπὸ τοῦ κνάω, ῶ, τὸ κόπτω. καὶ αὖθις μετ' ὀλίγον, συνθέτως δὲ, τυρόκνηστις μαγειρικὸν σκεῦος ἦν. καὶ Ησύχιος. κνῆστις, κοπὶς σιδηρᾶ. ξυστὴρ, ἐν ᾧ ξύουσι τὸν τυρόν. Εκ τούτων οὖν φανερόν ἐστι τί ποτ' ἦν κυρίως ἡ τυρόκνηστις, μαχαίριον δηλαδὴ, ἢ ἄλλο τι μαγειρικὸν ὄργανον, ᾧ τὸν τυρὸν ἢ ξύουσιν, ἢ κόπτουσιν ἢ ὁπωσδήποτε τέμνειν εἰώθεισαν. Καθαγίσω τὴν δε.] δηλονότι τὴν κύλικα. καθαγίζειν ἐστὶ, ἀφιεροῦν καίειν. Σ. οὖν δὲ ἀμφιβόλως εἴρηται. δύναται γὰρ λαμβάνειν τοῦτο, ἀντὶ τοῦ καύσω, ὡς θῦμα, ὡς ἱερεῖον καύσω πιοῦσα τὴν κύλικα. καὶ ἀντὶ τοῦ ἱερώσω τῇ Πειθοῖ. ἀλλ' ὁ νοῦς ἐστι, ταύτην τὴν κύλικα κενώσω τὸν οἶνον πιοῦσα. διὸ καὶ ἡ Καλονίκη ταῦτα πρὸς τὴν Λυσιστράτην λέ-

A γει, τὸ μέρος ὦ φίλη. καθάγισον δηλονότι. τουτέστι, μὴ πῖνε πάντα τὸν τῆς κύλικος οἶνον, ἀλλὰ μόνον αὐτοῦ μέρος. τὸ δὲ λοιπὸν δός μοι πιεῖν, ἵνα ταχέως ἀλλήλων ὦμεν φίλαι.

Τίς ἡ 'λολυγά; Λυ. ταῦτ' ἐκεῖν' ἁγὼ 'λεγον.] τὸ πλῆρες. ταῦτα ἐκεῖνα ἃ ἐγὼ ἔλεγον σημεῖα τῆς ἐρωτήσεως. ὅμοιον δὲ τούτῳ τὸ τῆς Εἰρήνης. Τοῦτ' ἔστι δῆτα τὸ κακὸν αὔθ' ὁ 'γὼ 'λεγον. ἀντὶ τοῦ, αὐτὸ ὃ ἐγὼ ἔλεγον. τίς οὖν ἡ ὀλολυγὴ καὶ τίς θόρυβος καὶ βοή; ὀλολυγὴ νῦν δηλοῖ τὰς φωνάς, ἅς τινες διὰ τὰς καλὰς πράξεις, καὶ διὰ τὴν ἀ-
B νέλπιστον εὐτυχίαν ἱεῖσιν. Ησύχιος δὲ, ὀλολυγὴν καλεῖ τὴν φωνὴν γυναικῶν, ἣν ἐν τοῖς ἱεροῖς εὐχόμεναι ποιοῦσιν. Εν ᾧ δὲ χρόνῳ αἱ γυναῖκες αὗται ἐν ἐκκλησίᾳ πρὸς ἀλλήλας διελέγοντο, καὶ ὑπὸ τῆς Λυσιστράτης ὡρκοῦντο, ἐν τούτῳ βοὴ μεγάλη ἐξακούεται, ἣν αἱ πρεσβῦται τὴν ἀκρόπολιν κατὰ πρόσχημα θυσίας ἀπὸ συνθήματος καταλαβοῦσαι ἐποίουν. ἡ Λαμπιτὼ τοίνυν ζητεῖ τίς αὕτη ἡ βοή. ἡ δὲ Λυσιστράτη τὸ ζητούμενον αὐτῇ δηλοῖ καὶ παραινεῖ εἰς τὴν πατρίδα ὑποχωρεῖν, καὶ κατὰ δύναμιν πάντα ποιεῖν ὅπως ὁ πόλεμος καταλύοιτο, καὶ εἰρήνη
C ποιοῖτο. ἡ δὲ τὰς λοιπὰς τῶν Λακαινῶν, ἃς ὁμήρους πρὸς τὴν Λυσιστράτην προσήγαγε, καταλιποῦσα παρ' αὐτῇ, εἰς τὴν Σπάρτην ἐπανῆλθε. ταύτης δὲ ἤδη ἀπελθούσης ἡ Λυσιστράτη πρὸς τὰς ἄλλας γυναῖκας ταῦτα λέγει, Ημεῖς δὲ τὰς ἄλλαισι. καὶ τὰ ἑξῆς.

CH. Εστυκώς] lege vbique ἐστυκώς. Est enim vt ante diximus στύω verbum tentiginis prurientis. Αταυρώτη.] Id est ἄμικτος & vt ait Aristoteles in Politico primo ἄζυξ. Nam ταῦρον hic pro iugo arbitror positum, quamuis non ignorem, per hanc
D vocem notari sæpe τὸ μόριον siue ἀνδρεῖον, siue γυναικεῖον, vnde λαςαύροι, mœchi dicebantur, malè enim apud Hesychium habes λαςάριοι. Κοὐχὶ προσκινήσομαι.] Sic in Pace dicit Metaphoricè ἅρματα φυσῶντα καὶ πνέοντα προσκινήσεται, proculdubio innuens τὸ συνουσιάζειν. Sic Martialis dixit,

Nec motu dignatur opus,

Neque alio respexisse putē Horatium cum dixit; Motus doceri gaudet Ionicos, vt taceam illud ex
E iocoso carmine siue Albij Tibulli, siue Val. Catulli, verset arte mobilem natem: Plura pudet addere, & ex fumo isto dare lucem pudentis hominis non est nedum Christiani. Ανατενῶ τὰ περσικά.] Sic ille Epigrammatum Princeps, Tolluntúrque pedes. Sunt autem Persica ex genere calciamentorum, vt & habes inferius Laconicas. Λέαινα ἐπὶ τυροκνήστιδος.] Spurcam aiunt esse figuram meretricij concubitus, quales credo fuisse in Elephantidos illius libellis quam Catalecta Ver-
F gilij memorant, neque arbitror ignotam Aretino qui omnes has nequitias describens, etiam cum charta omnia (vt ait ille) monstra facit. Sciēdum autem pingi olim solitos in manubriis gladiorum elephantes & leones ingeniculatos, ne si recti pedes essent comminuerentur, & frangerentur. Itaque ait, Non stabo mœcha ad placitum viri, vt Leæna ad ensem vel machæram, quam vocat τυροκνήστιδα. Hunc autem versum pro Parœmia laudat Sudas, ex cuius farragine hæc conglutina-
G ui, & meminit Erasmus in Adagiis. Fuit autem hoc nomine, Leæna meretrix Attica quā amauit Demetr. de qua Machō Comicus dixit in Chriis, ὑπερβαλεῖ δὲ τὸ λεαίνης σχῆμα, Quúmque Lamiam agitasset idem Rex Demetrius & supra modum laudasset, respondit ipsa Lamia, πρὸς ταῦτα καὶ λέαι-

σαν, εἰ βούλει, κράτει. Laudatur & Leæna meretrix amata Harmodio tyrannicidæ, quia contumacem aduersus Hippiæ tormenta fidem habuerit. Καθαγίσω τινός τι.] Eadem sunt ἁγίζειν & ἁγιάζειν, quæ Sudas interpretatur, θύειν, καθιερῶσαι, καρπῶσαι.

A Sed & τὰ ἱερεῖα ἐσθίειν exponit Hesychius. Hic libare est exhaurire. Τίς ἁ ὀλολυγά.] Propriè mulierum clamor, vt Homerus, αἱ δ' ὀλολυγῇ πᾶσαι Ἀθήνῃ χεῖρας ἀνέσχον. Sallustius vocat supplicia muliebria.

Ἤδη κατειλήφασιν. ἀλλ' ὦ Λαμπιτοῖ,
Σὺ μὲν βάδιζε καὶ τὰ παρ' ὑμῶν εὖ τίθει.
Τασδὶ δ' ὁμήρους κατάλιφ' ἡμῖν ἐνθάδε.
Ἡμεῖς δὲ ταῖς ἄλλαισι ταῖσιν ἐν πόλει
Ξυνεμβάλωμεν εἰσιοῦσαι τοὺς μοχλούς.
Κα. Οὔκουν ἐφ' ἡμᾶς ξυμβοηθήσειν οἴει
Τοὺς ἄνδρας εὐθύς; Λυ. ὀλίγον αὐτῶν μοι μέλει.
Οὐ γὰρ τοσαύτας οὔτ' ἀπειλὰς οὔτε πῦρ
Ἥξετ' ἔχοι τις, ὥστ' ἀνοῖξαι τὰς πύλας
Ταύτας, ἐὰν μὴ 'φ' οἷσιν ἡμεῖς εἴπομεν.
Κα. Μὰ τὴν Ἀφροδίτην οὐδέποτέ γ', ἄλλως γὰρ ἂν
Ἄμαχοι γυναῖκες καὶ μιαραὶ κεκλήμεθ' ἄν.

Hæc iubila edunt: nunc amica Lampito
B *Domum facesse, resq́ vestras dirige,*
Nobis relinquens interim istas obsides,
Nos cæteris quæ sunt in vrbe fœminis
Repagula inferamus ingressæ simul.
CA. Virósne censes non fore istis adiunos
Vt opprimant nos? LYS. Quin eos parui æstimo.
Nec est vt vllis vel minis vel ignibus
Cogi potesse nos putent, vt hæ fores
Pateant nisi illa lege quam rogauimus.
C *CA. Nunquam, per almam Cyprin, vt ne nos vocent*
Frustra scelestas atque inexpugnabiles.

BISETVS. Εὖ τίθει.] εὖ διατίθει, διοίκει, ποίει. ἐν δὲ τῷ τασδὶ, τὸ ι μακρὸν ὀδεῖα ποιητική. ὡς καὶ ἐν τῷ, τουτὶ καὶ ταυτὶ πολλάκις ἂν εὕροις παρὰ τῷ Ἀριστοφάνει. Ἐν Εἰρήνῃ ἴκτινος μάρψῃ. Τρ. τουτὶ μέν τοι σὺ φυλάττου. κατάλιφ' ἡμῖν, τὸ πλῆρες κατάλιπε ἡμῖν. προστακτικὸν ἀορίστου δευτέρου ἐνεργητικοῦ, τοῦ καταλείπω. μοχλοὺς δὲ ἵνα πρὸς τὴν τῶν ἀντιπάλων βίαν ῥᾷον ἀντέχωμεν. μὴ 'φ' οἷσιν. τὸ πλῆρες, μὴ ἐφ' οἷσιν ἡμεῖς εἴπομεν. Κεκλύμεθα.] [illegible], κεκλήμεθ' ἄν. τινὲς δὲ καὶ κεκλήμεθ' ἂν γραπτέον οἴονται, ὅπερ τῆς συντάξεως [illegible] ἐπεποιήμεθα.

CHRIST. Μιαραὶ κεκλύμεθ' ἄν.] In editione Veneta habes κεκλήμεθα, melius vt puto, quamuis & istud κεκλύμεθα non malè: nam vt
D Latinis dicitur, talis audio & vocor, sic κλύειν & κεκλῆσθαι.

Χορὸς ἀνδρῶν γερόντων.

Chorus virorum senum.

E ΔΡΑΚΗΣ, ΣΤΡΥΜΜΟΔΩΡΟΣ.

DRACES, STRVMMODORVS.

Χο. Χώρει Δράκης, ἡγοῦ βάδην, εἰ καὶ τὸν ὦμον ἀλγεῖς,
Κορμοῦ τοσουτονὶ φέρων βάρος χλωρᾶς ἐλαίας.
Δρ. Ἦ πόλλ' ἄελπτ' ἔνεστιν ἐν
Τῷ μακρῷ βίῳ. φεῦ.
Ἐπεὶ τίς ἄν ποτ' ἤλπισ' ὦ
Στρυμμόδωρ' ἀκοῦσαι
Γυναῖκας, ἃς ἐβόσκομεν
Κατ' οἶκον ἐμφανὲς κακόν,
Κατὰ μὲν ἅγιον ἔχειν βρέτας,
Κατά τ' ἀκρόπολιν ἐμὰν λαβεῖν.
Μοχλοῖσι δὲ καὶ κλῄθροισι,
Τὰ προπύλαια πακτοῦν.
Στ. Ἀλλ' ὡς τάχιστα πρὸς πόλιν σπεύσωμεν ὦ Φιλοῦργε,

CH. Prai gradum lentum Draces humero licet dolente
Hunc ponderosum stipitem glauca gerens oliua.
DR. Quàm multa possunt senes
Præter spem videre.
F *Quis hoc putasset obsecro,*
Strummodore demùm
Vt fœminæ (certum malum
Quod educauimus domi)
Sacrum obtinerent delubrum,
Et vrbis arcem inuaderent?
Et claustris repagulisq́
Aditus obserarent?
G *ST. Sed quam citissimè petamus vrbem, age ô Philurge,*

BISETVS. Χώρει Δράκης.] στίχοι ἰαμβικοὶ τετράμετροι καταληκτικοὶ δύο. αὖθις στίχοι μικτοὶ δίμετροι, καὶ

A καὶ αὖθις τοσχήματοι καταληκτικοὶ ὄντες. ἄλλοι στίχοι μικτοὶ δέκα. καὶ πάλιν τετράμετροι ὅμοιοι τοῖς πρώτοις. οἷς ἕπονται ἄλλοι στίχοι μικτοί. καὶ οἱ ἑξῆς, τετράμετροι, ὧν ὁ τελευταῖος τῶν νῦν παρεστῶτος φράζεις θέσθαι τρόπαιον ὑμᾶς. ὁ δὲ τῶν πρεσβυτέρων χορὸς αἰσθόμενος τῆς ὀλολυγῆς ἣν αἱ γυναῖκες τὴν ἀκρόπολιν καταλαβοῦσαι ἐποίησαν πρὸς τὴν βοήθειαν ἀλλήλους προτρέπουσι. καὶ πρὸς τὴν τῆς ἀκροπόλεως πολιορκίαν αὐτοὺς παρασκευάζουσιν, ὅπως τὸ καταληφθὲν χωρίον ἀπολάβωσι, καὶ τὰς γυναῖκας ἐκεῖθεν ἐξωθῶσι. ξύλα δὲ καὶ φρύB γανα, καὶ πῦρ φέρουσιν, ἵνα τὰς ἀκροπόλεως πύλας καίωσι, καὶ κατὰ κράτος αὐτὴν αἱρῶσιν. ἀλλ' αἱ γυναῖκες τὴν πολιορκίαν, τὰς ἐπιχειρήσεις καὶ βίαις τούτων ὁρμὰς ἀνδρείως ἀνεδέξαντο, καὶ τοὺς ἄνδρας γενναίως ἀπεκρούσαντο. αὕτη δὲ τῆς πολιορκίας, καὶ πολεμικῆς παρασκευῆς θεάματα ἐστὶν τοῖς θεωμένοις ἡδονὴν παρέχει. χώρει δὲ, βάδιζε. πορεύου, ἡγοῦ, ἡγεμόνευε, πρῶτος ἴθι. κορμὸς δὲ, κατὰ τὸν Ἡσύχιον, πλάνη. ὃ ἐστιν εἶδος πλοίου. ἀπὸ τοῦ εἰς ὀλίγον κεκορμίσθαι. καὶ ἕδρα. καὶ κοίτη. καὶ τὸ εἰς βραχὺ συντετμημένοι ξύλοι. ὅπερ ἐστὶ κοντέον. ὅθεν τὸ ῥῆμα κορμάζειν, τὸ τέμνειν, καὶ αὐθέλεν, κατακορμάζειν, κατακόC πτειν. Ἡ πολλ' ἄελπτα] τῷ ὄντι ἐν τῷ μακρῷ βίῳ, πολλά ἐστιν ἄελπτα. τούτοις παραπλήσιον τὸ τοῦ Εὐριπίδου, ἐπὶ τῷ τέλει τῆς Μηδείας,

Πολλῶν ταμίας Ζεὺς ἐν Ὀλύμπῳ.
Πολλὰ δ' ἀέλπτως κραίνουσι θεοί.
Καὶ τὰ δοκηθέντ' οὐκ ἐτελέσθη.
Τῶν ἀδοκήτων δὲ πόρον εὗρε θεός. M.X.
Τοιόνδ' ἀπέβη τόδε πρᾶγμα. καὶ Σοφ. ἐν Αἴαντι μαστιγ.
Ἦ πολλὰ βροτοῖς ἐστιν ἰδοῦσι γνῶναι. πρὶν ἰδεῖν δ', οὐδεὶς μάντις τῶν μελλόντων ὅ, τι πράξει. Κατὰ μὲν ἄγιον] τμήσις. ἀντὶ τοῦ κατέχειν μὲν ἅγιον βρέτας. τουτέστι τὸ ἄγαλμα τοῦ θεοῦ. βρέτας γὰρ κατὰ Σουΐδαν δηλοῖ τὸ εἴδωλον, τὸ ἄγαλμα. παρὰ τὸ ἐοικέναι βροτῷ. κατὰ τ' ἀκρόπολιν λαβεῖν. τμήσις, ὡς καὶ ἄνω ἀντὶ τοῦ καταλαβεῖν τε τὴν ἀκρόπολιν. Καὶ κλήθροισιν] κλείθροις ἐν δόμασι. κλεῖθρον δὲ, καὶ κλῆθρον, καὶ κλῇθρον παρὰ τὴν κλεῖδα, εἴτε κλειδία λέγεται. καὶ κλεῖδες καὶ κλῇδες, καὶ κλῆδες. τὰ προπύλαια δὲ, τὰ πρόθυρα. πακτοῦν δὲ, κλείειν, ἀσφαλίζεσθαι. Σ. Εὐς. τὰ πρέμνα. πρέμνον, στέλεχος, βλαστός, πᾶν ῥίζωμα δένδρου τὸ γηράσκον. Σ. Ησ.

CHR. Ἡ πολλ' ἄελπτ' ἐστίν.] Ex Euripide omnino sumptum, qui multas hac sententia fabuC las clausit. Ω Φιλοῦργε.] Philurgus prodigus cùm esset, tamen deprehensus est in sacrilegio, & Gorgonem Palladis abstulit vt ait Isocrates. Huius etiam meminit Æschines.

Ὅπως ἂν αὐτὰς ἐν κύκλῳ θέντες τὰ πρέμνα ταυτί
Ὅσαι τὸ πρᾶγμα τοῦτ' ἐνεστήσαντο καὶ μετῆλθον
Μίαν πυρὰν νήσαντες ἐμπρήσωμεν αὐτόχειρες
Πάσας. ὑπὸ ψήφου μιᾶς. πρώτην δὲ τὴν Λύ- D
κωνος.
Οὐ γὰρ μὰ τὴν Δήμητρ' ἐμοῦ
Ζῶντος ἐγχανοῦνται.
Ἐπεὶ οὐδὲ Κλεομένης ὃς αὐ-
τὴν κατέσχε πρῶτος
Ἀπῆλθεν ἀψάλακτος· ἀλλ'
Ὅμως Λακωνικὸν πνέων
Ὤχετ' ὅπλα παραδοὺς ἐμοί
Σμικρὸν ἔχων πάνυ τριβώνιον.
Πινῶν. ῥυπῶν. ἀπαράτιλτος.

Vt trunca in orbem robora ista nostra collocantes
Pyram aggregemus fœminis quotquot negotium
illud
Nobis facessunt, propriáque nos manu crememus
Omnes & ordine vno, & imprimis Lyconis il-
lam.
Nam me, Ecere, ludibrio
Non videntem habebunt.
Nec enim ipse Cleomenes ea
Qui prius potitus
Inultum id abstulit: tamen
Laconicè superbiens
E *Cessit, armáque dedit mihi*
Palliolum tolerans scißile
Impexus, inluuie & squale

CH. Ὅπως τὸ πρᾶγμα] ὁ νοῦς. ἵνα τοῖς πρέμνοις, καὶ ξύλοις περιλαβόντες, καὶ πανταχόθεν κυκλώσαντες πάσας τὰς γυναῖκας, ὅσαι τοῦτο τὸ παράτομον, καὶ τολμηρὸν πρᾶγμα ἐπεχείρησαν, καὶ μετῆλθον, μίαν πυρὰν σωρεύσαντες τῶν ἡμετέρων χεροῖν ἐμπρήσωμεν ὑπὸ ψήφου μιᾶς δὲ, ἀντὶ τοῦ, ὡς μιᾷ ψήφῳ πάσας ὑφ' ἡμῶν καταδικασθείσας. ὁμοφρόνως, ἐξ ἡμῶν ἁπάντων ὁμοφρονούντων μιᾶς. καὶ συμφώνῳ γνώμης. Τὴν Λύκωνος] θυγατέρα δηλαδή, ἢ γυναῖκα. ἴσως δὲ ἐστὶν ὁ Λύκων ἣν πατὴρ τῆς Λυσιστράτης, ἢ ἀνήρ. αὕτη γὰρ καὶ κατὰ Κνάπτα πρᾶγμα τοῦδε, καὶ βουλεύματος καλεῖται. διὸ ὁ τῶν Γερόντων χορὸς, ἀναιρήσειν αὐτὴν ἀπειλεῖ. Ἀλλαχοῦ δὲ καὶ Λύκων Ἀθηναίων στρατηγὸς τις. ὃς αὐτοὺς προέδωκεν, ὡς μαρτυρεῖ Κλησίας ἐν τῇ τῶν Περσικῶν συλλογαῖς, ὅπου λέγει. λαμβάνουσι δὲ οἱ τοῦ βασιλέως στρατηγοὶ χρήμασι Λύκωνα, καὶ τοὺς Ἕλληνας, καὶ ἀφιστῶσι Πισσούθνου. καὶ μετ' ὀλίγον, ἔλαβε δὲ Λύκων καὶ πόλεις, καὶ χώρας ὑπὲρ τῆς προδοσίας. ὡς ἂν τύχοι, εἰκός ἐστι τοῦτον τὸν Λύκωνα, ὥστε καὶ τὴν θυγατέρα, ἢ γυναῖκα κατὰ τοὺς Λεισοφάτας χρόνους κατὰ τῆς ἀκροπόλεως, καὶ ἐνταῦθα κοινωνοῦσαν ἐγενοῦνται G δὲ, ἀντὶ τοῦ ἐγχαίνουσαι καταγελάσουσιν ἡμῶν ἢ ἐγγελάσουσιν ἡμῖν. Κλεομένης] τούτου καὶ Ἡρόδοτος ἐν Τερψιχόρῃ οὕτω μνημονεύει. Ἀντισταθείσης δὲ τῆς βουλῆς, καὶ οὐ βουλομένης πείθεσθαι, ὅ, τε Κλεομένης, καὶ ὁ Ἰσαγόρας, καὶ οἱ στασιῶται αὐτοῦ καταλαμβάνουσι τὴν ἀκρόπολιν. Ἀθηναίων δὲ οἱ λοιποὶ τὰ αὐτὰ φρονήσαντες ἐπολιόρκουν αὐτοὺς ἡμέρας δύο. τῇ δὲ τρίτῃ ὑπόσπονδοι ἐξέρχονται ἐκ τῆς χώρας, ὅσοι ἦσαν αὐτῶν Λακεδαιμόνιοι. Ἀψάλακτος] ἀπαθής, ἀτιF μώρητος. ἀψάλακτον γὰρ τὸ ἄθικτον. παρὰ τὸ α στερητικὸν καὶ τὸ ψαλάσσειν, τὸ ψηλαφᾶν καὶ ταῖς χεροῖν ἅπτεσθαι, θίγειν, ψαύειν. ἐν τοῖς ἄνω, ἅπερ ἱερεῖον ταῖς μὴ ὑπὸ ψαλάσσεται. Λακωνικὸν πνέων.] Λακωνικὸς, ὁ στερρὸς, ὁ ἀνδρεῖος. τοιοῦτοι γὰρ οἱ Λάκωνες. καὶ Λακωνικὸν πνέων, ἀντὶ τοῦ, ἰσχυρὸν, ἢ τὰ τῶν Λακώνων φρονῶν. Σ. ἄλλως, Λακωνικὸν πνέων, ἀντὶ τοῦ Λακωνικῶς μέγα φρονῶν. οἱ γὰρ Λάκωνες τὴν ἀνδρείαν μέγα ἐφρόνουν. καὶ Λακωνίζειν, τὸ μεγαλοφρονεῖν, καὶ ὑβρίζειν. Παραδοὺς ἐμοί] ὁ χορὸς ὡς τὴν βουλὴν τῶν Ἀθηναίων, καὶ τὴν ὕπατον ἀρχὴν ἀνέχων, καὶ παρέχων ταῦτα περὶ αὐτοῦ λέγει. ἡ γὰρ βουλὴ συνέκειτο ἐκ τῶν τελέους πρεσβυτέρων, καὶ τιμιωτάτων ἀνδρῶν. τριβώνιον δὲ, πάλλιον, περιβόλαιον. Ἡσύχ. καὶ τριβώνιον, φόρημα κοινόν, ἱμάτιον παλαιόν. Σ. ἀπαράτιλτος δὲ, δασὺς ἄκοσμος τὰς τρίχας. Σ. παρατίλλειν, τὰς τρίχας τίλλειν παρατιλμὸς, ὁ τῶν τριχῶν τιλμός. καὶ παράτιλτος, ὁ τὰς τρίχας παρατετιλμένας ἔχει. οὗ τοὐναντίον, ὁ ἀπαράτιλτος.

Ἐγχανοῦνται] id est, καταγελάσουσι, Quasi dicas inhiabunt quod in cachinno usu venit. Est autem ἀ- A ψάλακτος, idem quod [illegible] vel ἄδετος.

Ἓξ ἐτῶν ἄλυτος.
Οὔτοι δ' ἐπολιόρκησ' ἐγὼ τὸν ἄνδρ' ἐκεῖνον ὠμῶς
Ἐφ' ἑπτακαίδεκ' ἀσπίδων πρὸς ταῖς πύλαις καθεύδων.
Τασδὶ δὲ τὰς Εὐριπίδῃ, θεοῖς τε πᾶσιν ἐχθρὰς
Ἐγὼ οὐκ ἄρα σχήσω παρὼν τολμήματος τοσούτου.
Μή νυν ἔτ' ἐν Τετραπόλει τοὐμὸν τρόπαιον εἴη.
Ἀλλ' αὐτὸ γάρ μοι τῆς ὁδοῦ
Λοιπόν ἐστι χωρίον
Τὸ πρὸς πόλιν τὸ σιμὸν οἷ σπουδὴν ἔχω.
Χ' ὅπως ποτ' ἐξαμπρεύσομεν
Τοῦτ' ἄνευ κανθηλίου.
Ὡς ἐμοῦγε τὼ ξύλω τὸν ὦμον ἐξιπώκατον.
Ἀλλ' ὅμως βαδιστέον
Καὶ τὸ πῦρ φυσητέον
Μή μ' ἀποσβεσθὲν λάθῃ πρὸς τῇ τελευτῇ.
Φῦ. φῦ.
Ἰοὺ ἰοὺ τοῦ καπνοῦ
Ὡς δεινὸς ὦναξ Ἡράκλεις
Προσπεσόν μ' ἐκ τῆς χύτρας.
Ὥσπερ κύων λυττῶσα τὼ φθαλμὼ δάκνει.
Κἄστιν Λήμνιον τὸ πῦρ
Τοῦτο πάσῃ μηχανῇ.
Οὐδὲ γὰρ ποθ' ὧδ' ὀδὰξ ἔβρυκε τὰς λήμας ἐμοῦ.
Σπεῦδε πρόσθεν ἐς πόλιν
Καὶ βοήθει τῇ θεῷ
Εἴποτ' αὐτῇ μᾶλλον ἢ νῦν ὦ Λάχης ἀρήξομεν.
Φῦ. φῦ.
Ἰοὺ ἰοὺ τοῦ καπνοῦ.

Sex onustus annos.
Certè virum illum obsedi ego expugnans licet cubarem ad
Portas super septemdecim scutis sopore vinctus:
Hostes sed has Euripidaque & omnium deorum
B *Non ergo præsens reprimam ferociámque tantã,*
Ne rursus in Tetrapoli prostet meum trophæum?
Sed restat acclinis mihi
Tractus hic adhuc viæ
Vt urbs petatur ania quo mens advolat:
An hocce protelum pote ut
Absque iumento traham?
Tam mihi sunt pressa colla ligni iniquo põdere.
Metiendum iter tamen,
C *Atque flandus ignis est*
Ne mihi exstinguatur ille incogitanti.
Fu fu
Fafa fafa, vah fumus
Quàm sævus ô Rex Hercules.
Qui mihi ex olla accidens
Oculos momordit acta ut in rabiem canis:
At certè omnibus modis
Ignis iste est Lemnius
D *Non enim sic mordicus lemas meas invaderet.*
Occupa urbem concitus
Ocyus fer Divæ opem
Si quid in nobis opis sit, ô Laches nunc quum expetis.
Fu fu.
Fafa fafa acer fumus.

Bisetus. Ἓξ ἐτῶν ἄλυτος] τινὲς οἴονται ἓξ ἐτῶν ἄλυτος χαμαὶ, καὶ πολλῶν ὑπακουστέον· ἀλλὰ καὶ παρὰ τῷ Σουΐδᾳ ἓξ δασυνόμενον γράφεται. ἀντὶ τοῦ, ἓξ ἔτη ἄλουτος. ... τῇ δὲ τοῦ χρόνου ... οὐ μόνον αἰτιατικῇ, ἀλλὰ καὶ δοτικῇ, καὶ γενικῇ χαίρει ὡς ἐνταῦθα, καὶ ἐν Εἰρήνῃ ἐν τῷ „Μὴ γὰρ ἔτι μηδὲ χθὲς ἡμερῶν τριῶν. Τὰς Εὐριπίδῃ] Εὐριπίδῃ γυναῖκας ἐχθρὰς καλεῖ, ὅτι ὁ Εὐριπίδης αὐτὰς τραγῳδεῖ, καὶ κωμῳδεῖ. Σχήσω παρὼν] ἀντὶ τοῦ κατασχήσω, καθέξω, καὶ τοιαῦτα τολμώσας παύσω. τολμήματος δὲ τὸ πλῆρες ἕνεκα τοσούτου τολμήματος, ἤγουν τοιαύτης τόλμης καὶ ὀργῆς τοσούτου τολμηροῦ. τόλμημα γὰρ τὸ ἔργον τόλμης ἔμπλεον. ἢ καθάπερ λέγομεν κακόν τινα ἀρχῆς, καὶ τινὰς ἀρχὴν, οὕτω καὶ χρὴ, καὶ ... τολμήματος, καὶ τινὸς τόλμημα χρῆν. τὸ πιθανώτερον. Μή νυν] τὸ νῦν παρέλκει. καὶ γὰρ ... μόριον. Τετράπολιν δὲ καλεῖ τὴν τῆς Ἀττικῆς ... πόλεις τέτταρας. Οἰνόην, Προβάλινθον, Τρικόρυθον, καὶ Μαραθῶνα. Στέφ. Τὸ σιμόν.] νῦν τὸ σιμὸν καλεῖ τὸν προσάντη τόπον. ἐν Βαβυλωνίοις ὁ αὐτὸς Ἀριστοφάνης κατὰ Σουΐδαν λέγει. ... πρὸς τὸ σιμὸν, καὶ πλατύ. οἷ σπουδὴν ἔχω, εἰς ὃν τόπον σπεύδω. Ἐξαμπρεύσομεν] ἀντὶ τοῦ ἑλξόμεθα τὸ ξύλον ἄνευ ὄνου. ἄμπρον σχοινίον τι, μεθ' οὗ εἰώθασιν ἕλκειν, ὅσοι ... κομίζειν μεγάλα φορτία. ἀμπρεύειν δὲ ... ἰδίως τὸ μετὰ ἁμάξης φορεῖσθαι. κανθήλιος δὲ καὶ ... τῶν ξυλοφόρων ζώων λαμβάνεται. ἢ ἀμπρεύειν, τὸ τοῖς
E ἕλκοντι ζεύγει βοηθεῖν. καὶ ἄμπρον σχοινίον, ὅπερ διὰ τῶν ζευγῶν διατείνουσι, καὶ φορτία ἐφ' ἁμάξης κομίζουσιν, ὥστε ἀνόητως ἀπὸ τῶν ζυγῶν ἕλκειν. ἄμπρον γὰρ ἦν, τὸ διαπεραῖον τὸ ζυγὸν ἐνδεδεμένον. Σουΐδ. Ἐξιπώκατον] θλίβουσιν, ἢ ἐθλίψαν. Σ. τοῦτο δὲ σύγκειται ἐκ προθέσεων ἐξ, καὶ ἐπὶ, καὶ τοῦ ῥήματος ἰπόω, ὦ. ἰπώσω, καὶ ἴπωσα, ὁ παρακείμενος ἴπωκα, ας, ε. ἀχρηστότερον ἁπλῶς, ὡς καὶ τὸ ἰπῶ. τὸ δὲ δυϊκὸν, ἰπώκατον. ὡς τετύφατον. καὶ μετὰ τῶν ἄνω προθέσεων, ἐξιπώκατον, ἀντὶ τοῦ τεθλίφατον, νῦν δὲ ἀντὶ τοῦ ἐθλιψάτην, ἢ ἐθλιψαν λυπτῖον. αἱ δὲ προθέσεις αὗται ἐπιτάσεως δύναμιν ἐνταῦθα δηλοῦσιν, ἤγουν βαρέως πιέζουσιν, ἢ σφόδρα βαρύνουσι. F τῇ τελευτῇ δὲ, δηλονότι τῆς ὁδοῦ, τῆς πορείας. Φῦ, φῦ] φωνὴ πεπλασμένη πρὸς τὸ σαφέστερον δηλοῦν τὴν μίμησιν ἀνθρώπου πῦρ φυσῶντος, καὶ τῷ πνεύματι ἀνεγείροντος, καὶ ἀναζωπυροῦντος, ὃς ἐν τῷ φυσᾶν τοιοῦτον ἦχον ποιεῖ, φῦ, φῦ. καὶ Σουΐδας ἐν τῷ Ἐποποῖ τούτων μνημονεύει οὕτω λέγων· φῦ φῦ, ἐπὶ τοῦ φυσῶντος τὸ πῦρ. Ἐντεῦθεν δὲ ῥᾴδιόν ἐστι τεκμαίρεσθαι, ποία τις ἦν ἡ παλαιὰ, ἤτοι γνησία καὶ ἀληθινὴ προφορὰ τοῦ φωνήεντος υ, ὅπερ νῦν ὑπὸ πολλῶν καὶ τῶν ἐμπείρων, καὶ εὐπαιδεύτων G ἀνδρῶν, ὡς ι κακῶς, καὶ διεφθαρμένως ἐκφωνεῖται. Κἄστιν] καὶ ἐστιν. ἐν Λήμνῳ δὲ πυρὸς ἀναφορὰ χαλεπή τις ἦν. διὸ πῦρ Λήμνιον καλεῖ. Σ. Ἔβρυκε.] βρύκειν τὸ λάβρως ἐσθίειν. ἀπὸ τοῦ πρύζειν τοὺς ὀδόντας. οἱ δὲ μασᾶσθαι. λήμα. δὲ λευκὸν ὑγρὸν ἐν ὀφθαλμοῖς συνα-

σαρατγόμβμον, καὶ ἀμβλυώπειν παρασκευάζον. παρὰ τὸ λεύσω, τὸ βλέπω, καὶ τὸ μή. Σ. τοῦ καπνοῦ γένεται, ὡς καὶ ἐν ἄλλ. σοφιστικῶς λέγε). τὸ γὰρ ἐναντίον ὑπονοητέον.

CH. Τὴν ἄνδρ' ἐκεῖνον ὅμως] Transponere ἄνδρ' ὅμως ἐκεῖνον, vel in ὅμως prima producitur, quia liquida vt in μέλος. Τολμήματος τοσούτου] Puto hic notam interrogationis apponendam, vt sit à maiori ad minus. Si viros superaui, non compescerem audaciam scelestarum fœminarum, vel quia conscius est sibi suæ imbelliæ, ait Nolo ego ipse præsens, hoc facinus vlcisci, ne de me trophæum erigant. Μή νυν ἔτ' ἐν τετραπόλει] Ne inquit in Tetrapoli sit mihi trophæum, μή νυν pro μὴ δή, vel νὴ ἀμφω. Est autem Tetrapolis vrbs in Attica ex duodecim illis quas primus Cecrops condidit vt Cariam & Bœotiam disterminaret, vt ait Strabo lib. 9. Huic Stephanus tribuit quatuor populos vel δήμους siue πόλεις, nempe οἰνόην, προβάλινθον, τρικόρυθον, μαραθῶνα. Alia est Tetrapolis Seleucia

A puto. Τὸ σιμὸν οἷ πρὸς λόφον ἔχει.] Locus accliuis σιμὸς dicitur, etiam neutro genere τὸ σιμὸν vt hic noster Comicus in Babyloniis μέσην ἔρειδε πρὸς τὸ σιμὸν καὶ πλατύ, Et in alia fab. Victoriis, τουτὶ προσαναβῆναι τὸ σιμὸν αἰεί. Ἐξαμπρεύσωμεν.] Lege in futuro ἐξαμπρεύσομεν. i. ἕλξομεν ζυγὸν ἄνευ ὄνου, Protelo ducamus Latine dici potest vt hoc loquendi genus obseruauit Iosephus Scaligerorum Principum δαιμόνιον σκυλάκευμα, in catalectis Virgilianis. Τω ξύλω.] Lego τὼ ξύλω non τῶ in duali.

B At ἐξεπωλήσατον. est ἔθλιψατι vel θλίβουσι. Πρεσπεσών μ' ἐκ τῆς χύτρας.] Quia lacryma seniorum magnas lemas facit, In Nubibus dixit λημᾶν κολοκύνθαις, & Lucianus satis audacter χύτραις λημᾶν in opusculo πρὸς ἀπαίδευτον. Quod autem ait κύων λυττῶσα, notandum est λύτταν vermiculum esse in lingua canum vel Plinio teste. Κᾆτ' ἐὰν] lege κᾆτ' εἰ vt sit Trochæus. Mox ἐρήξαμεν non autem ἐρήξομεν.

Τουτὶ τὸ πῦρ ἐγρήγορεν ἔγκατι καὶ ζῇ.
Οὐκ οὖν ἂν οὖν τὼ μὲν ξύλω θοίμεσθα πρῶτον αὐτοῦ,
Τῆς ἀμπέλου δ' ἐς χύτραν τὸν φανὸν ἐγκαθέντες,
Ἅψαντες, εἶτ' ἐς τὴν θύραν κριηδὸν ἐμπέσοιμεν,
Κἂν μὴ καλούντων τοὺς μοχλοὺς χαλῶσιν αἱ γυναῖκες.
Ἐμπιπράναι χρὴ τὰς θύρας καὶ τῷ καπνῷ πιέζειν.
Θώμεσθα δὴ τὸ φορτίον. φεῦ τοῦ καπνοῦ βαβαιάξ.
Τίς ξυλλάβοιτ' ἂν τοῦ ξύλου τῶν ἐν Σάμῳ στρατηγῶν;
Ταυτὶ μὲν ἤδη τὴν ῥάχιν θλίβοντά μου πέπαυται.
Σὸν δ' ἐστὶν ἔργον ὦ χύτρα τὸν ἄνθρακ' ἐξεγείρειν
Τὴν λαμπάδ' ἡμμένην ὅπως πρώτιστ' ἐμοὶ προσοίσεις.
Δέσποινα Νίκη ξυγγενοῦ τῶν τ' ἐν πόλει γυναικῶν
Τοῦ νῦν παρεστῶτος θράσους θεῖναι τρόπαιον ἡμᾶς.

C *Hic viuit ignis, atque adhuc vigil videt.*
Nunc robora ergo nostra deponamus hic vterque,
Et lampada olla viteam immittamus excitantes,
Et ianuas more arietum pulsemus incidentes
Ni fœminæ laxauerint repagula atque funes,
Fumo opprimendæ sunt fores & funditus cremandæ
D *Collum leuemus fasce, væ fuligini Babaay.*
Quis ex Sami Prætoribus robur prehendet istud?
Tam pondus illud desiit dorsum quod hoc premebat.
Nunc, olla, partes sunt tuæ, fac carbo vt excitetur
Tedamq; succensam mihi fer primitùs propinquans,
E *Adsis hera ô Victoria adiuua & fauens, trophæū*
De fœminarum audacia per vrbē vt efferamus.

BIS. Ἔκατι] ἑκουσίως, αὐτομάτως, ἑκοντί. τινὲς δὲ χαριέντως νομίζουσιν, εἰσέτι, τουτέστιν ἔτι. Οὐκοῦν ἂν] βέλτιον καὶ τῆς ἐννοίας καὶ τῆς συντάξεως χάριν οὕτω γράφειν, Οὐκοῦν ἂν οὖν τὼ μὲν ξύλω θοίμεσθα πρῶτον αὐτοῦ. τουτέστιν ἐὰν οὖν πρῶτον μὲν ταῦτα τὰ ξύλα, ἃ φέρομεν, αὐτοῦ θώμεθα, ἐκεῖ, αὐτόθι τίθωμεν. ξύλα δὲ λέγειν δοκεῖ, ὥσπερ ὡς κριοῖς πρὸς τὴν τειχομαχίαν χρήσεσθαι ἔμελλον, τοῦτο δὲ δῆλον ἐκ τοῦ ἑξῆς ἐπιρρήματος κριηδόν. τούτων δ' ὁ νοῦς ἐστί. ἀνάψαντες τὸν ἀμπέλου τὸν φανὸν τὸν ἐν τῇ χύτρᾳ, ὥσπερ εἰς τὴν τῆς ἀκροπόλεως θύραν ἐμπέσοιμεν. ἐγκαθέντες δὲ. ἀντὶ τοῦ ἐγκαθιέντες. παρὰ τὸ ἐγκαθεῖναι. συγκείμενον ἐκ τῆς ἐν καὶ κατὰ προθέσεων, καὶ τοῦ ῥήματος ἱέναι, τὸ πέμπειν, καὶ τὸ βάλλειν, φανὸν δὲ, πᾶν τὸ φαῖνον ἐκάλουν. ἐκ δὲ τῶν ἀμπελίνων τὰς λαμπάδας κατεσκεύαζον. διὸ λέγεται φανὸς ἀμπέλου. Σουίδας. ἄλλως. Φανὸς, καὶ πανὸς διὰ τοῦ π ὁ πυρσός. καὶ φανὸς ἡ ἐκ κληματίδων λαμπάς, καὶ φανοὶ παρ' Ἀθηναίοις ἐλέγοντο δᾳδες. ἔλεγον αἱ λαμπάδες ἐκ δέσμης συγκειμένων ξύλων γινόμεναι Εὐσ. τὸ δὲ κριηδὸν, κριοῦ δίκην. τούτοις τοῖς ξύλοις ὡς κριοῖς χρώμενοι. κριὸς δὲ, καὶ τὸ ζῶον. καὶ τὸ μηχάνημα τὸ πολιορκητικόν. καλεῖται δὲ οὕτως ὅτι προσαράττει τὸ ῥύμα, καὶ πάλιν ἐπανέρχεται. καὶ τὸ σῶμα χρῶς ὥσπερ μαχόμενον ποιεῖ. ἔστι δὲ κεραία μεγάλη κελοεῖδης. καὶ αὐτὸ τὸ προέχον τῆς ἐμβολῆς σιδήρῳ ἥρμοσται ἐπὶ πολύ, προτομὴ λέγεται τὸ ἔμπροσθεν μέρος αὐτοῦ. ἔστι δὲ τῆς κριοῦ ἡ κατασκευὴ τοιάδε. Δοκὸς ὑπερμεγέθης ἱστοῦ νηὸς παραπλησία. ἐστόμωται δὲ σιδήρῳ παχεῖ κατ' ἄκρον ἐς κριοῦ προτομήν. ἀφ' οὗ καλεῖται τετυπωμένος καταιωρεῖται δὲ κάλοις μέσοις, ὥσπερ ἀπὸ πλάστιγγος ἑκατέρας δοκοῦ. σταυροῖς ἑκατέρωθεν ἑδραίοις ὑπερεστηριγμένος. ἀνωθούμενος ὑπὸ πλήθους ἀνδρῶν εἰς τὸ κατόπιν. τῶν αὐτῶν πάλιν ἀθρόως εἰς τοὔμπροσθεν ἀναιωρησάντων, τύ-
F πτει τὰ τείχη τῷ προανέχοντι σιδήρῳ. Σουίδ. Κᾆτ' ἐὰν μὴ] καὶ ἐὰν αἱ γυναῖκες ἡμῶν αὐτὰς καλούντων μὴ χαλῶσι τοὺς μοχλοὺς, καὶ τὰς θύρας ἡμῖν προσιοῦσιν ἀνοίξωσι, τὰς θύρας ἐμπιπράναι, καὶ πυρσοῦν, καὶ αὐτὰς τὰς ἡμῖν ἀντιμαχομένας τῷ καπνῷ πιέζειν δεῖ. θώμεσθα δὲ, ἀντὶ τοῦ, ἀποθώμεθα, καὶ καταθώμεθα. Τίς ξυλλάβοιτο] τίς τῶν ἐν Σάμῳ στρατηγῶν ξυλλάβοιτο τοῦ ξύλου, ὅπερ ἐγὼ κατὰ τῶν ὤμων φέρω; τίς τῶν πάλαι ἐν Σάμῳ στρατηγησάντων ἐμοὶ βοηθήσει ἐν τῇ ἀποθέσει τούτου τοῦ ξύλου, ὃ τοὺς ἐμοὺς ὤμους βαρέως πιέζει; Ταυτὶ μὲν] ὁ νοῦς. ταῦτα μὲν τὰ φορ-
G τία τοὺς ὤμους πρότερον θλίβοντα, νῦν ἀποτεθέντα οὐκ ἔτι θλίβει. ῥάχιν δὲ, κατὰ Σουίδαν. ὀσφύν. ἢ τὸ νωτιαῖον μέρος. ἡ εὐθεῖα ἡ ῥάχις, ῥάχεως. ῥάχει, ῥάχια, ἄχρηστον. ῥάχις δὲ, ἐν χρήσει. ὁ ξανθὸς τὸ νῶτα. καὶ ῥαχίζειν, τὸ διαιρεῖν τὰ νῶτα, καὶ μέρη τῆς ῥάχεως, ἤτοι διαιρεῖν. καὶ ῥαχίζειν, τὸ σφάζειν, καὶ τὸ ἀλαζονεύεσθαι. ὅθεν ῥάχος τις, ὁ ἀλαζών.

Ξύγγρου.] ξυνώλθε, ξυλλαβοῦ μοι. βιάζῃ δὲ, τὸ πλῆρες, A βιάζει δέ μοι. βιάζῃ, ἡ ἄνις ἀναι πρόπαιον τῶν γυναικῶν, τῶν ἐν τῇ πόλει, ἤγουν ἀκροπόλει οὐσῶν, ἕνεκα τῆς παριστῶτος, καὶ παρόντος θράσους.

CHR. Εκατι καὶ ζῆ.] In Veneta editione legitur ἔτι non ἕκατι. Sic autem dixit Plautus, Si viuit ignis, tu exstingue extempulò. Τῷ μὲν ξύλῳ] In eadem editione melius τὼ μὲν ξύλω θώμεθα πρῶτον αὐτοῦ. Sed vel cum stipite vult fumum compescere, vel vterque stipitem suum deponere, quod magis arridet quia postea habes θώμεσθα τὸ B φορτίον. Τῆς ἀμπέλου δ' ἐς χύτραν.] Lege ἐς τὴν χύτραν Carminis gratia, vt & habes in editione Veneta. Est autem φανὸς ἀμπέλου, fax & lampas ex palmitibus viteis, vt solebant olim faces componere. Sic Cicero dixit, Malleolos ad incendendam vrbem facésque comparare, sumpsitque ex Thucydide vt puto qui lib. 7. ait ἀλλὰ δὰ παλαιὰν κληματίδων καὶ δᾳδὸς γεμίσαντες. sunt enim κληματίδες malleoli & fasces ex palmite veteri. Est etiã ἄμπελος machina obsidionalis quæ etiam dicta vinea. Sed hic nihil ad rem. Κερδὸν ἐμπίπτομεν.] Legendum proculdubiò κεραδὸν, id est, arietis more quæ machina est etiam obsidionalis. Κἂν μὴ καλούντων.] Vel lege καλόντων vt funes intelligas, qui κάλως dicuntur, vel intellige vocantes senes. Mox vbi habes καὶ τὸ καπνίζειν, lege καὶ τὸ καπνοφανίζειν. Nam & sic sensus rectus & integer versus. Πρῶτον ἐμοὶ προσβάσεις] Vt constet versus lege ἐμοὶ πρῶτον vel πρώτην ἐμοί.

C

ΧΟΡΟΣ ΓΥΝΑΙΚΩΝ.

Ημίχορος Γυν.

Χο. Γυν. Ὡς πυρὸς καιομένου αὐδᾶ σοι δεῖ θᾶττον

Λιγνὺν δοκῶ μοι καθορᾶν καὶ καπνὸν ὦ γυναῖκες.

Ημ. Γυν. Πέτου πέτου Νικοδίκη.

Πρὶν ἐμπεπρῆσθαι Καλύκην

D Τε, καὶ Κριτύλλαν περιφυσήτω

Υπό τε νόμων ἀργαλέων,

Υπό τε γερόντων ὀλέθρων.

Ημ. Ἀλλὰ φοβοῦμαι τόδε. μῶν ὑστερόπους βοηθῶ;

Νῦν δὴ γὰρ ἐμπλησαμένη τὴν οἰκίαν κνεφαία

Μόγις ἀπὸ κρήνης ὑπ' ὄχλου καὶ θορύβου,

E Καὶ πατάγου χυτρείου,

Δούλαισιν ὠστιζομένη

Στιγματίαισθ' ἁρπαλέως

CHORVS MVLIERVM.

Semichorus mul.

CH. M. O Cyus nunc properandum, quit ignis ardens

O fœmina, fuliginem & fumum puto intueri.

SEM. Vola vola Nicodica

Prius quàm vratur Calyce.

Simul Critulla, atque eas absumant

Malitia legum aspera, tum

Misera senum pernicies.

SEM. Quàm metuo hoc! an venio huc serior adiuuatrix,

Nam vix aquale è fonte vas impleueram in tenebris

(Adeò erat ingens tumultus, turbáque, frictiásque sonus per ollas)

Quum pressam iniquis spacijs

Stigmatia me & famula

BISETVS. Ὡς πυρός] Ο τῶν Ἀθηναίων γυναικῶν χορὸς τὸν θόρυβον τῶν ἀνδρῶν τὴν ἀκρόπολιν πολιορκούντων αἰσθόμενος, καὶ τοῦ ἐμπρησμοῦ τὸν καπνὸν ἰδὼν, μετὰ πάσης προθυμίας ταῖς ἤδη πολιορκουμέναις καὶ κινδυνευούσαις κατὰ κράτος ἁλῶναι, βοηθεῖν παρασκευάζεται. ἐν ὑδρείαις δὲ φέρει ὕδωρ. ὅπως τὸ πῦρ καιόμενον ἀποσβέσῃ. Περιφυσήτω] ὀξυτόνως δεῖ τὸν περιφύσητος, ὅστις ἐστὶν ὁ πανταχόθεν φυσώμενος, καὶ πνεύμασι πιεζόμενος. ὁ νοῦς δέ. F πρὶν τὴν Καλύκην καὶ τὴν Κρίτυλλαν παντελῶς ἐμπρησθῆναι, ἃς ἤδη οἱ γέροντες περιεφύσησαν πανταχόθεν τῷ τοῦ πυρὸς καπνῷ, καὶ σχεδὸν ἀπέπνιξαν. νῦν δὲ τὸν καπνὸν νοεῖ, ὃν οἱ γέροντες τὸ πῦρ ἅπτοντες, καὶ φυσῶντες πρὸς τὰς γυναῖκας ἔπεμπον, ἵνα τῷ καπνῷ πιεσθείσας, τὴν ἀκρόπολιν καταλιπεῖν ἀναγκάζοιεν. νόμους δὲ ἀργαλέους λέγει τοὺς τῆς πόλεως νόμους, ὧν οἱ γέροντες, ὡς ἄρχοντες, ἦσαν φύλακες, καὶ ὑπηρέται. καὶ δι' οὓς τῇ πόλει βοηθεῖν, καὶ αὐτὴν σώζειν αὐτοὺς ἔδει. ἢ καὶ νόμους γυναικῶς καλεῖ τὸ G ἔθος, τὸν τρόπον ᾧ τότε κατὰ τῶν γυναικῶν ἐχρῶντο. ἀργαλέων δὲ, χαλεπῶν, δεινῶν, λυπηρῶν τῶν πολιορκουμέναις. ὀλέθρων δὲ, τῶν ὀλεθρίων, ἢ τῶν ὀλέθρου ἀξίων. Καλύκη, καὶ Κρίτυλλα κύρια ὀνόματα. Υστερόπους] οὕτως λέγεται ὁ ὑστέρῳ ποδὶ ἐρχόμενος, ἤγουν ὁ ὑστερῶν, καὶ ὀψιαίτερα βαδίζων. ὑδρίαν δὲ, τὸ ὑδροφόρον ἄγγος. Κνεφαία.] οὐ καλῶς γράφεται προπερισπωμένως, ἐπιρρηματικῶς λαπλέον ἀντὶ τοῦ κνεφαίως. ἀλλὰ βέλτιον ἴσως κνεφαία, ὡς δικαία, κεφαλαία, καὶ πολλὰ τοιουτότροπα κατὰ τοὺς τῶν γραμματικῶν κανόνας. κνεφαῖος δὲ σκοτεινὸς, ἀόρατος. νῦν δὲ ὄρθριος, ἑωθινὸς, παρὰ τὸ κνέφας, κνέφατος, ὃ δηλοῖ τὸ σκότος, ἢ τὴν νύκτα. λέγεται καὶ κνέφας τὸ καλούμενον λυκόφως. καὶ κνεφαῖος ἦλθεν, ἀντὶ τοῦ ὑπὸ σκότου, ἢ ὄρθριος, ἑωθινός. Σ. ἄλλως. κνέφας, ἡ βαθεῖα ἑσπέρα. ἢ γενικὴ κνέφους, ὡς ἀπὸ τοῦ κνέφος εὐθείας. λέγεται δὲ παρὰ τὸ κενὸν φάους εἶναι. Εὐσ. Δούλαισιν ὠστιζομένη.] ἀντὶ τοῦ ταῖς δούλαις, ἔστι σὺν ταῖς δούλαις στενοχωρουμένη. τί δὲ τὸ ὠστίζειν, καὶ ὠστίζεσθαι, παρὰ τὸ ὠθεῖν λεγόμενον, καὶ ἐν τοῖς ἄνω προσείρηται. στιγματίας δὲ καλεῖ τοὺς δούλους στιζομένους, οὓς καὶ στίγωνας καλοῦσιν, ὥσπερ τοὺς μαστιγουμένους, μαστιγίας. στίγματα δὲ, πληγαὶ, τραύματα, ἢ ποικίλματα. Σ. καὶ Πολυδεύκης.

CHR. Τὴν οἰκίαν κνεφαία.] Lege ὑδρίαν vt in Veneta editione, Mox ὠστιζομένη est στενοχωρουμένη.

Ακα-

A Δεισαμένη ταῖσιν ἐμαῖς
Δημότισιν καομέναις
Φέρουσ' ὕδωρ βοηθῶ.
Ἤκουσα γὰρ τυφογέροντας
Ἄνδρας ἔρρειν στελέχη
Φέροντας ὥσπερ βαλανεύσοντας
Ἐς πόλιν ὡς τριτάλαντον βάρος,
Δεινότατ' ἀπειλοῦντας ἐπῶν.
B Ὡς πυρὶ χρὴ τὰς μυσαρὰς γυναῖκας ἀνθρακεύειν.
Ἃς ὦ θεὰ μήποτ' ἐγὼ πιμπραμένας ἴδοιμι.
Ἀλλὰ πολέμου καὶ μανιῶν ῥυσαμένας
Ἑλλάδα καὶ πολίτας.
Ἐφ' οἷσπερ ὦ χρυσολόφα
Πολιοῦχε σὰς ἔσχον ἕδρας
Καί σε καλῶ σύμμαχον ὦ
Τριτογένει'. ἤν τις ἐκείνας
C Ὑποπίμπρησιν ἀνήρ,
Φέρειν ὕδωρ μεθ' ἡμῶν.

Eripiunt, vnde meis
Auxilians nunc fero aquam
Tribulibus propinquis.
Audiui enim non benè sanos
Hucce venisse senes
Sudésque in vrbem tetulisse ad ta-
Lenta velut tria pondo graues.
Verbáque minari grauia.
Fœminas esse igne malo scelestas vstulandas.
Ne siris, ô Diua, vt eas intuear crematas,
Sed subitò bellis furijsq́ eripiant
Helladáque incolásque:
Ob hæc tuas vrbicola ô
Galeata sedes teneo
Téque voce nunc sociam ô
Tritogeneia, vt si quis eas vir
Populare igne velis
Aquam feras vt & nos.

BIS. Ἀρασαμένη.] ἐπαρκέσα τὴν ὑδρείαν. οὕτω Σουΐδας. ὅθεν καὶ δῆλον ἄνω, ἀντὶ τῆς οἰκίας, ὥς τινες βίβλοι κακῶς ἔχουσι, ὑδρείαν γραπτέον. Τυφογέροντας.] οὕτω καλεῖν εἰώθασι τοὺς ἤδη παραληροῦντας, καὶ ὀξέως τετύφθαι. τὰ σχόλια τῶν Σφηκῶν ταύτην τὴν λέξιν οὕτως ἑρμηνεύει. Ἄλλως. Τυφογέρων, ὁ ἔσχατόγηρος, ἢ ὑπερήφανος, τετυφωμένος γέρων. τῦφος γὰρ ἡ ἀλαζονεία. Σ. Ἄλλως. τυφογέρων παρὰ τὸ τῦφον ἐκ τοῦ πολλὰ εἰδέναι λέγεται. ἢ παρὰ τὸ τύφειν, ὅ ἐστι καίειν, ὃ παρακολουθεῖ τοῖς νεκροῖς, οἷς οἱ γέροντες προσεγγίζουσιν. Εὐς. Βαλανεύσοντας.] βαλανεύειν κυρίως μὲν τὸ διακονεῖν ἐν τῷ βαλανείῳ, καὶ τὸ ὕδωρ παρέχειν τοῖς εἰς τὸ βαλανεῖον ἐλθοῦσι. νῦν δὲ τὸ θερμαίνειν, ἢ τὸ καίειν δηλοῖ, ὃ ποιεῖν εἰώθασιν οἱ τὸ τοῦ βαλανείου ὕδωρ τοῖς λουομένοις παρέχοντες. πόλιν δὲ τὴν ἀκρόπολιν. οὕτω γὰρ καὶ ὁ Θουκυδίδης ἐν τῷ δευτέρῳ τῆς ξυγγραφῆς δηλοῖ. τὸ δὲ πρὸ τούτου ἡ ἀκρόπολις ἡ νῦν οὖσα, πόλις ἦν. τριτάλαντον δὲ βάρος, τὸ τριῶν ταλάντων βάρος. τάλαντον δὲ, φωνὴ πολύσημος. καὶ γὰρ σημαίνει τὸ σταθμικὸν ὄργανον, καὶ τὸ σταθμώμενον πρᾶγμα. καὶ παρὰ τὸ τάλαν, καὶ καρτερικὸν τῆς ἐργασίας λέγεται. καὶ τάλαντον ὁ ζυγὸς, ὃν στατῆρα καλοῦμεν. καὶ σταθμός D τις χρυσίου σύμμετρος παρ' Ὁμήρῳ, οὐχ ὡς παρὰ τοῖς ὕστερον ἑξήκοντα μνῶν. Εὐς. Δεινότατα ἐπῶν, ἀντὶ τοῦ, ἐπῶν δεινότατα. Ῥυσαμένας.] ῥύσασαι, λυτρώσασαι. Σ. ῥύειν, καὶ ῥύεσθαι, τὸ ἕλκειν, καὶ τὸ φυλάττειν. ῥύεσθαι δὲ ἀπὸ τοῦ ἐρύεσθαι. ὁ νοῦς ἐκ τοῦ πολέμου καὶ τῆς μανίας τῆς πολεμικῆς, τὴν Ἑλλάδα, καὶ τοὺς πολίτας ῥυσαμένας, σώσασας. Χρυσολόφα δὲ, χρυσολόφη, χρυσοῦν λόφον ἐν τῇ αὐτῆς περικεφαλαίᾳ φέρουσα. Τριτογένεια δὲ, ἡ Ἀθηνᾶ, ἤτοι διὰ τὸ παρὰ τῷ Τρίτωνι Λιβύης ποταμῷ γεννηθῆναι, ἢ παρὰ τὸ τριτώ, ὃ παρὰ Κρησὶ τὴν κεφαλὴν σημαίνει. οἱ γὰρ ποιηταὶ τὴν Ἀθηνᾶν ἐκ τῆς κεφαλῆς τοῦ Διὸς γεννηθῆναι μυθεύουσιν. ἢ διὰ τὸ τρεῖν, ἤγουν τρόμον ἐγγεννᾷν τοῖς ἐναντίοις.

CH. Ὥσπερ βαλανεύσοντας.] Vsitatum est βαλανεύειν pro διακονεῖν vt in Irena, hic puto esse τὴν βάλανον, id est, μοχλὸν ἀνοῖξαι. Est quidem in Epi- E grammate βαλανίζειν glandem decutere, ἄλλην δρυὸς βαλάνιζε. Sed Hesychii interpretatio notanda est qui ait esse Clara voce vti τὸ βαλανεύειν, quia balnearij aquam ferentes, vocales sunt & clamosi.

ΣΤΡΑΤΥΛΛΙΣ, ΧΟΡΟΣ ΓΕΡΟΝτων. Χορὸς Γυναικῶν.

Στρ. Ἐάσατ' ὦ. τουτὶ τί ἦν. ὦ 'νδρες πονωπόνηροι.
Οὐ γάρ ποτ' ἂν χρηστοί γ' ἔδρων οὐδ' εὐσεβεῖς τάδ' ἄνδρες.

F STRATVLLIS, CHORVS SEnum virorum. Chorus mulierum.

ST. *Dimittite ô, quid istud? ô nequam viri malique,*
Nam nec bonorum hæc facta possunt esse nec piorum.

BIS. Ἐάσατ' ὦ.] Γυνή τις ἐκ τῶν ὕδωρ πρὸς τὴν τοῦ ἐμπρησμοῦ σβέσιν φερουσῶν, Στρατυλλὶς ὄνομα, τοὺς γέροντας τοὺς τὸ πῦρ τῆς ἑαυτῶν συστάσεως ἀναζωπυροῦντας ὁρῶσα, εἶτα πολλῶν λοιδοριῶν ἀμφοτέρωθεν εἰρημένων, τὸ πρᾶγμα ἀπὸ τῶν λόγων, πρὸς τὰς πληγὰς μόνον οὐ προάγεται. εἰσὶ δὲ στίχοι ἰαμβικοὶ τετράμετροι καταληκτικοί. Πονωπόνηροι.] πόνηρος προπαροξυτόνως ὡς φησιν Εὐς. ὁ ἐπίπονος. πονηρὸς δὲ ὀξυτόνως, καὶ κατά τινας πονῆρος προ- G περισπωμένως, ὁ φαῦλος, κακὸς, μοχθηρός. πονωπόνηρος, ἀντὶ τοῦ πονηρότατος. τινὲς δὲ διῃρημένως γράφουσι, πόνῳ πονηρὸς, καὶ ἑρμηνεύουσι σφόδρα πονηρός.

CHR. Ὦ 'νδρες πονωπόνηροι.] Vsus est hac voce in Vesparum fab. ὦ πονωπόνηρε καὶ μελαμμυνία, vbi Scholiastes monet esse ἀσκήσει, & μελέτῃ πεπονημένοι, id est, vsu & meditatione facte ad nequitiã & tyrannidis affectationem.

Χο.αν. Τουτὶ τί τὸ πρᾶγμα ἡμῖν ἀπροσδόκητον ἥκει.
Εσμὸς γυναικῶν οὑτοσὶ θύρασιν αὖ βοηθεῖ.
Χο.Γυν. Τί βδύλλεθ' ὑμᾶς; οὔ τί που πολλαὶ δοκοῦμεν εἶναι.
Καὶ μὴν μέρος γ' ἡμῶν ὁρᾶτ' οὔπω τὸ μυριοστόν.
Χο.αν. Ω Φαιδρία, ταύτας λαλεῖν ἐάσομεν τοσαυτί;
Οὐ περικατᾶξαι τὸ ξύλον τύπτοντ' ἐχρῆν τιν' αὐταῖς;
Χο.Γυν. Θώμεσθα δὴ τὰς κάλπιδας χ' ἡμεῖς. ὅπως ἂν
Ην προσφέρῃ τὴν χεῖρά τις, μὴ τοῦτό μ' ἐμποδίζῃ.
Χο.αν. Εἰ νὴ Δία τὰς γνάθους τούτων τις ἢ δὶς ἢ τρίς
Εκοψεν ὥσπερ Βουπάλου, φωνὴν ἂν οὐκ ἂν εἶχον.
Στρ. Καὶ μὴν ἰδοὺ παταξάτω τις· καὶ στᾶσ' ἐγὼ παρέξω.
Κοὐ μήποτ' ἄλλη σου κύων τῶν ὄρχεων λάβηται.
Χο.αν. Εἰ μὴ σιωπήσει, θενὼν ἐκκοκκιῶ τὸ γῆρας σου.
Στρ. Απτου μόνον Στρατυλλίδος τῷ δακτύλῳ προσελθών.
Χο.αν. Τί δ' ἢν σποδῶ τοῖς δακτύλοις, τί μ' ἐργάσῃ τὸ δεινόν;
Στρ. Βρύκουσά σου τοὺς πνεύμονας καὶ τ' ἄντερ' ἐξαμήσω.
Χο.αν. Οὐκ ἔστ' ἀνὴρ Εὐριπίδου σοφώτερος ποιητής.
Οὐδὲν γὰρ ὧδε θρέμμ' ἀναιδές ἐστιν, ὡς γυναῖκες.

A CH.S.V. *Quid hoc negotij ingruit repente nobis*
En fœminarum examina adiutantia propinquant.
CH.M. *Quid temnitis nos? forsitan videmur esse pauca.*
At non decem-millesimam cohortiam videtis.
B CH.S.V. *O Phædria, an sinemus has garrire tam superbè?*
Non frangere his oportuit fustem reverberandis?
CH.M. *Ponamus & nos hydrias, ut si manus quis*
Nobis nocentes inferat, nil impedire possit.
CH.S.V. *At per Iovem si bisve terve verberentur*
C *Istis genæ (ut mulis solet) vox clara desit ipsis.*
STR. *Accedat ergo verberator, præbeo os & adsto,*
Faxo ut canis te nulla porrò testibus prehendat.
CH.S.V. *At, ni taces, dispulverabo iam tuam senectam.*
STR. *Tantùm Stratyllida attigas, & indicem propinques.*
D CH.S.V. *Quid si manu te comprimam? quod mi malum parabis?*
STR. *Eviscerem te protinam pulmonibus voratis.*
CH.S.V. *Iam nullus est Euripide præstantior poeta*
Qui fœminis nil censet impudentius per orbem.
E

BISETVS. Τουτὶ τί τὸ πρᾶγμα.] οὗτος ὁ στίχος πεπήρωται. ὁλόκληρος δ' ἂν καλῶς εἴη, εἰ οὕτω γράφοιτο, μετ' ἐπιφωνήσεως.

Τουτὶ τί τὸ πρᾶγμ' ἡμῖν τὸ πᾶν ἀπροσδόκητον ἥκει;

ὁ δὲ χορὸς γερόντων ἀπορούντως ὁρᾷ τὸ τῶν γυναικῶν πλῆθος, αἳ εἰς βοήθειαν τῶν πολιορκουμένων παρεσκευάζοντο. ταῦτα λέγει. Εσμὸς γυναικῶν.] μεταφορικῶς νῦν, ἀντὶ τοῦ πλῆθος, ὄχλος. κυρίως δὲ ἑσμὸς δασυτόνως, τὸ σμῆνος τῶν μελισσῶν. παρὰ τὸ ἅμα ἐφιεμένας ἵεσθαι. Σ. Εὐσ. Θυρᾶσιν.] γράπτέον θύρασιν, ὡς ἐν Εἰρήνῃ. θύρασι δὲ, πρὸ τῶν θυρῶν. ἢ παρὰ τὰς θύρας. ἢ ἐξ ἑτοίμου, ὡς ὁ Σουΐδας ἑρμηνεύει. βέλτιον δ' ἴσως θύρασιν γράφειν. Τί βδύλλεθ' ἡμᾶς;] εὐτελίζετε. φοβεῖσθε. τρέμετε. Σ. καὶ βδύλλειν, δεδιέναι, τρέμειν, ἢ βδεῖν. Ησυχ. ἄλλως. βδύλλεσθαι τὸ ὑπὸ τοῦ φόβου βδεῖν, καὶ πέρδειν. Οὐ περικατᾶξαι.] ταῦτα οὕτω σύνταξον. οὐκ ἐχρῆν τινα περικατᾶξαι τὸ ξύλον; πῶς; τύπτοντ' αὐτάς. ἵνα τὸ τύπτοντα πρὸς τὸ τινὰ συνάπτῃς. ἀντὶ τοῦ οὐκ ἔδει πάλαι τινὰ ἡμῶν τῷ ξύλῳ τύπτοντα αὐτὰς, τὸ ξύλον ταῖς πληγαῖς περικαταρρῆξαι; περικατάγνυμι, περικατάγνυμι, περικατάξω. παρὰ τὸ περικατάγω, τὸ περικαταρρήγνυμι. ἡ περὶ, νῦν τὸ πανταχόθεν δηλοῖ. Θώμεσθα δή.] καὶ οὗτος ὁ στίχος ἐλλιπής ἐστι. καλῶς δ' ἀναπληρωθήσεται, εἰ τὸ ἡμῖν προστιθῇς γράφων οὕτω.

Θώμεσθα δὴ τὰς κάλπιδας χ' ἡμεῖς, ὅπως ἂν ἡμῖν
Ην προσφέρῃ τὴν χεῖρά τις. καὶ τὰ ἑξῆς.

Εἰ νὴ Δία.] καὶ τούτου τοῦ στίχου ἐκλελειμμένου, καὶ διεφθαρμένη ἡ γραφὴ δῆλός ἐστιν. ἀλλὰ μεταθέσει τινῶν λέξεων καὶ μιᾶς προσθήκῃ, καλῶς ἀναπληρωθήσεται οὕτως,

Εἰ νὴ Δία τὰς τούτων γνάθους, τις ἡμῶν ἢ δὶς ἢ τρίς
Εκοψεν. καὶ τὰ ἑξῆς.

βούπαλος ἦν ὁ ὄνος. Σ. τινὲς δὲ, βουβάλου γραπτέον οἴονται. βούβαλος δὲ καὶ βούβαλις, ὡς δάμαλις, εἶδός ζώου. Θενὼν ἐκκοκκιῶ.] θενών, κόπτων, τύπτων. ἐκκοκκιῶ δὲ, ἐκκοκκίσω, ἐξεντερίσω. ἀπὸ μεταφορᾶς ῥοιῶν τῶν τοὺς κόκκους καθαιρουμένων. ἄλλως. τὸ σοῦ γῆρας, ὡς τῶν ῥοιῶν κόκκους τρίψας πληγαῖς ἐκβαλῶ. τουτέστιν ὀλέσω. Τί δ' ἢν σποδῶ.] σποδεῖν, τύπτειν, κόπτειν. Τ' ἄντερα.] γράφεται καὶ τὰ ἔντερα. ἀντὶ τοῦ, τὰ ἔντερα. ἐξαμήσω δὲ, ἀποκόψω, ἀποτεμῶ. ἀπὸ μεταφορᾶς τῶν ἀμώντων, καὶ θεριζόντων, καὶ τῶν θεριστικῶν ἐξαμώντων. ἤγουν ἐκτεμνόντων, καὶ χαμαὶ τμηθέντα βαλλόντων. Εὐριπίδου σοφώτερος] κατὰ τὸ θρυλλούμενον,

Σοφὸς Σοφοκλῆς, σοφώτερος δ' Εὐριπίδης.
Ανδρῶν δὲ πάντων Σωκράτης σοφώτατος.

CHR.

CHR. Τουτὶ τί τὸ πρᾶγμα.] In Veneta editione habes τουτί σε, putem legendum τουτὶ τί πρᾶγμ' ἡμῖν. Sed erit versus Trimeter & Hypercatalecticus, nec similis ceteris: similem habes paulo post θεώμεθα δή, nisi & hic & illic aliquid desit ad supplendum Tetrametrum Catalecticum. Est autem hic θυρᾶσιν vel ad portas vel ἐξ ἑτοίμου. Et βοηθεῖν quod primigenia notione fuit currere ad clamorem & tumultum, hic etiam videtur idem notare, Postea dixerunt succurrere. Τί βδύλλεσθ' ἡμᾶς.] Hoc verbi accipiunt pro ὑπεραλίζειν & καταιχύνειν tum B pro terrefacere. Sed video etiam cum terminatione deponentis (vt aiunt minutuli Grammatistæ) passiuam sumere significationem. Hoc si esset, legendum esset ἡμεῖς non ἡμᾶς. Sed nulla opus est mutatione, tantum legendum βδύλλετ' ἡμᾶς non βδύλλεσθε, & rectus est sensus, Quid nos spernitis, & terrefacere putatis nostram paucitatem. Τύπτοντ' ἐχρῆν.] Legendum τύπτοντ' ἐχρῆν pro τύπτοντα vt referat ad Phædriam. sic etiam rectum esse postea probaui ex exemplari Venetæ editionis. C Εἰ νὴ Δία τὰς γνάθους.] Hic etiam versus laborat à defectu pedis vt sit Tetrameter Catalecticus, Itaque Trimetrum vt alios duos supra, puto esse Hypercatalecticum, si tantùm legas εἰ νὴ Δία γνάθους delendo τὰς, vel εἰ νὴ Δία τὰς γνάθους, vt vnica sit syllaba τοῦ Δία quod tamen & durum & insolens mihi semper videbitur. Ὥσπερ βουπάλου.] Bupalum pro asino vel mulo dixerunt antiqui vt Hipponax λάβετέ μου θοιμάτιον, κόψω βουπάλου τὸν ὀφθαλμόν. Eupolis ὄνου γνάθον dixit de edacitate & D πολυφαγίᾳ. Nam particula βου Græcis semper signi-

A ficauit τὸ πολύ, vt Hercules βουθοίνας & βουπείνας non quia boues, sed quia multum aut esuriret aut ederet. Apud Glossographum Hesychium habes, βούπαλος μέγα καὶ ὄνομα, Putem corrigendum μέγας ὄνος, ἢ ὄνομα, vt & grandem asinum notet, & Bupali nomen qui hostis dicitur Hipponactis, sed hosti illi existimo Hipponacta, Bupali nomē indidisse vt asinum & ἀπαίδευτον argueret, Paulo post vbi habes πατάξάτω τις deleo τὸ τὶς vt noxium mensuræ versus, præsertim cùm modò dixerit τούτων τις ἢ δὶς ἢ τρεῖς. Quod autem ait παρέξω in eodem versu, puto sanè valere idem atque os præbere (vt ait Martialis) & morigerum esse. Gallico Idiotismo *En fler*. Herodotus de hac pusilli animi nota dixit, κρέσσον γὰρ ποιεῦντας, καὶ ἀμυνομένους τελευτᾶν, ἤπερ παρέχοντας διαφθαρῆναι αἴσχιστῳ μόρῳ. Κύων τῆς ὄρχεως λάβηται.] Puto adludi ad Prouerbium Canis corio gustato metuendus, Atque haud scio an huc respexerit Horatius Satyra quinta lib. 2. Quæ si semel vno de sene gustarit, deinde, Vt canis à corio nunquam absterrebitur vncto. Τὸ γῆρας σου.] Delendum puto τὸ σοῦ, vel hic loqui chorum mulierum, vel, si virorum, hunc esse sensum: Ego meum senium consumam potius quàm te patiar sic loquentem. Τί δ' ἢ σποδῶ τοῖς δακτύλοις.] Non est quin adludat ad libidinem spurcæ contrectationis. Nam σποδεῖσθαι est βινεῖσθαι, & senes quibus Venus est quieta digitis potius rem peragunt. Hesychius leuiter videtur emendandus, σποδεῖν, σπαίειν, συγγίνεσθαι, lege σαίειν. Nam id est pauire & concutere.

Στ. Αἰρώμεθ' ἡμεῖς ὕδατος τὴν κάλπιν ὦ Ροδίππη.	STR. *At nos æqualem hunc vrceum tollamus ô Rhodippa.*
Χο. αν. Τί δ' ὦ θεοῖσιν ἐχθρὰ σὺ δεῦρ' ὕδωρ ἔχουσ' ἀφίκου.	CH. S. V. *O dira dijsq́; inuisa fœmina, ad quid huc aquam fers?*
Στ. Τί δὲ σὺ πῦρ ὦ τύμβ' ἔχων ὡς σαυτὸν ἐμπυρεύσων.	STR. *At tu quid ignem ô bustuarie, vt paratus vri?*
Χο. αν. Ἐγὼ μὲν ἵνα νήσας πυρὰν τὰς σὰς φίλας ὑφάψω.	CH. S. V. *Vnam pyram nunc instruens, vram tuas amicas?*
Στ. Ἐγὼ δέ γ' ἵνα τὴν σὴν πυρὰν τούτῳ κατασβέσαιμι.	STR. *Pyram tuam illam exstinxerim facul fluente vino.*
Χο. αν. Τοὐμὸν σὺ πῦρ κατασβέσεις. Στ. τοὔργον τάχ' αὐτὸ δείξει.	CH. S. V. *Ignem meum tu exstinxeris?* STR. *hoc res statim docebit.*
Χο. αν. Οὐκ οἶδά σ' εἰ τῇδ' ὡς ἔχω τῇ λαμπάδι σταθεύσω.	CH. S. V. *At stulta nescis quo modo fax quam gero ista torret.*
Στ. Εἰ ῥύμματα τυγχάνεις ἔχων, λουτρὸν ἐγὼ παρέξω.	STR. *Si squallidas sordes habes, en balneum parabo.*
Χο. αν. Ἐμοὶ σὺ λουτρὸν ὦ σαπρά; Στ. καὶ ταῦτα νυμφικόν γε.	CH. S. V. *Tu spurca balneum mihi?* STR. *Quin-imò nuptiale.*
Χο. αν. Ἤκουσας αὐτῆς τοῦ θράσους. Στ. ἐλευθέρα γάρ εἰμι.	CH. S. V. *Audin' ferocem audaciam.* STR. *sum nempe libera, inquam.*
Χο. αν. Σχήσω σ' ἐγὼ τῆς νῦν βοῆς. Στ. ἀλλ' οὐκ ἔθ' ἡλιάξεις.	CH. S. V. *Has comprimam voces tibi.* STR. *At iam desines foro vti.*
Χο. αν. Ἐμπρησον αὐτῆς τὰς κόμας. Στ. σὸν ἔργον ὦ Ἀχελῷε.	CH. S. V. *Huius comam vre teda.* STR. *Accingere, vnda, iam labori.*
Χο. αν. Οἴμοι τάλας.	CH. S. V. *Hei hei mihi.*
Στ. Μῶν θερμὸν ἦν;	STR. *Num feruet hoc?*
Χο. αν. Ποῖ θερμόν. οὐ παύσει; τί δρᾷς;	CH. S. V. *Quò feruor? auffer, quid facis?*

Στρ. Ἄρδω σ᾽ ὅπως ἀναβλαστάνῃς.
Χο. ἀν. Ἀλλ᾽ αὖος εἰμ᾽ ἤδη τρέμων.
Στρ. Οὔκουν ἐπειδὴ πῦρ ἔχεις σὺ χλιανεῖς σεαυτόν.

A *STR. Nam te irrigo vt regermines.*
CH. S. V. Quin aridus sum & iam tremens.
STR. Ignem ergo qui geras, habebis vnde mox tepescas.

BISETUS. Ὦ τύμβε.] τύμβον καλεῖ τὸν γέροντα, διὰ τὸ γῆρας ἔσχατον, καὶ τύμβου ἄξιον. ὡς τυφογέροντα οὖν αὐτὸν λοιδορεῖ. ταῦτα δὲ συντάξον οὕτω, Τί δὴ ὦ τύμβε πῦρ ἔχων ὡς σαυτὸν ἐμπυρεύσων, καὶ σὺ δεῦρο ἀφίκου δηλαδή. ἐμπυρεύσων δὲ, σαυτὸν πυρώσων, καύσων τῷ πυρὶ φερομένῳ. Ἵνα νήσας.] τουτέστι σωρεύσας. Τούτῳ κατασβέσαιμι.] τούτῳ τῷ ὕδατι. Σταθεύσω.] σταθεύειν, πυροῦν. καὶ πυρὶ ἡσύχως χλιᾶναι κρέας, καὶ ὀπτῆσαι. Ἡσύχιος, περὶ τούτου καὶ ἐν Ἀχαρνεῦσι, σηπίας στάθευε, τουτέστιν ὄπτα. καὶ ἐν Ἐκκλησιαζούσαις, σηπίας ἐσταθευμένας, ἤγουν ὀπτηθείσας, ἢ πυρὶ χλιανθείσας. ἄλλως. σταθεύσω, τὸ ἡσύχως, καὶ βραδέως ὀπτῆν πυρὶ ὀπτᾶν. Εἰ ῥύμμα.] ῥύμματα, τρίμματα, σμήγματα, καθάρματα. Σ. ἄλλως. ῥύμμα, ῥύπον, σπίλον, ἀκαθαρσίαν. ἢ λουτρὸν, δηλονότι παρέξεις; δώσεις; νυμφικὸν δὲ λουτρὸν λέγει, ὅτι αἱ νύμφαι νεωστὶ γημάμεναι πρὶν ἢ μετὰ τῶν νυμφίων κοιμᾶσθαι καθαρότητος μείζονος ἕνεκα λουτροῖς ἐχρῶντο. Ἡλιάξεις.] ἡλιάζεσθαι κυρίως ἐν τῷ ἡλίῳ ἁπλοῦσθαι. ἢ θερμαίνεσθαι ἐν ἡλίῳ. Ἡσύχιος. ὅθεν Ἡλιαία τὸ μέγιστον δικαστήριον Ἀθήνησιν. οὕτω καλούμενον, διὰ τὸ ἐν ὑπαίθρῳ εἶναι τόπῳ, καὶ ὑπὸ τοῦ ἡλίου βάλλεσθαι. ἡλιάζεσθαι δὲ, ὅθεν καὶ ἡλίασις, ἔστι τὸ ἐν Ἡλιαίᾳ δικάζεσθαι. καὶ ἡλιασταὶ, οἱ ἐν Ἡλιαίᾳ δικασταί. καὶ τὸ ἡλιάξεις ἐνταῦθα ληπτέον ἀντὶ τοῦ ἐν Ἡλιαίᾳ δικάσεις. ἤγουν ἵνα ἔτι δικαστὴς ἔσῃ, οὐδὲ τῆς Ἡλιαίας δικαστής. ἢ καὶ ἁπλῶς, ἵνα ἔτι δικαστὴς ἔσῃ. ἡλιάζειν δὲ ἐν τῷ μέλλοντι ἡλιάσω, καὶ ἡλιάξω. ὡς παίζω, παίσω, καὶ παίξω. Σὸν ἔργον ὦ Ἀχελῷε.] ὦ Ἀχελῷε σὸν ἔργον ἐστί. νῦν ὦ Ἀχελῷε δεῖ σε κατὰ τούτων ποιεῖσθαι τὸ σὸν ἔργον, ἤγουν τούτους τοῖς σοῖς ὕδασι βρέχειν. ἡ δὲ Στρατυλλὶς ὕδωρ εἰς τὴν τοῦ γέροντος κεφαλὴν B ἐκχέουσα τοῦτο λέγει. τὸν δὲ Ἀχελῷον ὡς θεὸν προσφωνεῖ. Ἀχελῷος δὲ ποταμὸς Ἀρκαδίας. καὶ πᾶν ὕδωρ οὕτω λέγεται. Ἄρδω σ᾽ ὅπως.] ἄρδω, βρέχω. ἄρδειν ἀλλαχοῦ τὸ ποτίζειν. οὗ ἵππον ἄρδειν. Αὗος δὲ, ὅθεν τὸ αὐαλέος, αὐανθεὶς, ξηρανθεὶς, ξηρός. χλιανεῖς δὲ, θερμανεῖς. ὅτι δὲ ὁ χορὸς γερόντων εἶπε, τρέμων, πρὸς τοῦτο ἡ Στρατυλλὶς ἐπιφέρει, σὺ τοίνυν πῦρ ἔχων, σὲ χλιανεῖς. οὕτως αὐτὸν σκώπτει.

CHRIST. Τί δὲ σὺ πῦρ.] Legerem τί δαὶ σὺ πῦρ ὦ τύμβ᾽ ἔχων, ὡς σαυτὸν, &c. Est autem ὦ τύμβε C quasi ô silicernium. Sed & versu proximè præcedenti, si constare vis suis numeris qui Tetrametrum efficiant catalecticum, deleam σὺ & legam ὦ θεοῖσιν ἐχθρὰ δεῦρ᾽. Ἐγὼ μὲν ἵνα νήσας.] Lego ἐγὼ μίαν νήσας πυρὰν, & versu proximè sequenti ὑμεῖς δὲ μίαν τὴν σὴν, &c. Quia antea sic locutus est, μίαν πυρὰν νήσαντες. Εἰ ῥύμμα.] Sordes per hanc vocem intelligit, quæ etiam σμήγματα, τρίμματα & καθάρματα, sed in hoc versu transponerem verba D vltima & legerem ἐγὼ λουτρὸν παρέξω. Neq; mihi dubium est quin λουτρὸν hic sit lotium, seu puellare seu virgineum, quod vocat νυμφικόν. Ἄρδω σ᾽ ὅπως] Lego ἄρδω σ᾽ vt & legitur in Veneta edit.

ΠΡΟΒΟΥΛΟΣ, ΑΓΓΕΛΟΣ Γερόντων.

PROBVLVS vel PROVISOR, Nuntius à senibus.

Πρ. Ἆρ᾽ ἐξέλαμψε τῶν γυναικῶν ἡ τρυφὴ,
Χ᾽ ὡ τυμπανισμὸς χ᾽ οἱ πυκνοὶ Σαβάζιοι,
Ὅ τ᾽ Ἀδωνιασμὸς οὗτος ὑπὶ τῶν τεγῶν.
Οὗ᾽γώ ποτ᾽ ὢν ἤκουον ἐν τῇ ἐκκλησίᾳ.
Ἔλεγεν δ᾽ ὁ μὴ ὥρασι μὲν Δημόστρατος
Πλεῖν εἰς Σικελίαν. ἡ γυνὴ δ᾽ ὀρχουμένη
Αἰαῖ Ἄδωνιν φησίν. ὁ δὲ Δημόστρατος
Ἔλεγεν ὁπλίτας καταλέγειν Ζακυνθίων.
Ἡ δ᾽ ὑποπεπωκυῖ᾽ ἡ γυνὴ ᾽πὶ τοῦ τέγους
Κόπτεσθ᾽ Ἄδωνιν φησίν. ὁ δ᾽ ἐβιάζετο
Ὁ θεοῖσιν ἐχθρὸς καὶ μιαρὸς Χολοζύγης.
Τοιαῦτ᾽ ἀπ᾽ αὐτῶν ἐστιν ἀκόλαστ᾽ ᾄσματα.
Αγ. Τί δῆτ᾽ ἂν εἰ πύθοιο καὶ τὴν τῶνδ᾽ ὕβριν;
Αἳ τἆλλα θ᾽ ὑβρίκασι κἀκ τῶν καλπίδων
Ἔλουσαν ἡμᾶς, ὥστε θ᾽ αἱματίδια
Σείειν πάρεστιν, ὥσπερ ἐνεουρηκότας.
Πρ. Νὴ τὸν Ποσειδῶ τὸν ἁλυκὸν δίκαιά γε.
Ὅταν γὰρ αὐτοὶ ξυμπονηρευώμεθα

E PROB. *Ergo ille luxus fœminarum promicat*
Sonusq; tympani & frequens bacchatio
Adonidisq; lessus in tectis strepens
In concione nuper auditus mihi,
Dum se in Sicanos autumat Demostratus
Haud tempori ire, saltat vxor interim
Eheuq; Adoni dicis, armites viros
F *Zacynthiorum idem inquit Demostratus*
Legisse, vt vxor temulenta per domum
Lugeri Adonin inquit: at vi ducitur
Odium deorum ille improbus Cholozuges:
Has cantiones impudicas efferunt.
NVN. *Quid si ô Probule cæteras iniurias*
Quas hæ patrarunt rescias? lauere nos
Suis matellis, suntq; nostra pallia
G *Quassanda tersim, vt illa quum perminximus.*
PR. *Testor marinum Trossuli numen dei,*
Iure ista patrant, namq; nos cùm nequiter

BISETUS. Ἆρ᾽ ἐξέλαμψε.] στίχος ἰαμβικὸς τρίμετρος ἀκατάληκτος. Πρόβουλος εἰς τὴν συμβουλὴν προεκλεχθεὶς

θεῖν, τῶν τότε γυναικῶν καθαπτέχεται, καὶ τὰς τούτων τρυ-
φὰς, καὶ τὴν ἀκολασίαν ψέγει. καὶ δὴ καὶ τούτων τινὰς
ὀνομαστὶ χαρακτηρίζει. Πρόβουλος δὲ νῦν, ὁ ἔξαρχος τοῦ
βουλευτηρίου, ἢ ὁ προσηκεντόμενος. Ἡσύχιος. ἀλλαχοῦ δὲ
Πρόβουλος ἀρχή τις παρὰ τοῖς Ἀθηναίοις μετὰ τὴν ἐν Σι-
κελίᾳ συμφορὰν καταστᾶσα. ὡς δῆλον ἐκ τῆς ὀγδόης τῆς
Θουκυδίδου ξυγγραφῆς. Ὅμως δὲ, φησὶν, ὡς ἐκ τῶν ὑπαρ-
χόντων ἐδόκει χρῆναι μὴ ἐνδιδόναι, ἀλλὰ παρασκευά-
ζεσθαι καὶ ναυτικὸν, ὅθεν ἂν δύναιντο ξύλα ξυμποριζο-
μένους, καὶ χρήματα, καὶ τὰ τῶν ξυμμάχων ἐς ἀσφάλειαν
ποιήσασθαι, καὶ μάλιστα τὴν Εὔβοιαν, τῶν τε κατὰ τὴν πό-
λιν τι ἐς εὐτέλειαν σωφρονίσαι. καὶ ἀρχήν τινα πρεσβυ-
τέρων ἀνδρῶν ἑλέσθαι, οἵτινες περὶ τῶν παρόντων ὡς ἂν
καιρὸς ᾖ προβουλεύσουσι. Σαβάζιοι.] Σαβάζιος, ὁ αὐτός
ἐστι τῷ Διονύσῳ. ἔτυχε δὲ τῆς προσηγορίας ταύτης παρὰ τὸν
γινόμενον περὶ αὐτὸν θειασμόν. τὸ γὰρ εὐάζειν, οἱ βάρβα-
ροι σαβάζειν φασίν. ὅθεν καὶ τῶν Ἑλλήνων τινὲς ἀκολου-
θοῦντες τὸν εὐασμὸν σαβασμὸν λέγουσιν. ἔνθεν Σαβάζιος,
ὁ Διόνυσος. Σάβους ἔλεγον καὶ τοὺς ἀφιερωμένους αὐτῷ τό-
πους, καὶ τοὺς βάκχους αὐτοῦ. Σ. περὶ τούτων δὲ, καὶ ἐν ἀρχῇ τῶν
Σφηκῶν, καὶ ἐν Ὥραις διὰ πλειόνων εἴρηται. Ὅ, τ' Ἀδω-
νιασμός.] τίς ποτε γέγονεν ὁ Ἄδωνις, τίνος υἱὸς, καὶ ἅ τινα
περὶ αὐτοῦ οἱ ποιηταὶ μεμυθεύκασι, μηδενὶ ὡς οἶμαι, ἀ-
γνωστον. Ἀδώνιον δὲ, τὸ τοῦ Ἀδώνιδος ἐπῳδὸν μέλος. Ἀδώνια
δὲ θηλυκῶς, εἴτε τὰ Ἀδώνια πληθυντικῶς, ἑορτή τις τῷ
Ἀδώνιδι, καὶ τῇ Ἀφροδίτῃ ἀγομένη. ὡς εἴρηται ἐν τῇ Εἰρήνῃ,
ἐν τῷ

Πίστας τε τὰς ἄλλας τελετὰς τὰς τῶν θεῶν,
Μυστήρι' Ἑρμῇ, Διπόλει', Ἀδώνια.

ὅθεν καὶ τὸ ῥῆμα Ἀδωνιάζω, τὸ ταύτην τὴν ἑορτὴν ἄγω.
ἀφ' οὗ καὶ ὄνομα ῥηματικὸν, Ἀδωνιασμός. ὡς συνουσια-
σμὸς ἀπὸ τοῦ συνουσιάζω χαρακτηρίζεται. ταῦτα δὲ πάν-
τα, ἔστιν, ὅτι τὸν θρῆνον, τὸν ἐπὶ τῷ Ἀδώνιδος θανάτῳ
ποιούμενον δηλοῦσι. καὶ οὕτως ἐντεῦθεν ληπτέον, ἐκ τῶν ἑξῆς
φαίνεται. δώματι τῶν τεγῶν, τὸ πληρες. ὁ ἐπὶ τῶν τεγῶν. τέγη
δὲ, καὶ στέγη. τέγος, καὶ στέγος ταυτὸ, οἴκημα. Ἡσύχιος. οὐ γάρ
ποτ' ἤκουον. τὸ πλῆρες, οὐ ἐγώ ποτε ἤκουον. καὶ ἐν τῇ ἐκ-
κλησίᾳ. ἐν τῇ ἐκκλησίᾳ. Μὴ ὡραίοι.] ὡραίοι, ἐν ὥραις. ἐν
ὥρᾳ. ἐν καιρῷ ἐπιτηδείῳ. ὁ νοῦς. ὁ δὲ Δημόστρατος ἔλεγεν
αὐτοὺς οὐκ ἐν ὥρᾳ, ἀλλ' ἀκαίρως εἰς τὴν Σικελίαν πλεῖν. Ὁ-
πλίτας καταλέγειν.] καταλέγειν ὁπλίτας, τὸ διαγρά-
φειν, τὸ καταγράφειν. Ξενοφῶν. Ὁπλίτας τε αὐτοὺς κατα-
λέξασθαι χιλίους ἐπεψηφίσαντο. καὶ αὖθις. μετὰ δὲ ταῦτα
κατελέξατε τὴν στρατιάν. ὁπλῖται δὲ, πελτασταὶ ψιλοὶ τῆς
πεζικῆς εἰσι καὶ μαχίμου δυνάμεως. ἔχουσι δὲ διαφοράς.
ὁπλῖται μὲν γὰρ λέγονται, οἱ βαρυτάτῃ ὁπλίσει κεχρη-
μένοι, κατὰ τὸν Μακεδονικὸν τρόπον, ἀσπίσι περιφερέσι, καὶ
δόρασι περιμηκεστέροις. ψιλοὶ δὲ, οἱ κουφοτάτῃ κέχρηνται,
τόξοις, καὶ ἀκοντίοις, καὶ λίθοις ἐκ σφενδόνης, ἢ ἐκ χειρός. οἱ
δὲ πελτασταὶ, μέσῃ πως κέχρηνται σκευῇ. ἥτε γὰρ πέλτη,
μικρά τις ἐστὶν ἀσπιδίσκη, καὶ κούφη. καὶ τὰ δόρατα πολὺ
τῶν ὁπλιτῶν λειπόμενα. Σ. Ζακυνθίων.] Ζάκυνθος
ἀρσενικῶς καὶ θηλυκῶς παρ' Ὁμήρῳ ὡς μαρτυρεῖ Στέ-
φανος περὶ πόλεων. πόλις ἐστὶν, ἀπὸ Ζακύνθου τοῦ Δαρδά-
νου. ὁ πολίτης Ζακύνθιος. Θουκυδίδης δὲ ἐν δευτέρᾳ τῆς
ξυγγραφῆς, νῆσον εἶναι λέγει, γράφων οὕτως, Οἱ δὲ Λακε-
δαιμόνιοι, καὶ οἱ ξύμμαχοι τοῦ αὐτοῦ θέρους ἐστράτευσαν
ναυσὶν ἑκατὸν ἐς Ζάκυνθον τὴν νῆσον, ἣ κεῖται ἀντιπέρας Ἤ-
λιδος. εἰσὶ δὲ Ἀχαιῶν τῶν ἐκ Πελοποννήσου ἄποικοι, καὶ
Ἀθηναίοις ξυνεμάχουν. ὑποπεπωκυῖα δὲ, μεθύουσα, ὑπο-
πίνειν γὰρ, μεθύσκεσθαι. Κόπτεσθ' Ἄδωνιν.] κόπτειν,
κοινῶς μὲν, τὸ διαιρεῖν. παρ' Ἀττικοῖς δὲ, τὸ κρούειν, καὶ
πλήττειν. οἷον, κόπτειν τὴν θύραν. καὶ κόπτειν, τὸ ἐλαύνειν,
καὶ σφυροκοπεῖν. κόπτεσθαι δὲ κεφαλὴν χερσὶν, ὅτι ἐντε-
λῶς λέγεται, κόπτεσθαι κατὰ μόνας ἀτελῶς. καὶ κόπτεσθαι,
τὸ πενθεῖν, ὅθεν κοπετὸς, τὸ πένθος, ὁ θρῆνος. κόπτεσθε

A ταίειν τὸν Ἄδωνιν, ἀντὶ τοῦ πενθεῖτε, καὶ θρηνεῖτε. λεια-
ζετο δὲ, δηλονότι ταύτην τὴν γυναῖκα, πρὸς βίαν ἔφθει-
ρεν. ἢ πρὸς βίαν αὐτῇ συνῆν. ἀκόλαστα δὲ ᾄσματα, καὶ
ἀσελγεῖς ᾠδαί. ἔστιν ὑπ' αὐτῶν, ὑπ' αὐτῶν ᾄδεται. διὰ τού-
των δὲ πάντων ὁ Πρόβουλος δηλοῖ τὴν γυναικῶν ἀκολα-
σίαν, καὶ κακίας, ὑφ' ἧς καὶ πρὸς τὸ τὰ περιγινόμενα καὶ τόλμης
ἐσχάτης ἔργον αὐτὰς προαχθείσας οὐδὲν θαυμαστὸν εἶναι
λέγει.

CHR. Πρόβουλος.] Hic erat cum pluribus a-
liis ἔξαρχος τοῦ βουλευτηρίου, Herodotus vocat eo no-
B mine quos Prouisores dicimus, Hi videbant ne
quia ipsi nouem magistratus contra Rempubli-
cam facerent. Eosdem fuisse Νομοφύλακας etiam
putauit magnus Budæus, Principes Senati vo-
care possumus. Sudas in illa sua Collectaneorum
farragine viginti primùm fuisse, deinde plures
creatos scribit post cladem Siciliæ qui cauerent
ne quid Respub. caperet detrimenti. Eos maxi-
mus magister Aristoteles conuenire magis scri-
bit in dominatu paucorum quàm in statu multi-
C tudinis, cuius Reipublicæ proprius ordo est βουλὴ
non προβουλή. vide ipsum lib. 4. Politicon. Memi-
nit idem τῶν προβούλων lib. 3. Rhetoricorum vbi
Sophoclem πρόβουλον censuisse ait cum aliis προ-
βούλοις, constituendos 400. Archontas. Ibi Græ-
cus interpres προβούλους esse vult eos qui de rerũ
euentis consulunt & deliberãt. Ὅ, τ' Ἀδωνισμ.] Le-
gẽdũ omnino Ἀδωνιασμός. Sic enim vel Hesychio
teste dicitur lugubris Nenia quæ super Adonide
celebratur. Mox vbi habes ὡραῖοι, in Veneta edi-
D tione legitur ἄρωσι, vtrouis modo legas, ciccum,
vt ait ille, non interduim. Ἠδ' ὑποπεπωκυῖα.] Id
est probè appota vt loquitur Latinitatis eligen-
tissimus M. Plautus, Malè autem Veneta editio
ὑποπεπτωκυῖα. Qui error occupauit Irenam fabu-
lam, neque à me animaduersus fuit etsi monito-
ri Leopardo doctissimo viro, iamdudum auscul-
tandum fuerat qui cap. 23. libr. 9. Emendationum
suarũ totus est in huius vocis explicatione. Quod
pauld post ait de Cholozyge, nondum liquido
mihi constat de sensu recto huius loci.

E BISETVS. Τί δῆτ' ἂν εἴη.] Ἔρχεται ὁ τῶν γερόντων
ἄγγελος, ὃς ἀγγέλλει ἅπερ αὐτοὶ ὑπὸ τῶν γυναικῶν ἔ-
παθον. ὁ δὲ Πρόβουλος καὶ αὐτὸς καταγέλαστά τινα διη-
γησάμενος, τούτων αἰτίαν εἶναι λέγει, τὴν ἄγαν τῶν ἀν-
δρῶν πρὸς τὰς ἑαυτῶν γυναῖκας φιλοστοργίαν, καὶ ἄνεσιν.
εἶτα καὶ ἑαυτὸν ὑπὸ γυναικῶν ἐκκλεισθέντα μέμφεται. τέλος
δὲ, καὶ τινῶν δημοσίων ὑπηρετῶν προσκληθέντων ἄπεισι
τες πρὸς τὴν ἀκρόπολιν, τὰς αὐτῆς πύλας διαρρήξοντες
ὁρμῶνται. Ἔλουσαν.] τῷ ὕδατι ἐκ τῶν καλπίδων ἐγχεο-
μένῳ ἡμᾶς ἔβρεξαν ὥστε λοῦσαι δοκεῖν. Ὥστε θοιμα-
F τίδια.] τὸ νοῦ, καὶ μέτρου χάριν, ταῦτα γραπτέον οὕτως.
ὥστε θοιματίδια. θοιμάτιον Ἀττικῶς, ὅπερ κοινῶς, τὸ ἱ-
μάτιον καλεῖται. ἐντεῦθεν δὲ τὸ ὑποκοριστικὸν θοιματί-
διον, τὸ ἱματίδιον. Ὥσπερ ἐνουρηκότας.] ὁ νοῦς. τὰ ἡμῶν
ἱματίδια τῷ ὕδατι οὕτως ἔβρεξαν, ὥστε ἡμᾶς φαίνεσθαι
ἐνουρηκότας αὐτοῖς. ὥστε αὐτὰ τῷ ἡμῶν οὔρῳ βεβρέχθαι
δοκεῖν. τὸ δὲ ἐνουρηκότας Ἀττικῶς εἴρηται ἀντὶ τοῦ ἐνουρηκό-
τας, παρὰ τὸ ἐνουρεῖν. Τὸν ἁλυκόν.] ἁλυκόν. ὀξύτονον καὶ
δασυνόμενον. ἁλυκή, κατὰ τὸν Ἡσύχιον. ἐὰν μὲν τὸ α δα-
G σύνηται, ἡ θάλασσα. ἐὰν δὲ ψιλῶται, ἡ λύπους μὴ ἔχουσα. ὁ
αὐτὸς, ἁλυκὸν, ἁλμυρόν. τὸ δὲ μέγα ἐτυμολογικὸν, ἁλυ-
κὸς, ἁλμυρὸς, παρὰ τὴν ἅλα. ἁλικὸς καὶ ἁλυκὸς, ὡς τρι-
φάλεια, τρυφάλεια. διὸ καὶ οἱ ἀπιθάνως τεκμαίροντό τε
ἐνταῦθα τὸ ἁλυκὸν ταυτὸ τῷ ἁλυκὸν, ἤγουν ἅλιον, καὶ θα-
λάσσιον εἶναι. τοῦτο δὲ τὸ ἐπίθετον τοῦ Ποσειδῶνος ναοῦ πρός

ἀντιδιῃρημένως τοῦ Ἱππικοῦ, ὅ ἐστι Ἰωνικόν. ὡς ἐν Νεφέλαις,

Νὴ τὸν Ποσειδῶ τουτονὶ τὸν Ἵππιον,

καὶ τῶν ἄλλων ἐπιθέτων εἴρηται. ἁλυκὸς δὲ λέγεται διὰ τὸ τῆς ἁλὸς, εἴτε τῆς θαλάσσης ἀνάδοσιν. ἁλυκὸν δὲ ἀντὶ τοῦ ἁλμυρὸν Ἀττικοὶ ἄνευ ἰῶτα, ἐν τῇ τῆς τετάρτης κλίσεως ἰωνικῇ αἰτιατικῇ, ὡς καὶ τὰ, τὸν λαγὼ, τὸν Ἄθω, τὴν Κέω, τὴν Ἕω. καὶ ἄλλα πολλὰ παρὰ τοῖς τῶν παλαιῶν Ἀττικῶν, ἃ δὴ

A τοῦ ον κοινῶς ἐκφέρεται. ἀλλὰ τοῦτο σημειωτέον ὡς χαριέστερον, καὶ ἀχρηστότερον.

CHRIST. Ὥσπερ θ' αἱματίδια.] Lege θ' αἱματίδια. pro τὰ ἱμάτιδια, qua ratione θοιμάτιον dicitur τὸ ἱμάτιον, & ille locus siue adlusio apud Laertium, ἐπ' ἀλειμματίου, & ἐπ' ἀλλοιματίου. hinc fluxit. Paulò post pro ἐν ἰσκνώσας legerem ἐν τῷ vel ὡς.

Ταύτῃ γυναιξὶ καὶ διδάσκωμεν τρυφᾶν,
Τοιαῦτ' ἀπ' αὐτῶν βλαστάνει βουλεύματα.
Οἱ λέγομεν ἐν τῶν δημιουργῶν τοιαδί.
Ὦ χρυσοχόε τὸν ὅρμον ὃν ἐσκεύασας
Ὀρχουμένης μου τῆς γυναικὸς ἑσπέρας,
Ἡ βάλανος ἐκπέπτωκεν ἐκ τοῦ τρήματος.
Ἐμοὶ μὲν οὖν ἔστ' ἐς Σαλαμῖνα πλευστέα.
Σὺ δ' ἢν σχολάσῃς πάσῃ τέχνῃ πρὸς ἑσπέραν
Ἐλθὼν, ἐκείνῃ τὴν βάλανον ἐνάρμοσον.
Ἕτερος δέ τις πρὸς σκυτοτόμον ταδὶ λέγει
Νεανίαν καὶ πέος ἔχοντ' οὐ παιδικόν.
Ὦ σκυτοτόμε μου τῆς γυναικὸς τοῦ ποδὸς
Τὸ δακτυλίδιον πιέζει τὸ ζυγὸν,
Ἅθ' ἁπαλὸν ὄν. τοῦτ' οὖν σὺ τῆς μεσημβρίας
Ἐλθὼν χάλασον ὅπως ἂν εὐρυτέρως ἔχῃ.
Τοιαῦτ' ἀπήντηκ' εἰς τοιαυτὶ πράγματα
Ὅτι γ' ὢν ἐγὼ πρόβουλος ἐκπορίσας ὅπως
Κωπῆς ἔσονται, τἀργυρίου νυνὶ δέον,
Ὑπὸ τῶν γυναικῶν ἀποκέκλεισμαι τῶν πυλῶν.
Ἀλλ' οὐδὲν ἔργον ἑστάναι. φέρε τοὺς μοχλοὺς
Ὅπως ἂν αὐτὰς τῆς ὕβρεως ἐγὼ σχέθω.
Ποῖ κέχηνας ὦ δύστηνε; ποῖ δ' αὖ σὺ βλέπεις;
Οὐδὲν ποιῶν ἀλλ' ἢ καπηλεῖον σκοπῶν.
Οὐχ' ὑποβαλόντες τοὺς μοχλοὺς ὑπὸ τὰς πύλας
Ἐντεῦθεν ἐκμοχλεύσετ', ἐνθένδ' ἐγὼ
Συνεκμοχλεύσω. ΛΥ. μηδὲν ἐκμοχλεύετε.
Ἐξέρχομαι γὰρ αὐτομάτη. τί δεῖ μοχλῶν;
Οὐ γὰρ μοχλῶν δεῖ μᾶλλον, ἢ νοῦ καὶ φρενῶν.

B *Hortemur illas viuere, ac vitam parem*
Agamus, inde exempla manant talia.
Nam sic opifices sæpè compellant viri,
Quod aurifex monile fabricaueras,
Dum nostra sero saltat uxor vespere,
Elapsa pendens fibula è foramine est,
Mihi Salamina nauigandum protinus:
Quod si tibi opera est, te rogo vt prima face
Visens ad hanc spinther reconcianes fluens:
C *Quidam alter ista verba sutori inquiet*
Iuueni, & habenti grandiorem mentulam,
O sutor, vrit coniugis meæ pedem
Corrigia nexi calcei subst ictior
Tenella nempe: sed veni ad meridiem
Et laxiorem redde, sodes, annulum.
Ego incidi istis ista designantibus:
Postquam ergo victum comparaui in remiges
D *Prouisor, & nunc vsus argenti expetit,*
Mihi impudentes fœmina occludunt fores.
Quid stamus ociosi? age huc vectes cedò
Vt arceam harum facilè contumeliam.
Quid oscitas miselle, quóve respicis?
Nihil facis, tantúmque caupona immines.
Vectes age istos ianuis supponite,
E *Reuellite isthinc, hinc ego euellam simul*
Et adiuuabo. LYS. *Parcite hoc conuellere,*
Vltrò egredi parata sum, quid vecti opus?
Plus mente sana nunc opus quàm vectibus.

BISETVS. Ἐκ τῶν δημιουργῶν.] Δημιουργοὶ, ὥς φησιν Εὐστάθιος, οἱ χειροτέχναι, ἤγουν οἱ δημόσια ἐργαζόμενοι ἐπὶ μισθῷ. παρὰ δὲ Διονυσίῳ ἦ, οἱ τοῦ δήμου προεστῶτες, δημιουργοὶ ἐλέγοντο. Ἀττικοὶ δὲ καὶ τὰς ποιούσας τὰ πέμματα γυναῖκας, δημιουργοὺς ἔλεγον. καὶ ὁ αὐτὸς τὰς ἐν τοῖς γάμοις ὑπουργούσας ὁμοίως. καὶ ὁ αὐτὸς ἀλλαχοῦ, δημιουργοὶ, αἱ γυναῖκες αἱ δημόσιαι, εἴτουν αἱ πόρναι. νῦν δ' ἁπλῶς, τοὺς χειροτέχνας οὕτω καλεῖ. F ἡμεῖς τοῖς τῶν δημιουργῶν. ἤγουν ἡ πολεῖς τοῖς ..., καὶ ὁ ... τούτων δὲ ὁ ... τὰ κάτω λεγόμενα. Τὸν ὅρμον.] ὅρμος, ἐκ τῶν ὁ γυναικεῖος περιτραχήλιος κόσμος. παρὰ τὸ ἕρμα, ὅ ἐστιν ἀσφάλισμα. ὥς φησιν Εὐστάθιος. βάλανος δὲ, τὰ ἐξηρτημένα τῶν ὅρμων περὶ τὸν τράχηλον. ὡς ἐνταῦθα. ἀλλαχοῦ δὲ, βάλανος κυρίως λέγεται ὁ τῶν δρυῶν καὶ τῶν φοινίκων καρπός. καὶ βάλανος ὁμωνύμως τὸ ἄκρον τοῦ αἰδοίου. καθ' ὁμοιότητα καὶ ἰατροὶ τὰ ἐντιθέμενα τῇ ἕδρᾳ, βαλάνους λέγουσιν. ἐκ τοῦ τρήματος δέ. τοῦ ὅρμου δηλονότι, ὅπου πρότερον ἦν ἡρμοσμένος. τρῆμα δὲ, τὸ τρύπημα. ὠνόμασται παρὰ τὸ τορεῖν, καὶ κατὰ συγκοπὴν τρεῖν, ὃ ἐστι τρυπᾶν. δὲ τούτων σύνταξις αὕτη. ὦ χρυσοχόε, ἡ βάλανος τοῦ ὅρμου, ὃν ὅρμον ἐσκεύασας, ἐκπέπτωκε, καὶ τὰ ἑξῆς. ἀλλὰ τὸ σχῆμα κατὰ πρόσωπον, ἐπίσημον.

CHR. Ἡ βάλανος.] Hesychius rectè τὰς βαλάνους exponit τὰ ἐξηρτημένα τῶν ὅρμων περὶ τὸν τράχηλον. Sed quia βάλανος etiam pro parte obscœna accipitur plerumque, videtur Comicus eò adludere voluisse, & in voce τρήματος, intellexisse illam Sotadicam τρυμαλιὰν εἰς ἣν τὸ κέντρον εἰσάγεται.
G Quod autem ait postea τὴν βάλανον ἐνάρμοσον vel potius diuisim ἐν ἅρμοσον, quis negare ausit huc respexisse Comicum Latinum, cùm dixit Menechmis, Iubeántque nouum spinther reconcinnaries.

Bisetus. Ἐλθὼν, ἐκείνῃ.] στιχίον μετὰ τὸ ἐλθών. καὶ τὸ ἐκείνῃ πρὸς τὸ εὖ ἅρμοσον ἀνοιστέον, οὕτω, πρὸς ἑσπέραν ἐλθὼν, ἐκείνῃ, τῇ μὲν γυναικὶ δηλονότι, εὖ ἅρμοσον τὴν βάλανον τῷ τρήματι αὐτῆς. ἀλλ' ἐκ τούτων, καὶ τῶν ἄνω περὶ τῆς βαλάνου, καὶ τοῦ τρήματος λεγομένων δῆλον ἔχει ἀμφιβολίαν κακεμφάτου· καὶ διὰ τούτων τὴν τῆς συνουσίας ἀσέλγειαν ὑποσημαίνεσθαι. καὶ γὰρ ἡ βάλανος τὸ τοῦ ἀνδρὸς, καὶ τὸ τρῆμα τὸ τῆς γυναικὸς αἰδοῖον σημαίνειν δύναται. καὶ αὕτη ἡ τοῦ βαλάνου ἅρμοσις πρὸς τῇ γυναικὶ, παιδιᾶς καὶ γέλωτος χάριν ἀμφιβόλως τὴν βάλανον ἐκ τοῦ τρήματος τοῦ ὅρμου ἐκπεσοῦσαν, εἶτα ὑπὸ τοῦ δημιουργοῦ πάλιν ἐναρμοσθεῖσαν, καὶ τὸν τῆς συνουσίας τρόπον ἴσως δηλοίη. τούτων δὲ ὁ νοῦς οὗτος. Εἶτα περὶ τῆς εὐσεβείας. καὶ σωφροσύνης νόμων αἱ ἡμῶν γυναῖκες ἀσελγέστερον ἁμαρτάνουσιν, ἁμαρτήματος τοιούτου τὴν αἰτίαν ἡμᾶς ἀνέχειν ἐχρῆν. καὶ γὰρ ἡμεῖς αὐτοὶ ταῖς ἡμετέραις γυναιξὶ ξυμπονηρευόμεθα, καὶ τρυφᾶν, καὶ ἀσελγαίνειν αὐτὰς διδάσκομεν, καὶ πάσης ἀκολασίας ἀφορμὴν αὐταῖς παρέχομεν. τὸ μὲν, τῇ τῶν λόγων ἀπρεπεστέρων εὐηθείᾳ. τὸ δὲ, τῇ τῶν ἔργων ἀναιδεστέρων ἀποδείξει. οὐ τοίνυν αὐτὰς, ἀλλ' ἡμᾶς αὐτοὺς ὡς τῆς τῶν ἁπάντων αἰτίους δικαίως αἰτιατέον. Ἐν τισι δὲ τῶν ἀντιγράφων ἀντὶ τοῦ εὖ ἅρμοσον, γέγραπται ἐνάρμοσον. ὃ καὶ καλῶς ἔχει. Τὸ ζυγόν.] ταῦτα ληπτέον οὕτω, τὸ ζυγὸν πιέζει τοὺς πόδας κατὰ τὸ δακτυλίδιον. ζυγὸν δὲ, ὃ καὶ ἀρσενικῶς ζυγὸς, ὁ παρακείμενος ἱμὰς τοῖς δακτύλοις πλαγίοις ἐπὶ τῶν σανδαλίων. ἅθ' ἁπαλὸν ὄν. ἅτε ἀντὶ τοῦ ὡς, ὡς δηλαδή. πιέζει δὲ, θλίβει, στρίγγει, ἀλλ' ἴσως βέλτιον γράφειν ὑποπιέζει. καὶ τοῦ νοῦ καὶ τοῦ μέτρου χάριν, ἐὰν τὸ πρότερον ι τοῦ δακτυλίδιον συστέλλεται. τὸ γὰρ ι φύσει κοινόν. Ὅπως ἂν εὐρυτέρως ἔχῃ.] καὶ ταῦτα κακεμφάτου πολλὴν ἀμφιβολίαν, καὶ φανερὰν ὑποτύπωσιν ἔχει τῶν μετὰ τὴν συνουσίαν ταῖς γυναιξὶ συμβαίνειν εἰωθότων. Ἐκποριστάς.] ὁ νοῦς. Ἐγὼ τῆς βουλῆς ὢν ἔξαρχος, ἤγουν ἀρχὼν, καὶ παρασκευάσας ὅπως πλεῖστοι κωπῆς ἔσονται, νῦν ὅτε τῶν χρημάτων χρείαν ἔχομεν μεγάλων,

A ὅμως ὑπὸ τῶν γυναικῶν ἀποκέκλεισμαι τῶν πυλῶν τῆς ἀκροπόλεως, ὅπου τὰ χρήματα τῆς πόλεως ἐν τῷ ταμιείῳ κεῖται. ἄλλως. ἐκποριστὰς τἀργύριον, εἴτε τὰ χρήματα συλλέξας, χρημάτων εὐπορίαν συλλέξας ὅπως πλείστους κωπῆς, εἴτε καπηλάτας, ἤγουν ἐρέτας ἔχομεν, νῦν ἡμῶν μεγάλων χρημάτων χρείαν ἐχόντων, ὑπὸ τῶν γυναικῶν, καὶ τὰ ἑξῆς. ὅπως κωπῆς ἔσονται λέγει, ὅτι πρὸς τὸν πλοῦν, καὶ τὰς ναυτικὰς στρατείας πολλῶν καπηλατῶν ἔδει. πολλοὺς δὲ καπηλάτας ἄνευ χρημάτων ἔχειν ἀδύνατον. χρήματα δὲ τοῖς καπηλάταις παρέχειν οὐκ ἐδύναντο, τῆς ἀκροπόλεως ὑπὸ τῶν γυναικῶν καταληφθείσης.
B κωπῆς δὲ Ἀττικῶς, ὡς τὸ ἱππῆς. παρὰ δὲ τὴν κώπην, κώπευς εἴρηται. καὶ τὸν καπηλάτην σημαίνει. Ἀλλ' οὐδὲν ἔργον ἑστάναι.] οὐ δεῖ τὸν χρόνον μάτην ἐπιτρίβειν. Ὅπως ἄν.] ὅπως τὴν αὐτῶν ὕβριν σχήσω καὶ παύσω. Ποῖ κέχηνας] ἥδε ἡ γραφὴ οὐ καλῶς ἔχει. καὶ μέτρου χάριν γραπτέον, Τί κέχηνας; Μηδὲν ἐκμοχλεύσετε.] ἡ Λυσιστράτη, τοὺς ἄνδρας ἤδη τὰς τῶν πυλῶν διαρρῆξαι ἐπιχειροῦντας ἰδοῦσα, τῶν μοχλῶν ἀφεῖναι κελεύει, αὐτὴ πρὸς αὐτοὺς, αὐτομάτως αὐτίκα προσελευσομένη.
C CHR. Πιέζει τὸ ζυγόν.] Explanat Hesychius cùm ait ἱμάντα esse παρακείμενον τοῖς δακτύλοις ἐπὶ τῶν σανδαλίων, sed addit Sudas πλαγίοις δακτύλοις. Mox cùm ait ἐκποριστάς, intellige ἐξανύσας. Ὅπως κωπῆς ἔσονται.] Aut falli me necesse est (quod sæpè nimis accidit) aut innuit de Trierarchia, Nā qui istud muneris obibat & ad navale bellum necessaria suppeditabat, τριηραρχεῖν dicebatur, victum autem remigibus sufficiebant Trierarchi. Ποῖ κέχηνας ὦ.] Hic versus Trimeter est Trochaicus Catalect. Tamen si ποῖ exsulare facis, aut παρεγγραφῆς locum obtinere vis, similis erit versus cęteris Trimetris Iambicis. Mox verò pro ὑποβαλόντι lego ὑποβαλόντες. versus autem ille οὐ γὰρ μοχλῶν δεῖ, nisi fallit me memoria, parodia est ad
D versus Euripidæ.

E

ΠΡΟΒΟΥΛΟΣ, ΛΥΣΙΣΤΡΑΤΗ, Στρατυλλίς.

Πρ. Ἄληθες ὦ μιαρὰ σύ. ποῦ 'σθ' ὁ τοξότης;
Ξυλλάμβαν' αὐτὴν κ' ὀπίσω τὼ χεῖρε δεῖ.
F Λυ. Εἴ τἄρα νὴ τὴν Ἄρτεμιν τὴν χεῖρά μοι
Ἄκραν προσοίσει δημόσιος ὢν κλαύσεται.
Πρ. Ἔδεισας οὗτος; οὐ ξυναρπάσει μέσην;
Λυ. Καὶ σὺ μετὰ τούτου κ' ἀνύσαντε δήσετον.
Στ. Εἴ τἄρα νὴ τὴν Πάνδροσον ταύτῃ μόνον
Τὴν χεῖρ' ἐπιβαλεῖς, ἐπιχεσεῖ πατούμενος.
G Πρ. Ἰδού γ' ἐπιχεσεῖ. ποῦ 'στιν ἕτερος τοξότης;
Ταύτην προτέραν ξυνδήσαθ' ὁτιὴ καὶ λαλεῖ.
Λυ. Εἴ τἄρα νὴ τὴν Φωσφόρον τὴν χεῖρ' ἄκραν
Ταύτῃ προσοίσεις, κύαθον αἰτήσεις τάχα.

Probulus, Lusistrata, Stratullis.

PROB. Placet nefanda? lictor arcitenens ubi est?
Heus tu prehende hanc & liga à tergo manus.
LVS. Testor Dianam, si quis admorit manum
Liturgus in me tantulum, flebit nimis.
PR. Quid extimescis? non prehendis ocyus?
Non ibis & tu colligaturus statim?
STR. Per Pandroson, si tu manum isti iniecearis
Vel paululùm calcatus hic cacans eris.
PR. Hui cacans! ubi alter est sagittifer?
Prius volo istam vinciat quæ sic blatit.
STR. Per albicantis lucis auctorem deam,
Si taxis istam, forsit ut cotulam petas.

οι. Πάντα κεν ἔχοι τ᾽ ἄν. κ᾽ τάδε γὰρ λέγεις καλῶς. ἢ. Πάντα κεν ἔχοι. καὶ ταῦτα γὰρ λέγεις καλῶς. ἤγουν, πάντα καλῶς ἂν ἔχοι, καὶ καλῶς χωρήσαι, ταῦτα γὰρ σὺ καλῶς λέγεις. Τί δ᾽ ἦτα.] ἀλλὰ τί οὖν ὦ Λαμπιτοῖ ὡς τάχιστα περὶ τούτων, περὶ ταύτης τῆς ἡμῶν βουλῆς ἣν ξυνωμόμεθα, ὅπως ἂν ἀρρήτως ἔχῃ; ἀλλὰ τί οὐχ ὡς τάχιστα ταύτην τὴν ἡμῶν καλὴν βουλὴν φέρει, καὶ ὅρκῳ ξυνομοῦσαι βεβαιῶμεν ὥστε μένειν ἄρρητον; Πάρφαινε μάν.] παράφαινε μὴν τὸν ὅρκον ὡς ὀμώμεθα. ἀπόδειξον οὖν τὸν ὅρκον, ὃν ἡμᾶς ὀμοσοῦ δεῖ. ὡς ἡμᾶς ὀρκοῦν ἐθέλεις. πάρφαινε δὲ κατ᾽ ἀποκοπὴν ποιητικήν. Ποῦ ᾽σθ᾽ ἡ Σκύθαινα.] τὸ πλῆρες, ποῦ ἐστὶν ἡ Σκύθαινα. τουτέστιν ὑπηρέτις, εἴτε θεράπαινα, ἐξόνομα ἀπὸ τοῦ γένους, ὡς καὶ ἄνω, ἡ Θρᾷττα. Τὰ τόμια.] τὰ τομία, τὰ ἀποτμήματα, καὶ ἀκρωτηριάσματα τῶν νεκρῶν. οἱ δὲ τὰ ἱερά, ἃ σφάζοντες ὀμνύουσι. καὶ οἱ μὲν τὴν λέξιν παροξυτονοῦσιν ὡς ἐστί, οἱ δὲ προπαροξυτονοῦσιν, ὡς παρὰ τῷ Εὐσταθίῳ, ὅς λέγει τόμια μὲν, καὶ ἔντομα καλεῖσθαι τὰ τοῖς νεκροῖς σφαγιαζόμενα. τὰ δὲ τοῖς θεοῖς, ἱερεῖα. οὕτω καὶ μετ᾽ ὀλίγον, ἵππον λαβοῦσαι, τόμιον ἐντεμοίμεθα. ἐνίοτε μέν τοι τόμια καὶ τὰ ἱερεῖα ἁπλῶς καλοῦμεν, ἅπερ σφάζομεν, εἴτε θεοῖς, εἴτε τοῖς νεκροῖς. παρὰ δὲ τὸ τέμνειν λέγεται. καὶ σφάγια συνωνύμως καλεῖται. Ὁρκώσεις.] ὅρκος, παρὰ τὸ εἴργω, τὸ συγκλείω λέγεται ὅθεν καὶ τὸ ἕρκος. ἢ παρὰ τὸ ὅρος ὅ ἐστιν ὁρισμός. ὅθεν καὶ ὁρκοῦν, ὃ δηλοῖ τῷ ὅρκῳ καταλαμβάνειν, καὶ συγκλείειν. καὶ εἴργειν τὴν ὁ... τὰ δ᾽ ἐπὶ τοῖς ὅρκοις σφαγέντα ἀθέμιτον ἦν εἰς τροφὴν προσίεσθαι. οἱ δὲ Ἀθηναῖοι πρὸς τὰ ὅρκια τρισὶ τούτοις ἐχρῶντο, κάπρῳ, κριῷ, καὶ τράγῳ. Λύς. Μηλοσφαγήσαι.] μηλοσφαγίαι, ὡς παρὰ τῷ Σουίδᾳ καὶ Ἡσυχίῳ, θυσίαι προβάτων. ὅθεν καὶ τὸ ῥῆμα μηλοσφαγέω, ῶ. ἀφ᾽ οὗ Μηλοσφαγοῦσαι, ὄνομα τραγῳδίας τινὸς τοῦ Αἰσχύλου, ὡς τὸ Ἀριστοφάνους Ἐκκλησιάζουσαι. Μὴ σύ γ᾽ ὦ Λυσιστράτη.] Ἡ Καλονίκη ἐκ τῆς Λυσιστράτης ἀποσείσεως μαθοῦσα εἰς ἀσπίδα δεῖν ὀμόσαι, τῇ τῆς ἀσπίδος μνήμῃ καταπεπληγμένη ὡς ἀναισίῳ σημείῳ πρὸς τὸ παρὸν τῆς αὐτίκα ποιηθησομένης εἰρήνης πρᾶγμα, μή, φησιν ἱκετεύω, ὑπὲρ τῆς εἰρήνης λόγους ποιούμεθα, ἡμᾶς εἰς τὴν ἀσπίδα, ὅπλον πολεμικόν, καὶ τῇ εἰρήνῃ ἐναντίον ὀμόσαι ἀναγκάσῃς. Θάσιον οἴνου σταμνίον.] καθ᾽ ὑπαλλαγὴν τοῦτο εἴρηται. ἀντὶ τοῦ, οἴνου Θασίου σταμνίον. ἤγουν ἀμφορέα. σταμνία γάρ, καὶ στάμνους, τοὺς ἀμφορεῖς τοῦ οἴνου φασίν. διαφέρει δὲ ὁ Θάσιος οἶνος, περὶ οὗ πολλὰ λέγεται ἐν τοῖς Ἀθηναίου Δειπνοσοφ. Μὴ ᾽πιχεῖν ὕδωρ.] παρὰ προσδοκίαν γέλωτος χάριν τοῦτο λέλεκται, μὴ ἐπιχεῖν ὕδωρ. οὕτω δὲ καὶ τὴν τῶν γυναικῶν ἀκράτου φιλοποσίαν δηλοῖ. Φεῦ δᾶ.] Δᾶ, γῆ. Δωρικῶς. ἆ γῆ, ὦ Δήμητερ, φεῦ τοῦ θαυμαστοῦ ὅρκου, ὃν ἐπαινεῖν λίαν ἐπιθυμῶ. τὸ δὴ ἐπαινεῖν, τινὲς μὲν οἴονται αὐτόθι τὸ ἐπαινίζειν γίνεσθαι, καὶ ἐν τῷ μέλλοντι ἐπαινιῶ, ὡς νομίζω Ἀττικῶς λέγεσθαι. τινὲς τοῦ ἐνεστῶτος εἶναι λέγουσιν, ὡς τὸ χεζητιάω, χεζητιῶ, ἀντὶ τοῦ χεσείω. καὶ ἐπιθυμίαν τοῦ ἐπαινεῖν σημαίνειν. ἀλλ᾽ ὅπως οὖν τοῦτο τὸ ῥῆμα σχηματίσεις, συμπίπτουσαι ταῖς ἄλλοις ἐν ἐχεζήτικοῖς εἶναι. βέλτιον δ᾽ ἴσως καὶ πολὺ πιθανώτερον εἰ χρὰ ψης ἐπαινετέον. ἔπαινος, ἐπαινέω, ῶ, ἐπαινετός, ὁ ἐπαίνου ἄξιος. ὅθεν τὸ ἐπαινετιᾷν, τὸ ἐπαινεῖν ἐπιθυμεῖν. ἔστι ὁ σχηματισμὸς μεγάλην, καὶ ἀξιόπιστον ἀναλογίαν ἔχει πρὸς τὸ χεζητιῶ ῥῆμα ἐπιθυμητικόν ἐν δὲ τῇ ϛ᾽ τούτου τοῦ στίχου χώρᾳ εἶν ἀνάπαιστος, καὶ τὴν τοῦ ἰαμβικοῦ μέτρου ἰδίαν ὅς ἐν τῇ τελευταίᾳ χώρᾳ, καὶ ἴαμβον, καὶ τρίβραχυν, καὶ ἀνάπαιστον δέχεται, καθάπερ Ἡφαιστίων διδάσκει. τὸ δὲ ἄφατον, ἀμήχανον, πολύ, ἄρρητον, ἀμέτρητον, δεινόν. Ἡσυχ.

CHR. Ευχαχητον.] Lege ξυχάχητον vel potius ξυνάχητον cum Hesychio & Veneta editione,

A id est, θόρυβον, & συρφετόν, quasi ῥέοντα ἐχετόν. At pro πλαδδιῆν lego πλαδδιῆν quod est πλανιάζειν. Sunt tamen qui πολεμεῖν aut ... intelligant, & Hesychius exponit ματαΐζειν & βαρβαρίζεσθαι. Qui, inquit, aliter possumus facere ne Athenienses nos rursum turbatum veniant? Οὐχ ᾆς σπουδαᾶς.] Non est quin putem hæc verba aut mendosa esse, aut non suo loco posita, & fortassis σπουδᾶς pro σπουδαᾶς legendum est. Καὶ τἀργύριον τὤβυσσον.]
B Ex antiquis Grammaticis qui apud Sudam, hunc ex his verbis sensum elicio, Quandiu argenti copia abstrusa erit in templo Deæ, nunquam de Pace cogitabunt. Nam in Acropoli deposita erant millia talentûm. Mox ait abyssum, locum esse factum Proserpinæ vbi magna auri copia ex omni tempore asseruetur, χρυσὸς inquit ἄβυσσος. id est, ἀόρατος & ἄθικτος, quia in terra altè defossum. Σκυτιδώμεθα.] In Veneta editione melius σκυτιζώμεθα, quod tamen quid hic sibi velit nescio, nam Grammatici σκυθίζειν exponunt ... Fortassis autem hic versus transferendus ante illum &
C τἀργύριον. Quid si verò legamus σκύτη θώμεθα, duabus vocibus, vt sit donec has pelles deponamus, vel potius scuta induamus, quia sequitur ἀσπίδα. Nisi σκυθιζώμεθα sit apparere, metaphora sumpta à Scythis Liturgis & seruis apparitoribúsque publicis, vt postea ἡ σκύθαινα est ὑπηρέτις. Πάντα κ᾽ ἔχοι κ᾽ τάδε.] Pro πάντα dicit πάντα Doricè, & τάδε pro τῇδε, id est ἄδε. Paulo pòst lego distinctè ἂν ἀρρήτως. Τὰ τομία.] Sacræ sunt vi-
D ctimæ ad quarum mactationem iusiurandum fieri solebat, Sic vsus est Dionys. Halicarnasseus lib. 7. Histor. Ἐν Αἰσχύλῳ ποτέ] Locus est in Septem-Thebana Tragœdia ταυροσφαγοῦντες εἰς μελάνδετον σάκος, id est vt olim vertebamus, Clypeo super nigrante mactantes bouem. Φεῦ δᾶ τὸν ὅρκον.] Malè in Germanica editione hic apposita est persona Calonicæ, quum loquatur Lampito, & verba meram Spartam olcant ex Dialecto Dorica.

E BISETUS. Ὦ φίλταται γυναῖκες κεραμέων ὅσος] Τοῦ νοῦ, καὶ μέτρου χάριν ὅδε ὁ στίχος οὕτω διορθωθείς,

Ὦ φίλταται γυναῖκες ὁ κεραμεὼν ὅσος!

ἐκ δὲ τῶν προηγουμένων τοῦτο δῆλον. ἡ γὰρ Καλονίκη φήσιν,

Φερέτω κύλικα τις ἔνδοθεν καὶ σταμνίον.

ἡ δὲ Λυσιστράτη τὸ τοῦ ἀγγείου παράδοξον μέγεθος ἰδοῦσα, καὶ θαυμάσασα οὕτως ἀναβοᾷ, ὦ φίλταται γυναῖκες, καὶ τὰ ἑξῆς. ἔστιν δὲ αὐτῇ ἡ ἔννοια, ὦ φίλταται γυ-
F ναῖκες φεῦ τοῦ μεγέθους τῆς κύλικος. ἐκ πάσης τῆς τῶν κεραμέων σκευῆς ὡς ἐδοκεῖ τόδε τὸ κεραμικὸν ἀγγεῖον τὸ νῦν προσενεχθέν! τὸ γὰρ ὅσος οὐκ εἰς πρὸς τὸν ἀριθμόν, ἀλλὰ πρὸς τὴν ποσότητα, καὶ μέγεθος ἀναφέρεται, καὶ ὡς ἐπὶ τὸ πλεῖστον μετὰ θαυμασμοῦ, ὡς ἐν Βατράχοις,

Ὦ Ζεῦ βασιλεῦ τὸ χρῆμα τῶν κωπῶν ὅσον!

καὶ ἐν Νεφέλαις,

Ὦ Ζεῦ βασιλεῦ τὸ χρῆμα τῶν νυκτῶν ὅσον ἀπέραντον!

G κέραμος δὲ, ὡς φησι Πολυδεύκης, καλεῖται πᾶσα ἡ τῶν κεραμέων ἀγγείων ὕλη. Προσλαβοῦ μοι τοῦ κάπρου.] μικρῷ πρότερον εἴρηται ὅτι οἱ Ἀθηναῖοι πρὸς τὰ ὅρκια τρισὶ τούτοις ἐχρῶντο, κάπρῳ, κριῷ, καὶ τράγῳ. νῦν δὴ ἡ Λυσιστράτη παίζουσα, περὶ σταμνίου, ἢ κύλικος, ὡς περὶ κάπρου

κάπρου τοῦτο λέγει. κάπρος δὲ, ὗς ἔνορχος, καὶ τέλειος. A ὅπερ ἐστὶ ζῶον συνουσιαστικόν. ὅθεν καπρᾷν, καὶ καπρίζειν, τὸ ἔχειν πρὸς τὴν ὀχείαν ὁρμητικῶς. καὶ κυρίως καπρᾷν, τὸ ὀρέγεσθαι κάπρου τὴν ὗν. ὡς ταυρᾷν, τὸ ταύρου ἐφίεσθαι τὴν βοῦν. μεταφορικῶς δὲ, καὶ ἐπὶ γυναικῶν λέγεται. ὅθεν καπρῶσα γυνὴ, ἡ μάχλος, ἡ ἀσελγὴς, καὶ μίξεως ἐφιεμένη. ὡς ἐν Πλούτῳ

Γραὸς καπρώσης τὰ ῥύσα κατεσθίειν,

καὶ κάπρος, ὥς φησι Σουίδας, τὸ αἰδοῖον τοῦ ἀνδρός. ταῦτα τοίνυν ἕνεκα γέλωτος χάριν λέλεκται. Δέσποινα B Πειθοῖ.] τὴν Πειθὼ οἱ ποιηταὶ θεὰν εἶναι μυθεύουσιν, ὥσπερ τοῦ πείθειν ἔχει δύναμιν. Εὐριπίδης ἐν Εκάβῃ,

Τί δῆτα θνητοὶ τἆλλα μὲν μαθήματα
Μοχθοῦμεν ὡς χρὴ πάντα, καὶ ματεύομεν,
Πειθὼ δὲ τὴν τύραννον ἀνθρώποις μόνην,
Οὐδέν τι μᾶλλον ἐς τέλος σπουδάζομεν
Μισθοὺς διδόντες μανθάνειν, ἵν᾽ ἦν ποτε
Πείθειν ἅ τις βούλοιτο, τυγχάνειν θ᾽ ἅμα;

ταύτην οὖν ἐπικαλεῖται ἡ Λυσιστράτη, ὅτι αἱ γυναῖκες C τοὺς αὐτῶν ἄνδρας μέλλουσαι πείθειν εἰρήνην ἄδηλον ἄγειν, τῆς πειθοῦς χρείαν εἶχον, πρὸς τὸ ῥᾷον αὐτοὺς ἀναπεῖσαι. Καὶ κύλιξ φιλοτησία.] οὕτω καλεῖται ἡ φιάλη ἡ διδομένη ἐν τοῖς πότοις. ἐν γὰρ τοῖς συμποσίοις φιλοφρονούμενοι ἀλλήλους ἐπεδίδοσαν οἴνου κύλικα, ἣν φιλοτησίαν ἐκάλουν, ὡς Ὑπερίδης φησὶ, καὶ Ἄλεξις, καὶ Ὅμηρος ἐν τῷ Δ. τῆς Ιλ.

Νέκταρ ἐῳνοχόει. τοὶ δὲ χρυσέοις δεπάεσσι
Δειδέχατ᾽ ἀλλήλους.

καὶ αὖθις, Ἐγχείτω τις τούτῳ φιλοτησίαν καὶ φιλοτησίας. τὰς δεξιώσεις διὰ τῆς φιλίας καὶ D φιλοτησίαν προπίνειν ἔστιν ἡνίκα τὶς ἐν ἀρίστῳ ἀπὸ τῆς δοθείσης αὐτῷ φιάλης πιὼν μέρος, τὸ λοιπὸν παρέχῃ φίλῳ, καὶ τὴν φιάλην χαριζόμενος. Τὰ σφάγια δέξαι.] τὰ θύματα τὴν θυσίαν. τοῦτο δὲ λέγει ἡ Λυσιστράτη οἶνον εἰς τὴν κύλικα ἐγχέουσα. ταύτην δὲ τὴν οἴνου χύσιν, γελοίου χάριν, σφάγια καλεῖ. μεταφορικῶς δὲ τοῦτο, ὡς καὶ τὰ ἑξῆς. τὸν γὰρ ἀσκὸν οἴνου πλήρη, εἴτε σταμνίον, κάπρον καλεῖ. τὴν οἴνου εἰς κύλικα ἔκχυσιν, σφάγιον ὀνομάζει. πρὸς ὃ παίζουσα ἡ Καλονίκη εἰς τὴν κύλικα τὸν οἶνον ἐκχεόμενον ἐκδεχομένη, ὡς θύματος αἷμα, E ἐπιφέρει, ὡς ἐπὶ κάπρου σφαγέντος, καὶ αἱματοῤῥοοῦντος.

Εὔχρων γε θ᾽ αἷμα, κἀποπυτίζει καλῶς.

Κἀποπυτίζει.] καὶ ἀποπυτίζει. τινὲς χεῖρον λέγουσιν ἀποπυτίζει. τὸ δὲ ἀποπυτίζειν ταυτὸ τῷ ἀποπτύειν, ὃ πρωτότυπον τοῦ ἀποπυτίζειν. ἀποπυτίζει τοίνυν δηλονότι ὁ κάπρος σφαγεὶς τὸ αἷμα καλῶς ἀποπτύει διὰ τοῦ λαιμοῦ. καὶ διὰ τῆς σφαγῆς τὸ αἷμα καλῶς ἐκβάλλει. τουτέστιν ὁ ἀσκὸς ἐκ τοῦ δέρματος τοῦ κάπρου σκευασθεὶς, ἢ μᾶλλον τὸ σταμνίον, τὸν οἶνον εὔχρων καλῶς ἐκχεῖ. τὸ δὲ F πυτίζειν οὕτως ἐσχηματίσθαι φαίνεται. πτύω, πτύζω, καὶ πυτίζω κατὰ μετάθεσιν τῶν στοιχείων καὶ κατ᾽ ἐπένθεσιν τοῦ ι. οἱ δὲ ἀποπυτίζει γράψας, τὸ ἕτερον τοῦ μέτρου χάριν προσληφθὲν λέξεις. ὅπερ οὐκ ἄτοπον, οὐδὲ ξηρόν. πολλὰ γὰρ τούτου ξηρότερα, καὶ τολμηρότερα, παρὰ τοῖς ποιηταῖς

εὑρήσεις. Καὶ μὰν.] ταῦτα κατ᾽ ἰδίαν γλῶσσαν. καὶ μὴν προσόζει γ᾽ ἡδὺ, ναὶ τὸν Κάστορα. τουτέστι ναὶ, καίπερ ὁ κάπρος, ὅμως ὀσμὴν ἡδεῖαν ἔχει. ἐκ δὲ τούτου δῆλον, ἕνεκα τὸν οἶνον νοεῖσθαι. ἀλλὰ ταῦτα πάντα ἀλληγορικῶς, γελοίου χάριν, εἴρηται. Εάν γε μὴ λάχῃς.] ἐὰν μὴ κληρώσῃ. ἐὰν μὴ αὐτὸς ὁ κλῆρος τὸ πρότερον ἐπιτρέψῃ. πάλαι γὰρ, ὥσπερ καὶ νῦν, οἱ πράγμασι μεγάλοις ἐπιχειροῦντες, ἵνα μή τις φιλονεικία, καὶ στάσις διὰ τὴν προτίμησιν γένοιτο, τοῖς κλήροις ἐχρῶντο, καὶ ὁ λαχὼν ἐνίκα. τοῦτο δὲ μάλιστα ἐν ταῖς ἀρχαιρεσίαις ἀκριβῶς ἐτηρεῖτο. B λαχεῖν δὲ, τὸ ἀπολαχμοῦ κτήσασθαι. καὶ τὸ ἁπλῶς τυχεῖν. παρ᾽ Ὁμήρῳ ποτὲ μὲν αἰτιατικῇ συντάσσεται, ὡς ἐν τῷ

Τὸ γὰρ λάχομεν γέρας ἡμεῖς.

ποτὲ δὲ γενικῇ, ὡς ἐν τῷ, Δώρων ἐκ Πελάγοιο λάχῃ. καὶ λαχεῖν ἀπὸ ψήφου, καὶ λαχεῖν ἀπὸ κλήρου κατὰ συνήθειαν λέγεται. καὶ λαχεῖν τι, κατὰ τὸ λάχος, εἴτε κατὰ κλῆρον λαβεῖν.

CH. Προσλαβοῦ μου τοῦ κάπρου.] Obſcurus mihi C eſt hic locus, & quamuis ſciam κάπρον pro parte obſcœna accipi plerunque, non puto tamen hic locum habere. Porcum tamen verti, ſiue ad illas partes referre vis, ſiue ad animal quod fortaſſis Lyſiſtrata habuit velut τόμιον & ἱερεῖον. Nam ſacres vocabant porcos. Miror tantum ſub voce μηλοσφαγεῖν contineri etiam ſues qui ſiue caſtrati ſiue ſecti poſt mactationem rectè τομίαι vel τόμιοι dicuntur. Sanè incedo hic tanquam per tenebras D aut ignes ſuppoſitos cineri doloſo. Non enim mihi licet aut liquet. Κύλιξ φιλοτησία.] Calicem qui in conuiuiis mutuò dabatur, amoris & beneuolentiæ ergo, vocabant φιλοτησίαν, quæ propriè erat δεξίωσις vt dixit Homerus δειδέχατ᾽ ἀλλήλους, ſic vſus Hyperides Alexis, Ælianus & alij, vnde ſcriptum eſt ab Hiſtorico quodam (teſte Suda) Ætolos quondam vinum Athenas deportaſſe, quum vellent, vt ait ille, φιλοτησίας τῆς ἐκ τοῦ θεοῦ κοινωνῆσαι, καὶ τοῖς τῆς Ἀθηνᾶς τροφίμοις, ſignificans E φιλικὴν δεξίωσιν. Si Heſychio credimus, videtur fuiſſe poculum illud ſecundæ menſæ, (quod quidem placuit Seruatori noſtro Domino Ieſu Chriſto) quum libatum calicem præbemus amico aſſidenti. ait enim eſſe πρόποσιν μετὰ δεῖπνον φιλίας ἕνεκα. Κἀποπυτίζει καλῶς.] In Veneta editione melius ἀποπυτίζει & videtur πυτίζειν ſonum facere quem πίτυλον dicunt, & eſſe πιτυλίζειν quod inter exercitationum genera rettulit Galenus in lib. de ſeruanda bona valetudine, vt & ἀκροχειρίζειν. F Vnde Iuuenalem ſuum pityliſma nobis obtruſiſſe cenſet D. Iul. Cæſar Scaliger, excluſis Grammaticorum nugis iactabundis. Hoc loco Ariſtophanes iocatur & verè χαριεντίζεται, cùm tanquam de animali, ſanguinem εὔχρουν, & ſonum è recenti cæde edente, ſic de vino loquitur.

Κα. Λάζυσθε πᾶσαι τῆς κύλικος ὦ Λαμπιτοῖ,
Λεγέτω δ᾽ ὑπὲρ ὑμῶν μί᾽ ἅπερ ἂν κἀγὼ λέγω.
Ὑμεῖς δ᾽ ἐπομεῖσθε ταυτὰ, κἀμπεδώσετε.
Οὐκ ἔστιν οὐδεὶς οὐδὲ μοιχὸς οὐδ᾽ ἀνήρ.
Κα. Οὐκ ἔστιν οὐδεὶς οὐδὲ μοιχὸς οὐδ᾽ ἀνήρ.

LVS. Calicem hunc age omnes ſumitote, Lampito
G *Sequatur vna verba pro cunctis mea*
Iurabitis poſt atq; habebitis rata.
Nullus ſit, inquam, ſiue adulter ſiue vir.
CAL. Nullus ſit, inquam, ſiue adulter ſiue vir.

A BISETVS. Λάζυσθε.] ἡ Λυσιστράτη ταῖς γυναιξὶν ἁπάσαις εἰς ἐκκλησίαν συνελθούσαις δηλοῖ τὸν ὅρκον, ὃν αὐταῖς ὀρκοῖ. καὶ ἡ Καλονίκη ὑπὲρ τῶν ἄλλων τοῖς αὐτοῖς χρῆται λόγοις, οἷσπερ ἡ Λυσιστράτη, ἧς τὸν ὅρκον προσταχθέντα λαμβάνει, καὶ κατὰ τὴν αὐτῆς ἐπιταγὴν ὀμνύει καὶ ὑπὲρ αὐτῆς, καὶ ὑπὲρ τῶν λοιπῶν γυναικῶν. λάζυσθε δὲ, λάβοιτε. λάζεσθαι τὸ λαμβάνειν, αἰτιατικῇ παρ' Ὁμήρῳ. παρὰ δὲ τοῖς τραγικοῖς καὶ γενικῇ ἐν συνθέσει. οἷον, ἀντιλάζυ πόνων, καὶ γηραιᾶς χειρὸς προσλαζύμεναι. παρ' Εὐριπίδῃ λέγεται δὲ καὶ λαζύω, καὶ λάζυμι, καὶ λάζυμαι παρὰ τὸ λάζω, τὸ λαμβάνω. Εὐσταθ.

B Ἐπομεῖσθε.] ἐπομόσεσθε, καὶ ἐμπεδώσετε, ἔμπεδον, καὶ βέβαιον ποιήσετε, βεβαιώσετε. ταῦτα δὴ, τὰ αὐτὰ, ἅπερ ἐγὼ λέγω, καὶ ὀμνύω. τὸ δὲ ἐπομεῖσθε δεύτερόν ἐστι πρόσωπον πληθυντικὸν τοῦ β. μέλλοντος ἐπομοῦμαι, ῇ, εῖται. ὡς παρὰ τὸ ἄχρηστον ὄμω, ὀμῶ, ἀνθ' οὗ ὀμόω, ῶ, ὀμόσω, ἢ ὀμνύω, καὶ ὄμνυμι ἐν χρήσει. Οὐκ ἔστιν οὐδείς.] ἐντεῦθεν ἐξάρχεται τὸ τῆς ὁρκωμοσίας χωμάτιον. διὰ τούτων δὲ αἰνιγματικῶς τὴν συνήθη μοιχείαν, καὶ πορνείαν τῶν ἀκρατῶν γυναικῶν ὁ ποιητὴς δηλοῖ, καὶ ταύτας ὀνειδίζει.

CHR. Οὐκ ἔστιν οὐδείς.] Veri est simile Comicum non solum ad antiquum iusiurandum, sed ad veteris poetæ versus παρῳδεῖν.

Λυ. Ὅστις πρὸς ἐμὲ πρόσεισιν ἐστυκώς. λέγε.	*LVS. Rigente nervo qui mihi accedat. Taces?*
Κα. Ὅστις πρὸς ἐμὲ πρόσεισιν ἐστυκώς. παπαῖ.	*CAL. Rigente nervo qui mihi accedat. Papæ.*
Ὑπολύεταί μου τὰ γόνατ' ὦ Λυσιστράτη.	*Genua mihi eheu succidunt, Lysistrata.*
Λυ. Οἴκοι δ' ἀταυρώτη διάξω τὸν βίον.	*LVS. Innupta degam postea ætatem domi.*
Κα. Οἴκοι δ' ἀταυρώτη διάξω τὸν βίον.	*CA. Innupta degam postea ætatem domi.*
Λυ. Κροκωτοφοροῦσα καὶ κεκαλλωπισμένη.	C *LVS. Crocotam amicta, ornata, compta maximè.*
Κα. Κροκωτοφοροῦσα καὶ κεκαλλωπισμένη.	*CAL. Crocotam amicta, ornata, compta maximè.*
Λυ. Ὅπως ἂν ἁνὴρ ἐπιτυφῇ μάλιστά μου.	*LVS. Vt vir meus me vehementer ardeat.*
Κα. Ὅπως ἂν ἁνὴρ ἐπιτυφῇ μάλιστά μου.	*CAL. Vt vir meus me vehementer ardeat.*
Λυ. Κοὐδέποθ' ἑκοῦσα τἀνδρὶ τὠμῷ πείσομαι.	*LVS. Nec sponte morem coniugi geram meo.*
Κα. Κοὐδέποθ' ἑκοῦσα τἀνδρὶ τὠμῷ πείσομαι.	*CAL. Nec sponte morem coniugi geram meo.*
Λυ. Ἐὰν δέ μ' ἄκουσαν βιάζηται βίᾳ.	*LVS. Sin fortè per vim cogat invitam ferox.*
Κα. Ἐὰν δέ μ' ἄκουσαν βιάζηται βίᾳ.	D *CAL. Sin fortè per vim cogat invitam ferox.*
Λυ. Κακῶς παρέξω κοὐχὶ προσκινήσομαι.	*LVS. Dabo hoc malignè, nec me habebit mobilem.*
Κα. Κακῶς παρέξω κοὐχὶ προσκινήσομαι.	*CAL. Dabo hoc malignè, nec me habebit mobilem.*
Λυ. Οὐ πρὸς τὸν ὄροφον ἀνατενῶ τὰ Περσικά.	*LVS. Neque in lacunar sandala extollam pedum.*
Κα. Οὐ πρὸς τὸν ὄροφον ἀνατενῶ τὰ Περσικά.	*CAL. Neque in lacunar sandala extollam pedum.*
Λυ. Οὐ στήσομαι λέαιν' ἐπὶ τυροκνήστιδος.	E *LVS. Nec ceu leæna statuar in secespita.*
Κα. Οὐ στήσομαι λέαιν' ἐπὶ τυροκνήστιδος.	*CAL. Nec ceu leæna statuar in secespita.*
Λυ. Ταῦτ' ἐμπεδοῦσα μὲν, πίοιμ' ἐντευθενί.	*LVS. Hæc sanciens firmánsque nunc illinc bibam.*
Κα. Ταῦτ' ἐμπεδοῦσα μὲν, πίοιμ' ἐντευθενί.	*CAL. Hæc sanciens firmánsque nunc illinc bibam.*
Λυ. Εἰ δὲ παραβαίην, ὕδατος ἐμπλησθῇ ἡ κύλιξ.	*LVS. Quòd si sciens fallo, impleatur aqua calix.*
Κα. Εἰ δὲ παραβαίην, ὕδατος ἐμπλησθῇ ἡ κύλιξ.	F *CAL. Quòd si sciens fallo, impleatur aqua calix.*
Συνεπόμνυθ' ὑμεῖς ταῦτα πᾶσαι; Μυ. νὴ Δία.	*Et ista vos iuratis? MVR. Ista per Iovem.*
Λυ. Φέρ' ἐγὼ καθαγίσω τήνδε. Κα. τὸ μέρος γ' ὦ φίλη.	*LVS. Age ergo libem sacrimam. CA. partem modò*
Ὅπως ἂν ὦμεν εὐθὺς ἀλλήλων φίλαι.	*O chara, amicæ vt simus extemplo invicem.*
Λα. Τίς ὡλολυγή; Λυ. τοῦτ' ἐκεῖν' οὑγὼ 'λεγον.	*LA. Quis ille clamor? LVS. Quem tibi antè dixeram,*
Αἱ γὰρ γυναῖκες τὴν ἀκρόπολιν τῆς θεοῦ	G *Nam fœminæ arcem possidentes Palladis*

BISETVS. Πρόσεισιν.] προσέρχεται, προσελεύσεται συνουσίας χάριν. ὅπερ φανερὸν ἐκ τοῦ ἐστυκώς. τὸ γὰρ στύειν ὅθεν ἡ μετοχὴ τοῦ παρακειμένου, ἐστυκώς, ἐστυκότος, ἔστι τὸ στύομαι, διὰ πλειόνων ἄνω προείρηται. καὶ Εὐστάθιος ἐν τῷ ἄστυτος ἐξηγεῖται. Λέγε] ἡ Καλονίκη ἐκπλαγεῖσα τοῖς τῆς Λυσιστράτης λόγοις, ὡς ἔοικεν ἀποδαίνει ὅταν ἐπιφωνεῖ τὸ, παπαί. καὶ τὰ ἑξῆς. μελλητιῶσα ἐσιώπα. διὸ ἡ Λυσιστράτη παρακελεύεται λέγειν. τὸ δὲ πα-

πέπεισ]. σχετλιαστικὸν ἐστὶν ἐπίρρημα. Αταυρώτη.] ἄμικτος, ἁγνή. ταῦρος γὰρ, τὸ αἰδοῖον τοῦ ἀνδρός. κροκωτοφοροῦσα δὲ, κροκωτὰ φέρουσα. κεκαλλωπισμένη, κοσμηθεῖσα. Επιτυφῇ.] τρίτον πρόσωπον τοῦ ὑποτακτικοῦ τοῦ ἀορίστου παθητικοῦ δευτέρου οὕτω σχηματιζόμενον. ἐπιτύφω, ἐπέτυφον, ἐπετύφην, ἐὰν ἐπιτυφῶ, ῇς, ῇ. ἐπιτυφῇ οὖν, ἐπικαῇ, ἐκπυρωθῇ, ἐπιπυρωθῇ. τουτέστιν ἀφίξομαι, τῆς συνουσίας τοῦ ἀνδρὸς, ἵνα τῷ ἔρωτι, καὶ τῇ ἐπιθυμίᾳ τῆς συμμίξεως μάλιστα καίοιτο, καὶ ἐμοῦ τυχεῖν ἐπιθυμοίη. λέγεται δὲ, ἐπιτύφεσθαί τινος, καὶ τύφεσθαι ἐπί τινος, ἤγουν καίεσθαι τῇ ἐπιθυμίᾳ τοῦ συμμιγῆναι ἐκείνῃ ἧς ἐρῶμεν. Τ' ἀνδρὶ τὠμῷ.] τὸ πλῆρες, τῷ ἀνδρὶ τῷ ἐμῷ. ἀλλαχοῦ δὲ γέγραπται, τἀνδρὸς, τἀνδρὶ ἀντὶ τοῦ, τοῦ ἀνδρὸς, τῷ ἀνδρί. Κακῶς παρέξω.] χολῇ, μόγις, οὐχ ἑκοῦσα, οὐδ' εὐθὺς αὐτῷ ἐμὲ κινηθησομένην παρέξω. ἢ οὐ ῥᾳδίως, οὐδ' εὐχερῶς, ἀλλὰ φειδωλῶς, καὶ χαλεπῶς αὐτῷ παρέξω τὸ ἐμὸν σῶμα πρὸς τὸ συμμιγῆναι. τουτέστιν οὐ προσπλακήσομαι αὐτῷ. οὐδὲ κινηθήσομαι ὅπως πρὸς αὐτὸν ἔλθω, ἢ ἐάσω ῥᾳδίως ἐμὲ ὑπ' αὐτοῦ κινεῖσθαι. προσκινήσομαι δὲ, συνουσιάσω αὐτῷ δηλονότι. Οὐ πρὸς τὸν ὄροφον.] τὰ περσικὰ, εἶδος ὑποδήματος γυναικείου, ἃ καὶ περσικὰς θηλυκῶς λέγονται. ὡς καὶ ἐν Νεφέλαις δεδήλωται. ὄροφος δὲ ἀρσενικῶς, ἡ ὀροφὴ θηλυκῶς, ἡ στέγη. ἀλλὰ τί τοῦτο βούλεται τὸ ἀνατείνειν τὰ περσικὰ πρὸς τὸν ὄροφον; τοῦτο σφόδρα ἀσαφές. εἰ μὴ κατέμφατόν τι συνουσίας εἶδος, διὰ τούτων δηλοῖ. ἔστι οὖν ὁ νοῦς ἐὰν αἴρω τὰ μου ὑποδήματα πρὸς τὴν ὀροφὴν, εἴτε τὴν τοῦ οἴκου στέγην, ἵνα δηλαδὴ ὁ ἀνὴρ ἐμοὶ ὑποκειμένῃ ῥᾷον καὶ ἀσφαλέστερον καὶ στενώτερον συμμιγῇ. ἀπὸ δὲ τῶν περσικῶν, μετωνυμικῶς αὐτοὺς τοὺς πόδας τὰ περσικὰ φοροῦντας νοητέον. ὁποῖον οὖν ἂν εἴη, ταῦτα αἰνιγματικῶς μὲν, ἀληθὲς δὲ γυναικῶν ἀπρεπὲς, καὶ λίαν ἀσελγὲς σχῆμα συνουσίας ὑποσημαίνειν δοκεῖ. Οὐ στήσομαι.] οὐ στήσομαι λέαινα, τουτέστιν ὡς λέαινα. ὁ Σουίδας τούτου μνημονεύων, παροιμίαν εἶναι λέγει, καὶ οὕτως ἑρμηνεύει, τυρόκνηστις, ἡ μάχαιρα. ἐπὶ δὲ τῶν λαβῶν τῶν μαχαιρῶν, ἐλέφαντες καὶ λέοντες ἐγλύφοντο ὀκλάζοντες, ὅπως μὴ ἀποθραύοιντο αὐτῶν οἱ πόδες, εἰ ὀρθοὶ ἑστῶτες γλύφοιντο. λέγει οὖν, ὅτι οὐκ ἐπ' ἀνδρὶ στήσομαι πορνεύουσα ὡς λέαινα ἐπὶ τυροκνήστιδος. σχῆμα δέ ἐστιν ἀκόλαστον, καὶ ἑταιρικόν. ταῦτα παρὰ τῷ Σουίδᾳ. Αλλως. οὐχ ὑποτάξω μὲ τῷ ἀνδρὶ πρὸς συνουσίαν, οὐδὲ μιμήσομαι τὰς λεαίνας ἐπὶ τῶν μαχαιρῶν γλυφομένας, αἳ περ οὐκ ὀρθαὶ, ἀλλ' ὀκλὰξ ἑστᾶσιν. οὕτω δὲ ἀπρεπές τι συνουσίας εἶδος δηλοῦται, οἷα καὶ ἐν Εἰρήνῃ.

Επὶ γῆς πελάσειν, τετραποδηδὸν ἑστάναι.

τυρόκνηστις δὲ κατὰ τὸν Πολυδεύκη ἐν μαγειρικοῖς μαχαιρίοις καταριθμεῖται, οὕτω, ἐν δὲ τούτοις καὶ τυρόκνηστις, ἣν καὶ κόβυλιν καλοῦσιν. Εὐστάθιος δὲ ἐν τῷ Ιλ. λ. περὶ τῆσδε τῆς λέξεως ταῦτα γράφει, κνῆστις ἰδίως ἡ τυροτόμος μάχαιρα ἣν ὁ Κωμικὸς συνθέτως τυρόκνηστιν λέγει, Ομήρου διαλελυμένως κατὰ τρόπον ἐτυμολογίας εἰπόντος τὸ, ἐπὶ δ' αἴγειον κνῆ τυρὸν κνήστι χαλκείῃ. καὶ γίνεται ἀπὸ τοῦ κνάω, ῶ, τὸ κόπτω. καὶ αὖθις μετ' ὀλίγον, συνθέτως δὲ, τυρόκνηστις μαγειρικὸν σκεῦος ἦν. καὶ Ησύχιος. κνῆστις, κοπὶς σιδηρᾶ. ξυστὴρ, ἐν ᾧ ξύουσι τὸν τυρόν. Εκ τούτων οὖν φανερόν ἐστι τί ποτ' ἦν κυρίως ἡ τυρόκνηστις, μαχαίριον δηλαδὴ, ἢ ἄλλο τι μαγειρικὸν ὄργανον, ᾧ τὸν τυρὸν ἢ ξύειν, ἢ κόπτειν ἢ ὁπωσδήποτε τέμνειν εἰώθεισαν. Καθαγίσω τὴν δε.] δηλονότι τὴν κύλικα. καθαγίζειν δὲ, ἀφιεροῦν καίειν. Σ. νῦν δὲ ἀμφιβόλως εἴρηται. δύναται γὰρ λαμβάνεσθαι τοῦτο, ἀντὶ τοῦ καύσω, ὡς θῦμα, ὡς ἱερεῖον καύσω τήνδε τὴν κύλικα. καὶ ἀντὶ τοῦ ἱερεύσω τῇ Πειθοῖ. ἀλλ' ὁ νοῦς ἐστι, ταύτην τὴν κύλικα κενώσω τὸν οἶνον πίνουσα. διὸ καὶ ἡ Καλονίκη ταῦτα πρὸς τὴν Λυσιστράτην λέγει, τὸ μέρος ὦ φίλη. καθαγίσον δηλονότι. τουτέστι, μὴ πίνε πάντα τὸν τῆς κύλικος οἶνον, ἀλλὰ μόνον αὐτοῦ μέρος. τὸ δὲ λοιπὸν δός μοι πιεῖν, ἵνα ταχέως ἀλλήλων ὦμεν φίλαι.

Τίς ἡ 'λολυγά; Λυ. ταῦτ' ἐκεῖν' οὑγὼ 'λεγον.]

τὸ πλῆρες. ταῦτα ἐκεῖνα ἃ ἐγὼ ἔλεγον μετ' ἐρωτήσεως. ὅμοιον δὲ τούτῳ τὸ τῆς Εἰρήνης, Τοῦτ' ἔστι δῆτα τὸ κακὸν αὔθ' οὑγὼ λέγω. ἀντὶ τοῦ, αὐτὸ ὃ ἐγὼ λέγω. τίς οὖν ἡ ὀλολυγὴ καὶ τίς θόρυβος καὶ βοή; ὀλολυγὴ νῦν δηλοῖ τὰς φωνὰς, ἅς τινες διὰ τὰς καλὰς πράξεις, καὶ διὰ τὴν ἀνέλπιστον εὐτυχίαν ἱεῖσιν. Ησύχιος δὲ, ὀλολυγὴν καλεῖ τὴν φωνὴν γυναικῶν, ἣν ἐν τοῖς ἱεροῖς εὐχόμεναι ποιοῦσιν. Εν ᾧ δὲ χρόνῳ αἱ γυναῖκες αὗται ἐν ἐκκλησίᾳ πρὸς ἀλλήλας διελέγοντο, καὶ ὑπὸ τῆς Λυσιστράτης ὡρκοῦντο, ἐν τούτῳ βοὴ μεγάλη ἐξακούεται, ἣν αἱ πρεσβῦται τὴν ἀκρόπολιν κατὰ πρόσχημα θυσίας ἀπὸ συνθήματος καταλαβοῦσαι ἐποίουν. ἡ Λαμπιτὼ τοίνυν ζητεῖ τίς αὕτη ἡ βοή. ἡ δὲ Λυσιστράτη τὸ ζητούμενον αὐτῇ δηλοῖ καὶ παραινεῖ εἰς τὴν πατρίδα ἐπαναχωρεῖν, καὶ κατὰ δύναμιν πάντα ποιεῖν ὅπως ὁ πόλεμος καταλύοιτο, καὶ εἰρήνη ποιοῖτο. ἡ δὲ τὰς λοιπὰς τῶν Λακαινῶν, ἃς ὁμήρους πρὸς τὴν Λυσιστράτην προσήγαγε, καταλιποῦσα παρ' αὐτῇ, εἰς τὴν Σπάρτην ἐπανῆλθε. ταύτης δὲ ἤδη ἀπελθούσης ἡ Λυσιστράτη πρὸς τὰς ἄλλας γυναῖκας ταῦτα λέγει, Ημεῖς δὲ τὰς ἄλλαισι. καὶ τὰ ἑξῆς.

CH. Εστυκώς] lege vbique ἑστυκώς. Est enim vt ante diximus στύω verbum tentiginis prurientis. Αταυρώτη.] Id est ἄμικτος & vt ait Aristoteles in Politico primo ἄζυξ. Nam ταῦρον hic pro iugo arbitror positum, quamuis non ignorem, per hanc vocem notari sæpe τὸ μόριον siue ἀνδρεῖον, siue γυναικεῖον, vnde λαςαῦροι, mœchi dicebantur, malè enim apud Hesychium habes λαςάριοι. Κοὐχὶ προσκινήσομαι.] Sic in Pace dicit Metaphoricè ἅρματα φυσῶντα καὶ πέδοντα προσκινούμενα. proculdubio innuens τὸ σύνουσιάζειν. Sic Martialis dixit,

Nec motu dignatur opus,

Neque alio respexisse putē Horatium cum dixit, Motus doceri gaudet Ionicos, vt taceam illud ex iocoso carmine siue Albij Tibulli, siue Val. Catulli, verset arte mobilem natem. Plura pudet addere, & ex fumo isto dare lucem pudentis hominis non est nedum Christiani. Ανατενῶ τὰ περσικά.] Sic ille Epigrammatum Princeps, Tolluntúrque pedes. Sunt autem Persica ex genere calciamentorum, vt & habes inferius Laconicas. Λέαινα ἐπὶ τυροκνήστιδος.] Spurcam aiunt esse figuram meretricij concubitus, quales credo fuisse in Elephantidos illius libellis quam Catalecta Vergilij memorant, neque arbitror ignotam Aretino qui omnes has nequitias describens, etiam cum charta omnia (vt ait ille) monstra facit. Sciēdum autem pingi olim solitos in manubriis gladiorum elephantes & leones ingeniculatos, ne ii recti pedes essent comminuerentur, & frangerentur. Itaque ait, Non stabo mœcha ad placitum viri, vt Leæna ad ensem vel machæram, quam vocat τυροκνήστιδα. Hunc autem versum pro Parœmia laudat Sudas, ex cuius farragine hæc conglutinaui, & meminit Erasmus in Adagiis. Fuit autem hoc nomine, Leæna meretrix Attica quā amauit Demetr. de qua Machō Comicus dixit in Chriis, ὑπερβαλεῖ δὲ τὸν λεαίνης χάμαζε, Quúmque Lamiam agitasset idem Rex Demetrius & supra modum laudasset, respondit ipsa Lamia, πρὸς ταῦτα καὶ λέαι-

ται, εἰ βούλει, κράτει. Laudatur & Leæna meretrix amata Harmodio tyrannicidæ, quia contumacem aduersus Hippiæ tormenta fidem habuerit. Καθαγίσαι πιὼν.] Eadem sunt ἁγίζειν & ἀγιάζειν, quæ Sudas interpretatur, ἁγνίζειν, καθιερῶσαι, καρπῶσαι.

A Sed & τὰ ἱερεῖα ἐσθίειν exponit Hesychius. Hic libare est exhaurire. Τίς ἀ ὀλολυγά.] Propriè mulierum clamor, vt Homerus, αἱ δ' ὀλολυγῇ πᾶσαι Ἀθήνῃ χεῖρας ἀνέσχον. Sallustius vocat supplicia muliebria.

Ἤδη κατειλήφασιν. ἀλλ' ὦ Λαμπιτοῖ,
Σὺ μὲν βάδιζε καὶ τὰ παρ' ὑμῶν εὖ τίθει.
B Τασδὶ δ' ὁμήρους κατάλιφ' ἡμῖν ἐνθαδί.
Ἡμεῖς δὲ ταῖς ἄλλαισι ταῖσιν ἐν πόλει
Ξυνεμβάλωμεν εἰσιοῦσαι τοὺς μοχλούς.
Κα. Οὔκουν ἐφ' ἡμᾶς ξυμβοηθήσειν οἴει
Τοὺς ἄνδρας εὐθύς; Λυ. ὀλίγον αὐτῶν μοι μέλει.
Οὐ γὰρ τοσαύτας οὐδ' ἀπειλὰς οὐδὲ πῦρ
Ἥξουσ' ἔχοντες, ὥστ' ἀνοῖξαι τὰς πύλας
Ταύτας, ἐὰν μὴ 'φ' οἷσιν ἡμεῖς εἴπομεν.
C Κα. Μὰ τὴν Ἀφροδίτην οὐδέποτέ γ', ἄλλως γὰρ ἂν
Ἄμαχοι γυναῖκες καὶ μιαραὶ κεκλήμεθ' αὖ.

Hæc iubila edunt: nunc amica Lampito
Domum facesse, resq́ vestras dirige,
Nobis relinquens interim istas obsides,
Nos cæteris quæ sunt in vrbe fœminis
Repagula inferamus ingressæ simul.
CA. Virósne censes non fore istis adiuuos
Vt opprimant nos? LVS. Quia eos parui æstimo.
Nec est vt vllis vel minis vel ignibus
Cogi potesse nos putent, vt hæ fores
Pateant nisi illa lege quam rogauimus.
CA. *Nunquam, per almam Cyprin, vt ne nos vocent*
Frustra scelestas atque inexpugnabiles.

Bisetvs. Εὖ τίθει.] εὖ διατίθει, διοίκει, ποίει. ἐν δὲ τῷ τασδὶ, τὸ ι μακρὸν ὁ δείκ. ποιητικῶς. ὡς καὶ ἐν τῷ, τουτὶ καὶ ταυτὶ πολλάκις ἂν εὕροις παρὰ τῷ Ἀριστοφάνει. Ἐν Εἰρήνῃ Ἱκέτιος μάρτυς ἦν. Τρ. τουτὶ μέν τοι σὺ φυλάττου. κατάλιφ' ἡμῖν, τὸ πλῆρες κατάλιπε ἡμῖν. προστακτικὸν ἀορίστου δευτέρου ἐνεργητικοῦ. τοῦ καταλείπω. D μοχλοὺς δὲ ἵνα πρὸς τὴν τῶν ἀντιπάλων βίαν ῥᾷον ἀντέχωμεν. μὴ 'φ' οἷσιν. τὸ πλῆρες, μὴ ἐφ' οἷσιν ἡμεῖς εἴπομεν. Κεκλήμεθα.] λείπεται, κεκλήμεθ' ἄν. τινὲς δὲ καὶ κεκλῄμεθ' ἂν γράφουσιν, ὅπερ τοῦ εὐκτικοῦ. ὡς τὸ, πεποιήμεθα.

CHRIST. Μιαραὶ κεκλήμεθ' ἄν.] In editione Veneta habes κεκλήμεθα, melius vt puto, quamuis & istud κεκλύμεθα non malè: nam vt Latinis dicitur, talis audio & vocor, sic κλύειν & κεκλῆσθαι.

Χορὸς ἀνδρῶν γερόντων.

ΔΡΑΚΗΣ, ΣΤΥΜΜΟΔΩΡΟΣ.

Χο. Χώρει Δράκης, ἡγοῦ βάδην, εἰ καὶ τὸν ὦμον ἀλγεῖς,
Κορμοῦ τοσουτονὶ φέρων βάρος χλωρᾶς ἐλαίας.
Δρ. Ἦ πόλλ' ἄελπτ' ἔνεστιν ἐν
Τῷ μακρῷ βίῳ, φεῦ.
F Ἐπεὶ τίς ἄν ποτ' ἤλπισ' ὦ
Στυμμόδωρ' ἀκοῦσαι,
Γυναῖκας ἃς ἐβόσκομεν
Κατ' οἶκον ἐμφανὲς κακὸν,
Κατὰ μὲν ἅγιον ἔχειν βρέτας,
Κατά τ' ἀκρόπολιν ἐμὴν λαβεῖν.
Μοχλοῖσι δὲ καὶ κλήθροισιν
Τὰ προπύλαια πακτοῦν.
G Στ. Ἀλλ' ὡς τάχιστα πρὸς πόλιν σπεύσωμεν, ὦ Φιλοῦργε,

Chorus virorum senum.

DRACES, STRVMMODORVS.

CH. *Prai gradum lentum Draces humero licet dolente*
Hunc ponderosum stipitem glauca gerens oliua.
DR. *Quàm multa possunt senes*
Præter spem videre.
Quis hoc putasset obsecro,
Strummodore demùm
Vt fœmina (certum malum
Quod educauimus domi)
Sacrum obtinerent delubrum,
Et vrbis arcem inuaderent?
Et claustris repagulisq́
Aditus obserarent?
ST. *Sed quam citissimè petamus vrbem, age ô Philurge,*

Bisetvs. Χώρει Δράκης.] στίχοι ἰαμβικοὶ τετράμετροι καταληκτικοὶ δύο. εἶτα στίχοι μικροὶ δίμε-

καὶ αὖθις τετράμετροι καταληκτικοὶ πέντε. ἄλλοι στίχοι μικτοὶ δέκα. καὶ πάλιν τετράμετροι ὅμοιοι τοῖς πρώτοις. οἷς ἕπονται ἄλλοι στίχοι μικτοί. καὶ οἱ ἑξῆς, τετράμετροι, ὧν ὁ τελευταῖος Τῆς νῦν παρεστῶτος θράσους θέσθαι τρόπαιον ἡμᾶς. ὁ δὲ τῶν πρεσβυτέρων χορὸς αἰσθόμενος τῆς ὁλολυγῆς ἣν αἱ γυναῖκες τὴν ἀκρόπολιν καταλαβοῦσαι ἐποίησαν πρὸς τὴν βοήθειαν ἀλλήλους προτρέπουσι. καὶ πρὸς τὴν τῆς ἀκροπόλεως πολιορκίαν αὐτοὺς παρασκευάζουσιν, ὅπως τὸ καταληφθὲν χωρίον ἀπολάβωσι, καὶ τὰς γυναῖκας ἐκεῖθεν ἐξωθῶσι. ξύλα δὲ καὶ φρύγανα, καὶ πῦρ φέρουσιν, ἵνα τὰς ἀκροπόλεως πύλας καύσωσι. καὶ κατὰ κράτος αὐτὴν αἱρῶσιν. ἀλλ' αἱ γυναῖκες τὴν πολιορκίαν, τὰς ἐπιχειρήσεις καὶ βίαιας τούτων ὁρμὰς ἀνδρείως ἀνεδέξαντο, καὶ τοὺς ἄνδρας γενναίως ἀπεκρούσαντο. αὕτη δὲ τῆς πολιορκίας, καὶ πολεμικῆς παρασκευῆς θέα, ἵμερον ἴσην τοῖς θεωμένοις ἡδονὴν παρέχει. χώρει δὲ, βάδιζε, πορεύου. ἡγοῦ, ἡγεμόνευε, πρῶτος ἴθι. κορμὸς δὲ κατὰ τὸν Ἡσύχιον, πλάτη. ὅ ἐστιν εἶδος πλοίου. ἀπὸ τοῦ εἰς ὀλίγον κεκορμίσθαι. ἢ ἕδρα. καὶ κοίτη. καὶ τὸ εἰς βραχὺ συντετμημένον ξύλον. ὅπερ ἐν τοῖς τονητέον. ὅθεν τὸ ῥῆμα κορμάζειν, τὸ τέμνειν καὶ συνθεῖν, κατακορμάζειν, κατακόπτειν. Η πολλ' ἄελπτα] τοῦ ὄντι ἐν τῷ μακρῷ βίῳ, πολλά ἐστιν ἄελπτα. τούτοις παραπλήσιον τὸ τοῦ Εὐριπίδου, ἐπὶ τῷ τέλει τῆς Μηδείας.

Πολλῶν ταμίας Ζεὺς ἐν Ὀλύμπῳ.
Πολλὰ δ' ἀέλπτως κραίνουσι θεοί.
Καὶ τὰ δοκηθέντ' οὐκ ἐτελέσθη.
Τῶν ἀδοκήτων πόρον εὗρε θεός. M. X.

Τοιόνδ' ἀπέβη τόδε πρᾶγμα. καὶ Σοφ. ἐν Αἴαντι μαστιγ.
Ἦ πολλὰ βροτοῖς ἔστιν ἰδοῦσι γνῶναι. πρὶν ἰδεῖν δ', οὐδεὶς μάντις Τῶν μελλόντων ὅ, τι πράξει. Κατὰ μὲν ἅγιον] τμήσις. ἀντὶ τοῦ κατέχουσι μὲν ἅγιον βρέτας. τουτέστι τὸ ἄγαλμα τοῦ θεοῦ. βρέτας γὰρ κατὰ Σουίδαν δηλοῖ τὸ εἴδωλον, τὸ ἄγαλμα. παρὰ τὸ ἐοικέναι βροτῷ. κατὰ τ' ἀκρόπολιν λαβεῖν. τμῆσις, ὡς καὶ ἄνω ἀντὶ τοῦ καταλαβεῖν τε τὴν ἀκρόπολιν. Καὶ κλήθροισιν] κλείθροις, ἀσφαλίσμασι. κλεῖθρον δὲ, τὸ ἐν ἰίθρον, καὶ κλῆθρον παρὰ τὴν κλεῖδα, εἴτε κλεῖδα λέγεται. καὶ κλεῖδες, καὶ κληΐδες, καὶ κλῇδες. τὰ προπύλαια δὲ, τὰ πρόθυρα. πακτοῦν δὲ, κλείειν, ἀσφαλίζεσθαι. Σ. Εὐστ. τὰ πρέμνα. πρέμνον, στέλεχος, βλαστὸς, πᾶν ῥίζωμα δένδρου τὸ γηράσκον. Σ. Ησ.

CHR. Ἡ πολλ' ἄελπτ' ἔστιν.] Ex Euripide omnino sumptum, qui multas hac sententia fabulas clausit. Ὦ Φιλοῦργε.] Philurgus prodigus cùm esset, tamen deprehensus est in sacrilegio, & Gorgonem Palladis abstulit vt ait Isocrates. Huius etiam meminit Æschines.

Ὅπως ἂν αὐτοῦ ἐν κύκλῳ θέντες τὰ πρέμνα ταυτί	*Vt trunca in orbem robora ista nostra collocantes*
Ὅσαι τὸ πρᾶγμα τοῦτ' ἐνεστήσαντο καὶ μετῆλθον	*Pyram aggregemus fœminis quotquot negotium illud*
Μίαν πυρὰν νήσαντες ἐμπρήσωμεν αὐτόχειρες	*Nobis facessunt, propriáque nos manu crememus*
Πάσας. ὑπὸ ψήφου μιᾶς. πρώτην δὲ τὴν Λύκωνος.	*Omnes & ordine vno, & imprimis Lyconis illam.*
Οὐ γὰρ μὰ τὴν Δήμητρ' ἐμοῦ	*Nam me, Ecere, ludibrio*
Ζῶντος ἐγχανοῦνται.	*Non videntem habebunt.*
Ἐπεὶ οὐδὲ Κλεομένης ὃς αὐ-	*Nec enim ipse Cleomenes ea*
τὴν κατέσχε πρῶτος	*Qui prius potitus*
Ἀπῆλθεν ἀψάλακτος. ἀλ-	*Inultum id abstulit: tamen*
λ' ὅμως Λακωνικὸν πνέων	*Laconicè superbiens*
Ὤχετ' ὅπλα παραδοὺς ἐμοί	*Cessit, armáque dedit mihi*
Σμικρὸν ἔχων πάνυ τριβώνιον.	*Palliolum tolerans scißile*
Πινῶν. ῥυπῶν. ἀπαράτιλτος.	*Impexus, inluuie & squale*

CH. Ὅσαι τὸ πρᾶγμα] ὅ ἐστι. τούτοις τοῖς πρέμνοις, καὶ ξύλοις περιλαβόντες, καὶ πανταχόθεν κυκλώσαντες πάσας τὰς γυναῖκας, ὅσαι τοῦτο τὸ παράνομον, καὶ τολμηρὸν πρᾶγμα ἐπεχείρησαν, καὶ μετῆλθον, μίαν πυρὰν σωρεύσαντες τῶν ἡμετέρων χερσὶν ἐμπρήσωμεν ὑπὸ ψήφου μιᾶς δέ. ἀντὶ τοῦ, ὡς μιᾷ ψήφῳ πάσας ὑφ' ἡμῶν καταδικασθείσας. ὁμοφρόνως, ἐξ ἡμῶν ἁπάντων ὁμοφρονούντων μιᾶς. καὶ συμφώνου γνώμης. Τὴν Λύκωνος] θυγατέρα δηλαδὴ, ἢ γυναῖκα. ἴσως δὲ ἐστὶν ὁ Λύκων ἦν πατὴρ τῆς Λυσιστράτης, ἢ ἀνήρ. αὕτη γὰρ καὶ κάτω Λυσιστράτη ὠνομάζεται, καὶ βουλεύματος καλεῖται. διὸ ὁ τῶν γερόντων χορὸς, ἀναιρήσειν αὐτὴν νῦν ἀπειλεῖ. Ἀλλαχοῦ δὲ καὶ Λύκων Ἀθηναίων στρατηγός τις. ὃς αὐτοὺς προέδωκεν, ὡς μαρτυρεῖ Κτησίας ἐν τῇ τῶν Περσικῶν ἐκλογαῖς, οὕτω λέγων. λαμβάνουσι δὲ οἱ τοῦ βασιλέως στρατηγοὶ χρήμασι Λύκωνα, καὶ τοὺς Ἕλληνας, καὶ ἀφιστῶσι Πισσούθνου. καὶ μετ' ὀλίγον, ἔλαβε δὲ Λύκων καὶ πόλεις, καὶ χώρας ὑπὲρ τῆς προδοσίας. ὡς ἂν τύχοι. εἰκὸς ἐστὶ τοῦτον τὸν Λύκωνα, οὗτος ἢ τὴν θυγατέρα, ἢ γυναῖκα κατὰ τὰς Λεισοφάνους χρόνους ... ἀκοῦσαι. καὶ ἐνταῦθα κωμῳδεῖσθαι. ἐγχανοῦνται δὲ, ἀντὶ τοῦ ἐγχάσονται καταγελάσουσιν ἡμῶν ἢ ἐγγελάσουσιν ἡμῶν. Κλεομένης] τούτου καὶ Ἡρόδοτος ἐν Τερψιχόρῃ ἀπομνημονεύει. Ἀντιστασιάσαντος δὲ τῆς βουλῆς, καὶ ὁ Κλεομένης πείθεσθαι, ὅ, τε Κλεομένης, καὶ ὁ Ἰσαγόρας, καὶ οἱ στασιῶται αὐτοῦ καταλαμβάνουσι τὴν ἀκρόπολιν. Ἀθηναῖοι δὲ οἱ λοιποὶ τὰ αὐτὰ φρονήσαντες ἐπολιόρκουν αὐτοὺς ἡμέρας δύο. τῇ δὲ τρίτῃ ὑπόσπονδοι ἐξέρχονται ἐκ τῆς χώρας, ὅσοι ἦσαν αὐτέων Λακεδαιμόνιοι. Ἀψάλακτος] ἀπαθὴς, ἀτιμώρητος. ἀψάλακτον γὰρ τὸ ἄθικτον. παρὰ τὸ α στερητικὸν καὶ τὸ ψαλάσσειν, τὸ ψηλαφᾶν καὶ τῶν χεροῖν ἅπτεσθαι, θίγειν, ψαύειν. ἐν τοῖς ἄνω, ἅπερ ἱερεῖον τοῖς μὴ ὑπὸ ψαλαχθέντε. Λακωνικὸν πνέων.] Λακωνικὸς, ὁ στερρὸς, ὁ ἀνδρεῖος. τοιοῦτοι γὰρ οἱ Λάκωνες. καὶ Λακωνικὸν πνέων, ἀντὶ τοῦ, ἰσχυρὸν, ἢ τὰ τῶν Λακώνων φρονῶν. Σ. ἄλλως. Λακωνικὸν πνέων, ἀντὶ τοῦ Λακωνικῶς μέγα φρονῶν. οἱ γὰρ Λάκωνες εἰς ἀνδρείαν μέγα ἐφρόνουν. καὶ Λακωνίζειν, τὸ μεγαφρονεῖν, καὶ ὀγκοῦσθαι. Παραδοὺς ἐμοί] ὁ χορὸς ὡς τὴν βουλὴν τῶν Ἀθηναίων, καὶ τὴν ὕπατον ἀρχὴν ἔχων, καὶ παραστὰς ταῦτα περὶ αὐτοῦ λέγει. ἡ γὰρ βουλὴ συνίστατο ἐκ τῶν τοῦ τέλους πρεσβυτάτων, καὶ τιμιωτάτων ἀνδρῶν. τριβώνιον δὲ, παλλίον, περιβόλαιον. Ησύχ. καὶ τριβώνιον, φόρημα κοινὸν, ἱμάτιον παλαιόν. Σ. ἀπαράτιλτος δὲ, δασὺς καὶ ἄκοσμος τὰς θρίγας. Σ. παρατίλλειν, τὰς τρίχας τίλλειν. παρατιλμὸς, ὁ τῶν τριχῶν τιλμός. καὶ παράτιλτος, ὃς τὰς τρίχας παρατετιλμένας ἔχει. ὑπεναντίως ὁ ἀπαράτιλτος.

Ἐγχανοῦν). id est, καταγελάσονται, Quasi dicas in-hiabunt quod in cachinno vsuuenit. Est autem ἀ- A ψάλακτος, idem quod ἀτιμώρητος vel ἀδικτος.

Ἐξ ἴτυς ἄλυτος.
Οὗτος δ' ἐπολιόρκησ' ἐγὼ τ' ἄνδρ' ἐκεῖνον ὅμως
Ἐφ' ἑπτακαίδεκ' ἀσπίδων πρὸς ταῖς πύλαις καθεύ-
δων.
Ταύτας δὲ τὰς Εὐριπίδη, θεοῖς τε πᾶσιν ἐχθράς
Ἐγὼ οὐκ ἄρα σχήσω παρὸν τολμήματος τοσού-
του.
Μή νυν ἔτ' ἐν Τετραπόλει τοὐμὸν τρόπαιον εἴη.
Ἀλλ' αὐτὸ γάρ μοι τῆς ὁδοῦ
Λοιπὸν ἐστὶ χωρίον
Τὸ πρὸς πόλιν τὸ σιμὸν οἷ σπουδὴν ἔχω.
Χ' ὅπως ποτ' ἐξαμπρεύσομεν
Τοῦτ' αὖ καρηβαρῶ.
Ὡς ἐμοῦ γε τὸ ξύλον τὸν ὦμον ἐξιπώκατον.
Ἀλλ' ὅμως βαδιστέον
Καὶ τὸ πῦρ φυσητέον
Μή μ' ἀποσβεσθὲν λάθῃ πρὸς τῇ τελευτῇ.
Φῦ. φῦ.
Ἰοὺ ἰοὺ τοῦ καπνοῦ.
Ὡς δεινὸς ὦ 'ναξ Ἡράκλεις
Προσπεσών μ' ἐκ τῆς χύτρας,
Ὥσπερ κύων λυττῶσα τὼ 'φθαλμὼ δάκνει.
Κἄστιν Λήμνιον τὸ πῦρ
Τοῦτο πάσῃ μηχανῇ.
Οὐ δὲ γάρ ποθ' ὧδ' ὀδὰξ ἔβρυκε τὰς λήμας
ἐμοῦ.
Σπεῦδε πρόσθεν ἐς πόλιν
Καὶ βοήθει τῇ θεῷ
Εἴποτ' αὐτῇ μᾶλλον ἢ νῦν, ὦ Λάχης ἀρήξομεν.
Φῦ. φῦ.
Ἰοὺ ἰοὺ τοῦ καπνοῦ.

Sex onustus annos.
Certè virum illum obsedi ego expugnans licet cubarem ad
Portas super septemdecim scutis sopore vinctus:
Hostes sed has Euripidaque & omnium deorum
B *Non ergo præsens reprimam ferociámque tantã,*
Ne rursus in Tetrapoli prostet meum trophæum?
Sed restat acclinis mihi
Tractus hic adhuc viæ
Vt urbs petatur avia quo mens aduolat:
An hocce protelum pote vt
Absque iumento traham?
Tam mihi sunt pressa colla ligni iniquo põdere.
Metiendum iter tamen,
C *Atque flandus ignis est*
Ne mihi extinguatur ille incogitanti.
Fu fu
Fafa fafa, vah fumus
Quàm sæuus ô Rex Hercules.
Qui mihi ex olla accidens
Oculos momordit acta vt in rabiem canis:
At certè omnibus modis
Ignis iste est Lemnius
D *Non enim sic mordicus lemas meas inuaderet.*
Occupa urbem concitus
Ocyus fer Diuæ opem
Si quid in nobis opis sit, ô Laches nunc quam expetis.
Fu fu.
Fafa fafa acer fumus.

Bisetvs. Ἐξ ἴτυς ἄλυτος] τινὲς οἴονται ἐξ ἴτυς ἄλυτος χάπτειν, καὶ πολλοῖν ὑπακουστέον, ἀλλὰ καὶ παρὰ τῷ Σουίδᾳ ἐξ δασυνόμενον γράφεται. ἀντὶ τοῦ, ἐξ ἔτη ἄλυτος ὤν. [illegible] δὲ τὴν τοῦ χρόνου σύνταξιν οὐ μόνον αἰτιατικῇ, ἀλλὰ καὶ δοτικῇ, καὶ γενικῇ χαίρει ὡς ἐνταῦθα, καὶ ἐν Εἰρήνῃ ἐν τῷ, „Μὴ τὸ δ' οὖτος, μηδὲ χέζειν ἡμερῶν τριῶν. Τὰς Εὐριπίδη] Εὐριπίδῃ γυναῖκας ἐχθρὰς καλεῖ, ὅτι ὁ Εὐριπίδης αὐτὰς τραγῳδεῖ, καὶ κωμῳδεῖ. Σχήσω παρὸν] ἀντὶ τοῦ κατασχήσω, καθέξω καὶ τοιαῦτα τολμώσας παύσω. Τολμήματος δὲ, τὸ πλῆρες ἕνεκα τοσούτου τολμήματος, ἤγουν τοιαύτης τόλμης, καὶ ἔργου τοσούτου τολμηροῦ. Τόλμημα γὰρ, τὸ ἔργον τόλμης ἔμπλεον. ἢ καθάπερ λέγομεν παύειν τινὰ ἀρχῆς, καὶ τινὸς ἀρχῆς, οὕτω καὶ σχεῖν, καὶ σχῆσαί τινα τολμήματος, καὶ τινὸς τόλμημα σχεῖν. τοῦτο πιθανώτερον. Μή νυν] τὸ νῦν παρέλκει. καὶ γὰρ παραπλήρωμα ἰδίου μέτρου. τετράπολιν δὲ καλεῖ, τὴν Ἀττικῆς ἔχουσαν δήμους καὶ πόλεις τέτταρας. Οἰνόην, Προβάλινθον, Τρικόρυθον, καὶ Μαραθῶνα. Στύφ. Τὸ σιμόν.] νῦν τὸ σιμὸν καλεῖ τὸν προσάντη τόπον. ἐν Βαβυλωνίοις ὁ αὐτὸς Ἀριστοφάνης κατὰ Σουίδαν λέγεται. Μέλιτι παρὰ πρὸς τὸ σιμὸν, καὶ πλατύ. οἷ σπουδὴν ἔχω, εἰς δὲ τόπον σπουδῶ. Ἐξαμπρεύσομεν] ἀντὶ τοῦ ἑλξομεν τὸ ξύλον ἄνευ ὑποζυγίου. ἄμπρον σχοινίος τις, μεθ' οὗ εἰώθασιν ἕλκειν, ὥστε καὶ ἐκκομίζειν μεγάλα φορτία. ἀμπρεύειν δὲ τινὲς τὸ μετὰ ἁμάξης πορεύεσθαι. κατὰ χρῆσιν ἡμῖν δὲ καὶ ἐπὶ τῶν ἡμιφόρων ζώων λαμβάνεται. ἢ ἀμπρεύειν, τὸ τῷ E ἕλκοντι ζυγῷ τὸ ἐμβαλεῖν. καὶ ἄμπρον σχοινίον, ὅπερ διὰ τῶν ζυγῶν διατείνουσι, καὶ φορτία ἐφ' ἁμάξης κομίζουσιν, ὥστε ὑποζυγίους ἀπὸ τῶν ζυγῶν ἕλκεσθαι. ἄμπτερόν τι ὄν, τὸ διαπειρῶν τῷ ζυγῷ δεδεμένον. Σουίδ. Ἐξιπώκατον] θλίβουσιν, ἢ ἐθλίψαν. Σ. τοῦτο δὲ σύγκειται ἐκ προθέσεων ἐξ, καὶ ἐπὶ, καὶ τοῦ ῥήματος ἰθύω, ῶ. ἰθύσω, καὶ ἴσω, ὁ παρακείμενος ἴωκα, ας, ε. ἀρχῆς ἕτερον ἁπλῶς, ὡς παρὰ τὸ ὤθω. τὸ δὲ δυϊκὸν, ἴωκατον, ὡς τετύφατον. καὶ μετὰ τῶν ἄνω προθέσεων, ἐξιπώκατον, ἀντὶ τοῦ τεθλίφατον. νῦν δὲ ἀντὶ τοῦ ἐθλιψάτην, ἢ ἐθλιψαν λυπτέον. αἱ δὲ προθέσεις αὗται ἐπιτάσεως δύναμιν ἐνταῦθα δηλοῦσιν, ἤγουν βαρέως πιέζουσιν, ἢ σφόδρα βαρύνουσι. τῇ τελευτῇ δὲ, δηλονότι τῆς ὁδοῦ, τῆς πορείας. F Φῦ, φῦ] φωνὴ πεπλασμένη πρὸς τὸ σαφέστερον δηλοῦν τὴν μίμησιν ἀνθρώπου πῦρ φυσῶντος, καὶ τῷ πνεύματι ἀνεγείροντος καὶ ἀναζωπυροῦντος, ὃς ἐν τῷ φυσᾶν τοιοῦτον ἦχον ποιεῖ, φῦ, φῦ. καὶ Σουίδας ἐν τῷ Ἐποποὶ τούτων μνημονεύων οὕτω λέγει, φῦ φῦ, ἐπὶ τοῦ φυσῶντος τὸ πῦρ. Ἐντεῦθεν δὲ ῥᾴδιόν ἐστι τεκμαίρεσθαι, ποία τις ἦν πολὺ ἡ παλαιὰ, ἤτοι γνησία καὶ ἀληθινὴ προφορὰ τοῦ φωνήεντος υ, ὅπερ νῦν ὑπὸ πολλῶν καὶ τῶν ἡμετέρων, καὶ οὐκ ἀδιδάκτων ἀν- G δρῶν, ὡς κακῶς, καὶ διεφθαρμένως ἐκφωνεῖται. Κἄστιν] καὶ ἐστιν. δὲ Λήμνιον δὲ πυρὸς ἀναφορὰ χαλεπή τις ἦν. διὸ πῦρ Λήμνιον καλεῖ. Σ. Ἔβρυκε.] βρύκειν τὸ λαύρως ἐσθίειν. ἀπὸ τοῦ πρύζειν τοὺς ὀδόντας. οἱ δὲ μασᾶσθαι. λήμη δὲ λευκὸν ὑγρὸν ἐν ὀφθαλμοῖς συνα-

συναγόμενον, καὶ ἀμβλυώττειν παρασκευάζον. παρὰ τὸ λεύσσω, τὸ βλέπω, καὶ τὸ μή. Σ. τοῦ καπνοῦ γένεσθαι, ὡς καὶ ἀνα... ...τικῶς λέγεται. τὸ γὰρ ἕνεκα ὑπονοητέον.

CH. Τὸν ἄνδρ᾽ ἐκεῖνον ὅμως] Transponere, τὸν ἄνδρ᾽ ὅμως ἐκεῖνον, vel in ὅμως prima producitur, quia liquida vt in μέλος. Τολμήματος τοσούτου] Puto hic notam interrogationis apponendam, vt sit à maiori ad minus. Si viros superaui, non compescerem audaciam scelestarum fœminarum, vel quia conscius est sibi suæ imbelliæ, ait Nolo ego ipse præsens, hoc facinus vlcisci, ne de me trophæum erigant. Μή νυν ἔτ᾽ ἐν τετραπόλει] Ne inquit in Tetrapoli sit mihi trophæum, μή νυν pro μὴ δὴ, vel νὴ δ᾽ ἀμὲς. Est autem Tetrapolis vrbs in Attica ex duodecim illis quas primus Cecrops condidit vt Cariam & Bœotiam disterminaret, vt ait Strabo lib. 9. Huic Stephanus tribuit quatuor populos vel δήμους siue πόλεις, nempe οἰνόην, προβάλινθον, τρικόρυθον, μαραθῶνα. Alia est Tetrapolis Seleucia

A puto. Τὸ σιμὸν οὐ προσέδωκ᾽ ἔχω.] Locus acclius σιμὸς dicitur, etiam neutro genere τὸ σιμὸν, vt hic noster Comicus in Babyloniis μέλεον ἀρεῖς πρὸς τὸ σιμὸν καὶ πλατὺ, Et in alia fab. Victoriis, τουτὶ προσαναβλέψαι τὸ σιμὸν αἰεί. Ἐξαμπρεύσωμεν.] Lege in futuro ἐξαμπρεύσομεν. i. ἕλξομεν ζυγὸν ἄνευ ὄνου, Protelo ducamus Latine dici potest vt hoc loquendi genus obseruauit Iosephus Scaligerorum Principum δαιμόνιον σκυλάκευμα, in catalectis Virgilianis. Τὼ ξύλω.] Lego τῷ ξύλῳ non τὼ in duali.

B At ἐξιπώσατον. est ἐθλίψατε vel θλίβουσι. Προσπεσὼν μ᾽ ἐκ τῆς χύτρας.] Quia lacryma seniorum magnas lemas facit, In Nubibus dixit λημᾶν κολοκύνταις, & Lucianus satis audacter χύτραις λημᾶν in opusculo πρὸς ἀπαίδευτον. Quod autem ait κύων λυττῶσα, notandum est λύτταν vermiculum esse in lingua canum vel Plinio teste. Κάστιν] lege κᾆστι vt sit Trochæus. Mox ἀρήξαμεν non autem ἀρήξομεν.

Τητὶ τὸ πῦρ ἐγρήγορε θεῶν ἕκατι καὶ ζῇ.
Οὔκουν ἂν, εἰ τὰ μὲν ξύλω θείμεσθα πρῶτον αὐτοῦ,
Τῆς ἀμπέλου δ᾽ ἐς χύτραν τὸν φανὸν ἐγκαθέντες,
Ἅψαντες, εἶτ᾽ ἐς τὴν θύραν κριηδὸν ἐμπέσοιμεν,
Κἂν μὴ καλούντων τοὺς μοχλοὺς χαλῶσιν αἱ γυναῖκες.
Ἐμπιπράναι χρὴ τὰς θύρας καὶ τῷ καπνῷ πιέζειν.
Θώμεσθα δὴ τὸ φορτίον. φεῦ τοῦ καπνοῦ βαβαιάξ.
Τίς ξυλλάβοιτ᾽ ἂν τοῦ ξύλου τῶν ἐν Σάμῳ στρατηγῶν;
Ταυτὶ μὲν ἤδη τὴν ῥάχιν θλίβοντά μου πέπαυται.
Σὸν δ᾽ ἐστὶν ἔργον ὦ χύτρα τὸν ἄνθρακ᾽ ἐξεγείρειν
Τὴν λαμπάδ᾽ ἡμμένην ὅπως πρώτιστ᾽ ἐμοὶ προσοίσεις.
Δέσποινα Νίκη ξυγγενοῦ, τῶν τ᾽ ἐν πόλει γυναικῶν
Τοῦ νῦν παρεστῶτος θράσους θέσθαι τρόπαιον ἡμᾶς.

C *Hic viuit ignis, atque adhuc vigil videt.*
Nunc robora ergo nostra deponamus hic vterque,
Et lampada olla viteam immittamus excitantes,
Et ianuas more arietum pulsemus incidentes
Ni fœminæ laxauerint repagula atque funes,
Fumo opprimendæ sunt fores & funditus cremandæ
D *Collum leuemus fasce, væ fuligini Babæay.*
Quis ex Sami Prætoribus robur prebendes istud?
Tam pondus illud desiit dorsum quod hoc premebat.
Nunc, olla, partes sunt tuæ, fac carbo vt excitetur
Tedamq; succensam mihi fer primitùs propinquans,
E *Adsis hera ô Victoria adiuua & fauens, trophæũ*
De fœminarum audacia per vrbẽ vt efferamus.

B 15. Ἑκατί] ἑκουσίως, αὐτομάτως, ἑκοντί. τινὲς δὲ, χαριέστερον νομίζουσιν, εἰσέτι, τουτέστιν ἔτι. Οὔκουν ἂν] βέλτιον καὶ τῆς ἐννοίας, καὶ τῆς συντάξεως χάριν οὕτω γράφειν, Οὔκουν ἂν οὖν τὼ μὲν ξύλω θείμεσθα πρῶτον αὐτοῦ. τουτέστιν ἐὰν οὖν πρῶτον μὲν ταῦτα τὰ ξύλα, ἃ φέρομεν, αὐτοῦ θώμεθα, ἐκεῖ, αὐτόθι τίθωμεν. ξύλα δὲ λέγειν δοκεῖ, οἷσπερ ὡς κριῷ πρὸς τὴν τειχομαχίαν χρῆσθαι ἔμελλον, τοῦτο δὲ δῆλον ἐκ τοῦ ἑξῆς ἐπιρρήματος κριηδόν. τούτων δ᾽ ὁ νοῦς ἐστί. ἀνάψαντες τὸν ἀμπέλου τὸν φανὸν τὸν ἐν τῇ χύτρᾳ, ἔπειτα εἰς τὴν τῆς ἀκροπόλεως θύραν ἐμπέσοιμεν. ἐγκαθέντες δὲ, ἀντὶ τοῦ ἐγκαθιέντες. παρὰ τὸ ἐγκαθεῖναι, συγκείμενον ἐκ τῆς ἐν καὶ κατὰ προθέσεων, καὶ τοῦ ῥήματος ἱέναι, τὸ πέμπειν, καὶ τὸ βάλλειν. φανὸν δὲ, πᾶν τὸ φαῖνον ἐκάλουν. ἐκ δὲ τῆς ἀμπελίνου τὰς λαμπάδας κατεσκεύαζον. διὸ λέγεται φανὸς ἀμπέλου. Σουίδας. ἄλλως. φανὸς, καὶ πανὸς δηλοῖ τὸν πυρσόν. καὶ φανὸς ἡ ἐκ κληματίδων λαμπάς, καὶ φανοὶ παρ᾽ Ἀθηναίοις ἐλέγοντο δᾳδες. ἤγουν αἱ λαμπάδες ἐκ δέσμης ἐγκειμένων ξύλων γινόμεναι Εὐσ. τὸ δὲ κριηδὸν, κριοῦ δίκην. τουτέστι τοῖς ξύλοις ὡς κριῷ χρώμενοι. κριὸς δὲ, καὶ τὸ ζῶον, καὶ τὸ μηχάνημα τὸ πολιορκητικόν. καλεῖται δὲ οὕτως ὅτι προσαναστρέφει τὸ ῥύμη, καὶ πάλιν ἐπανέρχεται. καὶ τοῦτο συνεχῶς ὥσπερ μαχόμενον ποιεῖ. ἔστι δὲ κεραία μεγάλη κεφαλίδας. καὶ αὐτὸ τὸ προέχον τῆς ἐμβολῆς σιδηρωταί ἐπὶ πολύ. προτομὴ λέγεται τὸ ἔμπροσθεν μέρος αὐτοῦ. ἔστι δὲ τοῦ κριοῦ ἡ κατασκευὴ τοιάδε. Δοκὸς ὑπερμεγέθης ἱστοῦ νηὸς παραπλησία. ἐστόμωται δὲ σιδήρῳ παχεῖ κατ᾽ ἄκρον ἐς κριοῦ προτομήν. ἀφ᾽ οὗ καλεῖται τετυπωμένος καταιωρεῖται δὲ κάλοις μέσος, ὥσπερ ἀπὸ πλάστιγγος ἑκατέρας δοκοῦ. σταυροῖς ἑκατέρωθεν ἑδραίοις ὑπερεστηριγμένος. ἀνωθούμενος ὑπὸ πλήθους ἀνδρῶν εἰς τὸ κατόπιν. τῶν αὐτῶν πάλιν ἀθρόως εἰς τοὔμπροσθεν ἐπαιωρησάντων, τύ-

F πτει τὰ τείχη τῷ προὔχοντι σιδήρῳ. Σουίδ. Κἂν μὴ] καὶ ἐὰν αἱ γυναῖκες ἡμῶν αὐτὰς καλούντων μὴ χαλῶσι τοὺς μοχλοὺς καὶ τὰς θύρας ἡμῖν προσιοῦσιν ἀνοίξωσι, τὰς θύρας ἐμπιπράναι, καὶ πυροῦν, καὶ αὐτὰς τὰς ἡμῖν ἀντιμαχομένας τῷ καπνῷ πιέζειν δεῖ. Θώμεσθα δὲ, ἀντὶ τοῦ, ἀποθώμεθα, καὶ καταθώμεθα. Τίς ξυλλάβοιτο] τίς τῶν ἐν Σάμῳ στρατηγῶν ξυλλάβοιτο τοῦ ξύλου, ὅπερ ἐγὼ κατὰ τὸν ὦμον φέρω; τίς τῶν πάλαι ἐν Σάμῳ στρατηγησάντων ἐμοὶ βοηθήσει ἐν τῇ ἀποθέσει τούτου τοῦ ξύλου, ὃ τοὺς ἐμοὺς ὤμους βαρέως πιέζει; Ταυτὶ μὲν] ὁ νοῦς. ταῦτα μὲν τὰ φορ-

G τία τοὺς ὤμους πρότερον θλίβοντα, νῦν ἀποτιθέντα οὐκ ἔτι θλίβει. ῥάχιν δὲ, κατὰ Σουίδαν, ὀσφὺν. ἢ τὸ νωτιαῖον μέρος. ἡ εὐθεῖα ἡ ῥάχις, ῥάχεως. ῥάχιν, ῥάχια, ἄχρις ὅπερ ἀρχῆ δὲ, ἐν χρήσει, ὁ κανθὸς τοῦ νώτου. καὶ ῥαχίζειν, τὸ διαιρεῖν τὰ νῶτα, καὶ μέρη τῆς ῥάχεως, ἤτοι διακόπτειν. καὶ ῥαχίζειν, τὸ σφάζειν, καὶ τὸ ἀλαζονεύεσθαι. ὅθεν ῥαχιστὴς, ὁ ἀλαζών.

Συγγενοῦ.] ξυλλαβοῦ, ξυλλαβοῦ μοι. θεάς δὲ, τὸ πλῆρες, A θεὰς δέ μοι θεᾶς, ἢ ἄνισ εἶναι πρόπαγον τῶν γυναικῶν, τῶν ἐν τῇ πόλει, ἢ γοῦν ἀκροπόλει οὐσῶν, ἕνεκα τοῦ παριστῶντος, καὶ παρόντος ζηράβους.

CHR. Εκατι καὶ ζῆ.] In Veneta editione legitur ἔτι non ἕκατι. Sic autem dixit Plautus, Si viuit ignis, tu exstingue extemplò. Τῷ μὲν ξύλῳ] In eadem editione melius τὼ μὲν ξύλω θώμεθα πρῶτον αὐτοῦ. Sed vel cum stipite vult fumum compescere, vel vterque stipitem suum deponere, quod magis arridet quia postea habes θώμεθα τὸ B φορτίον. Τῆς ἀμπέλου δ' ἐς χύτραν.] Lege ἐς τὴν χύτραν Carminis gratia, vt & habes in editione Veneta. Est autem φανὸς ἀμπέλου, fax & lampas ex palmitibus viteis, vt solebant olim faces componere. Sic Cicero dixit, Malleolos ad incendendam vrbem facésque comparare, sumpsitque ex Thucydide vt puto qui lib. 7. ait ὀλκάδα παλαιὰν κληματίδων καὶ δᾳδὸς γεμίσαντες. sunt enim κληματίδες malleoli & fasces ex palmite veteri. Est etiã ἄμπελος machina obsidionalis quæ etiam dicta vinea. Sed hic nihil ad rem. Κεσδὸν ἐμπίσωμεν.] Legendum proculdubiò κριδὸν, id est, arietis more quæ machina est etiam obsidionalis. Κἄν μὲν καλοσώτων.] Vel lege καλόντων vt funes intelligas, qui κάλως dicuntur, vel intellige vocantes senes. Mox vbi habes καὶ τῷ καπνίζειν, lege καὶ τῷ καπνῷ πιέζειν. Nam & sic sensus rectus & integer versus. Πρῶτον ἐμοὶ προσδίσεις] Vt constet versus lege ἐμοὶ πρῶτον vel πρώτῃ ἐμοί.

ΧΟΡΟΣ ΓΥΝΑΙΚΩΝ.

Ημίχορος Γυν.

C

Χο.Γυν. Ὡς πυρὸς καομένου πεδίον ἐστὶ θᾶττον

Λιγνὺν δοκῶ μοι καθορᾶν καὶ καπνὸν ὦ γυναῖκες.

Ημ.Γυν. Πέτου πέτου Νικοδίκη.

Πρὶν ἐμπεπρῆσθαι Καλύκην

D Τὲ, καὶ Κριτύλλαν περιφυσήτω

Υπό τε νόμων ἀργαλέων,

Υπό τε γερόντων ὀλέθρων.

Ημ. Αλλὰ φοβοῦμαι τόδε. μὴ ὑστερόπους βοηθῶ;

Νῦν δὴ γὰρ ἐμπλησαμένη τὴν ὑδρίαν κνεφαῖα

Μόλις ἀπὸ κρήνης ὑπ' ὄχλου καὶ θορύβου,

E Καὶ πατάγου χυτρείου,

Δούλησιν ὠστιζομένη

Στιγματίαισθ' ἁρπαλέως

CHORVS MVLIERVM.

Semichorus mul.

CH.M. O Cyus nunc properandum, suit ignis ardens

O fæmina, fuliginem & fumum puto intueri.

SEM. Vola vola Nicodica

Prius quàm vratur Calyce.

Simul Critulla, atque eas absumunt

Malitia legum aspera, sum

Misera senum pernicies.

SEM. Quàm metuo hoc! an venio huc serior adiuuatrix,

Nam vix aquale è fonte vas impleueram in tenebris

(Adeò erat ingens tumultus, turbaq́, frictásque sonus per ollas)

Quum pressam iniquis spacijs

Stigmatiæ me & famulæ

BISETVS. Ὡς πυρὸς] Ὁ τῶν Ἀθηναίων γυναικῶν χορὸς τὸν θόρυβον τῶν ἀνδρῶν τὴν ἀκρόπολιν πολιορκούντων αἰσθόμενος, καὶ τὸν ἐμπρησμοῦ τὸν καπνὸν ἰδὼν, μετὰ πάσης προθυμίας ταῖς ἤδη πολιορκουμέναις καὶ κινδυνευούσαις κατὰ κράτος ἁλῶναι, βοηθεῖν παρασκευάζεται. ἐν ὑδρείαις δὲ φέρει ὕδωρ, ὅπως τὸ πῦρ καιομένων ἀποσβέσῃ. Περιφυσήτω] ζηνικόν ἐστι τὸ περιφύσητος, ὅστις ἐστὶ ὁ πανταχόθεν φυσώμενος, καὶ πνεύμασι πιεζόμενος. ὁ νοῦς ἐστί. πρὶν τὴν Καλύκην καὶ τὴν Κρίτυλλαν παντελῶς ἐμπρησθῆναι, ἃς ἤδη οἱ γέροντες περιεφύσησαν πανταχόθεν τῷ τοῦ πυρὸς καπνῷ, καὶ σχεδὸν ἀπέπνιξαν. νῦν δὲ τὸν καπνὸν νοεῖ, ὃν οἱ γέροντες τὸ πῦρ ἅπτοντες, καὶ φυσῶντες πρὸς τὰς γυναῖκας ἔπεμπον, ἵνα τῷ καπνῷ πιεσθείσας τὴν ἀκρόπολιν καταλιπεῖν ἀναγκάζοιεν. νόμους δὲ ἀργαλέους λέγει τοὺς τῆς πόλεως νόμους, ὧν οἱ γέροντες, ὡς ἄρχοντες, ἦσαν φύλακες, καὶ ὑπηρέται. καὶ δεῖ ὡς τῇ πόλει βοηθεῖν, καὶ αὐτὴν σώζειν αὐτοὺς ἔδει ἢ καὶ νόμους κοινῶς καλεῖ τὸ ἔθος, τὸν τρόπον ᾧ τότε κατὰ τῶν γυναικῶν ἐχρῶντο. ἀργαλέων δὲ, χαλεπῶν, δεινῶν, λυπηρῶν τῶν πολιορκουμένων. ὀλέθρων δὲ, τῶν ὀλεθρίων, ἢ τῶν ὀλέθρου ἀξίων. Καλύκη, καὶ Κρίτυλλα κύρια ὀνόματα. Υστερόπους] οὕτως λέγεται ὁ ὑστέρῳ ποδὶ ἐρχόμενος, ἤγουν ὁ ὑστερῶν, καὶ ὀψιαίτερα βαδίζων. ὑδρίαν δὲ, τὸ ὑδροφόρον ἄγγος. Κνεφαῖα.] οἱ καλῶς γράφεται προπερισπωμένως, ἐπιρρηματικῶς λη- πτέον ἀντὶ τοῦ κνεφαίως. ἀλλὰ βέλτιον ἴσως κνεφαία, ὡς δικαία, περικεφαλαία, καὶ πολλὰ τοιουτότροπα κατὰ τοὺς τῶν γραμματικῶν κανόνας. κνεφαῖος δὲ σκοτεινός, ἀόρατος. νῦν δὲ ὄρθριος, ἑωθινός παρὰ τὸ κνέφας, κνέφατος, ὃ δηλοῖ τὸ σκότος, ἢ τὴν νύκτα. λέγεται καὶ κνέφας τὸ καλούμενον λυκόφως. καὶ κνεφαῖος ἦλθεν, ἀντὶ τοῦ ὑπὸ σκότου, ἢ ὄρθριος, ἑωθινός. Σ. ἄλλως. κνέφας, ἡ βαθεῖα ἑσπέρα ἢ ζηνικὴ κνέφας, ὡς ἀπὸ τοῦ κνέφος εὐθείας. λέγεται δὲ παρὰ τὸ κενὸν φάους εἶναι. Εὐσ. Δούλησιν ὠστιζομένη.] ἀντὶ τοῦ ταῖς δούλαις, εἴτε ὑπὸ ταῖς δούλαις στενοχωρουμένη. τὸ δὲ τὸ ὠστίζειν, καὶ ὠστίζεσθαι, ταυτὸ τὸ ὠθεῖν λεγόμενον, καὶ ἐν τοῖς ἄνω προείρηται. στιγματίας δὲ καλεῖ τοὺς δούλους στιζομένους, οὓς καὶ στίγωνας καλοῦσιν, ὥσπερ τοὺς μαστιγουμένους, μαστιγίας. στίγματα δὲ, πληγαί, τραύματα, ἢ ποικίλματα. Σ. καὶ Πολυδεύκης.

CHR. Τὴν οἰκίαν κνεφαῖα.] Lege ὑδρίαν vt in Veneta editione, Mox ὠστιζομένη est στενοχωρουμένη.

Aea-

Δεομένη ταῖσιν ἐμαῖς
Δημότισι καομέναις
Φέρουσ' ὕδωρ βοηθῶ.
Ηκουσα γὰρ τυφογέροντας
Ανδρας ἔρρειν στελέχη
Φέροντας ὥσπερ βαλανεύσοντας
Ες πόλιν ὡς τριτάλαντον βάρος,
Δεινότατ' ἀπειλοῦντας ἐπῶν.
Ως πυρὶ χρὴ τὰς μυσαρὰς γυναῖκας ἀνθρακεύειν.
Ας ὦ θεὰ μήποτ' ἐγὼ πιμπραμένας ἴδοιμι.
Αλλὰ πολέμου καὶ μανιῶν ῥυσαμένας
Ελλάδα καὶ πολίτας.
Εφ' οἷσπερ ὦ χρυσολόφα
Πολιοῦχε σὰς ἔσχον ἕδρας
Καί σε καλῶ σύμμαχον ὦ
Τριτογένει', ἤν τις ἐκείνας
Υποπίμπρησιν ἀνήρ,
Φέρειν ὕδωρ μεθ' ἡμῶν.

A *Eripiunt, vnde meis*
Auxilians nunc fero aquam
Tribulibus propinquis.
Audiui enim non bene sanos
Huccevenisse senes
Sudésque in vrbem tetulisse ad talenta velut tria pondo graues.
Verbáque minari grauia.
B *Fœminas esse igne malo scelestas vstulandas.*
Ne siris, ô Diua, vt eas intuear crematas,
Sed subitò bellis furÿsq́ eripiant
Helladáque incolásque:
Ob has tuas vrbicola ô
Galeata sedes teneo
Téque voce nunc sociam ô
Tritogeneia, vt si quis eas vir
C *Populare igne velis*
Aquam feras vt & nos.

BIS. Ἀρανθόν.] παράγε τὴν ὑδρίαν. οὕτω Σουίδας. ὅθεν καὶ δῆλον εἶναι, ἀντὶ τοῦ οἰκίαν, ὥς τινες βίβλοι κακῶς ἔχουσι. ὑδρίαν γραπτέον. Τυφογέροντας.] οὕτω καλεῖν εἰώθασι τοὺς ἤδη παραληροῦντας, καὶ ὀξέως τετύφθαι. τὰ σχόλια τῶν Σφηκῶν ταύτην τὴν λέξιν οὕτως ἑρμηνεύει. ἄλλως. τυφογέρων, ὁ ἐσχατόγηρος, ἢ ὑπερήφανος, τετυφωμένος γέρων. τῦφος γὰρ ἡ ἀλαζονεία. Σ. Ἄλλως. τυφογέρων D παρὰ τὸν τῦφον ἐκ τοῦ πολλὰ εἰδέναι λέγεται. ἢ παρὰ τὸ τύφειν, ὅ ἐστι καίειν, ὃ παρακολουθεῖ τοῖς νεκροῖς, οἷς οἱ γέροντες προσεγγίζουσιν. Εὐς. Βαλανεύσοντας.] βαλανεύειν κυρίως μὲν τὸ διακονεῖν ἐν τῷ βαλανείῳ, καὶ τὸ ὕδωρ παρέχειν τοῖς εἰς τὸ βαλανεῖον ἐλθοῦσι. νῦν δὲ τὸ θερμαίνειν, ἢ τὸ καίειν δηλοῖ, ὃ ποιεῖν εἰώθασιν οἱ τὸ τοῦ βαλανείου ὕδωρ τοῖς λουομένοις παρέχοντες. πόλιν δὲ, τὴν ἀκρόπολιν. οὕτω γὰρ καὶ ὁ Θουκυδίδης ἐν τῷ δευτέρῳ τῆς ξυγγραφῆς δηλοῖ. τὸ δὲ πρὸ τούτου ἡ ἀκρόπολις ἡ νῦν οὖσα, πόλις ἦν. τριτάλαντον δὲ βάρος, τὸ τριῶν ταλάντων βάρος. τάλαντον δὲ, φωνὴ πολύσημος. καὶ γὰρ σημαίνει τὸ σταθμικὸν ὄργανον, καὶ τὸ σταθμώμενον πρᾶγμα. καὶ παρὰ τὸ τλάω, καὶ καρτερικὸν τοῦ ἐργαλείου λέγεται. καὶ τάλαντον ὁ ζυγὸς, ὃν στατῆρα καλοῦμεν. καὶ σταθμός τις χρυσοῦ σύμμετρος παρ' Ὁμήρῳ, οὐχ ὡς παρὰ τοῖς ὕστερον ἑξήκοντα μνῶν. Εὐς. δεινότατα ἐπῶν, ἀντὶ τοῦ, ἔπη δεινότατα. Ῥυσαμένας.] ῥύσασθαι, λυτρώσασθαι. Σ. ῥύειν, καὶ ῥύεσθαι, τὸ ἕλκειν, καὶ τὸ φυλάσσειν. ῥύεσθαι δὲ ἀπὸ τοῦ ἐρύεσθαι. ὁ νοῦς ἐκ τοῦ πολέμου, καὶ τῆς μανίας τῆς πολεμικῆς τὴν Ἑλλάδα, καὶ τοὺς πολίτας ῥυσαμένας, σωσάσας. Χρυσολόφα δὲ, χρυσολόφα, χρυσοῦν λόφον ἐν τῇ αὐτοῦ περικεφαλαίᾳ φοροῦσα. Τριτογένεια δὲ, ἡ Ἀθηνᾶ, εἴτε διὰ τὸ παρὰ τῷ Τρίτωνι Λιβύης ποταμῷ γεννηθῆναι, ἢ παρὰ τὸ τριτὼ, ὃ παρὰ Κρησὶ τὴν κεφαλὴν σημαίνει. οἱ γὰρ ποιηταὶ τὴν Ἀθηνᾶν ἐκ τῆς κεφαλῆς τοῦ Διὸς γεννηθῆναι μυθεύουσιν. ἢ διὰ τὸ τρεῖν, ἤγουν τρόμον ἐγγεννᾶν τοῖς ἐναντίοις.

CH. Ὥσπερ βαλανεύσοντας.] Vsitatum est βαλανεύειν pro διακονεῖν vt in Irena, hic puto esse τὴν βάλανον, id est, μοχλὸν ἀνοῖξαι. Est quidem in Epi- E grammate βαλανίζειν glandem decutere, ἄλλην δρυῶ βαλάνιζε. Sed Hesychii interpretatio notanda est qui ait esse Clara voce vti τὸ βαλανεύειν, quia balnearij aquam ferentes, vocales sunt & clamosi.

ΣΤΡΑΤΥΛΛΙΣ, ΧΟΡΟΣ ΓΕΡΟΝΤΩΝ. Χορὸς Γυναικῶν.

F STRATVLLIS, CHORVS SENUM VIRORUM. Chorus mulierum.

Στρ. Ἔασον ὦ. τουτὶ τί ἦν. ὦ 'νδρες πονωπόνηροι.
Οὐ γάρ ποτ' ἂν χρηστοί γ' ἔδρων οὐδ' εὐσεβεῖς ταδ' ἄνδρες.

ST. *Dimittite ô, quid istud? ô nequam viri malique,*
Nam nec bonorum hæc facta possunt esse nec piorum.

BIS. Ἔασον ὦ.] Γυνή τις ἐκ τῶν ὕδωρ πρὸς τὴν τῶν ἐμπρησμῶν σβέσιν φερουσῶν, Στρατυλλὶς ὄνομα, τοὺς γέροντας τοὺς τὸ πῦρ τῆς ἑαυτῶν συνήθειαν ἀναζωπυροῦντας ὁρῶσα... ἔτι πολλῶν λοιδοριῶν ἀμφοτέρωθεν εἰρημένων, τὸ πρᾶγμα ἀπὸ τῶν λόγων, πρὸς τὰς πληγὰς μονονοὺ προέρχεται. εἰσὶ δὲ στίχοι ἰαμβικοὶ τετράμετροι καταληκτικοί. Πονωπόνηροι.] πόνηρος προπαροξυτόνως ὥς φησιν Εὐς. ὁ ἐπίπονος. πονηρὸς δὲ ὀξυτόνως, καὶ κατά τινας πονῆρος προ- G περισπωμένως, ὁ φαῦλος, κακὸς, μοχθηρός. πονωπόνηρος, ἀντὶ τοῦ πονηρότατος. τινὲς δὲ διῃρημένως γράφουσι, πόνῳ πονηρὸς, καὶ ἑρμηνεύουσι σφόδρα πονηρός.

CHR. Ὦ 'νδρες πονωπόνηροι.] Vsus est hac voce in Vesparum fab. ὦ πονωπόνηρε καὶ μελαμμυία, vbi Scholiastes monet esse ἀσκήσει, & μελέτῃ πεπονημένοι id est, vsu & meditatione facte ad nequitiã & tyrannidis affectationem.

Χο. γε. Τουτὶ τί τὸ πρᾶγμα ἡμῖν ἀπροσδόκητον ἥκει. A

Εσμὸς γυναικῶν οὑτοσὶ θύρασιν αὖ βοηθεῖ.

Χο. Γυν. Τί βδύλλεθ' ὑμᾶς; οὔ τί που πολλαὶ δοκοῦμεν εἶναι.

Καὶ μὴν μέρος γ' ἡμῶν ὁρᾶτ' οὔπω τὸ μυριοστόν.

Χο. γε. Ω Φαιδρία ταύτας λαλεῖν ἐάσομεν τοσαυτί; B

Οὐ περικατᾶξαι τὸ ξύλον τύπτοντ' ἐχρῆν τιν' αὐταῖς;

Χο. Γυν. Θώμεσθα δὴ τὰς κάλπιδας χ' ἡμεῖς. ὅπως ἂν

Ην προσφέρῃ τὴν χεῖρά τις, μὴ τοῦτό μ' ἐμποδίζῃ.

Χο. γε. Εἰ νὴ Δία τὰς γνάθους τούτων τις ἢ δὶς ἢ τρὶς C

Εκοψεν ὥσπερ βουπάλου, φωνὴν ἂν οὐκ ἂν εἶχον.

Στρ. Καὶ μὴν ἰδοὺ παταξάτω τις. καὶ στᾶσ' ἐγὼ παρέξω.

Κοὐ μήποτ' ἄλλη σου κύων τῶν ὄρχεων λάβηται.

Χο. γε. Εἰ μὴ σιωπήσεις θενὼν ἐκκοκκιῶ τὸ γῆρας σου.

Στρ. Απτου μόνον Στρατυλλίδος τῷ δακτύλῳ προσελθών. D

Χο. γε. Τί δ' ἢν σποδῶ τοῖς κονδύλοις, τί μ' ἐργάσῃ τὸ δεινόν;

Στρ. Βρύκουσά σου τοὺς πλεύμονας καὶ τἄντερ' ἐξαμήσω.

Χο. γε. Οὐκ ἔστ' ἀνὴρ Εὐριπίδου σοφώτερος ποιητής.

Οὐδὲν γὰρ ὧδε θρέμμ' ἀναιδές ἐστιν, ὡς γυναῖκες. E

CH. S. V. Quid hoc negotij ingruit repente nobis

En fœminarum examina adiutantia propinquant.

CH. M. Quid temnitis nos? forsitan videmur esse pauca.

At non decem-millesimam cohortium videtis.

CH. S. V. O Phadria, an sinemus has garrire tam superbè?

Non frangere his oportuit fustem reuerberandis?

CH. M. Ponamus & nos hydrias, ut si manus quis

Nobis nocentes inferat, nil impedire possit.

CH. S. V. At per Iouem si bisue terve verberentur

Istis gena (ut mulis solet) vox clara desit ipsis.

STR. Accedat ergo verberator, prabeo os & adsto,

Faxo ut canis te nulla porrò testibus prehendat.

CH. S. V. At, ni taces, dispuluerabo iam tuam senectam.

STR. Tantùm Stratyllida attigas, & indicem propinques.

CH. S. V. Quid si manu te comprimam? quod mi malum parabis?

STR. Euiscerem te protinam pulmonibus voratis.

CH. S. V. Iam nullus est Euripida præstantior poeta

Qui fœminis nil censet impudentius per orbem.

Bisetus. Τυτὶ τί τὸ πρᾶγμα.] οὗτος ὁ στίχος πεπήρωται. ὁλόκληρος δ' ἂν καλῶς εἴη, εἰ οὕτω γράφοιτο, μετ' ἐπεραιώσεως.

Τυτὶ τί τὸ πρᾶγμ' ἡμῖν τὸ πᾶν ἀπροσδόκητον ἥκει;

ὁ δὲ χορὸς γερόντων ἀπρονοήτως ὁρῶν τὸ τῶν γυναικῶν πλῆθος, αἳ εἰς βοήθειαν τῶν πολιορκουμένων παρεσκευάζοντο, ταῦτα λέγει. Εσμὸς γυναικῶν.] μεταφορικῶς νῦν, ἀντὶ τοῦ πλῆθος, ὄχλος. κυρίως δὲ ἑσμὸς δασυτόνως, τὸ σμῆνος τῶν μελισσῶν. παρὰ τὸ ἅμα πετομένας ἱέσθαι. Σ. Εὐς. Θυρᾶσιν.] γραπτέον θύρασιν, ὡς ἐν Εἰρήνῃ. θύρασι δὲ, πρὸ τῶν θυρῶν. ἢ παρὰ τὰς θύρας. ἢ ἐξ ἑτοίμου, ὡς καὶ Σουΐδας ἑρμηνεύει. βέλτιον δ' ἴσως θύραζε γράφειν. Τί βδύλλεθ' ἡμᾶς;] ὑποκλέζετε. φοβεῖσθε. τρέμετε. Σ. καὶ βδύλλειν, δεδιέναι, τρέμειν, ἢ βδεῖν. Ησυχ. ἄλλως. βδύλλεσθαι τὸ ὑπὸ τοῦ φόβου βδεῖν, καὶ πέρδειν. Οὐ περικατᾶξαι.] ταῦτα οὕτω σύνταξον. οὐκ ἐχρῆν τινα περικατᾶξαι τὸ ξύλον; πῶς; τύπτοντ' αὐτάς. ἵνα τὸ τύπτοντα πρὸς τὸ τινὰ συνάπτῃς. ἀντὶ τοῦ οὐκ ἔδει πάλαι τινὰ ἡμῶν τῷ ξύλῳ τύπτοντα αὐτὰς, τὸ ξύλον ταῖς πληγαῖς περικαταρρῆξαι; περικατάγνυμι, περικατάγνυμι, περικατάξω. παρὰ τὸ περικατάγω, τὸ περικαταρρήγνυμι. ἡ περὶ, νῦν τὸ πανταχόθεν δηλοῖ. Θώμεσθα δή.] καὶ οὗτος ὁ στίχος ἐλλιπής ἐστι. καλῶς δὲ ἀναπληρωθήσεται, εἰ τὸ ἡμῖν προστιθῆς γράφων οὕτω.

Θώμεσθα δὴ τὰς καλπίδας χ' ἡμεῖς, ὅπως ἂν ἡμῖν

Ην προσφέρῃ τὴν χεῖρά τις. καὶ τὰ ἑξῆς.

Εἰ νὴ Δία.] καὶ τοῦτον τὸν στίχον ἐλλελειμμένον, καὶ διεφθαρμένον ἡ γραφὴ δῆλός ἐστιν. ἀλλὰ μεταθέσει τινῶν λέξεων, καὶ μιᾶς προσθήκῃ, καλῶς ἀναπληρωθήσεται οὕτως,

Εἰ νὴ Δία τὰς τούτων γνάθους, τὶς ἡμῶν ἢ δὶς ἢ τρεῖς F

Εκοψεν. καὶ τὰ ἑξῆς.

βούπαλος δὲ ὁ ὄνος. Σ. τινὲς δὲ, βουβάλου γραπτέον οἴονται. βούβαλος δὲ καὶ βούβαλις, ὡς δάμαλις, εἶδος ζώου. Θενὼν ἐκκοκκιῶ.] θένων, κόπτων, τύπτων. ἐκκοκκιῶ δὲ, ἐκκοκκίσω, ἐξεντερίσω. ἀπὸ μεταφορᾶς ῥοιῶν τῶν τοὺς κόκκους καθαιρουμένων. ἄλλως. τὸ σου γῆρας, ὡς τῶν ῥοιῶν κόκκους τρίψας πληγαῖς ἐκβαλήσω. τουτέστιν ὀλέσω. Τί δ' ἢν σποδῶ.] σποδεῖν, τύπτειν, κόπτειν. Τ' ἄντερα.] γράφεται καὶ τὰ ἔντερα. ἀντὶ τοῦ, τὰ ἔντερα. ἐξαμήσω δὲ, ἀποκόψω, ἀποτεμῶ. ἀπὸ μεταφορᾶς τῶν ἀμώντων, καὶ θεριζόντων, καὶ τὸν θερισμὸν ἐξαμώντων ἤγουν ἐκτεμνόντων, καὶ χαμαὶ τμηθέντα βαλλόντων. Εὐριπίδου σοφώτερος] κατὰ τὸ θρυλλούμενον, G

Σοφὸς Σοφοκλῆς. σοφώτερος δ' Εὐριπίδης.

Ανδρῶν δὲ πάντων Σωκράτης σοφώτατος.

CHR. Τουτὶ τί τὸ πρᾶγμα.] In Veneta editio- A ne habes τυτί ζ, puterm legendum Ἰουτὶ τὸ πρᾶγμ' ἡμῖν. Sed erit versus Trimeter & Hypercatalecticus, nec similis cęteris: similem habes paulo post θύμεθα δή, nisi & hic & illic aliquid desit ad supplendum Tetrametrum Catalecticum. Est autem hic θυρᾶσιν vel ad portas vel ἐξ ἑτοίμου. Et βοηθεῖν quod primigenia notione fuit currere ad clamorem & tumultum, hic etiam videtur idem notare, Postea dixerunt succurrere. Τί βδύλλεθ' ἡμᾶς.] Hoc verbi accipiunt pro ὑπτελίζειν & καταιύειν tum B pro terrefacere. Sed video etiam cum terminatione deponentis (vt aiunt minutuli Grammatistæ) passiuam sumere significationem. Hoc si esset, legendum esset ὑμεῖς non ἡμᾶς. Sed nulla opus est mutatione, tantum legendum βδύλλετ' ἡμᾶς non βδύλλεσθε, & rectus est sensus, Quid nos spernitis, & terrefacere putatis nostram paucitatem. Τύπτοντ' ἐχρῆν.] Legendum τύπτοντ' ἐχρῆν pro τύπτοντε ἐχρῆν, vt referat ad Phædriam. sic etiam rectum esse postea probaui ex exemplari Venetæ editionis. C Εἰ νὴ Δία τὰς γνάθους.] Hic etiam versus laborat à defectu pedis vt sit Tetrameter Catalecticus, Itaque Trimetrum vt alios duos supra, puto esse Hypercatalecticum, si tantùm legas εἰ νὴ Δία γνάθους delendo τὰς, vel εἰ νὴ Δία τὰς γνάθους, vt vnica sit syllaba τ῀ Δία quod tamen & durum & insolens mihi semper videbitur. Ὥσπερ Βουπάλου.] Bupalum pro asino vel mulo dixerunt antiqui vt Hipponax λάβετέ μου θοἰμάτιον, κόψω Βουπάλου τὸν ὀφθαλμόν. Eupolis ὄνου γνάθοις dixit de edacitate & πολυφαγία. Nam particula βου Græcis semper significauit τὸ πολὺ, vt Hercules βουθοίνας & βουφάγας non quia boues, sed quia multum aut esuriret aut ederet. Apud Glossographum Hesychium habes, βούπαλος μέγα καὶ ὄνομα, Putem corrigendum μέγα ὄνον, & ὄνομα, vt & grandem asinum notet, & Bupali nomen qui hostis dicitur Hipponactis, sed hosti illi existimo Hipponacta, Bupali nomē indidisse vt asinum & ἀπαίδευτον argueret, Paulo post vbi habes πατάξάτω τις deleo τὸ τὶς vt nouum mensuræ versus, præsertim cùm modò dixerit τούτων τις ὁ δὶς ἢ τρεῖς. Quod autem ait παρέξω in eodem versu, puto sanè valere idem atque os præbere (vt ait Martialis) & morigerum esse. Gallico Idiotismo *Et fier*. Herodotus de hac pusilli animi nota dixit, κρέσσον γὰρ ποιεῦσι, καὶ ἀμυνομένους τελευτῆσαι, ἤπερ παρέχοντας διαφθαρῆναι αἴσχιστῳ μόρῳ. Κύων τὸ δέρμα λαβοῦσα.] Puto alludi ad Prouerbium Canis corio gustato metuendus, Atque haud scio an huc respexerit Horatius Satyra quinta lib. 2. Quæ si semel vno de sene gustarit, deinde, Vt canis à corio nunquam absterrebitur vncto: Τὸ γῆρας τοῦ.] Delendum puto τὸ τοῦ, vel hic loqui chorum mulierum, vel, si virorum, hunc esse sensum. Ego meum senium consumam potius quàm te patiar sic loquentem. Τί δ' ἢν ἀποδῶ τοῖς δακτύλοις.] Non est quin alludat ad libidinem spurcæ contrectationis. Nam ἀποδύεσθαι est ἐκδύεσθαι, & senes quibus Venus est quieta digitis potius rem peragunt. Hesychius leuiter videtur emendandus, ἀποδᾶν, σπαίειν, συζύγεσθαι, lege D παίειν. Nam id est pauire & concutere.

Στ. Αἰρώμεθ' ἡμεῖς ὕδατος τὴν κάλπιν ὦ Ροδίππη.

Χο. αν. Τί δ' ὦ θεοῖσιν ἐχθρὰ σὺ δεῦρ' ὕδωρ ἔχουσ' ἀφίκου.

Στ. Τί δ' αὖ σὺ πῦρ ὦ τύμβ' ἔχων ὡς σαυτὸν ἐμπυρεύσων.

Χο. αν. Ἐγὼ μὲν ἵνα νήσας πυρὰν τὰς σὰς φίλας ὑφάψω.

Στ. Ἐγὼ δέ γ' ἵνα τὴν σὴν πυρὰν τούτῳ κατασβέσαιμι.

Χο. αν. Τὸ μὲν σὺ πῦρ κατασβέσεις. Στ. τοὔργον τάχ' αὐτὸ δείξει.

Χο. αν. Οὐκ οἶδά σ' εἰ τῇ δ' ὡς ἔχω τῇ λαμπάδι σταθεύσω.

Στ. Εἰ ῥύμμα τυγχάνεις ἔχων, λουτρόν ἐγὼ παρέξω.

Χο. αν. Ἐμοὶ σὺ λουτρὸν ὦ σαπρά; Στ. καὶ ταῦτα νυμφικόν γε.

Χο. αν. Ἤκουσας αὐτῆς τοῦ θράσους. Στ. ἐλευθέρα γάρ εἰμι.

Χο. αν. Σχήσω σ' ἐγὼ τῆς νῦν βοῆς. Στ. ἀλλ' οὐκ ἔθ' ἡλιάξεις.

Χο. αν. Ἐμπρησον αὐτῆς τὰς κόμας. Στ. σὸν ἔργον ὦ Ἀχελῷε.

Χο. αν. Οἴμοι τάλας.

Στ. Μῶν θερμὸν ἦν;

Χο. αν. Ποῖ θερμόν; οὐ παύσει; τί δρᾷς;

STR. *At nos aqualem hunc vrceum tollamus ô Rhodispa.*

CH. s. v. *O dira dysq; inuisa fœmina, ad quid huc aquam fers?*

STR. *At tu quid ignem ô bustuarie, vt parasti vri?* E

CH. s. v. *Vnam pyram nunc instruens, vram tuas amicas?*

STR. *Pyram tuam illam exstinxerim facul fluente vino.*

CH. s. v. *Ignem meum tu exstinxeris?* STR. *hoc res statim docebit.*

CH. s. v. *At stulta nescis quo modo fax quam gero ista torret.*

F STR. *Si squallidas sordes habes, en balneum parabo.*

CH. s. v. *Tu spurca balneum mihi?* STR. *Quin-imò nuptiale.*

CH. s. v. *Audin' ferocem audaciam.* STR. *sum nempe libera, inquam.*

CH. s. v. *Has comprimam voces tibi.* STR. *At iam desines foro vti.*

G CH. s. v. *Huius comam vre teda.* STR. *Accingere, vnda, iam labori.*

CH. s. v. *Hei hei mihi.*

STR. *Num feruet hoc?*

CH. s. v. *Quò feruor? auffer, quid facis?*

Στ. Ἄρδω σ' ὅπως ἀναβλαστάνῃς.
Χο γέ. Ἀλλ' αὖός εἰμ' ἤδη τρέμων.
Στ. Οὔκουν ἐπειδὴ πῦρ ἔχεις σὺ χλιανεῖς σεαυτόν.

A STR. Nam te irrigo vt regermines.
CH. S. V. Quin aridus sum & iam tremens.
STR. Ignem ergo qui geras, habebis vnde mox tepescas.

BISETVS. Ὦ τύμβε.] τύμβον καλεῖ τὸν γέροντα, διὰ τὸ γῆρας ἔσχατον, καὶ τύμβου ἄξιον. ὡς τυφογέροντα οὖν αὐτὸν λοιδορεῖ. ταῦτα δὲ συντάξον οὕτω, Τί δή ὦ τύμβε πῦρ ἔχων ὡς σαυτὸν ἐμπυριῶν, καὶ σὺ δεῦρο ἀφίκου δηλαδὴ ἐμπυριῶν δὲ, σαυτὸν πυρώσων, καύσων τῷ πυρὶ φερομένῳ. Ἵνα νήσας.] τουτέστι σωρεύσας. Τούτῳ καταθεβάσομαι.] τούτῳ τῷ ὕδατι. Σταθεύσω.] σταθεύειν, πυροῦν. καὶ πυρὶ ἡσύχως χλιαίνειν κρέας, καὶ ὀπτῦσαι. Ἡσύχιος, περὶ τούτου καὶ ἐν Ἀχαρνεῦσι, σηπίας στάθευε, τουτέστιν ὄπτα. καὶ ἐν Ἐκκλησιαζούσαις, σηπίας ἐσταθευμέναις, ἤγουν ὀπτηθείσαις, ἢ πυρὶ χλιανθείσαις. ἄλλως. σταθεύειν, τὸ ἡσύχως, καὶ βραδέως ὠσαντεὶ πυρὶ ὀπτᾶν. Εἰ ῥύμμα.] ῥύμματα, τρίμματα, σμήγματα, καθάρματα. Σ. ἄλλως. ῥύμμα, ῥύπον, σπίλον, ἀκαθαρσίαν. σὺ λουτρόν, δηλονότι παρέξεις, δώσεις. νυμφικὸν δὲ λουτρὸν λέγει, ὅτι αἱ νύμφαι νεωστὶ γημάμεναι πρὶν ἢ μετὰ τῶν νυμφίων κοιμᾶσθαι καθαρότητος μείζονος ἕνεκα λουτροῖς ἐχρῶντο. Ἡλιάξεις.] ἡλιάσαι κυρίως ἐν τῷ ἡλίῳ ἁπλῶσαι. ἢ θερμαίνεσθαι ἐν ἡλίῳ. Ἡσύχιος. ὅθεν Ἡλιαία τὸ μέγιστον δικαστήριον Ἀθήνησιν. οὕτω καλούμενον, διὰ τὸ ἐν ὑπαίθρῳ εἶναι τόπῳ, καὶ ὑπὸ τοῦ ἡλίου βάλλεσθαι. ἡλιάζεσθαι δὲ, ὅθεν καὶ ἡλίασις, διὰ τὸ ἐν Ἡλιαίᾳ δικάζεσθαι. καὶ ἡλιασταὶ, οἱ ἐν Ἡλιαίᾳ δικασταί. καὶ τὸ ἡλιάξεις ἐνταῦθα λεπτῶν ἀντὶ τοῦ ἐν Ἡλιαίᾳ δικάσεις. ἢ καὶ ἔτι δικαστὴς ἔσῃ, οὐδὲ τῶν Ἡλιαίας δικαστής. ἢ καὶ ἁπλῶς, ἀντὶ ἔτι δικαστὴς ἔσῃ. ἡλιάζειν δὲ ἐν τῷ μέλλοντι ἡλιάσω, καὶ ἡλιάξω. ὡς παίζω, παίσω, καὶ παίξω. Σὸν ἔργον ὦ Ἀχελῷε.] ὦ Ἀχελῷε σὸν ἔργον ἐστί. νῦν ὦ Ἀχελῷε δεῖ σε κατὰ τούτου ποιεῖσθαι τὸ σὸν ἔργον, ἤγουν τούτους τοῖς σοῖς ὕδασι βρέχειν. ἢ δὲ Στρατυλλὶς ὕδωρ εἰς τὴν τοῦ γέροντος κεφαλὴν ἐκχέουσα τοῦτο λέγει. τὸν δὲ Ἀχελῷον ὡς θεὸν προσφωνεῖ. Ἀχελῷος δὲ ποταμὸς Ἀρκαδίας. καὶ πᾶν ὕδωρ οὕτω λέγεται. Ἄρδω σ' ὅπως.] ἄρδω, βρέχω. ἄρδειν ἀλλαχοῦ τὸ ποτίζειν. διὸ ἵππον ἄρδειν. Εὖ σταῦος δὲ, ὅθεν τὸ αὐαλέος, αὐανθεὶς, ξηρανθεὶς, ξηρός. χλιανεῖς δὲ, θερμανεῖς. ὅτι δὲ ὁ χορὸς γερόντων εἶπε, τρέμων, πρὸς τοῦτο ἡ Στρατυλλὶς ἐπιφέρει, σὺ τοίνυν πῦρ ἔχων, σὺ χλιανεῖς. οὕτως αὐτὸν σκώπτει.

B

CHRIST. Τί δ' οὐ πῦρ.] Legerem τί δαὶ σὺ πῦρ ὦ τύμβ' ἔχων, ὡς σαυτὸν, &c. Est autem ὦ τύμβε
C quasi ô silicernium. Sed & versu proximè praecedenti, si constare vis suis numeris qui Tetrametrum efficiant catalecticum, deleam σὺ & legam ὦ θεοῖσιν ἐχθρὰ δεῦρ'. Ἐγὼ μὲν ἵνα νήσας.] Lego ἐγὼ μίαν νήσας πυρὰν, & versu proximè sequenti νῦν δὲ μίαν τὴν σὴν, &c. Quia antea sic locutus est, μίαν πυρὰν νήσαντες. Εἰ ῥύμμα.] Sordes per hanc vocem intelligit, quae etiam σμήγματα, τρίμματα & καθάρματα, sed in hoc versu transponerem verba
D vltima & legerem ἐγὼ λουτρὸν παρέξω. Neq; mihi dubium est quin λουτρὸν hic sit lotium, seu puellare seu virgineum, quod vocat νυμφικόν. Ἄρδω σ' ὅπως] Lego ἄρδω σ' vt & legitur in Veneta edit.

ΠΡΟΒΟΥΛΟΣ, ΑΓΓΕΛΟΣ Γερόντων.

PROBVLVS vel PROVISOR, Nuntius à senibus.

Πρ. Ἆρ' ἐξέλαμψε τῶν γυναικῶν ἡ τρυφὴ,
Χ' ὡ τυμπανισμὸς χ' οἱ πυκνοὶ Σαβάζιοι.
Ὅ, τ' Ἀδωνιασμὸς οὗτος οὑπὶ τῶν τεγῶν.
Οὗ γώ ποτ' ὢν ἤκουον ἐν τῇ κλησίᾳ.
Ἔλεγεν δ' ὁ μὴ ὤραισι μὲν Δημόστρατος
Πλεῖν εἰς Σικελίαν. ἡ γυνὴ δ' ὀρχουμένη
Αἰαῖ Ἄδωνιν φησίν. ὁ δὲ Δημόστρατος
Ἔλεγεν ὁπλίτας καταλέγειν Ζακυνθίων.
Ἡ δ' ὑποπεπωκυῖ', ἡ γυνὴ 'πὶ τοῦ τέγους
Κόπτεσθ' Ἄδωνιν φησίν. ὁ δ' ἐβιάζετο
Ὁ θεοῖσιν ἐχθρὸς, καὶ μιαρὸς Χολοζύγης
Τοιαῦθ' ὑπ' αὐτῶν ἐστιν ἀκόλασθ' ᾄσματα.
Αγγ. Τί δῆτ' ἂν εἰ πύθοιο καὶ τὴν τῶνδ' ὕβριν
Αἳ τἄλλα θ' ὑβρίκασι κἀκ τῶν καλπίδων
Ἔλουσαν ἡμᾶς, ὥστε θ' αἱματίδια
Σείειν πάρεστιν, ὥσπερ ἐνουρηκότας.
Πρ. Νὴ τὸν Ποσειδῶ τὸν ἁλυκὸν δίκαιά γε.
Ὅταν γὰρ αὐτοὶ ξυμπονηρευώμεθα

E PROB. Ergo ille luxus foeminarum promicat
Sonusq; tympani & frequens bacchatio
Adonidisq; lessus in tectis strepens
In concione nuper auditus mihi,
Dum se in Sicanos autumat Demostratus
Haud tempori ire, saltat vxor interim
Eheuq; Adoni dicis, armites viros
F Zacynthiorum idem inquit Demostratus
Legisse, vt vxor temulenta per domum
Lugeri Adonin inquit: at vi ducitur
Odium deorum ille improbus Cholozuges:
Has cantiones impudicas efferunt.
NVN. Quid si ô Probule caeteras iniurias
Quas hae patrarunt rescias? lauere nos
Suis matellis, suntq; nostra pallia
G Quassanda tersim, vt illa quum permingimus.
PR. Testor marinum Trossuli numen dei,
Iure ista patrant, namq; nos cùm nequiter

BISETVS. Ἄρ' ἐξέλαμψε.] στίχος ἰαμβικὸς τετράμετρος ἀκατάληκτος. Πρόβουλος εἰς τὴν σκηνὴν προσελθὼν

θῶν, τῶν τότε γυναικῶν καταστρέψει. καὶ τὰς τούτων τρυφὰς, καὶ τὴν ἀκολασίαν ψέγει. καὶ δὴ καὶ τούτων τινὰς ὀνομαστὶ χαρακτηρίζει. Πρόβουλος δὲ νῦν, ὁ ἔξαρχος τοῦ βουλευτηρίου, ἢ ὁ προσηκτόμενος. Ησύχιος. ἀλλαχοῦ δὲ Πρόβουλος ἀρχή τις παρὰ τοῖς Αθηναίοις μετὰ τὴν ἐν Σικελίᾳ συμφορὰν καταστᾶσα. ὡς δῆλον ἐκ τῆς ὀγδόης τῆς Θουκυδίδου ξυγγραφῆς. Ομως δὲ, φησιν, ὡς ἐκ τῶν ὑπαρχόντων ἐδόκει χρῆναι μὴ ἐνδιδόναι, ἀλλὰ παρασκευάζεσθαι καὶ ναυτικὸν, ὅθεν ἂν δύναιντο ξύλα ξυμποριζομένους, καὶ χρήματα, καὶ τὰ τῶν ξυμμάχων ἐς ἀσφάλειαν ποιήσασθαι. καὶ μάλιστα τὴν Εὔβοιαν, τῶν τε κατὰ τὴν πόλιν τι ἐς εὐτέλειαν σωφρονίσαι. καὶ ἀρχήν τινα πρεσβυτέρων ἀνδρῶν ἑλέσθαι, οἵτινες περὶ τῶν παρόντων ὡς ἂν καιρὸς ᾖ προβουλεύσουσι. Σαβάζιοι.] Σαβάζιος, ὁ αὐτός ἐστι τῷ Διονύσῳ. ἔτυχε δὲ τῆς προσηγορίας ταύτης παρὰ τὸν γινόμενον περὶ αὐτὸν θειασμόν. τὸ γὰρ εὐάζειν, οἱ βάρβαροι σαβάζειν φασίν. ὅθεν καὶ τῶν Ελλήνων τινὲς ἀκολουθοῦντες τὸν εὐασμὸν σαβασμὸν λέγουσιν. ἔνθεν Σαβάζιος, ὁ Διόνυσος. Σάβους ἔλεγον καὶ τοὺς ἀφιερωμένους αὐτῷ τόπους, καὶ τοὺς βάκχους αὐτοῦ. Σ. περὶ τούτων δὲ, καὶ ἐν ἀρχῇ τῶν Σφηκῶν, καὶ ἐν Ορνισι διὰ πλειόνων εἴρηται. Ο, τ' Αδωνιασμός.] τίς ὁ Αδωνις γέγονε ὁ Αδωνις, τίνος υἱὸς, καὶ ἅ τινα περὶ αὐτοῦ οἱ ποιηταὶ μεμυθεύκασι, μηδενὶ ὡς οἶμαι, ἄγνωστον. Αδώνιον δὲ, τὸ τοῦ Αδώνιδος ἐπίθετον. Αδωνία δὲ θηλυκῶς, ἐστι τὰ Αδώνια πενθητικῶς ἑορτή τις τῷ Αδώνιδι, καὶ τῇ Αφροδίτῃ ἀγομένη. ὡς εἴρηται ἐν τῇ Εἰρήνῃ, ἐν τῷ

Πάσας τε τὰς ἄλλας τελετὰς τὰς τῶν θεῶν,

Μυστήρι' Ερμῇ, Διπόλεια, Αδώνια.

ὅθεν καὶ τὸ ῥῆμα Αδωνιάζω, τὸ ταύτην τὴν ἑορτὴν ἄγω. ἀφ' οὗ καὶ ὄνομα ῥηματικὸν, Αδωνιασμός. ὡς συνουσιασμὸς ἀπὸ τοῦ συνουσιάζω χαρακτηρίζεται. ταῦτα δὲ πάντα, ἐστὶν, ὅτι τοῦ θρήνου, τοῦ ἐπὶ τοῦ Αδώνιδος θανάτῳ ποιουμένου δηλοῦσι. καὶ οὕτως ἐν τῷ λητείον, ἐκ τῶν ἑξῆς φαίνεται ἐπὶ τῶν τεγῶν, τὸ πλῆρες, ὁ ἐπὶ τῶν τεγῶν. τέγη δὲ, καὶ στέγη, τέγος, καὶ στέγος ταυτὸ, οἴκημα. Ησύχιος. οὐ γάρ ποτ' ἤκουον. τὸ πλῆρες, οὐ γὰρ ποτε ἤκουον. καὶ ἐν τῇ ἐκκλησίᾳ. ἐν τῇ ἐκκλησίᾳ. Μὴ ὥρασι.] ὥρασιν, ἐν ὥραις. ἐν ὥρᾳ. ἐν καιρῷ ἐπιτηδείῳ. ὁ νοῦς. ὁ δὲ Δημόστρατος ἔλεγε μὴ τοῦ ἐν ὥρᾳ, ἀλλ' ἀκαίρως εἰς τὴν Σικελίαν πλεῖν. Οπλίτας καταλέγειν.] καταλέγειν ὁπλίτας, τὸ διαγράφειν, τὸ καταγράφειν. Ξενοφῶν. Οπλίτας τε αὐτῷ καταλέξασθαι χιλίους ἐψηφίσαντο. καὶ αὖθις. μετὰ δὲ ταῦτα κατελέξατο τὴν στρατιάν. ὁπλῖται δὲ, πελτασταὶ, ψιλοὶ τῆς πεζικῆς εἰσὶ καὶ μαχίμου δυνάμεως. ἔχουσι δὲ διαφοράς. ὁπλῖται μὲν γὰρ λέγονται, οἱ βαρυτάτῃ ὁπλίσει κεχρημένοι, κατὰ τὴν Μακεδονικὴν τρόπον, ἀσπίσι περιφερέσι, καὶ δόρασι περιμήκεσι ἐρείδοντες. ψιλοὶ δὲ, οἱ κουφοτάτῃ κέχρηνται, τόξοις, καὶ ἀκοντίοις, καὶ λίθοις ἐκ σφενδόνης, ἢ ἐκ χειρός. οἱ δὲ πελτασταὶ, μέσῃ πως κέχρηνται σκευῇ. ἥ τε γὰρ πέλτη, μικρά τις ἐστὶν ἀσπιδίσκη, καὶ κούφη. καὶ τὰ δόρατα πολὺ τῶν ὁπλιτῶν λειπόμενα. Σ. Ζακυνθίων.] Ζάκυνθος ἀρσενικῶς καὶ θηλυκῶς παρ' Ομήρῳ ὡς μαρτυρεῖ Στέφανος περὶ πόλεων πόλις ἐστὶν, ἀπὸ Ζακύνθου τοῦ Δαρδάνου. ὁ πολίτης Ζακύνθιος. Θουκυδίδης δὲ ἐν δευτέρῳ τῆς ξυγγραφῆς, νῆσον εἶναι λέγει, γράφων οὕτως, Οἱ δὲ Λακεδαιμόνιοι, καὶ οἱ ξύμμαχοι τοῦ αὐτοῦ θέρους ἐστράτευσαν ναυσὶν ἑκατὸν ἐς Ζάκυνθον τὴν νῆσον, ἣ κεῖται ἀντιπέρας Ηλίδος. εἰσὶ δὲ Αχαιῶν τῶν ἐκ Πελοποννήσου ἄποικοι, καὶ Αθηναίοις ξυνεμάχουν. ὑποπεπωκυῖα δὲ, μεθύουσα. ὑποπίνειν γὰρ, μεθύσκεσθαι. Κόπτεσθ' Αδωνιν.] κόπτειν, κοινῶς μὲν, τὸ διαιρεῖν. παρ' Αττικοῖς δὲ, τὸ κρούειν, καὶ πλήττειν. ὅθεν, κόπτειν τὴν θύραν. καὶ κόπτειν, τὸ κλαίειν, καὶ ὀδυρόμενον. κόπτεσθαι δὲ κεφαλὴν χερσὶν, ὅτι ἐντελῶς λέγεται, κόπτεσθαι κατὰ μόνας ἀτελῶς. καὶ κόπτεσθαι, τὸ πενθεῖν, ὅθεν κοπετὸς, τὸ πένθος, ὁ θρῆνος. κόπτεσθε

A ταίνυν τὸν Αδωνιν, ἀντὶ τοῦ πενθεῖτε, καὶ θρηνεῖτε. ἐκιάζετο δὲ, δηλονότι ταύτην τὴν γυναῖκα, πρὸς βίαν ἐφθέρετο. ἢ πρὸς βίαν αὐτῇ συνῆν. ἀκόλαστα δὲ ᾄσματα, καὶ ἀσελγεῖς ᾠδαί. ἐστιν ὑπ' αὐτῶν, ὑπ' αὐτῶν ᾄδεται. διὰ τούτων δὲ πάντων ὁ Πρόβουλος δηλοῖ τὴν γυναικῶν ἀκολασίαν, καὶ κακίαν, ὑφ' ἧς καὶ πρὸς τὸ τὰ παραγόμενα καὶ τόλμης ἐσχάτης ἔργον αὐτὰς προαχθείσας οὐδὲν θαυμαστὸν εἶναι λέγει.

CHR. Πρόβουλος.] Hic erat cum pluribus aliis ἔξαρχος τοῦ βουλευτηρίου, Herodotus vocat eo nomine
B mine quos Prouisores dicimus, Hi videbant ne quid ipsi nouem magistratus contra Rempublicam facerent. Eosdem fuisse Νομοφύλακας etiam putauit magnus Budæus, Principes Senati vocare possumus. Sudas in illa sua Collectaneorum farragine viginti primum fuisse, deinde plures creatos scribit post cladem Siciliæ qui cauerent ne quid Respub. caperet detrimenti. Eos maximus magister Aristoteles conuenire magis scribit in dominatu paucorum quàm in statu multi-
C tudinis, cuius Reipublicæ proprius ordo est βουλὴ non προβουλή, vide ipsum lib. 4. Politicon. Meminit idem τῶν προβούλων lib. 3. Rhetoricorum vbi Sophoclem πρόβουλον censuisse ait cum aliis προβούλοις, constituendos 400. Archontas. Ibi Græcus interpres προβούλους esse vult eos qui de rerũ euentis consulunt & deliberãt. Ο τ' Αδωνισμ.] Legẽdũ omnino Αδωνιασμός. Sic enim vel Hesychio teste dicitur lugubris Nenia quæ super Adonide celebratur. Mox vbi habes ὥρασι, in Veneta edi-
D tione legitur ἄρασι, vtrouis modo legas, ciccum, vt ait ille, non interduim. Ηδ' ὑποπεπωκυῖα.] Id est probè appota vt loquitur Latinitatis eligentissimus M. Plautus, Malè autem Veneta editio ὑποπεπλωκυῖα. Qui error occupauit Irenam fabulam, neque à me animaduersus fuit etsi monitori Leopardo doctissimo viro, iamdudum auscultandum fuerat qui cap. 23. libr. 9. Emendationum suarũ totus est in huius vocis explicatione. Quod paulò post ait de Cholozyge, nondum liquido mihi constat de sensu recto huius loci.

E BISETVS. Τί δῆτ' ἂν εἰ.] Ερχεται ὁ τῶν γερόντων ἄγγελος, ὃς ἀγγέλλει ἅπερ αὐτοὶ ὑπὸ τῶν γυναικῶν ἔπαθον. ὁ δὲ Πρόβουλος καὶ αὐτὸς καταγέλας ἅ τινα διηγησάμενος, τούτων αἰτίαν εἶναι λέγει, τὴν ἄγαν τῶν ἀνδρῶν πρὸς τὰς ἑαυτῶν γυναῖκας φιλοστοργίαν, καὶ ἄνεσιν. εἶτα καὶ ἑαυτὸν ὑπὸ γυναικῶν ἐκκλεισθέντα μέμφεται. τέλος δὲ, καὶ τινῶν δημοσίων ὑπηρετῶν προσκληθέντων ἅπαντες πρὸς τὴν ἀκρόπολιν, τὰς αὐτῆς πύλας διαῤῥήξοντες ὁρμῶνται. Ελουσαν.] τῷ ὕδατι ἐκ τῶν καλπίδων ἐγχεόμενον ἡμᾶς ἔβρεξαν ὥστε λοῦσαι δοκεῖν. Ωστε θοιμα-
F τίδια.] τὸ νοῦ. καὶ μέτρου χάριν, ταῦτα γεγράφθαι οὕτως. ὥστε θοιμάτιδια. θοιμάτιον Αττικῶς, ὅπερ κοινῶς, τὸ ἱμάτιον καλεῖται. ἐντεῦθεν δὲ τὸ ὑποκοριστικὸν θοιμάτιδιον, τὸ ἱμάτιδιον. Ωσπερ ἐνουρηκότας.] ὁ νοῦς. τὰ ἡμῶν ἱμάτιδια τῷ ὕδατι οὕτως ἔβρεξαν, ὥστε ἡμᾶς φαίνεσθαι ἐνουρηκότας αὐτοῖς. ὥστε αὐτὰ τῷ ἡμῶν οὔρῳ βεβρέχθαι δοκεῖν. τὸ δὲ ἐνουρηκότας Αττικῶς εἴρηται ἀντὶ τοῦ ἐνουρηκότας, παρὰ τὸ ἐνουρεῖν. Τὸν ἁλυκόν.] ἁλυκὸν δεύτερον καὶ δασυνόμενον. ἁλυκὴ, κατὰ τὸν Ησύχιον. ἐὰν μὲν τὸ α δα-
G σύνηται, ἡ θάλασσα. ἐὰν δὲ ψιλοῦται, ἡ λύπους μὴ ἔχουσα. ὁ αὐτὸς, ἁλυκὸν, ἁλμυρόν. τὸ δὲ μέγα ἐτυμολογικὸν, ἁλυκὸς, ἁλμυρὸς, παρὰ τὴν ἅλα. ἁλικὸς καὶ ἁλυκὸς, ὡς τρυφάλεια, τρυφάλεια. διὸ καὶ ἐκ ἀπιθάνως τεκμαίροιτο τίς ἐστι τὸ ἁλυκὸν ταυτὸ τῷ ἁλυκόν, ἤγουν ἅλιον, καὶ θαλάσσιον εἶναι. τοῦτο δὲ τὸ ἐπίθετον τοῦ Ποσειδῶνος ἐπὶ πρὸς

Bisetus. Ἐλθὼν, ἐκείνῃ.] ςικτέον μὲν τὸ ἐλθών. καὶ τὸ ἐκείνῃ πρὸς τὸ εὖ ἁρμόζον ἀνοιςέον, οὕτω, πρὸς ἑσπέραν ἐλθὼν, ἐκείνῃ, τῇ μου γυναικὶ δηλονότι, εὖ ἅρμοζε τὴν βάλανον τῷ τρήματι αὐτῆς. ἀλλ' ἐκ τούτων, καὶ τῶν ἄνω περὶ τῆς βαλάνου, καὶ τοῦ τρήματος λεγομένων, δῆλον ἔχειν ἀμφιβολίαν κακεμφάτου, καὶ διὰ τούτων τὴν τῆς συνουσίας ἀσέλγειαν ὑποσημαίνεσθαι. καὶ γὰρ ἡ βάλανος τὸ τοῦ ἀνδρὸς, καὶ τὸ τρῆμα τὸ τῆς γυναικὸς αἰδοῖον σημαίνειν δύναται. καὶ αὕτη ἡ τοῦ βαλάνου ἅρμοσις πρὸς τῇ γυναικὶ, παιδιᾶς καὶ γέλωτος χάριν ἀμφιβόλως τὴν βάλανον ἐκ τοῦ τρήματος τοῦ ὅρμου ἐκπεσοῦσαν, εἶτα ὑπὸ τοῦ δημιουργοῦ πάλιν ἐναρμοσθεῖσαν, καὶ τὸν τῆς συνουσίας τρόπον ἴσως δηλοίη. τούτων δὲ ὁ νοῦς οὗτος. Εἴτε παρὰ τῆς εὐσεβείας, καὶ σωφροσύνης νόμον αἱ ἡμῶν γυναῖκες ἀσελγέστερον ἁμαρτάνουσιν, ἁμαρτήματος τοιούτου τὴν αἰτίαν ἡμᾶς ἀνέχειν ἐχρῆν. καὶ γὰρ ἡμεῖς αὐτοὶ ταῖς ἡμετέραις γυναιξὶ ξυμπονηρευόμεθα, καὶ τρυφᾶν, καὶ ἀσελγαίνειν αὐτὰς διδάσκομεν, καὶ πάσης ἀκολασίας ἀφορμὴν αὐταῖς παρέχομεν. τὸ μὲν, τῇ τῶν λόγων ἀπρεπεστέρων συνηθείᾳ. τὸ δὲ, τῇ τῶν ἔργων ἀναιδεστέρων ἀποδείξει. οὐ τοίνυν αὐτὰς, ἀλλ' ἡμᾶς αὐτοὺς ὡς τούτων ἁπάντων αἰτίους δικαίως αἰτιατέον. Ἐν τισὶ δὲ τῶν ἀντιγράφων ἀντὶ τοῦ εὖ ἅρμοζε, γέγραπται ἐνάρμοζε. ὃ καὶ καλῶς ἔχει. Τὸ ζυγόν.] ταῦτα ληπτέον οὕτω, τὸ ζυγὸν πιέζει τοὺς πόδας κατὰ τὸ δακτυλίδιον. ζυγὸν δὲ, ὃ καὶ ἀρσενικῶς ζυγὸς, ὁ παρακείμενος ἱμὰς τοῖς δακτύλοις πλαγίοις ἐπὶ τῶν σανδαλίων. ἅτ' ἁπαλὸν ὄν. ἅτε ἀντὶ τοῦ ὡς, ὡς δηλαδή. πιέζει δὲ, θλίβει, σφίγγει. ἀλλ' ἴσως βέλτιον γράφειν ὑποπιέζει, καὶ τοῦ νοῦ καὶ τοῦ μέτρου χάριν, ἐὰν τὸ πρότερον ι τοῦ δακτυλίδιον συστέλλεται. τὸ γὰρ ι φύσει κοινόν. Ὅπως ἂν εὐρυτέρως ἔχῃ.] καὶ ταῦτα κακεμφάτου πολλὴν ἀμφιβολίαν, καὶ φανερὰν ὑποτύπωσιν ἔχει τῶν μετὰ τὴν συνουσίαν ταῖς γυναιξὶ συμβαίνειν εἰωθότων. Ἐκπορίσας.] ὁ νοῦς. Ἐγὼ τῆς βουλῆς ὢν ἔξαρχος, ἤγουν ἀρχὼν, καὶ παρασκευάσας ὅπως πλεῖστοι κωπῆς ἔσονται, νῦν ὅτε τῶν χρημάτων χρείαν ἔχομεν μεγάλην, ὅμως ὑπὸ τῶν γυναικῶν ἀποκέκλεισμαι τῶν πυλῶν τῆς ἀκροπόλεως, ὅπου τὰ χρήματα τῆς πόλεως ἐν τῷ ταμιείῳ κεῖται, ἄλλως. ἐκπορίσας τἀργύριον, εἴτε τὰ χρήματα συλλέξας, χρημάτων εὐπορίαν συλλέξας ὅπως πλείστους κωπῆς, εἴτε κωπηλάτας, ἤγουν ἐρέτας ἔχωμεν, νῦν ἡμῶν μεγάλην χρημάτων χρείαν ἐχόντων, ὑπὸ τῶν γυναικῶν, καὶ τὰ ἑξῆς. ὅπως κωπῆς ἔσονται] λέγει, ὅτι πρὸς τὸν πλοῦν, καὶ τὰς ναυτικὰς στρατείας πολλῶν κωπηλατῶν ἔδει. πολλοὺς δὲ κωπηλάτας ἄνευ χρημάτων ἔχειν ἀδύνατον. χρήματα δὲ τοῖς κωπηλάταις παρέχειν οὐκ ἐδύναντο, τῆς ἀκροπόλεως ὑπὸ τῶν γυναικῶν καταληφθείσης. κωπῆς δὲ Ἀττικῶς, ὡς τὸ ἱππῆς. παρὰ δὲ τὴν κώπην, κώπευς εἴρηται. καὶ τὸν κωπηλάτην σημαίνει. Ἀλλ' οὐδὲν ἔργον ἑστάναι.] οὐ δεῖ τὸν χρόνον μάτην ἔτι τρίβειν. Ὅπως ἄν.] ὅπως τὴν αὐτῶν ὕβριν σχήσω, καὶ παύσω. Ποῖ κέχηνας] ἥδε ἡ γραφὴ οὐ καλῶς ἔχει. καὶ μέτρου χάριν γραπτέον, Τί κέχηνας; Μηδὲν ἐκμοχλεύετε.] ἡ Λυσιστράτη, τοὺς ἄνδρας ἤδη τὰς τῶν πυλῶν διαρρῆξαι ἐπιχειροῦντας ἰδοῦσα, τοὺς μοχλοὺς ἀφεῖναι κελεύει, αὐτὴ πρὸς αὐτοὺς, αὐτομάτως αὐτίκα προσελευσομένη.

CHR. Πιέζει τὸ ζυγόν.] Explanat Hesychius cùm ait ἱμάντα esse παρακείμενον τοῖς δακτύλοις ἐπὶ τῶν σανδαλίων, sed addit Sudas πλαγίοις δακτύλοις. Mox cùm ait ἐκπορίσας, intellige ἐξανύσας. Ὅπως κωπῆς ἔσονται.] Aut falli me necesse est (quod sæpè nimis accidit) aut innuit de Trierarchia, Nã qui istud muneris obibat & ad nauale bellum necessaria suppeditabat, τριηραρχεῖν dicebatur, victum autem remigibus sufficiebant Trierarchi. Ποῖ κέχηνας ὦ.] Hic versus Trimeter est Trochaicus Catalect. Tamen si ποῖ exsulare facis, aut παρεπιγραφῆς locum obtinere vis, similis erit versus cęteris Trimetris Iambicis. Mox verò pro ὑποβαλόντι lego ὑποβαλόντες. versus autem ille οὐ γὰρ μοχλῶν δεῖ, nisi fallit me memoria, parodia est ad versus Euripidæ.

ΠΡΟΒΟΥΛΟΣ, ΛΥΣΙΣΤΡΑΤΗ, Στρατυλλίς.

Πρ. Ἄληθες ὦ μιαρὰ σύ. ποῦ 'σθ' ὁ τοξότης;
Ξυλλάμβαν' αὐτὴν κ' ὀπίσω τὼ χεῖρε δεῖ.
Λυ. Εἴ τ' ἄρα νὴ τὴν Ἄρτεμιν τὴν χεῖρά μοι
Ἄκραν προσοίσει δημόσιος ὢν κλαύσεται.
Πρ. Ἔδεισας οὗτος; οὐ ξυναρπάσει μέσην;
Λυ. Καλοῦ μὲν τοῦτον κ' ἀνύσαντε δήσετον.
Στρ. Εἴ τ' ἄρα νὴ τὴν Πάνδροσον ταύτῃ μόνον
Τὴν χεῖρ' ἐπιβαλεῖς. ἐπιχεσεῖ πατούμενος.
Πρ. Ἰδού γ' ἐπιχεσεῖ. ποῦ 'στιν ἕτερος τοξότης;
Ταύτην προτέραν ξύνδησον ὁτιὴ καὶ λαλεῖ.
Λυ. Εἴ τ' ἄρα νὴ τὴν φωσφόρον τὴν χεῖρ' ἄκραν
Ταύτῃ προσοίσεις, κύαθον αἰτήσεις τάχα.

PROBVLVS, LVSISTRATA, Stratullis.

PROB. Placet nefanda? lictor arcitenens ubi est?
Heus tu prehende hanc & liga à tergo manus.
LVS. Testor Dianam, si quis admorit manum
Liturgus in me tantulum, flebit nimis.
PR. Quid extimescis? non prehendis ocyus?
Non ibis & tu colligaturus statim?
STR. Per Pandroson, si tu manum isti iniecaris
Vel paululùm calcatus hic cacans eris.
PR. Hui cacans! ubi alter est sagittifer?
Prius volo istam vinciat quæ sic blatit.
STR. Per albicantis lucis auctorem deam,
Si taxis istam, forsit ut cotulam petas.

Πρ. Τυτὶ τί ἦν; ποῦ ὁ τοξότης; ταυτηςὶ ἔχου.
Παύσω τίν' ὑμῶν τῆσδ' ἐγὼ τῆς ἐξόδου.
Στ. Εἴτ' ἄρα νὴ τὴν Ταυροπόλον ταύτῃ προσοίσει,
Ἐκτοκιῶ σου τὰς στενοκωκύτους τρίχας.
Πρ. Οἴμοι κακοδαίμων ἐπιλέλοιφ' ὁ τοξότης.
Ἀτὰρ οὐ γυναικῶν οὐδέποτ' ἔσθ' ἡττητέα
Ἡμῖν. ὁμόσε χωρῶμεν αὐταῖς ὦ Σκύθαι,
Ξυνταξάμενοι. Λυ. νὴ τὼ θεὼ γνώσεσθ' ἄρα
Ὅτι καὶ παρ' ἡμῖν εἰσὶ τέτταρες λόχοι
Μαχίμων γυναικῶν ἔνδον ἐξωπλισμένων.
Πρ. Ἀποστρέφετε τὰς χεῖρας αὐτῶν ὦ Σκύθαι.
Λυ. Ὦ ξύμμαχοι γυναῖκες ἐκθεῖτ' ἔνδοθεν
Ὦ σπερμαγοραιολεκιθολαχανοπώλιδες
Ὦ σκοροδοπανδοκευτριαρτοπώλιδες.
Οὐκ ἐξέλξετ', οὐ παιήσετ', οὐκ ἀρήξετε.
Οὐ λοιδορήσετ', οὐκ ἀναισχυντήσετε.
Παύσασθ', ἐπαναχωρεῖτε, μὴ σκυλεύετε.
Πρ. Οἴμοι κακῶς πέπραγέ μου τὸ τοξικόν.
Λυ. Ἀλλὰ τί γὰρ ᾤου; πότερον ἐπὶ δούλας τινὰς
Ἥκειν ἐνόμισας, ἢ γυναιξὶν οὐκ οἴει
Χολὴν ἐνεῖναι; Πρ. μὰ τὸν Ἀπόλλω καὶ μάλα
Πολλήν, ἐάν γε πλησίον κάπηλος ᾖ.
Χο. Ὦ πόλλ' ἀναλώσας ἔπη Πρόβουλε τῆσδε γῆς
Τί τοῖσδε σαυτὸν εἰς λόγον τοῖς θηρίοις συνάπτεις;
Οὐκ οἶσθα λουτρὸν οἷον αἵδ' ἡμᾶς ἔλουσαν ἄρτι
Ἐν τοῖσιν ἱματιδίοις, καὶ ταῦτ' ἄνευ κονίας.
Χο. Γ. Ἀλλ' ὦ μέλ' οὐ χρὴ προσφέρειν τοῖς πλησίοισιν εἰκῆ
Τὴν χεῖρ'. ἐὰν δὲ τοῦτο δρᾷς, κυλοιδιᾶν ἀνάγκη.
Ἐπεὶ θέλω 'γὼ σωφρόνως ὥσπερ κόρη καθῆσθαι
Λυποῦσα μηδέν' ἐνθαδὶ κινοῦσα μηδὲ κάρφος.
Ἢν μή τις ὥσπερ σφηκιὰν βλίττῃ με κἀρεθίζῃ.

A *PR. Quid istud est? ubi ille lictor? heus istam tene,*
Eruptionem hanc perfacul repressero.
STR. Per Tauricam si pergis huc accedere
Crines revellam flebilem in modum tuos.
PR. Heu me misellum, hic arquitum penuria est,
At non oportet feminis sic cedere,
B *Age irruamus, ô Scytha, instructo ordine*
Adversus illas. LYS. Per deos videbitis
Lectas cohortes esse nobis quattuor
Pugnacium intus feminarum & armitum.
PR. Vos feminarum avertite, ô Scytha, manus.
LYS. Exite sociæ femina, huc concurrite
Vos seminiforipisolecipola, simul
Vos allicaupopanivendula advoco:
Ecquid venitis, caditis, succurritis,
C *Conuiciamini, impudenter pergitis?*
Cessate, cessim abite, nec prædemini.
PR. Cessit meus eheu, male sagittarius.
LYS. Nam quid putabas? rem tibi cum servolis
Fore autumabas? tune bilem feminis
Non esse credis? PR. Imò per Phœbum adfatim
D *Inesse credo, caupo si prope adsiet.*
CH. S.V. O multa frustra verba qui mutaveris
Probule, cur his applicans te bestiis moraris?
Nescisne quali balneo nos alluere nuper
Per nostra pallia, idque labe sordidata nulla?
CH. MUL. nam proximo stultè suo vis inferenda non est
Miselle, quòd si feceris, es vapulans tumebis
E *Velim quidem modestè, & instar virginis sedere*
Nulli molesta, ne quidem festuculam movendo,
Dum ne quis ut vespariam irritans clepat meum mel.

BISETUS. Ἀληθῶς ὦ μιαρὰ σὺ] ὑπηρέτης γνωριμώτερόν ἐστιν ὄνομα, καὶ παρὰ τῷ Σουίδᾳ, καὶ τῷ Ἡσυχίῳ ἑρμηνεύεται δοῦλος. τὸ δὲ μέγα Ἐτυμολογικὸν λέγει, ἐκ τῆς ὑπὸ προθέσεως, καὶ τοῦ ἐρέσσειν, τὸ κωπηλατεῖν γίνεσθαι τὸ ὑπερέτης, ἐκβολῇ δὲ τοῦ ο, καὶ τροπῇ τοῦ ε εἰς η, ὑπηρέτης. κυρίως γὰρ ὁ ναύτης. ἔοικε δὲ, εἰδικώτερον ὑπηρέτας νοητέον εἶναι, ὡς οἷς ἂν ἐκ τῶν δημοσίων δούλων, οὓς ἂν ὁ Πολυδεύκης ἐν τῷ ὀγδόῳ οὕτω χαράσσει. οἱ πρὸ τῶν δικαστηρίων, καὶ τῶν ἄλλων συνεδρίων δημόσιοι ὑπηρέται, οἷς ἐπιτέτακτο ἀνείργειν τοὺς ἀκοσμοῦντας, καὶ τοὺς ἃ μὴ δεῖ λέγοντας ἐξαίρειν, καὶ Σκύθαι, καὶ τοξόται, καὶ Σπευσίνιοι ἐκαλοῦντο, ἀπὸ τοῦ πρώτου συντάξαντος τὴν περὶ αὐτοὺς ὑπηρεσίαν. τούτων οὖν οὕτως ἐχόντων, δῆλον τὴν ὑπηρέτιν, τὴν τοξότιν, καὶ τὴν Σκύθαιναν συνωνύμως λέγεσθαι. διὸ οὐκ ἀπιθάνως F τινὲς τεκμαίρονται, καὶ ἐνταῦθα, καὶ ἐν τοῖς ἑξῆς τὸ τοῦ ὑπηρέτου πρόσωπον, ἀντὶ τοῦ προσώπου τοῦ Προβούλου διεφθαρμένως γεγράφθαι. τοῦτον δὲ τὸν εἰκασμὸν βεβαιοῦσιν ὅ τε νοῦς, καὶ ὁ τῶν λαλουμένων λόγος, μάλιστα δὲ, τὰ ὑπὸ τοῦ χοροῦ κάτω λεγόμενα,

Ὦ πόλλ' ἀναλώσας ἔπη Πρόβουλε τῆσδε γῆς.

τοῦ Προβούλου γὰρ ὡς ἄρχοντός τινος ὄντος, μὴν τοῖς ὑπηρέταις ἐπιτάττειν, οὐ τῶν ὑπηρετῶν τῷ Προβούλῳ. καὶ διὰ ταῦτα βέλτιον ἴσως τὸ φανερὸν σφάλμα διορθοῦν. εἰ δὲ πλείους τὴν παλαιὰν τούτων τῶν προσώπων γραφὴν G σώζειν βουλόμενοι, λέγουσι τοὺς τοξότας ταῖς ὑπηρέταις ὑποτάττεσθαι, ὡς τοὺς ἥττους τοῖς κρείττοσι, καὶ τοὺς ἀτιμοτέρους τοῖς τιμιωτέραις. καὶ τὴν ὑπηρέτιν ἐνταῦθα εἶναι αὐτὴν ἐκείνην, ᾗ μικρῷ πρότερον ὁ Πρόβουλος ἔλεξε, Τί κάχηνας ὦ δύστηνε; καὶ τὴν αὐτὴν ὑπηρέτιν νῦν ταῦτα λέγειν

γεῖν, κλαυθήσει μιαρά συ. εἶτα ξυντείνω, ποῦ ἐστὶν ὁ τοξότης; καὶ αὐτῇ ὡς ὑπηρεσιαστέρῳ τέλος πρὸς ἀπειλὴν ταῦτα, ξυλλαμβάνειν αὐτὴν καὶ τὰ ἑπόμενα.

Ἀλλὰ τίς τούτων ἐγγύτης ἀξιόχρεως ἔσται;

διότι οὐδὲν ἀσφαλὲς ἀπ' αὐτῶν, καὶ ἀβεβαίως κινητέον. σοφῶς οὖν ἐστὶν ἀνδρῶν ἐν τοῖς ἀδήλοις, καὶ τοῖς κατ' ὀλίγον ἀποβαίνειν ἔχουσι, μηδὲν ἀβούλως κινεῖν. ἀλλὰ τὴν παλαιὰν χρείαν ἀκριβῶς τηρεῖν, ἕως ἂν βελτίονος τύχωσι ταύτης τῆς τῶν ἐμπειροτέρων ἀνδρῶν γνώμης. καὶ διαφέρει ἐξ ἧς ἥττης ἐπηλάβαι πάνυ καλὴν καὶ λυσιτελές. ὁ γὰρ νοῦ λαλούμενος ποτ' ἂν εἴη, εἴτε ὁ Πρόβουλος, εἴτε τις ὑπηρέτης, τὴν Λυσιστράτην ἐκ τῆς ἀκροπόλεως ἐξελθοῦσαν ἰδών, αὐτὴν ὑπὸ τῶν τοξοτῶν ταχέως ξυλλαμβάνεσθαι καὶ δεσμεύεσθαι κελεύει. ἡ δὲ, καὶ ἡ Στρατυλλὶς ἀλλήλαις συνεργοῦσαι καὶ βοηθοῦσαι γυναικὸς ἀπομάχονται, καὶ τὴν ἐπιστάλαν βίαν ἀπωθοῦσι, τὰς ἄλλας τὰς ἐν τῇ ἀκροπόλει εὔνας προσκαλεσάμεναι. δεῖ, δῆσον. ἐκ τοῦ δέω κατὰ κρᾶσιν. Δημόσιος ὤν.] δημοσίους λέγουσιν, ὥς φησι Σουίδας, τοὺς τῆς πόλεως φύλακας. τοιοῦτοι οἱ ὑπηρέται καὶ τοξόται καὶ Σκύθαι. Ἐδεδίεις ἄρα.] ἐφοβήθης. παρὰ τὸ δέος ὅ ἐστι φόβος, παρῆκται τὸ δείδω. δείσω. τὸ φοβοῦμαι. ξυναρπάσει δὲ, Ἀττικῶς ἀντὶ τοῦ ξυναρπάσεις. ἀνύσαντε δηλονότι συλλαβόντε, ταχέως δεῖτον. ταῦτα ἐν δυϊκῷ ἀριθμῷ. Νὴ τὴν Πάνδροσον.] Σουίδας Πάνδροσον ὄνομα κύριον γυναικὸς εἶναι γράφει. τίς δὲ αὕτη οὐ δεδήλωκε. Παυσανίας δὲ τὴν Πάνδροσον μίαν τῶν τοῦ Κέκροπος θυγατέρων εἶναι λέγει. τῷ ναῷ δὲ τῆς Ἀθηνᾶς ὁ Πανδρόσου ναὸς συνεχὴς ἦν. ὥσπερ καὶ αὐτὸς ὁ Παυσανίας μαρτυρεῖ. ταύτην οὖν ἐνταῦθα νοητέον. ἐπιχεσεῖ δὲ Δωρικῶς, ὅπερ Ἀττικῶς ἐπιχέσει, καὶ ἐπιχέσῃ. κοινῶς δὲ, ἐπιχέσεις. Ἰδοὺ ἐπιχεσεῖ.] τὸ ἰδοὺ περισπώμενον, ὃ καὶ ἰδὲ ποιητικῶς, προστακτικόν ἐστι τοῦ εἶδον ῥήματος ὅ ἐστι τοῦ ἀορίστου β. καὶ εἶδον. καὶ παρὰ τοῖς ποιηταῖς ἴδον ἄνευ διφθόγγου, ὅθεν ὁ β. ἀόριστος μ. ἰδόμην, οὗ ἐστι. καὶ ἐν τῷ προστακτικῷ ἰδοῦ ἰδέσθω, ὡς τὸ τυποῦ, τυπέσθω. ἰδοὺ δὲ ὀξυτονούμενον, ἐπίρρημα δεικτικὸν κοινῶς. παρὰ δὲ τῷ Ἀριστοφάνει ἰδίαν τινὰ καὶ χαρίεσσαν ἔχει χρῆσιν, ὅταν τὸ τέλος τῶν ὑμῖν ὑπ' ἄλλου τινὸς λεγομένων ἐπαναλαμβάνοντες εἰρωνικῶς αὐτῷ συγχωροῦμεν, ὡς ἐνταῦθα. καὶ γὰρ ἡ Στρατυλλὶς ταύτας ἀπειλὰς ἐπιτείνασα, ἐπιχεσεῖ παλούμενος, ὁ ὑπηρέτης ἀποκρινόμενος, καὶ αὐτὴν καταγελῶν, καὶ σκώπτων, αὐτίκα τὰς αὐτῆς τελευταίας λέξεις ἐπαναλαμβάνων ἐπιφέρει μετ' ἀγανακτήσεώς τινος. ἰδοὺ ἐπιχεσεῖ. τοῦτο δὲ παρὰ τοῖς ῥήτορσι, διὰ τῶν, ὡς ἔοικεν, εἰρωνικῶς ληφθέντων, ῥωμαϊκῶς ἀποφαίνεται. οὕτω καὶ ἐν τῇ Εἰρήνῃ, ἀγροικοῦ τινὸς Τρυγαίου ἐρωτῶντος ποῖ γῆς οἱ θεοὶ εἶεν, ὁ Ἑρμῆς χλευάζειν, καὶ εἰρωνευόμενος αὐτῷ ἀποκρίνεται, ἰδοὺ γῆς. τὴν τἀνδρὸς ἀπειρίαν καὶ ἄγνοιαν μεμψάμενος, ὅτι περὶ τῶν θεῶν ὡς περὶ τῶν ἀνθρώπων ἐφρόνει. καὶ ἐν Ἐκκλησιαζούσαις γυνή τις ἐκκλησιάζουσα λέγει,

Εἶτα πρὶν πιεῖν λέγω;

ἄλλη δὲ γυνὴ ἀποκρίνεται, Ἰδοὺ πιεῖν. οὕτω δὲ ταύτην αὐτὴ ψέγει. ὡς ἀκαίρως καὶ ἀτόπως περὶ πότου λόγους ποιουμένην. καὶ μετ' ὀλίγον ἡ αὐτὴ αὖθις λέγει,

Τί δή; οὐ πίνουσι κἀν τῇ κλησίᾳ; ἡ δὲ ἐπιφέρει,

Ἰδοὺ γε σοὶ πίνουσι.

καὶ ὃ ἦν καὶ πλείστοις ἄλλοις ἐν χωρίοις παρὰ τούτῳ τῷ ποιητῇ, πλεῖστα ταύτης τῆς σημασίας παραδείγματα εὑροις. ἔστιν ὅτι καὶ οὕτω λεγόμενον καταφρονοῦντες τῶν λεγόντων ... καὶ παρ' οὐ ... αὐτοὺς ἡγούμενοι. Κυάθου αἰτήσεις.] ἵνα δηλαδὴ προσθῇ τῆς γνάθοις, οὕτως ἀποτιθέντες τυπτηθῆναι ὑφ' ἡμῶν. γεμίζουσι γὰρ κύαθον θερμοῦ καὶ προσκολλῶσι τοῖς οἰδήμασι. καὶ θεραπεύουσι. ταῦτα παρὰ τῷ Σουίδᾳ. ἂν καὶ σαφεστέραν ἔχοις ἐξήγησιν ἐν τῇ Εἰρήνῃ. ἐν τοῖς δὲ, κυάθοις προσκείμενα, ὅπως τὰ σχόλια οὕτω γράφει, τοῖς γὰρ χαλκοῖς ὀξυβάφοις τὰ ὑπώπια ἀναλείβοντες, ἀφανῆ ποιοῦσι. τοιούτοις γὰρ τοὺς ἐκ πληγῶν ἐθεράπευον μώλωπας. ἔστι δὲ μετωνυμίας σχῆμα. τὸ γὰρ ἑπόμενον, ἀντὶ τοῦ προηγουμένου λαμβάνεται. τὸ προηγούμενόν ἐστι, τὸ τύπτεσθαι. τὸ δὲ ἑπόμενον, τὸ τοιούτοις κυάθοις προσκολληθεῖσι θεραπεύεσθαι. ὅμοιον τούτῳ καὶ τὸ λέγειν, οἰμώξεις, καὶ κλαύσεις. κύαθος δὲ, ὡς αὐτὸς ὁ Σουίδας φησὶ, μέτρον οὐγγιῶν β. ἢ κοχλιάρια ... τὸ χύω, χύαθος. καὶ κατὰ τροπὴν τῆς δασύτητος εἰς ψιλὸν κύαθος. Τὴν Ταυροπόλον.] τῆς Ἀρτέμιδος ἐπίθετον, ἢ ὅτι ἐν Ταύροις Σκυθίας ἔθνει ἐτιμᾶτο, ἢ ὅτι τῶν ταύρων, καὶ τῶν ἄλλων τετραπόδων προστατεῖν μυθεύεται. περὶ δὲ τούτου τοῦ ἐπιθέτου Εὐριπίδης ἐν Ἰφιγενείᾳ ἐν Ταύροις ταῦτα λέγει,

Ἐνταῦθα τεύξας ναὸν, ἵδρυσαι βρέτας
Ἐπώνυμον τῆς Ταυρικῆς, πόνων τε σῶν,
Οὓς ἐξεμόχθεις περιπολῶν καθ' Ἑλλάδα,
Οἴστροις Ἐριννύων. Ἄρτεμιν δέ νιν βροτοὶ
Τὸ λοιπὸν ὑμνήσουσι Ταυροπόλον θεάν.

νῦν δὲ τὸ ἐπίθετον ἀντὶ τοῦ ὀνόματος κυρίου κατ' ἀντονομασίαν ἐτέθη. πρόσει δὲ, προσελεύσῃ, προσέλθῃς. Ἐκκοκκιῶ.] ἐκτιλῶ, ἐκσπάσω, ἀνασπάσω, συνοικούντως τρίχας, ἐν αἷς τιλλομένη στενάζει. Σ. ἄλλως. τὰς σὰς τρίχας ὡς κόκκους ἐκ τῶν ῥοιῶν πάσας κατὰ μίαν ἐκ τῆς κεφαλῆς ἐκτιλῶ, ἐκσπάσω, ἂν ἐκτιλλομένας σὲ κωκύειν, στενάζειν, θρηνεῖν, καὶ βοᾶν ποιήσω. Ἐπιλέλοιφ' ὁ τοξότης.] ἐκ τούτων, καὶ ἐκ τῶν ἑξῆς, Ὁμόσε χωρῶμεν αὐτοῖς ὦ Σκύθαι, τινὲς τεκμαίρονται τοὺς τοξότας τῶν Σκυθῶν διενηνοχέναι. καὶ τοὺς τοξότας, οὐ τοὺς αὐτοὺς τοῖς Σκύθαις γεγονέναι. ἀλλὰ οὐδὲν κωλύει τὴν μὲν ὑπηρεσίαν τὴν αὐτὴν γενέσθαι, τὰ δὲ τῶν ὑπηρετούντων ὀνόματα, καὶ τὴν αὐτῶν ὅπλισιν διάφορον, τὴν δὲ τιμὴν ἁπάντων ὁμοίαν γεγονέναι. ἅπαντες γὰρ ἦσαν ὑπηρέται, καὶ φύλακες δημόσιοι. εἰ δέ τις ἄλλην περὶ τούτων ἔχει γνώμην, πρὸς τοῦτον φιλονεικῶς οὐ διαμαχητέον. τίς δὲ τῶν τόξων, καὶ τοξοτῶν, καὶ τῶν ὁπλιτῶν διαφορὰ, τίς ἔπαινος, ἢ ψόγος, Εὐριπίδης διὰ πολλῶν ἐν τῷ Ἡρακλεῖ μαινομένῳ δηλοῖ. Γυναικῶν οὐδέποτ' ἔσθ' ἡττητέα.] ἧττα, ἡ νίκη, ἢ νικώμεθα, ἡ τροπὴ, ἡ ἐλάττωσις, καὶ ἡ νίκη, ἢ τῶν ἄλλων νικῶντες ἥττω, καὶ ὑποδεέστερον ποιοῦμεν, τουτέστιν ἐλαττοῦμεν. ὅθεν τὸ ἡττᾶν, ἥττω, ἐλάττω τιθέναι, ἐλαττοῦν, νικᾶν. ἡττᾶσθαί τινος, νικᾶσθαι ὑπό τινος, καὶ ἥττω γίνεσθαι. ὁ νοῦς, οὐ δεῖ ἡμᾶς ἐᾶν ἡττᾶσθαι τῶν γυναικῶν, ἤγουν ὑπὸ τῶν γυναικῶν κρατεῖσθαι, καὶ νικᾶσθαι. ὅπερ αἰσχύνην ἡμῖν μεγίστην φέρει. τοῦτο δὲ εἴρηται ὡς καὶ τὸ γαστρὸς ἡττᾶσθαι. καὶ τῆς ἡδονῆς ἡττᾶσθαι. τὴν δὲ αὐτὴν σύνταξιν τὸ ῥῆμα τοῦτο φυλάττει, ἥνπερ αὐτὸ τὸ ὄνομα. ὡς ὅταν λέγομεν ἡδονῆς, ἔρωτος, ἢ γαστρὸς ἥττων. Ὁμόσε χωρῶμεν.] ὁμόσε χωρεῖν, πολεμικῶς, ἢ ἐριστικῶς συμβάλλειν. μάχην πρός τινα συνάπτειν. πολεμικῶς ἐπιχειρεῖν τινι, μάχεσθαι. Ἔνδον.] ἢ ἐν πόλει. ἢ ἐν ἀκροπόλει ὃ καὶ πιθανώτερον. ἐκθεῖτε ἔνδοθεν, ἐκ τῆς ἀκροπόλεως ἐκτρέχετε βοηθήσουσαι. ἐξωπλισμέναι δὲ, τουτέστι καλῶς ὡπλισμέναι, καὶ πᾶσαν πολεμικὴν ὅπλισιν, καὶ παρασκευὴν ἔχουσαι. ἡ γὰρ ἐξ πρόθεσις ἐνταῦθα οὐκ ἔξω οὐδὲ στέρησιν, ἀλλὰ παρασκευῆς τι πλήρωμα σημαίνει. Ὦ σπερμα.] τουτέστιν, ὦ σπερμάτων, καὶ λεκίθων, καὶ λαχάνων ἀγοραιοπώλιδες. ἤγουν ὦ γυναῖκες σπέρματα, λεκίθους, καὶ λάχανα ἐν τῇ ἀγορᾷ πωλοῦσαι. ἐκ τοῦ γὰρ ἀγορᾶς, τὸ ἀγοραῖος. ὅθεν τὸ σύνθετον γίνεται. λεκιθόπωλις δὲ, γυνὴ πωλοῦσα ὠὰ καὶ λέκιθος, εἶδος ὀσπρίου ὃ καλεῖται πισός, διὰ τὸ ἐοικέναι τὴν χρόαν λεκίθῳ ὠοῦ. καὶ λεκιθόπωλις, ἡ ὀσπριόπωλις ὡς εἴρηται. Σ.

Ὦ σκοροδοπανδοκ.] ὦ πανδοκεύτριαι σκόροδα, καὶ ἄρτους πωλοῦσαι. πανδοκεύτρια δὲ ἡ καπηλὶς παρὰ τὸ πάντας δέχεσθαι. κάπηλος δὲ παρὰ τὸ καπύειν τὸν πηλόν. πηλὸς δὲ ὁ οἶνος. ὅθεν καὶ ἄμπελος οἱονεὶ ἔμπηλος οὖσα, ἡ ἐν αὐτῇ ἔχουσα τὸν πηλόν. παιήσετε, πλήξετε. Παύσασθε.] ἐκ τῶν ἤδη λεχθέντων καὶ αὐτίκα λεχθησομένων, δηλονότι, Οἴμοι κακῶς πέπραγέ μου τὸ τοξικόν, φανερὸν εἶδός τι πολεμικῆς συμπλοκῆς, καὶ μάχης, γέλωτος χάριν, ἐν τοῖς ἀνδράσι καὶ ταῖς γυναιξὶν ἀπεικονίσθαι, καὶ παρεστάθη. ἐν ᾧ οἱ ἄνδρες τὰς τῶν γυναικῶν ὁρμὰς, τὰς ἐφόδους, καὶ βίαν B ὑπομένειν οὐ τολμήσαντες αἰσχρῶς ἔφυγον. ἡ δὲ Λυσιστράτη τοῦτο καταμαθοῦσα, τοὺς γενναίους στρατηγοὺς μιμησαμένη (οἵπερ τὴν τῆς νίκης δόξαν μόνην ἀγαπῶντες, τὸ ἀνακλητικὸν σημαίνουσι, καὶ τοὺς αὑτῶν στρατιώτας ἀπὸ τῶν ἡττηθέντων πολεμίων σκυλεύοντας ἀποτρέπουσι) ταυτὸ ποιεῖ. καὶ τὰς γυναῖκας ἤδη νικώσας, ὡς τοὺς νενικημένους ἐλεούσας πρὸς αὑτὴν στρατηγικῶς ἀνακαλεῖ. τοῦτο δὲ μεγίστην ἡδονὴν τοῖς θεωμένοις ἔφερε. Μὴ σκυλεύετε.] σκῦλον, ὡς Εὐστάθιός φησι, τὸ δέρμα λέγεται, ἀφ' οὗ ἴσως καὶ σκυλεύειν, κυρίως τὸ ἐν πολέμῳ βύρσας, ὅ ἐστι βοείας ἀσπίδας λαμβάνειν. ἐξ οὗ καὶ ἀπὸ μέρους, καὶ ἐπὶ C πάσης πολεμικῆς σκευῆς ἐλέχθη. δοκεῖ δὲ αἰολικὸν εἶναι τὸ σκῦλον, ὡς φαίνεται ἐκ ῥητορικοῦ λεξικοῦ. Ἐάν γε πλησίον κάπηλος ᾖ.] τοῦτο λέγει σκώπτων τὰς γυναῖκας εἰς φιλοποσίαν. καὶ γὰρ ὁ πολὺς οἶνος τὴν χολὴν, καὶ τὴν ὀργὴν τῇ ἑαυτοῦ θερμασίᾳ κινεῖ.

CHR. Ποῦ 'σθ' ὁ τοξότης.] Erant τοξόται Scythæ Liturgi, ministri publici, custodes vrbis, olim mille numero medium incolebant forum, casásque vel σκηνὰς illic structas habebant. D Postea transierunt in Areopagum, vocabantúrque non solùm scythæ sed etiam Speusinij à speusino quodam qui eos constituerat. Καὶ σὺ μετ.] Puto hæc verba continuari ab Hypereta vel ministro & dirigi ad alterum τοξότην. Νὴ τὴν Πάνδροσον.] Mulieris nomen est apud Sudam. Hic vel Luna est vel Matuta, fortassis sic dicta quia rosida, & πανάπαλος. cyprij tamen δρόσους vocant ἐχεύας. sanè puto Artemin tantùm intelligi etiam per E Epitheta sequentia φωσφόρον & ταυροπόλον. Tamen Minerua etiam dicta est ταυροβόλος. Euripides autem Artemin dixit φωσφόρον, quamuis hac voce propriè indigitetur stella Veneris. Luciférque dicatur. Ἐπιχεσεῖ πατούμενος.] Quia alloquitur ὑπηρέτην suspicor hoc de industria dictum, vocabatur autem ἀμὶς vel familiarica sella etiam ὑπηρέσιον, quamuis propriè magis sit locus vbi remiges sessitant. Hoc autem genere loquendi vsus F est in alia fabula Aristophanes, Πατούμενοι ὑπὸ τοῦ γέροντος πολλαπλασίονα χέζομεν. Κύαθον αἰτήσεις τάχα.] Minatur illi verbera, Ita inquit pugnorum velitatione contusum te faciam vt necesse sit tibi cyatho vel cotula quam supponas oculis tuis vt detumescant. Sic dixit in Pace de vrbibus ὑπωπιασμέναι καὶ κυάθους προσκείμεναι. Vide (si operæ pretium) quæ illic iamdudum notauimus. Hic autem locus sic apud Sudam explanatus reperitur. ἵνα προσθῇς τῇ γνάθοις, οὕτως ὑπωπιασθεὶς καὶ τυφθεὶς ὑφ' ἡμῶν. γεμίζουσι γὰρ κύαθον θερμοῦ, καὶ προσκολλῶσι τοῖς οἰδήμασι, καὶ θεραπεύουσι. G id est, cyathum posces quod maxillis tuis apponas, Ita nos te supprimemus & verberibus tundemus, Nam cyathum vel cotulam calore implent, & tumoribus applicant, sicque medicinam faciunt. Στενο-

A κωκύτους τρίχας.] sic lege στονεχω. per o paruum, significat autem hęc vox comam vel crines in quibus στενάζει ἡ τιλλομένη plorat quæ scinditur & vellitur. Quid sit ἐκκοκιεῖν (pro ἐκκοκκιεῖν dixit, sed alterum Cappa exemit metri causa) diximus in Pace idem esse quod Gallofranci dicimus *egrainer*, possemus Latinè exciccare, quia ciccus κόκκος, sed hic dixit ἐκκοκιῶ ἀντὶ τοῦ ἐρημώσω, vel potius ἐκτιλῶ & ἀνασπάσω. Ὦ σπερμαγοραιο.] Epitheton fictum & factum è mulieribus quæ vendunt in foro omne genus semina oua pisa & olera, sequens ex alliis caupona & pane. In Pluto vel Diuite fabula supra omnes mulieres, clamosas existimat τὰς πανδοκευτρίας & λεκιθοπώλιδας. Euripidis matrem λαχανοπώλιδα fuisse dicunt vel saltem σκανδικοπώλιδα, id est, olera vendidisse, vel scandycem quam Cichorij speciem fuisse liquet ex Theophrasti Historiarum lib. 7. cap. 10. ne diutius Grammatici crucem sibi figant in ignotæ herbæ explicatione, vt nos docuit maximus in Rep. literaria dictator Iulius Cæsar Scaliger. Est autem mihi monendus Lector, de secundo versu ὦ σκοριπανδο. legendum videri ὦ σκοροδοπανδ. Οὐκ ἐξέλκετ', οὐ παιήσετ'.] Sequor Venetum exemplar quod habet ἐξέλθετ', sed lego οὐ 'ξέλθετ' pro οὐκ ἐξέλθετε, vt metrum habeamus integrum nisi malis οὐκ ἔλθετ'. Sed quòd ait παιήσετ' notandum est etiam παίειν esse πᾶν ὁτιοῦν συντόνως ποιεῖν, vt in Acharnensibus vsus est hic noster. Dicebant autem Attici παίσω & παιήσω, vt in Nebularum fabula, τοιαύταις σφενδόναις παιήσομαι. Mox vbi habes πολλήν γ' ἐὰν πλησίον, legerem πολλὴν ἐάν γε πλησ.

BISETVS. Ὦ πολλ' ἀναλώσας ἔπη.] ὁ τῶν ἀνδρῶν χορὸς τὸν Πρόβουλον προτρέπει πρὸς τὸ μήτι τοὺς λόγους, μήτι τὰ ἔργα μάτην ἔτι τρίβειν ταῖς γυναιξὶν ἀπρεπῶς ἐρίζοντα. πρὸς δὲ τούτοις σημειωτέον ὅτι ἐκ τῶν δὲ τῶν χοροῦ λόγων οὐκ ἀλόγως ταῦτα συμπεραίνεσθαι δυνάμεθα, τὰ ἐν τῇ ἄνω ὁμιλίᾳ, καὶ διαλόγῳ ἀπὸ ταύτης τῆς ἀρχῆς

Ἀληθὲς ὦ μιαρά σὺ, ἄχει τέλως λεγόμενα. οὐ πρὸς τὸν ὑπηρέτην, ἀλλὰ πρὸς τὸν Πρόβουλον ἀνοιστέα. καὶ εἰ μὲν οὐ πάντα, ἀλλ' ὅμως τὸ μεῖζον τούτων μέρος. τοὺς δὲ τῶν γυναικῶν λόγους, τὸ μὲν, πρὸς τοὺς ὑπηρέτας, τὰς τὰ ὑπὸ Προβούλου ἐπιτασσόμενα ποιεῖσθαι βουλομένους, τὸ δὲ, πρὸς αὐτὸν τὸν Πρόβουλον λέγεσθαι. ὃ ῥᾳδίως καταλάβοι ὅστις ἂν ἀκριβέστερον πάντα ἐξετάσῃ. ὅταν γὰρ αἱ γυναῖκες ὑβριστικώτερον, καὶ παρρησιαστικώτερον λαλοῦσι, ταῦτα πρὸς τοὺς ὑπηρέτας ἀναμφισβητήτως λέγεται. τὰ δὲ ὑπ' αὐτῶν ἐπιεικέστερον, καὶ μετ' εὐλαβείας τινὸς προφερόμενα, εἰκός ἐστι λέγεσθαι πρὸς τὸν Πρόβουλον, ὡς ἐν ἀρχῇ ὄντα. ταῦτα δὲ πάντα ἐπιμελῶς, καὶ προσηκόντως ἐσκεμμένα μεγάλην σαφήνειαν, καὶ γέλωτος ἀφορμὴν τοῖς θεαταῖς παρέχει. Τί τοῖσδε ταυτί.] στίχοι ἰαμβικοὶ τετράμετροι καταληκτικοὶ ή. Ἱματιδίοις.] οὕτω καὶ ἄνω εἶπεν.

Ἔλουσαν ἡμᾶς ὥστε θοἰματίδια σείειν πάρεστι.

G Ἄνευ κονίας.] κονία, τὸ ἐκ τέφρας καθιστάμενον ὑγρόν Πολυδεύκης, κονίαν λέγει, ὅπερ Λατῖνοι λιξίβιον, εἴτε λιξιούϊον καλοῦσιν. Ἀλλ' ὦ μέλε σύ.] τὸ πλῆρες ὦ μέλεε. ταῦτα δὲ, οὐ πρὸς τὸν Πρόβουλον, ἀλλὰ πρὸς τὸν ἀνδρῶν χορὸν ὑπὸ γυναικείου χοροῦ λέγεσθαι δοκεῖ.

Κο-

κυλοιδιᾶν τὰ κύλα, ἢ κυλάδες, τὰ ὑπὸ τοὺς ὀφθαλμοὺς, ὑπώπια δὲ τὰ ἐνώπια τῶν ὀφθαλμῶν. ὅθεν κυλοιδιᾶν παρ' Ἀττικοῖς, τὰ κύλα τῶν ὀφθαλμῶν οἰδεῖν ἐκ μακρᾶς ἀγρυπνίας, ἴσως, ἢ ὑπνίας. Εὐστάθιος. ἐνταῦθα δὲ κυλοιδιᾶν διὰ τὰ πλήγματα νοητέον. Κάρφος] τὸ ξηρὸν ξύλον ἤγουν. ξύλον λεπτότατον, ἢ ξηρότατον, καὶ κουφότατον. παρὰ τὸ κάρφω, τὸ ξηραίνω. κάρφος δὲ οἱ Ῥωμαῖοι καὶ τὴν ὑποχώρησιν διάλειπτο στιγμὴν. ὀνομάζουσι. ὅπερ ὀνόματι μικρότατον, καὶ λεπτομερέστατόν τι δηλοῦσι. σφηκιὰν ἤ, σφηκῶν ἐσμόν. Βλίττειν δὲ, τὸ μέλι ἐκπιέζειν. τὸ μέλι ἀπὸ τῶν κηρίων ἀφαιρεῖν. τὰ τῶν μελιττῶν κηρία θλίβειν. τὸ δὲ σφηκιὰν βλίττειν, καὶ ἐρεθίζειν, παροιμιακῶς λέγεται περὶ τῶν αὐτοῖς κακόν τι περὶ γενέσθαι βουλομένων ἐπιμελῶν.

CHR. Καὶ ταῦτ' ἄνευ κονίας.] Absque sordibus, nam κονία & κόνιον & κόνιτρον accipitur plerunque ἀντὶ τοῦ ῥύπους. Paulo post vbi habes κυλιδιᾶν lege κυλοιδιᾶν, vt est apud Theocritum primo Idyllio cùm de senibus loquitur fractis ocello patranti vt dixit Satyricus Persius. Et cum ait λοπῶσα μηδὲν, intelligo μηδένα, Quòd verò ait βλίττειν, hoc verbum est mel è fauis eripere. Mox distinguo ἀπελάσαιμ', ἀλλὰ δὲ.

ΚΟΜΜΑΤΙΟΝ ΧΟΡΟΥ.

Χο αἱ. Ω Ζεῦ τί ποτε χρησόμεθα
Τοῖς δὲ τοῖσιν κνωδάλοις.
Οὐ γὰρ ἔτ' ἀνεκτὰ τάδ', ἀλλὰ βασανιστέον
Τόδε σοι τὸ πάθος μετ' ἐμοῦ.
Ο, τι βουλόμεναί ποτε τὴν Κρανάαν
Κατέλαβον. ἐφ' ὅ, τι τε
Μεγαλόπετρον ἄβατον
Ακρόπολιν ἱερὸν τέμενος.
Αλλ' ἀνερώτα, καὶ μὴ πιθοῦ, καὶ πρόσφερε πάντας ἐλέγχους
Ως αἰσχρὸν ἀκωδώνιστον ἐᾶν τὸ τοιοῦτο πρᾶγμα μεθέντας.

Commation Chori.

CH.V. O Iuppiter ecquid faciam
Talibus nunc bestijs?
Non enim hæc ferenda, sed huius ineunda iam
Tibi causa mali, mihiq́;
Quid enim Cranai vrbem vt ita acciperent
Adigere potuit has?
Et Acropolin, aditu haud
Facilis vbi nemus petra habet?
Sed rogita, nec persuadetor, quin omnibus vtere elenchis,
Nam turpe quidem est si res einsmodi inexplorata sinatur.

Biset vs. Ω Ζεῦ.] ὁ νοῦς. πῶς τούτοις τοῖς θηρίοις ἡμᾶς δεῖ προσφέρεσθαι; πῶς ταῦτα τὰ θηρία διαθήσομεν ἤ τί βελτίονες γενησόμεθα; τί ἐστι τὸ κνώδαλον, ἐν τοῖς ἄνω ἐν ἀρχῇ τῶν Σφηκῶν προείρηται. Αλλὰ βασανιστέον.] νοῦν ὁ τῶν ἀνδρῶν χορὸς πᾶν τὸ νεῖκος, καὶ ἔριν τὴν πρὸς γυναῖκας ἀφεὶς, πρὸς τὸν Πρόβουλον στραφεὶς πρὸς τὸ τῶν γυναικῶν τόλμημα ἀκριβῶς βασανίζειν προτρέπει. βασανίζειν δὲ οὐ τὸ αἰκίζεσθαι, καὶ τιμωρεῖσθαι, καὶ μαστιγοῦν σημαίνει παρὰ τοῖς Ἀττικοῖς, ἀλλὰ τὸ χωρὶς πληγῶν ἀνακρίνειν, καὶ ἐλέγχειν τἀληθὲς διὰ λόγων. ἀπὸ τῆς βασάνου τῆς χρυσοχοϊκῆς λίθου μεταφορικῶς. καὶ παροιμία, βάσανος λίθος, ἐπὶ ἐξεταζόντων ἐν λόγοις, ἢ ἔργοις. παρ' ὅσον ἡ Λυδία λίθος τὸν χρυσὸν δοκιμάζει. Σ. Τὴν Κρανάαν] οὕτω τὰς Ἀθήνας ἐκάλουν, διὰ τὸ τραχὺ, καὶ λεπτόγεων. ἢ ἀπὸ Κραναοῦ βασιλέως. καὶ πληθυντικῶς Κραναοὶ τῶν Ἀθηνῶν. Αριστοφ. ἐν Ορνισιν, Επειτα μείζω τῶν Κραναῶν ζητεῖς πόλιν, καὶ κραναῶν πετρῶν, τῶν τραχέων. Σ. βέλτιον δ' ἴσως Κραναὰν ὀξυτόνως γράφειν. εἶπε δ' ἔλλειψις τὸν χώραν, ἢ πόλιν. ἢ ἀκρόπολιν, ὃ καὶ πιθανώτερον. κραναὴ δὲ χώρα ἡ τραχεῖα. καὶ πολλὴν ἔχουσα τραχύτητα, ὡς καὶ ἡ Ἀττική. Σ. καὶ Εὐ. τὸ δὲ κραναὰν, κοινὸν. κραναὴν δὲ Ιωνικόν. Εφ' ὅ, τι] τίνος ἕνεκα; διὰ τί; τί ποτε βουλόμεναι; τίνι γνώμῃ; ἄβατον δὲ, ἀπρόσιτον, ἀπόρευτον. Σ. Τέμενος] τεμένη, ναοὶ, ἱερὰ, ἄλση, ἢ τὰ ἀφωρισμένα κτήματα χωρία. Σ. καὶ τέμενος παρ' Ομ. πᾶν τὸ ἀφωρισμένον, εἴτουν ἀποτετμημένον τῶν πέριξ, καὶ εἰς κτῆσιν ἰδίαν τινὸς ἀφωρισμένον χωρίον. παρὰ δὲ τοῖς ὕστερον μόνα τὰ τοῖς θεοῖς ἀφωρισμένα χωρία, τεμένη λέγονται. Εὐστάθιος. Ὅμηρος Ιλ. Ζ:

Καὶ μὴν οἱ Λύκιοι τέμενος τάμον ἔξοχον ἄλλων
Καλὸν φυταλιῆς, καὶ ἀρούρης, ὄφρα νέμοιτο.

Ακωδώνιστον.] ἀπείραστον, ἀβασάνιστον. κωδωνίζειν γὰρ τὸ διαπειραθῆναι. μετῆκται δὲ ἀπὸ τῶν περιπολούντων, καὶ κώδωσι διαπειρωμένων, εἰ ἐγρηγόρασιν οἱ ἐπὶ τῆς φυλακῆς τεταγμένοι. περὶ τούτων δὲ διὰ πλειόνων προείρηται ἐν τοῖς Βατράχοις.

CHR. Ακωδώνιστον ἐᾶν] id est, ἀπείραστον, ἀβασάνιστον, Metaphora sumpta ab iis qui frauant vigilias & tubarum sono explorant dormiántne custodes. Alij à coturnicibus translatum putant, nonnulli ab equis, quidam à vasis, est autem διακωδωνίσαι idem quod δοκιμάζειν.

ΠΡΟΒΟΥΛΟΣ, ΛΥΣΙΣΤΡΑΤΗ, Αλλη Γυνή.

Πρ. Καὶ μὴν αὐτῶν τοῦτ' ἐπιθυμῶ νὴ τὸν Δία πρῶτα πυθέσθαι
Ο, τι βουλόμεναι τὴν Ακρόπολιν ἡμῶν ἀπεκλῄσατε μοχλοῖς.

Probvlvs, Lvsistrata, Altera Mulier.

PR. Ergo hoc primùm cupio scitari ab eis & quærere causas.
Quasue quidue petentes nostram ferreo obice clauditis vrbem?

Λυ. Ἵνα τἀργύριον σῶν παρέχωμεν καὶ μὴ πολεμῆτε δι' αὐτό. A

Πρ. Διὰ τἀργύριον πολεμοῦμεν γάρ; Λυ. καὶ τἄλλα τε πάντ' ἐκυκήθη,

Ἵνα γὰρ Πείσανδρος ἔχοι κλέπτειν χ' οἱ ταῖς ἀρχαῖς ἐπέχοντες

Ἀεί τινα κορκορυγὴν ἐκύκων. οἱ δ' οὖν τοῦδ' οὕνεκα δρώντων

Ὅτι βούλονται. τὸ γὰρ ἀργύριον τοῦτ' οὐκέτι μὴ καθέλωσιν. B

Πρ. Ἀλλὰ τί δράσεις; Λυ. τοῦτό μ' ἐρωτᾷς; ἡμεῖς ταμιεύσομεν αὐτό.

Πρ. Ὑμεῖς ταμιεύσετε τἀργύριον; Λυ. τί δὲ δεινὸν τοῦτο νομίζεις;

Οὐ καὶ τἄνδον χρήματα πάντως ἡμεῖς ταμιεύομεν ὑμῖν;

Πρ. Ἀλλ' οὐ ταυτόν. Λυ. πῶς οὐ ταυτόν; Πρ. πολεμητέον ἔστ' ἀπὸ τούτου.

C

Λυ. Ἀλλ' οὐδὲν δεῖ πρῶτον πολεμεῖν. Πρ. πῶς γὰρ σωθησόμεθ' ἄλλως;

Λυ. Ἡμεῖς ὑμᾶς σώσομεν. Πρ. ὑμεῖς; Λυ. ἡμεῖς μέντοι. Πρ. σχέτλιόν γε.

Λυ. Ἀλλ' ἀποδεικτέα ταῦτ' ἐστὶν ὅμως. Πρ. νὴ τὴν Δήμητρ' ἄδικόν γε.

Λυ. Σωστέον ὦ τᾶν. Πρ. κἂν μὴ δέωμαι. Λυ. τοῦδ' οὕνεκα πολὺ μᾶλλον.

D

Πρ. Ὑμῖν δὲ πόθεν περὶ τοῦ πολέμου τῆς τ' εἰρήνης ἐμέλησεν.

Λυ. Ἡμεῖς φράσομεν. Πρ. λέγε δὴ ταχέως ἵνα μὴ κλάῃς. Λυ. ἀκροῶ δή

Καὶ τὰς χεῖρας πειρῶ κατέχειν. Πρ. ἀλλ' οὐ δύναμαι. χαλεπὸν γὰρ

Ὑπὸ τῆς ὀργῆς αὐτὰς ἴσχειν. Λυ. κλαύσει τοίνυν πολὺ μᾶλλον.

Πρ. Τοῦτο μὲν ὦ γραῦ αὐτῇ κρώξεις, σὺ δέ μοι λέγε. Λυ. Ταῦτα ποιήσω.

E

LVS. *Seruemus vt argentum, nec propterea mala bella geratis.*

PR. *Quid? an argentum caussa est belli?* LVS. *Quin omnia catera turbas,*

Pisander enim Pratoresq́ ut quò furarentur haberent,

Turbas semper mouere aliquas: nunc propter id incipiant hi

Quicquid libeat facere? argentum auferri amplius haud patiemur.

PR. *Quid facis ergo?* LVS. *Rogas? nos scilicet adseruabimus illud.*

PR. *Vos asseruabitis argentum?* LVS. *Quid dicitis inesse pericli?*

Nónne bona domestica opesq́ intus vobis seruare solemus?

PR. *Haud eadem res.* LVS. *Cur non eadem?* PR. *Namque hinc est belligerandum.*

LVS. *At nil opus est belligerare.* PR. *vnde igitur saluabimur omnes?*

LVS. *Nos vestra salus erimus.* PR. *vos?* LVS. *nos certè.* PR. *Miserum hoc equidem esset.*

LVS. *Tamen hac conditio accipienda est.* PR. *Haud certè iure, nec æquum est.*

LVS *Quærenda salus.* PR. *si non placet?* LVS. *hoc ideò est mage solicitanda.*

PR. *Sed quid vos tantopere pacem & bellum curare coegit?*

LVS. *Age dicemus.* PR. *properatò opus est, ne plores.* LVS. *admoneo autem*

Conorq́ manus inhibere. PR. *at vix ego possum, nam quis in ira*

Sibi temperet? LVS. *Ergò tantò magis ipsum te flere iubebo.*

PR. *O vetula tibi hoc crocita, mihiq́ illa edissere.* LVS. *Iam faciam istud:*

BISETVS. Καὶ μὴν αὐτῶν.] ὁ πρόβουλος κατὰ τὴν τῶν ἀνδρῶν χοροῦ παραίνεσιν, περὶ τῶν βασανίζειν καὶ πάντων ἐλέγχειν κατὰ τῶν γυναικῶν ἔργων ἐπιμελῶς ἐπιχειρεῖ. εἰσὶ δὲ στίχοι ἀναπαιστικοὶ τετράμετροι καταληκτικοὶ Ἀριστοφάνειοι καλούμενοι. ὡς καὶ οἱ πρὸ τούτων συζυγίοι δύο. Ἀλλ' ἀνερώτα. καὶ τὰ ἑξῆς. Ἵνα τἀργύριον.] τὸ πλῆρες, ἵνα τὸ ἀργύριον σῶον παρέχωμεν ἵνα τὰ χρήματα σώσωμεν, καὶ σῶα φυλάξωμεν. τὸ δὲ σῶν μονοσύλλαβον ἀντὶ τοῦ σῶον, ἤγουν ὑγιὲς, καὶ τέλειον, ὥσπερ ἀνελλειπές. περισπᾶται δὲ, ὅτι ἐκ τοῦ σάον, ἢ σῶον συνῄρηται. F Πείσανδρος.] οὗτος γὰρ δειλὸς ἦν, φιλοπόλεμος δὲ, καὶ πολεμοποιὸς κερδῶν ἰδίων ἕνεκα. Σ. Ταῖς ἀρχαῖς ἐπέχοντες.] ἐπέχοντες, προσέχοντες. τῶν ἀρχῶν ἐπιθυμοῦντες, καὶ ταῖς ἀρχαῖς ἐπικείμενοι, αὐτῶν τυχόντες, ἀσφαλέστερον, καὶ ἀδεέστερον κλέπτειν ἔχοιεν. κορκορυγὴν ἐκύκων, ταραχὰς ἐκίνουν. κορκορυγὴ γὰρ, ταραχὴν, βοὴν, κραυγὴν, καὶ θόρυβον δηλοῖ. Σ. Ἡσύχ. δρώντων δὲ, δράτωσαν. Ἀθηναίων χρῆμα. Ταμιεύσομεν.] ταμίαι δέκα τὸν ἀριθμὸν ἄρχοντες ἦσαν Ἀθήνησι κληρωτοὶ ἀπὸ πεντακοσιομεδίμνων, οἳ τὰ ἐν τῷ ἱερῷ τῆς Ἀθηνᾶς ἐν ἀκροπόλει χρήματα ἱερά τε, καὶ δημόσια ἐφύλαττον. ἀλλὰ καὶ αὐτὸ τὸ ἄγαλμα τῆς Ἀθηνᾶς. Σ. καὶ ταμιεύειν, διοικεῖν, φυλάττειν. G σχέτλιον δὲ, ἄτοπον, ἄδικον, ὡς ἀνατόν. Ἀποδεικτέα.] ἀντὶ τοῦ ἀποδεικτέον ἀττικῶς. ἀκροῶ, δηλαδὴ, ἄκουσον. ἀκροᾶσθαι γὰρ, ἀκούειν. ὅθεν ἀκρόασις, καὶ ἀκροατής.

CHR. Τοῖς μοχλοῖς] Puto legendum τοῖσι μοχλοῖσι, & iungenda hæc duo vocabula cum præcedenti versu, vt versum vnicum Aristophanicũ faciant. Mox lego cum Venet. edit. ἀργύρειον γοῦν παρέχειν μὲν, non σῶν παρέχωμεν, est autem γοῦν pro γοῦν. Κορκορυγὴν ἐκύκων.] Id est, ταραχὰς ἐκίνουν. Sic in pace vsus est, & ipsam pacem Lysimacham vocat. Σωθησόμεθ' ἄλλως] Lege σωθησόμεθ' ἄλλως, vt versus sit ἔμμετρος. Mox pro ἀποκτεία ταῦτα lege ἀποδεικτέα, Atticè pro ἀποδεικτέον, & sic legitur in Veneto exemplari. Τοῦ δ' οὕνεκα πολὺ μᾶλλον.] Legerem potius τοῦ δ' οὕνεκα καὶ πολὺ μᾶλλον. Et puto veram esse hanc lectionem, vt τὸ καὶ omissum propter præcedentem syllabam κα errori ansam dederit.

BISETVS. Τοῦτο μὲν ὦ γραῦς αὐτῇ κρώξεις.] ἀπὸ μεταφορᾶς τῶν ὀρνέων τῶν δυσοιωνίστων. κρώζειν δὲ ἐκεῖνοι οἱ κόρακες καὶ αἱ κορῶναι λέγονται. ὅθεν καὶ κρωγμὸς τὸ μίμημα τῆς φωνῆς τῶν κοράκων. νῦν δὲ κρώζειν ἐπὶ τῶν μάτην φλυαρούντων ὡς αἱ κορῶναι.

CH.

CHR. Ὦ γραῦς αὐτῇ κράξεις.] Emendo ὦ γραῦ ζωτῇ κρ. videtur autem hoc fuisse prouerbiale vt in Irena dixit εἰς κεφαλὴν σοι. Sic autem Virgilius exprimere voluit, Capiti cane talia demens Dardanio. Paulò post pro ἀνεσχόμεθα lege ἠνεσχόμεθα

A & pro αὐτ᾽ ἂν ποιεῖτε, ἀλλὰ ποιεῖτε, & pro ἠρέσκετ᾽ ἡμᾶς, lego ἠρέσκετ᾽ ἂν ἡμᾶς, nam etiam accusatiuis iūgitur τὸ ἀρέσκομαι. Fluxit autem ex superioris versus fine, τὸ ἄν, quod illinc tollendum hic addēdum. Porrò illa ταῦτα ποιεῖτε, versum absoluunt eundē.

Ἡμεῖς τὸν μὲν πρότερον πόλεμον καὶ τὸν χρόνον ἠνεσχόμεθα	*Nos tempore belloq́ superiori omnia tolerauimus acta*
Ὑπὸ σωφροσύνης τῆς ἡμετέρας τῶν ἀνδρῶν ἅττ᾽ ἂν ποιεῖτε.	B *Vestra, viri, iam fuimus patientes & mentis moderata*
Οὐ γὰρ γρύζειν εἰᾶθ᾽ ἡμᾶς. κἄτ᾽ οὐκ ἠρέσκεθ᾽ ὑμᾶς,	*Quum nos nec sineretis mussare, nihil tum gratificantes,*
Ἀλλ᾽ ᾐσθανόμεθα καλῶς ὑμῶν. καὶ πολλάκις ἔνδον ἂν οὖσαι	*Verùm fallere non poteratis, vos sæpè audiuimus intus*
Ἠκούσαμεν ἄν τι κακῶς ὑμᾶς βουλευσαμένους μέγα πρᾶγμα	*Magna de re captantes pessima consilia, atque agitantes,*
Εἶτ᾽ ἀλγοῦσαι τἄνδοθεν ὑμᾶς ἐπανηρόμεθ᾽ ἂν γελάσασαι.	*Deinde dolentes intus scitabamur, sed non sine risu,*
Τί βεβούλευται περὶ τῶν σπονδῶν ἐν τῇ στήλῃ παραγράψαι	C *A vobis, Quid de fœderibus consultum hodie in q. columna*
Ἐν τῷ δήμῳ τήμερον ὑμῖν. τί δέ σοι ταῦτ᾽ ἦ δ᾽ ὃς ἀνήρ.	*Scriptum à populo est? quid pertinet hoc ad te, mox dixeras ille,*
Οὐ σιγήσει; κἀγὼ σίγων. ΑΛΛ. ΓΥΝ. ἀλλ᾽ οὐκ ἂν ἐγὼ πώποτ᾽ ἐσίγων.	*Potin' vt taceas? tacui actutum.* ΑΛ. Μ. *Certè nunquam tacuissem.*
ΛΥ. Κἂν ᾤμωζές γ᾽ εἰ μὴ σίγας. Τὸ γὰρ ἔγωγ᾽ ἐσίγων.	ΛΥΣ. *Ni faceres, flendum erat, at fletum volui vitare silendo:*
Ἐπεὶ ἕτερόν τι πονηρότερον βούλευμ᾽ ἐπεπύσμεθ᾽ ἂν ὑμῶν,	D *Sed longè aliud peius consilium vestrum audiuimus, inde*
Εἰ τρόμεθ᾽ ἂν πῶς ταῦτ᾽ ὦ 'νερ διαπράττεσθ᾽ ὧδ᾽ ἀνοήτως.	*Ista rogabamus, Qui constituistis, ô vir, tam temerè illa:*
Ὁ δέ μ᾽ εὐθὺς ὑποβλέψας ἔφασκ᾽ εἰ μὴ τὸν στήμονα νήσω	*Tum me ille tuens torua minatur, nisi lana munia tracto*
Ὀτοτύξεσθαι μακρὰ τὴν κεφαλήν. πόλεμος δ᾽ ἄνδρεσσι μελήσει.	*Mihi multa caput doliturum, Cura viris erit vnica belli.*
ΠΡ. Ὀρθῶς γε λέγων νὴ Δί᾽ ἐκεῖνος. ΛΥ. πῶς ὀρθῶς ὦ κακόδαιμον	*PR. Huius bona certè verba viri.* ΛΥΣ. *Quid bona fanatice censes?* E
Εἰ μὴ δὲ κακῶς βουλευομένοις ἐξῆν ὑμῖν ὑποθέσθαι;	*Si neque monitis mala nostris consulta emendare licebat?*

BISETVS. Ἐν τῇ στήλῃ.] στήλη, λίθος, ἢ χαλκὸς ἐπιμήκης τετραγώνῳ σχήματι ἱδρυμένος, ἐν ᾗ γέγραπται ἡ τῶν στηλιτευομένων ὕβρις. πολλάκις δὲ καὶ τῶν εὐεργετῶν εὐεργεσίαι ἀναγράφονται. Σ. ἄλλως, οὐ μόνον τὰ προειρημένα ἐν ταῖς στήλαις ἐγράφοντο, ἀλλὰ καὶ πολλάκις τὰ περὶ τὰς συνθήκας, καὶ σπονδὰς δημοσίᾳ πρός τινας τῶν πόλεων πεποιημένας, ἵνα τούτων μνημόσυνον ᾖ φανερώτερον, καὶ βεβαιότερον. Ἦ δ᾽ ὃς ἀνήρ.] ἀντὶ τοῦ ἔφη δ᾽ ἐκεῖνος ἀνήρ. ὁ νοῦς. ἐκεῖνος δὲ ὁ ἀνὴρ ὁ περὶ τῶν σπονδῶν ὑπὸ γυναικὸς ἐρωτώμενος αὐτῇ ἀπεκρίνατο, τί δὲ σοὶ τοῦτο σοὶ μέλει; τί τούτων φροντίζεις; Ὑποβλέψας] ὑποβλέψαι λέγεται οἱ ὀργῇ ἐζέμενοι, ἢ ὑπόδρα ἰδεῖν. ὑποβλέπειν δὲ, οἱ στραβοὶ. οἱ καὶ παραβλῶπες ἐνίοτε λέγονται. Εὕροις δ᾽ ἂν καὶ παρ᾽ Ὁμήρῳ μυριάκις ἂν εὕροις,

Τὸν δ᾽ ἄρ᾽ ὑπόδρα ἰδὼν προσέφη. στήμονα δὲ, τὸ νῆμα. νήσω δὲ, ἀντὶ τοῦ νήθω, ὁ παρὰ τὸ νῶ, τὸ σωρεύω, ἐπεὶ συμφύονται ὥσπερ τὰ ἐν τοῖς σώμασι σώματα. Εὐσ. ὀτοτύξεσθαι δὲ, ὀλολύξειν, τὴν κεφαλὴν, δηλονότι κοπτομένην, λυπουμένην. ἔλλειψις δὲ τῆς κατὰ προθέσεως. Ὑποθέσθαι] ὑμῖν ὑποθέσθαι, ἀντὶ τοῦ ὑμᾶς νουθετεῖν, καὶ τὰ δέοντα ὑμῖν συμβουλεύειν.

F

G

CH. Εἶτ᾽ ἀλγοῦσαι] Nihil mutandum censeo, sed non malè putem λέγουσαι, nam quid est ἀλγοῦσαι γελάσασαι quasi sit de risu Sardonio. Ἐν τῇ στήλῃ] Puto στήλην esse quam in Nubibus vocat κύρβιν, Nā illis pilis vel etiam stelis (vt vocat Plinius) scribebantur fœdera. vide epistolam Philippi ad Demosth. Ἦ δ᾽ ὃς ἀνήρ.] Modus loquendi Atticis & Platoni imprimis familiaris, Hic autem lego ἢ δ᾽ ὃς ἂν ἀνὴρ, vt etiam in Venet. legitur edit. Ἀλλ᾽ οὐκ ἂν ἐγώ.] Hæc loquitur Alia mulier quàm Lysistrata. Itaque ἄλλη τις γυνὴ grandioribus literis scribi debet aut eo denique modo ne contextum orationis adiuuare videantur. Εἰ τρόμεθ᾽] Melius in Veneta editione εἶτ᾽ ἠρόμεθ᾽ ἄν. Ὀτοτύξεσθαι μακρὰ τὴν κεφαλήν.] Sic Hor. ô multa fleturum caput quasi ad verbū huic loco respondens. est autē ὀτοτύζειν, θρηνεῖν, vnde Interiectiones ὀτοτοῖ. Quod autem sequitur πόλεμος δ᾽ ἄνδρεσσι μελήσει, lepidè detortū & παρῳδημένον ex Hom. Ὑμῖν ὑποθέσθαι.] Valet συμβουλεύειν & νουθετεῖν. Sed pro ὅτι δ᾽ ἤδ᾽ ὑμῶν legitur in Venet. libris ὅτι δὴ ἤδ᾽ ὑμῶν, quod magis placet.

Σύγ γε μου.] ξυνάλθε, ξυλλαβοῦ μοι. διὰ δὲ, τὸ πλῆγος, δὸς δέ μοι, θᾶζε, ἢ ἀνίστα ναι τρόπαιον τῶν γυναικῶν, τῶν ἐν τῇ πόλει, ἤγουν ἀκροπόλει οὐσῶν, ἕνεκα τοῦ παρεστῶτος, καὶ παρόντος θράσους.

CHR. Εκατι καὶ ζῆ.] In Veneta editione legitur ἔτι non ἕκατι. Sic autem dixit Plautus, Si viuit ignis, tu exstingue extemplo. Τῷ μὲν ξύλῳ] In eadem editione melius τὼ μὲν ξύλω θώμεσθα πρῶτον αὐτοῦ. Sed vel cum stipite vult fumum compescere, vel vterque stipitem suum deponere, quod magis arridet quia postea habes θώμεσθα τὸ φορτίον. Τῆς ἀμπέλου δ' ἐς χύτραν.] Lege ἐς τὴν χύτραν Carminis gratia, vt & habes in editione Veneta. Est autem φανὸς ἀμπέλου, fax & lampas ex palmitibus viteis, vt solebant olim faces componere. Sic Cicero dixit, Malleolos ad incendendam vrbem facésque comparare, sumpsitque ex Thucydide vt puto qui lib. 7. ait ὁλκάδα παλαιὰν κληματίδων καὶ δᾳδὸς γεμίσαντες. sunt enim κληματίδες malleoli & fasces ex palmite veteri. Est etiã ἄμπελος machina obsidionalis quæ etiam dicta vinea. Sed hic nihil ad rem. Κεινδὸν ἐμπίσωμεν.] Legendum proculdubiò κριηδὸν, id est, arietis more quæ machina est etiam obsidionalis. Κἂν μὴ καλουμένων.] Vel lege καλόντων vt funes intelligas, qui κάλως dicuntur, vel intellige vocantes senes. Mox vbi habes καὶ τὸν καπνίζειν, lege καὶ τὸν καπνὸν πιέζειν. Nam & sic sensus rectus & integer versus. Πρῶτον ἐμοὶ προσβίσεις] Vt constet versus lege ἐμοὶ πρῶτον vel πρώτῃ ἐμοί.

ΧΟΡΟΣ ΓΥΝΑΙΚΩΝ.

Ημίχορος Γυν.

CHORVS MVLIERVM.

Semichorus mul.

Χο. Γυν. Ως πυρὸς καομένου ἀυδισίον ἐστὶ θᾶττον	CH. M. O Cyus nunc properandum, suis ignis ardens
Λιγνὺν δοκῶ μοι καθορᾶν καὶ καπνὸν ὦ γυναῖκες.	O fæmina, fuliginem & fumum puto intueri.
Ημ. Γυν. Πέτου πέτου Νικοδίκη.	SEM. Vola vola Nicodica
Πρὶν ἐμπεπρῆσθαι Καλύκην	Prius quàm vratur Calyce.
Τὴν, καὶ Κρίτυλλαν περιφυσητὼ	Simul Critulla, atque eas absumunt
Υπό τε νόμων ἀργαλέων,	Malitia legum aspera, tum
Υπό τε γερόντων ὀλέθρων.	Misera senum pernicies.
Ημ. Αλλὰ φοβοῦμαι τόδε. μῶν ὑστερόπους βοηθῶ;	SEM. Quàm metuo hoc! an venio huc serior adiuuatrix,
Νῦν δὴ γὰρ ἐμπλησαμένη τὴν οἰκίαν κνεφαία	Nam vix aquale è fonte vas impleueram in tenebris
Μόλις ἀπὸ κρήνης ὑπ' ὄχλου καὶ θορύβου,	(Adeò erat ingens tumultus, turbaq́ue, fri-
Καὶ πατάγου χυτρείου,	ctásque sonus per ollas)
Δούλησιν ὠστιζομένη	Quum pressam iniquis spacijs
Στιγματίαισθ' ἁρπαλέως	Stigmatiæ me & famula

BISETVS. Ως πυρὸς] Ο τῶν Αθηνῶν γυναικῶν χορὸς τὸν θόρυβον τῶν ἀνδρῶν τὴν ἀκρόπολιν πολιορκούντων αἰσθόμενος, καὶ τὸν ἐμπρησμοῦ τὸν καπνὸν ἰδὼν, μετὰ πάσης προθυμίας τὰς ἤδη πολιορκουμένας καὶ κινδυνευούσας κατὰ κράτος ἁλῶναι, βοηθεῖν παρασκευάζεται. ἐν ὑδρείαις δὲ φέρει ὕδωρ. ὅπως τὸ πῦρ καιόμενον ἀποσβέσῃ. Περιφυσήτω] δηλοῖ ἐστὶ τὸ περιφύσητος, ἤτοι ὁ πανταχόθεν φυσώμενος, καὶ πνεύμασι πιεζόμενος. ὁ νοῦς δέ. πρὶν τὴν Καλύκην, καὶ τὴν Κρίτυλλαν παντελῶς ἐμπρησθῆναι, ἃς ἤδη οἱ γέροντες περιεφύσησαν πανταχόθεν τῷ τοῦ πυρὸς καπνῷ, καὶ σχεδὸν ἀπέπνιξαν. νῦν δὲ τὸν καπνὸν νοεῖ, ὃν οἱ γέροντες τὸ πῦρ ἅπτοντες, καὶ φυσῶντες πρὸς τὰς γυναῖκας ἔπεμπον. ἵνα τῷ καπνῷ πιεσθείσας, τὴν ἀκρόπολιν καταλιπεῖν ἀναγκάζοιεν. νόμους δὲ ἀργαλέους λέγει τοὺς τῆς πόλεως νόμους, ὧν οἱ γέροντες, ὡς ἄρχοντες, ἦσαν φύλακες, καὶ ὑπηρέται καὶ δι' οὓς τῇ πόλει βοηθεῖν, καὶ αὐτὴν σώζειν αὐτοὺς ἔδει. ἢ καὶ νόμους γενικῶς καλεῖ τὸ ἔθος, τὸν τρόπον ᾧ τότε κατὰ τῶν γυναικῶν ἐχρῶντο. ἀργαλέων δὲ, χαλεπῶν, δεινῶν, λυπηρῶν ταῖς πολιορκουμέναις. ὀλέθρων δὲ, τῶν ὀλεθρίων, ἢ τῶν ὀλέθρου ἀξίων. Καλύκη, καὶ Κρίτυλλα κύρια ὀνόματα. Υστερόπους] οὕτως λέγεται ὁ ὑστέρῳ ποδὶ ἐρχόμενος, ἤγουν ὁ ὑστερῶν, καὶ ὀψιαίτερα βαδίζων. ὑδρείαν δὲ, τὸ ὑδροφόρον ἄγγος. Κνεφαία.] οὐ καλῶς γράφεται προπερισπωμένως, ἐπιρρηματικῶς ληπτέον ἀντὶ τοῦ κνεφαίως. ἀλλὰ βέλτιον ἴσως κνεφαία, ὡς δικαία, περικεφαλαία, καὶ πολλὰ τοιουτότροπα κατὰ τοὺς τῶν γραμματικῶν κανόνας. κνεφαῖος δὲ σκοτεινός, ἀόρατος. νῦν δὲ ὄρθριος, ἑωθινὸς, παρὰ τὸ κνέφας, κνέφατος, ὃ δηλοῖ τὸ σκότος, ἢ τὴν νύκτα. λέγεται καὶ κνέφας τὸ καλούμενον λυκόφως. καὶ κνεφαῖος ἦλθεν, ἀντὶ τοῦ ὑπὸ σκότου, ἢ ὄρθριος, ἑωθινός. Σ. ἄλλως. κνέφας, ἡ βαθεῖα ἑσπέρα. ἡ γενικὴ κνέφους, ὡς ἀπὸ τῆς κνέφος εὐθείας. λέγεται δὲ παρὰ τὸ κενὸν φάους εἶναι. Εὐστ. Δούλησιν ὠστιζομένη.] ἀντὶ τοῦ ταῖς δούλαις, ἅμα σὺν ταῖς δούλαις στενοχωρουμένη. τὸ δὲ τὸ ὠστίζειν, καὶ ὠστίζεσθαι, παρὰ τὸ ὠθεῖν λεγόμενον, καὶ τοῖς ἄνω προείρηται. στιγματίας δὲ καλεῖ τοὺς δούλους στιζομένους, οὓς καὶ στίγωνας καλοῦσιν, ὥσπερ τοὺς μαστιγουμένους, μαστιγίας. στίγματα δὲ, πληγαὶ, τραύματα, ἢ ποικίλματα. Σ. καὶ Πολυδεύκης.

CHR. Τὴν οἰκίαν κνεφαία.] Lege ὑδρείαν vt in Veneta editione, Mox ὠστιζομένη est στενοχωρουμένη.

Acc-

Ἁρπάσωνται. ταύτας ἐμάς
Δημότιδας καομένας
Φέρουσ' ὕδωρ βοηθῶ.
Ἤκουσα γὰρ τυφογέροντας
Ἄνδρας ἔρρειν στελέχη
Φέροντας ὥσπερ βαλανεύσοντας
Ἐς πόλιν ὡς τριτάλαντον βάρος,
Δεινότατ' ἀπειλοῦντας ἔπη.
Ὡς πυρὶ χρὴ τὰς μυσαρὰς γυναῖκας ἀνθρακεύειν.
Ἃς ὦ θεὰ μήποτ' ἐγὼ πιμπραμένας ἴδοιμι.
Ἀλλὰ πολέμου καὶ μανιῶν ῥυσαμένας
Ἑλλάδα καὶ πολίτας.
Ἐφ' οἷσπερ ὦ χρυσολόφα
Πολιοῦχε σὰς ἔσχον ἕδρας
Καί σε καλῶ σύμμαχον ὦ
Τριτογένει'. ἤν τις ἐκείνας
Ὑποπίμπρησιν ἀνήρ,
Φέρειν ὕδωρ μεθ' ἡμῶν.

A *Eripiant, unde meis*
Auxilians nunc fero aquam
Tribulibus propinquis.
Audiui enim non benè sanos
Hucce venisse senes
Sudésque in vrbem tetulisse ad ta-
Lenta velut tria pondo graues.
Verbáque minari grauia.
B *Fœminas esse igne malo scelestas vstulandas.*
Ne siris, ô Diua, vt eas intuear crematas,
Sed subitò bellis furijsq́ eripiant
Helladáque incolásque:
Ob has tuas vrbicola ô
Galeata sedes teneo
Téque voco nunc sociam ô
Tritogeneia, vt si quis eas vir
C *Populare igne velit*
Aquam feras vt & nos.

Bis. Ἁρπάσωνται.] ἐπ' ἀρπάζωσι τὴν ὑδρίαν. οὕτω Σουίδας. ὅθεν καὶ δῆλον ἄνω, ἀντὶ τῆς οἰκίας, ὥς τινες βίβλοι κακῶς ἔχουσι, ὑδρίαν γραπτέον. Τυφογέροντας.] οὕτω καλεῖν εἰώθασι τοὺς ἤδη παραληροῦντας, καὶ ὀξέως τετύφθαι. τὰ σχόλια τῶν Σφηκῶν ταύτην τὴν λέξιν οὕτως ἑρμηνεύει. ἄλλως. τυφογέρων, ὁ ἐσχατόγηρος, ἢ ὑπερήφανος, τετυφωμένος γέρων. τῦφος γὰρ ἡ ἀλαζονεία. Σ. ἄλλως. τυφογέρων παρὰ τὸ τύφειν ἐκ τῶν πολλῶν εἶναι λέγεται. ἢ παρὰ τὸ τύφειν, ὅ ἐστι καίειν, ὃ παρακολουθεῖ τοῖς νεκροῖς, οἷς οἱ γέροντες προσεγγίζουσιν. Εὐς. Βαλανεύσοντας.] βαλανεύειν κυρίως μὲν τὸ διακονεῖν ἐν τῷ βαλανείῳ, καὶ τὸ ὕδωρ παρέχειν τοῖς εἰς τὸ βαλανεῖον ἐλθοῦσι. νῦν δὲ τὸ θερμαίνειν, ἢ τὸ καίειν δηλοῖ, ὃ ποιεῖν εἰώθασιν οἱ τὸ τοῦ βαλανείου ὕδωρ τοῖς λουομένοις παρέχοντες. πόλιν δὲ, τὴν ἀκρόπολιν. οὕτω γὰρ καὶ ὁ Θουκυδίδης ἐν τῇ δευτέρᾳ τῆς ξυγγραφῆς δηλοῖ. τὸ δὲ πρὸ τούτου ἡ ἀκρόπολις ἡ νῦν οὖσα, πόλις ἦν. τριτάλαντον δὲ βάρος, τὸ τριῶν ταλάντων βάρος. τάλαντον δὲ ἡ φωνὴ πολύσημος. καὶ γὰρ σημαίνει τὸ σταθμικὸν ὄργανον, καὶ τὸ σταθμώμενον πρᾶγμα. καὶ παρὰ τὸ τάλαν, καὶ καρτερικὸν τῆς ἐργασίας λέγεται. καὶ τάλαντον ὁ ζυγός, ὃν στατῆρα καλοῦμεν. καὶ σταθμός τις χρυσοῦ σύμμετρος παρ' Ὁμήρῳ, οὐχ ὡς παρὰ τοῖς ὕστερον ἑξήκοντα μνῶν. Εὐς. δεινότατα ἐπῶν, ἀντὶ τοῦ, ἔπη δεινότατα. Ῥυσαμένας.] ῥυσάσας, λυτρωσάσας. Σ. ῥύειν, καὶ ῥύεσθαι, τὸ ἕλκειν, καὶ τὸ φυλάττειν. ῥύεσθαι δὲ ἀπὸ τοῦ ἐρύεσθαι. ὁ νοῦς ἐκ τοῦ πολέμου, καὶ τῆς μανίας τῆς πολεμικῆς, τὴν Ἑλλάδα, καὶ τοὺς πολίτας ῥυσαμένας, σωσάσας. Χρυσολόφα δὲ, χρυσόλοφε, χρυσοῦν λόφον ἐν τῇ σου περικεφαλαίᾳ φέρουσα. Τριτογένεια δὲ, ἡ Ἀθηνᾶ, ἤτοι διὰ τὸ παρὰ τῷ Τρίτωνι Λιβύης ποταμῷ γεννηθῆναι, ἢ παρὰ τὸ τριτὼ, ὃ παρὰ Κρησὶ τὴν κεφαλὴν σημαίνει. οἱ γὰρ ποιηταὶ τὴν Ἀθηνᾶν ἐκ τῆς κεφαλῆς τοῦ Διὸς γεννηθῆναι μυθεύουσιν. ἢ διὰ τὸ τρεῖν, ἤγουν τρόμον ἐγγεννᾶν τοῖς ἐναντίοις.

CH. Ὥσπερ βαλανεύσοντας.] Vsitatum est βαλανεύειν pro διακονεῖν vt in Irena, hic puto esse τὴν βάλανον, id est, μοχλὸν ἀνοῖξαι. Est quidem in Epigrammate βαλανίζειν glandem decutere, ἄλλην δρυὸς βαλάνιζε. Sed Hesychii interpretatio notanda est qui ait esse Clara voce vti τὸ βαλανεύειν, quia balnearij aquam ferentes, vocales sunt & clamosi.

ΣΤΡΑΤΥΛΛΙΣ, ΧΟΡΟΣ ΓΕΡΟΝΤΩΝ. Χορὸς Γυναικῶν.

F STRATVLLIS, CHORVS SENum virorum. Chorus mulierum.

Στρ. Ἔασον ὦ. τουτὶ τί ἦν. ὦνδρες πονωπόνηροι.
Οὐ γάρ ποτ' ἂν χρηστοί γ' ἔδρων οὐδ' εὐσεβεῖς τάδ' ἄνδρες.

ST. *Dimittite ô, quid istud? ô nequam viri malique,*
Nam nec bonorum hæc facta possunt esse nec piorum.

Bis. Ἔασον ὦ.] Γυνή τις ἐκ τῶν ὕδωρ πρὸς τὴν τοῦ ἐμπρησμοῦ σβέσιν φερουσῶν, Στρατυλλὶς ὄνομα, τοὺς γέροντας τοὺς τὸ πῦρ ταῖς ἑαυτῶν φυσήσεσιν ἀναζωπυροῦντας ὁρῶσα, ἐπεὶ πολλῶν λοιδοριῶν ἀμφοτέρωθεν εἰρημένων, τὸ πρᾶγμα ἀπὸ τῶν λόγων πρὸς τὰς πληγὰς μονονοὺ προέρχεται. εἰσὶ δὲ στίχοι ἰαμβικοὶ τετράμετροι καταληκτικοί. Πονωπόνηροι.] πόνηρος προπαροξυτόνως ὥς φησιν Εὐς. ὁ ἐπίπονος. πονηρὸς δὲ ὀξυτόνως, καὶ κατά τινας πονῆρος προπερισπωμένως, ὁ φαῦλος, κακός, μοχθηρός. πονωπόνηρος, G ἀντὶ τοῦ πονηρότατος. τινὲς δὲ διῃρημένως γράφουσι, πόνῳ πονηρός, καὶ ἑρμηνεύουσι σφόδρα πονηρός.

CHR. Ὦνδρες πονωπόνηροι.] Vsus est hac voce in Vesparum fab. ὦ πονωπόνηρε καὶ μισαμουσία, vbi Scholiastes monet esse ἀσκήσει, & μελέτῃ πεπονημένοι, id est, vsu & meditatione facte ad nequitiā & tyrannidis affectationem.

Χο. ἀν. Τουτὶ τί τὸ πρᾶγμα ἡμῖν ἀπροσδόκητον ἥκει.
Ἑσμὸς γυναικῶν οὑτοσὶ θύρασιν αὖ βοηθεῖ.
Χο. Γυν. Τί βδύλλεθ' ὑμᾶς; οὔ τί που πολλαὶ δοκοῦμεν εἶναι.
Καὶ μὴν μέρος γ' ἡμῶν ὁρᾶτ' οὔπω τὸ μυριοστόν.
Χο. ἀν. Ὦ Φαιδρία, ταύτας λαλεῖν ἐάσομεν τοσαῦτα;
Οὐ περικατᾶξαι τὸ ξύλον τύπτοντ' ἐχρῆν τιν' αὐτάς;
Χο. Γυν. Θώμεσθα δὴ τὰς κάλπιδας χ' ἡμεῖς. ὅπως ἂν
Ἢν προσφέρῃ τὴν χεῖρά τις, μὴ τοῦτό μ' ἐμποδίζῃ.
Χο. ἀν. Εἰ νὴ Δία τὰς γνάθους τούτων τις ἢ δὶς ἢ τρὶς
Ἔκοψεν ὥσπερ Βουπάλου, φωνὴν ἂν οὐκ ἂν εἶχον.
Στρ. Καὶ μὴν ἰδοὺ παταξάτω τις· καὶ στᾶσ' ἐγὼ παρέξω.
Κοὐ μή ποτ' ἄλλη σου κύων τῶν ὀρχέων λάβηται.
Χο. ἀν. Εἰ μὴ σιωπήσει, θένων ἐκκοκκιῶ τὸ γῆρας σου.
Στρ. Ἅψαι μόνον Στρατυλλίδος τῷ δακτύλῳ προσελθών.
Χο. ἀν. Τί δ' ἢν σποδῶ τοῖς δακτύλοις, τί μ' ἐργάσῃ τὸ δεινόν;
Στρ. Βρύκουσά σου τοὺς πλεύμονας καὶ τἄντερ' ἐξαμήσω.
Χο. ἀν. Οὐκ ἔστ' ἀνὴρ Εὐριπίδου σοφώτερος ποιητής.
Οὐδὲν γὰρ ὧδε θρέμμ' ἀναιδές ἐστιν, ὡς γυναῖκες.

A CH. s. v. *Quid hoc negotij ingruit repente nobis*
En fœminarum examina adiutantia propinquant.
CH. M. *Quid temnitis nos? forsitan videmus esse pauca.*
At non decem-millesimam cohortium videtis.
B CH. s. v. *O Phædria, an sinemus has garrire tam superbè?*
Nau frangere his oportuit fustem reuerberandis?
CH. M. *Ponamus & nos hydrias, ut si manus quis*
Nobis nocentes inferat, nil impedire possit.
CH. s. v. *At per Iouem sibisve terve verberentur*
C *Istis gena (ut mulis solet) vox clara desit ipsis.*
STR. *Accedat ergo verberator, præbeo os & adsto,*
Faxo ut canis te nulla porrò testibus prehendat.
CH. s. v. *At, ni taces, dispuluerabo iam tuam senectam.*
STR. *Tantùm Stratyllida attigas, & indicem propinques.*
D CH. s. v. *Quid si manu te comprimam? quod mi malum parabis?*
STR. *Euiscerem te protinam pulmonibus voratis.*
CH. s. v. *Iam nullus est Euripida præstantior poeta*
Qui fœminis nil censet impudentius per orbem.
E

BISETUS. Τυτὶ τί τὸ πρᾶγμα.] δεῖ ὁ στίχος πεπήρωται. ὁλόκληρος δ' ἂν καλῶς εἴη, εἰ οὕτω γράφοιτο, μετ' ἐπερωτήσεως.

Τυτὶ τί τὸ πρᾶγμ' ἡμῖν τὸ πᾶν ἀπροσδόκητον ἥκει;

ὁ δὲ χορὸς γερόντων ἀπρονοήτως ὁρῶν τὸ τῶν γυναικῶν πλῆθος, αἳ εἰς βοήθειαν τῶν πολιορκουμένων παρεσκευάζοντο, ταῦτα λέγει. Ἑσμὸς γυναικῶν.] μεταφορικῶς νῦν, ἀντὶ τοῦ πλῆθος, ὄχλος. κυρίως δὲ ἑσμὸς δασυτόνως, τὸ σμῆνος τῶν μελισσῶν. παρὰ τὸ ἅμα πετομένας ἵεσθαι. F Σ. Εὐσ. Θυρᾶσιν.] γραπτέον θύρασιν, ὡς ἐν Εἰρήνῃ. θύρασι δὲ, πρὸ τῶν θυρῶν. ἢ παρὰ τὰς θύρας. ἢ ἐξ ἑτοίμου, ὡς καὶ Σουΐδας ἑρμηνεύει. βέλτιον δ' ἴσως θύραισι γράφειν. Τί βδύλλεθ' ἡμᾶς;] εὐτελίζετε. φοβεῖσθε, τρέμετε. Σ. καὶ βδύλλειν, δεδιέναι, τρέμειν, ἢ βδεῖν. Ησυχ. ἄλλως. βδύλλεσθαι τὸ ὑπὸ τοῦ φόβου βδεῖν, καὶ πέρδειν. Οὐ περικατᾶξαι.] ταῦτα οὕτω σύνταξον. οὐκ ἐχρῆν τινα περικατᾶξαι τὸ ξύλον, τουτέστι τύπτοντ' αὐτάς. ἵνα τὸ τύπτοντα πρὸς τὸ τινὰ συνάπτῃς. G ἀντὶ τοῦ οὐκ ἔδει πάλαι τινὰ ἡμῶν τῷ ξύλῳ τύπτοντα αὐτὰς, τὸ ξύλον ταῖς πληγαῖς περικαταρρῆξαι; περικατάγνυμι, περικατάγνυμι, περικατάξω. παρὰ τὸ περικατάγω, τὸ περικαταρρήγνυμι. ἡ περὶ, νῦν τὸ πανταχόθεν δηλοῖ. Θώμεσθα δή.] καὶ οὗτος ὁ στίχος ἐλλιπής ἐστι. καλῶς δὲ ἀναπληρωθήσεται, εἰ τὸ ἡμῖν προστιθῆς γράφων οὕτω.

Θώμεσθα δὴ τὰς κάλπιδας χ' ἡμεῖς, ὅπως ἂν ἡμῖν
Ἢν προσφέρῃ τὴν χεῖρά τις. καὶ τὰ ἑξῆς.

Εἰ νὴ Δία.] καὶ τούτου τοῦ στίχου ἐλλελειμμένου, καὶ διεφθαρμένη ἡ γραφὴ δῆλός ἐστιν. ἀλλὰ μεταθέσει τινῶν λέξεων, καὶ μιᾶς προσθήκῃ, καλῶς ἀναπληρωθήσεται οὕτως,

Εἰ νὴ Δία τὰς τούτων γνάθους, τις ἡμῶν ἢ δὶς ἢ τρεῖς
Ἔκοψεν. καὶ τὰ ἑξῆς.

Βούπαλος ἦν ὁ ὄνος. Σ. τινὲς δὲ, Βουβάλου γραπτέον οἴονται. βούβαλος δὲ καὶ βούβαλις, ὡς δάμαλις, εἶδος ζώου. Θένων ἐκκοκκιῶ.] θένων, κόπτων, τύπτων. ἐκκοκκιῶ δὲ, ἐκκοκκίσω, ἐξεντερίσω. ἀπὸ μεταφορᾶς ῥοιῶν τῶν τοὺς κόκκους καθαιρομένων. ἄλλως. τὸ σου γῆρας, ὡς τῶν ῥοιῶν κόκκους τρέψας πληγαῖς ἐκβαλῶ. τουτέστιν ὀλέσω. Τί δ' ἢν σποδῶ.] σποδεῖν, τύπτειν, κόπτειν. Τἄντερα.] γράφεται καὶ τὰ ἦτρα. ἀντὶ τοῦ, τὰ ἔντερα. ἐξαμήσω δὲ, ἀποκόψω, ἀποτεμῶ. ἀπὸ μεταφορᾶς τῶν ἀμώντων, καὶ θεριζόντων, καὶ τὸν θερισμὸν ἐξαμώντων ἤγουν ἐκτεμνόντων, καὶ χαμαὶ τμηθέντα βαλλόντων. Εὐριπίδου σοφώτερος.] κατὰ τὸ θρυλλούμενον,

Σοφὸς Σοφοκλῆς, σοφώτερος δ' Εὐριπίδης.
Ἀνδρῶν δὲ πάντων Σωκράτης σοφώτατος.

CHR.

CHR. Τουτὶ τί τὸ πρᾶγμα.]In Veneta editio-
ne habes τυτί ζ, putem legendum τουτὶ τὸ πρᾶγμ'
ἡμῖν. Sed erit versus Trimeter & Hypercatalecti-
cus, nec similis cęteris: similem habes paulo post
θώμεσθα δή, nisi & hic & illic aliquid desit ad sup-
plendum Tetrametrum Catalecticum. Est autem
hic θυρᾶσιν vel ad portas vel ἐξ ἑτοίμου. Et βοηθεῖν
quod primigenia notione fuit currere ad clamo-
rem & tumultum, hic etiam videtur idem notare,
Postea dixerunt succurrere. Τί βδύλλεσθ' ἡμᾶς.]
Hoc verbi accipiunt pro εὐτελίζειν & καταφρονεῖν tum
pro terrefacere. Sed video etiam cum terminatio-
ne deponentis (vt aiunt minutuli Grammatistæ)
passiuam sumere significationem. Hoc si esset, le-
gendum esset ὑμεῖς non ἡμᾶς. Sed nulla opus est
mutatione, tantum legendum βδύλλετ' ἡμᾶς non
βδύλλεσθε, & rectus est sensus, Quid nos spernitis,
& terrefacere putatis nostram paucitatem. Τύ-
πτοντ' ἐχρῆν pro τύπτοντα ἐχρῆν.]Legendum τύπτοντ' ἐχρῆν pro τύπτον-
τα vt referat ad Phædriam. sic etiam rectum esse
postea probaui ex exemplari Venetæ editionis.
Εἰ νὴ Δία τὰς γνάθους.] Hic etiam versus laborat à
defectu pedis vt sit Tetrameter Catalecticus, Ita-
que Trimetrum vt alios duos supra, puto esse Hy-
percatalecticum, si tantùm legas εἰ νὴ Δία γνάθους
delendo τὰς, vel εἰ νὴ Δία τὰς γνάθους, vt vnica sit
syllaba τῆς Δία quod tamen & durum & insolens
mihi semper videbitur. Ὦ Βούπαλε.] Bupa-
lum pro asino vel mulo dixerunt antiqui vt Hip-
ponax λάβετέ μου θοἰμάτιον, κόψω βουπάλου τὸν ὀφθαλ-
μόν. Eupolis ὄνου γνάθους dixit de edacitate & πο-
λυφαγίᾳ. Nam particula βου Græcis semper signi-
A ficauit τὸ πολὺ, vt Hercules βουθοίνας & βουφάγας
non quia boues, sed quia multum aut esuriret aut
ederet. Apud Glossographum Hesychium habes,
βούπαλον μέγα καὶ ὄνομα, Putem corrigendum μέ-
γαν ὄνον, καὶ ὄνομα, vt & grandem asinum notet, &
Bupali nomen qui hostis dicitur Hipponactis,
sed hosti illi existimo Hipponacta, Bupali nomē
indidisse vt asinum & ἀπαίδευτον argueret, Paulo
post vbi habes παταξάτω τις deleo τὸ τὶς vt nonā
xium mensuræ versus, præsertim cùm modò di-
B xerit τούτων τις ἢ δὶς ἢ τρεῖς. Quod autem ait παρέ-
ξω in eodem versu, puto sanè valere idem atque
os præbere (vt ait Martialis) & morigerum esse.
Gallico Idiotismo *Ex ster*. Herodotus de hac pu-
silli animi nota dixit, κρέσσον γὰρ σπουδῇ, καὶ ἀμαυρω-
μένους τελευτῆσαι, ἤπερ παρέχοντας διαφθαρῆναι αἰ-
σχίστῳ μόρῳ. Κύων τὸν ὄρχιν λάβῃ.]Puto adludi
ad Prouerbium Canis corio gustato metuendus,
Atque haud scio an huc respexerit Horatius Sa-
tyra quinta lib. 2. Quæ si semel vno de sene gusta-
C rit, deinde, Vt canis à corio nunquam absterrebitū
tur vncto: Τὸ γῆρας βοῦ.] Delendum puto τὸ βοῦ,
vel hic loqui chorum mulierum, vel, si virorum,
hunc esse sensum: Ego meum senium consumam
potius quàm te patiar sic loquentem. Τί δ' ἢ
ποδίζουσι δακτύλοις.]Non est quin adludat ad li-
bidinem spurcæ contrectationis. Nam ποδίζεσθαι
est βινεῖσθαι, & senes quibus Venus est quieta digi-
tis potius rem peragunt. Hesychius leuiter vide-
tur emendandus, ποδῖεν, σπαίρειν, συγκινεῖσθαι, lege
D σπαίρειν. Nam id est pauire & concutere.

Σπ. Αἰρώμεθ' ἡμεῖς ὕδατος τὴν κάλπιν ὦ Ῥο-
δίππη.
Χο. ἀν. Τί δ' ὦ θεοῖσιν ἐχθρὰ σὺ δεῦρ' ὕδωρ ἔ-
χουσ' ἀφίκου.
Σπ. Τί δαὶ σὺ πῦρ ὦ τύμβ' ἔχων ὡς σαυτὸν ἐμπυ-
ρεύσων.
Χο. ἀν. Ἐγὼ μὲν ἵνα νήσας πυρὰν τὰς σὰς φίλας
ὑφάψω.
Σπ. Ἐγὼ δέ γ' ἵνα τὴν σὴν πυρὰν τούτῳ κατα-
σβέσαιμι.
Χο. ἀν. Τοὐμὸν σὺ πῦρ κατασβέσεις. Σπ. τοὔργον
τάχ' αὐτὸ δείξει.
Χο. ἀν. Οὐκ οἶδας εἰ τῇδ' ὡς ἔχω τῇ λαμπάδι
σταθεύσω.
Σπ. Εἰ ῥύμμα τυγχάνεις ἔχων, λουτρόν ἐγὼ παρ-
έξω.
Χο. ἀν. Ἐμοὶ σὺ λουτρὸν ὦ σαπρά; Σπ. καὶ ταῦτα
νυμφικόν γε.
Χο. ἀν. Ἤκουσας αὐτῆς τοῦ θράσους. Σπ. ἐλευθέρα
γάρ εἰμι.
Χο. ἀν. Σχήσω σ' ἐγὼ τῆς νῦν βοῆς. Σπ. ἀλλ' οὐκ ἔθ'
ἡλιάζεις.
Χο. ἀν. Ἐμπρησον αὐτῆς τὰς κόμας. Σπ. σὸν ἔργον
G ὦ Ἀχελῷε.
Χο. ἀν. Οἴμοι τάλας.
Σπ. Μῶν θερμὸν ἦν;
Χο. ἀν. Ποῖ θερμόν; οὐ παύσει; τί δρᾷς;

STR. At nos aqualem hunc vrceum tollamus ô
Rhodispa.
CH. s. v. O dira dijsq; inuisa fœmina, ad quid huc
aquam fers?
STR. At tu quid ignem ô bustuarie, vt paratus
vri?
E *CH. s. v. Vnam pyram nunc instruens, vram*
tuas amicas?
STR. Pyram tuam illam exstinxerim facul flu-
ente vino.
CH. s. v. Ignem meum tu exstinxeris? STR. hoc
res statim docebit.
CH. s. v. At stulta nescis quo modo fax quam ge-
ro ista torret.
F *STR. Si squallidas sordes habes, en balneum*
parabo.
CH. s. v. Tu spurca balneum mihi? STR. Quin-i-
mò nuptiale.
CH. s. v. Audin' ferocem audaciam. STR. sum
nempe libera, inquam.
CH. s. v. Has comprimam voces tibi. STR. At
iam desines foro vti.
G *CH. s. v. Huius comam vre teda. STR. Acclin-*
gere, vnda, iam labori.
CH. s. v. Hei hei mihi.
STR. Num feruet hoc?
CH. s. v. Quò feruor? auffer, quid facis?

Στρ. Ἄρδω σ' ὅπως ἀναβλαστάνῃς.
Χο. γέ. Ἀλλ' αὖος εἰμ' ἤδη τρέμων.
Στρ. Οὐκοῦν ἐπειδὴ πῦρ ἔχεις σὺ χλιανεῖς σεαυτόν.

A STR. Nam te irrigo vt regermines.
CH. s. v. Quin aridus sum & iam tremens.
STR. Ignem ergo qui geras, habebis vnde mox tepescas.

BISETVS. Ὦ τύμβε.] τύμβον καλεῖ τὸν γέροντα, διὰ τὸ γῆρας ἔσχατον, καὶ τύμβου ἄξιον. ὡς τυφογέροντα οὖν αὐτὸν λοιδορεῖ. ταῦτα δὲ συντακτέον οὕτω, Τί δὴ ὦ τύμβε πῦρ ἔχων ὡς σαυτὸν ἐμπυρεύσων, καὶ σὺ δεῦρο ἀφίκου δηλαδή. ἐμπυρεύσων δὲ, σαυτὸν πυρώσων, καύσων τῷ πυρὶ φερομένῳ. Ἵνα νήσας.] σωρεύσας. Τούτῳ κατασβέσωμαι.] τούτῳ τῷ ὕδατι. Σταθεύσω.] σταθεύειν, πυροῦν. καὶ πυρὶ ἡσύχως χλιᾶναι κρέας, καὶ ὀπτῆσαι. Ἡσύχιος, περὶ τούτου καὶ ἐν Ἀχαρνεῦσι, σηπίας στάθευε, τουτέστιν ὄπτα. καὶ ἐν Ἐκκλησιαζούσαις, σηπίας ἐσταθευμέναις, ἤγουν ὀπτηθείσαις, ἢ πυρὶ χλιανθείσαις. ἄλλως. σταθεύειν, τὸ ἡσύχως, καὶ βραδύνοντι πυρὶ ὀπτᾷν. Εἰ ῥύμμα.] ῥύμματα, τρίμματα, σμήγματα, καθάρματα. Σ. ἄλλως. ῥύμμα, ῥύπον, σπίλον, ἀκαθαρσίαν. σὺ λουτρὸν, δηλονότι παρέξεις; δώσεις; νυμφικὸν δὲ λουτρὸν λέγει, ὅτι αἱ νύμφαι νεωστὶ γημάμεναι πρὶν ἢ μετὰ τῶν νυμφίων κοιμᾶσθαι καθαρότητος μείζονος ἕνεκα λουτροῖς ἐχρῶντο. Ἡλιάξεις.] ἡλιάσαι κυρίως ἐν τῷ ἡλίῳ ἁπλῶσαι. ἢ θερμαίνεσθαι ἐν ἡλίῳ. Ἡσύχιος. ὅθεν Ἡλιαία τὸ μέγιστον δικαστήριον Ἀθήνησιν. οὕτω καλούμενον, διὰ τὸ ἐν ὑπαίθρῳ εἶναι τόπῳ, καὶ ὑπὸ τοῦ ἡλίου βάλλεσθαι. ἡλιάζεσθαι δὲ, ὅθεν καὶ ἡλίασις, ἐστὶ τὸ ἐν Ἡλιαίᾳ δικάζεσθαι. καὶ ἡλιασταὶ, οἱ ἐν Ἡλιαίᾳ δικασταί. καὶ τὸ ἡλιάξεις ἐνταῦθα ληπτέον ἀντὶ τοῦ ἐν Ἡλιαίᾳ δικάσεις. ἢ, ὡς ἔτι δικαστὴς ἔσῃ, οὐδὲ τῆς Ἡλιαίας δικαστής. ἢ καὶ ἁπλῶς, ὡς ἔτι δικαστὴς ἔσῃ. ἡλιάζειν δὲ ἐν τῷ μέλλοντι ἡλιάσω, καὶ ἡλιάξω. ὡς παίζω, παίσω, καὶ παίξω. Σὸν ἔργον ὦ Ἀχελῷε.] ὦ Ἀχελῷε σὸν ἔργον ἐστί. νῦν ὦ Ἀχελῷε δεῖ σε μετὰ τούτων ποιεῖσθαι τὸ σὸν ἔργον, ἤγουν τούτους τοῖς σοῖς ὕδασι βρέχειν. ἡ δὲ Στρατυλλὶς ὕδωρ εἰς τὴν τοῦ γέροντος κεφαλὴν

B ἐκχέουσα τοῦτο λέγει. τὸν δὲ Ἀχελῷον ὡς θεὸν προσφωνεῖ. Ἀχελῷος δὲ ποταμὸς Ἀρκαδίας. καὶ πᾶν ὕδωρ οὕτω λέγεται. Ἄρδω σ' ὅπως.] ἄρδω, βρέχω. ἄρδειν ἀλλαχοῦ τὸ ποτίζειν. οἷον ἵππον ἄρδειν. Εὖ στ... αὖος δὲ, ὅθεν τὸ αὐαλέος, αὐανθεὶς, ξηρανθεὶς, ξηρός. χλιανεῖς δὲ, θερμανεῖς. ὅτι δὲ ὁ χορὸς γερόντων εἶπε, τρέμων, πρὸς τοῦτο ἡ Στρατυλλὶς ἐπιφέρει, σὺ τοίνυν πῦρ ἔχων, σὲ χλιανεῖς. οὕτως αὐτὸν σκώπτει.

CHRIST. Τί δὲ σὺ πῦρ.] Legerem τί δαὶ σὺ πῦρ ὦ τύμβ' ἔχων, ὡς σαυτ', &c. Est autem ὦ τύμβε

C quasi ô silicernium. Sed & versu proximè praecedenti, si constare vis suis numeris qui Tetrametrum efficiant catalecticum, deleam σὺ & legam ὦ θεοῖσιν ἐχθρὰ δεῦρ'. Ἐγὼ μὲν ἵνα νήσας.] Lego ἐγὼ μίαν νήσας πυράν, & versu proximè sequenti ὑφ' δὲ μίαν τὴν σὴν, &c. Quia antea sic locutus est, μίαν πυρὰν νήσαντες. Εἰ ῥύμμα.] Sordes per hanc vocem intelligit, quae etiam σμήγματα, τρίμματα & καθάρματα, sed in hoc versu transponerem verba

D vltima & legerem ἐγὼ λουτρὸν παρέξω. Neq; mihi dubium est quin λουτρὸν hic sit lotium, seu puellare seu virgineum, quod vocat νυμφικόν. Ἄδρω σ' ὅπως] Lego ἄρδω σ' vt & legitur in Veneta edit.

ΠΡΟΒΟΥΛΟΣ, ΑΓΓΕΛΟΣ Γερόντων.

Πρ. Ἄρ' ἐξέλαμψε τῶν γυναικῶν ἡ τρυφὴ,
Χ' ὡ τυμπανισμὸς χ' οἱ πυκνοὶ Σαβάζιοι.
Ὅ, τ' Ἀδωνιασμὸς οὗτος οὐπὶ τῶν τεγῶν.
Οὗ 'γώ ποτ' ὢν ἤκουον ἐν τῇ 'κκλησίᾳ.
Ἔλεγεν δ' ὁ μὴ ὥρασι μὲν Δημόστρατος
Πλεῖν εἰς Σικελίαν. ἡ γυνὴ δ' ὀρχουμένη
Αἰαῖ Ἄδωνιν φησίν. ὁ δὲ Δημόστρατος
Ἔλεγεν ὁπλίτας καταλέγειν Ζακυνθίων.
Ἡ δ' ὑποπεπωκυῖα, ἡ γυνὴ 'πὶ τοῦ τέγους
Κόπτεσθ' Ἄδωνιν φησίν. ὁ δ' ἐβιάζετο
Ὁ θεοῖσιν ἐχθρὸς, καὶ μιαρὸς Χολοζύγης.
Τοιαῦτ' ὑπ' αὐτῶν ἐστιν ἀκόλαστ' ᾄσματα.
Ἀγγ. Τί δῆτ' ἂν εἰ πύθοιο καὶ τὴν τῶνδ' ὕβριν
Αἳ τἄλλα θ' ὑβρίκασι κἀκ τῶν καλπίδων
Ἔλουσαν ἡμᾶς, ὥστε θ' αἱματίδια
Σείειν πάρεστιν, ὥσπερ ἐνεουρηκότας.
Πρ. Νὴ τὸν Ποσειδῶ τὸν ἁλυκὸν δίκαιά γε.
Ὅταν γὰρ αὐτοὶ ξυμπονηρευώμεθα

PROBVLVS vel PROVISOR, Nuntius à senibus.

E PROB. Ergo ille luxus fœminarum promicat
Sonusq́; tympani & frequens bacchatio
Adonidisq́; lessus in tectis strepens
In concione nuper auditus mihi,
Dum se in Sicanos autumat Demostratus
Haud tempori ire, saltat vxor interim
Eheuq́; Adoni dicit, armites viros
F Zacynthiorum idem inquit Demostratus
Legisse, vt vxor temulenta per domum
Lugeri Adonin inquit: at vi ducitur
Odium deorum ille improbus Cholozuges:
Has cantiones impudicas efferunt.
NVN. Quid si ô Probule caeteras iniurias
Quas hae patrarunt rescias? lauere nos
Suis matellis, suntq; nostra pallia
G Quassanda tersim, vt illa quum permingimus.
PR. Testor marinum Trossuli numen dei,
Iure ista patrant, namq; nos cùm nequiter

BISETVS. Ἄρ' ἐξέλαμψε.] στίχος ἰαμβικὸς τρίμετρος ἀκατάληκτος. Πρόβουλος εἰς τὴν καλουμένην πρόβουλο

θῶν, τῶν τότε γυναικῶν καταγέλων, καὶ τὰς τούτων τρυφὰς, καὶ τὴν ἀκολασίαν ψέγει. καὶ δὴ καὶ τούτων τινὰς ὀνομαςὶ χαρακτηρίζει. Πρόβουλος δὲ νῦν, ὁ ἔξαρχος τοῦ βουλευτηρίου, ἢ ὁ προσπιπτόμενος. Ησύχιος. ἀλλαχοῦ δὲ Πρόβουλος ἀρχή τις ἀθήνῃσι. τοῖς Αθηναίοις μετὰ τὴν ἐν Σικελίᾳ συμφορὰν καταςαθεῖσα. ὡς δῆλον ἐκ τῆς ὀγδόης τῆς Θουκυδίδου ξυγγραφῆς. Ομως δὲ, φησιν, ὡς ἐκ τῶν ὑπαρχόντων ἐδόκει χρῆναι μὴ ἐνδιδόναι, ἀλλὰ παρασκευάζεσθαι καὶ ναυτικὸν, ὅθεν ἂν δύνωνται ξύλα ξυμποριζόμενοι, καὶ χρήματα, καὶ τὰ τῶν ξυμμάχων ἐς ἀσφάλειαν ποιεῖσθαι, καὶ μάλιςα τὴν Εὔβοιαν, τῶν τε κατὰ τὴν πόλιν τι ἐς εὐτέλειαν σωφρονίσαι. καὶ ἀρχήν τινα πρεσβυτέρων ἀνδρῶν ἑλέσθαι, οἵτινες περὶ τῶν παρόντων ὡς ἂν καιρὸς ᾖ προβουλεύσουσι. Σαβάζιοι.] Σαβάζιος, ὁ αὐτὸς ἐςὶ τῷ Διονύσῳ. ἔτυχε δὲ τῆς προσηγορίας ταύτης παρὰ τὸν γινόμενον περὶ αὐτὸν θειασμόν. τὸ γὰρ εὐάζειν, οἱ βάρβαροι σαβάζειν φασίν. ὅθεν καὶ τῶν Ελλήνων τινὲς ἀκολουθοῦντες τὸν εὐασμὸν σαβασμὸν λέγουσιν. ἔνθεν Σαβάζιος, ὁ Διόνυσος. Σάβους ἔλεγον καὶ τοὺς ἀφιερωμένους αὐτῷ τόπους, καὶ τοὺς βάκχους αὐτοῦ. Σ. περὶ τούτων δὲ, καὶ ἐν ἀρχῇ τῶν Σφηκῶν, καὶ ἐν Ορνισι διὰ πλειόνων εἴρηται. Ο, τ' Αδωνιασμός.] τίς ὁ Αδωνις γέγονε ὁ Αδωνις, τίνος υἱὸς, καὶ ἅ τινα περὶ αὐτοῦ οἱ ποιηταὶ μεμυθεύκασι, μηδενὶ ὡς οἶμαι, ἄγνωςον. Αδώνιον δὲ, τὸ τοῦ Αδώνιδος ἐπῴδιον. Αδωνία δὲ θηλυκῶς, εἴτε τὰ Αδώνια πληθυντικῶς ἑορτή τις τῷ Αδώνιδι, καὶ τῇ Αφροδίτῃ ἀγομένη. ὡς εἴρηται ἐν τῇ Εἰρήνῃ, ἐν τῷ

Πέμπτα τε τὰς ἄλλας τελετὰς τὰς τῶν θεῶν,
Μυςήρι' Ερμῇ, Διπόλει', Αδώνια.

ὅθεν καὶ τὸ ῥῆμα Αδωνιάζω, τὸ ταύτην τὴν ἑορτὴν ἄγω. ἀφ' οὗ καὶ ὄνομα ῥηματικὸν, Αδωνιασμός. ὡς συνουσιασμὸς ἀπὸ τοῦ συνουσιάζω χαρακτηρίζεται. ταῦτα δὲ πάντα, ἐςὶν, ὅτε τὸν θρῆνον, τὸν ἐπὶ τῷ Αδώνιδος θανάτῳ ποιούμενον δηλοῦσι. καὶ οὕτως ἐνταῦθα ληπτέον, ἐκ τῶν ἑξῆς φαίνεται. οὑπὶ τῶν τεγῶν, τὸ πλῆρες, ὁ ἐπὶ τῶν τεγῶν. τέγη δὲ, καὶ ςέγη, τέγος, καὶ ςέγος ταυτὸν, οἴκημα. Ησύχιος. οὐ γὰρ ποτ' ἤκουον. τὸ πλῆρες, οὐ γάρ ποτε ἤκουον. καὶ ἐν τῇ ἐκκλησίᾳ. ἐν τῇ ἐκκλησίᾳ. Μὴ ὥραισι.] ὥραισι, ἐν ὥραις. ἐν ὥρᾳ. ἐν καιρῷ ἐπιτηδείῳ. ὁ νοῦς. ὁ δὲ Δημόςρατος ἔλεγεν ἑαυτὸν ἐν ὥρᾳ, ἀλλ' ἀκαίρως εἰς τὴν Σικελίαν πλεῖν. Οπλίτας καταλέγειν.] καταλέγειν ὁπλίτας, τὸ διαγράφειν, τὸ καταγράφειν. Ξενοφῶν. Οπλίτας τε αὐτοῦ καταλέξασθαι χιλίους ἐπεψηφίσατο. καὶ αὖθις. μετὰ δὲ ταῦτα καταλέξαντο τὴν ςρατιάν. ὁπλῖται δὲ, πελτας αἱ ψιλοὶ τῆς πεζικῆς εἰσι καὶ μαχίμου δυνάμεως. ἔχουσι δὲ διαφοράς. ὁπλῖται μὲν γὰρ λέγονται, οἱ βαρυτάτῃ ὁπλίσει κεχρημένοι, κατὰ τὸ Μακεδονικὸν τρόπον, ἀσπίσι περιφερέσι, καὶ δόρασι περιμήκεσι. ψιλοὶ δὲ, οἱ κουφοτάτῃ κέχρηνται, τόξῳ, καὶ ἀκοντίῳ, καὶ λίθοις ἐκ σφενδόνης, ἢ ἐκ χειρός. οἱ δὲ πελταςαὶ, μέσῃ πως κέχρηνται σκευῇ. ἥτε γὰρ πέλτη, μικρά τις ἐςὶν ἀσπιδίσκη, καὶ κούφη. καὶ τὰ δόρατα πολὺ τῶν ὁπλιτῶν λειπόμενα. Σ. Ζακυνθίων.] Ζάκυνθος ἀρσενικῶς καὶ θηλυκῶς παρ' Ομήρῳ ὡς μαρτυρεῖ Στέφανος περὶ πόλεων πόλις ἐςὶν, ἀπὸ Ζακύνθου τοῦ Δαρδάνου. ὁ πολίτης Ζακύνθιος. Θουκυδίδης δὲ ἐν δευτέρῳ τῆς ξυγγραφῆς, ταύτης εἶναι λέγει, γράφων οὕτως, Οἱ δὲ Λακεδαιμόνιοι, καὶ οἱ ξύμμαχοι τοῦ αὐτοῦ θέρους ἐςράτευσαν ναυσὶν ἑκατὸν ἐς Ζάκυνθον τὴν νῆσον, ἣ κεῖται ἀντιπέρας Ηλίδος. εἰσὶ δὲ Αχαιῶν τῶν ἐκ Πελοποννήσου ἄποικοι, καὶ Αθηναίοις ξυνεμάχουν. ὑποπεπωκυῖα δὲ, μεθύουσα, ὑποπίνειν γὰρ, μεθύσκεσθαι. Κόπτεσθ' Αδωνιν.] κόπτειν, κοινῶς μὲν, τὸ διαιρεῖν. παρ' Αττικοῖς δὲ, τὸ κρούειν, καὶ πλήττειν. διὸ, κόπτειν τὴν θύραν. καὶ κόπτειν, τὸ ἐλαύνειν, καὶ θυροκοπεῖν. κόπτεσθαι δὲ κεφαλὴν καὶ χεῖρας, ὅτι ἐντελῶς λέγεται, κόπτεσθαι κατὰ μόνας ἀτελῶς. καὶ κόπτεσθαι, τὸ πενθεῖν, ὅθεν κοπετὸς, τὸ πένθος, ὁ θρῆνος. κόπτεσθε

A τούτου τὸν Αδωνιν, ἀντὶ τοῦ πενθεῖτε, καὶ θρηνεῖτε. Διεζετο δὲ, δηλονότι ταύτην τὴν γυναῖκα, πρὸς βίαν ἐφθάρειν. ἢ πρὸς βίαν αὐτῇ συνῆν. ἀκόλαςα δὲ ᾄσματα, καὶ ἀσελγείας φωναί. ἐςὶν ὑπ' αὐτῶν, ὑπ' αὐτῶν ᾄδεται. διὰ τούτων δὲ πάντων ὁ Πρόβουλος δηλοῖ τὴν γυναικῶν ἀκολασίαν, καὶ κακίαν, ὑφ' ἧς καὶ πρὸς τὸ τὸ παρὸν τολμώμενον καὶ τόλμης ἐσχάτης ἔργον αὐτὰς προαχθείσας οὐδὲν θαυμαςὸν εἶναι λέγει.

Chr. Πρόβουλος.] Hic erat cum pluribus alijs ἔξαρχος τοῦ βουλευτηρίου, Herodotus vocat eo no-
B mine quos Prouisores dicimus, Hi videbant ne quid ipsi nouem magistratus contra Rempublicam facerent. Eosdem fuisse Νομοφύλακας etiam putauit magnus Budæus, Principes Senati vocare possumus. Sudas in illa sua Collectaneorum farragine viginti primùm fuisse, deinde plures creatos scribit post cladem Siciliæ qui cauerent ne quid Respub. caperet detrimenti. Eos maximus magister Aristoteles conuenire magis scribit in dominatu paucorum quàm in statu multi-
C tudinis, cuius Reipublicæ proprius ordo est βουλὴ non προβουλή. vide ipsum lib. 4. Politicon. Meminit idem τῶν προβούλων lib. 3. Rhetoricorum vbi Sophoclem πρόβουλον censuisse ait cum aliis προβούλοις, constituendos 400. Archontas. Ibi Græcus interpres προβούλους esse vult eos qui de rerũ euentis consulunt & deliberãt. Ο τ' Αδωνισμ.] Legẽdũ omnino Αδωνιασμός. Sic enim vel Hesychio teste dicitur lugubris Nenia quæ super Adonide celebratur. Mox vbi habes ὥραισι, in Veneta edi-
D tione legitur ἄραισι, vtrouis modo legas, ciccum, vt ait ille, non interduim. Ηδ' ὑποπεπωκυῖα.] Id est probè appota vt loquitur Latinitatis eligentissimus M. Plautus, Malè autem Veneta editio ὑποπεπλωκυῖα. Qui error occupauit Irenam fabulam, neque à me animaduersus fuit etsi monitori Leopardo doctissimo viro, iamdudum auscultandum fuerat qui cap. 23. libr. 9. Emendationum suarũ totus est in huius vocis explicatione. Quod paulò post ait de Cholozyge, nondum liquidò mihi constat de sensu recto huius loci.

E Bisetus. Τί δῆτ' ἂν εἰ.] Ερχεται ὁ τῶν γερόντων ἄγγελος, ὃς ἀγγέλλει ἅπερ αὐτοὶ ὑπὸ τῶν γυναικῶν ἐπαθον. ὁ δὲ Πρόβουλος καὶ αὐτὸς καταγέλαςά τινα διηγησάμενος, τούτων αἰτίαν εἶναι λέγει, τὴν ἄγαν τῶν ἀνδρῶν πρὸς τὰς ἑαυτῶν γυναῖκας φιλοςοργίαν, καὶ ἄνεσιν. εἶτα καὶ ἑαυτὸν ὑπὸ γυναικῶν ἀποκλεισθῆναι μέμφεται. τέλος δὲ, καὶ τινῶν δημοσίων ὑπηρετῶν προσκληθέντων ἀπαιτεῖ πρὸς τὴν ἀκρόπολιν, τὰς αὐτῆς πύλας διαρρήξοντες ὁρμῶνται. Ελουσαν.] τῷ ὕδατι ἐκ τῶν καλπίδων ἐγχεομένῳ ἡμᾶς ἔβρεξαν ὥςε λοῦσαι δοκεῖν. Ωςε θοιμα-
F τίδια.] τοῦ νοῦ, καὶ μέτρου χάριν, ταῦτα γραπτέον οὕτως. ὥςε θοιματίδια. θοιμάτιον Ατλικῶς, ὅπερ κοινῶς, τὸ ἱμάτιον καλεῖται. ἐντεῦθεν δὲ τὸ ὑποκοριςικὸν θοιματίδιον, τὸ ἱματίδιον. Ωσπερ ἐνουρηκότας.] ὁ νοῦς. τὰ ἡμῶν ἱματίδια τῷ ὕδατι οὕτως ἔβρεξαν, ὥςε ἡμᾶς φαίνεσθαι ἐνουρηκότας αὐτοῖς. ὥςε αὐτὰ τῷ ἡμῶν οὔρῳ βεβρέχθαι δοκεῖν. τὸ δὲ ἐνουρηκότας Αττικῶς εἴρηται ἀντὶ τοῦ ἐνουρηκότας, παρὰ τὸ ἐνουρεῖν. Τὸν ἁλυκόν.] ἁλυκόν. ὀξύτονον καὶ δασυνόμενον. ἁλυκὴ, κατὰ τὸν Ησύχιον. ἐὰν μὲν τὸ ἁ δασύνηται, ἡ θάλασσα. ἐὰν δὲ ψιλῶται, ἡ λύπους μὴ ἔχουσα. ὁ
G αὐτὸς, ἁλυκὸν, ἁλμυρόν. τὸ δὲ μέγα ἐτυμολογικὸν, ἁλυκὸς, ἁλμυρὸς, παρὰ τὴν ἅλα. ἁλικὸς καὶ ἁλυκός, ὡς περιφαλέα, τρυφαλεία. διὸ καὶ τὰ ἀπιθάνως τεκμαίροιτό τις ἐπὶ τοῦ τὸ ἁλυκὸν ταυτὸ τῷ ἁλυκὸν, ἤγουν ἅλιον, καὶ θαλάσσιον εἶναι. τὸ δὲ τὸ πλῆθος τοῦ Ποσειδῶνος νῦν πρός

A

Bisetus. Ἐλθὼν, ἐκείνῃ.] ἐστὶ λεῖον μὲν τὸ ἐλθών. καὶ τὸ ἐκείνῃ πρὸς τὸ οὐ ἁρμόζον ἀνοίσιον, οὕτω, πρὸς ἑσπέραν ἐλθὼν, ἐκείνῃ, τῇ μὲν γυναικὶ δηλονότι, οὐ ἅρμοζον τὴν βάλανον τῷ τρήματι αὐτῆς. ἀλλ' ἐκ τούτων, καὶ τῶν ἄνω περὶ τῆς βαλάνου, καὶ τοῦ τρήματος λεγόμενα δῆλον ἔχει ἀμφιβολίαν κακέμφατον, καὶ διὰ τούτων τὴν τῆς συνουσίας ἀσέλγειαν ὑποσημαίνεσθαι. καὶ γὰρ ἡ βάλανος τὸ τοῦ ἀνδρὸς, καὶ τὸ τρῆμα τὸ τῆς γυναικὸς αἰδοῖον σημαίνειν δύναται. καὶ αὕτη ἡ τοῦ βαλάνου ἅρμοσις πρὸς τῇ γυναικὶ, παιδιᾶς καὶ γέλωτος χάριν ἀμφιβόλως τὴν βάλανον ἐκ τοῦ τρήματος τοῦ ὅρμου ἐκπεσοῦσαν, εἶτα ὑπὸ τοῦ δημιουργοῦ πάλιν ἐναρμοσθεῖσαν, καὶ τὸν τῆς συνουσίας τρόπον ἴσως δηλοῖ. τούτων ὁ νοῦς ἐστί. Εἶτα πρὸς τῆς εὐσεβείας. καὶ σωφροσύνης νόμον αἱ ἡμῶν γυναῖκες ἀσελγέστερον ἁμαρτάνουσιν, ἁμαρτήματος τοιούτου τὴν

B

αἰτίαν ἡμᾶς ἀνέχειν ἐχρῆν. καὶ γὰρ ἡμεῖς αὐτοὶ τῆς ἡμετέρας γυναιξὶ ξυμπονηρευόμεθα, καὶ τρυφᾶν, καὶ ἀσελγαίνειν αὐτὰς διδάσκομεν, καὶ πάσης ἀκολασίας ἀφορμὴν αὐτῶν παρέχομεν. τὸ μὲν, τῇ τῶν λόγων ἀπρεπεστέρων συνηθείᾳ. τὸ δὲ, τῇ τῶν ἔργων ἀναιδεστέρων ἀποδείξει. οὐ τοίνυν αὐτὰς, ἀλλ' ἡμᾶς αὐτοὺς ὡς τούτων ἁπάντων

C

αἰτίους δικαίως αἰτιατέον. Ἐν τισι δὲ τῶν ἀντιγράφων ἀντὶ τοῦ οὐ ἅρμοζον, γέγραπται ἐνάρμοζον. ὃ καὶ καλῶς ἔχει. Τὸ ζυγόν.] ταῦτα ληπτέον οὕτω, τὸ ζυγὸν πιέζει τοὺς πόδας κατὰ τὸ δακτυλίδιον. ζυγὸν δὲ, ὃ καὶ ἀρσενικῶς ζυγὸς, ὁ παρακείμενος ἱμὰς τοῖς δακτύλοις πλαγίοις ἐπὶ τῶν σανδαλίων. ἅτ' ἁπαλὸν ὄν. ἅτε ἀντὶ τοῦ ὡς, ὡς δηλαδή. πιέζει δὲ, θλίβει, σφίγγει, ἀλλ' ἴσως βέλτιον γράφειν ὑποπιέζει. καὶ τοῦ νοῦ καὶ τοῦ μέτρου χάριν, ἐὰν τὸ πρότερον ι τοῦ δακτυλίδιον συστέλλεται. τὸ γὰρ ι φύσει κοινόν. Ὅπως ἂν εὐρυτέρως ἔχῃ.] καὶ ταῦτα κακεμφάτου πολλὴν ἀμφιβολίαν, καὶ φανερὰν ὑποτύπωσιν ἔχει τῶν μετὰ τὴν συνουσίαν τῇ γυναικὶ συμβαίνειν εἰωθότων. Ἐκποείσας.] ὁ νοῦς. Ἐγὼ τῆς βουλῆς ὢν ἔξαρχος, ἤγουν ἀρχὼν, καὶ παρασκευάσας ὅπως πλεῖστοι κωπῆς ἔσονται, νῦν ὅτε τῶν χρημάτων χρείαν ἔχομεν μεγάλην,

A

ὅμως ὑπὸ τῶν γυναικῶν ἀποκέκλεισμαι τῶν πυλῶν τῆς ἀκροπόλεως, ὅπου τὰ χρήματα τῆς πόλεως ἐν τῷ ταμιείῳ κεῖται. ἄλλως. ἐκποείσας τὰ ἀργύρια, εἴτε τὰ χρήματα συλλέξας, χρημάτων εὐπορίαν συλλέξας ὅπως πλείστους κωπῆς, εἴτε κωπηλάτας, ἤγουν ἐρέτας ἔχωμεν, νῦν ἡμῶν μεγάλην χρημάτων χρείαν ἐχόντων, ὑπὸ τῶν γυναικῶν, καὶ τὰ ἑξῆς. ὅπως κωπῆς ἔσονται) λέγει, ὅτι πρὸς τὸ πλοιῶν, καὶ τὰς ναυτικὰς στρατείας πολλῶν κωπηλατῶν ἔδει. πολλοὺς δὲ κωπηλάτας ἄνευ χρημάτων ἔχειν ἀδύνατον. χρήματα δὲ τοῖς κωπηλάταις παρέχειν οὐκ ἐδύνατο,

B

τῆς ἀκροπόλεως ὑπὸ τῶν γυναικῶν καταληφθείσης. κωπῆς δὲ Ἀττικῶς, ὡς τὸ ἱππῆς. παρὰ δὲ τὴν κώπην, κώπευς εἴρηται. καὶ τὸν κωπηλάτην σημαίνει. Ἀλλ' οὐδὲν ἔργον ἑστάναι.] οὐ δεῖ τὸν χρόνον μάτην ἔτι τρίβειν. Ὅπως ἄν.] ὅπως τὴν αὐτῶν ὕβριν σχήσω, καὶ παύσω. Ποῖ κέχηνας] ἥδε ἡ γραφὴ οὐ καλῶς ἔχει. καὶ μέτρου χάριν γραπτέον, Τί κέχηνας; Μηδὲν ἐκμοχλεύετε.] ἡ Λυσιστράτη, τοὺς ἄνδρας ἤδη τὴν τῶν πυλῶν διαρρῆξιν ἐπιχειροῦντας ἰδοῦσα, τῶν μοχλῶν ἀφεῖναι κελεύει, αὐτὴ τε πρὸς αὐτοὺς, αὐτομάτως αὐτίκα προσελευσομένης.

C

Chr. Πιέζει τὸ ζυγόν.] Explanat Hesychius cùm ait ἱμάντα esse παρακείμενον τοῖς δακτύλοις ἐπὶ τῶν σανδαλίων, sed addit Sudas πλαγίοις δακτύλοις. Mox cùm ait ἐκποείσας, intellige ἐξανύσας. Ὅπως κωπῆς ἔσονται.] Aut falli me necesse est (quod sæpè nimis accidit) aut innuit de Trierarchia, Nã qui istud muneris obibat & ad nauale bellum necessaria suppeditabat, τριηραρχεῖν dicebatur, victum autem remigibus sufficiebant Trierarchi. Ποῖ κέχηνας ὦ.] Hic versus Trimeter est Trochaicus Catalect. Tamen si ποῖ exsulare facis, aut

D

παρεγγραφῆς locum obtinere vis, similis erit versus cęteris Trimetris Iambicis. Mox verò pro ὑποβαλόντι lego ὑποβαλόντες. versus autem ille οὐ γὰρ μοχλῶν δεῖ, nisi fallit me memoria, parodia est ad versus Euripidæ.

E

ΠΡΟΒΟΥΛΟΣ, ΛΥΣΙΣΤΡΑΤΗ, Στρατυλλίς.

Πρ. Ἄληθες ὦ μιαρὰ σύ. ποῦθ' ὁ τοξότης;
Ξυλλάμβαν' αὐτὴν κ' ὀπίσω τὼ χεῖρε δεῖ.
Λυ. Εἴτ' ἄρα νὴ τὴν Ἄρτεμιν τὴν χεῖρά μοι
Ἄκραν προσοίσει δημόσιος ὢν κλαύσεται.
Πρ. Ἔδεισας οὗτος; οὐ ξυναρπάσει μέσην;
Λυ. Καὶ σὺ μετὰ τούτου κ' ἀνύσαντε δήσετον.
Στ. Εἴτ' ἄρα νὴ τὴν Πάνδροσον ταύτῃ μόνον
Τὴν χεῖρ' ἐπιβαλεῖς, ἐπιχεσεῖ πατούμενος.
Πρ. Ἰδού γ' ἐπιχεσεῖ. ποῦ 'στιν ἕτερος τοξότης;
Ταύτην προτέραν ξύνδησον ὁτιὴ καὶ λαλεῖ.
Λυ. Εἴτ' ἄρα νὴ τὴν Φωσφόρον τὴν χεῖρ' ἄκραν
Ταύτῃ προσοίσεις, κύαθον αἰτήσεις τάχα.

Probulus, Lusistrata, Stratullis.

PROB. Placet nefanda? lictor arcitenens ubi est?
Heus tu prehende hanc & liga à tergo manus.

F

LVS. Testor Dianam, si quis admorit manum
Liturgus in me tantulum, flebit nimis.
PR. Quid extimescis? non prehendis ocyus?
Non ibis & tu colligaturus statim?
STR. Per Pandroson, si tu manum isti inieceris
Vel paululùm calcatus hic cacans eris.

G

PR. Hui cacans! ubi alter est sagittifer?
Prius volo istam vinciat quæ sic blatit.
STR. Per albicantis lucis auctorem deam,
Si taxis istam, forsit ut cotulam petas.

Πρ. Τουτὶ τί ἦν. ποῦ τοξότης. ταύτης ἔχου.
Παύσω τιν᾽ ὑμῶν τὸ δ᾽ ἐγὼ τῆς ἐξόδου.
Στρ. Εἴτ᾽ ἄρα νὴ τὴν Ταυροπόλον ταύτῃ προσεί-
σῃ,
Εκκοκιῶ σου τὰς στενοκωκύτους τρίχας.
Πρ. Οἴμοι κακοδαίμων ἐπιλέλοιφ᾽ ὁ τοξότης.
Ἀτὰρ οὐ γυναικῶν οὐδέποτ᾽ ἔσθ᾽ ἡττητέα
Ἡμῖν. ὁμόσε χωρῶμεν αὐτῶν ὦ Σκύθαι,
Ξυνταξάμενοι. Λυ. νὴ τὼ θεὼ γνώσεσθ᾽ ἄ-
ρα
Ὅτι καὶ παρ᾽ ἡμῖν εἰσὶ τέτταρες λόχοι
Μαχίμων γυναικῶν ἔνδον ἐξωπλισμένων.
Πρ. Ἀποστρέφετε τὰς χεῖρας αὐτῶν ὦ Σκύ-
θαι.
Λυ. Ὦ ξύμμαχοι γυναῖκες ἐκθεῖτ᾽ ἔνδοθεν
Ὦ σπερμαγοραιολεκιθολαχανοπώλιδες
Ὦ σκοροδοπανδοκευτριαρτοπώλιδες.
Οὐκ ἐξέλκετ᾽. οὐ παιήσετ᾽. οὐκ ἀρήξετε.
Οὐ λοιδορήσετ᾽. οὐκ ἀναισχυντήσετε.
Παύσασθ᾽. ἐπαναχωρεῖτε. μὴ σκυλεύετε.
Πρ. Οἴμοι κακῶς πέπραγέ μου τὸ τοξικόν.
Λυ. Ἀλλὰ τί γὰρ ᾤου. πότερον ἐπὶ δούλας τι-
νὰς
Ἥκειν ἐνόμισας ἢ γυναιξὶν οὐκ οἴει
Χολὴν ἐνεῖναι; Πρ. μὰ τὸν Ἀπόλλω καὶ μά-
λα
Πολλήν, ἐάν γε πλησίον κάπηλος ᾖ.
Χο. Ὦ πόλλ᾽ ἀναλώσας ἔπη Πρόβουλε τῆσδε γῆς
Τί τοῖσδε σαυτὸν εἰς λόγον τοῖς θηρίοις συνά-
πτεις;
Οὐκ οἶσθα λουτρὸν οἷον αἵδ᾽ ἡμᾶς ἔλουσαν ἄρ-
τι
Ἐν τοῖσιν ἱματιδίοις. καὶ ταῦτ᾽ ἄνευ κονίας.
Χο. Γ. Ἀλλ᾽ ὦ μέλ᾽. οὐ χρὴ προσφέρειν τοῖς πλη-
σίοισιν εἰκῇ
Τὴν χεῖρ᾽. ἐὰν δὲ τοῦτο δρᾷς, κυλοιδιᾶν ἀνάγ-
κη.
Ἐπεὶ θέλω γὼ σωφρόνως ὥσπερ κόρη καθῆσθαι
Λυποῦσα μηδέν᾽ ἐνθαδὶ κινοῦσα μηδὲ κάρφος.
Ἢν μή τις ὥσπερ σφηκιὰν βλίττῃ με κἀρεθί-
ζῃ.

A PR. *Quid istud est? vbi ille lictor? heus istam tene,*
Eruptionem hanc perfacul repressero.
STR. Per Tauricam si pergis huc accedere
Crines reuellam flebilem in modum tuos.
PR. Heu me misellum, hic arquitum penuria est,
At non oportet fœminis sic cedere,
B *Age irruamus, ô Scytha, instructo ordine*
Aduorsus illas. LVS. Per deos videbitis
Lectas cohortes esse nobis quattuor
Pugnacium intus fœminarum & armitum.
PR. Vos fœminarum auertite, ô Scytha, manus.
LVS. Exite sociæ fœmina, huc concurrite
Vos seminiforipisolecipole, simul
Vos allicaupopanivendula aduoco.
Ecquid venitis, caditis, succurritis,
C *Conuiciamini, impudenter pergitis?*
Cessate, cessim abite, nec prædemini.
PR. Cessit meus eheu, male sagittarius.
LVS. Nam quid putabas? rem tibi cum seruolis
Fore autumabas? tune bilem fœminis
Non esse credis? PR. Imò per Phœbum adfatim
D *Inesse credo, caupo si prope adsiet.*
CH. S. V. O multa frustra verba qui mutaueris
Probule, cur bis applicans te bestiis moraris?
Nescisne quali balneo nos alluere nuper
Per nostra pallia, idque labe sordidata nulla?
CH. MVL. Nam proximo stultè suo vis inferenda non est
Misellè, quòd si feceris, os vapulans tumebis
E *Velim quidem modestè, & instar virginis sedere*
Nulli molesta, ne quidem festuculam mouendo,
Dum ne quis vt vespariam irritans clepat meum mel.

BISETVS. Ἀληθῶς ὦ μιαρὰ σύ. ὑπηρέτης γλοιούστερόν ἐστιν ὄνομα, καὶ παρὰ τῷ Σουίδᾳ, καὶ τῷ Ησυχίῳ ἑρμηνεύεται δοῦλος. τὸ δὲ μέγα Ετυμολογικὸν λέγει, ἐκ τῆς ὑπὸ προθέσεως, καὶ τοῦ ἐρέσσειν, τὸ κωπηλατεῖν γίνεσθαι τὸ ὑποερέτης, ἐκβολῇ δὲ τοῦ ο, καὶ τροπῇ τοῦ ε εἰς η, ὑπηρέτης. κυρίως γὰρ ὁ ναύτης. ἐνταῦθα δὲ, οἰδικωτέρον ὑπηρέτας νοητέον ἐστὶν, ὡς εἶεν ἐκ τῶν δημοσίων δούλων, περὶ ὧν ὁ Πολυδεύκης ἐν τῷ ὀγδόῳ οὕτω γράφει. οἱ πρὸ τῶν δικαστηρίων, καὶ τῶν ἄλλων συνόδων δημόσιοι ὑπηρέται, οἷς ἐπιτέτακτο ἀνείργειν τοὺς ἀκοσμοῦντας, καὶ τοὺς ἃ μὴ δεῖ λέγοντας ἐξαίρειν, καὶ Σκύθαι, καὶ Τοξόται, καὶ Σπευσίνιοι ἐκαλοῦντο, ἀπὸ τοῦ πρώτου συντάξαντος περὶ αὐτοὺς ὑπηρεσίαν. τούτων οὖν οὕτως ἐχόντων, δῆλον τὸν ὑπηρέτην, τὸν Τοξότην, καὶ τὸν Σκύθην συνωνύμως λέγεσθαι. διὸ καὶ ἀπίθανος F τινὲς τεκμαίρονται, καὶ ἐνταῦθα, καὶ ἐν τοῖς ἑξῆς τὸ τοῦ ὑπηρέτου πρόσωπον, ἀντὶ τοῦ προσώπου τοῦ Προβούλου διεφθαρμένως γράφεσθαι. τοῦτον δὲ τὸν εἰκασμὸν βεβαιοῦσιν ὁ νοῦς, καὶ ὁ τῶν λαλουμένων λόγος, μάλιστα δὲ, τὰ ὑπὸ τοῦ χοροῦ κάτω λεγόμενα,

Ὦ πόλλ᾽ ἀναλώσας ἔπη Πρόβουλε τῆσδε γῆς.

Τοῦ Προβούλου γὰρ ὡς ἄρχοντός τινος ὄντος, μὴ τοῖς ὑπηρέταις ἐπιτάττειν, οὐ τῶν ὑπηρετῶν τῷ Προβούλῳ καὶ διὰ ταῦτα βέλτιον ἴσως τὸ φανερὸν σφάλμα διορθοῦν. οἱ δὲ πλεῖστοι τὴν παλαιὰν τούτων τῶν προσώπων γραφὴν G σώζειν βουλόμενοι, λέγουσι τοὺς τοξότας τοῖς ὑπηρέταις ὑποτάττεσθαι, ὡς τοὺς ἥττους τοῖς κρείττοσι, καὶ τοὺς ἀτιμοτέρους τοῖς τιμιωτέροις. καὶ τὸν ὑπηρέτην ἐνταῦθα εἶναι αὐτὸν ἐκεῖνον, ᾧ μικρῷ πρότερον ὁ Πρόβουλος ἔλεξε, Τί κέχηνας ὦ δύστηνε; καὶ τὸν αὐτὸν ὑπηρέτην νῦν ταῦτα λέγειν

γέτω, ἅλληθις ὦ μιαρά συ. εἶτα ζητεῖν, ποῦ ἐστιν ὁ τοξότης· καὶ αὐτὴν ὡς ὑπὸ δισσῶν τέλος προστάττειν τοῦτο, ξυλλαμβάνειν αὐτὴν καὶ τὰ ἐπίλοιπα.

Ἀλλὰ τίς τούτων ἐγγύης ἀξιόχρεως ἔσται;

διότι περ οὐδὲν ἀσφαλὲς ἐστὶ τῆς, καὶ ἀβεβαίως ἐκτίσας κινητέον. ἔστι φασὶν οὖν ἐστὶν ἀνδρῶν ἐν τοῖς ἀδήλοις, καὶ τοῖς μὴ σαφῆ τὴν ἀπόφασιν ἔχουσι, μηδὲν ἀβούλως κινεῖν. ἀλλὰ τὴν παλαιὰν χρείαν ἀσφαλῶς τηρεῖν, ἕως ἂν βελτίονος τύχωσι τὰς ἰσχύ τοι τῶν ἐμπειροτέρων ἀνδρῶν γνώμας. καὶ διαφέρει ἐξήγησις δηλοῦσαι πάνυ καλῶς, καὶ λυσιτελές. ὁ δὲ τοῦ λαλοῦντος ποτ' ἂν εἴη, εἴτε ὁ Πρόβουλος, εἴτε τις ὑπηρέτης, τὴν Λυσιστράτην ἐκ τῆς ἀκροπόλεως ἐξελθοῦσαν ἰδών, αὐτὴν ὑπὸ τῶν τοξοτῶν ταχέως ξυλλαμβάνεσθαι, καὶ δεσμεῖσθαι κελεύει. ἡ δὲ, καὶ ἡ Στρατυλλὶς ἀλλήλαις συνεργοῦσαι καὶ βοηθοῦσαι γυναῖκες ἀπομάχονται, καὶ τὴν ἐπιτεθεῖσαν βίαν ἀπωθοῦσι, τὰς ἄλλας τὰς ἐν τῇ ἀκροπόλει εὐμενῶς προσκαλοῦσαι ἐλθεῖν. δεῖ, δῆθεν. ἐκ τοῦ δίεκ κατὰ κρᾶσιν. Δημόσιος ὤν.] δημοσίους λέγουσιν, ὥς φησι Σκύθας τινὰς τῆς πόλεως δούλους. τοιοῦτοι οἱ ὑπηρέται, καὶ τοξόται, καὶ Σκύθαι. Ἐδείσας ἄρα.] ἐφοβήθης. παρὰ τὸ δέος ὅ ἐστι φόβος, παρῆκται τὸ δείδω, δείσω. τὸ φοβοῦμαι. ξυνωρπάσει δὲ, Ἀττικῶς ἀντὶ τοῦ ξυναρπάσεις. ἀνύσαντε δὴ, ἀνύσαντες μετὰ σπουδῆς ξυλλαβόντε, ταχέως δεῖ τὸν τοῦτο ἐν δυϊκῷ ἀριθμῷ. Νὴ τὴν Πάνδροσον.] Σουίδας Πάνδροσον ὄνομα κύριον γυναικὸς εἶναι γράφει. τίς δ' αὕτη οὐ δεδήλωκε. Παυσανίας δὲ τὴν Πάνδροσον μίαν τῶν τοῦ Κέκροπος θυγατέρων εἶναι λέγει. τῆς ναὸς δὲ τοῦ Ἀθηνᾶς ὁ Πανδρόσου ναὸς συνεχὴς ἐστί. ὥσπερ καὶ αὐτὸς ὁ Παυσανίας μαρτυρεῖ. ταύτην οὖν ἐνταῦθα νοητέον. ἐπιχεσεῖ δὲ Δωρικῶς, ὥσπερ Ἀττικῶς ἐπιχέσει, καὶ ἐπιχέσῃ. κοινῶς δὲ, ἐπιχέσεις. Ἰδοὺ ἐπιχεσεῖ.] τὸ ἰδοῦ ὀξυτονούμενον, ὃ καὶ ἰδὲ ποιητικῶς, προστακτικόν ἐστι τοῦ εἶδεν ῥήματος ὅ ἐστι ἀορίστου β. καὶ εἶδον, καὶ παρὰ τοῖς ποιηταῖς ἴδον ἄνευ διφθόγγου, ὅθεν ὁ β. ἀόριστος μ. ἰδόμην, εἴδετο, καὶ ἐν τῷ προστακτικῷ ἰδοῦ, ἰδέσθω, ὡς τὸ τυποῦ, τυπέσθω. ἰδού δὲ ὀξυτονούμενον, ἐπίρρημα δεικτικὸν ποιοῦν. παρὰ δὲ τῷ Ἀριστοφάνει ἰδίαν τινὰ, καὶ χρείαν ἔχει χρῆσιν, ὅταν τὸ τέλος τῶν ὑμῖν ὑπ' ἄλλων τινὸς λεγομένων ἐπαναλαμβάνοντες εἰρωνικῶς αὐτὸ συγχωροῦμεν, ὡς ἐνταῦθα. καὶ γὰρ ἡ Στρατυλλὶς ταύτας ἀπειλὰς ἐπιτείνασα, ἐπιχεσεῖ παλούμενος, ὁ ὑπηρέτης ἀποκειρόμενος, καὶ αὐτὴν καταγελῶν, καὶ σκώπτων, αὐτίκα τὰς αὐτῆς τελευταίας λέξεις ἐπαναλαμβάνων ἐπιφέρει μετ' ἀγανακτήσεώς τινος. ἰδοὺ ἐπιχεσεῖ. τοῦτο δὲ παρὰ τοῖς ῥήτορσι, διὰ τῶν, ὡς ἔοικεν, εἰρωνικῶς ληφθέντων, ῥωματικῶς ἀποφαίνεται. οὕτως καὶ ἐν τῇ Εἰρήνῃ, ἀγροικοῦ τινὸς τοῦ ἐρωτῶντος ποῖ γῆς οἱ θεοὶ εἶεν, ὁ Ἑρμῆς χλευάζει, καὶ εἰρωνευόμενος αὐτῷ ἀποκρίνεται, ἰδοὺ γῆς. τὴν ἐκείνου ἀγροικίαν καὶ ἄγνοιαν μεμφόμενος, ὅτι περὶ τῶν θεῶν ὡς περὶ τῶν ἀνθρώπων ἐφρόνει. καὶ ἐν Ἐκκλησιαζούσαις γυναῖκές τις ἐκκλησιάζουσα λέγει,

Εἶτα πρὶν πιεῖν λέγεις;

ἄλλη δὲ γυνὴ ἀποκρίνεται, ἰδοὺ πιεῖν. οὕτω δὲ ταύτην αὐτὴ ψέγει. ὡς ἀκαίρως καὶ ἀτόπως περὶ τούτου λέγουσα ποιουμένην. καὶ μετ' ὀλίγον ἡ αὐτὴ αὖθις λέγει,

Τί δ' ἡ πίνουσι κἂν τῇ 'κκλησίᾳ. ἡ δ' ἐπιφέρει,

Ἰδοὺ γε πίνουσι.

καὶ δὴ καὶ πλείστοις ἄλλοις ἐν χωρίοις παρὰ τούτῳ τῷ ποιητῇ, ταῦτα τῆς σημασίας παραδείγματα εὕροις. ... ὅτι καὶ οὕτω λεγόμενα καταφρονοῦντες τῶν λόγων ... καὶ παρ' οὐδὲν αὐτοὺς ἡγούμενοι. Κυάθους αἰτήσεις.] ἵνα δηλαδὴ προσθῇς τῇ γνάθῳ, οὕτως ἀποτυπτηθεῖσα, καὶ τυφθεῖσα ὑφ' ἡμῶν. γεμίζουσι γὰρ κυάθους θερμοῦ ὕδατος, καὶ προσκολλῶσι τοῖς οἰδήμασι, καὶ θεραπεύουσι. ταῦτα παρὰ τῷ Σουίδᾳ. ἂν καὶ ταῦτα ἐρεῖν ἔχεις ἐξηγεῖται ἐν τῇ Εἰρήνῃ. ἐν τοῖς δὲ, κυάθοις προσκείμεθα, ὅπου τὰ χωρία οὕτω γράφει, τοῖς γὰρ χαλκοῖς ὀξυβάφοις τὰ ὑπώπια ἀναλείβοντες, ἀφανῆ ποιοῦσι. τοιούτοις γὰρ τοὺς ἐκ πληγῶν ἐθεράπευον μώλωπας. ἔστι δὲ μετωνυμίας σχῆμα. τὸ γὰρ ἑπόμενον, ἀντὶ τοῦ προηγουμένου λαμβάνεται. τὸ προηγούμενόν ἐστι, τὸ τύπτεσθαι. τὸ δὲ ἑπόμενον, τὸ τοιούτοις κυάθοις προσκολληθεῖσι θεραπεύεσθαι. ὅμοιον τούτῳ καὶ τὸ λέγειν, οἰμώξεις, καὶ κλαύσεις. κύαθος δὲ, ὡς αὐτὸς ὁ Σουίδας φησί, μέτρον ὑγροῦ ὀγκιῶν β. ἢ κοχλιάρια ... παρὰ τὸ χύω, χύαθος. καὶ κατὰ τροπὴν τοῦ δασέος εἰς ψιλὸν κύαθος. Τὴν Ταυροπόλον.] τῆς Ἀρτέμιδος ἐπίθετον, ἢ ὅτι ἐν Ταύροις Σκυθίας ἔθνει ἐτιμᾶτο, ἢ ὅτι τῶν ταύρων, καὶ τῶν ἄλλων τετραπόδων προστατεῖν μυθεύεται. περὶ δὲ τούτου τοῦ ἐπιθέτου Εὐριπίδης ἐν Ἰφιγενείᾳ τῇ ἐν Ταύροις ταῦτα λέγει,

Ἐνταῦθα τάξας ναὸν, ἵδρυσαι βρέτας

Ἐπώνυμον τῆς Ταυρικῆς, πόνων δὲ σῶν,

Οὓς ἐξεμόχθεις περιπολῶν καθ' Ἑλλάδα,

Οἴστροις Ἐριννύων. Ἄρτεμιν δέ νιν βροτοὶ

Ταυροπόλον ὑμνήσουσι Ταυροπόλον θεάν.

νῦν δὲ τὸ ἐπίθετον ἀντὶ τοῦ ὀνόματος κυρίου κατ' ἀντονομασίαν ἐτέθη. πρόσει δὲ, προσελεύσῃ, προσέλθῃς. Ἐκκοκκιῶ.] ἐκτιλῶ, ἐκσπάσω, ἀνασπάσω, συνεσπακυίας τὰς τρίχας, ἐν αἷς πλεκομένη συνάζει. Σ. ἄλλως, τὰς συλλέξας ὡς κόκκους ἐκ τῶν ῥοιῶν πάσας μετὰ μίαν ἐκ τῆς κεφαλῆς ἐκτιλῶ, ἐκσπάσω, ἂν ἐκτιλλομένων σοῦ κωκύειν, στενάζειν, θρηνεῖν, καὶ βοὰν ποιήσω. Ἐπιλέλοιφ' ὁ τοξότης.] ἐκ τούτων, καὶ ἐκ τῶν ἑξῆς, Ὠμεῖς χωρῶμεν αὐτοῦ ὦ Σκύθαι, τινὲς τεκμαίρονται τοὺς τοξότας τῶν Σκυθῶν διαγινώσκειν. καὶ τοὺς τοξότας καὶ τοὺς αὐτοὺς τοῖς Σκύθαις γεγονέναι. ἀλλ' οὐδὲν κωλύει τὴν μὲν ὑπηρεσίαν τὴν αὐτὴν γενέσθαι, τὰ δὲ τῶν ὑπηρετούντων ὀνόματα, καὶ τὴν αὐτῶν ὅπλισιν διάφορον, τὴν δὲ λειτουργίαν ἁπάντων ὁμοίαν γενέσθαι. ἅπαντες γὰρ ἦσαν ὑπηρέται, καὶ φύλακες δημόσιοι. εἰ δέ τις ἄλλην περὶ τούτων ἔχοι γνώμην, πρὸς τὸν φιλονεικῶς διαμαχητέον. τίς δὲ τῶν τόξων, καὶ τοξοτῶν, καὶ τῶν ὁπλιτῶν διαφορά, τίς ὁ ἔπαινος, ἢ ψόγος, Εὐριπίδης διὰ πολλῶν ἐν τῷ Ἡρακλεῖ μαινομένῳ δηλοῖ. Γυναικῶν οὐδέποτ' ἐστὶ ἡττητέα.] ἡττᾶ, νίκη, ἡττώμεθα, ἢ τροπή, ἢ ἐλάττωσις, καὶ ἡ νίκη, ἢ τὸ ἄλλον νικῶντας ἥττω, καὶ ὑποδεέστερον ποιοῦμεν, τουτέστιν ἐλαττοῦμεν. ὅθεν τὸ ἡττᾶν, ἥττω, ἐλάττω τιθέναι, ἐλαττοῦν, νικᾶν. ἡττᾶσθαι τινος, νικᾶσθαι ὑπό τινος, καὶ ἐπὶ ἥττω γίνεσθαι. ὁ νοῦς, οὐ δεῖ ἡμᾶς ἐᾶν ἡττᾶσθαι τῶν γυναικῶν, ἤγουν ὑπὸ τῶν γυναικῶν κρατεῖσθαι, καὶ νικᾶσθαι. ὅπερ αἰσχίστην ἡμῖν μεγίστην φέρει. τοῦτο δὲ εἴρηται ὡς καὶ τὸ γαστρὸς ἡττᾶσθαι, καὶ τοῦ ὕπνου ἡττᾶσθαι. τὴν δὲ αὐτὴν σύνταξιν τὸ ῥῆμα τοῦτο φυλάττει, ἥνπερ καὶ τὸ ὄνομα. ὡς ὅταν λέγομεν ἥττων ἔρωτος, ἢ γαστρὸς ἥττων. Ὠμεῖς χωρῶμεν.] ὁμόσε χωρεῖν, πολεμικῶς, ἢ ἐχθρικῶς συμβάλλειν. μάχεσθαι πρός τινα συνάπτειν. πολεμικῶς ἐπιχειρεῖν τινι, μάχεσθαι. Ἔνδον.] ἢ ἐν πόλει. ἢ ἐν ἀκροπόλει ὅχλος γυναικῶν ἐστί. εὐθέως ἔνδοθεν, ἐκ τῆς ἀκροπόλεως ἐκτρέχετε βοηθήσουσαι. ἐξωπλισμέναι δὲ, τουτέστι καλῶς ὡπλισμέναι, καὶ πᾶσαν πολεμικὴν ὅπλισιν, καὶ παρασκευὴν ἔχουσαι. ἡ γὰρ ἐξ πρόθεσις ἐνταῦθα οὐ στέρησιν, ἀλλὰ περισσὸν τι πλήρωμα σημαίνει. Ὦ σπερμα.] τουτέστιν ὦ σπερματοπῶλαι, καὶ λεκιθοπῶλαι, καὶ λαχανόπωλαι ἀγοραιοπωλήτριαι. ἢ εὐωνα ἀγοραῖα, σπέρματα, λεκίθους, καὶ λάχανα ἐκ τῆς ἀγορᾶς πωλοῦσαι. ἐκ τοῦ γὰρ ἀγορᾶς, τὸ ἀγοραῖος. ἔστι τὸ σύνθετον [κ]ατ[α]... λεκιθόπωλις δὲ, γυνὴ πωλοῦσα ὠὰ καὶ λεκίθους, εἶδος ὀσπρίου ὃ καλεῖται πισάρια, διὰ τὸ ἐοικέναι ... χρόαν λεκίθου ᾠοῦ. καὶ λεκιθόπωλις, ἢ ἀπεσθιόπωλις ... ὄντων.

Ω σπερμοπωλο...] αἱ πανδοκεύτριαι σκόροδα, καὶ ἄρτους πωλοῦσαι. πανδοκεύτρια δὲ ἡ καπηλὶς παρὰ τὸ πάντας δέχεσθαι. καπηλὶς δὲ παρὰ τὸ κακύνειν τὸν πηλόν. πηλὸς δὲ ὁ οἶνος. ὅθεν καὶ ἄμπελος οἱονεὶ ἔμπηλος οὖσα, ἢ ὅτι αὐτὴ ἔχουσα τὸν πηλόν. παίσετε. πλήξετε. Παυσόμεθ᾽] ὅτι τῶν ἤδη λεχθέντων καὶ αὐτίκα λεχθησομένων; δηλονότι, Οἴμοι κακῶς περιέτρεψέ μου τὸ τόξικον, φανερὸν εἶδός τι πολεμικῆς συμπλοκῆς, καὶ μάχης, γέλωτος χάριν, ἐν τοῖς ἀνδράσι καὶ ταῖς γυναιξὶν ἀπεικονίσθη, καὶ παρεστάθη. ἐν ᾧ οἱ ἄνδρες τὰς τῶν γυναικῶν ὁρμὰς, τὰς ἐφόδους, καὶ βίαν ὑποφέρειν οὐ τολμήσαντες αἰσχρῶς ἔφυγον. ἡ δὲ Λυσιστράτη τὸ καταμαθοῦσα, τοὺς γενναίους στρατηγοὺς μιμησαμένη (εἴπερ τὴν τῆς νίκης δόξαν μόνην ἀγαπῶντες, τὸ ἀνακλητικὸν σημαίνουσι, καὶ τοὺς αὐτῶν στρατιώτας ἀπὸ τῆς τῶν ἡττηθέντων πολεμίων σκυλεύσεως ἀποτρέπουσι) ταῦτα ποιεῖ. καὶ τὰς γυναῖκας ἤδη νικώσας, ὡς τοὺς νενικημένους ἐλαυνούσας πρὸς αὐτὴν στρατηγικῶς ἀνακαλεῖ. τοῦτο δὲ μέγιστον ἤδη τοῖς θεωμένοις ἔφερε. Μὴ σκυλεύετε.] σκῦλον, ὥς φησιν Εὐστάθιος, τὸ δέρμα λέγεται. ἀφ᾽ οὗ σκυλεύειν, κυρίως τὸ ἐν πολέμῳ σύρειν, ὅ ἐστι τὰς ἀσπίδας λαμβάνειν. ἐξ οὗ καὶ ἀπὸ μέρους, καὶ ἐπὶ πάσης πολεμικῆς σκευῆς ἐλέχθη. δοκεῖ δὲ αἰολικὸν εἶναι τὸ σκῦλον, ὥς φασι ἐν ῥητορικοῦ λεξικοῦ. Ἐάν γε πλησίον κάπηλος ᾖ.] τοῦτο λέγει σκώπτων τὰς γυναῖκας εἰς φιλοποσίαν. καὶ γὰρ ὁ πολὺς οἶνος τὴν χολὴν, καὶ τὴν ὀργὴν τῇ ἑαυτοῦ θερμασίᾳ κινεῖ.

CHR. Ποῦ ᾽σθ᾽ ὁ τοξότης.] Erant τοξόται Scythæ Liturgi, ministri publici, custodes vrbis, olim mille numero medium incolebant forum, casásque vel σκηνὰς illic structas habebant. Postea transierunt in Areopagum, vocabantúrque non solùm scythæ sed etiam Speusinij à speusino quodam qui eos constituerat. Καὶ σύ μοι.] Puto hæc verba continuari ab Hypereta vel ministro & dirigi ad alterum τοξότην. Νὴ τὴν Πάνδροσον.] Mulieris nomen est apud Sudam. Hic vel Luna est vel Matuta, fortassis sic dicta quia rosida, & παράπαλος. Cyprij tamen δρόσους vocant ἀρχάς. sanè puto Artemin tantùm intelligi etiam per Epitheta sequentia φωσφόρον & ταυροπόλον. Tamen Minerua etiam dicta est ταυροβόλος. Euripides autem Artemin dixit φωσφόρον, quamuis hac voce propriè indigitetur stella Veneris. Luciferque dicatur. Ἐπιχεσεῖ πατούμενος.] Quia alloquitur ὑπηρέτην suspicor hoc de industria dictum, vocabatur autem ἀμὶς vel familiarica sella etiam ὑπηρετήσιον, quamuis propriè magis sit locus vbi remiges sessitant. Hoc autem genere loquendi vsus est in alia fabula Aristophanes, Πατούμενοι ὑπὸ τῶν γερόντων πολλαπλάσια χέζομεν. Κύαθον αἰτήσεις τάχα.] Minatur illi verbera, Ita inquit pugnorum velitatione contusum te faciam vt necesse sit tibi cyatho vel cotula quam supponas oculis tuis vt detumescant. Sic dixit in Pace de vrbibus ὑπωπιασμέναι καὶ κυάθους προσκείμεναι. Vide (si operæ pretium) quæ illic iamdudum notauimus. Hic autem locus sic apud Sudam explanatus reperitur. ἵνα προσθῇς τῷ γνάθῳ, οὕτως ὑποπιεσθῇς καὶ τυφθῇς ὑφ᾽ ἡμῶν. γεμίζουσι γὰρ κύαθον θερμοῦ, καὶ προσκολλῶσι τοῖς οἰδήμασι, καὶ θεραπεύουσι. id est, cyathum posces quod maxillis tuis apponas, Ita nos te supprimemus & verberibus tundemus, Nam cyathum vel cotulam calore implent, & tumoribus applicant, sicque medicinam faciunt. Στενο-

κωκύτους τρίχας.] sic lege στενοκωκύτους per o paruum, significat autem hæc vox comam vel crines in quibus στενάζει ἡ τιλλομένη plorat quæ scinditur & vellitur. Quid sit ἐκκοκκιεῖν (pro ἐκκοκκισεῖν dixit, sed alterum Cappa exemit metri causa) diximus in Pace idem esse quod Gallofranci dicimus *egrainer*, possemus Latinè exciccare, quia ciccus κόκκος, sed hic dixit ἐκκοκκιεῖ ἀντὶ τοῦ ἐρημώσει, vel potius ἐκτιλεῖ & ἐκσπάσει. Ω σπερμαγοραιο.] Epitheton fictum & factum è mulieribus quæ vendunt in foro omne genus semina oua pisa & olera, sequens ex alliis caupona & pane. In Pluto vel Diuite fabula supra omnes mulieres, clamosas existimat τὰς πανδοκευτρίας & λεκιθοπώλιδας. Euripidis matrem λαχανοπώλιδα fuisse dicunt vel saltem σκανδικοπώλιδα, id est, olera vendidisse, vel scandycem quam Cichorij speciem fuisse liquet ex Theophrasti Historiarum lib. 7. cap. 10. ne diutius Grammatici crucem sibi figant in ignotæ herbæ explicatione, vt nos docuit maximus in Rep. literaria dictator Iulius Cæsar Scaliger. Est autem mihi monendus Lector, de secundo versu ὦ σκοροδοπανδο. legendum videri ὦ σκοροδοπανδο. Οὐκ ἐξέλκετ᾽, οὐ παίσετ᾽.] Sequor Venetum exemplar quod habet ἐξέλθετ᾽, sed lego οὐ ξέλθετ᾽ pro οὐκ ἐξέλθετε, vt metrum habeamus integrum nisi malis οὐκ ἔλθετ᾽. Sed quòd ait παίσετ᾽ notandum est etiam παίειν esse πᾶν ὁτιοῦν σιωπώντως ποιεῖν, vt in Acharnensibus vsus est hic noster. Dicebant autem Attici παίσω & παιήσω, vt in Nebularum fabula, τοιαύτας σφενδόναις παιήσομαι. Mox vbi habes πολλήν γ᾽ ἐὰν πλησίον, legerem πολλήν ἐάν γε πλησ.

BISETVS. Ω πολλ᾽ ἀναλώσας ἔπη.] ὁ τῶν ἀνδρῶν χορὸς τὸν Πρόβουλον προτρέπει πρὸς τὸ μήτε τοὺς λόγους, μήτε τὰ ἔργα μάτην ἔτι τρίβειν τῶν γυναιξὶν ἀπρεπῶς ἐρίζοντα. πρὸς δὲ τούτοις σημείωσαι ὅτι ἐκ τῶνδε τῶν χοροῦ λόγων οὐκ ἀλόγως ταῦτα συμπεραίνεσθαι δυνάμεθα, τὰ ἐν τῇ ἄνω ὁμιλίᾳ, καὶ διαλόγῳ ἀπὸ ταύτης τῆς ἀρχῆς

Ἀληθὲς ὦ μιαρά σὺ, ἄγχει τέλος λεγόμενα. οὐ πρὸς τὸν ὑπηρέτην, ἀλλὰ πρὸς τὸν Πρόβουλον αὐτὸν εἰρῆσθαι. καὶ εἰ μὴ οὐ πάντα, ἀλλ᾽ ὅμως τὸ μεῖζον τούτων μέρος. τοὺς δὲ τῶν γυναικῶν λόγους, τὸ μὲν, πρὸς τοὺς ὑπηρέτας, τὰς τὰ ἀπὸ Προβούλου ἐπιταττόμενα ποιεῖσθαι βουλομένους, τὸ δὲ, πρὸς αὐτὸν τὸν Πρόβουλον λέγεσθαι. ὃ ῥᾳδίως καταλάβοι ὅστις ἂν ἀκριβέστερον πάντα ἐξετάσῃ. ὅταν γὰρ αἱ γυναῖκες ὑβριστικώτερον, καὶ παρρησιαστικώτερον λαλοῦσι, ταῦτα πρὸς τοὺς ὑπηρέτας ἀναμφισβητήτως λέγεται. τὰ δὲ ὑπ᾽ αὐτῶν ἐπιεικέστερον, καὶ μετ᾽ εὐλαβείας τινὸς προφερόμενα, εἰκός ἐστι λέγεσθαι πρὸς τὸν Πρόβουλον, ὡς ἐν ἀρχῇ ὄντα. ταῦτα δὲ πάντα ἐπιμελῶς, καὶ προσηκόντως ἐσκεμμένα, μεγάλην ὠφέλειαν, καὶ γέλωτος ἀφορμὴν τοῖς θεαταῖς παρέχει. Τί ποιῆσαι τούτοις.] στίχοι ἰαμβικοὶ τετράμετροι καταληκτικοὶ ή. Ἱματιδίοις.] οὕτω καὶ ἄνω εἶπεν

Ἔλουσαν ἡμᾶς ὥστε θοιματίδια Σείειν πάρεστι.

Ἄνευ κονίας.] κονία, τὸ ἐκ τέφρας καθιστάμενον ὑγρόν. Πολυδεύκης, κονίαν λέγει, ὅπερ Λατῖνοι λιξίβιον, εἶτα λεξιούιον καλοῦσιν. Ἀλλ᾽ ὦ μέλε σύ] τὸ πλῆρες ὦ μέλεε. ταῦτα δὲ, οὐ πρὸς τὸν Πρόβουλον, ἀλλὰ πρὸς τὸν ἀνδρῶν χορὸν ὑπὸ γυναικείου χοροῦ λέγεσθαι δοκεῖ.

Κυ-

κυλοιδιᾷν, ἐκ τοῦ κύλα, ἢ κυλάδες, τὰ ὑπὸ τοὺς ὀφθαλμούς. ἐπικύλια δὲ τὰ ἐπάνω τῶν ὀφθαλμῶν. ὅθεν κυλοιδιᾷν παρ' Ἀττικοῖς, τὰ κύλα τῶν ὀφθαλμῶν οἰδεῖν ἐκ μακροκοπίας, τυχὸν, ἢ ἀγρυπνίας. Εὐστάθιος. ἐνταῦθα δὲ κυλοιδιᾷν διὰ τὰ πλήγματα νοητέον. Κάρφος.] τὸ ξηρὸν ξυλήριον. ξύλον λεπτότατον, ἢ ξηρότατον, καὶ κουφότατον. παρὰ τὸ κάρφω, τὸ ξηραίνω. κάρφος δὲ οἱ Ῥωμαῖοι καὶ τὴν ἐπιχώριον διάλεκτον φεστοῦκαν ὀνομάζουσι. ὅπερ ὀνόματι μικρότατον, καὶ λεπτομερέστατόν τι δηλοῦσι. σφηκίαν δὲ, σφηκῶν σμῆνος. βλίττειν δὲ, τὸ μέλι ἐκπιέζειν. τὸ μέλι ἀπὸ τῶν κηρίων ἀφαιρεῖν. τὰ τῶν μελιττῶν κηρία B θλίβειν. τὸ δὲ σφηκίαν βλίττειν, καὶ ἐρεθίζειν, παροιμιακῶς λέγεται περὶ τῶν αὐτοῖς κακόν τι ἑαυτοῖς γενέσθαι βουλομένων.

CHR. Καὶ ταῦτ' ἄνευ κονίας.] Absque sordibus, nam κονία & κόνιος & κόνισμα accipitur plerunque ἀντὶ τοῦ ῥύπου. Paulo post vbi habes κυλοιδιᾷν lege κυλοιδιᾶν, vt est apud Theocritum primo Idyllio cùm de senibus loquitur fractis ocello patranti vt dixit Satyricus Persius, Et cum ait λυπῶσα μηδένα intelligo μηδένα, Quòd verò ait βλίττειν, hoc verbum est mel è fauis eripere. Mox distinguo ἀνεκτὰ τάδ', ἀλλὰ, &c.

ΚΟΜΜΑΤΙΟΝ ΧΟΡΟΥ.

COMMATION CHORI.

Χο. αἱ Ὦ Ζεῦ τί ποτε χρησόμεθα
Τοῖσδί τοῖσι κνωδάλοις.
C Οὐ γὰρ ἔτ' ἀνεκτὰ τάδ', ἀλλὰ βασανιστέον
Τόδε σοι τὸ πάθος μετ' ἐμοῦ.
Ὅ, τι βουλόμεναί ποτε τὴν Κραναὰν
Κατέλαβον ἐφ' ὅ, τι τε
Μεγαλόπετρον ἄβατον
Ἀκρόπολιν ἱερὸν τέμενος.
Ἀλλ' ἀνερώτα καὶ μὴ πείθου καὶ πρόσφερε
πάντας ἐλέγχους.
D Ὡς αἰσχρὸν ἀκωδώνιστον ἐᾶν τὸ τοιοῦτο πρᾶγμα
μεθέντας.

CH.V. *O Iuppiter ecquid faciam*
Talibus nunc bestijs?
Non enim hæc ferenda, sed huius ineunda iam
Tibi causa mali, mihiq́.
Quid enim Cranai vrbem vt ita acciperent
Adigere potuit has?
Et Acropolin, aditu haud
Facilis vbi nemus petra habe.?
Sed rogita, nec persuadetor, quin omnibus vtere
elenchis,
Nam turpe quidem est si res eiusmodi inexplorata sinatur.

BISETVS. Ὦ Ζεῦ.] ὁ νοῦς. πῶς τούτοις τοῖς θηρίοις ἡμᾶς δεῖ προσφέρεσθαι; πῶς ταῦτα τὰ θηρία διαθησόμεθα. τί δὲ τὸ κνώδαλον, ἐν τοῖς ἄνω ἐν ἀρχῇ τῶν Σφηκῶν προείρηται. Ἀλλὰ βασανιστέον.] ὁ νοῦς ὁ τῶν ἀνδρῶν χορὸς πᾶν τὸ νεῖκος, καὶ ἔριν τὴν πρὸς γυναῖκας ἀφεὶς, πρὸς τὸν Πρόβουλον στραφεὶς πρὸς τὸ τῶν γυναικῶν τόλμημα ἀκριβῶς βασανίζειν προτρέπει. βασανίζειν δὲ, οὐ τὸ αἰκίζεσθαι, καὶ τιμωρεῖσθαι, καὶ μαστιγοῦν σημαίνει παρὰ τοῖς Ἀττικοῖς, ἀλλὰ τὸ χωρὶς πληγῶν ἀνακρίνειν, καὶ ἐλέγχειν τἀληθὲς διὰ λόγων. ἀπὸ τῆς βασάνου τῆς χρυσοχοϊκῆς λίθου μεταφορικῶς. ἢ παροιμία, βάσανος λίθος, ἐπὶ ἐξεταζόντων ἐν λόγοις, ἢ ἔργοις. παρόσον ἡ Λυδία λίθος τὸν χρυσὸν δοκιμάζει. Σ. Τὴν Κραναὰν.] οὕτω τὰς Ἀθήνας ἐκάλουν, διὰ τὸ τραχὺ, καὶ λεπτόγεων. ἢ ἀπὸ Κραναοῦ βασιλέως. καὶ πληθυντικῶς Κραναῶν τῶν Ἀθηνῶν. Ἀριστοφ. ἐν Ὄρνισιν, Ἔπειτα μείζω τῶν Κραναῶν ζητεῖς πόλιν; καὶ κραναῶν πετρῶν, τῶν τραχειῶν. Σ. βέλτιον δ' ἴσως Κραναὰν ὀξυτόνως γράφειν. F ποιεῖν δ' ἔλλειψις τῆς χώρας, ἢ πόλιν, ἢ ἀκρόπολιν, ὃ καὶ πιθανώτερον. κραναὴ δὲ χώρα ἡ τραχεῖα, καὶ πολλὴν ἔχουσα τραχύτητα, ὡς καὶ ἡ Ἀττική. Σ. καὶ Εὐ. τὸ δὲ κραναὰν, κοινὸν. κραναὴν δὲ Ἰωνικόν. Ἐφ' ὅ, τι] τίνος ἕνεκα· διὰ τί; τί ποτε βουλόμεναι; τίνι γνώμῃ; ἄβατον δὲ, ἀπρόσιτον, ἀπόρευτον. Σ. Τέμενος.] τεμένη, ναοὶ, ἱερὰ, ἄλση, ἢ τὰ ἀφωρισμένα τοῖς θεοῖς χωρία. Σ. καὶ τέμενος παρ' Ὁμ. πᾶν τὸ ἀφωρισμένον, εἴτουν ἀποτετμημένον τῶν πέριξ, καὶ εἰς κτῆσιν ἰδίαν τινὸς ἀφωρισμένον χωρίον. παρὰ δὲ τοῖς ὕστερον μόνα τὰ τοῖς θεοῖς ἀφωρισμένα χωρία, τεμένη λέγονται. Εὐστάθιος. Ὅμηρος Ιλ. Ζ:

Καὶ μὴν οἱ Λύκιοι τέμενος τάμον ἔξοχον ἄλλων
Καλὸν φυταλιῆς καὶ ἀρούρης, ὄφρα νέμοιτο.

Ἀκωδώνιστον.] ἀπείραστον, ἀβασάνιστον. κωδωνίζειν γὰρ τὸ διαπειραθῆναι. μετῆκται δὲ ἀπὸ τῶν περιπολούντων καὶ κώδωσι διαπειρωμένων, εἰ ἐγρηγόρασιν οἱ ἐπὶ τῆς φυλακῆς τεταγμένοι. περὶ τούτων δὲ διὰ πλειόνων προείρηται ἐν τοῖς Βατράχοις.

CHR. Ἀκωδώνιστον ἐᾶν] id est, ἀπείραστον, ἀβασάνιστον, Metaphora sumpta ab iis qui traxant vigilias & tubarum sono explorant dormiántne custodes. Alij à coturnicibus translatum putant, nonnulli ab equis, quidam à vasis, est autem διακωδωνίσαι idem quod δοκιμάζειν.

ΠΡΟΒΟΥΛΟΣ, ΛΥΣΙΣΤΡΑΤΗ, Ἄλλη Γυνή.

PROBVLVS, LVSISTRATA, Altera Mulier.

G Πρ. Καὶ μὴν αὐτῶν τοῦτ' ἐπιθυμῶ νὴ τὸν Δία
πρῶτα πυθέσθαι,
Ὅ, τι βουλόμεναι τὴν Ἀκρόπολιν ἡμῶν ἀπεκλείσατε μοχλοῖς.

PR. *Ergo hoc primùm cupio scitari ab eis*
& quærere causas.
Qua spe quidve petentes nostram ferreo obice
clauditis vrbem?

CHR. Ὦ γραῦς αὐτῇ κρώζεις.] Emendo ὦ γραῦ ϐ αὐτῇ κρ. videtur autem hoc fuisse prouerbiale vt in Irena dixit εἰς κεφαλὴν ϐι. Sic autem Virgilius exprimere voluit, Capiti cane talia demens Dardanio. Paulò post pro ἠνειχόμεθα lege ἠνειχόμεθ᾽ α

A & pro ἀλλ᾽ ἂν ποιεῖτε, ἀλλὰ ποιεῖτε, & pro ἠρέσκετ᾽ ἡμᾶς, lego ἠρέσκετ᾽ ἂν ἡμᾶς, nam etiam accusatiuis iūgitur τὸ ἀρέσκομαι. Fluxit autem ex superioris versus fine, τὸ ἄν, quod illinc tollendum hic addēdum. Porrò illa τὰ ὑμᾶς ποιεῖν, versum absoluunt eundē.

Ἡμεῖς τ᾽ μὲν πρότερον πόλεμον καὶ τ᾽ χρόνον ἠνεχόμεθα — *Nos tempore belloq́ superiori omnia tolerauimus acta*

B Ὑπὸ σωφροσύνης τ᾽ ἡμετέρας τῶν ἀνδρῶν ἅττ᾽ ἂν ποιεῖτε. — *Vestra, viri, tam fuimus patientes & mente moderata*

Οὐ γὰρ γρύζειν εἰᾶθ᾽ ἡμᾶς· καίτ᾽ οὐκ ἠρέσκεθ᾽ ὑμᾶς, — *Quum nos nec sineretis mussare, nihil tum gratificantes,*

Ἀλλ᾽ ᾐσθανόμεσθα καλῶς ὑμῶν. καὶ πολλάκις ἔνδον ἂν οὖσαι — *Verùm fallere non poteratis, vos sæpè audiuimus intus*

Ἠκούσαμεν ἄν τι κακῶς ὑμᾶς βουλευσαμένους μέγα πρᾶγμα. — *Magna de re captantes pessima consilia, atque agitantes,*

Εἶτ᾽ ἀλγοῦσαι τ᾽ ἄνδοθεν ὑμᾶς ἐπανηρόμεθ᾽ ἂν γελάσασαι. — *Deinde dolentes intus scitabamur, sed non sine risu,*

C Τί βεβούλευται περὶ τῶν σπονδῶν ἐν τῇ στήλῃ παραγράψαι — *A vobis, Quid de fœderibus consultum hodie ing columna*

Ἐν τῷ δήμῳ τήμερον ὑμῖν. τί δὲ σοὶ ταῦτ᾽ ἦ δ᾽ ὃς ἀνήρ. — *Scriptum à populo est? quid pertinet hoc ad te, mox dixeras ille,*

Οὐ σιγήσει; κἀγὼ σίγων. ΑΛ. Γυν. ἀλλ᾽ οὐκ ἂν ἐγώ ποτ᾽ ἐσίγων. — *Potiꝰ vt taceas? tacui actutum. AL. M. Certè nunquam tacuissem.*

Λυ. Κἂν ᾤμωζές γ᾽ εἰ μὴ σίγας. ἐγὼ γὰρ ἔγωγ᾽ ἐσίγων. — *LVS. Ni faceres, flendum erat, at fletum volui vitare silendo:*

D Ἕτερόν τι πονηρότερον βούλευμ᾽ ἐπεπύσμεθ᾽ ἂν ὑμῶν, — *sed longè aliud peius consilium vestrum audiuimus, inde*

Εἰ τ᾽ ἠρόμεθ᾽ ἂν πῶς ταῦτ᾽ ὦ ἄνερ διαπράττεσθ᾽ ὧδ᾽ ἀνοήτως. — *Ista rogabamus, Qui constituistis, ô vir, tam temerè illa:*

Ὁ δέ μ᾽ εὐθὺς ὑποβλέψας ἔφασκ᾽ εἰ μὴ τ᾽ στήμονα νήσω — *Tum me ille tuens torua minatur, nisi lana munia tracto*

Ὀτοτύξεσθαι μακρὰ τὴν κεφαλήν. πόλεμος δ᾽ ἄνδρεσσι μελήσει. — *Mihi multa caput doliturum, Cura viris erit vnica belli.*

Πρ. Ὀρθῶς γε λέγων νὴ Δί᾽ ἐκεῖνος. Λυ. πῶς ὀρθῶς ὦ κακόδαιμον — *PR. Huius bona certè verba viri. LVS. Quid bona fanatice censes?*

E Εἰ μηδὲ κακῶς βουλευομένοις ἐξῆν ὑμῖν ὑποθέσθαι; — *Si neque monitis mala nostra consulta emendare licebat?*

BISETVS. Ἐν τῇ στήλῃ.] στήλη, λίθος, ἢ χαλκὸς ἐπιμήκης τετράγωνος σχήματι ἱδρυμένος, ἐν ᾗ γράφεται ἢ τ᾽ στηλιτευομένη ὕβρις. πολλάκις δὲ καὶ τῶν εὐεργετῶν εὐεργεσίαι ἀναγράφονται. Σ. ἄλλως. οὐ μόνον τὰ προειρημένα ἐν ταῖς στήλαις ἐγράφοντο, ἀλλὰ καὶ πολλάκις τὰ περὶ τὰς συνθήκας, καὶ σπονδὰς δημοσίᾳ πρός τινας τῶν πόλεων πεποιημένας, ἵνα τούτων μνημόσυνον ᾖ φανερώτερον, καὶ βεβαιότερον. Ἦ δ᾽ ὃς ἀνήρ.] ἀντὶ τ᾽ ἔφη δ᾽ ἐκεῖνος ἀνήρ. ὁ νοῦς. ἐκεῖνος δὲ ἀνὴρ ὁ περὶ τῶν σπονδῶν ὑπὸ γυναικὸς ἐρωτώμενος αὐτῇ ἀποκρίνεται, τί δὲ ταῦτα σοὶ μέλει; τί τούτων φροντίζεις; Ὑποβλέψας.] ὑποβλέπειν λέγεται οἱ ὀργιζόμενοι, ὁ ὑπόδρα βλέπειν. ὑποβλέπειν δὲ, οἱ στραβοὶ. οἱ καὶ παραβλῶπες ἐνλῦσθαι λέγονται. Εὐσταθ. ὅθεν παρ᾽ Ὁμήρω μυριάκις ἂν εὕροις, Τὸν δ᾽ ἄρ᾽ ὑπόδρα ἰδὼν προσέφη. στήμονα δὲ, τὸ νῆμα. νήσω δὲ, ἀντὶ τοῦ κλώθω, ὁ ἀντὶ τοῦ, τὸ στρεύω, ἐπεὶ συστρέφονται τὰ νηθόμενα στόματα. Εὐσ. ὀτοτύξεσθαι δὲ, θρηνήσειν. τὴν κεφαλὴν, δηλονότι κοπτομένην, λυπουμένην. ἐλλείψις δὲ τ᾽ κατὰ προθέσεως. Ὑποθέσθαι;] ὑμῖν ὑποθέσθαι, ἀντὶ τ᾽ ὑμᾶς νουθετεῖν, καὶ παραινεῖν ὑμῖν συμβουλεύειν.

CH. Εἶτ᾽ ἀλγοῦσαι] Nihil mutandum censeo, sed non malè putem λέγουσαι, nam quid est ἀλγοῦσαι γελάσασαι? quasi sit de risu Sardonio. Ἐν τῇ στήλῃ] Puto στήλην esse quam in Nubibus vocat κύρβιν, Nā illis pilis vel etiam stelis (vt vocat Plinius) scribebantur fœdera. vide epistolam Philippi ad Demosth. F Ἦ δ᾽ ὃς ἀνήρ.] Modus loquendi Atticis & Platoni imprimis familiaris. Hic autem lego ἦ δ᾽ ὃς ἂν ἀνήρ, vt etiam in Venet. legitur edit. Ἀλλ᾽ οὐκ ἂν ἐγώ.] Hæc loquitur Alia mulier quàm Lysistrata. Itaque ἄλλη τις γυνὴ grandioribus literis scribi debet aut eo denique modo ne contextum orationis adiuuare videantur. Εἰ τ᾽ ἠρόμεθ᾽] Melius in Veneta editione εἶτ᾽ ἠρόμεθ᾽ ἄν. Ὀτοτύξεσθαι μακρὰ τὴν κεφαλήν.] Sic Hor. ô multa fleturum caput quasi ad G verbū huic loco respondens. est autē ὀτοτύζειν, θρηνεῖν, vnde Interiectiones ὀτοτοῖ. Quòd autem sequitur πόλεμος δ᾽ ἄνδρεσσι μελήσει, lepidè detortū & παρῳδημένον ex Hom. Ὑμῖν ὑποθέσθαι.] Valet συμβουλεύειν & νουθετεῖν. Sed pro ὅτε δ᾽ ἦδ᾽ ὑμῶν legitur in Venet. libris ὅτε δὴ ἦδ᾽ ἡμῶν, quod magis placet.

A Ὅτε δὴ δ' ἤδη 'ν ταῖσιν ὁδοῖς φανερῶς ἠκούομεν ἤδη.
Οὐκ ἔστιν ἀνὴρ ἐν τῇ χώρᾳ μὰ Δίου δῆτ' ἔτι ἔς τις.
Μετὰ ταῦθ' ἡμῖν δοκεῖ ἔδοξεν σῶσαι τὴν Ἑλλάδα κοινῇ
Ταῖς γυναιξὶν συλλεχθείσαις. ποῖ γὰρ καὶ χρὴ ἀναμεῖναι.
B Ἢν οὖν ἡμῶν χρηστὰ λεγουσῶν, ἐθελήσητ' ἀντακροᾶσθαι
Κἀντισιωπᾶθ' ὥσπερ χ' ἡμεῖς, ἐπανορθώσαιμεν ὑμᾶς.
Πρ. Ὑμεῖς ἡμᾶς; δεινόν γε λέγεις κοὐ τλητὸν ἔμοιγε. Λυ. σιώπα.
Σίγ' ὦ κατάρατε. Πρ. σιωπῶ γώ; Λυ. καὶ ταῦτα καλύμματα φέρε
C Περὶ τὴν κεφαλήν. Πρ. μή νυν ζώην. Λυ. ἀλλ' εἰ τοῦτ' ἐμπόδιόν σοι,
Παρ' ἐμοῦ τουτὶ τὸ κάλυμμα λαβὼν
Ἔχε καὶ περίθου περὶ τὴν κεφαλήν,
Κᾆτα σιώπα.
Καὶ τουτονὶ τὸν καλαθίσκον.
Κᾆτα ξαίνειν συζωσάμενος
Κυάμους τρώγων.
Πόλεμος δὲ γυναιξὶ μελήσει.

A *Vbi per nostras hac fama vias, liquidò istas accidit aures,*
Certè in tota regione virum non est vllum reperire:
Hinc est quod nobis mulieribus visum est communiter omnem
Hellada seruare coactis, nam quorsum durabimus vltrà?
B *Quòd si nobis meliora suadentibus auscultare velitis*
Ináque vicem mussetis vt & nos, rem vobis restituemus.
PR. Vos nobis? mira quidem res & mihi non toleranda. LVS. sile ergo.
Caue musses impie. PR. Ego vt sileam? LVS. Quin hac velamina cinge
Capiti tegmen. PR. potius moriar. LVS. Quòd si nimis impedit istuc,
C *Cape, sis, ricam tibi quam dedero*
Circum caput hac inuolue tuum,
Deinde taceto.
Sume hunc manibus calathiscum,
Cinctúsque vna lanam carre
Fabulo vescens.
Muliebre secus geret arma.

D

CHR. Οὐκ ἔστιν ἀνήρ.] Claudicat hic versus vna syllaba, stabit rectus si pro ἐν τῇ χώρᾳ legere vis ἐν ταύτῃ χώρᾳ. Mox vt etiam stet versus lege ταῖσι γυναιξὶν pro τῶν, quod rursus vt fiat lege etiam paulò post ἐπανορθώσαιμεν ἂν ὑμᾶς, malè enim deest illa particula ἂν vel quid simile.

BISETVS. Κἀντισιωπᾶθ' ὥσπερ.] καὶ ἀντισιωπᾶτε ὥσπερ καὶ ἡμεῖς. ἀντισιωπᾶν, τὸ ἐν μέρει σιωπᾶν, ὅπως καὶ τῶν ἄλλων ἀκούωμεν λεγόντων. Πρ. ὑμεῖς ἡμᾶς;] ταῦτα καὶ τὰ ἑξῆς, οὐχ ὑπὸ τοῦ Προβούλου, ἀλλ' ὑπό τινος ἐκ τοῦ χοροῦ λέγεσθαι δοκεῖ. Κυάμους τρώγων.] διαπαίζων. ἢ ἵνα μὴ κοιμηθῇς. γέρων γὰρ εἶ. τὸ κυαμοτρὼξ, ὁ δικαστὴς τρεφόμενος ἀπὸ κυάμων. πρὸ γὰρ τῆς εὑρέσεως τῶν ψήφων, κυάμοις ἐχρῶντο ἐν τῇ χειροτονίαις τῶν ἀρχόντων, καὶ ἐν ταῖς ἐκκλησίαις. ὡς οὖν τῶν ψηφιζόντων ἀργύριον λαμβανόντων, καὶ χειροτονούντων τοὺς διδόντας πλεῖον. Σ.

CHR. Καλύμματα φέρε.] Vox σιώπα iungenda est cum præcedente versu vt eum absoluat. Hic verò versus integer esse nequit, nisi accipias verbum φέρε prima producta propter liquidam vt in μέλος fecit Homerus, post quem non dubitauit audax Satyricus Choliambum facere in hac clausula, Cantare credas Pegaseium melos, ne Politiani nectareum commentum audiamus. Hoc si ita est, (quid ni autem?) non dubitem in E Callimacho sub finem Hymni qui Cereri dictus, legere φέρε βόας, φέρε καὶ εἰράναν vbi hodie acutiores prosodici & συλλαβοπωλαι, contra vetera exemplaria reponunt φέρε.

ΧΟΡΟΣ ΓΥΝΑΙΚΩΝ.

F

Αἴρεσθ' ὦ γυναῖκες ἀπὸ τῶν καλπίδων ὅπως ἂν
Ἐν τῷ μέρει χ' ἡμεῖς τι ταῖς φίλαισι ξυλλάβωμεν.
Ἔγωγε γὰρ οὔποτε κάμοιμ' ἂν ὀρχουμένη.
Οὐδὲ τὰ γόνατα κόπος ἕλοι μου καματηρός.
Ἐθέλω δ' ἐπὶ πᾶν ἰέναι
Μετὰ τῶνδ' ἀρετῆς ἕνεχ' αἷς
Ἔνι φύσις. ἔνι χάρις.

CHORVS MVLIERVM.

Haurite, quæso, è trulleis ô fœminæ & matellis
Vt adiuuemus fœminas de parte nostra amicas.
Ego quidem vsque salisubsula haud fessa sim,
Nec mea genua capiat ignauia lassa,
Penitus mihi eundum ad eas,
G *Simul esse iuuat quibus in-*
Genita charis habitat

BISETVS. Αἴρεσθ' ὦ γυναῖκες.] ὁ τῶν γυναικῶν χορὸς τὸ τῆς Λυσιστράτης ἀνδραγάθημα μιμούμενος, ἵνα-

ἐναλλὰξ ἑαυτῷ πρὸς τὴν μάχην, καὶ τὸν ἀγῶνα προτρέπεται. A Πλεῖ μου.] αἱρήσει. τὸ δὲ ἰλλῶν ἰλλῶν βάδιζον τὸν ὅλον θέματος ἀχρήστου. ἔνι δὲ, ἀντὶ τοῦ ἔνεστι.

CHR. Αἰρεσθ' ὦ γυναῖκες.] Si legamus ἀρύετ' ὦ vel ἀρύβετ' ὦ, hic erit versus Tetrameter catalecticus Iambicus, similis proximo sequenti. Paulò post lego θεῖτε una voce, & ἵεσθ' αἷς pro ἵενται non autem ἵεσχ' quasi ab ἰσχω.

Ἔνι δὲ θράσος, ἔνι δὲ
Σοφὸν, ἔνι φιλόπολις
Ἀρετὴ φρόνιμος.
Ἀλλ' ὦ τηθῶν ἀνδρειοτάτων καὶ μητριδίων ἀκαληφῶν. B
Χωρεῖτ' ὀργῇ καὶ μὴ τέγγεσθ'. ἔτι γὰρ νῦν οὔρια θεῖτε.
Λυ. Ἀλλ' ἤνπερ ὁ γλυκύθυμος Ἔρως χ' ἡ Κυπρογένει' Ἀφροδίτη
Ἵμερον ἡμῖν κατὰ τῶν κόλπων καὶ τῶν μηρῶν καταπνεύσῃ
Κᾆτ' ἐντέξῃ τέτανον τερπνὸν τοῖς ἀνδράσι καὶ ῥοπαλισμοὺς, C
Οἶμαί ποτε Λυσιμάχας ἡμᾶς ἐν τοῖς Ἕλλησι καλεῖσθαι.
Πρ. Τί ποιησάσας; Λυ. ἢν παύσωμεν πρῶτον μὲν ξυνόπλοισιν
Ἀγοράζοντας καὶ μαινομένους. Πρ. νὴ τὴν Παφίαν Ἀφροδίτην.
Νῦν μὲν γὰρ δὴ κἀν ταῖσι χύτραις καὶ τοῖς λαχάνοις ὁμοίως D
Περιέρχονται κατὰ τὴν ἀγορὰν ξὺν ὅπλοις ὥσπερ Κορύβαντες.
Πρ. Νὴ Δία· χρὴ γὰρ τοὺς ἀνδρείους. Λυ. καὶ μὴν τό γε πρᾶγμα γέλοιον,
Ὅτ' ἂν ἀσπίδ' ἔχων καὶ γοργόνα τις, κᾆτ' ὠνῆται κορακίνους.
Ἀλλ. Γυν. Νὴ Δί' ἔγωγ' οὖν ἄνδρα κομήτην φυλαρχοῦντ' εἶδον ἐφ' ἵππου
Ἐς τὸν χαλκοῦν ἐμβαλλόμενον πῖλον λέκιθον παρὰ γραός. E
Ἕτερος δ' αὖ Θρᾷξ πέλτην σείων κἀκόντιον ὥσπερ ὁ Τηρεὺς
Ἐδεδίσκετο τὴν ἰσχαδόπωλιν, καὶ τὰς δρυπεπεῖς κατέπινεν.
Πρ. Πῶς οὖν ὑμεῖς δυνάμεσθε παῦσαι τεταραγμένα πράγματα πολλά
Ἐν τοῖς χώραις καὶ διαλῦσαι; Λυ. φαύλως πάνυ. F
Πρ. πῶς; ἀπόδειξον.
Λυ. Ὥσπερ κλωστῆρ' ὅτ' ἂν ἡμῖν ᾖ τεταραγμένος, ὧδε λαβοῦσαι
Ὑπενεγκοῦσαι τοῖσιν ἀτράκτοις, τὸ μὲν ἐνταυθοῖ, τὸ δ' ἐκεῖσε,
Οὕτως καὶ τὸν πόλεμον τοῦτον διαλύσομεν ἤν τις ἐάσῃ,
Διενεγκοῦσαι διὰ πρεσβειῶν, τὸ μὲν ἐνταυθοῖ, τὸ δ' ἐκεῖσε. G

Quibus anima sapit
Rigida, cata, patria &
Pietatis amans.
Sed vos matricum urticarum & generosarum vetularum
Ite ira, nusquam cedite, namq; secunda curritis aura.
LVS. *At si flexanimus Amor materque Venus dea candida Cypris*
Nostra in femora atque sinus desiderij dulce inlicium adflet
Dein saeue viris tentum ingeneret, rigidiq; rutabula penis,
Nos Lysimachas, ut opinor, Graecia quondam tota vocabit.
PR. *Ob quod facinus?* LVS. *si desierint emere & mercarier armis*
Induti atque insanis similes Paphia per numen amicum.
Quippe solent nunc ollarum olerumq; instar circum ire macellum,
Et in armis omne forum celebrare, putes esse hos Corybantas.
PR. *Etenim fortes sic ire decet.* LVS. *Sed certè haec ridicula est res.*
Si quis clypeo & galea armatus mercetur deinde saperdas.
AL.M. *Vidi & ego Tribunum Celerum crinicomantem in equoq; vehentem*
Ouum à vetula quadam sumptum in petasum demittere ahenum:
Alter quatiens peltam & iaculum velut esset Tereus alter
Terrebat anum ficus vendentem, maturasq; vocabat.
PR. *Qui vos igitur nunc possitis turbata negotia multa*
Sedare & soluere? nil minus, at mihi demonstra tamen illud.
LVS. *Confusa velut subtemina filorum persaepe solemus*
Subducere fusis, atque huc atque illuc deuoluere tracta
Sic huncce glomum belli facilè exsoluemus, ni probibemur,
Distractum, & per feciales pacificos huc diditum & illuc.

Bis. Ἀλλ' ὦ τηθῶν.] ὁ πλήρης, ὦ ἐκ τηθῶν ἀνδρειοτάτων, καὶ μητριδίων ἐκγεγονυῖαι. τήθας δὲ ἐκάλουν τὰς μάμμας, καὶ τηθίδας, τὰς θείας, τὰς πατρὸς ἢ μητρὸς ἀδελφάς. τήθας δὲ καὶ τὰς τροφούς. εἰσὶ δὲ καὶ ὄστρεα θαλάσσια, Ὅμηρος,

Πολλοὺς ἂν κορέσειεν ἀνὴρ ὅδε τήθεα διφῶν.

ἀκαλήφας δὲ λέγουσιν οἱ μὲν τὰς θαλασσίας. λέγουσι δὲ καὶ τὰς κνίδας Ἀττικοί. καὶ κνίδη μὲν ἐς ὅταν ἂν ἁπαλὴ ᾖ. ἐὰν δὲ ἔχῃ τὰς μητέρας, τουτέστι τὰς τοῦ σπέρματος σφαίρας, ἀκαλήφη λέγεται. ἀκαλήφας οὖν τὰς γραίας ἐκάλεσαν, ἐπεὶ στερραὶ ἦσαν καὶ γυναῖκαι. καὶ γὰρ τὸ φυτάριον δάκνει. ἐπεὶ οὖν εἶπε τήθων, εἶπε καὶ μητριδίων, τουτέστι τῶν ἐχουσῶν τὸ σπέρμα τῆς βοτάνης τῆς ἀκαλήφης. δάκνουσι γὰρ αὗται. τοιαῦται δὲ καὶ αἱ γραῖαι. Μητριδίας δὲ ἐκάλεσε τὰς ἐχούσας τὸ σπέρμα. σημειωτέον δὲ βέλτιον ἴσως γράφειν ἂν Τηθῶν, καὶ ἀκαληφῶν, ὡς τὸ Μουσῶν, Ανδρῶν, καὶ τὰ παραπλήσια. ἢ καὶ ταῦτα ἐξαίρετα, καὶ παρὰ τοὺς κοινοὺς τῶν γραμματικῶν κανόνας. ὡς τὸ ἀφύαι, ἀφύων, οὐκ ἀφυῶν. Οὔρια θεῖτε.] οὐρίως θεῖτε, τρέχετε, πορεύεσθε. ἀπὸ μεταφορᾶς τῶν πλεόντων, καὶ πνεύμασιν οὐρίοις χρωμένων. ὁ νοῦς ἔτι γὰρ νῦν τὸ πρᾶγμα καλῶς χωρεῖ. Ἀλλ' ἥνπερ ὁ γλυκύθυμος.] ἡ Λυσιστράτη ἧς τὸν λόγον ὁ χορὸς συνέκοψε, πρὸς τὸ ἐξ ἀρχῆς ἐπανέρχεται, καὶ τῷ Προβούλῳ τὸ τῆς καινῆς πολιτείας σχῆμα διὰ πλειόνων, καὶ κατὰ μέρος ἀποφαίνει, καὶ πάντων γελοῖα παραδείγματα ἐκ γυναικείας ταλασιουργίας χαριέντως ἐπιφέρει. εἰσὶ δὲ στίχοι ἀναπαιστικοὶ καταληκτικοὶ εἰς συλλαβήν. Ἀριστοφάνειοι καλούμενοι. τοιοῦτοι καὶ οἱ δύο προηγούμενοι. Ἀλλ' ὦ τήθων, καὶ χωρεῖτε. Κυπρογένεια Ἀφροδίτη ἣν ἐν τῇ νήσῳ Κύπρῳ γεννηθῆναι μυθεύουσι. Ἐντέξῃ τετανον.] τετανος ἡ τοῦ αἰδοίου τάσις. ῥοπαλισμοὺς δὲ λέγει, ἐπεὶ ὡς ῥόπαλον γίνεται. Παφίαν Ἀφροδίτην.] ὅτι ἐν Πάφῳ τῆς Κύπρου πόλει τιμᾶται. Ὥσπερ Κορύβαντες] ἔνιοι τοὺς Κούρητας, καὶ τοὺς Κορύβαντας τοὺς αὐτοὺς ὑπειλήφασιν. οὗτοι ἦσαν δὲ Διὸς τροφεῖς οὗτοι καὶ φύλακες. τινὲς δὲ αὐτοὺς δέκα φασίν. ἄλλοι ἐννέα. ἦσαν δὲ τῆς Ῥέας παῖδες. Κορακίνους.] εἶδος ἰχθύων. φυλαρχοῦντα δὲ παρὰ τὸ φύλαρχον λέγεται. φύλαρχος δὲ, ὁ κατὰ φυλὴν ἑκάστην τοῦ ἱππικοῦ ἄρχων. Σ. Ες τὸ χαλκοῦν.] χαλκοῦς πῖλος εἶδος περικεφαλαίας. Ησύχιος. λέκιθος δὲ, ὀσπρίου εἶδος, ὃ καλεῖται πιτὸν, ἢ κατὰ τοὺς Ῥωμαίους πῖσον. οὕτω γὰρ παρὰ τῷ Σουΐδᾳ τινὲς γράφειν οἴονται. Ιστέον μέντοι καὶ πισσὸν, καὶ πίσον. καὶ πῖσον, καὶ πίσον ἐν πολλοῖς τῶν παλαιῶν βιβλίων ἀντὶ τῆς λεκίθου, τὸ ὄσπρεον δηλοῦντος, εὑρίσκεσθαι γεγραμμένον. Ἕτερος δὲ Θρᾷξ.] Θρᾷξ, παρὰ τὸ θορεῖν, καὶ τὸ ἀΐσσειν, οἱονεὶ θοραῒξ. ὅθεν κατὰ συγκοπὴν θραῒξ. καὶ κατὰ συναίρεσιν Θρᾷξ. διὸ καὶ περισπᾶται. ἔστι δὲ ἔθνους ὄνομα. πέλτης δὲ Θρᾴκιον ὅπλον, καὶ πελταστὴν ἐκεῖνον ἔχουσα. ἀκόντιον δὲ, δοράτιον, μικρὰν λόγχην. Ησύχιος. Ἐδεδίσκετο.] ἐξεφόβει. δεδίσκομαι καὶ πλεονασμῷ τοῦ ι δειδίσκομαι, τὸ ἐκφοβῶ. δειδίσκω δὲ, τὸ δεξιοῦμαι παρ' Ὁμήρῳ. ἀπὸ τοῦ δέκω Ιωνικοῦ. δίσκω, δεδίσκω, καὶ ἐπενθέσει τοῦ ι, δειδίσκω. λέγεται καὶ δειδίσσεσθαι ἀντὶ τοῦ ἐκφοβεῖν, καὶ καταπλήσσειν Ὅμηρος Ιλ. θ.

Χερσὶ δὲ μήτι με πάγχυ κακὸν ὣς δειδίσσεσθαι.

ἰσχαδόπωλιν δὲ, τὴν ἰσχάδας πωλοῦσαν. τί δὲ ἰσχὰς, καὶ ἄνω προείρηται. Δρυπέτεις.] βέλτιον ἴσως δρυπεπεῖς γράφειν. τὰς ἰσχάδας ἀπὸ δένδρου πεπτωκυίας, ὠμάς. Ησ. καὶ δρυπέτης, ὁ πέπειρος καρπὸς τῶν δένδρων. ἢ ἀπὸ δένδρου πεπανθεῖσα ἐλαία. ὡσαύτως καὶ ἰσχάς. καὶ δρύπεπα. τὴν δ' ἀλίπαστον δρύππα. τουτέστιν ἐλαίαν. Σ.

A ἄλλως. αἱ μὲν δρυπέτεις, ἢ κατά τινας δρυπεπεῖς περὶ πεπαμμένως, οὕτω λέγονται παρὰ τὸ ἐν δρυῒ πεπανθῆναι, ἤγουν ἐν φυτῷ ἐλαΐνῳ. αἵτινες ἐλαῖαι καὶ γεργέριμοι κατά τινας ἐλέγοντο. καὶ ἁπλῶς πᾶς καρπὸς ἐπὶ δένδρου πεπανθεὶς δρυπέτης λέγεται. Εὐστ. φαύλως δὲ, εὐχερῶς, ῥᾳδίως. κλαυστὴρ δὲ, ὁ ἄπρακτος, καὶ τὸ ῥῆμα. Σ.

CHR. Ἀλλ' ὦ τήθων, καὶ μητριδίων ἀκαληφῶν.] Hunc locum sic inuenio expositum apud Grammaticos latentes in Suda. κνίδη λέγεται ὅταν ἁπαλὴ ᾖ, ἐὰν δὲ ἔχῃ τὰς μητέρας, τουτέστι τὰς τοῦ σπέρματος σφαίρας, ἀκαλήφη λέγεται. B ἀκαλήφας οὖν τὰς γραίας ἐκάλεσαν ἐπεὶ στερραὶ ἦσαν καὶ γυναῖκαι, καὶ γὰρ τὸ φυτάριον δάκνει. ἐπεὶ οὖν εἶπε τηθῶν, εἶπε μητριδίων τουτέστι τῶν ἐχουσῶν τὸ σπέρμα τῆς βοτάνης ἀκαλήφης, δάκνουσι δὲ αὗται. τοιαῦται δὲ καὶ αἱ γραῖαι, μητριδίας δὲ ἐκάλεσε τὰς ἐχούσας τὸ σπέρμα. Legendum autem χωρεῖτ' ὀργῇ, vt quidem puto, non ὀργῇ in dandi vel auferendi casu, & sic vsus fuerit nomine collectiuo, propterea dixit χωρεῖτε, τέγγεσθε, οὔρια θεῖτε, id est, οὐριοδρομεῖτε. Sic in Vesparum fabula C (quam nos nuper Latinam dedimus, aut saltem barbaram) dixit hic noster comicus ἀπὸ τῆς ὀργῆς τὴν ἀκαλήφην ἀφελέσθαι. Καὶ ῥοπαλινούς] Legere malim ῥοπαλισμούς. Nam ῥόπαλον & ῥόπτρον quod est hostorium vel potius rutabulum, etiam ad veretrum transfertur. sanè Næuius apud Festum sic vsurpauit in obscœnis, Senis retritum rutabulum. Φυλαρχοῦντ' ἴδον ἐφίππον.] Primum lego φυλαρχοῦντ' εἶδον ἐφ' ἵππου, deinde λέκιθον παρὰ γραός, & D sic apud sudam reperio. Est autem teste Harpocratione Phylarchus qui è singulis tribubus imperium habet in equites illius tribus. Aristoteles verbo φυλαρχεῖν vsus est lib. 4. de Repub. vbi malè alij φιλαρχ. legerunt. Erat tamen hic φύλαρχος subditus Ἱππάρχῳ. Quem autem hic vocant πῖλον, ornamen est & amictus capitis quem κυρβασίαν quidam, alij tiaram, nonnulli cidarin dixerunt. Καὶ τὰς δρυπέτεις.] Matura oliua & cadiua dicitur δρυπετὴς, tamen diuersum etymon, E nam à casu δρυπετὴς, à maturitate δρυπεπὴς, illa quasi πεπτωκυῖα, hæc quasi πέπειρος. Itaque & δρυπετὰ & δρυπεπὰ inuenias, hoc loco Veneta editio habebat δρυπέπεις. sciunt omnes nomine δρυὸς non omnem solum arborem sed etiam fructum intelligi, hic non pro oliua sed pro ficu accipio. Est autem δειδίσκεσθαι terrefacere. Φαύλως πάνυ πᾶς ἄπρακτος] sic in Venet. edit. nullis personis interiectis, sed sub Probuli persona continuantur, neque versum sequentem ὥσπερ κλαυστὴρ F Lysistrata incipit, sed chorus mulierum. Διαλύσαιμεν ἄν τις] Lego διαλύσαιμεν, est autem διαλύειν quod Franci dicimus *Deuider*, vel à diuidendo, vel deuiduando vt monuit etiam vir maximus & mihi colendissimus frater Ios. scaliger. Quin & Nicandri interpres ξαίνειν exposuit διαλύειν, etsi putare propriè sit & κροκοδύζειν.

Πρ. Ἐξ ἐρίων δὴ καὶ κλωστήρων καὶ ἀτράκτων πράγματα δεινὰ
Παύσειν οἴεσθ' ὦ ἀνόητοι; Λυ. κἂν ὑμῖν γ' εἴ τις γ' ἐνῆν νοῦς
Ἐκ τῶν ἐρίων τῶν ἡμετέρων ἐπολιτεύεσθ' ἂν ἅπαντα.
Πρ. Πῶς δή; φέρ' ἴδω. Λυ. πρῶτον μὲν ἐχρῆν ὥσπερ πόκον ἐν βαλανείῳ

PR. Ergo ex pensis & staminibus fusisque imponere finem,
G *O stulta, creditis hisce malis. LVS. ac mentis si quid inesset*
Vobis, ex lanis prorsus gereretur respublica nostris.
PR. Qui dum? videam LV. Primùm vt quum imposita est succida lana lauacro,

BISETVS. Πόκον ἐν βαλαντίῳ.] πόκος, τὸ τῶν προβάτων ἔριον.

CHR. Πόκον ἐν βαλ.] Error manifestarius, vt in voce nihili sic in metro, corrige βαλαντίῳ. Est autem οἰσπώτη vel οἰσπάτη vel οἴσπη, purgamentum ouium & stercus, ouerdam possimus dicere qua ratione bucerda, muscerda, sucerda & similia, Ratio etymi Græca ad manum est οἰσπώ- A τη quasi οἷος πατίλη. Aliud esse puto οἰσύπην, de qua multa apud Erotianum habes vocum Hippocraticarum doctum enarratorem. Quod autem sequitur ἐπικλίνεις Veneta editio habet ἐπικλινὴς, sed melius ἐπικλινεῖς accentu in vltima. i. ἐπινεύοντας καὶ ἐπιρρεπεῖς εἰς κακὸν, dixit autem, vt opinor, ἐκραβδίζειν quod Plutarchus ῥάβδοις ξαίνειν τὰ σώματα. i. virgis cędere.

Ἐκπλύναντας τὴν οἰσπώτην ἐκ τῆς πόλεως ἐπικλινεῖς	B	*Eluimus sordes, ita oportuit auersos pellere ab vrbe*
Ἐκραβδίζειν τοὺς μοχθηροὺς καὶ τοὺς τριβόλους ἀπολέξαι		*Homines nequam & prauos, & tribulos prorsus perdere duros*
Καὶ τούς γε συνισταμένους τούτους καὶ τοὺς θλίβοντας ἑαυτοὺς		*Et prensatores istos, & qui pratura studio, se*
Ἐπὶ ταῖς ἀρχαῖσι διαξῆναι καὶ τὰς κεφαλὰς ἀποτίλαι.		*Pilatim pressant, carrere, tractimq́ capita vellere, deinde*
Εἶτα ξαίνειν εἰς καλαθίσκον κοινὴν εὔνοιαν ἅπαντας,	C	*Nere in calatho atque operari communem omnes plebis amorem,*
Καταμιγνύντας τοὺς μετοίκους κεἴ τις ξένος ἢ φίλος ὑμῖν		*Commiscentes siue quis aduena, seu peregrinus fiet inter,*
Κεἴ τις ὀφείλει τῷ δημοσίῳ καὶ τούτους ἐγκαταμῖξαι.		*Seu debitor ignominiosus, & hi sunt hic annumerandi:*
Καὶ νὴ Δία τάς τε πόλεις ὁπόσαι τῆς γῆς τῆσδ' εἰσὶν ἄποικοι		*Quin & medius fidius quascunque colonia nostra habet vrbes*
Διαγινώσκειν ὅτι ταῦθ' ἡμῖν ὥσπερ κατάγματα κεῖται,	D	*Dignoscere singula quæque, iacent enim ceu lanea tracta*
Χωρὶς ἕκαστον. κᾆτ' ἀπὸ τούτων πάντων τὸ κάταγμα λαβόντας		*Temerè huc illuc, mox omnia singillatim carpere oportet,*
Δεῦρο ξυνάγειν καὶ συναθροίζειν εἰς ἕν. κἄπειτα ποιῆσαι		*Atque huc glomerata referre, & in vnum cogere, lanitiúmque*
Τολύπην μεγάλην. κᾆτ' ἐκ ταύτης τῷ δήμῳ χλαῖναν ὑφῆναι.		*Grande efficere, atque hinc vtibilem populo subtexere pallam.*
Πρ. Οὔκουν δεινὸν ταυτὶ ταύτας ῥαβδίζειν καὶ τολυπεύειν		*PR. Non mirum est si laudatur Pax & perficiatur ab istis*
Αἷς οὐδὲ μετῆν πάνυ τοῦ πολέμου. Λυ. καὶ μὴν ὦ παγκατάρατε	E	*Quas nulla solet pars tangere belli.* LVS. *Quin ô ter scelerate*
Πλεῖν ἤ γε διπλοῦν αὐτὸν φέρομεν. πρώτιστον μέν γε τεκοῦσαι		*Mage quàm duplex ferimus bellum, nam partus edere acerbos*
Κἀκπέμψασαι παῖδας ὁπλίτας. Πρ. σίγα μὴ μνησικακήσῃς.		*Solitæ, natos mittimus arma gerentes.* PR. *parce hæc memorare.*
Λυ. Εἶθ' ἡνίκα χρῆν εὐφρανθῆναι καὶ τῆς ἥβης ἀπολαῦσαι,		*LVS. Et cùm potius lætari opus esset, & ætati dare ludum,*
Μονοκοιτοῦμεν διὰ τὰς στρατείας. καὶ θ' ἡμέτερον μὲν ἐᾶτε,	F	*Ob militiam solæ sumus in lecto: sed mittite nostra,*
Περὶ τῶν δὲ κορῶν ἐν τοῖς θαλάμοις γηρασκουσῶν ἀνιῶμαι.		*Pro virginibus quæ veterascunt in thalamo, hoc maceror vnum.*
Πρ. Οὔκουν γ' ἄνδρες γηράσκουσι; Λυ. μὰ Δί' ἀλλ' οὐκ εἶπας ὅμοιον.		*PR. Quid? nónne viros senium attingit?* LVS. *Sanè equidem non eadem hæc sunt.*
Ο μὲν γὰρ ἥκων κἂν ᾖ πολιὸς ταχὺ παῖδα κόρην γεγάμηκε.		*Nam vir procus, & si canus erit, teneram tamen ille puellam*
Τῆς δὲ γυναικὸς μακρὸς ὁ καιρός. κἂν τούτου μὴ 'πιλάβηται,	G	*Nuptam accipiet: breuis ætas mulieribus, quæ nî potiantur,*

BISETVS. Οἰσπώτην.] Σουίδας. οἴσπη, ῥυπαρὸν προβάτων ἔρια. καὶ οἰσπώτη ὁ ῥύπος τῶν ἐρίων. λέγεται καὶ οἰσπάτη, καὶ οἴσυπος, καὶ οἰσυπίς. καὶ οἰσυπηρὰ ἔρια, τὰ ῥυπώδη ἀπὸ τοῦ οἰσύπου. Εὐς. Ἐπικλινεῖς

ῥαβδίζειν.] ἐπικλινὴς, καὶ τὸ ἐπικλινὲς, τὸ ἐπιῤῥεπὲς, ὅθεν ὁδὸς ἐπικλινὴς, ἤγουν ἐπιῤῥεπής. νῦν δὲ μεταφορικῶς δηλώσει τὸ ἐπικλινεῖς, κατωφερεῖς, τοὺς εἰς τὰ κάταντα, τὰ ταπεινὰ χωρία ταχέως φερομένους ἐν τῷ ταῖς ῥάβδοις τυπτομένους, ἐκ τῆς πόλεως ἐλαύνεσθαι. Τοὺς τριβόλους.] τρίβολος ἀκάνθης, ἡ βοτάνης εἶδος κάκιστον, καὶ τοῖς ἄλλοις σπέρμασιν ἀσυμφορώτατον. νῦν δὲ μεταφορικῶς τοὺς κακοὺς, τοὺς ἀνωφελεῖς, τοὺς ὀλεθρίους ἀνθρώπους δηλοῖ. Συνεσταμένους.] τουτέστι συνηγόρους, ἢ τοὺς συμπεπλεγμένους, καὶ πιλουμένους. ἀπὸ μεταφορᾶς τῶν ἐρίων. ὥσπερ γὰρ πολλάκις τὸ ἕτερον τῷ ἑτέρῳ κολλᾶται ἐρίῳ, καὶ διαχωρίζουσιν αὐτὰ ἀπ' ἀλλήλων, οὕτως ἐπὶ τῶν κεκολλημένων τῆς ἀρχαῖς ἐκέλευσε ἀποχωρίζειν, καὶ εὔνοιαν πρὸς ἀλλήλους ἔχειν ἅμα Συν. (σφάλμα τί ἐστι δοκεῖ ἐν τοῖς τῆς Συνδ.) Διαξῆναι] ἀντὶ τοῦ διαξαίνειν. διαξῆναι, διαλῦσαι. καὶ γὰρ ἐρίων οἱ μαλλοὶ ἔχουσι τὰς ἀρχὰς, καὶ τὰς κορυφὰς πεπιλημένας, καὶ ἐπὰν τιλτῶσι διαλύεται ὁ μαλλός. πρὸς ἑκάτερον οὖν καὶ τὰς κορυφὰς ἐρίων πεπιλημένας, ἐν τῷ πόκῳ, καὶ τὰς κεφαλὰς τῶν πονηρῶν συνεσταμένων τοῖς πράγμασι, διαλῦσαι χρή. Σ. ἀλλαχοῦ, διαξαίνειν, ξαίνοντα διαλύειν, τύπτοντα διασπᾷν, τὴν γῆς διασπᾷν. Τοὺς μετοίκους.] μέτοικος λέγεται ὁ ἐξ ἑτέρας πόλεως μεταστὰς, καὶ μετοικῶν ἐν ἑτέρᾳ, καὶ μὴ πρὸς ὀλίγον ἐπιδημῶν ὡς ξένος. ἀλλὰ τὴν οἴκησιν αὐτόθι καταστήσας μόνως. ἐδίδοντο δὲ ὑπ' αὐτῶν καθ' ἕκαστον ἔτος δραχμαὶ δώδεκα, ὅπερ ἐλέγετο μετοίκιον. κατάγματα δὲ, τὰ ἐρίων κατασπάσματα, ἢ κνήσματα. Σ. Τολύπην.] τολύπη, τὸ κατασκευασθὲν ἔριον. Ησύχ. ὅθεν τὸ τολυπεύειν, τὸ ἐκτελεῖν, ἢ κατεργάζεσθαι, ἢ πολλὰ εἰς ἓν τέλος συγκεφαλαιοῦν. τολύπη γὰρ τῶν ἐρίων σφαῖραν δηλοῖ. καὶ τολύπη τὸ κατειργασμένον ἔριον. καὶ τολύπη ἔριον ξανθὲν, καὶ ἀσκηθὲν εἰς τὸ κλωσθῆναι. Εὐσ. Χλαῖναν ὑφῆναι.] χλαῖνα, τὸ παχὺ καὶ χειμερινὸν ἱμάτιον. παρὰ τὸ χλιαίνειν. χιτὼν δὲ, τὸ λεπτὸν ἱμάτιον. τὸ ὑπὸ στόμιον. παρὰ τὸ ἐγκεῖσθαι τοῖς μέλεσι. ὑφῆναι δὲ, κατασκευάζειν. Σ. Αἷς οὐδὲ μετῆν.] αἱ τοῦ πολέμου παντελῶς μέτοχοι οὐκ ἦτε. αἱ τοῦ πολέμου πάνυ μηδὲν μέρος, μηδεμίαν κοινωνίαν μεθ' ἡμῶν εἴχετε. πλεῖν δὲ, πλέον, μᾶλλον Ἀττικῶς. Μὴ μνησικακήσῃς.] μνησικακῆσαι, κατά τινας, τὸ τῆς παλαιᾶς ὕβρεως μνήμην ἔχειν. τὴν παλαιὰν ἀδικίαν ἀμνηστεῖν οὐ δύνασθαι, ἀλλὰ ταύτην βεβαίως κατέχειν. ἐνταῦθα δὲ, μᾶλλον ληπτέον δοκεῖ, ἀντὶ τοῦ, τὰ παρεληλυθότα κακὰ εἰς μνήμην ἀνακαλεῖσθαι, καὶ τούτων μνείαν ποιεῖσθαι. ὅπερ ἐκ τοῦ προηγουμένου, σίγα, φανερόν ἐστιν. οὐ γὰρ ὁ Πρόβουλος τὴν γυναῖκα κελεύει τῶν κακῶν ἐπιλήσμονα εἶναι, ἀλλὰ σιωπᾶν, καὶ περὶ τούτων μνείαν μηδεμίαν ποιεῖσθαι. Μονοκοιτουμένων.] ἐν ταῖς κοίταις μόναι κοιμώμεθα. Καθ' ἡμέτερον] καὶ εἶτα ἐᾶτε, ἐάσατε τὸ ἡμέτερον πρᾶγμα. περὶ δὲ τῶν κορῶν, καὶ παρθένων ἐν θαλάμοις γηρασκουσῶν, διὰ τὸ αὐτὰς ἀγάμους μένειν διὰ τὰς τῶν ἀνδρῶν στρατείας, καὶ πολυχρονίους ἀποδημίας, ἀνιῶμαι. Κἂν τοῦτο μὴ 'πιλάβηται] καὶ ἂν μὴ ἐπιλάβηται τοῦτο. τοῦτο δὲ, ἀντὶ τοῦ τοῦτον τὸν καιρόν. ἀλλὰ πρὸς τὸ σημαινόμενον ἀναφέρεται. τινὲς μὲν τοῦτο, τοῦτον καιρὸν λέγουσιν. ἴσως. τῶν γυναικῶν πρὸς τοὺς γάμους ὁ καιρὸς βραχὺς, καὶ εἰ μὴ τοῦτον τὸν καιρὸν ἥκοντα ταχέως ἐπιλάβωνται, οὐδεὶς αὐτὰς ἔτι γῆμαι θέλει, ὅτι παρηκμαζούσας ὁρᾷ.

CHR. Συνεσταμένους.] id eſt, συνηγόρους, vel συμπεπλεγμένους καὶ πιλουμένους connexos & pilatos, tranſlatione ſumpta à lana, vt enim, inquit, adhæret lana lanæ dum carminatur, deinde diſcernitur à preſſu mutuo, ſic in iis qui magiſtratibus applicantur & agglutinantur facere debetis, & compoſitos diuellere & ſecernere, vt mutua ſe beneuolentia proſequantur. Τοὺς μετοίκους.] Sic vocantur qui ex aliena ciuitate ad aliam emigrãt, non vt peregrini transmeantes aut ad breue tempus habitantes. Pendebant verò quotannis 12. drachmas quod μετοίκιον dicebatur, proinde vt ſerui manumiſsi etiam pendebant τὸ μετοίκιον. Iſæus viros drachmas 12. (Heſychius ait decem tantùm ſed τῷ τελώνῃ τριώβολον appẽſum) fœminas 6. tantùm pependiſſe ait in Orat. contra Elpagorã & Demophanem. Qui μέτοικοι id tributum non ſoluerant, ducebantur & vænibant ἐν χερὸς αἴσῃ, vt ait Hom. id eſt, vt ſerui. Demoſth. in Philippicis, ait in naues mitti ſolitos τοὺς μετοίκους (puta vænalitios.) Eos autem Comici σκαφίας vocabant quia in pompis ſcaphas ferebant. Ariſtoph. dixit alibi, τοὺς γὰρ μετοίκους ἄχυρα τῶν ἀστῶν λέγει. Nam ciuium pars erant, ſed viliſsima, & vt paleę ordeaceæ, tamen πολίτας eſſe negat Ariſtot. lib. 3. Polit. Ait enim tantum κοινωνεῖν τῆς οἰκήσεως vt & ſerui, neque οἴκησιν facere τὸν πολίτην. Erat autem neceſſe μετοίκοις νέμειν προστάτην (vt idem autumat Ariſtoteles, & poſtea cenſet Harpocration) id eſt ciuem Athenienſem, cuius auctoritate niterentur ipſi inquilini. Eſt autem hic verſus mutilus, ſic fortaſſis reſtaurandus, τούς τε μετοίκους ξένος ἤν τις φίλος. Καὶ τολυπεύειν] Lana pura puta eſt ἔριον τολυπευτόν, Nam τολύπη eſt ἐργασία, & τολυπεύειν, ἐργάζεσθαι. Sic autem dixit Homerus 4. Ιδυσ. πόλεμον τολύπευσε, quod facit ad hunc locum, quia lanam bello comparat, neque fruſtra dixerat ῥαβδίζειν, virgis enim pauibant lanas vt ſordes deponerent, vnde pauerataæ veſtes. Quod verò ait πλεῖν ἢ διπλοῦν, ſolenne & ſuo more hac voce vtitur pro πλέον. Ὁ μὲν γὰρ ἥκων.] Lego, vt numeri conſtent ſibi, ὁ γὰρ ἥκων μέν, deinde οὐδεὶς ἐθέλει non θέλει. valet autem hic ὀττευομένη, idem ac μαντευομένη & κληδονιζομένη. Mox lego ἀλλ' ὅστις ἔτι στῦσαι δυνατός non ἐστὶ, ſed & notandum in Veneta editione appoſitam eſſe interrogationis notam poſt δυνατός. Legerem etiam τί παθὼν non μαθὼν & interrogatiuè pronunciarem. Sicque memini in Epigrammatum Florilegio, dictum à Nicarcho aut alio, μή τι πέπονθ' ἀΐδης, de longęuo nimis homine.

Οὐδεὶς θέλει γῆμαι ταύτην. ὀττευομένη δὲ κάθηται.
Πρ. Ἀλλ' ὅς τις ἐστὶ στῦσαι δυνατός.
Ἀλλ. Γυν. Σὺ δὲ δὴ τί μαθὼν οὐκ ἀποθνήσκεις.
Χωρίον ἐστί· σορὸν ὠνήσει.
Μελιτοῦτταν ἐγὼ καὶ δὴ μάξω.
Λαβὲ ταυτί, καὶ στεφάνωσαι.
Καὶ ταυτασὶ δέξαι παρ' ἐμοῦ.
Καὶ τουτονὶ λαβὲ τὸν στέφανον.

Non ſit qui ducere curet, ſed amat ſedem & vaticinatur.
Ni forte qui poteſt arrigere.
AL. M. Age tu quid agis? nec moreris dum
Nunc opus empta funeris arca,
Ego melle teram reſperſam offam:
Cape tu hunc frontis honorem,
Iſtasq; à me pro munere habe,
Iſtámq; ſimul ſume coronam.

Τοῦ

Τοῦ δέει; τί ποθεῖς;
Χώρει εἰς τὴν ναῦν.
Ο Χάρων σε καλεῖ.
Σὺ δὲ κωλύεις ἀνάγεσθαι.
Πρ. Εἶτ' οὐχὶ ταῦτα δεινὰ πάσχειν ἔστ' ἐμέ;
Νὴ τὸν Δί' ἀλλὰ τοῖς προβούλοις ἄντικρυς
Εμαυτὸν ἐπιδείξω βαδίζων ὡς ἔχω.
Λυ. Μῶν ἐγκαλεῖς ὅτι οὐχὶ προὐθέμεσθά σε;
Ἀλλ' ἐς τρίτην γ' οὖν ἡμέραν σοὶ πρῲ πάνυ
Ἥξοι παρ' ἡμῶν τὰ τρίτ' ἐσκευασμένα.

A *Quid eges, quid anes?*
Vade ad cymbam, te
Vocat ecce Charon,
Tamen oram soluere non vis.
PR. Non est vt istam diritatem vltrà feram,
Mihi ire certum est ad meos Proconsules
His me ipse coràm ostendam, & hanc rerum statum.
B *LVS. Te conlocatum non fuisse expostulas?*
Sed si die adsis tertia, ad diluculum
Parata habebis ad viaticum tria.

BISETVS. Ὀτλευομένη δ' ἐκάθητο.] κληδονιζομένη, οἰωνιζομένη, μαντευομένη. ὄττα γὰρ καὶ ὄσσα, φήμη, μαντεία, θεία κληδών. καὶ ὀττεύεσθαι, τὸ μαντεύεσθαι. Σ. ἴσως δὲ διὰ τούτων ἡ Λυσιστράτη νοεῖ τὸ λεγόμενον ἐν τῷ Πλούτῳ περὶ τοῦ Δελφικοῦ τρίποδος, καὶ τῆς μαντείας. φασὶ γὰρ τὸ ἀρχαῖον, παρθένον διὰ τὸ ἁγνὸν θεσπιῳδεῖν εἰωθέναι. Ἄλλως. ὀτλευομένη κάθηται, ἀντὶ τοῦ, ταλαιπωρεῖς, καὶ παλαιστέρα οὖσα καθῆσθαι, καὶ ζητευσεύειν ἀναγκάζεται. ὅπερ αἱ γραῖες ποιεῖν φιλοῦσι. Ἀλλ' ὅστις ἐστί.] ταῦτα ὁ Πρόβουλος πρὸς τὴν Λυσιστράτην λέγει, ὡς ἐκ τῶν ἑξῆς δῆλον, ὅτι ἡ γυνὴ τὸν γέροντα θνήσκειν ἐπιθυμεῖ. ὅτι οὕτω παρρησιάζεται, καὶ λόγοις, ἀπρεπέσιν ἑτέροις χρῆται. διὸ καὶ τὸ τοῦ Προβούλου πρόσωπον ἐνταῦθα γραπτέον. ὁ νοῦς. ἀλλὰ ὅστις δύναται στῦσαι, τουτέστιν, ὅστις πρὸς τὰς συνουσίας καὶ τοὺς ἀφροδισιασμοὺς ἐστὶν ἐπιτήδειος, οὗτος ταύτην γαμήσει. τινὲς δέ, ταῦτα μετ' ἐρωτήσεως γραπτέον νομίζουσι καὶ οὔ τις, ἀντὶ τοῦ ὅστις. οὕτως.

Ἀλλ' οὔ τις ἐστὶ στῦσαι δυνατός; ὅπερ ἴσως σὺ ἀπέθανον.

C γυνὴ ἐν τῷ ταῦτα λέγει, ἅμα καὶ ὕδωρ ἐς κεφαλὴν τοῦ γέροντος ἐκχεῖ. ὅπερ ἐκ τῶν ἑξῆς δῆλον. Τοῦ δέει,] παρὰ τὸ δέομαι, δέῃ κοινῶς, καὶ δέει Ἀττικῶς, ὡς καὶ τὸ ὠνήσει, ἀντὶ τοῦ ὠνήσῃ. τίνος χρείαν ἔχεις; τίνος ἐπιδεὴς ὑπάρχεις σὺ δὲ εἶ; Ἀνάγεσθαι.] ἐκ τοῦ λιμένος ἀποπλέειν, καὶ εἰς τὰ ἄνω φέρεσθαι. ὁ ἐναντίον τὸ κατάγεσθαι, τὸ εἰς τὰ κάτω, καὶ εἰς τὴν γῆν φέρεσθαι. Τοῖς Προβούλοις.] ἐκ τούτων δῆλον οὐχ ἕνα μόνον, ἀλλὰ καὶ πλείους τῆς βουλῆς Προβούλους, καὶ προεστῶτας γενέσθαι. προὐθέμεσθά σε, σὲ πρὸ τῶν ἄλλων ἐθέμεθα, καὶ τῶν ἄλλων προετιμήσαμεν; ὁ δὲ νοῦς. μὴ ἡμῖν ἐγκαλεῖς ὅτι τὸ ὕδωρ εἰς τὴν σὴν κεφαλὴν οὐκ ἐξεχέαμεν πρότερον, ἢ πρὸ τῶν ἄλλων; εἰ τοίνυν ἡμᾶς διὰ τοῦτο μέμφει, δεῦρο εἰς τὴν τρίτην ἡμέραν ἐπαναχώρησον, ὅπως τὰ τρίτα, καὶ τρίτα, γέρατα, τουτέστι τὸ ὕδωρ παρεσκευασμένον λάβῃς.

τί μαθὼν οὐκ ἀποθνήσκεις;] ἄλλη γυνὴ τοῖς τοῦ Προβούλου λόγοις ὀργισθεῖσα, ταῦτα πρὸς αὐτὸν λέγει. ἡ δὲ τούτων ἔννοια αὕτη. ταῦτα δὲ πόθεν ἔμαθες; διατί οὐκ ἀποθνήσκεις θᾶττον ὡς τοῦ θανάτου ἄξιος ὤν; περὶ δὲ ταύτης τῆς μετοχῆς, μαθών, ἀλλαχοῦ διὰ πλειόνων προείρηται. τινὲς δέ, ἀντὶ τοῦ μαθών, γράφουσι μόθων. μόθων δέ, ὁ φορτικός, καὶ ἄτιμος καὶ μόθωνες οἱ εὐτελεῖς. καὶ μόθωνας ἐκάλουν τοὺς παρεπομένους τοῖς ἐλευθέροις παῖδας οἱ Λάκωνες. τὸν Πρόβουλον τοίνυν ἡ γυνὴ λοιδορεῖ. ἔστι καὶ μόθων, εἶδος αἰσχρᾶς, καὶ δουλοπρεποῦς, καὶ φορτικῆς ὀρχήσεως. Σ. Χωρεῖον ἐστί.] ἐκ τῆς ἐννοίας, καὶ τῶν προειρημένων τινὲς γραπτέον νομίζουσι χαίρειον ἐστί. τουτέστι, νῦν καιρός ἐστι τοῦ ἀποθνήσκειν. διὸ δεῖ σε τάχα σορὸν ὠνεῖσθαι πρὸς τὴν σοῦ θανόντος ἐκφοράν. οἱ δὲ ταύτην τὴν γραφὴν σώζειν βουλόμενοι, ἀποστρόφου σημεῖον τῇ λέξει προστιθέασιν, οὕτω, Χ' ὥρειόν ἐστι. καὶ γάρ, φασί, τὸ ὥρειος, καὶ ὥριμος, καὶ ἔγκαιρος. καὶ χαίρειος συνωνύμως λέγονται. Μελιτοῦτταν.] μελιτοῦττα, μᾶζα μέλιτι δεδευμένη ἣν ἔφερον ὡς ἐδίδοσαν τοῖς ὄφεσι τοῖς ἐν Τροφωνίου οἱ μαντευόμενοι. ἰστέον δ' ὅτι ἡ μελιτοῦττα ἐδίδοτο τοῖς νεκροῖς, ὡς εἰς τὸν Κέρβερον, καὶ ὀβολὸς μισθὸς τῷ πορθμεῖ. καὶ στέφανος ὡς τὸν βίον διηγωνισμένοις. Λαβὲ ταυτί] ἡ

D CHR. Χωρεῖον ἐστὶ σορόν.] In editione Veneta legitur χωρεῖον, & δὴ μάσσω, non δημάζω. Est autem τὸ ὠνήσει pro ὠνήσεις nisi mauis ὠνῆσαι vt sit tempus est emere sandapilam, ego quidem pinso tibi μελιτοῦτταν. Est autem epithetō τῶν νεκρῶν. Et sic vocatur μᾶζα μέλιτι δεδευμένη (propterea ait μάσσω) quam mortuis dabant vt Cerbero ferrent (vocauit Maro offam melle saporatam) & obolum vt portitori Charonti, & coronam vt qui vitæ bonum certamen vicerint: Sunt qui apud Virgilium soporatam offam legant, frustra si me au-
E diunt. nullus enim in melle sopor, & quamuis soporatus ab offa fuerit triceps ille canis, factum est propter medicatas fruges & papauer aspersum. Τοῦ δέει.] Lege vt in Veneta editione τοῦ δεῖ; τί ποθεῖς, suntque isti Anapæstici versus, & postremus σὺ δὲ κωλύεις coronis Anapestica hac nota claudenda. > Οὐχὶ προὐθέμεσθά σε;] Respicit vt puto, ad ea de quibus Suidas περὶ προθεσμίας qui mortis est terminus, nisi si προθέσθαι sit mortuum conlocare, &, vt ait Persius, rigidos calces in por-
F tam extendere. Ἥξοι παρ' ἡμῶν] Melius ἥξει vt & Veneta habet editio, deinde lego τὰ τρί' ἐσκευασμένα, nō autem τὰ τρίτ'. Nā τὰ τρία τὰ εἰς θάνατον intelligit, quia morte dānatis tria proponebant, gladiū, laqueū & cicutā. Quis nō malit τὰ τρία στασιχόρου.

ΧΟΡΟΣ ΓΕΡΟΝΤΩΝ.

Οὐκέτ' ἔργον ἐγκαθεύδειν ὅστις ἔστ' ἐλεύθερος.

G CHORVS SENVM.

Non decet nūc esse segnes qui sciunt se liberos.

Ἀλλ' ἐπαποδυώμεθ' ὦ ἄνθρωποι τουτῳὶ τῷ πρά-
γματι.
Ἤδη γὰρ ὄζειν ταδὶ πλειόνων καὶ μειζό-
νων
Πραγμάτων μοι δοκεῖ.
Καὶ μάλιστ' ὀσφραίνομαι τῆς Ἱππίου τυραννί-
δος.
Καὶ πάνυ δέδοικα μὴ
Τῶν Λακώνων τινὲς
Δεῦρο συνεληλυθότες
Ἄνδρες ἐν Κλεισθένους
Ταῖς θεοῖς ἐχθρὰς γυναῖκας ἐξεπαίρωσιν δό-
λῳ
Καταλαβεῖν τὰ χρήμαθ' ἡμῶν,
Τόν τε μισθὸν ἔνθεν ἔζων ἐγώ.
Δεινὰ γάρ τοι τάσδε γ' ἤδη τοὺς πολίτας νουθε-
τεῖν,
Καὶ λαλεῖν γυναῖκας οὔσας ἀσπίδος χαλκῆς
πέρι.
Καὶ διαλλάττειν πρὸς ἡμᾶς ἀνδράσιν Λακωνι-
κοῖς
Οἷσι πιστὸν οὐδὲν εἰ μὴ περ λύκῳ κεχηνό-
τι.
Ἀλλὰ ταῦθ' ὕφηναν ἡμῖν ἄνδρες ἐπὶ τυραν-
νίδι.
Ἀλλ' ἐμοῦ μὲν οὐ τυραννεύσουσιν. ἐπεὶ φυλάξο-
μαι
Καὶ φορήσω τὸ ξίφος τὸ λοιπὸν ἐν μύρτου κλα-
δῷ.
Ἀγοράσω τ' ἐν τοῖς ὅπλοις ἑξῆς Ἀριστογείτο-
νι.
Ὧδέ θ' ἑστήξω παρ' αὐτόν, αὐτὸς γάρ μοι γίγνε-
ται
Τοῖσι θεοῖσιν ἐχθρᾶς πατάξαι τῆσδε γραὸς τὴν
γνάθον.
Χο. Γυν. Οὐ γὰρ εἰσιόντας οἴκαδ' ἡ τεκοῦσα γνώ-
σεται.

A Sed nos age incumbamus huic nego-
tio
Quod plura præsagire & maxi-
ma
Iam videtur mala:
Maximè hæc olent mihi nunc Hippiæ tyranni-
dem.
Quin metuo prorsus vt
B Huc Lacones statim
Forte simul & veniant
Clisthenes alteri
Qui dolo malo incitent has impias fœmi-
nas,
Rapere quas opes habemus
Præmium meiq; victus.
Prorsus hæc indignares est, Iam monent & in-
crepant
C Fœmina ciues, virúmque scuta & æra gar-
riunt,
Ac volunt ferire fœdus gente cum Laconi-
ca
Gente non magis fideli quàm lupi patens gu-
la.
Ista sed struxere nobis qui viri tyranni-
di
D Imminent, sed non ero his obnoxius, cauens
magis
Posthidhac, ensémque clausum fronde myrtea
geram
In forúmque armatus ibo, post Aristogito-
na
Propter astans in statu isto, quippe fas erit mi-
hi
E Huius inuisissimam Dijs verberare anus ge-
nam.
CH. M. Tecta namq; intro petentes non agno-
uerit parens.

BISETVS. Οὐκ ἔτ' ἔργον.] ὁ τῶν γερόντων χορὸς τὴν γυναικῶν σφόδρα καταπλήξας, ταύτην τὴν καινὴν πολιτείαν καινῆς τινος τυραννίδος ἀρχὴν ἰσχὺς ἐκ αὐτῶν ὑπονοεῖ. ἐπαποδυώμεθα δέ, ἐπιχειρήσωμεν. Σ. τοῦτο δὲ ἀπὸ μεταφορᾶς τῶν τὰς ἀθλήσεις παλαιόντων ἀποδυομένων, καὶ ἐκδυόντων, ἵνα ῥᾷον τοῖς ἔργοις ἐπιχειρήσωσι, καὶ ταῦτα τελέσωσιν. ἐπαποδύεσθαι οὖν ἑαυτόν τινι πράγματι, ἀντὶ τοῦ, ἑαυτὸν παρασκευάζειν πρός τινος πράγματος ἐπιχείρησιν. Ὀσφραίνομαι.] ὅτι τὸ ὄζειν εἶπε, διὰ τοῦτο καὶ τὸ ὀσφραίνομαι τοῦ ἐπιφέρει, ὃ δηλοῖ τὸ δι' ὀσμῆς αἰσθάνεσθαί τι. Ἱππίου τυραννίδος.] τεσσάρων ὄντων τῶν Πεισιστρατιδῶν, ὁ Ἱππίας πρεσβύτερος τῶν ἄλλων ἦν, καὶ τυραννίδα ὑπέθετο, ὡς μαρτυρεῖ Θουκυδίδης ἐν τῇ τῆς ξυγγραφῆς ἕκτῃ. οὕτω γράφων, Πεισιστράτου γὰρ γηραιοῦ τελευτήσαντος ἐν τῇ τυραννίδι, οὐχ Ἵππαρχος (ὥσπερ οἱ πολλοὶ οἴονται) ἀλλ' Ἱππίας πρεσβύτατος ὢν, ἔσχε τὴν ἀρχήν. Ἐξεπαίρωσιν.] δολίως προστρέψωσιν, ἢ δολίως πείσωσι. δεινὰ γὰρ, ἀντὶ τοῦ δεινόν ἐστι.

F CHR. Ἀλλ' ἐπαποδυώμεθ' ἄνθρωποι.] id est, ἐπιχειρήσωμεν. Puto autem meliorem Sudæ lectionem ἀλλ' ἐπαποδυώμεθα τουτῳὶ τῷ πράγματι, vt sit Senarius versus qualis erit sequens si demas ταδὶ non necessarium. Nam τὸ ὄζειν refertur ad τὸ πρᾶγμα. Ἄνδρες ἐν Κλεισθένους.] Clisthenes erat γυναικώδης, solebátque ferre περιάδια vt dixit Sophocles, cuius versus luculentos habes apud Sudam. Is rasa semper apparebat barba vt iunior videretur. Prouerbium hinc est, Clisthene intemperantior, vel Clisthenem video. Itaque quòd ait hic δόλῳ, eò pertinet quia tali essent vt clisthenes. vide sudam περὶ γῆς ἀποδημεῖς. Καταλαβεῖν]
G Duo hi versus videtur mihi Dimetri Trochaici, etsi primi pes primus, sed illud ἐγὼ quod in fine est alterius, tanquam glossema videtur tollendum.

BISETVS. Καὶ διαλλάττειν.] ταῦτα λυπεῖ οὕτως. καὶ δεινὸν ἐπὶ ταύτας νουθετεῖν τοὺς πολίτας, καὶ

γυναῖκας οὔσας περὶ πολέμου λαλεῖν. πρὸς δὲ τούτοις, καὶ ἡμᾶς διαλλάττειν τοῖς ἀνδράσι Λακωνικοῖς. ἢ λείπει διαλλάττειν τοὺς ἄνδρας Λακωνικοὺς πρὸς ἡμᾶς. εἰ μή τις ἀντιπίπτωσιν ἐστὶ λέγειν, ὅπερ οὐκ ἀξιόπιστον. τὸ δὲ διαλλάττειν τινά τινι, ἢ πρός τινα, σημαίνει τὸ εἰς προτέραν φιλίαν καὶ χάριν πάλιν συνάγειν. Λύκῳ κεχηνότι.] ἡ παροιμία ἐπὶ τῶν ἀλλότρια διαρπαζόντων· ὃν γὰρ τρόπον λύκοις οὐκ ἔστι πίστις, οὐδὲ τούτοις. τὸ δὲ κεχηνότι ἐπὶ τῶν μάτην χαιρόντων. καὶ λύκος ἔχανεν, ἐπὶ τῶν ἐλπιζόντων τι ἕξειν, διαμαρτόντων δὲ τῆς ἐλπίδος. λέγουσι δὲ τὸν λύκον, ἐπειδὰν ἁρπάζει τι βούλεται, κεχηνότα περιέρχεσθαι ἐν αὐτῷ. ὅταν οὖν μὴ λάβῃ ὃ προαιρεῖται, κατὰ κενὸν αὐτὸν χαίνειν φασίν. ἐπὶ οὖν τῶν συνελπιζόντων χρηματιεῖσθαι, διαμαρτόντων δὲ, τοῦτο λέγουσι. Σ. Τὸ ξίφος] τουτέστιν, ἐν τῇ ἀγορᾷ διατρίψω μετὰ τοῦ Ἀριστογείτονος. ἐγγὺς Ἀριστογείτονος. ἐν μυρσίνῳ κλαδὶ τὸ ξίφος φορήσω ὥσπερ Ἁρμόδιος, καὶ Ἀριστογείτων. οὗτοι γὰρ ἀπὸ μυρσίνων κλάδων τὰ ξίφη ἀνασπάσαντες τὸν τύραννον κατέβαλον. τούτων δὲ ἀνδριάντας ἐξήγγειλεν εὑρήσεις περὶ Θουκυδίδου ἐν τῷ ἕκτῳ τῆς ξυγγραφῆς. τὸ δὲ κλαδὶ, ἀντὶ τοῦ κλάδῳ, ὡς ἀπὸ τῆς εὐθείας κλὰς, κλαδὸς. ὅπερ κοινότερον, καὶ ἀχρηστότερον. διὸ σημειωτέον. ἑστήξω δὲ, βεβαίως στήσω, ὥστε στάθμαι ὡς τοῦ Ἀριστογείτονος ἀνδριάς. Αὐτὸς γάρ μοι] ὥσπερ ἡ γραφὴ καλῶς ἔχει, τοῦτο ἀκριβέστερον εἴρηται. εἰ μὴ ὑπαινίττεταί τις τὸν αἴτιον. ἴσως δὲ, καὶ αὐτοῖς ἐστι τοῖς αὐτοῖς χρηστέον. ἐπεὶ γὰρ ὁ νοῦς ἐστὶ φαίνεται. καὶ γὰρ αὐτός μοι αἴτιος γίνεται τοῦ παλάξαι τὴν γνάθον τῆς γραὸς θεοῖσιν ἐχθρᾶς. Ἄλλως. τὸν Ἀριστογείτονα μιμήσασθαι θέλω. καὶ γὰρ ὥσπερ ἐκεῖνος τὸν τύραννον παλαιὸν πατάξας,

A καὶ πλήξας ἀνεῖλεν, οὕτω καὶ ἐγὼ ταύτης τῆς ἀνάντης ἐταίρας γραὸς τὴν γνάθον νῦν παλάξαι θέλω, βούλομαι, ἐπιχειρῶ. Οὐ γὰρ εἰσιόντας] οὐ γάρ φησιν, ἡ μήτηρ ἡμᾶς εἰς τὸν οἶκον εἰσιόντας γνώσεται. τουτέστιν οὐκ εἴσεται τὸ ἐμὸν πεπραγμένον κατὰ ταύτης τῆς γραὸς, ἂν πατάξας τύχω. ἀλλά τι διὰ τοῦτο δηλοῦν βούλεται. οὐ ῥᾴδιόν ἐστι τεκμαίρεσθαι. καὶ ἐλλείπειν τι δοκεῖ. ὡς ἐκ τούτου τῆς μοιχείας, δῆλόν ἐστιν, οὐ γὰρ ἐν ἀρχῇ τοῦ λόγου τι θεῖναι εἰώθει.

CHR. Ἐπὶ τυραννίδι] Legendum ἐπὶ & contra in sequenti versu ἐπεὶ φυλάξομαι non ἐπὶ, tum verò τυραννεύσει non τυραννεύουσιν. Ἐν μύρτου κλαδὶ] Exstant versus antiqui (puto scholion fuisse) metro Phaleucio ἐν μύρτου κλαδὶ τὸ ξίφος φορήσω. &c. sed arbitror hos senes adludere ad fœminarũ libidinem, Nam μύρτος pudendum muliebre sæpè vocatur ab illo præsertim Comico. Lego autem pòst ἀριστογείτονι non ἀριστογείτονος, vt in Veneta editione, Vtuntur verò Attici vt & Plato, τῷ ἑξῆς in datiuo vt hic ἑξῆς ἀριστογείτονι. Αὐτὸς γάρ μοι] Puto pro αὐτὸς melius legi αὐτως, nisi αὐτὸ sit pro auctore, nam & in Ranis αὐτὸς est ὁ δεσπότης, & αὐτὸς ἔφα dixit pythagoras de Deo, vel αὐτὸ lege. Τοῖσι θεοῖσιν ἐχθρᾶς.] Claudicabit versus, vt rectum habeas, censeo legas τοῖς θεοῖς ἐχθρὰς vel ταῖς θεοῖς. &c. Οὐ γὰρ εἰσιόντας.] Hinc videtur incipiendũ, non ab illis ἀλλὰ θώμεσθ', & est velut ἀντεπίρρημα, & omnes versus ferè similes, nisi quod in quibusdã claudicatur, per errorẽ puto, librariorũ.

ΠΑΡΑΒΑΣΙΣ.

Bis. Ὁ τῶν γυναικῶν χορὸς, πρὸς τὸν δῆμον στραφεὶς ταῦτα λέγει, ἑαυτὸν συνιστάνων, καὶ μεγαλύνων. διὸ καὶ τιμὰς πρὸ αὐτῶν παριστάναι τὴν Παραβάσεως ἰδέαν εἰσομένας, χλιδώσας δὲ, τρυφώσας, τρυφερῶς διατεθείσας.

ἈΛλὰ θώμεσθ' ὦ φίλαι γρᾶες ταδὶ πρῶτον χαμαί.
Ἡμεῖς γὰρ ὦ πάντες ἀστοὶ λόγων κατάρχομεν
Τῇ πόλει χρησίμων
Εἰκότως. ἐπεί χλιδῶσαν ἀγλαῶς ἔθρεψέ με.
Ἑπτὰ μὲν ἔτη γεγῶσα
Εὐθὺς ἠῤῥηφόρουν.
Εἶτ' ἀλετρὶς ἦ δεκέτις
Οὖσα τἀρχηγέτις
Καταχέουσα τὸν κροκωτὸν ἄρκτος ἦ Βραυρωνίοις.
Κἀκανηφόρουν ποτ' οὖσα
Παῖς καλὴ 'χουσ' ἰσχάδων ὁρμαθόν.

PRimùm humi ponamus ista, quæso vos amicæ anus:
Nam principes occupamus loqui quod expedit
E Ciuitati incolæ,
Quæ me delicatè splendideq́ enutrijt:
Ensigera eram, simul
Septuennis fui,
Mox vbi decennis eram,
Liba dux permolens
Tenuẽ amicta crocotulã vrsa erã in Brauronijs
Quæ tuli canistra quondam
Scita puella habens fiscinam ficuum.

F

Bis. Ἠῤῥηφόρουν] ἀῤῥηφορία, ἑορτὴ ἐπιτελουμένη τῇ Ἀθηνᾷ ἐν τῷ Σκιροφοριῶνι μηνί. ὥσπερ ἀῤῥητοφορία. διὰ τὸ ἄῤῥητα, καὶ μυστήρια ἐν κίσταις φέρειν. καὶ ἀῤῥηφόρος παρθένος, ἡ τὰ ἄῤῥητα τοιαῦτα μυστήρια φέρουσα, ἀπὸ ἐτῶν ἑπτὰ κατὰ τὸ μέγα Ἐτυμολογικὸν, μέχρις ἕνδεκα. καὶ τέσσαρες μὲν ὥς φησιν Ἁρποκρατίων, ἐχειροτονοῦντο δι' εὐγένειαν ἀῤῥηφόροι. δύο δὲ ἐκρίνοντο, αἳ τῆς ὑφῆς τοῦ πέπλου ἦρχον, καὶ τῶν ἄλλων τῶν περὶ αὐτόν. λευκὴν δὲ ἐσθῆτα ἐφόρουν. καὶ εἰ χρυσία περιέθεντο, ἱερὰ ταῦτα ἐγίνοντο. ὅθεν καὶ τὸ ἀῤῥηφορεῖν, ἀντὶ τοῦ ἀῤῥητοφορεῖν. Εἶτ' ἀλετρὶς] παρὰ τὸ ἀλέω, ὃ ἐστιν ἀλήθω. Ἀλετρίδες δὲ, ἀθληταὶ εὐδόκιμοι παρθένοι, αἳ τὰ εἰς ἱερὰ πόπανα ἄλευρα ἤλεσαν. ὅθεν τὸ ἀλετρεύειν, τοῦτέστιν ἀλήθειν. Εὐστ. δεκέτις δὲ, θηλυκῶς. ἀρσενικῶς δεκέτης, ὁ δεκαέτης. τινὲς δὲ ἀντὶ τοῦ ἡ δεκέτις, γράφουσιν ἦ, τουτέστιν ἤμην Ἀττικῶς, ὡς καὶ κάτω ἄρκτος ἦ Βραυρωνίοις.

Ἀρχηγέτις] ἀρχηγέτης ἀρσενικῶς, ὁ ἡγεμών. ἄρχων. ἀρχηγέτις δὲ, τὸ θηλυκόν. Καταχέουσαν] κατὰ τὴν σύνταξιν, καὶ τοῦτο γέγονεν οὕτω χρηστέον δοκεῖ, Καταχέουσα κροκωτὸν ἄρκτος ἦ Βραυρωνίοις. τὸ δὲ ἦ Ἀττικῶς ἀντὶ τοῦ ἤμην. οὕτως καὶ ἄνω ἐν τῷ Πλούτῳ, ἃ κρύπτειν ἦ παρεσκευασμένος. Βραυρὼν δὲ δῆμος τῆς Ἀττικῆς, ἀπὸ Βραύρωνος ἥρωος. ἀφ' οὗ Βραυρωνία ἡ Ἄρτεμις. καὶ Βραυρώνια ἑορτὴ Ἀρτέμιδι Βραυρωνίᾳ ἄγεται. ταύτῃ Ἀρτέμιδι ἐτέλουν παρθένοι ἀρκτευόμεναι κροκωτὸν ἠμφιεσμέναι, οὔτε πρεσβύτεραι δέκα ἐτῶν, οὔτε ἐλάττους πέντε, ἀπομειλισσόμεναι τὴν θεόν. ἐπεὶ ἄρκτος ἀγρία ἐπιφοιτῶσα διέτριβεν ἐν τῷ δήμῳ Φλαυιδῶν. καὶ ἡμερωθεῖσαν αὐτὴν τοῖς ἀνθρώποις σύντροφον γενέσθαι. παρθένον δέ τινα προσπαίζειν αὐτῇ, καὶ ἀσελγαινούσης τῆς παιδίσκης παροξυνθεῖσαν τὴν ἄρκτον, καταξῦσαι τῆς παρθένου. ἐφ' ᾧ ὀργισθέντας τοὺς ἀδελφοὺς αὐτῆς, κατακοντίσαι τὴν ἄρκτον.

A καὶ διὰ τὸ λοιμώδη νόσον τοῖς Ἀθηναίοις ἐμπεσεῖν. καὶ εἰς τὸ χρηστήριον ἐρωτήσαντες οἱ Ἀθηναῖοι, ἔσεσθαι λύσιν τῶν κακῶν εἶπεν, εἰ τῆς τελευτησάσης ἄρκτου τινὸς ἀρκτεύειν ἀναγκάσωσι. καὶ ἐψηφίσαντο οἱ Ἀθηναῖοι μὴ πρότερον συνοικίζεσθαι ἀνδρὶ παρθένον εἰ μὴ ἀρκτεύσειε τῇ θεῷ. καὶ ὀρκτεύειν ἔλεγον τὸ καθιεροῦσθαι πρὸ γάμου τὰς παρθένους τῇ Ἀρτέμιδι. αἱ γὰρ ἀρκτευόμεναι παρθένοι, ἄρκτοι καλοῦνται. ὡς Εὐριπίδης, καὶ Ἀριστοφάνης δηλοῖ. καὶ ἀρκτεία, ἡ τῶν ἀρκτευομένων παρθένων τελετή. Σ. Κἀκανηφόρουν.] αἱ κανηφοροῦσαι οὐ πάντως δὲ ἱερὸν κανηφορεῖν, ἀλλ' ὥς φησιν Ἡσύχιος, κανηφόροι, ἐν ταῖς πομπαῖς, αἱ ἐν ἀξιώματι παρθένοι ἐκανηφόρουν, ὥσπερ καὶ ἐν τοῖς Παναθηναίοις. καὶ Σχόλιας περὶ κανηφόρων ταῦτα γράφει. Φιλόχορός φησιν ὡς Ἐριχθονίου βασιλεύοντος πρῶτον κατέστησαν αἱ ἐν ἀξιώματι παρθένοι φέρειν τὰ κανᾶ τῇ θεῷ, ἐφ' οἷς ἐπέκειτο τὰ πρὸς θυσίαν τοῖς τε Παναθηναίοις, καὶ ταῖς ἄλλαις πομπαῖς.

B

CHR. Ἠρρηφόρουν.] ἀρρηφορία vel ἐρσηφορία, sacrificia sunt quæ à virginibus ferebantur in honorem Erses Cecropis filiæ vel deæ puta Dianæ, & dicta ἀρρηφορία quasi ἄρρητα ἐν κίσταις φερόμενα μυστήρια. Hesychius agnoscit ἐρρηφόρους vt hic.

C

Menander autem Comœdiam docuit titulo ἀρρηφόρου vel αὐλητρίδος vt testatur Athenæus, apud quem mendum esse arbitror lib. x. cùm de panibus agit, ait enim turundam illam quæ ἀστὸς dicitur fieri solitam τῶν ἀρρηφόροις, putem legendum ἀρρηφόροις. Ἡ δ' ἐκ τῆς.] Puto ἦ esse pro ἦα per Synæresin, & hunc locum innui à Suda voce ἦ, aut positum est pro ἤμην. Ἄρκτος ἢ Βραυρωνίοις.] In edit. Veneta ἦν legitur, sed malim ἂν pro ἦν, legerem autem κατέχουσα τὴν κροκ. Quid sit autem ἄρκτος ἐν Βραυρωνίοις vide apud Sudam, virgines nuptiæ sacra faciebant Artemidi & hoc ἀρκτεύειν dicebatur vel δεκατεύειν, quia decennes erant virgines ἀρκτεύουσαι (neque enim minores quinque annorum vel maiores decem oportebat esse.) Corrigenda mihi videntur Hesychij Grammatici veteris exemplaria, vbi ait ἀρκτεία, τῶν ἀρκτευομένων παρθένων τελευτὴ, ἀρκτεύειν γὰρ καθιεροῦν. lege τελετὴ & ἀρκτεύειν. Paulo post vbi habes ἦν ἂν ἀμείνω, delendum τὸ ἂν vt glossema τοῦ ἦν. Sed quod Probulus ait supra ἆρα προὐφείλω, in Veneta editione deest Probuli persona, & loquitur Chorus mulierum.

Πρ. Ἆρα προὐφείλω τι χρηστὸν τῇ πόλει παραινέσαι;

Χο. Γυν. Εἰ δ' ἐγὼ γυνὴ πέφυκα τοῦτο μὴ φθονεῖτέ μοι

D Ἢν ἀμείνω γ' εἰσενέγκω τῶν παρόντων πραγμάτων.

Τοὐράνου γάρ μοι μέτεστι· καὶ γὰρ ἄνδρας εἰσφέρω,

Τοῖς δὲ δυστήνοις γέρουσιν οὐ μέτεσθ' ὑμῖν. ἐπεὶ

Τὸν ἔρανον τὸν λεγόμενον παππῷον ἐκ τῶν Μηδικῶν

Εἶτ' ἀναλώσαντες οὐκ ἀντεισφέρετε τὰς εἰσφοράς

E Ἀλλ' ὑφ' ὑμῶν διαλυθῆναι προσέτι κινδυνεύομεν.

Ἆρα γρυκτόν ἐστιν ὑμῖν; εἰ δὲ λυπήσεις τί με

Τῷδέ γ' ἀψήκτῳ πατάξω τῷ κοθόρνῳ τὴν γνάθον.

Πρ. Ταῦτ' οὐχ ὕβρις τὰ πράγματ' ἐστὶ

Πολλὴ; κἀπιδώσειν μοι δοκεῖ

Τὸ χρῆμα μᾶλλον.

Ἀλλ' ἀμυντέον τὸ πρᾶγμ' ὅστις γ' ἐνόρχης ἔστ' ἀνήρ.

PR. Suadeámne ciuitati quod videtur optimum?

CH. Mu. Ne mihi inuidete ciues nata quòd sum fæmina

Si statu præsente dicta saniora conferam,

Namque symbola mihi est ius cùm viros communicem,

vos senes ius non habetis tale, quippe symbolam

(Quæ Patrita nominatur) bella contra Medica

Deinde consumpsistis, haud redhostientes munera:

Quia periculum est vt & nos abrogetis funditus.

Numquid ergo mussitatis? Si molestus sis mibi

Hoc tibi duro cothurno verberauerim genas.

PR. Sunt ne ista contumeliosa

Valdè? res sed hæc augescere

Magis videtur.

F *Sed tamē iam vindicanda, si tamen viri sumus.*

BISETVS. Ἆρα προὐφείλω] ἆρα προσοφείλω. σημειωτέον τὸ τοῦ Προβούλου πρόσωπον ἐξέωσθαι ἐν τισὶ βιβλίοις παρεγγεγραμμένον, καὶ τὸ τοῦ χοροῦ τῶν γυναικῶν ἐν τῷ ἑξῆς στίχῳ ἀκαίρως, καὶ κακῶς τινὶ παρεγγεγράφθαι. διὸ καλῶς τοὺς ἑκάτερον ἀναλείφουσι, λέγοντες ταῦτα πάντα ὑπὸ τοῦ χοροῦ τῶν γυναικῶν προφέρεσθαι μέχρι τοῦ στίχου, οὗπερ ἄρχει. Ταῦτ' οὐχ ὕβρις. ὅ τὸ ὁ Πρόβουλος λαλεῖ. Τοὐράνου] χαρίεν ἢ τοὐράνου, καὶ κρᾶσιν ἔχει λέξις. ἢ ὁ καὶ πιθανώτερον, Τοὐράνου, ἀντὶ τοῦ, τοῦ ἐράνου. ἔστι δὲ τοῦ ἀφαιρεῖσθαι ἔρανος δέ, ἡ ἀπὸ κοινῆς συμβολῆς, καὶ δαπάνης πολλῶν γινομένη εὐωχία. ἀλλαχοῦ δὲ ἔρανος καλεῖται ἡ ἀπὸ τῶν συμβαλλομένων εἰσαγωγὴ εἴτε συναγωγή, καὶ λέγεται ἐκ τοῦ συνέρασθαι, καὶ συμφέρειν ἕκαστον. ἐξ ὁμοιότητος δὲ καὶ τὴν ἁπλῶς εἰσφορὰν δηλοῖ, ὡς ἐνταῦθα. ὁ λόγος, ἐπειδὴ γάρ μοι ταύτης τῆς κοινῆς τῶν χρημάτων ἀπάν-

G

των εἰσφορᾶς μέρος ἔχειν. καὶ γὰρ ἄνδρας εἰσφέρω πρὸς τὰς στρατείας, ὑφ' ὧν τῶν πολεμίων τὰ χρήματα πορίζεται. Ἐκ τῶν Μηδικῶν.] ἐγένετο ἐπὶ τῶν Μηδικῶν ψήφισμα, ὥστε ἕκαστον κατὰ δύναμιν συμβάλλεσθαι εἰς τὰ κοινὰ χρήματα. ταῦτα δ' ἔταξεν Ἀριστείδης δοῦναι τοῖς συμμάχοις εἰ τοῖς βαρβάροις πολεμοῖεν. Σ. Ἆρα γρυκτόν ἐστιν ὑμῖν;] τουτέστιν, ἆρα γρύξαι ὀφείλετε; ἢ παρρησίαν ἄγειν; Σ. Ἀψήκτῳ κοθόρνῳ.] ἀνομμάτῳ, σκληρῷ, ἀμαλάκτῳ ὑποδήματι πατάξω τὴν γνάθον. Σ. ἄλλο ἀστλεγγικὸν, καὶ τὸ ψήκτρον, ὃ δηλοῖ τὸ καταμάσσειν, τὸ τρίβειν, τὸ ξύειν. κόθορνος δέ, ὑπόδημα ἀμφοτέροις τοῖς ποσὶ πεποιημένον, ὃ καὶ ἀνδράσι καὶ γυναιξὶ ἐφαρμόζει. ὅθεν καὶ οὕτως ἐκαλεῖτο Θηραμένης Ἀθηναῖος ῥήτωρ, μαθητὴς Προδίκου τοῦ Κείου. εἴρηται δὲ ἐπὶ τοῦ στρεφομένου συνεχῶς. τοῖς γὰρ καὶ τοῖς τριάκοντα συνίστατο, καὶ τῷ πλήθει. Σ.

Τοῦτ-

Ταῦτ' οὐχ ὕβρις.] ὁ Πρόβουλος κατ' αὐτῶν τὰς τῶν γυναικῶν λοιδορείας, καὶ ἀνυπερμενήτους ὕβρεις βαρέως φέρων, ὡς μεμφόμενος ταῦτα λέγει. Εἶτα οἱ τῶν ἀνδρῶν καὶ τῶν γυναικῶν χοροὶ, ἀλλήλους λοιδοροῦσι, καὶ δὴ καὶ βαρείας ἀπειλὰς κατ' ἀλλήλων χέουσι.

CHR. Τοὔρανου γὰρ.] Caue de cœlo intelligas. Est enim pro τοῦ ἐράνου. Sic autem vocat τὴν ἐκ κοινοῦ ἑστίασιν, & εἰσφοράν. Latini Collectam, Symbolum, Contributionem, munus. Postea enim vocat, ἔρανον παππῷον quod quid sit explicatur apud Suidam his verbis, ἐψηφίσατο ἐπὶ τῶν μηδικῶν (sic autem Aristot. in Polit. dixit τὰ μηδικὰ) ψήφισμα, ὥστε ἕκαστον κατὰ δύναμιν συμβαλεῖν εἰς τὰ κοινὰ χρήματα, ταῦτα δὲ ἔταξεν Ἀριστείδης δοῦναι τοῖς συμμάχοις οἳ τοῖς βαρβάροις πολεμοῖεν. Quibus verbis intelligitur, temporibus belli Medici scitum fuisse, vt in ærarium conferret vnusquisque pro facultate certam pecuniam quæ iussu Aristidæ tribueretur socialibus & auxiliaribus copiis quæ barbaros bello infestarent. Ἆρα γρυκτ.] Id est ἆρα γρύξαι ὀφείλετε ἢ παρρησίαν ἄγειν; An, inquit, mussandi causam habetis aut liberius loquendi? Ἀψήκτῳ πατάξω.] Verberabo, inquit, genas tuas duro calciamento. est enim ἄψηκτον, σκληρὸν & ἀμάλακτον.

ΧΟ ΓΕ. Ἀλλὰ τὴν ἐξωμίδ' ἐκδυώμεθ' ὡς τὸν ἄνδρα δεῖ
Ἀνδρὸς ὄζειν εὐθύς· ἀλλ' οὐκ ἐντεθριῶσθαι πρέπει.
Ἀλλ' ἄγετε λευκόποδες
Οἵπερ ἐπὶ Λειψύδριον
Ἤλθομεν ὅτ' ἦμεν ἔτι
Νῦν δεῖ
Νῦν ἀναβῆσαι πάλιν
Κἀναπτερῶσαι
Πᾶν τὸ σῶμα κἀποσείσασθαι
τὸ γῆρας τόδε.
Εἰ γὰρ ἐνδώσει τις ἡμῶν ταῖσδε κἂν σμικρὰν λαβήν
Οὐδὲν ἐλλείψουσιν αὗται λιπαρᾶς χειρουργίας.
Ἀλλὰ καὶ ναῦς τεκτανοῦνται, κἀπιχειρήσουσ' ἔτι
Ναυμαχεῖν καὶ πλεῖν ἐφ' ἡμᾶς ὥσπερ Ἀρτεμισία.
Ἢν δ' ἐφ' ἱππικὴν τράπωνται, διαγράφω τοὺς ἱππέας.
Ἱππικώτατον γάρ ἐστι χρῆμα κἄποχον γυνή,
Κοὐκ ἂν ἀπολίσθοι τρέχοντος. τὰς δ' Ἀμαζόνας σκόπει
Ἃς Μίκων ἔγραψεν ἐφ' ἵππων μαχομένας τοῖς ἀνδράσι.
Ἀλλὰ τούτων χρῆν ἁπασῶν ἐς τετρημένον ξύλον
Ἐγκαθαρμόσαι λαβόντας τουτονὶ τὸν αὐχένα.

CH.S. Expedite exomidem exuamus, omnino virum
Qui vir est olere debet, nec decet circumtegi.
Verùm agite Lupipedes
Qui simul in Lipsydrium
Venimus alacriter
Nunc est
Rursum opus pubescere,
Totumq; corpus
Tollere altè, & hanc senectæ
Sarcinam ponere.
Quippe si quis vel pusillam fœminis ansam dedit
Nil remittent impudentis postmodum ferociæ,
Quin statim instruéntque classem, séq; mox ad prælium
Comparabunt nauigantes instar Artemisiæ.
Sin equestris cura pugnæ, Trossulos nihil moror,
Namque equis perita gaudet, inhiltque firmiter
Fœmina, haud cursu mouetur: non vides Amazonas
Quas Micon equis sedentes pinxit, & contra viros
Prœliantes fortiter. Quid multa? ceruix omnium
Fœminarum perforato est vincienda stipite.

BISETVS. Τὴν ἐξωμίδα.] ἐξωμίς, χιτὼν ὁ μονόχειρ, καὶ ἱμάτιον. τὴν γὰρ ἑκατέρου χρείαν παρεῖχε. καὶ χιτὼν μὲν, διὰ τὸ ζώννυσθαι. ἱμάτιον δὲ, ὅτι τὸ ἕτερον μέρος ἀνεβάλλετο. ... καὶ οἱ Κωμικοὶ ὅτε μὲν, ἐνδύεσθαι, ὅτε δὲ, ἀναβάλλεσθαι. Ἡσύχιος. ἄλλως. ἐξωμίς, χιτὼν ... ἐπὶ ... τοὺς βραχίονας, εὐτελὴς καὶ ἐξωμὶς, ἐσθὴς κωμική ἐστι δὲ χιτὼν λευκὸς, ἄσημος κατὰ τὴν ἀριστερὰν πλευρὰν ῥαφὴν οὐκ ἔχων. καὶ ἡ δὲ ἐξωμὶς ... καὶ χιτὼν ἑτερομάσχαλος. Πολυδεύκης. Ἐντεθριῶσθαι] μεταφορικῶς εἶπεν, ἀντὶ τοῦ ἐντετυλίχθαι ἀπὸ τοῦ ... ματος, ὃ ἐν τοῖς φύλλοις τῆς συκῆς εἰλεῖται ἃ λέγεται θρῖα. περὶ τούτου τοῦ σκευάσματος προείρηται ἐν Ἱππεῦσι. Λυκόποδες] οὕτως ἐκάλουν τοὺς τυράννων δορυφόρους. τοὺς γὰρ ἀκμάζοντας τῶν οἰκετῶν ἐπὶ τοῦ σώματος φυλακὴν εἶχον. λυκόποδες δὲ ἐκαλοῦντο ὅτι διὰ παντὸς εἶχον τοὺς πόδας λυκοῖς δέρμασι κεκαλυμμένους, ὥστε μὴ ... ἐκ τοῦ ... ἢ διὰ τὸ ἔχειν ἐπὶ τῶν ἀσπίδων λύκον. ἐνταῦθα δὲ Ἀριστοφάνης τοὺς Ἀλκμαιωνίδας φησίν. Οὗτοι γὰρ πόλεμον ἀράμενοι πρὸς Ἱππίαν τὸν τύραννον, καὶ τοὺς Πεισιστράτου υἱεῖς, ἐτείχισαν Λειψύδριον τὸ ὑπὲρ Πάρνηθος. εἰς ὅπερ συνῆλθόν τινες τῶν ἐκ τοῦ ἄστεος, ὥς φησιν Ἀριστοτέλης ἐν Ἀθηναίων πολιτείᾳ. Σ. ἄλλως. Λυκόποδες, οἱ Ἀλκμαιωνίδαι. οἱ μὲν τινες διὰ τὴν τῶν ποδῶν λευκότητα, (οἱονεὶ λευκόποδες) ... γὰρ ἀεὶ ὑποδεδεμένοι. Ἡσύχιος. Ἐπὶ Λειψύδριον] Λειψύδριον χωρίον ὑπὲρ τῆς Πάρνηθος, ὃ ἐτείχισαν οἱ φυγάδες τῶν τυράννων, οἱ δὲ Ἀλκμαιωνίδαι ... ὑπὸ τῶν περὶ Πεισίστρατον, ... Αἰαῖ Λειψύδριον προδωσέταιρον, οἵους ἄνδρας ἀπώλεσας μάχεσθαι ἀγαθούς τε καὶ εὐπατρίδας, οἳ τότ' ἔδειξαν οἵων πατέρων ἦσαν. Εὐσταθ...

Ναῦς ἀναβῆναι.] χρηστήριον ἴσως ἀναβῆναι. ἀναβῶν. ἐκ A δευτέρου ἀνθεῖν. νεάζειν. ἀναπτεροῦν δὲ, μετέωρον ποιεῖν. Ἡσύχιος. καὶ ἀναπτεροῦσθαι, χαυνοῦσθαι ἐλπίσιν ὁρμᾶν. καὶ ἀνεπτερῶσθαι τὴν ψυχὴν, τὸ ἀναπεπτάσθαι. Σ. ἀποσοβεῖσθαι δὲ, ἀπορρίπτεσθαι. Ἡσύχιος. Χειρουργίας.] Σουΐδας, χειρουργίας, τόλμας. λείπει δὲ, ὡς συνήθους. παρὰ τὸ λίαν παρεῖναι. τινὲς δὲ χειρουργίαν ἀντὶ τῆς λειτουργίας λαμβάνουσι, καὶ τὴν λειτὴν, εἴτε δημοσίων πραγμάτων διοίκησιν οὕτω καλοῦσι. ὡς καὶ ἐν τῷ δημοσίῳ. λειτουργία κατὰ τὸν Σουΐδαν κυρίως ἡ δημοσία ὑπηρεσία. παρὰ τὸ λειτὸν, τὸ δημόσιον, καὶ τὸ ἔργον. B Τεκταινομένου.] ὁ μέλλων τὸ τεκταίνομαι. τὸ κατασκευάζω. Ωσπερ Ἀρτεμισία] αὕτη ἐπείσευσε κατὰ Περσῶν. δι' ἣν εἶπεν ὁ βασιλεὺς ὡς οἱ ἄνδρες, γυναῖκες γεγόνασιν, αἱ δὲ γυναῖκες, ἄνδρες. Ἀρτεμισίαι δὲ δύο γεγόνασι Καρικαὶ γένος, βασιλίδες ἀμφότεραι. ὧν ἡ μὲν πρώτη γέγονε κατὰ Περσικὰ, ἡ δὲ νεωτέρα, ἧς καὶ Δημοσθένης ἐν τῇ περὶ τῆς Ῥοδίων ἐλευθερίας μνημονεύει, θυγάτηρ μὲν ἦν Ἑκατόμνω, γυνὴ δὲ, καὶ ἀδελφὴ Μαυσώλου. Σ. Διαγράψω τοὺς Ἱππίας.] διαγράφειν, ἐντεῦθεν, διαζύειν, ἀπαλείφειν, ἀκυροῦν, ἀποδοκιμάζειν. Ἡσύχιος. Ἱππικώτατον γάρ.] παίζει ὁ ποιητὴς τὰς γυναῖκας ὡς εὐπειφόρους πρὸς τὰς συνουσίας, καὶ τοὺς ἀφροδισιασμοὺς αἰνιγματικῶς σκώπτει. ἱππικὴ γὰρ γυνὴ, ἡ τῆς ἱππικῆς ἔμπειρος, καὶ ἡ ἱππεύεσθαι, τουτέστι βινεῖσθαι ἐπιτήδειος, καὶ πρὸς τὴν ἀφροδίτην κατωφερής. καὶ ἐν τοῖς ἄνω τοὺς ἄνδρας τῶν γυναιξὶν ὡς ἵπποις χρῆσθαι πρὸς τὰς συνελεύσεις εἶπεν. ὅμοιον δὲ τούτοις καὶ τὸ ἔποχον. ἔποχος γὰρ λέγεται καὶ ὁ ἐπὶ τοῦ ἵππου, ἢ ἐπὶ τοῦ ὄχου. εἴτε ὄχος, ἤγουν ὀχήματος, καὶ ἅρματος τὸ ἄλλον ἔχων, εἴτε φέρων, καὶ ὁ ὀχούμενος, καὶ φερόμενος. D μεταφορικῶς οὖν, καὶ αἰνιγματικῶς καὶ τοῦτο πρὸς τὰ ἀφροδίσια ἀναφέρεσθαι δύναται. ἵνα δὲ τὸ πρᾶγμα εἰς τὸ βέλτιον λάβωμεν, οὕτως ἂν εἴη τούτων ὁ νοῦς, αἱ γὰρ γυναῖκες τῆς ἱππεύειν, καὶ τῆς ἱππικῆς, καὶ τὸ ὀχεῖσθαι, καὶ τοῖς ὀχήμασι φορεῖσθαι. καὶ ἐξ ὀχημάτων, καὶ πολεμικῶν ἁρμάτων πρὸς τοὺς ἀντιπάλους μάχας συνάπτειν ἱμείρονται, ἐπιτηδειόταται. διὸ καὶ δεινόταται, καὶ φοβερώταται. εἰς ἀξιοπιστίας χάριν τὸ τῶν Ἀμαζόνων πολεμικώτατον γυναικῶν παράδειγμα ἐπιφέρεται. κἄποχον δὲ, τὸ πλῆρες, καὶ ἔποχον. γυνὴ δὲ ἔποχος λεχθεῖσα, ἡ καλῶς, καὶ E ἐμπείρως τῷ ὀχήματι φερομένη, καὶ μὴ ῥᾳδίως ἐκ τούτου ῥᾳδίως κινεῖσθαι, καὶ καταβάλλεσθαι. Κοὐκ ἀναπαύσεσθαι τρέχοντος.] ταῦτα λειπτέον οὕτω, καὶ τούτου τοῦ χρήματος τῆς γυναικὸς τρέχοντος, ἀντὶ τοῦ, καὶ τῆς γυναικὸς ἅπαξ τρεχούσης, μὴ ἔξεστι ῥᾳδίως αὐτὴν ἀνακαλεῖσθαι, ὥστε ἀναπαύεσθαι, καὶ ἀναστρέφεσθαι. καὶ ἐπαναχωρεῖν ἐκεῖσε, ὅθεν τρέχειν ἤρξατο. ἄλλως. μὴ εὐχερές ἐστι τὸ γυναικὸς ὀχουμένης, καὶ τρεχούσης τὸν δρόμον κωλύειν, καὶ κατέχειν οὕτως, ὥστε ἐπαναστρέφεσθαι, καὶ ἐπανελθεῖν ἐκεῖσε ὅθεν τὸν δρόμου τὴν ἀρχὴν ἐποιήσατο. καὶ τοῦτο ἀμ- F φιβολίαν ἔχει. καὶ γὰρ πρὸς τὰς λίαν τῶν γυναικῶν ἀσελγείας, καὶ ἀκολασίας περὶ τὰς συνουσίας ἀναφέρεσθαι δύναται, ἃς οὐ ῥᾴδιον κατέχειν, καὶ παύειν. τινὲς δὲ καὶ ἀπολαῦσαι χρηστέον εἶναι, καὶ τοῦτο λαμβάνουσιν οὕτω. καὶ τῆς γυναικὸς τρεχούσης μὴ ἔστιν ἀπολαῦσαι. οὕτω τοῦ ἐποχεῖσθαι ἔμπειρός ἐστιν. ὥστε ὅταν συντόνως ἐπὶ τῶν ὀχημάτων φορουμένη τρέχει, μηδαμῶς δεῖ τοῦτο ἐκεῖθεν ποιεῖν, καὶ ἀπολαύεσθαι. συνιέναι δὲ, ὅπως ἂν τὸ πρᾶγμα, καὶ ἡ ἔννοια ληφθείη, ταῦτα σύνταξιν ἐλλιπῆ, καὶ G κακοστροφωτέραν ἐν ἄνω μεγάλας ἀσαφείας ἔχουσιν. Ας Μίκων ἔγραψεν.] τούτου τοῦ Μίκωνος, καὶ τὰς ὑπ' αὐτοῦ ποικιλθείσας γραφὰς, τῶν Ἀμαζόνων πρὸς Ἀθηναίους μαχομένων, Παυσανίας ἐν τοῖς Ἀττικοῖς μνημονεύει. Τετρημένον ξύλον.] τοῦτο εἶδος δεσμωτηρίου. ὡς καὶ ἐν τῷ ἑξῆς δῆλον. περὶ δὲ τούτου, καὶ ἄνω προείρηται, ἐν τῷ τῶν πρώτων ἐξηγήσει, εἰς τὸν Πλοῦτον.

CHR. Ἀλλὰ τὴν ἐξωμίδα.] Erat tunicæ & pallij vicem ἡ ἐξωμὶς, id est, χιτὼν & ἱμάτιον, Nam & indui poterat & superindui, Puto fuisse quod Gallo-franco vocamus Idiotismo *Souquenie*. Itaque rectè vocat Hesychius χιτῶνα δουλικὸν, Sed locus apud illum Grammaticum, mihi videtur corruptus & emendandus. Sudas quidem non satis sibi constat cùm ait esse χιτῶνα ἐλευθέριον, & mox εὐτελῆ. Εἰς θρῖα ἐνθρυῶσθαι ὥσπερ.] Metaphora sumpta à cibis vel edulibus quæ circumuoluta foliis ficus quæ θρῖα dicuntur, Hinc verbum ἐνθρυῶσθαι pro ἐνσκευάσθαι, & ἐπειλικέχθαι. Galli dicimus *enueloper*. Habes hanc vocem in Acharnensibus. Ἀλλ' ἄγετε λυκόποδες.] Lycopodes dicebantur stipatores Regij, & serui grandiores (quos Franci & Itali vocant *Estaffiers*). quia pedes haberent amictos pellibus lupinis (ne vrerentur ὑπὸ τοῦ ψύχους vt ait Sudas, sed verbis vt puto corrigendis) aut quia Insigne lupi gerebant in clypeis. Sed hoc loco Aristophanes intelligit Alcmæonidas qui bellum inferebant Hippiæ tyranno & Pisistrati filiis, munimentúmque habebant τὸ λειψύδριον τὸ ὑπὲρ πάρνηθος ὡς ὑπὲρ συνῆλθόν τινες τῶν ἐκ τοῦ ἄστεος, ὥς φησιν Ἀριστοτέλης ἐν Ἀθηναίων πολιτείᾳ, vt idem ait Sudas. Dictum autem Lipsydrion mons Atticæ à defectu aquæ, quem muniuerat Alcmæon. Eustathius in lib. 4. Iliad. huius historiæ meminit, cùm ait ἄργος πολυδίψιον vocari posse λειψύδριον & ab Agamemnone puteos cauatos in Aulide & Attica: scoliúmque affert quo laudabantur Alcmæonidę qui in Lipsydrij obsidione occubuerant, Id tale est, αἲ αἲ λειψύδριον προδοσέταιρον, οἵους ἄνδρας ἀπώλεσας μάχεσθαι ἀγαθούς τε καὶ εὐπατρίδας. vt Prouerbium hinc manarit Pugna ad Lipsydrium, Scribitque Hesychius Alcmæonidas λυκόποδας vocatos à quibusdam propter pedum albedinem quia semper vincti erant. Ἦλθομεν ὅτ' ἦμεν ἔτι] Puto legendum ἦμεν & ἀνηβῆσαι, quo modo legitur & in Veneta editione. Est autem ἀναπτερῶσαι μετέωρον ποιῆσαι. Λειπαρὰς χειρουργίας] Nihil, inquit, remittēt mulieres assiduę operæ & audaciæ. est enim hic λιπαρὸν, προσεχὲς, dictum παρὰ τὸ λίαν παρεῖναι, Legendum porrò ἐπιλείψουσι in fut. Quod autē ait de Artemisia, innuit proculdubio nobile illud stratagema quod ausa est regina illa Cariæ cū in portu suo captas Rhodiorū naues ascendit, & ita Rhodū victrix ingressa est, quam historiam luculenter describit Vitruu. lib. 2. Διαγράψω τοὺς ἱππίας] i. improbabo & expūgam & delebo. Dicitur etiā περιγράφειν in Iten. qua ratione dixit M. Tull. circumscribere magistratu. Κἄποχον γυνή] Pro καὶ ἔποχον quo nomine intelligitur, qui firmiter inuehit equo. Sed suspicor adludere Comicum ad ὀχείαν vel συνουσίαν, nam ὀχεύειν etiam est βινεῖν, vnde illa ἵππος, πῶλος, ὀχεύς. Equū sūt per metaphoram ad obscœna tralatum testabitur ille versus, Hectoreo quoties sederat vxor equo. Sanè Hesychius ex eo (vt opinor) mœchos vocat φιλίππους. Κοὐκ ἀναπολεῖσθαι τρέχοντος] Puto legendū ἀναπολεῖται, & interpretor. Non versatur currēte equo. sed quid dissimulē hic mihi nec lucere nec liquere? Expecto donec me labātem regat & subleuet felicius ingenium. Lego autem ἔγραψ' ἐν ἵπποις non ἔγραψεν. vt metrum sit rectum. Τετρημένον ξύλον.] Sic in Equitibus περὶ σὲ δήσω τῷ ξύλῳ puta ποδοστράβῃ, quæ numella fuit.

Χ.Γυν. Εἰ νὴ τὼ θεὼ με ζωπυρήσεις
Λύσω τὴν ἐμαυτῆς ὗν ἐγὼ δὴ. κἀὶ
Ποιήσω τήμερόν
τοὺς δημότας βοᾶν σ' ἐγὼ πεκτούμενον.
Ἀλλὰ χ' ἡμεῖς ὦ γυναῖκες θᾶττον ἐκδυώμεθα,
Ὡς ἂν ὄζωμεν γυναικῶν αὐτοδὰξ ὠργισμένων.
Νῦν πρόσιτ' ἐμοί τις ἴτω
Μήποτε φάγῃ σκόροδα,
Μὴ κυάμους μέλανας.
Ὡς εἰ
Καὶ μόνον κακῶς ἐρεῖς,
Ὑπερχολῶ γάρ,
Αἰετὸν τίκτοντα κάνθα-
ρός σε μαιεύσομαι.
Ἀλλ.Γ. Οὐ γὰρ ὑμῶν φροντίσαιμ' ἂν ἣν ἐμοὶ ζῇ Λαμπιτὼ
Ἥ τε Θηβαία φίλη παῖς εὐγενὴς Ἰσμηνία.
Οὐ γὰρ ἔσται δύναμις οὐδ' ἢν ἑπτάκις σὺ ψηφίσῃ
Ὅστις ὦ δύστην' ἀπήχθου πᾶσι καὶ τοῖς γείτοσιν.
Ὥστε κἀχθὲς τῇ Ἑκάτῃ ποιοῦσα παιγνίαν ἐγώ

A *CH.M. Si bilem mihi adepol mouebis*
Emittam meam ipsa porcam in te,
Et hac faxo die, vt
Clames tribules vellicatus proximos.
Verùm age, & nos exuamur o sodales fœmina
Fœminas, vt sentiant nos oppidò irritabiles
Nunc veniat huc aliquis,
B *Non comede allia post,*
Sed neque nigrum fabulum.
Quin si
Verba dixeris mala
Vt ira turget
Alitum regi tibi obstetrix ero cantharus.
AL.M. Nam nihil vos ipsa curem, si valens est Lampito
C *Nobilisq́ nata Thebis chara alumna Ismenia.*
Nam potestas defutura est, septies sciscas licet
Quum, miser, te prorsus omnis oderit vicinia,
Quin heri dum festa Dinæ ludicra instauro infera.

BISETVS. Ζωπυρήσεις] ἐνερεθίσεις. ζωπυρεῖν δὲ κυρίως ἐστὶ τὸ ἐκ μικροῦ σπινθῆρος φυσῶντα μεγάλην φλόγα ἀνάψαι. Λύσω τὴν ἐμαυτῆς ὗν] τί τοῦτο σημαίνει, ἄδηλον. παροιμιακῶς μέν τοι λέγεσθαι φαίνεται. καὶ εἰ τότε γυναιξὶν ἡ παροιμία ἥρμοζε, ἡμῖν νῦν ἄγνωστός ἐστιν. ἴσως δὲ ἡ γυνὴ παίζει ἐν τῷ δὲ τῷ ὀνόματι ὗς, ὅπερ παρὰ τοῖς Κωμικοῖς, μάλιστα δὲ παρὰ τῷ Ἀριστοφάνει, ἀντὶ τοῦ γυναικείου αἰδοίου, ὡς καὶ χοῖρος, λαμβάνεται. ἀπειλητικῶς οὖν, γέλωτος χάριν νῦν ταῦτα λέγειν δοκεῖ, ἀπὸ μεταφορᾶς τῶν ἐν τῇ ἑαυτῶν οἰκίᾳ, ἢ σταθμοῖς ἐχόντων τινὰς ἀγρίους καὶ κακούργους κύνας, ἢ ἄλλα τινὰ βλαπτικὰ
E τετράποδα, ἢ θηρία, ἅπερ ἐὰν ἀφιῶσι, τοὺς ἐντυχόντας σφόδρα βλάπτουσιν. Ἄλλως. τοῦτο ἀπὸ μεταφορᾶς τῶν θηρευτῶν, οἳ πρὸς τὴν θήραν ἐρχόμενοι, τοὺς κύνας τὸν τράχηλον χοινίῳ δεδεμένους ἄγειν εἰώθασιν. ὅπως αὐτοῖς ἐν καιρῷ χρῆσθαι καλῶς ἔχοιεν. καὶ ὅταν τοῖς θηρίοις ἐντύχωσι, τότε τοὺς κύνας λύουσι, καὶ τῶν δεσμῶν ἐλευθερωθέντας αὐτοῖς ἐπαφιᾶσιν, ἵν' αὐτὰ ταχέως τοῖς ὀδοῦσι συναρπάσαντες αἱρῶσι. τούτων οὖν ὁ νοῦς οὗτος εἶναι δοκεῖ. Νὴ τὼ θεὼ εἴ με ἐρεθίσεις, καὶ πρὸς ὀργὴν κινήσῃς, ἐγὼ τὴν ὕβριν ταύτην αὐτῇ σήμερον ἐκδικήσω, καὶ δεινῶς σε τιμωρήσω, πᾶσαν χολὴν κατά σου χέουσα, καὶ τὴν ἐμὴν ὀργὴν ὡς
F ὗν ἄγριον, καὶ δεινὸν θηρίον λύσω, καὶ σοὶ ἐπαφήσω, τοῦτέστι παντὶ τρόπῳ σε κακώσω, καὶ ὥσπερ τὰ θηρία ὑπὸ τῶν θηρευτήρων ἠρεθισμένα τοὺς αὐτοὺς πάσῃ δυνάμει διαλυμαίνονται, οὕτω καὶ σύ σε τήμερον διαθήσομαι. Βοᾶν] καλεῖν, βοᾶν. πεκτούμενον δὲ, τιλλόμενον, ξυόμενον, μεταφορικῶς. καὶ πεκτεῖν, κτενίζειν, τίλλειν, κείρειν, ξαίνειν. Ἡσύχιος αὐτοδὰξ, αὐτοῖς τοῖς ὀδοῦσι, πάνυ, παραχρῆμα. Σ. Νῦν πρόσιτ' ἐμοί.] νῦν πρόσειμι, προσέρχομαι, τῶν ἀντογωνιζομένων. ἴτω τίς. ἄγε δεῦρό τις ἐλθέτω. καὶ μάχην πρὸς ἐμὲ συναπτέτω. ἢ καὶ, νῦν πρὸς ἐμέ ἴτω τις, ἤγουν. νῦν πρὸς ἐμέ τις ἴτω, ἐλθέτω δεῦρο χωρείτω μαχησόμενος. ὅπως ὑπ' ἐμοῦ φονευθεὶς μή ποτε φάγῃ μήτε σκόροδα, μήτε μέλανας κυάμους. Ἐν τισι βιβλίοις γέγραπται οὕτω, Νῦν πρός μ' ἴτω τίς. Ὑπερχολῶ γὰρ]
D ὑπὲρ τὸ μέτρον χολοῦμαι. σφόδρα χολοῦμαι. Αἰετὸν τίκτοντα.] παροιμία ἐπὶ τῶν ἡττόνων, οἳ κρείττοσι δολίως ἐπιχειροῦσιν, ὥσπερ καὶ ὁ μῦθος φέρει περὶ τοῦ κανθάρου τῷ αἰετῷ πάλαι ἐπιχειρήσαντος τούτου δὲ καὶ Ἀριστοφάνης ἄνω ἐν τῇ Εἰρήνῃ μνείαν ἐποιήσατο. καὶ τῷ Αἰσώπῳ τὸν δὲ τὸν μῦθον ἀναφέρεται. Μαιεύσομαι] μαῖαι καλοῦνται αἱ πρεσβύτεραι γυναῖκες, καὶ αἱ νεώτεραι τὴν ἡλικίαν τὰς ὠδινούσας, καὶ τικτούσας παρεστῶσαι καὶ τὸ ἔργημα μαιεύεσθαι δηλοῖ αὐτὴν τῶν τοιούτων γυναικῶν τὰς τικτούσαις παρεστῶσαν πρᾶξιν. μεταφορικῶς δὲ, τὸ ζητεῖν, καὶ
E ἐρευνᾶν. Ἀπήχθου] ἀπήχθετο. συγγίνεται, μισεῖται. παιγνίαν δὲ, ἑορτήν. Σ.

CH. Λύσω τὴν ἐμαυτῆς ὗν] Si inquit me irritassis (est enim hic ζωπυρεῖν ἀνεγείρειν) ego suem meam laxabo. Puto respicere Prouerbium ὗν ὀρίνειν, nisi subturpiculum hic intelligis sub nomine suis. est autem πεκτούμενον, ξαινόμενον, τιλλόμενον. Gallicus Idiotismus sic pectendi verbo vtitur, cùm alicui minatur. Αὐτόδαξ.] Vtitur in Irena αὐτόδαξ τρόπον, hic accipe pro παραχρῆμα vel πάνυ vt scribit Hesychius. Νῦν πρόσιτ' ἐμοί τις ἴτω.] Edi-
F tio Veneta habet πρόσειμι, malim πρὸς ἐμὲ duabus vocibus: quamuis nec illud caret bono sensu. Paulò post pro ὥσεὶ lege ὡς εἰ. Quod autem se Cantharum fore interminatur, referendum hoc ad Apologum Æsopi. Οὐ γὰρ ὑμῶν.] In Veneta editione legitur ὑμῶν, sed nihil puto mutandum: Hoc enim vult alia illa mulier, de nobis, inquit, solicita esse desinam, si viuit mihi Lampito illa inquam Spartana. Τῇ Ἑκάτῃ ποιοῦσα παιγνίαν] Propter me-
G trum lege τῇ 'κάτῃ, est autem παιγνία ἑορτή. Xenophon dixit σπουδῇ γέλωτι καὶ παιγνίᾳ. Hic ποιεῖν παιγνίαν est festum agere ludicrum & puerile, propterea ait se aduocasse ex vicinis tribulibus sociam ταῖς παισὶν optimam puellam, Anguillam puta ex Copaide lacu Bœotiæ.

Τοῖσι παισὶ τὴν ἑταίραν ἐκάλεσ' ἐκ τῆς γειτόνων | A Fortè pusillis sodalem accersi de proximis
Παῖδα χρηστὴν κἀγαθὴν ἐκ Βοιωτῶν ἔγχελυν. | Optimam puellulam anguillam velut Copaidas:
Οἱ δὲ πέμψειν οὐκ ἔφασκον διὰ τὰ σὰ ψηφίσματα. | Séque missurum negarunt vestra propter scita, quæ
Κοὐχὶ μὴ παύσησθε τῶν ψηφισμάτων πρὶν αὖ | Vos senes nunquam rogare desinetis antequam
Τοῦ σκέλους λαβών ὑμᾶς τις ἐξεταχηλίσῃ φέρων. | B Crure sit qui vos prehenso præcipes pessumduis.

Bisetus. Κἀγαθὴν ἐγχέλυν] τὸ πλῆρες, καὶ ἀγαθὴν. νῦν δὲ γελοίως χαίρει, τὴν ἔγχελυν, παῖδα χρηστὴν καὶ ἀγαθὴν καλῶν.

CHR. Καμπτὴν ἐκ Βοιωτῶν ἔγχελυν.] Etiam in Veneta editione habes hoc scripturæ vitium καμπτήν. Quod, quid sit, nescio. Præterea cùm non constet suis pedibus versus Trochaicus, non dubitaui versum fulcire correctione quam puto ἀναμφισβήτητον, & legere κἀγαθήν. Nam à Copaide palude optimæ anguillæ, vt & in Irena antea vidimus. Paulò post pro λαβὼν ὑμᾶς, malim ὑμᾶς.

C

ΓΥΝΗ ΤΙΣ, ΛΥΣΙΣΤΡΑΤΗ, Αλλη Γυνή, Αλλη, Χορὸς Γυναικῶν.

MVLIER QVÆDAM, LVSISTRATA, ALTERA MVLIER, Altera, chorus mulierum.

Bisetus. Μία τοῦ γυναικείου χοροῦ, τὴν Λυσιστράτην ἐκ τῆς ἀκροπόλεως ἐξερχομένην, καὶ σκυθρωπὸν οὖσαν ὁρῶσα, ταῦτα λέγει. Ταύτῃ δὲ ἡ Λυσιστράτη πολλὰ τῆς γυναικείου ἀκολασίας γελοῖα παρέχει ἐγκλήματα μὴ σφοδρᾶς μέμψεως διηγεῖται. ἐν τούτῳ δὲ, πολλαὶ τῶν αὐτῶν γυναικῶν ἀτάκτως, καὶ ἀκόσμως ἐξέρχονται, διαφόρως τῆς αὐτῶν ἐξόδου, καὶ ἀπελεύσεως, καὶ οἰονεὶ λειποταξίας προφάσεις οὐδενὸς ἀξίας, καὶ ματαίας προφέρουσαι. D

Γυν. Ἄναασα πράγους τοῦδε καὶ βουλεύματος, | MVL. Sed ô rei huius auctor atque consili.
Τί μοι σκυθρωπὸς ἐξελήλυθας δόμων; | Quid vultuosa & tristis egressa es foras?
Λυ. Κακῶν γυναικῶν ἔργα καὶ θήλεια φρὴν | LVS. Muliebris animus, quæq; designant mala
Ποιεῖ μ' ἄθυμον περιπατεῖν τ' ἄνω κάτω. | E Sus deq; agunt me concitam ægritudine.
Αλλ. Γυν. Τί φῄς; τί φῄς; | AL. M. Quid inquis? hem.
Λυ. Ἀληθῆ, ἀληθῆ. | LVS. At hæc vera verè.
Αλλ. Γυν. Τί δ' ἐστὶ δεινὸν; φράζε ταῖς σαυτῆς φίλαις. | AL. Fac vt sciamus nos amicæ quicquid est.
Λυ. Ἀλλ' αἰσχρὸν εἰπεῖν, καὶ σιωπῆσαι βαρύ. | LVS. Hoc turpe dictu est, & tacere res grauis.
Αλλ. Γυν. Μή νύν με κρύψῃς, ὅ τι πεπόνθαμεν κακόν; | AL. Quod nos malum vrget? quæso ne celaueris.
Λυ. Βινητιῶμεν ἡ βραχύτατον τοῦ λόγου. | F LVS. Pruris libido nostra, quid verbis opus?
Αλλ. Γυν. Ἰὼ Ζεῦ. | AL. M. Quirites!
Λυ. Τί Ζῆν' ἀϋτεῖς; ταῦτα δ' οὖν οὕτως ἔχει. | LVS. Quorsum quiritare? ista sanè vera sunt.
Ἐγὼ μὲν οὖν αὐτὰς ἀποσχεῖν οὐκέτι | Non est vt illas à viris auellere
Οἵα τ' ἀπὸ τῶν ἀνδρῶν. διαδιδράσκουσι γάρ. | Possim furentes, praui instruunt fugam.

Bisetus. Βινητιῶμεν.] βινητιᾶν, συνουσίας ὄρεξιν ἔχειν. συνουσίας ἐπιθυμεῖν. Η βραχύτατον τοῦ λόγου] ἀντὶ τοῦ, ἵνα διὰ βραχίστου λόγου πᾶν τὸ πρᾶγμα δηλώσω. ἵνα διὰ βραχυτάτων πᾶν τὸ πρᾶγμα συμπεράνω. αὐτὰς δὲ, ἐπιβοᾶς, ἐπικαλῇ. αὔω, τὸ ξηραίνω, καὶ τὸ φωνῶ, καὶ βοῶ. ὅθεν αὐτῶ, καὶ διαλύσει οὕτω, ἡ βοὴ, ἡ φωνή. καὶ τὸ ῥῆμα ἀϋτεῖν, φωνεῖν, βοᾶν, ἐπιβοᾶσθαι, ἐπικαλεῖσθαι. οἷα τε δέ, ἱκανή, δυνατή. οὐκ ἔτι δύναμαι αὐτὰς ἀπὸ τῶν ἀνδρῶν G ἀποσχεῖν, εἴτε παύειν αὐτὰς τῆς ἀνδράσι συνουσίας.

CHR. Βινητιῶμεν.] Quâ potuit breuius vel Attica simplicitate dignius morbi causam indicare? Non possis hanc breuiloquentiam Romano pede assequi, Nisi si dixeris Perpruriscimus, atque

dein

adeò addideris ex vnguiculis, quæ tamen tria verba, verbuli illius Græci ἔμφασιν non est vt exprimant: Sed bene quòd nupta verba non possunt A nisi rectè enunciari. Atque vtinam hominum nequitia ea non esset, vt statim intelligeret ὥσπερ (vt ait Æschylus) ἐξ αἰνιγμάτων.

Τὴν μὲν γὰρ πρώτην διαλέγουσαν τὴν ὀπὴν
Κατέλαβον, ᾗ τοῦ Πανός ἐστι ταὐλίον.
Τὴν δ' ἐκ τροχιλίας αὖ κατειλυσπωμένην.
Τὴν δ' αὐτομολοῦσαν. τὴν δ' ἐπὶ στρουθοῦ μίαν B
Ἤδη πέτεσθαι διανοουμένην κάτω
Εἰς Ὀρσιλόχου χθὲς, τῶν τριχῶν κατέσπασα.
Πάσας τε προφάσεις ὥστ' ἀπελθεῖν οἴκαδε
Ἕλκουσιν. ἤδη γοῦν τις αὐτῶν ἔρχεται.
Αὕτη σὺ ποῖ θεῖς; Γυν. οἴκαδ' ἐλθεῖν βούλομαι.
Οἴκοι γάρ ἐστιν ἔριά μοι Μιλήσια
Ὑπὸ τῶν σέων κατακοπτόμενα. Λυ. ποίων σέων; C
Οὐκ εἶ πάλιν; Γυν. ἀλλ' ἥξω ταχέως νὴ τὼ θεὼ,
Ὅσον διαπετάσασα ἐπὶ τῆς κλίνης μόνον.
Λυ. Μὴ διαπετάννυε, μηδ' ἀπέλθῃς μηδαμῇ.
Ἀλλ' ἐῶ ἀπολέσθαι τἄρια, ἣν τούτου δέῃ.
Ἀλλ. Γυν. Τάλαιν' ἐγώ. τάλαινα. τῆς ἀμόργιδος.
Ἣν ἄλοπον οἴκοι καταλέλοιπα. Λυ. αὕθ' ἑτέρα D
Ἐπὶ τὴν ἄμοργιν τὴν ἄλοπον ἐξέρχεται.
Χώρει πάλιν δεῦρο. Γυν. ἀλλὰ νὴ τὴν φωσφόρον
Ἐγὼ δ' ἀποδείρασ' αὐτίκα μάλ' ἀπέρχομαι.
Λυ. Μὴ μὴ ἀποδείρῃς. ἢν γὰρ ἄρξῃ τούτου σὺ
Ἑτέρα γυνὴ ταὐτὸ ποιεῖν βουλήσεται.
Ἀλλ. Γυν. Ὦ πότνι' Εἰλείθυι' ἐπίσχες τοῦ τόκου E
Ἕως ἂν εἰς ὅσιον μόλω 'γὼ χωρίον.
Λυ. Τί ταῦτα ληρεῖς; Γυν. αὐτίκα μάλα τέξομαι.
Λυ. Ἀλλ' οὐκ ἐκύεις σύ γε χθές. Γυν. ἀλλὰ τήμερον.
Ἀλλ' οἴκαδ' ἡμᾶς ὡς τὴν μαῖαν ὦ Λυσιστράτη
Ἀπόπεμψον ὡς τάχιστα. Λυ. τίνα λόγον λέγεις,
Τί τοῦτ' ἔχεις τὸ σκληρόν; Γυν. ἄρρεν παιδίον. F
Λυ. Μὰ τὴν Ἀφροδίτην οὐ σύ γ' ἀλλὰ χάλκεον.
Ἔχειν τι φαίνῃ κοῖλον. εἴσομαι δ' ἐγώ.
Ὦ καταγέλαστ' ἔχουσα τὴν ἱερὰν κυνῆν
Κυεῖν ἔφασκες; Ἀλλ. Γυν. καὶ κυῶ γε νὴ Δία.
Λυ. Τί δῆτα ταύτην ἔχεις; Γυν. ἵνα μ' εἰ καταλάβοι G
Ὁ τόκος ἐν πόλει, τέκοιμ' εἰς τὴν κυνῆν.
Ἐσβᾶσα ταύτην, ὥσπερ αἱ περιστεραί.

Primùm hanc foramen fortè quam pertunderet
Modò apprehendi, septa quà sunt Incubi,
Istámque tractim deuolutam è trochlea,
Et illam ad hostes transfugam: vnam in passere
Iam cogitantem conuolare infra, & domum
Inuadere Orsilochi, retraxi crinibus;
Domuitionis nempe prætextum trahunt
Quemcunque: & ista quærit hinc facessere.
Quò curris? hem tu? quóve abis? MVL. *domum peto,*
Lanæ mihi sunt nam domi Milesiæ
Vermes minuti quas secant. LVS. *Quid vermi nas?*
Potin' redire? MVL. *pol statim reuertero,*
Super cubili si modò has extendero.
LVS. *Nec in cubili extende, nec pedem hinc moue,*
Lanam perire, si tibi est vsus, finas.
AL. MVL. *Heu me misellam, cui seges byßi intus est*
Nec delibrata. LVS. *Rursus en tibi alteram*
Ad corticatam quæ facessit cannabin,
Reuortere huc. AL. MVL. *per Noctilucam, postquam ego*
Deglubsero illam, huc ocyus concessero.
LVS. *Deglubere auffer, quippe ad exemplum tuum,*
Idem alia iuris postulabit fœmina.
AL. MVL. *Lucina quæso, Diua partum sustine*
Ad tesqua donec templa sanctè accessero.
LVS. *Quid ista tu nugaris?* AL. MV. *Instat partio.*
LVS. *At non eras heri inciens.* AL. M. *hodie fui,*
Sed iam domum me quam citò Lysistrata
Ad obstetricem mitte. LVS *Honesta oratio*
Quid duri habes hic? AL. M. *Masculum infantem puta.*
LVS. *Haud tu quidem illum, per Cyprin, sed ferreum,*
Atque id videtur concauum, experiar modò:
O rem iocosam! caßidem sacram gerens
Vterum inquiebas ferre te. AL. M. *Et certè fero.*
LVS. *Cur hanc ferebas?* MVL. *partitudo vt si occupet*
In ciuitate, enixa fœtum congeram
In caßidem istam cen palumbes factitant.

BISETVS. Διαλέγουσαν.] διοικοδομοῦσαν, διορύττουσαν. Σ. ἄλλως. ἀναζοῦσαν, διοξύζουσαν, διακρίνουσαν. ὀπὴν δὲ, τὴν θυρίδα. διαλέγειν ὀπὴν, τὴν θύραν ἀνοίγειν. τινὲς δὲ διαλύουσαν χαλεπώτερον οἴονται. Πανὸς δὲ τ' αὔλιον.] τὸ αὔλιον. αὐλὴ κυρίως τόπος διαπνεόμενος, ὕπαιθρος πρὸ τῶν μεγάλων οἴκων. καὶ αὐλαὶ τὰ βασίλεια διὰ τὸ μεγάλας ἔχειν πρὸ τῶν οἴκων ὑπαίθρους τόπους, ὅθεν τὸ ἐπεισοδιακόν, αὔλιον προσπαροξυτόνως κατὰ τὸν Εὐστάθιον. νῦν δὲ κατὰ χρῆσιν κατὰ τὸ ἄντρον οὕτω καλεῖ. τινὲς δὲ, ἀντὶ τοῦ τὸ αὔλιον, ἢ τὸ αὔλιον, χαλεπώτερον λέγουσι, τὸ ἀπόλιον. καὶ τοῦτο βεβαιοῦσι, καὶ ἀξιόχρεων ἐγγυητὴν ὀνομάζουσι τὸν Παυσανίαν, ὃς ἐν τοῖς Αττικοῖς οὕτω λέγει. Ολίγον δὲ, φησιν, ἀπωτέρω τῆς πόλεως, Πανὸς ἐστιν ὄρος, καὶ πάλαιον θέας ἄξιον. εἴσοδος μὲν ἐς αὐτὸ στενὴ. παρελθοῦσι δέ εἰσιν οἶκοι, καὶ λουτρὰ, καὶ τὸ καλούμενον Πανὸς αἰπόλιον, πέτραι τὰ πολλὰ αἰξὶν εἰκασμέναι. ὁ νοῦς οὖν ἐστι τοιοῦτος, ἡ Λυσιστράτη ἐλυσφορεῖ ἐπὶ τὰς γυναῖκας κατὰ τὸ μέρος, ὅπου ἦν ἱδρυμένον τὸ Πανὸς ἱερὸν, διὰ θυρίδος διεχθείσης πρὸς συνουσίαν ἀποφυγεῖν ἐπιχειρήσαι. Εκ τροχειλίας.] τοῦτο τὸ ὄνομα διαφόρως γεγραμμένον εὕρηται. τροχαλία, τροχηλία, τροχιλία, τροχηλία. καὶ τροχειλίας ὡς ἐνταῦθα. ἀπὸ δὲ τοῦ τροχοῦ λέλεκται, καὶ κατά τινας δηλοῖ τὸν τροχὸν. καὶ τὸ χοινίον διὰ τοῦ τροχοῦ φορούμενον, ᾧ χρώμενοι ὕδωρ ἐκ τῶν φρεάτων ἀνελκύουσι. Κατειλυσπωμένην.] μετοχὴ συγκειμένη ἐκ τῆς κατὰ προθέσεως, ἢ κάτω ἐπιρρήματος, καὶ τοῦ ῥήματος εἰλυσπᾶσθαι, ὃ σημαίνει τὸ παραπλησίως τοῖς ὄφεσι, καὶ τοῖς σκώληξιν ἰέναι. καὶ εἰλυσπᾶσθαι, παρὰ τὸ αὐτὸ τόπον μὴ καμάτῳ στρέφεσθαι. καὶ εἰλύσπασμα, ὁ καὶ ὄφει, καὶ σκώληκι κίνησις, παρὰ τὸ εἰλεῖσθαι, καὶ σπᾶσθαι, ὅ ἐστι κινεῖσθαι. εὕρηται δὲ τὸ ἰλυσπᾶσθαι διαφόρως γραφόμενον. Εὐσ. Σ. Επὶ στρουθοῦ.] εἴπερ ἡ δὲ ἡ γραφὴ ὑγιής ἐστι, ταῦτα τούτοις ἰσοδυναμεῖ. στρουθοῦ φύσιν, στρουθοῦ τρόπον, ὡς στρουθός. οὕτω καὶ ἐν Σφηξί. στρουθὸς δ' ἀνὴρ γίγνεται. ἐκπτήσεται. τὴν δὲ χαίτην, ἢ σπανίαν, τῆς προθέσεως ἐπὶ, ἐν τῷ σημασίαν παρὰ τὸ πρότερον. τυπῶν δὲ, ὁ νοῦς ἐστὶν, τὴν μίαν στρουθοῦ φύσιν ἀποπίπτεσθαι, καὶ κάτω θέλειν φέρεσθαι διανοουμένην, χθὲς τῶν λεχῶν καθίπτασθαι. τινὲς χαλεπώτερον τεκμαίρονται, ἐπὶ στρόφου. στρόφος δὲ, παρὰ τῷ Ησυχίῳ, σχοινίον ἐγραμμένος λόγος, ἢ χοινίον ἱμαντωτόν, παρὰ τὸ στρέφεσθαι. ἀλλ' ὥς ἐμοὶ δοκεῖ μηδὲν κινητέον. Εἰς Ορσιλόχου.] οἶκον δηλαδή. Ορσίλοχος δὲ ὄνομα κύριον, ὃ παρῆκται ἀπὸ τοῦ ὄρω, ὀρῶ καὶ ὄρσω ἐν τῷ μέλλοντι. καὶ λόχος. τουτέστιν ὁ τοὺς λόχους ἐν πολέμῳ ὄρων, ἤγουν παροξύνων, παρορμῶν. οὕτως καὶ Ορσίππος. Τὸν σέων.] τῶν σέων. οὗτος, σής, σητὸς, ὁ σκώληξ. Σημείωσαι ταύτην τὴν φωνὴν σέων, παρὰ τοῖς ἄλλοις οὐκ εὑρίσκεσθαι. γίνεται δὲ ἀπὸ τῆς ἑνικῆς εὐθείας ἀρχῆς σεῦς. ὡς βασιλεύς, ἀνθ' οὗ ὁ σὴς λέγεται. ἡ γενική, τοῦ σέως, ὡς βασιλέως. ἀλλὰ τὸ σέων, ὡς βασιλέων, μόνον ἐν χρήσει, ὥσπερ ἐν τούτῳ. ἰστέον δὲ σέων, τῶν δὲ δύναται καλῶς ὅτι ἕκαστον τῶν πραγμάτων ἐν ἔχει τὸ λυμαινόμενον. ὁ σίδηρος, τὸν ἰόν. τὸ ἔριον, τὸν σῆτα. σὴξ δὲ, εἶδος σκώληκος ἐστι γινομένου ἐνδὸν τῶν ξύλων. ἴψ δὲ, σκώληξ ἐστὶ κεράτων, ἰξ, ἀμπέλων. τὰς ἐσθημάτων. τρὶψ, ξύλων. Οὐκ εἶ πάλιν.] οὐ πάλιν πορεύσῃ, ἤτοι ἐπανελεύσῃ ἐπαναχωρήσεις τὸ δὲ εἶ, ἀντὶ τοῦ δευτέρου προσώπου τοῦ εἶμι. πορεύομαι. Οὐ διαπιτεύσεις.] ἐὰν μόνος διαπιτεύσεις, τὰ ἱερὰ δηλαδὴ. ἐπὶ τοῦ κλίνεις τύχῃ. πιτάζω, πατεννύω, πατεννύω. ὁ μέλλων πιτάσω ὅθεν σερ. α. πιτάσα καὶ μετοχὴ πιτάσας, πιτάσεις, καὶ σύνθετον διαπιτάσεις.

CHR. Διαλεύουσαν τὴν ὀπὴν.] Scio διαλέγεσθαι γυναιξὶν esse ὁμιλεῖν & συνουσιάζειν. Hoc loco est διορύττειν & οἰκοδομεῖν, velut vsus est ipse Thucydides, vt διαλέγειν ὀπὴν sit foramen fodere & te-

A nestram facere. In re Architectonica etiam ὀπὰς vocant tignorum & asserum cubilia & caua columbaria. Εκ τροχειλίας.] Legendum τροχιλιᾶς vt sit Tribrachus, est autem Throclea indidem à Latinis fictum nomen. Recte autem Veneta editio habet κατειλυσπωμένην per υ non per ι, Nam κατειλυσπᾶσθαι est εἰλούμενον σπᾶσθαι. Lycophron ait (teste Hesychio) κατειλυσπωμένην quod hic conuenit. Sed εἰλυσπᾶσθαι est serpentium & vermium more tractum incedere. Επὶ στρουθοῦ μίαν.] Forassis
B hic Libyca est auis Struthio, tamen στρουθὸς dicitur & impudicus & πόρνος, & pars illa quæ honestè nominari non potest. Εἰς Ορσιλόχου χθὲς.] Et obscœnus & obscurus hic mihi videtur locus, Tamen vt effugium inscitiæ quærerem, interpretatus sum εἰς Ορσιλόχου ad Orsilochi ædem, sane temerè faciens & sine vllo rationis fulcro. χθὲς autem sæpè est παρέλκον & πάμπαν. & sic vsurpatum à Platone qui dixit, κατέβην χθὲς εἰς πειραιᾶ.

BISETVS. Αλλ' ἰὼ πότνι' ἰδὰς.] οἱ καλοῖς ἡ χαρὰ
C φαίνεται, τὸ σχῆμα Αττικὸν, τὸ ἰδὸ πρὸς ἀκτικὸν τοῦ παθητικοῦ, εἴδω, ἰδὲ. ὡς τὸ βοᾶσου, βοῶ. ἀντὶ τοῦ ἴας, ἴα. ὡς τὸ βόας, βόα. τὸ πλήρες, ἀλλὰ ἰὼ ἐπόλιας ὁ νοῦς. ἀλλὰ καὶ ἦν τούτου λέξις, ἴα, ἴασον τὰ ἱερὰ ἀπολιάς. σημείωσαι δὲ ὅτι ἀλλ' ἰὼ, ὅπερ ἐστὶ τετρασύλλαβον, συνιζήσει καὶ διαλέξει συνίζησιν, μίαν μακρὰν συλλαβὴν ἀπετέλεσε. Τῆς Αμοργίδος.] παρὰ τὴν Αμοργίδος, καὶ τῶν ἀμοργίνων φορημάτων, καὶ ἐν τοῖς ἄνω διὰ πλειόνων εἴρηται ἐν τῇ ἐξηγήσει τούτου τοῦ στίχου. Κἀν τοῖς χιτωνίοισι τοῖς ἀμοργίνοις. τὸ Αμοργίδος, ἕνεκα δηλονότι.
D Αλοπον.] ἀλέπιστον. Ησύχιος. ἐκ τούτου δὲ τοῦ ἐπιθέτου δῆλόν ἐστι νῦν τὴν ἀμοργίδα λίνου τι εἶδος σημαίνειν, ὃ καὶ ἀμοργὶν ὁ ποιητὴς καλεῖ, καθάπερ κάλπιδα, καὶ κάλπιν λέγομεν.

CHR. Τῆς Αμοργίδος.] Id est, λινοκαλάμης vel byssi, Quin etiam potest accipi pro amictu tunicæ. Sed hic de lini segete accipiendum contendo: videtur hęc dictio ficta à verbo ἀμέργειν quod est decerpere & colligere, vt intelligas fuisse δράγμα, & manipulum istius segetis. Ην ἄλοπον οἴκοι.] Id est ἀλέπιστον, nam id genus lini velut de-
E squamatur & decorticatur quod ἀπολεπίζειν dicitur, vt postea ab operariis mulieribus neatur & texatur. Apud Sudam vox hæc ἄλεπον cubat in mendo, Ego, excitatam emendabo facilè, nam pro ἴσως πιστὸν lego ἀλέπιστον tamen ἄπτιστον esse ἀλέπιστον & πτίσσειν τὸ λεπίζειν καὶ κόπτειν testatur Erotianus in Lexico Hippocratico, neque sanè ego putem aliter dictam in Euangelio Nardum
F πιστικήν. Ludit autem hic in nominibus, ἄλοπον & λέλοιπα, proinde vt in illo vulgari & prouerbiali Senario γλυκεῖ' ὀπώρα φύλακος ἐκλελοιπότος. Paulò post lege χώρει πάλιν δεῦρ' vt elidatur ο paruum propter τὸ ἀλλὰ sequens.

BISETVS. Αὐθ' ἑτέρα.] ἀντὶ τοῦ, αὕτη ἡ ἑτέρα. τὴν φωσφόρον, ἢ τὴν Σελήνην, ἢ τὴν Αρτεμιν, ἣν καὶ Εἰλείθυιαν καλοῦσι. Αποδείρασα.] ὁ νοῦς ἐστίν. ἐπεὶ τὴν ἀμοργίδα καλῶς ἀποδείρω, τότε δὴ δεῦρο πρὸς σὲ ἐπανελεύσομαι. ἀπέρχομαι δὲ, ἐν τῷ νῦν τοῦ ἐπανέρχομαι.
G εὖ τοι καὶ ἀπέλθῃ, ἀντὶ τοῦ ἐπανέλθῃ. παρὰ Θουκυδίδῃ ὁ Σχολιαστὴς ἀναγινώσκει. ταῦτα δὲ ἡ καὶ κακέμφατόν τι ὑποσημαίνει, ὅπερ ἐκ τῆς ἀμοργίδος, καὶ τοῦ ἀποδείρειν ὁ ἦν. ἀπὸ τούτων γὰρ καὶ τὴν γυναικὸς. καὶ τοῦ αἰδοῖος συνουσίας νοητέον. ἡ γὰρ ἀσελγὴς, καὶ ἀκόλαστος γυνὴ ἐκ ὅτε

τῆς ἀφροδίτης ἀπέχεσθαι δυνάμεθα, αἰνιγματικῶς ταῦτα λέγει, καὶ αὐτὴ τὸν ἄνδρα. πρὸς ὃν ἐλθεῖν ἐπιθυμεῖ, μοργίδα κατ' εἰκότα καλεῖ, οὐ τολμῶσα ὅ, τι περ νοεῖ, ἀναιδῶς ὀνομάζειν. τὸ δὲ ἀποδείρειν, εἴτε λεπίζειν, τὸ τὰ ἀφροδίτης ἔργα ποιεῖν. τοῦτο γὰρ πάσχουσιν οἱ τέλειοι, καὶ μὴ λεπόδερμοι ὅταν ταῖς γυναιξὶ συνέρχονται. Εἰλείθυια.] τουτέστιν, Αρτεμις φωσφόρος, ἡ εἰς τὸ φῶς ἐλεύσεως τῶν βρεφῶν ἔφορος. καὶ ἡ Ἰουνὼ ἡ παραστάτις θεά. Ομηρος πλείους Εἰλειθυίας ποιεῖ. Ιλ. λ.

> Ως δ' ὅταν ὠδίνουσαν ἔχῃ βέλος ὀξὺ γυναῖκα,
> Δριμὺ, τό, τε προϊεῖσι μογοστόκοι Εἰλείθυιαι,
> Ηρης θυγατέρες πικρὰς ὠδῖνας ἔχουσαι.

Επίσχες τοῦ τόκου.] λέγεται καὶ ἐπισχεῖν μετ' αἰτιατικῆς, ἀντὶ τοῦ ἐπέχειν, καταλύειν, παύειν. ὅσιον δὲ νῦν καλεῖ τὸ βέβηλον, καὶ οὐχ ἱερὸν χωρίον. εἰς ὃ ἔξεστιν εἰσιέναι. καὶ ὅσια χρήματα τὰ μὴ ἱερά. Σ. Κυήσεις.] κύειν, καὶ κυεῖν, τὸ φιλεῖν, καὶ τὸ κατὰ γαστρὸς φέρειν παρὰ τοῖς παλαιοῖς. τίκτειν δὲ, τὸ ἀπαλλαγῆναι τῆς κύσεως. παρὰ δὲ τοῖς μεταγενεστέροις καὶ αὐτὸ τὸ τίκτειν κύειν λέγεται. καὶ τὰ θήλεα μόνα κύειν λέγονται. γεννᾷν δὲ, καὶ τίκτειν οὐ μόνον τὰ θήλεα, ἀλλὰ καὶ τὰ ἄρρενα. ὅθεν καὶ τοκεῖς, καὶ γεννητόρες λέγονται. Τὴν ἱερὰν κυνῆν.] κυνῆ γενικῶς πᾶν εἶδος περικεφαλαίας. ἀπὸ ἑνὸς εἴδους τῆς ἐκ κυνείου δέρματος πάλαι γινομένης. καὶ κυνῆ τὸ κοινῶς λεγόμενον σκιάδιον. ὅπερ ὁ Ησίοδος πῖλον ἀσκητὸν ὀνομάζει. διὰ τί δὲ νῦν ἱερὰν καλεῖ, ἄδηλον. τινὲς εἶναι μεγάλην σημαίνειν. καὶ γὰρ ἦν μεγάλη ἔτι πρὸς τὴν τοῦ βρέφους τεχθησομένου ὑποδοχήν, ὅπερ ἴσως ἦν πιθανόν.

CHR. Τί δῆτα ταύτην ἔχεις] Lege τί δῆτα ταύτην ἔχεις non ἔχεις, translato ε ad priorem ε. Mox lege. ἐπὶ τέως ἐν πόλει non ὁ τέως.

Αυ. Τί λέγεις. προφασίζῃ ἐπεὶ φανῇ τὰ πράγματα. C
Οὔτ' ἀμφιδρόμια τῆς κυνῆς αὐτοὶ μὴ δρῶμεν.
Αλλ. Γυν. Αλλ' οὐ δύναμ' ἔγωγ' οὐδὲ κοιμᾶσθ' ἐν πόλει.
Εξοῦ τὸν ὄφιν ἴδον τὸν οἰκουρόν ποτε.
Αλλ. Γ. Εγὼ δ' ὑπὸ τῶν γλαυκῶν γε τάλαιν' ἀπόλλυμαι
Ταῖς ἀγρυπνίαισι κακκαβιζουσῶν ἀεί. D
Αυ. Ω δαιμόνιαι παύσασθε τῶν τερατευμάτων.
Ποθεῖτ' ἴσως τοὺς ἄνδρας. ἡμᾶς δ' οὐκ οἴει
Ποθεῖν ἐκείνους γ'. ἀργαλέας γ' εὖ οἶδ' ὅτι
Αγουσι νύκτας. ἀλλ' ἀνάσχεσθ' ὦ 'γαθαί.
Καὶ προσταλαιπωρήσατ' ἔτι γ' ὀλίγον χρόνον,
Ως χρησμὸς ἡμῖν ἐστὶν ἐπικρατεῖν, ἐὰν
Μὴ στασιάσωμεν. ἔστι δ' ὁ χρησμὸς οὑτοσί. E
Αλλ. Γυν. Λέγ' αὐτὸν ἡμῖν ὅτι λέγει. Αυ. σιγᾶτε δή.
Αλλ' ὁπότ' ἂν πτήξωσι χελιδόνες εἰς ἕνα χῶρον,
Τοὺς ἔποπας φεύγουσαι, ἀπόσχωνταί τε φαλήτων,
Παῦλα κακῶν ἔσται. τὰ δ' ὑπέρτερα νέρτερα θήσει
Ζεὺς ὑψιβρεμέτης. Γυν. ἐπάνω κατακεισόμεθ' ἡμεῖς. F
Αυ. Ην δ' ἀποστῶσι καὶ ἀναπτῶνται πτερύγεσσιν
Εξ ἱεροῦ ναοῖο χελιδόνες, οὐκέτι δόξει
Ορνεον οὐδ' ὁτιοῦν καταπυγωνέστερον εἶναι.
Χο. Γυν. Σαφὴς ὁ χρησμὸς νὴ Δί' ὦ πάντες θεοί.
Μή νυν ἀπείπωμεν ταλαιπωρούμεναι. G
Αλλ' εἰσίωμεν. καὶ γὰρ αἰσχρὸν τοῦτό γε,
Ω φίλταται, τὸν χρησμὸν εἰ προδώσομεν.

LVS. Quid ais amabò, & fingis apparentia!
Non lustricum manebis in galea diem?
AL. MV. Ego certè in vrbe non lubenter dormio,
Ex quo mihi ille visus aditum draco est.
AL. MV. At me misellam perditéque macerant
Somnoq́ priuant caccabantes noctua.
LVS. Ah mittite ista ostenta, vana, inania,
Viros habere, credo, concupiscitis:
Nos nolle credis? cùm malas noctes trahant
Duro labore? at sustinete fortiter,
Et paululùm durate chara fœminæ
Diuina nam nos dictio imperare vult
Consentientes, sale certè oraculum est.
AL. MV. Effare quæso, quid feras. LVS. Silete iam:
Ast vbi hirundineus se grex compellet in vnam
Atque Epopas fugiet, sperńetque Ithyphallica iussa,
Pausa malorum aderit, tunc & supera ima locabit
Iuppiter altifremens. MV. Supra ergo iacebimus & nos.
LVS. Sin fugiant, subitisq́ ex æde Chelidones alis
Dissidium faciant sacra, tunc nulla volucris
Mobilior poteris vel clunis salacior esse.
CH. MV. Responsum apertum, testor omnes cœlites:
Nunquam ergo victa defetiscamur: simul
Regressa eamus fœmina ò dulcissime.
Turpe esset illud prodere oraculum Dei.

BISETVS. Προφασίζη.] πρόφασις, ἡ μὴ ἀληθὴς ἀλλ' ἐπιπολαία, καὶ προβεβλημένη φάσις, ὅθεν καὶ προφασίζομαι. ἔστι. νῦν δὲ ταῦτα ληπτέον οὕτω, τὰ ἀφελῆ πράγματα τῇ σῇ προφάσει καλύπτειν πειρᾷ. Ἀμφιδρόμια.] ἡμέρα ἀγομένη τοῖς παιδίοις, ἐν ᾗ τὸ βρέφος περὶ τὴν ἑστίαν ἔφερον τρέχοντες κύκλῳ, καὶ ἐπετίθεσαν αὐτῷ ὄνομα ὅτι ὑπὸ τῶν οἰκείων, καὶ φίλων δῶρα ἐπέμπετο. Ἡσύχιος. καὶ ἀμφιδρόμια τὴν πέμπτην ἄγουσι τοῖς βρέφεσιν. ἐν ᾗ ἀποκαθαίρονται τὰς χεῖρας αἱ συναψάμεναι τῆς μαιώσεως. τὸ βρέφος περιφέρουσι τὴν ἑστίαν τρέχοντες. καὶ δῶρα πέμπουσιν οἱ προσήκοντες ὡς ἐπιτοπλεῖστον πολύποδας, καὶ σηπίας. τῇ δὲ δεκάτῃ δὲ τοὔνομα τίθενται. Σουΐδας. ἐνταῦθα δὲ, ἀμφιδρόμια οὐδετέρως, καὶ πληθυντικῶς. αὐτοῦ δὲ, αὐτόθι, ἐνταῦθα. μένεις, ἀναμένεις. πόλει, τῇ ἀκροπόλει. Οἰκουρόν.] οἰκουρὸν ὄφιν καλεῖ τὸν τῆς Πολιάδος φύλακα δράκοντα. καὶ οἱ μὲν ἕνα φασίν. οἱ δὲ, δύο ἐν τῷ ἱερῷ τοῦ Ἐρεχθέως. τοῦτον δὲ φύλακα τῆς ἀκροπόλεώς φασιν, ᾧ καὶ μελιτοῦτταν παρατίθεσθαι. οἰκουρὸς δὲ, ὁ φροντίζων, καὶ φυλάττων τὰ τοῦ οἴκου. οὖρος γὰρ ὁ φύλαξ λέγεται. Κακκαβιζουσῶν.] κακκαβίζειν νῦν περὶ τῶν γλαυκῶν ἀπὸ οὗς φωνῆς λέγεται. ἀλλαχοῦ δὲ περὶ τῶν περδίκων. ἃς τινες καὶ κακκάβας καλοῦσι.
C Καὶ προσταλαιπωρήσατε.] τουτέστι, καὶ προσέτι ὑπομείνατε, τὴν δῆτα τὴν δυσπάθειαν καὶ δυσχέρειαν ἔτι ὑποφέρετε. Στασιάσωμεν] στασιάζειν, θόρυβον κινεῖν, ἀταλεῖν. Ἡσύχιος. πλήξωσι δὲ, μετὰ φόβου συστελλόμεναι, καὶ συνελθοῦσαι φυγῶσιν εἰς ἕνα χῶρον. Φαλήτων.] τινὲς μὲν Φαλῆς, φαλῆτος λέγουσιν, ὡς Ἑρμῆς, Ἑρμῆτος. τινὲς δὲ, φάλης, φάλητος. φάλητες, φαλήτων. ὃ καὶ φαλλὸς λέγεται φαλλὸς δὲ, ὡς καὶ ἐν τοῖς ἄνω προείρηται, καὶ τὸ ξύλον ἐπιμηκες ἔχον ἐν τῷ ἄκρῳ σκύτινον αἰδοῖον ἐξηρτημένον, καὶ αὐτὸ τὸ αἰδοῖον, καὶ πέος.
D παῦλα δὲ, ἡ ἀνάπαυλα, ἀνάπαυσις, ἄνεσις. ὑψιβρεμέτης, ὁ ἐν ὕψει βροντῶν. Σ. Ἦν δ' ἀποστῶσι.] μέτρω χάειν χαπλέον,

Ἦν δὲ κ' ἀποστῶσι.

τὸ δὲ ἀναπτῶνται, καὶ συγκοπὴν εὕρηται ἐκ τοῦ ἀναπο-
A πέτωνται, τουτέστι πετώμεναι ἀποφύγωσι. τὸ δὲ ἑξῆς ἐξάμετρον, εἰ καλῶς ἔχει, τὸ ναοῖο πρώτην συλλαβὴν μακρὰν ἔχει, ὃ ἐπὶ τὴν χρῆσιν. διὸ τινὲς οὕτω γράφουσιν, ἐξ ἱεροῖο ναοῖο. καταπυγωνέστερον δὲ, μαλακώτερον, πορνικώτερον.

CH. Οὔτ' ἀμφιδρόμια.] Dies hæc erat quinta post partum, qua lauant obstetrices & infantem cursu circumferunt per focum, Et qua munera natalitia feruntur à propinquis vt Polypodes &
B sepiæ. Decima autem die nomen imponebatur. Τὸν ὄφιν ἴδον τὸν οἰκουρόν.] Lege τὸν, Est autem οἰκουρὸς ὄφις draco custos ædis Poliadis quem nonnulli Acropolis custodem putant, alij vnum, alij duos esse dicunt in fano Erechtei. Κακκαβιζουσῶν αἰεὶ] Perdices etiam vocantur κακκάβαι, propriéque de his altilibus dicitur κακκαβᾶν & κακκαβίζειν. Sanè enim Perdix dicta est ab illo crepitu quem edit qui quasi est peditus aut cacatus. Tamen etiam ad alia animalia transfertur, vt ex Theophrasto recitat Atheneus, causámque addit de Noctuis, eas nempe interdiu cæcutire, noctu tantum vide-
C re & venari, neque tamen omnino nocte, sed ἀκρίσπερον, id est, manè & vesperi vt vult Aristoteles. Propterea Virgilius ait,

Seros exercet noctua cantus.

Sunt autem, teste eodem Athenæo qui existiment Musicæ primordia ab auibus sumpta per solitudines cantillantibus. Μὴ στασιάσωμεν.] Omnino legendum puto στασιάσωμεν, per στάσιν autem διχοστασίαν intelligit, vt & magnus magister in Politi-
D cis vsurpat. Χελιδόνες εἰς ἕνα χῶρον.] Sic à Lycophrone in obscuro poemate ipsa Cassandra vocatur hirundo, τὴν φοιβόληπτον ἀγρίαν χελιδόνα. Sed & notandum est hac voce etiam designari τὸ γυναικεῖον μόριον. Ἦν δ' ἀποστῶσι] id est φύγωσι, καὶ μακρὰν γένωνται, sed legerem ἢν δ' ἄρ' ἀποστῶσι.

ΣΤΡΟΦΗ.

Χορ. αἱ. Μῦθον βούλομαι λέξαι
Τίν' ὑμῖν, ὅν ποτ' ἤκου-
Σ' αὐτὸς ἔτι παῖς ὤν
Οὕτως.
Ἦν νεανίσκος Μελανίων τις ὃς
Φεύγων γάμον
Ἀφίκετ' εἰς ἐρημίαν, κἀν
Τοῖς ὄρεσιν ᾤκει.
Κᾆτ' ἐλαγοθήρει
Πλεξάμενος ἄρκυς
Καὶ κύνα τιν' εἶχεν.
Κοὐκέτι κατῆλθεν πάλιν οἴκαδ' ὑπὸ μίσους.
Οὕτω
Τὰς γυναῖκας ἐβδελύχθη
Κεῖνος ἡμεῖς τ' οὐδὲν ἧττον
Τοῦ Μελανίωνος οἱ σώφρονες.
Πρ. Βούλομαί σε γραῦ κύσαι
Κρόμμυον γὰρ οὐκ ἔδει.
Κἀνατείνας τὸ σκέλος λακτίσαι.

E

STROPHE.

CH. v. Quandam fabulam vobis
Volo enarrare, qualem
Audij ego puer
Cùm essem.
Quidam adolescens Milanion fugiens nuptias
Iuga incolebat alta sola
F Assiduus erro, ac
Sæpè leporem ibat
Decipere, reti
Siue cane captans.
Nec rediýt unquam ad sua tecta paterna.
Tantum est
Fœminas abominatus
Et perosus: nec minus nos
G Quàm Milanion honesti sumus.
Te volo osculari anus.
CH. M. Quippe cæpe non edis.
CH. V. Crusq́ tendens calcibus cadere.

Tho

Τὴν λόχμην πολλὴν φορεῖς.
Καὶ Μυρωνίδης γὰρ ἦν
Τραχὺς ἐντεῦθεν, μελάμπυ-
γός τε τοῖς ἐχθροῖς ἅπασιν
Ὡς δὲ καὶ Φορμίων.

A *CH. M. At siluam densam geris.*
CH. V. Sic Myronides erat
Horridis ater natibus, sed
Hostibus passim timendus
Vt fuit Phormio.

BISETVS. Μῦθον βούλομαι.] ἐκ τῶν τῆς στροφῆς ἐπιγραφὴν χαπτίον οἴονται, ἧς τὸ τελευταῖον στίχον ἐστὶ λέγκοι,

Τοῦ Μελανίωνος οἱ σώφρονες.

καὶ τὰ τοιαῦτα εἴδη, ὡς Ἡφαιστίων φησίν, ἑτερόστροφα ἐστίν, ἢ ἀλλοιόστροφα. καὶ διαιρεῖται ἤτοι εἰς δύο, ἢ εἰς πλείω. ἐὰν μὲν οὖν εἰς δύο διαιρεθῇ, καλεῖται ἑτερόστροφον. ἐὰν δὲ εἰς πλείονα, ἀλλοιόστροφον. Ἄλλως, ἐπειδὴ δεῖ, καὶ παρέκβασίς τις, ἐν ᾗ διπλοῦς μῦθος. ὁ μὲν ἐν τῇ στροφῇ, ὁ δὲ ἐν τῇ ἀντιστροφῇ. καὶ ὁ μὲν πρότερος ἔχει περί τινα νεανίσκον Μελανίωνα τὰς γυναῖκας μισοῦντα, καὶ διὰ τοῦτο ἐν ὄρεσιν οἰκοῦντα, καὶ θήραις χαίροντα. ὁ δὲ δεύτερος μνήμην ποιεῖται περὶ Τίμωνος τοῦ τοὺς πονηροὺς ἄνδρας μισοῦντος, καὶ ταῖς γυναιξὶν ὄντος φιλτάτου. ἐν τισὶ τῶν ἀντιγράφων γέγραπται Στροφὴ, πρὸ τούτου τοῦ πρώτου κώλου,

Μῦθον βούλομαι λέξαι.

καὶ Ἀντιστροφὴ, πρὸ τούτου τοῦ κώλου,

Κἀγὼ βούλομαι,

Ἀλλ' ἐν τούτοις ἀσάφειάν τινα ἔχουσι, ὅτι τὰ κῶλα τῆς ἀντιστροφῆς, τὰ μέτρα, τὸ σχῆμα καὶ ἡ ποιότης οὐ καλῶς τοῖς τῆς στροφῆς κατὰ πάντα συμφωνεῖ. Κᾆτ' ἐλαγοθήρει.] καὶ εἶτα ἐλαγοθήρει, τουτέστι τοὺς λαγοὺς ἐθήρευε, λαγωοὺς, καὶ λαγωοὺς ἐθήρα ἀπὸ τοῦ ῥήματος λαγοθηρεῖν. Ὑπὸ μίσους.] τῶν γυναικῶν δηλαδὴ, καὶ τῶν γάμων. ὅ-θεν ἐβδελύχθη ἢ ἐμυσάττετο ἐμίσει, ἀπεστρέφετο. Βούλομαί σε] καὶ ταῦτα ὡς ἐπῳδὸν, τῇ στροφῇ ἐπιφέρεσθαι νομίζουσι. Οὐκ ἔδει.] τὸ ἔδει, δεύτερον πρόσωπον ἀντὶ τοῦ ἔδεις, κατὰ κοινῶς δὲ, ἔδῃ, τουτέστιν ἔδεις, κατεσθίεις. ὁ δὲ Πρόβουλος, ἤ τις ἐκ τοῦ χοροῦ λέγει τὴν χελιδόνα φαγεῖν κρόμμυον, ὅτι καλὴν ὀσμὴν τοῦτο ἐσθιόμενον ποιεῖ. διὸ αἱ περὶ τὸν καλλωπισμὸν, καὶ τὸ κομψὸν σπουδάζουσαι, καὶ αἱ κύσαι βουλόμεναι, τῶν κρομμύων, καὶ πάντων δυσωδῶν ἀπέχονται. λακτίσαι δὲ, νῦν δηλοῖ τὸ λὰξ, ἢ λακτισμῷ πλῆξαι. τοῦτο δὲ ἐγέλωτος χάριν πρὸς τὴν χελιδόνα λέγεσθαι φαίνεται. Τὴν λόχμην.] τινὲς τοῦτο προσάπτουσι τῷ χορῷ τῶν γυναικῶν. καὶ τοὺς ἑξῆς τέσσαρας στίχους τῷ Προβούλῳ, εἴτε τῷ τῶν ἀνδρῶν χορῷ. ὃ καὶ ἀξιόπιστον. λόχμην δὲ πολλὴν φορεῖς, ὁ Σουίδας παροιμίαν εἶναι λέγει ἐπὶ τῶν δασέων. ἦν δὲ, φησὶν, ὁ Φορμίων τριχώδης ἦν, καὶ πυγὰς μελαίνας εἶχε. λόχμη δὲ, δασὺς τόπος, πλαγία σύμφυτος, καὶ λοχμώδης. νῦν δὲ μεταφορικῶς λόχμην καλεῖ τὸ πλῆθος τῶν τριχῶν. Καὶ Μυρωνίδης.] Μυρωνίδης, καὶ Φορμίων δύο Ἀθηναίων στρατηγοὶ, ἀγαθοί τε καὶ αὐστηροί. μελάμπυγος δὲ, ἀνδρεῖος. τοὺς γὰρ δασεῖς καὶ μελαίνας τὰς πυγὰς, ἀνδρείους ἐνόμιζον, τοὺς δὲ λευκοπύγους, ὡς γυναικώδεις, καὶ ἀνάνδρους ἐκωμῴδουν. ὡς Σουίδας καὶ Ἡσύχιος λέγουσι.

C CHR. Μελανίωνος.] Prouerbium est μελανίωνος σωφρονέστερος. Fortassis ille est Milanion de quo Propertius dixit,

Partheniis errabat in antris,
Ibat & hirsutas sępè videre feras.

Sed quòd ait de leporum captura, crediderim adlusum ad Aquilæ speciem illam quæ μελαναίετος & λαγοθήρας dicitur. Lege autem κἀν τοῖς ὄρεσι pro καὶ ἐν. Βούλομαι.] Hic versus in Veneta editione profertur à choro virorum, vt D sequens à choro mulierum, tertius à virorum choro, quartus à mulierum, quintus à virorum vsque ad illa κἀγώ. Κρόμμυον γὰρ.] Id est, καὶ ἄνευ κρομμύων κλαύσεις, legóque τἄρ pro γὰρ. Prouerbium est κρομμύοις ὀσφραίνομαι, & κρόμμυα ἐσθίειν, vnde Bias cùm ab Alyatte accerseretur, dixit, ἀλυάττῃ φημὶ κρόμμυα ἐσθίειν. Λόχμην πολλήν.] Id est, barba tibi velletur quam nimis densam gestas, hoc prouerbiale facit Sudas, aitque Phormionem E pilosum & hirsutum fuisse, & nates nigras habuisse, alibi Imperatorem strenuum & Crotoniatem facit de quo meminerit Theopompus. Existimabant autem fortes & viros τοὺς μελαμπύγους & δασυπύγους, nam pili nigredinem videntur facere, Contra imbelles & fœmineos τοὺς λευκοπύγους. Apud eundem Sudā, atq; Athen. reperias φορμίωνος δασύ, τριάς, καὶ αἰγίδιος τὸ γυναικεῖον αἰδοῖον.

F

ΑΝΤΙΣΤΡΟΦΗ.

Χο. Γυν. Κἀγὼ βούλομαι
Μῦθόν τιν' ὑμῖν ἀντιλέξαι
τῷ Μελανίωνι.
Τίμων τις
Ἦν ἀΐδρυτος ἀβάτοισιν ἐν
Σκώλοισι
Τὸ πρόσωπον περιειργμένος
Ἐριννύων ἀπορρώξ.
Οὗτος οὖν ὁ Τίμων
Ὤχεθ' ὑπὸ μίσους.
Πολλὰ καταρασάμενος ἀνδράσι πονηροῖς.
Οὕτω

ANTISTROPHE.

CH. M. Atqui fabulam vobis
Libet narrare contrà
Hanc Melanionem.
Vir Timon
Ardua & obsita colebat loca
Spinis
G *Mali sedens septus & vndique*
Erinnydum propages:
Solus ergo Timon
Vixit, odioq;
Magno homines oderat, abominans scelestos;
Sicq;

Κεῖνος ὑμῶν ἀντεμίσει
Τοὺς πονηροὺς ἄνδρας ἀεί.
Ταῖσι δὲ γυναιξὶν ἦν φίλτατος.
Τὴν γνάθον βούλει θένω;
Χο.ἀν.Μηδαμῶς ἔδεισά γε.
Χο.Γυν.Ἀλλὰ κρούσω τῷ σκέλει.
Χο.ἀν.Τὸν σάκανδρον ἐκφανεῖς.
Χο.Γυν.Ἀλλ' ὅμως ἂν οὐκ ἴδοις
Καίπερ οὔσης γραὸς ὄντ' αὐ-
Τὸν κομήτην, ἀλλ' ἀπεψι-
λωμένον τῷ λύχνῳ.

A Ille vos est exsecratus
Et malos mores virorum:
Sed mulieres amabat,
Vin' genam ut pulsem tibi?
CH.v.Non metuo me contrahit.
CH.M.Crure agam tantummodo.
Vt sit Eugium patens.
CH.M.Non videbis hoc tamen
B *(Etsi anus sum) nunc comans,*
Sed pilis cassum, atque purè
Ad lucernam comptum.

BISETVS. Κἀγὼ βούλομαι.] ταῦτα τινὲς ἀντίστροφον εἶναι οἴονται, τῇ προηγουμένῃ στροφῇ παντελῶς ὁμοίαν, ἑνὸς μόνου στίχου, ἐνδεκάτου δηλαδή, μεμειωμένην, ὃν μήτοι ἀξιοπίστῳ εἰκασμῷ ἀναπληροῦσιν οὕτω γράφοντες,

Κἀγὼ βούλομαι μῦθον
Τιν' ὑμῖν ἀντιλέξαι
Τῷ Μελανίωνι.
Τίμων
Τις ἦν, ἀνίδρυτος, ἀβάτοισιν ἐν
Σκώλοισι τὸ
Πρόσωπον περιειργμένος, F.
Ῥινῶν ἀπορρώξ.
Οὗτος οὖν ὁ Τίμων
Ὤχεθ' ὑπὸ αἰδοῦς.
*Κἀκεῖ κατῆλθεν
Πολλὰ καταρασάμενος ἀνδράσι πονηροῖς.
Οὕτω
Κεῖνος ὑμῶν ἀντεμίσει
Τοὺς πονηροὺς ἄνδρας ἀεί.
Ταῖσι δὲ γυναιξὶν ἦν φίλτατος.

ὅρα δ' ὡς ἐν ταύτῃ τῇ γραφῇ, ἡ ἀντιστροφὴ τῇ στροφῇ κατὰ πάντα καλῶς συνᾴδει. ἀλλὰ μηδὲν ἀβεβαίως κινητέον, ἄλλως τε καὶ τούτων ἀδήλων ὄντων. Τῷ Μελανίωνι] ἐντεῦθεν δῆλον καὶ ἄνευ τὸ τοῦ Μελανίωνος ὄνομα ἄνευ τοῦ διφθόγγου γραπτέον εἰ μὴ μέτρου χάριν οὕτω γεγράφθαι λέγοις. Τίμων.] ὁ μισάνθρωπος καλούμενος. ἦν κατάρατος. ὅν φασιν ἀπὸ ἀχράδος πεσόντα, χωλὸν γενέσθαι. μὴ προσιέμενον δὲ ἰατρὸν ἀποθανεῖν σαπέντα. καὶ μετὰ τὴν τελευτὴν αὐτοῦ τὸν τάφον ἄβατον γενέσθαι ὑπὸ θαλάσσης περιρραγέντα, καὶ ἐν ὁδῷ τῇ ἐκ Πειραιῶς εἰς Σουνιον ἀγούσῃ. ἄβατον δὲ, ὅτι ἀκάνθαις τε, θριγκωμένον, καὶ σκληροῖς σκώλοισι, καὶ πασσάλοις πεφραγμένον. σκῶλος δὲ, εἶδος ἀκάνθης. ἢ σκόλοπος. ἐν δ' ἐπιγράμματι ὁ ξένος πρὸς τὸν λύκον φησίν,

Ἐκ μοι σκῶλον ἔρυσον, ὅ μοι κακὸν ἔμπεσεν ὄπλῃ.

ἀντὶ τοῦ σκυθρωπὸς καὶ μισάνθρωπος. Σ. Ἀνίδρυτος.] γέγραπται καὶ ἀΐδρυτος, ὅπερ ἴσον τῷ δηλοῖ. τουτέστιν ἀνεξίλαστος, ὡς Ἁρποκρατίων ἑρμηνεύει, ἐν τῷ Δημοσθένους κατ' Ἀριστογείτονος λέγεται καὶ ἀνύδρευτος, ἀντὶ τοῦ ἄνευ ὕδατος. μυθολογικῶς δὲ ὁ ξηρὸς, ὁ ἀπρὸς οὕτω πληθείη. ἀλλαχοῦ δὲ, ἀνίδρυτος, ἄστατος, ἀστάθμητος. Περιειργμένος.] περιείργεται, τὸ περικλείεται, τοὺς ἐμβάντας. ἀπορρὼξ δὲ, ἀπόσπασμα ὄρους, ἀπόρρηγμα, καὶ γένους ἀπογονή. Θένω] τύψω, πατάξω. Τὸν σάκανδρον.] σάκανδρος, κατὰ τὸν Σουίδα, τὸ γυναικεῖον αἰδοῖον. σημαίνεται δὲ, ὅτι ἐν τισι τῶν βιβλίων διεφθαρμένως γράφεται τὸ σάκανδρον ἐκφανεῖς. ἀλλὰ τοῦτο ἀπὸ τὸ μέτρον. ἔστι γὰρ τροχαϊκὸν δίμετρον καταληκτικὸν, τὸ καλούμενον Εὐριπίδειον, ἢ ληκύθιον, ὅμοιον τοῖς προηγουμένοις.

Τὴν γνάθον βούλει θένω, καὶ τοῖς ἑξῆς.

Ἀπεψιλωμένον.] περὶ ταύτης τῆς γυναικείου αἰδοίου ἀποψιλώσεως, διὰ πλειόνων προείρηται ἐν τῇ Ἐκκλ. ὁ δὲ C νοῦς ἐστιν. αὐτὸ τὸ σάκανδρον κομῶντα οὐκ ἴδοις ἄν, ὅμως καίπερ γραὸς οὔσης, ἀλλὰ τῷ λύχνῳ, καὶ τῇ τοῦ λύχνου φλογὶ καυθέντα, καὶ πάμπαν ἀπεψιλωμένον, καὶ τετριχὸν ἐψιλωμένον, καὶ ἠρημωθέντα.

CHR. Ἀβάτοισιν ἐν σκώλοισι.] Lego ἐν σκώλοισι, Est autem σκῶλος genus spinæ, vnde in Apologo asinus ad lupum ait Ἐκ μοι σκῶλον ἔρυσον ὅ μοι κακὸν D ἔμπεσεν ὄπλῃ. legendum autem ἀΐδρυτος vt & in Venet. edit. qua voce innuitur τὸ κακὸν καὶ μὴ ἄλλοι αὐτοῖς οὐκ ἂν ἱδρύσαιντο. Cæterùm dicitur & σκόλος & σκόλον & σκόλοψ. Sed de vera huius loci lectione dubitandum non est, Nam apud Sudam sic hunc locum explanatum reperio, Τίμων τις ἀΐδρυτος ἀβάτοις ἐν σκόλοισι περιειργμένος, &c. Quæ ait à pyro arbore lapsum, claudum fuisse, & mortuum ex putredine, cùm medicos nō admitteret, post mortem inaccessum fuisse locum, circú(m)que à mari ruptum, ἄβατον inquit ἀπὸ ἀκάνθαις τε θριγκωμένον & σκληροῖς σκόλοψι, πασσάλοις πεφραγμένον. E Ita erat σκυθρωπὸς & μισάνθρωπος. Hunc porrò secundum chorum mulierum, qui volet poterit reducere ad modos superioris chori virorum, & fortassis fecerat Comicus noster. Μηδαμῶς ἔδεισά γε.] In Venet. edit. habes σ' ἔδεισα γε. Dubium autē mihi est, num post μηδαμῶς distinguendum sit, vt dicat, Minimè gentium, te enim metuo. Τὸν σάκανδρον ἐκφανεῖς] Lego τὸ σάκανδρον, nam Trochaici sunt versiculi, Est autem σάκανδρος, γυναικεῖον αἰδοῖον. Hesychius σάκαν vocat. Ἀλλ' ἀπεψιλωμένον τῷ λύχνῳ] Hoc graphicè admodum depingit F initio statim Concionatricum, & propriè est quod dixit Laberius cum Caco Eugio pellitarier. Nā Eugium vt Græcis εὔδιαιον pars illa est inter muliebria naturalia. Ad eas partes purgandas Psilothro vtebantur, itaque dixit ἀπεψιλωμένον, nam hirsutam illam specum & pilis armatam, quasi velitem faciebant & ψιλὴν curiosa conlucatione densæ & nigræ istius segetis. Sed ohe dicamus & huic fumo lucem dare desinamus. G

ΛΥΣΙΣΤΡΑΤΗ, ΓΥΝΗ ΤΙΣ, Ἄλλη γυνὴ, Μυρρίνη.

LVSISTRATA, MVLIER QVÆdam, Altera mulier, Murrina.

Λυ. Ἰοὺ ἰοὺ γυναῖκες ἴτε δεῦρ' ὡς ἐμὲ
Ταχέως. Γυν. τί δ' ἐστὶν εἰπέ μοι τίς ἡ βοή.
Λυ. Ἄνδρ' ὁρῶ προσιόντα παραπεπληγμένον,
Τοῖς τῆς Ἀφροδίτης ὀργίοις εἰλημμένον.
Ἀλλ. Γυν. Ὦ πότνια Κύπρου καὶ Κυθήρων καὶ Πάφου
Μεδέουσ' ἴθ' ὀρθὴν ἥνπερ ἔρχῃ τὴν ὁδόν.
Γυν. Ποῦ δ' ἐστὶν ὅστις ἐστί. Λυ. παρὰ τὸ τῆς Χλόης.
Ὢ νὴ Δί' ἔστι δῆτα τίς κἄστιν ποτέ.
Ὁρᾶτε. γιγνώσκει τις ὑμῶν. Μυ. νὴ Δία
Ἔγωγε. κἄστιν οὑμὸς ἀνὴρ Κινησίας.
Λυ. Σὸν ἔργον εἴη τοῦτον ὀπτᾶν καὶ στρέφειν.
Κἀξηπεροπεύειν. καὶ φιλεῖν καὶ μὴ φιλεῖν.
C Καὶ πάνθ' ὑπέχειν πλὴν ὧν σύνοιδεν ἡ κύλιξ.
Μυ. Ἀμέλει, ποιήσω ταῦτ' ἐγώ. Λυ. καὶ μὴν ἐγὼ
Συνηπεροπεύσω παραμένουσ' ἐνθαδί.
Καὶ ξυσταθεύσω τοῦτον. ἀλλ' ἀπέλθετε.

A. LVS. Heu fœminæ eheu conuenite, adeste dum
Omnes citò ad me. MVL. Dic quid est quod clamitas.
LVS. Virum furentem proximantem conspicor.
Veneris rigente percitum mysterio.
AL. MV. O Diua Cyprum quæ tenes Cytheráque
B Paphumq́, rectam insiste quam graderis viam.
MVL. vbi ille quisquis est? LVS. Propè est fanum Chloes:
Prò Iuppiter supreme certè aliquis vir est.
Videte, num quæ norit hunc. MVR. Ego per Iouem,
Meusq́ certè est ille vir Cinesias.
LVS. Assandus ergo nunc tibi & versandus est,
Fallendus etiam, amandus haud amandus est,
Nil abnuendum præter hæc quæ scit calix.
MVR. Ego ista prudens exsequar. LVS. Quin hic ego
Etiam manebo, vnáque decipiam virum,
Assumq́ reddam, vos modò hinc absistite.

BISETVS. Ἰοὺ, ἰοὺ γυναῖκες.] ἡ Λυσιστράτη τὸν Κινησίαν παρὰ προσδοκίαν, καὶ αἰφνιδίως ἰδοῦσα, οὕτως ἀναβοᾷ. D Παραπεπληγμένον.] μαινόμενον, ἄφρονα. μεταφορὰ ἀπὸ τῶν κρουμάτων διαπεπλευκότων τοῦ ἐναρμονίου λυρισμοῦ καὶ παραπλὴξ, ὁ μαινόμενος. παραπληξία, μανία. εἰλημμένον δὲ, λελημμένον, συλληφθέντα. ὀργίοις δὲ, μυστηρίοις, ἱεροῖς. Τὸ τῆς Χλόης.] Χλόη, ἡ Δημήτηρ ἐπιθετικῶς. Χλόης γὰρ φασὶ Δήμητρος ἱερὸν ἀνθρώπου τὴν Ἀθήνην. τὸ δὲ Χλόη αὐτῇ προσετέθη, διὰ τὸ κατ' ἀρχὰς χλοερὸν τῶν σπορίμων. Εὐστ. καὶ Εὐχλόου Δήμητρος ἱερόν ἐστι πρὸς τῇ ἀκροπόλει, ὡς δῆλον ἐκ τῶν τοῦ Σοφοκλέους σχολίων. καὶ τοῦτο ἐντεῦθεν νοητέον. E Κινησίας] οὗτος ἐπ' ἀσελγείᾳ καὶ παρανομίᾳ διαθρυλλεῖται. ἦν δὲ διθυραμβοποιός. Σ. Κἀξηπεροπεύειν.] τὸ πλῆρες, καὶ ἐξηπεροπεύειν. ἀντὶ τοῦ ἁπλοῦ ἠπεροπεύειν, τὸ δ' ἡμέρου ὀπὸς, εἴτε φωνῆς ἠπίης ἀπατᾶν παραλογίζεσθαι. λόγοις ἡμέροις, καὶ πρᾳόσι ἀπατᾶν. ὅθεν ἠπεροπευτὴς, ὁ ἀπατεὼν οἱονεὶ ἡμεροπευτὴς, ὁ διὰ ἡμέρου ὀπὸς ὑπαγόμενός τινα αἱμυλώτερον. κατὰ γὰρ τοὺς παλαιοὺς ὥς φησιν Εὐστάθιος, γίνεται ἐκ τοῦ ἥμερος, καὶ τοῦ ὄψ, ὀπὸς, ἡ φωνή. Ὑπέχειν.] τλῆναι, ἀνέχειν, πάσχειν, πλὴν ἐκείνων, ἅπερ ἡ κύλιξ σύνοιδεν, ἤγουν πάντα τῷ ἀνδρί σου χαρίζου, τῆς δὲ συνουσίας μόνης ἀπέχου, καθάπερ ἐπὶ τῆς ἡμῶν ξυνωμοσίας ἐπὶ τῆς κύλικος ὑπέσχου ποιήσειν, ὅτε ἐκ τῆς αὐτῆς κύλικος ἅπασαι πιοῦσαι τὸν ὅρκον ὠρκώθημεν, οὕτω λέγουσαι, Οὐδεὶς ποθ' ἑκοῦσα τἀνδρὶ τῷ μῷ πείσομαι, καὶ τὰ ἑξῆς. Ξυνσταθεύσω.] ὀπτήσω, καύσω, πυρώσω, δηλονότι τῇ τῆς συνουσίας φλογὶ, καὶ κοινῆς ἐλπίδος ἐπιθυμίᾳ μεταφορικῶς.

CHR. Ἄνδρ' ὁρῶ.] Legerem ἀλλ' ἄνδρ' ὁρῶ vel ἄνδρ' ἄνδρ' ὁρῶ, Sed videóne inquit virum furentem & verè μανικόν. Παρὰ τὸ τῆς Χλόης.] Cereris est epitheton Chloe cuius fanum fuit in Attica regione multis columnis septum vt ait Hesychius. Sic autem dici potest, cùm messis adhuc est in herba. Κἀξηπεροπεύειν] Etiam legi potest per η vt sit pro καὶ ἐξηπεροπεύειν. Est autem ὑπέχειν hoc loco παρέχειν & morigeram esse, aliquando ὑφίστασθαι & ὑπομένειν vt Aristoteles, ῥᾴδιον ὑπέχειν τὰς θέσεις. Ὧν σύνοιδεν ἡ κύλιξ.] Nam fœdus factum est inter eas per calicem & vinum, ne quæ virum suum aut alienum fouere vellet ἄρθρα ἐν ἄρθροις.

F

ΚΙΝΗΣΙΑΣ, ΛΥΣΙΣΤΡΑΤΗ, Μυῤῥίνη, Ὁ παῖς.

Κι. Οἴμοι κακοδαίμων οἷος ὁ σπασμός μ' ἔχει.
Χὠ τέτανος ὥσπερ ἐπὶ τροχοῦ στρεβλούμενον.
Λυ. Τίς οὗτος οὑντὸς τῶν φυλάκων ἑστώς; Κι. ἐγώ.
Λυ. Ἀνήρ; Κι. ἀνὴρ δῆτα. Λυ. οὐκ ἄπει δῆτ' ἐκποδών;

CINESIAS, LVSISTRATA, MVRrina, Puellus.

CIN. Heu quanta miserum me tenet conuulsio!
G Tentigine eheu rumpor vt tortus rota.
LVS. Quis ille qui stat ante custodes? CIN. ego.
LVS. Quid? virne? CIN. vir planè est. LVS. abin' hinc protinus?

Κι. Σὺ δ' εἶ τίς ἡ 'κβάλλουσά μ'; Λυ. ἡμεροσκόπος.
Κι. Πρὸς τῶν θεῶν νυν ἐκκάλεσόν μοι Μυῤῥίνην.
Λυ. Ἰδοῦ. καλέσω 'γὼ τὴν Μυῤῥίνην σοι. σὺ δὲ τίς εἶ;
Κι. Ἀνὴρ ἐκείνης, Παιονίδης Κινησίας.
Λυ. Ὦ χαῖρε φίλτατ'· οὐ γὰρ ἀκλεὲς τοὔνομα
Τὸ σὸν παρ' ἡμῖν ἐστιν οὐδ' ἀνώνυμον.
Ἀεὶ γὰρ ἡ γυνή σ' ἔχει διὰ στόμα.
Κἂν ᾠὸν ἢ μῆλον λάβῃ, Κινησίᾳ
Τουτὶ γένοιτο φησίν. Κι. ὦ πρὸς τῶν θεῶν.
Λυ. Νὴ τὴν Ἀφροδίτην κἂν περὶ ἀνδρῶν γ' ἐμπέσῃ
Λόγος τις, εἴρηκ' εὐθέως ἡ σὴ γυνὴ,
Ὅτι λῆρός ἐστι τἄλλα πρὸς Κινησίαν.
Κι. Ἴθι νυν κάλεσον αὐτήν. Λυ. τί οὖν δώσεις τί μοι;
Κι. Ἔγωγε νὴ τὸν Δί' ἢν βούλῃ γε σύ.
Ἔχω δὲ τοῦθ' ὅπερ οὖν ἔχω δίδωμί σοι.
Λυ. Φέρε νυν καλέσω καταβᾶσά σοι. Κι. ταχύ νυν πάνυ
Ὡς οὐδεμίαν ἔχω γε τῷ βίῳ χάριν,
Ἐξ οὗπερ αὕτη 'ξῆλθεν ἐκ τῆς οἰκίας.
Ἀλλ' ἄχθομαι μὲν εἰσιών. ἔρημα δὲ
Εἶναι δοκεῖ μοι πάντα. τοῖς δὲ σιτίοις
Χάριν οὐδεμίαν οἶδ' ἐσθίων. ἔστυκα γάρ.
Μυ. Φιλῶ φιλῶ 'γὼ τοῦτον, ἀλλ' οὐ βούλεται.

A CIN. *Quæ me eijcis, quis es?* LVS. *Diurna sum vigil.*
CIN. *Nunc per Deos huc Murrinam mihi aduoca.*
LVS. *Bona verba, Murrinam ut tibi aduocem, hem quis es?*
CIN. *Vir illius Pæonides Cinesias.*
LVS. *O salue amice, cuius haud ignobile*
B *Ingloriúmve nomen est nobis quidem,*
Quum sis in ore semper uxoris tuæ,
Quæ si vel ouum sumpsit aut pomum manu,
Cinesiæ, inquit, seruo. CIN. *Dij vestram fidem.*
LVS. *Sin institutus de viris sermo incidat,*
Venerem fauentem sic habeßim, ut ait statim,
C *Hos esse nugas præ suo Cinesia.*
CIN. *Abi ergo, & illam accerse.* LVS. *Quid dabis mihi?*
CIN. *Quod habeo habebis si voles hoc per Iouem,*
Istud tibi inquam, quod habeo en dono libens.
D LVS. *Regressa, age hanc vocabo.* CIN. *sed properè admodum*
Ingrata namque vita prorsus est mihi
Ex quo uxor illa eliminauit, ac domum
Intrare tædet, nam videntur omnia
Deserta in illa, nec cibus alebribus
Iuuat frui scilicet tentus nimis.
MVR. *Amo hunc, amo inquam plurimum: hic à me tamen*
E

BISETVS. Οἴμοι κακοδαίμων.] ὁ Κινησίας, τὸ ἑαυτοῦ παιδίον ἐνέγκων, τὴν γυναῖκα Μυῤῥίνην οἴκαδε θᾶσσον ἐπανέρχεσθαι ἀναπείθειν πειρᾶται, καὶ πρὸς τὴν συνουσίαν προτρέπει. ἡ δὲ, καθὼς τῇ Λυσιστράτῃ ὑπέσχετο, ποικίλοις τρόποις τὸν ἄνθρωπον κατέχει, καὶ αὐτὸν ἐμπαίζουσα φενακίζει. περὶ Κινησίου δέ, φασιν ὅτι καταφερὴς ἦν εἰς συνουσίαν. καλῶς οὖν ὁ ἄνθρωπος ἀφροδισιαστικὸς, καὶ περὶ τὰς συνουσίας ἀκόλαστος Κινησίας καλεῖτο ἄν. παρὰ τὸ κινεῖν, τὸ βινεῖν ἢ συνουσιάζειν. Σπασμός.] διὰ τούτων μεγίστην συνουσίας ὄρεξιν ἐδήλου. τροχὸς δὲ, ξύλον ἦν, ἐν ᾧ δεσμούμενοι οἱ οἰκέται ἐκολάζοντο. στρεβλούμενον δὲ, μαστιγούμενον. Σ. Οὑντός.] τὸ πλῆρες ὁ ἐντός. ἡμεροσκόπος δὲ καλεῖται ὁ τὴν ἡμέραν σκοπῶν, καὶ τῇ ἡμέρᾳ φρουρῶν. Παιονίδης.] τουτέστιν ὁ Παίονος υἱὸς, ἢ ὁ ἐκ τῆς χώρας ἣ Παιονία ὀνομάζεται. τοῦτο δὲ, εἴτε πατρωνυμικὸν, εἴτε ἐθνικὸν, ἀμφιβολίαν τινὰ κακεμφάτου ἔχειν φαίνεται. σκώπτει γὰρ αὐτὸν ὡς εὐεπίφορον εἰς τὴν Ἀφροδίτην, καὶ Παιονίδην ἴσως ἀντὶ τοῦ παιονίδην, παρὰ τὸ παίειν, τὸ ὄνομα σχηματίσας γέλωτος, καὶ παιδιᾶς χάριν ἐκάλεσεν. διὸ καὶ αὐτὸν εἶπεν ἀεὶ τῇ γυναικὶ φίλον εἶναι, καὶ αὐτοῦ τὸ ὄνομα περιβόητον ἐν ἐκείναις. Διὰ στόμα.] καινοπρεπέστερον εἴρηται. ἀντὶ τοῦ ἀνὰ ἢ κατὰ τὸ στόμα. ἐν τῷ στόματι, διὰ στόματος. ταῦτα μᾶλλον ἐν χρήσει. Ἔγωγε νὴ τὸν Δία.] ὁ νοῦς ἐστιν, ἔγωγε δώσω σοί τι, ἐὰν σὺ θέλῃς τοῦτο λαβεῖν, ὅπερ μόνον ἔχω. κατὰ δὲ τὸ συμπαίζειν τῇ Λυσιστράτῃ ἀναιδῶς δείκνυσι τὸν φαλλὸν, ὃν αὐτῇ παρέξειν ὑπισχνεῖται εἴπερ ἐθέλοι. τὸ σχῆμα παρεπιγραφὴ καλεῖται. Τῷ βίῳ χάριν.] ὁ νοῦς. οὐδεμίαν χάριν, οὐδεμίαν ἡδονὴν ἐν τούτῳ τῷ βίῳ ἔχω. ἄνευ πάσης χάριτος ἄνευ πάσης ἡδονῆς τὸν βίον διάγων, ἀφ' οὗ αὕτη ἐκ τῆς οἰκίας ἐξῆλθεν. Αὕτη 'ξῆλθεν.] τὸ πλῆρες, αὕτη ἐξῆλθεν, καὶ γὰρ τῆς ἐννοίας, τῆς συντάξεως, καὶ τοῦ μέτρου χάριν οὕτω χαριέστερον. διεφθαρμένως δὲ ἔν τισι τῶν ἀντιγράφων γέγραπται, αὕτη ξυνῆλθεν. Ἔστυκα γάρ.] σπασμὸς γάρ, καὶ τέτανος ἔχει με. τῆς συνουσίας οὕτως ἐπιθυμῶ, ὥστε τὸν βίον ἐμοὶ παντελῶς εἶναι λυπηρὸν, καὶ ἀβίωτον, εἰ μὴ τῶν ἐπιθυμουμένων τύχω. ταύτην γὰρ τῶν ἀφροδισίων τὴν λίαν ὄρεξιν ὁ σπασμὸς, καὶ τέτανος ἐστὶ δηλοῖ. περὶ δὲ τοῦ στύειν, καὶ στύεσθαι ἄνω προείρηται.

CHR. Οἷος ὁ σπασμός μ' ἔχει.] Multæ sunt cõuulsionum species secundùm partes affectas, Hęc in pene est, & dicitur Satyriasis. Nam & σάτυρον Grammatici volunt vocari ὄρχιν. Quin satyrion herba dicta συνεργὸς πρὸς τὰς ἀφροδισίας ὁρμάς. Hic verò cinesias Dithyrambicus poeta perhibetur, & famosus propter impietatem & παρανομίαν. Qui Pæonides fuit, ege. du n

cuius

enim παιμνίδης non παρεῖδες. Tamen in Ranarum fabula Thebanus fuisse dicitur pessimus poëta lento & pigro corpore, & in Sceleti formam facto. Is fertur Pyrrhicham fecisse, & propter frequentes motus nomen tulisse Motorium: id enim est ὁ Κινησίας. Comicorum iram in se traxit, nam conatus est facere vt essent ἀχορήγητοι. Ne multa vix audeam præstare coniecturam aut affirmare hunc esse Cinesiam hoc loco qui in Ranis tangi-

A tur. Φέρε νυῦ καλέσω] Lege νῦν. i. αὐτ. Paulò post pro αὐτὴ ξυνῆλθεν legerem αὐτὴ ξῆλθεν pro ἐξῆλθεν. Εὐγυκα γὸ] σύειν est tentigine laborare. proverbiũ est apud Sudam, ὡδ' ἐν μιῇ α φρονεῖ ἰσυνὰς ἀνήρ. Eusthathius magis integrum proponit ex Rhetore Ælio Dionysio. Meminit huius prouerbij vir doctus & diligens Had. Iunius, rectéque notat lactucam ab Atheniensibus ἄσυτιν dictam, quòd eius vsus laxos nec rigentes ad Venerem reddat.

B

Τῷ ἐμοῦ φιλεῖσθαι. σὺ δέ με τούτῳ μὴ κάλει.
Κι. Ὦ γλυκύτατον Μυῤῥινίδιον τί ταῦτα δρᾷς;
Κατάβηθι δεῦρο Μυ. μὰ Δί' ἐγὼ μὲν αὐτόσ' οὔ.
Κι. Ἐμοῦ καλοῦντος οὐ καταβήσει Μυῤῥίνη;
Μυ. Οὐ γὰρ δεόμενος οὐδὲν ἐκκαλεῖς ἐμέ.
Κι. Ἐγὼ οὐ δεόμενος; ἐπιτετριμμένος μὲν οὖν.
Μυ. Ἄπειμι. Κι. μὴ δῆτ' ἀλλὰ τῷ γ' οὖν παιδίῳ.
Ὑπάκουσον οὗτος, οὐ καλεῖς τὴν μαμμίαν;
Παῖς. Μαμμία μαμμία μαμμία.
Κι. Αὕτη τί πάσχεις οὐδ' ἐλεεῖς τὸ παιδίον
Ἄλουτον ὂν κἄθηλον ἕκτην ἡμέραν;
Μυ. Ἔγωγ' ἐλεῶ δῆτ' ἀλλ' ἀμελὴς αὐτῷ πατὴρ
Ἐστί. Κι. κατάβηθ' ὦ δαιμονία τῷ παιδίῳ.
Μυ. Οἷον τὸ τεκεῖν. καταβατέον. Κι. τί γὰρ πάθω
Ἐμοὶ γὰρ αὕτη καὶ νεωτέρα δοκεῖ
Πολλῷ γεγενῆσθαι κἀγανώτερον βλέπειν.
Χ' ἃ δυσκολαίνει πρὸς ἐμὲ καὶ βρενθύεται,
Ταῦτ' αὐτὰ δή 'σθ' ἃ κἀμὲ ἐπιτρίβει τῷ πόθῳ.

Non vult amari, ne me ad hunc vocaueris.
CIN. Mellitula ô mea Myrrinilla, quid facis?
Accede sis huc. MVR. Non ego istuc per Iouem.
CIN. Non me vocante accedis huc ô Myrrina?
MVR. Nam tu vocas me nullius rei indigens.
CIN. Ego nullius egens? imò detritus magis.
MVR. Facesso. CIN. Noli, infantulum saltem audias.
C Heus tu pusille non vocabis Mammiam.
PVEL. O mamma, mamma, mamma, mamma, mammia.
CIN. Nec pusionis te, malum! miseret tui?
Sex lacte egentis iam dies, & pedidi.
MVR. Miseret quidem me, verùm inertem habet patrem
Segnemq;. CIN. ades misella & ad puerum redi.
D MVR. Proh parere quantiest! ergo eundum. CI. Quippini?
Mihi, vt videtur, hæc puellascit magis
Magisq; scita est, intuénsq; pulcrius:
Sed quòd superbit, & mihi est morosula
Hoc plus amore pectus exercet meum.

BISETVS. Σὺ δέ με τούτῳ.] ἡ Μυῤῥίνη πρὸς τὴν Λυσιστράτην καταβᾶσαν, καὶ αὐτὴν καλέσασαν, ὅπως πρὸς τὸν ἑαυτῆς ἄνδρα ἀναβαίη, ταῦτα λέγει, Σὺ δὲ ὦ Λυσιστράτη μὴ κάλει με τούτῳ, δηλονότι τῷ ἐμῷ ἀνδρί, ἀντὶ τοῦ, τουτέστι χάριν, ἵνα πρὸς τοῦτον ἔλθω. Κατάβηθι.] ἐκ τῶν τῆς Λυσιστράτης λόγων, Φέρε νυῦ καλέσω καταβᾶσα, δῆλον τὴν Λυσιστράτην ἐν τόπῳ ὑψηλοτέρῳ, τὴν δὲ Μυῤῥίνην ἐν ταπεινοτέρῳ πρότερον γενέσθαι. μετὰ δὲ τὴν ἀνδρὸς παρουσίαν δολίως εἰς τὰ ἄνω ἀναβῆναι, ἵνα πολὺ μείζω συνουσίας ἐπιθυμίαν ἐν τούτῳ ἀνάψῃ. διὸ ὁ ἀνὴρ αὐτὴν ἀναβᾶσαν ὁρῶν πρὸς τὴν συνέλευσιν, καταβῆναι κελεύει. τοῦτο δὲ κατὰ τὸ συντομώτερον οὕτω νοητέον. Αὐτόσ' οὔ.] αὐτόσε, ἐκεῖσε. λέγεται καὶ αὐτόθι. Σ. Οὗτος οὐ καλεῖς τὴν μαμμίαν.] οὕτως οἱ Ἀττικοὶ τὴν μητέρα καλοῦσιν, ἀπὸ τοῦ τὰ παιδία μαμμᾶν τὸ φαγεῖν λέγειν. Σ. Κινησίας τῷ παιδαρίῳ τοῦτο λέγει. ὁ δὲ παῖς πεισθέντως, ἀναβοῶν τὴν δι' τὴν φωνὴν ἐκφέρει, μαμμία, μαμμία, μαμμία. Κἄθηλον.] καὶ ἄθηλον. ἄνευ θηλῆς γεγονότα, οὐ τιθηλασμένον. γάλακτος μητρῴου ἢ πίονα. θηλή, τὸ ἀκρότατον τοῦ μαστοῦ, ὃ χυδαίως ῥᾶξ καλεῖται. καὶ θηλή, ὁ μαστὸς γαλακχόν, ὅθεν τὸ θηλάζειν. θηλάζειν δὲ λέγεται καὶ ἡ μήτηρ τὰς θηλάς, καὶ τὸν μαστὸν τὸ γάλα τοῖς παιδίοις προσφέρειν παρέχουσα. καὶ τὰ παιδία τὰς μητέρας θηλάζειν λέγεται, τουτέστι τὸ γάλα ἐκ τῶν θηλῶν. εἴτε μαστῶν τῷ στόματι ἐκπιέζειν, καὶ πίειν. Κἀγανώτερον βλέπειν.] ποθεινότερον, τερπνότερον. Σ. ἀγανοὶ λόγοι, οἱ προσηνεῖς. παρὰ τὸ ἄγαν

E κὸν, καὶ τὸ γάνυσθαι, οἷς τις ἄγαν γάνυται, ἤγουν χαίρει. ὅθεν γάνος. ἡ χαρά. καὶ ἀγανόν, τὸ καλόν, τὸ ἡδύ, τὸ προσηνές. πολὺ δὲ καὶ κατ' ἀντίφρασιν τὸ χαλεπόν. τὸ δὲ ἄγανον προπαροξυτόνως δηλοῖ τὸ κατεαγός. Δυσκολαίνει.] δυσφορεῖ. δύσκολος κυρίως λέγεται ὁ περὶ τὸ κῶλον, εἴτε τροφὴν δυσάρεστος. καὶ γενικώτερον πᾶς ὁ δυσχερὴς ἀνὴρ οὕτω καλεῖται. ὅθεν τὸ δυσκολαίνειν, ἀπὸ τὰς τροφὰς δυσαρεστεῖν, καὶ τὸ ἁπλῶς δυσαρεστεῖν, καὶ δυσφορεῖν. Βρενθύεται.] μεγαλοφρονεῖ, ὑπερηφανεύεται, ἐπαίρεται. Ἡσύχιος. καὶ τὸ βρένθος ἐπὶ τοῦ ὑπερηφανίας παρὰ τῷ Κωμικῷ, ἐξ οὗ τὸ βρένθειον μύρον τι ἐκεῖνο σεμνυνόμενον, καὶ τὸ βρενθύεσθαι, τὸ κατατρυφᾶν ἀλαζονικῶς.
F Ταῦτ' αὐτά.] τὸ πλῆρες, ταῦτα αὐτὰ δή ἐστιν ἃ καὶ ἐμὲ ἐπιτρίβει τῷ πόθῳ. τῆς συνουσίας δηλονότι.

CHR. Μαμμία.] Attici matrem vocabant μαμμίαν, quia infantes τὸ φαγεῖν vocabant μαμμᾶν, vt notant bonæ notæ Grammatici. Et sanè Latinum Mamma pro papilla hinc puto fluxisse. Τί γὰρ πάθω] Hæc aliquando putaui non à Cinesia vt notatur, sed à Myrrina dici. Nunc cohibeo assensionem, & rectè arbitror proferri ab ipso viro.
G Est autem hic ἀγανόν, ἱλαρόν, καὶ καλόν. Χ' ἃ δυσκολαίνει.] Hic τὸ δυσκολαίνειν est δυσφορεῖν, aliàs δυσκολία Aristoteli est ἀπόκλεισις συλλογισμοῦ φθαρτική. Est autem βρενθύεσθαι, ἐπαίρεσθαι & προσποιεῖσθαι ὀργίζεσθαι.

Ταῦτ' αὐτὰ δὴ ᾽δ'] puto δ' ἦσθα pro δ' ἦν, Hæc, inquit, quæ me desiderio torquent, vel lege δεῖ ταῦτα, ta-A men ἦς pro ἦν dicitur, ut apud Theocritum ἀλλ' ἦς οὐδὲν ἐλαφρόν.

Μυ. Ὦ γλυκύτατον σὺ παιδίον κακοῦ πατρός.
Φέρε σε φιλήσω γλυκύτατον τῇ μαμμίᾳ.
Κι. Τί ὦ πόνηρα ταῦτα ποιεῖς χ' ἁτέραις
Πείθει γυναιξίν. κἀμέ τ' ἄχθεσθαι ποιεῖς.
Κι. Αὕτη με λυπεῖ. Μυ. μὴ πρόσαγε τὴν χεῖρά μοι. B
Κι. Τὰ δ' ἔνδον ὄντα τἀμὰ καὶ σὰ χρήματα
Χεῖρον διατίθησ'. Μυ. ὀλίγον αὐτῶν μοι μέλει.
Κι. Ὀλίγον μέλει σοι τῆς κρόκης φορουμένης
Ὑπὸ τῶν ἀλεκτρυόνων; Μυ. ἔμοιγε νὴ Δία.
Τὰ τῆς Ἀφροδίτης ἱερ' ἀνοργίαστά σοι
Χρόνον τοσοῦτόν ἐστιν. οὐ βαδιεῖ πάλιν;
Μυ. Μὰ Δί' οὐκ ἔγωγ', ἢν μὴ διαλλαχθῆτέ γε, C
Καὶ τοῦ πολέμου παύσησθε. Κι. τοι γὰρ ἂν δοκῇ
Κἄγωγ' ἄπειμι κεῖσε. Μυ. νῦν δ' ἀπομώμοκα.
Κι. Σὺ δ' ἀλλὰ κατακλίθητι μετ' ἐμοῦ διὰ χρόνου.
Μυ. Οὐ δῆτα. καίτοι σ' οὐκ ἐρῶ γ' ὡς οὐ φιλῶ.
Κι. Φιλεῖς; τί οὖν οὐ κατεκλίνης ὦ Μυρρίνιον. D
Μυ. Ὦ καταγέλαστ' ἐναντίον τοῦ παιδίου;
Κι. Μὰ Δί'. ἀλλὰ τοῦτό γ' οἴκαδ' ὦ Μανῆ φέρε.
Ἰδοὺ τὸ μέν σοι παιδίον καὶ δὴ 'κποδών.
Σὺ δ' οὐ κατακλίνει. Μυ. ποῦ γὰρ ἄν τις καὶ τάλαν
Δράσειε τοῦτο. Κι. ὅπου τοῦτο Πανὸς καλόν.
Μυ. Καὶ πῶς ἔθ' ἁγνὴ δῆτ' ἂν ἔλθοιμ' ἐς πόλιν. E

MVR. O pulle dulcis improbi proles patris
Da basiem te, ô suaue mammia volup.
LVS. *Quid improba audes, fœminasq́ obtemperans*
Alijs, mihi sic anxitudinem creas?
CIN. *Mihi hæc molesta est.* MVR. *auffer hinc manum tuam,*
Iam tu meas res & tuas quæ sunt domi
Male ordinasti. CIN. *Paululum has curauerim.*
MVR. Parúmne curas alites quòd differunt
Detexta pullis licia? CIN. *at certè parum.*
Sed sacra Veneris non celebrasti orgia
Consueta tanto tempore: ecquid ire vis?
MVR. Non iuerim vnquam bella ni cessent prius,
Pacemq́ componatis. CIN. *ergò si placet,*
Illuc abiero, iamq́ deiurauero:
Mecum accuba ergo, iamdiu hoc non fecimus.
MVR. Non persuades, etsi amem, nam quid negem?
CIN. *Amas? age ergo Myrrinilla decubes.*
MVR. *Præsente pusione? numquid te pudet?*
CIN. *Imò hunc puellum seruus asportet domum:*
Manes abi & fer paruolum: en abest puer,
Nec decubas nunc. MVR. *obsecrò qua perfici*
Hoc sede possit? CIN. *Commode ad Panos specum.*
MVR. Qui tandem in vrbem pura sic reuorterer?

BISETVS. Χ' ἁτέραις.] καὶ ἑτέραις. κἀμέ τ' ἄχθεσθαι ποιεῖς.] τὸ πλῆρες, καὶ ἐμὲ ἔτι ἄχθεσθαι ποιεῖς. Τὰ δ' ἔνδον.] ἐν τούτοις πρότερον μεγάλην τῶν προσώπων τὴν σύγχυσιν, ἣν κατὰ τὸ δυνατὸν ἀνειλόμεθα, καὶ προσώποις ἑκάστοις τὰ προσήκοντα, καὶ λόγους οἰκείους ἀποδόντες καὶ τὰ πρόσωπα παρεγράψαμεν. ταῦτα οὖν ὁ Κινησίας πρὸς τὴν αὐτοῦ γυναῖκα λέγει. ἡ δὲ τούτων σύνταξις αὕτη. τὰ δὲ ἐμὰ, καὶ τὰ σὰ χρήματα ἔνδον ὄντα χεῖρον διατίθης. ἀλλὰ καὶ ἡ σύνταξις, καὶ ἡ ἔννοια ἀτελής ἐστιν, ἣν ἡ γυνὴ λόγον ἐπιφέρουσα διέτεμε, καὶ διέρρηξεν. τινὲς δὲ γράφουσι διατίθης, καὶ δεύτερον πρόσωπον ἀπὸ τοῦ διατίθημι ποιοῦσιν, ὅπερ ἁπλούστερον, καὶ βέλτιον δοκεῖ. Ὀλίγον αὐτῶν.] ἡ Μυρρίνη ταῦτα πρὸς τὸν αὐτῆς ἄνδρα λέγει. Ὀλίγον μέλει.] ὁ Κινησίας τῇ γυναικὶ ἐπιτιμῶν ταῦτα προσφέρει. πρὸς ὃν ἡ γυνὴ ἀποκρίνεται, ἔμοιγε νὴ Δία. ταῦτα ὁ Κινησίας ἐπιφέρει, τὰ τῆς Ἀφροδίτης, καὶ τὰ ἑξῆς. τούτων δὲ ὁ νοῦς οὗτος, τοσοῦτον δὲ χρόνον τὰ τῆς Ἀφροδίτης ὄργια ἀνοργίαστα μένοντα παρεῖδες. τοιγαροῦν δεῦρο, τοῦ δεῦρο πρὸς ἐμὲ νῦν βάδιζε, ἵνα ταῦτα τελέσωμεν, τούτοις συνέλθωμεν, καὶ μίξεως ἡδονὴν λάβωμεν. ἀλλὰ τοσοῦτον ὁ ποιητὴς προ[illegible] εὐφημίαν τῶν λόγων ὁ Ἀριστοφάνης ἐν ἅπασι τοῖς ἑαυτοῦ δράμασιν ἐπιμελῶς ἐφύλαξεν. οὐδὲν γὰρ ὑπὸ τῶν σωφρόνων ἀνδρῶν ἐψέχθη. ἀλλὰ τῆς ἀσελγείας καὶ αἰσχρολογίας δίκαιος ὁ ψόγος. Νῦν δ' ἀπομώμοκα.] ἀντὶ τοῦ ὁρκωμοσίαν πρὸς τὰς γυναῖκας πεποίηκα. Σ. ἄλλως. ὤμοσα τῆς συνουσίας ἀφέξειν. ἐνταῦθα δὲ τὸ τῆς Μυρρίνης ὄνομα παρακεχαράχθαι. Σὺ δ' ἀλλά.] ταῦτα ὁ Κινησίας προσφέρει. διὸ καὶ αὐτοῦ τὸ πρόσωπον παρακεχαρακτέον. Διὰ χρόνου.] διὰ χρόνου διῃρημένως παρὰ τῷ Σουίδᾳ γράφεται, καὶ ἑρμηνεύεται, μετὰ πολὺν χρόνον. τούτων τοίνυν ὁ νοῦς οὗτος, μετὰ τὴν σου πολυχρόνιον ἀπουσίαν, ἐπεὶ τοσοῦτον χρόνον τῆς συνουσίας ἀπεῖχες, νῦν μετ' ἐμοῦ κατακλίθητι, καὶ κοιμοῦ. τινὲς μέντοι τὸ διὰ χρόνου ἀντὶ τοῦ λαμβάνουσιν, ἀντὶ τοῦ, ὀλίγον χρόνον, κατ' ὀλίγον χρόνον. ἄλλοι δὲ τὸ διαχρόνου μιᾷ λέξει γραφόμενον ἑρμηνεύουσιν, ἐν τούτῳ, ἐν τοσούτῳ, ἐν τῷ μεταξὺ, κατὰ τοῦτον τὸν χρόνον. ὅπερ ἴσως οὐκ ἀπίθανον. Ὦ Μανῆ] Μανῆς, ὄνομα δούλου. ἐν τῇ κλητικῇ Μανῆ, ὡς Ἑρμῆ. Δράσειεν τοῦτο.] ἐκ τῶν ἄνω προειρημένων, ἐν τῷ, Ἡ Πανὸς ἐστι ταὐλίον, δῆλον ἐστι καὶ νῦν, καὶ μέτρου χάριν οὕτω χαρακτέον, Δράσειε τοῦθ; Κι. ὅπου τὸ Πανὸς αὔλιον. ἢ τὸ Πανὸς σπήλαιον.

CHR.

CHR. Τεκνίδιον κακοῦ πατρός.] Alludit ad versum Æschyli ex Prometheo soluto puto, cùm enim Prometheus liberatorem suum Herculem cum arcu & sagittis auxiliaturum sibi vidisset, dixit, ἐχθροῦ πατρός μοι τοῦτο φίλτατον τέκνον. i. Hęc chara proles patris inuisissimi. Plutarchus vitam Pompeii ab hoc Æschuleo versu ordiri voluit. Paulò post pro διατιθεῖσ' quasi sit pro διατιθεῖσα legó vt in Veneta editione διατιθεῖς, & mox ἀναψᾶ ἐκτρῖψει extrito ι. & σύ δ' ἀλλὰ non ἄλλα. Δράσειε τοῦ.] Lege vel bis τοῦ, vt sit τοῦ θ' ὅπου &c. vel δράσειε τὸ θ' ὅπου τουτὶ πανὸς καλόν. Sed nihilominus obscurus mihi est locus, ac nescio an πανόσκαλον melius de quo Hesychius, nisi quod per ω offert τὸ σκῶλον. Mihi autem videtur innui antrum Panos.

B

Κι. Κάλλιστα δήπου λουσαμένη τῇ Κλεψύδρᾳ.	CIN. *Rectè atque bellè ad Clepsydram fontem lauans.*
Μυ. Ἔπειτ' ὀμόσασα δῆτ' ἐπιορκήσω τάλας;	MVR. *An deierem vt ineptè quæ iurauerim?*
Κι. Εἰς ἐμὲ τράποιτο. μηδὲν ὅρκου φροντίσῃς.	CIN. *Depone curam hanc, iste erit mecum labor.*
Μυ. Φέρε νῦν ἐνέγκω κλινίδιον νῷν. Κι. μηδαμῶς.	MVR. *Ibo afferamq́ culcitam nobis.* CI. *sine,*
Ἀρκεῖ χαμαὶ νῷν. Μυ. μὰ τὸν Ἀπόλλω μή σ' ἐγὼ	*Humus ipsa nobis sufficit.* MV. *nullo modo*
Καίπερ τοιοῦτον ὄντα κατακλινῶ χαμαί.	*Ne te reclinem quamlibet grandem solo.*
Κι. Ἥ δή γυνή φιλεῖ με, δήλη 'στὶ καλῶς.	CI. *Apparet hanc me pulchre amare fœminam.*
Μυ. Ἰδού κατάκεισ' ἀνύσας τι. κἀγὼ 'κδύομαι	C MV. *Eia recumbe, quæso, donec exuor,*
Καίτοι τὸ δεῖνα ψίαθός ἐστ' ἐξοιστέα.	*Tamen ferenda nescio vnde stragula.*
Κι. Ποία ψίαθος; μή μοί γε. Μυ. νὴ τὴν Ἄρτεμιν.	CI. *Quæ stragula: haud quidem mihi.* MV. *attamen*
Αἰσχρὸν γὰρ ἐπὶ τόνου γε. Κι. δός μοί νυν κύσαι.	*In pelle turpe est per Dianam.* CI. *Da osculum.*
Μυ. Ἰδού. Κι. παπαιάξ. Μυ. ἧκέ νυν ταχέως πάνυ.	D MVR. *Eccum.* CI. *Papaax, nunc adesdum huc ocyus.*
Ἰδού ψίαθος. κατάκεισο· καὶ δὴ 'κδύομαι.	MVR. *En stragula, en nunc accubes, mox exuar*
Καίτοι τὸ δεῖνα προσκεφάλαιον οὐκ ἔχεις.	*Sed nullus hic puluillus est adhuc tibi.*
Κι. Ἀλλ' οὐ δέομ' οὐδὲν ἔγωγε. Μυ. νὴ Δί' ἀλλ' ἐγώ.	CI. *Nil certè opus nunc est mihi.* MV. *Certè est mihi.*
Κι. Ἀλλ' ἦ τοι τὸ πέος τόδ' Ἡρακλῆς ξενίζεται.	CI *Nisi mentula instar hospitis sit Herculis,*

BISETVS. Τῇ Κλεψύδρᾳ.] Κλεψύδρα, ἡ πηγή. διὰ τὸ ποτὲ μὲν πλημμυρεῖν, ποτὲ δὲ ἐνδεῖν. Σ. καὶ, Κλεψύδρα κρήνη, ἥτις τὸ πρότερον Ἐμπεδὼ προσηγορεύετο. ἔχει δὲ τὰς ῥύσεις ἀνατελλούσας εἰς τὸ Φαληρία δῆμον. Ἡσύχιος. τὰ χίλια εἰς Σφῆκας οὕτω, Κλεψύδρα, κρήνη ἐν τῇ Ἀττικῇ, ἥτις Ἐμπεδὼ προσηγορεύετο. καὶ ἐν Ὄρνισι, Κλεψύδρα, κρήνη ἐν Ἄργει. καὶ, Κλεψύδρα, κρήνη ἐν Ἀκροπόλει. ἐφ' ἧς νῦν ὁ λόγος [illegible] φαίνεται. ὅτι ἡ ἀνόμασται ἀπὸ ἀρχομένων τῶν Ἐτησίων πληροῦται. παυομένων δὲ, λήγει. ἀλλαχοῦ δ' ἄλλα σημαίνει. ἐν τοῖς δὲ παιδικοῖς, ὁ Πλάτων χάριν τῆς ἀνδρὸς αἰδοίου. οὕτω καλοῦσιν δοκῶ, ὅτι καὶ τὸ κλεψύδρας δίκην ὑρεῖ. διὰ δὲ τοῦτον ὁ ἄνω [illegible] καὶ τὸ πλείονα προείρηται. Εἰς ἐμὲ τράποιτο.] δηλονότι τῆς ἐπιορκίας ἡ καταίρα, ἢ τιμωρία. Νῦν ἐνέγκω.] τινὲς μετ' ἐρωτήσεως ταῦτα γράφουσι. Κατακλινῶ.] κατακλινῶ νῦν ἐνεργητικῶς ληπτέον, ἀντὶ τοῦ, ἐγὼ μηδαμῶς σε χαμαὶ κατακλίνειν ποιήσομαι, καίπερ ὄντα τοιοῦτον, τουτέστιν ἐμοῦ οὕτως ἐρῶντα, καὶ τῆς συνουσίας ἐπιθυμοῦντα. Καίτοι τὸ δεῖνα.] ὅτε τι δυσχερὲς μέλλομεν λέγειν, εἰώθαμεν τοῦτο προτάττειν. ὡς μὴ εὐθυρρημονοῦντες. ψίαθος ἡ χαμεύνη, ἢ τὸ φυτὸν ἐξ οὗ πλέκεται ψίαθος. ὅθεν ψιάθια, τὰ ἐν τοῖς δικαστηρίοις ἐπὶ τῶν καθεδρῶν ἐπεστρωμένα. Ἡσύχιος. καὶ ὁ ψίαθος ἀρσενικῶς, καὶ ἡ ψίαθος θηλυκῶς λέγεται. Ἐπὶ τόνου.] τόνος, τὸ κραββάτιον τὰ σχοινία. Σ. ὅτι δὲ ταῦτα λέγεται, ὅτι ἐπιτείνεται πρὸς τὸ δέχεσθαι τὰ στρώματα, διὰ τοῦτο καλεῖται τόνος. κῦσαι δὲ, φιλῆσαι. ὅθεν κῦμα, τὸ φίλημα. ἧκε δ' ἀλλ' ὡς. καὶ δὴ 'κδύομαι, καὶ δὴ E ἐκδύομαι. ταῦτα δὲ πάντα τοῦ Κινησίου τὴν ἀκράτειαν, καὶ περὶ τὰς συνουσίας ἀκολασίαν δηλοῖ. Ἀλλ' ἦ.] ἄλλως, κατ' ἄλλο μέρος. καὶ ἄλλην χώραν, ἢ κατὰ τὴν προσήκουσαν ξενίζεται καὶ ἀποδημεῖ. ὁ νοῦς δὲ, τὸ πέος ἐν ἐν τῇ ἑαυτοῦ χώρᾳ ἐστιν, ἀλλὰ ξενίζεται, ὃ ἀποδημεῖ. λειτεῖ τὸ εἰσέρχεται εἰς τόπον, εἰς ὃν πρότερον εἴωθεν εἰσελθεῖν. γράφεται καὶ ἀλλ' ἦ, ἤγουν ἀλλὰ ὄντως. τὸ γὰρ ἢ ψιλούμενον, καὶ περισπώμενον σύνδεσμον δηλοῖ παραπληρωματικὸν ἴσον τῷ δή, καὶ ἦ, ἀληθῶς, ὄντως. Ἡσύχιος. στρόφιον δὲ, τὸ γυναικεῖον ζωνάριον στρογγύλον. Σ.

F

CHR. Τῇ Κλεψύδρᾳ.] Clepsydra fons Athenis quæ prius dicta ἐμπεδὼ (puto qua ratione αἴδης dicitur ἔμπεδος) & sub terram fertur viginti stadiis ab Acropoli. Sic autem vocatur, ait Sudas, quia interdum exundat, interdum verò deficit. sed verecundè arbitror ludere Comicum ad virilem penem qui etiam dicitur κλέψυδρος, quia ὕδωρ κλέπτει vt dixit in Vesparum fabula. Αἰσχρὸν γὰρ ἐπὶ τόνου γε.] Vox τόνου auctore suda, etiam G significat τοῦ κραββατίου τὰ σχοινία. Sed lege hic cum Veneta editione τοῦ ἐπιτόνου. Est autem ἐπίτονος δέρμα ᾧ κατασφάλισαι ὁ ἱστός (sic enim lege apud Hesychium non τὸ ἱστίον) τῆς νεώς. Sudas ad hunc locum dixit γελοῖον ἐπὶ δέρματος, ὅμορος ἐπιτόνος βέβλαπτα.

Ἀλλά τοι τὸ πέος] ἀλλ' εἰ pro εἰ μὴ vel ἄρα. delendum autem puto τοι. Prouerbium est ἡρακλῆς ξενίζεται, de tardè venientibus dictum, quia qui hospitio accipiebant Herculem, multum temporis exspectabant donec satur fieret, nam erat πολυφάγος & ἀδηφάγος, & cui illud Theocriti competeret πεινῶντι μὲν οὐδ' ἕπος χ' ἔνθοις. Ait igitur, Non opus est mihi puluinari, nisi mentula sit velut Hercules A hospitio acceptus & diu moraturus, quasi dicat, statim expediuero. Tamen existimo per hoc prouerbium innui, properandum esse neque moram trahendam, Quia vbi accipitur Hercules magnus comedo, eò non tardè veniendum. Quod autem ait ὦ χρυσίον, notandum est apud Hesychium sic etiam dici τὸ τῶν παίδων αἰδοῖον.

Ἀνίστασ' ἀναπήδησον. Μυ. ἤδη πάντ' ἔχω.
Κι. Ἅπαντα δῆτα; δεῦρό νυν ὦ χρύσιον.
Μυ. Τὸ στρόφιον ἤδη λύομαι. μέμνησο νῦν.
Μή μ' ἐξαπατήσῃς τὰ περὶ τῶν διαλλαγῶν.
Κι. Νὴ Δί' ἀπολοίμην ἆρα. Μυ. σισύραν οὐκ ἔχεις;
Κι. Μὰ Δί' οὐ δέομαί γ' ἀλλὰ βινεῖν βούλομαι.
Μυ. Ἀμέλει ποιήσεις τοῦτο. ταχὺ γὰρ ἔρχομαι.
Κι. Ἄνθρωπος ἐπιτρίψει με διὰ τὰ στρώματα.
Μυ. Ἔπαιρε σαυτόν. Κι. ἀλλ' ἐπῆρται τοῦτό γε.
Μυ. Βούλει μυρίσω σε; Κι. μὰ τὸν Ἀπόλλω μὴ μέ γε.
Μυ. Νὴ τὴν Ἀφροδίτην ἤν τε βούλει γ' ἤν τε μή.
Κι. Εἴθ' ἐκχυθείη τὸ μύρον ὦ Ζεῦ δέσποτα.
Μυ. Πρότεινε δὴ τὴν χεῖρα κἀλείφου λαβών.
Κι. Οὐχ ἡδὺ τὸ μύρον μὰ τὸν Ἀπόλλω τουτογί.
Εἰ μὴ διατριπτικόν τι κοὐκ ὄζον γάμων.
Μυ. Τάλαιν' ἐγὼ τὸ ῥόδιον ἤνεγκον μύρον.
Κι. Ἀγαθόν. ἔα αὔτ' ὦ δαιμονία. Μυ. ληρεῖς ἔχων.
Κι. Κάκιστ' ἀπόλοιθ' ὁ πρῶτος ἑψήσας μύρον.
Μυ. Λαβὲ τόνδε τὸν ἀλάβαστρον. Κι. ἀλλ' ἕτερον ἔχω.
Ἀλλ' ὦ 'ζυρὰ κατάκεισο καὶ μή μοι φέρε
Μηδέν. Μυ. ποιήσω ταῦτα νὴ τὴν Ἄρτεμιν.
Ὑπολύομαί γ' οὖν ἀλλ' ὅπως, ὦ φίλτατε
Σπονδὰς ποιεῖσθαι ψηφιεῖ. Κι. βουλεύσομαι.
Ἀπολώλεκέν με κἀπιτέτριφεν ἡ γυνή.
Τά τ' ἄλλα πάντα, κἀποδείρασ' οἴχεται.
Οἴμοι τί πάθω. τίνα βινήσω
Τῆς καλλίστης πασῶν ψευσθείς;
Πῶς ταύτην παιδοτροφήσω;
Ποῦ χηναλώπηξ;
Μίσθωσόν μοι τὴν κύστην.

B Exsurge, prosili. MVR. Omnia hic parata sunt.
CIN. An omnia inquis? huc ades mea aurea.
MVR. Strophium resolue pectorale, tu modò
Nec falle me, nec fœderum obliuiscere.
CIN. Aut Iuppiter me perdat. MVR. Haud mastrucam habes.
CIN. Nihil necesse est, sed libens coiuerim.
MVR. Hoc ergo facies, quippe mox illuc eo.
C CIN. Homo iste propter stragula hic me deteret.
MVR. Te te parumper surrige. CIN. arrectum hoc quidem est.
MVR. vin' vt te inungam? CIN. per Iouem nullus velim.
MVR. Per Cyprin almam, seu velis seu non velis.
D CIN. O si vnguen illud effluat Rex Iuppiter.
MVR. Manum ergo porrige, accipe istud vncti.
CIN. Per Apollinem ista vnguenta non sunt suauia,
Intrita ni sint, nuptiasq́ olentia.
MVR. Rhodium vnguen eheu mecum inepta detuli.
E CIN. Bonum est, sed aliud mitte, sis. MVR. nugas agis.
CIN. vtinam perisset primus vnguentarius.
MVR. Alabastrum age istud suaue. CIN. sed habeo alterum,
Tantùm supina accumbe, vah ne quidquam mihi
Adferre cura. MVR. Hoc exsequar per Artemin,
F En calceos resoluo, at ô charissime
Vide vt illa fiant fœdera. CIN. animum aduertero,
Hæc perdidit me, & prorsus extritum dedit
Mulier facessens, meq́ nudum excodicant.
Heu me miserum! quam pertuolam, vbi
Formosissima me decepit?
G An cum puero hanc ego tollam?
Volpanser heus tu,
vuluam mi nunc conduce.

BISETVS. Ἄνθρωπος.] ὁ νοῦς οὗτος, ἡ γυνὴ αὕτη ἀπολέσει με διὰ τὰ στρώματα. καὶ γὰρ τότε μὲν προσφέ-

φάλλον, τότε δὲ ψίαθον, σισύραν, ἢ ἄλλο τι τῶν στρωμάτων ἐνέγκασθαι προφασίζουσα, χαμεὶ ἀναβάλλεται, καὶ ἐπὶ μακρὸν, καί με τὸ Ἀφροδίτης ἔργον, οὗπερ ἰσχυρῶς σφόδρα ἐπιθυμῶ, ἀποτελεῖν ἐμποδίζει. Σημειωτέον δὲ τὸ ἄνθρωπος νῦν θηλυκῶς, ἀντὶ τοῦ γυνὴ λαμβάνεσθαι, ὡς καὶ παρὰ Διονυσίῳ τῷ Ἁλικαρνασσεῖ ἐν ἀρχαιολογίας Ρωμαϊκῆς πρώτῳ. Χρόνου δὲ προϊόντος, ὡς πολλὴν ζήτησιν εἶναι τῆς γυναικὸς ὑπὸ τῶν Λατίνων γινομένην, καὶ δι' αἰτίας ὄντα παρὰ τῷ πλήθει τὸν Ἀσκάνιον, ὡς ἀνῃρηκότα τὴν μητρυιὰν, φράζει τῷ δήμῳ τὸ πρᾶγμα, καὶ τὴν ἄνθρωπον ἄγει. καὶ πάλιν, ἐκ παντὸς ὥρμητο τρόπου τὴν ἄνθρωπον ἀπολέσαι. Ἐπῆρται τοῦτο γε.] τοῦτο τὸ πέος δηλαδὴ ἀνώρθωται, ἕστηκε. Διατριπτικόν.] παρὰ τὸ διατρίβειν, καὶ ἀναβάλλεσθαι λέλεκται, ἀντὶ τοῦ διατριβῆς γέμον, καὶ βραδυτῆτος. ἢ ὅτι ἐπιτριβόμενα ὄντα τὰ μύρα ἡδίω γίνεται. ἅμα δὲ καὶ πρὸς τὴν διατριβήν. Σ. ῥόδιον δὲ μύρον καλεῖ, ἢ τὸ ἐκ τῶν ῥόδων, ἢ τὸ ἐκ τῆς Ῥόδου νήσου. Ἐψήσας.] ἕψειν, ἑψεῖν, καὶ ἑψιᾶν ταυτό. καὶ τῷ ὅπλῳ ἀντίκειται. νῦν δὲ τὸ συντιθέναι, καὶ κυκᾶν, ὥστε μίξιν, καὶ ἑψήσει παρασκευάζειν δηλοῖ. Τὸν ἀλάβαστρον.] τοῦ μύρου τὸ ἄγγος λίθινον, λαβὰς οὐκ ἔχον. Σ. ὦ ζυρά. τὸ πλῆρες, ὦ ὀϊζυρά. ὦ τάλαινα. ὦ ἀθλία. Ἀλλ' ὅπως.] δηλονότι ὅρα, σκέψαι, ὅπως σπονδὰς ψηφίσῃ ποιήσασθαι. Ἀπόλωλεν.] ὁ Κινησίας ὑπὸ τῆς γυναικὸς καταλειφθεὶς ἐν τούτῳ μέμφεται. αὕτη γὰρ μετ' τούσδε τοὺς λόγους,

Ὑπολύομαί γ' ὦ, καὶ τὰ ἑξῆς,

τὸν ἄνδρα ἑστηκότα ψεύσασα ἀπέλιπε. Κἀπιτέτριφεν.] καὶ ἐπιτέτριφεν. τά τ' ἄλλα πάντα, καὶ τἄλλα πάντα. καὶ ἀποδείρασά με ἀπῆλθεν. τοῦτο δὲ κακέμφατόν τι ἔχει. ψευσθεὶς δὲ, ἀποτυχὼν, τῆς ἐλπίδος ἁμαρτὼν, καὶ τὴν ἐπιθυμίαν οὐκ ἀποτελέσας. ταύτην δὲ παιδοτροφήσω, τὴν ψωλὴν διασκευάσων τοῦτο λέγει. καὶ ἔστι παρατραγῳδία. ὁ δὲ νοῦς ἐστὶν, ὑπὸ τῆς ἐμῆς γυναικὸς ἀπατηθεὶς τίνι ἄλλῃ συνεῖναι, ὁ κινδυνεύω, ὅπως τὴν Ἀφροδίτης

A ἐπιθυμίαν παύσω; τοῦτο δὲ κωμικώτερον, καὶ ἀσεβέστερον καλεῖ τῆς ψωλῆς παιδοτροφίαν. παιδοτροφήσω δὲ ὡς παῖδα θρέψω. τουτέστι ταύτῃ ὡς παιδὶ τροφὴν παρέξω. Ποῦ χηναλώπηξ.] χηναλώπηξ εἶδος ὀρνέου. οὕτω δὲ καὶ ὁ Λυσίστρατος ἐλέγετο, ὃς ἐπὶ μαλακίᾳ διεβέβλητο, ἦν δὲ πένης, καὶ κυβευτὴς ἐν ἀγορᾷ Χολαργέων. Χολαργεῖς δὲ, δῆμος τῆς Ἀττικῆς. Σ. Τὴν κύστιν.] ἀντὶ τοῦ, τὸ κύσθον, τουτέστιν αἰδοῖον γυναικεῖον. οἱ δὲ κύστιν λέγουσι. καὶ τὴν οὐρήθραν, τὸ ἐφήβαιον, τὸ ὑπογάστριον, τὴν κοιλίαν, τὴν φύσιν οὕτω καλοῦσιν. εἴρηται δὲ

B φύσις ἀπὸ τοῦ πάσχειν πεφυκέναι.

CHR. Ἄνθρωπος ἐπιτρέψει.] Possit aliquis putare hæc à Myrrina dici, vt ἄνθρωπον de suo viro dicat, sed qui considerabit Hesychii verba quibus apud Laconas fœminam propriè vocari ἄνθρωπον constat, deinde quæ postea dicuntur ab ipso Cinesia (vt puto) ἐπιτέτριφέ μ' ἡ γυνὴ, sententiam mutabit neque Cinesiæ personam Myrtinæ

C persona. Εἰ μὴ διατριπτικόν.] Vel propter morā & tarditatem qua prudens vtitur coniux Myrrina, vnguentum illud vocat διατριπτικόν, vel quia trita vnguenta sunt suauiora. Notandum est autem per vnguentum Rhodium, adlusisse videri Comicum ad μόριον τῆς γυναικὸς, quia apud Mitylenæos ῥόδον & ῥοδωνιὰν sic vocent, aliquando τὸ τοῦ ἀνδρὸς teste Hesychio, vt etiam vocatur μύρτος τὸ γυναικεῖον. Ὑπολύομαί γ' ὦ.] Puto esse calceos demere, vt ὑποδύομαι contrà, facilis lapsus τοῦ Δ. &

D τοῦ Λ. vt ne sequaris editiones quæ habent ὑποδύομαι. Ποῦ χηναλώπηξ.] Species est auis. Hoc nomine vocatus est Lysistratus mollis homo, pauper & aleator ἐν ἀγορᾷ χολαργέων. nec id solum sed Colax & adulator: Alij Theagenem dicunt, vter vter fuerit, siue Lysistratus, siue Theagenes, certè artem exercuit leoniam.

E

ΧΟΡΟΣ ΓΕΡΟΝΤΩΝ.

Κινησίας.

Χο. Γε. ΕΝ δεινῷ γ' ὦ δύστηνε κακῷ
Τείρει ψυχὴν ἐξαπατηθείς.
Κἄγωγ' οἰκτείρω σ'. αἰαῖ.
Ποῖος γὰρ ἂν ἢ νεφρὸς ἀντίσχοι
Ποία ψυχή; ποῖοι δ' ὄρχεις;
Ποία δ' ὀσφῦς; ποῖος δ' αὖ ὄρρος
Κατατεινόμενος
Καὶ μὴ κινῶν τοὺς ὄρθρους.
Κι. Ὦ Ζεῦ δεινῶν ἀντισπασμῶν.
Χο. Γε. Ταυτί μέντοι νυνί σ' ἐποίησ'
ἡ παμβδελυρὰ καὶ παμμυσαρά.
Κι. Μὰ Δί' ἀλλὰ φίλη καὶ παγγλυκερά.
Χο. Γε. Ποία γλυκερά; μιαρὰ μιαρά.
Δῆτ' ὦ Ζεῦ, ὦ Ζεῦ.
Εἴθ' αὐτὴν ὥσπερ τοὺς θωμοὺς
Μεγάλῳ τυφῷ καὶ πρηστῆρι
Ξυστρέψας καὶ ξυγγογγυλίσας
Οἴχοιο φέρων. εἶτα μεθείης.

CHORVS SENVM.

Cinesias.

CH. S. MAgno infelix angore animus
Tibi deceptus nunc cruciatur.

F Miserorq́ tuam sortem, heu heu
Quis enim istud ferre rien possit?
Quæ mens? quod pectus? qui testes?
Quæ vis lumborum? qui penis
Ita distentus?
Atque in lucem productus.
CIN. O tormina dira reuulsiua.
CH. S. Scilicet horum causa malorum est
Mulier scelerata atque nefanda.
CIN. Sed amica mihi totaq́ dulcis.
G CH. Qui dulcis? at exsecranda, mala.
O diuûm rector
Tu fulminei turbine venti
Illam contorquens atque rotans
Sublime feras & agas, deinde

Ἢ δὲ φέροιτ' αὖ πάλιν εἰς τὴν γῆν. A
Κᾆτ' ἐξαίφνης
Περὶ τὴν ψωλὴν περιβαίη.

A Mittat, illa in terram redeat
Atque subinde
Curtum penem undiq; fraxet.

Bisetus. Ἐν δεινῷ.] ὁ τῶν γερόντων χορὸς τὴν Κινησίου ὑπὸ τῆς γυναικὸς παρὰ γνώμην καλεσθέντος τύχην, καὶ τὴν ἀπροσδόκητον ἐλπισθείσης συνουσίας ἀποτευξιν οἰκτείρει. τείρει δὲ, Ἀττικῶς, ἀντὶ τοῦ τείρῃ. τείρομαι, καταπονοῦμαι, λιμωροῦμαι. Ποία ψυχή;] λιπὸς ἐκ ἀπιθάνως χαστέον οἴονται, ποία ψωλή; ψωλὴ δὲ, τὸ ἀνδρὸς αἰδοῖον. ὁ νοῦς. διὰ ταύτην συνουσίας ἀνυπόστατον ἐπιθυμίαν, τίς ποτε τοῖς σπασμοῖς, καὶ τετάνοις τοιούτοις, καὶ τοσούτοις, οἵοις ὁ Κινησίας νῦν ὑπὸ τῆς γυναικὸς ψευσθεὶς διαῤῥήγνυται, ῥᾳδίως ἂν ἀντίσχοι τίς οὐ διαῤῥαγείη; ἀντισχεῖν δὲ, ὑπομεῖναι. Σ. Ποία δ' ὀσφύς;] ὀσφὺς, ὁ παρὰ πλευρὸν διήκων τόπος. Ἡσύχ. ἄλλως. ὀσφὺς, τὰ πλησίως τοῦ γλουτοῦ. ἢ ἡ ῥάχις. ἢ ἡ ψόα, ὡς μὲν Ἀριστοτέλης ἡ ἴση πρὸς τὰ ἄνω ἐμπεφυκυῖα, ἰσοφυὴς τοῖς οὔσα. ὡς δὲ Ἀπολλόδωρος, οἱονεὶ ὀστοφυὴς οὖσα. ὀστώδης γάρ ἐστιν. Σ. Ὄρρος.] ὁ λεγόμενος ταῦρος, τὸ μεταξὺ τῶν διδύμων. Σ. παρὰ δὲ τῷ Ἡσυχίῳ, ὄῤῥος ἑρμηνεύεται ἡ τράμις. Καὶ μὴ κινῶν τοὺς ὄρθρους.] τί τοῦτο βούλεται σημαίνειν, οὐ δῆλον. πλὴν κακέμφατόν τι αἰνιγματικῶς νοεῖν φαίνεται. ὄρθρος, ὁ μικρὸν πρὸ τῆς τοῦ ἡλίου φαύσεως καιρός. παρὰ τὸ ὄρω, ὄρσω λεγόμενος, ὁ παρὰ τὸ τοὺς ἀνθρώπους εἰς ἔργα ἐγείρειν, καὶ ὀρθοῦν. αὐτὸς δὲ ὁ καιρὸς τῇ Ἀφροδίτῃ τερπνότατος, καὶ πρὸς τὰς συνουσίας ἐπιτηδειότατος, διὸ καὶ ἐν τοῖς ἑξῆς, ὁ τῶν γερόντων χορὸς τοῖς Ἀθηναίοις λέγει, D

Ἤ που πρὸς ὄρθρον σπασμὸς ὑμᾶς λαμβάνει;

ἴσως οὖν, καὶ νῦν τοὺς ὄρθρους τροπικῶς, καὶ ἀλληγορικῶς ὁ ποιητὴς καλεῖν δοκεῖ, αὐτὰς τὰς γυναῖκας, τὰς περὶ τὸν ὄρθρον κινουμένας. τίς οὖν (φησὶν) ἀντίσχει τούτοις τοῖς σπασμοῖς, καὶ τετάνοις, μὴ ἔχων ὅπως τὴν τῆς ἐπιθυμίας κίνησιν κινεῖν, καὶ ἀσκεῖν δύναιτο. Ἄλλως. ἴσως ἐνταῦθα παίζει πρὸς καλούμενον ὄρθιον νόμον, ἤγουν τρόπον ἐκεῖνον ᾠδῆς εἰς πόλεμον ἐρεθιστικὸν, αἰνιττόμενος τὴν ὀρθρινὴν ἀφροδισιαστικὴν ἔντευξιν, καὶ συμπλοκήν. περὶ δὲ τῆς τοιούτου ὀρθίου νόμου ἐνεργείας, καὶ δυνάμεως, οὕτω παρὰ τῷ Εὐσταθίῳ γέγραπται. Τιμόθεος οὖν ὄρθιον ᾄσας, τοσοῦτο τὸν Ἀλέξανδρον ἄρεος ἔπλησεν, ὡς εἰς τὰ ὅπλα εὐθὺς ἐκεῖνον ἀναπηδῆσαι. Καὶ Σουΐδας, ἐν τῷ E

Τιμόθεος, ταῦτα γράφει. Τιμόθεος γὰρ ὁ αὐλητὴς ἔτι πρόσθεν, ὅν ποτε αὐλοῦντα λέγουσι, τὸν Ἀθηνᾶς τὸν ὄρθιον νόμον ἐπικαλούμενον, ἐς τοσόνδε ἐκπλῆξαι τὸν Ἀλέξανδρον τοῖς μέλεσιν, ὥστε μεταξὺ ἀκούοντα, ἀναΐξαι ἐπὶ τὰ ὅπλα. τὸ δὲ φάναι, ὅτι τοιαῦτα χρὴ εἶναι, τὰ βασιλικὰ B αὐλήματα. Θωμοὺς] σωροὺς ξύλων. θωμοὶ δὲ λέγονται καὶ οἱ τῶν πυρῶν, καὶ τῶν ἀχύρων σωροί. τυφὼς δὲ, ἡ ἐξ ἀναθυμιάσεως τῆς γῆς συστροφὴ, πρὶν ἐκπυρωθῆναι. Σ. πρηστὴρ δὲ, σφοδρὸς ἄνεμος, πῦρ ἀπ' οὐρανοῦ, ἢ νέφος. ξυγγογγυλίσας δὲ, μεταστρέψας, ξυμμεταστρέψας, ἢ γογγύλην δίνην μεταστρέψας.

CHR. Ποῖος γὰρ ἂν ἢ νέφρος ἀντίσχοι.] Aristoph. Auibus dixit ᾖ pro ἔα & in hac fabula, ἢ δεινῶς supra, est autem per synæresin vel crasin vt etiam habes in Vespis, ἆρα δεινὸς ἦ τότε. Sunt au- C tem νεφροὶ Rienes vel Nefrundines, εἰς οὓς νείφεται τὸ οὖρον. Sed & νεφροὶ sunt λογισμοὶ, ἐπεὶ τὰς ἀφροδισίους ὀρέξεις οἱ νεφροὶ διεγείρουσι, ἐντεῦθεν κινοῦνται τῆς ἐπιθυμίας οἱ λογισμοί. Cæterùm ἀντίσχοι est ὑπομεῖναι. Ποῖος δ' ἂν ὄρρος] Legerem propter metrum ποῖος δ' ὄρρος, Est autem ὄρρος, quæ dicitur τράμις vel ταῦρος ὁ μεταξὺ τῶν διδύμων. Et κατατεινόμενος est μακρότητα παρέχων. Καὶ μὴ κινῶν τοὺς ὄρθρους.] Nescio quid sit; Quid si legas καὶ μὴ κινῶν τοὺς ὄρθρους? quasi producant noctes ista vropygis. D Dicitur autem ὄρθρος & ὄρθρον. Reuocabo querelam imperitorum antiquam, Corruptus est locus, quem sanare non est opis meæ præsentis, tantum hoc addam, postea huc fortassis respicere, quod ait πρὸς ὄρθρον σπασμὸς ὑμᾶς λαμβάνει. Ὥσπερ τοὺς θωμοὺς] Aceruι sunt lignorum vel spicarum, τυφὼς autem est συστροφὴ ἐξ ἀναθυμιάσεως τῆς γῆς. Hæc apud Sudam reperiuntur, non alia mente quam vt locum hunc exponant. Περὶ τὴν ψωλήν.] Perstat in Metaphora, nam ψωλὸς est titio vel torris: E huc autem adludit cùm ait ψωλὴν, est etiam ψωλὸς & ἀπεσκολυμμένος, ὁ λιπόδερμος καὶ περιτετμημένος.

ΚΗΡΥΞ ΛΑΚΕΔΑΙΜΟΝΙΩΝ, Πρέσβυλος, Ἀθηναῖος.

CADVCEATOR LACED. PRObulus, Atheniensis.

F

Κῆ. Πᾶ τᾶς Ἀσάνας ἐστὶν ἁ γερωχία
Ἢ τοὶ πρυτανεῖς. λῶ τι μυθίξαι νέον.
Πρ. Σὺ δ' εἶ τίς; πότερον ἄνθρωπος, ἢ Κονίσαλος.
Κῆ. Κᾶρυξ ἐγὼν ὦ κυρσάνιε ναὶ τὼ σιὼ
Ἔμολον ἀπὸ Σπάρτας περὶ τᾶν διαλλαγᾶν.
Πρ. Κᾆπειτα δόρυ δῆθ' ὑπὸ μάλης ἥκεις ἔχων;
Κῆ. Οὐ τὸν Δί' οὐκ ἔγωγα. Πρ. ποῖ μεταστρέφει

CAD. VBi est Senatus, Principésve qui regunt
Hanc vrbem Athenas, rem nouam fari volo.
PROB. verùm quis es tu, homóne es an Conissalus
CAD. Caduceator, ô puer, sum per deos
G Sparta profectus Pacis ergo & fœderum.
PR. Hastile, credo, subter axilla ferens.
CAD. Minimè, Iouem altum testor. PR. Ecquò verteris?

Τί δὴ προβάλλει τὴν χλαμύδ', ἢ βουβωνιᾷς A
Ὑπὸ τῆς ὁδοῦ. Κη. πάλαι ὄργα ναὶ τὸν Κάστορα
Ἄνθρωπος. Πρ. ἀλλ' ἔστυκας ὦ μιαρώτατε.
Κη. Οὐ τὸν Δί' οὐκ ἔγωγα. μὴ δ' αὖ πλαδδίη.
Πρ. Τί δ' ἐστί σοι τοδί. Κη. σκυτάλα Λακωνικά. B
Πρ. Εἴπερ γε χ' αὕτη 'στι σκυτάλη Λακωνική.
Ἀλλ' ὡς πρὸς εἰδότα με σὺ τἀληθῆ λέγε.
Τί τὰ πράγμαθ' ὑμῖν ἐστι τἀν Λακεδαίμονι;
Κη. Ὀρσὰ Λακεδαίμων πᾶα, καὶ τοὶ σύμμαχοι
Ἅπαντες ἐστύκαντι, πελλατᾶς δὲ δεῖ.
Πρ. Ἀπὸ τοῦ δὲ τουτὶ τὸ κακὸν ὑμῖν ἐπέσκηψεν; C
Ἀπὸ Πανός; Κη. οὐκ. ἀλλ' ἀρχὰ μὲν οἰῶ Λαμπιτώ.
Ἔπειτα δ' ἄλλαι ταὶ κατὰ Σπάρταν ἅμα
Γυναῖκες ἄπερ ἀπὸ μιᾶς ὕσπλαγγίδος
Ἀπήλαον τὼς ἄνδρας ἀπὸ τῶν ὑσσάκων.
Πρ. Πῶς οὖν ἔχετε; Κη. μογίομες. ἂν γὰρ τὰν πόλιν D
Αἴπερ λυχνοφορίοντες ἀποκεκύφαμες.
Ταὶ γὰρ γυναῖκες οὐδὲ τῶ μύρτω θιγῆν
Ἐῶντι, πρὶν ἅπαντες ἐξ ἑνὸς λόγω
Σπονδὰς ποιησόμεσθα ποττὰν Ἑλλάδα.
Ἀθην. Τουτὶ τὸ πρᾶγμα πανταχόθεν ξυνομώμοται E
Ὑπὸ τῶν γυναικῶν ἀρτίως μανθάνω.
Ἀλλ' ὡς τάχιστα φράζε περὶ διαλλαγῶν
Αὐτοκράτορας πρέσβεις πέμπειν ἐνθαδί.
Ἐγὼ δ' ἑτέρους ἐνθένδε τῇ βουλῇ φράσω
Πρέσβεις ἑλέσθαι τὸ πέος ἐπιδείξας τοδί.
Κη. Ποτάομαι· κράτιστα γὰρ παντᾷ λέγεις. F

A *Aut quò sagum prætendis? an labor viæ*
Tibi inguen inflat. CAD. Iamdiu ecastor homo
Turgescit ardens. PROB. at scelestè & arrigis.
CAD. Non certè ego, ah ne rursus accedas propè.
PR. Quid hic habes? CAD. Laconicam Scytalam puta. B
PROB. Scytala iste ramus si tamen Laconica est.
Mihi vt scienti vera nunc edissere.
Quis est apud vos publicæ status rei?
CAD. Arrecta tota est Sparta, neruus omnibus
Socijs rigore tenditur, Pallena opus est.
C *PROB. Quis ergo vobis istud innexit mali?*
A Pane credo est. CAD. Lampito princeps puto
Hoc fecit, vnà plurimæq́; fœminæ
Spartana in vrbe quæ viros ab Engijs
Vnà expulerunt mißione carcerum.
PR. Quid facitis ergo? CAD. vrgemur anxitudine, D
Totam per vrbem cernui ocquiniscimus
Vt qui lucernas præferunt: nam fœmina
Nos horto abarcent, donec armis desitis
Coeat in vnum fœdus tota Græcia.
ATH. Hac propter ergo vbique coniurauerant E
vno ordine istud fœminæ, iam intelligo.
Sed iam facesse, dic statim legent viros
Ius summum habentes, fœdera hac qui sanciant,
Alios Senatui ipse dicam vt eligat
Hinc feciales, hoc rutabulum indicans.
CH. M. Læta efferor, nam dicis omnino optima. F

BISETVS. Πῶ τὰν.] ὁ τῶν Λακεδαιμονίων κῆρυξ Ἀθήναζε μολών, τὴν τῶν Λακωνικῶν πραγμάτων κατάστασιν τοῖς Ἀθηναίοις δηλοῖ. λάκων δὲ λακωνικῶς λαλεῖ. ὅθεν παρὰ τᾶν ἀσᾶν, ἀντὶ τοῦ ὅπου ἐστὶν ἡ τῶν Ἀθηνῶν, ἤγουν τῶν Ἀθηναίων γερουσία; Γερωχία.] εἴπερ ἡ λέξις καλῶς ἔχει, τοῦτο τῆς Λακωνικῆς διαλέκτου ἐστὶ χρῆσις. παρὰ δὲ τῷ Ἡσυχίῳ γέγραπται γερουσία, πρεσβυτικὸν πλῆθος γερόντων. τινὲς δὲ, ἀντὶ τοῦ γερουσία χρηστέον οἴονται. ὅπερ ἀξιόπιστον. λῶ τὶ μυθίξαι νέον. ἐθέλω νέον τι μυθίζειν, μυθίζεσθαι, λέγειν. Κονίσαλος.] λέγεται καὶ κονίσταλος, ὀρθοστάδης. ὁ Κονίσαλος δαίμων πριαπώδης. ἐκ τοῦ μὴ ὀκνεῖν, καὶ ἐπὶ κόνεως μίγνυσθαι. ἢ κονίσαλος, σκίρτησις σατυρική. ἢ τῶν ἐντεταμένων τὰ αἰδοῖα. Ἡσύχιος. σὺ δὲ τί ξυνσταθεὶς ἰὼν τὸ ῥῆμα οἶ, ὥστε μάτρον ἢ πρόσδεχθαι.

CHR. Γερωχία.] Lege ἀ γερωχία, teste Hesychio & γερωνία & γεροντία dicitur apud Laconas qui γεροάκτας vocabant τοὺς δημάρχους. Sed quid sit γερωχία apud Spartanos, testantur & Demosthenes εἰς λεπτίνην, & Aristoteles 2. libr. Politic. certè summus magistratus. Ἡ Κονίσαλος.] Deos minorum gentium vt Priapos sic vocabant ἐκ τοῦ μὴ ὀκνεῖν καὶ ἐπὶ κόνεως μίγνυσθαι. sanè Conissalus & G Orthanas Dij erant Athenis quales Priapi Latinis, de quibus Strabo lib. XIII. Geogr. & Athenæus lib. x. meminere. Apud Hesychium mendosos arguo codices qui habent ὀρσθανὰς, legendum enim suspicor ὀρθάνης vel ὀρθάνας. Vocem autem

σπονδὰς ποιησόμεθα πρὸς τὴν Ἑλλάδα. μύρτον δὲ, τὸ γυναικεῖον αἰδοῖον. τὸ μύρτω, ἀντὶ τοῦ, τῷ μύρτου. καὶ τὸ αἰ ἀντὶ τοῦ εἰ. Δωρικῶς εἴρηται. καὶ τὸ θιγῆν ἀντὶ τοῦ θιγεῖν, εἴτε ψαῦσαι, ἅπτεσθαι, ἐγγίσαι. οὕτω καὶ ἐξ ἑνὸς λόγω, ἀντὶ τοῦ, ἑνὸς λόγου. Ποθ' ἅν Ἑλλάδα.] πρὸς τὴν Ἑλλάδα. καὶ τοῦτο Δωρικώτατον. Τουτὶ τὸ πρᾶγμα.] Ἀθηναῖός τις τὰ τῶν γυναικῶν πράγματα ἀκούσας τὸν κήρυκα κελεύει πρέσβεις τινὰς ἐκ τῆς Λακεδαίμονος μεταπέμπειν, καὶ αὐτὸς ἐν ἄλλαξιν ἐκ τῶν Ἀθηναίων ἑτέρους ἄλλους τινὰς ἀποπέμψειν, ἐπαγγέλλει, ἵνα περὶ σπονδῶν ἅμα διαλογίζωνται.

CHR. Τουτὶ τὶ τὸ πρᾶγμα.] Legendum puto τουτὶ τὸ πρᾶγμα, nam τὸ τὶ imprudenti exscriptori fluxit ex syllaba præcedente: In illo autem versu αὐτοκράτορας, existimo legendum προπέμπειν, non simpliciter πέμπειν, & in versu πωτάομαι, vel πάντα est pro πάντη vel legendum κράτιστα πάντα γὰρ λέγεις.

BISETVS. Αὐτοκράτορας] αὐτοκράτωρ λέγεται ὁ πάντα ἀνυπεύθυνος. ὁ τῶν δογμάτων κρατῶν. ὃς πάντα κινεῖ ὅπου βούλεται, καὶ πάντα οἰκεῖται κατὰ νοῦν. Πωτάομαι.] ὁ Κῆρυξ ταῦτα λέγει. διὸ τὸ αὐτὸ πρόσωπον παρεγχαπτέον, οὐ τοῦ τῶν γυναικῶν χοροῦ, ὡς πρότερον. ὁ δὲ τοὺς ἐξῆς. Ὁ Κῆρυξ ἀκούσας τοῦ Ἀθηναίου λέξαντος τοὺς Ἀθηναίους πρὸς τὰς διαλλαγὰς, καὶ σπονδὰς παντελῶς ἑτοίμους εἶναι, καὶ περὶ τούτων πρέσβεις αὐτοκράτορας ἀμφοτέρωθεν ὑπὸ τῶν πόλεων ἐλέσθαι δεῖν, χαρᾶς ἀνελπίστου ἔμπλεως λέγει, ἰδού, πωτῶμαι, τουτέστιν εἰς τὴν μου πατρίδα κατὰ μέγιστον τάχος ἀναχωρῶ, ταῦτα τοῖς Λακεδαιμονίοις δηλώσων. καὶ γὰρ πάντα ἅπερ εἶπας, κράτιστα φαίνεται. πωτᾶσθαι δὲ, τὸ πέτεσθαι. ὃ νῦν μεταφορικῶς ληπτέον ἀντὶ τοῦ σπεύδειν, καὶ παντὶ τάχει χωρεῖν. Σημείωσαι δὲ, ὅτι ἐν τῷ, εἴτε πωτάομαι διὰ τοῦ ω μεγάλου γραφῆς, εἴτε ποτάομαι διὰ τοῦ ο μικροῦ, ἀμφότερον γὰρ ἐν χρήσει, ἀδιάφορον, ἀναγκαίως τὸ α μακρόν ἐστιν, ὡς ἐν τῇ πρώτῃ μέτρου χώρᾳ τροχαῖος, ἢ πυρρίχιος, παρανόμως μὴ τιθῶνται. οὕτως οὖν γραπτέον, ὡς οἱ πόδες καλῶς ἔχωσι. Πωτάομαι. κράτιστα γὰρ τὰ πάντα λέγεις. προστιθέντος τοῦ ἄρθρου τα. ἢ κράτιστα γὰρ πάντα λέγεις. πάντα δὲ, ἀντὶ τοῦ πάντη. οἱ γὰρ Δωριεῖς, ὥς φησι Κόρινθος, τὸ η περισπῶσι, πάντᾳ λέγοντες. ὅπερ ἀλλαχοῦ πολλάκις ἂν εὕροιτο.

ΧΟΡΟΣ ΑΝΔΡΩΝ,

Χορὸς Γυναικῶν.

CHORVS SENVM,

Chorus Mulierum.

Χο.αν. Οὐδέν ἐστι θηρίον γυναικὸς ἀμαχώτερον,
Οὐδὲ πῦρ, οὐδ' ὧδ' ἀναιδὴς οὐδεμία πάρδαλις.
Χο.Γυν. Ταῦτα μέντοι ξυνιεὶς, εἶτα πολεμεῖς εἰπέ μοι;
Ἐξὸν ὦ πόνηρε σοὶ βεβαίαν νῷν μ' ἔχειν φίλην.
Χο.αν. Ὡς ἐγὼ μισῶν γυναῖκας οὐδέποτε παύσομαι.
Χο.Γυν. Ἀλλ' ὅταν βούλῃ σύ. νυνὶ δ' οὔ σε περιόψομαι
Γυμνὸν ὄνθ' οὕτως. ὁρῶ γὰρ ὡς σὺ καταγέλαστος εἶ.
Ἀλλὰ τὴν ἐξωμίδ' ἐνδύσω σε προσιοῦσ' ἐγώ.
Χο.αν. Τοῦτο μὲν μὰ τὸν Δί' οὐ πονηρὸν ἐποιήσατε.
Ἀλλ' ὑπ' ὀργῆς γὰρ πονηρᾶς καὶ τότ' ἀπέδυν ἐγώ.
Χο.Γυν. Πρῶτα μὲν φαίνει γ' ἀνήρ. εἶτ' οὐ καταγέλαστος εἶ.
Κἄν με μή 'λύπεις, ἐγὼ σοῦ γ' ἂν τόδε τὸ θηρίον
Τοὐπὶ τὠφθαλμῷ λαβοῦσ' ἐξεῖλον ἂν ὃ νῦν ἔνι.
Χο.αν. Τοῦτ' ἄρ' ἦν τοὐπιτρῖβον ὁ δακτύλιος οὑτοσί.
Ἐκσκάλευσον αὐτό. κᾆτα δεῖξον ἀφελοῦσά μοι.
Ὡς τὸν ὀφθαλμόν γέ μου νὴ τὸν Δία πάλαι δάκνει.
Χο.Γυν. Ἀλλὰ δράσω ταῦτα. καίτοι δύσκολος γ' ἔφυς ἀνήρ.

CH.SE. *Nil inexpugnabile est præut mulier mulier improba*
Sed nec ignis tam potens, nec fera adeò impudens.
CH.M. *Qui sciebas ista, qui fit bella mihi vt excites?*
Quum me amicam certam habere posses, moleste homo.
CH.S. *Quippe in omnem fœminam implacabile odium gero,*
CH.M. *Hoc quidem fac vt libet, sed nunc misereor tui,*
Cùm tuor nudum esse, ridendúmque penitus virum
Quin propinquans induam te exomide lacernula.
CH.SE. *Per Iouem vos istud vnum non facitis improbe,*
Nam mala ira bulliente deposita vestis est.
CH.MV. *Iam videris esse vir, nec ludibrio habendus es,*
Sin molestus non fuisses, hanc tibi ego bestiam
Eruissem comprehensam qua tuo oculo sedet.
CH.SE. *Hinc premens hinc me atterebat annulus, age aspice,*
Excute atque ostende primùm quum fuerit eruta.
Namq. bestia illa pungit iamdiu oculum meum.
CH.MV. *Hæc ego exsequar licet sis asper homo & improbus:*

BISETVS. Οὐδὲν ἔτι.] ἐν ὅσῳ ὁ Κῆρυξ τοὺς Λακεδαιμονίους πρέσβεις ἀποπέμπων ἐξέρχεται, οἱ τῶν ἀνδρῶν, καὶ τῶν γυναικῶν χοροὶ, λοιδορείαις, καὶ σκώμμασιν ἀλλήλων καθάπτονται. τέλος μέντοι διαλλαγὰς ποιοῦνται. εἰσὶ δὲ στίχοι προχαϊκοὶ τετράμετροι καταληκτικοὶ τριάκοντα, ὧν ὁ τελευταῖος.

Οὐ παρασκευαζόμεθα τῶν πολιτῶν οὐδένα ὦ 'ν.

Αμαχώτερον.] δυσκαταμαχητότερον. πάρδαλις δὲ, τὸ ζῶον. ἀρσενικῶς λέγεται πάρδος καὶ πάνθηρ. ξυνιέναι δὲ, ξυνίης, καταμανθάνεις, κατανοεῖς. Επειτα πολεμεῖς.] εἶτα, εἴτε ἔπειτα ἐπίρρημα χρόνου δηλωτικὸν, μετὰ ταῦτα. ἐνίοτε δὲ, ἐρωτηματικῶς ἐπὶ μέρειον μετ' ἀγανακτήσεως, ὡς ἐν τῷ. οὕτως καὶ παρὰ Ξενοφῶντι, Επειτ' οὐκ οἴει φροντίζειν τοὺς θεοὺς τῶν ἀνθρώπων; ὁ δ' Ομηρος, ὥς Σουίδας μαρτυρεῖ, ἀντὶ τοῦ δηλοῖ χρῆται τῷ ἔπειτα, ἐν τῷδε

Αὐτὰρ ἔπειτ' Αἴας τε μέγας, καὶ δῖος Οδυσσεύς.

οὐκ ἔστι, φησὶ, μετὰ ταῦτα, ἅμα γὰρ ἀφῆκεν, ὁ μὲν τὸ εἰπεῖν. ὁ δὲ, τὸ δόρυ. Οὔ σε περιόψομαι.] οὔ σε περιίδω, καταφρονήσω. Καὶ ταύτην ὀπίσω.] ταύτην, ἐξωμίδα A δηλαδὴ, οὕτω γὰρ καὶ τῆς ἐννοίας, καὶ τοῦ μέτρου χαρακτῆρα, καὶ ἐν, ὡς ἐν ἀντιγράφοις, τοῦτο. Τουτὶ τῷ ὀφθαλμῷ.] τὸ πλῆρες, ὃ ἐπὶ τῷ ὀφθαλμῷ. ὁ νῦν ἐνι, ὃ νῦν ἔνεστι. ὁ νοῦς καὶ σύνταξις τοιαύτη. ἐγὼ λαβοῦσα τόδε τὸ θηρίον, τοῦτ' ἐστι δηλαδὴ ὃ ἔνεστιν ἐπὶ τῷ ὀφθαλμῷ ἐξελῶ. Εξελκυσον] ἐκκίνησον, ἔξελκε κινήσας, ἐξῶθει.

CHR. Ω πονηρὲ σύ.] Malim σὺ, sed ἔχων legendum esset vt & legitur in Veneta editione. Paulò pòst lego νῦν δ' οὐκ οὔ σε περιόψομαι & mox pro Ιότ' ἀπίσω legere τόδ'. Κἂν μή με] Lege κἂν με μὴ λυπῇς, vel potius κἂν με μὴ λύπεις. p μὴ ἐλύπεις, nisi molestus fuisses mihi. Τοῦτ' ἄρ' ἦν τοὐπιτρίβον] Lege τοῦτ' ἄρ' ἦν μοι τοὐπιτρίβον &c. propter metrum, sed & adderem μ' ὃ vt sit τὸ ἐπιτρίβον με. est autem ἐκέλκυσον, ἐξέτεινον. Mox pro δύσκολος γ' ἔφυσ' ἀνὴρ lego δύσκολος ἔφυς ἀνήρ. Sic certè postulat mensura pedum. B

Η μέγ' ὦ Ζεῦ χρῆμ' ἰδεῖν τὸ ἐμπίδος ἔνεστί σοι.	C Iuppiter, quàm magna res est qui tibi inerat culex,
Οὐχ ὁρᾷς; οὐκ ἐμπίς ἐστιν ἥδε Τρικορυσία;	Non vides? non hæc rogo est tipulla Tricorysia?
Χο. αἰ. Νὴ Δί' ὤνησάς γέ μ' ὡς πάλαι γάμ' ἐφρεώρυχει.	CH. s. Per Iouem multùm fuisti commoda mihi adiuua.
Ως ἐπειδὴ 'ξηρέθη. ῥεῖ μου τὸ δάκρυον πολύ.	Iamdiu me lancinabat, nunc lacrymor adfatim.
Χο. Γυν. Αλλ' ἀποψήσω σ' ἐγὼ, καίτοι γε πάνυ πονηρὸς εἶ.	D CH. M. At te ego abstergam, licet sis vir malus & improbus,
Καὶ φιλήσω. Χο. αἰ. μὴ φίλησον. Χο. Γυν. ἤν τε βούλῃ γ' ἤν τε μή.	Quin & osculabor. CH. s. auffer oscula. CH. M. imò ingratijs.
Χο. αἰ. Αλλὰ μὴ ὤρασιν ἵκοισθ'. ὡς ἐστὶ θωπικαὶ φύσει	CH. S. Ne venite, namque noui vos adulanti nimis
Κἄστ' ἐκεῖνο τοὔπος ὀρθῶς κοὐ κακῶς εἰρημένον.	Esse natura, & bene illud dicitur vulgarium,
Οὔτε ξὺν πανωλέθροισιν οὔτ' ἄνευ πανωλέθρων.	Nec simul cum pessimis sis, sed nec absque pessimis.
Χο. Γυν. Αλλὰ νυνὶ σπένδομαί σοι τὸ λοιπὸν οὐκέτι	E Nunc libens tecum paciscor fœderatus, nec malum
Οὔτε δράσω φλαῦρον οὐδὲν οὔθ' ὑφ' ὑμῶν πείσομαι.	Postmodum vobis creare, nec pati à vobis volo.
Αλλὰ κοινῇ συσταλέντες τοῦ μέλους ἀρξώμεθα.	Nunc in vnum nos coacti age insecemus canticum.
Οὐ παρασκευαζόμεσθα τῶν πολιτῶν οὐδέν' ὦ 'νδρες φλαῦρον εἰπεῖν οὐδὲ ἕν.	CH. MVL. Neminem, ô viri, paramus ciuitatis lædere,
	Oratione vel re,
Αλλὰ πολὺ τοὔμπαλιν	F Sed potius oppidò
Πάντ' ἀγαθὰ καὶ λέγειν	Omnimoda dicere, &
Καὶ δρᾶν. ἱκανὰ γὰρ τὰ κακὰ	Patrare bona, præteriti
Καὶ τὰ παρακείμενα.	Quippe satis est mali:
Αλλ' ἐπαγγελλέτω	Sed vir & fœmina
Πᾶς ἀνὴρ καὶ γυνὴ	Omnis hic imperet:
Εἴ τις ἀργυρίδιον	Si quis sumere velit
Δεῖται λαβεῖν μνᾶς ἢ δύ' ἢ	Argentum egenus, binas minas
Τρεῖς. ὡς πόλλ' ἔσω 'στιν,	G Aut tres, plurimi intus
Κἄχομεν βαλάντια.	Quos habemus sacculi.
Κἂν ποτ' εἰρήνη φανῇ	Sin resurgat alma Pax

BISETVS. Εμπὶς Τρικορυσία.] ὡς ἐν Τρικορυσίῳ πολλῶν ἐμπίδων γινομένων. ἔστι γὰρ ἑλώδης, καὶ

καὶ κάθυγρος ὁ τόπος. Σ. ἰκμὶς δὲ, κώνωψ ἢ εἶδος ζώου ἐν τοῖς ὕδασι γινόμενον, ὅμοιον κώνωπι, μεῖζον δέ. Ἡσύχιος. Τρικόρυνθον δὲ, οἱ ἕτεροι Δίδυμος, καὶ Διόδωρος Διονύσιος ἀρσενικῶς. Εὐφορίων θηλυκῶς. ἔστι δὲ ὁ δῆμος τῆς Αἰαντίδος φυλῆς. ὁ δημότης Τρικορύσιος, καὶ Τρικορυσία. Τοῦτό φησιν ὁ Στέφανος ἐν τῷ περὶ πόλεων. καὶ αὐτός, ἄνευ τοῦ ν ἀλλαχοῦ Τρικόρυθον καλεῖ. οὕτω γράφων, Τετράπολις, τῆς Ἀττικῆς, ἔχουσα δήμους, καὶ πόλεις τέτταρας, Οἰνόην, Προβάλινθον, Τρικόρυθον, Μαραθῶνα. Ὠνίνατε] ὠφελήσατε. ὀνάω, ὀνῶ, ὀνημι, ὀνήσω, ὅθεν τὸ ὄνειαρ, ὤνησα. ὤνησας, ὤνησε, ὠφέλησε. Ἐφριωρύχει δέ, ἀντὶ τοῦ τὸ ὀφθαλμὸν ὡς φρέαρ ὤρυξε. φρεωρυχεῖν γάρ, τὸ φρέαρ ὀρύσσειν. ἐπεὶ ἔξηραίνετο. ἐπεὶ ἐξηράνθη. ἀπὸ ψάω δέ, ἀπὸ τὸ ἀποψᾶν, ὅ ἐστιν ἀπομάσσειν. Μὴ ὥρασιν ἵκοισθε] ἀπόδος τὰς ὥρας ἐν χειμῶνι αὐτὰ γενέσθαι φαίνεται, ὃ καὶ πολλάκις ὁ Λουκιανὸς ἐμιμήσατο. ὡς ἐν τῷ Ἥρας καὶ Διὸς διαλόγῳ, ὅταν εἴπῃ, Λοιπὰ ἐμὴ ὥρασιν ἵκοιτο τὴν ὑπὲρ αὐτῶν θυμῶσθαι, καὶ πάλιν ἐν τῷ περὶ ὀρχήσεως, Μὴ ὥρασιν ἱκοίμην, ὥστε τοσοῦτον ἀναχθείην. καὶ αὖθις ἐν τοῖς Ἑταιρικοῖς, Μὴ ὥρασιν ἵκοιτο ὁ λῆρος ἐκεῖνος, τοιαῦτα φαιδρύνων τὰ μειράκιον. ... ταύτην δέ, καὶ τόδε τὸ Λουκιανοῦ ... ἐν ἄλλοις ἀντιγράφοις γράφεται Μὴ ὥρας ἵκοισθε. ταῦτα δέ, ὡς σπουδῇ καὶ θυμῷ ... λέγεσθαι ... δεῖ, ἀλλὰ χαριέντως, τὴν γερόντων ...

Θωπικοί] κολακευτικοί. θώψ, θωπός, ὁ κόλαξ. ὁ μὲν θαυμαστικῶς γνωμικῶς ... θωπεία, κολακεία. καὶ ... κολακεύω. Κἀγὼ ... τοῦτο.] τὸ πλῆρες, καὶ ἔστιν ... Ἐπὶ ταμιεύσειν.] ταῦτα ... ἐν χρήσει ... παροιμία ... τὸ προχεῖλον ... τὸ δὲ πανώλη ... ὡς τὸ πανώλης ὅθεν πανωλεθρία ... πανώλεια, καὶ πανωλία. ταῦτα ... παροιμιακὸς λόγος, ὡς τὸ

Καλὸν γυναῖκες, ἀλλ' ὅμως ὦ δημότ',

Οὐκ ἔστιν εὑρεῖν οἰκίαν ἄνευ κακοῦ. Σ.

Σπένδομαι] σπένδεσθαι, καὶ σπένδεσθαι κυρίως θύειν, θυσιάζεσθαι. καὶ σπένδομαι, ἀντὶ τοῦ συντίθεμαι, συναλλάσσω. ἐπὶ φιλίᾳ γὰρ σπένδεσθαι, καὶ λοιβὴν εἰώθασι. καὶ σπένδοντας, θύοντας, προσφέροντας τὰ ... τὴν σπονδήν, καὶ τὸ φιλιοῦσθαι. οὕτω γὰρ ἐκάλουν τὰς ἐπὶ τῶν πολεμίων συμβάσεις, καὶ σπονδὰς ὠνόμασαν. Σ. σπένδειν δὲ ἐκ τοῦ σπένδειν παρῆκται τροπῇ τοῦ ι εἰς ν κατὰ γλῶσσαν Ἀργείων καὶ Κρητῶν. Εὐστάθιος. Φλαῦρον.] φλαῦρον Ἀττικῶς. φαῦλον δὲ κοινῶς. κοῦφον κακόν. διαφέρει δὲ ὅμως φλαῦρον, καὶ φαῦλον. φλαῦρον μὲν γάρ ἐστι, τὸ μικρὸν κακόν. φαῦλον δὲ τὸ μέγα. Σ. Οὐ παρεσκευαζόμεθα.] ὁ τῶν γυναικῶν χορὸς ἤδη πρὸς τοὺς ἄνδρας διαλλαγεὶς ταῦτα λέγει, πολλὰς θεραπείας καὶ φιλανθρωπίας αὐτοῖς ὑπισχνούμενος. ὦνδρες, ἀντὶ τοῦ ὦ ἄνδρες. οἱ δὲ ἑξῆς στίχοι ... Πολλ' ἔσω 'στιν.] πολλά ἔσω, ἔστι ἔνδον εἰσίν. βαλάντια τὰ βαλάντιον, μάρσυπος. Σ. ἀλλαχοῦ δέ, βαλλάντιον τὸ ἀκόντιον, διὰ τὸ βάλλειν τοὺς ἐναντίους. Ἐτυμ. μέγα.

CHR. Τρικορυσία.] Populus est Æantidis tribus Tricorynthon teste Stephano qui hunc Comici nostri disertè locum laudat, est autem ἑλώδης & κάθυγρος τόπος vbi muliæ sunt ἰκμίδες. Didymus in fœminino genere effert, Dionysius masculino, Euphorion neutro. Strabo lib. 9. Τρικόρυθον vocat. Ἐφριωρύχει.] Hic pro fodere simpliciter vsurpatur, quod videntur facere bestiolæ illæ quæ vacuas aures ingrediuntur, quas auriscalpas vocare possumus. Nos Idiomate Gallico dicimus *Perforeilles*. Fuit tamen gens Athenis τῶν φρεωρύχων vt notant Grammatici. Καὶ τοῦ γε πάνυ.] Dele illud γε vt noxium mensuræ pedum. Quod autem ait ὥρας ἵκοισθ', puto esse ταχέως vt in Vespis ἡμῖν ἰοῦσ' ἐν ὥρᾳ. Mox cùm ait τὸ ἔμπαλιν, est ἀνάπαλιν & τὸ ἐναντίον. Ἀλλ' ἐπαγγέλλεται.] Id est, ... Ὡς πολλ' ἔσω 'στιν] Malè vt puto in Veneta editione legitur ἐσῶσιν. Rectum enim ἔσω 'στιν intus sunt, Paulò post pro τέθυκ' ὥστε, malim τέθυχ' vt in eadem Veneta editione pro τέθυκα. Sed & φρεὶ quod sequitur vnica syllaba metiendum puto, & pro μηδ' ἔρχεσθαι, legendum μηδ' ἔρεσθαι vt habent Veneta exemplaria: ... autem est ἰσχυρὸς & ...

Ὅς τις αὖ νυνὶ δανείσῃ	Fœnerator quisquis à nobis
Παρ' ἡμῶν αὖ λάβῃ	Habebit, reddere
Μηκέτ' ἀποδιδῶ.	Insuper habeat.
Ἑστιᾶν δὲ μέλλομεν ξένους τινὰς Καρυστίους	Quin & inuitamus ad cœnam hospites Carystios
Ἄνδρας καλούς τε κἀγαθούς.	Frugi catos bonos viros.
Κἄστιν ἔτνος τι. καὶ	Pultem habemus, & facres
Δελφάκιον ἦν τί μοι	Porculus adest mihi
Καὶ τοῦτο τέθυχ' ὥστε τὰ κρέα	Mactatum: ita habebitis bona
Ἔσεσθ' ἁπαλὰ καὶ καλά.	Et mollicula carnium.
Ἥκετ' οὖν εἰς ἐμοῦ	Ergo adeste huc mihi.
Τήμερον. πρῲ δὲ χρὴ	Hoc die, mane agant,
Τοῦτο δρᾶν λελουμένους.	Hoc idem qui lauerint
Αὐτούς τε καὶ τὰ παιδί' εἰ-	Ipsis simul puellulis.
Τ' αὐτοὺς βαδίζειν.	Veniant & intus;
Μηδ' ἔρεσθαι μηδέν' ἔνδον	Nec rogaßint quempiam;
Ἀλλὰ χωρεῖν ἄντικρυς	Sed palàm incedant, velut
Ὥσπερ οἴκαδ' εἰς	In suam domum
Ἑαυτῶν γεννικῶς.	Solent pugnaritèr.
Ὡς ἡ θύρα κεκλείσεται.	Sic vobis aperta erit foris.

Bis. Καρυστίων.) Κάρυστος, πόλις τῆς Εὐβοίας, ἀπὸ Καρύστου τοῦ Χείρωνος χειρωνία καλουμένη. ἐκαλεῖτο καὶ Αἰγαία ἀπὸ Αἰγαίωνος τοῦ δυνάστου ὄντος. ἔστι καὶ Κάρυστος τόπος τῆς Λακωνικῆς πρὸς Ἀρκαδίαν. ἀφ' οὗ Καρύστιον οἶνον Ἀλκμὰν ἔφη, καθὰ Στράβων δεκάτῳ τῶν ... ταῦτα ὁ Στέφανος ἐν τῷ περὶ πόλεων. Δελφάκιον) μικρὸς χοῖρος. τέθυκ' ὥστε, τέθυκα ὥστε, ... τὸ θύειν. θῦσαι γὰρ σφάξαι. θυσιασαι. εἰς ἐμοῦ, οἴκοι δηλαδή. Μηδ' ἔρεσθε) ἐρέσθαι, πυνθάνεσθαι, ἐρωτᾶν. Σημειοῦται δὲ τὸ μὲν ἀπὸ γερουσικὸν ἐπὶ ῥῆμα κατὰ μόνας ... ἀλλὰ μὴν τὸ ὁ σύνδεσμος διαφόρως γεγραμμένον ... μηδ' ἕνα, ... ὅτε μὴ δὲ ἕνα ... ἀλλ' ... μηδ' ἕνα. ... ὅταν μὲν μηδ' ἕνα γράφηται, ... ὅτι δὲ διαιρουμένως γράφηται, ... τὸ μὲν, μᾶλλον ...

ἐμφαίνει ἀπὸ τοῦ δέ, ... τὸν τόνον ἐν τῷ ... φυλάττει, καὶ τὸ δὲ ... τὸ ψιλὸν, καὶ τὸ ἴδιον τόνον ἀποβάλλει. ὅταν δὲ γράφηται μηδ' ἕνα, ... λόγον ... ταῦτα δὲ πάντα πιθανὸν ... λόγον ἔχειν ἔοικε. Ἄντικρυς) ἀντικρὺ, καὶ ἐναντίον, ἐξ ἐναντίας. ἄντικρυς δὲ, ὅλως, παντελῶς, φανερῶς. ... Ἀπολλόδωρος ὁ Κυρηναῖος, ... φησὶ δηλοῦν καὶ τὸ διαμπερὲς, καὶ ἰθὺ, καὶ εὐθὺ, καὶ ἐπ' εὐθείας, καὶ ἰσχυρῶς καὶ σαφῶς, καὶ ἀκριβῶς, καὶ ἁπλῶς. οἱ δὲ ... ἀκριβῶς ... λέγοντες ὅτι ... ἄνευ δὲ τοῦ ... ἀντικρὺ τὸ καταντικρὺ μόνον, καὶ ἐξ ἐναντίας. Σ.

CHR. Ἴσως δ' ἡ θύρα.] An ἴσως est fortassis & τάχα (vt de senibus omnia ambigentibus scribit Aristot. in Rhetoricis) an pariter, & ἰσοτρόπως, vt sit sensus, Tam vobis erit aperta hic ianua quam vestra domestica.

C

ΧΟΡΟΣ ΓΕΡΟΝΤΩΝ, ΛΑΚΩΝΕΣ, Ἀθηναῖοι Λυσιστράτη.

Χο. Γε. Καὶ μὴν ἀπὸ τῆς Σπάρτης οἱδὶ πρέσβεις ἕλκοντες ὑπήνας
Χωροῦσιν ὥσπερ χοιροκομεῖον περὶ τοῖς μηροῖσιν ἔχοντες.
Ἄνδρες Λάκωνες, πρῶτα μέν μοι χαίρετε
Εἶτ' εἴπαθ' ἡμῖν πῶς ἔχοντες ἥκετε.
Λα. Τί δεῖ ποθ' ὔμμε, πολλὰ μυσίδδειν ἔπη;
Ὁρῆν γὰρ ἔξεσθ' ὡς ἔχοντες ἥκομες.
Χο. γε. Βαβαί. νενεύρωται μὲν ἥδε συμφορὰ
Δεινῶς, τεθερμῶσθαί γε χεῖρον φαίνεται.
Λα. Ἄφατα. τί κα λέγοι τις; ἀλλ' ὅπα θέλει
Παντᾷ τις ἐλθὼν ἁμὶν εἰράναν σέτω.
Χο. γε. Καὶ μὴν ὁρῶ καὶ τούσδε τοὺς αὐτόχθονας
Ὥσπερ παλαιστὰς ἄνδρας ἀπὸ τῶν γαστέρων
Θοἰμάτι' ἀποστέλλοντας, ὥστε φαίνεται
Ἀσκητικὸν τὸ χρῆμα τοῦ νοσήματος.
Αθ. Τίς ἂν φράσειε ποῦ 'στιν ἡ Λυσιστράτη;
Ὡς ἄνδρες ἡμεῖς οὑτοιὶ τοιουτοιί.

CHORVS SENVM, LACONES, Athenienses, Lysistrata.

CH. S. En adueniunt à Sparta legati, barbámque trahentes
Incedunt, circúmque femora habent paxillum immane rigentem.
D Saluete primùm vos viri Laconici,
Dein vt valentes huc venitis, dicite.
LA. Cur frustra amatis multa verba fundere?
Videre fas est quo venimus in statu.
CH. S. Papae calamitas ista nunc virescere
Videtur, atque impeius exardescere.
LA. Quid plura narres perperam? adsit qui volet
Modo ille nobis optimam pacem dans.
E CH. S. At verò, & istos intuor Aborigines
Quinquertionum more de finibus suas
Retrahere vestes, prorsus hoc morbi genus
Videtur esse exercitamenti vicem.
ATH. Quis insecet nobis vbi est Lysistrata?
Adesse dicat nos viros timodi.

Bisetus. Καὶ μὴν) ὁ τῶν γερόντων χορὸς, τὰς Λακεδαιμονίων πρέσβεις, τοὺς ὑπὸ κήρυκος προειληθέντας ἄγειν ... ζηταῖ. περὶ δὲ διαλλαγῆς ἀλλήλοις ἐντυγχάνειν, καὶ τῶν περὶ τούτων ἐπιζεύξαι τὴν Λυσιστράτην παρεῖναι κελεύουσι, καὶ τέλος ταύτης συμμαχῆ, καὶ παραιτοῦσι εἰρήνην ποιοῦνται. ἐν ἀρχῇ τούτου τοῦ λόγου, δύο στίχοι τετράμετροι ἀναπαιστικοὶ καταληκτικοί. οἱ δὲ λοιποὶ ἰαμβικοὶ τρίμετροι ἀκατάληκτοι ... οὗτοι ἄλλοι ἀναπαιστικοὶ ὅμοιοι πρώτοις δ. καὶ οὗτοι ἰαμβικοὶ τρίμετροι ... ὁ τελευταῖος ... Ἕλκοντες ὑπήνας) ὑπήνη, μύσταξ, τὸ γένειον, ὁ πώγων. ... τὸ δὲ, κάτω, ... Σ. ... τοὺς τῶν Λακώνων ὑπερβολικοὺς ἐπιμήκεις, καὶ δασεῖς πώγωνας ... ἕλκοντες ... ἔχοντες. Χοιροκομεῖον.] οὕτως ... ἀγγεῖον, ἐν ᾧ τοὺς νέους ἔτρεφον χοίρους ... πάτταλον, ἐν ᾧ δεσμεύοντες τοὺς χοίρους ἔτρεφον. τοῦτο δὲ λέγει ... ὀγκουμένα τὰ ἱμάτια ἔχοντες.

G Σ. ... ἢ πάσσαλον ἐμφαίνει. καὶ διὰ τοῦτο τὸ πλεῖστον ... βάλλεται. Καὶ μὴν δὴ Ἀριστοφάνης ... τῇ λέξει ἀναμφιβόλως ... πρὸς τὰ τῆς συνουσίας ὄργανα, ὧν τὸ μὲν γυναικεῖον, χοῖρον τὸ δὲ ἀνδρεῖον ... πολλάκις ἀλλαχοῦ ὀνομάζει. οὕτως συνουσιῶντες, τὰς τῶν Λακεδαιμονίων πρέσβεις, πρὸς τοὺς Ἀθηναίους ἥκοντας, διὰ τὴν τῆς συνουσίας ἐπιθυμίαν ... τὰ ἱμάτια ... κατακρύπτειν ... ἐνταῦθα τὴν ... Τί δεῖ ... χλαμύδα ... ἀλλ' ... χεῖρον ... F τί δεῖ ποθ' ὔμμε] οἱ Λάκωνες Λακωνικῶς λαλοῦσι ταῦτα δὲ οὕτως ἑρμηνεύειν, Τί δεῖ ποτε πρὸς ὑμᾶς πολλὰ μυθίζειν ἔπη, ... πρὸς ὑμᾶς ... τὸ ῥῆμα ... ὁρᾶν, ἥκομες, ἥκομεν.

Βαβαί.) ὁ τῶν γερόντων χορὸς ταῦτα λέγει. διὸ καὶ αὐτοῦ τὸ A πρόσωπον παρεγχαράττειν, ὅπερ ἐν τοῖς παλαιοῖς ἀντιγράφοις παρελέλειπτο. τετενούρωται δὲ, μεταφορικῶς, παρὰ τὸ νευροῦν, ὅ ἐστιν ἐμπεδοῦν, βεβαιοῦν, καὶ ἰσχυρὸν ποιεῖν, καὶ οἱονεὶ νεύροις στερεοῦν. τεθερμάνθαι δὲ, πέπηκται παρὰ τὸ θερμὸν, ὅθεν τὸ θερμοῦν καὶ τὸ θερμαίνειν ἰσοδυναμοῦντα. Ἀφαῖα.] ἄρρητα. ἐνταῦθα δὲ, τὸ τῶν Λακώνων πρόσωπον παρεγχαράττειν, ὅπερ ἐν τοῖς παλαιοῖς ἀντιγράφοις οὐκ ἐστὶν. ἀλλὰ τοῦτο δῆλον. ὅπα δὲ, ὅπη. καὶ παντᾷ ἀντὶ τοῦ παντῃ. καὶ σῖτα, ἀντὶ τοῦ θῆτα. ἅπερ πάν- B τα Δωρικῶς εἴρηται. Τοὺς αὐτόχθονες.] τοὺς Ἀθηναίους, οἱ αὐτόχθονες εἶναι ἐκαυχῶντο. τούτους ὁ Εὐριπίδης περὶ ἑαυτῶν οὕτω λαλοῦντας εἰσάγει,

Λαὸς δ᾽ ἐπακτὸς ἄλλοθεν αὐτόχθονες ἔφυμεν.

αὐτόχθονες δὲ, ὡς Σουΐδας φησὶν ἐκαλοῦντο, ἢ ἐπεὶ τὴν χθόνα, τουτέστι τὴν γῆν ἀργὴν οὖσαν, πρῶτοι εἰργάσαντο, ἢ διὰ τὸ μὴ εἶναι αὐτοὺς ἐπήλυδας. καὶ αὐτόχθονες κατὰ τὸν Ἡσύχιον, οἱ ἐν ἰδίᾳ γῇ, ἢ τόπῳ οἰκοῦντες. καὶ αὐτόχθων, ἐντόπιος ἐγχώριος πολίτης γνήσιος. ἀσμενικὸν δὲ, ὁ Σουΐδας, τοῦτο τοῦ ἀερσοφανεῖν μνημονεύων, ἑρμηνεύει, μέγα. Τίς ἂν φρόσομε.] ἀτελὴς ἐστὶν ὁ τῶν Ἀθηναίων λόγος, τοῦτον γὰρ ὁ τῶν γερόντων χορὸς ἀπροόπτως C

διακόπτει. ὤνοιτ᾽ δὲ, καὶ τοιοῦτοί ἐστι Ἀττικὸν σχῆμα, ἀντὶ τοῦ ὤνοι, καὶ τοιοῦτοι. ταῦτα δὲ, ὡς καυχώμενοι λέγουσι.

CHR. Ἐλαοῦντες ὑπήνας] Quidam codices habent ἀπήνας vt de curribus non barba intelligatur: ὑπήνας recte puto, nam syrma barbę dicitur, vt in Philosophis Hegetander dixit σακεσφοροτρόφος. Χαροῦσιν ἅπερ.] Lego propter incertum χαιροῦσ᾽ ἅπερ, κ᾽ μηροῖσιν ἔχοντες vt in Veneta edit. & apud Suidam qui ait ἦλθον γὰρ ἐγκεκαλυμμένοι τὰ ἱμάτια ἔχοντες, est autem hic χοιροκομεῖον, πάτταλος, non vt in Vespis ἀγγεῖον καινὸν vel πλεκτόν. τί δὴ ποθ᾽ ὑμῖν.] Legerem τί δεῖ, quid necesse est vos, &c. deinde ὁρᾶν γὰρ ἔξεσθ᾽, id est, videre licet quo in statu simus. Βαβαί, τετενούρωται.] Hic apponi debet persona Chori senilis, vt in illo ἄφατα, Laconum. Est autem τετενούρωται, ἰσχύρωται. mox legendum ἁμμιν non ἁμῖν, breuis enim vltima, & σῖτα pro θῆτα. Puto etiam τεθερμάνθαι esse θερμανθεῖσαι qua ratione θερμόσπαν, θερμωλὴν vocat ferè super Hippocrates. Ἀσκητικὸν τὸ σχῆμα.] Nam ἀθλητὴς & ἀσκητὴς olim idem erant. Et sic vsus est Hippocrates, vt notat Erotianus.

Χο. γε. Χ᾽ αὕτη ξυνάδει χἀτέρα ταύτῃ νόσῳ.	CH. S. Et ista morbo & altera isti concinit:
Ἦπου πρὸς ὄρθρον σπασμὸς ὑμᾶς λαμβάνει;	Estisne capti manè vos tentigine?
Ἀθην. Μὰ Δί᾽ ἀλλὰ ταυτὶ δρῶντες ἐπιτετρίμμεθα.	ATHEN. Minimè, sed ista, dum facimus, absumimur.
Ὥστ᾽ εἴ τις ἡμᾶς μὴ διαλλάξει ταχὺ,	Quin si ista nemo bella componat statim
Οὐκ ἔσθ᾽ ὅπως οὐ Κλεισθένη βινήσομεν.	D Nobis necesse est Clisthenem perdepsere.
Χο. γε. Εἰ σωφρονεῖτε, θαἰμάτια λήψεσθ᾽ ὅπως	CH. S. Si sapere vultis, inductis pallia,
Τῶν Ἑρμοκοπιδῶν μή τις ὑμᾶς ὄψεται.	Ne, signa qui truncare amant, vos viderint.
Ἀθην. Νὴ τὸν Δί᾽ εὖ μέντοι λέγεις. Λα. ναὶ τὼ σιὼ	ATH. Benè per Iouem inquis. LA. Per gemellos cælites
Παντᾷ γε. φέρε τὸ ἔσθος ἐμβαλώμεθα.	Rectè mones, amictus inducendus est.
Ἀθην. Ὦ χαίρετ᾽ ὦ Λάκωνες. αἰσχρά γ᾽ ἐπάθομεν.	ATH. Lacones ô saluete, turpia patimur.
Λα. Ὦ Πολυχαρίδα. δεινά γ᾽ αὖ πεπόνθαμες.	LA. O Polycharida, quàm graue anclamus malum,
Αἴκ᾽ εἶδον ἁμὲ τὤνδρες ἀναπεφλασμένως.	E Mutoniatos si viri nos viderint!
Αθ. Ἄγε δὴ Λάκωνες αὔθ᾽ ἕκαστα χρὴ λέγειν.	ATH. Agedum, Lacones, sciscitemur singula,
Ἐπὶ τί πάρεστε δεῦρο; Λα. περὶ διαλλαγᾶν	Quare huc adestis? LAC. Pacis ergo & foederum
Πρέσβεις. Ἀθην. καλῶς δὴ λέγετε. χ᾽ ἡμεῖς τουτογί.	Legati. ATH. Honestus sermo, id ipsum quærimus.
Τί οὐ καλοῦμεν δῆτα τὴν Λυσιστράτην;	Quid ni vocamus ocyus Lysistratam
Ἥπερ διαλλάξειεν ἡμᾶς ἂν μόνη.	Quæ sola foedus hoc ferire possiet?

BISETUS. Ξυνάδει] συμφωνεῖ. χἀτέρα, καὶ ἑτέρα. Κλεισθένη] Κλεισθένη λέγει, ὅτι ὡς γυναικώδης ἐκωμῳδεῖτο. Τῶν Ἑρμοκοπιδῶν] Ἑρμαῖ ἦσαν ἐν τῇ Ἀθηναίων πόλει λίθινοι ἐν προθύροις, καὶ ἱεροῖς, ἐπειδὴ φασὶ τὸν Ἑρμῆν λόγου, καὶ ἀληθείας ἔφορον εἶναι, διὰ τοῦτο καὶ τὰς εἰκόνας αὐτοῦ τετραγώνους καὶ κυβοειδεῖς κατεσκεύαζον. αἰνιττόμενοι τὸ τοιοῦτον σχῆμα ἐφ᾽ ἃ μέρη πέσῃ πανταχόθεν βεβηκὸς μένει, καὶ ὄρθιον εἶναι. οὕτω καὶ ὁ λόγος, καὶ ἡ ἀλήθεια ὁμοία δεῖ πανταχόθεν αὐτὴ ἑαυτῇ. τὸ δὲ ψεῦδος πολύχουν, καὶ πολυειδὲς. καὶ ἑαυτῷ μάλιστα ἀσύμφωνον. Σὺ καὶ Θουκυδίδης ἐν τῷ ἕκτῳ τῆς ἑαυτοῦ ξυγγραφῆς περὶ τούτων ταῦτα παραδέδωκεν, Ἐν δὲ τούτῳ ὅσοι Ἑρμαῖ ἦσαν λίθινοι ἐν τῇ πόλει τῇ Ἀθηναίων (εἰσὶ δὲ κατὰ τὸ ἐπιχώριον, ἡ τετράγωνος ἐργασία πολλοὶ, καὶ ἐν ἰδίοις προθύροις, καὶ ἱεροῖς) F μιᾷ νυκτὶ οἱ πλεῖστοι περιεκόπησαν τὰ πρόσωπα. Ἑρμοκοπίδαι οὖν ἐκαλοῦντο, οἱ τοιούτους Ἑρμᾶς περικόψαντες. Οὕτως τοίνυν ἐνταῦθα νοητέον. Ὁ τῶν γερόντων χορὸς, τοὺς πρέσβεις ἐστυκότας, καὶ τὰ αἰδοῖα ἀποδεικνύντας ὁρῶν, πρὸς τὸ τῶν Ἑρμοκοπιδῶν ἔργον παίζων, εἰ σωφρονεῖτε φησὶ, θοἰμάτια λήψεσθε, μήπως Ἑρμοκοπιδῶν τις ἰδὼν ὑμᾶς ἀκρωτηριάζῃ, καὶ ὥσπερ ἐκεῖνοι τοὺς Ἑρμᾶς περιέκοψαν, οὕτω καὶ ὑμᾶς ἐκτέμνωσι, καὶ εὐνουχίζωσι. Παντᾷ γε.] καὶ ἐνταῦθα τὸ πανG τᾷ, ἀντὶ τοῦ πάντως. παντελῶς. ὁ γὰρ Λάκων λακωνίζει. τὸ ἔσθος, ἤγουν ἐσθῆτα. ἐμβαλώμεθα, ἐνδυσώμεθα. Ὦ πολυχαρίδα.) ὦ πολυχαρίδη, ὄνομα κύριον ἀνδρὸς εἶναι φαίνεται. τινὲς δὲ, ὃ καὶ πιθανώτερον, νομίζουσιν εἶναι τῆς Λακωνικῆς διαλέκτου φωνὴν θαυ-

προσφωνητικὴν, καὶ κολακευτικὴν, ὥσπερ τοὺς φίλους προσφωνοῦντες ἐχρῶντο. δηλοῖ δὲ τοῦτο τῷ λέγοντι πρὸς ἄλλον, ὦ πολλὴν χάριν ἔχων, ὦ γαργαλίσατε, ὦ φίλτατε, καὶ ὦ πλείστης χάριτος ἔμπλεω. ταύτης δὲ τῆς λέξεως, καὶ τῆς αὐτῆς σημασίας, ἤδη εἰς, ὡς ἴσμεν, ... ταύτῃ μέμνηται πάλιν ὁ ποιητὴς ἐν τοῖς ἑξῆς κέχρηται. Αἴκεν ἴδον ἁμᾶς.] ἔοικεν ἰδεῖν ἡμᾶς ἄνδρες ἀναπεφλασμένους. ἔοικα ... τὰ αἰδοῖα ἀνατεταμένα ἔχοντας. ἀναφλᾶν γὰρ λέγουσιν οἱ Ἀττικοί, ὡς Ἡσύχιος γράφει, τὸ ἀναμαλάσσειν τὰ αἰδοῖα. αἴκεν δὲ, ἁμᾶς, καὶ ἀναπεφλασμένως, Δωρικῆς ἡ διοῖα... Λακωνικῆς εἰσὶ διαλέκτου. ἅπερ κοινῶς, ἔοικεν, ἡμᾶς, καὶ ἀναπεφλασμένους.

CHR. Τῶν ἑρμοκοπιδῶν.] Hermarum mutilatores dicti fuerunt Hermocopidæ, hoc factum Athenis, tempore Peloponnesiaci belli Arimnesto Archonte, cùm in Siciliam nauigare vellent: Alcibiades teste Plutarcho in illius vita, cum suis consortibus falso crimine dictus est ἑρμοκοπίδης. Sanè eruditus scriptor inter Christianos Arno-

A bius hominum fuisse formas ait & Hermas Alcibiadis nuncupat. lib. 6. contra Ethnicos. Eos autem Hermocopidas signorum violatores interpretatus est apud Plutarchum Cruserius, non satis, vt arbitror signatis vocabulis. Pausanias ait in συναγωγῇ Atticorum nominum sic vocatos qui Mercurij statuis, quas Hermas vocat, collum & pudenda præcidissent. Meminit Thucydides ξυγγραφῇ sexta, & annotat illa Scholiastes ipsius, citatque ipsum Pausaniam auctorem in vocabulo-
B rum Atticorum collecto compendio. Φέρε τὸ τοῦθος.] Legendum hic τοῦθος facilè diuinaueram sine codice Veneto. At πολυχαρίδαν vsurpat pro Atheniensi. Quia teste Hesychio sic vocabatur Athenis γένος ἐξ οὗ ἱερεὺς τοῦ ἐρανοῦ. Αναπεφασμένως.] Potior est lectio Venetæ editionis quæ habet ἀναπεφλασμένως, neque tamen alteram reiiciendam puto. nam πεφασμένως qua est vsus voce Lysias, est φανερῶς.
C

Λα. Ναὶ τὼ σιὼ χἂν λῆτε τὸ Λυσίστρατον.
Χο. Γυν. Ἀλλ᾽ οὐδὲν ἡμᾶς ὡς ἔοικε δεῖ καλεῖν.
Αὕτη γὰρ ὡς ἤκουσεν ἥδ᾽ ἐξέρχεται.
Χαῖρ᾽ ὦ πασῶν ἀνδρειοτάτη. δεῖ δὴ νυνί σε γενέσθαι
Δεινὴν, ἀγαθὴν, φαύλην, σεμνὴν, ἀγανὴν, πολύπειρον·
Ὡς οἱ πρῶτοι τῶν Ἑλλήνων τῇ σῇ ληφθέντες ἴυγγι,
Συνεχώρησαί σοι καὶ κοινῇ τἀγκλήματα πάντ᾽ ἐπέτρεψαν.
Λυ. Ἀλλ᾽ οὐχὶ χαλεπὸν τοὔργον εἰ λάβοι γέ τις
Ὀργῶντας, ἀλλήλων τε μὴ πειρωμένους.
Τάχα δ᾽ εἴσομαι 'γώ. ποῦ 'στιν ἡ Διαλλαγή;
Χο. Πρόσαγε λαβοῦσα πρῶτα τοὺς Λακωνικούς.
Καὶ μὴ χαλεπῇ τῇ χειρὶ μηδ᾽ αὐθαδικῇ.
Μηδ᾽ ὥσπερ ἡμῶν ἄνδρες ἀμαθῶς τοῦτ᾽ ἔδρων
Ἀλλ᾽ ὡς γυναῖκας εἰκὸς οἰκείως πάνυ.
Ἢν μὴ διδῷ τὴν χεῖρα, τῆς σάθης ἄγε.
Ἴθι καὶ σὺ τούτους τοὺς Ἀθηναίους ἄγε.
Οὗ δ᾽ ἂν διδῶσι, πρόσαγε τούτους λαβομένη.

LAC. Pol huc vocate, & si lubet, Lysistratum.
CH. MVL. Sed nil necesse est hanc vocari, nam simul
Vestram aure vocem accepit, egredi incipit.
O salue mulier fortissima, certè nunc te decet esse
D *Formidandam atque bonam, prauam atque grauem, placidam atque peritam,*
Nam flos Græcæ nobilitatis virtute tua inlice capti
In te vna spes nostras, & communes posuere querelas.
LVS. Sed facilis est res, si tamen possunt capi
E *Rigente nemo, nec calentes inuicem:*
Intelligam mox Pacis & locum & modum.
CH. Duc & prehende Principes Laconicos,
Sed non moleste aut arroganter, nec velut
Nostri solebant, hoc inurbanè viri,
Sed beneuole omnino, vt decet nos fœminas
Si quis manum non prabeat, duc mentula.
Athenienses deinde & istos accipe,
Et proxima illos parte ducens quam dabunt.
F

BISETUS. Τῇ σῇ ἴυγγι] τῷ σῷ πόθῳ. τῇ σῇ θελκτικῇ... ἴυγξ, τὸ ὄρνεον, τὸ λεγόμενον σεισοπυγὶς, καὶ κιναίδιον. καὶ τὴν ἴυγγά φησι Καλλίμαχος Ἠχοῦς θυγατέρα, φαρμακίδα, ... ὑπὸ τῆς Ἥρας κελευσθῆναι τὸν Δία, ὅπως ἂν αὐτῇ μιχθῇ. ὅθεν ὑπὸ τῆς Ἥρας εἰς ὀρνιθάριον μεταβαλεῖν, ὡς συνεργοῦσαν τῆς φαρμακείας. ὅθεν καὶ ἴυγξ λέγεται τὸ ἑλκτικὸν τὴν διάνοιαν εἰς ἐπιθυμίαν, καὶ ἔρωτα, ὅτι ὄρνεόν ἐστιν ἐπιτήδειον πρὸς τὰς τῆς φιλτρώσεως μανίας. ἔστι δὲ καὶ ἐργαστήριόν τι ἴυγξ καλούμενον, ὅπερ εἰώθασιν αἱ φαρμακίδες στρέφειν, ὡς καλακηλούμεναι τοὺς ἀγαπωμένους. Σ. καὶ τοῦτο δῆλον ἐκ τῆς φαρμακευτρίας τοῦ Θεοκρίτου,
Ἴυγξ ἕλκε τὺ τῆνον ἐμὸν ποτὶ δῶμα τὸν ἄνδρα.
καὶ ἐν ἐπιγράμματι,
Ἴυγξ ἡ Νικοῦς, ἡ καὶ διαπόντιον ἄνδρα
Ἕλκειν, καὶ παῖδας ἐκ θαλάμων ἐπισταμένη.
ἀπὸ δὲ τῆς ὄρνιθος, καὶ τὰ κατασκευαζόμενα εἰς ἔρωτας, ἴυγγας καλοῦσι. Συνεχώρησαν] τὸ συγχωρεῖν ἐνταῦθα οὐ τὸ συγκαθεῖν, ἀλλὰ μεταβατικῶς τὸ ἐπιτρέπειν σημαίνει, ὅπερ ὡς ἐπεξήγησις ἐπιφέρεται. ἐπιτρέπουσι δέ τινι τὰ ἐγκλήματα, ὅτε δικαστὴν τῶν ἐγκλημάτων αὐτὸν αἱροῦνται. Σ. Ὀργῶντας] ἐπιτεταμένους ἐπιθυμοῦντας, ἀφροδισιακῶς ἔχοντας. πειρωμένους δὲ πεῖραν λαμβάνοντας. ἡ αἰσχρότης τοῦ τολμητέου. πειρᾶν γὰρ, τὸ λόγους περὶ συνουσίας προσφέρειν. καὶ περαβῆναι, τὸ ἀκοῦσαι λόγους τοιούτους. Θουκυδίδης. Πειραθεὶς δὲ ὁ Ἁρμόδιος Ἱππάρχου τοῦ Πεισιστράτου, κατηγορεῖ τοῦ Ἀριστογείτονος. σημαίνει ἡ λέξις καὶ τὸ ἄλλως διαπειρᾶσθαι. πειρᾶν γὰρ κυρίως, τὸ προσβάλλειν γυναιξὶν ἐπὶ τὰ ἀφροδίτης. Σ. Αὐθαδικῇ.] αὐθαδικῇ, τὸ αὐθάδης, ὅ ἐστιν αὐθέκαστος, αὐτάρεσκος, ὑπερόπτης, ὑπερήφανος. Σ. ἀμαθῶς δὲ,
G ἀπαιδεύτως, ἀκοσμήτως. οἰκείως, γνησίως, εὐνοϊκῶς, φιλοφρόνως. Τῆς σάθης.] σάθη, ης, τὸ πέος. καὶ σάθων, ὑποκόρισμα ἐπὶ παιδίων ἀρρένων, ἐπὶ τοῦ αἰδοίου. σάθη γὰρ, ἡ σάθη, ης, τὸ αἰδοῖον. ὅθεν καὶ ἀνδροσάθων, ὁ μεγάλα ἔχων αἰδοῖα. Εὐστ. Ἡσυχ.

Οὗ

οἷ δ' ἂν δεῖ αὐτὴν ἰδοῦσ. πρόσαγε δὲ τούτους λαβομένη ὁπόθεν τῆ μέρους, οὐ διδῶσιν ἄν. ἀντὶ τῆ, ὁ, τι οὖν τοι διδῶσιν ἄν, καὶ ὀρέξωσιν, εἴτε τὴν σάθην, καὶ ψωλὴν ἀντὶ χειρὸς, εἴτε τὴν χεῖρα, τοῦτο, ὅπερ ποτ' ἂν εἴη, λαβομένη, ὁ εἶμι προσάγαγε τούτους.

CHR. Τὴν Λυσίστρατον.] Fuit enim tempore Cimonis etiam Lysistratus, de quo in bello peloponnesiaco meminit Thucydides. Paulò post pro ὑμῖν ἡμᾶς legitur in Veneto codice ἰδεῖν ὑμᾶς, vtraque lectio recipi potest. Μὴ πειρωμένας] Legendum πειρωμένας, quo verbo insimulat istos παιδεραστείας. Error scripturæ fluxit ex repetita vocali finiente, ν. Πρόσαγε λαβοῦσα.] Hic apposita est in Germanica editione Chori persona, quam non habet Veneta, & quamuis vtraque lectio potest defendi, tamen melius est continuari à Lysistrata orationem quasi Imperante. Ἢν μὴ διδῷ τὴν χεῖρα, τῆς σάθης ἄγε.] Legerem τίς vel διδῶσιν. Si manum, inquit, non dent, duc eos pene, σάθη & σάθον, veretrum. Hesychius obiter emaculandus est voce σάθα, μοῖρα, lego μόρια.

Λυ. Ἄνδρες Λάκωνες, στῆτε παρ' ἐμὲ πλησίον.	LVS. Viri Lacones huc adeste proximè,
Ἐνθένδε θ' ὑμεῖς καὶ λόγων ἀκούσατε.	En state, & hinc audite sermonem meum,
Ἐγὼ γυνὴ μέν εἰμι, νοῦς δ' ἔνεστί μοι.	Mulier quidem sum, mens inest tamen mihi,
Αὐτὴ δ' ἐμαυτῆς οὐ κακῶς γνώμης ἔχω.	Opinionem nec meam malam autumo:
Τοὺς δ' ἐκ πατρός τε καὶ γεραιτέρων λόγους	Tum sæpè dicta patris audiui mei
Πολλοὺς ἀκούσασ' οὐ μεμούσωμαι κακῶς.	Atque seniorum haud instituta perperam
Λαβοῦσα δ' ὑμᾶς λοιδορῆσαι βούλομαι	Nunc increpabo, & iurè vos communiter
Κοινῇ δικαίως, οἳ μιᾶς τε χέρνιβος	Probris lacessam, quippe congeneres velut
Βωμοὺς περιρραίνοντες ὥσπερ ξυγγενεῖς,	Altaria aspersistis vno trulleo
Ὀλυμπίασιν, ἐν Πύλαις, Πυθοῖ, πόσους	Olympijs, Pylisque, Pythijsque, quot
Εἴποιμ' ἂν ἄλλους, εἴ με μηκύνειν δέοι.	Referre possem, si velim esse longior.
Ἐχθρῶν παρόντων βαρβάρων στρατεύματι	Et barbarorum exercitu præsentiam
Ἕλληνας ἄνδρας καὶ πόλεις ἀπόλλυτε.	Hostili, & vrbes perdidistis & viros
Εἷς μὲν λόγος μοι δεῦρ' ἀεὶ περαίνεται.	In Græcia, iste hic clauditur sermo tenus.
Ἀθην. Ἐγὼ δ' ἀπόλλυμαί γ' ἀπεψωλημένος.	ATHEN. At ego veretri glande nudata occidi.

BISETVS. Ἄνδρες Λάκωνες.] ἡ Λυσιστράτη ἔνθεν καὶ ἔνθεν πρὸς τοὺς τῶν Λακεδαιμονίων τε, καὶ τῶν Ἀθηναίων πρέσβεις, ἀμοιβαδὶς ἀναστραφεῖσα, μετ' αὐτῶν εἰς λόγους περὶ διαλλαγῶν ἔρχεται, καὶ τὸ ... ἀμφοτέρους ἐπιτίθησι. Ἐγὼ γυνὴ μέν εἰμι.] ταῦτα ὑπολαβοῦσα, ἐγὼ μὲν εἰ καὶ γυνὴ ὑπάρχω, ὅμως καὶ ἐξ αὐτῆς τῆς φύσεως ἡγεμόνος καὶ περὶ τοῖς μὴ προσήκουσι νοῦ, καὶ καλῶς πεπαιδευμένη, σύνετη καὶ ὅπως ἡμῶν εἰμι. καὶ τὰ ἑξῆς, ἅπερ πρὸς τοὺς Ἀθηναίους λέγει. Νοῦς δ' ἔνεστί μοι.] παρὰ τῷ Σουΐδᾳ γράφεται, μοῦσα δ' ἔνεστί μοι ὅπερ καλὸν μὲν οὐ μέντοι τὴν παροῦσαν γραφὴν κρεῖττον. οἱ δὲ κινεῖν θέλοντες, τὴν ἐπανόρθωσιν ταύτην ἐκ τῆς ἑξῆς, μεμούσωμαι λέγεσθαι νομίζουσι. μουσοῦσθαι δὲ, παρὰ Μουσῶν διδάσκεσθαι, καὶ ἁπλῶς τὸ παιδεύεσθαι. καὶ διδάσκεσθαι, καὶ ἀσκεῖσθαι. τὸ δὲ λοιδορῆσαι, οὐκ ἔστι κακολογῆσαι, ἢ ὑβρίσαι, ἀλλὰ τὸ μέμψασθαι, τὸ ὀνειδίζειν τινά. καὶ αὐτὸ ἐπιτιμᾶν σημαίνει. Μιᾶς τε χέρνιβος.] Ἀθηναῖος ἐν τῷ τῶν Δειπνοσοφιστῶν ... περὶ τῆς χέρνιβος ταῦτα λέγει. ἔστι δὲ ὕδωρ, εἰς ὃ ἀπέβαπτον δαλὸν ἐκ τοῦ βωμοῦ λαμβάνοντες, ἐφ' ᾧ τὴν θυσίαν ἐπετέλεσαν. καὶ τούτῳ περιρραίνοντες τοὺς παρόντας, ἥγνιζον. ταῦτα δὲ νῦν οἱονεὶ παροιμιακῶς εἰρῆσθαι δοκεῖ, τὸ ἐκ τῶν αὐτῶν ἱερῶν, καὶ θυσιῶν τινας συμμετέχειν, τοῦ τοὺς πρὸς ἀλλήλους ἀντιπολεμοῦντας ... ὁμονοίας σύμβολον νομίζεται. Ὅμηρος δὲ, τὸ κατὰ χειρῶν διδόμενον ὕδωρ, χέρνιβα καλεῖ. καὶ χερνίπτεσθαι τὸ τὰς χεῖρας νίπτεσθαι. τινὲς τὴν λέξιν ὀξυτόνως προφέρουσι χερνίψ, χερνίβος, ὡς ... Ὀλυμπίασιν.] ἐν Ὀλυμπίᾳ. Ὀλυμπία δὲ, ἡ πρότερον Πῖσα λεγομένη ἔνθα Ὀλύμπιος Ζεὺς τιμᾶται. ἀφ' ἧς ὁ ... ἀγών. τὰ τοιαῦτα Ὀλυμπίασι, τὸ ἐν Ὀλυμπίᾳ ἢ ἐν τοῖς Ὀλυμπιακοῖς εἴτε Ὀλυμπικοῖς ἀγῶσιν, Ὀλυμπιάζω, καὶ Ὀλυμπιάδων. λέγεται καὶ Ἀρπίνα, ὡς Νικάτωρ, ἀπὸ τῆς Οἰνομάου μητρός. Στεφ. Ἐν Πύλαις] Πύλαι αἱ Θερμοπύλαι. ἐκλήθησαν δὲ οὕτω διὰ τὸ στενὴν τὴν ... εἴσοδον ἀπὸ Θετταλίας εἰς τὴν Φωκίδα πορευομένοις. Πυλαία δὲ ἐκαλεῖτο ἡ εἰς τὰς Πύλας σύνοδος τῶν Ἀμφικτυόνων. ἐπέμποντο δὲ, ἐκ τῶν πόλεων τῶν μετεχουσῶν τῆς Ἀμφικτυονίας τινὲς, οἵπερ ἐκαλοῦντο Πυλαγόραι. Σ. Πυθοῖ] Πυθὼ, ἡ τοῦ Ἀπόλλωνος πόλις. καὶ Φωκίς χώρα τῆς Ἑλλάδος, περὶ ἣν πόλις ἡ καλουμένη Δελφοὶ περὶ ἣν πόλιν τὸ ἱερὸν ἦν τοῦ Ἀπόλλωνος, ὃ ἐκαλεῖτο Πυθώ. ἐν ᾧ χαλκοῦς τρίπους ἵδρυτο. καὶ ὕστερον στάλω, ἢ τὰς μαντικὰς εἶχε ψήφους. αἳ τινες ἐρωτώντων τῶν μαντευομένων ἥλλοντο. καὶ ἡ Πυθία ἐμφορουμένη, ἅττα ἐνθουσιῶσα ἔλεγεν ἃ ἐξέφερεν ὁ Ἀπόλλων. Σ. λέγεται δὲ καὶ Πυθὼ, όος, οῦς. καὶ Πυθὼν, ῶνος, ἡ Δελφὶς ὕστερον κληθεῖσα, καὶ Δελφοὶ τὸ περὶ αὐτὴν ἔθνος, παρὰ τὸ ἐκεῖ πυθέσθαι, ἤτοι σαπῆναι τὸν ὑπ' Ἀπόλλωνος τοξευθέντα δράκοντα. ἢ διὰ τὸ πυνθάνεσθαι τοὺς ἐκεῖ χρηστηριαζομένους. Πυθὼ δὲ, καὶ Πυθὼν, ἀλλαχοῦ τόπος Φωκίδος. ὅθεν τὰ ἐπιρρήματα, Πυθοῖ, ἐν τῇ Πυθῶνι. Πυθῶδε, εἰς τὴν Πυθῶνα. Εἴ με μηκύνειν δέοι.] τὸν λόγον δηλονότι. τουτέστιν εἰ δέοι μακροῦ λόγου χρῆσθαι. εἰ μακρηγορεῖν δέοι. Ἀπεψωλημένος] ἀποψωλεῖσθαι, τὴν ψωλὴν ἀποδείρεσθαι, καὶ τὸ τῆς ψωλῆς δέρμα δέρεσθαι. τὸ τοῦ βαλάνου δέρμα περιτέμνεσθαι. νῦν δὲ τὸ ἁπλῶς ἔχειν τὴν ψωλῆς βάλανον γυμνήν. καὶ δέρματος γυμνωθεῖσαν ὥσπερ τοῖς στυμάζουσι, καὶ τοῖς σπασμὸς, καὶ τοιούτους ἔχουσιν εἴωθε συμβαίνειν. τὸ δὲ τὴν ἀφροδισίων ἀκολασίαν τε, καὶ πάθος ἐνταῦθα σημαίνει.

CHR. Νοῦς δ' ἔνεστί μοι] Apud Sudam habes μοῦσα δ' ἔνεστί μοι. voce μοῦσα, malè, vt ego quidem puto. Quamuis postea sit οὐ μεμούσωμαι κακῶς id est πεπαίδευμαι, & ἐσοφισμαι.

Λυ. Εἶτ' ὦ Λάκωνες, πρὸς γὰρ ὑμᾶς τρέψομαι.
Οὐκ ἴσθ' ὅτ' ἐλθὼν δεῦρο Περικλείδης ποτὲ
Ὁ Λάκων Ἀθηναίων ἱκέτης καθέζετο
3 Ἐπὶ τοῖς βωμοῖς ὠχρὸς ἐν φοινικίδι
Στρατιὰν προσαιτῶν. ἡ δὲ Μεσσήνη τότε
Ὑμῖν ἐπέκειτο χ' ὡ θεὸς σείων ἅμα.
Ἐλθὼν δὲ σὺν ὁπλίταισι τετρακισχιλίοις
Κίμων ὅλην ἔσωσε τὴν Λακεδαίμονα.
Ταυτὶ παθόντες τῶν Ἀθηναίων ὕπο
Δῃοῦτε χώραν ἧς ὕπ' εὖ πεπόνθατε.
Ἀθην. Ἀδικοῦσιν οὗτοι νὴ Δί' ὦ Λυσιστράτη.
Λα. Ἀδικοῦμες. ἀλλ' ὁ πρωκτὸς ἄφατος ὡς καλός.
Λυ. Ὑμᾶς δ' ἀφήσειν τοὺς Ἀθηναίους οἴει.
Οὐκ οἶσθ' ὅθ' ὑμᾶς οἱ Λάκωνες αὖθις αὖ
Κατωνάκας φοροῦντας, ἐλθόντες δορὶ
Πολλοὺς μὲν ἄνδρας Θετταλῶν ἀπώλεσαν.
Πολλοὺς δ' ἑταίρους Ἱππίου καὶ ξυμμάχους
Ξυνεκμαχοῦντες τῇ τόθ' ἡμέρᾳ μόνοι
Κἀλευθέρωσαν, κἀντὶ τῆς κατωνάκης
Τὸν δῆμον ὑμῶν χλαῖναν ἠμπέσχον πάλιν.
Λα. Οὔπα γυναῖκ' ὄπωπα χαϊωτέραν.
Ἀθην. Ἐγὼ δὲ κύσθον γ' οὐδέπω καλλίονα.
Λυ. Τί δῆθ' ὑπηργμένων γε πολλῶν κἀγαθῶν
Μάχεσθε κοὐ παύεσθε τῆς μοχθηρίας;
Τί δ' οὐ διηλλάγητε; φέρε τί τοὐμποδών;

A Lvs. Deinde ô Lacones (namque vos nunc alloquor)
Nescitis vt quondam Periclides Laco
Oratione Athenienses supplici
Sedens ad aram, in Punico pallens sago
Exercitum rogabat: illo tempore
Messena vobis imminebat, & dei
Premebat ira: mille quattuor viris
B Cimon coactis, vniuersa reddidit
Sparta salutem: vos tamen solum Atticum
In vos beneficum & nunc vastastis diu.
ATHE. Iniurij sunt, per Iouem, ô Lysistrata.
LAC. Lata ista culpa, at culus est latissimus.
Lvs. Nec culpa abesse Athenienses dixerim.
Nescis vt olim vos quoque in Catonacis
C (Seruili amictu) adiuuerint Laconici
Armis corusci, plurimis q́ Thessalis
Occisione perditis, socijs, equis
Depraeliantes fortiter, soli die
Vos, inquam, in illa liberarant pallio
Plebem induentes pro schema vilis preti.
LA. Melior mihi vnquam visa non est faemina.
D ATH. At vulua nunquam pulcrior visa est mihi.
Lvs. Quum tot bona ergo accepta sint & praebita
Cur sic libet pugnare, cur non desinis
Ærumnae? quid vos esse concordes vetat?

BISETVS. Εἶτ' ὦ Λάκωνες] ἡ Λυσιστράτη μετὰ τὸν πρὸς τοὺς Ἀθηναίους λόγον μέχρι τοῦδε πεποιημένον, πρὸς τοὺς Λάκωνας ἀναστραφεῖσα, αὐτοὺς προσαγορεύει καὶ πρὸς διαλλαγὰς προτρέπει. Περικλείδας.] τούτου μνημονεύει ὁ Πλούταρχος, ἐν τῷ τοῦ Κίμωνος βίῳ, καὶ τήνδε τὴν ἱστορίαν διεξοδικῶς διηγησάμενος οὕτω γράφει. Πέμπουσιν οὖν οἱ Λακεδαιμόνιοι Περικλείδαν εἰς Ἀθήνας δεόμενοι βοηθεῖν, ὃν φησι κωμῳδῶν Ἀριστοφάνης καθεζόμενον ἐπὶ τοῖς βωμοῖς, ὠχρὸν ἐν φοινικίδι, στρατιὰν ἐπαιτεῖν. ἱκέτης δὲ, κατὰ τὸν Σουίδαν, ὁ δουλοπρεπὴς, καὶ δεόμενος περί τινος. Ἐν φοινικίδι.] φοινικὶς, ἱματίου εἶδος. Ἀριστοτέλης δέ φησι χρῆσθαι τοὺς Λακεδαιμονίους φοινικίδι πρὸς τοὺς πολέμους. τοῦτο δὲ, ὅτι τὸ τοῦ χρώματος, ὅτι τὸ τῆς χροιᾶς ἀνδρεῖον. τοῦτο δὲ, ὅτι τὸ τοῦ χρώματος αἱματοειδὲς, τῆς τοῦ αἵματος ῥύσεως καταφρονεῖν ἐθίζει. παίζει δὲ ὁ Κωμικὸς ἐν τῇ τῶν λέξεων ἀντιθέσει, ὠχρὸς ἐν φοινικίδι. Ἡ δὲ Μεσσήνη.] Μεσσήνη, ὥς φησιν Εὐστάθιος, ἐπὶ τῶν Τρωϊκῶν ὑπὸ Μενελάῳ ἦν, μέρος οὖσα τῆς Λακωνικῆς. ὕστερον δὲ ἡ πόλις ἐκλήθη ἡ Μεσσήνη. ἦσαν δὲ Μεσσήνιοι πλησιόχωροι τοῖς Λακεδαιμονίοις, καὶ ἦσαν δὲ Μεσσήνιοι ... πολέμιοι. Χ' ὡ θεὸς σείων.] καὶ ὁ θεὸς σείων. περίφρασις τοῦ Ποσειδῶνος, ὃς σεισίχθων ἐπιθετικῶς καλεῖται. περὶ δὲ τούτου τοῦ ἐν Λακεδαίμονι σεισμοῦ, καὶ χασμάτων δι' αὐτὸν ἐν τῷ προρρηθέντι Πλουτάρχου τόπῳ μνήμη ποιεῖται. Δῃοῦτε] δῃοῦτε, δηιοῦτε, τέμνετε, κακοῦτε, καὶ πολεμικῶς διατίθεσθε. οὕτω δὲ τοῦτο σχηματίζεται. δαΐω, ὃ δηλοῖ τὸ τέμνω, καὶ κείρω, καὶ καίω, καὶ ἄπτω, καὶ κακῶ, καὶ λάμπω. καὶ κατὰ προσθήκην τοῦ α διάλυσιν δαΐω. ὅθεν τὸ δάϊος. καὶ κατὰ E δήϊος, ὁ πολέμιος, ὁ πολεμικός. ἐνίοτε καὶ ὁ ἔμπειρος. καὶ γὰρ τὸ δαῆναι, ὅθεν δαέω, καὶ δάημι, τὸ εἰδέναι, καὶ ἐπίστασθαι σημαίνει. καὶ δαήμων, ὁ ἐπιστήμων. καὶ δαημοσύνη, ἡ ἐπιστήμη, καὶ ἐμπειρία. ἐκ δὲ τοῦ δήϊος, τὸ ῥῆμα δηϊοῦ. καὶ κατὰ συναίρεσιν δῃοῦ, δῃώσω. τὸ δὲ, ἧς ὑπ' εὖ, ἀντὶ τοῦ ὑφ' ἧς εὖ πεπόνθατε. Ἀδικοῦμες.] ἀδικοῦμεν. τὸ δὲ ἑξῆς ἀσάφειαν ἔχει μεγάλην. τινὲς μὲν γὰρ, διὰ τὸ δεῖν τὸ καμφθέντα, τῷ τῶν λέξεων παρονομασίᾳ, ἢ ποιᾷ τινὶ σχήματος ὁμοιότητι, τὸν Κωμικὸν νοῦν αἰνίττεσθαι βούλεσθαι νομίζουσι. γυναικεῖόν τι, περὶ οὗ οὔτε Ἀθηναῖοι, καὶ οἱ Λάκωνες ἀμφισβητοῦντες ἐπολέμησαν. ὅπερ ἐστὶν ἀπίθανον. οὕτω F γὰρ καὶ κατὰ τὴν Πύλον, ἔγκυκλον καλεῖ. καὶ τὰ Μεγαρέα σκέλη λέγει, διὰ τὴν ὁμοιότητα σχήματος δηλαδή. ἀλλὰ τί ποτε τοῦτο εἴη, ὃ ἐνταῦθα νοητέον, οὐ ῥᾴδιον ἐστι τεκμαίρεσθαι. ἄφατον δὲ Ἡσύχιος ἑρμηνεύει, ἀμήχανον, πολὺ, ἄρρητον, ἀμέτρητον, δεινόν. καὶ ἄφατος, ἀνεκφώνητος, θαυμάσιος, καταπληκτικός. Ἄλλως. διὰ τούτων ἴσως τὴν τῶν Λακώνων ἀσέλγειαν ὁ ποιητὴς ὑποδηλώσαι θέλει, αἰνιττόμενος τὴν τῆς Ἀσπασίας, ἧς Περικλῆς ἠράσθη, ἁρπαγήν. ὅπερ ὀργὴν τοῦ πολέμου γεγενῆσθαι, ἐν τοῖς Ἀχαρνεῦσιν ἔφη, οὕτω λέγων,

G Κἀντεῦθεν ἀρχὴ τοῦ πολέμου κατερράγη
Ἕλλησι πᾶσιν ἐκ τριῶν λαικαστριῶν.

Οὕτως οὖν καὶ ἐνταῦθα νοητέον φαίνεται, ὁ Λάκων τὸ ἀδίκημα ὁμολογούμενος, ἅμα καὶ τὴν τούτου αἰτίαν ἀπολογεῖται, τὸ γυναικεῖον κάλλος, ὥσπερ ἂν εἰ λέγοι, ὁμολογοῦμεν ἡμᾶς ἠδικηκέναι, ἀλλὰ τὸ κάλλος ἀνασειστήριον τι, καὶ ὑπαγωγόν ἐστιν, ᾧ οὐ ῥᾳδίως τις ἀντίσχει. Κωμικώτερον

ρον δὲ, καὶ γέλωτος χάριν, τοῦ κάλλους τὸ ἐπιμάταπον μέρος ὠνόμασεν, ἀντὶ τοῦ ὅλου. Οὕτω ἐπ' ὀλίγον ὕστερον, ὁ Ἀθηναῖος λέγει,

Ἐγὼ δὲ κύσθον γ' οὐδέπω καλλίονα.

παραπλησίως καὶ Ὅμηρος πολλάκις τὰς καλὰς γυναῖκας, καλλιπαρῄους, ἢ καλλισφύρους, ἀπὸ μέρους, καλεῖ. Ὑμᾶς δ' ἀφήσειν.] τὸ τῆς Λυσιστράτης πρόσωπον ἐντεῦθεν παρακρουστέον, ὥσπερ τὸ τῶν Λακώνων, ὡς πρότερον. ἐκ ἴσθ' ὅτι, ἀντὶ τοῦ, ἐκ ἴστε, ἐκ οἴδατε ὅτι. τὸ δὲ αὖθις αὖ, ἐκ παραλλήλου, καὶ συνωνύμως εἴρηται, ἀντὶ τοῦ, πάλιν, ἐκ δευτέρου. Κατωνάκας.) κατωνάκη, ὡς ἐν τῇ Ἐκκλησιαζούσαις προείρηται, ἰσχνικὸς ἦν καὶ ἀνελεύθερος χιτών. δοκοῦσι δὲ τοῦτον ἀμφιέσασθαι Ἀθηναῖοι, τῶν περὶ Πεισίστρατον τυράννων ἐπαναγκασάντων, ἵνα ὑπὸ εὐτελείας μὴ κατίωσιν εἰς ἄστυ οἱ πολῖται. μέχρι γὰρ τῶν γονάτων ἦν δήπου. ὁ δὲ νοῦς οὗτος, ἐκ ἴσθ' ὅτι ἡ τῶν Λακεδαιμονίων βοήθεια, ὑμᾶς δουλικοῦ τοῦδε καὶ ἀνελευθέρου φορήματος, τουτέστι τῆς κατωνάκης ἐλευθερωθέντας, αὖθις μὲν τὴν χλαῖναν αὖθις ἀμφιέσασθαι ἐποίησεν; ἀλλὰ τὴν τούτων ἐξήγησιν διὰ πλειόνων, καὶ ἀκριβέστερον εἰδέναι ἔξεστιν, ἐκ τοῦ Ἡροδότου, ἐν τῷ τῆς αὐτοῦ ἱστορίας πέμπτῳ. Πολλοὺς μὲν ἄνδρας.] καὶ γὰρ τῶν Θετταλῶν οἱ πλεῖστοι, τῷ Ἱππίᾳ ἐβοήθουν. διὸ ἐπιφέρει, πολλοὺς δ' ἑταίρους Ἱππίου καὶ τούτων διεξοδικὴν ἱστορίαν ἔχεις, ἐν τῷ αὐτῷ τοῦ Ἡροδότου πέμπτῳ. Οὔπω.) οὔπω γυναῖκα χαϊωτέραν, εἴτε εὐσχημονεστέραν ὄπωπα, ἤγουν εἶδον. τὸ δὲ οὔπω Δωρικῶς εἴρηται τῷ ω μεγάλῳ εἰς α τραπέντος, ὡς ἐν τῷ πρᾶτος, καὶ πρᾶτον, ἀντὶ τοῦ πρῶτος, καὶ πρῶτον. ἐκ δὲ τοῦ χαῖος, κατὰ διάλυσιν χαῖος, ὅθεν τὸ χαϊώτερος παρῆκται. περὶ ὧν ἐν τοῖς ἄνω προείρηται. Ἐγὼ δὲ κύσθον.) κύσθος, καὶ κύβος, τὸ γυναικεῖον αἰδοῖον. ὃ καὶ χοῖρος καλεῖται. Ὑπηργμένων.) τὰ ὑπηργμένα λέγεται τὰ προκαταρξάμενα, τὰ πρότερον ἀρξάμενα εἴτε εὐεργετήματα, εἴτε καὶ κακουργήματα, ὧν τὴν ἀμοιβὴν ἀμείβεσθαι φιλοῦμεν. ὁ δὲ νοῦς. διὰ τί δὲ ὑμεῖς πολλὰ καὶ ἀγαθὰ ὑπ' ἀλλήλων ἤδη παθόντες, ὧν χάριν ἔδει ὑμᾶς ἀνταποδοῦναι, ἀλλήλοις ὅμως μάχεσθε; Τί τοὐμποδών.) τί τὸ ἐμποδὼν ἐστιν; τί τὸ ἐμπόδιον, καὶ κώλυμα; τί ὑμᾶς ποιεῖσθαι διαλλαγὰς κωλύει;

CHR. Περικλείδην ἐκεῖνα ποτέ.) Lego Περικλείδας ποτέ, Nam sic vocat Plutarchus in vita Cimonis & hos versus Aristophanis laudat, aitque Cimonem suasisse hoc auxilium dissuadente Ephiollo & prohibente. Ἡ δὲ Μεσσήνη τότε) Quum Ilotæ & Messenij insurrexerunt, propter Ithomam arcem, tum Lacedæmonij opem petierunt ab Atheniensibus qui Cimonem Miltiadis filium cum imperio miserunt. vt præter Thucydidem lib. 1. disertè Plutarchus narrat in vita ipsius Cimonis. Πολλοὺς δ' ἑτέρους.) Lege ἑταίρους & ξυμμαχῶντες nam μαχᾶν est pugnaturire. θέλειν μάχεσθαι. Χαϊωτέραν] Lacedæmonij χαιὰ vocant τὰ ἀγαθὰ, Sic suprà χαιὰ μὲν καὶ τὰ σιώ. At ὑπηργμένων est κεχορηγημένων.

Λα. Ἀμές γε, λώμεσθ'. αἴ τις ἁμὶν τοὔγκυκλον
Λῆ τοῦτ' ἀποδῶμεν. Λυ. ποῖον ὦ ταῖ; Λα. ταὶ Πύλον.
Ὥσπερ πάλαι δεόμεθα καὶ βλιμάττομες.
Ἀθην. Μὰ τὸν Ποσειδῶ τοῦτο μέν γ' οὐ δράσετε.
Λυ. Ἄφετ' ὦ 'γάθ' αὐτοῖς. Ἀθην. κᾆτα τίνα κινήσομεν;
Λυ. Ἕτερόν γ' ἀπαιτεῖτ' ἀντὶ τούτου χωρίον.
Ἀθην. Τὸ δεῖνα τοίνυν παράδοθ' ἡμῖν τουτονὶ
Πρώτιστα τὸν Ἐχινοῦντα καὶ τὸν Μηλιᾶ
Κόλπον τὸν ὄπισθεν, καὶ τὰ Μεγαρικὰ σκέλη.
Λα. Οὐ τὼ σιὼ οὐχὶ πάντα γα ὦ Λυσσάνιε.
Λυ. Ἐᾶτε. μηδὲν διαφέρου περὶ σκελοῖν.
Ἀθην. Ἤδη γεωργεῖν γυμνὸς ἀποδὺς βούλομαι.
Λα. Ἐγὼ δὲ κοπραγωγεῖν γα πρῶ ναὶ τὼ σιώ.
Λυ. Ἐπὴν διαλλαγῆτε ταῦτα δράσετε.
Ἀλλ' εἰ δοκεῖ δρᾶν ταῦτα βουλεύσασθε καὶ
Τοῖς ξυμμάχοις ἐλθόντες ἀνακοινώσατε.
Ἀθην. Ποίοισιν ὦ ταῖ ξυμμάχοις; ἐστύκαμες.

LA. Hæc nos auemus, si quid illum reddere
Velis ambitum muniminis. LVS. *Sed quem?* LA. *Pylon*
Quam flagitantes iamdiu affectauimus.
ATH. *Te Conse testor, nunquam id impetrabitis.*
LVS. *Concedite illis.* ATH. *Porrò quid mouebimus?*
LVS. *Huius vicem poscendus est alter locus.*
ATH. Cede ergo quemuis alterum, nobis date
Echinunta primum, deinde Maliacum sinum
Ponè adiacentem, & crura vtrinque Megarica.
LA. Non per gemellos, omnia ô insanissime.
LVS. *At mittite hac: pro cruribus ne sit mora.*
ATH. Me, nudus vt colam arua, prolubium subit.
LA. *At, per Deos, me primum vt arua stercorem.*
LVS. *Mox ista fient, pacta si sint fædera:*
Hoc si videtur expedire, inite iam
Consilia, socios aduocate cæteris.
ATH. Quos, quæso, socios dicis? arrectissimus,

Βιsέτυs. Ἀμές γα λῶμες] ἡμεῖς δὲ ἀλλαγῆς ποιήσασθαι βουλόμεθα, εἴπερ ἡμῖν τις ἐθέλει ἀποδοῦναι τοῦτο τὸ ἔγκυκλον. τί δὲ ἐστὶ κυρίως τὸ ἔγκυκλον, ἄνω πολλάκις εἴρηται. νῦν δὲ μεταφορικῶς τὴν Πύλον οὕτω καλεῖ. ὥσπερ ἱμάτιόν τι κυκλοτερές, ὅ τις τὸ σῶμα περιβάλλει. Πύλος δέ, κατὰ τὸν Στέφανον ἐν τῷ περὶ πόλεων, πόλις ἐστὶν ἐν Μεσσήνῃ, ἣ καὶ Κορυφάσιον ἐκαλεῖτο. Βλιμάττομες δέ, βλιμάττομεν, ἤγουν βλιμάζομεν, ὅπερ νῦν ἀντὶ τοῦ ἐπιθυμοῦμεν λαμβάνεται. οὕτω γὰρ παρὰ τῷ Σουΐδᾳ ἑρμηνεύεται. Κἆτα τίνα κινήσομεν;] κινήσομεν, ταράξομεν. τοῦτο δὲ λέγεται κατὰ τῶν Ἀθηναίων ὡς νεωτεροποιῶν ὄντων, καὶ τῇ τῶν ἄλλων πόλεων ἐλευθερίᾳ, καὶ ἡσυχίᾳ ἀεὶ ἐπιβουλευόντων, καὶ πάντα ταρασσόντων, ἵνα πλεονεκτῶσι. τοῦτο δὲ δῆλον ἐκ τῶν ἑξῆς λεγομένων

Νήφοντες εὐθὺς βλέπομεν ὅ,τι ταράξομεν.

Τὸν Ἐχινοῦντα.] Ἐχῖνος, ὡς λέγει Στέφανος, πόλις ἐστὶν Ἀκαρνανίας. καί τινες φασὶν Ἐχινοῦντα τὴν αὐτὴν εἶναι. Καὶ τὸν Μηλιᾶ.] Μῆλος, νῆσος μία τῶν Κυκλάδων, ὁμώνυμον ἔχουσα πόλιν. ἔστι καὶ κώμη τῆς Ἀκαρνανίας, ἧς τὸ ἐθνικὸν Μηλιεύς, καὶ παρὰ τὰ Δωρικῶς Μαλιεύς. λέγεται δὲ ἀπὸ τῆς Μήλου Μήλιος, Μηλιεύς, καὶ Μηλιακός. καὶ Μηλὶς ἡ χώρα, τὸ δὲ Μηλιᾶ, Ἀττικῶς, ὡς τὸ Πειραιᾶ, παρὰ Δημοσθένει ἐν τοῖς Φιλιππικοῖς. καὶ παρὰ Θουκυδίδῃ πολλάκις. Τὰ δὲ σκέλη Μεγαρικὰ μεταφορικῶς καλεῖ τὸν τειχισμὸν τῶν Μεγάρων, τοῖς σκέλεσιν ἐοικότα, τουτέστι τὰ μακρὰ τείχη, πάλαι οἱ Ἀθηναῖοι μείζονος ἀσφαλείας ἕνεκα τὰ μακρὰ τείχη ἐς θάλασσαν ᾠκοδόμησαν. Ὦ λυσσάνιε.] ὦ μαινόμενε. Σ. λυσσάνιος, ὥσπερ ὁ λυσσώδης, καὶ λυσσαλέος. Ἐγὼ δὲ κοπραγωγῆν.] τὸν στῖχον, καὶ ἐπιόλας, καὶ μέτρου χάριν, οὕτω γραπτέον, Ἐγὼ δὲ κοπραγωγῆν γα, ναὶ τὼ σιώ. κοπραγωγῆν ἀντὶ τοῦ κοπραγωγεῖν ἀπὸ τοῦ κοπραγωγέω ἤγουν κόπρον ἄγω, κόπρον ἐπιβάλλω, κοπρίω, εἴτε κοπρόω, καὶ κοπρίζω. γα Δωρικῶς ἀντὶ τοῦ γε. τὸ δὲ πρῲ μονοσυλλάβως, ἀντὶ τοῦ πρωΐ, κατὰ συναίρεσιν, ὡς καὶ ἐν τοῖς ἄνω δεδήλωται. πρωΐ, ἕωθεν, ἅμα τῇ ἡμέρᾳ, ἅμα τῷ ἡλίῳ. Ἐστύκαμες.] ὥσπερ ἡ γραφὴ καλῶς ἔχει, ὁ Ἀθηναῖος γελοίως χάριν Λακωνίζων, ἐστύκαμες λέγων ἀντὶ τοῦ ἐστύκαμεν. καὶ τὴν ἄγαν ἐπιθυμίαν τῆς συνουσίας, τούτῳ τῷ ῥήματι σημαίνει. ἀμοῖσι δέ, ὁ Λάκων ἐπιφέρει, ἀντὶ τοῦ ἡμετέροις.

CHR. Βλιμάττομες.] Propriè βλιμάζειν est τοὺς ὄρνιθας ἐκ τῶν στηθῶν πειράζειν & ψηλαφᾶν, Inde ἐπιθυμεῖν teste Suda. Helychius βλίμασις, τιτθῶν (puto στηθῶν vt prius) ἄλειψις, lego θλίψις. Paulò post τούτου τοῦ χωρίου, dele secundum τοῦ, nocuum metro. Πρώτιστα τὸν Ἐχινοῦντα.] Echinus vrbs Acarnaniæ quam Echinunta à quibusdam vocari ait Stephanus. Rhianus vocari ait ἔχιον ἄστυ. Existimant tamen locum sic dictum διὰ τὸ τραχὺ καὶ ὀξύ, ab Echino animalculo. Sed quid ni à serpentibus? Nam Rhianus ἔχιον ἄστυ dixit. Idem Stephanus ait Μῆλον etiam esse κώμην τῆς Ἀκαρνανίας præter alteram insulam Cycladum ex qua Diagoras Meliensis, Socrates & Aristophanes. Echinum, Lamiam & Maliacum sinum & Thaumacon in Thessalia describit Strabo lib. 9.

Οὐ ταὐτὰ δόξει ταῖσι συμμάχοισι νῷν;
Βινεῖν ἅπασιν. ΛΑ. Ταῖσι γοῦν ναὶ τὼ σιὼ
Ἀμοῖσι. ΑΘΗΝ. Καὶ γὰρ νὴ μὰ Δία Καρυστίοις.
ΛΥ. Καλῶς λέγετε. νῦν οὖν ὅπως ἁγνεύσετε.
Ὅπως ἂν αἱ γυναῖκες ὑμᾶς ἐν πόλει
Ξενίσωμεν ὧν ἐν ταῖσι κίσταις εἴχομεν.
Ὅρκους δ' ἐκεῖ καὶ πίστιν ἀλλήλοις δότε.
Κἄπειτα τὴν αὑτοῦ γυναῖχ' ὑμῶν λαβὼν
Ἄπεισ' ἕκαστος. ΑΘΗΝ. Ἀλλ' ἴωμεν ὡς τάχος.
ΛΑ. Ἄγ' ὅπᾳ τὺ λῇς. ΑΘΗΝ. Νὴ τὸν Δί' ὡς τάχιστά γε.
ΛΥ. Στρωμάτων δὲ ποικίλων καὶ χλανιδίων καὶ ξυστίδων
Καὶ χρυσίων ὅσ' ἐστὶν μοι
Οὐ φθόνος ἔνεστί μοι
Πᾶσι παρέχειν φέρειν τοῖς
Παισὶν ὁπόταν τε θυγάτηρ
Τινὶ κανηφορῇ,
Πᾶσιν ὑμῖν λέγω
Λαμβάνειν τῶν ἐμῶν
Χρημάτων νῦν ἔνδοθεν
Καὶ μηδὲν οὕτως
Εὖ σεσημάνθαι, τὸ μὴ οὐχὶ τοὺς ῥύπους ἀνασπάσαι
Χἄττ' ἂν ἔνδον ᾖ φορεῖν.
Ὄψεται δ' οὐδὲν σκοπῶν εἰ μή τις

Nostris placebunt ista militibus satis,
Pruritus omnes tentat. LA. *Ecastor is est*
Sensus meorum. ATH. *Idem volunt Carystij.*
LYS. *Pulcrè refertis, interim expurgemini,*
Vt vos in vrbe muneremur fœminæ,
Et præbeamus lautia in cistis sita:
Iurati & illic mutuam fidem date,
Vnamque vestrûm quisque sumpta coniuge
Exin facessat. ATH. *Ergo eamus quàm citò.*
LA. *Duc vt voles tu.* ATH. *Per Iouem citissimè.*
LYS *Stragulas sed discolores, siue vallas, lanulas*
Quicquid & auri inest mihi, non
Inuideo hac munera
Cunctis dare, liberisque
Ferre, vt habeat quæ sit filia canephora.
Nempe dico omnibus,
Ex meo sumere
Intus auro nunc licet:
Nil obseratum
Sic erit, quin signa vobis sit facul reuellere,
Sumi quod intus est
Ferre, nil videbis hic scrutator

Bis.

A

Bisetus. Ὅπως ἁγνεύσετε.] δηλονότι σκοπεῖτε, ὁρᾶτε. τὸ δὲ ἁγνεύειν ἐνταῦθα δηλοῖ τὸ ἑαυτὸν ἁγνὸν παρέχειν, καὶ ἁγνῶς πάντα πράττειν. Κίσταις.] κίστη καὶ κίστις, ἀγγεῖον ἐν ᾧ τὰ βρώματα κεῖται. ἢ ἱμάτιά τινα. τὸ τ ἀντὶ τοῦ θ. κίσθη γάρ. Σ. ἄπεστι δὲ, ἀπολείψεται. Στρωμάτων δὲ ποικιλῶν.] οὕτω καλεῖται τὰ πεποικιλμένα, τὰ κεκαλλωπισμένα, καὶ ζωγραφητὰ στρώματα. Ἡσύχιος. χλανίδιον δὲ, λεπτὸν ἱμάτιον. ξυστὶς δὲ, γυναικεῖος ποδήρης χιτών. Καὶ χρυσίον.] χρυσίον ἰδικῶς ὁ χρυσός. χρυσία δὲ πληθυντικῶς ὅτι μὲν νομίσματα, ὅτε δὲ σκεύη χρύσεα, ὅτε χρυσᾶ δηλοῖ καὶ πάντα τὰ ἄλλα κόσμον ἐκ χρυσοῦ. σεσημάνθαι δὲ, ἐσφραγίσθαι. σημαίνειν γὰρ τὸ σφραγίζειν. ῥύπους δὲ οἱ Ἀττικοὶ τὸν εἰς τὰς σφραγῖδας κηρὸν λέγουσιν. Ἡσύχιος.

B

CHR. Καλῶς λέγεται.] Legendum λέγετε vt sit pes Tribrachus æquiparans Iambum. Cùm autem ait ἐν ταῖσι κίσταις puto allusionem fieri ad κύστιν. Τοὺς ῥύπους ἀναστάσας] Melius Veneta editio τοὺς ῥύπους ἀνασπάσας id est signa reuellere & dissoluere.

Ὑμῶν ὀξύτερον ἐμοῦ βλέπει.
Εἰ δέ τῳ μὴ σῖτος ὑμῶν ἐστι, βόσκει δ' οἰκέτας
Καὶ σμικρὰ πολλὰ παιδία,
Ἔστι παρ' ἐμοῦ λαβεῖν
Πυρίδια λεπτὰ μέν,
Ὁ δ' ἄρτος ἀπὸ χοίνικος
Ἰδεῖν μάλα νεανίας.
Ὅστις οὖν βούλεται
Τῶν πενήτων ἴτω
Εἰς ἐμοῦ, σάκους ἔχων καὶ κωρύκους. ὡς
Λήψεται πυρούς. ὁ Μανῆς δ' αὐτοῖς οὑμὸς ἐμβαλεῖ.
Πρός γε μέντοι τὴν θύραν
Προαγορεύω μὴ βαδίζειν τὴν ἐμήν,
Ἀλλ' εὐλαβεῖσθαι τὴν κύνα.

Ni me fortè videt acutius:
Sin quis est vestrum farinas non habens, seruos alens
Et pusa plura pignora,
Accipiat hinc licet
Far tenue: Panis at
(Vt est ratio Chœnicis)
C *Erit valida magnitas:*
Quisquis ergo expetet
Pauperum, me petat
Cum canistris sacciperijsq́:
Afferet fruges meus quas mellietur seruolus:
Hoc tamen denuntio,
Petere vt nemo postulet portam meam,
D *Sed si sapit, vitet canem.*

Bisetus. Πυρίδια.] ἀπὸ τοῦ πυροῦ τὸ ὑποκοριστικὸν πυρίδιον, ἤγουν σιτίον, ἢ τοῦ σίτου ψωμίδιον, τουτέστι μικρότατον μέρος τοῦ σίτου ἢ τοῦ ἄρτου. ἄρτος δὲ νεανίας νῦν μεταφορικῶς ὁ καρτερὸς, ἤγουν ὁ μέγας. εὖ τοῦτο καὶ ἐν Πλούτῳ, κρέας νεανικὸν εἶπε, τὸ μέγα, καὶ παχύ. Χοῖνιξ δὲ, ὡς Εὐστάθιός φησι σκεῦός τι μετρητικὸν, καὶ αὐτὸ τὸ μετρούμενον. ὅθεν καὶ ἐπὶ τροφῆς τίθεται, καὶ χοῖνιξ καλεῖται. πᾶν ἀλφιτηρές. νῦν δὲ λέγει ἀπὸ χοίνικος, E ἐπεὶ, ὡς φασιν ἐν τοῖς εἰς Σφῆκας σχολίοις δεδήλωται, εἰς τὴν χοίνικα τέσσαρες μεγάλοι ἄρτοι γίνονται, μικροὶ δὲ, ὀκτώ. Σάκους ἔχων.] τὸ σάκος, οὐδετέρως, ἀσπίς, ὅπλον. σάκος δὲ ἀρσενικῶς διὰ τοῦ κ, ὁ θύλακος. Σουΐδας. κώρυκος δὲ, πλέγμα δεκτικὸν ἄρτων. καὶ κωρύκιον, θυλάκιον, τὸ παρ' ἡμῖν βουλγίδιον. Ἡσύχιος δὲ, κώρυκος, θυλάκιον. ἔστι δὲ, φησι, δερμάτινον ἀγγεῖον ὅμοιον ἀσκῷ. Ὁ Μανῆς.] ὁ ἐμὸς δοῦλος, ἢ θεράπων. προαγορεύω δὲ, ἀντὶ τοῦ φημὶ, καὶ ἐν ὥρᾳ κελεύω, ἀπαγορεύω. εὐλαβεῖσθαι δὲ, εὐλαβῶς φυλάττεσθαι, φεύγειν, ἐκκλίνειν.

CHR. Ἄρτος ἀπὸ χοίνικος.] Sic nos Gallo-Franci dicimus *vn pain d'vn bossean*. Chœnix Sextarij mensura est demensum diurnum, propterea dictum ἡμεροτροφίον. Apud Hesychium habes ἀπὸ μέρας τροφὴ, non dubitem emendare ἡμέρας τροφή. Quod autem panem νεανίαν vocat, puto esse νεανικὸν & sic grande vt saturare valeat νεανίαν, atque, vt ait Theocritus, ἄνδρα φυτοσκάφον. Τοὺς κωρύκους.] κώρυκος vel κωρύκιον, calathus est plectilis quo panis conditur, vt inde vernaculè dixerimus *Panier*. σάκος autem vel σάκκος, similis ferè θυλάκῳ. Ὁ Μανῆς.) Manes pro seruo vt habes in ludo Cottaborum de quibus nos abundè in Irena. At εὐλαβεῖσθαι τὴν κύνα dictum ex Prouerbio, Caue canem.

F

ΘΕΡΑΠΩΝ, ΧΟΡΟΣ, Ἀθηναῖος, Λάκων.

FAMVLVS, CHORVS, Atheniensis, Laco.

Θε. Ἄνοιγε τὴν θύραν. οὐ παραχωρεῖν θέλεις;
Ὑμεῖς τί κάθησθε; μῶν ἐγὼ τῇ λαμπάδι
Ὑμᾶς κατακαύσω; φορτικὸν τὸ χωρίον.
Οὐκ ἂν ποιήσαιμ'. εἰ δὲ πάνυ δεῖ τοῦτο δρᾶν,
Ὑμῖν χαρίζεσθαι προσταλαιπωρήσομεν.
Χο. Χ' ἡμεῖς γε μετὰ σοῦ ξυνταλαιπωρήσομεν.

Fam. *Reclude ianuam, an recusas cedere?*
G *Vos quid sedetis? an manetis dum face*
Vos hic aduram? asperrimus sed est locus,
Nunquam istud ausim, sed tamen si opus fiet,
Vestra adlaborem perlubenter gratia.
CH. Tecum labores hauriemus insimul.

Θυ. Οὐκ ἄπιτε; κωκύσεσθε τὰς τρίχας μακρά.
Οὐκ ἄπιθ', ὅπως ἂν οἱ Λάκωνες ἔνδοθεν
Καθ' ἡσυχίαν ἀπίωσιν εὐωχημένοι.
Αθην. Οὔπω τοιοῦτον συμπόσιον ὄπωπ' ἐγώ.
Ἦ καὶ χαρίεντες ἦσαν οἱ Λακωνικοί.
Ἡμεῖς δ' ἐν οἴνῳ ξυμπόται σοφώτατοι.
Χο. Ὀρθῶς γ', ὅτι νήφοντες οὐχ ὑγιαίνομεν.
Ἢν οὖν Ἀθηναίους ἐγὼ πείσω λέγων,
Μεθύοντες ἀεὶ πανταχοῦ πρεσβεύσομεν.
Νῦν μὲν γὰρ ὅταν ἔλθωμεν εἰς Λακεδαίμονα
Νήφοντες, εὐθὺς βλέπομεν ὅτι ταράξομεν.
Ὥσθ' ὅτι μὲν ἂν λέγωσιν οὐκ ἀκούομεν.
Ἃ δ' οὐ λέγουσι, ταῦθ' ὑπονενοήκαμεν.
Ἀγγέλλομεν δ' οὐ ταὐτὰ τῶν αὐτῶν πέρι.
Νυνὶ δ' ἅπαντ' ἤρεσκεν, ὥστ' εἰ μέν γέ τις
Ἄδοι Τελαμῶνος Κλειταγόρας ᾄδειν δέον,
Ἐπῃνέσαμεν ἂν καὶ προσεπιωρκήσαμεν.
Ἀλλ' οὐτοιΐ γὰρ αὖθις ἔρχονται πάλιν
Ἐς ταυτόν. οὐκ ἐρρήσετ' ὦ μαστιγίαι.
Θυ. Νὴ τὸν Δί', ὡς ἤδη γε χωροῦσ' ἔνδοθεν.
Λα. Ὦ Πολυχαρείδα, λαβὲ τὰ φυσατήρια
Ἵν' ἐγὼ διποδιάξω γε κἀείσω καλὸν
Ἐς τὼς Ἀσαναίως τε καὶ ἡμᾶς ἅμα.
Αθην. Λαβὲ δῆτα τὰς φυσαλίδας πρὸς τῶν θεῶν,
Ὡς ἥδομαί γ' ὁρῶν ὑμᾶς ὀρχουμένους.
Λα. Ὅρμαον
Τὼς κυρσανίως ὦ Μναμόνα
Τὰν τεὰν Μῶαν, ἅτις
Οἶδεν ἀμὲ τώς τ' Ἀσαναίως.
Ὅκα τοὶ μὲν ἐπ' Ἀρταμιτίῳ
Πρόκροον θείκελοι
Ποττὰ κᾶλα, τὼς Μήδως τ' ἐνίκων.
Ἀμὲ δ' αὖ Λεωνίδας
Ἆγεν ἅπερ τὼς κάπρως
Θάγοντας, οἰῶ, τὸν ὀδόντα πολὺς
Δ' ἀμφὶ τὰς γένυας ἀφρὸς ἤνσεν
Πολὺς δ' ἁμᾶ
Καὶ κατ' τῶν σκελῶν ἀφρὸς ἵετο.
Ἦν γὰρ τὤνδρες οὐκ ἐλάσσως
Τᾶς ψάμμας, τοὶ Πέρσαι.
Ἀγροτέρ' Ἄρτεμι σηροκτόνε
Μόλε δεῦρο, παρσένε σιὰ
Ποττὰς σπονδάς, ὡς
Συνέχῃς πολὺν ἁμὲ χρόνον.
Νῦν δ' αὖ
Φιλία δ' αἰὲς εὔπορος εἴη
Ταῖσι συνθήκαις.

A FAM. *Non hinc abitis? de capillis flebitis:*
Abitis inquam? dum Lacones hospites
Intus quiescant, lautè & accepti sient?
ATH. *Nunquam antè tale videram conuiuium,*
Fuere honesti scilicet Laconici,
Nosq; inter ipsa vina conuiuæ cati.
B CH. *Benè ista certè, sobrij insani sumus,*
Athenienses fortè si persuasero,
Legationem semper ebrij obibimus:
Nam sobrij cùm venimus Lacedæmona
Statim videmus vnde turbemus nimis:
Quæ sunt ab illis dicta non attendimus,
Quæ dicta non sunt, suspicamur perperam
Renuntiantes aliter atque dicta sunt.
At nunc probantur omnia, ac si quis canat
C *Telamoniam pro Clitagorica nænia*
Laudemus atque deieremus falsiter.
FAM. *Sed ecce, ad vnum idémque nunc isti simul*
Redeunt. abitin' flagriones ocyus?
Nam per Iouem intrò iámque procedunt viri.
LA. *O Polycharida, sume sodes tibias,*
D *Saltatione bipede, vt adsultem tibi,*
Et Athenienses nósque pulcrè concinam:
ATH. *Tu sume potius tibias inflatiles,*
Sic nos iuuat videre saltantes simul.
LA. *O Musa*
Nunc puberibus monstra tuum
Canticum, notum nobis
Cimbúsq; notum Athenarum
Ob illustria ad Artemisium
E *Facta gens quæ Attica*
Gessit illa, quum Medósque vicit,
Quúmque nos Leonidas
Duxit apros ceu truces
Dentem asperantes rigidum fluebat
Plurima vndique per ora spuma.
Simulque per
Crura pedésque multa ferocia:
Namque immensa tanquam arena
F *Apparebant Persæ.*
Artemis Dea ferarum tremor
Age virgo, age huc Dea veni
Ad fœdus nostrum, vt
Sit vtrisque diu stabile,
Vt nunc
Animúsque æquus & facilis sit
Semper his pactis
G

BISETVS. Ἄνοιγε τὴν θύραν.) θεράπων ἡμμένην λαμπάδα περιφέρων, τοὺς αὐτῷ ἐντυγχάνοντας παραχωρεῖν κελεύει, ὅπως ἡ ἔξοδος τοῖς Λάκωσιν ἐκ τοῦ συμποσίου ἐπανερχομένοις ῥᾴων εἴη. Φορτικὸν τὸ χωρίον.) χωρίον ἐν τῶν μεταφορικῶς ληπτέον, ὡς ἐν τούτῳ τ

Ξενόφωντος χώρας ὑπάρχεις χλευαστῆς. τουτέστιν, ἐν ἔργοις διατρίβεις χαλεποῖς. Ἐν τάδε τῷ σημείῳ, καὶ φρούρια παρὰ Λατίνοις λαμβάνεται. τὰ δὲ ἑξῆς, ὑμῖν χαρίζεσθαι, εἰρωνικῶς καὶ δηλοποιεῖ τοῦ γέλωτος χάριν εἰσὶν, καὶ ὁ νοῦς οὕτω. χαλεπὸν μὲν καὶ ἀνιαρὸν ἐμοί ἐστιν ὑμᾶς

ἴδε

τῇ λαμπάδι καταγελῶν, ὅμως δὲ, εἴπερ οὕτω ποι- τοῦτο ὑμῖν χαρίζεσθαι ἀναγκοίμην, καὶ ὑπομένοιμι. τούτῳ δὲ τῷ ῥήματι προσβαλαιπωρέω, ὁ Κωμικὸς κέχρηται ἄνω, ὅταν λέγει

...Ἀλλ' ἀνάσχεσθ' ὦ 'γαθαί,
Καὶ προσταλαιπωρήσατέ γ' ὀλίγον χρόνον.

ἀλλ' ἐνταῦθα μᾶλλον χρηστέον φαίνεται προσταλαιπωρήσομαι ἄνευ τοῦ ν. ἐν χρήσει καὶ τὸ μέτρον ἀπαρτίζει ὡς οἶμαι. καὶ ἴσως αὕτη ἡ ἔννοια βέλτιον ἂν ἔχοι, εἴπερ οὕτω λήψῃς. ἐάν γ' ἐγὼ τοῦτο ποιεῖν ἀναγκαζοίμην, ὑμῖν τότε χαρίζεσθαι βουλόμενος, πρὸς τοῦτο τόνδε τὸν πόνον ἀσμένως ὑποφέροιμι. καὶ ταύτην τὴν ἔννοιαν βεβαιοῦν δοκεῖ τὸ ὑπὸ χοροῦ ἀποκρινόμενον ῥῆμα ξυνταλαιπωρήσομεν καὶ ἐν τῷ Σουΐδᾳ εὑρίσκεται προσταλαιπωροῦ ἄνευ ἑρμηνείας, τοῦτο τὸ λειτουργόν ἴσως αἰτιώμενον. πρὸς τούτοις δὲ, καὶ ὁ στίχος σκάζει ἐν ἕκτῃ τῇ χώρᾳ σπονδεῖον ἔχων παρὰ νόμον τοῦ μέτρου. ὅπερ παρὰ τὸ εἰκὸς οὐκ ἂν οὕτως διορθοῖτο, εἴτις γράφοι προσταλαιπωρήσομαι. ὅπερ ἐστὶν ὁ μέλλων ἐνεργητικῶς ληφθείς.

CHR. Προσταλαιπωρήσομαι.] Vt constet pedibus suis versus Senarius, lego ταλαιπωρήσομαι.

BISETVS. Κεκύφατέ γε ταῖς.] κεκυφότες δηλαδή. κεκύφειν δὲ, βοᾶν, θρηνεῖν, κλαίειν, μετὰ θρήνου ἀναβοᾶν. νῦν δὲ, κεκύφατέ γε ταῖς τρίχας μακρὰς· τουτέστιν, ἐπὶ τὰς τρίχας κομώσας, πολὺν χρόνον θρηνήσετε. τοῦτο δὲ λέγων ἅμα τὴν δᾷδα πρὸς τὴν αὐτῆς κεφαλὴν προσπελάζει. Οὔπω τοιοῦτον.] Ἀθηναῖός τις ὁ πρῶτος εἰς τὸ θέατρον εἰσελθὼν, τὸ συμπόσιον, τὸ τοῖς Λάκωσι παρατεθὲν ἐπαίρει, καὶ δὴ καὶ περὶ ἀμφοτέρου τοῦ δήμου ἐν ταῖς πρεσβείαις ἔθη, καὶ τρόπους τινὰς διηγεῖται, καὶ σκώπτων διασύρει. Ἄδοι Τελαμῶνος.] ᾄδειν Τελαμῶνος παροιμιακῶς λέγεται ἀπὸ σκολίου μέλους, οὗ ἀρχὴ Παῖ Τελαμῶνος Αἶαν αἰχμητά, λέγουσι δ' ἐς Τροίαν ἄριστον ἐλθεῖν Ἀχαιῶν μετ' Ἀχιλλέα. Εὐστάθ. Κλειταγόρα δηλ. Κλειταγόρας, ποιήτρια Λακωνική, ὥς φησι Σουΐδας, καὶ Κλειταγόρα, εἶδός τι ᾠδῆς κατὰ τὸν Ἡσύχιον. ἐν τούτοις δὲ ἐστὶν ἔλλειψις. τὸ πλῆρες, ᾄδοι Τελαμῶνος τὸ μέλος. οὕτω καὶ δέον ᾄδειν Κλειταγόρας τὸ μέλος. ταῦτα δὲ ἐπὶ τῶν μὴ προσηκόντως τοῖς ὑποκειμένοις φλυαρούντων. ὡς καὶ τοῦτο, οὐδὲν πρὸς ἔπος. καὶ, οὐδὲν πρὸς τὸν Διόνυσον. Θυρίᾳ ὑπεσῆται] μετὰ φθορᾶς ἀποχωρήσουσι. εἰς φθορὰν ἀπελεύσεσθε. οὐ ῥᾳδίως δὲ διαγινώσκεται πρὸς οὓς ταῦτα λέγεται. Ὦ πολυχαρείδα.] ἀντὶ πολύχαρμε. καὶ Λάκων τις, ἐκ τοῦ αὐτοῦ συμποσίου ἱλαρὸς, καὶ ἀνεστραμμένος ἐξελθών, πρὸς ὄρχησιν αὑτὸν παρασκευάζει, καὶ τοῖς ἄλλοις ταὐτὸ ποιεῖν παραινεῖ. Τὰ φυσατήρια.] τὰ φυσατήρια, τὰς φυσαλίδας, εἴτε τοὺς αὐλοὺς οἱ Δωριεῖς οὕτω καλοῦσιν, ὅτι οἱ αὐλοῦντες ἐν τῷ αὐλεῖν φυσᾶν πρὸς τὰς ᾠδὰς χρῆσθαι εἰώθασι. Διποδιάξω.] διποδία, ὄρχημα Λακωνικόν. ὅθεν τὸ διποδιάζειν, τὸ διποδίαν ὀρχεῖσθαι. ἄλλως. διποδιασμὸς εἶδος ὀρχήσεως, ὃ καὶ διποδισμός. Ἡσύχιος. κἀείσω δὲ, καὶ ἀείσω.

CHR. Ὀρθῶς γ'.] Deest in Veneta edit. hic apposita chori persona & continuatur oratio ab Atheniensi. Ἄδοι Τελαμῶνος.] Canere de Telamone prouerbium est relatum ab Eustathio in Bœotia, & recensuit Erasmus. Sed de Clitagora quæ fuit poetria Lesbia, certum est hoc nomine melos vocatum quoddam cuius initium fuerit Κλειταγόρα vt illius παῖ Τελαμῶνος, de quo in Vespis diximus. Ἀλλ' ὑποῦ γὰρ] In Veneta editione tres hos versus sequentes famulus vel θεράπων pronunciat. Διποδιάξω.] διποδία vel διποδισμὸς, εἶδος ὀρχήσεως. Malè apud Suidam διαποδία, erat autem saltatio in qua iunctis pedibus labore & conatu magno picas imitabantur. Sunt verò φυσαλίδες, αὐλοί.

BISETVS. Ἐς τὼς Ἀσαναίως] εἰς τοὺς Ἀθηναίους. οὕτω γὰρ καὶ ἐνταῦθα, καὶ ἐν τοῖς ἑξῆς πανταχοῦ χαρακτὴρ ἐστι Δωρικὸς, ἵνα τὸ τῆς Λακωνικῆς διαλέκτου ἰδίωμα ἀκριβέστερον φυλάττοιτο. Ὄρμαον.] Λάκων καλάς τινας πράξεις, καὶ ἄνδρας ἀθλητικάς τε Λακώνων καὶ τῶν Ἀθηναίων, ἅποτε κατὰ τῶν βαρβάρων ἀνδρείως ἀπεδείξαντο, Λακωνιστὶ λαλῶν ἐπαινεῖ. ἡ δὲ τούτων ἑρμηνεία αὕτη. Ὄρμαον, ὅρμαον, ὁρμᾶον, δακτυλικῶς ἔγειρε. τὰς κυρβασίας, τοὺς κυρβασίους, τοὺς νεανίας, τὰ μειράκια. πρὸ δὲ ταύτης τῆς λέξεως καὶ ἄνω προσυπακούεται. ὦ Μναμόνα, ὦ Μνημόνη, ὦ Μνημοσύνη, ὦ Μνήμη. τὰν θεὰν Μῶαν, τὴν θεὰν Μοῦσαν. ἅτις οἶδεν ἀμὲ, τὼς τ' Ἀσαναίως, ἥτις οἶδεν ἡμᾶς. καὶ τοὺς Ἀθηναίους. Ὅκα τοὶ μέν.] ὅτε οἱ μὲν ἐπ' Ἀρτεμισίῳ προέκρινον, προσωθοῦντο ἢ προέτρεπον, θεοείκελοι πρὸς τὰ καλὰ, τοὺς Μήδους τ' ἐνίκων. Ἀρτεμίσιον δὲ, ἀκρωτήριόν τι τῆς Εὐβοίας πλησίον τῶν Θερμοπυλῶν, ὅπου Ἀρτέμιδος ἦν ἱερὸν, καὶ τὸ αὐτὸ ἀκρωτήριον Ἀρτεμίσιον καλούμενον, ὥς φησιν Ἁρποκρατίων. Θεοείκελος δὲ, θεοῖς τὸ εἶδος ὅμοιος.

CHR. Ὄρμαον.) Fortassis pro ὅρμα σιῶ. Quod autem ait Μναμόνα nescio quid sit nisi quod scribit Hesychius μναμόνα, μοῦσαν μνηστῆρες. Idem μῶαν esse ait ᾠδὴν ποιάν. Sed & pro οἶδεν legerem ᾄδεν. Ἐπ' ἀρταμιτίῳ.) Artemisium promontorium Eubœæ, Philistus vocat Ἀρτιμίτιον. Θείκελος.) Pro θεοείκελος, vt puto, nam Hercules in bello ad Thermopylas Leonida duce dicitur ἀποθεωθῆναι.

BISETVS. Ἀμὲ δ' αὖ Λεωνίδας.] ἡμᾶς δὲ πάλιν ὁ Λεωνίδης ἦγεν ὥσπερ τοὺς κάπρους, θήγοντας, θήξαντας τοὺς ὀδόντας. Λεωνίδας δὲ. οὗτος Λεωνίδης Λακεδαιμονίων βασιλεὺς ἀνδρειότατος, οὗ Παυσανίας μνημονεύει ἐν τοῖς Λακωνικοῖς, οὕτω γράφων, Κλεομένους δὲ ἐκ ὄντων ἀρρένων παίδων, ἐς Λεωνίδαν τὸν Ἀναξανδρίδου Δωριέως δὲ ἀπ' ἀμφοτέρων ἀδελφὸν κατέβαινεν ἡ ἀρχή. καὶ Ξέρξης τηνικαῦτα ἐπὶ τὴν Ἑλλάδα ἤγαγε τὸν λαὸν, καὶ Λεωνίδας τριακοσίοις ὁμοῦ Λακεδαιμονίων ἀπηντήσατο ἐς Θερμοπύλας. ἀλλὰ καὶ τούτων διεξοδικὴ ἱστορία σώζεται παρὰ τῷ Ἡροδότῳ, ἐν τῷ ἑβδόμῳ. σημείωσαι δὲ, τὸ θάγοντας ἐστὶ μετοχὴν ἀορίστου δευτέρου ἐνεργητικοῦ ἀπὸ τοῦ θέματος θήγω, τὸ ἀκονῶ, καὶ ὀξύνω. ἔθαγον δὲ, ὡς ἀπὸ τοῦ τήκω, ἔτακον. ὅθεν τὸ θαγὼν, θαγόντος, θαγόντας ὅπερ συνηθέστερον. ἀφρὸς ἤνθει, ἀντὶ τοῦ ἤνθει. παρὰ τὸ ἀνθεῖν, ὃ μεταφορικῶς νῦν λαμβάνεται ἀντὶ τοῦ ἐγείρετο, ἦλθε, ἐφέρετο. Ἦς γὰρ τῶν ἄνδρες] ἦσαν γὰρ τοὶ ἄνδρες, ἦσαν οἱ ἄνδρες, οἱ Πέρσαι οὐκ ἐλάσσους τῆς ψάμμου, τῆς ψάμμου. Σημείωσαι δὲ τὸ ἦν, ἀντὶ τοῦ ἦσαν κατὰ συγκοπὴν εἰρῆσθαι. οὕτω καὶ παρὰ τῷ Σοφοκλεῖ Τραχινίαις δὲ ἀμφίπλεκτοι κλίμακες. ἀντὶ τοῦ ἦσαν. καὶ Ἡσίοδος.

Τῆς δ' ἦν τρεῖς κεφαλαί.

Σηροκτόνε.] θηροκτόνε· ἡ γὰρ Ἄρτεμις τοῖς θήραις χαίρει, καὶ τὰ θηρία βάλλουσα διώκει. παρσένε, σιὰ, πότνια. παρθένε θεὰ. πρὸς τὰς σπονδὰς μόλε. σπονδὴ δὲ, ὁ τῆς θυσίαις ἐπιχεόμενος οἶνος. σπονδαὶ δὲ, ὅρκοι, καὶ εὐχαί. Ἡσύχιος. Ὡς συνέχῃς.] ὅπως ἡμᾶς πολὺν χρόνον εἰρηνεύοντας διάγοντας, λανθανομένους, καὶ ὁμοφρονοῦντας συνέχῃς. Αἰὲς εὔπορος.] αἰὲς, αἰὲν, αἰεὶ, ἀεὶ, διὰ παντός. εὔπορος δὲ, ἄφθονος.

CHR. Πόντια καλά.] An πότνια καλά vt ad Athenaeam referatur, an πόντια καλά, ad res egregias & pulcra facinora, πρὸς τὰ καλὰ ἔργα, an potius κᾶλα sunt ligna, vt per ea naues intelligantur secundùm responsum oraculi quod ligneos muros iubebat ędificare; μᾶλλον δὲ τὸ ἐκεῖνο. Κάπρως θάγοντας.] Sic etiam de apro Philippus dixit in 4. lib. Florilegij Epigrammatarij θηκτὸν ὀδόντα βρύχοντα, nisi mea me fefellit coniectura quae pro ὀδόντα reposuit θηκτὸν in Epigrammate Philippi. Τὰς ψάμμας τοὶ Πέρσαι.] Erant, inquit, Persae (Medos vocat Thucydides, sed Medorum nomine Persae innuuntur vel teste Horatio, Neu sinas Medos &c.) innumerabiles instar arenae, ψαμμίαν enim puto esse ψάμμον vel ψάμαθον, aliàs significat ἄλφιτα. Hoc autē loco ἦν γὰρ τ' positum ἦν puto pro ἦσαν.

Καὶ τὰς αἱμύλας ἀλωπεκὰς
Παυσώμεθ' ὦ.
Δεῦρ' ἴθι δεῦρ' ὦ
Κυναγὲ παρσένε.
Λυ. Ἄγε νῦν ἐπειδὴ τἄλλα πεποίηται καλῶς
Ἀπάγεσθε ταύτας ὦ Λάκωνες, τάσδε τ' αὖ
Ὑμεῖς· ἀνὴρ δὲ παρὰ γυναῖκα καὶ γυνὴ
Στήτω παρ' ἄνδρα. κᾆτ' ἐπ' ἀγαθαῖς συμφοραῖς
Ὀρχησάμενοι θεοῖσιν, εὐλαβώμεθα
Τὸ λοιπὸν αὖθις μὴ 'ξαμαρτάνειν ἔτι.
Πρόσαγε χορόν, ἔπαγε Χάριτας.
Ἐπὶ δὲ κάλεσον Ἄρτεμιν.
Ἐπὶ δὲ Δίδυμον ἄγε χορὸν ἰήϊον
Εὔφρον'· ἐπὶ δὲ Νύσιον.
Ὃς μετὰ Μαινάσι βάκχειος ὄμμασι
Δαίεται.
Διά τε πυρὶ φλεγόμενον
Ἐπί τε πότνιαν ἄλοχον ὀλβίαν.
Εἶτα δὲ δαίμονας οἷς ἐπιμάρτυσι
Χρησόμεθ' οὐκ ἐπιλήσμοσιν
Ἡσυχίας πέρι τῆς μεγαλόφρονος.
Ἣν ἐποίησε θεὰ Κύπρις.
Ἀλαλαὶ ἰὴ παιήων.
Αἴρεσθ' ἄνω ἰαί.
Ὡς ἐπὶ νίκῃ ἰαί.
Εὐοῖ εὐοῖ εὐαί εὐαί.
Λάκων πρόφαινε δὴ σὺ μοῦσαν
Ἐπὶ νέᾳ νέαν.

B *Quin & desinamus vulpium*
Fallacium, ô
Huc agedum adsis
Canum ô virago dux.
LYS. Age ergo quando bellè habent se caetera
Abducite illas ô Lacones, hasque vos:
C *Vir foeminae adstet, & viro adstet foemina:*
Exinde Diuis ritè perfecta simul
Saltatione, quod quidem vortat bene,
Porrò cauendum est ne quod erratum siet.
Age statue chorum, age Charitas,
Iterum & age, voca Artemin,
Etiam age, chorum Iëion age Didymum
D *Lenificum, age Nysium.*
Cuique micantia cum Maenadum choro
Lumina, ô.
Igneque rutilum age Iouem, age,
Pariter inclytam sobole coniugem,
Indigetesque deos quibus vtimur
Testibus hic meminentibus.
Pacis ad ardua consilia optimae
E *Quam dea constituit Cypris.*
Alalae io Paean
Extollite altum, io
Victor vt omnis abit.
Eua Eua, Eua Euan.
Age effer ergo cantilenam
Laco nouissimam.

BISETVS. Τὰς αἱμύλας.] περὶ αἱμύλου. αἱμύλος, ἀστεῖος, στωμύλος, ὀξὺς ἐν τῷ λέγειν, κόλαξ, ἀπατεών. αἱμύλος δὲ ὅθεν καὶ αἱμύλιος δασύνεται κοινῶς, ἐπεὶ παρὰ τὸ αἷμα παράγεται. αἱμύλιοι λόγοι, οἱ τοῦ αἵματος ἀπτόμενοι. παρὰ δὲ Αἰολεῦσι ἐπὶ ψιλοῦται τὸ κοινῶς δασυνόμενον. οἱ δὲ Δωριεῖς καὶ αὐτοὶ τῆς δασυνομένης λέξεως χρῶνται ψιλῶς. Ἄγε νῦν.] ἡ Λυσιστράτη περὶ πραγμάτων αὐτῇ κατὰ γνώμην καλῶς χωρούντων, ὅτι τῆς αὐτῆς συμβουλαῖς, καὶ λόγοις οἱ Ἀθηναῖοι διαλλαγὰς πρὸς τοὺς Λάκωνας ἐποιήσαντο, πάντας τοῖς θεοῖς τούτων χάριν εὐχαριστεῖν, καὶ θείας εὐνοίας ὕμνους ὑμνεῖν, καὶ ἕκαστον ἄνδρα τὴν αὑτοῦ γυναῖκα οἴκαδε ἀπάγειν, καὶ μετ' ἑαυτῶν εἰρηνικῶς εἰς τὸ λοιπὸν ζῆν, καὶ μηδεμίαν ἔτι προσκρούσεως ἀφορμὴν ἀλλήλοις παρέχειν κε-
G λεύει. Ἀπάγεσθε ταύτας.] ἅμα ταῦτα λέγουσα ἡ Λυσιστράτη, τοῖς τε Ἀθηναίοις, καὶ τοῖς Λάκωσιν ἰδίας γυναῖκας κατὰ μόνας παραδίδωσι. συμφοραῖς δὲ, τύχαις.

CHR. Ἐπ' ἀγαθαῖς συμφοραῖς.) Nomen συμφορᾶς est τῶν μέσων, sic Alcaeus dixit ἐπ' ἀγαθᾷ
F συμφορᾷ id est ἐπ' ἀγαθῇ τύχῃ. Aeschylus etiam in Agamemnone dixit συμφορᾶς χάριν, id est, εὐτυχίας.

BISETVS. Ἐπὶ δὲ Δίδυμον.) Δίδυμον ἐπιθετικῶς, κατ' ἀντονομασίαν αὐτὸν τὸν Φοῖβον καλεῖ, ὃν καὶ Διδυμαῖον, ὅτι ἡ Λητὼ τῷ αὐτῷ τόκῳ τὸν Ἀπόλλωνα, καὶ τὴν Ἄρτεμιν διδύμους ἤτοι διδυμάονας ἔτικτεν. ἀπὸ δὲ τοῦ δύο γίνεται δύμος, ὅθεν δίδυμος ἐν συνθέσει μετὰ τοῦ δὶς ἀριθμητικοῦ ἐπιρρήματος. διαφέρει δὲ δίδυμος τοῦ διδυμάονος. δίδυμοι γὰρ οἱ διπλοῖ, ἢ συμφυεῖς τοῖς σώμασιν, ὁποῖοι μυθεύονται οἱ Ἀκτορίωνες. καὶ ἁπλῶς οἱ δύο. καὶ δίδυμοι, οἱ ὄρχεις ὁμωνύμως. διδυμάονες δὲ, οἱ κεχωρισμένοι τοῖς σώμασιν. Εὐστ. Ἰήϊον.) ἰήϊος, δασέως μὲν ὁ Ἀπόλλων ἀπὸ τῆς ἀφέσεως, καὶ τοξείας. τουτέστιν ὁ τοξότης. ψιλῶς δὲ ἀπὸ τῆς ἰάσεως. ἰατρὸς γὰρ ὁ θεός. ἀλλὰ διὰ τοῦτο τοῦ ἐπιθέτου, διὰ πλειόνων ἐν τοῖς ἄνω εἴρηται. τινὲς Ἰξιον γράφουσι, παρὰ τὸ Ἰξίαι, ὅπερ κατὰ τὸν Στέφανον, πλησίον τῆς χώρας τῆς Ῥόδου, ἀπὸ Ἰξοῦ λιμένος, ὅθεν

δὲ Ἴξιος Ἀπόλλων, ὥς φησιν Ἀρτεμίδωρος δεκάτῳ τῶν γεωγραφουμένων. τινὲς δὲ, καὶ ἴδιον χαπτιον νομίζουσι, πρὸς τὸν χορὸν ἀναφέρουσι. ἤγουν, ἴδιον, ἔστι οἰκεῖον χορόν.

C H R. Ἀγέχορον ἴκιον.] Editio Veneta habet οἰκεῖον, malè vt arbitror. Nam ἴκιον videtur esse ab insula quæ Ἴκος dicitur vna ex Cycladibus, deinde metrum videtur postulare pedem Pyrrichium. ἐπὶ δ᾽ εὐώνιον autem mutarem libenter, & diuiderem in tria ἐπὶ δὲ νύσιον. Quod verò ait μετὰ μαινάσι nullus est error, nam præpositio hæc etiam datiuis iungitur vt Homerus, μετὰ τοῖσιν ἔβη, sed mox pro δέρτι, legerem Δία τε vt ad Iouem referatur.

BISETVS. Ἐπὶ δὲ Νύσιον.] Νύσιον τὸν Διόνυσον καλεῖσθαι, καὶ ἄνω δεδήλωται. Νύσα γὰρ, ἡ Νύσα ὄρος Θρᾴκης, ὃ καὶ παρ᾽ Ὁμήρῳ, Νυσήϊον, ἀφ᾽ οὗ ὁ Διόνυσος παρωνομάσθαι δοκεῖ. Εὐσ. εὔφρονα δὲ τοῦτον καλεῖ, ὅτι τοῦ οἴνου εὑρετής, καὶ δοτήρ. ὁ δὲ οἶνος τοὺς ἀνθρώπους εὐφραίνει. Εὐριπίδης ἐν Βάκχαις.

Ὁ δ᾽ ἦλθ᾽ ἐπὶ τἀντίπαλον, ὁ Σεμέλης γόνος.
Βότρυος ὑγρὸν πῶμ᾽ εὗρε, κ᾽ εἰσηνέγκατο
Θνητοῖς, ὃ παύει τοὺς ταλαιπώρους βροτοὺς
Λύπης, ὅταν πλησθῶσιν ἀμπέλου ῥοῆς.
Ὕπνον τε λήθην τῶν καθ᾽ ἡμέραν κακῶν
Δίδωσιν, οὐδ᾽ ἔστ᾽ ἄλλο φάρμακον πόνων.

Μετὰ Μαινάσι.] Μαινάδες, αἱ Βάκχαι μαινόμεναι. ζητοῦσι βακχεύειν, πρὸς ἔθροντες τὸ δὲ ὁ ἀίσσει, τινὲς ἑρμηνεύουσιν εὐωχεῖται ἀλλὰ τοῦτο ἀπιθανώτερον. βέλτιον ἴσως ἑρμηνεύειν λάμπει πυρὶ δὴ τοῖς ὄμμασι βακχείοις, καὶ μανιώδεσι ἐν μέσῳ τῶν Μαινάδων φέρεται τῶν γὰρ μαινομένων τὰ ὄμματα δεινὰ προσορᾶν, καὶ οἱονεὶ σπινθῆρας πυρὸς διὰ τὴν μανίαν ἐκβάλλει. Δία τε πυρὶ φλεγόμενον.] τούτων τὸ πλῆρες ἐστιν, ὡς ἐκ τῶν

